This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

SIG·COM·GVBERN·SCHOLAR·ET·HOSPICIORVM·IN·OKEHAM·ET·VPPINGHAM·IN·COM·RVTL

N
i
572
RBS

9/-

A. Sidgwick

bought at Cambridge Sept 1884

# POETAE SCENICI GRAECI.

ACCEDUNT PERDITARUM FABULARUM FRAGMENTA.

RECOGNOVIT ET PRAEFATUS EST

GUIL. DINDORFIUS.

LIPSIAE
LIBRARIA WEIDMANNIA
LONDINI
BLACK YOUNG ET YOUNG

MDCCCXXX.

DEPARTMENT
OF
CLASSICAL
ARCHAEOLOGY
OXFORD

# P R A E F A T I O.

Quum in tragicorum fabulis ego nonnulla aliter atque priores editores instituerim, commodum lectoribus me suscepturum existimavi, si de iis potissimum rebus quarum rationes non viderentur omnibus in promptu fore hac praefatione breviter explicarem. Quod ita faciam, ut omissis plerumque aliorum et quas recepi et quas repudiavi coniecturis, quae ex nuperis tragicorum editionibus cognosci possunt, tantum mihi spatii concedam quanto ad meas res exponendas opus habeo.

In Aeschyli fabulis etsi nunc aliquanto pluribus in locis ab Porsono discessi quam quum ante tres annos eius editionem passim correctam scholarum in usum repeti curarem, multo plura tamen aliis mutanda sciens reliqui, si qui has tragoedias recensendas sibi sument: quam ego operam ut in ceterorum quos hoc volumine complexi sumus poetarum fabulis detrectavi, ita in Aeschyleis nec volui in me recipere nec potui, quum praeter alia quaedam rei cum successu gerendae praesidia vetustum codicem Mediceum ea et peritia et cura exploratum desiderarem quam Harleiano Odysseae libro, ut hoc exemplo utar, impertivit Porsonus, non qui locos depravatos multo quam vulgo feruntur emendatius scriptos in membranis illis inventum iri opiner, sed quod critici, qui artem suam caute exerceat, plurimum interest libri principis vitia quam accuratissime cognita habere. Quae si non habet, fieri non potest quin interdum iis correctionum suarum utatur fundamentis quae libris scriptis diligentius inspectis nulla esse intelligat. Quod cum alibi videtur accidisse tum in Agamemnone v. 1122.

ἐπὶ δὲ καρδίαν ἔδραμε κροκοβαφὴς
σταγὼν, ἅτε καὶ δωρία πτώσιμος
ξυνανύτει βίου δύντος αὐγαῖς.

ubi Casaubonus aliique δορὶ correxerunt. Sed quod Aldus Turnebusque dederunt ἅτε καὶ δωρία, non alia quam Triclinii auctoritate niti opinor, estque id ipsum, deleto etiam propter metrum καὶ, in codice Neapolitano perscriptum: ut vix credam in hanc scripturam librum Mediceum consensisse, cuius lectionem hic ut in aliis locis non paucis accurate videtur expressisse Robortellus, καὶ διρία. Id vero proxime abest ab eo quod ego restitui καιρία, exemtis litteris ΔΙ, quae ex ΑΙ male fuerunt repetitae. Simili errore in Choephoris v. 1064. καιρίοισι in καὶ ῥίοισι vel καὶ ῥύοισι fuit diremtum in quibusdam codicibus.

**PROMETHEUS. V. 354.** πᾶσιν ὃς ἀνέστη θεοῖς] Libri omnes ἀντέστη, quod emendavit Wunderlichius p. 27. sed perversa structura verborum, ὃς ἀνέστη συρίζων φόνον πᾶσιν

θεοῖς σμερδναῖσι γαμφηλαῖσι. Dativi πᾶσιν θεοῖς ab ἀνέστη pendent. Ita Homerus Iliad. ψ, 634.

πὺξ μὲν ἐνίκησα Κλυτομήδεα, Ἥνοπος υἱὸν,
Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον, ὅς μοι ἀνέστη.

quae ubi affert Aristides vol. II. p. 503. casu accidit ut in libro Florentino quodam pari errore ἀντέστη scriptum sit.

V. 425—435. Huius epodi nec metra bene erant descripta neque scriptura satis emendata. V. 429. ὑπέροχον Hermannus: codices ὑπείροχον, forma Homerica ab librariis illata, ut in Sophoclis Trachin. v. 1096. V. 430. ὑποστεγάζει] Libri antiqui ὑποστενάζει, alii ὑποβαστάζει. Correctum ante multos annos ab Hermanno in dissertatione academica (Opusc. I. p. 114.) non innotuit editoribus. V. 434. κελαινὸς Ἄϊδος δ'] Vulgo κελαινὸς δ' Ἄϊδος. Particula quum aut deleri possit aut transponi, ego alteram viam inii.

V. 566. ἆ ἆ, ἔα ἔα] Codex Mediceus pro ἔα ἔα praebet ἒ ἒ. Similiter praeter alios unus de Parisinis, in quo adscriptum γρ. ἔα ἔα. Eaedem exclamationes ἆ ἆ ἔα ἔα coniunguntur v. 114. ubi liber Mediceus in vulgatam scripturam consentire videtur. Ego ἔα ἔα utrobique ab librariis adscriptum iudico ad explicandam formam monosyllabam ἆ.

V. 568. Fluctuant codices inter ἄλευ' ὦ δᾶ, ἄλευ ἆ δᾶ, ἀλευάδα, unde vera emergit scriptura ἄλευ δᾶ, restituta apocope, quam ubique oblitterarunt librarii, quod non inutile erit aliquot ostendisse exemplis. I. Aristophani in Equitibus v. 821. ubi libri παῦ' οὑτοσί, Elmsleius probabiliter restituebat παῦ παῦ οὗτος, collata Photii glossa p. 403, 4. Παῦ: τὸ παῦσαι (immo τὸ παῦε) λέγουσι μονοσυλλάβως. II. In Persis Aeschyli v. 1038.

δίαινε δίαινε πῆμα· πρὸς δόμους δ' ἴθι,

quum non videatur fieri posse ut alterum δίαινε disyllabum pronuncietur, videndum an poeta dixerit δίαιν δίαινε. III. Usitatissimam in vulgi sermone formulam iurandi νὴ Δία Atticos νὴ Δὶ pronunciasse ex Photio colligi poterat p. 297, 23. Νηδί: καὶ νηδία, ἑκατέρως. cui nunc disertum accedit testimonium Choerobosci in Bekkeri Anecdotis p. 1362. — χωρὶς τοῦ Δί, ὅπερ ἀπὸ τοῦ Δία γέγονεν, ὅπερ καὶ μετὰ τοῦ νὴ ἐπιρρήματος γίνεται νὴ Δί. et ibidem p. 1231. — διὰ τὸ νὴ Δία· αὕτη γὰρ ἡ αἰτιατικὴ γίνεται κατ' ἀποκοπὴν νὴ Δί. Hoc restituendum Aristophani in Equitibus v. 319. ubi proxime ad verum accedit Ravennatis codicis scriptura

νὴ Δία κἀμὲ τοῦτ' ἔδρασε ταυτὸν, ὥστε καταγέλων —.

corrige νὴ Δὶ κἀμὲ —. eaque nominis forma non dubium est quin plurimis locis sit reddenda, ubi nunc vel νὴ Δί' cum inutili apostropho scribitur vel νὴ Δία, ut in Ecclesiazusis v. 779.

ἡμᾶς μόνον δεῖ νὴ Δί· καὶ γὰρ οἱ θεοί.

ubi Ravennas νὴ δί', ceteri νὴ δία. Etiam in Lysistrata v. 24. mirer si poeta scripserit, καὶ νὴ Δία παχύ. κᾆτα πῶς οὐχ ἥκομεν; quum numeris multo melioribus in promptu esset

καὶ νὴ Δἰ παχύ. κἄπειτα πῶς οὐχ ἥκομεν;

IV. ἅμ pro ἅμα dictum annotavit Hesychius, Ἅμ: ἅμα, ὁμοῦ. quod me quidem non magis offendit quam ἀνά in ἄμ transformatum. Latet illud ἅμ in Vespis Aristophanis v. 570.

τὰ δὲ συγκύπτονθ' ἅμα βληχᾶται —.

codex Ravennas ἅμ ἅμα βληχᾶται: ergo poeta scripsit ἅμ βληχᾶται, durioris correptionis vitandae caussa.

V. 569. Legebatur φοβοῦμαι τὸν μυριωπόν. Recte libri Vindobonenses duo omittunt scholiastae istud φοβοῦμαι, quo hodie non indigemus ad expediendam verborum constructionem, cuius exempla si quis desiderat, Matthiae annotationem adeat ad Hecubam Euripidis v. 950.

V. 1056. Codex Mediceus τί γὰρ ἐλλείπει μὴ παραπαίειν | εἰ τοῦδ' εὐτυχῆ; alii plurimi εἰ τάδ' εὐτυχῆ, quae inepta est scripturae depravatae correctio. Restitui ἡ τοῦδε τύχη. nam τοῦδε propterea est necessarium, quia ab sententia communi, quae praecedentibus versibus continetur, ad Promethei fortunam, cui nihil ad mentis alienationem deesse ait, orationem deflectit Mercurius.

SEPTEM AD THEBAS. V. 12. βλάστημον hic et in Suppl. v. 317. retinuit Porsonus. Hoc rectius alii scribunt βλαστημόν.

V. 45. Porsonus Ἄρην, Ἐνυώ, καὶ —. vitiose. Recte codex Mediceus Ἄρη τ': nam hac tantum accusativi forma utuntur Attici veteres.

V. 481. τὰ] Vulgo τῷδε. Codices plurimi τάδε. Correxi τά. Ita in antistropho v. 521. non opus δὴ particula, quam post πέποιθα illic inseruit Robortellus, hic nonnulli ante τῷδε intulerunt.

V. 562. I θεῶν θελόντων δ' ἂν ἀληθεύσαιμ' ἐγώ] ἂν particulae mensuram ancipitem fuisse videri in praefatione ad Sophoclem dixi p. LVI. Productae quae sunt apud poetas Atticos exempla librarii magnam partem eadem interpolarunt libertate, qua ἐάν particulae mensuram, de qua ad Aristophanis Vespar. v. 228. dixi, praeceptae opinioni accommodarunt. Quamobrem operae pretium est locos illos coniunctos apponi.

II Sophocles Aiace v. 1339.

οὐκ ἂν ἀτιμάσαιμ' ἄν, ὥστε μὴ λέγειν —.

Ita libri antiqui omnes, idemque in suis invenit Triclinius, qui particulam παμφάρμακον adiunxit, οὐκ ἄν γ' ἀτιμάσαιμ' —. Aldus cum aliquot codicibus οὔκουν, quam medicinam etiam Troadum Euripidis versui cuidam adhibitam paullo post notabimus. Elmsleius οὔ τἄν, ut solebat.

III Sophocles Electra v. 314.

ἦ δ' ἂν ἐγὼ θαρσοῦσα μᾶλλον ἐς λόγους
τοὺς σοὺς ἱκοίμην —;

Hic Aldus quoque cum melioribus codicibus consentit: deteriores ἢ κἄν, quod in Laurentiano A adscripsit manus recentior. Rarum in interrogatione est ἦ δὲ (nam plerumque ἦ γὰρ

sententia admittit), quod diu latuit in Aristophanis Avibus v. 23. cui nuper restitui exemplaris Ravennatis indicio.

IV Sophocles Antigona v. 747.

οὐκ ἂν ἕλοις ἥσσω γε τῶν αἰσχρῶν ἐμέ.

Vulgo οὐκ ἄν γ'. γε recte abesse ab libro Augustano olim iudicavi, confirmaruntque sententiam nostram codices Elmsleii quattuor. Facile igitur fidem inveniemus, si in

V Agamemnone Aeschyli v. 341.

οὐκ ἄν γ' ἑλόντες αὖθις ἀνθαλοῖεν ἄν,

particulam γε non melioris quam in Sophocle notae esse affirmamus. Afuit haud dubie libro Mediceo, ex quo haec fabulae pars excidit, videturque Triclinio deberi, cuius ex recensione lacuna codicis illius expleta est.

VI Euripides Rheso v. 561.

διόλωλε; τάχ' ἂν εἴη φοβερόν.

Vulgo διόλωλεν, quod mirer ni in uno alterove codice emendate scriptum exstet. Satius fuisset Triclinii exemplo ἄν γ' εἴη ponere quam versum tam immodulatum procudere.

VII Euripides Medea v. 867.

οὐκ ἂν ἁμάρτοις τοῦδέ γ', ἀλλ' ἀκούσομαι.

Aldus οὐκ ἄν γ', qui et codices tantum non omnes habet adversos et scriptorem Christi patientis v. 1983.

VIII Euripides Troadibus v. 409.

εἰ μή σ' Ἀπόλλων ἐξεβάκχευσεν φρένας,

οὐκ ἂν ἀμισθὶ τοὺς ἐμοὺς στρατηλάτας — ἐξέπεμπες.

Ita codex Vaticanus 909., optimus omnium, et Havniensis cum Florentino. Aldus, ut supra in loco Sophocleo, οὔκουν dedit, adamatam huic criticorum generi voculam, non minus incaute in Helenae versus 1561. 1597. illatam, ubi nunc οὐκ εἶ' est restitutum. Aldo autem hic et alibi brevitatis caussa tribuo quidquid in eius editionibus legitur, sive ipsius est sive aliunde sumptum.

IX X XI Euripides Helena v. 1045.

οὐκ ἂν ἀνάσχοιτ' οὐδὲ σιγήσειεν ἂν

μέλλοντ' ἀδελφὴ σύγγονον κατακτενεῖν.

Hercule furente v. 1254.

οὐκ ἂν ἀνάσχοιθ' Ἑλλὰς ἀμαθίᾳ θανεῖν.

ibidem v. 186.

Δίρφυν τ' ἐρωτῶν, ἥ σ' ἔθρεψ', Ἀβαντίδα,

οὐκ ἂν ἐπαινέσειεν —.

Coniunxi hos tres locos qui inter se sunt simillimi. Eorum primi consentiens est in libris scriptura quam exhibui. Portus οὐκ ἄν σ' ἀνάσχοιτ', quod etiam in altero loco de coniectura posuit Barnesius, quicum Florentinos libros congruere suspicatur Matthiae. In tertio Aldus ad

sum οὐκ ἄν γε relapsus est. Quum tribus his versibus aptissimum sit οὐκ ἄν σε, non multum in tribuendum puto: quanquam qui pronomen requirunt, eadem opera praeter alia aliorum Euripidem eo augere debebunt in Bacchabus v. 789.

Βρόμιος οὐκ ἀνέξεται

ν κινοῦντα Βάκχας εὐίων ὀρῶν ἄπο.

ut scriptum est in libris omnibus, nisi quod Aldina, typothetae ut videtur culpa, κινοῦντι.

XII Alexis apud Athenaeum X. p. 422 b. consentiente Eustathio p. 1837, 20.

οὔτ' ἂν ἀδικοῖτ' οὐδὲν οὐδεὶς οὔθ' ὑβρίζοιτ' ἂν ἑκών.

Pauca haec sunt contra centena correptae particulae exempla, ut non sim miraturus, si qui hoc argumento, quamvis omnium fallacissimo, abutentur ut locos supra indicatos iis corrigant coniecturis, quas ipse proponerem, nisi tacere praestaret. Nam etsi haec res neque diu mihi visa est extra dubitationem posita esse neque nunc videtur, tamen maiorem exemplorum illorum partem ita esse comparatam intelligo, ut absque veterum grammaticorum testimoniis in neutram partem quidquam confidentius pronunciare liceat.

V. 576. πρόσμορον] MS. Mediceus προσμόραν. Blomfildus προσμολών.

V. 725. Vulgo βλαψίφρονος. Dedi βλαψιφρόνως, quod significatione activa dictum cum τελέσαι est coniungendum. Ut δαίμων ὠμοφρόνως ἐμβῆναι dicitur in Persis v. 911. ita hic Erinys βλαψιφρόνως.

V. 928. ἰὼ δυσαίων] Aberat ἰὼ et legebatur δυσδαίμων. Correxi hoc ad similitudinem versus 870.

ἰὼ

δυσαδελφόταται πασῶν ὁπόσαι —.

Et particulae ἰὼ vestigium fortasse superest in δαΐω, quod libri nonnulli in fine praecedentis versus praebent pro δαΐ.

V. 929. Libri πρὸ πασῶν γυναικῶν ὁπόσαι. Eieci γυναικῶν.

V. 968. πάνδυρτε] Codices alii πανδάκρυτε, alii πολυδάκρυτε. Correxit Fr. Ritschelius in Schedis criticis p. 12.

SUPPLICES. V. 124. ἐπιδρομῶσ' ὅθι] Libri quidam ἐπιδρόμῳ πόθι. Recte Hermannus ἐπίδρομ', ὁπόθι. Quod receptum oportuit.

V. 266. Codex Mediceus μηνεῖται ἄκη, in quo vix est ut aliud lateat quam quod edidi μηνιτ' ἄκη. Hoc ἔμμηνος dixit Sophocles in Electra v. 281.

θεοῖσιν ἔμμην' ἱρὰ τοῖς σωτηρίοις.

V. 776. ἰὼ γᾶ βοῦνι, ἔνδικον σέβας] Legebatur βουνῖτι. Pauwius βοῦνις. Restitui legitimum in vocativo hiatum. In Aristophanis Acharn. v. 749. solus liber Ravennas servavit Δικαιόπολι, ἦ λῇς —: ceteri Δικαιόπολις. Eandem legem sequuntur particulae ἄχρι et μέχρι: vide exempla poetarum apud Athenaeum VII. p. 290 d. VIII. p. 346 a. (ubi recte omnia Meinekius ad Menandr. p. XIX. nisi quod μέχρις scripsit) X. p. 415 e. XI. p. 499 e. et in

inscriptione apud Boeckhium vol. I. p. 518. Neque ἄρτι elisa vocali dici potuit ab Euripide in Helena v. 302.

σμικρὸν δ' ὁ καιρὸς ἄρτ' ἀπαλλάξαι βίον.

ubi ego κἄρτ' emendavi.

V. 808. Legebatur ἴυζε δ' ὀμφὰν, οὐράνια | μέλη λίτανα. Aldus et Turnebus ὀμφὰν οὐρανίαν, quod vulgato multum praestat. Quamobrem dedi quod accurate antistrophico versui respondet, ὀμφὰν ὀρανίαν, de quo infra dicetur ad Sophoclis Oedip. Colon. v. 1466.

V. 846. δορὶ δι' ὅλου] Corrige δόρει διώλου cum Hermanno apud Erfurdtium ad Sophoclis Aiac. p. 628.

V. 892. 901. ὦ μᾶ Γᾶ, πᾶ Ζεῦ Huschkius de Annio Cimbro p. 51.

V. 950. ἴσθι μὲν τάδ' Mediceus. Porsonus probabiliter corrigebet ἢ 'σται τάδ' ἢ δεῖ.

V. 959. εὔθυμόν ἐστιν] Mediceus εὐθυμεῖν ἐστιν, ut εὐθυμία 'στὶν potius scribendum videatur.

CHOEPHOROE. V. 581. 582.

ὑμῖν δ' ἐπαινῶ γλῶσσαν εὔφημον φέρειν,

σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν τὰ καίρια.

Versus alterius celebrata ab veteribus sententia est, sed quae huic loco parum accommodata sit. Neque enim in reliqua fabulae parte quidquam agitur ex quo intelligas cur amplius quid praeter taciturnitatem ab puellis choricis expetat Orestes. Quamobrem non improbabilis coniectura videtur versum ab librario olim margini adscriptum postmodum in textum esse illatum. Fuerunt autem illa verba Aeschyli in Prometheo ignifero, de quibus ita scribit Gellius N. A. XIII, 18. „*Id quoque animadvertimus apud Aeschylum* ἐν τῷ πυρφόρῳ Προμηθεῖ *et apud Euripidem in tragoedia quae inscripta est* Ἰνὼ *eundem esse versum absque paucis syllabis. Aeschylus sic*

Σιγῶν θ' ὅπου δεῖ καὶ λέγων τὰ καίρια,

*Euripides autem sic*

Σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν ἵν' ἀσφαλές.“

Qui si versum illum in Choephoris legit, mirandum est Promethei eum uti loco maluisse quam illo cuius maior etiam esset cum Euripidis verbis similitudo. Quod etsi intelligo ita excusari posse ut Gellius alterius loci non esse recordatus dicatur, tamen ipsum quoque nonnihil ad sententiam nostram confirmandam confert.

---

## SOPHOCLES.

AIAX. V. 198. καχαζόντων] Codices et Suidas καγχαζόντων contra consuetudinem Atticorum. In Aristophanis Ecclesiaz. v. 849. (877. ed. meae) ne trimetri quidem leges scribas ab hac forma inferenda arcere potuerunt.

V. 221. *ἀνδρὸς αἴθονος*] Aldus et pars codicum cum Suida *αἴθοπος*. Laurentianus Γ *αἴθωνος*, quod plus uno in loco diserte agnoscit Eustathius. Quod ante plures annos dixi, *αἴθοπος* metri correctori deberi, Sophoclem autem *αἴθονος* correpta vocali dixisse videri, id

π

ipsum praebuit Laurentiani A scriptura *αἴθονος*. Hoc igitur edidi, quum poetae non in solis nominibus propriis, ut *Αἴσωνος Αἴσονος, Νάρωνος Νάρονος*, aliis, hac libertate usi esse videantur. Ita *πρίονες* ab Cratino dicti sunt qui *πρίωνες* dicendi fuerant, de quo exposui ad Aristophanis Vespar. v. 694. Ceterum *αἴθων ἀνήρ* ex hoc loco et ex Aeschyli versu Sept. ad Th. 448. expressum esse in Rheso v. 122. coniecit Hermannus in Opusc. vol. III. p. 292.

V. 384. Hunc versum mancum exhibent MSS. omnes *ἴδοιμί νιν, καίπερ ὧδ' ἀτώμενος*, nisi quod Triclinius *ἴδοιμι δή νιν*. Apud Suidam in *ἀτώμενος* scriptum *ἴδοι μιν ὧδ' ἀτώμενος*. Mihi facillimum visum *ἴδοιμ' ἴδοιμι, καίπερ —*, eiecto, quod alii fortasse desiderabunt, pronomine.

V. 496. Legebatur

*εἰ γὰρ θάνῃς σὺ καὶ τελευτήσας ἀφῇς,*
*ταύτῃ — τῇ — ἡμέρᾳ —.*

Quod Sophocles scripserat *ΕΙ* quum hoc in loco et *εἰ* et *ἦ* significare possit, ego alterum praetuli, cui accommodatum est *ταύτῃ*. Eadem vulgatae scripturae origo est in Euripidis Hercule fur. v. 325. *τἄλλα δ' εἰ πρόθυμος εἶ | πρᾶσσε*, ubi Elmsleius recte *ἦ*.

V. 1190. Legebatur

*ἀνὰ τὰν εὐρώδη Τροίαν.*

Anapaestum, eumque talem qui facillime poterat vitari, in hoc metri genere non est credibile admisisse Sophoclem: quamobrem deleto articulo edidi *ἀν' εὐρώδη Τροΐαν*, quo pacto idem huius versus metrum est quod praecedentis *μόχθων ἄταν ἐπάγων*, et in alterius strophae initio *ἐκεῖνος οὐ στεφάνων*. Aliquanto reconditior antistrophici versus emendatio est, qui in libris ita scriptus,

*ἰὼ πόνοι πρόγονοι πόνων,*

nec strophico versui exaequatus est et mire labores dicuntur *πρόγονοι* laborum. Nam laborem quidem parere laborem dici usitatum est, et quae sunt alia multa huiusmodi: sed *πόνοι πρόγονοι πόνων* videtur esse *ὑπερποιητικὸν* et in memoriam nobis revocat Aeschyli ignem *οὐκ ἔλαττον Ἰδαίου πυρός*. Quo minus dubitavi corruptae scripturae lenissimam adhibere correctionem

*ἰὼ πόνοι πρόπονοι,*

πονων

quibus verbis non intellectis olim, ut opinor, *πόνων* fuit adscriptum, *ἰὼ πόνοι προπονοι*, unde postmodum vulgaris efficta est scriptura. *πόνοι πρόπονοι* autem simillimum est Aeschyleo *κακὰ πρόκακα* in Persis v. 987. quod explanavit Iacobsius in Notis ad Antholog. Palat. vol. III. p. 257. Ne quis autem semel dictum illud miretur, non inutile erit admonuisse simili locutione *ὦ πόνοι δύσπονοι* solum esse et semel usum Sophoclem in Antigona v. 1276.

V. 1416. Delevimus miserum qui addebatur versiculum Αἴαντος, ὅτ' ἦν, τότε φωνῶ, satis olim ab nobis exagitatum.

ELECTRA. V. 21. Libri ὡς ἐνταῦθ' ἐσμὲν | ἵν' οὐκ ἔτ' ὀκνεῖν καιρός, nisi quod inter ἐσμὲν fluctuant et ἐμὲν, quam formam ex Callimacho annotavit Herodianus in libro περὶ μονήρους λέξεως. Ad verum proxime accessit Hotchkisii correctio, ὡς ἐνταῦθ', ἵνα | οὐκ ἐστὶν ὀκνεῖν καιρός, quam perfecit Hermannus in annotatione, οὐκ ἔστ' ἔτ' ὀκνεῖν. Simili errore ἵνα ex fine versus in initium proximi irrepsit in Aristophanis Thesmophor. v. 494. ubi codex Ravennas

τὴν νύχθ', ἕωθεν σκορόδια μασώμεθα,
ἵν' ὀσφραινόμενος ἀνὴρ ἀπὸ τείχους εἰσιὼν —.

Scribendum igitur, μασώμεσθ', ἵνα | ὀσφραινόμενος —.

V. 148. ἃ Ἴτυν αἰὲν Ἴτυν ὀλοφύρεται] Ἴτυν neque hic neque in versu anapaestico Aristophanis Avium 212. τὸν ἐμὸν καὶ σὸν πολύδακρυν Ἴτυν | ἐλελιζομένη, alteram syllabam ictus vi productam habet, sed eandem rationem sequitur qua Euripides στάχυς et γένυς produxit, in Hercule furente v. 5.

Σπαρτῶν στάχυς ἔβλαστεν, ὧν γένους Ἄρης.

in Electra v. 1214.

βοὰν δ' ἔλασκε τάνδε πρὸς γένυν ἐμὰν
τιθεῖσα χεῖρας.

(ubi codices Florentini duo γένυν γ' ἐμὰν non minus inepte quam duobus versibus post in iisdem scriptum παρηΐδων τέ γ' ἐξ ἐμᾶν) et in Meleagri fragmento apud Macrobium V, 18.

γένυν ἔπαλλ' Ἀγκαῖος, οἱ δὲ Θεστίου.

V. 174. Vulgo ἔστι μέγας ἐν οὐρανῷ | Ζεύς. Recepi Heathii emendationem ἔτι μέγας οὐρανῷ. Et ἔτι ab prima manu habet Laur. A. neque praepositione opus est. οὐρανῷ ναίειν dixit Pindarus, et Aeschylus in Niobe, οὑμὸς δὲ πότμος οὐρανῷ κυρῶν ἄνω | ἔραζε πίπτει.

V. 196. ὅτε σοι] Vere, opinor, Hermannus ὅτε οἱ corrigit, alterum huius hiatus exemplum ex Trachin. v. 650. memorans. Cui adde Aeschyli versum Agam. 1147. περεβάλοντό οἱ πτεροφόρον δέμας. Nam περεβάλοντο ex libro Mediceo est scribendum.

V. 851. Libri πανσύρτῳ παμμήνῳ πολλῶν δεινῶν στυγνῶν τ' ἀχέων. Hermannus, πανσύρτῳ παμμήνῳ πολλῶν δεινῶν στυγνῶν τ' αἰῶνι. quem ita sum secutus ut servato ἀχέωι delerem πολλῶν. Nam hoc, aut si mavis δεινῶν, equidem multo minus desidero quam ἀχέων.

V. 882. Legebatur ἀλλ' οὐχ ὕβρει | λέγω τάδ', ἀλλ' ἐκεῖνον ὡς παρόντα νῷν. Codices Harleianus et Monacensis non νῷιν, sed νόει, quod etiam in Laurentiano Γ adscriptum. Et sic in Philocteta v. 415. ὡς μηκέτ' ὄντα κεῖνον ἐν φάει νόει. estque hoc tam aptum, tam usitatum in huiusmodi locis, ut non dubitaverim formam contractam restituere νῷ, unde diversae librorum scripturae originem traxerunt. νῷ autem metri caussa pro νόει dixit,

ut νένωται crasi Dorica pro μνόηται fragm. 191. Similis imperativi forma oblitterata videtur in Persis Aeschyli v. 1054.

καὶ στέρν' ἄρασσε κἀπιβόα τὸ Μύσιον.

ubi dubitatur quomodo anapaestus, quem κἀπιβόα praebet, sit corrigendus. Mihi, si ultimam vocabuli litteram deleveris, ipsam Aeschyli scripturam videberis restituisse ΚΑΠΙΒΟ, hoc est κἀπιβῶ. Atque haec quidem satis certa emendatio videtur versus Aeschylei: de Sophoclis autem loco non me fugit quid in contrariam partem probabiliter disputari possit.

V. 1266. Ad hunc versum alio tempore haec annotavi „εἴ σε θεὸς ἐπόρισεν ἁμέτερα πρὸς μέλαθρα. Libri omnes ἐπῶρσεν. Quod metri indicio restitui ἐπόρισεν, ei non dissimile est quod in Oedipo Coloneo dixit poeta v. 1458. πῶς ἄν, εἴ τις ἔντοπος, | τὸν πάντ' ἄριστον δεῦρο Θησέα πόροι;“ Laur. A a pr. m. ἐπόρσεν. In Hesychii glossa, Ἐπόρησεν: διεπέρασεν. haud scio an ἐπόρισεν potius sit corrigendum quam quod aliis placuit ἐπόρευσεν.

OEDIPUS REX. V. 18. οἵδε τ' ᾐθέων | λεκτοί Erfurdtius. Libri et Suidas οἱ δέ τ' ᾐθέων λεκτοί, quod Suidas ἐπίλεκτοι interpretatur. Vera scriptura haec est, opinor, οἱ δ' ἐπ' ᾐθέων λεκτοί. Similiter ἐπὶ genitivo adiunctum in Antigona v. 789. καί σ' οὔτ' ἀθανάτων φύξιμος οὐδεὶς οὔθ' ἁμερίων ἐπ' ἀνθρώπων.

V. 525. πρὸς τοῦ δ' ἐφάνθη] Memorabile est quod Laurentiani ΓΔ (Γ corrupte τοῦπος) praebent alio verborum ordine τοῦ πρὸς δ' ἐφάνθη, quem miror non esse ex aliis libris consignatum.

V. 926. μάλιστα δ' αὐτὸν εἴπατ', εἰ κάτισθ' ὅπου] Codices boni et antiqui omnes κάτισθ', quod ex libro Laurentiano A iam olim in editionem Iuntinam secundam receptum editores plerique vix dignum iudicarunt quod annotarent, credo quia κάτοισθα, alienum illud ab hoc loco, esse videretur. Est vero, si modo recte habet illa scriptura, κάτοισθε, videturque ad hunc ipsum locum spectare grammatici cuiuspiam excerptum in Anecdotis Bachmanni vol. II. p. 358, 20. Οἶσθε ἐπὶ δευτέρου προσώπου γράφει ὁ Σοφοκλῆς, καὶ πέποσθε παρ' Ὁμήρῳ ἀπὸ τοῦ πεπόνθατε. οὕτως τὸ οἶσθε ἀπὸ τοῦ οἴδατε κατὰ συγκοπήν. quae tamen quum nesciamus ab quo sint grammatico aut qua aetate scripta, fierique possit ut recentis sint commentum magistri, quem codicis sui scriptura κάτοισθ' ὅπου decepisset, non puto hanc formam verbi extra disceptationem esse positam. Neque enim intelligitur quid impediverit poetam quominus totidem syllabis κάτιστε diceret, ut mos ferebat Atticorum, atque ipse κάτισθι dixit in Antigona v. 1064. Librorum autem adeo nulla in hac re auctoritas est ut mirandum potius esset si κάτισθ' incorruptum servassent librarii.

V. 1307—1310. Hos versus nunc paullo aliter quam in priore editione descripsi, restitutis anapaestis brachycatalectis, qui etiam apud Euripidem prava metrorum descriptione aliquoties sunt occultati.

OEDIPUS COLONEUS. V. 16. χῶρος δ' ὅδ' ἱρός] Legebatur ἱερός. Restitui ἱρός, quod librarii ex poetarum Atticorum fabulis tam studiose expulerunt ut raro in libris

scriptis compareat et ab criticis non facile inferri soleat, nisi sicubi metrum exposcere videatur, ut in Troadibus Euripidis v. 1065.

σμύρνης αἰθερίας τε κα-
πνὸν καὶ Πέργαμον ἱράν.

Mihi vero pluribus indiciis constat tragicos non in eiusmodi solum locis, qualis ille Euripidis est, sed etiam in diverbiis Ionica esse forma vocabuli usos ubicunque pedes soluti hac ratione vitari possent, veluti in hoc ipso Sophoclis versu, ubi casu evenit ut ἱρός et in optimis codicibus sit servatum et diserte agnitum ab Suida in h. v. Quare ἱρός locis plurimis restitui, etiam in postremis fabulis Euripidis, quae licet minus elaboratae sint quam antiquiores tragoediae, tamen solutos pedes dedita opera quaesitos habere nec demonstratum est a quoquam et ab ratione abhorret. Quid quod ne comici quidem poetae ab illius usu formae abstinuerunt, quam Aristophani duobus in locis (Equit. v. 301. Vespar. v. 308.) metri adactus necessitate reddidit Hermannus in Elementis doctrinae metricae, quibus nunc accedant Ranarum versus 440. 447. De vocabulis ἱερεὺς ἱερία ἱέραξ, quae non improbabile est ad eandem legem esse revocanda, nunc nihil decerno.

V. 458. προστάτισι ταῖς σεμναῖσι δημούχοις θεαῖς] Laur. A πρὸς ταῖσι ταῖς (σὺν written above), unde alii προσταῖσι ταῖς vel πρὸς ταῖσι ταῖς omisso σὺν, alii πρὸς omisso, σὺν ταῖσι ταῖς. Quid dici hic debuerit primus sagaciter perspexit Hermannus, qui σὺν προστάταις σεμναῖσι edidit, masculino defendendo Lobeckii annotationem ad Aiacem p. 273. adhibens. A quo etsi multa de generum permutatione docte esse disputata video, non tamen hoc effecit ut quemquam veterum προστάτην σεμνὴν dixisse credam. Cuius generis quae perpauca Lobeckius attulit exempla, tam infirma sunt ut una littera η in ι mutata corrigi et possint et debeant: nam librarii formis in ις exeuntibus sollemni errore masculam terminationem sufficiunt. Et Dionis quidem locum, quo utitur Lobeckius, nunc ex Mediceo libro emendatum habemus, Hieroclem autem apud Stobaeum vol. III. p. 13. ed. Gaisford. satius erat plane omitti: recte enim iam Trincavellus οἵα παραστάτις ediderat, consentiente optimo Gaisfordi codice. In Sophoclis igitur versu σὺν προστάτισι σεμναῖσι scribere praestaret, nisi codicis Laurentiani lectio istud σὺν omni esse fide destitutum argueret.

V. 475. νεαρᾶς] νεωροῦς Musgravius. νεώρου Hermannus. νεαρὸς rursus temere illatum ab librariis infra v. 702. cuius loci non magis certa dum inventa medela est.

V. 515. Legebatur μὴ πρὸς ξενίας ἀνοίξῃς | τᾶς σᾶς, πέπονθ' ἔργ' ἀναιδῆ, repugnante metro. Scholiasta, qui haec annotavit, μὴ πρὸς τῆς σῆς ξενίας ἀναπτύξῃς μου τὰ ἀναιδῆ ἔργα, non πέπονθα legit, sed eiusmodi vocabulum quod cum sententia horum verborum non esset coniunctum. Quo indicio non dubitavi epicum πέπον restituere, quo chorum ab Oedipo esse compellatum vel illud τᾶς σᾶς admonere potuerat. Non longe ab eo abfuit Martinus, quum πέπον' ἔργ' ἀναιδῆ coniiceret.

V. 521. Libri ἤνεγκον ἄκων μὲν, θεὸς ἴστω, | τούτων δ' αὐθαίρετον οὐδέν. Vere, ut arbitror, Bothius ἑκών correxit, cui minime repugnat quod Oedipus v. 964. dicit ξυμφορὰς ἤνεγκον ἄκων, et similiter v. 987. Nam quum addat, τούτων δ' αὐθαίρετον οὐδέν, quid aliud dicit quam quod tribus verbis enunciavit Euripides in Iphigenia Taur. v. 512. οὐχ ἑκὼν ἑκών?

V. 551. Codices cuncti et editio Aldina Θησεὺς κατ' ὀμφὴν σὴν ἀπεστάλη πάρα, quod Turnebus in ἀποσταλεὶς imprudenter mutavit. Mihi non tantum orationis structura emendanda, sed etiam istud ἀπό, quod verbo inest, removendum videtur, siquidem Theseum σταλῆναι potius quam ἀποσταλῆναι dici consentaneum est: quod Hermannum sensisse suspicor, quum κατ' ὀμφὴν σὴν ὃς ἐστάλη corrigeret. Cui praestare iudicavi ἐφ' ἁστάλη πάρα, quod ἐπ' ἁ ἐστάλη exaratum facile in ἀπεστάλη abire potuit. Ita Euripides in Bacch. v. 454. ἐφ' ὅπερ ἐς Θήβας πάρει.

V. 786. ἄνατος] Libri plerique omnes ἄναιτος, quod diserte agnoscunt scholiasta et Suidas. Quam scripturam etsi ego quoque valde suspectam habeo, Hesychii tamen glossam expendi velim, αἰτῶμαι: αἰτιῶμαι. Nam si verum est fuisse qui αἰτῶμαι dixerit, non mirer si ἄναιτος pro ἀναίτιος dicere placuerit Sophocli, cuius unius ex fabulis tot nove dicta et inusitata consignarunt grammatici quot ex nullo alio poeta Attico.

V. 1084. ἐωρήσασα Wunderus. Libri θεωρήσασα.

V. 1466. ὀρανία γὰρ ἀστραπή] Scribebatur οὐρανία, quod quum nullo modo videatur mutari posse, ego scripturam antiquam qua Sophocles utebatur *ΟΡΑΝΙΑ* servare quam librarios sequi malui. Nam quum Alcaeus et Sappho, quibus ὠρανός usitatum est, aliquot in locis ὀρανός correpta vocali dixerint teste Herodiano in libro περὶ μονήρους λέξεως p. 7, 27., dubitari potest an idem sibi licere interdum tragici putaverint, intelligeturque fortasse olim in eiusmodi locis qualis est Euripidis in Hercule fur. v. 757. veteres ὀρανίων potius quam οὐρανίων pronunciasse. Eandem formam Aeschylo in Suppl. v. 808. reddendam videri supra dicebam, sed consulto ab ea abstinui in Sophoclis Electrae v. 174. ubi si quis ἐν servari velet, quod ego eieci, ὀρανῷ scribet. Exemplorum autem paucitas quam sit infirmum ad reiicienda illa argumentum, Homericorum carminum exemplum docere potest, in quibus quum frequentissimus sit verbi βούλεσθαι usus, duobus tamen in locis (Iliad. λ, 319. Odyss. π, 386.) βόλεσθαι dictum est, quod etiam in Odyss. α, 234. olim, ut videtur, lectum interpolarunt librarii. Neque πός pro πούς dictum pluribus exemplis confirmatum habemus quam uno quod ex versu choriambico attulit Choeroboscus apud Bekkerum p. 1361. ὡς πὸς ἔχει κειμένοισιν, nec frequentiora sunt τετράπον et τρίπον, quae in aenigmate Sphingis leguntur.

V. 1690. Ἀΐδας ἕλοι πατρὶ ξυνθανεῖν γεραιῷ] In hoc versu nihil videtur esse ab Sophocle scriptum praeter verba Ἀΐδας ἕλοι πατρὶ, cui versui qui respondit versus 1716. quum excidisset, temere ab librario aliquo illatus est versus acatalectus αὖθις ὧδ' ἔρημος ἄπορος, ex loco inferiore v. 1735. illuc translatus. Catalectico autem versu usum esse poetam eo probabilius est, quod eadem metra paullo post consociavit, versibus 1694. 1695. = 1721. 1722.

quibus ipsis quoque non pepercerunt librarii. Nam v. 1694. in libris omnibus scriptum est τὸ φέρον ἐκ θεοῦ καλῶς φέρειν χρὴ μηδ' ἄγαν οὕτω φλέγεσθον, ubi φέρειν χρὴ et οὕτω iam ab aliis sunt eiecta, ego autem μηδὲν ἄγαν restitui. Ita Aeschylus in Supplicibus v. 1062. τὰ θεῶν μηδὲν ἀγάζειν.

V. 1748. *ANT.* αἰαῖ, ποῖ μόλωμεν, ὦ Ζεῦ;] Haec in libris ita sunt interpolata, αν. ναὶ ναί. χο. ξύμφημι καὐτός. αν. φεῦ φεῦ, ποῖ μόλωμεν ὦ Ζεῦ. De quibus olim pluribus dixi in praefatione ad editionem minorem p. LXII.

V. 1749. ἐς τίν' ἔτι με Hermannus.

ANTIGONA. V. 100—161. Memorabilis est huius parodi compositio, in qua chori canticis tria interposita sunt systemata anapaestica coryphaei. Eorum primo v. 110—116. respondere creditur secundum v. 127—133. ut aut v. 112. duo anapaesti exciderint aut quinque syllabae ex versu 113., servato ὥς, quod libri post γᾶν addunt. Hanc non improbabilem rationem ego quoque sum secutus, quamvis minime certam. Nam nihil impedit quominus tria disparia systemata interiiciantur, quod ipsum infra factum videmus v. 801—805. 817—822. 834—837. Hoc igitur ut aliquid dubitationis habet, ita illud nullo pacto fieri potest ut tertio systemati versuum 141—147. accommodentur versus 155—161. ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς χώρας et quae sequuntur: plane inauditum enim in tragoedia Graeca est versus, seu anapaesticos seu iambicos, quibus coryphaeus novam personam accedere indicat, antistrophicae responsionis legibus adstringi. Quae si vere dixi, quarti systematis initium paullo aliter quam vulgo fit corrigere licebit, quod in libris ita est versibus dispertitum

ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς χώρας
Κρέων ὁ Μενοικέως νεοχμὸς
νεαραῖσι θεῶν ἐπὶ συντυχίαις
χωρεῖ —.

quae eadem omnia, ut alia vitia non pauca, in codice suo legit scholiasta. Est tamen satis apertum correctoris manum in his verbis esse versatam dimetros utcunque restituentis, cui haec fuit, ut opinor, caussa erroris, quod nominibus Κρέων et Μενοικέως synizesin esse adhibendam non intellexisset. Iam quum haec verba ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς χώρας Κρέων ὁ Μενοικέως tot habeant in tragicorum fabulis similiter dicta ut nec verbum addi probabili ratione possit nec demi, vitii suspicio in proxima potius cadit, ubi primum se offert vox νεαραῖσι, quam supra in annotatione ad Oedip. Col. v. 475. bis temere illatam vidimus. Eam igitur hic quoque ab correctore positam esse, Sophoclem autem haec tantum scripsisse puto, νεοχμοῖσι θεῶν ἐπὶ συντυχίαις, omisso νεοχμός. Accedit quod usui dicendi convenientius est νεοχμὸν συντυχίαν dici quam νεοχμὸν βασιλέα.

V. 262. εἷς γάρ τις ἦν ἕκαστος οὑξειργασμένος,
κοὐδεὶς ἐναργής, ἀλλ' ἔφευγε πᾶς τὸ μή.

Legebatur ἀλλ' ἔφευγε τὸ μὴ εἰδέναι. In quibus metri vitium non posse aoristo ἔφυγε sub-

stituendo tolli dudum ab aliis est animadversum. Mihi ipsa sententiarum consecutio inveniendi veri viam videtur monstrare: nam postremis verbis idem contineri debet quod ante dixerat ἣν ἕκαστος οὑξειργασμένος. Quo fit ut εἰδέναι interpreti deberi existimem eique ne satis accurate quidem interpretato: neque enim hoc, sed potius ἐξειργασμένος εἶναι cogitatione repeti oportet. Eo igitur eiecto restitui πᾶς, omissum, ut videtur, ex quo εἰδέναι in versum est illatum. τὸ μή autem in fine sententiae similiter posuit poeta infra v. 443.

καὶ φημὶ δρᾶσαι κοὐκ ἀπαρνοῦμαι τὸ μή.

et in Aiace v. 96.

κόμπος πάρεστι κοὐκ ἀπαρνοῦμαι τὸ μή.

V. 324. κόμψευε νῦν τὴν δόξαν] Scholiastae ad hunc locum annotationem, σεμνολόγει, τὴν δόκησιν περιλάλει, cum poetae verbis permiscuit Moschopulus περὶ σχεδῶν p. 20. Δόκησις, ὡς παρὰ Σοφοκλεῖ „Κόμψευε τὴν δόκησιν" et ibidem p. 62. Κομψεύειν τὸ περιλαλεῖν, ὡς παρὰ Σοφοκλεῖ „Κόμψευε τὴν δόκησιν." Quod errorum genus in Moschopuli, Lecapeni, Favorini aliorumque eiusdem aetatis grammaticorum libris non infrequens passim decepit viros doctos et quodammodo me ipsum, quum dignam consideratu olim iudicarem Moschopuli scripturam in Aristophanis Equit. v. 526. ὃς ἐπὶ πολλῷ ῥεύσας ποτ' ἐπαίνῳ, quae etsi ille p. 31. propter hunc ipsum usum praepositionis ἐπί attulit, quam recte omittunt codices Aristophanis, tamen nihil aliud eo probat quam in exemplari suo ἐπὶ glossema fuisse adscriptum, quod nulla metri ratione habita est amplexus. Plura et insignia huius seu negligentiae seu ineptae consuetudinis exempla ab L. Dindorfio in praefatione ad Xenophontis Anabasin sunt collecta p. xi. et in Appendice p. 30. 31. Scholiastam Theocriti in simili errore deprehensum notavi ad Aristophanis fragm. p. 20.

V. 357. πάγων αἴθρια καὶ] Huic versui respondet v. 368. νόμους παρείρων χθονός, ut alterutrum corruptum esse pateat. Mihi totius carminis metra consideranti non dubium videtur quin strophico versui mederi oporteat, idemque sensit Boeckhius, qui πάγων ὑπαίθρεια καὶ corrigit, ut πάγων ὑπαιθρίων Aeschylus dixit in Agam. v. 355. Formam ὑπαίθρειος quamvis non vidi exemplis stabilitam, nihil dubitationis habere puto, quum multa huiusmodi minore exemplo dixerint poetae, et Sophocles ipse non modo Ἐφέσειος pro Ἐφέσιος sibi indulserit, sed eo usque processerit ut εὐτυχίαν propter metri necessitatem in εὐτύχειαν contra communem Graecorum usum alicubi converterit. Neque ego infra v. 814. vulgato ἐπινυμφίδιος, quod metro adversatur, ἐπινύμφειος substituere dubitavi.

V. 364. νόσων δ' ἀμηχάνων | φυγὰς ξυμπέφρασται] φυγὰς in libris ad versum praecedentem non recte trahitur. Finitur carmen versu bacchiaco, quod metri genus etiam alibi versuum descriptione oblitteratum animadvertimus in recentioribus tragicorum editionibus: nam editiones veteres et libri scripti versus bacchiacos plerumque intemeratos servarunt, veluti in pluribus Euripidis Supplicum locis, laudandusque mihi hoc nomine etiam Aristophanis codex

Ravennas est, qui in Vespis v. 317., loco multis multorum opinionibus vexato, solus metrum bacchiacum custodiverit, quo apte illic usus est poeta,

φίλοι, τήκομαι μὲν
πάλαι διὰ τῆς ὀπῆς
ὑμῶν ὑπακούων.

quemadmodum carmen glyconeum exorsus est Euripides in Supplicibus v. 990.

τί φέγγος, τίν' αἴγλαν
ἐδίφρευε τόθ' ἅλιος
σελάνα τε κατ' αἰθέρα.

In Sophoclis autem versu, cuius caussa haec dicebam, vulgata versuum divisio propterea ferri nequit, quod dipodia trochaica neque usitatum neque aptum finiendo carmini metrum praebet. Praebent vero bacchii, quibus similiter plus semel usus est Euripides.

V. 595. φθιμένων] Ita libri manifesto vitio. Hermannus φθιτῶν. Eodem errore φθιμένων in Euripidis Alcest. v. 100. libri optimi quinque pro φθιτῶν praebent.

V. 836. Haec in libris ita sunt scripta

καίτοι φθιμένᾳ (alii — ῳ) μέγ' ἀκοῦσαι
τοῖς ἰσοθέοις ἔγκληρα λαχεῖν
ζῶσαν καὶ ἔπειτα θανοῦσαν,

nisi quod Aldus postremum versum omisit. Optime haec correxit Hermannus. Quod commemoravi, ut hoc quoque exemplo intelligeretur quid sibi licere in hac fabula putaverint grammatici.

V. 851. Hunc quoque versum turpiter interpolatum libri exhibent οὔτ' ἐν βροτοῖσιν (βροτοῖς me nolente ex Triclinio editum) οὔτ' ἐν νεκροῖσιν, partim ex proximo versu, μέτοικος οὐ ζῶσιν, οὐ θανοῦσιν, conflictum, ut opinor. Aliud quid Sophocles scripserat, de quo coniecturas proferre inutile iudico, idemque de versu 941. dictum volo, τὴν βασιλίδα μούνην λοιπήν. Faciliori opera Triclinii opiniones de versibus 887. 888. profligamus, qui in libris antiquis ita scripti sunt, εἴτε χρὴ θανεῖν | εἴτ' ἐν τοιαύτῃ ζῶσα τυμβεύειν στέγῃ, de quibus ille multa et inania disputat, quorum summa haec est, nec ζῶσα τυμβεύειν nec, quod alios praebere, ζῶσαν τυμβεύειν ferri posse, sed ζῶσα τυμβεύσει esse scribendum: οὕτω γὰρ, inquit, ἁρμόζει τῷ μέτρῳ. Aliquanto utilior veteris scholiastae ad verba εἴτε χρὴ annotatio est, εἰ χρῄζει καὶ θέλει, cuius indicio veram scripturam restitui, εἴτε χρῇ θανεῖν. Hunc usum verbi annotavit etiam Hesychius, Χρῇς: θέλεις, χρῄζεις.

970. Libri alii ἀγχίπολις, alii ἀγχίπτολις, quod recepi: nam in antistropho potius corrigendum videtur δὲ σπέρμ' ἀρχαιογόνων. Respondent sibi diversae glyconei versus formae ut in Oedipo Col. v. 511 = 522. ubi nihil mutandum videtur.

PHILOCTETES. V. 11. βοῶν, ἰύζων] Vulgo βοῶν, στενάζων. Illud ex Laurentiani Γ scriptura βοῶν ἠΰζον elicui, comparato Trachiniarum v. 787.

V. 290. τάλας] Nullius momenti est quod apud scholiastam ad v. 702. ποσὶν scriptum, nihil illud verius quam quod idem versu proximo cum libris omnibus exhibet δύστηνος. Recte Canterus δύστηνον. Simillimum scribarum errorem in Trachiniis correxi v. 651. ubi τάλαιναν non sine metri detrimento in τάλαινα corruptum legebatur.

V. 680. Legebatur Ἰξίονα κατ᾽ ἄμπυκα (codex Harleianus κάμπυκα) δὴ δρομάδα δέσμιον ὡς —. Quae quum non responderent versui antistrophico, aliis aliter vitio mederi placuit. Ego eiecto δέσμιον correxi Ἰξίον᾽ ἀν᾽ ἄμπυκα δὴ δρομάδ᾽ ὡς —. Namque ex antistropho aliquot syllabas excidisse mihi non videtur vero simile.

V. 861. ἀλλ᾽ ὥς τίς τ᾽ Ἀΐδᾳ παρακείμενος] Aberat τε. Restitui formulam epicam ἀλλ᾽ ὥς τίς τε. Sic post Homerum Apollonius Rhodius, ἀλλ᾽ ὥς τίς τ᾽ ἐν ὄρεσσι πελώριος ὑψόθι πεύκη.

V. 1381. Libri meliores, ἃ σοί τε κἀμοὶ καλῶς ὁρῶ τελούμενα, deteriores κάλ᾽ ὁρῶ. Restitui λῷσθ᾽ ὁρῶ, quod in καλῶς abiit eodem fere errore quo κίστην in καχίστην in libro Ravennate Aristophanis Vesp. v. 529.

V. 1407. Haec in codicibus ita scripta prostant

νε. πῶς λέγεις;
φι. εἴρξω πελάζειν σῆς πάτρας.
νε. ἀλλ᾽ εἰ δρᾷς ταῦθ᾽ ὥσπερ αὐδᾷς,
στεῖχε προσκύσας χθόνα.

ex quibus alii duos fecerunt tetrametros, nos unum, sublatis quae non scripserat poeta. Simili pondere verborum αὐδᾷς δὲ ποῖον Electrae versum 857. liberavit Brunckius.

---

# EURIPIDES.

RHESUS. V. 23. ὁπλίζου χέρα, συμμάχων —] Vulgo, ὁπλίζου χέρα σύμμαχον. Correxit Hermannus in Opusc. vol. III. p. 301.

V. 224 — 263. Hoc carmen et versibus non recte descriptis deformatum ferebatur et scriptura multis modis partim ab librariis corrupta partim ab correctoribus metricis interpolata. Quae omnia pristinae integritati ita licuit restituere ut nihil dubitationis relictum videatur, nisi quis verba ὦ (ἆ typotheta Aldinus: codices omnes ὦ) δία κεφαλά in vitii suspicionem adducere velit, quae multis tragici lectoribus offensioni fuisse credo. Qua enim poetae epici usi sunt prosodia δῖα, eandem tragicos esse secutos communis opinio est, nescio quo auctore tradita. Nam Herodianus ubi de mensura huius vocabuli agit ita loquitur ut solum epicorum usum spectasse, de Atticis non quaesivisse videatur, nisi Arcadii epitome fallat p. 194, 28. σεσημείωται τὸ μία καὶ τὸ δῖα γυναικῶν, et qui Draconis nomen mentitus Herodiani scripta compilavit p. 79, 17. τὰ εἰς ος λήγοντα ὁπότε ἔχει θηλυκὸν εἰς α λῆγον, πάν-

τως ἔχει ἐκτεταμένον τὸ α —. σημειωτέον ἄρα κατὰ χρόνον τὸ δῖα γυναικῶν: poetarum autem Atticorum exempla pleraque ad cognoscendam alterius syllabae mensuram nihil conferunt, ut Aeschyli in Supplic. v. 5. Νεῖλον. δίαν δὲ λιποῦσαι, praeter duos locos, qui tantum abest ut vulgarem confirment opinionem, ut planissime evertant. Eorum alter hic Rhesi versus est, quem ne quis propter usitatam istam in familiari sermone compellationem κεφαλή suspectet, poeta satis cavit eo quod infra dixit v. 902. ὦ φιλία φιλία κεφαλά, exempla secutus Homerica. Alter locus in Iphigenia Taurica est v. 403. ita in libris scriptus

ἔβασαν ἔβασαν ἄμικτον αἶαν, ἔνθα κούρα
διατέγγει
βωμοὺς καὶ περικίονας
ναῶν αἷμα βρότειον.

quibus versibus ἀντίστροφοι respondent

πλάνητες ἐπ' οἶδμα πόλεις τε βαρβάρους περῶντες
κεινᾷ δόξᾳ.
γνώμα δ' οἷς κ. τ. ἑ.

Ibi ab Elmsleio demum est perspectum vitii sedem non in antistropho, cuius et scriptura et metrum omnes habet veritatis numeros, sed in stropha esse quaerendam, ubi et κούρα sine epitheto ieiune dictum displicere dudum debebat et perniciosa metro vox διατέγγει eo magis poterat emendari, quod nullum usquam huius verbi exemplum repertum est, nisi quis Aeschyli librorum scripturam in Persis v. 538. resuscitare velit, διὰ μυδαλέοις | δάκρυσι κόλπους | τέγγουσ', ἄλγους μετέχουσαι, recte, ut videtur, ab Porsono in διαμυδαλέοις mutatam. Nec tamen perfecit emendationem Elmsleius, quum corrigeret ἔνθα κούρᾳ δίᾳ τέγγει βωμούς, quod recte reiecit Matthiae. Est vero ne una quidem littera addita scribendum, ἔνθα κούρα | δία τέγγει | βωμοὺς — | — αἷμα βρότειον, oratione eodem modo conformata, quo Iphigenia v. 225. dicitur αἱμορράντων δυσφόρμιγγα | ξείνων αἱμοῦσ' ἄταν βωμούς, ubi similia quaedam attulit Seidlerus. Sed redeo ad Rhesi carmen, ubi proxima ita erant versibus divisa, μόλε το- | ξήρης, ἴκου δ' ἐννύχιος | ἁγεμὼν σωτήριος | ἀνέρι πομπᾶς | καὶ γενοῦ καὶ ξύλλαβε Δαρδανίδαις. in quibus primum delenda fuit δὲ particula, in codice Vaticano 909. Havniensi et Florentinis duobus omissa, quam qui addidit metro consulturus grammaticus pariter antistrophicum versum interpolavit 235. θυμέλας | οἴκων πάτρας Ἰλιάδος. ubi πατρὸς Ἰλιάδας restitui, quam scripturam ex uno tantum libro Florentino consignavit Matthiae, ego ex Vaticano enotatam habeo. Deinde verba καὶ γενοῦ librarii errore in locum alienum sunt deiecta, quibus in suam sedem restitutis omnia optime procedunt,

Ἄπολλον, ὦ δία κεφαλά, μόλε τοξήρης, ἱκοῦ ἐννύχιος
καὶ γενοῦ σωτήριος ἀνέρι πομπᾶς
ἁγεμὼν καὶ ξύλλαβε Δαρδανίδαις.

Affertque haec emendatio etiam illud commodi ut postrema primi versus syllaba producta accu-

rate respondeat antistropho. ἑκοῦ ἐννύχιος autem non opus habet addito ἀγεμών, sed dictum est ut ἔννυχος μολὼν versu 501.

V. 245. σπανίᾳ] Vulgo σπάνις. Emendatum ex codicibus. Hanc formam vocabuli annotavit Photius p. 529, 12. Σπανίαν: σπάνιν, et similiter Hesychius.

V. 247. δυσάλιος] Recte δυσάλιον duo codices Matthiae, quibus nunc accedit Vaticanus.

V. 249. καὶ σαλεύῃ πόλις, ἔστι Φρυγῶν τις
ἔστιν ἄλκιμος· ἔνι δὲ θράσος
ἐν αἰχμᾷ· ποτὶ Μυσῶν ὃς ἐμὰν συμμαχίαν ἀτίζει.

Ita enim vulgatum ἐν αἰχμαῖς ποτὶ corrigendum fuit ex codicibus, in quibus ἐν αἰχμᾷ ποτὶ sine distinctione exaratum, unde mirabilis orta quorundam interpretatio, quam memorat scholiasta, postquam ipse veram proposuit hancce, ὁ τὴν συμμαχίαν ἀτίζων, ὅ ἐστιν εὐτελίζων, πρὸς Μυσῶν ἐστίν. Versus autem in libris hoc modo sunt descripti, καὶ σαλεύῃ πόλις | ἔστι Φρυγῶν τις ἔστιν ἄλκιμος | ἔνι δὲ θράσος (Aldina θάρσος) ἐν αἰχμαῖς ποτὶ Μυσῶν | et congruenter huic rationi in antistropho.

V. 256. Ultima huius versus vox in editione Aldina typothetae, opinor, culpa omissa fuit. Codices vel ἐπὶ γαίας vel ἐπὶ γαίᾳ vel ἐπὶ γαῖαν. Ergo aut ἐπὶ γᾶς aut ἐπὶ γᾷ aut ἐπὶ γᾶν scribendum. Quod in Havniensi est ἐπὶ γαῖαν ἔχων, librarium verba ἔχων ἐπὶ γαῖαν calami lapsu transposuisse indicat. Nam in Vaticano, quocum communem originem habet Havniensis, scriptum ἔχων ἐπὶ γαῖαν θηρὸς ἕλοι —. Ceterum pari errore etiam proximus versus in pluribus codicibus acatalectus factus est, Μενέλαν in Μενέλαον mutato.

V. 457. ἐθέλοι τὸν ἀμφὶ σοῖσι Hermanni emendatio est, qui antistrophicam huius carminis rationem primus aperuit. Libri ἐθέλοι ἀμφὶ σοῖς.

V. 459. πρὶν] πρίν ποτ' Hermannus.

V. 461. πῶς γάρ μοι Ἀχιλλεὺς | τὸ σὸν ἔγχος ἂν δύναιτο | Hermannus, et v. 464. εἰ γὰρ ἐγὼ τόδε γ' ἦμαρ εἰσίδοιμ'. εἰσίδοιμ' praebet Aldina.

V. 532. ἔγρεσθε πρὸς φυλακάν] Difficile dictu est utrum hic an antistrophicus versus ποίμνια· νυκτιβρόμιον corruptelam subierit. Hoc Hermanno probabile videtur, ποιμνῆα corrigenti, illud aliis, qui tamen falluntur quum πρὸς φυλακὰν attentant, quae verba sanissima sunt.

V. 676. Vulgo θεῖνε θεῖνε. Ex optimis codicibus, in quibus Vaticanus est, edidi θένε θένε. Huius imperativi exemplum est apud Aristophanem in Avibus v. 54. τῷ σκέλει θένε τὴν πέτραν.

V. 687. οὐ μενῶ] οὐ μὲν οὖν Lachmannus in libro de choricis systematis p. 25.

V. 762. Vulgo, ἐπεὶ γὰρ ἡμᾶς εὔνασ' Ἑκτορεία χείρ. Non debebat libri Havniensis scriptura Ἑκτορέα χεὶρ εὔνασε textui inferri, quam valde suspectam reddit libri Vaticani lectio Ἑκτορεία χεὶρ εὔνασε. Recte habet Ἑκτόρεια correpta syllaba postrema. Eiusmodi est

*Πολυδεύκεια χείρ* ab Etymol. M. p. 461, 45. memoratum. *Διομήδεια* apud Aristophanem Ecclesiaz. v. 1029.

V. 822. Hermannus, *τότ' ἄρ' ἔμολεν, ὅτε σοι | ἄγγελος ἦλθον ἀμφὶ | ναυσὶ πυραῖθον Ἄργος, | ἐπεὶ ἄγρυπνον ὄμμ' ἐν εὐφρόνῃ | οὔτ' ἐκοίμασ' οὔτ' ἔβριξεν, οὐ τὰς | Σιμοεντιάδας πηγάς. | μή μοι κότον, ὦναξ, | τόδε θῇς· ἀναίτιος γὰρ | πάντων * * |.*

V. 900. *ἀπὸ μὲν φαμένας ἐμοῦ πορευθεὶς, | ἀπὸ δ' ἀντομένου πατρὸς βιαίως*] Legebatur *ἀποπεμψαμένας*, libris inter hoc et *ἀποπεμφομένας* et *ἀπομεμψαμένας* variantibus. Quorum omnium communis origo est ex scriptura veteri explicandorum *ἀπὸ μὲμ φαμένας*, cuius plura in codicibus qui ad nostram pervenerunt aetatem vestigia supersunt. Sic Ravennas Aristophanis liber in Avibus v. 1694. *ἐμ Φαναῖσι*. in Vespis v. 399. *ἤμ πως*. in Ecclesiaz. v. 1035. *ἤμ περ*. in Thesmophor. v. 1034. *ξὺμ παιῶνι*. *ἀπὸ μὲν* autem ut restituatur eo magis est necessarium quod *ἀπὸ δὲ* sequitur: cuiusmodi in locis *μὲν* particulam vix unquam omittunt scriptores Graeci.

V. 912. *ὑπό τ' Ἰλίῳ ὤλεσε μὲν τὰ Τροίας | φίλτατα* Hermannus.

HIPPOLYTI v. 1197. *τὴν εὐθὺς Ἄργους κἀπιδαυρίας ὁδόν*] Unicum hoc est, de quo quidem dicere operae pretium sit, in veterum Atticorum scriptis exemplum particulae *εὐθὺς* pro *εὐθὺ* positae, agnitum ab Photio p. 32, 12. *Εὐθύ* (recte *εὐθὺς* Meinekius Quaest. scen. II. p. 33.) *Λυκείου: τὸ εἰς Λύκειον· ὅθεν Ἐρατοσθένης καὶ διὰ τοῦτο ὑποπτεύει τοὺς Μεταλλεῖς. καὶ Εὐριπίδης οὐκ ὀρθῶς „Τὴν εὐθὺς Ἄργους καὶ Ἐπιδαυρίας ὁδόν."* At si verum est Euripidem scripsisse *εὐθὺς*, Eratosthenem, quem vix hoc fugere poterat, fatendum est levissimo contra *Μεταλλεῖς* fabulam, ab multis Pherecrati tributam, usum esse argumento. Nam si Euripidi propter metri aliquam necessitatem, si modo ulla fuit, *εὐθὺς* dicere licuit contra Atticorum consuetudinem, quidni idem aequali licuerit poetae Pherecrati? Hinc mihi nata suspicio est, *εὐθὺς* post Eratosthenis demum tempora in Euripidis exemplaria esse illatum, poetam autem *τὴν εὐθὺ Ἄργους* scripsisse. Cuiusmodi hiatum omni liberum esse offensione et ratio docet et exempla simillima confirmant. Ita *ἡδὺ* apud Antiphanem Athenaei VI. p. 258 e.

*οὐχ ἡδύ; ἐμοὶ μὲν μετὰ τὸ πλουτεῖν δεύτερον.*

ubi Musurus, ut exspectari poterat, *ἡδύ γ'* edidit, quemadmodum idem, quum in Ephippi versu VIII. p. 359 b. *ἢ δύ'* in *ἡδὺ* coaluisse non animadvertisset, *ἡδύ γ'* interpolavit. Et diu ante Antiphanem Archilochus apud Stobaeum CX, 10. vol. III. p. 404.

*— (ἢν) σφὶν θαλάσσης ἠχέεντα κύματα*
*φίλτερ' ἠπείρου γένηται, τοῖσι δ' ἡδὺ ᾖ ὄρος.*

*ὀξὺ* Empedocles v. 158. ed. Sturz.

*ὀξὺ δ' ἐπ' ὀξὺ ἔβη, θερμὸν δ' ἐποχεύετο θερμῷ.*

ALCESTIDIS v. 103. Hunc locum editio Aldina ita exhibet in miseros redactum anapaestos

χαίτα τ' οὔτις ἐπὶ πρόθυρα τομαῖ-
ος, ἃ δὴ νεκύων πένθεσι πιτνεῖ
οὐ δουπεῖ νεολαῖα γυναικῶν.

in quibus non difficulter correctoris manum agnoscas, qui quae in primis verbis depravavit nunc ex libris emendata habemus: sed dubitatur de postremis, in quibus hoc quidem apertum est πένθει ex Vaticano, Havniensi et aliis esse restituendum. Deinde libri scripti geminum praebent ordinem verborum πένθει πίτνει οὐδὲ νεολαία | δουπεῖ χεὶρ γυναικῶν. Quae quum non satis congruant verbis in stropha positis, εἰ γὰρ μεταχύμιος ἄτας, | ὦ Παιὰν, φανείης, aptissima huic loco particula οὐδὲ posthabita est Aldinae correctioni οὐ: quod mea sententia non debuit fieri. Nam νεολαία potius correctionis indiget, cuius vocabuli aliam praeter usitatam exstitisse formam ex Photii verbis demonstrari potest p. 295, 8. Νεολαίαν: τὴν νεότητα τετρασυλλάβως οἱ Ἀττικοί. Βαβυλωνίοις „Ὦ Ζεῦ, τὸ χρῆμα τῆς νεολαίας ὡς καλόν." Qui nisi dinumerare syllabas lectoribus voluit, ad diversam necesse est formam spectaverit, quae non esset quadrisyllaba. Ea autem fuit, opinor, quam Euripidi restitui νολαία, quae eadem est analogia formata atque νοσσὸς pro νεοσσὸς, quo etiam veteres Atticos interdum usos esse constat. Nam Νοσσόν: χωρὶς τοῦ ε. Αἰσχύλος Κήρυξιν, inquit Antiatticista p. 109, 22. et νοττία Aristophani in Avibus v. 550. (547. Br.) dudum restitui

τά τε νοττία κἀμαυτὸν οἰκήσω.

cui versui idem fere quod Euripideo acciderat, ut, servata librorum scriptura νεοττία, deleretur τε, quod eam et ab sententia verborum et ab auctoritate codicum commendationem habet ut reiici nisi temere nequeat. Etiam τὸν νεοττὸν in Menandri versu Meinekius p. 19. in τὸν νοττὸν poterat mutare. Nam synecphonesis vocalium, quam fortasse erunt qui adhiberi vulgatae scripturae velint, ab comicorum usu abhorret, nec quidquam proficias, si verissimae huic observationi Elmsleii (ad Medeam p. 253.) aut manifesta quaedam peccata librariorum opponas aut coniecturas criticorum. Qui soli aliqua cum veri specie afferri possint loci Aristophanis in Vespis v. 1067. 1069., ubi νεανικὴν et νεανιῶν trisyllaba sunt, in his contractae formae sunt restituendae νανικὴν et νανιῶν, quae quamvis ab grammaticis, quod sciam, non diserte annotatae, non spernendam auctoritatem ab νῆνις et νῆ videntur habere, quas ex Herodiani scriptis cognovimus. Pacis autem versui 906. quod ex libris antiquis restitutum est

θέασ' ὡς προθύμως ὁ πρύτανις παρεδέξατο,

in recentibus codicibus in ἴδ' ὡς mutatum, indicio est Atticos etiam Dorica forma θᾶσαι interdum esse usos, restituenda illa Thesmophoriazusarum quoque versui 280. Sciens praetereo alia nonnulla synizeseos exempla, quae ipsa quoque ignoratis exquisitioribus quibusdam vocabulorum formis debemus. Cuiusmodi sunt formae monosyllabae ὦ et ἆ pro ἰῶ et ἔα.

HERACLIDARUM v. 21. Legebatur πόλιν προτιμῶν Ἄργος οὐ σμικρὰν φίλων | ἔχθραν γε θέσθαι (Aldina γενέσθαι). Quibus quattuor quae insunt vitia, eorum unum Canterus, unum Musgravius sustulerunt reposito προτείνων et γε in τε mutato, duo aliis relique-

runt corrigenda. Nam quod Musgravio placuit *φιλεῖν ἔχθραν τε θέσθαι*, de puella aptius quam de civitate dicas. Scribendum erat *εὖ σμικρὰν φίλην | ἐχθράν τε θέσθαι*. Non exiguum quid interesse ait amicos an hostes habeas Argivos: quam sententiam similiter expressit Thucydides I, 36. *χωρίον προσλαβεῖν ὃ μετὰ μεγίστων καιρῶν οἰκειοῦταί τε καὶ πολεμοῦται.*

V. 777. *ἐπεί σοι πολύθυτος ἀεὶ | τιμὰ κραίνεται*] Libri alii *ἀλλ' ἐπί σοι*, alii *ἀλλ' ἐπεί σοι*, unde Hermannus *ἐπεί σοι*, deleto *ἀλλά*: quae certissima emendatio est. Sed quod idem *πολύθυτος*, quo Euripides etiam in Iphigenia Aulidensi v. 185. usus est, in *πολύθοινος*, vocabulum alibi non lectum, mutat, probabilior mihi in promptu emendatio est *πολύθυστος*. Huius formae exemplum exstat in Simonidis carmine de mulieribus v. 56. apud Stobaeum

*ἄθυστα δ' ἱρὰ πολλάκις κατεσθίει.*

quem versum ubi affert Athenaeus V. p. 179 d. eodem quo in Euripidis codicibus errore *ἄθυτα* scriptum est. Neque hoc unicum est ad commendandam emendationem meam documentum.

SUPPLICUM v. 136. Aldus edidit *Τυδεῖ τε Πολυνείκει τε*. Codices *τυδεῖ πολυνείκει τε*: quod ipsum scripsisse Euripides videtur, sed ut *ΤΥΔΕΙ* non *Τυδεῖ* significaret, sed *Τυδῆι*, quemadmodum idem in Heraclidis v. 541. *Ἡρακλῆος* dixit

*πέφυκας Ἡρακλῆος· οὐδ' αἰσχύνομαι.*

quem versum ut fuerunt qui propterea iudicarent corruptum quod *Ἡρακλῆος* epicum esset, ita non mirabor si qui *Τυδῆι* reiicient propterea quod non sit ab epicis usurpatum. Adeo flexibile hoc argumenti genus est.

V. 421. *εἰ καὶ γένοιτο μὴ 'μαθὴς ἔργων ὕπο.*] Egregia haec corruptae librorum scripturae *πένοιτο κἀμαθὴς* emendatio in Lobeckii libello de apostropho delitescit p. 41. Quod autem *κἀμαθὴς* exaratum fuit, ad veterem scribendi morem ducit *μάμαθὴς*, de quo verissima est admonitio Elmsleii ad Heraclid. v. 460. quem ego in Aristophanis fabulis sum secutus.

TROADUM versus 840. 841. qui vulgo ita scribuntur

*Ἔρως Ἔρως, ὃς παρὰ*
*Δαρδάνια μέλαθρά ποτ' ἦλθες,*

in exemplis proceleusmatici dactyli locum tenentis numerari solent. Quod non recte fieri arguit diversa scriptura, quam eximium illud par codicum, Vaticanus 909. et Havniensis, servarunt, *ὃς τὰ δαρδάνια*, omissa praepositione, qua etiam alii quidam codices carent. Ergo scribendum

*Ἔρως Ἔρως, ὃς τὰ Δαρδάνεια μέλαθρά ποτ' ἦλθες,*

cui accurate respondet versus in stropha positus

*μάταν ἄρ', ὦ χρυσέαις ἐν οἰνοχόαις ἁβρὰ βαίνων.*

Adiectivi forma *Δαρδάνειος* utitur Lycophro Alexandrae v. 1257. Contra recte habet neque ulli suspicioni obnoxius est proceleusmaticus in Avibus Aristophanis v. 1752.

διὰ σὲ τὰ πάντα κρατήσας,

qui locus aliquid momenti habet ad defendendum eiusdem poetae versum anapaesticum in Nubibus v. 916.

διὰ σὲ δὲ φοιτᾶν οὐδεὶς ἐθέλει.

IONIS v. 714—724. In epodi huius metris distinguendis non optime versatus est Aldus. Nam et dochmiacos numeros partim obscuravit, quod iam ab aliis correctum est, et ex bonis versibus duobus tres fecit huiusmodi

ἵνα Βάκχιος ἀμφιπύρους ἀνέχων
πεύκας λαιψηρὰ πηδᾷ
νυκτιπόλοις ἅμα σὺν Βάκχαις.

Apertum vero est ita haec esse describenda, quemadmodum etiam ab Bothio esse descripta video,

ἵνα Βάκχιος ἀμφιπύρους ἀνέχων πεύκας
λαιψηρὰ πηδᾷ νυκτιπόλοις ἅμα σὺν Βάκχαις.

Prioris versus metrum redit infra v. 1442.

χθόνιον μετὰ Περσεφόνας τ' ἐδόκουν ναίειν.

et in Andromacha v. 480.

κατὰ πηδαλίων διδύμα πραπίδων γνώμα.

Alterius versus exempla duo sunt in Hecuba v. 647. 648.

ἐπὶ δορὶ καὶ φόνῳ καὶ ἐμῶν μελάθρων λώβᾳ·
στένει δὲ καί τις ἀμφὶ τὸν εὔροον Εὐρώταν.

Extrema autem epodi verba in codicibus leviter corrupta sunt

ἀλίσας ὁ πάρος ἀρχαγὸς
ὢν Ἐρεχθεὺς ἄναξ.

quibus corrigendis ad verum proxime accessit Scaliger, quum ἄλις ἄλις ὁ πάρος reponeret. Scribendum vero, ut non sententiae tantum, sed etiam metro satisfiat,

ἀλίας ἀλίας ὁ πάρος ἀρχαγὸς ὢν
Ἐρεχθεὺς ἄναξ.

ἀλίας vero istud, seu ἄλιας mavis, si forte quaeris quid significet, scito id ipsum esse quod placuit Scaligero ἄλις. Etymolog. M. p. 63, 18. Ἄλιας: ἔστιν ἄλις, καὶ πλεονασμῷ τοῦ α ἄλιας. ἔστι δὲ μονῆρες τὸ ἐπίρρημα. οὐδὲν γάρ ἐστιν εἰς ας ἐπίρρημα προπαροξύτονον, τοῦτο δὲ μόνον· τὸ δὲ αἴτιον τοῦ τόνου ὁ πλεονασμός· ἀλλ' ἢ ὀξύτονον, ὡς ἐπὶ τοῦ ἑκάς ἀπάς, ἢ παροξύτονον, ὡς τὸ „Ἀτρέμας ἧσο (Iliad. β, 200.)." οὕτως Ἡρωδιανός. Ioannes Alexandrinus ab me editus p. 38, 12. Τὰ μέντοι πέλας βαρύνεται καὶ τὸ ἀτρέμας, ὅπερ καὶ χωρὶς τοῦ σ λέγεται ἀτρέμα. τὸ δὲ ἀλίας παρ' Ἱππώνακτι παροξύνεται ἀπὸ τοῦ ἄλις, πλεονάσαν τὸ α. cuius in verbis ἄλιας et προπαροξύνεται corrigendum. Dochmio autem isti ἄλιας ἄλιας ὁ πά-ρος simillimus in Oreste est v. 149. ἀτρέμας ἀτρέμας ἴθι.

V. 999. Ἐριχθόνιον οἶσθας, τί δ' οὐ μέλλεις, γέρον;] Vulgo Ἐριχθόνιον οἶσθ'; ἢ τί γ' οὐ μέλλεις, γέρον; Quo modo qui locutus sit ego novi neminem. Usitatam in tali sententia formam loquendi τί δ' οὐ, quae mediae sententiae interiici solet, servarunt libri scripti tres apud Matthiam, in quibus οἶσθ' ἢ τί δ' οὐ μέλλεις exaratum, et Vaticanus Palatinus 287. qui superscripto illo γ' caret. Hoc indicio est et γε ab correctore esse positum et ἢ inepte illatum, ex quo οἶσθ' scribi coepit. Restitui οἶσθας, de quo, ut alia quae dici possent omittam, vere praecipit Photius p. 323, 19. Οἶσθα: ἀντὶ τοῦ οἶδας. λέγεται δὲ χωρὶς τοῦ σ, μετὰ δὲ τοῦ σ ποτὲ ἢ διὰ τὸ μέτρον, ἢ διὰ τὸ μὴ συγκροῦσαι σύμφωνα (φωνήεντα). Propter eandem metri necessitatem οἶδας dixit in Alcestide v. 780.

τὰ θνητὰ πράγματ' οἶδας ἣν ἔχει φύσιν;

ut non improbabilis coniectura foret, si quis utroque in versu aut οἶσθας aut οἶδας scribendum esse censeret.

V. 1416. λέγ'· ὡς ἔχει τι δεινὸν ἡ τόλμη γέ σου] Vulgo τόλμα. τόλμη etiam veteres Atticos interdum dixisse ex Phrynichi verbis colligi potest in Anecdotis Bekkeri I. p. 66, 23. Τόλμη καὶ τόλμα, πρύμνη καὶ πρύμνα. νάρκη δὲ διὰ τοῦ η. πρύμνην Sophocli in Philocteta v. 482. et Aristophani in Vespis v. 399. quorum in codicibus πρύμναν legitur, restituendum esse animadvertit Elmsleius. Sed δίψη in Choephoris Aeschyli v. 756. recte, ut opinor, repudiat Buttmannus in gramm. vol. II. p. 395. τόλμα autem producta altera syllaba ne quis forte Pindari exemplo defendat Olymp. IX, 122. XIII, 14., sciendum est Doricae hoc esse dialecti: ut nihil caussae sit cur γέννα in anapaestis spondiacis apud Euripidem in γεννά mutetur, in Hecuba v. 160.

τίς ἀμύνει μοι; ποία γέννα,
ποία δὲ πόλις.

et in Iphigenia Taurica v. 154.

οἴμοι φροῦδος γέννα.

V. 1481. λέγεις λέγεις μοι δόλια κοὐ σαφῆ τάδε] Ita hunc versum redintegravi duplicato λέγεις, quod nuper etiam Bothius fecit. Frequentia in hoc genere sunt peccata librariorum, ab criticis saepe non animadversa, veluti in Oreste v. 188. ubi legebatur

ΧΟ. θρόει τίς κακῶν τελευτὰ μένει.
ΗΛ. θανεῖν. τί δ' ἄλλο γ' εἴπω;

recte ab plurimis libris abest istud γ' εἴπω, seu ut in aliis legitur γ' εἶπας: unde patet scribendum esse, quod, nisi me fallit memoria, iam ab alio propositum vidi,

θανεῖν θανεῖν· τί δ' ἄλλο;

In Andromachae versu 1208.

θανεῖν θανεῖν σε, πρέσβυ, χρῆν πάρος τέκνων,

quum pariter alterum θανεῖν in quibusdam codicibus excidisset, librarii alii πάρος Πηλεῦ

τέκνων, alii πάρος τῶν σῶν τέκνων interpolarunt. In Hercule furente v. 897. alterum quod evanuerat οὔποτε restitui et ibidem v. 919. λέγε duplicavi.

V. 1484. κρυπτόμενον λέχος ηὐνάσθην] In huius versus metro per se nihil est quod quis reprehendat, sed proximorum versuum metra consideranti probabilius videbitur hunc quoque non ex dactylo, sed ex cretico et dochmio fuisse compositum. Fortasse igitur κρυπτόμενον ἐς λέχος ηὐνάσθην scribendum.

V. 1489—1491. Recte hos versus et distinctos et scriptos exhibuit Aldus, nisi quod τάδε, | ἐνῆψα edidit. Id quomodo accommodate ad metrum corrigi oporteat Parisini codicis scriptura ἀνῆψα ostendit. Scribendum enim τάδ' ἀνῆψα.

HELENAE versus 86. ἀτὰρ τίς εἶ, πόθεν, τίνος, ἐξαυδᾶν σε χρή et Ionis v. 1471. πῶς εἶπας; ἄλλοθεν γέγονας γὰρ ἄλλοθεν difficiles sunt emendatu. In utroque fortasse alia est vitii sedes quam vulgo putatur. In altero γὰρ omittit codex Vaticanus Palatinus 287.

V. 124. οὔκουν ἐν Ἄργει οὐδ' ἐπ' Εὐρώτα ῥοαῖς] Ἄργει γ' Musgravius. Eundem hiatum codices praebent in Equitibus Aristophanis v. 465.

οὔκουν μ' ἐν Ἄργει οἷα πράττει λανθάνει.

V. 177. Delevi quod in fine huius versus additum legebatur παιᾶνας, quo scholiasta aliquis χάριτας est interpretatus: ut non mirandum sit nihil in versu antistropho esse quod huic vocabulo respondeat.

V. 312. 314. καὶ τἄμπαλίν γε τῶνδ' ἀληθείας σαφῆ] Hoc est δι' ἀληθείας, praepositione ex praecedentibus chori verbis repetenda, πόλλ' ἂν γένοιτο καὶ διὰ ψευδῶν ἔπη. Locum sanissimum coniecturis certatim vexarunt critici. Quod etiam versui 334. accidit θέλουσαν οὐ μόλις καλεῖς, ubi οὐ μόλις similiter dictum est atque in versibus Aeschyleis Agamemnonis 1082. et Eumenidum 864.

V. 505. δόμων ἄνακτα προσμενῶ· ἔχει δέ μοι] προσμενῶ γ' Barnesius.

ANDROMACHAE v. 464. Legebatur οὐδέποτ' ἂν δίδυμα λέκτρ' ἐπαινέσω βροτῶν. Quae orationem soloecam reddit ἂν particula, recte abest ab libris scriptis οὐδέποτε praebentibus. Non hunc versum, sed antistrophicum mutare debebat Aldus

οὐδὲ γὰρ ἐν πόλεσι δίπτυχοι τυραννίδες,

ubi οὐδ' ἐνὶ πόλεσι γὰρ correximus. Non peritiorem manum produnt quae infra v. 770. edebantur

εἴ τι γὰρ ἂν πάσχοι τις ἀμήχανον,
ἀλκᾶς οὐ σπάνις εὐγενέταις·
κηρυσσομένοισι δ' ἀπ' ἐσθλῶν δωμάτων —

et in antistropho

ἡδὺ μὲν αὐτίκα τοῦτο βροτοῖσιν,
ἐν δὲ χρόνῳ τελέθει ξηρὸν
καὶ μὴν καὶ ὀνείδεσιν ἔγκειται δόμων.

Qui locus insigni documento est quam parum acute viderint correctores veteres metrorum studiosi. Primo enim ἂν male est illatum, et fortasse etiam πάσχοι pro πάθοι positum: cuius erroris non alia, opinor, caussa fuit quam quod in antistropho γὰρ ex codice aliquo excidisset, quod alii iique optimi libri servarunt, ἡδὺ μὲν γὰρ αὐτίκα —. Deinde quum aperta responsionis vitia, quae in vulgata versuum descriptione insunt, non essent animadversa, postremus versus verbis καὶ μὴν auctus est, quae ab codicibus plerisque omnibus videntur abesse. In his etiam Havniensis est, qui quod ξηρὸν ἀφανὲς καὶ ὀνείδεσιν praebet, non est ab librario scriptum, qui obscuram fuisse codicis sui scripturam indicare vellet, quae est Matthiae nostri sententia, sed qui illustrare potius propositum haberet. Nam ξηρὸν interpretatus est ἀφανές, quod, ut fit, postmodum in continuationem verborum est illatum.

ELECTRAE versui 142. ἐπορθοβοάσω respondet 159. ἰώ μοί μοι, quae ut exaequarentur, ἰώ μοι ἰώ μοι positum est, quod parum probabiliter in locum usitati istius tragicis ἰώ μοί μοι inferas. Mihi non dubium est quin ἐπορθοβοάσω, seu potius ἐπορθροβοάσω, ut Tanaquil Faber corrigebat, genuinae sit interpretatio scripturae ἐπορθρεύσω.

V. 170. Libri alii ὀρειβάτας alii οὐρειβάτας: quod οὐριβάτας scribendum fuisse ostendi ad Aristophanis Aves v. 278. p. 36.

V. 497. παλαιόν τε θησαύρισμα Διονύσου τόδε] Correptam diphthongum fuerunt qui iure suspectam haberent: sed quod eam ob caussam παλαιὸν in alius vocis sedem, veluti πολιὸν, migrasse censent, mihi videntur in errore versari. Neque enim alio vocabulo usus est Euripides neque corripuit diphthongum, sed παλεόν scripsit. In quam rem tribus utimur documentis. Ac primum quidem ex Herodiano petimus, qui in libro περὶ μονήρους λέξεως p. 4, 18. ubi de accentu nominum in αλεος exeuntium agit, ita scribit, ἐπὶ γὰρ τοῦ τέλους λαμβάνει καὶ τὴν ὀξεῖαν, ὡς ἔχει τὸ γαλεός, ἀλεός, παλεός: nam ita aperte corrigenda scriptura codicis παλαιός, quae hoc quidem in loco non minus vitiosa est quam Taurinensis libri γαλαιὸς pro γαλεός. Deinde in Sophoclis Orithyiae fragmento 655. (apud Strabonem VII. p. 295.) legitur

Ὑπέρ τε πόντον πάντ' ἐπ' ἔσχατα χθονὸς
νυκτός τε πηγὰς οὐρανοῦ τ' ἀναπτυχὰς
Φοίβου τε παλαιὸν κῆπον —.

et apud Aristophanem in Lysistr. v. 988.

ὑπὸ τῆς ὁδοῦ. παλαιόρ γα ναὶ τὸν Κάστορα.

Quos apertum est pariter dixisse παλεὸν et παλεόρ. legitque παλεὸς in Aristophanis versu scholiasta.

BACCHARUM v. 7. καὶ δόμων ἐρείπια | τυφόμενα δίου τ' ἔτι πυρὸς ζῶσαν φλόγα] Haec scriptura, quae Porsoni coniecturae debetur, ex Matthiae editione in nostram transiit. Sed quum in codicibus scriptum sit δίου τε πυρὸς ἔτι, apud Plutarchum autem in vita Solonis p. 79 a. ἀλλὰ παρέμεινεν ἐκεῖνα τὰ δίκαια καὶ παρεφύλαξε τυφομένην ἀδροῦ πυρὸς ἔτι

ζῶσαν φλόγα τὴν ἐρωτικὴν μνήμην καὶ χάριν, parum verisimilis est verborum ista transpositio et multo probabilius τε esse delendum, quod in Barnesii editione seu casu seu consilio factum est. Itaque post τυφόμενα commate distinguendum, illa autem δίου πυρὸς ἔτι ζῶσαν φλόγα praecedenti sententiae eadem constructione sunt adiecta qua proxima verba ἀθάνατον Ἥρας μητέρ᾽ εἰς ἐμὴν ὕβριν.

V. 115. Legebatur ὅστις ἄγει: libri scripti antiqui ὅτ᾽ ἄγῃ, unde ὅταν ἄγῃ scribendum, quod male expressum est ὅταν ἀγάγῃ.

V. 126. βάκχια, quod emendate in codice Parisino, corrupte in editionibus veteribus βακχεῖα scriptum est, dubitatur quomodo sit interpretandum. Mihi ut εὔια dictum videtur v. 157. Vitiose apud Strabonem X. p. 470. libri alii βακχεῖα praebent, alii βακχείῳ, quod librarii propter vicinum συντόνῳ posuerunt.

V. 636. ἥσυχος δ᾽ ἐκβὰς ἐγὼ | δωμάτων ἥκω πρὸς ὑμᾶς] Ita Bothius emendavit vitiosam lectionem librorum ἥσυχος δ᾽ ἐκ βάκχας ἄγων δωμάτων. Quum librarius errore in hac quidem Baccharum fabula satis excusabili ἐκβάκχας pro ἐκβὰς scripsisset, postmodum ἐγὼ in ἄγων fuit mutatum, quamvis nihil hic est quod secum ducat Dionysus.

V. 981. Post μαινάδων excidit syllaba una, aut corruptum est κατάσκοπον. Versu proximo πρῶτα in πρώτα mutavi, ut infra v. 1129. recte ab Hermanno correctum est. In versu antistrophico corrigendum videtur γνώμα σώφρων.

PHOENISSARUM versus 264. exemplo esse potest quam fastidiosum fuerit antiquum genus histrionum, si vera narrat scholiasta, cuius haec est ad scripturam vulgatam οὔ μ᾽ ἐθῶσ᾽ annotatio, οὐκ ἀφῶσιν ἄτρωτον. ἄλλως. οἱ μὲν γράφουσιν οὐκ ἐφρῶσιν (οὔ με φρῶσιν codex Havniensis). οἱ οὖν ὑποκριταὶ διὰ τὸ δυσέκφορον μεταπλάττουσι τὴν λέξιν. καὶ Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων, ὅτε διαλαμβάνει περὶ τοῦ φρῶ, ταύτην τὴν χρῆσιν φησίν. cuius ex verbis mireris non esse dudum una addita littera erutum quod scripserat poeta, οὐκ ἐκφρῶσ᾽, quam lectionem etiam Photius videtur agnoscere p. 359, 8. Οὐκ ἐκφρῶσιν: οὐκ ἐξαφῶσι. Σοφοκλῆς. Nam etsi nihil impedit quominus iisdem verbis usum esse Sophoclem existimemus, multo tamen probabilius est poetarum nomina, ut aliis in locis pluribus, memoriae errore esse permutata.

IPHIGENIAE TAURICAE v. 1007. haec sunt Orestis ad Iphigeniam verba

οὐκ ἂν γενοίμην σοῦ τε καὶ μητρὸς φονεύς,
ἅλις τὸ κείνης αἷμα, κοινόφρων δέ σοι
καὶ ζῆν θέλοιμ᾽ ἂν καὶ θανὼν λαχεῖν ἴσον.
ἥξω δέ γ᾽, ἤνπερ καὐτὸς ἐνταυθοῖ πέσω,
πρὸς οἶκον, ἢ σοῦ κατθανὼν μενῶ μέτα.

in quibus certum est ipsa sententia postulante corrigendum esse μὴ αὐτὸς, quod per crasin scriptum μαὐτὸς sollemni errore in καὐτὸς abiit, ut μάμαθὴς in κάμαθὴς, de quo supra dicebam. Atque hoc quidem dudum intellexit Marclandus, quamvis cetera non felicius quam

alii tractans, illud vero non animadvertit, postremos versus duo, quibus tantundem fere continetur quantum verbis praecedentibus dictum fuit, non esse ab Euripide scriptos, sed eandem habere originem quam tot aliae habent sententiarum ἐπεξεργασίαι in Euripidem illatae, quas cum alii tum inprimis Valckenarius perite monstrarunt. Verba κατθανὼν μενῶ fortasse ex Ionis v. 1037. sunt κἄνπερ διέλθῃ λαιμὸν, οὔποθ' ἵξεται | κλεινὰς Ἀθήνας, κατθανὼν δ' αὐτοῦ μενεῖ. Incaute autem se prodidit qui versus illos scripsit etiam eo, quod inusitatam tragicis formam adverbii ἐνταυθοῖ intulit, quam nemo tam erit librariorum fidei adstrictus qui uno exemplo Euripidis ex Melanippa apud Stobaeum LXXIV, 6. vol. III. p. 68. defensum eat,

τίσασθε τήνδε· καὶ γὰρ ἐνταυθοῖ νοσεῖ
τὰ τῶν γυναικῶν.

ubi certa Elmsleii emendatio est ἐντεῦθεν νοσεῖ, ab ipso poeta suppeditata Andromachae versu 949. κἀντεῦθεν δόμοι | νοσοῦσιν ἀνδρῶν. Neglexit hoc Buttmannus in grammatica vol. II. p. 288. neque grammaticorum veterum rationem habuit, quorum sententiam retulit Eustathius p. 1839, 60. σημειοῦνται δὲ οἱ παλαιοὶ ὡς τὸ μὲν ἐνταυθοῖ τὴν ἐν τόπῳ σημασίαν δηλοῖ, τὸ δὲ ἐνταῦθα καὶ τὴν ἐν τόπῳ καὶ τὴν εἰς τόπον. Quod significationis discrimen qui excogitarunt, haud dubie etymologica ratione ducti fuerunt, de qua coniecturam facere licet ex praecedentibus Eustathii verbis, τὸ δὲ ἐνταυθοῖ δοκεῖ Δωρικὸν εἶναι, εἰ καὶ παρ' Ἀττικοῖς τέτριπται, οὕτω δὲ καὶ ἐνταῦθα. ἔστι δὲ τοῦ μὲν ἐνταῦθα ὁ Δωρισμὸς ἁπλοῦς, διπλοῦς δὲ ὁ τοῦ ἐνταυθοῖ. καὶ δῆλον ἐντεῦθεν. ἔθος Δωριεῦσιν, ὡς καὶ ἐν τοῖς τοῦ Πινδάρου φαίνεται, συντάσσειν ἔστιν ὅτε τὴν ἐν πρόθεσιν μετὰ αἰτιατικῆς, ἔτι δὲ καὶ τὸ ἔνδον λέγειν ἐνδοῖ — καὶ τὸ πέδον πεδοῖ ἐπιρρηματικῶς ἀντὶ τοῦ εἰς γῆν —. τούτων ουν οὕτως ἐχόντων εἴη ἂν Δωρικὴ σύνταξις τὸ ἐνταυθοῖ (hoc necessario ἐνταῦτα scribendum, quam formam servavit inscriptio Elea apud Boeckhium I. p. 26. τῷ 'νταῦτ' ἐγραμμένῳ) ἤγουν εἰς τοῦτον τὸν τόπον, καὶ αὖθις τροπῇ Δωρικῇ ληγούσης τὸ ἐνταυτοῖ, καὶ τροπῇ συνήθει τοῦ ψιλοῦ εἰς δασὺ ἐνταυθοῖ. ὁμοίᾳ δὲ συντάξει τῆς ἐν προθέσεως καὶ ἀντιμεταχωρήσει τοῦ ἀφώνου γίνοιτ' ἂν καὶ τὸ ἐνταῦθα. Brevius et verius Herodianus apud Ioannem Alexandrinum p. 36, 2. τὸ ἐνταυθοῖ τὴν αὐτὴν ἔχει σημασίαν τῷ ἐνταῦθα. utramque enim formam sine ullo significationis discrimine usurpari facile animadvertet qui usum scriptorum diligentius observare volet.

---

Aeschyli et Sophoclis fragmentorum quae ferebantur collectiones ab Stanleio et Brunckio compositae quum nostrorum temporum usibus minus esse accommodatae viderentur, locis plurimis mutatas exhibui; quas tamen gaudebo si mox abolitas videro melioribus paratis harum reliquiarum editionibus, qualem de Aeschyleis ab Hermanno exspectamus, cuius eximiae sunt de perditis aliquot poetae fabulis commentationes academicae. Interim curavi ut omissa, quae quidem mihi non intento studio quaerenti in promptu essent, accederent, aliena plura, nec

tamen omnia, detraherentur, poetarum autem verba si non multo emendatius, certe paullo accuratius scripta prodirent liberataque criticorum quae ferri non poterant coniecturis plurimis, quas tacite, qui est mos meus, amovi et ut nemini usquam errorem exprobrarem.

Euripidis et Aristophanis fragmenta nuper ab Augusto Matthia et ab me edita quum nihil causae esset cur post paucos menses denuo typis describerentur, ego eram ab hac editione exclusurus. Ea tamen ut ipsa quoque adderentur ex illis quas dixi editionibus summa qua fieri potuit brevitate excerpta librariis concessi petentibus, quum non viderentur e re sua esse facturi, si qua parte mancum hoc corpus poetarum emitterent. Aristophaneis nonnulla accesserunt in editione priore omissa.

Scribebam Lipsiae mense Octobri a. MDCCCXXIX.

# C O R R I G E N D A.

## A E S C H Y L U S

**P R O M E T H E U S.** 28 *ἀπηύρω*] *ἐπηύρου* 108 *ὑπέζευγμαι*] *ἐνέζευγμαι* 400 *ῥαδινῶν ῥέος*] *ῥαδινῶν λειβομένα ῥέος* et in antistropho quattuor syllabarum defectus indicandus 401 *ἔτεγξε*] *ἔτεγξα* 432 *ξυμπιτνῶν*] *ξυμπίτνων* 543 *ἰδίᾳ*] *ἐν ἰδίᾳ* 717 *Ὑβριστὴν*] *ὑβριστὴν* 912 *ἐκπιτνῶν*] *ἐκπίτνων*

**S E P T E M.** 132 *Ποσειδᾶν*] *Ποσειδὰν* 759 *πιτνὸν*] *πίτνον* 834 *περιπιτνεῖ*] *περιπίτνει*

**P E R S A E.** 130 131 in unum versum coniungendi, et in antistropho 450 *ὅταν*] *ὅτ' ἂν* 481 *αἰροῦνται*] *αἴρονται* 939 *ἰακχάν*] *ἰαχάν* 1001 *δ'* delendum

**S U P P L I C E S.** 5 et 1058 *δῖαν*] *δίαν* 287 *χρεοβρότους*] *χρεοβότους* aut *χρεοβόρους* 645 *δαντες*] *σαντες*

**A G A M E M N O.** 215 *δ'*] *θ'* 297 *πεδίον'*] *πεδίον* 963 et alibi *εὐξάμην*] *ηὐξάμην* 1115 *τί γ'*] *τι* 1147 *περιβάλοντό*] *περεβάλοντό*

**C H O E P H O R O E.** 84 *εὐθήμοντες*] *εὐθήμονες* 301 *προσπιέζει*] *πρὸς πιέζει*

## S O P H O C L E S

**A I A X.** 766 *ὑφικόμπως*] *ὑψικόμπως*

**E L E C T R A.** 461 *ὑπούργησαν*] *ὑπούργησον* 753 *διφηλάται*] *διφρηλάται* 1281 *ὦ φίλαι* ab hoc versu separanda

**O E D I P U S R E X.** 461 *μ'* delendum 1238 *νῖψαι*] *νίψαι*

**O E D I P U S C O L O N E U S.** 45 *ἕδρας*] *ἕδρας* 902 *ἐγώ,*] *ἐγὼ* 1160 *θακήμαπι*] *θακήματι*

**P H I L O C T E T E S.** 552 punctum in fine excidit

## E U R I P I D E S

**R H E S U S.** 240 *Αἰακίδα*] *Αἰακίδᾳ*

**M E D E A.** 479 *θανάνιμον*] *θανάσιμον* 845 *ξυνέργους*] *ξυνεργοὺς* Similiter Hippolyti v. 523. 676.

**A L C E S T I S.** 75 *ἱερὸς*] *ἱρὸς* 166 *σύζευζον*] *σύζευξον*

**S U P P L I C E S.** 164 excidit comma post *Ἀθηνῶν* 697 *τὴν*] *μὴν*

**T R O A D E S.** 68 *τύχῃ*] *τύχης* (ex Vaticano 909. et aliis MSS.) 157 *Τρφάσιν;*] *Τρφάσιν,*

**I O N.** 601 *ψόφου*] *φόβου* (quod etiam in codice Vaticano Palatino est) 1503 *δεινὰ*] *δειναὶ* 1591 *πόλις*] *πόλις·*

**H E L E N A.** 89 *τάσδ'*] *τούσδ'* 1010 *ἡμὶν*] *ἡμῖν*

**A N D R O M A C H A.** 286 *νῖψαν*] *νίψαν*

**E L E C T R A.** 117 et 989 *Τυνδαρέου*] *Τυνδάρεω* 334 *χεῖρος*] *χεῖρες*

**H E R C U L E S.** 314 *τούντεθεῦν*] *τοὐντεῦθεν*

**B A C C H A E.** 104 *ἀμιβάλλονται*] *ἀμφιβάλλονται* 990 *δέ γέ τινος ἦ*] *δέ τινος ὅδ' ἦ* 1149 *ἄπειμ';*] *ἄπειμ',*

**O R E S T E S.** 537 *μὴ 'πίσαινε*] *μὴ 'πίβαινε*

**I P H I G E N I A A U L I D E N S I S.** 233 *γυναικείαν*] *γυναικεῖον* (cum Hermanno) 364 delendus, non mutata codicum scriptura *ἔσει μάλιστά γε*

## A R I S T O P H A N E S

**E Q U I T E S.** 1067 *κυκαλώπεκα*] *κυναλώπεκα*

**N U B E S.** 390 *ἐπάγει παπαππὰξ*] *ἐπάγει παπαπαππὰξ*

**P A X.** 615 *ποίνυν*] *τοίνυν*

**A V E S.** 49 *κωρώνη*] *κορώνη* 386 *εἰνήνην*] *εἰρήνην* 659 *ἀριστίσον*] *ἀρίστισον* 963 *Νεφελοκκυγίας*] *Νεφελοκοκκυγίας*

**L Y S I S T R A T A.** 740 *μάποδαίρης*] *μάποδείρης*

**T H E S M O P H O R I A Z U S A E.** 494 *ἵνα,*], *ἵνα*

**R A N A E.** 1274 *Ἀτρέμιδος*] *Ἀρτέμιδος*

## F R A G M E N T A

Pag. 24 fragm. 344 *dele* Suidas

# ΑΙΣΧΥΛΟΥ

# ΤΡΑΓΩΙΔΙΑΙ.

# ΑΙΣΧΥΛΟΥ ΠΡΟΜΗΘΕΥΣ ΔΕΣΜΩΤΗΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΚΡΑΤΟΣ ΚΑΙ ΒΙΑ.*
*ΗΦΑΙΣΤΟΣ.*
*ΠΡΟΜΗΘΕΥΣ.*
*ΧΟΡΟΣ ΩΚΕΑΝΙΔΩΝ ΝΥΜΦΩΝ.*
*ΩΚΕΑΝΟΣ.*
*ΙΩ Η ΙΝΑΧΟΥ.*
*ΕΡΜΗΣ.*

## ΥΠΟΘΕΣΙΣ.

*Προμηθέως ἐν Σκυθίᾳ δεδεμένου διὰ τὸ κεκλοφέναι τὸ πῦρ πυνθάνεται Ἰὼ πλανωμένη ὅτι καὶ Αἴγυπτον γενομένη ἐκ τῆς ἐπαφήσεως τοῦ Διὸς τέξεται τὸν Ἔπαφον. Ἑρμῆς δὲ παράγεται ἀπειλῶν αὐτῷ κεραυνωθήσεσθαι, ἐὰν μὴ εἴπῃ τὰ μέλλοντα ἔσεσθαι τῷ Διΐ. προέλεγε γὰρ ὁ Προμηθεὺς ὡς ἐξωσθήσεται ὁ Ζεὺς τῆς ἀρχῆς ὑπό τινος οἰκείου υἱοῦ. τέλος δὲ βροντῆς γενομένης ἀφανὴς ὁ Προμηθεὺς γίνεται.*

*Κεῖται δὲ ἡ μυθοποιία ἐν παρεκβάσει παρὰ Σοφοκλεῖ ἐν Κολχίσι, παρὰ δὲ Εὐριπίδῃ ὅλως οὐ κεῖται. ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Σκυθίᾳ ἐπὶ τὸ Καυκάσιον ὄρος· ὁ δὲ χορὸς συνέστηκεν ἐξ Ὠκεανίδων νυμφῶν. τὸ δὲ κεφάλαιον αὐτοῦ ἐστι Προμηθέως δέσις.*

*Ἰστέον δὲ ὅτι οὐ κατὰ τὸν κοινὸν λόγον ἐν Καυκάσῳ φησὶ δεδέσθαι τὸν Προμηθέα, ἀλλὰ πρὸς τοῖς Εὐρωπαίοις μέρεσι τοῦ Ὠκεανοῦ, ὡς ἀπὸ τῶν πρὸς τὴν Ἰὼ λεγομένων ἔξεστι συμβαλεῖν.*

## ΑΛΛΩΣ.

*Προμηθέως ἐκ Διὸς κεκλοφότος τὸ πῦρ καὶ δεδωκότος ἀνθρώποις, δι' οὗ τέχνας πάσας ἄνθρωποι εὕροντο, ὀργισθεὶς ὁ Ζεὺς παραδίδωσιν αὐτὸν Κράτει καὶ Βίᾳ, τοῖς αὑτοῦ ὑπηρέταις, καὶ Ἡφαίστῳ, ὡς ἂν ἀγαγόντες πρὸς τὸ Καυκάσιον ὄρος δεσμοῖς σιδηροῖς αὐτὸν ἐκεῖ προσηλώσαιεν. οὗ γενομένου παραγίνονται πᾶσαι αἱ Ὠκεαναῖαι νύμφαι πρὸς παραμυθίαν αὐτοῦ, καὶ αὐτὸς ὁ Ὠκεανὸς, ὃς δὴ καὶ λέγει τῷ Προμηθεῖ, ἵνα ἀπελθὼν πρὸς τὸν Δία δεήσεσι καὶ λιταῖς πείσῃ αὐτὸν ἐκλῦσαι τοῦ δεσμοῦ Προμηθέα. καὶ Προμηθεὺς οὐκ ἐᾷ, τὸ τοῦ Διὸς εἰδὼς ἄκαμπτον καὶ θρασύ. καὶ ἀναχωρήσαντος τοῦ Ὠκεανοῦ παραγίνεται Ἰὼ πλανωμένη, ἡ τοῦ Ἰνάχου, καὶ μανθάνει παρ' αὐτοῦ ἅ τε πέπονθε καὶ ἃ πείσεται, καὶ ὅτι τὶς τῶν αὐτῆς ἀπογόνων λύσει αὐτὸν, ὃς ἦν ὁ Διὸς Ἡρακλῆς, καὶ ὅτι ἐκ τῆς ἐπαφήσεως τοῦ Διὸς τέξει τὸν Ἔπαφον. θρασυστομοῦντι δὲ Προμηθεῖ κατὰ Διὸς, ὡς ἐκπεσεῖται τῆς ἀρχῆς ὑφ' οὗ τέξεται παιδὸς, καὶ ἄλλα βλάσφημα λέγοντι, παραγίνεται Ἑρμῆς, Διὸς πέμψαντος, ἀπειλῶν αὐτῷ κεραυνὸν, εἰ μὴ τὰ μέλλοντα συμβήσεσθαι τῷ Διῒ εἴπῃ· καὶ μὴ βουλόμενον βροντὴ καταρραγεῖσα αὐτὸν ἀφανίζει.*

*Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Σκυθίᾳ ἐπὶ τὸ Καυκάσιον ὄρος, ἡ δὲ ἐπιγραφὴ τούτου ΠΡΟΜΗΘΕΥΣ ΔΕΣΜΩΤΗΣ.*

# ΠΡΟΜΗΘΕΥΣ ΔΕΣΜΩΤΗΣ.

ΚΡΑΤΟΣ.

Χθονὸς μὲν εἰς τηλουρὸν ἥκομεν πέδον,
Σκύθην ἐς οἶμον, ἄβατον εἰς ἐρημίαν.
Ἥφαιστε, σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς
ἅς σοι πατὴρ ἐφεῖτο, τόνδε πρὸς πέτραις
ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι
ἀδαμαντίνων δεσμῶν ἐν ἀῤῥήκτοις πέδαις.
τὸ σὸν γὰρ ἄνθος, παντέχνου πυρὸς σέλας,
θνητοῖσι κλέψας ὤπασεν· τοιᾶσδέ τοι
ἁμαρτίας σφὲ δεῖ θεοῖς δοῦναι δίκην,
ὡς ἂν διδαχθῇ τὴν Διὸς τυραννίδα
στέργειν, φιλανθρώπου δὲ παύεσθαι τρόπου.

ΗΦΑΙΣΤΟΣ.

Κράτος Βία τε, σφῷν μὲν ἐντολὴ Διὸς
ἔχει τέλος δὴ κοὐδὲν ἐμποδὼν ἔτι·
ἐγὼ δ᾽ ἄτολμός εἰμι συγγενῆ θεὸν
δῆσαι βίᾳ φάραγγι πρὸς δυσχειμέρῳ.
πάντως δ᾽ ἀνάγκη τῶνδέ μοι τόλμαν σχεθεῖν·
ἐξωριάζειν γὰρ πατρὸς λόγους βαρύ.
τῆς ὀρθοβούλου Θέμιδος αἰπυμῆτα παῖ,
ἄκοντά σ᾽ ἄκων δυσλύτοις χαλκεύμασι
προσπασσαλεύσω τῷδ᾽ ἀπανθρώπῳ πάγῳ,
ἵν᾽ οὔτε φωνὴν οὔτε του μορφὴν βροτῶν
ὄψει, σταθευτὸς δ᾽ ἡλίου φοίβῃ φλογὶ
χροιᾶς ἀμείψεις ἄνθος· ἀσμένῳ δέ σοι
ἡ ποικιλείμων νὺξ ἀποκρύψει φάος·
πάχνην θ᾽ ἑῴαν ἥλιος σκεδᾷ πάλιν·
ἀεὶ δὲ τοῦ παρόντος ἀχθηδὼν κακοῦ
τρύσει σ᾽· ὁ λωφήσων γὰρ οὐ πέφυκέ πω.
τοιαῦτ᾽ ἀπηύρω τοῦ φιλανθρώπου τρόπου.
θεὸς θεῶν γὰρ οὐχ ὑποπτήσσων χόλον
βροτοῖσι τιμὰς ὤπασας πέρα δίκης.
ἀνθ᾽ ὧν ἀτερπῆ τήνδε φρουρήσεις πέτραν,
ὀρθοστάδην, ἄϋπνος, οὐ κάμπτων γόνυ·
πολλοὺς δ᾽ ὀδυρμοὺς καὶ γόους ἀνωφελεῖς
φθέγξει· Διὸς γὰρ δυσπαραίτητοι φρένες·
ἅπας δὲ τραχὺς ὅστις ἂν νέον κρατῇ.

ΚΡΑΤΟΣ.

εἶεν, τί μέλλεις καὶ κατοικτίζει μάτην;
τί τὸν θεοῖς ἔχθιστον οὐ στυγεῖς θεὸν,
ὅστις τὸ σὸν θνητοῖσι προὔδωκεν γέρας;

ΗΦΑΙΣΤΟΣ.

τὸ ξυγγενές τοι δεινὸν ἥ θ᾽ ὁμιλία.

ΚΡΑΤΟΣ.

ξύμφημ᾽, ἀνηκουστεῖν δὲ τῶν πατρὸς λόγων
οἷόν τε πῶς; οὐ τοῦτο δειμαίνεις πλέον;

ΗΦΑΙΣΤΟΣ.

ἀεί γε δὴ νηλὴς σὺ καὶ θράσους πλέως.

ΚΡΑΤΟΣ.

ἄκος γὰρ οὐδὲν τόνδε θρηνεῖσθαι· σὺ δὲ
τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην.

ΗΦΑΙΣΤΟΣ.

ὦ πολλὰ μισηθεῖσα χειρωναξία.

ΚΡΑΤΟΣ.

τί νιν στυγεῖς; πόνων γὰρ ὡς ἁπλῷ λόγῳ
τῶν νῦν παρόντων οὐδὲν αἰτία τέχνη.

ΗΦΑΙΣΤΟΣ.

ἔμπας τὶς αὐτὴν ἄλλος ὤφελεν λαχεῖν.

ΚΡΑΤΟΣ.

ἅπαντ᾽ ἐπράχθη πλὴν θεοῖσι κοιρανεῖν.
ἐλεύθερος γὰρ οὔτις ἐστὶ πλὴν Διός.

ΗΦΑΙΣΤΟΣ.

ἔγνωκα τοῖσδε κοὐδὲν ἀντειπεῖν ἔχω.

ΚΡΑΤΟΣ.

οὔκουν ἐπείξει δεσμὰ τῷδε περιβαλεῖν,
ὡς μή σ᾽ ἐλινύοντα προσδερχθῇ πατήρ;

ΗΦΑΙΣΤΟΣ.

καὶ δὴ πρόχειρα ψάλια δέρκεσθαι πάρα.

ΚΡΑΤΟΣ.

λαβών νιν ἀμφὶ χερσὶν ἐγκρατεῖ σθένει
ῥαιστῆρι θεῖνε, πασσάλευε πρὸς πέτραις.

ΗΦΑΙΣΤΟΣ.

περαίνεται δὴ κοὐ ματᾷ τοὔργον τόδε.

ΚΡΑΤΟΣ.

ἄρασσε μᾶλλον, σφίγγε, μηδαμῇ χάλα.
δεινὸς γὰρ εὑρεῖν κἀξ ἀμηχάνων πόρους.

ΗΦΑΙΣΤΟΣ.

ἄραρεν ἥδε γ᾽ ὠλένη δυσεκλύτως.

ΚΡΑΤΟΣ.

καὶ τήνδε νῦν πόρπασον ἀσφαλῶς, ἵνα
μάθῃ σοφιστὴς ὢν Διὸς νωθέστερος.

ΗΦΑΙΣΤΟΣ.

πλὴν τοῦδ᾽ ἂν οὐδεὶς ἐνδίκως μέμψαιτό μοι.

ΚΡΑΤΟΣ.

ἀδαμαντίνου νῦν σφηνὸς αὐθάδη γνάθον
στέρνων διαμπὰξ πασσάλευ᾽ ἐῤῥωμένως.

ΗΦΑΙΣΤΟΣ.

αἰαῖ, Προμηθεῦ, σῶν ὕπερ στένω πόνων.

ΚΡΑΤΟΣ.

σὺ δ᾽ αὖ κατοκνεῖς τῶν Διός τ᾽ ἐχθρῶν ὕπερ
στένεις; ὅπως μὴ σαυτὸν οἰκτιεῖς ποτέ.

ΗΦΑΙΣΤΟΣ.

ὁρᾷς θέαμα δυσθέατον ὄμμασιν.

ΚΡΑΤΟΣ.

ὁρῶ κυροῦντα τόνδε τῶν ἐπαξίων.
ἀλλ᾽ ἀμφὶ πλευραῖς μασχαλιστῆρας βάλε.

ΗΦΑΙΣΤΟΣ.

δρᾶν ταῦτ᾽ ἀνάγκη, μηδὲν ἐγκέλευ᾽ ἄγαν.

ΚΡΑΤΟΣ.

ἦ μὴν κελεύσω κἀπιθωΰξω γε πρός.
χώρει κάτω, σκέλη δὲ κίρκωσον βίᾳ.

ΗΦΑΙΣΤΟΣ.

καὶ δὴ πέπρακται τοὔργον οὐ μακρῷ πόνῳ.

ΚΡΑΤΟΣ.

ἐρρωμένως νῦν θεῖνε διατόρους πέδας.
ὡς οὑπιτιμητής γε τῶν ἔργων βαρύς.

ΗΦΑΙΣΤΟΣ.

ὅμοια μορφῇ γλῶσσά σου γηρύεται.

ΚΡΑΤΟΣ.

σὺ μαλθακίζου, τὴν δ' ἐμὴν αὐθαδίαν
ὀργῆς τε τραχύτητα μὴ 'πίπλησσέ μοι.

ΗΦΑΙΣΤΟΣ.

στείχωμεν, ὡς κώλοισιν ἀμφίβληστρ' ἔχει.

ΚΡΑΤΟΣ.

ἐνταῦθα νῦν ὕβριζε, καὶ θεῶν γέρα
συλῶν ἐφημέροισι προστίθει. τί σοι
οἷοί τε θνητοὶ τῶνδ' ἀπαντλῆσαι πόνων;
ψευδωνύμως σε δαίμονες Προμηθέα
καλοῦσιν· αὐτὸν γάρ σε δεῖ Προμηθέως,
ὅτῳ τρόπῳ τῆσδ' ἐκκυλισθήσει τύχης.

ΠΡΟΜΗΘΕΥΣ.

ὦ δῖος αἰθὴρ καὶ ταχύπτεροι πνοαί,
ποταμῶν τε πηγαί, ποντίων τε κυμάτων
ἀνήριθμον γέλασμα, παμμῆτόρ τε γῆ,
καὶ τὸν πανόπτην κύκλον ἡλίου καλῶ·
ἴδεσθέ μ' οἷα πρὸς θεῶν πάσχω θεός.
δέρχθηθ' οἵαις αἰκίαισιν
διακναιόμενος τὸν μυριετῆ
χρόνον ἀθλεύσω.
τοιόνδ' ὁ νέος ταγὸς μακάρων
ἐξεῦρ' ἐπ' ἐμοὶ δεσμὸν ἀεικῆ.
φεῦ φεῦ, τὸ παρὸν τό τ' ἐπερχόμενον
πῆμα στενάχω, πῆ ποτε μόχθων
χρὴ τέρματα τῶνδ' ἐπιτεῖλαι.
καίτοι τί φημί; πάντα προὐξεπίσταμαι
σκεθρῶς τὰ μέλλοντ', οὐδέ μοι ποταίνιον
πῆμ' οὐδὲν ἥξει. τὴν πεπρωμένην δὲ χρὴ
αἶσαν φέρειν ὡς ῥᾷστα, γιγνώσκονθ' ὅτι
τὸ τῆς ἀνάγκης ἔστ' ἀδήριτον σθένος.
ἀλλ' οὔτε σιγᾶν οὔτε μὴ σιγᾶν τύχας
οἷόν τέ μοι τάσδ' ἐστί. θνητοῖς γὰρ γέρα
πορὼν ἀνάγκαις ταῖσδ' ὑπέζευγμαι τάλας·
ναρθηκοπλήρωτον δὲ θηρῶμαι πυρὸς
πηγὴν κλοπαίαν, ἣ διδάσκαλος τέχνης
πάσης βροτοῖς πέφηνε καὶ μέγας πόρος.
τοιάσδε ποινὰς ἀμπλακημάτων τίνω,
ὑπαιθρίοις δεσμοῖσι πασσαλευτὸς ὤν.
ἆ ἆ, ἔα ἔα.
τίς ἀχώ, τίς ὀδμὰ προσέπτα μ' ἀφεγγής,
θεόσυτος, ἢ βρότειος, ἢ κεκραμένη,
ἵκετο τερμόνιον ἐπὶ πάγον
πόνων ἐμῶν θεωρός, ἢ τί δὴ θέλων;
ὁρᾶτε δεσμώτην με δύσποτμον θεόν,
τὸν Διὸς ἐχθρόν, τὸν πᾶσι θεοῖς
δι' ἀπεχθείας ἐλθόνθ' ὁπόσοι
τὴν Διὸς αὐλὴν εἰσοιχνεῦσιν,
διὰ τὴν λίαν φιλότητα βροτῶν.
φεῦ φεῦ, τί ποτ' αὖ κινάθισμα κλύω
πέλας οἰωνῶν; αἰθὴρ δ' ἐλαφραῖς
πτερύγων ῥιπαῖς ὑποσυρίζει.
πᾶν μοι φοβερὸν τὸ προσέρπον.

ΧΟΡΟΣ.

μηδὲν φοβηθῇς· φιλία γὰρ ἥδε τάξις πτερύγων
θοαῖς ἁμίλλαις προσέβα τόνδε πάγον, πατρῴας
μόγις παρειποῦσα φρένας.
κραιπνοφόροι δέ μ' ἔπεμψαν αὖραι·
κτύπου γὰρ ἀχὼ χάλυβος
διῇξεν ἄντρων μυχόν, ἐκ δ' ἔπληξέ μου τὰν θεμερῶπιν αἰδῶ·
σύθην δ' ἀπέδιλος ὄχῳ πτερωτῷ.

ΠΡΟΜΗΘΕΥΣ.

αἰαῖ, αἰαῖ,
τῆς πολυτέκνου Τηθύος ἔκγονα,
τοῦ περὶ πᾶσάν θ' εἱλισσομένου
χθόν' ἀκοιμήτῳ ῥεύματι παῖδες
πατρὸς Ὠκεανοῦ· δέρχθητ', ἐσίδεσθ'
οἵῳ δεσμῷ προσπορπατὸς
τῆσδε φάραγγος σκοπέλοις ἐν ἄκροις
φρουρὰν ἄζηλον ὀχήσω.

ΧΟΡΟΣ.

λεύσσω, Προμηθεῦ· φοβερὰ δ' ἐμοῖσιν ὄσσοις ὀμίχλα
προσῇξε πλήρης δακρύων, σὸν δέμας εἰσιδούσᾳ
πέτραις προσαυαινόμενον
ταῖσδ' ἀδαμαντοδέτοισι λύμαις·
νέοι γὰρ οἰακονόμοι
κρατοῦσ' Ὀλύμπου· νεοχμοῖς δὲ δὴ νόμοις Ζεὺς ἀθέτως κρατύνει,
τὰ πρὶν δὲ πελώρια νῦν ἀϊστοῖ.

ΠΡΟΜΗΘΕΥΣ.

εἰ γάρ μ' ὑπὸ γῆν νέρθεν τ' Ἅιδου
τοῦ νεκροδέγμονος εἰς ἀπέραντον
Τάρταρον ἧκεν,
δεσμοῖς ἀλύτοις ἀγρίοις πελάσας,
ὡς μήτε θεὸς μήτε τις ἄλλος
τοῖσδ' ἐπεγήθει.
νῦν δ' αἰθέριον κίνυγμ' ὁ τάλας
ἐχθροῖς ἐπίχαρτα πέπονθα.

ΧΟΡΟΣ.

τίς ὧδε τλησικάρδιος
θεῶν, ὅτῳ τάδ' ἐπιχαρῆ;
τίς οὐ ξυνασχαλᾷ κακοῖς
τεοῖσι, δίχα γε Διός; ὁ δ' ἐπικότως ἀεὶ
τιθέμενος ἄγναμπτον νόον,
δάμναται οὐρανίαν
γένναν· οὐδὲ λήξει, πρὶν ἂν ἢ κορέσῃ κέαρ, ἢ παλάμᾳ τινὶ
τὰν δυσάλωτον ἕλῃ τις ἀρχάν.

ΠΡΟΜΗΘΕΥΣ.

ἦ μὴν ἔτ' ἐμοῦ, καίπερ κρατεραῖς
ἐν γυιοπέδαις αἰκιζομένου,
χρείαν ἕξει μακάρων πρύτανις,
δεῖξαι τὸ νέον βούλευμ' ὑφ' ὅτου
σκῆπτρον τιμάς τ' ἀποσυλᾶται.
καί μ' οὔτι μελιγλώσσοις πειθοῦς
ἐπαοιδαῖσιν
θέλξει, στερεάς τ' οὔποτ' ἀπειλὰς
πτήξας τόδ' ἐγὼ καταμηνύσω,
πρὶν ἂν ἐξ ἀγρίων δεσμῶν χαλάσῃ,
ποινάς τε τίνειν
τῆσδ' αἰκίας ἐθελήσῃ.

128 — 135. = 144 — 151.
159 — 166. = 178 — 185.

ΧΟΡΟΣ.
σὺ μὲν θρασύς τε καὶ πικραῖς
δύαισιν οὐδὲν ἐπιχαλᾷς,
ἄγαν δ' ἐλευθεροστομεῖς.
ἐμὰς δὲ φρένας ἐρέθισε διάτορος φόβος·
δέδια γὰρ ἀμφὶ σαῖς τύχαις,
πᾶ ποτε τῶνδε πόνων
χρή σε τέρμα κέλσαντ' ἐσιδεῖν. ἀκίχητα γὰρ
ἤθεα καὶ κέαρ
ἀπαράμυθον ἔχει Κρόνου παῖς.
ΠΡΟΜΗΘΕΥΣ.
οἶδ' ὅτι τραχὺς καὶ παρ' ἑαυτῷ
τὸ δίκαιον ἔχων Ζεύς· ἀλλ' ἔμπας
μαλακογνώμων
ἔσται ποθ', ὅταν ταύτῃ ῥαισθῇ·
τὴν δ' ἀτέραμνον στορέσας ὀργὴν
εἰς ἀρθμὸν ἐμοὶ καὶ φιλότητα
σπεύδων σπεύδοντί ποθ' ἥξει.
ΧΟΡΟΣ.
πάντ' ἐκκάλυψον καὶ γέγων' ἡμῖν λόγον,
ποίῳ λαβών σε Ζεὺς ἐπ' αἰτιάματι,
οὕτως ἀτίμως καὶ πικρῶς αἰκίζεται·
δίδαξον ἡμᾶς, εἴ τι μὴ βλάπτει λόγῳ.
ΠΡΟΜΗΘΕΥΣ.
ἀλγεινὰ μέν μοι καὶ λέγειν ἐστὶν τάδε,
ἄλγος δὲ σιγᾶν, πανταχῇ δὲ δύσποτμα.
ἐπεὶ τάχιστ' ἤρξαντο δαίμονες χόλου
στάσις τ' ἐν ἀλλήλοισιν ὠροθύνετο,
οἱ μὲν θέλοντες ἐκβαλεῖν ἕδρας Κρόνον,
ὡς Ζεὺς ἀνάσσοι δῆθεν, οἱ δὲ τοὔμπαλιν
σπεύδοντες, ὡς Ζεὺς μήποτ' ἄρξειεν θεῶν,
ἐνταῦθ' ἐγὼ τὰ λῷστα βουλεύων πιθεῖν
Τιτᾶνας, Οὐρανοῦ τε καὶ Χθονὸς τέκνα,
οὐκ ἠδυνήθην· αἱμύλας δὲ μηχανὰς
ἀτιμάσαντες καρτεροῖς φρονήμασιν
ᾤοντ' ἀμοχθὶ πρὸς βίαν τε δεσπόσειν·
ἐμοὶ δὲ μήτηρ οὐχ ἅπαξ μόνον Θέμις
καὶ Γαῖα, πολλῶν ὀνομάτων μορφὴ μία,
τὸ μέλλον ᾗ κραίνοιτο προὐτεθεσπίκει,
ὡς οὐ κατ' ἰσχὺν οὐδὲ πρὸς τὸ καρτερὸν
χρείη, δόλῳ δὲ τοὺς ὑπερέχοντας κρατεῖν.
τοιαῦτ' ἐμοῦ λόγοισιν ἐξηγουμένου
οὐκ ἠξίωσαν οὐδὲ προσβλέψαι τὸ πᾶν.
κράτιστα δή μοι τῶν παρεστώτων τότε
ἐφαίνετ' εἶναι προσλαβόντα μητέρα
ἑκόνθ' ἑκόντι Ζηνὶ συμπαραστατεῖν.
ἐμαῖς δὲ βουλαῖς Ταρτάρου μελαμβαθὴς
κευθμὼν καλύπτει τὸν παλαιγενῆ Κρόνον
αὐτοῖσι συμμάχοισι. τοιάδ' ἐξ ἐμοῦ
ὁ τῶν θεῶν τύραννος ὠφελημένος
κακαῖσι ποιναῖς ταῖσδέ μ' ἐξημείψατο.
ἔνεστι γάρ πως τοῦτο τῇ τυραννίδι
νόσημα, τοῖς φίλοισι μὴ πεποιθέναι.
ὃ δ' οὖν ἐρωτᾶτ', αἰτίαν καθ' ἥντινα
αἰκίζεταί με, τοῦτο δὴ σαφηνιῶ.
ὅπως τάχιστα τὸν πατρῷον ἐς θρόνον
καθέζετ', εὐθὺς δαίμοσιν νέμει γέρα
ἄλλοισιν ἄλλα καὶ διεστοιχίζετο
ἀρχήν· βροτῶν δὲ τῶν ταλαιπώρων λόγον
οὐκ ἔσχεν οὐδέν', ἀλλ' ἀϊστώσας γένος
τὸ πᾶν ἔχρῃζεν ἄλλο φιτῦσαι νέον.
καὶ τοῖσιν οὐδεὶς ἀντέβαινε πλὴν ἐμοῦ.
ἐγὼ δ' ἐτόλμησ'· ἐξελυσάμην βροτοὺς
τοῦ μὴ διαρραισθέντας εἰς Ἅιδου μολεῖν.
τῷ τοι τοιαῖσδε πημοναῖσι κάμπτομαι,
πάσχειν μὲν ἀλγειναῖσιν, οἰκτραῖσιν δ' ἰδεῖν·
θνητοὺς δ' ἐν οἴκτῳ προθέμενος, τούτου τυχεῖν
οὐκ ἠξιώθην αὐτός, ἀλλὰ νηλεῶς
ὧδ' ἐρρύθμισμαι, Ζηνὶ δυσκλεὴς θέα.
ΧΟΡΟΣ.
σιδηρόφρων τε κἀκ πέτρας εἰργασμένος
ὅστις, Προμηθεῦ, σοῖσιν οὐ ξυνασχαλᾷ
μόχθοις· ἐγὼ γὰρ οὔτ' ἂν εἰσιδεῖν τάδε
ἔχρῃζον εἰσιδοῦσά τ' ἠλγύνθην κέαρ.
ΠΡΟΜΗΘΕΥΣ.
καὶ μὴν φίλοις ἐλεινὸς εἰσορᾶν ἐγώ.
ΧΟΡΟΣ.
μή πού τι προὔβης τῶνδε καὶ περαιτέρω;
ΠΡΟΜΗΘΕΥΣ.
θνητούς γ' ἔπαυσα μὴ προδέρκεσθαι μόρον.
ΧΟΡΟΣ.
τὸ ποῖον εὑρὼν τῆσδε φάρμακον νόσου;
ΠΡΟΜΗΘΕΥΣ.
τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴκισα.
ΧΟΡΟΣ.
μέγ' ὠφέλημα τοῦτ' ἐδωρήσω βροτοῖς.
ΠΡΟΜΗΘΕΥΣ.
πρὸς τοῖσδε μέντοι πῦρ ἐγώ σφιν ὤπασα.
ΧΟΡΟΣ.
καὶ νῦν φλογωπὸν πῦρ ἔχουσ' ἐφήμεροι;
ΠΡΟΜΗΘΕΥΣ.
ἀφ' οὗ γε πολλὰς ἐκμαθήσονται τέχνας.
ΧΟΡΟΣ.
τοιοῖσδε δή σε Ζεὺς ἐπ' αἰτιάμασιν
αἰκίζεταί τε κοὐδαμῇ χαλᾷ κακῶν,
οὐδ' ἔστιν ἄθλου τέρμα σοι προκείμενον;
ΠΡΟΜΗΘΕΥΣ.
οὐκ ἄλλο γ' οὐδέν, πλὴν ὅταν κείνῳ δοκῇ.
ΧΟΡΟΣ.
δόξει δὲ πῶς; τίς ἐλπίς; οὐχ ὁρᾷς ὅτι
ἥμαρτες; ὡς δ' ἥμαρτες οὔτ' ἐμοὶ λέγειν
καθ' ἡδονὴν σοί τ' ἄλγος. ἀλλὰ ταῦτα μὲν
μεθῶμεν, ἄθλων δ' ἔκλυσιν ζήτει τινά.
ΠΡΟΜΗΘΕΥΣ.
ἐλαφρὸν ὅστις πημάτων ἔξω πόδα
ἔχει παραινεῖν νουθετεῖν τε τὸν κακῶς
πράσσοντ'· ἐγὼ δὲ ταῦθ' ἅπαντ' ἠπιστάμην.
ἑκὼν ἑκὼν ἥμαρτον, οὐκ ἀρνήσομαι·
θνητοῖς δ' ἀρήγων αὐτὸς εὑρόμην πόνους.
οὐ μήν τι ποιναῖς γ' ᾤόμην τοίαισί με
κατισχνανεῖσθαι πρὸς πέτραις πεδαρσίοις,
τυχόντ' ἐρήμου τοῦδ' ἀγείτονος πάγου.
καί μοι τὰ μὲν παρόντα μὴ δύρεσθ' ἄχη,
πέδοι δὲ βᾶσαι τὰς προσερπούσας τύχας
ἀκούσαθ', ὡς μάθητε διὰ τέλους τὸ πᾶν.
πείθεσθέ μοι, πείθεσθε, συμπονήσατε
τῷ νῦν μογοῦντι. ταὐτά τοι πλανωμένη
πρὸς ἄλλοτ' ἄλλον πημονὴ προσιζάνει.
ΧΟΡΟΣ.
οὐκ ἀκούσαις ἐπεθώϋξας

τοῦτο, Προμηθεῦ.
καὶ νῦν ἐλαφρῷ ποδὶ κραιπνόσυτον
θᾶκον προλιποῦσ',
αἰθέρα θ' ἁγνὸν πόρον οἰωνῶν
ὀκριοέσσῃ χθονὶ τῇδε πελῶ·
τοὺς σοὺς δὲ πόνους
χρῄζω διὰ παντὸς ἀκοῦσαι.

ΩΚΕΑΝΟΣ.

ἥκω δολιχῆς τέρμα κελεύθου
διαμειψάμενος πρὸς σέ, Προμηθεῦ,
τὸν πτερυγωκῆ τόνδ' οἰωνὸν
γνώμῃ στομίων ἄτερ εὐθύνων·
ταῖς σαῖς δὲ τύχαις, ἴσθι, συναλγῶ.
τό τε γάρ με, δοκῶ, ξυγγενὲς οὕτως
ἐσαναγκάζει,
χωρίς τε γένους οὐκ ἔστιν ὅτῳ
μείζονα μοῖραν νείμαιμ' ἢ σοί.
γνώσει δὲ τάδ' ὡς ἔτυμ', οὐδὲ μάτην
χαριτογλωσσεῖν ἔνι μοι· φέρε γὰρ
σήμαιν' ὅ τι χρή σοι ξυμπράσσειν·
οὐ γάρ ποτ' ἐρεῖς ὡς Ὠκεανοῦ
φίλος ἐστὶ βεβαιότερός σοι.

ΠΡΟΜΗΘΕΥΣ.

ἔα, τί χρῆμα; καὶ σὺ δὴ πόνων ἐμῶν
ἥκεις ἐπόπτης; πῶς ἐτόλμησας, λιπὼν
ἐπώνυμόν τε ῥεῦμα καὶ πετρηρεφῆ
αὐτόκτιτ' ἄντρα, τὴν σιδηρομήτορα
ἐλθεῖν ἐς αἶαν; ἢ θεωρήσων τύχας
ἐμὰς ἀφῖξαι καὶ ξυνασχαλῶν κακοῖς;
δέρκου θέαμα, τόνδε τὸν Διὸς φίλον,
τὸν συγκαταστήσαντα τὴν τυραννίδα,
οἵαις ὑπ' αὐτοῦ πημοναῖσι κάμπτομαι.

ΩΚΕΑΝΟΣ.

ὁρῶ, Προμηθεῦ, καὶ παραινέσαι γέ σοι
θέλω τὰ λῷστα, καίπερ ὄντι ποικίλῳ.
γίγνωσκε σαυτὸν καὶ μεθάρμοσαι τρόπους
νέους· νέος γὰρ καὶ τύραννος ἐν θεοῖς.
εἰ δ' ὧδε τραχεῖς καὶ τεθηγμένους λόγους
ῥίψεις, τάχ' ἄν σου καὶ μακρὰν ἀνωτέρω
θακῶν κλύοι Ζεύς, ὥστε σοι τὸν νῦν χόλον
παρόντα μόχθων παιδιὰν εἶναι δοκεῖν.
ἀλλ', ὦ ταλαίπωρ', ἃς ἔχεις ὀργὰς ἄφες,
ζήτει δὲ τῶνδε πημάτων ἀπαλλαγάς.
ἀρχαῖ' ἴσως σοι φαίνομαι λέγειν τάδε·
τοιαῦτα μέντοι τῆς ἄγαν ὑψηγόρου
γλώσσης, Προμηθεῦ, τἀπίχειρα γίγνεται.
σὺ δ' οὐδέπω ταπεινὸς οὐδ' εἴκεις κακοῖς,
πρὸς τοῖς παροῦσι δ' ἄλλα προσλαβεῖν θέλεις.
οὔκουν ἔμοιγε χρώμενος διδασκάλῳ
πρὸς κέντρα κῶλον ἐκτενεῖς, ὁρῶν ὅτι
τραχὺς μόναρχος οὐδ' ὑπεύθυνος κρατεῖ.
καὶ νῦν ἐγὼ μὲν εἶμι καὶ πειράσομαι
ἐὰν δύνωμαι τῶνδέ σ' ἐκλῦσαι πόνων·
σὺ δ' ἡσύχαζε μηδ' ἄγαν λαβροστόμει,
ἢ οὐκ οἶσθ' ἀκριβῶς ὢν περισσόφρων ὅτι
γλώσσῃ ματαίᾳ ζημία προστρίβεται;

ΠΡΟΜΗΘΕΥΣ.

ζηλῶ σ' ὁθούνεκ' ἐκτὸς αἰτίας κυρεῖς,
πάντων μετασχὼν καὶ τετολμηκὼς ἐμοί.
καὶ νῦν ἔασον μηδέ σοι μελησάτω.
πάντως γὰρ οὐ πείσεις νιν· οὐ γὰρ εὐπιθής.
πάπταινε δ' αὐτὸς μή τι πημανθῇς ὁδῷ.

ΩΚΕΑΝΟΣ.

πολλῷ γ' ἀμείνων τοὺς πέλας φρενοῦν ἔφυς
ἢ σαυτόν· ἔργῳ κοὐ λόγῳ τεκμαίρομαι.
ὁρμώμενον δὲ μηδαμῶς ἀντισπάσῃς.
αὐχῶ γὰρ αὐχῶ τήνδε δωρεὰν ἐμοὶ
δώσειν Δί', ὥστε τῶνδέ σ' ἐκλῦσαι πόνων.

ΠΡΟΜΗΘΕΥΣ.

τὰ μέν σ' ἐπαινῶ κοὐδαμῇ λήξω ποτέ·
προθυμίας γὰρ οὐδὲν ἐλλείπεις. ἀτὰρ
μηδὲν πόνει· μάτην γὰρ οὐδὲν ὠφελῶν
ἐμοὶ πονήσεις, εἴ τι καὶ πονεῖν θέλεις.
ἀλλ' ἡσύχαζε σαυτὸν ἐκποδὼν ἔχων·
ἐγὼ γὰρ οὐκ εἰ δυστυχῶ, τοῦδ' οὕνεκα
θέλοιμ' ἂν ὡς πλείστοισι πημονὰς τυχεῖν.

ΩΚΕΑΝΟΣ.

οὐ δῆτ', ἐπεί με καὶ κασιγνήτου τύχαι
τείρουσ' Ἄτλαντος, ὃς πρὸς ἑσπέρους τόπους
ἕστηκε κίον' οὐρανοῦ τε καὶ χθονὸς
ὤμοιν ἐρείδων, ἄχθος οὐκ εὐάγκαλον.
τὸν γηγενῆ τε Κιλικίων οἰκήτορα
ἄντρων ἰδὼν ᾤκτειρα, δάϊον τέρας,
ἑκατογκάρηνον πρὸς βίαν χειρούμενον
Τυφῶνα θοῦρον, πᾶσιν ὃς ἀνέστη θεοῖς,
σμερδναῖσι γαμφηλαῖσι συρίζων φόνον·
ἐξ ὀμμάτων δ' ἤστραπτε γοργωπὸν σέλας,
ὡς τὴν Διὸς τυραννίδ' ἐκπέρσων βίᾳ·
ἀλλ' ἦλθεν αὐτῷ Ζηνὸς ἄγρυπνον βέλος,
καταιβάτης κεραυνὸς ἐκπνέων φλόγα,
ὃς αὐτὸν ἐξέπληξε τῶν ὑψηγόρων
κομπασμάτων. φρένας γὰρ εἰς αὐτὰς τυπεὶς
ἐφεψαλώθη κἀξεβροντήθη σθένος.
καὶ νῦν ἀχρεῖον καὶ παρήορον δέμας
κεῖται στενωποῦ πλησίον θαλασσίου
ἰπούμενος ῥίζαισιν Αἰτναίαις ὕπο·
κορυφαῖς δ' ἐν ἄκραις ἥμενος μυδροκτυπεῖ
Ἥφαιστος, ἔνθεν ἐκραγήσονταί ποτε
ποταμοὶ πυρὸς δάπτοντες ἀγρίαις γνάθοις
τῆς καλλικάρπου Σικελίας λευροὺς γύας·
τοιόνδε Τυφὼς ἐξαναζέσει χόλον
θερμοῖς ἀπλήστου βέλεσι πυρπνόου ζάλης,
καίπερ κεραυνῷ Ζηνὸς ἠνθρακωμένος.

ΠΡΟΜΗΘΕΥΣ.

σὺ δ' οὐκ ἄπειρος, οὐδ' ἐμοῦ διδασκάλου
χρῄζεις· σεαυτὸν σῷζ' ὅπως ἐπίστασαι·
ἐγὼ δὲ τὴν παροῦσαν ἀντλήσω τύχην,
ἔς τ' ἂν Διὸς φρόνημα λωφήσῃ χόλου.

ΩΚΕΑΝΟΣ.

οὔκουν, Προμηθεῦ, τοῦτο γιγνώσκεις ὅτι
ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι;

ΠΡΟΜΗΘΕΥΣ.

ἐάν τις ἐν καιρῷ γε μαλθάσσῃ κέαρ
καὶ μὴ σφριγῶντα θυμὸν ἰσχναίνῃ βίᾳ.

ΩΚΕΑΝΟΣ.

ἐν τῷ προμηθεῖσθαι δὲ καὶ τολμᾶν τίνα
ὁρᾷς ἐνοῦσαν ζημίαν; δίδασκέ με.

ΠΡΟΜΗΘΕΥΣ.

μόχθον περισσὸν κουφόνουν τ' εὐηθίαν.

ΩΚΕΑΝΟΣ.
ἔα με τήνδε τὴν νόσον νοσεῖν, ἐπεὶ
κέρδιστον εὖ φρονοῦντα μὴ δοκεῖν φρονεῖν.
ΠΡΟΜΗΘΕΥΣ.
ἐμὸν δοκήσει τἀμπλάκημ' εἶναι τόδε.
ΩΚΕΑΝΟΣ.
σαφῶς μ' ἐς οἶκον σὸς λόγος στέλλει πάλιν.
ΠΡΟΜΗΘΕΥΣ.
μὴ γάρ σε θρῆνος οὑμὸς εἰς ἔχθραν βάλῃ.
ΩΚΕΑΝΟΣ.
ἦ τῷ νέον θακοῦντι παγκρατεῖς ἕδρας;
ΠΡΟΜΗΘΕΥΣ.
τούτου φυλάσσου μή ποτ' ἀχθεσθῇ κέαρ.
ΩΚΕΑΝΟΣ.
ἡ σή, Προμηθεῦ, ξυμφορὰ διδάσκαλος.
ΠΡΟΜΗΘΕΥΣ.
στέλλου, κομίζου, σῷζε τὸν παρόντα νοῦν.
ΩΚΕΑΝΟΣ.
ὁρμωμένῳ μοι τόνδ' ἐθώϋξας λόγον.
λευρὸν γὰρ οἶμον αἰθέρος ψαίρει πτεροῖς
τετρασκελὴς οἰωνός· ἄσμενος δέ τἂν
σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ.
ΧΟΡΟΣ.
στένω σε τᾶς οὐλομένας τύχας, Προμηθεῦ;
δακρυσίστακτον δ' ἀπ' ὄσσων ῥαδινῶν ῥέος παρειὰν
νοτίοις ἔτεγξε παγαῖς· ἀμέγαρτα γὰρ τάδε Ζεὺς
ἰδίοις νόμοις κρατύνων ὑπερήφανον θεοῖσι
τοῖσι πάρος δείκνυσιν αἰχμάν.
πρόπασα δ' ἤδη στονόεν λέλακε χώρα,
μεγαλοσχήμονά τ' ἀρχαιοπρεπῆ στένουσι τὰν σὰν
ξυνομαιμόνων τε τιμάν, ὁπόσοι τ' ἔποικον ἁγνᾶς
Ἀσίας ἕδος νέμονται, μεγαλοστόνοισι σοῖσι
πήμασι συγκάμνουσι θνητοί·
Κολχίδος τε γᾶς ἔνοικοι
παρθένοι, μάχας ἄτρεστοι,
καὶ Σκύθης ὅμιλος, οἳ γᾶς
ἔσχατον τόπον ἀμφὶ Μαιῶτιν ἔχουσι λίμναν,
Ἀραβίας τ' ἄρειον ἄνθος,
ὑψίκρημνόν θ' οἳ πόλισμα
Καυκάσου πέλας νέμονται,
δάϊος στρατὸς, ὀξυπρῴροισι βρέμων ἐν αἰχμαῖς.
μόνον δὴ πρόσθεν ἄλλον ἐν πόνοις
δαμέντ' ἀκαμαντοδέτοις Τιτᾶνα λύμαις
εἰσιδόμαν θεὸν Ἄτλαν,
ὃς αἰὲν ὑπέροχον σθένος κραταιὸν
οὐράνιόν τε πόλον νώτοις ὑποστεγάζει.
βοᾷ δὲ πόντιος κλύδων
ξυμπίτνων, στένει βυθὸς,
κελαινὸς Ἄϊδος δ' ὑποβρέμει μυχὸς γᾶς,
παγαί θ' ἁγνορύτων ποταμῶν στένουσιν ἄλγος οἰκτρόν.
ΠΡΟΜΗΘΕΥΣ.
μή τοι χλιδῇ δοκεῖτε μηδ' αὐθαδίᾳ
σιγᾶν με· συννοίᾳ δὲ δάπτομαι κέαρ,
ὁρῶν ἐμαυτὸν ὧδε προυσελούμενον.
καίτοι θεοῖσι τοῖς νέοις τούτοις γέρα

**397 — 405. = 406 — 414.**
**415 — 419. = 420 — 424.**

τίς ἄλλος ἢ 'γὼ παντελῶς διώρισεν;
ἀλλ' αὐτὰ σιγῶ. καὶ γὰρ εἰδυίαισιν ἂν
ὑμῖν λέγοιμι· τἀν βροτοῖς δὲ πήματα
ἀκούσαθ', ὥς σφας νηπίους ὄντας τὸ πρὶν
ἔννους ἔθηκα καὶ φρενῶν ἐπηβόλους.
λέξω δὲ, μέμψιν οὔτιν' ἀνθρώποις ἔχων,
ἀλλ' ὧν δέδωκ' εὔνοιαν ἐξηγούμενος·
οἳ πρῶτα μὲν βλέποντες ἔβλεπον μάτην,
κλύοντες οὐκ ἤκουον, ἀλλ' ὀνειράτων
ἀλίγκιοι μορφαῖσι τὸν μακρὸν χρόνον
ἔφυρον εἰκῆ πάντα, κοὔτε πλινθυφεῖς
δόμους προσείλους ᾖσαν, οὐ ξυλουργίαν·
κατώρυχες δ' ἔναιον ὥστ' ἀήσυροι
μύρμηκες ἄντρων ἐν μυχοῖς ἀνηλίοις.
ἦν δ' οὐδὲν αὐτοῖς οὔτε χείματος τέκμαρ
οὔτ' ἀνθεμώδους ἦρος οὔτε καρπίμου
θέρους βέβαιον, ἀλλ' ἄτερ γνώμης τὸ πᾶν
ἔπρασσον, ἔς τε δή σφιν ἀντολὰς ἐγὼ
ἄστρων ἔδειξα τάς τε δυσκρίτους δύσεις.
καὶ μὴν ἀριθμὸν ἔξοχον σοφισμάτων
ἐξεῦρον αὐτοῖς, γραμμάτων τε συνθέσεις,
μνήμην θ' ἁπάντων μουσομήτορ' ἐργάτιν.
κἄζευξα πρῶτος ἐν ζυγοῖσι κνώδαλα
ζεύγλαισι δουλεύοντα· σώμασίν θ' ὅπως
θνητοῖς μεγίστων διάδοχοι μοχθημάτων
γένοινθ', ὑφ' ἅρματ' ἤγαγον φιληνίους
ἵππους, ἄγαλμα τῆς ὑπερπλούτου χλιδῆς.
θαλασσόπλαγκτα δ' οὔτις ἄλλος ἀντ' ἐμοῦ
λινόπτερ' εὗρε ναυτίλων ὀχήματα.
τοιαῦτα μηχανήματ' ἐξευρὼν τάλας
βροτοῖσιν, αὐτὸς οὐκ ἔχω σόφισμ' ὅτῳ
τῆς νῦν παρούσης πημονῆς ἀπαλλαγῶ.
ΧΟΡΟΣ.
πέπονθας αἰκὲς πῆμ', ἀποσφαλεὶς φρενῶν
πλανᾷ, κακὸς δ' ἰατρὸς ὥς τις ἐς νόσον
πεσὼν ἀθυμεῖς καὶ σεαυτὸν οὐκ ἔχεις
εὑρεῖν ὁποίοις φαρμάκοις ἰάσιμος.
ΠΡΟΜΗΘΕΥΣ.
τὰ λοιπά μου κλύουσα θαυμάσει πλέον,
οἵας τέχνας τε καὶ πόρους ἐμησάμην.
τὸ μὲν μέγιστον, εἴ τις εἰς νόσον πέσοι,
οὐκ ἦν ἀλέξημ' οὐδὲν οὔτε βρώσιμον,
οὐ χριστὸν, οὔτε πιστὸν, ἀλλὰ φαρμάκων
χρείᾳ κατεσκέλλοντο, πρὶν ἐγώ σφίσιν
ἔδειξα κράσεις ἠπίων ἀκεσμάτων,
αἷς τὰς ἁπάσας ἐξαμύνονται νόσους.
τρόπους δὲ πολλοὺς μαντικῆς ἐστοίχισα,
κἄκρινα πρῶτος ἐξ ὀνειράτων ἃ χρὴ
ὕπαρ γενέσθαι, κληδόνας τε δυσκρίτους
ἐγνώρισ' αὐτοῖς· ἐνοδίους τε συμβόλους
γαμψωνύχων τε πτῆσιν οἰωνῶν σκεθρῶς
διώρισ', οἵτινές τε δεξιοὶ φύσιν
εὐωνύμους τε, καὶ δίαιταν ἥντινα
ἔχουσ' ἕκαστοι, καὶ πρὸς ἀλλήλους τίνες
ἔχθραι τε καὶ στέργηθρα καὶ συνεδρίαι·
σπλάγχνων τε λειότητα, καὶ χροιὰν τίνα
ἔχοντ' ἂν εἴη δαίμοσιν πρὸς ἡδονὴν,
χολῆς λοβοῦ τε ποικίλην εὐμορφίαν,
κνίσῃ τε κῶλα συγκαλυπτὰ καὶ μακρὰν
ὀσφὺν πυρώσας δυστέκμαρτον εἰς τέχνην

*ὤδωσα θνητούς· καὶ φλογωπὰ σήματα*
*ἐξωμμάτωσα, πρόσθεν ὄντ' ἐπάργεμα.*
*τοιαῦτα μὲν δὴ ταῦτ'· ἔνερθε δὲ χθονὸς*
*κεκρυμμέν' ἀνθρώποισιν ὠφελήματα,*
*χαλκὸν, σίδηρον, ἄργυρον, χρυσόν τε τίς*
*φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ;*
*οὐδεὶς, σάφ' οἶδα, μὴ μάτην φλῦσαι θέλων.*
*βραχεῖ δὲ μύθῳ πάντα συλλήβδην μάθε,*
*πᾶσαι τέχναι βροτοῖσιν ἐκ Προμηθέως.*

ΧΟΡΟΣ.

*μή νυν βροτοὺς μὲν ὠφέλει καιροῦ πέρα,*
*σαυτοῦ δ' ἀκήδει δυστυχοῦντος· ὡς ἐγὼ*
*εὔελπίς εἰμι τῶνδέ σ' ἐκ δεσμῶν ἔτι*
*λυθέντα μηδὲν μεῖον ἰσχύσειν Διός.*

ΠΡΟΜΗΘΕΥΣ.

*οὐ ταῦτα ταύτῃ μοῖρά πω τελεσφόρος*
*κρᾶναι πέπρωται, μυρίαις δὲ πημοναῖς*
*δύαις τε καμφθεὶς ὧδε δεσμὰ φυγγάνω·*
*τέχνη δ' ἀνάγκης ἀσθενεστέρα μακρῷ.*

ΧΟΡΟΣ.

*τίς οὖν ἀνάγκης ἐστὶν οἰακοστρόφος;*

ΠΡΟΜΗΘΕΥΣ.

*μοῖραι τρίμορφοι μνήμονές τ' Ἐρινύες.*

ΧΟΡΟΣ.

*τούτων ἄρα Ζεύς ἐστιν ἀσθενέστερος.*

ΠΡΟΜΗΘΕΥΣ.

*οὔκουν ἂν ἐκφύγοι γε τὴν πεπρωμένην.*

ΧΟΡΟΣ.

*τί γὰρ πέπρωται Ζηνὶ πλὴν ἀεὶ κρατεῖν;*

ΠΡΟΜΗΘΕΥΣ.

*τοῦτ' οὐκ ἔτ' ἂν πύθοιο μηδὲ λιπάρει.*

ΧΟΡΟΣ.

*ἦ πού τι σεμνόν ἐστιν ὃ ξυναμπέχεις.*

ΠΡΟΜΗΘΕΥΣ.

*ἄλλου λόγου μέμνησθε, τόνδε δ' οὐδαμῶς*
*καιρὸς γεγωνεῖν, ἀλλὰ συγκαλυπτέος*
*ὅσον μάλιστα· τόνδε γὰρ σώζων ἐγὼ*
*δεσμοὺς ἀεικεῖς καὶ δύας ἐκφυγγάνω.*

ΧΟΡΟΣ.

*μηδάμ' ὁ πάντα νέμων*
*θεῖτ' ἐμᾷ γνώμᾳ κράτος ἀντίπαλον Ζεὺς,*
*μηδ' ἐλινύσαιμι θεοὺς ὁσίαις θοίναις ποτινισ-σομένα*
*βουφόνοις, παρ' Ὠκεανοῦ πατρὸς ἄσβεστον πόρον,*
*μηδ' ἀλίτοιμι λόγοις·*
*ἀλλά μοι τόδ' ἐμμένοι*
*καὶ μήποτ' ἐκτακείη.*
*ἡδύ τι θαρσαλέαις*
*τὸν μακρὸν τείνειν βίον ἐλπίσι, φαναῖς*
*θυμὸν ἀλδαίνουσαν ἐν εὐφροσύναις. φρίσσω δέ σε δερκομένη*
*μυρίοις μόχθοις διακναιόμενον ***.*
*Ζῆνα γὰρ οὐ τρομέων*
*ἰδίᾳ γνώμῃ σέβει*
*θνατοὺς ἄγαν, Προμηθεῦ.*
*φέρ' ὅπως ἄχαρις χάρις, ὦ φίλος, εἰπὲ, ποῦ τίς ἀλκά;*

**526 — 535. = 536 — 544.**
**545 — 552. = 553 — 560.**

*τίς ἐφαμερίων ἄρηξις; οὐδ' ἐδέρχθης*
*ὀλιγοδρανίαν ἄκικυν,*
*ἰσόνειρον, ᾇ τὸ φωτῶν*
*ἀλαὸν *** γένος ἐμπεποδισμένον;*
*οὔποτε τὰν Διὸς ἁρμονίαν θνατῶν παρεξίασι βουλαί.*
*ἔμαθον τάδε σὰς προσιδοῦσ' ὀλοὰς τύχας, Προμηθεῦ.*
*τὸ διαμφίδιον δέ μοι μέλος προσέπτα*
*τόδ' ἐκεῖνό θ' ὅτ' ἀμφὶ λουτρὰ*
*καὶ λέχος σὸν ὑμεναίουν*
*ἰότατι γάμων, ὅτε τὰν ὁμοπάτριον*
*ἕδνοις ἄγαγες Ἡσιόναν πιθὼν δάμαρτα κοινόλεκτρον.*

ΙΩ.

*τίς γῆ; τί γένος; τίνα φῶ λεύσσειν*
*τόνδε χαλινοῖς ἐν πετρίνοισιν*
*χειμαζόμενον;*
*τίνος ἀμπλακίης ποιναῖς ὀλέκει;*
*σήμηνον ὅπῃ*
*γῆς ἡ μογερὰ πεπλάνημαι.*
*ἆ ἆ, ἔα ἔα·*
*χρίει τις αὖ με τὰν τάλαιναν οἶστρος,*
*εἴδωλον Ἄργου γηγενοῦς, ἄλευ δᾶ,*
*τὸν μυριωπὸν εἰσορῶσα βούταν.*
*ὁ δὲ πορεύεται δόλιον ὄμμ' ἔχων,*
*ὃν οὐδὲ κατθανόντα γαῖα κεύθει.*
*ἀλλά με τὰν τάλαιναν*
*ἐξ ἐνέρων περῶν κυνηγετεῖ,*
*πλανᾷ τε νῆστιν ἀνὰ τὰν παραλίαν ψάμμον.*
*ὑπὸ δὲ κηρόπλαστος ὀτοβεῖ δόναξ*
*ἀχέτας ὑπνοδόταν νόμον· ἰὼ ἰὼ, πόποι,*
*ποῖ, πόποι, ποῖ μ' ἄγουσι τηλέπλανοι πλάναι.*
*τί ποτέ μ', ὦ Κρόνιε*
*παῖ, τί ποτε ταῖσδ' ἐνέζευξας εὑ-*
*ρὼν ἁμαρτοῦσαν ἐν πημοναῖσιν,*
*ἒ ἕ, οἰστρηλάτῳ δὲ δείματι δειλαίαν*
*παράκοπον ὧδε τείρεις;*
*πυρί με φλέξον, ἢ χθονὶ κάλυψον, ἢ*
*ποντίοις δάκεσι δὸς βορὰν,*
*μηδέ μοι φθονήσῃς*
*εὐγμάτων, ἄναξ.*
*ἄδην με πολύπλανοι πλάναι*
*γεγυμνάκασιν, οὐδ' ἔχω μαθεῖν ὅπῃ*
*πημονὰς ἀλύξω.*
*κλύεις φθέγμα τᾶς βούκερω παρθένου;*

ΠΡΟΜΗΘΕΥΣ.

*πῶς δ' οὐ κλύω τῆς οἰστροδινήτου κόρης*
*τῆς Ἰναχείης; ἣ Διὸς θάλπει κέαρ*
*ἔρωτι, καὶ νῦν τοὺς ὑπερμήκεις δρόμους*
*Ἥρᾳ στυγητὸς πρὸς βίαν γυμνάζεται.*

ΙΩ.

*πόθεν ἐμοῦ σὺ πατρὸς ὄνομ' ἀπύεις.*
*εἰπέ μοι τᾷ μογερᾷ τίς ὤν, τίς ἄρα μ', ὦ τάλας,*
*τὰν ταλαίπωρον ὧδ' ἐτήτυμα προσθροεῖς,*
*θεόσυτόν τε νόσον*
*ὠνόμασας, ἃ μαραίνει με χρί-*
*ουσα κέντροισι φοιταλέοισιν.*
*ἒ ἕ. σκιρτημάτων δὲ νήστισιν αἰκίαις*

**574 — 588. = 593 — 606.**

λαβρόσυτος ἦλθον, Ἥρας
ἐπικότοισι μήδεσι δαμεῖσα. δυσ-
δαιμόνων δὲ τίνες οἳ, ἒ ἔ,
οἷ' ἐγὼ μογοῦσιν;
ἀλλά μοι τορῶς
τέκμηρον ὅ τι μ' ἐπαμμένει
παθεῖν, τί μῆχαρ, ἢ τί φάρμακον νόσου,
δεῖξον, εἴπερ οἶσθα·
θρόει, φράζε τᾷ δυσπλάνῳ παρθένῳ.

ΠΡΟΜΗΘΕΥΣ.

λέξω τορῶς σοι πᾶν ὅπερ χρῄζεις μαθεῖν,
οὐκ ἐμπλέκων αἰνίγματ', ἀλλ' ἁπλῷ λόγῳ,
ὥσπερ δίκαιον πρὸς φίλους οἴγειν στόμα.
πυρὸς βροτοῖς δοτῆρ' ὁρᾷς Προμηθέα.

ΙΩ.

ὦ κοινὸν ὠφέλημα θνητοῖσιν φανεὶς,
τλῆμον Προμηθεῦ, τοῦ δίκην πάσχεις τάδε;

ΠΡΟΜΗΘΕΥΣ.

ἄρμοι πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους.

ΙΩ.

οὔκουν πόροις ἂν τήνδε δωρεὰν ἐμοί;

ΠΡΟΜΗΘΕΥΣ.

λέγ' ἥντιν' αἰτεῖ· πᾶν γὰρ ἂν πύθοιό μου.

ΙΩ.

σήμηνον ὅστις ἐν φάραγγί σ' ὤχμασε.

ΠΡΟΜΗΘΕΥΣ.

βούλευμα μὲν τὸ δῖον, Ἡφαίστου δὲ χείρ.

ΙΩ.

ποινὰς δὲ ποίων ἀμπλακημάτων τίνεις;

ΠΡΟΜΗΘΕΥΣ.

τοσοῦτον ἀρκῶ σοι σαφηνίσαι μόνον.

ΙΩ.

καὶ πρός γε τούτοις τέρμα τῆς ἐμῆς πλάνης
δεῖξον τίς ἔσται τῇ ταλαιπώρῳ χρόνος.

ΠΡΟΜΗΘΕΥΣ.

τὸ μὴ μαθεῖν σοι κρεῖσσον ἢ μαθεῖν τάδε.

ΙΩ.

μήτοι με κρύψῃς τοῦθ' ὅπερ μέλλω παθεῖν.

ΠΡΟΜΗΘΕΥΣ.

ἀλλ' οὐ μεγαίρω τοῦδέ σοι δωρήματος.

ΙΩ.

τί δῆτα μέλλεις μὴ οὐ γεγωνίσκειν τὸ πᾶν;

ΠΡΟΜΗΘΕΥΣ.

φθόνος μὲν οὐδεὶς, σὰς δ' ὀκνῶ θρᾶξαι φρένας.

ΙΩ.

μή μου προκήδου μᾶσσον ὡς ἐμοὶ γλυκύ.

ΠΡΟΜΗΘΕΥΣ.

ἐπεὶ προθυμεῖ, χρὴ λέγειν· ἄκουε δή.

ΧΟΡΟΣ.

μήπω γε· μοῖραν δ' ἡδονῆς κἀμοὶ πόρε.
τὴν τῆσδε πρῶτον ἱστορήσωμεν νόσον,
αὐτῆς λεγούσης τὰς πολυφθόρους τύχας·
τὰ λοιπὰ δ' ἄθλων σοῦ διδαχθήτω πάρα.

ΠΡΟΜΗΘΕΥΣ.

σὸν ἔργον, Ἰοῖ, ταῖσδ' ὑπουργῆσαι χάριν,
ἄλλως τε πάντως καὶ κασιγνήταις πατρός.
ὡς τἀποκλαῦσαι κἀποδύρασθαι τύχας
ἐνταῦθ', ὅπη μέλλει τις οἴσεσθαι δάκρυ
πρὸς τῶν κλυόντων, ἀξίαν τριβὴν ἔχει.

ΙΩ.

οὐκ οἶδ' ὅπως ὑμῖν ἀπιστῆσαί με χρὴ,
σαφεῖ δὲ μύθῳ πᾶν ὅπερ προσχρῄζετε
πεύσεσθε· καίτοι καὶ λέγουσ' ὀδύρομαι
θεόσσυτον χειμῶνα καὶ διαφθορὰν
μορφῆς, ὅθεν μοι σχετλίᾳ προσέπτατο.
ἀεὶ γὰρ ὄψεις ἔννυχοι πολεύμεναι
ἐς παρθενῶνας τοὺς ἐμοὺς παρηγόρουν
λείοισι μύθοις· ὦ μέγ' εὔδαιμον κόρη,
τί παρθενεύει δαρὸν, ἐξόν σοι γάμου
τυχεῖν μεγίστου; Ζεὺς γὰρ ἱμέρου βέλει
πρὸς σοῦ τέθαλπται καὶ ξυναίρεσθαι Κύπριν
θέλει· σὺ δ', ὦ παῖ, μὴ 'πολακτίσῃς λέχος
τὸ Ζηνὸς, ἀλλ' ἔξελθε πρὸς Λέρνης βαθὺν
λειμῶνα, ποίμνας βουστάσεις τε πρὸς πατρὸς,
ὡς ἂν τὸ δῖον ὄμμα λωφήσῃ πόθου.
τοιοῖσδε πάσας εὐφρόνας ὀνείρασι
ξυνειχόμην δύστηνος, ἔς τε δὴ πατρὶ
ἔτλην γεγωνεῖν νυκτίφοιτ' ὀνείρατα.
ὁ δ' ἔς τε Πυθὼ κἀπὶ Δωδώνης πυκνοὺς
θεοπρόπους ἴαλλεν, ὡς μάθοι τί χρὴ
δρῶντ' ἢ λέγοντα δαίμοσιν πράσσειν φίλα.
ἧκον δ' ἀναγγέλλοντες αἰολοστόμους
χρησμοὺς ἀσήμους δυσκρίτως τ' εἰρημένους.
τέλος δ' ἐναργὴς βάξις ἦλθεν Ἰνάχῳ
σαφῶς ἐπισκήπτουσα καὶ μυθουμένη
ἔξω δόμων τε καὶ πάτρας ὠθεῖν ἐμὲ,
ἄφετον ἀλᾶσθαι γῆς ἐπ' ἐσχάτοις ὅροις·
κεἰ μὴ θέλοι, πυρωπὸν ἐκ Διὸς μολεῖν
κεραυνὸν, ὃς πᾶν ἐξαϊστώσοι γένος.
τοιοῖσδε πεισθεὶς Λοξίου μαντεύμασιν,
ἐξήλασέν με κἀπέκλεισε δωμάτων
ἄκουσαν ἄκων· ἀλλ' ἐπηνάγκαζέ νιν
Διὸς χαλινὸς πρὸς βίαν πράσσειν τάδε.
εὐθὺς δὲ μορφὴ καὶ φρένες διάστροφοι
ἦσαν, κεράστις δ', ὡς ὁρᾶτ', ὀξυστόμῳ
μύωπι χρισθεῖσ' ἐμμανεῖ σκιρτήματι
ᾖσσον πρὸς εὔποτόν τε Κερχνείας ῥέος
Λέρνης ἄκρην τε· βουκόλος δὲ γηγενὴς
ἄκρατος ὀργὴν Ἄργος ὡμάρτει, πυκνοῖς
ὄσσοις δεδορκὼς τοὺς ἐμοὺς κατὰ στίβους.
ἀπροσδόκητος δ' αὐτὸν ἀφνίδιος μόρος
τοῦ ζῆν ἀπεστέρησεν. οἰστρόπληξ δ' ἐγὼ
μάστιγι θείᾳ γῆν πρὸ γῆς ἐλαύνομαι.
κλύεις τὰ πραχθέντ'· εἰ δ' ἔχεις εἰπεῖν ὅ τι
λοιπὸν πόνων, σήμαινε· μηδέ μ' οἰκτίσας
ξύνθαλπε μύθοις ψευδέσιν· νόσημα γὰρ
αἴσχιστον εἶναί φημι συνθέτους λόγους.

ΧΟΡΟΣ.

ἔα ἔα, ἄπεχε, φεῦ·
οὔποτ' οὔποτ' ηὔχουν ξένους μολεῖσθαι λόγους
ἐς ἀκοὰν ἐμὰν,
οὐδ' ὧδε δυσθέατα καὶ δύσοιστα
πήματα, λύματα, δείματ' ἀμφήκει
κέντρῳ ψύχειν ψυχὰν ἐμάν·
ἰὼ ἰὼ μοῖρα μοῖρα,
πέφρικ' εἰσιδοῦσα πρᾶξιν Ἰοῦς.

ΠΡΟΜΗΘΕΥΣ.

πρό γε στενάζεις καὶ φόβου πλέα τις εἶ·
ἐπίσχες ἐς τ' ἂν καὶ τὰ λοιπὰ προσμάθῃς.

ΧΟΡΟΣ.

λέγ', ἐκδίδασκε· τοῖς νοσοῦσί τοι γλυκὺ
τὸ λοιπὸν ἄλγος προὐξεπίστασθαι τορῶς.

ΠΡΟΜΗΘΕΥΣ.

τὴν πρίν γε χρείαν ἠνύσασθ' ἐμοῦ πάρα
κούφως· μαθεῖν γὰρ τῆσδε πρῶτ' ἐχρῄζετε
τὸν ἀμφ' ἑαυτῆς ἆθλον ἐξηγουμένης·
τὰ λοιπὰ νῦν ἀκούσαθ', οἷα χρὴ πάθη
τλῆναι πρὸς Ἥρας τήνδε τὴν νεάνιδα.
σὺ δ', Ἰνάχειον σπέρμα, τοὺς ἐμοὺς λόγους
θυμῷ βάλ', ὡς ἂν τέρματ' ἐκμάθῃς ὁδοῦ.
πρῶτον μὲν ἐνθένδ' ἡλίου πρὸς ἀντολὰς
στρέψασα σαυτὴν στεῖχ' ἀνηρότους γύας·
Σκύθας δ' ἀφίξει νομάδας, οἳ πλεκτὰς στέγας
πεδάρσιοι ναίουσ' ἐπ' εὐκύκλοις ὄχοις,
ἑκηβόλοις τόξοισιν ἐξηρτημένοι·
οἷς μὴ πελάζειν, ἀλλ' ἁλιστόνοις πόδας
χρίμπτουσα ῥαχίαισιν ἐκπερᾶν χθόνα.
λαιᾶς δὲ χειρὸς οἱ σιδηροτέκτονες
οἰκοῦσι Χάλυβες, οὓς φυλάξασθαί σε χρή.
ἀνήμεροι γὰρ οὐδὲ πρόσπλαστοι ξένοις.
ἥξεις δ' Ὑβριστὴν ποταμὸν οὐ ψευδώνυμον,
ὃν μὴ περάσῃς, οὐ γὰρ εὔβατος περᾶν,
πρὶν ἂν πρὸς αὐτὸν Καύκασον μόλῃς, ὀρῶν
ὕψιστον, ἔνθα ποταμὸς ἐκφυσᾷ μένος
κροτάφων ἀπ' αὐτῶν. ἀστρογείτονας δὲ χρὴ
κορυφὰς ὑπερβάλλουσαν ἐς μεσημβρινὴν
βῆναι κέλευθον, ἔνθ' Ἀμαζόνων στρατὸν
ἥξει στυγάνορ', αἳ Θεμίσκυράν ποτε
κατοικιοῦσιν ἀμφὶ Θερμώδονθ', ἵνα
τραχεῖα πόντου Σαλμυδησία γνάθος
ἐχθρόξενος ναύταισι, μητρυιὰ νεῶν·
αὗταί σ' ὁδηγήσουσι καὶ μάλ' ἀσμένως.
ἰσθμὸν δ' ἐπ' αὐταῖς στενοπόροις λίμνης πύλαις
Κιμμερικὸν ἥξεις, ὃν θρασυσπλάγχνως σε χρὴ
λιποῦσαν αὐλῶν' ἐκπερᾶν Μαιωτικόν·
ἔσται δὲ θνητοῖς εἰσαεὶ λόγος μέγας
τῆς σῆς πορείας, Βόσπορος δ' ἐπώνυμος
κεκλήσεται. λιποῦσα δ' Εὐρώπης πέδον,
ἤπειρον ἥξεις Ἀσιάδ'. ἆρ' ὑμῖν δοκεῖ
ὁ τῶν θεῶν τύραννος ἐς τὰ πάνθ' ὁμῶς
βίαιος εἶναι; τῇδε γὰρ θνητῇ θεὸς
χρῄζων μιγῆναι τάσδ' ἐπέρριψεν πλάνας.
πικροῦ δ' ἔκυρσας, ὦ κόρη, τῶν σῶν γάμων
μνηστῆρος. οὓς γὰρ νῦν ἀκήκοας λόγους,
εἶναι δόκει σοὶ μηδέπω 'ν προοιμίοις.

ΙΩ.

ἰώ μοί μοι, ἒ ἔ.

ΠΡΟΜΗΘΕΥΣ.

σὺ δ' αὖ κέκραγας κἀναμυχθίζει· τί που
δράσεις, ὅταν τὰ λοιπὰ πυνθάνῃ κακά;

ΧΟΡΟΣ.

ἦ γάρ τι λοιπὸν τῇδε πημάτων ἐρεῖς;

ΠΡΟΜΗΘΕΥΣ.

δυσχείμερόν γε πέλαγος ἀτηρᾶς δύης.

ΙΩ.

τί δῆτ' ἐμοὶ ζῆν κέρδος, ἀλλ' οὐκ ἐν τάχει
ἔρριψ' ἐμαυτὴν τῆσδ' ἀπὸ στύφλου πέτρας,
ὅπως πέδῳ σκήψασα τῶν πάντων πόνων
ἀπηλλάγην; κρεῖσσον γὰρ εἰσάπαξ θανεῖν
ἢ τὰς ἁπάσας ἡμέρας πάσχειν κακῶς.

ΠΡΟΜΗΘΕΥΣ.

ἦ δυσπετῶς ἂν τοὺς ἐμοὺς ἄθλους φέροις,
ὅτῳ θανεῖν μέν ἐστιν οὐ πεπρωμένον·
αὕτη γὰρ ἦν ἂν πημάτων ἀπαλλαγή·
νῦν δ' οὐδέν ἐστι τέρμα μοι προκείμενον
μόχθων, πρὶν ἂν Ζεὺς ἐκπέσῃ τυραννίδος.

ΙΩ.

ἦ γάρ ποτ' ἐστὶν ἐκπεσεῖν ἀρχῆς Δία;

ΠΡΟΜΗΘΕΥΣ.

ἥδοι' ἄν, οἶμαι, τήνδ' ἰδοῦσα συμφοράν.

ΙΩ.

πῶς δ' οὐκ ἄν, ἥτις ἐκ Διὸς πάσχω κακῶς;

ΠΡΟΜΗΘΕΥΣ.

ὡς τοίνυν ὄντων τῶνδέ σοι μαθεῖν πάρα.

ΙΩ.

πρὸς τοῦ τύραννα σκῆπτρα συληθήσεται;

ΠΡΟΜΗΘΕΥΣ.

αὐτὸς πρὸς αὑτοῦ κενοφρόνων βουλευμάτων.

ΙΩ.

ποίῳ τρόπῳ; σήμηνον, εἰ μή τις βλάβη.

ΠΡΟΜΗΘΕΥΣ.

γαμεῖ γάμον τοιοῦτον ᾧ ποτ' ἀσχαλᾷ.

ΙΩ.

θέορτον, ἢ βρότειον; εἰ ῥητόν, φράσον.

ΠΡΟΜΗΘΕΥΣ.

τί δ' ὅντιν'; οὐ γὰρ ῥητὸν αὐδᾶσθαι τάδε.

ΙΩ.

ἦ πρὸς δάμαρτος ἐξανίσταται θρόνων;

ΠΡΟΜΗΘΕΥΣ.

ἣ τέξεταί γε παῖδα φέρτερον πατρός.

ΙΩ.

οὐδ' ἔστιν αὐτῷ τῆσδ' ἀποστροφὴ τύχης;

ΠΡΟΜΗΘΕΥΣ.

οὐ δῆτα, πρὶν ἔγωγ' ἂν ἐκ δεσμῶν λυθείς.

ΙΩ.

τίς οὖν ὁ λύσων σ' ἐστὶν ἄκοντος Διός;

ΠΡΟΜΗΘΕΥΣ.

τῶν σῶν τιν' αὐτὸν ἐκγόνων εἶναι χρεών.

ΙΩ.

πῶς εἶπας; ἦ 'μὸς παῖς σ' ἀπαλλάξει κακῶν;

ΠΡΟΜΗΘΕΥΣ.

τρίτος γε γένναν πρὸς δέκ' ἄλλαισιν γοναῖς.

ΙΩ.

ἥδ' οὐκ ἔτ' εὐξύμβλητος ἡ χρησμῳδία.

ΠΡΟΜΗΘΕΥΣ.

καὶ μηδὲ σαυτῆς ἐκμαθεῖν ζήτει πόνους.

ΙΩ.

μή μοι προτείνων κέρδος εἶτ' ἀποστέρει.

ΠΡΟΜΗΘΕΥΣ.

δυοῖν λόγοιν σε θατέρῳ δωρήσομαι.

ΙΩ.

ποίοιν; πρόδειξον αἵρεσίν τ' ἐμοὶ δίδου.

ΠΡΟΜΗΘΕΥΣ.

δίδωμ'· ἑλοῦ γάρ, ἢ πόνων τὰ λοιπά σοι
φράσω σαφηνῶς, ἢ τὸν ἐκλύσοντ' ἐμέ.

ΧΟΡΟΣ.

τούτων σὺ τὴν μὲν τῇδε, τὴν δ' ἐμοὶ χάριν
θέσθαι θέλησον, μηδ' ἀτιμάσῃς λόγους·
καὶ τῇδε μὲν γέγωνε τὴν λοιπὴν πλάνην,
ἐμοὶ δὲ τὸν λύσοντα· τοῦτο γὰρ ποθῶ.

ΠΡΟΜΗΘΕΥΣ.

ἐπεὶ προθυμεῖσθ', οὐκ ἐναντιώσομαι
τὸ μὴ οὐ γεγωνεῖν πᾶν ὅσον προσχρῄζετε.
σοὶ πρῶτον, Ἰοῖ, πολύδονον πλάνην φράσω,
ἣν ἐγγράφου σὺ μνήμοσιν δέλτοις φρενῶν.
ὅταν περάσῃς ῥεῖθρον ἠπείρων ὅρον,
πρὸς ἀντολὰς φλογῶπας ἡλιοστιβεῖς * * *
πόντου περῶσα φλοῖσβον, ἔς τ' ἂν ἐξίκῃ
πρὸς Γοργόνεια πεδία Κισθήνης, ἵνα
αἱ Φορκίδες ναίουσι δηναιαὶ κόραι
τρεῖς κυκνόμορφοι, κοινὸν ὄμμ' ἐκτημέναι,
μονόδοντες, ἃς οὔθ' ἥλιος προσδέρκεται
ἀκτῖσιν οὔθ' ἡ νύκτερος μήνη ποτέ.
πέλας δ' ἀδελφαὶ τῶνδε τρεῖς κατάπτεροι,
δρακοντόμαλλοι Γοργόνες βροτοστυγεῖς,
ἃς θνητὸς οὐδεὶς εἰσιδὼν ἕξει πνοάς·
τοιοῦτο μέν σοι τοῦτο φρούριον λέγω.
ἄλλην δ' ἄκουσον δυσχερῆ θεωρίαν·
ὀξυστόμους γὰρ Ζηνὸς ἀκραγεῖς κύνας
γρῦπας φύλαξαι, τόν τε μουνῶπα στρατὸν
Ἀριμασπὸν ἱπποβάμον', οἳ χρυσόρρυτον
οἰκοῦσιν ἀμφὶ νᾶμα Πλούτωνος πόρου·
τούτοις σὺ μὴ πέλαζε. τηλουρὸν δὲ γῆν
ἥξεις κελαινὸν φῦλον, οἳ πρὸς ἡλίου
ναίουσι πηγαῖς, ἔνθα ποταμὸς Αἰθίοψ.
τούτου παρ' ὄχθας ἕρφ', ἕως ἂν ἐξίκῃ
καταβασμὸν, ἔνθα Βυβλίνων ὀρῶν ἄπο
ἵησι σεπτὸν Νεῖλος εὔποτον ῥέος.
οὗτός σ' ὁδώσει τὴν τρίγωνον ἐς χθόνα
Νειλῶτιν, οὗ δὴ τὴν μακρὰν ἀποικίαν,
Ἰοῖ, πέπρωται σοί τε καὶ τέκνοις κτίσαι.
τῶν δ' εἴ τί σοι ψελλόν τε καὶ δυσεύρετον,
ἐπαναδίπλαζε, καὶ σαφῶς ἐκμάνθανε·
σχολὴ δὲ πλείων ἢ θέλω πάρεστί μοι.

ΧΟΡΟΣ.

εἰ μέν τι τῇδε λοιπὸν ἢ παρειμένον
ἔχεις γεγωνεῖν τῆς πολυφθόρου πλάνης,
λέγ'· εἰ δὲ πάντ' εἴρηκας, ἡμῖν αὖ χάριν
δὸς ἥντιν' αἰτούμεσθα, μέμνησαι δέ που.

ΠΡΟΜΗΘΕΥΣ.

τὸ πᾶν πορείας ἧδε τέρμ' ἀκήκοεν.
ὅπως δ' ἂν εἰδῇ μὴ μάτην κλύουσά μου,
ἃ πρὶν μολεῖν δεῦρ' ἐκμεμόχθηκεν φράσω,
τεκμήριον τοῦτ' αὐτὸ δοὺς μύθων ἐμῶν.
ὄχλον μὲν οὖν τὸν πλεῖστον ἐκλείψω λόγων,
πρὸς αὐτὸ δ' εἶμι τέρμα σῶν πλανημάτων.
ἐπεὶ γὰρ ἦλθες πρὸς Μολοσσὰ δάπεδα,
τὴν αἰπύνωτόν τ' ἀμφὶ Δωδώνην, ἵνα
μαντεῖα θῶκός τ' ἐστὶ Θεσπρωτοῦ Διός,
τέρας τ' ἄπιστον, αἱ προσήγοροι δρύες,
ὑφ' ὧν σὺ λαμπρῶς κοὐδὲν αἰνικτηρίως
προσηγορεύθης ἡ Διὸς κλεινὴ δάμαρ
μέλλουσ' ἔσεσθ', εἰ τῶνδε προσσαίνει σέ τι,
ἐντεῦθεν οἰστρήσασα τὴν παρακτίαν
κέλευθον ἦξας πρὸς μέγαν κόλπον Ῥέας,
ἀφ' οὗ παλιμπλάγκτοισι χειμάζει δρόμοις·
χρόνον δὲ τὸν μέλλοντα πόντιος μυχὸς,
σαφῶς ἐπίστασ', Ἰόνιος κεκλήσεται,
τῆς σῆς πορείας μνῆμα τοῖς πᾶσιν βροτοῖς.
σημεῖά σοι τάδ' ἐστὶ τῆς ἐμῆς φρενὸς,
ὡς δέρκεται πλέον τι τοῦ πεφασμένου.
τὰ λοιπὰ δ' ὑμῖν τῇδέ τ' ἐς κοινὸν φράσω,
ἐς ταυτὸν ἐλθὼν τῶν πάλαι λόγων ἴχνος.
ἔστιν πόλις Κάνωβος ἐσχάτη χθονὸς,
Νείλου πρὸς αὐτῷ στόματι καὶ προσχώματι·
ἐνταῦθα δή σε Ζεὺς τίθησιν ἔμφρονα,
ἐπαφῶν ἀταρβεῖ χειρὶ καὶ θιγὼν μόνον.
ἐπώνυμον δὲ τῶν Διὸς γεννημάτων
τέξεις κελαινὸν Ἔπαφον· ὃς καρπώσεται
ὅσην πλατύρρους Νεῖλος ἀρδεύει χθόνα·
πέμπτη δ' ἀπ' αὐτοῦ γέννα πεντηκοντάπαις
πάλιν πρὸς Ἄργος οὐχ ἑκοῦσ' ἐλεύσεται
θηλύσπορος, φεύγουσα συγγενῆ γάμον
ἀνεψιῶν· οἱ δ' ἐπτοημένοι φρένας,
κίρκοι πελειῶν οὐ μακρὰν λελειμμένοι,
ἥξουσι θηρεύσοντες οὐ θηρασίμους
γάμους, φθόνον δὲ σωμάτων ἕξει θεός·
Πελασγία δὲ δέξεται θηλυκτόνῳ
Ἄρει δαμέντων νυκτιφρουρήτῳ θράσει·
γυνὴ γὰρ ἄνδρ' ἕκαστον αἰῶνος στερεῖ,
δίθηκτον ἐν σφαγαῖσι βάψασα ξίφος·
τοιάδ' ἐπ' ἐχθροὺς τοὺς ἐμοὺς ἔλθοι Κύπρις.
μίαν δὲ παίδων ἵμερος θέλξει τὸ μὴ
κτεῖναι σύνευνον, ἀλλ' ἀπαμβλυνθήσεται
γνώμην· δυοῖν δὲ θάτερον βουλήσεται,
κλύειν ἄναλκις μᾶλλον ἢ μιαιφόνος·
αὕτη κατ' Ἄργος βασιλικὸν τέξει γένος.
μακροῦ λόγου δεῖ ταῦτ' ἐπεξελθεῖν τορῶς.
σπορᾶς γε μὴν ἐκ τῆσδε φύσεται θρασὺς
τόξοισι κλεινὸς, ὃς πόνων ἐκ τῶνδ' ἐμὲ
λύσει: τοιόνδε χρησμὸν ἡ παλαιγενὴς
μήτηρ ἐμοὶ διῆλθε Τιτανὶς Θέμις·
ὅπως δὲ χὤπη, ταῦτα δεῖ μακροῦ χρόνου
εἰπεῖν, σύ τ' οὐδὲν ἐκμαθοῦσα κερδανεῖς.

ΙΩ.

ἐλελεῦ ἐλελεῦ, ὑπό μ' αὖ σφάκελος
καὶ φρενοπληγεῖς μανίαι θάλπουσ',
οἴστρου δ' ἄρδις χρίει μ' ἄπυρος·
κραδία δὲ φόβῳ φρένα λακτίζει.
τροχοδινεῖται δ' ὄμμαθ' ἑλίγδην,
ἔξω δὲ δρόμου φέρομαι λύσσης
πνεύματι μάργῳ, γλώσσης ἀκρατής·
θολεροὶ δὲ λόγοι παίουσ' εἰκῇ
στυγνῆς πρὸς κύμασιν ἄτης.

ΧΟΡΟΣ.

ἦ σοφὸς ἦ σοφὸς ὃς
πρῶτος ἐν γνώμᾳ τόδ' ἐβάστασε καὶ γλώσσᾳ
διεμυθολόγησεν,
ὡς τὸ κηδεῦσαι καθ' ἑαυτὸν ἀριστεύει μακρῷ·
καὶ μήτε τῶν πλούτῳ διαθρυπτομένων
μήτε τῶν γέννᾳ μεγαλυνομένων
ὄντα χερνήταν ἐραστεῦσαι γάμων.
μήποτε μήποτέ μ', ὦ
* * * Μοῖραι λεχέων Διὸς εὐνάτειραν ἴδοισθε
πέλουσαν·
μηδὲ πλαθείην γαμέτᾳ τινὶ τῶν ἐξ οὐρανοῦ.
ταρβῶ γὰρ ἀστεργάνορα παρθενίαν
εἰσορῶσ' Ἰοῦς μέγα δαπτομέναν
δυσπλάνοις Ἥρας ἀλατείαις πόνων.

887 — 893. — 894 — 900.

ἐμοὶ δ᾽ ὅτι μὲν ὁμαλὸς ὁ γάμος
ἄφοβος, οὐ δέδια, μηδὲ κρεισσόνων θεῶν
ἔρως ἄφυκτον ὄμμα προσδράκοι με.
ἀπόλεμος ὅδε γ᾽ ὁ πόλεμος, ἄπορα
πόριμος· οὐδ᾽ ἔχω τίς ἂν γενοίμαν.
τὰν Διὸς γὰρ οὐχ ὁρῶ
μῆτιν ὅπα φύγοιμ᾽ ἄν.

ΠΡΟΜΗΘΕΥΣ.

ἦ μὴν ἔτι Ζεύς, καίπερ αὐθάδη φρονῶν,
ἔσται ταπεινός, οἷον ἐξαρτύεται
γάμον γαμεῖν· ὃς αὐτὸν ἐκ τυραννίδος
θρόνων τ᾽ ἄϊστον ἐκβαλεῖ· πατρὸς δ᾽ ἀρὰ
Κρόνου τότ᾽ ἤδη παντελῶς κρανθήσεται,
ἣν ἐκπιτνῶν ἠρᾶτο δηναιῶν θρόνων.
τοιῶνδε μόχθων ἐκτροπὴν οὐδεὶς θεῶν
δύναιτ᾽ ἂν αὐτῷ πλὴν ἐμοῦ δεῖξαι σαφῶς.
ἐγὼ τάδ᾽ οἶδα χᾧ τρόπῳ. πρὸς ταῦτα νῦν
θαρσῶν καθήσθω τοῖς πεδαρσίοις κτύποις
πιστός, τινάσσων τ᾽ ἐν χεροῖν πύρπνουν βέλος.
οὐδὲν γὰρ αὐτῷ ταῦτ᾽ ἐπαρκέσει τὸ μὴ οὐ
πεσεῖν ἀτίμως πτώματ᾽ οὐκ ἀνασχετά·
τοῖον παλαιστὴν νῦν παρασκευάζεται
ἐπ᾽ αὐτὸς αὐτῷ, δυσμαχώτατον τέρας·
ὃς δὴ κεραυνοῦ κρείσσον᾽ εὑρήσει φλόγα,
βροντῆς θ᾽ ὑπερβάλλοντα καρτερὸν κτύπον·
θαλασσίαν τε γῆς τινάκτειραν νόσον
τρίαιναν, αἰχμὴν τὴν Ποσειδῶνος, σκεδᾷ.
πταίσας δὲ τῷδε πρὸς κακῷ μαθήσεται
ὅσον τό τ᾽ ἄρχειν καὶ τὸ δουλεύειν δίχα.

ΧΟΡΟΣ.

σύ θην ἃ χρῄζεις, ταῦτ᾽ ἐπιγλωσσᾷ Διός.

ΠΡΟΜΗΘΕΥΣ.

ἅπερ τελεῖται, πρὸς δ᾽ ἃ βούλομαι λέγω.

ΧΟΡΟΣ.

καὶ προσδοκᾶν χρὴ δεσπόσειν Ζηνός τινά;

ΠΡΟΜΗΘΕΥΣ.

καὶ τῶνδέ γ᾽ ἕξει δυσλοφωτέρους πόνους.

ΧΟΡΟΣ.

πῶς δ᾽ οὐχὶ ταρβεῖς τοιάδ᾽ ἐκρίπτων ἔπη;

ΠΡΟΜΗΘΕΥΣ.

τί δ᾽ ἂν φοβοίμην ᾧ θανεῖν οὐ μόρσιμον;

ΧΟΡΟΣ.

ἀλλ᾽ ἆθλον ἂν σοι τοῦδέ γ᾽ ἀλγίω πόροι.

ΠΡΟΜΗΘΕΥΣ.

ὁ δ᾽ οὖν ποιείτω· πάντα προσδοκητά μοι.

ΧΟΡΟΣ.

οἱ προσκυνοῦντες τὴν Ἀδράστειαν σοφοί.

ΠΡΟΜΗΘΕΥΣ.

σέβου, προσεύχου, θῶπτε τὸν κρατοῦντ᾽ ἀεί.
ἐμοὶ δ᾽ ἔλασσον Ζηνὸς ἢ μηδὲν μέλει.
δράτω, κρατείτω τόνδε τὸν βραχὺν χρόνον,
ὅπως θέλει· δαρὸν γὰρ οὐκ ἄρξει θεοῖς.
ἀλλ᾽ εἰσορῶ γὰρ τόνδε τὸν Διὸς τρόχιν,
τὸν τοῦ τυράννου τοῦ νέου διάκονον·
πάντως τι καινὸν ἀγγελῶν ἐλήλυθε.

ΕΡΜΗΣ.

σὲ τὸν σοφιστήν, τὸν πικρῶς ὑπέρπικρον,
τὸν ἐξαμαρτόντ᾽ εἰς θεούς, ἐφημέροις
πορόντα τιμάς, τὸν πυρὸς κλέπτην λέγω·
πατὴρ ἄνωγέ σ᾽ οὕστινας κομπεῖς γάμους
αὐδᾶν, πρὸς ὧν τ᾽ ἐκεῖνος ἐκπίπτει κράτους·
καὶ ταῦτα μέντοι μηδὲν αἰνικτηρίως,
ἀλλ᾽ αὔθ᾽ ἕκαστ᾽ ἔκφραζε· μηδέ μοι διπλᾶς
ὁδούς, Προμηθεῦ, προσβάλῃς· ὁρᾷς δ᾽ ὅτι
Ζεὺς τοῖς τοιούτοις οὐχὶ μαλθακίζεται.

ΠΡΟΜΗΘΕΥΣ.

σεμνόστομός γε καὶ φρονήματος πλέως
ὁ μῦθός ἐστιν, ὡς θεῶν ὑπηρέτου.
νέον νέοι κρατεῖτε καὶ δοκεῖτε δὴ
ναίειν ἀπενθῆ πέργαμ᾽· οὐκ ἐκ τῶνδ᾽ ἐγὼ
δισσοὺς τυράννους ἐκπεσόντας ᾐσθόμην;
τρίτον δὲ τὸν νῦν κοιρανοῦντ᾽ ἐπόψομαι
αἴσχιστα καὶ τάχιστα. μή τί σοι δοκῶ
ταρβεῖν ὑποπτήσσειν τε τοὺς νέους θεούς;
πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω. σὺ δὲ
κέλευθον ἥνπερ ἦλθες ἐγκόνει πάλιν·
πεύσει γὰρ οὐδὲν ὧν ἀνιστορεῖς ἐμέ.

ΕΡΜΗΣ.

τοιοῖσδε μέντοι καὶ πρὶν αὐθαδίσμασιν
ἐς τάσδε σαυτὸν πημονὰς καθώρμισας.

ΠΡΟΜΗΘΕΥΣ.

τῆς σῆς λατρείας τὴν ἐμὴν δυσπραξίαν,
σαφῶς ἐπίστασ᾽, οὐκ ἂν ἀλλάξαιμ᾽ ἐγώ.
κρεῖσσον γὰρ οἶμαι τῇδε λατρεύειν πέτρᾳ
ἢ πατρὶ φῦναι Ζηνὶ πιστὸν ἄγγελον.
οὕτως ὑβρίζειν τοὺς ὑβρίζοντας χρεών.

ΕΡΜΗΣ.

χλιδᾶν ἔοικας τοῖς παροῦσι πράγμασι.

ΠΡΟΜΗΘΕΥΣ.

χλιδῶ; χλιδῶντας ὧδε τοὺς ἐμοὺς ἐγὼ
ἐχθροὺς ἴδοιμι· καὶ σὲ δ᾽ ἐν τούτοις λέγω.

ΕΡΜΗΣ.

ἦ κἀμὲ γάρ τι ξυμφοραῖς ἐπαιτιᾷ;

ΠΡΟΜΗΘΕΥΣ.

ἁπλῷ λόγῳ τοὺς πάντας ἐχθαίρω θεούς,
ὅσοι παθόντες εὖ κακοῦσί μ᾽ ἐκδίκως.

ΕΡΜΗΣ.

κλύω σ᾽ ἐγὼ μεμηνότ᾽ οὐ σμικρὰν νόσον.

ΠΡΟΜΗΘΕΥΣ.

νοσοῖμ᾽ ἄν, εἰ νόσημα τοὺς ἐχθροὺς στυγεῖν.

ΕΡΜΗΣ.

εἴης φορητὸς οὐκ ἄν, εἰ πράσσοις καλῶς.

ΠΡΟΜΗΘΕΥΣ.

ὤμοι.

ΕΡΜΗΣ.

τόδε Ζεὺς τοὔπος οὐκ ἐπίσταται.

ΠΡΟΜΗΘΕΥΣ.

ἀλλ᾽ ἐκδιδάσκει πάνθ᾽ ὁ γηράσκων χρόνος.

ΕΡΜΗΣ.

καὶ μὴν σύ γ᾽ οὔπω σωφρονεῖν ἐπίστασαι.

ΠΡΟΜΗΘΕΥΣ.

σὲ γὰρ προσηύδων οὐκ ἂν ὄνθ᾽ ὑπηρέτην.

ΕΡΜΗΣ.

ἐρεῖν ἔοικας οὐδὲν ὧν χρῄζει πατήρ.

ΠΡΟΜΗΘΕΥΣ.

καὶ μὴν ὀφείλων γ᾽ ἂν τίνοιμ᾽ αὐτῷ χάριν.

ΕΡΜΗΣ.

ἐκερτόμησας δῆθεν ὡς παῖδ᾽ ὄντα με.

ΠΡΟΜΗΘΕΥΣ.

οὐ γὰρ σὺ παῖς τε κἄτι τοῦδ᾽ ἀνούστερος,

εἰ προσδοκᾷς ἐμοῦ τι πευσεῖσθαι πάρα;
οὐκ ἔστιν αἴκισμ' οὐδὲ μηχάνημ' ὅτῳ
προτρέψεταί με Ζεὺς γεγωνῆσαί τάδε,
πρὶν ἂν χαλασθῇ δεσμὰ λυμαντήρια.
πρὸς ταῦτα ῥιπτέσθω μὲν αἰθαλοῦσσα φλὸξ,
λευκοπτέρῳ δὲ νιφάδι καὶ βροντήμασι
χθονίοις κυκάτω πάντα καὶ ταρασσέτω·
γνάμψει γὰρ οὐδὲν τῶνδέ μ' ὥστε καὶ φράσαι
πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος.

ΕΡΜΗΣ.

ὅρα νυν εἴ σοι ταῦτ' ἀρωγὰ φαίνεται.

ΠΡΟΜΗΘΕΥΣ.

ὦπται πάλαι δὴ καὶ βεβούλευται τάδε.

ΕΡΜΗΣ.

τόλμησον, ὦ μάταιε, τόλμησόν ποτε
πρὸς τὰς παρούσας πημονὰς ὀρθῶς φρονεῖν.

ΠΡΟΜΗΘΕΥΣ.

ὀχλεῖς μάτην με κῦμ' ὅπως παρηγορῶν.
εἰσελθέτω σε μήποθ' ὡς ἐγὼ Διὸς
γνώμην φοβηθεὶς θηλύνους γενήσομαι
καὶ λιπαρήσω τὸν μέγα στυγούμενον
γυναικομίμοις ὑπτιάσμασιν χερῶν
λῦσαί με δεσμῶν τῶνδε· τοῦ παντὸς δέω.

ΕΡΜΗΣ.

λέγων ἔοικα πολλὰ καὶ μάτην ἐρεῖν·
τέγγει γὰρ οὐδὲν οὐδὲ μαλθάσσει κέαρ
λιταῖς· δακὼν δὲ στόμιον ὡς νεοζυγὴς
πῶλος βιάζει καὶ πρὸς ἡνίας μάχει.
ἀτὰρ σφοδρύνει γ' ἀσθενεῖ σοφίσματι.
αὐθαδία γὰρ τῷ φρονοῦντι μὴ καλῶς
αὐτὴ καθ' αὑτὴν οὐδενὸς μεῖον σθένει.
σκέψαι δ', ἐὰν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις,
οἷός σε χειμὼν καὶ κακῶν τρικυμία
ἔπεισ' ἄφυκτος· πρῶτα μὲν γὰρ ὀκρίδα
φάραγγα βροντῇ καὶ κεραυνίᾳ φλογὶ
πατὴρ σπαράξει τήνδε, καὶ κρύψει δέμας
τὸ σὸν, πετραία δ' ἀγκάλη σε βαστάσει.
μακρὸν δὲ μῆκος ἐκτελευτήσας χρόνου
ἄψορρον ἥξεις ἐς φάος· Διὸς δέ τοι
πτηνὸς κύων δαφοινὸς αἰετὸς λάβρως
διαρταμήσει σώματος μέγα ῥάκος,
ἄκλητος ἕρπων δαιταλεὺς πανήμερος,
κελαινόβρωτον δ' ἧπαρ ἐκθοινήσεται.
τοιοῦδε μόχθου τέρμα μή τι προσδόκα,
πρὶν ἂν θεῶν τις διάδοχος τῶν σῶν πόνων
φανῇ, θελήσῃ τ' εἰς ἀναύγητον μολεῖν
Ἅιδην κνεφαῖά τ' ἀμφὶ Ταρτάρου βάθη.
πρὸς ταῦτα βούλευ'· ὡς ὅδ' οὐ πεπλασμένος
ὁ κόμπος, ἀλλὰ καὶ λίαν εἰρημένος·
ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα
τὸ δῖον, ἀλλὰ πᾶν ἔπος τελεῖ. σὺ δὲ
πάπταινε καὶ φρόντιζε, μηδ' αὐθαδίαν
εὐβουλίας ἀμείνον' ἡγήσῃ ποτέ.

ΧΟΡΟΣ.

ἡμῖν μὲν Ἑρμῆς οὐκ ἄκαιρα φαίνεται
λέγειν· ἄνωγε γάρ σε τὴν αὐθαδίαν
μεθέντ' ἐρευνᾶν τὴν σοφὴν εὐβουλίαν.
πείθου· σοφῷ γὰρ αἰσχρὸν ἐξαμαρτάνειν.

ΠΡΟΜΗΘΕΥΣ.

εἰδότι τοί μοι τάσδ' ἀγγελίας
ὅδ' ἐθώϋξεν, πάσχειν δὲ κακῶς
ἐχθρὸν ὑπ' ἐχθρῶν οὐδὲν ἀεικές.
πρὸς ταῦτ' ἐπ' ἐμοὶ ῥιπτέσθω μὲν
πυρὸς ἀμφήκης βόστρυχος, αἰθὴρ δ'
ἐρεθιζέσθω
βροντῇ σφακέλῳ τ' ἀγρίων ἀνέμων·
χθόνα δ' ἐκ πυθμένων αὐταῖς ῥίζαις
πνεῦμα κραδαίνοι,
κῦμα δὲ πόντου τραχεῖ ῥοθίῳ
ξυγχώσειεν τῶν τ' οὐρανίων
ἄστρων διόδους, ἔς τε κελαινὸν
Τάρταρον ἄρδην ῥίψειε δέμας
τοὐμὸν ἀνάγκης στερραῖς δίναις·
πάντως ἐμέ γ' οὐ θανατώσει.

ΕΡΜΗΣ.

τοιάδε μέντοι τῶν φρενοπλήκτων
βουλεύματ' ἔπη τ' ἐστὶν ἀκοῦσαι.
τί γὰρ ἐλλείπει μὴ παραπαίειν
ἡ τοῦδε τύχη; τί χαλᾷ μανιῶν;
ἀλλ' οὖν ὑμεῖς γ' αἱ πημοσύναις
ξυγκάμνουσαι ταῖς τοῦδε τόπων
μετά που χωρεῖτ' ἐκ τῶνδε θοῶς,
μὴ φρένας ὑμῶν ἠλιθιώσῃ
βροντῆς μύκημ' ἀτέραμνον.

ΧΟΡΟΣ.

ἄλλο τι φώνει καὶ παραμυθοῦ μ'
ὅ τι καὶ πείσεις· οὐ γὰρ δή που
τοῦτό γε τλητὸν παρέσυρας ἔπος.
πῶς με κελεύεις κακότητ' ἀσκεῖν;
μετὰ τοῦδ' ὅ τι χρὴ πάσχειν ἐθέλω·
τοὺς προδότας γὰρ μισεῖν ἔμαθον,
κοὐκ ἔστι νόσος
τῆσδ' ἥντιν' ἀπέπτυσα μᾶλλον.

ΕΡΜΗΣ.

ἀλλ' οὖν μέμνησθ' ἁγὼ προλέγω·
μηδὲ πρὸς ἄτης θηραθεῖσαι
μέμψησθε τύχην, μηδέ ποτ' εἴπηθ'
ὡς Ζεὺς ὑμᾶς εἰς ἀπρόοπτον
πῆμ' εἰσέβαλεν·
μὴ δῆτ', αὐταὶ δ' ὑμᾶς αὐτάς.
εἰδυῖαι γὰρ κοὐκ ἐξαίφνης
οὐδὲ λαθραίως
εἰς ἀπέραντον δίκτυον ἄτης
ἐμπλεχθήσεσθ' ὑπ' ἀνοίας.

ΠΡΟΜΗΘΕΥΣ.

καὶ μὴν ἔργῳ κοὐκ ἔτι μύθῳ
χθὼν σεσάλευται·
βρυχία δ' ἠχὼ παραμυκᾶται
βροντῆς, ἕλικες δ' ἐκλάμπουσι
στεροπῆς ζάπυροι,
στρόμβοι δὲ κόνιν εἱλίσσουσι·
σκιρτᾷ δ' ἀνέμων πνεύματα πάντων
εἰς ἄλληλα
στάσιν ἀντίπνουν ἀποδεικνύμενα·
ξυντετάρακται δ' αἰθὴρ πόντῳ.
τοιάδ' ἐπ' ἐμοὶ ῥιπὴ διόθεν
τεύχουσα φόβον στείχει φανερῶς.
ὦ μητρὸς ἐμῆς σέβας, ὦ πάντων
αἰθὴρ κοινὸν φάος εἱλίσσων,
ἐσορᾷς μ' ὡς ἔκδικα πάσχω.

# ΑΙΣΧΥΛΟΥ ΕΠΤΑ ΕΠΙ ΘΗΒΑΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΕΤΕΟΚΛΗΣ.*
*ΑΓΓΕΛΟΣ ΚΑΤΑΣΚΟΠΟΣ.*
*ΧΟΡΟΣ ΠΑΡΘΕΝΩΝ.*
*ΙΣΜΗΝΗ.*
*ΑΝΤΙΓΟΝΗ.*
*ΚΗΡΥΞ.*

## ΥΠΟΘΕΣΙΣ.

*Ὁ Λάϊος τοῦ Λαβδάκου υἱὸς ὢν ἐβασίλευεν ἐν Θήβαις, γυναῖκα κεκτημένος Ἰοκάστην, τὴν θυγατέρα τοῦ Μενοικέως· ᾗ συνελθεῖν καὶ τέκνα ποιῆσαι οὐκ ἐτόλμα, τὰς τοῦ Πέλοπος δεδιὼς ἀράς. φασὶ γὰρ ὅτι τὸν τοῦ Πέλοπος υἱὸν Χρύσιππον, ὃς ἦν αὐτῷ ἐξ ἄλλης γυναικὸς, καὶ οὐκ ἐκ τῆς θυγατρὸς τοῦ Οἰνομάου Ἱπποδαμείας, ὁ Λάϊος ἥρπασεν, ἐρασθεὶς αὐτοῦ, καὶ αὐτῷ συνεγένετο, καὶ πρῶτος ἐν ἀνθρώποις τὴν ἀῤῥενοφθορίαν ὑπέδειξε, καθώσπερ δὴ καὶ ὁ Ζεὺς ἐν θεοῖς, τὸν Γανυμήδην ἁρπάσας. ὅπερ ὁ Πέλοψ μαθὼν τὸν Λάϊον κατηράσατο ἐξ οἰκείας φονευθῆναι γονῆς. ἐπεὶ γοῦν ὁ Λάϊος δι' ὃν εἴρηται τρόπον ἄπαις ἤδη παρήκμαζεν, εἰς τὸ τοῦ Ἀπόλλωνος μαντεῖον παρεγένετο ἐρωτήσων εἰ δέοι τεκνώσασθαι. ἐξήνεγκε δὲ αὐτῷ τὸ χρηστήριον*

*Μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ.*

*λαβὼν δὲ τὸν χρησμὸν καὶ ἀπελθὼν ἐφύλαττε μὴ συνευνᾶσθαι τῇ ἰδίᾳ γυναικί. ἐν μιᾷ δὲ τῶν ἡμερῶν τῷ οἴνῳ βαρυνθεὶς συνῆλθε τῇ γυναικὶ αὐτοῦ, ἀφ' ἧς ἔσχε τὸν Οἰδίποδα. φοβηθεὶς δὲ τὸν χρησμὸν εἰπόντα*

*Εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φύς,*

*καθὼς καὶ Πέλοψ κατηράσατο, ἡνίκα ὁ Οἰδίπους ἐγεννήθη, διατορήσας τοὺς πόδας αὐτοῦ καὶ χρυσέους κρίκους διαπερονησάμενος, ἐν Κιθαιρῶνι τοῦτον ἐξέθετο. εὑρόντες δέ τινες αὐτὸν ποιμένες καὶ ἀναλαβόντες ἀνήνεγκαν τῷ τότε βασιλεῖ Κορίνθου Πολύβῳ· ὃς λαβὼν αὐτὸν ἐπιμελείας ἠξίωσε καὶ εἰς ἀνδρῶν ἡλικίαν ἤγαγεν. ἔπειτα δὲ Οἰδίπους παρά τινος ὑβρισθεὶς καὶ ὀνειδισθεὶς ὡς νόθος ἐστὶ καὶ οὐ γνήσιος τοῦ Πολύβου, ἀπῆλθεν ἐρωτήσων εἰς τὴν Πυθίαν, ἤγουν εἰς τὸ τοῦ Ἀπόλλωνος μαντεῖον, τίς τε εἴη καὶ τίνος υἱός. εἶπε δὲ αὐτῷ τὸ μαντεῖον ὅτι πρόκειταί σοι φονεῦσαι τὸν πατέρα σου καὶ μητρί σου συνευνασθῆναι. ἀκούσας δὲ τοῦ χρησμοῦ κατέλειψεν ἀπελθεῖν εἰς Κόρινθον πρὸς τὸν Πόλυβον διὰ τὰ εἰρημένα, ὡς δοκῶν τὸν Πόλυβον λέγειν τὸ χρηστήριον πατέρα καὶ τὴν αὐτοῦ γυναῖκα μητέρα· καὶ ἀπῆλθε τὴν ἐς Θήβας ὁδόν. διεπορεύετο δὲ τὴν ὁδὸν ἐκείνην καὶ ὁ Λάϊος, ὁ τούτου πατὴρ, ἀπερχόμενος καὶ οὗτος εἰς τὸ μαντεῖον ἐρωτήσων περὶ τοῦ παρ' αὐτοῦ ἐκτεθέντος παιδὸς, ἤγουν τοῦ Οἰδίποδος, τί γέγονε. ἐπεὶ δὲ συνήντησαν ἄμφω, οἱ τοῦ Λαΐου δορυφόροι πρὸς τὸν Οἰδίποδα εἶπον· παραχώρησον ὦ ξένε τῷ βασιλεῖ τῆς ὁδοῦ. ὁ δ' οὐκ ἐπείσθη· πληγεὶς δὲ παρὰ τοῦ Λαΐου, ἐμάνη ἐπὶ τούτῳ καὶ ἀπέκτεινεν αὐτὸν καὶ πάντας τοὺς μετ' αὐτοῦ· ἕνα δὲ μόνον ἀφῆκεν, ὃς στραφεὶς οἴκοι ἀπήγγειλε πάντα. ἐλθὼν δὲ εἰς Θήβας ὁ Οἰδίπους ὕστερον εὗρε κακὸν αὐτοῖς ἐπικείμενον μέγα, τὴν Σφίγγα· ἥτις αἰνίγματα ἔλεγε καὶ τὸν μὴ ἰσχύοντα λῦσαι αὐτὰ κατήσθιε. προέκειτο δὲ τότε παρὰ τῶν Θηβαίων τῷ εὑρόντι τὸ αἴνιγμα τῆς Σφιγγὸς βραβεῖον ἡ τοῦ Λαΐου γυνὴ Ἰοκάστη, δοθησομένη αὐτῷ εἰς γάμον. εἰπούσης οὖν τῆς Σφιγγὸς τὸ αἴνιγμα τὸ, τετράπους δίπους τε καὶ πάλιν τρίπους, ὃ σημαίνει τὸν ἄνθρωπον*

ἐφεῦρε τοῦτο ὁ Οἰδίπους· ἡ δὲ Σφὶγξ μανεῖσα ἀνεῖλεν αὐτήν. συνελθὼν οὖν ὁ Οἰδίπους τῇ ἰδίᾳ μητρὶ παῖδας ἐποίησε τέσσαρας, τὸν Πολυνείκην καὶ τὸν Ἐτεοκλῆν; τὴν Ἀντιγόνην καὶ τὴν Ἰσμήνην. ὕστερον δὲ μαθὼν τὸ ἀνόμημα ὃ ἔδρασεν ἐτύφλωσεν ἑαυτὸν, τοῖς δὲ εἰρημένοις υἱοῖς αὐτοῦ τὴν βασιλείαν κατέλιπεν. ἐπεὶ δὲ οὗτοι τοῦτον ὄντα τυφλὸν ἐν οἰκίσκῳ καθεῖρξαν, κατηράσατο αὐτοὺς ὥστε διὰ ξίφους καὶ πολέμου τὴν βασιλείαν διαμερίσασθαι. οὗ ἕνεκα καὶ φοβούμενοι τὸ ὁμοῦ μὲν εἶναι ἐν ταῖς Θήβαις καὶ βασιλεύειν κατέλειψαν· συμπεφωνήκασι δὲ ἵνα τοῦ ἑνὸς ἐξερχομένου τῆς πόλεως καὶ ἀποδημοῦντος ἐπὶ χρόνον ἕνα ὁ ἕτερος βασιλεύοι, καὶ πάλιν τοῦ ἀποδημοῦντος εἰσερχομένου ὑποχωροίη ὁ ἕτερος, ὡς ἂν ἐκ τούτου φύγωσι τὴν ἀράν. ὁ γοῦν Πολυνείκης πρῶτος ὢν ἐκράτησεν ἐν χρόνῳ ἑνὶ τῆς βασιλείας, εἶτα ἐξῆλθε τῷ Ἐτεοκλεῖ παραχωρήσας αὐτῆς. τοῦ χρόνου δὲ συμπληρωθέντος ἐπὶ τὸ βασιλεύειν ὁ Πολυνείκης καὶ εὐθὺς εἰς τὰς Θήβας παρεγένετο κατὰ τὸ συμπεφωνημένον· μὴ παραδεχθεὶς δὲ ὑπὸ Ἐτεοκλέους εἰς τὸν τοῦ Ἄργους βασιλέα Ἄδραστον ἀπῆλθε, καὶ τούτου γαμβρὸς ἐπὶ θυγατρὶ γέγονεν, ἐπὶ ὑποσχέσει τοιαύτῃ, ἵνα συνεργήσῃ αὐτῷ ὁ Ἄδραστος ἐπανελθεῖν εἰς τὴν ἰδίαν πόλιν, καὶ βασιλείας δράξασθαι. λαβὼν τοίνυν ἐκ τοῦ Ἄργους στρατιὰν πλείστην ἄπεισιν εἰς Θήβας κατὰ τοῦ οἰκείου ἀδελφοῦ. ἔνθα καὶ αὐτὸς καὶ ὁ ἀδελφὸς αὐτοῦ ὑπ' ἀλλήλων ἐφονεύθησαν.

Ἡ μὲν οὖν σκηνὴ τοῦ δράματος ἐν Θήβαις ὑπόκειται· ὁ δὲ χορὸς ἐκ Θηβαίων. ἐστὶ παρθένων· ἡ δὲ ὑπόθεσις, στρατιὰ Ἀργείων πολιορκοῦσα Θηβαίους, τοὺς καὶ νικήσαντας· καὶ θάνατος Ἐτεοκλέους καὶ Πολυνείκους. ἐπιγέγραπται δὲ ὑπόθεσις τῶν ἑπτὰ ἐπὶ Θήβας, διὰ τὸ ἑπτὰ στρατηγοὺς φυλάσσειν τὰς πύλας τῶν Θηβῶν. εἰσὶ δὲ αὗται αἱ Θῆβαι ἑπτάπυλοι· αἱ δὲ ἐν τῇ Αἰγύπτῳ οὖσαι ἑκατοντάπυλοι.

Προλογίζει δὲ Ἐτεοκλῆς, παρασκευάζων τὸν τῶν Θηβαίων δῆμον εἰς φρουρὰν τῆς πόλεως.

---

## ΑΛΛΩΣ.

Οἰδίπους μαθὼν ὡς ἀθέσμως συνῆν τῇ μητρὶ ἐτύφλωσεν ἑαυτόν· οἱ δὲ παῖδες αὐτοῦ Ἐτεοκλῆς καὶ Πολυνείκης, θέλοντες λήθῃ παραπέμψαι τὸ τοιοῦτον μίασμα, ἐγκατακλείουσιν οἰκίσκῳ αὐτόν. ὁ δὲ τοῦτο μὴ φέρων ἀρᾶται αὐτοῖς διὰ σιδήρου τὴν βασιλείαν λαχεῖν. οἱ δὲ εἰς φόβον πεπτωκότες ἐνταῦθα μὴ τὰς ἀρὰς τελέσωσιν οἱ θεοὶ, ἔγνωσαν δεῖν ἔχεσθαι τὴν βασιλείαν παρὰ μέρος, ἑκάτερος ἐνιαυτὸν ἄρχων. πρῶτον οὖν Ἐτεοκλῆς ἦρξεν, ἅτε καὶ πρεσβύτερος ὢν Πολυνείκους, εἰ καὶ Σοφοκλῆς νεώτερον λέγει. Πολυνείκης δὲ ὑπεχώρησε. τελεσθέντος δὲ τοῦ συγκειμένου ἐνιαυτοῦ, ἐπειδὴ Πολυνείκης ἐλθὼν ἀπῄτει τὸ σκῆπτρον, οὐ μόνον οὐκ ἔλαβεν, ἀλλὰ καὶ ἀπεπέμφθη κενὸς παρ' Ἐτεοκλέους, οὐ βουλομένου ἐκστῆναι τῆς ἀρχῆς, ἀλλ' ἐγκρατῶς ἐχομένου ταύτης. ὅθεν καὶ Πολυνείκης ἐκεῖθεν ἀπάρας εἰς Ἄργος ἔρχεται, καὶ τὴν Ἀδράστου θυγατέρα γήμας πείθει τοῦτον συνάρασθαί οἱ πρὸς τὴν τῆς ἀρχῆς ἀνάληψιν· καὶ λαβὼν παρ' αὐτοῦ συχνὴν στρατιὰν ἀφικνεῖται κατὰ Θηβαίων. ἦρχον δὲ τῆς τοιαύτης ἀρχῆς μετὰ Πολυνείκους ἑπτὰ στρατηγοὶ, ἕβδομος γὰρ οὗτος ἦν, ὡς ἂν πρὸς τὰς ἑπτὰ πύλας τῶν Θηβῶν ἕκαστος ἐπαγάγοι λόχον πολιορκοῦντα. οἱ μὲν οὖν ἄλλοι στρατηγοὶ ὑπὸ Θηβαίων ἀνῃρέθησαν ἐν τῷ πολέμῳ· Πολυνείκης δὲ καὶ Ἐτεοκλῆς μονομαχήσαντες πρὸς ἀλλήλους ἀναιροῦσιν ἀλλήλους. σημείωσαι δὲ ὡς Εὐριπίδης μὲν ἕνα τῶν ἑπτὰ τὸν Ἄδραστον λέγει· Αἰσχύλος δὲ ἕτερον τῶν ἑπτὰ Ἐτέοκλον ἀντὶ Ἀδράστου προσθείς.

# ΕΠΤΑ ΕΠΙ ΘΗΒΑΣ.

ΕΤΕΟΚΛΗΣ.

Κάδμου πολῖται, χρὴ λέγειν τὰ καίρια
ὅστις φυλάσσει πρᾶγος ἐν πρύμνῃ πόλεως
οἴακα νωμῶν, βλέφαρα μὴ κοιμῶν ὕπνῳ.
εἰ μὲν γὰρ εὖ πράξαιμεν, αἰτία θεῶν·
εἰ δ' αὖθ', ὃ μὴ γένοιτο, συμφορὰ τύχοι,
Ἐτεοκλέης ἂν εἷς πολὺς κατὰ πτόλιν
ὑμνοῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυρρόθοις
οἰμώγμασίν θ', ὧν Ζεὺς ἀλεξητήριος
ἐπώνυμος γένοιτο Καδμείων πόλει.
ὑμᾶς δὲ χρὴ νῦν, καὶ τὸν ἐλλείποντ' ἔτι
ἥβης ἀκμαίας, καὶ τὸν ἔξηβον χρόνῳ,
βλάστημον ἀλδαίνοντα σώματος πολὺν,
ὥραν τ' ἔχονθ' ἕκαστον, ὥστε συμπρεπὲς,
πόλει τ' ἀρήγειν καὶ θεῶν ἐγχωρίων
βωμοῖσι, τιμὰς μὴ 'ξαλειφθῆναί ποτε·
τέκνοις τε, γῇ τε μητρὶ, φιλτάτῃ τροφῷ·
ἡ γὰρ νέους ἕρποντας εὐμενεῖ πέδῳ,
ἅπαντα πανδοκοῦσα παιδείας ὄτλον,
ἐθρέψατ' οἰκιστῆρας ἀσπιδηφόρους
πιστοὺς ὅπως γένοισθε πρὸς χρέος τόδε.
καὶ νῦν μὲν ἐς τόδ' ἦμαρ εὖ ῥέπει θεός·
χρόνον γὰρ ἤδη τόνδε πυργηρουμένοις
καλῶς τὰ πλείω πόλεμος ἐκ θεῶν κυρεῖ.
νῦν δ' ὡς ὁ μάντις φησὶν, οἰωνῶν βοτὴρ,
ἐν ὠσὶ νωμῶν καὶ φρεσὶν, πυρὸς δίχα,
χρηστηρίους ὄρνιθας ἀψευδεῖ τέχνῃ·
οὗτος τοιῶνδε δεσπότης μαντευμάτων
λέγει μεγίστην προσβολὴν Ἀχαΐδα
νυκτηγορεῖσθαι κἀπιβουλεύειν πόλει.
ἀλλ' ἔς τ' ἐπάλξεις καὶ πύλας πυργωμάτων
ὁρμᾶσθε πάντες, σοῦσθε σὺν παντευχίᾳ,
πληροῦτε θωρακεῖα, κἀπὶ σέλμασι
πύργων στάθητε, καὶ πυλῶν ἐπ' ἐξόδοις
μίμνοντες εὖ θαρσεῖτε, μηδ' ἐπηλύδων
ταρβεῖτ' ἄγαν ὅμιλον· εὖ τελεῖ θεός.
σκοποὺς δὲ κἀγὼ καὶ κατοπτῆρας στρατοῦ
ἔπεμψα, τοὺς πέποιθα μὴ ματᾶν ὁδῷ·
καὶ τῶνδ' ἀκούσας οὔ τι μὴ ληφθῶ δόλῳ.

ΑΓΓΕΛΟΣ.

Ἐτεόκλεες, φέριστε Καδμείων ἄναξ,
ἥκω σαφῆ τἀκεῖθεν ἐκ στρατοῦ φέρων,
αὐτὸς κατόπτης δ' εἴμ' ἐγὼ τῶν πραγμάτων·
ἄνδρες γὰρ ἑπτὰ θούριοι λοχαγέται,
ταυροσφαγοῦντες ἐς μελάνδετον σάκος
καὶ θιγγάνοντες χερσὶ ταυρείου φόνου,
Ἄρη τ', Ἐνυώ, καὶ φιλαίματον Φόβον
ὡρκωμότησαν ἢ πόλει κατασκαφὰς
θέντες λαπάξειν ἄστυ Καδμείων βίᾳ,
ἢ γῆν θανόντες τήνδε φυράσειν φόνῳ·
μνημεῖά θ' αὑτῶν τοῖς τεκοῦσιν εἰς δόμους
πρὸς ἅρμ' Ἀδράστου χερσὶν ἔστεφον, δάκρυ
λείβοντες· οἶκτος δ' οὔτις ἦν διὰ στόμα.
σιδηρόφρων γὰρ θυμὸς ἀνδρείᾳ φλέγων
ἔπνει, λεόντων ὡς Ἄρη δεδορκότων.
καὶ τῶνδε πύστις οὐκ ὄκνῳ χρονίζεται.
κληρουμένους δ' ἔλειπον, ὡς πάλῳ λαχὼν
ἕκαστος αὐτῶν πρὸς πύλας ἄγοι λόχον.
πρὸς ταῦτ' ἀρίστους ἄνδρας ἐκκρίτους πόλεως
πυλῶν ἐπ' ἐξόδοισι τάγευσαι τάχος·
ἐγγὺς γὰρ ἤδη πάνοπλος Ἀργείων στρατὸς
χωρεῖ, κονίει, πεδία δ' ἀργηστὴς ἀφρὸς
χραίνει σταλαγμοῖς ἱππικῶν ἐκ πνευμόνων.
σὺ δ' ὥστε ναὸς κεδνὸς οἰακοστρόφος
φάρξαι πόλισμα, πρὶν καταιγίσαι πνοὰς
Ἄρεος· βοᾷ γὰρ κῦμα χερσαῖον στρατοῦ·
καὶ τῶνδε καιρὸν ὅστις ὤκιστος λαβέ·
κἀγὼ τὰ λοιπὰ πιστὸν ἡμεροσκόπον
ὀφθαλμὸν ἕξω, καὶ σαφηνείᾳ λόγου
εἰδὼς τὰ τῶν θύραθεν ἀβλαβὴς ἔσει.

ΕΤΕΟΚΛΗΣ.

ὦ Ζεῦ τε καὶ Γῆ καὶ πολισσοῦχοι θεοὶ,
Ἀρά τ' Ἐρινὺς πατρὸς ἡ μεγασθενὴς,
μή μοι πόλιν γε πρυμνόθεν πανώλεθρον
ἐκθαμνίσητε δηάλωτον, Ἑλλάδος
φθόγγον χέουσαν, καὶ δόμους ἐφεστίους·
ἐλευθέραν δὲ γῆν τε καὶ Κάδμου πόλιν
ζυγοῖσι δουλείοισι μήποτε σχεθεῖν·
γένεσθε δ' ἀλκή· ξυνὰ δ' ἐλπίζω λέγειν·
πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίει.

ΧΟΡΟΣ.

θρεῦμαι φοβερὰ μεγάλ' ἄχη,
μεθεῖται στρατὸς στρατόπεδον λιπών,
ῥεῖ πολὺς ὅδε λεὼς πρόδρομος ἱππότας·
αἰθερία κόνις με πείθει φανεῖσ',
ἄναυδος, σαφὴς, ἔτυμος ἄγγελος·
ἐλεδεμνὰς πεδιοπλόκτυπός τ'
ἐγχρίμπτεται βοὰ, ποτᾶται, βρέμει δ'
ἀμαχέτου δίκαν ὕδατος ὀροτύπου.
ἰὼ ἰὼ θεοὶ θεαί τ' ὀρόμενον
κακὸν ἀλεύσατε.
βοᾷ ὑπὲρ τειχέων
ὁ λεύκασπις ὄρνυται λαὸς
εὐτρεπὴς, ἐπὶ πόλιν διώκων.
τίς ἄρα ῥύσεται, τίς ἄρ' ἐπαρκέσει
θεῶν ἢ θεᾶν;
πότερα δῆτ' ἐγὼ ποτιπέσω βρέτη δαιμόνων;
ἰὼ μάκαρες εὔεδροι, ἀκμάζει βρετέων
ἔχεσθαι. τί μέλλομεν ἀγάστονοι;
ἀκούετ' ἢ οὐκ ἀκούετ' ἀσπίδων κτύπον;
πέπλων καὶ στεφέων
πότ', εἰ μὴ νῦν, ἀμφὶ λίταν' ἕξομεν;
κτύπον δέδορκα, πάταγος οὐχ ἑνὸς δορός.

τί ῥέξεις, προδώσεις, παλαίχθων Ἄρης, τὰν
τεὰν γᾶν;
ὦ χρυσοπήληξ δαῖμον, ἔπιδ' ἔπιδε πόλιν,
ἅν ποτ' εὐφιλήταν ἔθου·
θεοὶ πολισσοῦχοι χθονὸς,
ἴτ' ἴτε πάντες,
ἴδετε παρθένων ἱκέσιον λόχον
δουλοσύνας ὕπερ.
κῦμα γὰρ περὶ πτόλιν
δοχμολόφων ἀνδρῶν καχλάζει πνοαῖς
Ἄρεος ὀρόμενον.
ἀλλ' ὦ Ζεῦ πάτερ παντελὲς
πάντως ἄρηξον δαΐων ἅλωσιν.
Ἀργεῖοι γὰρ πόλισμα Κάδμου
κυκλοῦνται· φόβος δ' ἀρείων ὅπλων·
διάδετοι δέ τοι γενύων ἱππείων
κινύρονται φόνον χαλινοί.
ἑπτὰ δ' ἀγήνορες πρέποντες στρατοῦ
δορυσσόοις σάγαις πύλαις ἑβδόμαις
προσίστανται πάλῳ λαχόντες.
σύ τ' ὦ Διογενὲς φιλόμαχον κράτος,
ῥυσίπολις γενοῦ, Παλλὰς, ὅ θ' ἵππιος
ποντομέδων ἄναξ,
ἰχθυβόλῳ μαχανᾷ Ποσειδᾶν
ἐπίλυσιν φόβων ἐπίλυσιν δίδου.
σύ τ' Ἄρης, φεῦ φεῦ, Κάδμου ἐπώνυμον
πόλιν φύλαξον, κήδεσαί τ' ἐναργῶς.
καὶ Κύπρις, ἅτε γένους προμάτωρ,
ἄλευσον. σέθεν γὰρ ἐξ αἵματος
γεγόναμεν· λιταῖσί σε θεοκλύτοις
ἀΰτοῦσαι πελαζόμεσθα.
καὶ σὺ, Λύκει' ἄναξ, Λύκειος γενοῦ
στρατῷ δαΐῳ, στόνων ἀΰτᾶς·
σύ τ' ὦ Λατογένεια κούρα,
τόξον εὖ πυκάζου,
Ἄρτεμι φίλα. ἒ ἒ ἒ ἕ.
ὄτοβον ἁρμάτων ἀμφὶ πόλιν κλύω.
ὦ πότνι' Ἥρα·
ἔλακον ἀξόνων βριθομένων χνόαι,
Ἄρτεμι φίλα. ἒ ἒ ἒ ἕ.
δορυτίνακτος αἰθὴρ ἐπιμαίνεται.
τί πόλις ἄμμι πάσχει, τί γενήσεται;
ποῖ δ' ἔτι τέλος ἐπάγει θεός; ἒ ἒ ἒ ἕ.
ἀκροβόλων δ' ἐπάλξεων λιθὰς ἔρχεται.
ὦ φίλ' Ἄπολλον,
κόναβος ἐν πύλαις χαλκοδέτων σακέων,
καὶ Διόθεν πολεμόκραντον ἁγνὸν τέλος ἐν μάχαις.
σύ τε μάκαιρ' ἄνασσ' Ὄγκα πρὸ πόλεως
ἑπτάπυλον ἕδος ἐπιρρύου.
ἰὼ παναλκεῖς θεοὶ,
ἰὼ τέλειοι τέλειαί τε γᾶς
τᾶσδε πυργοφύλακες,
πόλιν δορίπονον μὴ προδῶθ'
ἑτεροφώνῳ στρατῷ.
κλύετε παρθένων κλύετε πανδίκους
χειροτόνους λιτάς.
ἰὼ φίλοι δαίμονες
λυτήριοί τ' ἀμφιβάντες πόλιν,
δείξαθ' ὡς φιλοπόλις,
μέλεσθέ θ' ἱερῶν δημίων,
μελόμενοι δ' ἀρήξατε·
φιλοθύτων δέ τοι πόλεος ὀργίων
μνήστορες ἔστε μοι.

ΕΤΕΟΚΛΗΣ.

ὑμᾶς ἐρωτῶ, θρέμματ' οὐκ ἀνασχετὰ,
ἦ ταῦτ' ἄριστα καὶ πόλει σωτήρια,
στρατῷ τε θάρσος τῷδε πυργηρουμένῳ,
βρέτη πεσούσας πρὸς πολισσούχων θεῶν
αὔειν, λακάζειν, σωφρόνων μισήματα;
μήτ' ἐν κακοῖσι μήτ' ἐν εὐεστοῖ φίλῃ
ξύνοικος εἴην τῷ γυναικείῳ γένει.
κρατοῦσα μὲν γὰρ οὐχ ὁμιλητὸν θράσος,
δείσασα δ' οἴκῳ καὶ πόλει πλέον κακόν.
καὶ νῦν πολίταις τάσδε διαδρόμους φυγὰς
θεῖσαι διερροθήσατ' ἄψυχον κάκην·
τὰ τῶν θύραθεν δ' ὡς ἄριστ' ὀφέλλετε,
αὐτοὶ δ' ὑφ' αὐτῶν ἔνδοθεν πορθούμεθα.
τοιαῦτά τὰν γυναιξὶ συνναίων ἔχοις.
κεἰ μή τις ἀρχῆς τῆς ἐμῆς ἀκούσεται,
ἀνὴρ γυνή τε χὤ τι τῶν μεταίχμιον,
ψῆφος κατ' αὐτῶν ὀλεθρία βουλεύσεται,
λευστῆρα δήμου δ' οὔ τι μὴ φύγῃ μόρον.
μέλει γὰρ ἀνδρὶ, μὴ γυνὴ βουλευέτω,
τἄξωθεν· ἔνδον δ' οὖσα μὴ βλάβην τίθει.
ἤκουσας ἢ οὐκ ἤκουσας, ἢ κωφῇ λέγω;

ΧΟΡΟΣ.

ὦ φίλον Οἰδίπου τέκος, ἔδεισ' ἀκού-
σασα τὸν ἁρματόκτυπον ὄτοβον ὄτοβον,
ὅτε τε σύριγγες ἔκλαγξαν ἑλίτροχοι,
ἱππικῶν τ' ἀΰπνων πηδαλίων διὰ
στόμα πυριγενετᾶν χαλινῶν.

ΕΤΕΟΚΛΗΣ.

τί οὖν; ὁ ναύτης ἆρα μὴ 'ς πρῷραν φυγὼν
πρύμνηθεν εὗρε μηχανὴν σωτηρίας,
νεὼς καμούσης ποντίῳ πρὸς κύματι;

ΧΟΡΟΣ.

ἀλλ' ἐπὶ δαιμόνων πρόδρομος ἦλθον ἀρ-
χαῖα βρέτη, θεοῖσι πίσυνος, νιφάδος
ὅτ' ὀλοᾶς νιφομένας βρόμος ἐν πύλαις,
δὴ τότ' ἤρθην φόβῳ πρὸς μακάρων λιτὰς,
πόλεος ἵν' ὑπερέχοιεν ἀλκάν.

ΕΤΕΟΚΛΗΣ.

πύργον στέγειν εὔχεσθε πολέμιον δόρυ.

ΧΟΡΟΣ.

οὔκουν τάδ' ἔσται πρὸς θεῶν;

ΕΤΕΟΚΛΗΣ.

ἀλλ' οὖν θεοὺς
τοὺς τῆς ἁλούσης πόλεος ἐκλείπειν λόγος.

ΧΟΡΟΣ.

μήποτ' ἐμὸν κατ' αἰῶνα λίποι θεῶν
ἅδε πανάγυρις, μηδ' ἐπίδοιμι τάνδ'
ἀστυδρομουμέναν πόλιν καὶ στράτευμ'
ἀπτόμενον πυρὶ δαΐῳ.

ΕΤΕΟΚΛΗΣ.

μή μοι θεοὺς καλοῦσα βουλεύου κακῶς·
πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας
μήτηρ γυνὴ σωτῆρος· ὧδ' ἔχει λόγος.

**203 — 207. == 211 — 215.**
**219 — 222. == 226 — 229.**

ΧΟΡΟΣ.
ἔστι θεοῖς δ᾽ ἔτ᾽ ἰσχὺς καθυπερτέρα·
πολλάκι δ᾽ ἐν κακοῖσι τὸν ἀμήχανον
κἀκ χαλεπᾶς δύας ὕπερθ᾽ ὀμμάτων
κρημναμενᾶν νεφελᾶν ὀρθοῖ.
ΕΤΕΟΚΛΗΣ.
ἀνδρῶν τάδ᾽ ἐστὶ, σφάγια καὶ χρηστήρια
θεοῖσιν ἔρδειν, πολεμίων πειρωμένων·
σὸν δ᾽ αὖ τὸ σιγᾶν καὶ μένειν εἴσω δόμων.
ΧΟΡΟΣ.
διὰ θεῶν πόλιν νεμόμεθ᾽ ἀδάματον,
δυσμενέων δ᾽ ὄχλον πύργος ἀποστέγει.
τίς τάδε νέμεσις στυγεῖ;
ΕΤΕΟΚΛΗΣ.
οὔτοι φθονῶ σοι δαιμόνων τιμᾶν γένος·
ἀλλ᾽ ὡς πολίτας μὴ κακοσπλάγχνους τιθῇς,
ἕκηλος ἴσθι μηδ᾽ ἄγαν ὑπερφοβοῦ.
ΧΟΡΟΣ.
ποταίνιον κλύουσα πάταγον ἀνάμιγα
ταρβοσύνῳ φόβῳ τάνδ᾽ ἐς ἀκρόπτολιν,
τίμιον ἕδος, ἱκόμαν.
ΕΤΕΟΚΛΗΣ.
μὴ νῦν, ἐὰν θνήσκοντας ἢ τετρωμένους
πύθησθε, κωκυτοῖσιν ἁρπαλίζετε.
τούτῳ γὰρ Ἄρης βόσκεται φόνῳ βροτῶν.
ΧΟΡΟΣ.
καὶ μὴν ἀκούω γ᾽ ἱππικῶν φρυαγμάτων.
ΕΤΕΟΚΛΗΣ.
μὴ νῦν ἀκούουσ᾽ ἐμφανῶς ἄκου᾽ ἄγαν.
ΧΟΡΟΣ.
στένει πόλισμα γῆθεν, ὡς κυκλουμένων.
ΕΤΕΟΚΛΗΣ.
οὐκοῦν ἔμ᾽ ἀρκεῖ τῶνδε βουλεύειν πέρι.
ΧΟΡΟΣ.
δέδοικ᾽, ἀραγμὸς δ᾽ ἐν πύλαις ὀφέλλεται.
ΕΤΕΟΚΛΗΣ.
οὐ σῖγα; μηδὲν τῶνδ᾽ ἐρεῖς κατὰ πτόλιν.
ΧΟΡΟΣ.
ὦ ξυντέλεια, μὴ προδῷς πυργώματα.
ΕΤΕΟΚΛΗΣ.
οὐκ ἐς φθόρον σιγῶσ᾽ ἀνασχήσει τάδε;
ΧΟΡΟΣ.
θεοὶ πολῖται, μή με δουλείας τυχεῖν.
ΕΤΕΟΚΛΗΣ.
αὐτὴ σὺ δουλοῖς κἀμὲ καὶ σὲ καὶ πόλιν.
ΧΟΡΟΣ.
ὦ παγκρατὲς Ζεῦ, τρέψον εἰς ἐχθροὺς βέλος.
ΕΤΕΟΚΛΗΣ.
ὦ Ζεῦ, γυναικῶν οἷον ὤπασας γένος.
ΧΟΡΟΣ.
μοχθηρὸν, ὥσπερ ἄνδρας ὧν ἁλῷ πόλις.
ΕΤΕΟΚΛΗΣ.
παλινστομεῖς αὖ θιγγάνουσ᾽ ἀγαλμάτων;
ΧΟΡΟΣ.
ἀψυχίᾳ γὰρ γλῶσσαν ἁρπάζει φόβος.
ΕΤΕΟΚΛΗΣ.
αἰτουμένῳ μοι κοῦφον εἰ δοίης τέλος.
ΧΟΡΟΣ.
λέγοις ἂν ὡς τάχιστα, καὶ τάχ᾽ εἴσομαι.
233 — 235. = 239 — 241.

ΕΤΕΟΚΛΗΣ.
σίγησον, ὦ τάλαινα, μὴ φίλους φόβει.
ΧΟΡΟΣ.
σιγῶ· σὺν ἄλλοις πείσομαι τὸ μόρσιμον.
ΕΤΕΟΚΛΗΣ.
τοῦτ᾽ ἀντ᾽ ἐκείνων τοὔπος αἱροῦμαι σέθεν.
καὶ πρός γε τούτοις, ἐκτὸς οὖσ᾽ ἀγαλμάτων,
εὔχου τὰ κρείσσω ξυμμάχους εἶναι θεούς·
κἀμῶν ἀκούσασ᾽ εὐγμάτων, ἔπειτα σὺ
ὀλολυγμὸν ἱρὸν εὐμενῆ παιάνισον,
Ἑλληνικὸν νόμισμα θυστάδος βοῆς,
θάρσος φίλοις, λύουσα πολέμιον φόβον.
ἐγὼ δὲ χώρας τοῖς πολισσούχοις θεοῖς,
πεδιονόμοις τε κἀγορᾶς ἐπισκόποις,
Δίρκης τε πηγαῖς, οὐδ᾽ ἀπ᾽ Ἰσμηνοῦ λέγω,
εὖ ξυντυχόντων καὶ πόλεως σεσωσμένης,
μήλοισιν αἱμάσσοντας ἑστίας θεῶν,
ταυροκτονοῦντας θεοῖσιν, ὧδ᾽ ἐπεύχομαι
θήσειν τροπαῖα, πολεμίων δ᾽ ἐσθήματα,
λάφυρα δάων δουρίπληχθ᾽ ἁγνοῖς δόμοις.
τοιαῦτ᾽ ἐπεύχου μὴ φιλοστόνως θεοῖς,
μηδ᾽ ἐν ματαίοις κἀγρίοις ποιφύγμασιν·
οὐ γάρ τι μᾶλλον μὴ φύγῃς τὸ μόρσιμον·
ἐγὼ δ᾽ ἐπ᾽ ἄνδρας ἓξ ἐμοὶ σὺν ἑβδόμῳ
ἀντηρέτας ἐχθροῖσι τὸν μέγαν τρόπον
εἰς ἑπτατειχεῖς ἐξόδους τάξω μολὼν,
πρὶν ἀγγέλους σπερχνούς τε καὶ ταχυρρόθους
λόγους ἱκέσθαι καὶ φλέγειν χρείας ὕπο.
ΧΟΡΟΣ.
μέλει, φόβῳ δ᾽ οὐχ ὑπνώσσει κέαρ·
γείτονες δὲ καρδίας
μέριμναι ζωπυροῦσι τάρβος,
τὸν ἀμφιτειχῆ λεὼν,
δράκοντας ὥς τις τέκνων
ὑπερδέδοικεν λεχαίων δυσευνάτορας
πάντροφος πελειάς.
τοὶ μὲν γὰρ ποτὶ πύργους
πανδημεὶ πανομιλεὶ
στείχουσιν· τί γένωμαι;
τοὶ δ᾽ ἐπ᾽ ἀμφιβόλοισιν
ἰάπτουσι πολίταις
χερμάδ᾽ ὀκριόεσσαν.
παντὶ τρόπῳ, Διογενεῖς
θεοὶ, πόλιν καὶ στρατὸν
Καδμογενῆ ῥύεσθε.
ποῖον δ᾽ ἀμείψεσθε γαίας πέδον
τᾶσδ᾽ ἄρειον, ἐχθροῖς
ἀφέντες τὰν βαθύχθον᾽ αἶαν,
ὕδωρ τε Διρκαῖον εὐ-
τραφέστατον πωμάτων
ὅσων ἵησιν Ποσειδὰν ὁ γαιάοχος
Τηθύος τε παῖδες.
πρὸς τάδ᾽, ὦ πολιοῦχοι
θεοὶ, τοῖσι μὲν ἔξω
πύργων ἀνδρολέτειραν
καὶ τὰν ῥίψοπλον ἄταν
ἐμβαλόντες ἄροισθε
κῦδος, τοῖς δὲ πολίταις
καὶ πόλεως ῥυτῆρες
287 — 303. = 304 — 320.

εὔεδροί τε στάθητ'
ὀξυγόοις λιταῖσιν.
οἰκτρὸν γὰρ πόλιν ὧδ' ὠγυγίαν
Ἀΐδᾳ προϊάψαι, δορὸς ἄγραν,
δουλίαν ψαφαρᾷ σποδῷ
ὑπ' ἀνδρὸς Ἀχαιοῦ θεόθεν
περθομέναν ἀτίμως,
τὰς δὲ κεχειρωμένας ἄγεσθαι,
ἒ ἒ, νέας τε καὶ παλαιὰς
ἱππηδὸν πλοκάμων,
περιρρηγνυμένων φαρέων.
βοᾷ δ' ἐκκενουμένα πόλις,
λαΐδος ὀλλυμένας μιξοθρόου·
βαρείας τοι τύχας προταρβῶ.
κλαυτὸν δ' ἀρτιτρόποις ὠμοδρόπων
νομίμων προπάροιθεν διαμεῖψαι
δωμάτων στυγερὰν ὁδόν.
τί; τὸν φθίμενον γὰρ προλέγω
βέλτερα τῶνδε πράσσειν.
πολλὰ γὰρ εὖτε πτόλις δαμασθῇ,
ἒ ἒ, δυστυχῆ τε πράσσει.
ἄλλος δ' ἄλλον ἄγει,
φονεύει, τὰ δὲ καὶ πυρφορεῖ·
καπνῷ χραίνεται πόλισμ' ἅπαν.
μαινόμενος δ' ἐπιπνεῖ λαοδάμας
μιαίνων εὐσέβειαν Ἄρης.
κορκορυγαὶ δ' ἀν' ἄστυ,
ποτὶ πτόλιν δ' ὁρκάνα πυργῶτις.
πρὸς ἀνδρὸς δ' ἀνὴρ δορὶ καίνεται·
βλαχαὶ δ' αἱματόεσσαι
τῶν ἐπιμαστιδίων
ἀρτιβρεφεῖς βρέμονται.
ἁρπαγαὶ δὲ διαδρομᾶν ὁμαίμονες·
ξυμβολεῖ φέρων φέροντι,
καὶ κενὸς κενὸν καλεῖ,
ξύννομον θέλων ἔχειν,
οὔτε μεῖον οὔτ' ἴσον λελιμμένοι.
τίν' ἐκ τῶνδ' εἰκάσαι λόγος πάρα;
παντοδαπὸς δὲ καρπὸς
χαμάδις πεσὼν ἀλγύνει κυρήσας.
πικρὸν δ' ὄμμα τῶν θαλαμηπόλων·
πολλὰ δ' ἀκριτόφυρτος
γᾶς δόσις οὐτιδανοῖς
ἐν ῥοθίοις φορεῖται.
δμωίδες δὲ καινοπήμονες νέαι
τλήμον' εὐνὰν αἰχμάλωτον
ἀνδρὸς εὐτυχοῦντος, ὡς
δυσμενοῦς ὑπερτέρου.
ἐλπίς ἐστι νύκτερον τέλος μολεῖν,
παγκλαύτων ἀλγέων ἐπίρροθον.

ΗΜΙΧΟΡΙΟΝ.

ὅ τοι κατόπτης, ὡς ἐμοὶ δοκεῖ, στρατοῦ
πευθώ τιν' ἡμῖν, ὦ φίλαι, νέαν φέρει,
σπουδῇ διώκων πομπίμους χνόας ποδῶν.

ΗΜΙΧΟΡΙΟΝ.

καὶ μὴν ἄναξ ὅδ' αὐτὸς Οἰδίπου τόκος
εἰς ἀρτίκολλον ἀγγέλου λόγον μαθεῖν·
σπουδὴ δὲ καὶ τοῦδ' οὐκ ἀπαρτίζει πόδα.

321—332. == 333—344.
345—356. == 357—368.

ΑΓΓΕΛΟΣ.

λέγοιμ' ἂν εἰδὼς εὖ τὰ τῶν ἐναντίων,
ὥς τ' ἐν πύλαις ἕκαστος εἴληχεν πάλον.
Τυδεὺς μὲν ἤδη πρὸς πύλαισι Προιτίσι
βρέμει, πόρον δ' Ἰσμηνὸν οὐκ ἐᾷ περᾶν
ὁ μάντις· οὐ γὰρ σφάγια γίγνεται καλά.
Τυδεὺς δὲ μαργῶν καὶ μάχης λελιμμένος
μεσημβριναῖς κλαγγαῖσιν ὡς δράκων βοᾷ·
θείνει δ' ὀνείδει μάντιν Οἰκλείδην σοφόν,
σαίνειν μόρον τε καὶ μάχην ἀψυχίᾳ·
τοιαῦτ' ἀϋτῶν τρεῖς κατασκίους λόφους
σείει, κράνους χαίτωμ', ὑπ' ἀσπίδος δὲ τῷ
χαλκήλατοι κλάζουσι κώδωνες φόβον·
ἔχει δ' ὑπέρφρον σῆμ' ἐπ' ἀσπίδος τόδε,
φλέγονθ' ὑπ' ἄστροις οὐρανὸν τετυγμένον·
λαμπρὰ δὲ πανσέληνος ἐν μέσῳ σάκει,
πρέσβιστον ἄστρων, νυκτὸς ὀφθαλμός, πρέπει.
τοιαῦτ' ἀλύων ταῖς ὑπερκόμποις σάγαις
βοᾷ παρ' ὄχθαις ποταμίαις, μάχης ἐρῶν,
ἵππος χαλινῶν ὣς κατασθμαίνων μένει,
ὅστις βοὴν σάλπιγγος ὁρμαίνει μένων.
τίν' ἀντιτάξεις τῷδε; τίς Προίτου πυλῶν
κλῄθρων λυθέντων προστατεῖν φερέγγυος;

ΕΤΕΟΚΛΗΣ.

κόσμον μὲν ἀνδρὸς οὔτιν' ἂν τρέσαιμ' ἐγώ,
οὐδ' ἑλκοποιὰ γίγνεται τὰ σήματα·
λόφοι δὲ κώδων τ' οὐ δάκνουσ' ἄνευ δορός.
καὶ νύκτα ταύτην ἣν λέγεις ἐπ' ἀσπίδος
ἄστροισι μαρμαίρουσαν οὐρανοῦ κυρεῖν,
τάχ' ἂν γένοιτο μάντις ἡ 'ννοία τινί.
εἰ γὰρ θανόντι νὺξ ἐπ' ὀφθαλμοῖς πέσοι,
τῷ τοι φέροντι σῆμ' ὑπέρκομπον τόδε
γένοιτ' ἂν ὀρθῶς ἐνδίκως τ' ἐπώνυμον,
καὐτὸς καθ' αὑτοῦ τὴν ὕβριν μαντεύσεται.
ἐγὼ δὲ Τυδεῖ κεδνὸν Ἀστακοῦ τόκον
τόνδ' ἀντιτάξω προστάτην πυλωμάτων,
μάλ' εὐγενῆ τε καὶ τὸν Αἰσχύνης θρόνον
τιμῶντα καὶ στυγοῦνθ' ὑπέρφρονας λόγους.
αἰσχρῶν γὰρ ἀργός, μὴ κακὸς δ' εἶναι φιλεῖ.
σπαρτῶν δ' ἀπ' ἀνδρῶν, ὧν Ἄρης ἐφείσατο,
ῥίζωμ' ἀνεῖται, κάρτα δ' ἔστ' ἐγχώριος,
Μελάνιππος· ἔργον δ' ἐν κύβοις Ἄρης κρινεῖ·
Δίκη δ' ὁμαίμων κάρτα νιν προστέλλεται
εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ.

ΧΟΡΟΣ.

τὸν ἁμὸν νυν ἀντίπαλον εὐτυχεῖν
θεοὶ δοῖεν, ὡς δικαίας πόλεως
πρόμαχος ὄρνυται· τρέμω δ' αἱματη-
φόρους μόρους ὑπὲρ φίλων
ὀλομένων ἰδέσθαι.

ΑΓΓΕΛΟΣ.

τούτῳ μὲν οὕτως εὐτυχεῖν δοῖεν θεοί·
Καπανεὺς δ' ἐπ' Ἠλέκτραισιν εἴληχεν πύλαις,
γίγας ὅδ' ἄλλος τοῦ πάρος λελεγμένου
μείζων, ὁ κόμπος δ' οὐ κατ' ἄνθρωπον φρονεῖ,
πύργοις δ' ἀπειλεῖ δείν', ἃ μὴ κραίνοι τύχη·
θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν
καὶ μὴ θέλοντός φησιν, οὐδὲ τὴν Διὸς
Ἔριν πέδῳ σκήψασαν ἐκποδὼν σχεθεῖν.

417—421. == 452—456.

τὰς δ' ἀστραπάς τε καὶ κεραυνίους βολὰς
μεσημβρινοῖσι θάλπεσιν προσῄκασεν·
ἔχει δὲ σῆμα γυμνὸν ἄνδρα πυρφόρον,
φλέγει δὲ λαμπὰς διὰ χερῶν ὡπλισμένη·
χρυσοῖς δὲ φωνεῖ γράμμασιν „πρήσω πόλιν.“
τοιῷδε φωτὶ πέμπε, τίς ξυστήσεται,
τίς ἄνδρα κομπάζοντα μὴ τρέσας μενεῖ;

ΕΤΕΟΚΛΗΣ.

καὶ τῷδε κέρδει κέρδος ἄλλο τίκτεται.
τῶν τοι ματαίων ἀνδράσιν φρονημάτων
ἡ γλῶσσ' ἀληθὴς γίγνεται κατήγορος.
Καπανεὺς δ' ἀπειλεῖ δρᾶν παρεσκευασμένος,
θεοὺς ἀτίζων· κἀπογυμνάζων στόμα
χαρᾷ ματαίᾳ θνητὸς ὢν ἐς οὐρανὸν
πέμπει γεγωνὰ Ζηνὶ κυμαίνοντ' ἔπη.
πέποιθα δ' αὐτῷ ξὺν δίκῃ τὸν πυρφόρον
ἥξειν κεραυνὸν, οὐδὲν ἐξῃκασμένον
μεσημβρινοῖσι θάλπεσιν τοῖς ἡλίου.
ἀνὴρ δ' ἐπ' αὐτῷ, κεἰ στόμαργός ἐστ' ἄγαν,
αἴθων τέτακται λῆμα, Πολυφόντου βία,
φερέγγυον φρούρημα, προστατηρίας
Ἀρτέμιδος εὐνοίαισι σύν τ' ἄλλοις θεοῖς.
λέγ' ἄλλον ἄλλαις ἐν πύλαις εἰληχότα.

ΧΟΡΟΣ.

ὄλοιθ' ὃς πόλει μεγάλ' ἐπεύχεται,
κεραυνοῦ δέ μιν βέλος ἐπισχέθοι,
πρὶν ἐμὸν ἐσθορεῖν δόμον, πωλικῶν θ'
ἐδωλίων ὑπερκόπῳ
δορί ποτ' ἐκλαπάξαι.

ΑΓΓΕΛΟΣ.

καὶ μὴν τὸν ἐντεῦθεν λαχόντα πρὸς πύλαις
λέξω: τρίτῳ γὰρ Ἐτεόκλῳ τρίτος πάλος
ἐξ ὑπτίου πήδησεν εὐχάλκου κράνους,
πύλαισι Νηίταισι προσβαλεῖν λόχον.
ἵππους δ' ἐν ἀμπυκτῆρσιν ἐμβριμωμένας
δινεῖ, θελούσας πρὸς πύλαις πεπτωκέναι.
φιμοὶ δὲ συρίζουσι βάρβαρον τρόπον,
μυκτηροκόμποις πνεύμασιν πληρούμενοι.
ἐσχημάτισται δ' ἀσπὶς οὐ σμικρὸν τρόπον·
ἀνὴρ δ' ὁπλίτης κλίμακος προσαμβάσεις
στείχει, πρὸς ἐχθρῶν πύργον, ἐκπέρσαι θέλων.
βοᾷ δὲ χοὗτος γραμμάτων ἐν ξυλλαβαῖς
ὡς οὐδ' ἂν Ἄρης σφ' ἐκβάλοι πυργωμάτων.
καὶ τῷδε φωτὶ πέμπε τὸν φερέγγυον
πόλεως ἀπείργειν τῆσδε δούλειον ζυγόν.

ΕΤΕΟΚΛΗΣ.

πέμποιμ' ἂν ἤδη τόνδε, σὺν τύχῃ δέ τῳ·
καὶ δὴ πέπεμπται κόμπον ἐν χεροῖν ἔχων,
Μεγαρεὺς Κρέοντος σπέρμα τοῦ σπαρτῶν γένους.
ὃς οὔτι μάργων ἱππικῶν φρυαγμάτων
βρόμον φοβηθεὶς ἐκ πυλῶν χωρήσεται,
ἀλλ' ἢ θανὼν τροφεῖα πληρώσει χθονὶ,
ἢ καὶ δύ' ἄνδρε καὶ πόλισμ' ἐπ' ἀσπίδος
ἑλὼν λαφύροις δῶμα κοσμήσει πατρός.
κόμπαζ' ἐπ' ἄλλῳ μηδέ μοι φθόνει λέγων.

ΧΟΡΟΣ.

ἐπεύχομαι τὰ μὲν εὐτυχεῖν, ἰὼ
πρόμαχ' ἐμῶν δόμων, τοῖσι δὲ δυστυχεῖν.
ὡς δ' ὑπέραυχα βάζουσιν ἐπὶ πτόλει
μαινομένᾳ φρενὶ, τώς νιν
Ζεὺς νεμέτωρ ἐπίδοι κοταίνων.

ΑΓΓΕΛΟΣ.

τέταρτος ἄλλος, γείτονας πύλας ἔχων
Ὄγκας Ἀθάνας, ξὺν βοῇ παρίσταται,
Ἱππομέδοντος σχῆμα καὶ μέγας τύπος·
ἅλω δὲ πολλὴν, ἀσπίδος κύκλον λέγω,
ἔφριξα δινήσαντος· οὐκ ἄλλως ἐρῶ.
ὁ σηματουργὸς δ' οὔ τις εὐτελὴς ἄρ' ἦν
ὅστις τόδ' ἔργον ὤπασεν πρὸς ἀσπίδι,
Τυφῶν' ἱέντα πυρπνόον διὰ στόμα
λιγνὺν μέλαιναν, αἰόλην πυρὸς κάσιν·
ὄφεων δὲ πλεκτάναισι περίδρομον κύτος
προσηδάφισται κοιλογάστορος κύκλου.
αὐτὸς δ' ἐπηλάλαξεν, ἔνθεος δ' Ἄρει
βακχᾷ πρὸς ἀλκὴν Θυιὰς ὣς φόβον βλέπων.
τοιοῦδε φωτὸς πεῖραν εὖ φυλακτέον.
φόβος γὰρ ἤδη πρὸς πύλαις κομπάζεται.

ΕΤΕΟΚΛΗΣ.

πρῶτον μὲν Ὄγκα Παλλὰς, ἥτ' ἀγχίπτολις,
πύλαισι γείτων ἀνδρὸς ἐχθαίρουσ' ὕβριν
εἴρξει νεοσσῶν ὡς δράκοντα δύσχιμον·
Ὑπέρβιος δὲ κεδνὸς Οἴνοπος τόκος
ἀνὴρ κατ' ἄνδρα τοῦτον ᾑρέθη, θέλων
ἐξιστορῆσαι μοῖραν, ἐν χρείᾳ τύχης,
οὔτ' εἶδος οὔτε θυμὸν οὔθ' ὅπλων σχέσιν
μωμητὸς, Ἑρμῆς δ' εὐλόγως ξυνήγαγεν.
ἐχθρὸς γὰρ ἀνὴρ ἀνδρὶ τῷ ξυστήσεται.
ξυνοίσετον δὲ πολεμίους ἐπ' ἀσπίδων
θεούς· ὁ μὲν γὰρ πυρπνόον Τυφῶν' ἔχει,
Ὑπερβίῳ δὲ Ζεὺς πατὴρ ἐπ' ἀσπίδος
σταδαῖος ἧσται, διὰ χερὸς βέλος φλέγων·
κοὔπω τις εἶδε Ζῆνά που νικώμενον.
τοιάδε μέντοι προσφίλεια δαιμόνων·
πρὸς τῶν κρατούντων δ' ἐσμὲν, οἳ δ' ἡσσω-
μένων·
εἰ Ζεύς γε Τυφῶ καρτερώτερος μάχῃ·
εἰκὸς δὲ πράξειν ἄνδρας ὧδ' ἀντιστάτας·
Ὑπερβίῳ τε πρὸς λόγον τοῦ σήματος
σωτὴρ γένοιτ' ἂν Ζεὺς ἐπ' ἀσπίδος τυχών.

ΧΟΡΟΣ.

πέποιθα τὸν Διὸς ἀντίτυπον ἔχοντ'
ἄφιλον ἐν σάκει τοῦ χθονίου δέμας
δαίμονος ἐχθρὸν εἴκασμα βροτοῖς τε καὶ
δαροβίοισι θεοῖσι,
πρόσθε πυλᾶν κεφαλὰν ἰάψειν.

ΑΓΓΕΛΟΣ.

οὕτως γένοιτο. τὸν δὲ πέμπτον αὖ λέγω,
πέμπταισι προσταχθέντα Βορραίαις πύλαις,
τύμβον κατ' αὐτὸν διογενοῦς Ἀμφίονος·
ὄμνυσι δ' αἰχμὴν ἣν ἔχει μᾶλλον θεοῦ
σέβειν πεποιθὼς, ὀμμάτων θ' ὑπέρτερον,
ἦ μὴν λαπάξειν ἄστυ Καδμείων βίᾳ
Διός· τόδ' αὐδᾷ μητρὸς ἐξ ὀρεσκόου
βλάστημα καλλίπρῳρον, ἀνδρόπαις ἀνήρ.
στείχει δ' ἴουλος ἄρτι διὰ παρηίδων,
ὥρας φυούσης, ταρφὺς ἀντέλλουσα θρίξ.
ὁ δ' ὠμὸν, οὔτι παρθένων ἐπώνυμον,
φρόνημα, γοργὸν δ' ὄμμ' ἔχων, προσίσταται
οὐ μὴν ἀκόμπαστός γ' ἐφίσταται πύλαις·

481—485. = 521—525.

τὸ γὰρ πόλεως ὄνειδος ἐν χαλκηλάτῳ
σάκει, κυκλωτῷ σώματος προβλήματι,
Σφίγγ᾽ ὠμόσιτον προσμεμηχανημένην
γόμφοις ἐνώμα, λαμπρὸν ἔκκρουστον δέμας,
φέρει δ᾽ ὑφ᾽ αὐτῇ φῶτα Καδμείων ἕνα,
ὡς πλεῖστ᾽ ἐπ᾽ ἀνδρὶ τῷδ᾽ ἰάπτεσθαι βέλη.
ἐλθὼν δ᾽ ἔοικεν οὐ καπηλεύσειν μάχην,
μακρᾶς κελεύθου δ᾽ οὐ καταισχυνεῖν πόρον,
Παρθενοπαῖος Ἀρκάς, ὁ δὲ τοιόσδ᾽ ἀνὴρ,
μέτοικος, Ἄργει δ᾽ ἐκτίνων καλὰς τροφὰς,
πύργοις ἀπειλεῖ τοῖσδ᾽ ἃ μὴ κραίνοι θεός.

*ΕΤΕΟΚΛΗΣ.*

εἰ γὰρ τύχοιεν ὧν φρονοῦσι πρὸς θεῶν,
αὐτοῖς ἐκείνοις ἀνοσίοις κομπάσμασιν,
ἦ τὰν πανώλεις παγκάκως τ᾽ ὀλοίατο.
ἔστιν δὲ καὶ τῷδ᾽, ὃν λέγεις τὸν Ἀρκάδα,
ἀνὴρ ἄκομπος, χεὶρ δ᾽ ὁρᾷ τὸ δράσιμον,
Ἄκτωρ ἀδελφὸς τοῦ πάρος λελεγμένου·
ὃς οὐκ ἐάσει γλῶσσαν ἐργμάτων ἄτερ
ἔσω πυλῶν ῥέουσαν ἀλδαίνειν κακὰ,
οὐδ᾽ εἰσαμεῖψαι θηρὸς ἐχθίστου δάκους
εἰκὼ φέροντα πολεμίας ἐπ᾽ ἀσπίδος·
ἢ ᾽ξωθεν εἴσω τῷ φέροντι μέμψεται,
πυκνοῦ κροτησμοῦ τυγχάνουσ᾽ ὑπὸ πτόλιν.
θεῶν θελόντων δ᾽ ἂν ἀληθεύσαιμ᾽ ἐγώ.

*ΧΟΡΟΣ.*

ἱκνεῖται λόγος διὰ στηθέων,
τριχὸς δ᾽ ὀρθίας πλόκαμος ἵσταται,
μεγάλα μεγαληγόρων κλυούσᾳ
ἀνοσίων ἀνδρῶν. εἴθε γὰρ θεοὶ
τούσδ᾽ ὀλέσειαν ἐν γᾷ.

*ΑΓΓΕΛΟΣ.*

ἕκτον λέγοιμ᾽ ἂν ἄνδρα σωφρονέστατον
ἀλκήν τ᾽ ἄριστον μάντιν, Ἀμφιάρεω βίαν·
Ὁμολωΐσιν δὲ πρὸς πύλαις τεταγμένος
κακοῖσι βάζει πολλὰ Τυδέως βίαν,
τὸν ἀνδροφόντην, τὸν πόλεως ταράκτορα,
μέγιστον Ἄργει τῶν κακῶν διδάσκαλον,
Ἐρινύος κλητῆρα, πρόσπολον φόνου,
κακῶν τ᾽ Ἀδράστῳ τῶνδε βουλευτήριον·
καὶ τὸν σὸν αὖθις πρόσμορον ἀδελφεὸν
ἐξυπτιάζων ὄνομα, Πολυνείκους βίαν,
δίς τ᾽ ἐν τελευτῇ τοὔνομ᾽ ἐνδατούμενος
καλεῖ. λέγει δὲ τοῦτ᾽ ἔπος διὰ στόμα·
ἦ τοῖον ἔργον καὶ θεοῖσι προσφιλὲς,
καλόν τ᾽ ἀκοῦσαι καὶ λέγειν μεθυστέροις,
πόλιν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς
πορθεῖν, στράτευμ᾽ ἐπακτὸν ἐμβεβληκότα.
μητρός τε πηγὴν τίς κατασβέσει δίκη;
πατρίς τε γαῖα σῆς ὑπὸ σπουδῆς δορὶ
ἁλοῦσα πῶς σοι ξύμμαχος γενήσεται;
ἔγωγε μὲν δὴ τήνδε πιανῶ χθόνα,
μάντις κεκευθὼς πολεμίας ὑπὸ χθονός.
μαχώμεθ᾽, οὐκ ἄτιμον ἐλπίζω μόρον.
τοιαῦθ᾽ ὁ μάντις ἀσπίδ᾽ εὔκυκλον νέμων
πάγχαλκον ηὔδα· σῆμα δ᾽ οὐκ ἐπῆν κύκλῳ.
οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ᾽ εἶναι θέλει,
βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
ἀφ᾽ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα.

563—567. = 626—630.

τούτῳ σοφούς τε κἀγαθοὺς ἀντηρέτας
πέμπειν ἐπαινῶ. δεινὸς ὃς θεοὺς σέβει.

*ΕΤΕΟΚΛΗΣ.*

φεῦ τοῦ ξυναλλάσσοντος ὄρνιθος βροτοῖς
δίκαιον ἄνδρα τοῖσι δυσσεβεστέροις.
ἐν παντὶ πράγει δ᾽ ἔσθ᾽ ὁμιλίας κακῆς
κάκιον οὐδὲν, καρπὸς οὐ κομιστέος.
[ἄτης ἄρουρα θάνατον ἐκκαρπίζεται·]
ἢ γὰρ ξυνεισβὰς πλοῖον εὐσεβὴς ἀνὴρ
ναύταισι θερμοῖς καὶ πανουργίᾳ τινὶ
ὄλωλεν ἀνδρῶν σὺν θεοπτύστῳ γένει·
ἢ ξυμπολίταις ἀνδράσιν δίκαιος ὢν
ἐχθροξένοις τε καὶ θεῶν ἀμνήμοσι
ταὐτοῦ κυρήσας ἐκδίκως ἀγρεύματος,
πληγεὶς θεοῦ μάστιγι παγκοίνῳ δάμη.
οὕτως δ᾽ ὁ μάντις, υἱὸν Οἰκλέους λέγω,
σώφρων δίκαιος ἀγαθὸς εὐσεβὴς ἀνὴρ,
μέγας προφήτης, ἀνοσίοισι συμμιγεὶς
θρασυστόμοισιν ἀνδράσιν φρενῶν βίᾳ
τείνουσι πομπὴν, τὴν μακρὰν πόλιν μολεῖν,
Διὸς θέλοντος ξυγκαθελκυσθήσεται.
δοκῶ μὲν οὖν σφε μηδὲ προσβαλεῖν πύλαις,
οὐχ ὡς ἄθυμον οὐδὲ λήματος κάκῃ,
ἀλλ᾽ οἶδεν ὥς σφε χρὴ τελευτῆσαι μάχῃ,
εἰ καρπὸς ἔσται θεσφάτοισι Λοξίου.
φιλεῖ δὲ σιγᾶν ἢ λέγειν τὰ καίρια.
ὅμως δ᾽ ἐπ᾽ αὐτῷ φῶτα Λασθένους βίαν
ἐχθρόξενον πυλωρὸν ἀντιτάξομεν,
γέροντα τὸν νοῦν, σάρκα δ᾽ ἡβῶσαν φέρει,
ποδῶκες ὄμμα, χεῖρα δ᾽ οὐ βραδύνεται
παρ᾽ ἀσπίδος γυμνωθὲν ἁρπάσαι δόρυ.
θεοῦ δὲ δῶρόν ἐστιν εὐτυχεῖν βροτούς.

*ΧΟΡΟΣ.*

κλύοντες θεοὶ δικαίους λιτὰς
ἡμετέρας τελεῖθ᾽ ὡς πόλις εὐτυχῇ,
δορίπονα κάκ᾽ ἐκτρέποντες ἐς γᾶς
ἐπιμόλους· πύργων δ᾽ ἔκτοθεν βαλὼν
Ζεύς σφε κάνοι κεραυνῷ.

*ΑΓΓΕΛΟΣ.*

τὸν ἕβδομον δὴ τόνδ᾽ ἐφ᾽ ἑβδόμαις πύλαις
λέξω, τὸν αὐτοῦ σου κασίγνητον, πόλει
οἵας ἀρᾶται καὶ κατεύχεται τύχας·
πύργοις ἐπεμβὰς κἀπικηρυχθεὶς χθονὶ,
ἁλώσιμον παιᾶν᾽ ἐπεξιακχάσας,
σοὶ ξυμφέρεσθαι καὶ κτανὼν θανεῖν πέλας,
ἢ ζῶντ᾽ ἀτιμαστῆρα τὼς σ᾽ ἀνδρηλάτην
φυγῇ τὸν αὐτὸν τόνδε τίσασθαι τρόπον·
τοιαῦτ᾽ ἀϋτεῖ καὶ θεοὺς γενεθλίους
καλεῖ πατρῴας γῆς ἐποπτῆρας λιτῶν
τῶν ὧν γενέσθαι πάγχυ Πολυνείκους βία.
ἔχει δὲ καινοπηγὲς εὔθετον σάκος
διπλοῦν τε σῆμα προσμεμηχανημένον.
χρυσήλατον γὰρ ἄνδρα τευχηστὴν ἰδεῖν
ἄγει γυνή τις σωφρόνως ἡγουμένη.
Δίκη δ᾽ ἄρ᾽ εἶναί φησιν, ὡς τὰ γράμματα
λέγει „κατάξω δ᾽ ἄνδρα τόνδε καὶ πόλιν
ἕξει πατρῴαν δωμάτων τ᾽ ἐπιστροφάς.“
τοιαῦτ᾽ ἐκείνων ἐστὶ τἀξευρήματα.
σὺ δ᾽ αὐτὸς ἤδη γνῶθι τίνα πέμπειν δοκεῖς·
ὡς οὔποτ᾽ ἀνδρὶ τῷδε κηρυκευμάτων

*μέμψει, σὺ δ' αὐτὸς γνῶθι ναυκληρεῖν πόλιν.*

ΕΤΕΟΚΛΗΣ.

*ὦ θεομανές τε καὶ θεῶν μέγα στύγος,*
*ὦ πανδάκρυτον ἁμὸν Οἰδίπου γένος·*
*ὤμοι, πατρὸς δὴ νῦν ἀραὶ τελεσφόροι.*
*ἀλλ' οὔτε κλαίειν οὔτ' ὀδύρεσθαι πρέπει,*
*μὴ καὶ τεκνωθῇ δυσφορώτερος γόος.*
*ἐπωνύμῳ δὲ κάρτα, Πολυνείκη λέγω,*
*τάχ' εἰσόμεσθα τἀπίσημ' ὅπη τελεῖ·*
*εἴ νιν κατάξει χρυσότευκτα γράμματα*
*ἐπ' ἀσπίδος φλύοντα σὺν φοίτῳ φρενῶν.*
*εἰ δ' ἡ Διὸς παῖς παρθένος Δίκη παρῆν*
*ἔργοις ἐκείνου καὶ φρεσὶν, τάχ' ἂν τόδ' ἦν·*
*ἀλλ' οὔτε νιν φυγόντα μητρόθεν σκότον,*
*οὔτ' ἐν τροφαῖσιν, οὔτ' ἐφηβήσαντά πω,*
*οὔτ' ἐν γενείου συλλογῇ τριχώματος,*
*Δίκη προσεῖδε καὶ κατηξιώσατο·*
*οὔτ' ἐν πατρῴας μὴν χθονὸς κακουχίᾳ*
*οἶμαί νιν αὐτῷ νῦν παραστατεῖν πέλας.*
*ἦ δῆτ' ἂν εἴη πανδίκως ψευδώνυμος*
*Δίκη, ξυνοῦσα φωτὶ παντόλμῳ φρένας.*
*τούτοις πεποιθὼς εἶμι καὶ ξυστήσομαι*
*αὐτός· τίς ἄλλος μᾶλλον ἐνδικώτερος;*
*ἄρχοντί τ' ἄρχων καὶ κασιγνήτῳ κάσις,*
*ἐχθρὸς σὺν ἐχθρῷ στήσομαι. φέρ' ὡς τάχος*
*κνημῖδας, αἰχμὴν καὶ πετρῶν προβλήματα.*

ΧΟΡΟΣ.

*μὴ φίλτατ' ἀνδρῶν, Οἰδίπου τέκος, γένῃ*
*ὀργὴν ὁμοῖος τῷ κάκιστ' αὐδωμένῳ·*
*ἀλλ' ἄνδρας Ἀργείοισι Καδμείους ἅλις*
*ἐς χεῖρας ἐλθεῖν· αἷμα γὰρ καθάρσιον.*
*ἀνδροῖν δ' ὁμαίμοιν θάνατος ὧδ' αὐτοκτόνος,*
*οὐκ ἔστι γῆρας τοῦδε τοῦ μιάσματος.*

ΕΤΕΟΚΛΗΣ.

*εἴπερ κακὸν φέρει τις αἰσχύνης ἄτερ,*
*ἔστω· μόνον γὰρ κέρδος ἐν τεθνηκόσι·*
*κακῶν δὲ κᾀσχρῶν οὔ τιν' εὔκλειαν ἐρεῖς.*

ΧΟΡΟΣ.

*τί μέμονας τέκνον; μή τί σε θυμοπλη-*
*θὴς δορίμαργος ἄτα φερέτω· κακοῦ δ'*
*ἔκβαλ' ἔρωτος ἀρχάν.*

ΕΤΕΟΚΛΗΣ.

*ἐπεὶ τὸ πρᾶγμα κάρτ' ἐπισπέρχει θεὸς,*
*ἴτω κατ' οὖρον κῦμα Κωκυτοῦ λαχὸν*
*Φοίβῳ στυγηθὲν πᾶν τὸ Λαΐου γένος.*

ΧΟΡΟΣ.

*ὠμοδακής σ' ἄγαν ἵμερος ἐξοτρύ-*
*νει πικρόκαρπον ἀνδροκτασίαν τελεῖν*
*αἵματος οὐ θεμιστοῦ.*

ΕΤΕΟΚΛΗΣ.

*φίλου γὰρ ἐχθρά μοι πατρὸς τέλει' ἀρὰ*
*ξηροῖς ἀκλαύστοις ὄμμασιν προσιζάνει*
*λέγουσα κέρδος πρότερον ὑστέρου μόρου.*

ΧΟΡΟΣ.

*ἀλλὰ σὺ μὴ 'ποτρύνου. κακὸς οὐ κεκλή-*
*σει βίον εὖ κυρήσας· μελαναιγὶς οὐκ*
*εἶσι δόμους Ἐρινὺς, ὅταν ἐκ χερῶν*
*θεοὶ θυσίαν δέχωνται.*

686 — 688. = 692 — 694.
698 — 701. = 705 — 708.

ΕΤΕΟΚΛΗΣ.

*θεοῖς μὲν ἤδη πως παρημελήμεθα,*
*χάρις δ' ἀφ' ἡμῶν ὀλομένων θαυμάζεται·*
*τί οὖν ἔτ' ἂν σαίνοιμεν ὀλέθριον μόρον;*

ΧΟΡΟΣ.

*νῦν ὅτε σοι παρέστακεν· ἐπεὶ δαίμων*
*λήματος ἐν τροπαίᾳ χρονίᾳ μεταλ-*
*λακτὸς, ἴσως ἂν ἔλθοι θαλερωτέρῳ*
*πνεύματι· νῦν δ' ἔτι ζεῖ.*

ΕΤΕΟΚΛΗΣ.

*ἐξέζεσεν γὰρ Οἰδίπου κατεύγματα·*
*ἄγαν δ' ἀληθεῖς ἐνυπνίων φαντασμάτων*
*ὄψεις, πατρῴων χρημάτων δατήριοι.*

ΧΟΡΟΣ.

*πείθου γυναιξὶ, καίπερ οὐ στέργων ὅμως.*

ΕΤΕΟΚΛΗΣ.

*λέγοιτ' ἂν ὧν ἄνη τις· οὐδὲ χρὴ μακράν.*

ΧΟΡΟΣ.

*μὴ 'λθῃς ὁδοὺς σὺ τάσδ' ἐφ' ἑβδόμαις πύλαις.*

ΕΤΕΟΚΛΗΣ.

*τεθηγμένον τοί μ' οὐκ ἀπαμβλυνεῖς λόγῳ.*

ΧΟΡΟΣ.

*νίκην γε μέντοι καὶ κακὴν τιμᾷ θεός.*

ΕΤΕΟΚΛΗΣ.

*οὐκ ἄνδρ' ὁπλίτην τοῦτο χρὴ στέργειν ἔπος.*

ΧΟΡΟΣ.

*ἀλλ' αὐτάδελφον αἷμα δρέψασθαι θέλεις;*

ΕΤΕΟΚΛΗΣ.

*θεῶν διδόντων οὐκ ἂν ἐκφύγοι κακά.*

ΧΟΡΟΣ.

*πέφρικα τὰν ὠλεσίοικον θεὸν, οὐ θεοῖς ὁμοίαν*
*παναληθῆ, κακόμαντιν πατρὸς εὐκταίαν Ἐρινὺ*
*τελέσαι τὰς περιθύμους κατάρας βλαψιφρόνω*
*Οἰδιπόδα.*
*παιδολέτωρ δ' ἔρις ἅδ' ὀτρύνει.*
*ξένος δὲ κλήρους ἐπινωμᾷ Χάλυβος Σκυθῶ*
*ἄποικος,*
*κτεάνων χρηματοδαίτας πικρὸς, ὠμόφρων σι*
*δαρος,*
*χθόνα ναίειν διαπήλας, ὁπόσαν καὶ φθιμένοι*
*σιν κατέχειν,*
*τῶν μεγάλων πεδίων ἀμοίρους.*
*ἐπειδὰν αὐτοκτόνως*
*αὐτοδάϊκτοι θάνωσι,*
*καὶ χθονία κόνις πίῃ*
*μελαμπαγὲς αἷμα φοίνιον,*
*τίς ἂν καθαρμοὺς πόροι,*
*τίς ἄν σφε λούσειεν; ὦ*
*πόνοι δόμων νέοι παλαι-*
*οῖσι συμμιγεῖς κακοῖς.*
*παλαιγενῆ γὰρ λέγω*
*παρβασίαν ὠκύποινον·*
*αἰῶνα δ' ἐς τρίτον μένει.*
*Ἀπόλλωνος εὖτε Λάϊος*
*βίᾳ, τρὶς εἰπόντος ἐν*
*μεσομφάλοις Πυθικοῖς*
*χρηστηρίοις θνήσκοντα γέν-*
*νας ἄτερ σώζειν πόλιν.*

720 — 726. = 727 — 733.
734 — 741. = 742 — 749.

κρατηθεὶς δ' ἐκ φίλων ἀβουλίαις
ἐγείνατο μὲν μόρον αὑτῷ,
πατροκτόνον Οἰδιπόδαν,
ὅστε μὴ πρὸς ἁγνὰν
σπείρας ἄρουραν, ἵν' ἐτράφη,
ῥίζαν αἱματόεσσαν
ἔτλα. παράνοια συνᾶγε
νυμφίους φρενώλεις·
κακῶν δ' ὥσπερ θάλασσα κῦμ' ἄγει·
τὸ μὲν πιτνὸν, ἄλλο δ' ἀείρει
τρίχαλον, ὃ καὶ περὶ πρύ-
μναν πόλεως καχλάζει.
μεταξὺ δ' ἀλκὰ δι' ὀλίγου
τείνει πύργος ἐν εὔρει.
δέδοικα δὲ σὺν βασιλεῦσι
μὴ πόλις δαμασθῇ.
τέλειαι γὰρ παλαίφατοι ἀραὶ,
βαρεῖαι καταλλαγαὶ,
τὰ δ' ὀλοὰ πελόμεν' οὐ παρέρχεται.
πρόπρυμνα δ' ἐκβολὰν φέρει
ἀνδρῶν ἀλφηστᾶν
ὄλβος ἄγαν παχυνθείς.
τίν' ἀνδρῶν γὰρ τοσόνδ' ἐθαύμασαν
θεοὶ καὶ ξυνέστιοι
πόλεος ὁ πολύβοτός τ' αἰὼν βροτῶν,
ὅσον τότ' Οἰδίπουν τίον,
ἁναρπαξάνδραν
κῆρ' ἀφελόντα χώρας;
ἐπεὶ δ' ἀρτίφρων
ἐγένετο μέλεος ἀθλίων
γάμων, ἐπ' ἄλγει δυσφορῶν
μαινομένᾳ κραδίᾳ
δίδυμα κάκ' ἐτέλεσεν·
πατροφόνῳ χερὶ τῶν
κρεισσοτέκνων ὀμμάτων ἐπλάγχθη.
τέκνοις δ' ἀραίας
ἐφῆκεν ἐπικότους τροφὰς,
αἰαῖ, πικρογλώσσους ἀρὰς,
καί σφε σιδαρονόμῳ
διὰ χερὶ ποτὲ λαχεῖν
κτήματα· νῦν δὲ τρέω,
μὴ τελέσῃ καμψίπους Ἐρινύς.

ΑΓΓΕΛΟΣ.

θαρσεῖτε, παῖδες μητέρων τεθραμμέναι.
πόλις πέφευγεν ἥδε δούλειον ζυγόν·
πέπτωκεν ἀνδρῶν ὀβρίμων κομπάσματα·
πόλις δ' ἐν εὐδίᾳ τε καὶ κλυδωνίου
πολλαῖσι πληγαῖς ἄντλον οὐκ ἐδέξατο.
στέγει δὲ πύργος, καὶ πύλας φερεγγύοις
ἐφραξάμεσθα μονομάχοισι προστάταις·
καλῶς ἔχει τὰ πλεῖστ' ἐν ἓξ πυλώμασι·
τὰς δ' ἑβδόμας ὁ σεμνὸς ἑβδομαγέτας
ἄναξ Ἀπόλλων εἵλετ', Οἰδίπου γένει
κραίνων παλαιὰς Λαΐου δυσβουλίας.

ΧΟΡΟΣ.

τί δ' ἐστὶ πρᾶγος νεόκοτον πόλει παρόν;

750—757. = 758—765.
766—771. = 772—777.
778—784. = 785—791.

ΑΓΓΕΛΟΣ.

ἄνδρες τεθνᾶσιν ἐκ χερῶν αὐτοκτόνων.

ΧΟΡΟΣ.

τίνες; τί δ' εἶπας; παραφρονῶ φόβῳ λόγου.

ΑΓΓΕΛΟΣ.

φρονοῦσα νῦν ἄκουσον, Οἰδίπου γένος.

ΧΟΡΟΣ.

οἳ 'γὼ τάλαινα, μάντις εἰμὶ τῶν κακῶν.

ΑΓΓΕΛΟΣ.

οὐδ' ἀμφιλέκτως μὴν κατεσποδημένοι.

ΧΟΡΟΣ.

ἐκεῖθι κῆλθον; βαρέα δ' οὖν ὅμως φράσον.

ΑΓΓΕΛΟΣ.

οὕτως ἀδελφαῖς χερσὶν ἠναίροντ' ἄγαν.

ΧΟΡΟΣ.

οὕτως ὁ δαίμων κοινὸς ἦν ἀμφοῖν ἅμα.

ΑΓΓΕΛΟΣ.

αὐτὸς δ' ἀναλοῖ δῆτα δύσποτμον γένος.
τοιαῦτα χαίρειν καὶ δακρύεσθαι πάρα·
πόλιν μὲν εὖ πράσσουσαν, οἱ δ' ἐπιστάται,
δισσὼ στρατηγὼ, διέλαχον σφυρηλάτῳ
Σκύθῃ σιδήρῳ κτημάτων παμπησίαν.
ἕξουσι δ' ἣν λάβωσιν ἐν ταφῇ χθονὸς,
πατρὸς κατ' εὐχὰς δυσπότμους φορούμενοι.
πόλις σέσωσται· βασιλέοιν δ' ὁμοσπόροιν
πέπωκεν αἷμα γαῖ' ὑπ' ἀλλήλων φόνῳ.

ΧΟΡΟΣ.

ὦ μεγάλε Ζεῦ καὶ πολιοῦχοι
δαίμονες, οἳ δὴ Κάδμου πύργους
τούσδε ῥύεσθε·
πότερον χαίρω κἀπολολύξω
πόλεως ἀσινεῖ σωτῆρι,
ἢ τοὺς μογεροὺς καὶ δυσδαίμονας
ἀτέκνους κλαύσω πολεμάρχους;
οἳ δῆτ' ὀρθῶς κατ' ἐπωνυμίαν
καὶ πολυνεικεῖς
ὤλοντ' ἀσεβεῖ διανοίᾳ.
ὦ μέλαινα καὶ τελεία
γένεος Οἰδίπου τ' ἀρὰ,
κακόν με καρδίαν τι περιπιτνεῖ κρυος.
ἔτευξα τύμβῳ μέλος
Θυιὰς, αἱματοσταγεῖς
νεκροὺς κλύουσα δυσμόρως
θανόντας· ἦ δύσορνις ἅ-
δε ξυναυλία δορός.
ἐξέπραξεν, οὐδ' ἀπεῖπε
πατρόθεν εὐκταία φάτις·
βουλαὶ δ' ἄπιστοι Λαΐου διήρκεσαν.
μέριμνα δ' ἀμφὶ πτόλιν·
θέσφατ' οὐκ ἀμβλύνεται.
ἰὼ πολύστονοι τόδ' εἰρ-
γάσασθ' ἄπιστον· ἦλθε δ' αἰ-
ακτὰ πήματ' οὐ λόγῳ.
τάδ' αὐτόδηλα, προὔπτος ἀγγέλου λόγος·
διπλαῖ μέριμναι, διδυμάνορα
κάκ' αὐτοφόνα, δίμοιρα
τέλεια τάδε πάθη. τί φῶ;
τί δ' ἄλλο γ' ἢ πόνοι πόνων,
δόμων ἐφέστιοι;

832—839. = 840—847.

ἀλλὰ γόων, ὦ φίλαι, κατ' οὖρον
ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν
πίτυλον, ὃς αἰὲν δι' Ἀχέροντ' ἀμείβεται
τὰν ἄστονον, μελάγκροκον
ναύστολον θεωρίδα,
τὰν ἀστιβῆ 'πόλλωνι, τὰν ἀνάλιον,
πάνδοκον, εἰς ἀφανῆ τε χέρσον.
ἀλλὰ γὰρ ἥκουσ' αἵδ' ἐπὶ πρᾶγος
πικρὸν Ἀντιγόνη τ' ἠδ' Ἰσμήνη,
θρῆνον ἀδελφοῖν· οὐκ ἀμφιβόλως
οἶμαί σφ' ἐρατῶν ἐκ βαθυκόλπων
στηθέων ἥσειν ἄλγος ἐπάξιον.
ἡμᾶς δὲ δίκη πρότερον φήμης
τὸν δυσκέλαδόν θ' ὕμνον Ἐρινύος
ἰαχεῖν Ἅιδᾳ τ'
ἐχθρὸν παιᾶν' ἐπιμέλπειν.
ἰὼ δυσαδελφόταται πασῶν ὁπόσαι
στρόφον ἐσθῆσιν περιβάλλονται,
κλαίω, στένομαι, καὶ δόλος οὐδεὶς
μὴ 'κ φρενὸς ὀρθῶς με λιγαίνειν.

ΗΜΙΧΟΡΙΟΝ.

ἰὼ ἰὼ δύσφρονες,
φίλων ἄπιστοι καὶ κακῶν ἀτρύμονες,
πατρῴους δόμους ἑλόντες μέλεοι σὺν ἀλκᾷ.

ΗΜΙΧΟΡΙΟΝ.

μέλεοι δῆθ' οἳ μελέους θανάτους
εὕροντο δόμων ἐπὶ λύμῃ.

ΗΜΙΧΟΡΙΟΝ.

ἰὼ ἰὼ δωμάτων
ἐρειψίτοιχοι καὶ πικρὰς μοναρχίας
ἰδόντες, τί δὴ διήλλαχθε σὺν σιδάρῳ;

ΗΜΙΧΟΡΙΟΝ.

κάρτα δ' ἀληθῆ πατρὸς Οἰδιπόδα
πότνι' Ἐρινὺς ἐπέκρανε.

ΗΜΙΧΟΡΙΟΝ.

δι' εὐωνύμων τετυμμένοι,
τετυμμένοι δῆθ', ὁμο–
σπλάγχνων τε πλευρωμάτων
* * *
αἰαῖ δαιμόνιοι,
αἰαῖ δ' ἀντιφόνων
*θανάτων ἀραί.

ΗΜΙΧΟΡΙΟΝ.

διανταίαν λέγεις δόμοισι καὶ
σώμασιν πεπλαγμένους,
ἀναυδάτῳ μένει
ἀραίῳ τ' ἐκ πατρὸς
διχόφρονι πότμῳ.

ΗΜΙΧΟΡΙΟΝ.

διήκει δὲ καὶ πόλιν στόνος,
στένουσι πύργοι, στένει
πέδον φίλανδρον· μενεῖ
κτέανά τ' ἐπιγόνοις,
δι' ὧν αἰνομόροις,

874—879. == 880—887.
888—899. == 900—910.

δι' ὧν νεῖκος ἔβα,
καὶ θανάτου τέλος.

ΗΜΙΧΟΡΙΟΝ.

ἐμοιράσαντο δ' ὀξυκάρδιοι
κτήμαθ', ὥστ' ἴσον λαχεῖν.
διαλλακτῆρι δ' οὐκ
ἀμεμφία φίλοις,
οὐδ' ἐπίχαρις Ἄρης.

ΗΜΙΧΟΡΙΟΝ.

σιδαρόπλακτοι μὲν ὧδ' ἔχουσι,
σιδαρόπλακτοι δὲ τοὺς μένουσι,
τάχ' ἄν τις εἴποι, τίνες;
τάφων πατρῴων λαχαί.

ΗΜΙΧΟΡΙΟΝ.

δόμων μάλ' ἀχὰν ἐς οὓς προπέμπει
δαϊκτὴρ γόος, αὐτόστονος, αὐτοπήμων,
δαϊόφρων, οὐ φιλογαθής, ἐτύμως δακρυχέων
ἐκ φρενός, ἃ
κλαιομένας μου μινύθει τοῖνδε δυοῖν ἀνάκτοιν.

ΗΜΙΧΟΡΙΟΝ.

πάρεστι δ' εἰπεῖν ἐπ' ἀθλίοισιν
ὡς ἐρξάτην πολλὰ μὲν πολίτας,
ξένων τε πάντων στίχας
πολυφθόρους ἐν δαΐ.

ΗΜΙΧΟΡΙΟΝ.

ἰὼ δυσαίων σφὶν ἁ τεκοῦσα
πρὸ πασῶν ὁπόσαι τεκνογόνοι κέκληνται.
παῖδα τὸν αὐτᾶς πόσιν αὐτᾷ θεμένα τούσδ'
ἔτεχ', οἱ δ' ὧδ' ἐτελεύ–
τασαν ὑπ' ἀλλαλοφόνοις χερσὶν ὁμοσπόροισιν.

ΗΜΙΧΟΡΙΟΝ.

ὁμόσποροι δῆτα καὶ πανώλεθροι,
διατομαῖς οὐ φίλαις,
ἔριδι μαινομένᾳ,
νείκεος ἐν τελευτᾷ.

ΗΜΙΧΟΡΙΟΝ.

πέπαυται δ' ἔχθος, ἐν δὲ γαίᾳ
ζόα φονορύτῳ
μέμικται· κάρτα δ' εἴσ' ὅμαιμοι.
πικρὸς λυτὴρ νεικέων
ὁ πόντιος ξεῖνος ἐκ πυρὸς συθεὶς
θηκτὸς σίδαρος· πικρὸς δὲ χρημάτων
κακὸς δατητὰς Ἄρης
ἀρὰν πατρῴαν τιθεὶς ἀληθῆ.

ΗΜΙΧΟΡΙΟΝ.

ἔχουσι μοῖραν λαχόντες, ὦ μέλεοι,
διοσδότων ἀχέων·
ὑπὸ δὲ σώματι γᾶς
πλοῦτος ἄβυσσος ἔσται.

ΗΜΙΧΟΡΙΟΝ.

ἰὼ πολλοῖς ἐπανθίσαντες
πόνοισί γε δόμους·
τελευτᾷ δ' αἵδ' ἐπηλάλαξαν
ἀραὶ τὸν ὀξὺν νόμον,
τετραμμένου παντρόπῳ φυγᾷ γένους.
ἕστακεν Ἄτας τροπαῖον ἐν πύλαις,

911—921. == 922—933.
934—946. == 947—960.

ἐν αἷς ἐθείνοντο, καὶ
δυοῖν κρατήσας ἔληξε δαίμων.

ΑΝΤΙΓΟΝΗ.

παισθεὶς ἔπαισας.

ΙΣΜΗΝΗ.

σὺ δ' ἔθανες κατακτανών.

ΑΝΤΙΓΟΝΗ.

δορὶ δ' ἔκανες.

ΙΣΜΗΝΗ.

δορὶ δ' ἔθανες.

ΑΝΤΙΓΟΝΗ.

μελεόπονος.

ΙΣΜΗΝΗ.

μελεοπαθής.

ΑΝΤΙΓΟΝΗ.

ἴτω δάκρυα.

ΙΣΜΗΝΗ.

ἴτω γόος.

ΑΝΤΙΓΟΝΗ.

προκείσεται κατακτάς.
ἠὲ ἠέ, μαίνεται γόοισι φρήν.

ΙΣΜΗΝΗ.

ἐντὸς δὲ καρδία στένει.

ΑΝΤΙΓΟΝΗ.

ἰὼ ἰὼ πάνδυρτε σύ.

ΙΣΜΗΝΗ.

σὺ δ' αὖτε καὶ πανάθλιε.

ΑΝΤΙΓΟΝΗ.

πρὸς φίλου ἔφθισο.

ΙΣΜΗΝΗ.

καὶ φίλον ἔκτανες.

ΑΝΤΙΓΟΝΗ.

διπλᾶ λέγειν.

ΙΣΜΗΝΗ.

διπλᾶ δ' ὁρᾶν.

ΑΝΤΙΓΟΝΗ.

ἀχέων τοίων τάδ' ἐγγύθεν.

ΙΣΜΗΝΗ.

πέλας αἵδ' ἀδελφαὶ ἀδελφεῶν.

ΧΟΡΟΣ.

ἰὼ μοῖρα βαρυδότειρα μογερά,
πότνιά τ' Οἰδίπου σκιά,
μέλαιν' Ἐρινύς, ἦ μεγασθενής τις εἶ.

ΙΣΜΗΝΗ.

ἠὲ ἠὲ δυσθέατα πήματα
ἐδείξατ' ἐκ φυγᾶς ἐμοί.

ΑΝΤΙΓΟΝΗ.

οὐδ' ἵκεθ' ὡς κατέκτανεν.

ΙΣΜΗΝΗ.

σωθεὶς δὲ πνεῦμ' ἀπώλεσεν.

ΑΝΤΙΓΟΝΗ.

ἀπώλεσε δῆτα.

ΙΣΜΗΝΗ.

καὶ τόνδ' ἐνόσφισε.

ΑΝΤΙΓΟΝΗ.

τάλαν γένος.

ΙΣΜΗΝΗ.

τάλαινα παθόν.
δύστονα κήδε' ὁμώνυμα.

ΑΝΤΙΓΟΝΗ.

δίυγρα τριπάλτων πημάτων.

ΙΣΜΗΝΗ.

ὀλοὰ λέγειν.

ΑΝΤΙΓΟΝΗ.

ὀλοὰ δ' ὁρᾶν.

ΧΟΡΟΣ.

ἰὼ μοῖρα βαρυδότειρα μογερά,
πότνιά τ' Οἰδίπου σκιά,
μέλαιν' Ἐρινύς, ἦ μεγασθενής τις εἶ.

ΑΝΤΙΓΟΝΗ.

σὺ τοίνυν οἶσθα διαπερῶν.

ΙΣΜΗΝΗ.

σὺ δ' οὐδὲν ὕστερον μαθών.

ΑΝΤΙΓΟΝΗ.

ἐπεὶ κατῆλθες ἐς πόλιν.

ΙΣΜΗΝΗ.

δορός γε τῷδ' ἀντηρέτας.

ΑΝΤΙΓΟΝΗ.

ὀλοὰ λέγειν.

ΙΣΜΗΝΗ.

ὀλοὰ δ' ὁρᾶν.

ΑΝΤΙΓΟΝΗ.

ἰὼ πόνος.

ΙΣΜΗΝΗ.

ἰὼ κακὰ
δώμασι καὶ χθονί, πρὸ πάντων δ' ἐμοί.

ΑΝΤΙΓΟΝΗ.

ἰὼ ἰώ, καὶ πρόσω γ' ἐμοί.

ΙΣΜΗΝΗ.

ἰὼ ἰὼ δυστόνων κακῶν
ἄναξ Ἐτεόκλεις ἀρχηγέτα.

ΑΝΤΙΓΟΝΗ.

ἰὼ πάντων πολυστονώτατοι.

ΙΣΜΗΝΗ.

ἰὼ δαιμονῶντες ἐν ἄτᾳ.

ΑΝΤΙΓΟΝΗ.

ἰὼ ἰώ, ποῦ σφε θήσομεν χθονός;
ἰὼ ὅπου τιμιώτατον.

ΙΣΜΗΝΗ.

ἰὼ ἰὼ πῆμα πατρὶ πάρευνον.

ΚΗΡΥΞ.

δοκοῦντα καὶ δόξαντ' ἀπαγγέλλειν με χρὴ
δήμου προβούλοις τῆσδε Καδμείας πόλεως·
Ἐτεοκλέα μὲν τόνδ' ἐπ' εὐνοίᾳ χθονὸς
θάπτειν ἔδοξε γῆς φίλαις κατασκαφαῖς·
εἴργων γὰρ ἐχθροὺς θάνατον εἵλετ' ἐν πόλει·
ἱερῶν πατρῴων δ' ὅσιος ὢν μομφῆς ἄτερ
τέθνηκεν οὗπερ τοῖς νέοις θνῄσκειν καλόν.
οὕτω μὲν ἀμφὶ τοῦδ' ἐπέσταλται λέγειν.
τούτου δ' ἀδελφὸν τόνδε Πολυνείκους νεκρὸν
ἔξω βαλεῖν ἄθαπτον, ἁρπαγὴν κυσίν,
ὡς ὄντ' ἀναστατῆρα Καδμείων χθονός,
εἰ μὴ θεῶν τις ἐμποδὼν ἔστη δορὶ
τῷ τοῦδ'. ἄγος δὲ καὶ θανὼν κεκτήσεται
θεῶν πατρῴων, οὓς ἀτιμάσας ὅδε
στράτευμ' ἐπακτὸν ἐμβαλὼν ᾕρει πόλιν.
οὕτω πετεινῶν τόνδ' ὑπ' οἰωνῶν δοκεῖ
ταφέντ' ἀτίμως τοὐπιτίμιον λαβεῖν·
καὶ μήθ' ὁμαρτεῖν τυμβοχόα χειρώματα

μήτ' ὀξυμόλποις προσσέβειν οἰμώγμασιν,
ἄτιμον εἶναι δ' ἐκφορᾶς φίλων ὕπο·
τοιαῦτ' ἔδοξε τῷδε Καδμείων τέλει.

ΑΝΤΙΓΟΝΗ.

ἐγὼ δὲ Καδμείων γε προστάταις λέγω,
ἤν μή τις ἄλλος τόνδε συνθάπτειν θέλῃ,
ἐγώ σφε θάψω κἀνὰ κίνδυνον βαλῶ
θάψασ' ἀδελφὸν τὸν ἐμὸν, οὐδ' αἰσχύνομαι
ἔχουσ' ἄπιστον τήνδ' ἀναρχίαν πόλει.
δεινὸν τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν,
μητρὸς ταλαίνης κἀπὸ δυστήνου πατρός.
τοιγὰρ θέλουσ' ἄκοντι κοινώνει κακῶ
ψυχὴ, θανόντι ζῶσα συγγόνῳ φρενί.
τούτου δὲ σάρκας οὐδὲ κοιλογάστορες
λύκοι πάσονται· μὴ δοκησάτω τινί.
τάφον γὰρ αὐτὴ καὶ κατασκαφὰς ἐγὼ,
γυνή περ οὖσα, τῷδε μηχανήσομαι
κόλπῳ φέρουσα βυσσίνου πεπλώματος.
καὐτὴ καλύψω· μηδέ τῳ δόξῃ πάλιν·
θάρσει παρέσται μηχανὴ δραστήριος.

ΚΗΡΥΞ.

αὐδῶ πόλιν σε μὴ βιάζεσθαι τόδε.

ΑΝΤΙΓΟΝΗ.

αὐδῶ σε μὴ περισσὰ κηρύσσειν ἐμοί.

ΚΗΡΥΞ.

τραχύς γε μέντοι δῆμος ἐκφυγὼν κακά.

ΑΝΤΙΓΟΝΗ.

τράχυν', ἄθαπτος δ' οὗτος οὐ γενήσεται.

ΚΗΡΥΞ.

ἀλλ' ὃν πόλις στυγεῖ, σὺ τιμήσεις τάφῳ;

ΑΝΤΙΓΟΝΗ.

ἤδη τὰ τοῦδ' οὐ διατετίμηται θεοῖς.

ΚΗΡΥΞ.

οὔ, πρίν γε χώραν τήνδε κινδύνῳ βαλεῖν.

ΑΝΤΙΓΟΝΗ.

παθὼν κακῶς κακοῖσιν ἀντημείβετο.

ΚΗΡΥΞ.

ἀλλ' εἰς ἅπαντας ἀνθ' ἑνὸς τόδ' ἔργον ἦν.

ΑΝΤΙΓΟΝΗ.

ἔρις περαίνει μῦθον ὑστάτη θεῶν.
ἐγὼ δὲ θάψω τόνδε· μὴ μακρηγόρει.

ΚΗΡΥΞ.

ἀλλ' αὐτόβουλος ἴσθ', ἀπεννέπω δ' ἐγώ.

ΧΟΡΟΣ.

φεῦ φεῦ.
ὦ μεγάλαυχοι καὶ φθερσιγενεῖς
Κῆρες Ἐρινύες, αἵτ' Οἰδιπόδα
γένος ὠλέσατε πρυμνόθεν οὕτως.
τί πάθω; τί δὲ δρῶ; τί δὲ μήσωμαι;
πῶς τολμήσω μήτε σὲ κλαίειν
μήτε προπέμπειν ἐπὶ τύμβῳ;
ἀλλὰ φοβοῦμαι κἀποτρέπομαι
δεῖμα πολιτῶν.
σύ γε μὴν πολλῶν πενθητήρων
τεύξει· κεῖνος δ' ὁ τάλας ἄγοος
μονόκλαυτον ἔχων θρῆνον ἀδελφῆς
εἶσι. τίς ἂν ταῦτα πίθοιτο;

ΗΜΙΧΟΡΙΟΝ.

δράτω τι πόλις καὶ μὴ δράτω
τοὺς κλαίοντας Πολυνείκη.
ἡμεῖς μὲν ἴμεν καὶ συνθάψομεν
αἵδε προπομποί.
καὶ γὰρ γενεᾷ κοινὸν τόδ' ἄχος,
καὶ πόλις ἄλλως
ἄλλοτ' ἐπαινεῖ τὰ δίκαια.

ΗΜΙΧΟΡΙΟΝ.

ἡμεῖς δ' ἅμα τῷδ', ὥσπερ τε πόλις
καὶ τὸ δίκαιον ξυνεπαινεῖ.
μετὰ γὰρ μάκαρας καὶ Διὸς ἰσχὺν
ὅδε Καδμείων ἤρυξε πόλιν
μὴ 'νατραπῆναι
μηδ' ἀλλοδαπῶν κύματι φωτῶν
κατακλυσθῆναι τὰ μάλιστα.

# ΑΙΣΧΥΛΟΥ ΠΕΡΣΑΙ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.*
*ΑΤΟΣΣΑ.*
*ΑΓΓΕΛΟΣ.*
*ΕΙΔΩΛΟΝ ΔΑΡΕΙΟΥ.*
*ΞΕΡΞΗΣ.*

---

## *ΥΠΟΘΕΣΙΣ.*

*Γλαῦκος ἐν τοῖς περὶ Αἰσχύλου μύθων ἐκ τῶν Φοινισσῶν φησι Φρυνίχου τοὺς Πέρσας παραπεποιῆσθαι. ἐκτίθησι δὲ καὶ τὴν ἀρχὴν τοῦ δράματος ταύτην,*

*Τάδ' ἐστὶ Περσῶν τῶν πάλαι βεβηκότων.*

*πλὴν ἐκεῖ εὐνοῦχός ἐστιν ἀγγέλλων ἐν ἀρχῇ τὴν τοῦ Ξέρξου ἧτταν, στορνύς τε θρόνους τινὰς τοῖς τῆς ἀρχῆς παρέδροις. ἐνταῦθα δὲ προλογίζει χορὸς πρεσβυτῶν. [τῶν δὲ χορῶν τὰ μέν ἐστι παροδικά, ὡς ὅτε λέγει δι' ἣν αἰτίαν πάρεστιν, ὡς τὸ,*

*Τύριον οἶδμα λιποῦσα·*

*τὰ δὲ στάσιμα, ὡς ὅτε ἵσταται καὶ ἄρχεται τῆς συμφορᾶς τοῦ δράματος· τὰ δὲ κομματικά, ὅτε λοιπὸν ἐν θρήνῳ γίνεται.] καὶ ἔστιν ἡ μὲν σκηνὴ τοῦ δράματος παρὰ τῷ τάφῳ Δαρείου· ἡ δὲ ὑπόθεσις, Ξέρξης στρατευσάμενος κατὰ τῆς Ἑλλάδος μετὰ δυνάμεως πολλῆς, ἵππον μὲν ἄμετρον ἐπαγόμενος, ναῦς δὲ χιλίας διακοσίας ἑπτά, ἢ καὶ δεκατέσσαρας· καὶ πεζῇ μὲν ἐν Πλαταιαῖς νικηθείς, ναυτικῇ δὲ ἐν Σαλαμῖνι, καὶ διὰ Θεσσαλίας φεύγων διεπεραιώθη εἰς τὴν Ἀσίαν. ἰστέον δὲ ὅτι οἱ Ἕλληνες τριακοσίας μόνον νῆας εἶχον. πρώτη ἔφοδος Περσῶν ἐπὶ Δαρείου ἐδυστύχησε περὶ Μαραθῶνα. δευτέρα ἐπὶ Ξέρξου, περὶ Σαλαμῖνα καὶ Πλαταιάς, τοῦ Θεμιστοκλέους στρατηγοῦ ὄντος τότε τῶν Ἀθηναίων καὶ ῥήτορος, καὶ νῆας εἰπόντος ποιῆσαι καὶ ἀντιτάξασθαι πρὸς τὸν Ξέρξην. οὗ καὶ γενομένου περιεγένοντο αὐτοῦ. ὁ Ἀπόλλων γὰρ τοῖς Ἀθηναίοις μαντευομένοις πῶς τῶν Περσῶν περιγενήσονται εἶπε τείχη ξύλινα κατασκευάσαι, καὶ οὕτω περιγενέσθαι αὐτῶν. καὶ οἱ μὲν τείχη ἔλεγον ποιῆσαι εἰς τὴν πόλιν ξύλινα ἀντὶ τῶν λιθίνων· ὁ δὲ Θεμιστοκλῆς οὐχ οὕτως, ἀλλὰ νῆας εἶπε ποιῆσαι, αἳ πολλάκις διὰ τῶν οἰκείων τειχῶν σώζουσι τοὺς ἀνθρώπους. ἐπὶ Μένωνος τραγῳδῶν Αἰσχύλος ἐνίκα Φινεῖ, Πέρσαις, Γλαύκῳ Ποτνιεῖ, Προμηθεῖ. τούτου τοῦ Ξέρξου πατὴρ μὲν ἦν Δαρεῖος ὁ Περσῶν βασιλεύς, μήτηρ δὲ Ἄτοσσα. γίνωσκε δὲ ὅτι Δαρεῖοι τρεῖς εἰσι· πρῶτος δὲ τούτων υἱὸς Ὑστάσπου, προκριθεὶς ὑπὸ τῶν Περσῶν καὶ βασιλεύσας αὐτῶν, ὃς ἦν καὶ Ξέρξου πατὴρ τοῦ στρατεύσαντος ἐπὶ τοὺς Ἕλληνας· δεύτερος δὲ ὁ Ἀρταξέρξου πατήρ, Σύρος προσαγορευθείς, ἢ Νόθος· ἔσχατος δὲ Δαρεῖος ὁ ὑπ' Ἀλεξάνδρου τοῦ Φιλίππου καταλυθείς. τινὲς δὲ καὶ τέταρτον Δαρεῖον λέγουσιν εἶναι.*

---

# Π Ε Ρ Σ Α Ι.

### ΧΟΡΟΣ.

Τάδε μὲν Περσῶν τῶν οἰχομένων
Ἑλλάδ' ἐς αἶαν πιστὰ καλεῖται,
καὶ τῶν ἀφνεῶν καὶ πολυχρύσων
ἑδράνων φύλακες, κατὰ πρεσβείαν
οὓς αὐτὸς ἄναξ Ξέρξης βασιλεὺς
Δαρειογενὴς
εἵλετο χώρας ἐφορεύειν.
ἀμφὶ δὲ νόστῳ τῷ βασιλείῳ
καὶ πολυχρύσου στρατιᾶς ἤδη
κακόμαντις ἄγαν ὀρσολοπεῖται
θυμὸς ἔσωθεν.
πᾶσα γὰρ ἰσχὺς Ἀσιατογενὴς
ᾤχωκε· νέον δ' ἄνδρα βαΰζει,
κοὔτε τὶς ἄγγελος οὔτε τὶς ἱππεὺς
ἄστυ τὸ Περσῶν ἀφικνεῖται·
οἵτε τὸ Σούσων ἠδ' Ἐκβατάνων
καὶ τὸ παλαιὸν Κίσσινον ἕρκος
προλιπόντες ἔβαν,
οἱ μὲν ἐφ' ἵππων, οἱ δ' ἐπὶ ναῶν,
πεζοί τε βάδην
πολέμου στῖφος παρέχοντες·
οἷος Ἀμίστρης, ἠδ' Ἀρταφρένης,
καὶ Μεγαβάζης, ἠδ' Ἀστάσπης,
ταγοὶ Περσῶν,
βασιλῆς βασιλέως ὕποχοι μεγάλου
σοῦνται, στρατιᾶς πολλῆς ἔφοροι,
τοξοδάμαντές τ' ἠδ' ἱπποβάται,
φοβεροὶ μὲν ἰδεῖν, δεινοὶ δὲ μάχην
ψυχῆς εὐτλήμονι δόξῃ.
Ἀρτεμβάρης θ' ἱππιοχάρμης,
καὶ Μασίστρης, ὅ τε τοξοδάμας
ἐσθλὸς Ἰμαῖος, Φαρανδάκης θ',
ἵππων τ' ἐλατὴρ Σωσθάνης.
ἄλλους δ' ὁ μέγας καὶ πολυθρέμμων
Νεῖλος ἔπεμψεν· Σουσισκάνης,
Πηγασταγὼν Αἰγυπτογενής,
ὅ τε τῆς ἱερᾶς Μέμφιδος ἄρχων
μέγας Ἀρσάμης, τάς τ' ὠγυγίας
Θήβας ἐφέπων Ἀριόμαρδος,
καὶ ἑλειοβάται ναῶν ἐρέται
δεινοί, πλῆθός τ' ἀνάριθμοι.
ἁβροδιαίτων δ' ἕπεται Λυδῶν
ὄχλος, οἵτ' ἐπίπαν ἠπειρογενὲς
κατέχουσιν ἔθνος, τοὺς Μητραγαθὴς
Ἀρκτεύς τ' ἀγαθός, βασιλῆς δίοποι,
καὶ πολύχρυσοι Σάρδεις ἐπόχους
πολλοῖς ἅρμασιν ἐξορμῶσιν,
δίρρυμά τε καὶ τρίρρυμα τέλη,
φοβερὰν ὄψιν προσιδέσθαι.
στεῦνται δ' ἱεροῦ Τμώλου πελάται,
50 ζυγὸν ἀμφιβαλεῖν δούλιον Ἑλλάδι,
Μάρδων, Θάρυβις, λόγχης ἄκμονες
καὶ ἀκοντισταὶ Μυσοί· Βαβυλὼν δ'
ἡ πολύχρυσος πάμμικτον ὄχλον
πέμπει σύρδην, ναῶν τ' ἐπόχους,
55 τοξουλκῷ λήματι πιστούς·
τὸ μαχαιροφόρον τ' ἔθνος ἐκ πάσης
Ἀσίας ἕπεται,
δειναῖς βασιλέως ὑποπομπαῖς.
τοιόνδ' ἄνθος Περσίδος αἴας
60 οἴχεται ἀνδρῶν,
οὓς πέρι πᾶσα χθὼν Ἀσιῆτις
θρέψασα πόθῳ στένεται μαλερῷ,
τοκέες τ' ἄλοχοί θ' ἡμερόλεγδον
τείνοντα χρόνον τρομέονται.
65 πεπέρακεν μὲν ὁ περσέπτολις ἤδη
βασίλειος στρατὸς εἰς ἀντίπορον γείτονα χώραν,
λινοδέσμῳ σχεδίᾳ πορθμὸν ἀμείψας
70 Ἀθαμαντίδος Ἕλλας,
πολύγομφον ὅδισμα ζυγὸν ἀμφιβαλὼν αὐχέν
πόντου.
73 πολυάνδρου δ' Ἀσίας θούριος ἄρχων
75 ἐπὶ πᾶσαν χθόνα ποιμανόριον θεῖον ἐλαύνει
διχόθεν, πεζονόμοις ἔκ τε θαλάσσης,
ὀχυροῖσι πεποιθὼς
80 στυφέλοις ἐφέταις, χρυσογόνου γενεᾶς ἰσόθεο
φώς.
κυανοῦν δ' ὄμμασι λεύσσων φονίου δέργμ
δράκοντος,
πολύχειρ καὶ πολυναύτης, Σύριόν θ' ἅρμ
διώκων,
85 ἐπάγει δουρικλύτοις ἀνδράσι τοξόδαμνον Ἄρη.
87 δόκιμος δ' οὔτις ὑποστὰς μεγάλῳ ῥεύματι φωτῶ
90 ὀχυροῖς ἕρκεσιν εἴργειν ἄμαχον κῦμα θαλάσση
ἀπρόσοιστος γὰρ ὁ Περσῶν στρατὸς ἀλκίφρω
τε λαός.
93 δολόμητιν δ' ἀπάταν θεοῦ τίς ἀνὴρ θνατ
ἀλύξει;
95 τίς ὁ κραιπνῷ ποδὶ πηδήματος εὐπετοῦς ἀνάσσω
97 φιλόφρων γὰρ σαίνουσα τὸ πρῶτον παρά
βροτὸν εἰς ἀρκύστατα,
100 τόθεν οὐκ ἔστιν ὑπὲρ θνατὸν ἀλύξαντα φυγεῖ
102 θεόθεν γὰρ κατὰ μοῖρ' ἐκράτησεν τὸ παλαιὸ
ἐπέσκηψε δὲ Πέρσαις
105 πολέμους πυργοδαΐκτους
διέπειν ἱππιοχάρμας τε κλόνους, πόλεών
ἀναστάσεις.
110 ἔμαθον δ' εὐρυπόροιο θαλάσσης πολιαινομέν
πνεύματι λάβρῳ

65—72. = 73—80.
81—86. = 87—92.
102—107. = 108—113.

ἐσορᾶν πόντιον ἄλσος,
πίσυνοι λεπτοδόμοις πείσμασι λαοπόροις τε μηχαναῖς.
ταῦτά μοι μελαγχίτων
φρὴν ἀμύσσεται φόβῳ,
ὀὰ Περσικοῦ στρατεύματος
τοῦδε, μὴ πόλις πύθηται κένανδρον μέγ' ἄστυ Σουσίδος·
καὶ τὸ Κίσσινον πόλισμ'
ἀντίδουπον ἔσσεται,
ὀὰ τοῦτ' ἔπος γυναικοπληθὴς ὅμιλος ἀπύων·
βυσσίνοις δ' ἐν πέπλοις πέσῃ λακίς.
πᾶς γὰρ ἱππηλάτας
καὶ πεδοστιβὴς λεὼς
σμῆνος ὡς ἐκλέλοιπεν μελισσᾶν σὺν ὀρχάμῳ στρατοῦ,
τὸν ἀμφίζευκτον ἐξαμείψας
ἀμφοτέρας ἅλιον
πρῶνα κοινὸν αἴας.
λέκτρα δ' ἀνδρῶν πόθῳ
πίμπλαται δακρύμασιν·
Περσίδες δ' ἀκροπενθεῖς ἑκάστα πόθῳ φιλάνορι
τὸν αἰχμάεντα θοῦρον εὐνατῆρα προπεμψαμένα
λείπεται μονόζυξ.
ἀλλ' ἄγε, Πέρσαι, τόδ' ἐνεζόμενοι
στέγος ἀρχαῖον,
φροντίδα κεδνὴν καὶ βαθύβουλον
θώμεθα, χρεία δὲ προσήκει,
πῶς ἄρα πράσσει Ξέρξης βασιλεὺς
Δαρειογενής,
τὸ πατρωνύμιον γένος ἁμέτερον·
πότερον τόξου ῥῦμα τὸ νικῶν,
ἢ δορυκράνου
λόγχης ἰσχὺς κεκράτηκεν.
ἀλλ' ἥδε θεῶν ἴσον ὀφθαλμοῖς
φάος ὁρμᾶται μήτηρ βασιλέως,
βασίλεια δ' ἐμή, προσπίτνω·
καὶ προσφθόγγοις δὲ χρεὼν αὐτὴν
πάντας μύθοισι προσαυδᾶν.
ὦ βαθυζώνων ἄνασσα Περσίδων ὑπερτάτη,
μῆτερ ἡ Ξέρξου γεραιά, χαῖρε, Δαρείου γύναι,
θεοῦ μὲν εὐνήτειρα Περσῶν, θεοῦ δὲ καὶ μήτηρ ἔφυς,
εἴ τι μὴ δαίμων παλαιὸς νῦν μεθέστηκε στρατῷ.

ΑΤΟΣΣΑ.

ταῦτα δὴ λιποῦσ' ἱκάνω χρυσεοστόλμους δόμους,
καὶ τὸ Δαρείου τε κἀμὸν κοινὸν εὐνατήριον.
καί με καρδίαν ἀμύσσει φροντίς· ἐς δ' ὑμᾶς ἐρῶ
μῦθον, οὐδαμῶς ἐμαυτῆς οὖσ' ἀδείμαντος, φίλοι,
μὴ μέγας πλοῦτος κονίσας οὖδας ἀντρέψῃ ποδὶ
ὄλβον, ὃν Δαρεῖος ἦρεν οὐκ ἄνευ θεῶν τινός.
ταῦτά μοι διπλῆ μέριμν' ἄφραστός ἐστιν ἐν φρεσί,
μήτε χρημάτων ἀνάνδρων πλῆθος ἐν τιμῇ σέβειν
μήτ' ἀχρημάτοισι λάμπειν φῶς, ὅσον σθένος πάρα.
ἔστι γὰρ πλοῦτός γ' ἀμεμφής, ἀμφὶ δ' ὀφθαλμοῖς φόβος.

114—119. = 120—125.
126—132. = 133—139.

ὄμμα γὰρ δόμων νομίζω δεσπότου παρουσίαν.
πρὸς τάδ' ὡς οὕτως ἐχόντων τῶνδε, σύμβουλοι λόγου
τοῦδέ μοι γένεσθε, Πέρσαι, γηραλέα πιστώματα.
πάντα γὰρ τὰ κέδν' ἐν ὑμῖν ἐστί μοι βουλεύματα.

ΧΟΡΟΣ.

εὖ τόδ' ἴσθι, γῆς ἄνασσα τῆσδε, μή σε δὶς φράσαι
μήτ' ἔπος μήτ' ἔργον ὧν ἂν δύναμις ἡγεῖσθαι θέλῃ.
εὐμενεῖς γὰρ ὄντας ἡμᾶς τῶνδε συμβούλους καλεῖς.

ΑΤΟΣΣΑ.

πολλοῖς μὲν αἰεὶ νυκτέροις ὀνείρασι
ξύνειμ', ἀφ' οὗπερ παῖς ἐμὸς στείλας στρατὸν
Ἰαόνων γῆν οἴχεται, πέρσαι θέλων·
ἀλλ' οὔτι πω τοιόνδ' ἐναργὲς εἰδόμην
ὡς τῆς πάροιθεν εὐφρόνης. λέξω δέ σοι·
ἐδοξάτην μοι δύο γυναῖκ' εὐείμονε,
ἡ μὲν πέπλοισι Περσικοῖς ἠσκημένη,
ἡ δ' αὖτε Δωρικοῖσιν, εἰς ὄψιν μολεῖν,
μεγέθει τε τῶν νῦν ἐκπρεπεστάτα πολύ,
κάλλει τ' ἀμώμω, καὶ κασιγνήτα γένους
ταὐτοῦ· πάτραν δ' ἔναιον ἡ μὲν Ἑλλάδα
κλήρῳ λαχοῦσα γαῖαν, ἡ δὲ βάρβαρον.
τούτω στάσιν τιν', ὡς ἐγὼ 'δόκουν ὁρᾶν,
τεύχειν ἐν ἀλλήλαισι. παῖς δ' ἐμὸς μαθὼν
κατεῖχε κἀπράϋνεν, ἅρμασιν δ' ὕπο
ζεύγνυσιν αὐτὼ καὶ λέπαδν' ἐπ' αὐχένων
τίθησι. χἠ μὲν τῇδ' ἐπυργοῦτο στολῇ
ἐν ἡνίαισί τ' εἶχεν εὔαρκτον στόμα,
ἡ δ' ἐσφάδαζε, καὶ χεροῖν ἔντη δίφρου
διασπαράσσει, καὶ ξυναρπάζει βίᾳ
ἄνευ χαλινῶν καὶ ζυγὸν θραύει μέσον·
πίπτει δ' ἐμὸς παῖς, καὶ πατὴρ παρίσταται
Δαρεῖος οἰκτείρων σφε· τὸν δ' ὅπως ὁρᾷ
Ξέρξης, πέπλους ῥηγνυσιν ἀμφὶ σώματι.
καὶ ταῦτα μὲν δὴ νυκτὸς εἰσιδεῖν λέγω.
ἐπεὶ δ' ἀνέστην καὶ χεροῖν καλλιρρόου
ἔψαυσα πηγῆς, σὺν θυηπόλῳ χερὶ
βωμῷ προσέστην, ἀποτρόποισι δαίμοσι
θέλουσα θῦσαι πέλανον, ὧν τέλη τάδε·
ὁρῶ δὲ φεύγοντ' αἰετὸν πρὸς ἐσχάραν
Φοίβου· φόβῳ δ' ἄφθογγος ἐστάθην, φίλοι·
μεθύστερον δὲ κίρκον εἰσορῶ δρόμῳ
πτεροῖς ἐφορμαίνοντα καὶ χηλαῖς κάρα
τίλλονθ'· ὁ δ' οὐδὲν ἄλλο γ' ἢ πτήξας δέμας
παρεῖχε. ταῦτ' ἔμοιγε δείματ' ἔστ' ἰδεῖν,
ὑμῖν δ' ἀκούειν. εὖ γὰρ ἴστε, παῖς ἐμὸς
πράξας μὲν εὖ θαυμαστὸς ἂν γένοιτ' ἀνήρ,
κακῶς δὲ πράξας οὐχ ὑπεύθυνος πόλει·
σωθεὶς δ' ὁμοίως τῆσδε κοιρανεῖ χθονός.

ΧΟΡΟΣ.

οὔ σε βουλόμεσθα, μῆτερ, οὔτ' ἄγαν φοβεῖν λόγοις
οὔτε θαρσύνειν, θεοὺς δὲ προστροπαῖς ἱκνουμένη,
εἴ τι φλαῦρον εἶδες, αἰτοῦ τῶνδ' ἀποτροπὴν λαβεῖν·

τὰ δ' ἀγάϑ' ἐκτελῆ γενέσϑαι σοί τε καὶ τέκνοις σέϑεν
καὶ πόλει φίλοις τε πᾶσι· δεύτερον δὲ χρὴ χοὰς
γῇ τε καὶ φϑιτοῖς χέασϑαι· πρευμενῶς δ' αἰτοῦ τάδε,
σὸν πόσιν Δαρεῖον, ὅνπερ φῂς ἰδεῖν κατ' εὐφρόνην,
ἐσϑλά σοι πέμπειν τέκνῳ τε, γῆς ἔνερϑεν ἐς φάος·
τἄμπαλιν δὲ τῶνδε γαίας κάτοχ' ἀμαυροῦσϑαι σκότῳ.
ταῦτα ϑυμόμαντις ὢν σοὶ πρευμενῶς παρήνεσα·
εὖ δὲ πανταχῇ τελεῖν σοι τῶνδε κρίνομεν πέρι.

ΑΤΟΣΣΑ.

ἀλλὰ μὴν εὔνους γ' ὁ πρῶτος τῶνδ' ἐνυπνίων κριτὴς
παιδὶ καὶ δόμοις ἐμοῖσι τήνδ' ἐκύρωσας φάτιν.
ἐκτελοῖτο δὴ τὰ χρηστά· ταῦτα δ', ὡς ἐφίεσαι,
πάντα ϑήσομεν ϑεοῖσι τοῖς τ' ἔνερϑε γῆς φίλοις,
εὖτ' ἂν εἰς οἴκους μόλωμεν. κεῖνα δ' ἐκμαϑεῖν ϑέλω,
ὦ φίλοι, ποῦ τὰς Ἀϑήνας φασὶν ἱδρῦσϑαι χϑονός.

ΧΟΡΟΣ.

τῆλε πρὸς δυσμαῖς ἄνακτος Ἡλίου φϑινασμάτων.

ΑΤΟΣΣΑ.

ἀλλὰ μὴν ἵμειρ' ἐμὸς παῖς τήνδε ϑηρᾶσαι πόλιν.

ΧΟΡΟΣ.

πᾶσα γὰρ γένοιτ' ἂν Ἑλλὰς βασιλέως ὑπήκοος.

ΑΤΟΣΣΑ.

ὧδέ τις πάρεστιν αὐτοῖς ἀνδροπλήϑεια στρατοῦ;

ΧΟΡΟΣ.

καὶ στρατὸς τοιοῦτος ἔρξας πολλὰ δὴ Μήδους κακά.

ΑΤΟΣΣΑ.

καὶ τί πρὸς τούτοισιν ἄλλο, πλοῦτος ἐξαρκὴς δόμοις;

ΧΟΡΟΣ.

ἀργύρου πηγή τις αὐτοῖς ἐστι, ϑησαυρὸς χϑονός.

ΑΤΟΣΣΑ.

πότερα γὰρ τοξουλκὸς αἰχμὴ διὰ χεροῖν αὐτοῖς πρέπει;

ΧΟΡΟΣ.

οὐδαμῶς· ἔγχη σταδαῖα καὶ φεράσπιδες σάγαι.

ΑΤΟΣΣΑ.

τίς δὲ ποιμάνωρ ἔπεστι κἀπιδεσπόζει στρατοῦ;

ΧΟΡΟΣ.

οὔ τινος δοῦλοι κέκληνται φωτὸς οὐδ' ὑπήκοοι.

ΑΤΟΣΣΑ.

πῶς ἂν οὖν μένοιεν ἄνδρας πολεμίους ἐπήλυδας;

ΧΟΡΟΣ.

ὥστε Δαρείου πολύν τε καὶ καλὸν φϑεῖραι στρατόν.

ΑΤΟΣΣΑ.

δεινά τοι λέγεις ἰόντων τοῖς τεκοῦσι φροντίσαι.

ΧΟΡΟΣ.

ἀλλ' ἐμοὶ δοκεῖν τάχ' εἴσει πάντα νημερτῆ λόγον.
τοῦδε γὰρ δράμημα φωτὸς Περσικὸν πρέπει μαϑεῖν·
καὶ φέρει σαφές τι πρᾶγος ἐσϑλὸν ἢ κακὸν κλύειν.

ΑΓΓΕΛΟΣ.

ὦ γῆς ἁπάσης Ἀσιάδος πολίσματα,
ὦ Περσὶς αἶα καὶ πολὺς πλούτου λιμὴν,
ὡς ἐν μιᾷ πληγῇ κατέφϑαρται πολὺς
ὄλβος, τὸ Περσῶν δ' ἄνϑος οἴχεται πεσόν.
ὤμοι, κακὸν μὲν πρῶτον ἀγγέλλειν κακά·
ὅμως δ' ἀνάγκη πᾶν ἀναπτύξαι πάϑος,
Πέρσαι· στρατὸς γὰρ πᾶς ὄλωλε βαρβάρων.

ΧΟΡΟΣ.

ἄνι' ἄνια κακὰ, νεόκοτα
καὶ δάϊ'. αἰαῖ, διαίνεσϑε, Πέρσαι, τόδ' ἄχος κλύοντες.

ΑΓΓΕΛΟΣ.

ὡς πάντα γ' ἔστ' ἐκεῖνα διαπεπραγμένα·
αὐτὸς δ' ἀέλπτως νόστιμον βλέπω φάος.

ΧΟΡΟΣ.

ἦ μακροβίοτος ὅδε γέ τις
αἰὼν ἐφάνϑη γεραιοῖς, ἀκούειν τόδε πῆμ' ἄελπτον

ΑΓΓΕΛΟΣ.

καὶ μὴν παρών γε κοὐ λόγους ἄλλων κλύων,
Πέρσαι, φράσαιμ' ἂν οἷ' ἐπορσύνϑη κακά.

ΧΟΡΟΣ.

ὀτοτοτοῖ, μάταν
τὰ πολλὰ βέλεα παμμιγῆ
γᾶς ἀπ' Ἀσίδος ἦλϑ' ἐπ' αἶαν
δᾴαν Ἑλλάδα χώραν.

ΑΓΓΕΛΟΣ.

πλήϑουσι νεκρῶν δυσπότμως ἐφϑαρμένων
Σαλαμῖνος ἀκταὶ πᾶς τε πρόσχωρος τόπος.

ΧΟΡΟΣ.

ὀτοτοτοῖ, φίλων
ἁλίδονα σώματα πολυβαφῆ
κατϑανόντα λέγεις φέρεσϑαι
πλαγκτοῖς ἐν διπλάκεσσιν.

ΑΓΓΕΛΟΣ.

οὐδὲν γὰρ ἤρκει τόξα, πᾶς δ' ἀπώλλυτο
στρατὸς δαμασϑεὶς ναΐοισιν ἐμβολαῖς.

ΧΟΡΟΣ.

ἴυζ' ἄποτμον βοὰν
δυσαιανῆ Πέρσαις
δᾴοις ὡς πάντα παγκάκως
ἔϑεσαν, αἰαῖ, στρατοῦ φϑαρέντος.

ΑΓΓΕΛΟΣ.

ὦ πλεῖστον ἔχϑος ὄνομα Σαλαμῖνος κλύειν·
φεῦ τῶν Ἀϑηνῶν ὡς στένω μεμνημένος.

ΧΟΡΟΣ.

στυγναὶ δ' Ἀϑᾶναι δᾴοις,
μεμνῆσϑαί τοι πάρα
ὡς πολλὰς Περσίδων μάταν
ἔκτισαν εὔνιδας ἠδ' ἀνάνδρους.

ΑΤΟΣΣΑ.

σιγῶ πάλαι δύστηνος ἐκπεπληγμένη
κακοῖς· ὑπερβάλλει γὰρ ἥδε συμφορὰ,
τὸ μήτε λέξαι μήτ' ἐρωτῆσαι πάϑη.
ὅμως δ' ἀνάγκη πημονὰς βροτοῖς φέρειν
ϑεῶν διδόντων· πᾶν δ' ἀναπτύξας πάϑος
λέξον καταστὰς, κεἰ στένεις κακοῖς ὅμως,

256—259. == 262—265.
268—271. == 274—277.
280—283. == 286—289.

τίς οὐ τέθνηκε, τίνα δὲ καὶ πενθήσομεν
τῶν ἀρχελάων ὅστ' ἐπὶ σκηπτουχίᾳ
ταχθεὶς ἄνανδρον τάξιν ἠρήμου θανών.

ΑΓΓΕΛΟΣ.

Ξέρξης μὲν αὐτὸς ζῇ τε καὶ φάος βλέπει.

ΑΤΟΣΣΑ.

ἐμοῖς μὲν εἶπας δώμασιν φάος μέγα
καὶ λευκὸν ἦμαρ νυκτὸς ἐκ μελαγχίμου.

ΑΓΓΕΛΟΣ.

Ἀρτεμβάρης δὲ μυρίας ἵππου βραβεὺς
στύφλους παρ' ἀκτὰς θείνεται Σιληνίων.
χὠ χιλίαρχος Δαδάκης πληγῇ δορὸς
πήδημα κοῦφον ἐκ νεὼς ἀφήλατο·
Τενάγων τ' ἄριστος Βακτρίων ἰθαγενὴς
θαλασσόπληκτον νῆσον Αἴαντος πολεῖ.
Λίλαιος, Ἀρσάμης τε κἀργήστης τρίτος,
οἵδ' ἀμφὶ νῆσον τὴν πελειοθρέμμονα
νικώμενοι κύρισσον ἰσχυρὰν χθόνα·
πηγαῖς τε Νείλου γειτονῶν Αἰγυπτίου
Ἀρκτεύς, Ἀδεύης, καὶ Φερεσσεύης τρίτος,
Φαρνοῦχος, οἵδε ναὸς ἐκ μιᾶς πέσον.
Χρυσεὺς Μάταλλος μυριόνταρχος θανών,
ἵππου μελαίνης ἡγεμὼν τρισμυρίας,
πυρσὴν ζαπληθῆ δάσκιον γενειάδα
ἔτεγγ', ἀμείβων χρῶτα πορφυρᾷ βαφῇ.
καὶ Μάγος Ἄραβος, Ἀρτάμης τε Βάκτριος,
σκληρᾶς μέτοικος γῆς ἐκεῖ κατέφθιτο.
Ἄμηστρις Ἀμφιστρεύς τε πολύπονον δόρυ
νωμῶν, ὅ τ' ἐσθλὸς Ἀριόμαρδος Σάρδεσι
πένθος παρασχών, Σεισάμης ὁ Μύσιος,
Θάρυβίς τε πεντήκοντα πεντάκις νεῶν
ταγός, γένος Λυρναῖος, εὐειδὴς ἀνήρ,
κεῖται θανὼν δείλαιος οὐ μάλ' εὐτυχῶς·
Συέννεσίς τε πρῶτος εἰς εὐψυχίαν,
Κιλίκων ἄπαρχος, εἷς ἀνὴρ πλεῖστον πόνον
ἐχθροῖς παρασχών, εὐκλεῶς ἀπώλετο.
τοιῶνδέ γ' ἀρχῶν νῦν ὑπεμνήσθην πέρι.
πολλῶν παρόντων δ' ὀλίγ' ἀπαγγέλλω κακά.

ΑΤΟΣΣΑ.

αἰαῖ, κακῶν ὕψιστα δὴ κλύω τάδε,
αἴσχη τε Πέρσαις καὶ λιγέα κωκύματα.
ἀτὰρ φράσον μοι τοῦτ' ἀναστρέψας πάλιν,
πόσον τι πλῆθος ἦν νεῶν Ἑλληνίδων,
ὥστ' ἀξιῶσαι Περσικῷ στρατεύματι
μάχην συνάψαι ναΐοισιν ἐμβολαῖς.

ΑΓΓΕΛΟΣ.

πλήθους μὲν ἂν σάφ' ἴσθ' ἕκατι βαρβάρους
ναυσὶν κρατῆσαι. καὶ γὰρ Ἕλλησιν μὲν ἦν
ὁ πᾶς ἀριθμὸς ἐς τριακάδας δέκα
νεῶν, δεκὰς δ' ἦν τῶνδε χωρὶς ἔκκριτος·
Ξέρξῃ δέ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν
ὧν ἦγε πλῆθος, αἱ δ' ὑπέρκομποι τάχει
ἑκατὸν δὶς ἦσαν ἑπτά θ'· ὧδ' ἔχει λόγος.
μή σοι δοκοῦμεν τῇδε λειφθῆναι μάχῃ;
ἀλλ' ὧδε δαίμων τὶς κατέφθειρε στρατόν,
τάλαντα βρίσας οὐκ ἰσορρόπῳ τύχῃ.

ΑΤΟΣΣΑ.

θεοὶ πόλιν σώζουσι Παλλάδος θεᾶς.

ΑΓΓΕΛΟΣ.

ἔστ' ἄρ' Ἀθηνῶν ἔστ' ἀπόρθητος πόλις.
ἀνδρῶν γὰρ ὄντων ἕρκος ἐστὶν ἀσφαλές.

ΑΤΟΣΣΑ.

ἀρχὴ δὲ ναυσὶ ξυμβολῆς τίς ἦν φράσον,
τίνες κατῆρξαν, πότερον Ἕλληνες, μάχης,
ἢ παῖς ἐμός, πλήθει καταυχήσας νεῶν.

ΑΓΓΕΛΟΣ.

ἦρξεν μέν, ὦ δέσποινα, τοῦ παντὸς κακοῦ
φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων ποθέν.
ἀνὴρ γὰρ Ἕλλην ἐξ Ἀθηναίων στρατοῦ
ἐλθὼν ἔλεξε παιδὶ σῷ Ξέρξῃ τάδε,
ὡς εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας,
Ἕλληνες οὐ μενοῖεν, ἀλλὰ σέλμασι
ναῶν ἐπενθορόντες ἄλλος ἄλλοσε
δρασμῷ κρυφαίῳ βίοτον ἐκσωσοίατο.
ὁ δ' εὐθὺς ὡς ἤκουσεν, οὐ ξυνεὶς δόλον
Ἕλληνος ἀνδρὸς οὐδὲ τὸν θεῶν φθόνον,
πᾶσιν προφωνεῖ τόνδε ναυάρχοις λόγον·
εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα
λήξῃ, κνέφας δὲ τέμενος αἰθέρος λάβῃ,
τάξαι νεῶν στῖφος μὲν ἐν στίχοις τρισίν,
ἔκπλους φυλάσσειν καὶ πόρους ἁλιρρόθους,
ἄλλας δὲ κύκλῳ νῆσον Αἴαντος πέριξ·
ὡς εἰ μόρον φευξοίαθ' Ἕλληνες κακόν,
ναυσὶν κρυφαίως δρασμὸν εὑρόντες τινά,
πᾶσι στέρεσθαι κρατὸς ἦν προκείμενον.
τοσαῦτ' ἔλεξε κάρθ' ὑπ' ἐκθύμου φρενός·
οὐ γὰρ τὸ μέλλον ἐκ θεῶν ἠπίστατο.
οἱ δ' οὐκ ἀκόσμως, ἀλλὰ πειθάρχῳ φρενὶ
δεῖπνόν τ' ἐπορσύνοντο, ναυβάτης τ' ἀνὴρ
τροποῦτο κώπην σκαλμὸν ἀμφ' εὐήρετμον.
ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο
καὶ νὺξ ἐπῄει, πᾶς ἀνὴρ κώπης ἄναξ
ἐς ναῦν ἐχώρει πᾶς θ' ὅπλων ἐπιστάτης·
τάξις δὲ τάξιν παρεκάλει νεὼς μακρᾶς·
πλέουσι δ' ὡς ἕκαστος ἦν τεταγμένος,
καὶ πάννυχοι δὴ διάπλοον καθίστασαν
ναῶν ἄνακτες πάντα ναυτικὸν λεών·
καὶ νὺξ ἐχώρει, κοὐ μάλ' Ἑλλήνων στρατὸς
κρυφαῖον ἔκπλουν οὐδαμῇ καθίστατο·
ἐπεί γε μέντοι λευκόπωλος ἡμέρα
πᾶσαν κατέσχε γαῖαν εὐφεγγὴς ἰδεῖν,
πρῶτον μὲν ἠχοῖ κέλαδος Ἑλλήνων πάρα
μολπηδὸν εὐφήμησεν, ὄρθιον δ' ἅμα
ἀντηλάλαξε νησιώτιδος πέτρας
ἠχώ· φόβος δὲ πᾶσι βαρβάροις παρῆν
γνώμης ἀποσφαλεῖσιν· οὐ γὰρ ὡς φυγῇ
παιᾶν' ἐφύμνουν σεμνὸν Ἕλληνες τότε,
ἀλλ' ἐς μάχην ὁρμῶντες εὐψύχῳ θράσει.
σάλπιγξ δ' αὐτῇ πάντ' ἐκεῖν' ἐπέφλεγεν·
εὐθὺς δὲ κώπης ῥοθιάδος ξυνεμβολῇ
ἔπαισαν ἅλμην βρύχιον ἐκ κελεύσματος,
θοῶς δὲ πάντες ἦσαν ἐκφανεῖς ἰδεῖν·
τὸ δεξιὸν μὲν πρῶτον εὐτάκτως κέρας
ἡγεῖτο κόσμῳ, δεύτερον δ' ὁ πᾶς στόλος
ἐπεξεχώρει, καὶ παρῆν ὁμοῦ κλύειν
πολλὴν βοήν, ὦ παῖδες Ἑλλήνων ἴτε,
ἐλευθεροῦτε πατρίδ', ἐλευθεροῦτε δὲ
παῖδας, γυναῖκας, θεῶν τε πατρῴων ἕδη,
θήκας τε προγόνων· νῦν ὑπὲρ πάντων ἀγών.
καὶ μὴν παρ' ἡμῶν Περσίδος γλώσσης ῥόθος

ὑπηντίαζε, κοὐκ ἔτ' ἦν μέλλειν ἀκμή.
εὐθὺς δὲ ναῦς ἐν νηὶ χαλκήρη στόλον
ἔπαισεν· ἦρξε δ' ἐμβολῆς Ἑλληνικὴ
ναῦς, κἀποθραύει πάντα Φοινίσσης νεὼς
κόρυμβ', ἐπ' ἄλλην δ' ἄλλος ἴθυνεν δόρυ.
τὰ πρῶτα μὲν δὴ ῥεῦμα Περσικοῦ στρατοῦ
ἀντεῖχεν· ὡς δὲ πλῆθος ἐν στενῷ νεῶν
ἤθροιστ', ἀρωγὴ δ' οὔτις ἀλλήλοις παρῆν,
αὐτοὶ δ' ὑφ' αὑτῶν ἐμβολαῖς χαλκοστόμοις
παίοντ', ἔθραυον πάντα κωπήρη στόλον,
Ἑλληνικαί τε νῆες οὐκ ἀφρασμόνως
κύκλῳ πέριξ ἔθεινον, ὑπτιοῦτο δὲ
σκάφη νεῶν, θάλασσα δ' οὐκ ἔτ' ἦν ἰδεῖν,
ναυαγίων πλήθουσα καὶ φόνου βροτῶν·
ἀκταὶ δὲ νεκρῶν χοιράδες τ' ἐπλήθυον·
φυγῇ δ' ἀκόσμως πᾶσα ναῦς ἠρέσσετο,
ὅσαι περ ἦσαν βαρβάρου στρατεύματος·
τοὶ δ' ὥστε θύννους ἤ τιν' ἰχθύων βόλον
ἀγαῖσι κωπῶν θραύσμασίν τ' ἐρειπίων
ἔπαιον, ἐρράχιζον, οἰμωγὴ δ' ὁμοῦ
κωκύμασιν κατεῖχε πελαγίαν ἅλα,
ἕως κελαινῆς νυκτὸς ὄμμ' ἀφείλετο.
κακῶν δὲ πλῆθος, οὐδ' ἂν εἰ δέκ' ἤματα
στοιχηγοροίην, οὐκ ἂν ἐκπλήσαιμί σοι.
εὖ γὰρ τόδ' ἴσθι, μηδάμ' ἡμέρᾳ μιᾷ
πλῆθος τοσουτάριθμον ἀνθρώπων θανεῖν.

ΑΤΟΣΣΑ.

αἰαῖ, κακῶν δὴ πέλαγος ἔρρωγεν μέγα
Πέρσαις τε καὶ πρόπαντι βαρβάρων γένει.

ΑΓΓΕΛΟΣ.

εὖ νῦν τόδ' ἴσθι μηδέπω μεσοῦν κακόν·
τοιάδ' ἐπ' αὐτοὺς ἦλθε συμφορὰ πάθους,
ὡς τοῖσδε καὶ δὶς ἀντισηκῶσαι ῥοπῇ.

ΑΤΟΣΣΑ.

καὶ τίς γένοιτ' ἂν τῆσδ' ἔτ' ἐχθίων τύχη;
λέξον τίν' αὖ φῂς τήνδε συμφορὰν στρατῷ
ἐλθεῖν κακῶν ῥέπουσαν ἐς τὰ μάσσονα.

ΑΓΓΕΛΟΣ.

Περσῶν ὅσοι περ ἦσαν ἀκμαῖοι φύσιν,
ψυχήν τ' ἄριστοι κεὐγένειαν ἐκπρεπεῖς,
αὐτῷ τ' ἄνακτι πίστιν ἐν πρώτοις ἀεί,
τεθνᾶσιν οἰκτρῶς δυσκλεεστάτῳ μόρῳ.

ΑΤΟΣΣΑ.

οἲ 'γὼ τάλαινα ξυμφορᾶς κακῆς, φίλοι.
ποίῳ μόρῳ δὲ τούσδε φῂς ὀλωλέναι;

ΑΓΓΕΛΟΣ.

νῆσός τις ἐστὶ πρόσθε Σαλαμῖνος τόπων,
βαιά, δύσορμος ναυσίν, ἣν ὁ φιλόχορος
Πὰν ἐμβατεύει, ποντίας ἀκτῆς ἔπι.
ἐνταῦθα πέμπει τούσδ', ὅπως ὅταν νεῶν
φθαρέντες ἐχθροὶ νῆσον ἐκσωζοίατο,
κτείνειαν εὐχείρωτον Ἑλλήνων στρατόν,
φίλους δ' ὑπεκσώζοιεν ἐναλίων πόρων·
κακῶς τὸ μέλλον ἱστορῶν. ὡς γὰρ θεὸς
ναῶν ἔδωκε κῦδος Ἕλλησιν μάχης,
αὐθημερὸν φράξαντες εὐχάλκοις δέμας
ὅπλοισι ναῶν ἐξέθρωσκον· ἀμφὶ δὲ
κυκλοῦντο πᾶσαν νῆσον, ὥστ' ἀμηχανεῖν
ὅποι τράποιντο. πολλὰ μὲν γὰρ ἐκ χερῶν
πέτραισιν ἠράσσοντο, τοξικῆς δ' ἀπὸ
θώμιγγος ἰοὶ προσπίτνοντες ὤλλυσαν·
τέλος δ' ἐφορμηθέντες ἐξ ἑνὸς ῥόθου
παίουσι, κρεοκοποῦσι δυστήνων μέλη,
ἕως ἁπάντων ἐξαπέφθειραν βίον.
Ξέρξης δ' ἀνῴμωξεν κακῶν ὁρῶν βάθος·
ἕδραν γὰρ εἶχε παντὸς εὐαγῆ στρατοῦ,
ὑψηλὸν ὄχθον ἄγχι πελαγίας ἁλός·
ῥήξας δὲ πέπλους κἀνακωκύσας λιγύ,
πεζῷ παραγγείλας ἄφαρ στρατεύματι,
ἵησ' ἀκόσμῳ ξὺν φυγῇ· τοιάνδε σοι
πρὸς τῇ πάροιθε ξυμφορὰν πάρα στένειν.

ΑΤΟΣΣΑ,

ὦ στυγνὲ δαῖμον, ὡς ἄρ' ἔψευσας φρενῶν
Πέρσας· πικρὰν δὲ παῖς ἐμὸς τιμωρίαν
κλεινῶν Ἀθηνῶν εὗρε, κοὐκ ἀπήρκεσαν
οὓς πρόσθε Μαραθὼν βαρβάρων ἀπώλεσεν·
ὧν ἀντίποινα παῖς ἐμὸς πράξειν δοκῶν,
τοσόνδε πλῆθος πημάτων ἐπέσπασε.
σὺ δ' εἰπὲ ναῶν αἳ πεφεύγασιν μόρον,
ποῦ τάσδ' ἔλειπες· οἶσθα σημῆναι τορῶς;

ΑΓΓΕΛΟΣ.

ναῶν γε ταγοὶ τῶν λελειμμένων σύδην
κατ' οὖρον οὐκ εὔκοσμον αἱροῦνται φυγήν.
στρατὸς δ' ὁ λοιπὸς ἔν τε Βοιωτῶν χθονὶ
διώλλυθ', οἱ μὲν ἀμφὶ κρηναῖον γάνος
δίψῃ πονοῦντες, οἱ δ' ὑπ' ἄσθματος κενοὶ
διεκπερῶμεν ἔς τε Φωκέων χθόνα
καὶ Δωρίδ' αἶαν, Μηλιᾶ τε κόλπον, οὗ
Σπερχειὸς ἄρδει πεδίον εὐμενεῖ ποτῷ·
κἀντεῦθεν ἡμᾶς γῆς Ἀχαιΐδος πέδον
καὶ Θεσσαλῶν πόλισμ' ὑπεσπανισμένους
βορᾶς ἐδέξαντ'· ἔνθα δὴ πλεῖστοι θάνον
δίψῃ τε λιμῷ τ'· ἀμφότερα γὰρ ἦν τάδε.
Μαγνητικὴν δὲ γαῖαν ἠδὲ Μακεδόνων
χώραν ἀφικόμεσθ', ἐπ' Ἀξίου πόρον,
Βόλβης θ' ἕλειον δόνακα, Παγγαῖόν τ' ὄρος,
Ἠδωνίδ' αἶαν· νυκτὶ δ' ἐν ταύτῃ θεὸς
χειμῶν' ἄωρον ὦρσε, πήγνυσιν δὲ πᾶν
ῥέεθρον ἁγνοῦ Στρυμόνος· θεοὺς δέ τις
τὸ πρὶν νομίζων οὐδαμοῦ, τότ' ηὔχετο
λιταῖσι, γαῖαν οὐρανόν τε προσκυνῶν.
ἐπεὶ δὲ πολλὰ θεοκλυτῶν ἐπαύσατο
στρατός, περᾷ κρυσταλλοπῆγα διὰ πόρον·
χὤστις μὲν ἡμῶν, πρὶν σκεδασθῆναι θεοῦ
ἀκτῖνας, ὡρμήθη, σεσωσμένος κυρεῖ.
φλέγων γὰρ αὐγαῖς λαμπρὸς ἡλίου κύκλος
μέσον πόρον διῆκε, θερμαίνων φλογί·
πῖπτον δ' ἐπ' ἀλλήλοισιν· εὐτυχὴς δέ τοι
ὅστις τάχιστα πνεῦμ' ἀπέρρηξεν βίου.
ὅσοι δὲ λοιποὶ κἄτυχον σωτηρίας,
Θρῄκην περάσαντες μόγις πολλῷ πόνῳ,
ἥκουσιν ἐκφυγόντες, οὐ πολλοί τινες,
ἐφ' ἑστιοῦχον γαῖαν· ὡς στένειν πόλιν
Περσῶν, ποθοῦσαν φιλτάτην ἥβην χθονός.
ταῦτ' ἔστ' ἀληθῆ· πολλὰ δ' ἐκλείπω λέγων
κακῶν ἃ Πέρσαις ἐγκατέσκηψεν θεός.

ΧΟΡΟΣ.

ὦ δυσπόνητε δαῖμον, ὡς ἄγαν βαρὺς
ποδοῖν ἐνήλλου παντὶ Περσικῷ γένει.

ΑΤΟΣΣΑ.

οἲ 'γὼ τάλαινα διαπεπραγμένου στρατοῦ·
ὦ νυκτὸς ὄψις ἐμφανὴς ἐνυπνίων,
ὡς κάρτα μοι σαφῶς ἐδήλωσας κακά.
ὑμεῖς δὲ φαύλως αὔτ' ἄγαν ἐκρίνατε.
ὅμως δ' ἐπειδὴ τῇδ' ἐκύρωσεν φάτις
ὑμῶν, θεοῖς μὲν πρῶτον εὔξασθαι θέλω·
ἔπειτα γῇ τε καὶ φθιτοῖς δωρήματα
ἥξω λαβοῦσα πέλανον ἐξ οἴκων ἐμῶν·
ἐπίσταμαι μὲν ὡς ἐπ' ἐξειργασμένοις,
ἀλλ' ἐς τὸ λοιπὸν εἴ τι δὴ λῷον πέλοι.
ὑμᾶς δὲ χρὴ 'πὶ τοῖσδε τοῖς πεπραγμένοις
πιστοῖσι πιστὰ ξυμφέρειν βουλεύματα·
καὶ παῖδ', ἐάν περ δεῦρ' ἐμοῦ πρόσθεν μόλῃ,
παρηγορεῖτε, καὶ προπέμπετ' ἐς δόμους,
μὴ καί τι πρὸς κακοῖσι προσθῆται κακόν.

ΧΟΡΟΣ.

ὦ Ζεῦ βασιλεῦ, νῦν * Περσῶν
τῶν μεγαλαύχων καὶ πολυάνδρων
στρατιὰν ὀλέσας,
ἄστυ τὸ Σούσων ἠδ' Ἐκβατάνων
πένθει δνοφερῷ κατέκρυψας·
πολλαὶ δ' ἁπαλαῖς χερσὶ καλύπτρας
κατερεικόμεναι διαμυδαλέοις
δάκρυσι κόλπους
τέγγουσ', ἄλγους μετέχουσαι.
αἱ δ' ἁβρογόοι Περσίδες ἀνδρῶν
ποθέουσαι ἰδεῖν ἀρτιζυγίαν,
λέκτρων τ' εὐνὰς ἁβροχίτωνας,
χλιδανῆς ἥβης τέρψιν, ἀφεῖσαι,
πενθοῦσι γόοις ἀκορεστοτάτοις.
κἀγὼ δὲ μόρον τῶν οἰχομένων
αἴρω δοκίμως πολυπενθῆ.
νῦν δὴ πρόπασα μὲν στένει
γαῖ' Ἀσιὰς ἐκκενουμένα.
Ξέρξης μὲν ἤγαγεν, ποποῖ,
Ξέρξης δ' ἀπώλεσεν, τοτοῖ,
Ξέρξης δὲ πάντ' ἐπέσπε δυσφρόνως
βαρίδεσσι ποντίαις.
τί ποτε Δαρεῖος μὲν οὕ-
τω τότ' ἀβλαβὴς ἐπῆν
τόξαρχος πολιήταις,
Σουσίδος φίλος ἄκτωρ;
πεζοὺς τε καὶ θαλασσίους
ὁμόπτεροι κυανώπιδες
νᾶες μὲν ἤγαγον, ποποῖ,
νᾶες δ' ἀπώλεσαν, τοτοῖ,
νᾶες πανωλέθροισιν ἐμβολαῖς.
διὰ δ' Ἰαόνων χέρας
τυτθά γ' ἐκφυγεῖν ἄνακτ'
αὐτὸν ὡς ἀκούομεν
Θρῄκης ἄμ πεδιήρεις
δυσχίμους τε κελεύθους.
τοὶ δ' ἄρα πρωτόμοροι δὴ, φεῦ,
λειφθέντες πρὸς ἀνάγκαν, ἠὲ,
ἀκτὰς ἀμφὶ Κυχρείας. ὀά.
*** στένε καὶ δακνάζου,
βαρὺ δ' ἀμβόασον

548—557. == 558—567.
568—575. == 576—583.

οὐράνι' ἄχη. ὀά.
τεῖνε δὲ δυσβάϋκτον
βοᾶτιν τάλαιναν αὐδάν.
γναπτόμενοι δ' ἀλὶ δεινᾷ, φεῦ,
σκύλλονται πρὸς ἀναύδων, ἠὲ,
παίδων τᾶς ἀμιάντου. ὀά.
πενθεῖ δ' ἄνδρα δόμος στερηθείς·
τοκέες δ' ἄπαιδες
δαιμόνι' ἄχη, ὀὰ,
δυρόμενοι γέροντες
τὸ πᾶν δὴ κλύουσιν ἄλγος.
τοὶ δ' ἀνὰ γᾶν Ἀσίαν δὴν
οὐκ ἔτι περσονομοῦνται,
οὐκ ἔτι δασμοφοροῦσιν
δεσποσύνοισιν ἀνάγκαις,
οὔτ' ἐς γᾶν προπίτνοντες
ἄρξονται. βασιλεία
γὰρ διόλωλεν ἰσχύς.
οὐδ' ἔτι γλῶσσα βροτοῖσιν
ἐν φυλακαῖς· λέλυται γὰρ
λαὸς ἐλεύθερα βάζειν,
ὡς ἐλύθη ζυγὸν ἀλκᾶς.
αἱμαχθεῖσα δ' ἄρουραν
Αἴαντος περικλύστα
νᾶσος ἔχει τὰ Περσῶν.

ΑΤΟΣΣΑ.

φίλοι, κακῶν μὲν ὅστις ἔμπειρος κυρεῖ,
ἐπίσταται βροτοῖσιν ὡς ὅταν κλύδων
κακῶν ἐπέλθῃ, πάντα δειμαίνειν φιλεῖ·
ὅταν δ' ὁ δαίμων εὐροῇ, πεποιθέναι
τὸν αὐτὸν αἰεὶ δαίμον' οὐριεῖν τύχης.
ἐμοὶ γὰρ ἤδη πάντα μὲν φόβου πλέα
ἐν ὄμμασιν τἀνταῖα φαίνεται θεῶν,
βοᾷ δ' ἐν ὠσὶ κέλαδος οὐ παιώνιος·
τοία κακῶν ἔκπληξις ἐκφοβεῖ φρένας.
τοιγὰρ κέλευθον τήνδ' ἄνευ τ' ὀχημάτων
χλιδῆς τε τῆς πάροιθεν ἐκ δόμων πάλιν
ἔστειλα, παιδὸς πατρὶ πρευμενεῖς χοὰς
φέρουσ', ἅπερ νεκροῖσι μειλικτήρια,
βοός τ' ἀφ' ἁγνῆς λευκὸν εὔποτον γάλα,
τῆς τ' ἀνθεμουργοῦ στάγμα, παμφαὲς μέλι,
λιβάσιν ὑδρηλαῖς παρθένου πηγῆς μέτα·
ἀκήρατόν τε μητρὸς ἀγρίας ἄπο
ποτὸν παλαιᾶς ἀμπέλου γάνος τόδε·
τῆς τ' αἰὲν ἐν φύλλοισι θαλλούσης βίον
ξανθῆς ἐλαίας καρπὸς εὐώδης πάρα,
ἄνθη τε πλεκτὰ, παμφόρου γαίας τέκνα.
ἀλλ', ὦ φίλοι, χοαῖσι ταῖσδε νερτέρων
ὕμνους ἐπευφημεῖτε, τόν τε δαίμονα
Δαρεῖον ἀνακαλεῖσθε, γαπότους δ' ἐγὼ
τιμὰς προπέμψω τάσδε νερτέροις θεοῖς.

ΧΟΡΟΣ.

βασίλεια γύναι, πρέσβος Πέρσαις,
σύ τε πέμπε χοὰς θαλάμους ὑπὸ γῆς·
ἡμεῖς δ' ὕμνοις αἰτησόμεθα
φθιμένων πομποὺς
εὔφρονας εἶναι κατὰ γαίας.
ἀλλὰ χθόνιοι δαίμονες ἁγνοὶ,
Γῆ τε καὶ Ἑρμῆ, βασιλεῦ τ' ἐνέρων,

584—590. == 591—597.

πέμψατ' ἔνερθε ψυχὴν ἐς φῶς·
εἰ γάρ τι κακῶν ἄχος οἶδε πλέον,
μόνος ἂν θνητῶν πέρας εἴποι.
ἦ ῥ' ἀΐει μου μακαρίτας ἰσοδαίμων βασιλεὺς
βάρβαρα σαφηνῆ
ἱέντος τα παναίολ' αἰ-
ανῆ δύσθροα βάγματα;
παντάλαν' ἄχη διαβοάσω.
νέρθεν ἆρα κλύει μου;
ἀλλὰ σύ μοι Γᾶ τε καὶ ἄλλοι χθονίων ἀγεμόνες
δαίμονα μεγαυχῆ
ἰόντ' αἰνέσατ' ἐκ δόμων,
Περσᾶν Σουσιγενῆ θεόν·
πέμπετε δ' ἄνω οἷον οὔπω
Περσὶς αἶ' ἐκάλυψεν.
ἦ φίλος ἀνὴρ, φίλος ὄχθος· φίλα γὰρ κέκευθεν ἤθη.
Ἀϊδωνεὺς δ' ἀναπομπὸς ἀνείης Ἀϊδωνεὺς
Δαρεῖον, οἷον ἄνακτα Δαρεῖον. ἠέ.
οὔτε γὰρ ἄνδρας ποτ' ἀπώλλυ πολεμοφθόροισιν ἄταις,
θεομήστωρ δ' ἐκικλήσκετο Πέρσαις, θεομήστωρ δ'
ἔσκεν, ἐπεὶ στρατὸν εὖ ἐποδώκει. ἠέ.
βαλὴν ἀρχαῖος βαλὴν ἴθι, ἱκοῦ,
ἔλθ' ἐπ' ἄκρον κόρυμβον ὄχθου,
κροκόβαπτον ποδὸς εὔμαριν ἀείρων,
βασιλείου τιάρας φάλαρον πιφαύσκων.
βάσκε πάτερ ἄκακε Δαρειὰν, οἶ,
ὅπως καινά τε κλύῃς νέα τ' ἄχη·
δέσποτα δεσπότου φάνηθι.
Στυγία γάρ τις ἐπ' ἀχλὺς πεπόταται.
νεολαία γὰρ ἤδη κατὰ πᾶσ' ὄλωλε.
βάσκε πάτερ ἄκακε Δαρειὰν, οἶ.
αἰαῖ αἰαῖ.
ὦ πολύκλαυτε φίλοισι θανών.
τί τάδε δυνάτα δυνάτα
περὶ τᾷ σᾷ δίδυμα διάγοιεν ἁμάρτια
πάσᾳ γᾷ σᾷ τᾷδ', ἐξέφθινθ' αἱ τρίσκαλμοι
νᾶες ἄναες ἄναες.

ΔΑΡΕΙΟΣ.

ὦ πιστὰ πιστῶν ἥλικές θ' ἥβης ἐμῆς
Πέρσαι γεραιοὶ, τίνα πόλις πονεῖ πόνον;
στένει, κέκοπται, καὶ χαράσσεται πέδον·
λεύσσων δ' ἄκοιτιν τὴν ἐμὴν πέλας τάφου
ταρβῶ, χοὰς δὲ πρευμενὴς ἐδεξάμην.
ὑμεῖς δὲ θρηνεῖτ' ἐγγὺς ἑστῶτες τάφου
καὶ ψυχαγωγοῖς ὀρθιάζοντες γόοις
οἰκτρῶς καλεῖσθέ μ', ἐστὶ δ' οὐκ εὐέξοδον·
ἄλλως τε πάντως χοὶ κατὰ χθονὸς θεοὶ
λαβεῖν ἀμείνους εἰσὶν ἢ μεθιέναι.
ὅμως δ' ἐκείνοις ἐνδυναστεύσας ἐγὼ
ἥκω· τάχυνε δ', ὡς ἄμεμπτος ὦ χρόνου.
τί δ' ἐστὶ Πέρσαις νεοχμὸν ἐμβριθὲς κακόν;

ΧΟΡΟΣ.

σέβομαι μὲν προσιδέσθαι, σέβομαι δ' ἀντία λέξαι
σέθεν, ἀρχαίῳ περὶ τάρβει.

ΔΑΡΕΙΟΣ.

ἀλλ' ἐπεὶ κάτωθεν ἦλθον σοῖς γόοις πεπεισμένο
μή τι μακιστῆρα μῦθον, ἀλλὰ σύντομον λέγων
εἰπὲ καὶ πέραινε πάντα, τὴν ἐμὴν αἰδῶ μεθεὶ

ΧΟΡΟΣ.

δίομαι μὲν χαρίσασθαι, δίομαι δ' ἀντία φάσθα
λέξας δύσλεκτα φίλοισιν.

ΔΑΡΕΙΟΣ.

ἀλλ' ἐπεὶ δέος παλαιὸν σοὶ φρενῶν ἀνθίστατα
τῶν ἐμῶν λέκτρων γεραιὰ ξύννομ' εὐγενὲς γύνα
κλαυμάτων λήξασα τῶνδε καὶ γόων σαφές τί μ
λέξον. ἀνθρώπεια δ' ἄν τοι πήματ' ἂν τύχ βροτοῖς.
πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ' ἐκ χέ σου κακὰ
γίγνεται θνητοῖς, ὁ μάσσων βίοτος ἢν ταθῇ πρόσ

ΑΤΟΣΣΑ.

ὦ βροτῶν πάντων ὑπερσχὼν ὄλβον εὐτυχεῖ πότμ
ὃς θ' ἕως ἔλευσσες αὐγὰς ἡλίου, ζηλωτὸς ὢν
βίοτον εὐαίωνα Πέρσαις ὡς θεὸς διήγαγες,
νῦν τέ σε ζηλῶ θανόντα, πρὶν κακῶν ἰδε βάθος·
πάντα γὰρ, Δαρεῖ', ἀκούσει μῦθον ἐν βραχ λόγῳ·
διαπεπόρθηται τὰ Περσῶν πράγμαθ', ὡς εἰπε ἔπος.

ΔΑΡΕΙΟΣ.

τίνι τρόπῳ; λοιμοῦ τις ἦλθε σκηπτὸς, ἢ στά πόλει;

ΑΤΟΣΣΑ.

οὐδαμῶς· ἀλλ' ἀμφ' Ἀθήνας πᾶς διέφθαρ στρατός.

ΔΑΡΕΙΟΣ.

τίς δ' ἐμῶν ἐκεῖσε παίδων ἐστρατηλάτει, φράσ

ΑΤΟΣΣΑ.

θούριος Ξέρξης, κενώσας πᾶσαν ἠπείρου πλά

ΔΑΡΕΙΟΣ.

πεζὸς ἢ ναύτης δὲ πεῖραν τήνδ' ἐμώρανεν τάλ

ΑΤΟΣΣΑ.

ἀμφότερα· διπλοῦν μέτωπον ἦν δυοῖν στ τευμάτοιν.

ΔΑΡΕΙΟΣ.

πῶς δὲ καὶ στρατὸς τοσόσδε πεζὸς ἤνυσεν περ

ΑΤΟΣΣΑ.

μηχαναῖς ἔζευξεν Ἕλλης πορθμὸν, ὥστ' ἔχ πόρον.

ΔΑΡΕΙΟΣ.

καὶ τόδ' ἐξέπραξεν, ὥστε Βόσπορον κλῇ μέγαν;

ΑΤΟΣΣΑ.

ὧδ' ἔχει, γνώμης δέ πού τις δαιμόνων ξυ ψατο.

ΔΑΡΕΙΟΣ.

φεῦ, μέγας τις ἦλθε δαίμων, ὥστε μὴ φρο καλῶς.

ΑΤΟΣΣΑ.

ὡς ἰδεῖν τέλος πάρεστιν οἷον ἤνυσεν κακόν.

ΔΑΡΕΙΟΣ.

καὶ τί δὴ πράξασιν αὐτοῖς ὧδ' ἐπιστενάζετε

633—639. = 640—647.
648—652. = 653—657.
658—664. = 665—671.
694—696. = 700—702.

ΑΤΟΣΣΑ.
ναυτικὸς στρατὸς κακωθεὶς πεζὸν ὤλεσε στρατόν.
ΔΑΡΕΙΟΣ.
ὧδε παμπήδην δὲ λαὸς πᾶς κατέφθαρται δορί;
ΑΤΟΣΣΑ.
πρὸς τάδ' ὡς Σούσων μὲν ἄστυ πᾶν κενανδρίαν στένει.
ΔΑΡΕΙΟΣ.
ὢ πόποι κεδνῆς ἀρωγῆς κἀπικουρίας στρατοῦ.
ΑΤΟΣΣΑ.
Βακτρίων δ' ἔρρει πανώλης δῆμος, οὐδέ τις γέρων.
ΔΑΡΕΙΟΣ.
ὢ μέλεος, οἵαν ἄρ' ἥβην ξυμμάχων ἀπώλεσε.
ΑΤΟΣΣΑ.
μονάδα δὲ Ξέρξην ἔρημόν φασιν οὐ πολλῶν μέτα
ΔΑΡΕΙΟΣ.
πῶς τε δὴ καὶ ποῖ τελευτᾶν; ἔστι τίς σωτηρία;
ΑΤΟΣΣΑ.
ἄσμενον μολεῖν γέφυραν γαῖν δυοῖν ζευκτηρίαν.
ΔΑΡΕΙΟΣ.
καὶ πρὸς ἤπειρον σεσῶσθαι τήνδε, τοῦτ' ἐτήτυμον;
ΑΤΟΣΣΑ.
ναί· λόγος κρατεῖ σαφηνὴς τοῦτο κοὐκ ἔνι στάσις.
ΔΑΡΕΙΟΣ.
φεῦ, ταχεῖά γ' ἦλθε χρησμῶν πρᾶξις, ἐς δὲ παῖδ' ἐμὸν
Ζεὺς ἐπέσκηψεν τελευτὴν θεσφάτων· ἐγὼ δέ που
διὰ μακροῦ χρόνου τάδ' ηὔχουν ἐκτελευτήσειν θεούς·
ἀλλ' ὅταν σπεύδῃ τις αὐτός, χὠ θεὸς συνάπτεται.
νῦν κακῶν ἔοικε πηγὴ πᾶσιν εὑρῆσθαι φίλοις.
παῖς δ' ἐμὸς τάδ' οὐ κατειδὼς ἤνυσεν νέῳ θράσει·
ὅστις Ἑλλήσποντον ἱρὸν δοῦλον ὣς δεσμώμασιν
ἤλπισε σχήσειν ῥέοντα, Βόσπορον ῥόον θεοῦ·
καὶ πόρον μετερρύθμιζε, καὶ πέδαις σφυρηλάτοις
περιβαλὼν πολλὴν κέλευθον ἤνυσεν πολλῷ στρατῷ,
θνητὸς ὢν θεῶν δὲ πάντων ᾤετ', οὐκ εὐβουλίᾳ,
καὶ Ποσειδῶνος κρατήσειν. πῶς τάδ' οὐ νόσος φρενῶν
εἶχε παῖδ' ἐμόν; δέδοικα μὴ πολὺς πλούτου πόρος
οὑμὸς ἀνθρώποις γένηται τοῦ φθάσαντος ἁρπαγή.
ΑΤΟΣΣΑ.
ταῦτα τοῖς κακοῖς ὁμιλῶν ἀνδράσιν διδάσκεται
θούριος Ξέρξης· λέγουσι δ' ὡς σὺ μὲν μέγαν τέκνοις
πλοῦτον ἐκτήσω ξὺν αἰχμῇ, τὸν δ' ἀνανδρίας ὕπο
ἔνδον αἰχμάζειν, πατρῷον δ' ὄλβον οὐδὲν αὐξάνειν.
τοιάδ' ἐξ ἀνδρῶν ὀνείδη πολλάκις κλύων κακῶν
τήνδ' ἐβούλευσεν κέλευθον καὶ στράτευμ' ἐφ' Ἑλλάδα.
ΔΑΡΕΙΟΣ.
τοιγάρ σφιν ἔργον ἐστὶν ἐξειργασμένον
μέγιστον, ἀείμνηστον, οἷον οὐδέπω
τόδ' ἄστυ Σούσων ἐξεκείνωσεν πεσόν,
ἐξ οὗτε τιμὴν Ζεὺς ἄναξ τήνδ' ὤπασεν,
ἕν' ἄνδρ' ἁπάσης Ἀσίδος μηλοτρόφου
ταγεῖν, ἔχοντα σκῆπτρον εὐθυντήριον.
Μῆδος γὰρ ἦν ὁ πρῶτος ἡγεμὼν στρατοῦ·
ἄλλος δ' ἐκείνου παῖς τόδ' ἔργον ἤνυσε·
φρένες γὰρ αὐτοῦ θυμὸν ᾠακοστρόφουν.
τρίτος δ' ἀπ' αὐτοῦ Κῦρος, εὐδαίμων ἀνήρ,
ἄρξας ἔθηκε πᾶσιν εἰρήνην φίλοις·
Λυδῶν δὲ λαὸν καὶ Φρυγῶν ἐκτήσατο,
Ἰωνίαν τε πᾶσαν ἤλασεν βίᾳ.
θεὸς γὰρ οὐκ ἤχθηρεν, ὡς εὔφρων ἔφυ.
Κύρου δὲ παῖς τέταρτος ἴθυνε στρατόν.
πέμπτος δὲ Μέρδις ἦρξεν, αἰσχύνη πάτρᾳ
θρόνοισί τ' ἀρχαίοισι· τὸν δὲ σὺν δόλῳ
Ἀρταφρένης ἔκτεινεν ἐσθλὸς ἐν δόμοις,
ξὺν ἀνδράσιν φίλοισιν, οἷς τόδ' ἦν χρέος.
[ἕκτος δὲ Μάραφις, ἕβδομός τ' Ἀρταφρένης.]
κἀγὼ πάλου δ' ἔκυρσα τοῦπερ ἤθελον,
κἀπεστράτευσα πολλὰ σὺν πολλῷ στρατῷ.
ἀλλ' οὐ κακὸν τοσόνδε προσέβαλον πόλει.
Ξέρξης δ' ἐμὸς παῖς ὢν νέος νέα φρονεῖ,
κοὐ μνημονεύει τὰς ἐμὰς ἐπιστολάς·
εὖ γὰρ σαφῶς τόδ' ἴστ', ἐμοὶ ξυνήλικες,
ἅπαντες ἡμεῖς, οἳ κράτη τάδ' ἔσχομεν,
οὐκ ἂν φανεῖμεν πήματ' ἔρξαντες τόσα.
ΧΟΡΟΣ.
τί οὖν, ἄναξ Δαρεῖε, ποῖ καταστρέφεις
λόγων τελευτήν; πῶς ἂν ἐκ τούτων ἔτι
πράσσοιμεν ὡς ἄριστα Περσικὸς λεώς;
ΔΑΡΕΙΟΣ.
εἰ μὴ στρατεύοισθ' ἐς τὸν Ἑλλήνων τόπον,
μηδ' εἰ στράτευμα πλεῖον ᾖ τὸ Μηδικόν.
αὐτὴ γὰρ ἡ γῆ ξύμμαχος κείνοις πέλει.
ΧΟΡΟΣ.
πῶς τοῦτ' ἔλεξας, τίνι τρόπῳ δὲ συμμαχεῖ;
ΔΑΡΕΙΟΣ.
κτείνουσα λιμῷ τοὺς ὑπερπόλλους ἄγαν.
ΧΟΡΟΣ.
ἀλλ' εὐσταλῆ τοι λεκτὸν ἀροῦμεν στόλον.
ΔΑΡΕΙΟΣ.
ἀλλ' οὐδ' ὁ μείνας νῦν ἐν Ἑλλάδος τόποις
στρατὸς κυρήσει νοστίμου σωτηρίας.
ΧΟΡΟΣ.
πῶς εἶπας; οὐ γὰρ πᾶν στράτευμα βαρβάρων
περᾷ τὸν Ἕλλης πορθμὸν Εὐρώπης ἄπο;
ΔΑΡΕΙΟΣ.
παῦροί γε πολλῶν, εἴ τι πιστεῦσαι θεῶν
χρὴ θεσφάτοισιν, ἐς τὰ νῦν πεπραγμένα
βλέψαντα· συμβαίνει γὰρ οὐ τὰ μέν, τὰ δ' οὔ.
κεἴπερ τάδ' ἐστί, πλῆθος ἔκκριτον στρατοῦ
λείπει κεναῖσιν ἐλπίσιν πεπεισμένος.
μίμνουσι δ' ἔνθα πεδίον Ἀσωπὸς ῥοαῖς
ἄρδει, φίλον πίασμα Βοιωτῶν χθονί·
οὗ σφιν κακῶν ὕψιστ' ἐπαμμένει παθεῖν,
ὕβρεως ἄποινα κἀθέων φρονημάτων·
οἳ γῆν μολόντες Ἑλλάδ' οὐ θεῶν βρέτη
ᾐδοῦντο συλᾶν οὐδὲ πιμπράναι νεώς·
βωμοὶ δ' ἄιστοι, δαιμόνων θ' ἱδρύματα
πρόρριζα φύρδην ἐξανέστραπται βάθρων.
τοιγὰρ κακῶς δράσαντες οὐκ ἐλάσσονα
πάσχουσι, τὰ δὲ μέλλουσι, κοὐδέπω κακῶν

χρηπὶς ὕπεστιν, ἀλλ' ἔτ' ἐκπιδύεται.
τόσος γὰρ ἔσται πέλανος αἱματοσταγὴς
πρὸς γῇ Πλαταιῶν Δωρίδος λόγχης ὕπο·
θῖνες νεκρῶν δὲ καὶ τριτοσπόρῳ γονῇ
ἄφωνα σημανοῦσιν ὄμμασιν βροτῶν
ὡς οὐχ ὑπέρφευ θνητὸν ὄντα χρὴ φρονεῖν.
ὕβρις γὰρ ἐξανθοῦσ' ἐκάρπωσε στάχυν
ἄτης, ὅθεν πάγκλαυτον ἐξαμᾷ θέρος.
τοιαῦθ' ὁρῶντες τῶνδε τἀπιτίμια,
μέμνησθ' Ἀθηνῶν Ἑλλάδος τε, μηδέ τις
ὑπερφρονήσας τὸν παρόντα δαίμονα
ἄλλων ἐρασθεὶς ὄλβον ἐκχέῃ μέγαν.
Ζεύς τοι κολαστὴς τῶν ὑπερκόμπων ἄγαν
φρονημάτων ἔπεστιν, εὔθυνος βαρύς.
πρὸς ταῦτ' ἐκεῖνον σωφρονεῖν κεχρημένοι
πινύσκετ' εὐλόγοισι νουθετήμασι,
λῆξαι θεοβλαβοῦνθ' ὑπερκόμπῳ θράσει.
σὺ δ', ὦ γεραιὰ μῆτερ ἡ Ξέρξου φίλη,
ἐλθοῦσ' ἐς οἴκους κόσμον ὅστις εὐπρεπὴς
λαβοῦσ' ὑπαντίαζε παιδί. πάντα γὰρ
κακῶν ὑπ' ἄλγους λακίδες ἀμφὶ σώματι
στημορραγοῦσι ποικίλων ἐσθημάτων.
ἀλλ' αὐτὸν εὐφρόνως σὺ πράϋνον λόγοις·
μόνης γάρ, οἶδα, σοῦ κλύων ἀνέξεται.
ἐγὼ δ' ἄπειμι γῆς ὑπὸ ζόφον κάτω.
ὑμεῖς δέ, πρέσβεις, χαίρετ', ἐν κακοῖς ὅμως
ψυχὴν διδόντες ἡδονῇ καθ' ἡμέραν,
ὡς τοῖς θανοῦσι πλοῦτος οὐδὲν ὠφελεῖ.

ΧΟΡΟΣ.

ἦ πολλὰ καὶ παρόντα καὶ μέλλοντ' ἔτι
ἤλγησ' ἀκούσας βαρβάροισι πήματα.

ΑΤΟΣΣΑ.

ὦ δαῖμον, ὥς με πόλλ' ἐσέρχεται κακὰ
ἄλγη, μάλιστα δ' ἥδε συμφορὰ δάκνει,
ἀτιμίαν γε παιδὸς ἀμφὶ σώματι
ἐσθημάτων κλύουσαν, ἥ νιν ἀμπέχει.
ἀλλ' εἶμι, καὶ λαβοῦσα κόσμον ἐκ δόμων
ὑπαντιάζειν παιδ' ἐμῷ πειράσομαι.
οὐ γὰρ τὰ φίλτατ' ἐν κακοῖς προδώσομεν.

ΧΟΡΟΣ.

ὦ πόποι, ἦ μεγάλας ἀγαθᾶς τε πολισσονόμου βιοτᾶς ἐπεκύρσαμεν,
εὖθ' ὁ γηραιὸς
πανταρκὴς, ἀκάκας, ἄμαχος βασιλεὺς
ἰσόθεος Δαρεῖος ἆρχε χώρας.
πρῶτα μὲν εὐδοκίμου στρατιᾶς ἀπεφαινόμεθ', ἠδὲ νομίσματα πύργινα
πάντ' ἐπεύθυνον.
νόστοι δ' ἐκ πολέμων ἀπόνους, ἀπαθεῖς,
* * εὖ πράσσοντας ἆγον οἴκους.
ὅσσας δ' εἷλε πόλεις πόρον οὐ διαβὰς Ἅλυος ποταμοῖο,
οὐδ' ἀφ' ἑστίας συθείς,
οἷαι Στρυμονίου πελάγους Ἀχελωΐδες εἰσὶ πάροικοι
Θρηκίων ἐπαύλων,
λίμνας τ' ἔκτοθεν, αἳ κατὰ χέρσον ἐληλαμέναι περὶ πύργον

852—856. == 857—863.
864—870. == 871—878.

τοῦδ' ἄνακτος ἄϊον,
Ἕλλας τ' ἀμφὶ πόρον πλατὺν εὐχόμεναι, μυχία τε Προποντίς,
καὶ στόμωμα Πόντου·
νᾶσοί θ' αἳ κατὰ πρῶν' ἅλιον περίκλυστοι
τᾷδε γᾷ προσήμεναι,
οἵα Λέσβος, ἐλαιόφυτός τε Σάμος, Χίος,
ἠδὲ Πάρος, Νάξος, Μύκονος, Τήνῳ τε συνάπτουσ'
Ἄνδρος ἀγχιγείτων.
καὶ τὰς ἀγχιάλους ἐκράτυνε μεσάκτους,
Λῆμνον, Ἰκάρου θ' ἕδος,
καὶ Ῥόδον ἠδὲ Κνίδον Κυπρίας τε πόλεις, Πάφον,
ἠδὲ Σόλους, Σαλαμῖνά τε, τᾶς νῦν ματρόπολις τῶνδ'
αἰτία στεναγμῶν.
καὶ τὰς εὐκτεάνους κατὰ κλῆρον Ἰαόνιον πολυάνδρους
Ἑλλάνων ἐκράτυνε σφετέραις φρεσίν.
ἀκάματον δὲ παρῆν σθένος ἀνδρῶν τευχηστήρων,
παμμίκτων τ' ἐπικούρων.
νῦν δ' οὐκ ἀμφιλόγως θεότρεπτα τάδ' αὖ φέρομεν πολέμοισι
δμαθέντες μεγάλως πλαγαῖσι ποντίαισιν.

ΞΕΡΞΗΣ.

ἰώ, δύστηνος ἐγὼ στυγερᾶς μοίρας
τῆσδε κυρήσας ἀτεκμαρτοτάτης,
ὡς ὠμοφρόνως δαίμων ἐνέβη
Περσῶν γενεᾷ· τί πάθω τλήμων;
λέλυται γὰρ ἐμῶν γυίων ῥώμη
τήνδ' ἡλικίαν ἐσιδόντ' ἀστῶν.
εἴθ' ὄφελε, Ζεῦ, κἀμὲ μετ' ἀνδρῶν
τῶν οἰχομένων
θανάτου κατὰ μοῖρα καλύψαι.

ΧΟΡΟΣ.

ὀτοτοῖ, βασιλεῦ, στρατιᾶς ἀγαθῆς
καὶ Περσονόμου τιμῆς μεγάλης,
κόσμου τ' ἀνδρῶν,
οὓς νῦν δαίμων ἀπέκειρε.
γᾶ δ' αἰάζει τὰν ἐγγαίαν
ἥβαν Ξέρξᾳ κταμέναν Ἅιδου
σάκτορι Περσᾶν· ἀγδαβάται γὰρ
πολλοὶ φῶτες χώρας ἄνθος
τοξοδάμαντες, πάνυ γὰρ φύστις
μυριὰς ἀνδρῶν ἐξέφθινται.

ΞΕΡΞΗΣ.

αἰαῖ κεδνᾶς ἀλκᾶς.

ΧΟΡΟΣ.

Ἀσία δὲ χθών, βασιλεῦ γαίας,
αἰνῶς αἰνῶς ἐπὶ γόνυ κέκλιται.

ΞΕΡΞΗΣ.

ὅδ' ἐγών, οἲ οἲ, αἰακτὸς
μέλεος γέννᾳ, γᾷ τε πατρῴᾳ
κακὸν ἆρ' ἐγενόμαν.

ΧΟΡΟΣ.

πρόσφθογγόν σοι νόστου, τὰν
κακοφάτιδα βοάν, κακομέλετον ἰὰν
Μαριανδυνοῦ θρηνητῆρος

879—887. == 888—896.
932—939. == 940—948.

πέμψω πολύδακρυν ἰαχάν.

ΞΕΡΞΗΣ.

ἵετ' αἰανῆ πάνδυρτον
δύσθροον αὐδάν. δαίμων γὰρ ὅδ' αὖ
μετάτροπος ἐπ' ἐμοί.

ΧΟΡΟΣ.

ἥσω τοι καὶ πάνδυρτον,
λαοπαθῆ τε σεβίζων ἁλίτυπά τε βάρη
πόλεως γέννας πενθητῆρος.
κλάγξω δ' αὖ γόον ἀρίδακρυν.

ΞΕΡΞΗΣ.

Ἰάνων γὰρ ἀπηύρα,
Ἰάνων ναύφρακτος
Ἄρης ἑτεραλκὴς
νυχίαν πλάκα κερσάμενος
δυσδαίμονά τ' ἀκτάν.

ΧΟΡΟΣ.

οἶ οἶ οἶ βόα καὶ πάντ' ἐκπεύθου.
ποῦ δὲ φίλων ἄλλος ὄχλος,
ποῦ δὲ σοὶ παραστάται,
οἷος ἦν Φαρανδάκης,
Σούσας, Πελάγων
Δοτάμας ἠδ' Ἀγδαβάτας, Ψάμμις,
Σουσισκάνης τ'
Ἀγβάτανα λιπών.

ΞΕΡΞΗΣ.

ὀλοοὺς ἀπέλειπον
Τυρίας ἐκ ναὸς
ἔρροντας ἐπ' ἀκταῖς
Σαλαμινιάσι στυφέλου
θείνοντας ἐπ' ἀκτᾶς.

ΧΟΡΟΣ.

οἶ οἶ οἶ, ποῦ δέ σοι Φαρνοῦχος
κἀριόμαρδός τ' ἀγαθὸς,
ποῦ δὲ Σευάλκης ἄναξ,
ἢ Λίλαιος εὐπάτωρ,
Μέμφις, Θάρυβις,
καὶ Μασίστρης Ἀρτεμβάρης τ'
ἠδ' Ὑσταίχμας,
τάδε σ' ἐπανέρομαι.

ΞΕΡΞΗΣ.

ἰὼ ἰώ μοι,
τὰς ὠγυγίους κατιδόντες
στυγνὰς Ἀθάνας, πάντες ἑνὶ πιτύλῳ,
ἒ ἒ ἒ τλάμονες ἀσπαίρουσι χέρσῳ.

ΧΟΡΟΣ.

ἦ καὶ τὸν Περσῶν αὐτοῦ
τὸν σὸν πιστὸν πάντ' ὀφθαλμὸν
μυρία μυρία πεμπαστὰν
Βατανώχου παῖδ', Ἄλπιστον
* * *
τοῦ Σησάμα τοῦ Μυγαβάτα,
Πάρθον τε, μέγαν τ' Οἰβάρην
ἔλιπες ἔλιπες; ὢ ὢ ὢ δάων.
Πέρσαις ἀγαυοῖς κακὰ πρόκακα λέγεις.

ΞΕΡΞΗΣ.

ἴυγγά μοι δῆτ'
ἀγαθῶν ἑτάρων ὑπομιμνήσκεις,
ἄλαστ' ἄλαστα στυγνὰ πρόκακα λέγων.
βοᾷ βοᾷ μελέων ἔνδοθεν ἦτορ.

ΧΟΡΟΣ.

καὶ μὴν ἄλλον γε ποθοῦμεν,
Μάρδων ἀνδρῶν μυριόνταρχον
Ξάνθον, ἄρειόν τ' Ἀγχάρην,
Διαῖξίν τ' ἠδ' Ἀρσάκην
ἱππιάνακτας,
Κηδαδάταν καὶ Λυθίμναν
Τόλμον τ' αἰχμᾶς ἀκόρεστον.
ἔταφεν ἔταφεν, οὐκ ἀμφὶ σκηναῖς
τροχηλάτοισιν δ' ὄπιθεν ἑπόμενοι.

ΞΕΡΞΗΣ.

βεβᾶσι γὰρ τοίπερ ἀγρόται στρατοῦ.

ΧΟΡΟΣ.

βεβᾶσιν, οἴ, νώνυμοι.
ἰὴ ἰὴ, ἰὼ ἰὼ
ἰὼ ἰὼ, δαίμονες
ἔθεσθ' ἄελπτον κακὸν
διαπρέπον, οἷον δέδορκεν ἄτα.

ΞΕΡΞΗΣ.

πεπλήγμεθ', οἷαι δι' αἰῶνος τύχαι.

ΧΟΡΟΣ.

πεπλήγμεθ'· εὔδηλα γάρ,
νέαι νέαι δύαι δύαι·
Ἰαόνων ναυβατᾶν
κύρσαντες οὐκ εὐτυχῶς.
δυσπόλεμον δὴ γένος τὸ Περσᾶν.

ΞΕΡΞΗΣ.

πῶς δ' οὔ; στρατὸν μὲν τοσοῦτον τάλας πέ-
πληγμαι.

ΧΟΡΟΣ.

τί δ'; οὐκ ὄλωλεν μεγάλα τὰ Περσᾶν;

ΞΕΡΞΗΣ.

ὁρᾷς τὸ λοιπὸν τόδε τᾶς ἐμᾶς στολᾶς;

ΧΟΡΟΣ.

ὁρῶ ὁρῶ.

ΞΕΡΞΗΣ.

τάνδε τ' οἰστοδέγμονα;

ΧΟΡΟΣ.

τί τόδε λέγεις σεσωσμένον;

ΞΕΡΞΗΣ.

θησαυρὸν βελέεσσιν.

ΧΟΡΟΣ.

βαιά γ' ὡς ἀπὸ πολλῶν.

ΞΕΡΞΗΣ.

ἐσπανίσμεθ' ἀρωγῶν.

ΧΟΡΟΣ.

Ἰάνων λαὸς οὐ φυγαίχμας.

ΞΕΡΞΗΣ.

ἀγανόρειος· κατεῖδον δὲ πῆμ' ἄελπτον.

ΧΟΡΟΣ.

τραπέντα ναύφρακτον ἐρεῖς ὅμιλον;

ΞΕΡΞΗΣ.

πέπλον δ' ἐπέρρηξ' ἐπὶ συμφορᾷ κακοῦ.

ΧΟΡΟΣ.

παπαῖ παπαῖ.

ΞΕΡΞΗΣ.

πλεῖον ἢ παπαῖ μὲν οὖν.

949 — 961. = 962 — 972.
973 — 987. = 988 — 1001.
1002 — 1007. = 1008 — 1013.
1014 — 1025. = 1026 — 1037.

ΧΟΡΟΣ.
δίδυμα γάρ ἐστι καὶ τριπλᾶ.
ΞΕΡΞΗΣ.
λυπρὰ, χάρματα δ' ἐχθροῖς.
ΧΟΡΟΣ.
καὶ σθένος γ' ἐκολούσθη.
ΞΕΡΞΗΣ.
γυμνός εἰμι προπομπῶν.
ΧΟΡΟΣ.
φίλων ἄταισι ποντίαισιν.
ΞΕΡΞΗΣ.
δίαινε δίαινε πῆμα· πρὸς δόμους δ' ἴθι.
ΧΟΡΟΣ.
αἰαῖ αἰαῖ, δύα δύα.
ΞΕΡΞΗΣ.
βόα νυν ἀντίδουπά μοι.
ΧΟΡΟΣ.
δόσιν κακὰν κακῶν κακοῖς.
ΞΕΡΞΗΣ.
ἴυζε μέλος ὁμοῦ τιθείς.
ΧΟΡΟΣ.
ὀτοτοτοτοῖ.
βαρεῖά γ' ἅδε συμφορά.
οἳ μάλα καὶ τόδ' ἀλγῶ.
ΞΕΡΞΗΣ.
ἔρεσσ' ἔρεσσε καὶ στέναζ' ἐμὴν χάριν.
ΧΟΡΟΣ.
διαίνομαι γοεδνὸς ὤν.
ΞΕΡΞΗΣ.
βόα νυν ἀντίδουπά μοι.
ΧΟΡΟΣ.
μέλειν πάρεστι, δέσποτα.
ΞΕΡΞΗΣ.
ἐπορθίαζέ νυν γόοις.
ΧΟΡΟΣ.
ὀτοτοτοτοῖ.
μέλαινα δ' αὖ μεμίξεται
καὶ στονόεσσα πλαγά.
ΞΕΡΞΗΣ.
καὶ στέρν' ἄρασσε κἀπιβόα τὸ Μύσιον.

1038 — 1045. = 1046 — 1053.
1054 — 1059. = 1060 — 1065.

ΧΟΡΟΣ.
ἄνια ἄνια.
ΞΕΡΞΗΣ.
καί μοι γενείου πέρθε λευκήρη τρίχα.
ΧΟΡΟΣ.
ἄπριγδ' ἄπριγδα μάλα γοεδνά.
ΞΕΡΞΗΣ.
ἄϋτει δ' ὀξύ.
ΧΟΡΟΣ.
καὶ τάδ' ἔρξω.
ΞΕΡΞΗΣ.
πέπλον δ' ἔρεικε κολπίαν ἀκμῇ χερῶν.
ΧΟΡΟΣ.
ἄνια ἄνια.
ΞΕΡΞΗΣ.
καὶ ψάλλ' ἔθειραν καὶ κατοίκτισαι στρατόν.
ΧΟΡΟΣ.
ἄπριγδ' ἄπριγδα μάλα γοεδνά.
ΞΕΡΞΗΣ.
διαίνου δ' ὄσσε.
ΧΟΡΟΣ.
τέγγομαί τοι.
ΞΕΡΞΗΣ.
βόα νυν ἀντίδουπά μοι.
ΧΟΡΟΣ.
οἶ οἶ οἶ οἶ.
ΞΕΡΞΗΣ.
αἰακτὸς ἐς δόμους κίε.
ΧΟΡΟΣ.
ἰὼ ἰὼ, Περσὶς αἶα δύσβατος.
ΞΕΡΞΗΣ.
ἰὼ δὴ κατ' ἄστυ.
ΧΟΡΟΣ.
ἰὼ δῆτα ναὶ ναί.
ΞΕΡΞΗΣ.
γοᾶσθ' ἁβροβάται.
ΧΟΡΟΣ.
ἰὼ ἰὼ, Περσὶς αἶα δύσβατος.
ΞΕΡΞΗΣ.
ἠ ἠ ἠ ἠ, τρισκάλμοισιν,
ἠ ἠ ἠ ἠ, βάρισιν ὀλόμενοι.
ΧΟΡΟΣ.
πέμψω τοί σε δυσθρόοις γόοις.

# ΑΙΣΧΥΛΟΥ ΙΚΕΤΙΔΕΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΧΟΡΟΣ ΔΑΝΑΙΔΩΝ.*
*ΔΑΝΑΟΣ.*
*ΒΑΣΙΛΕΥΣ ΑΡΓΕΙΩΝ.*
*ΚΗΡΥΞ.*

# ΙΚΕΤΙΔΕΣ.

### ΧΟΡΟΣ.

Ζεὺς μὲν ἀφίκτωρ ἐπίδοι προφρόνως
στόλον ἡμέτερον νάϊον ἀρθέντ'
ἀπὸ προστομίων λεπτοψαμάθων
Νείλου. δῖαν δὲ λιποῦσαι
χθόνα σύγχορτον Συρίᾳ φεύγομεν,
οὔτιν' ἐφ' αἵματι δημηλασίαν
ψήφῳ πόλεως γνωσθεῖσαι,
ἀλλ' αὐτογενῆ τὸν φυξάνορα
γάμον Αἰγύπτου παίδων ἀσεβῆ τ'
ὀνοταζόμεναι.
Δαναὸς δὲ πατὴρ καὶ βούλαρχος
καὶ στασίαρχος, τάδε πεσσονομῶν,
κύδιστ' ἀχέων ἐπέκρανε,
φεύγειν ἀνέδην διὰ κῦμ' ἅλιον·
κέλσαι δ' Ἄργους γαῖαν, ὅθεν δὴ
γένος ἡμέτερον, τῆς οἰστροδόνου
βοὸς ἐξ ἐπαφῆς, κἀξ ἐπιπνοίας
Διὸς εὐχόμενον τετέλεσται.
τίν' ἂν οὖν χώραν εὔφρονα μᾶλλον
τῆσδ' ἀφικοίμεθα
σὺν τοῖσδ' ἱκετῶν ἐγχειριδίοις
ἐριοστέπτοισι κλάδοισιν;
ὧν πόλις, ὧν γῆ, καὶ λευκὸν ὕδωρ,
ὕπατοί τε θεοὶ, καὶ βαρύτιμοι
χθόνιοι θήκας κατέχοντες,
καὶ Ζεὺς σωτὴρ τρίτος, οἰκοφύλαξ
ὁσίων ἀνδρῶν, δέξαιθ' ἱκέτην
τὸν θηλυγενῆ στόλον αἰδοίῳ
πνεύματι χώρας· ἀρσενοπληθῆ δ'
ἑσμὸν ὑβριστὴν Αἰγυπτογενῆ,
πρὶν πόδα χέρσῳ τῇδ' ἐν ἀσώδει
θεῖναι, ξὺν ὄχῳ ταχυήρει
πέμψατε πόντονδ'· ἔνθα δὲ λαίλαπι
χειμωνοτύπῳ, βροντῇ στεροπῇ τ'
ὀμβροφόροισίν τ' ἀνέμοις ἀγρίας
ἁλὸς ἀντήσαντες ὄλοιντο,
πρίν ποτε λέκτρων, ὧν θέμις εἴργει,
σφετεριξάμενον πατραδέλφειαν
τήνδ' ἀεκόντων, ἐπιβῆναι.
νῦν δ' ἐπικεκλόμεναι
Δῖον πόρτιν ὑπερ-
πόντιον τιμάορ', Ἶνίν τ'
ἀνθονομούσας προγόνου
βοὸς ἐξ ἐπιπνοίας
Ζηνὸς ἔφαψιν· ἐπωνυμίᾳ δ'
ἐπεκραίνετο μόρσιμος αἰὼν
εὐλόγως, Ἔπαφόν τ' ἐγέννασεν·
ὄντ' ἐπιλεξαμένα,
νῦν ἐν ποιονόμοις

41 — 48. == 49 — 56.

ματρὸς ἀρχαίας τόποις τῶν
πρόσθε πόνων μνασαμένα,
τά τε νῦν ἐπιδείξω
πιστὰ τεκμήρια, τά τ' ἀνόμοια,
οἶδ', ἀελπτά περ ὄντα φανεῖται.
γνώσεται δὲ λόγους τις ἐν μάκει.
εἰ δὲ κυρεῖ τις πέλας οἰωνοπόλων
ἔγγαιος, οἶκτον οἰκτρὸν ἀΐων,
δοξάσει τις ἀκούων ὄπα τᾶς Τηρεΐας
μήτιδος οἰκτρᾶς ἀλόχου,
κιρκηλάτου τ' ἀηδόνος,
ἅτ' ἀπὸ χώρων ποταμῶν τ' εἰργομένα
πενθεῖ νέον οἶκτον ἠθέων·
ξυντίθησι δὲ παιδὸς μόρον, ὡς αὐτοφόνως
ὤλετο πρὸς χειρὸς ἔθεν
δυσμάτορος κότου τυχών·
τὼς καὶ ἐγὼ φιλόδυρτος Ἰαονίοισι νόμοισι
δάπτω τὰν ἁπαλὰν νειλοθερῆ παρειὰν,
ἀπειρόδακρύν τε καρδίαν.
γόεδνα δ' ἀνθεμίζομαι
δειμαίνουσα φίλους τᾶσδε φυγᾶς
ἀερίας ἀπὸ γᾶς,
εἴ τις ἐστὶ κηδεμών.
ἀλλὰ θεοὶ γενέται κλύετ' εὖ τὸ δίκαιον ἰδόντ(ε)
ἢ καὶ μὴ τέλεον δόντες ἔχειν παρ' αἶσαν.
ὕβριν δ' ἐτύμως στυγοῦντες
πέλοιτ' ἂν ἔνδικοι γάμοις.
ἔστι δὲ κἀκ πολέμου τειρομένοις
βωμὸς Ἄρης φυγάσι
ῥῦμα, δαιμόνων σέβας.
εἰ θείη Διὸς εὖ παναληθῶς
Διὸς ἵμερος οὐκ εὐθήρατος ἐτύχθη,
πάντα τοι φλεγέθει
κἀν σκότῳ, μελαίνᾳ ξὺν τύχᾳ
μερόπεσσι λαοῖς.
πίπτει δ' ἀσφαλὲς οὐδ' ἐπὶ νώτῳ,
κορυφᾷ Διὸς εἰ κρανθῇ πρᾶγμα τέλειον.
δαυλοὶ γὰρ πραπίδων
δάσκιοί τε τείνουσιν πόροι,
κατιδεῖν ἄφραστοι.
ἰάπτει δ' ἀπίδων
ἀφ' ὑψιπύργων πανώλεις βροτούς,
βίαν δ' οὔτιν' ἐξοπλίζει,
τὰν ἄποινον δαιμονίων· ἥμενον ἄνω φρόνη-
πως
αὐτόθεν ἐξέπραξεν ἔμπας, ἑδράνων ἐφ' ἁγν(ῶν)
ἰδέσθω δ' εἰς ὕβριν
βρότειον, οἵᾳ νεάζει πυθμὴν

57 — 62. == 63 — 68.
69 — 76. == 77 — 84.
85 — 89. == 90 — 94.
95 — 102. == 103 — 110.

δι᾽ ἀμὸν γάμον τὸ θάλλος
δυσπαραβούλοισι φρεσὶν, καὶ διάνοιαν μαινόλιν
κέντρον ἔχων ἄφυκτον, ἄταν δ᾽ ἀπάτᾳ μεταγνούς.
τοιαῦτα πάθεα μέλεα θρεομένα λέγω
λιγέα βαρέα δακρυοπετῆ.
ἰὴ ἰή.
ἰηλέμοισιν ἐμπρεπῆ ζῶσα γόοις με τιμῶ.
ἱλέομαι μὲν Ἀπίαν βοῦνιν,
καρβᾶνα δ᾽ αὐδὰν
εὐακοεῖς.
πολλάκι δ᾽ ἐμπίτνω ξὺν λακίδι,
λίνοισιν, ἢ Σιδονίᾳ καλύπτρᾳ.
θεοῖς δ᾽ ἐναγέα τέλεα, πελομένων καλῶς,
ἐπιδρομᾶσ᾽ ὅθι θάνατος ἀπῇ.
ἰὼ ἰὼ,
ἰὼ δυσάγκριτοι πόνοι. ποῖ τόδε κῦμ᾽ ἀπάξει;
ἱλέομαι μὲν Ἀπίαν βοῦνιν,
καρβᾶνα δ᾽ αὐδὰν
εὐακοεῖς.
πολλάκι δ᾽ ἐμπίτνω ξὺν λακίδι,
λίνοισιν, ἢ Σιδονίᾳ καλύπτρᾳ.
πλάτα μὲν οὖν λινορραφής τε δόμος ἅλα στέγων
δορὸς
ἀχείματόν μ᾽ ἔπεμπε σὺν πνοαῖς·
οὐδὲ μέμφομαι·
τελευτὰς δ᾽ ἐν χρόνῳ
πατὴρ ὁ παντόπτας
πρευμενεῖς κτίσειε.
σπέρμα σεμνᾶς μέγα ματρὸς,
εὐνὰς ἀνδρῶν, ἒ ἒ,
ἄγαμον ἀδάματον ἐκφυγεῖν.
θέλουσα δ᾽ αὖ θέλουσαν ἁγνά μ᾽ ἐπιδέτω Διὸς
κόρα,
ἔχουσα σέμν᾽ ἐνώπι᾽ ἀσφαλές·
παντὶ δὲ σθένουσι
διωγμοῖσι δ᾽ ἀσφαλίας
ἀδμήτας ἀδμήτα
ῥύσιος γενέσθω.
σπέρμα σεμνᾶς μέγα ματρὸς,
εὐνὰς ἀνδρῶν, ἒ ἒ,
ἄγαμον ἀδάματον ἐκφυγεῖν.
εἰ δὲ μὴ, μελανθὲς
ἡ λιόκτυπον γένος,
τὸν γάιον,
τὸν πολυξενώτατον
Ζῆνα τῶν κεκμηκότων
ἱξόμεσθα σὺν κλάδοις
ἀρτάναις θανοῦσαι,
μὴ τυχοῦσαι θεῶν Ὀλυμπίων.
ἆ Ζῆν᾽, Ἰοῦς ἰὼ
μῆνις μάστειρ᾽ ἐκ θεῶν.
κοννῶ δ᾽ ἄταν γαμετᾶς
οὐρανόνικον. χαλεποῦ γὰρ ἐκ πνεύματος εἶσι
χειμών.
καὶ τότ᾽ οὐ δικαίοις
Ζεὺς ἐνέξεται λόγοις,
τὸν τᾶς βοὸς

111 — 122. = 123 — 133.
134 — 143. = 144 — 153.
154 — 167. = 168 — 175.

παῖδ᾽ ἀτιμάσας, τὸν αὐ-
τός ποτ᾽ ἔκτισεν γόνῳ,
νῦν ἔχων παλίντροπον
ὄψιν ἐν λιταῖσιν·
ὑψόθεν δ᾽ εὖ κλύοι καλούμενος.
ἆ Ζῆν᾽, Ἰοῦς ἰὼ
μῆνις μάστειρ᾽ ἐκ θεῶν.
κοννῶ δ᾽ ἄταν γαμετᾶς
οὐρανόνικον. χαλεποῦ γὰρ ἐκ πνεύματος εἶσι
χειμών.

ΔΑΝΑΟΣ.

παῖδες, φρονεῖν χρή· ξὺν φρονοῦντι δ᾽ ἥκετε
πιστῷ γέροντι τῷδε ναυκλήρῳ πατρί.
καὶ τἀπὶ χέρσου νῦν προμήθειαν λαβεῖν
αἰνῶ φυλάξαι τἄμ᾽ ἔπη δελτουμένας.
ὁρῶ κόνιν, ἄναυδον ἄγγελον στρατοῦ,
σύριγγες οὐ σιγῶσιν ἀξονήλατοι·
ὄχλον δ᾽ ὑπασπιστῆρα καὶ δορυσσόον
λεύσσω, ξὺν ἵπποις καμπύλοις τ᾽ ὀχήμασι.
τάχ᾽ ἂν πρὸς ἡμᾶς τῆσδε γῆς ἀρχηγέται
ὀπτῆρες εἶεν ἀγγέλων πεπυσμένοι.
ἀλλ᾽ εἴτ᾽ ἀπήμων εἴτε καὶ τεθυμμένος
ὠμῇ ξὺν ὀργῇ τόνδ᾽ ἐπόρνυται στόλον,
ἄμεινόν ἐστι παντὸς οὕνεκ᾽, ὦ κόραι,
πάγον προσίζειν τῶνδ᾽ ἀγωνίων θεῶν.
κρεῖσσον δὲ πύργου βωμὸς, ἄρρηκτον σάκος.
ἀλλ᾽ ὡς τάχιστα βᾶτε, καὶ λευκοστεφεῖς
ἱκετηρίας, ἀγάλματ᾽ αἰδοίου Διὸς,
σεμνῶς ἔχουσαι διὰ χερῶν συνωνύμων,
αἰδοῖα καὶ γόεδνα καὶ τὰ χρεῖ᾽ ἔπη
ξένους ἀμείβεσθ᾽, ὡς ἐπήλυδας πρέπει,
τορῶς λέγουσαι τάσδ᾽ ἀναιμάκτους φυγάς.
φθογγῇ δ᾽ ἑπέσθω πρῶτα μὲν τὸ μὴ θρασὺ,
τὸ μὴ μάταιον δ᾽ ἐκ μετώπων σωφρόνων
ἴτω πρόσωπον ὄμματος παρ᾽ ἡσύχου.
καὶ μὴ πρόλεσχος μηδ᾽ ἐφολκὸς ἐν λόγῳ
γένῃ· τὸ τῇδε κάρτ᾽ ἐπίφθονον γένος.
μέμνησο δ᾽ εἴκειν· χρεῖος εἶ ξένη φυγάς.
θρασυστομεῖν γὰρ οὐ πρέπει τοὺς ἥσσονας.

ΧΟΡΟΣ.

πάτερ, φρονούντως πρὸς φρονοῦντας ἐννέπεις.
φυλάξομεν δὲ τάσδε μεμνῆσθαι σέθεν
κεδνὰς ἐφετμάς· Ζεὺς δὲ γεννήτωρ ἴδοι.

ΔΑΝΑΟΣ.

μή νυν σχόλαζε, μηχανῆς δ᾽ ἔστω κράτος.

ΧΟΡΟΣ.

θέλοιμ᾽ ἂν ἤδη σοὶ πέλας θρόνους ἔχειν.

ΔΑΝΑΟΣ.

ὦ Ζεῦ, κόπων οἴκτειρε μὴ ᾽πολωλότας.

ΧΟΡΟΣ.

ἴδοιτο δῆτα πρευμενοῦς ἀπ᾽ ὄμματος.
κείνου θέλοντος εὖ τελευτήσει τάδε.

ΔΑΝΑΟΣ.

καὶ Ζηνὸς ὄρνιν τόνδε νῦν κικλήσκετε.

ΧΟΡΟΣ.

καλοῦμεν αὐγὰς ἡλίου σωτηρίους,
ἁγνόν τ᾽ Ἀπόλλω φυγάδ᾽ ἀπ᾽ οὐρανοῦ θεόν.
εἰδὼς ἂν αἶσαν τήνδε συγγνοίη βροτοῖς.

ΔΑΝΑΟΣ.

συγγνοῖτο δῆτα καὶ παρασταίη πρόφρων.

ΧΟΡΟΣ.
τίν' οὖν κικλήσκω τῶνδε δαιμόνων ἔτι;
ΔΑΝΑΟΣ.
ὁρῶ τρίαιναν τήνδε, σημεῖον θεοῦ.
ΧΟΡΟΣ.
ἀλλ' εὖ τ' ἔπεμψεν εὖ τε δεξάσθω χθονί.
ΔΑΝΑΟΣ.
Ἑρμῆς ὅδ' ἄλλος τοῖσιν Ἑλλήνων νόμοις.
ΧΟΡΟΣ.
ἐλευθέροις νυν ἐσθλὰ κηρυκευέτω.
ΔΑΝΑΟΣ.
πάντων δ' ἀνάκτων τῶνδε κοινοβωμίαν
σέβεσθ'. ἐν ἁγνῷ δ' ἑσμὸς ὡς πελειάδων
ἵζεσθε, κίρκων τῶν ὁμοπτέρων φόβῳ,
ἐχθρῶν ὁμαίμων καὶ μιαινόντων γένος.
ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών;
πῶς δ' ἂν γαμῶν ἄκουσαν ἄκοντος πάρα
ἁγνὸς γένοιτ' ἄν; οὐδὲ μὴ 'ν Ἅιδου θανὼν
φύγῃ μάταιον αἰτίας, πράξας τάδε.
κἀκεῖ δικάζει τἀμπλακήμαθ', ὡς λόγος,
Ζεὺς ἄλλος ἐν καμοῦσιν ὑστάτας δίκας.
σκοπεῖτε, κἀμείβεσθε τόνδε τὸν τόπον,
ὅπως ἂν ὑμῖν πρᾶγος εὖ νικᾷ τόδε.
ΒΑΣΙΛΕΥΣ.
ποδαπὸν ὅμιλον τόνδ' ἀνέλληνα στόλον,
πέπλοισι βαρβάροισι καὶ πυκνώμασι
χλίοντα προσφωνοῦμεν; οὐ γὰρ Ἀργολὶς
ἐσθὴς γυναικῶν οὐδ' ἀφ' Ἑλλάδος τόπων.
ὅπως δὲ χώραν οὐδὲ κηρύκων ὕπο,
ἀπρόξενοί τε, νόσφιν ἡγητῶν, μολεῖν
ἔτλητ' ἀτρέστως, τοῦτο θαυμαστὸν πέλει.
κλάδοι γε μὲν δὴ, κατὰ νόμους ἀφικτόρων,
κεῖνται παρ' ὑμῖν πρὸς θεοῖς ἀγωνίοις·
μόνον τόδ' Ἑλλὰς χθὼν συνοίσεται στόχῳ.
καὶ τἄλλα πόλλ' ἐπεικάσαι δίκαιον ἦν,
εἰ μὴ παρόντι φθόγγος ἦν ὁ σημανῶν.
ΧΟΡΟΣ.
εἴρηκας ἀμφὶ κόσμον ἀψευδῆ λόγον.
ἐγὼ δὲ πρός σε πότερον ὡς ἔτην λέγω,
ἢ τηρὸν ἱροῦ ῥάβδον, ἢ πόλεως ἀγόν;
ΒΑΣΙΛΕΥΣ.
πρὸς ταῦτ' ἀμείβου καὶ λέγ' εὐθαρσὴς ἐμοί.
τοῦ γηγενοῦς γάρ εἰμ' ἐγὼ Παλαίχθονος
ἶνις Πελασγοῦ, τῆσδε γῆς ἀρχηγέτης.
ἐμοῦ δ' ἄνακτος εὐλόγως ἐπώνυμον
γένος Πελασγῶν τήνδε καρποῦται χθόνα.
καὶ πᾶσαν αἶαν, ἧς δι' Ἄλγος ἔρχεται,
Στρυμών τε πρὸς δύνοντος ἡλίου, κρατῶ.
ὁρίζομαι δὲ τήνδε Περραίβων χθόνα,
Πίνδου τε τἀπέκεινα, Παιόνων πέλας,
ὄρη τε Δωδωναῖα· συντέμνει δ' ὅρος
ὑγρᾶς θαλάσσης· τῶνδε τἀπὶ τάδε κρατῶ.
αὐτῆς δὲ χώρας Ἀπίας πέδον τόδε
πάλαι κέκληται φωτὸς ἰατροῦ χάριν.
Ἆπις γὰρ ἐλθὼν ἐκ πέρας Ναυπακτίας
ἰατρόμαντις παῖς Ἀπόλλωνος χθόνα
τήνδ' ἐκκαθαίρει κνωδάλων βροτοφθόρων,
τὰ δὴ παλαιῶν αἱμάτων μιάσμασι
χρανθεῖσ' ἀνῆκε γαῖα μηνιαῖ' ἄκη,
δρακονθόμιλον δυσμενῆ ξυνοικίαν.
τούτων ἄκη τομαῖα καὶ λυτήρια
πράξας ἀμέμπτως Ἆπις Ἀργείᾳ χθονὶ
μνήμην ποτ' ἀντίμισθον εὗρετ' ἐν λιταῖς.
ἔχουσ' ἂν ἤδη τἀπ' ἐμοῦ τεκμήρια
γένος τ' ἂν ἐξεύχοιο καὶ λέγοις πρόσω.
μακράν γε μὲν δὴ ῥῆσιν οὐ στέργει πόλις.
ΧΟΡΟΣ.
βραχὺς τορός θ' ὁ μῦθος, Ἀργεῖαι γένος
ἐξευχόμεσθα, σπέρματ' εὐτέκνου βοός·
καὶ ταῦτ' ἀληθῆ πάντα προσφύσω λόγῳ.
ΒΑΣΙΛΕΥΣ.
ἄπιστα μυθεῖσθ', ὦ ξέναι, κλύειν ἐμοὶ,
ὅπως τόδ' ὑμῖν ἐστιν Ἀργεῖον γένος.
Λιβυστικαῖς γὰρ μᾶλλον ἐμφερέστεραι
γυναιξίν ἐστε κοὐδαμῶς ἐγχωρίαις.
καὶ Νεῖλος ἂν θρέψειε τοιοῦτον φυτὸν,
Κύπριος χαρακτήρ τ' ἐν γυναικείοις τύποις
εἰκὼς πέπληκται τεκτόνων πρὸς ἀρσένων·
Ἰνδούς τ' ἀκούω νομάδας ἱπποβάμοσιν
εἶναι καμήλοις ἀστραβιζούσαις, χθόνα
παρ' Αἰθίοψιν ἀστυγειτονουμένας.
καὶ τὰς ἀνάνδρους κρεοβρότους τ' Ἀμαζόνας,
εἰ τοξοτευχεῖς ἦτε, κάρτ' ἂν ᾔκασα
ὑμᾶς. διδαχθεὶς δ' ἂν τόδ' εἰδείην πλέον,
ὅπως γένεθλον σπέρμα τ' Ἀργεῖον τὸ σόν.
ΧΟΡΟΣ.
κληδοῦχον Ἥρας φασὶ δωμάτων ποτὲ
Ἰὼ γενέσθαι τῇδ' ἐν Ἀργείᾳ χθονὶ,
ἦν, ὡς μάλιστα καὶ φάτις πολλὴ κρατεῖ
* * * * * *
ΒΑΣΙΛΕΥΣ.
μὴ καὶ λόγος τις Ζῆνα μιχθῆναι βροτῷ;
ΧΟΡΟΣ.
καὶ κρυπτά γ' Ἥρας ταῦτα παλλακισμάτων.
* * * * * *
ΒΑΣΙΛΕΥΣ.
πῶς οὖν τελευτᾷ βασιλέων νείκη τάδε;
ΧΟΡΟΣ.
βοῦν τὴν γυναῖκ' ἔθηκεν Ἀργεία θεός.
ΒΑΣΙΛΕΥΣ.
οὐκοῦν πελάζει Ζεὺς ἐπ' εὐκραίρῳ βοΐ;
ΧΟΡΟΣ.
φασὶν πρέποντα βουθόρῳ ταύρῳ δέμας.
ΒΑΣΙΛΕΥΣ.
τί δῆτα πρὸς ταῦτ' ἄλοχος ἰσχυρὰ Διός;
ΧΟΡΟΣ.
τὸν πάνθ' ὁρῶντα φύλακ' ἐπέστησεν βοΐ.
ΒΑΣΙΛΕΥΣ.
ποῖον πανόπτην οἰοβουκόλον λέγεις;
ΧΟΡΟΣ.
Ἄργον, τὸν Ἑρμῆς παῖδα γῆς κατέκτανε.
ΒΑΣΙΛΕΥΣ.
τί οὖν ἔτευξεν ἄλλο δυσπότμῳ βοΐ;
ΧΟΡΟΣ.
βοηλάτην μύωπα, κινητήριον,
οἶστρον καλοῦσιν αὐτὸν οἱ Νείλου πέλας.
ΒΑΣΙΛΕΥΣ.
τοιγάρ νιν ἐκ γῆς ἤλασεν μακρῷ δρόμῳ.
ΧΟΡΟΣ.
καὶ ταῦτ' ἔλεξας πάντα συγκόλλως ἐμοί.

ΒΑΣΙΛΕΥΣ.
καὶ μὴν Κάνωβον κἀπὶ Μέμφιν ἵκετο.
ΧΟΡΟΣ.
καὶ Ζεύς γ' ἐφάπτωρ χειρὶ φιτύει γόνον.
ΒΑΣΙΛΕΥΣ.
τί οὖν, ὁ Δῖος πόρτις εὔχεται βοός;
ΧΟΡΟΣ.
Ἔπαφος ἀληθῶς ῥυσίων ἐπώνυμος.
ΒΑΣΙΛΕΥΣ.
* * * * * * *
ΧΟΡΟΣ.
Λιβύη μεγίστης ὄνομα γῆς καρπουμένη.
ΒΑΣΙΛΕΥΣ.
τίν' οὖν ἔτ' ἄλλον τῆσδε βλάστημον λέγεις;
ΧΟΡΟΣ.
Βῆλον δίπαιδα, πατέρα τοῦδ' ἐμοῦ πατρός.
ΒΑΣΙΛΕΥΣ.
τὸ πάνσοφον νῦν ὄνομα τοῦτό μοι φράσον.
ΧΟΡΟΣ.
Δαναός, ἀδελφὸς δ' ἐστὶ πεντηκοστόπαις.
ΒΑΣΙΛΕΥΣ.
καὶ τοῦδ' ἄνοιγε τοὔνομ' εὐφώνῳ λόγῳ.
ΧΟΡΟΣ.
Αἴγυπτος. εἰδὼς δ' ἁμὸν ἀρχαῖον γένος
πράσσοις ἂν ὡς Ἀργεῖον ἀνστήσης στόλον.
ΒΑΣΙΛΕΥΣ.
δοκεῖτ' ἔμοιγε τῆσδε κοινωνεῖν χθονὸς
τἀρχαῖον· ἀλλὰ πῶς πατρῷα δώματα
λιπεῖν ἔτλητε; τίς κατέσκηψεν τύχη;
ΧΟΡΟΣ.
ἄναξ Πελασγῶν, αἰόλ' ἀνθρώπων κακά.
πόνου δ' ἴδοις ἂν οὐδαμοῦ ταυτὸν πτερόν.
ἐπεὶ τίς ηὔχει τήνδ' ἀνέλπιστον φυγὴν,
κέλσειν ἐς Ἄργος κῆδος ἐγγενὲς τὸ πρὶν,
ἔχθει μεταπτοιοῦσαν εὐναίων γάμων;
ΒΑΣΙΛΕΥΣ.
τί φῂς ἱκνεῖσθαι τῶνδ' ἀγωνίων θεῶν,
λευκοστεφεῖς ἔχουσα νεοδρέπτους κλάδους;
ΧΟΡΟΣ.
ὡς μὴ γένωμαι δμωὶς Αἰγύπτου γένει.
ΒΑΣΙΛΕΥΣ.
πότερα κατ' ἔχθραν, ἢ τὸ μὴ θέμις λέγεις;
ΧΟΡΟΣ.
τίς δ' ἂν φίλους ὤνοιτο τοὺς κεκτημένους;
ΒΑΣΙΛΕΥΣ.
σθένος μὲν οὕτως μεῖζον αὔξεται βροτοῖς.
ΧΟΡΟΣ.
καὶ δυστυχούντων γ' εὐμαρὴς ἀπαλλαγή.
ΒΑΣΙΛΕΥΣ.
πῶς οὖν πρὸς ὑμᾶς εὐσεβὴς ἐγὼ πέλω;
ΧΟΡΟΣ.
αἰτοῦσι μὴ 'κδῷς παισὶν Αἰγύπτου πάλιν.
ΒΑΣΙΛΕΥΣ.
βαρέα σύ γ' εἶπας, πόλεμον ἄρασθαι νέον.
ΧΟΡΟΣ.
ἀλλ' ἡ δίκη γε ξυμμάχων ὑπερστατεῖ.
ΒΑΣΙΛΕΥΣ.
εἴπερ γ' ἀπ' ἀρχῆς πραγμάτων κοινωνὸς ἦν.
ΧΟΡΟΣ.
αἰδοῦ σὺ πρύμναν πόλεος ὧδ' ἐστεμμένην.
ΒΑΣΙΛΕΥΣ.
πέφρικα λεύσσων τάσδ' ἕδρας κατασκίους.
ΧΟΡΟΣ.
βαρύς γε μέντοι Ζηνὸς ἱκεσίου κότος.
Παλαίχθονος τέκος, κλῦθί μου
πρόφρονι καρδίᾳ, Πελασγῶν ἄναξ.
ἴδε με τὰν ἱκέτιν φυγάδα περίδρομον,
λευκόστικτον ὡς δάμαλιν ἂμ πέτραις
ἠλιβάτοισιν. ἀλκᾷ πίσυνος μέμυκε
φράζουσα βοτῆρι μόχθους.
ΒΑΣΙΛΕΥΣ.
ὁρῶ κλάδοισι νεοδρόποις κατάσκιον
νέον θ' ὅμιλον τῶνδ' ἀγωνίων θεῶν.
εἴη δ' ἄνατον πρᾶγμα τοῦτ' ἀστοξένων.
μηδ' ἐξ ἀέλπτων κἀπρομηθήτων πόλει
νεῖκος γένηται· τῶν γὰρ οὐ δεῖται πόλις.
ΧΟΡΟΣ.
ἴδοιτο δῆτ' ἄνατον φυγὰν
ἱκεσία Θέμις Διὸς κλαρίου.
σὺ δὲ παρ' ὀψιγόνου μάθε γεραιόφρων
ποτιτρόπαιον αἰδόμενος, οὔπερ
ἱεροδόκα θεῶν λήμματ' ἀπ' ἀνδρὸς ἁγνοῦ
* * * * *
ΒΑΣΙΛΕΥΣ.
οὔτοι κάθησθε δωμάτων ἐφέστιοι
ἐμῶν. τὸ κοινὸν δ' εἰ μιαίνεται πόλις,
ξυνῇ μελέσθω λαὸς ἐκπονεῖν ἄκη.
ἐγὼ δ' ἂν οὐ κραίνοιμ' ὑπόσχεσιν πάρος,
ἀστῶν δὲ πᾶσι τοῖσδε κοινώσας πέρι.
ΧΟΡΟΣ.
σύ τοι πόλις, σὺ δὲ τὸ δήμιον,
πρύτανις ἄκριτος ὢν,
κρατύνεις βωμὸν ἑστίαν χθονός·
μονοψήφοισι νεύμασιν σέθεν,
μονοσκήπτροισι δ' ἐν θρόνοις χρέος
πᾶν ἐπικραίνεις· ἄγος φυλάσσου.
ΒΑΣΙΛΕΥΣ.
ἄγος μὲν εἴη τοῖς ἐμοῖς παλιγκότοις,
ὑμῖν δ' ἀρήγειν οὐκ ἔχω βλάβης ἄτερ·
οὐδ' αὖ τόδ' εὔφρον, τάσδ' ἀτιμάσαι λιτάς.
ἀμηχανῶ δὲ καὶ φόβος μ' ἔχει φρένας
δρᾶσαί τε μὴ δρᾶσαί τε καὶ τύχην ἑλεῖν.
ΧΟΡΟΣ.
τὸν ὑψόθεν σκοπὸν ἐπισκόπει,
φύλακα πολυπόνων
βροτῶν, οἳ τοῖς πέλας προσήμενοι
δίκας οὐ τυγχάνουσιν ἐννόμου.
μένει τοι Ζηνὸς ἱκτίου κότος
δυσπαραθέλκτοις παθόντος οἴκτοις.
ΒΑΣΙΛΕΥΣ.
εἴ τοι κρατοῦσι παῖδες Αἰγύπτου σέθεν,
νόμῳ πόλεως φάσκοντες ἐγγύτατα γένους
εἶναι, τίς ἂν τοῖσδ' ἀντιωθῆναι θέλοι;
δεῖ τοι σὲ φεύγειν κατὰ νόμους τοὺς οἴκοθεν,
ὡς οὐκ ἔχουσι κῦρος οὐδὲν ἀμφὶ σοῦ.
ΧΟΡΟΣ.
μή τί ποτ' οὖν γενοίμαν ὑποχείριος

347 — 353. = 359 — 364.
370 — 375. = 381 — 386.
392 — 396. = 402 — 406.

κράτεσιν ἀρσένων. ὕπαστρον δέ τοι
μῆχαρ ὁρίζομαι γάμου δύσφρονος
φυγᾷ. ξύμμαχον δ' ἑλόμενος δίκαν
κρῖνε σέβας τὸ πρὸς θεῶν.

ΒΑΣΙΛΕΥΣ.

οὐκ εὔκριτον τὸ κρῖμα· μή μ' αἱροῦ κριτήν.
εἶπον δὲ καὶ πρὶν, οὐκ ἄνευ δήμου τάδε
πράξαιμ' ἂν, οὐδέ περ κρατῶν, μὴ καὶ ποτὲ
εἴπῃ λεὼς, εἴ πού τι μὴ τοῖον τύχοι,
ἐπήλυδας τιμῶν ἀπώλεσας πόλιν.

ΧΟΡΟΣ.

ἀμφοτέρους ὁμαίμων τάδ' ἐπισκοπεῖ
Ζεὺς ἑτερορρεπὴς, νέμων εἰκότως
ἄδικα μὲν κακοῖς, ὅσια δ' ἐννόμοις.
τί τῶνδ' ἐξ ἴσου ῥεπομένων μεταλ-
γεῖς τὸ δίκαιον ἔρξαι;

ΒΑΣΙΛΕΥΣ.

δεῖ τοι βαθείας φροντίδος σωτηρίου,
δίκην κολυμβητῆρος, ἐς βυθὸν μολεῖν
δεδορκὸς ὄμμα, μηδ' ἄγαν ᾠνωμένον·
ὅπως ἄνατα ταῦτα πρῶτα μὲν πόλει,
αὐτοῖσί θ' ἡμῖν ἐκτελευτήσει καλῶς,
καὶ μήτε δῆρις ῥυσίων ἐφάψεται
μήτ' ἐν θεῶν ἕδραισιν ὧδ' ἱδρυμένας
ἐκδόντες ὑμᾶς τὸν πανώλεθρον θεὸν
βαρὺν ξύνοικον θησόμεσθ' ἀλάστορα,
ὃς οὐδ' ἐν Ἅιδου τὸν θανόντ' ἐλευθεροῖ.
μῶν οὐ δοκεῖ δεῖν φροντίδος σωτηρίου;

ΧΟΡΟΣ.

φρόντισον καὶ γενοῦ
πανδίκως εὐσεβὴς πρόξενος,
τὰν φυγάδα μὴ προδῷς,
τὰν ἕκαθεν ἐκβολαῖς
δυσθέοις ὁρμέναν·
μηδ' ἴδῃς μ' ἐξ ἑδρᾶν
πολυθέων ῥυσιασθεῖσαν, ὦ
πᾶν κράτος ἔχων χθονός.
γνῶθι δ' ὕβριν ἀνέρων,
καὶ φύλαξαι κότον.
μή τι τλῇς τὰν ἱκέτιν εἰσιδεῖν
ἀπὸ βρετέων βίᾳ
δίκας ἀγομέναν
ἱππηδὸν, ἀμπύκων
πολυμίτων, πέπλων τ' ἐπιλαβὰς ἐμῶν.
ἴσθι γὰρ, παισὶ τάδε καὶ δόμοις,
ὁπότερ' ἂν κτίσῃς,
μένει Ἄρει 'κτίνειν
ὁμοίαν θέμιν.
τάδε φράσαι δίκαια Διόθεν κράτη.

ΒΑΣΙΛΕΥΣ.

καὶ δὴ πέφρασμαι· δεῦρο δ' ἐξοκέλλεται·
ἢ τοῖσιν ἢ τοῖς πόλεμον αἴρεσθαι μέγαν
πᾶσ' ἔστ' ἀνάγκη· καὶ γεγόμφωται σκάφος
στρέβλαισι ναυτικαῖσιν ὡς προσηγμένον.
ἄνευ δὲ λύπης οὐδαμοῦ καταστροφή.
καὶ χρήμασιν μὲν ἐκ δόμων πορθουμένων,
ἄτης γε μείζω, καὶ μέγ' ἐμπλήσας γόμον,
γένοιτ' ἂν ἄλλα κτησίου Διὸς χάριν·

418—422. = 423—427.
428—432. = 433—437.

καὶ γλῶσσα τοξεύσασα μὴ τὰ καίρια,
γένοιτο μύθου μῦθος ἂν θελκτήριος,
ἀλγεινὰ θυμοῦ κάρτα κινητήρια.
ὅπως δ' ὅμαιμον αἷμα μὴ γενήσεται,
δεῖ κάρτα θύειν, καὶ πεσεῖν χρηστήρια
θεοῖσι πολλοῖς πολλὰ, πημονῆς ἄκη.
ἦ κάρτα νείκους τοῦδ' ἐγὼ παροίχομαι·
θέλω δ' ἄϊδρις μᾶλλον ἢ σοφὸς κακῶν
εἶναι. γένοιτο δ' εὖ παρὰ γνώμην ἐμήν.

ΧΟΡΟΣ.

πολλῶν ἄκουσον τέρματ' αἰδοίων λόγων.

ΒΑΣΙΛΕΥΣ.

ἤκουσα, καὶ λέγοις ἂν, οὔ με φεύξεται.

ΧΟΡΟΣ.

ἔχω στρόβους ζώνας τε, συλλαβὰς πέπλων.

ΒΑΣΙΛΕΥΣ.

τύχῃ γυναικῶν ταῦτα συμπρεπῆ πέλει.

ΧΟΡΟΣ.

ἐκ τῶνδε τοίνυν, ἴσθι, μηχανὴ καλή.

ΒΑΣΙΛΕΥΣ.

λέξον τίν' αὐδὴν τήνδε γηρυθεῖσ' ἔσει.

ΧΟΡΟΣ.

εἰ μή τι πιστὸν τῷδ' ὑποστήσει στόλῳ

ΒΑΣΙΛΕΥΣ.

τί σοι περαίνει μηχανὴ συζωμάτων;

ΧΟΡΟΣ.

νέοις πίναξι βρέτεα κοσμῆσαι τάδε.

ΒΑΣΙΛΕΥΣ.

αἰνιγματῶδες τοὔπος· ἀλλ' ἁπλῶς φράσον.

ΧΟΡΟΣ.

ἐκ τῶνδ' ὅπως τάχιστ' ἀπάγξασθαι θεῶν.

ΒΑΣΙΛΕΥΣ.

ἤκουσα μαστικτῆρα καρδίας λόγον.

ΧΟΡΟΣ.

ξυνῆκας· ὠμμάτωσα γὰρ σαφέστερον.

ΒΑΣΙΛΕΥΣ.

καὶ πολλαχῇ γε δυσπάλαιστα πράγματα.
κακῶν δὲ πλῆθος ποταμὸς ὣς ἐπέρχεται·
ἄτης δ' ἄβυσσον πέλαγος οὐ μάλ' εὔπορον
τόδ' ἐσβέβηκε, κοὐδαμοῦ λιμὴν κακῶν.
εἰ μὲν γὰρ ὑμῖν μὴ τόδ' ἐκπράξω χρέος,
μίασμ' ἔλεξας οὐχ ὑπερτοξεύσιμον·
εἰ δ' αὖθ' ὁμαίμοις παισὶν Αἰγύπτου σέθεν
σταθεὶς πρὸ τειχέων διὰ μάχης ἥξω τέλους,
πῶς οὐχὶ τἀνάλωμα γίγνεται πικρὸν,
ἄνδρας γυναικῶν οὕνεχ' αἱμάξαι πέδον;
ὅμως δ' ἀνάγκη Ζηνὸς αἰδεῖσθαι κότον
ἱκτῆρος· ὕψιστος γὰρ ἐν βροτοῖς φόβος.
σὺ μὲν, πάτερ γεραιὲ τῶνδε παρθένων,
κλάδους τε τούτους αἶψ' ἐν ἀγκάλαις λαβὼν
βωμοὺς ἐπ' ἄλλους δαιμόνων ἐγχωρίων
θὲς, ὡς ἴδωσι τῆσδ' ἀφίξεως τέκμαρ
πάντες πολῖται· μηδ' ἀπορριφθῇ λόγος
ἐμοῦ· κατ' ἀρχῆς γὰρ φιλαίτιος λεώς.
καὶ γὰρ τάχ' ἄν τις οἶκτος εἰσιδὼν τάδε
ὕβριν μὲν ἐχθήρειεν ἄρσενος στόλου,
ὑμῖν δ' ἂν εἴη δῆμος εὐμενέστερος·
τοῖς ἥσσοσιν γὰρ πᾶς τις εὐνοίας φέρει.

ΔΑΝΑΟΣ.

πολλῶν τάδ' ἡμῖν ἐστιν ἠξιωμένα,

αἰδοῖον εὑρεθέντα πρόξενον λαβεῖν.
ὀπάονας δὲ φράστοράς τ' ἐγχωρίων
ξύμπεμψον, ὡς ἂν τῶν πολισσούχων θεῶν
βωμοὺς προνάους καὶ πολισσούχων ἕδρας
εὕρωμεν, ἀσφάλεια δ' ᾖ δι' ἄστεως
στείχουσι· μορφῆς δ' οὐχ ὁμόστολος φύσις.
Νεῖλος γὰρ οὐχ ὅμοιον Ἰνάχῳ γένος
τρέφει. φύλαξαι μὴ θράσος τέκῃ φόβον.
καὶ δὴ φίλον τις ἔκταν' ἀγνοίας ὕπο.

ΒΑΣΙΛΕΥΣ.

στείχοιτ' ἄν, ἄνδρες· εὖ γὰρ ὁ ξένος λέγει.
ἡγεῖσθε βωμοὺς ἀστικούς, θεῶν ἕδρας·
καὶ ξυμβόλοισιν οὐ πολυστομεῖν χρεὼν
ναύτην ἄγοντας τόνδ' ἐφέστιον θεῶν.

ΧΟΡΟΣ.

τούτῳ μὲν εἶπας, καὶ τεταγμένος κίοι·
ἐγὼ δὲ πῶς δρῶ; ποῦ θράσος νεμεῖς ἐμοί;

ΒΑΣΙΛΕΥΣ.

κλάδους μὲν αὐτοῦ λεῖπε, σημεῖον πόνου.

ΧΟΡΟΣ.

καὶ δή σφε λείπω, χειρὶ καὶ λόγοις σέθεν.

ΒΑΣΙΛΕΥΣ.

λευρὸν κατ' ἄλσος νῦν ἐπιστρέφου τόδε.

ΧΟΡΟΣ.

καὶ πῶς βέβηλον ἄλσος ἂν ῥύοιτό με;

ΒΑΣΙΛΕΥΣ.

οὔτοι πτερωτῶν ἁρπαγαῖς σ' ἐκδώσομεν.

ΧΟΡΟΣ.

ἀλλ' εἰ δρακόντων δυσφρόνων ἐχθίοσιν.

ΒΑΣΙΛΕΥΣ.

εὔφημον εἴη τοὔπος εὐφημουμένῃ.

ΧΟΡΟΣ.

οὔτοι τι θαῦμα δυσφορεῖν φόβῳ φρενός.

ΒΑΣΙΛΕΥΣ.

αἰεὶ δ' ἀνάκτων ἐστὶ δεῖμ' ἐξαίσιον.

ΧΟΡΟΣ.

σὺ καὶ λέγων εὔφραινε καὶ πράσσων φρενί.

ΒΑΣΙΛΕΥΣ.

ἀλλ' οὔτι δαρὸν χρόνον ἐρημώσει πατήρ.
ἐγὼ δὲ λαοὺς συγκαλῶν ἐγχωρίους
πείσω τὸ κοινόν, ὡς ἂν εὐμενὲς τιθῶ.
καὶ σὸν διδάξω πατέρα ποῖα χρὴ λέγειν.
πρὸς ταῦτα μίμνε, καὶ θεοὺς ἐγχωρίους
λιταῖς παραιτοῦ τῶν σ' ἔρως ἔχει τυχεῖν.
ἐγὼ δὲ ταῦτα πορσυνῶν ἐλεύσομαι·
πειθὼ δ' ἕποιτο καὶ τύχη πρακτήριος.

ΧΟΡΟΣ.

ἄναξ ἀνάκτων, μακάρων
μακάρτατε, καὶ τελέων
τελειότατον κράτος, ὄλβιε Ζεῦ,
πείθου τε καὶ γενέσθω·
ἄλευσον ἀνδρῶν ὕβριν εὖ στυγήσας·
λίμνᾳ δ' ἔμβαλε πορφυροειδεῖ
τὰν μελανόζυγ' ἄταν.
τὸ πρὸς γυναικῶν ἐπιδὼν
παλαίφατον ἁμέτερον
γένος, φιλίας προγόνου γυναικός·
νέωσον εὔφρον' αἶνον,
γενοῦ πολυμνῆστορ, ἔφαπτορ Ἰοῦς,
δι' ἅς τοι γένος εὐχόμεθ' εἶναι
γᾶς ἀπὸ τᾶσδ' ἔνοικοι.

524—530. = 531—537.

παλαιὸν δ' εἰς ἴχνος μετέσταν
ματέρος ἀνθονόμους ἐπωπάς,
λειμῶνα βούχιλον, ἔνθεν Ἰὼ
οἴστρῳ ἐρεσσομένα
φεύγει ἁμαρτίνοος,
πολλὰ βροτῶν διαμειβομένα
φῦλα. διχῇ δ' ἀντίπορον
γαῖαν ἐν αἴσᾳ διατέμνουσα πόρον κυματίαν ὁρίζει·
ἰάπτει δ' Ἀσίδος δι' αἴας
μηλοβότου Φρυγίας διαμπάξ.
περᾷ δὲ Τεύθραντος ἄστυ Μυσῶν,
Λύδιά τε γύαλα·
καὶ δι' ὀρῶν Κιλίκων
Παμφύλων τε διορνυμένα·
πὰρ ποταμοὺς δ' ἀενάους
καὶ βαθύπλουτον χθόνα καὶ τᾶς Ἀφροδίτας πολύπυρον αἶαν.
ἱκνεῖται δ' εἰσικνουμένη βέλει
βουκόλου πτερόεντος,
Δῖον πάμβοτον ἄλσος,
λειμῶνα χιονόβοσκον, ὅντ' ἐπέρχεται Τυφῶ μένος,
ὕδωρ τὸ Νείλου νόσοις ἄθικτον,
μαινομένα πόνοις ἀτίμοις, ὀδύναις τε κεντροδα-
λήτοις θείας Ἥρας.
βροτοὶ δ' οἳ γᾶς τότ' ἦσαν ἔννομοι,
χλωρῷ δείματι θυμὸν
πάλλοντ', ὄψιν ἀήθη,
βοτὸν ἐσορῶντες δυσχερὲς μιξόμβροτον, τὰν μὲν βοός,
τὰν δ' αὖ γυναικός· τέρας δ' ἐθάμβουν.
καὶ τότε δὴ τίς ἦν ὁ θέλξας πολύπλαγκτον ἀθλίαν
οἰστροδόνητον Ἰώ;
Ζεὺς αἰῶνος κρέων ἀπαύστου
* * * *
βίᾳ δ' ἀπημάντῳ σθένει καὶ θείαις ἐπιπνοίαις
παύεται, δακρύων δ' ἀποστάζει πένθιμον αἰδῶ.
λαβοῦσα δ' ἕρμα δῖον ἀψευδεῖ λόγῳ
γείνατο παῖδ' ἀμεμφῆ,
δι' αἰῶνος μακροῦ πάνολβον·
ἔνθεν πᾶσα βοᾷ χθών,
φυσίζοον γένος, τὸ δὴ Ζηνός ἐστιν ἀληθῶς.
τίς γὰρ ἂν κατέπαυσεν Ἥρας νόσους ἐπιβούλους;
Διὸς τόδ' ἔργον· καὶ τόδ' ἂν γένος λέγων
ἐξ Ἐπάφου, κυρήσαις.
τίν' ἂν θεῶν ἐνδικωτέροισι
κεκλοίμαν εὐλόγως ἐπ' ἔργοις;

538—546. = 547—555.
556—564. = 565—573.
574—581. = 582—589.
590—594. = 595—599.

πατὴρ φυτουργὸς, αὐτόχειρ ἄναξ * *
γένους παλαιόφρων μέγας
τέκτων, τὸ πᾶν μῆχαρ οὔριος Ζεύς,
ὑπ' ἀρχᾶς δ' οὔτινος θοάζων
τὸ μεῖον κρεισσόνων κρατύνει·
οὔτινος ἄνωθεν ἡμένου σέβει κάτω.
πάρεστι δ' ἔργον ὡς ἔπος,
σπεῦσαί τι τῶν δούλιος φέρει φρήν.

ΔΑΝΑΟΣ.

θαρσεῖτε, παῖδες, εὖ τὰ τῶν ἐγχωρίων·
δήμου δέδοκται παντελῆ ψηφίσματα.

ΧΟΡΟΣ.

ὦ χαῖρε πρέσβυ, φίλτατ' ἀγγέλων ἐμοί,
ἔνισπε δ' ἡμῖν ποῖ κεκύρωται τέλος,
δήμου κρατοῦσα χεὶρ ὅποι πληθύνεται.

ΔΑΝΑΟΣ.

ἔδοξεν Ἀργείοισιν οὐ διχορρόπως,
ἀλλ' ὥς ἂν ἡβήσαιμι γηραιᾷ φρενί·
πανδημίᾳ γὰρ χερσὶ δεξιωνύμοις
ἔφριξεν αἰθὴρ τόνδε κραινόντων λόγον·
ἡμᾶς μετοικεῖν τῆσδε γῆς ἐλευθέρους
κἀρρυσιάστους ξύν τ' ἀσυλίᾳ βροτῶν·
καὶ μήτ' ἐνοίκων μήτ' ἐπηλύδων τινὰ
ἄγειν· ἐὰν δὲ προστιθῇ τὸ καρτερόν,
τὸν μὴ βοηθήσαντα τῶνδε γαμόρων
ἄτιμον εἶναι ξὺν φυγῇ δημηλάτῳ.
τοιάνδ' ἔπειθε ῥῆσιν ἀμφ' ἡμῶν λέγων
ἄναξ Πελασγῶν, ἱκεσίου Ζηνὸς κότον
μέγαν προφωνῶν μήποτ' εἰσόπιν χρόνου
πόλιν παχῦναι, ξενικὸν ἀστικόν θ' ἅμα
λέγων διπλοῦν μίασμα πρὸ πόλεως φανὲν,
ἀμήχανον βόσκημα πημονῆς πέλειν.
τοιαῦτ' ἀκούων χερσὶν Ἀργεῖος λεὼς
ἔκραν' ἄνευ κλητῆρος ὡς εἶναι τάδε.
δημηγόρους δ' ἤκουσεν εὐπειθεῖς στροφὰς
δῆμος Πελασγῶν· Ζεὺς δ' ἐπέκρανεν τέλος.

ΧΟΡΟΣ.

ἄγε δή, λέξωμεν ἐπ' Ἀργείοις
εὐχὰς ἀγαθὰς, ἀγαθῶν ποινάς.
Ζεὺς δ' ἐφορεύοι ξένιος ξενίου
στόματος τιμὰς ἐπ' ἀληθείᾳ,
τέρμον' ἀμέμπτως πρὸς ἅπαντα.
νῦν ὅτε καὶ θεοὶ
Διογενεῖς κλύοιτ' εὐ-
κταῖα γένει χεούσας·
μήποτε πυρίφατον τὰν Πελασγίαν πόλιν,
τὸν ἄχορον βοὰν κτίσαι μάχλον Ἄρη,
τὸν ἀρότοις θερίζοντα βροτοὺς ἐν ἄλλοις·
οὕνεκ' ᾤκτισαν ἡμᾶς,
ψῆφον δ' εὔφρον' ἔθεντο·
αἰδοῦνται δ' ἱκέτας Διὸς, ποίμναν τάνδ' ἀμέγαρτον·
οὐδὲ μετ' ἀρσένων
ψῆφον ἔθεντ', ἀτιμώ-
σαντες ἔριν γυναικῶν·
δῖον ἐπιδόμενοι πράκτορά τε σκοπὸν
δυσπολέμητον, ὃν οὔτις ἂν δόμος ἔχοι

630—642. == 643—655.

ἐπ' ὀρόφων μιαίνοντα· βαρὺς δ' ἐφίζει.
ἅζονται γὰρ ὁμαίμους,
Ζηνὸς ἵκτορας ἁγνοῦ.
τοιγάρτοι καθαροῖσι βωμοῖς θεοὺς ἀρέσονται.
τοιγὰρ ὑποσκίων ἐκ στομάτων ποτάσθω φιλότιμος εὐχά,
μήποτε λοιμὸς ἀνδρῶν
τῶνδε πόλιν κενώσαι·
μηδ' ἐπιχωρίοις **
πτώμασιν αἱματίσαι πέδον γᾶς.
ἥβας δ' ἄνθος ἄδρεπτον
ἔστω· μηδ' Ἀφροδίτας
εὐνάτωρ βροτολοιγὸς Ἄρης κέρσειεν ἄωτον.
καὶ γεραροῖσι πρεσβυτοδόκοι γεμόντων θυμέλαι φλεγόντων θ',
ὡς πόλις εὖ νέμοιτο·
Ζῆνα μέγαν σεβόντων,
τὸν ξένιον δ' ὑπέρτατον,
ὃς πολιῷ νόμῳ αἶσαν ὀρθοῖ.
τίκτεσθαι δ' ἐφόρους γᾶς
ἄλλους εὐχόμεθ' ἀεί·
Ἄρτεμιν δ' ἑκάταν γυναικῶν λόχους ἐφορεύειν.
μηδέ τις ἀνδροκμὴς λοιγὸς ἐπελθέτω,
τάνδε πόλιν δαΐζων,
ἄχορον ἀκίθαριν, δακρυογόνον Ἄρη
βοάν τ' ἔνδημον ἐξοπλίζων.
νούσων δ' ἑσμὸς ἀπ' ἀστῶν
ἵζοι κράτους ἀτερπής·
εὐμενὴς δ' ὁ Λύκειος ἔστω πάσᾳ νεολαίᾳ.
καρποτελεῖ δέ τοι Ζεὺς ἐπικραινέτω
φέρματι γᾶν πανώρῳ.
πρόνομα δὲ βοτὰ τὼς πολύγονα τελέθοι·
τὸ πᾶν τ' ἐκ δαιμόνων λάβοιεν.
εὔφημον δ' ἐπιβώντων
Μοῦσαι θεαί τ' ἀοιδοί·
ἁγνῶν τ' ἐκ στομάτων φερέσθω φήμα φιλιφόρμιγξ.
φυλάσσοι τ' ἀτιμίας τιμὰς
τὸ δήμιον, τὸ πτόλιν κρατύνει,
προμαθεὺς εὐκοινόμητις ἀρχά.
ξένοισί τ' εὐξυμβόλους,
πρὶν ἐξοπλίζειν Ἄρη,
δίκας ἄτερ πημάτων διδοῖεν.
θεοὺς δ', οἳ γᾶν ἔχουσιν, ἀεὶ
τίοιεν ἐγχωρίους πατρῴαις
δαφνηφόροισι βουθύτοισι τιμαῖς.
τὸ γὰρ τεκόντων σέβας
τρίτον τόδ' ἐν θεσμίοις
δίκας γέγραπται μεγιστοτίμου.

ΔΑΝΑΟΣ.

εὐχὰς μὲν αἰνῶ τάσδε σώφρονας, φίλαι·
ὑμεῖς δὲ μὴ τρέσητ' ἀκούσασαι πατρὸς
ἀπροσδοκήτους τούσδε καὶ νέους λόγους.
ἱκεταδόκου γὰρ τῆσδ' ἀπὸ σκοπῆς ὁρῶ
τὸ πλοῖον. εὔσημον γὰρ οὔ με λανθάνει·

656—666. == 667—677.
678—687. == 688—697.
698—703. == 704—709.

στολμοί τε λαίφους καὶ παραρρύσεις νεὼς,
καὶ πρῷρα πρόσθεν ὄμμασι βλέπουσ' ὁδὸν,
οἴακος εὐθυντῆρος ὑστάτου νεὼς
ἄγαν καλῶς κλύουσά γ' ὡς ἂν οὐ φίλη.
πρέπουσι δ' ἄνδρες νήιοι μελαγχίμοις
γυίοισι λευκῶν ἐκ πεπλωμάτων ἰδεῖν,
καὶ τἄλλα πλοῖα, πᾶσά θ' ἡ 'πικουρία
εὔπρεπτος· αὐτὴ δ' ἡγεμὼν ὑπὸ χθόνα
στείλασα λαῖφος παγκρότως ἐρέσσεται.
ἀλλ' ἡσύχως χρὴ καὶ σεσωφρονισμένως
πρὸς πρᾶγμ' ὁρώσας τῶνδε μὴ 'μελεῖν θεῶν.
ἐγὼ δ' ἀρωγοὺς ξυνδίκους θ' ἥξω λαβών.

ΧΟΡΟΣ.

ἴσως γὰρ ἢ κήρυξ τις ἢ πρέσβυς μόλοι,
ἄγειν θέλοντες ῥυσίων ἐφάπτορες.

ΔΑΝΑΟΣ.

ἀλλ' οὐδὲν ἔσται τῶνδε· μὴ τρέσητέ νιν.

ΧΟΡΟΣ.

ὅμως ἄμεινον, εἰ βραδύνοιμεν βοῇ,
ἀλκῆς λαθέσθαι τῆσδε μηδαμῶς ποτέ.

ΔΑΝΑΟΣ.

θάρσει· χρόνῳ τοι κυρίῳ τ' ἐν ἡμέρᾳ
θεοὺς ἀτίζων τις βροτῶν δώσει δίκην.

ΧΟΡΟΣ.

πάτερ, φοβοῦμαι, νῆες ὡς ὠκύπτεροι
ἥκουσι, μῆκος δ' οὐδὲν ἐν μέσῳ χρόνου·
περίφοβόν μ' ἔχει τάρβος ἐτητύμως
πολυδρόμου φυγᾶς ὄφελος εἴ τί μοι.
παροίχομαι, πάτερ, δείματι.

ΔΑΝΑΟΣ.

ἐπεὶ τελεία ψῆφος Ἀργείων, τέκνα,
θάρσει, μαχοῦνται περὶ σέθεν, σάφ' οἶδ' ἐγώ.

ΧΟΡΟΣ.

ἐξώλές ἐστι μάργον Αἰγύπτου γένος
μάχης τ' ἄπληστον· καὶ λέγω πρὸς εἰδότα.
δορυπαγεῖς δ' ἔχοντες κυανώπιδας
νῆας ἔπλευσαν ὧδ' ἐπιτυχεῖ κότῳ
πόλει μελαγχίμῳ ξὺν στρατῷ.

ΔΑΝΑΟΣ.

πολλοὺς δέ γ' εὑρήσουσιν ἐν μεσημβρίᾳ
θάλπει βραχίον' εὖ κατερρινημένους.

ΧΟΡΟΣ.

μόνην δὲ μὴ πρόλειπε· λίσσομαι, πάτερ.
γυνὴ μονωθεῖσ' οὐδέν. οὐκ ἔνεστ' Ἄρης.
δολόφρονες δὲ καὶ δολιομήτιδες
δυσάγνοις φρεσὶν, κόρακες ὥστε, βω-
μῶν ἀλέγοντες οὐδέν.

ΔΑΝΑΟΣ.

καλῶς γ' ἂν ἡμῖν ξυμφέροι ταῦτ', ὦ τέκνα,
εἰ σοί τε καὶ θεοῖσιν ἐχθαιροίατο.

ΧΟΡΟΣ.

οὐ μὴ τριαίνας τάσδε καὶ θεῶν σέβη
δείσαντες ἡμῶν χεῖρ' ἀπόσχωνται, πάτερ.
περίφρονες δ' ἄγαν ἀνιέρῳ μένει
μεμαργωμένοι κυνοθρασεῖς θεῶν
οὐδὲν ἐπαΐοντες.

ΔΑΝΑΟΣ.

ἀλλ' ἔστι φήμη τοὺς λύκους κρείσσους κυνῶν
εἶναι· βύβλου δὲ καρπὸς οὐ κρατεῖ στάχυν.

ΧΟΡΟΣ.

ὡς καὶ ματαίων ἀνοσίων τε κνωδάλων
ἔχοντας ὀργὰς, χρὴ φυλάσσεσθαι κράτος.

ΔΑΝΑΟΣ.

οὔτοι ταχεῖα ναυτικοῦ στρατοῦ στολὴ,
οὐδ' ὅρμος, οὐδὲ πεισμάτων σωτηρία
ἐς γῆν ἐνεγκεῖν, οὐδ' ἐν ἀγκυρουχίαις
θαρσοῦσι ναῶν ποιμένες παραυτίκα,
ἄλλως τε καὶ μολόντες ἀλίμενον χθόνα.
ἐς νύκτ' ἀποστείχοντος ἡλίου, φιλεῖ
ὠδῖνα τίκτειν νὺξ κυβερνήτῃ σοφῷ.
οὕτω γένοιτ' ἂν οὐδ' ἂν ἔκβασις στρατοῦ
καλὴ, πρὶν ὅρμῳ ναῦν θρασυνθῆναι· σὺ δὲ
φρόνει μὲν ὡς ταρβοῦσα μὴ 'μελεῖν θεῶν,
πράξασ' ἀρωγήν. ἄγγελον δ' οὐ μέμψεται
πόλις γέρονθ', ἡβῶντα δ' εὐγλώσσῳ φρενί.

ΧΟΡΟΣ.

ἰὼ γᾶ βοῦνι, ἔνδικον σέβας,
τί πεισόμεσθα, ποῖ φύγωμεν Ἀπίας
χθονὸς κελαινὸν εἴ τι κεῦθός ἐστί που;
μέλας γενοίμαν καπνὸς
νέφεσσι γειτονῶν Διὸς,
τὸ πᾶν δ' ἄφαντος.
ἀμπτᾶσα δ' ὡσεὶ
κόνις ἄτερθε πτερύγων ὀλοίμαν.
ἄφυκτον δ' οὐκ ἔτ' ἂν πέλοι κέαρ.
μελαινόχρως δὲ πάλλεταί μου καρδία.
πατρὸς σκοπαὶ δέ μ' εἷλον· οἴχομαι φόβῳ.
θέλοιμι δ' ἂν μορσίμου
βρόχου τυχεῖν ἐν σαργάναις,
πρὶν ἄνδρ' ἀπευκτὸν
τῷδ' ἐγχριμφθῆναι χεροῖν·
πρόπαρ θανούσας δ' Ἀΐδας ἀνάσσοι.
πόθεν δέ μοι γένοιτ' ἂν αἰθέρος θρόνος,
πρὸς ὃν νέφη ὑδρηλὰ γίγνεται χιὼν,
ἢ λισσὰς αἰγίλιψ ἀπρόσ-
δεικτος οἰόφρων κρεμὰς
γυπιὰς πέτρα, βαθὺ
πτῶμα μαρτυροῦσά μοι,
πρὶν δαΐκτορος βίᾳ
καρδίας γάμου κυρῆσαι.
κυσὶν δ' ἔπειθ' ἕλωρα κἀπιχωρίοις
ὄρνισι δεῖπνον οὐκ ἀναίνομαι πέλειν·
τὸ γὰρ θανεῖν ἐλευθεροῦ-
ται φιλαιακτῶν κακῶν.
ἐλθέτω μόρος πρὸ κοί-
τας γαμηλίου τυχών.
τίν' ἀμφ' αὐτᾶς ἔτι πόρον
τέμνω γάμου λυτῆρα;
ἴυζε δ' ὀμφὰν ὀρανίαν,
μέλη λίτανα θεοῖσι, καὶ
τέλεα δέ μοι πῶς, πελόμενά μοι
λύσιμα. μάχιμα δ' ἔπιδε, πάτερ,
βίαια μὴ φιλεῖς ὁρῶν
ὄμμασιν ἐνδίκοις.
σεβίζου δ' ἱκέτας σέθεν,

734—738. = 741—745.
748—752. = 755—759.
776—783. = 784—791.
792—799. = 800—807.
808—816. = 817—824.

γαιάοχε παγκρατὲς Ζεῦ.
γένος γὰρ Αἰγύπτιον ὕβριν
δύσφορον ἀρσενογενὲς,
μετά με δρόμοισι διόμενοι,
φυγάδα μάταισι πολυθρόοις
βίαια δίζηνται λαβεῖν.
σὸν δ' ἐπίπαν ζυγὸν
ταλάντου. τί δ' ἄνευ σέθεν
θνατοῖσι τέλειόν ἐστιν;
ό, ό, ό, ά, ά, ά.
ὅδε μάρπτις νάϊος, γάϊος.
τῶν πρὸ μάρπτι κάμνοις, ἰὸφ, ὄμ
αὖθι κάκκας νο
δύϊαν βοὰν ἀμφαίνω.
ὁρῶ τάδε φροίμια πρόξενα πόνων
βιαίων ἐμῶν. ἠὲ ἠὲ,
βαῖνε φυγᾷ πρὸς ἀλκάν·
βλοσυρόφρονα χλιδᾷ
δύσφορα ναΐ κὰν γᾷ.
ἄναξ προτάσσου.

ΚΗΡΥΞ.

σοῦσθε σοῦσθ' ἐπὶ βᾶ-
ριν ὅπως ποδῶν.

ΧΟΡΟΣ.

οὐκοῦν οὐκοῦν
τιλμοὶ τιλμοὶ καὶ στιγμοὶ,
πολυαίμων φόνιος
ἀποκοπὰ κρατός.

ΚΗΡΥΞ.

σοῦσθε σοῦσθ' ὀλόμεναι ὀλόμεν' ἐπ' ἀμίδα.
εἶτ' ἀνὰ πολύρρυτον
ἁλμήεντα πόρον,
δεσποσίῳ ξὺν ὕβρει,
γομφοδέτῳ τε δορὶ δι' ὅλου,
αἱμον' ἵζω σ' ἐπ' ἀμίδα
ἠσυδουπία τἄπιτα·
κελεύω βίᾳ μεθέσθαι
ἴχαρ, φρενί τ' ἄταν.

ΧΟΡΟΣ.

ἰὼ ἰοῦ.

ΚΗΡΥΣ.

λεῖφ' ἕδρανα, κί' ἐς δόρυ,
ἀτίετ' ἀνὰ πόλιν εὐσεβῶν.

ΧΟΡΟΣ.

μήποτε πάλιν εἴδοι
ἀλφεσίβοιον ὕδωρ,
ἔνθεν ἀεξόμενον
ζώφυτον αἷμα βροτοῖσι θάλλει.
ἄγιος ἐγὼ βαθυχαῖος
βαθρείας βαθρείας,
γέρον.

ΚΗΡΥΞ.

σὺ δὲ ναΐ ναΐ
βάσει τάχα
θέλεος ἀθέλεος,
βίᾳ βίᾳ τε πολλᾷ φροῦδα
βάτεαι βαθμὶ προκακοπαθῶν
ὀλόμεναι παλάμαις.

ΧΟΡΟΣ.

αἰαῖ αἰαῖ.
καὶ γὰρ δυσπαλάμως ὄλοιο
δι' ἁλίρρυτον ἄλσος,
κατὰ Σαρπηδόνιον
χῶμα πολυψάμαθον ἀλαθεὶς
εὐρείαις εἰν αὔραις.

ΚΗΡΥΞ.

ἴυζε καὶ λάκαζε καὶ κάλει θεούς.
Αἰγυπτίαν γὰρ βᾶριν οὐχ ὑπερθορεῖ.
ἴυζε καὶ βόα πικρότερ' ἀχέων, οἰζύος ὄνομ' ἔχων

ΧΟΡΟΣ.

οἶ, οἶ, οἶ, οἶ, οἶ,
λύμασις ἡ πρὸ γᾶς ὑλάσκοι·
περιχριμπτὰ βρυάζεις,
ὃς ἐρωτᾷς· ὁ μέγας
Νεῖλος ὑβρίζοντά σε ἀποτρέψει-
εν ἄϊστον ὕβριν.

ΚΗΡΥΞ.

βαίνειν κελεύω βᾶριν εἰς ἀμφίστροφον
ὅσον τάχιστα· μηδέ τις σχολαζέτω.
ὁλκὴ γὰρ οὔτοι πλόκαμον οὐ δαμάζεται.

ΧΟΡΟΣ.

οἶ, οἶ, πάτερ, βρότειος ἄρος ἄτα μαλδαάγει
ἄραχνος ὡς βάδην.
ὄναρ ὄναρ μέλαν.
ὀτοτοτοῖ.
μᾶ Γᾶ, μᾶ Γᾶ, βοᾶν
φοβερὸν ἀπότρεπε,
ὦ βᾶ Γᾶς παῖ Ζεῦ.

ΚΗΡΥΞ.

οὔτοι φοβοῦμαι δαίμονας τοὺς ἐνθάδε·
οὐ γάρ μ' ἔθρεψαν οὐδ' ἐγήρασαν τροφῇ.

ΧΟΡΟΣ.

μαιμᾷ πέλας δίπους ὄφις,
ἔχιδνα δ' ὥς με τί ποτ'
ἐνδακοῦσα.
ὀτοτοτοῖ.
μᾶ Γᾶ, μᾶ Γᾶ, βοᾶν
φοβερὸν ἀπότρεπε,
ὦ βᾶ Γᾶς παῖ Ζεῦ.

ΚΗΡΥΞ.

εἰ μή τις ἐς ναῦν εἶσιν αἰνέσας τάδε,
λακὶς χιτῶνος ἔργον οὐ κατοικτιεῖ.

ΧΟΡΟΣ.

ἰὼ πόλεως ἀγοὶ πρόμνοι, δάμναμαι.

ΚΗΡΥΞ.

πολλοὺς ἄνακτας, παῖδας Αἰγύπτου, τάχα
ὄψεσθε· θαρσεῖτ', οὐκ ἐρεῖτ' ἀναρχίαν.

ΧΟΡΟΣ.

διωλόμεσθ'· ἄελπτ', ἄναξ, πάσχομεν.

ΚΗΡΥΞ.

ἕλξειν ἔοιχ' ὑμᾶς ἀποσπάσας κόμης.
ἐπεὶ οὐκ ἀκούεις ὀξὺ τῶν ἐμῶν λόγων.

ΒΑΣΙΛΕΥΣ.

οὗτος τί ποιεῖς; ἐκ ποίου φρονήματος
ἀνδρῶν Πελασγῶν τήνδ' ἀτιμάζεις χθόνα;

866—875. = 876—884.
885—894. = 895—903.
904—906. = 907—910.

ἀλλ' ἦ γυναικῶν ἐς πόλιν δοκεῖς μολεῖν;
κάρβανος ὢν δ' Ἕλλησιν ἐγχλίεις ἄγαν·
καὶ πόλλ' ἁμαρτὼν οὐδὲν ὤρθωσας φρενί.

ΚΗΡΥΞ.

τί δ' ἠμπλάκηται τῶνδ' ἐμοὶ δίκης ἄτερ;

ΒΑΣΙΛΕΥΣ.

ξένος μὲν εἶναι πρῶτον οὐκ ἐπίστασαι.

ΚΗΡΥΞ.

πῶς δ' οὐχί, τἀπολωλόθ' εὑρίσκων ἐγώ;

ΒΑΣΙΛΕΥΣ.

ποίοισιν εἰπὼν προξένοις ἐγχωρίοις;

ΚΗΡΥΞ.

Ἑρμῇ μεγίστῳ προξένῳ μαστηρίῳ.

ΒΑΣΙΛΕΥΣ.

θεοῖσιν εἰπὼν τοὺς θεοὺς οὐδὲν σέβει.

ΚΗΡΥΞ.

τοὺς ἀμφὶ Νεῖλον δαίμονας σεβίζομαι.

ΒΑΣΙΛΕΥΣ.

οἱ δ' ἐνθάδ' οὐδέν, ὡς ἐγὼ σέθεν κλύω.

ΚΗΡΥΞ.

ἄγοιμ' ἄν, εἴ τις τάσδε μὴ 'ξαιρήσεται.

ΒΑΣΙΛΕΥΣ.

κλαίοις ἄν, εἰ ψαύσειας, οὐ μάλ' ἐς μακράν.

ΚΗΡΥΞ.

ἤκουσα τοὔπος οὐδαμῶς φιλόξενον.

ΒΑΣΙΛΕΥΣ.

οὐ γὰρ ξενοῦμαι τοὺς θεῶν συλήτορας.

ΚΗΡΥΞ.

λέγοις ἂν ἐλθὼν παισὶν Αἰγύπτου τάδε.

ΒΑΣΙΛΕΥΣ.

ἀβουκόλητον τοῦτ' ἐμῷ φρονήματι.

ΚΗΡΥΞ.

ἀλλ' ὡς ἂν εἰδῇς, ἐννέπω σαφέστερον.
καὶ γὰρ πρέπει κήρυκ' ἀπαγγέλλειν τορῶς
ἕκαστα· πῶς φῶ; πρὸς τίνος τ' ἀφαιρεθεὶς
ἥκειν γυναικῶν αὐτανέψιον στόλον;
οὔτοι δικάζει ταῦτα μαρτύρων ὕπο
Ἄρης· τὸ νεῖκος δ' οὐκ ἐν ἀργύρου λαβῇ
ἔλυσεν· ἀλλὰ πολλὰ γίγνεται πάρος
πεσήματ' ἀνδρῶν κἀπολακτισμοὶ βίου.

ΒΑΣΙΛΕΥΣ.

τί σοι λέγειν χρή; τοὔνομον χρόνῳ μαθὼν
εἴσεσθ' αὐτὸς χοὶ ξυνέμποροι σέθεν.
ταύτας δ' ἑκούσας μὲν κατ' εὔνοιαν φρενῶν
ἄγοις ἄν, εἴπερ εὐσεβὴς πίθοι λόγος.
τοιάδε δημόπρακτος ἐκ πόλεως μία
ψῆφος κέκρανται, μήποτ' ἐκδοῦναι βίᾳ
στόλον γυναικῶν· τῶνδ' ἐφήλωται τορῶς
γόμφος διαμπάξ, ὡς μένειν ἀραρότως.
ταῦτ' οὐ πίναξίν ἐστιν ἐγγεγραμμένα
οὐδ' ἐν πτυχαῖς βίβλων κατεσφραγισμένα,
σαφῆ δ' ἀκούεις ἐξ ἐλευθεροστόμου
γλώσσης. κομίζου δ' ὡς τάχιστ' ἐξ ὀμμάτων.

ΚΗΡΥΞ.

ἴσθι τάδ', ἤδη πόλεμον αἴρεσθαι νέον.
εἴη δὲ νίκη καὶ κράτη τοῖς ἄρσεσιν.

ΒΑΣΙΛΕΥΣ.

ἀλλ' ἄρσενάς τοι τῆσδε γῆς οἰκήτορας
εὑρήσετ' οὐ πίνοντας ἐκ κριθῶν μέθυ.
ὑμεῖς δὲ πᾶσαι σὺν φίλοις ὀπάοσι
θράσος λαβοῦσαι στείχετ' εὐερκῆ πόλιν
πύργων βαθείᾳ μηχανῇ κεκλῃμένην.
καὶ δώματ' ἐστὶ πολλὰ μὲν τὰ δήμια,
δεδωμάτωμαι δ' οὐδ' ἐγὼ σμικρᾷ χερί.
εὔθυμόν ἐστιν εὐτύχους ναίειν δόμους
πολλῶν μετ' ἄλλων· εἰ δέ τις μείζων χάρις,
πάρεστιν οἰκεῖν καὶ μονορρύθμους δόμους.
τούτων τὰ λῷστα καὶ τὰ θυμηδέστατα
πάρεστι, λωτίσασθε. προστάτης δ' ἐγὼ
ἀστοί τε πάντες, ὧνπερ ἥδε κραίνεται
ψῆφος. τί τῶνδε κυριωτέρους μένεις;

ΧΟΡΟΣ.

ἀλλ' ἀντ' ἀγαθῶν ἀγαθοῖσι βρύοις,
δῖε Πελασγῶν.
πέμψον δὲ πρόφρων δεῦρ' ἡμέτερον
πατέρ' εὐθαρσῆ
Δαναόν, πρόνοον καὶ βούλαρχον.
τοῦ γὰρ προτέρα μῆτις, ὅπου χρὴ
δώματα ναίειν, καὶ τόπος εὔφρων.
πᾶς τις ἐπειπεῖν ψόγον ἀλλοθρόοις
εὔτυκος· εἴη δὲ τὰ λῷστα.

ΒΑΣΙΛΕΥΣ.

ξύν τ' εὐκλείᾳ καὶ ἀμηνίτῳ
βάξει λαῶν ἐν χώρῳ
τάσσεσθε, φίλαι δμωΐδες, οὕτως
ὡς ἐφ' ἑκάστῃ διεκλήρωσεν
Δαναὸς θεραποντίδα φερνήν.

ΔΑΝΑΟΣ.

ὦ παῖδες, Ἀργείοισιν εὔχεσθαι χρεών,
θύειν τε λείβειν θ', ὡς θεοῖς Ὀλυμπίοις,
σπονδάς, ἐπεὶ σωτῆρες οὐ διχορρόπως,
καί μου τὰ μὲν πραχθέντα πρὸς τοὺς ἐκτενεῖς
φίλους πικρῶς ἤκουσαν αὐτανεψίους·
ἐμοῦ δ' ὀπαδοὺς τούσδε καὶ δορυσσόους
ἔταξαν, ὡς ἔχοιμι τίμιον γέρας,
καὶ μήτ' ἀέλπτως δορικανεῖ μόρῳ θανὼν
λάθοιμι, χώρᾳ δ' ἄχθος ἀείζων πέλοι.
τοιῶνδε τυγχάνοντας, εὐπρυμνῆ φρενὸς
χάριν σέβεσθε τιμιωτέραν ἐμοῦ.
καὶ ταῦτα μὲν γράψεσθε πρὸς γεγραμμένοις
πολλοῖσιν ἄλλοις σωφρονίσμασιν πατρός,
ἀγνῶθ' ὅμιλον ὡς ἐλέγχεσθαι χρόνῳ.
πᾶς δ' ἐν μετοίκῳ γλῶσσαν εὔτυκον φέρει
κακήν, τό τ' εἰπεῖν εὐπετὲς μύσαγμά πως.
ὑμᾶς δ' ἐπαινῶ μὴ καταισχύνειν ἐμέ,
ὥραν ἐχούσας τήνδ' ἐπίστρεπτον βροτοῖς.
τέρειν' ὀπώρα δ' εὐφύλακτος οὐδαμῶς.
θῆρες δὲ κηραίνουσι καὶ βροτοί τί μιν
καὶ κνώδαλα πτεροῦντα καὶ πεδοστιβῆ.
καρπώματα στάζοντα κηρύσσει Κύπρις
κάλωρα κωλύουσαν ὡς μένειν ἐρῶ.
καὶ παρθένων χλιδαῖσιν εὐμόρφοις ἔπι
πᾶς τις παρελθὼν ὄμματος θελκτήριον
τόξευμ' ἔπεμψεν, ἱμέρου νικώμενος.
πρὸς ταῦτα μὴ πάθωμεν ὧν πολὺς πόνος,
πολὺς δὲ πόντος οὕνεκ' ἠρόθη δορί,
μηδ' αἶσχος ἡμῖν, ἡδονὴν δ' ἐχθροῖς ἐμοῖς
πράξωμεν. οἴκησις δὲ καὶ διπλῆ πάρα,
τὴν μὲν Πελασγός, τὴν δὲ καὶ πόλις διδοῖ,
οἰκεῖν λατρῶν ἄτερθεν· εὐπετῆ τάδε.

μόνον φύλαξαι τάσδ' ἐπιστολὰς πατρὸς,
τὸ σωφρονεῖν τιμῶσα τοῦ βίου πλέον.

ΧΟΡΟΣ.

τἄλλ' εὐτυχοῖμεν πρὸς θεῶν Ὀλυμπίων·
ἐμῆς δ' ὀπώρας οὕνεκ' εὖ θάρσει, πάτερ.
εἰ γάρ τι μὴ θεοῖς βεβούλευται νέον,
ἴχνος τὸ πρόσθεν οὐ διαστρέψω φρενός.
ἴτε μὰν ἀστυάνακτας μάκαρας θεοὺς γανάεντες
πολιούχους τε καὶ οἳ χεῦμ' Ἐρασίνου
περιναίετε παλαιόν.
ὑποδέξασθε δ' ὀπαδοὶ
μένος· αἶνος δὲ πόλιν τήνδε Πελασγῶν
ἐχέτω, μηδ' ἔτι Νείλου προχοὰς σέβωμεν ὕμνοις·
ποταμοὺς δ' οἳ διὰ χώρας θελεμὸν πῶμα χέουσιν
πολύτεκνοι, λιπαροῖς χεύμασι γαίας
τόδε μειλίσσοντες οὖδας.
ἐπίδοι δ' Ἄρτεμις ἁγνὰ
στόλον οἰκτιζομένα· μηδ' ὑπ' ἀνάγκας
γάμος ἔλθοι Κυθέρειος· στυγερὸν πέλει τόδ'
ἆθλον·
Κύπριδος δ' οὐκ ἀμελεῖ θεσμὸς ὅδ' εὔφρων.
δύναται γὰρ Διὸς ἄγχιστα σὺν Ἥρᾳ·
τίεται δ' αἰολόμητις θεὸς ἔργοις ἐπὶ σεμνοῖς.
μετάκοινοι δὲ φίλᾳ ματρὶ πάρεισιν
πόθος ᾇ τ' οὐδὲν ἄπαρνον τελέθει θέλκτορι
πειθοῖ.
δέδοται δ' Ἁρμονίᾳ μοῖρ' Ἀφροδίτας
ψεδυρὰ τρίβοι τ' ἐρώτων.
φυγάδας δ' ἐπιπνοίας, κακά τ' ἄλγη,
πολέμους θ' αἱματόεντας προφοβοῦμαι.
τί ποτ' εὔπλοιαν ἔπραξαν ταχυπόμποισι διωγμοῖς;
ὅ τί τοι μόρσιμόν ἐστιν, τὸ γένοιτ' ἄν.
Διὸς οὐ παρβατός ἐστιν μεγάλα φρὴν ἀπέρατος·
μετὰ πολλῶν δὲ γάμων ἅδε τελευτὰ
προτέραν πέλοι γυναικῶν.

ΗΜΙΧΟΡΙΟΝ.

ὁ μέγας Ζεὺς ἀπαλέξαι
γάμον Αἰγυπτογενῆ μοι.

ΗΜΙΧΟΡΙΟΝ.

τὸ μὲν ἂν βέλτατον εἴη.
σὺ δὲ θέλγοις ἂν ἄθελκτον.

ΗΜΙΧΟΡΙΟΝ.

σὺ δέ γ' οὐκ οἶσθα τὸ μέλλον.

ΗΜΙΧΟΡΙΟΝ.

τί δὲ μέλλω φρένα δῖαν
καθορᾶν, ὄψιν ἄβυσσον;
μέτριον νῦν ἔπος εὔχου.

ΗΜΙΧΟΡΙΟΝ.

τίνα καιρόν με διδάσκεις;

ΗΜΙΧΟΡΙΟΝ.

τὰ θεῶν μηδὲν ἀγάζειν.

ΗΜΙΧΟΡΙΟΝ.

Ζεὺς ἄναξ ἀποστεροί-
η γάμον δυσάνορα
δάϊον, ὅσπερ Ἰὼ
πημονᾶς ἐλύσατ' εὖ
χειρὶ παιωνίᾳ κατασχεθὼν,
εὐμενεῖ βίᾳ κτίσας.

ΗΜΙΧΟΡΙΟΝ.

καὶ κράτος νέμοι γυναι-
ξίν· τὸ βέλτερον κακοῦ,
καὶ τὸ δίμοιρον αἰνῶ,
καὶ δίκα δίκας ἕπε-
σθαι, ξὺν εὐχαῖς ἐμαῖς λυτηρίοις
μηχαναῖς θεοῦ πάρα.

1018—1025. = 1026—1034.
1035—1043. = 1044—1052.
1053—1057. = 1058—1062.
1063—1068. = 1069—1074.

# ΑΙΣΧΥΛΟΥ ΑΓΑΜΕΜΝΩΝ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΦΥΛΑΞ.*
*ΧΟΡΟΣ.*
*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*
*ΤΑΛΘΥΒΙΟΣ ΚΗΡΥΞ.*
*ΑΓΑΜΕΜΝΩΝ.*
*ΚΑΣΑΝΔΡΑ.*
*ΑΙΓΙΣΘΟΣ.*

## ΥΠΟΘΕΣΙΣ.

Ἀγαμέμνων εἰς Ἴλιον ἀπιὼν, τῇ Κλυταιμνήστρᾳ, εἰ πορθήσοι τὸ Ἴλιον, ὑπέσχετο τῆς αὐτῆς ἡμέρας σημαίνειν διὰ πυρσοῦ. ὅθεν σκοπὸν ἐκάθισεν ἐπὶ μισθῷ Κλυταιμνήστρα, ἵνα τηροίη τὸν πυρσόν. καὶ ὁ μὲν ἰδὼν ἀπήγγειλεν· αὐτὴ δὲ τὸν τῶν πρεσβυτῶν ὄχλον μεταπέμπεται, περὶ τοῦ πυρσοῦ ἐροῦσα· ἐξ ὧν καὶ ὁ χορὸς συνίσταται· οἵτινες ἀκούσαντες παιανίζουσι. μετ' οὐ πολὺ δὲ καὶ Ταλθύβιος παραγίνεται, καὶ τὰ κατὰ τὸν πλοῦν διηγεῖται. Ἀγαμέμνων δ' ἐπὶ ἀπήνης ἔρχεται· εἵπετο δ' αὐτῷ ἑτέρα ἀπήνη, ἔνθα ἦν τὰ λάφυρα καὶ ἡ Κασάνδρα. αὐτὸς μὲν οὖν προεισέρχεται εἰς τὸν οἶκον σὺν τῇ Κλυταιμνήστρᾳ. Κασάνδρα δὲ προμαντεύεται, πρὶν εἰς τὰ βασίλεια εἰσελθεῖν, τὸν ἑαυτῆς καὶ τοῦ Ἀγαμέμνονος θάνατον καὶ τὴν ἐξ Ὀρέστου μητροκτονίαν, καὶ εἰσπηδᾷ ὡς θανουμένη, ῥίψασα τὰ στέμματα. τοῦτο δὲ τὸ μέρος τοῦ δράματος θαυμάζεται ὡς καὶ ἔκπληξιν καὶ οἶκτον ἱκανὸν ἐμποιεῖν. ἰδίως δὲ Αἰσχύλος τὸν Ἀγαμέμνονα ἐπὶ σκηνῆς ἀναιρεῖσθαι ποιεῖ· τὸν δὲ Κασάνδρας σιωπήσας θάνατον, νεκρὰν αὐτὴν ὑπέδειξε. πεποίηκέ τε Αἴγισθον καὶ Κλυταιμνήστραν ἑκάτερον δισχυριζόμενον περὶ τῆς ἀναιρέσεως ἑνὶ κεφαλαίῳ· τὴν μὲν τῇ ἀναιρέσει Ἰφιγενείας, τὸν δὲ ταῖς τοῦ πατρὸς Θυέστου ἐξ Ἀτρέως συμφοραῖς.

Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους ὀλυμπιάδι ὀγδοηκοστῇ ἔτει δευτέρῳ. πρῶτος Αἰσχύλος Ἀγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ σατυρικῷ. ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς.

Προλογίζει δὲ ὁ φύλαξ, θεράπων Ἀγαμέμνονος.

# ΑΓΑΜΕΜΝΩΝ.

### ΦΥΛΑΞ.

Θεοὺς μὲν αἰτῶ τῶνδ᾽ ἀπαλλαγὴν πόνων.
φρουρᾶς ἐτείας μῆχος, ἣν κοιμώμενος
στέγαις Ἀτρειδῶν ἄγκαθεν, κυνὸς δίκην,
ἄστρων κάτοιδα νυκτέρων ὁμήγυριν,
καὶ τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς
λαμπροὺς δυνάστας, ἐμπρέποντας αἰθέρι
ἀστέρας, ὅταν φθίνωσιν, ἀντολάς τε τῶν·
καὶ νῦν φυλάσσω λαμπάδος τὸ σύμβολον,
αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν,
ἁλώσιμόν τε βάξιν· ὧδε γὰρ κρατεῖν
γυναικὸς ἀνδρόβουλον ἐλπίζω κέαρ.
εὖτ᾽ ἂν δὲ νυκτίπλαγκτον ἔνδροσόν τ᾽ ἔχω
εὐνὴν ὀνείροις οὐκ ἐπισκοπουμένην
ἐμὴν, φόβος γὰρ ἀνθ᾽ ὕπνου παραστατεῖ,
τὸ μὴ βεβαίως βλέφαρα συμβαλεῖν ὕπνῳ·
ὅταν δ᾽ ἀείδειν ἢ μινύρεσθαι δοκῶ,
ὕπνου τόδ᾽ ἀντίμολπον ἐντέμνων ἄκος,
κλαίω τότ᾽ οἴκου τοῦδε συμφορὰν στένων,
οὐχ ὡς τὰ πρόσθ᾽ ἄριστα διαπονουμένου.
νῦν δ᾽ εὐτυχὴς γένοιτ᾽ ἀπαλλαγὴ πόνων
εὐαγγέλου φανέντος ὀρφναίου πυρός.
ὦ χαῖρε λαμπτὴρ νυκτὸς, ἡμερήσιον
φάος πιφαύσκων καὶ χορῶν κατάστασιν
πολλῶν ἐν Ἄργει, τῆσδε συμφορᾶς χάριν.
ἰοὺ ἰού.
Ἀγαμέμνονος γυναικὶ σημανῶ τορῶς,
εὐνῆς ἐπαντείλασαν ὡς τάχος δόμοις
ὀλολυγμὸν εὐφημοῦντα τῇδε λαμπάδι
ἐπορθιάζειν, εἴπερ Ἰλίου πόλις
ἑάλωκεν, ὡς ὁ φρυκτὸς ἀγγέλλων πρέπει·
αὐτός τ᾽ ἔγωγε φροίμιον χορεύσομαι.
τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι
τρὶς ἓξ βαλούσης τῆσδέ μοι φρυκτωρίας.
γένοιτο δ᾽ οὖν μολόντος εὐφιλῆ χέρα
ἄνακτος οἴκων τῇδε βαστάσαι χερί.
τὰ δ᾽ ἄλλα σιγῶ, βοῦς ἐπὶ γλώσσῃ μέγας
βέβηκεν· οἶκος δ᾽ αὐτὸς, εἰ φθογγὴν λάβοι,
σαφέσταθ᾽ ἂν λέξειεν· ὡς ἑκὼν ἐγὼ
μαθοῦσιν αὐδῶ, κοὐ μαθοῦσι λήθομαι.

### ΧΟΡΟΣ.

δέκατον μὲν ἔτος τόδ᾽ ἐπεὶ Πριάμου
μέγας ἀντίδικος,
Μενέλαος ἄναξ ἠδ᾽ Ἀγαμέμνων,
διθρόνου Διόθεν καὶ δισκήπτρου
τιμῆς, ὀχυρὸν ζεῦγος Ἀτρειδᾶν,
στόλον Ἀργείων χιλιοναύταν
τῆσδ᾽ ἀπὸ χώρας
ἦραν, στρατιῶτιν ἀρωγάν,
μέγαν ἐκ θυμοῦ κλάζοντες Ἄρη,
τρόπον αἰγυπιῶν,
οἵτ᾽ ἐκπατίοις ἄλγεσι παίδων
ὕπατοι λεχέων στροφοδινοῦνται,
πτερύγων ἐρετμοῖσιν ἐρεσσόμενοι,
δεμνιοτήρη
πόνον ὀρταλίχων ὀλέσαντες·
ὕπατος δ᾽ ἀΐων ἤ τις Ἀπόλλων,
ἢ Πὰν, ἢ Ζεὺς, οἰωνόθροον
γόον ὀξυβόαν τῶνδε μετοίκων,
ὑστερόποινον
πέμπει παραβᾶσιν Ἐρινύν.
οὕτω δ᾽ Ἀτρέως παῖδας ὁ κρείσσων
ἐπ᾽ Ἀλεξάνδρῳ πέμπει ξένιος
Ζεὺς, πολυάνορος ἀμφὶ γυναικὸς,
πολλὰ παλαίσματα καὶ γυιοβαρῆ
γόνατος κονίαισιν ἐρειδομένου
διακναιομένης τ᾽ ἐν προτελείοις
κάμακος θήσων Δαναοῖσι
Τρωσί θ᾽ ὁμοίως. ἔστι δ᾽ ὅπῃ νῦν
ἔστι· τελεῖται δ᾽ ἐς τὸ πεπρωμένον·
οὔθ᾽ ὑποκλαίων οὔθ᾽ ὑπολείβων
οὔτε δακρύων ἀπύρων ἱερῶν
ὀργὰς ἀτενεῖς παραθέλξει.
ἡμεῖς δ᾽ ἀτίτᾳ σαρκὶ παλαιᾷ
τῆς τότ᾽ ἀρωγῆς ὑπολειφθέντες
μίμνομεν ἰσχὺν
ἰσόπαιδα νέμοντες ἐπὶ σκήπτροις.
ὅ τε γὰρ νεαρὸς μυελὸς στέρνων
ἐντὸς ἀνάσσων
ἰσόπρεσβυς, Ἄρης δ᾽ οὐκ ἔνι χώρᾳ,
τό θ᾽ ὑπέργηρων φυλλάδος ἤδη
κατακαρφομένης τρίποδας μὲν ὁδοὺς
στείχει, παιδὸς δ᾽ οὐδὲν ἀρείων,
ὄναρ ἡμερόφαντον ἀλαίνει.
σὺ δὲ, Τυνδάρεω
θύγατερ, βασίλεια Κλυταιμνήστρα,
τί χρέος; τί νέον; τί δ᾽ ἐπαισθομένη,
τίνος ἀγγελίας
πειθοῖ περίπεμπτα θυοσκινεῖς;
πάντων δὲ θεῶν τῶν ἀστυνόμων,
ὑπάτων, χθονίων,
τῶν τ᾽ οὐρανίων τῶν τ᾽ ἀγοραίων,
βωμοὶ δώροισι φλέγονται·
ἄλλη δ᾽ ἄλλοθεν οὐρανομήκης
λαμπὰς ἀνίσχει,
φαρμασσομένη χρίσματος ἁγνοῦ
μαλακαῖς ἀδόλοισι παρηγορίαις,
πελάνῳ μυχόθεν βασιλείῳ.
τούτων λέξασ᾽ ὅ τι καὶ δυνατὸν
καὶ θέμις αἰνεῖν,
παίων τε γενοῦ τῆσδε μερίμνης,
ἣ νῦν τοτὲ μὲν κακόφρων τελέθει,
τοτὲ δ᾽ ἐκ θυσιῶν ἀγανὰ σαίνουσ᾽

ἐλπὶς ἀμύνει φροντίδ' ἄπληστον
τῆς θυμοβόρου φρένα λύπης.
κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν
ἐκτελέων. ἔτι γὰρ θεόθεν καταπνείει
πειθὼ μολπάν,
ἀλκὰν σύμφυτος αἰών,
ὅπως Ἀχαιῶν δίθρονον κράτος, Ἑλλάδος ἥβας
ξύμφρονα ταγάν,
πέμπει ξὺν δορὶ καὶ χερὶ πράκτορι
θούριος ὄρνις Τευκρίδ' ἐπ' αἶαν,
οἰωνῶν βασιλεὺς βασιλεῦσι νεῶν, ὁ κελαινὸς, ὅ τ' ἐξόπιν ἀργίας,
φανέντες ἴκταρ μελάθρων, χερὸς ἐκ δοριπάλτου,
παμπρέπτοις ἐν ἕδραισι,
βοσκόμενοι λαγίναν ἐρικύμονα φέρματι γένναν,
βλαβέντα λοισθίων δρόμων.
αἴλινον αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω.
κεδνὸς δὲ στρατόμαντις ἰδὼν δύο λήμασι δισσοὺς
Ἀτρείδας μαχίμους, ἐδάη λαγοδαίτας
πομπούς τ' ἀρχούς·
οὕτω δ' εἶπε τεράζων·
χρόνῳ μὲν ἀγρεῖ Πριάμου πόλιν ἅδε κέλευθος,
πάντα δὲ πύργων
κτήνη πρόσθε τὰ δημιοπληθῆ
μοῖρ' ἀλαπάξει πρὸς τὸ βίαιον.
οἷον μή τις ἄγα θεόθεν κνεφάσῃ προτυπὲν στόμιον μέγα Τροίας
στρατωθέν. οἴκῳ γὰρ ἐπίφθονος Ἄρτεμις ἁγνὰ,
πτανοῖσιν κυσὶ πατρὸς,
αὐτότοκον πρὸ λόχου μογερὰν πτάκα θυομένοισι·
στυγεῖ δὲ δεῖπνον αἰετῶν.
αἴλινον αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω.
τόσσον περ εὔφρων ἁ καλὰ
δρόσοισιν ἀέπτοις μαλερῶν λεόντων,
πάντων τ' ἀγρονόμων φιλομάστοις
θηρῶν ὀβρικάλοισι, τερπνὰ
τούτων αἰτεῖ ξύμβολα κρᾶναι,
δεξιὰ μὲν, κατάμομφα δὲ φάσματα στρουθῶν.
ἰήιον δὲ καλέω Παιᾶνα,
μή τινας ἀντιπνόους Δαναοῖς χρονίας ἐχενῇδας
ἀπλοίας τεύξῃ,
σπευδομένα θυσίαν ἑτέραν, ἄνομόν τιν', ἄδαιτον,
νεικέων τέκτονα σύμφυτον,
οὐ δεισήνορα. μίμνει γὰρ φοβερὰ παλίνορσος
οἰκονόμος δολία, μνάμων μῆνις τεκνόποινος.
τοιάδε Κάλχας ξὺν μεγάλοις ἀγαθοῖς ἀπέκλαγξε
μόρσιμ' ἀπ' ὀρνίθων ὁδίων οἴκοις βασιλείοις·
τοῖς δ' ὁμόφωνον
αἴλινον αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω.
Ζεὺς, ὅστις ποτ' ἐστὶν, εἰ τόδ' αὐτῷ φίλον κεκλημένῳ,
τοῦτό νιν προσεννέπω.
οὐκ ἔχω προσεικάσαι,
πάντ' ἐπισταθμώμενος,
πλὴν Διὸς, εἰ τὸ μάταν ἀπὸ φροντίδος ἄχθος
χρὴ βαλεῖν ἐτητύμως.
οὐδ' ὅστις πάροιθεν ἦν μέγας,
παμμάχῳ θράσει βρύων,

104—121. = 122—139.
160—167. = 168—175.

οὐδὲν ἂν λέξαι πρὶν ὤν,
ὃς δ' ἔπειτ' ἔφυ, τριακτῆρος οἴχεται τυχών.
Ζῆνα δέ τις προφρόνως ἐπινίκια κλάζων,
τεύξεται φρενῶν τὸ πᾶν·
τὸν φρονεῖν βροτοὺς ὁδώσαντα, τὸν πάθει μάθος
θέντα κυρίως ἔχειν.
στάζει δ' ἔν θ' ὕπνῳ πρὸ καρδίας
μνησιπήμων πόνος· καὶ παρ' ἄκοντας ἦλθε σωφρονεῖν.
δαιμόνων δέ που χάρις,
βιαίως σέλμα σεμνὸν ἡμένων.
καὶ τόθ' ἡγεμὼν ὁ πρέσβυς νεῶν Ἀχαϊκῶν,
μάντιν οὔτινα ψέγων,
ἐμπαίοις τύχαισι συμπνέων,
εὖτ' ἀπλοίᾳ κεναγγεῖ βαρύνοντ' Ἀχαϊκὸς λεὼς,
Χαλκίδος πέραν ἔχων
παλιρρόθοις ἐν Αὐλίδος τόποις,
πνοαὶ δ' ἀπὸ Στρυμόνος μολοῦσαι
κακόσχολοι, νήστιδες, δύσορμοι
βροτῶν ἄλαι, νεῶν τε καὶ πεισμάτων ἀφειδεῖς.
παλιμμήκη χρόνον τιθεῖσαι
τρίβῳ, κατέξαινον ἄνθος Ἀργείων.
ἐπεὶ δὲ καὶ πικροῦ
χείματος ἄλλο μῆχαρ
βριθύτερον πρόμοισιν
μάντις ἔκλαγξεν, προφέρων Ἄρτεμιν, ὥστε χθόνα βάκτροις ἐπικρούσαντας Ἀτρείδας δάκρυ μὴ κατασχεῖν.
ἄναξ δ' ὁ πρέσβυς τόδ' εἶπε φωνῶν·
βαρεῖα μὲν κὴρ τὸ μὴ πιθέσθαι,
βαρεῖα δ', εἰ τέκνον δαΐξω, δόμων ἄγαλμα,
μιαίνων παρθενοσφάγοισι
ῥείθροις πατρῴους χέρας βωμοῦ πέλας.
τί τῶνδ' ἄνευ κακῶν;
πῶς λιπόναυς γένωμαι,
ξυμμαχίας ἁμαρτών;
παυσανέμου γὰρ θυσίας παρθενίου δ' αἵματος ὀργᾷ περιόργως ἐπιθυμεῖν θέμις. εὖ γὰρ εἴη.
ἐπεὶ δ' ἀνάγκας ἔδυ λέπαδνον
φρενὸς πνέων δυσσεβῆ τροπαίαν
ἄναγνον, ἀνίερον, τόθεν
τὸ παντότολμον φρονεῖν μετέγνω.
βροτοὺς θρασύνει γὰρ αἰσχρόμητις
τάλαινα παρακοπὰ
πρωτοπήμων. ἔτλα δ' οὖν
θυτὴρ γενέσθαι θυγατρὸς γυναικοποίνων πολέμων ἀρωγὰν
καὶ προτέλεια ναῶν·
λιτὰς δὲ καὶ κληδόνας πατρῴους
παρ' οὐδὲν αἰῶνα παρθένειόν τ'
ἔθεντο φιλόμαχοι βραβῆς,
φράσεν δ' ἀόζοις πατὴρ μετ' εὐχὰν,

176—183. = 184—191.
192—204. = 205—217.
218—227. = 228—237.

δίκαν χιμαίρας ὕπερθε βωμοῦ
πέπλοισι περιπετῆ,
παντὶ θυμῷ προνωπῆ
λαβεῖν ἀέρδην, στόματός τε καλλιπρῴρου φυλακὰν κατασχεῖν,
φθόγγον ἀραῖον οἴκοις,
βίᾳ χαλινῶν τ᾽ ἀναύδῳ μένει.
κρόκου βαφὰς δ᾽ ἐς πέδον χέουσα
ἔβαλλ᾽ ἕκαστον θυτήρων ἀπ᾽ ὄμματος βέλει φιλοίκτῳ,
πρέπουσά θ᾽ ὡς ἐν γραφαῖς, προσεννέπειν
θέλουσ᾽, ἐπεὶ πολλάκις
πατρὸς κατ᾽ ἀνδρῶνας εὐτραπέζους
ἔμελψεν. ἁγνὰ δ᾽ ἀταύρωτος αὐδᾷ πατρὸς
φίλου τριτόσπονδον εὔποτμον
αἰῶνα φίλως ἐτίμα.
τὰ δ᾽ ἔνθεν οὔτ᾽ εἶδον οὔτ᾽ ἐννέπω·
τέχναι δὲ Κάλχαντος οὐκ ἄκραντοι.
δίκα δὲ τοῖς μὲν παθοῦσιν μαθεῖν ἐπιρρέπει τὸ μέλλον.
τὸ δὲ προκλύειν, ἐπεὶ γένοιτ᾽ ἂν ἤλυσις, προχαιρέτω·
ἴσον δὲ τῷ προστένειν.
τορὸν γὰρ ἥξει σύνορθρον αὐγαῖς.
πέλοιτο δ᾽ οὖν τἀπὶ τούτοισιν εὔπραξις, ὡς
θέλει τόδ᾽ ἄγχιστον ἀπίας
γαίας μονόφρουρον ἕρκος.
ἥκω σεβίζων σὸν, Κλυταιμνήστρα, κράτος·
δίκη γάρ ἐστι φωτὸς ἀρχηγοῦ τίειν
γυναῖκ᾽ ἐρημωθέντος ἄρσενος θρόνου.
σὺ δ᾽ εἴτε κεδνὸν εἴτε μὴ πεπυσμένη
εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς,
κλύοιμ᾽ ἂν εὔφρων· οὐδὲ σιγώσῃ φθόνος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

εὐάγγελος μὲν, ὥσπερ ἡ παροιμία,
ἕως γένοιτο μητρὸς εὐφρόνης πάρα.
πεύσει δὲ χάρμα μεῖζον ἐλπίδος κλύειν.
Πριάμου γὰρ ᾑρήκασιν Ἀργεῖοι πόλιν.

ΧΟΡΟΣ.

πῶς φῄς; πέφευγε τοὔπος ἐξ ἀπιστίας.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Τροίαν Ἀχαιῶν οὖσαν· ἦ τορῶς λέγω;

ΧΟΡΟΣ.

χαρά μ᾽ ὑφέρπει δάκρυον ἐκκαλουμένη.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

εὖ γὰρ φρονοῦντος ὄμμα σοῦ κατηγορεῖ.

ΧΟΡΟΣ.

τί γὰρ τὸ πιστόν ἐστι τῶνδέ σοι τέκμαρ;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἔστιν, τί δ᾽ οὐχί; μὴ δολώσαντος θεοῦ.

ΧΟΡΟΣ.

πότερα δ᾽ ὀνείρων φάσματ᾽ εὐπειθῆ σέβεις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐ δόξαν ἂν λάβοιμι βριζούσης φρενός.

ΧΟΡΟΣ.

ἀλλ᾽ ἦ σ᾽ ἐπίανέν τις ἄπτερος φάτις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

παιδὸς νέας ὣς κάρτ᾽ ἐμωμήσω φρένας.

238—246. == 247—257.

ΧΟΡΟΣ.

ποίου χρόνου δὲ καὶ πεπόρθηται πόλις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τῆς νῦν τεκούσης φῶς τόδ᾽ εὐφρόνης λέγω.

ΧΟΡΟΣ.

καὶ τίς τόδ᾽ ἐξίκοιτ᾽ ἂν ἀγγέλων τάχος;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Ἥφαιστος Ἴδης λαμπρὸν ἐκπέμπων σέλας.
φρυκτὸς δὲ φρυκτὸν δεῦρ᾽ ἀπ᾽ ἀγγάρου πυρὸς
ἔπεμπεν. Ἴδη μὲν πρὸς Ἑρμαῖον λέπας
Λήμνου· μέγαν δὲ πανὸν ἐκ νήσου τρίτον
Ἄθωον αἶπος Ζηνὸς ἐξεδέξατο,
ὑπερτελής τε, πόντον ὥστε νωτίσαι,
ἰσχὺς πορευτοῦ λαμπάδος πρὸς ἡδονὴν
πεύκη, τὸ χρυσοφεγγὲς ὥς τις ἥλιος
σέλας παραγγείλασα Μακίστου σκοπαῖς·
ὁ δ᾽ οὔτι μέλλων οὐδ᾽ ἀφρασμόνως ὕπνῳ
νικώμενος παρῆκεν ἀγγέλου μέρος·
ἑκὰς δὲ φρυκτοῦ φῶς ἐπ᾽ Εὐρίπου ῥοὰς
Μεσσαπίου φύλαξι σημαίνει μολόν.
οἱ δ᾽ ἀντέλαμψαν καὶ παρήγγειλαν πρόσω
γραίας ἐρείκης θωμὸν ἅψαντες πυρί.
σθένουσα λαμπὰς δ᾽ οὐδέπω μαυρουμένη,
ὑπερθοροῦσα πεδίον Ἀσωποῦ, δίκην
φαιδρᾶς σελήνης, πρὸς Κιθαιρῶνος λέπας
ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρός.
φάος δὲ τηλέπομπον οὐκ ἠναίνετο
φρουρὰ, πλέον καίουσα τῶν εἰρημένων·
λίμνην δ᾽ ὑπὲρ Γοργῶπιν ἔσκηψεν φάος·
ὄρος τ᾽ ἐπ᾽ Αἰγίπλαγκτον ἐξικνούμενον
ὤτρυνε θεσμὸν μὴ χατίζεσθαι πυρός.
πέμπουσι δ᾽ ἀνδαίοντες ἀφθόνῳ μένει
φλογὸς μέγαν πώγωνα, καὶ Σαρωνικοῦ
πορθμοῦ κάτοπτον πρῶν᾽ ὑπερβάλλειν πρόσω
φλέγουσαν· εἶτ᾽ ἔσκηψεν, ἔς τ᾽ ἀφίκετο
Ἀραχναῖον αἶπος, ἀστυγείτονας σκοπάς·
κἄπειτ᾽ Ἀτρειδῶν ἐς τόδε σκήπτει στέγος
φάος τόδ᾽ οὐκ ἄπαππον Ἰδαίου πυρός.
τοιοίδε τοί μοι λαμπαδηφόρων νόμοι,
ἄλλος παρ᾽ ἄλλου διαδοχαῖς πληρούμενοι·
νικᾷ δ᾽ ὁ πρῶτος καὶ τελευταῖος δραμών.
τέκμαρ τοιοῦτο ξύμβολόν τε σοὶ λέγω,
ἀνδρὸς παραγγείλαντος ἐκ Τροίας ἐμοί.

ΧΟΡΟΣ.

θεοῖς μὲν αὖθις, ὦ γύναι, προσεύξομαι.
λόγους δ᾽ ἀκοῦσαι τούσδε κἀποθαυμάσαι
διηνεκῶς θέλοιμ᾽ ἂν, ὡς λέγοις πάλιν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Τροίαν Ἀχαιοὶ τῇδ᾽ ἔχουσ᾽ ἐν ἡμέρᾳ.
οἶμαι βοὴν ἄμικτον ἐν πόλει πρέπειν.
ὄξος τ᾽ ἄλειφά τ᾽ ἐγχέας ταὐτῷ κύτει,
διχοστατοῦντ᾽ ἂν, οὐ φίλω, προσεννέποις.
καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα
φθογγὰς ἀκούειν ἔστι συμφορᾶς διπλῆς.
οἱ μὲν γὰρ ἀμφὶ σώμασιν πεπτωκότες
ἀνδρῶν κασιγνήτων τε καὶ φυταλμίων,
παῖδες γερόντων, οὐκέτ᾽ ἐξ ἐλευθέρου
δέρης ἀποιμώζουσι φιλτάτων μόρον.
τοὺς δ᾽ αὖτε νυκτίπλαγκτος ἐκ μάχης πόνος
νήστις πρὸς ἀρίστοισιν ὧν ἔχει πόλις

τάσσει, πρὸς οὐδὲν ἐν μέρει τεκμήριον·
ἀλλ' ὡς ἕκαστος ἔσπασεν τύχης πάλον,
ἐν αἰχμαλώτοις Τρωικοῖς οἰκήμασι
ναίουσιν ἤδη, τῶν ὑπαιθρίων πάγων
δρόσων τ' ἀπαλλαγέντες, ὡς δυσδαίμονες
ἀφύλακτον εὑδήσουσι πᾶσαν εὐφρόνην.
εἰ δ' εὖ σέβουσι τοὺς πολισσούχους θεοὺς
τοὺς τῆς ἁλούσης γῆς θεῶν θ' ἱδρύματα,
οὐκ ἂν ἑλόντες αὖθις ἀνθαλοῖεν ἄν.
ἔρως δέ μή τις πρότερον ἐμπίπτῃ στρατῷ
ποθεῖν ἃ μὴ χρὴ, κέρδεσιν νικωμένους.
δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας
κάμψαι διαύλου θάτερον κῶλον πάλιν·
θεοῖς δ' ἂν, ἀμπλάκητος εἰ μόλοι στρατὸς,
ἐγρηγορὸς τὸ πῆμα τῶν ὀλωλότων
γένοιτ' ἂν, εἰ πρόσπαια μὴ τύχοι κακά.
τοιαῦτά τοι γυναικὸς ἐξ ἐμοῦ κλύοις·
τὸ δ' εὖ κρατοίη, μὴ διχορρόπως ἰδεῖν.
πολλῶν γὰρ ἐσθλῶν τὴν ὄνησιν εἱλόμην.

ΧΟΡΟΣ.

γύναι, κατ' ἄνδρα σώφρον' εὐφρόνως λέγεις.
ἐγὼ δ' ἀκούσας πιστά σου τεκμήρια
θεοὺς προσειπεῖν εὖ παρασκευάζομαι.
χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων.
ὦ Ζεῦ βασιλεῦ καὶ νὺξ φιλία
μεγάλων κόσμων κτεάτειρα,
ἥτ' ἐπὶ Τροίας πύργοις ἔβαλες
στεγανὸν δίκτυον, ὡς μήτε μέγαν
μήτ' οὖν νεαρῶν τιν' ὑπερτελέσαι
μέγα δουλείας
γάγγαμον, ἄτης παναλώτου.
Δία τοι ξένιον μέγαν αἰδοῦμαι
τὸν τάδε πράξαντ' ἐπ' Ἀλεξάνδρῳ
τείνοντα πάλαι τόξον, ὅπως ἂν
μήτε πρὸ καιροῦ μήθ' ὑπὲρ ἄστρων
βέλος ἠλίθιον σκήψειεν.
Διὸς πλαγὰν ἔχουσιν εἰπεῖν,
πάρεστι τοῦτό γ' ἐξιχνεῦσαι.
ἔπραξεν ὡς ἔκρανεν. οὐκ ἔφα τις
θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν
ὅσοις ἀθίκτων χάρις
πατοῖθ'· ὁ δ' οὐκ εὐσεβής.
πέφανται δ' ἐγγόνους
ἀτολμήτων Ἄρη
πνεόντων μεῖζον ἢ δικαίως,
φλεόντων δωμάτων ὑπέρφευ
ὑπὲρ τὸ βέλτιστον. ἔστω δ' ἀπή-
μαντον, ὥστε κἀπαρκεῖν
εὖ πραπίδων λαχόντα.
οὐ γάρ ἐστιν ἔπαλξις
πλούτου πρὸς κόρον ἀνδρὶ
λακτίσαντι μέγαν δίκας βωμὸν εἰς ἀφάνειαν.
βιᾶται δ' ἁ τάλαινα πειθὼ,
προβουλόπαις ἄφερτος ἄτας.
ἄκος δὲ πᾶμμάταιον. οὐκ ἐκρύφθη,
πρέπει δὲ, φῶς αἰνολαμπὲς, σίνος·
κακοῦ δὲ χαλκοῦ τρόπον
τρίβῳ τε καὶ προσβολαῖς
μελαμπαγὴς πέλει
367—384. == 385—402.

δικαιωθεὶς, ἐπεὶ
διώκει παῖς ποτανὸν ὄρνιν,
πόλει πρόστριμμ' ἄφερτον ἐνθείς.
λιτᾶν δ' ἀκούει μὲν οὔτις θεῶν·
τὸν δ' ἐπίστροφον τῶνδε
φῶτ' ἄδικον καθαιρεῖ.
οἷος καὶ Πάρις ἐλθὼν
ἐς δόμον τὸν Ἀτρειδᾶν
ᾔσχυνε ξενίαν τράπεζαν κλοπαῖσι γυναικός.
λιποῦσα δ' ἀστοῖσιν ἀσπίστορας
κλόνους λογχίμους τε καὶ ναυβάτας ὁπλισμοὺς,
ἄγουσά τ' ἀντίφερνον Ἰλίῳ φθορὰν,
βέβακε ῥίμφα διὰ πυλᾶν,
ἄτλητα τλᾶσα· πολλὰ δ' ἔστενον
τόδ' ἐννέποντες δόμων προφῆται·
ἰὼ ἰὼ δῶμα δῶμα καὶ πρόμοι,
ἰὼ λέχος καὶ στίβοι φιλάνορες.
πάρεστι σιγᾶσ', ἄτιμος, ἀλοίδορος,
ἄδιστος ἀφεμένων ἰδεῖν.
πόθῳ δ' ὑπερποντίας
φάσμα δόξει δόμων ἀνάσσειν.
εὐμόρφων δὲ κολοσσῶν
ἔχθεται χάρις ἀνδρί.
ὀμμάτων δ' ἐν ἀχηνίαις ἔρρει πᾶσ' Ἀφροδίτα.
ὀνειρόφαντοι δὲ πενθήμονες
πάρεισιν δόκαι φέρουσαι χάριν ματαίαν.
μάταν γὰρ εὖτ' ἂν ἐσθλά τις δοκῶν ὁρᾶν,
παραλλάξασα διὰ χερῶν,
βέβακεν ὄψις οὐ μεθύστερον
πτεροῖς ὀπαδοῖς ὕπνου κελεύθοις.
τὰ μὲν κατ' οἴκους ἐφ' ἑστίας ἄχη
τάδ' ἐστὶ καὶ τῶνδ' ὑπερβατώτερα.
τὸ πᾶν δ' ἀφ' Ἑλλάδος αἴας συνορμένοις
πένθεια τλησικάρδιος
δόμων ἑκάστου πρέπει.
πολλὰ γοῦν θιγγάνει πρὸς ἧπαρ·
οὓς μὲν γάρ τις ἔπεμψεν
οἶδεν· ἀντὶ δὲ φωτῶν
τεύχη καὶ σποδὸς εἰς ἑκάστου δόμους ἀφικνεῖται.
ὁ χρυσαμοιβὸς δ' Ἄρης σωμάτων
καὶ ταλαντοῦχος ἐν μάχῃ δορὸς
πυρωθὲν ἐξ Ἰλίου
φίλοισι πέμπει βαρὺ
ψῆγμα δυσδάκρυτον ἀν-
τήνορος σποδοῦ γεμί-
ζων λέβητας εὐθέτου.
στένουσι δ' εὖ λέγοντες ἄνδρα τὸν μὲν ὡς
μάχης ἴδρις· τὸν δ' ἐν φοναῖς καλῶς πεσόντ'
ἀλλοτρίας διαὶ γυναικός. τάδε σῖγά τις βαΰ-
ζει. φθονερὸν δ' ὑπ' ἄλγος ἕρπει προδίκοις Ἀτρείδαις.
οἱ δ' αὐτοῦ περὶ τεῖχος
θήκας Ἰλιάδος γᾶς
εὔμορφοι κατέχουσιν· ἐχθρὰ δ' ἔχοντας ἔκρυψεν.
βαρεῖα δ' ἀστῶν φάτις ξὺν κότῳ·
δημοκράντου δ' ἀρᾶς τίνει χρέος.
μένει δ' ἀκοῦσαί τί μου
μέριμνα νυκτηρεφές.
403—419. == 420—436.
437—455. == 456—474.

τῶν πολυκτόνων γὰρ οὐκ
ἄσκοποι θεοί. κελαι-
ναὶ δ' Ἐρινύες χρόνῳ
τυχηρὸν ὄντ' ἄνευ δίκας, παλιντυχεῖ
τριβᾷ βίου τιθεῖσ' ἀμαυρὸν, ἐν δ' ἀΐ-
στοις τελέθοντος οὔτις ἀλκά· τὸ δ' ὑπερκότως
κλύειν
εὖ βαρύ· βάλλεται γὰρ ὄσσοις διόθεν κεραυνός.
κρίνω δ' ἄφθονον ὄλβον.
μήτ' εἴην πολιπόρθης
μήτ' οὖν αὐτὸς ἁλοὺς ὑπ' ἄλλων βίον κατίδοιμι.
πυρὸς δ' ὑπ' εὐαγγέλου
πόλιν διήκει θοὰ
βάξις· εἰ δ' ἐτητύμως,
τίς οἶδεν; ἤ τοι θεῖόν ἐστι μὴ ψύθος.
τίς ὧδε παιδνὸς ἢ φρενῶν κεκομμένος,
φλογὸς παραγγέλμασιν
νέοις πυρωθέντα καρδίαν, ἔπειτ'
ἀλλαγᾷ λόγου καμεῖν;
γυναικὸς αἰχμᾷ πρέπει,
πρὸ τοῦ φανέντος χάριν ξυναινέσαι.
πιθανὸς ἄγαν ὁ θῆλυς ὅρος ἐπινέμεται
ταχύπορος. ἀλλὰ ταχύμορον
γυναικοκήρυκτον ὄλλυται κλέος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τάχ' εἰσόμεσθα λαμπάδων φαεσφόρων
φρυκτωριῶν τε καὶ πυρὸς παραλλαγὰς,
εἴτ' οὖν ἀληθεῖς εἴτ' ὀνειράτων δίκην
τερπνὸν τόδ' ἐλθὸν φῶς ἐφήλωσεν φρένας.
κήρυκ' ἀπ' ἀκτῆς τόνδ' ὁρῶ κατάσκιον
κλάδοις ἐλαίας· μαρτυρεῖ δέ μοι κάσις
πηλοῦ ξύνουρος διψία κόνις τάδε,
ὡς οὔτ' ἄναυδος οὔτε σοι δαίων φλόγα
ὕλης ὀρείας σημανεῖ καπνῷ πυρός.
ἀλλ' ἢ τὸ χαίρειν μᾶλλον ἐκβάξει λέγων· —
τὸν ἀντίον δὲ τοῖσδ' ἀποστέργω λόγον·
εὖ γὰρ πρὸς εὖ φανεῖσι προσθήκη πέλοι.

ΧΟΡΟΣ.

ὅστις τάδ' ἄλλως τῇδ' ἐπεύχεται πόλει,
αὐτὸς φρενῶν καρποῖτο τὴν ἁμαρτίαν.

ΚΗΡΥΞ.

ἰὼ πατρῷον οὖδας Ἀργείας χθονὸς,
δεκάτῳ σε φέγγει τῷδ' ἀφικόμην ἔτους,
πολλῶν ῥαγεισῶν ἐλπίδων μιᾶς τυχών.
οὐ γάρ ποτ' ηὔχουν τῇδ' ἐν Ἀργείᾳ χθονὶ
θανὼν μεθέξειν φιλτάτου τάφου μέρος.
νῦν χαῖρε μὲν χθὼν, χαῖρε δ' ἡλίου φάος,
ὕπατός τε χώρας Ζεὺς, ὁ Πύθιός τ' ἄναξ,
τόξοις ἰάπτων μηκέτ' εἰς ἡμᾶς βέλη·
ἅλις παρὰ Σκάμανδρον ἦλθες ἀνάρσιος·
νῦν δ' αὖτε σωτὴρ ἴσθι κἀπαγώνιος,
ἄναξ Ἄπολλον. τούς τ' ἀγωνίους θεοὺς
πάντας προσαυδῶ, τόν τ' ἐμὸν τιμάορον
Ἑρμῆν, φίλον κήρυκα, κηρύκων σέβας,
ἥρως τε τοὺς πέμψαντας, εὐμενεῖς πάλιν
στρατὸν δέχεσθαι τὸν λελειμμένον δορός.
ἰὼ μέλαθρα βασιλέων, φίλαι στέγαι,
σεμνοί τε θᾶκοι, δαίμονές τ' ἀντήλιοι,
εἴ που πάλαι, φαιδροῖσι τοισίδ' ὄμμασι
δέξασθε κόσμῳ βασιλέα πολλῷ χρόνῳ.
ἥκει γὰρ ὑμῖν φῶς ἐν εὐφρόνῃ φέρων
καὶ τοῖσδ' ἅπασι κοινὸν Ἀγαμέμνων ἄναξ.
ἀλλ' εὖ νιν ἀσπάσασθε, καὶ γὰρ οὖν πρέπει,
Τροίαν κατασκάψαντα τοῦ δικηφόρου
Διὸς μακέλλῃ, τῇ κατείργασται πέδον.
βωμοὶ δ' ἄϊστοι καὶ θεῶν ἱδρύματα,
καὶ σπέρμα πάσης ἐξαπόλλυται χθονός.
τοιόνδε Τροίᾳ περιβαλὼν ζευκτήριον
ἄναξ Ἀτρείδης πρέσβυς εὐδαίμων ἀνὴρ
ἥκει, τίεσθαι δ' ἀξιώτατος βροτῶν
τῶν νῦν· Πάρις γὰρ οὔτε συντελὴς πόλις
ἐξεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον.
ὀφλὼν γὰρ ἁρπαγῆς τε καὶ κλοπῆς δίκην
τοῦ ῥυσίου θ' ἥμαρτε καὶ πανώλεθρον
αὐτόχθονον πατρῷον ἔθρισεν δόμον.
διπλᾶ δ' ἔτισαν Πριαμίδαι θἀμάρτια.

ΧΟΡΟΣ.

κῆρυξ Ἀχαιῶν χαῖρε τῶν ἀπὸ στρατοῦ.

ΚΗΡΥΞ.

χαίρω· τεθνᾶναι δ' οὐκ ἔτ' ἀντερῶ θεοῖς.

ΧΟΡΟΣ.

ἔρως πατρῴας τῆσδε γῆς σ' ἐγύμνασεν;

ΚΗΡΥΞ.

ὥστ' ἐνδακρύειν γ' ὄμμασιν χαρᾶς ὕπο.

ΧΟΡΟΣ.

τερπνῆς ἄρ' ἦτε τῆσδ' ἐπήβολοι νόσου;

ΚΗΡΥΞ.

πῶς δὴ διδαχθεὶς τοῦδε δεσπόσω λόγου;

ΧΟΡΟΣ.

τῶν ἀντερώντων ἱμέρῳ πεπληγμένος.

ΚΗΡΥΞ.

ποθεῖν ποθοῦντα τήνδε γῆν στρατὸν λέγεις.

ΧΟΡΟΣ.

ὡς πόλλ' ἀμαυρᾶς ἐκ φρενός μ' ἀναστένειν.

ΚΗΡΥΞ.

πόθεν τὸ δύσφρον τοῦτ' ἐπῆν στύγος στρατῷ

ΧΟΡΟΣ.

πάλαι τὸ σιγᾶν φάρμακον βλάβης ἔχω.

ΚΗΡΥΞ.

καὶ πῶς ἀπόντων κοιράνων ἔτρεις τινάς;

ΧΟΡΟΣ.

ὡς νῦν τὸ σὸν δὴ, καὶ θανεῖν πολλὴ χάρις.

ΚΗΡΥΞ.

εὖ γὰρ πέπρακται. ταῦτα δ' ἐν πολλῷ χρόνῳ
τὰ μέν τις ἂν λέξειεν εὐπετῶς ἔχειν,
τὰ δ' αὖτε κἀπίμομφα. τίς δὲ πλὴν θεῶν
ἅπαντ' ἀπήμων τὸν δι' αἰῶνος χρόνον;
μόχθους γὰρ εἰ λέγοιμι καὶ δυσαυλίας,
σπαρνὰς παρήξεις καὶ κακοστρώτους, τί δ'
στένοντες, οὐ λαχόντες ἤματος μέρος;
τὰ δ' αὖτε χέρσῳ καὶ προσῆν, πλέον στύγος·
εὐναὶ γὰρ ἦσαν δηίων πρὸς τείχεσιν·
ἐξ οὐρανοῦ γὰρ κἀπὸ γῆς λειμώνιαι
δρόσοι κατεψάκαζον, ἔμπεδον σίνος
ἐσθημάτων τιθέντες ἔνθηρον τρίχα.
χειμῶνα δ' εἰ λέγοι τις οἰωνοκτόνον,
οἷον παρεῖχ' ἄφερτον Ἰδαία χιών,
ἢ θάλπος, εὖτε πόντος ἐν μεσημβριναῖς
κοίταις ἀκύμων νηνέμοις εὕδοι πεσών·
τί ταῦτα πενθεῖν δεῖ; παροίχεται πόνος·

παροίχεται δὲ, τοῖσι μὲν τεθνηκόσιν
τὸ μήποτ' αὖθις μηδ' ἀναστῆναι μέλειν.
τί τοὺς ἀναλωθέντας ἐν ψήφῳ λέγειν,
τὸν ζῶντα δ' ἀλγεῖν χρὴ τύχης παλιγκότου;
καὶ πολλὰ χαίρειν ξυμφοραῖς καταξιῶ.
ἡμῖν δὲ τοῖς λοιποῖσιν Ἀργείων στρατοῦ
νικᾷ τὸ κέρδος, πῆμα δ' οὐκ ἀντιρρέπει.
ὡς κομπάσαι τῷδ' εἰκὸς ἡλίου φάει,
ὑπὲρ θαλάσσης καὶ χθονὸς ποτωμένοις.
Τροίαν ἑλόντες δήποτ' Ἀργείων στόλος
θεοῖς λάφυρα ταῦτα τοῖς καθ' Ἑλλάδα
δόμοις ἐπασσάλευσαν ἀρχαῖον γάνος.
τοιαῦτα χρὴ κλύοντας εὐλογεῖν πόλιν
καὶ τοὺς στρατηγούς· καὶ χάρις τιμήσεται
Διὸς τόδ' ἐκπράξασα. πάντ' ἔχεις λόγον.

ΧΟΡΟΣ.

νικώμενος λόγοισιν οὐκ ἀναίνομαι.
ἀεὶ γὰρ ἡβᾷ τοῖς γέρουσιν εὖ μαθεῖν.
δόμοις δὲ ταῦτα καὶ Κλυταιμνήστρᾳ μέλειν
εἰκὸς μάλιστα, ξὺν δὲ πλουτίζειν ἐμέ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἀνωλόλυξα μὲν πάλαι χαρᾶς ὕπο,
ὅτ' ἦλθ' ὁ πρῶτος νύχιος ἄγγελος πυρὸς,
φράζων ἅλωσιν Ἰλίου τ' ἀνάστασιν.
καί τίς μ' ἐνίπτων εἶπε, φρυκτωρῶν δία
πεισθεῖσα Τροίαν νῦν πεπορθῆσθαι δοκεῖς;
ἦ κάρτα πρὸς γυναικὸς αἴρεσθαι κέαρ.
λόγοις τοιούτοις πλαγκτὸς οὖσ' ἐφαινόμην.
ὅμως δ' ἔθυον· καὶ γυναικείῳ νόμῳ
ὀλολυγμὸν ἄλλος ἄλλοθεν κατὰ πτόλιν
ἔλασκον εὐφημοῦντες ἐν θεῶν ἕδραις
θυηφάγον κοιμῶντες εὐώδη φλόγα.
καὶ νῦν τὰ μάσσω μὲν τί δεῖ σ' ἐμοὶ λέγειν;
ἄνακτος αὐτοῦ πάντα πεύσομαι λόγον.
ὅπως δ' ἄριστα τὸν ἐμὸν αἰδοῖον πόσιν
σπεύσω πάλιν μολόντα δέξασθαι. τί γὰρ
γυναικὶ τούτου φέγγος ἥδιον δρακεῖν,
ἀπὸ στρατείας ἄνδρα σώσαντος θεοῦ
πύλας ἀνοῖξαι; ταῦτ' ἀπάγγειλον πόσει·
ἥκειν ὅπως τάχιστ' ἐράσμιον πόλει·
γυναῖκα πιστὴν δ' ἐν δόμοις εὕροι μολὼν
οἵανπερ οὖν ἔλειπε, δωμάτων κύνα
ἐσθλὴν ἐκείνῳ, πολεμίαν τοῖς δύσφροσιν,
καὶ τἄλλ' ὁμοίαν πάντα, σημαντήριον
οὐδὲν διαφθείρασαν ἐν μήκει χρόνου.
οὐδ' οἶδα τέρψιν οὐδ' ἐπίψογον φάτιν
ἄλλου πρὸς ἀνδρὸς μᾶλλον ἢ χαλκοῦ βαφάς.

ΚΗΡΥΞ.

τοιόσδ' ὁ κόμπος τῆς ἀληθείας γέμων
οὐκ αἰσχρὸς ὡς γυναικὶ γενναίᾳ λακεῖν.

ΧΟΡΟΣ.

αὕτη μὲν οὕτως εἶπε μανθάνοντί σοι
τοροῖσιν ἑρμηνεῦσιν εὐπρεπῶς λόγον.
σὺ δ' εἰπὲ, κῆρυξ, Μενέλεων δὲ πεύθομαι,
εἰ νόστιμός γε καὶ σεσωσμένος πάλιν
ἥξει ξὺν ὑμῖν, τῆσδε γῆς φίλον κράτος.

ΚΗΡΥΞ.

οὐκ ἔσθ' ὅπως λέξαιμι τὰ ψευδῆ καλὰ
ἐς τὸν πολὺν φίλοισι καρποῦσθαι χρόνον.

ΧΟΡΟΣ.

πῶς δῆτ' ἂν εἰπὼν κεδνὰ τἀληθῆ τύχοις;
σχισθέντα δ' οὐκ εὔκρυπτα γίγνεται τάδε.

ΚΗΡΥΞ.

ἀνὴρ ἄφαντος ἐξ Ἀχαϊκοῦ στρατοῦ,
αὐτός τε καὶ τὸ πλοῖον. οὐ ψευδῆ λέγω.

ΧΟΡΟΣ.

πότερον ἀναχθεὶς ἐμφανῶς ἐξ Ἰλίου,
ἢ χεῖμα, κοινὸν ἄχθος, ἥρπασε στρατοῦ;

ΚΗΡΥΞ.

ἔκυρσας ὥστε τοξότης ἄκρος σκοποῦ·
μακρὸν δὲ πῆμα ξυντόμως ἐφημίσω.

ΧΟΡΟΣ.

πότερα γὰρ αὐτοῦ ζῶντος ἢ τεθνηκότος
φάτις πρὸς ἄλλων ναυτίλων ἐκλῄζετο;

ΚΗΡΥΞ.

οὐκ οἶδεν οὐδεὶς ὥστ' ἀπαγγεῖλαι τορῶς,
πλὴν τοῦ τρέφοντος Ἡλίου χθονὸς φύσιν.

ΧΟΡΟΣ.

πῶς γὰρ λέγεις χειμῶνα ναυτικῷ στρατῷ
ἐλθεῖν τελευτῆσαί τε δαιμόνων κότῳ;

ΚΗΡΥΞ.

εὔφημον ἦμαρ οὐ πρέπει κακαγγέλῳ
γλώσσῃ μιαίνειν· χωρὶς ἡ τιμὴ θεῶν.
ὅταν δ' ἀπευκτὰ πήματ' ἄγγελος πόλει
στυγνῷ προσώπῳ πτωσίμου στρατοῦ φέρῃ,
πόλει μὲν ἕλκος ἓν τὸ δήμιον τυχεῖν,
πολλοὺς δὲ πολλῶν ἐξαγισθέντας δόμων
ἄνδρας διπλῇ μάστιγι, τὴν Ἄρης φιλεῖ,
δίλογχον ἄτην, φοινίαν ξυνωρίδα.
τοιῶνδε μέντοι πημάτων σεσαγμένον
πρέπει λέγειν παιᾶνα τόνδ' Ἐρινύων.
σωτηρίων δὲ πραγμάτων εὐάγγελον
ἥκοντα πρὸς χαίρουσαν εὐεστοῖ πόλιν,
πῶς κεδνὰ τοῖς κακοῖσι συμμίξω, λέγων
χειμῶν' Ἀχαιῶν οὐκ ἀμήνιτον θεοῖς;
ξυνώμοσαν γὰρ, ὄντες ἔχθιστοι τὸ πρὶν,
πῦρ καὶ θάλασσα, καὶ τὰ πίστ' ἐδειξάτην,
φθείροντε τὸν δύστηνον Ἀργείων στρατόν.
ἐν νυκτὶ δυσκύμαντα δ' ὠρώρει κακά.
ναῦς γὰρ πρὸς ἀλλήλαισι Θρῄκιαι πνοαὶ
ἤρεικον· αἱ δὲ κεροτυπούμεναι βίᾳ
χειμῶνι τυφῶ σὺν ζάλῃ τ' ὀμβροκτύπῳ
ᾤχοντ' ἄφαντοι, ποιμένος κακοῦ στρόβῳ.
ἐπεὶ δ' ἀνῆλθε λαμπρὸν ἡλίου φάος,
ὁρῶμεν ἀνθοῦν πέλαγος Αἰγαῖον νεκροῖς
ἀνδρῶν Ἀχαιῶν ναυτικῶν τ' ἐρειπίων.
ἡμᾶς γε μὲν δὴ ναῦν τ' ἀκήρατον σκάφος
ἤτοι τις ἐξέκλεψεν ἢ 'ξῃτήσατο
θεός τις, οὐκ ἄνθρωπος, οἴακος θιγών.
τύχη δὲ σωτὴρ ναῦν στελοῦσ' ἐφέζετο,
ὡς μήτ' ἐν ὅρμῳ κύματος ζάλην ἔχειν
μήτ' ἐξοκεῖλαι πρὸς κραταίλεων χθόνα.
ἔπειτα δ' Ἅιδην πόντιον πεφευγότες,
λευκὸν κατ' ἦμαρ, οὐ πεποιθότες τύχῃ,
ἐβουκολοῦμεν φροντίσιν νέον πάθος,
στρατοῦ καμόντος καὶ κακῶς σποδουμένου.
καὶ νῦν ἐκείνων εἴ τις ἐστὶν ἐμπνέων,
λέγουσιν ἡμᾶς ὡς ὀλωλότας, τί μή;
ἡμεῖς τ' ἐκείνους ταῦτ' ἔχειν δοξάζομεν.

γένοιτο δ' ὡς ἄριστα. Μενέλεων γὰρ οὖν
πρῶτόν τε καὶ μάλιστα πρόσδοκα μολεῖν.
εἰ δ' οὖν τις ἀκτὶς ἡλίου νιν ἱστορεῖ
καὶ ζῶντα καὶ βλέποντα, μηχαναῖς Διὸς,
οὔπω θέλοντος ἐξαναλῶσαι γένος,
ἐλπίς τις αὐτὸν πρὸς δόμους ἥξειν πάλιν.
τοσαῦτ' ἀκούσας ἴσθι τἀληθῆ κλύων.

ΧΟΡΟΣ.

τίς ποτ' ὠνόμαζεν ὧδ'
ἐς τὸ πᾶν ἐτητύμως —
μή τις ὅντιν' οὐχ ὁρῶ-
μεν προνοίαισι τοῦ πεπρωμένου
γλῶσσαν ἐν τύχᾳ νέμων; —
τὰν δορίγαμβρον ἀμφινεικῆ θ' Ἑλέναν;
ἐπεὶ πρεπόντως
ἑλένας, ἕλανδρος, ἑλέπτολις,
ἐκ τῶν ἁβροπήνων
προκαλυμμάτων ἔπλευσε
ζεφύρου γίγαντος αὔρᾳ,
πολύανδροί τε φεράσπιδες,
κυναγοὶ κατ' ἴχνος.
πλάταν ἄφαντον
κέλσαντες Σιμόεντος
ἀκτὰς ἐπ' ἀεξιφύλλους
δι' ἔριν αἱματόεσσαν.
Ἰλίῳ δὲ κῆδος ὀρ-
θώνυμον τελεσσίφρων
μῆνις ἤλασεν, τραπέ-
ζας ἀτίμωσιν ὑστέρῳ χρόνῳ
καὶ ξυνεστίου Διὸς
πρασσομένα τὸ νυμφότιμον μέλος ἐκ-
φάτως τίοντας
ὑμέναιον, ὃς τότ' ἐπέρρεπε
γαμβροῖσιν ἀείδειν.
μεταμανθάνουσα δ' ὕμνον
Πριάμου πόλις γεραιὰ,
πολύθρηνον μέγα που στένει,
κικλήσκουσα Πάριν
τὸν αἰνόλεκτρον,
παμπρόσθη πολύθρηνον
αἰῶν' ἀμφὶ πολιτᾶν
μέλεον αἷμ' ἀνατλᾶσα.
ἔθρεψεν δὲ λέοντα
σίνιν δόμοις ἀγάλακτον
οὕτως ἀνὴρ φιλόμαστον,
ἐν βιότου προτελείοις
ἅμερον, εὐφιλόπαιδα,
καὶ γεραροῖς ἐπίχαρτον.
πολέα δ' ἔσχ' ἐν ἀγκάλαις,
νεοτρόφου τέκνου δίκαν,
φαιδρωπὸς ποτὶ χεῖρα, σαίνων τε γαστρὸς ἀνάγ-
καις.
χρονισθεὶς δ' ἀπέδειξεν
ἔθος τὸ πρόσθε τοκήων.
χάριν τροφᾶς γὰρ ἀμείβων,
μηλοφόνοισιν ἄγαισιν
δαῖτ' ἀκέλευστος ἔτευξεν·
αἵματι δ' οἶκος ἐφύρθη·

681 — 698. = 699 — 716.
717 — 726. = 727 — 736.

ἄμαχον ἄλγος οἰκέταις
μέγα σίνος πολυκτόνον.
ἐκ θεοῦ δ' ἱερεύς τις ἄτας δόμοις προσεθρέφ
παρ' αὐτὰ δ' ἐλθεῖν ἐς Ἰλίου πόλιν
λέγοιμ' ἂν φρόνημα μὲν νηνέμου γαλάνας,
ἀκασκαῖον δ' ἄγαλμα πλούτου,
μαλθακὸν ὀμμάτων βέλος,
δηξίθυμον ἔρωτος ἄνθος.
παρακλίνουσ' ἐπέκρανεν δὲ γάμου πικρὰς τ
λευτάς,
δύσεδρος καὶ δυσόμιλος συμένα Πριαμίδαισιν,
πομπᾷ Διὸς ξενίου,
νυμφόκλαυτος Ἐρινύς.
παλαίφατος δ' ἐν βροτοῖς γέρων λόγος
τέτυκται, μέγαν τελεσθέντα φωτὸς ὄλβον
τεκνοῦσθαι μηδ' ἄπαιδα θνήσκειν,
ἐκ δ' ἀγαθᾶς τύχας γένει
βλαστάνειν ἀκόρεστον οἰζύν.
δίχα δ' ἄλλων μονόφρων εἰμί. τὸ γὰρ δυσ
βὲς ἔργον
μετὰ μὲν πλείονα τίκτει, σφετέρᾳ δ' εἰκ
γέννᾳ.
οἴκων δ' ἄρ' εὐθυδίκων
καλλίπαις πότμος αἰεί.
φιλεῖ δὲ τίκτειν ὕβρις μὲν παλαιὰ νεά-
ζουσαν ἐν κακοῖς βροτῶν ὕβριν
τότ' ἢ τότ', εὖτ' ἂν τὸ κύριον μόλῃ.
νεαρὰ φάους κότον
δαίμονά τε τὸν ἄμαχον, ἀπόλεμον,
ἀνίερον θράσος, μελαίνας μελάθροισιν ἄτας,
εἰδομέναν τοκεῦσιν.
δίκα δὲ λάμπει μὲν ἐν δυσκάπνοις δώμασιν.
τὸν δ' ἐναίσιμον τίει βίον.
τὰ χρυσόπαστ' ἐσθλὰ σὺν πίνῳ χερῶν
παλιντρόποις ὄμμασι λι-
ποῦσ', ὅσια προσέβα, τοῦ * *
δύναμιν οὐ σέβουσα πλούτου παράσημον αἴν
πᾶν δ' ἐπὶ τέρμα νωμᾷ.
ἄγε δὴ, βασιλεῦ, Τροίας πολίπορθ',
Ἀτρέως γένεθλον,
πῶς σε προσείπω; πῶς σε σεβίζω,
μήθ' ὑπεράρας μήθ' ὑποκάμψας
καιρὸν χάριτος;
πολλοὶ δὲ βροτῶν τὸ δοκεῖν εἶναι
προτίουσι δίκην παραβάντες.
τῷ δυσπραγοῦντι δ' ἐπιστενάχειν
πᾶς τις ἕτοιμος· δῆγμα δὲ λύπης
οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται·
καὶ ξυγχαίρουσιν ὁμοιοπρεπεῖς
ἀγέλαστα πρόσωπα βιαζόμενοι.
ὅστις δ' ἀγαθὸς προβατογνώμων,
οὐκ ἔστι λαθεῖν ὄμματα φωτὸς,
τὰ δοκοῦντ' εὔφρονος ἐκ διανοίας
ὑδαρεῖ σαίνειν φιλότητι.
σὺ δέ μοι τότε μὲν στέλλων στρατιὰν
Ἑλένης ἕνεκ', οὐ γὰρ ἐπικεύσω,
κάρτ' ἀπομούσως ἦσθα γεγραμμένος,
οὐδ' εὖ πραπίδων οἴακα νέμων

737 — 749. = 750 — 762.
763 — 772. = 773 — 782.

θράσος ἀκούσιον
ἀνδράσι θνήσκουσι κομίζων.
νῦν δ' οὐκ ἀπ' ἄκρας φρενὸς οὐδ' ἀφίλως
εὔφρων τις πόνος εὖ τελέσασι.
γνώσει δὲ χρόνῳ διαπευθόμενος
τόν τε δικαίως καὶ τὸν ἀκαίρως
πόλιν οἰκουροῦντα πολιτῶν.

ΑΓΑΜΕΜΝΩΝ.

πρῶτον μὲν Ἄργος καὶ θεοὺς ἐγχωρίους
δίκη προσειπεῖν, τοὺς ἐμοὶ μεταιτίους
νόστου δικαίων θ' ὧν ἐπραξάμην πόλιν
Πριάμου. δίκας γὰρ οὐκ ἀπὸ γλώσσης θεοὶ
κλύοντες ἀνδροθνῆτας Ἰλίου φθορὰς
ἐς αἱματηρὸν τεῦχος οὐ διχορρόπως
ψήφους ἔθεντο· τῷ δ' ἐναντίῳ κύτει
ἐλπὶς προσῄει χειρὸς οὐ πληρουμένῳ.
καπνῷ δ' ἁλοῦσα νῦν ἔτ' εὔσημος πόλις.
ἄτης θύελλαι ζῶσι· συνθνήσκουσα δὲ
σποδὸς προπέμπει πίονας πλούτου πνοάς.
τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν
τίνειν, ἐπείπερ καὶ πάγας ὑπερκότους
ἐπραξάμεσθα, καὶ γυναικὸς οὕνεκα
πόλιν διημάθυνεν Ἀργεῖον δάκος,
ἵππου νεοσσὸς, ἀσπιδηστρόφος λεὼς,
πήδημ' ὀρούσας ἀμφὶ Πλειάδων δύσιν·
ὑπερθορὼν δὲ πύργον ὠμηστὴς λέων
ἄδην ἔλειξεν αἵματος τυραννικοῦ.
θεοῖς μὲν ἐξέτεινα φροίμιον τόδε·
τὰ δ' ἐς τὸ σὸν φρόνημα, μέμνημαι κλύων,
καὶ φημὶ ταὐτὰ καὶ συνήγορόν μ' ἔχεις.
παύροις γὰρ ἀνδρῶν ἐστι συγγενὲς τόδε,
φίλον τὸν εὐτυχοῦντ' ἄνευ φθόνου σέβειν.
δύσφρων γὰρ ἰὸς καρδίαν προσήμενος
ἄχθος διπλοΐζει τῷ πεπαμένῳ νόσον,
τοῖς τ' αὐτὸς αὑτοῦ πήμασιν βαρύνεται
καὶ τὸν θυραῖον ὄλβον εἰσορῶν στένει·
εἰδὼς λέγοιμ' ἂν, εὖ γὰρ ἐξεπίσταμαι
ὁμιλίας κάτοπτρον, εἴδωλον σκιᾶς
δοκοῦντας εἶναι κάρτα πρευμενεῖς ἐμοί.
μόνος δ' Ὀδυσσεὺς, ὅσπερ οὐχ ἑκὼν ἔπλει,
ζευχθεὶς ἕτοιμος ἦν ἐμοὶ σειραφόρος·
εἴτ' οὖν θανόντος εἴτε καὶ ζῶντος πέρι
λέγω. τὰ δ' ἄλλα πρὸς πόλιν τε καὶ θεοὺς
κοινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει
βουλευσόμεσθα. καὶ τὸ μὲν καλῶς ἔχον
ὅπως χρονίζον εὖ μενεῖ βουλευτέον·
ὅτῳ δὲ καὶ δεῖ φαρμάκων παιωνίων,
ἤτοι κέαντες ἢ τεμόντες εὐφρόνως
πειρασόμεσθα πῆμ' ἀποστρέψαι νόσου.
νῦν δ' ἐς μέλαθρα καὶ δόμους ἐφεστίους
ἐλθὼν θεοῖσι πρῶτα δεξιώσομαι,
οἵπερ πρόσω πέμψαντες ἤγαγον πάλιν.
νίκη δ' ἐπείπερ ἕσπετ', ἐμπέδως μένοι.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἄνδρες πολῖται, πρέσβος Ἀργείων τόδε,
οὐκ αἰσχυνοῦμαι τοὺς φιλάνορας τρόπους
λέξαι πρὸς ὑμᾶς· ἐν χρόνῳ δ' ἀποφθίνει
τὸ τάρβος ἀνθρώποισιν. οὐκ ἄλλων πάρα
μαθοῦσ', ἐμαυτῆς δύσφορον λέξω βίον,
τοσόνδ' ὅσονπερ οὗτος ἦν ὑπ' Ἰλίῳ.
τὸ μὲν γυναῖκα πρῶτον ἄρσενος δίχα
ἧσθαι δόμοις ἔρημον ἔκπαγλον κακὸν,
πολλὰς κλύουσαν κληδόνας παλιγκότους·
καὶ τὸν μὲν ἥκειν, τὸν δ' ἐπεισφέρειν κακοῦ
κάκιον ἄλλο πῆμα, λάσκοντας δόμοις.
καὶ τραυμάτων μὲν εἰ τόσων ἐτύγχανεν
ἀνὴρ ὅδ', ὡς πρὸς οἶκον ὠχετεύετο
φάτις, τέτρωται δικτύου πλέω λέγειν.
εἰ δ' ἦν τεθνηκὼς, ὡς ἐπλήθυον λόγοι,
τρισώματός τἂν Γηρυὼν ὁ δεύτερος
πολλὴν ἄνωθεν, τὴν κάτω γὰρ οὐ λέγω
χθονὸς, τρίμοιραν χλαῖναν ἐξηύχει λαβὼν,
ἅπαξ ἑκάστῳ κατθανὼν μορφώματι.
τοιῶνδ' ἕκατι κληδόνων παλιγκότων,
πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης
ἔλυσαν ἄλλοι πρὸς βίαν λελημμένης.
ἐκ τῶνδέ τοι παῖς ἐνθάδ' οὐ παραστατεῖ,
ἐμῶν τε καὶ σῶν κύριος πιστευμάτων,
ὡς χρῆν, Ὀρέστης· μηδὲ θαυμάσῃς τόδε.
τρέφει γὰρ αὐτὸν εὐμενὴς δορύξενος
Στρόφιος ὁ Φωκεὺς, ἀμφίλεκτα πήματα
ἐμοὶ προφωνῶν, τόν θ' ὑπ' Ἰλίῳ σέθεν
κίνδυνον, εἴ τε δημόθρους ἀναρχία
βουλὴν καταρρίψειεν, ὥστε σύγγονον
βροτοῖσι τὸν πεσόντα λακτίσαι πλέον.
τοιάδε μέντοι σκῆψις οὐ δόλον φέρει.
ἔμοιγε μὲν δὴ κλαυμάτων ἐπίσσυτοι
πηγαὶ κατεσβήκασιν, οὐδ' ἔνι σταγών.
ἐν ὀψικοίτοις δ' ὄμμασι βλάβας ἔχω,
τὰς ἀμφί σοι κλαίουσα λαμπτηρουχίας
ἀτημελήτους αἰέν. ἐν δ' ὀνείρασι
λεπταῖς ὑπαὶ κώνωπος ἐξηγειρόμην
ῥιπαῖσι θωΰσσοντος, ἀμφί σοι πάθη
ὁρῶσα πλείω τοῦ ξυνεύδοντος χρόνου.
νῦν ταῦτα πάντα τλᾶσ' ἀπενθήτῳ φρενὶ
λέγοιμ' ἂν ἄνδρα τόνδε, τῶν σταθμῶν κύνα,
σωτῆρα ναὸς πρότονον, ὑψηλῆς στέγης
στῦλον ποδήρη, μονογενὲς τέκνον πατρὶ,
καὶ γῆν φανεῖσαν ναυτίλοις παρ' ἐλπίδα,
κάλλιστον ἦμαρ εἰσιδεῖν ἐκ χείματος,
ὁδοιπόρῳ διψῶντι πηγαῖον ῥέος.
τερπνὸν δὲ τἀναγκαῖον ἐκφυγεῖν ἅπαν.
τοιοῖσδέ τοί νιν ἀξιῶ προσφθέγμασιν.
φθόνος δ' ἀπέστω· πολλὰ γὰρ τὰ πρὶν κακὰ
ἠνειχόμεσθα· νῦν δ' ἐμοὶ φίλον κάρα,
ἔκβαιν' ἀπήνης τῆσδε, μὴ χαμαὶ τιθεὶς
τὸν σὸν πόδ', ὦναξ, Ἰλίου πορθήτορα.
δμωαὶ, τί μέλλεθ', αἷς ἐπέσταλται τέλος
πέδον κελεύθου στρωννύναι πετάσμασιν;
εὐθὺς γενέσθω πορφυρόστρωτος πόρος
ἐς δῶμ' ἄελπτον ὡς ἂν ἡγῆται δίκη.
τὰ δ' ἄλλα φροντὶς οὐχ ὕπνῳ νικωμένη
θήσει δικαίως σὺν θεοῖς εἱμαρμένα.

ΑΓΑΜΕΜΝΩΝ.

Λήδας γένεθλον, δωμάτων ἐμῶν φύλαξ,
ἀπουσίᾳ μὲν εἶπας εἰκότως ἐμῇ·
μακρὰν γὰρ ἐξέτεινας· ἀλλ' ἐναισίμως
αἰνεῖν, παρ' ἄλλων χρὴ τόδ' ἔρχεσθαι γέρας
καὶ τἄλλα μὴ γυναικὸς ἐν τρόποις ἐμὲ
ἅβρυνε μηδὲ βαρβάρου φωτὸς δίκην

χαμαιπετὲς βόαμα προσχάνῃς ἐμοί,
μηδ' εἵμασι στρώσασ' ἐπίφθονον πόρον
τίθει· θεούς τοι τοῖσδε τιμαλφεῖν χρεών·
ἐν ποικίλοις δὲ θνητὸν ὄντα κάλλεσιν
βαίνειν ἐμοὶ μὲν οὐδαμῶς ἄνευ φόβου.
λέγω κατ' ἄνδρα, μὴ θεόν, σέβειν ἐμέ.
χωρὶς ποδοψήστρων τε καὶ τῶν ποικίλων
κληδὼν ἀϋτεῖ· καὶ τὸ μὴ κακῶς φρονεῖν
θεοῦ μέγιστον δῶρον. ὀλβίσαι δὲ χρὴ
βίον τελευτήσαντ' ἐν εὐεστοῖ φίλῃ.
εἰ πάντα δ' ὣς πράσσοιμ' ἄν, εὐθαρσὴς ἐγώ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

καὶ μὴν τόδ' εἰπὲ μὴ παρὰ γνώμην ἐμοί.

ΑΓΑΜΕΜΝΩΝ.

γνώμην μὲν ἴσθι μὴ διαφθεροῦντ' ἐμέ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ηὔξω θεοῖς δείσας ἂν ὧδ' ἔρδειν τάδε;

ΑΓΑΜΕΜΝΩΝ.

εἴπερ τις, εἰδώς γ' εὖ τόδ' ἐξεῖπον τέλος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τί δ' ἂν δοκεῖ σοι Πρίαμος εἰ τάδ' ἤνυσεν;

ΑΓΑΜΕΜΝΩΝ.

ἐν ποικίλοις ἂν κάρτα μοι βῆναι δοκεῖ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

μή νυν τὸν ἀνθρώπειον αἰδεσθεὶς ψόγον

ΑΓΑΜΕΜΝΩΝ.

φήμη γε μέντοι δημόθρους μέγα σθένει.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὁ δ' ἀφθόνητός γ' οὐκ ἐπίζηλος πέλει.

ΑΓΑΜΕΜΝΩΝ.

οὔτοι γυναικός ἐστιν ἱμείρειν μάχης.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τοῖς δ' ὀλβίοις γε καὶ τὸ νικᾶσθαι πρέπει.

ΑΓΑΜΕΜΝΩΝ.

ἦ καὶ σὺ νίκην τήνδε δήριος τίεις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πιθοῦ· κράτος μέντοι πάρες γ' ἑκὼν ἐμοί.

ΑΓΑΜΕΜΝΩΝ.

ἀλλ' εἰ δοκεῖ σοι ταῦθ', ὑπαί τις ἀρβύλας
λύοι τάχος πρόδουλον ἔμβασιν ποδός.
σὺν τοῖς δέ μ' ἐμβαίνονθ' ἁλουργέσιν θεῶν
μή τις πρόσωθεν ὄμματος βάλοι φθόνος.
πολλὴ γὰρ αἰδὼς σωματοφθορεῖν ποσὶ
φθείροντα πλοῦτον ἀργυρωνήτους θ' ὑφάς.
τούτων μὲν οὕτως· τὴν ξένην δὲ πρευμενῶς
τήνδ' ἐσκόμιζε· τὸν κρατοῦντα μαλθακῶς
θεὸς πρόσωθεν εὐμενῶς προσδέρκεται.
ἑκὼν γὰρ οὐδεὶς δουλίῳ χρῆται ζυγῷ.
αὐτὴ δὲ πολλῶν χρημάτων ἐξαίρετον
ἄνθος, στρατοῦ δώρημ', ἐμοὶ ξυνέσπετο.
ἐπεὶ δ' ἀκούειν σοῦ κατέστραμμαι τάδε,
εἶμ' ἐς δόμων μέλαθρα, πορφύρας πατῶν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἔστιν θάλασσα, τίς δέ νιν κατασβέσει;
τρέφουσα πολλῆς πορφύρας ἰσάργυρον
κηκῖδα παγκαίνιστον, εἱμάτων βαφάς.
οἴκοις δ' ὑπάρχει τῶνδε σὺν θεοῖς, ἄναξ,
ἔχειν· πένεσθαι δ' οὐκ ἐπίσταται δόμος.
πολλῶν πατησμὸν δ' εἱμάτων ἂν εὐξάμην,
δόμοισι προὐνεχθέντος ἐν χρηστηρίοις,
ψυχῆς κόμιστρα τῆσδε μηχανωμένη.
ῥίζης γὰρ οὔσης φυλλὰς ἵκετ' ἐς δόμους,
σκιὰν ὑπερτείνασα σειρίου κυνός.
καὶ σοῦ μολόντος δωματῖτιν ἑστίαν,
θάλπος μὲν ἐν χειμῶνι σημαίνεις μολόν·
ὅταν δὲ τεύχῃ Ζεὺς ἀπ' ὄμφακος πικρᾶς
οἶνον, τότ' ἤδη ψῦχος ἐν δόμοις πέλει,
ἀνδρὸς τελείου δῶμ' ἐπιστρωφωμένου.
Ζεῦ Ζεῦ τέλειε, τὰς ἐμὰς εὐχὰς τέλει·
μέλοι δέ τοι σοὶ τῶνπερ ἂν μέλλῃς τελεῖν.

ΧΟΡΟΣ.

τίπτε μοι τόδ' ἐμπέδως
δεῖγμα προστατήριον
καρδίας τερασκόπου ποτᾶται,
μαντιπολεῖ δ' ἀκέλευστος ἄμισθος ἀοιδά·
οὐδ' ἀποπτύσαν δίκαν
δυσκρίτων ὀνειράτων
θάρσος εὐπιθὲς ἵζει
φρενὸς φίλον θρόνον; χρόνος δ' ἐπεὶ
πρυμνησίων ξυνεμβόλοις
ψαμμίας ἀκάτας παρή-
βησεν, εὖθ' ὑπ' Ἴλιον
ὦρτο ναυβάτας στρατός.
πεύθομαι δ' ἀπ' ὀμμάτων
νόστον, αὐτόμαρτυς ὤν.
τὸν δ' ἄνευ λύρας ὅμως ὑμνῳδεῖ
θρῆνον Ἐρινύος αὐτοδίδακτος ἔσωθεν
θυμός, οὐ τὸ πᾶν ἔχων
ἐλπίδος φίλον θράσος.
σπλάγχνα δ' οὔτι ματάζει
πρὸς ἐνδίκοις φρεσὶν τελεσφόροις
δίναις κυκλούμενον κέαρ.
εὔχομαι δ' ἀπ' ἐμᾶς τι
ἐλπίδος ψύθη πεσεῖν,
ἐς τὸ μὴ τελεσφόρον.
μάλα γάρ τοι τᾶς πολλᾶς ὑγιείας
ἀκόρεστον τέρμα. νόσος γὰρ **
γείτων ὁμότοιχος ἐρείδει,
καὶ πότμος εὐθυπορῶν
ἀνδρὸς ἔπαισεν **
** ἄφαντον ἕρμα.
καὶ τὸ μὲν πρὸ χρημάτων
κτησίων ὄκνος βαλὼν,
σφενδόνας ἀπ' εὐμέτρου,
οὐκ ἔδυ πρόπας δόμος
πημονᾶς γέμων ἄγαν·
οὐδ' ἐπόντισε σκάφος.
πολλά τοι δόσις ἐκ Διὸς ἀμφιλαφής τε καὶ ἀλόκων ἐπετειᾶν
νῆστιν ὤλεσεν νόσον.
τὸ δ' ἐπὶ γᾶν πεσόνθ' ἅπαξ θανάσιμον
προπάροιθ' ἀνδρὸς μέλαν αἷμα τίς ἂν
πάλιν ἀγκαλέσαιτ' ἐπαείδων;
οὐδὲ τὸν ὀρθοδαῆ
τῶν φθιμένων ἀνάγειν
Ζεὺς αὐτ' ἔπαυσεν ἐπ' εὐλαβείᾳ γε.
εἰ δὲ μὴ τεταγμένα
μοῖρα μοῖραν ἐκ θεῶν

975 — 987. = 988 — 1000.
1001 — 1017. = 1018 — 1034.

εἴργε μὴ πλέον φέρειν
προφθάσασα καρδία
γλῶσσαν ἂν τάδ' ἐξέχει.
νῦν δ' ὑπὸ σκότῳ βρέμει
θυμαλγής τε καὶ οὐδὲν ἐπελπομένα ποτὲ καί-
ριον ἐκτολυπεύσειν,
ζωπυρουμένας φρενός.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

εἴσω κομίζου καὶ σύ, Κασάνδραν λέγω,
ἐπεί σ' ἔθηκε Ζεὺς ἀμηνίτως δόμοις
κοινωνὸν εἶναι χερνίβων, πολλῶν μετὰ
δούλων, σταθεῖσαν κτησίου βωμοῦ πέλας.
ἔκβαιν' ἀπήνης τῆσδε, μηδ' ὑπερφρόνει.
καὶ παῖδα γάρ τοι φασὶν Ἀλκμήνης ποτὲ
πραθέντα τλῆναι καὶ ζυγῶν θιγεῖν βίᾳ.
εἰ δ' οὖν ἀνάγκη τῆσδ' ἐπιῤῥέποι τύχης,
ἀρχαιοπλούτων δεσποτῶν πολλὴ χάρις.
οἳ δ' οὔποτ' ἐλπίσαντες ἤμησαν καλῶς,
ὠμοί τε δούλοις πάντα καὶ παρὰ στάθμην.
ἔχεις παρ' ἡμῶν οἷάπερ νομίζεται.

ΧΟΡΟΣ.

σοί τοι λέγουσα παύεται σαφῆ λόγον.
ἐντὸς δ' ἂν οὖσα μορσίμων ἀγρευμάτων,
πείθοι' ἂν εἰ πείθοι'· ἀπειθοίης δ' ἴσως.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἀλλ' εἴπερ ἐστὶ μὴ χελιδόνος δίκην
ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη,
ἔσω φρενῶν λέγουσα πείθω νιν λόγῳ.

ΧΟΡΟΣ.

ἕπου. τὰ λῷστα τῶν παρεστώτων λέγει.
πείθου, λιποῦσα τόνδ' ἀμαξήρη θρόνον.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὔτοι θυραίαν τήνδ' ἐμοὶ σχολὴ πάρα
τρίβειν· τὰ μὲν γὰρ ἑστίας μεσομφάλου
ἕστηκεν ἤδη μῆλα πρὸς σφαγὰς πυρός,
ὡς οὔποτ' ἐλπίσασι τήνδ' ἕξειν χάριν.
σὺ δ' εἴ τι δράσεις τῶνδε, μὴ σχολὴν τίθει.
εἰ δ' ἀξυνήμων οὖσα μὴ δέχει λόγον,
σὺ δ' ἀντὶ φωνῆς φράζε καρβάνῳ χερί.

ΧΟΡΟΣ.

ἑρμηνέως ἔοικεν ἡ ξένη τοροῦ
δεῖσθαι· τρόπος δὲ θηρὸς ὡς νεαιρέτου.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἦ μαίνεταί γε καὶ κακῶν κλύει φρενῶν,
ἥτις λιποῦσα μὲν πόλιν νεαίρετον
ἥκει· χαλινὸν δ' οὐκ ἐπίσταται φέρειν,
πρὶν αἱματηρὸν ἐξαφρίζεσθαι μένος.
οὐ μὴν πλέω ῥίψασ' ἀτιμωθήσομαι.

ΧΟΡΟΣ.

ἐγὼ δ', ἐποικτείρω γάρ, οὐ θυμώσομαι.
ἴθ', ὦ τάλαινα, τόνδ' ἐρημώσασ' ὄχον,
εἴκουσ' ἀνάγκῃ τῇδε καίνισον ζυγόν.

ΚΑΣΑΝΔΡΑ.

ὀτοτοτοτοῖ ποποῖ δᾶ.
ὤπολλον ὤπολλον.

ΧΟΡΟΣ.

τί ταῦτ' ἀνωτότυξας ἀμφὶ Λοξίου;
οὐ γὰρ τοιοῦτος ὥστε θρηνητοῦ τυχεῖν.

1072 — 1075. == 1076 — 1079.

ΚΑΣΑΝΔΡΑ.

ὀτοτοτοτοῖ ποποῖ δᾶ.
ὤπολλον ὤπολλον.

ΧΟΡΟΣ.

ἡ δ' αὖτε δυσφημοῦσα τὸν θεὸν καλεῖ
οὐδὲν προσήκοντ' ἐν γόοις παραστατεῖν.

ΚΑΣΑΝΔΡΑ.

Ἄπολλον Ἄπολλον
ἀγυιᾶτ' ἀπόλλων ἐμός.
ἀπώλεσας γὰρ οὐ μόλις τὸ δεύτερον.

ΧΟΡΟΣ.

χρήσειν ἔοικεν ἀμφὶ τῶν αὑτῆς κακῶν.
μένει τὸ θεῖον δουλίᾳ περ ἐν φρενί.

ΚΑΣΑΝΔΡΑ.

Ἄπολλον Ἄπολλον
ἀγυιᾶτ' ἀπόλλων ἐμός.
ἆ ποῖ ποτ' ἤγαγές με; πρὸς ποίαν στέγην;

ΧΟΡΟΣ.

πρὸς τὴν Ἀτρειδῶν· εἰ σὺ μὴ τόδ' ἐννοεῖς,
ἐγὼ λέγω σοι· καὶ τάδ' οὐκ ἐρεῖς ψύθη.

ΚΑΣΑΝΔΡΑ.

μισόθεον μὲν οὖν, πολλὰ συνίστορα
αὐτόφονα κακὰ κάκ', ἀρτάναι,
ἀνδρὸς σφαγεῖον καὶ πέδον ῥαντήριον.

ΧΟΡΟΣ.

ἔοικεν εὖριν ἡ ξένη κυνὸς δίκην
εἶναι, ματεύει δ' ὧν ἀνευρήσει φόνον.

ΚΑΣΑΝΔΡΑ.

μαρτυρίοισι γὰρ τοῖσδ' ἐπιπείθομαι·
κλαιόμενα τάδε βρέφη, σφαγάς,
ὀπτάς τε σάρκας πρὸς πατρὸς βεβρωμένας.

ΧΟΡΟΣ.

ἦ μὴν κλέος σοῦ μαντικὸν πεπυσμένοι
ἦμεν, προφήτας δ' οὔτινας ματεύομεν.

ΚΑΣΑΝΔΡΑ.

ἰὼ ποποῖ, τί ποτε μήδεται;
τί τόδε νέον ἄχος μέγα
μέγ' ἐν δόμοισι τοῖσδε μήδεται κακὸν
ἄφερτον φίλοισιν, δυσίατον· ἀλκὰ δ',
ἑκὰς ἀποστατεῖ.

ΧΟΡΟΣ.

τούτων ἄιδρίς εἰμι τῶν μαντευμάτων.
ἐκεῖνα δ' ἔγνων· πᾶσα γὰρ πόλις βοᾷ.

ΚΑΣΑΝΔΡΑ.

ἰὼ τάλαινα, τόδε γὰρ τελεῖς,
τὸν ὁμοδέμνιον πόσιν
λουτροῖσι φαιδρύνασα; πῶς φράσω τέλος;
τάχος γὰρ τόδ' ἔσται. προτείνει δὲ χεὶρ ἐκ
χερὸς ὀρεγομένα.

ΧΟΡΟΣ.

οὔπω ξυνῆκα· νῦν γὰρ ἐξ αἰνιγμάτων
ἐπαργέμοισι θεσφάτοις ἀμηχανῶ.

ΚΑΣΑΝΔΡΑ.

ἒ ἔ, παπαῖ παπαῖ, τί τόδε φαίνεται;
ἦ δίκτυόν τί γ' Ἅιδου;
ἀλλ' ἄρκυς ἡ ξύνευνος, ἡ ξυναιτία

1080 — 1084. == 1085 — 1089.
1090 — 1094. == 1095 — 1099.
1100 — 1106. == 1107 — 1113.
1114 — 1124. == 1125 — 1135.

φόνου. στάσις δ' ἀκόρετος γένει
κατολολυξάτω θύματος λευσίμου.

ΧΟΡΟΣ.

ποίαν Ἐρινὺν τήνδε δώμασιν κέλει
ἐπορθιάζειν; οὔ με φαιδρύνει λόγος.
ἐπὶ δὲ καρδίαν ἔδραμε κροκοβαφὴς
σταγὼν, ἅτε καιρία πτώσιμος
ξυνανύτει βίου δύντος αὐγαῖς.
ταχεῖα δ' ἄτα πέλει.

ΚΑΣΑΝΔΡΑ.

ἆ ἆ· ἰδοὺ ἰδού· ἄπεχε τῆς βοὸς
τὸν ταῦρον· ἐν πέπλοισι
μελάγκερων λαβοῦσα μηχανήματι
τύπτει· πίτνει δ' ἐν ἐνύδρῳ τεύχει.
δολοφόνου λέβητος τύχαν σοὶ λέγω.

ΧΟΡΟΣ.

οὐ κομπάσαιμ' ἂν θεσφάτων γνώμων ἄκρος
εἶναι, κακῷ δέ τῳ προσεικάζω τάδε.
ἀπὸ δὲ θεσφάτων τίς ἀγαθὰ φάτις
βροτοῖς στέλλεται· κακῶν γὰρ διαὶ
πολυεπεῖς τέχναι θεσπιῳδὸν
φόβον φέρουσιν μαθεῖν.

ΚΑΣΑΝΔΡΑ.

ἰὼ ἰὼ ταλαίνας κακόποτμοι τύχαι.
τὸ γὰρ ἐμὸν θροῶ πάθος ἐπεγχέασα.
ποῖ δή με δεῦρο τὴν τάλαιναν ἤγαγες;
οὐδέν ποτ' εἰ μὴ ξυνθανουμένην. τί γάρ;

ΧΟΡΟΣ.

φρενομανής τις εἶ θεοφόρητος, ἀμ-
φὶ δ' αὐτᾶς θροεῖς
νόμον ἄνομον, οἷά τις ξουθὰ
ἀκόρετος βοᾶς, φεῦ, ταλαίναις φρεσὶν
Ἴτυν Ἴτυν στένουσ' ἀμφιθαλῆ κακοῖς
ἀηδὼν βίον.

ΚΑΣΑΝΔΡΑ.

ἰὼ ἰὼ λιγείας μόρον ἀηδόνος·
περιβάλοντό οἱ πτεροφόρον δέμας γὰρ
θεοὶ, γλυκύν τ' αἰῶνα κλαυμάτων ἄτερ·
ἐμοὶ δὲ μίμνει σχισμὸς ἀμφήκει δορί.

ΧΟΡΟΣ.

πόθεν ἐπισσύτους θεοφόρους τ' ἔχεις
ματαίους δύας,
τὰ δ' ἐπιφόβῳ δυσφάτῳ κλαγγᾷ
μελοτυπεῖς, ὁμοῦ τ' ὀρθίοις ἐν νόμοις,
πόθεν ὅρους ἔχεις θεσπεσίας ὁδοῦ
κακορρήμονας;

ΚΑΣΑΝΔΡΑ.

ἰὼ γάμοι γάμοι Πάριδος ὀλέθριοι φίλων.
ἰὼ Σκαμάνδρου πάτριον ποτόν.
τότε μὲν ἀμφὶ σὰς ἀϊόνας τάλαιν'
ἠνυτόμαν τροφαῖς·
νῦν δ' ἀμφὶ Κωκυτόν τε κἀχερουσίους
ὄχθους ἔοικα θεσπιῳδήσειν τάχα.

ΧΟΡΟΣ.

τί τόδε τορὸν ἄγαν ἔπος ἐφημίσω,
νεογνὸς ἀνθρώπων μάθοι.
πέπληγμαι δ' ὑπαὶ δήγματι φοινίῳ,
δυσαλγεῖ τύχᾳ μινυρὰ θρεομένας,

1136 — 1145. = 1146 — 1155.
1156 — 1166. = 1167 — 1177.

θραύματ' ἐμοὶ κλύειν.

ΚΑΣΑΝΔΡΑ.

ἰὼ πόνοι πόνοι πόλεος ὀλομένας τὸ πᾶν.
ἰὼ πρόπυργοι θυσίαι πατρὸς
πολυκανεῖς βοτῶν ποιονόμων· ἄκος δ'
οὐδὲν ἐπήρκεσαν
τὸ μὴ πόλιν μὲν ὥσπερ οὖν ἔχει παθεῖν.
ἐγὼ δὲ θερμόνους τάχ' ἐν πέδῳ βαλῶ.

ΧΟΡΟΣ.

ἑπόμενα προτέροισι τάδ' ἐφημίσω.
καί τίς σε κακοφρονῶν τίθη-
σι δαίμων ὑπερβαρὴς ἐμπίτνων,
μελίζειν πάθη γοερὰ θανατοφόρα;
τέρμα δ' ἀμηχανῶ.

ΚΑΣΑΝΔΡΑ.

καὶ μὴν ὁ χρησμὸς οὐκέτ' ἐκ καλυμμάτων
ἔσται δεδορκὼς νεογάμου νύμφης δίκην·
λαμπρὸς δ' ἔοικεν ἡλίου πρὸς ἀντολὰς
πνέων ἐσήξειν, ὥστε κύματος δίκην
κλύζειν πρὸς αὐγὰς τοῦδε πήματος πολὺ
μεῖζον· φρενώσω δ' οὐκέτ' ἐξ αἰνιγμάτων.
καὶ μαρτυρεῖτε συνδρόμως ἴχνος κακῶν
ῥινηλατούσῃ τῶν πάλαι πεπραγμένων.
τὴν γὰρ στέγην τήνδ' οὔποτ' ἐκλείπει χορὸς
σύμφθογγος, οὐκ εὔφωνος· οὐ γὰρ εὖ λέγει.
καὶ μὴν πεπωκώς γ', ὡς θρασύνεσθαι πλέον,
βρότειον αἷμα κῶμος ἐν δόμοις μένει,
δύσπεμπτος ἔξω συγγόνων Ἐρινύων.
ὑμνοῦσι δ' ὕμνον δώμασιν προσήμεναι
πρώταρχον ἄτην· ἐν μέρει δ' ἀπέπτυσαν
εὐνὰς ἀδελφοῦ τῷ πατοῦντι δυσμενεῖς.
ἥμαρτον, ἢ θηρῶ τι τοξότης τις ὥς;
ἢ ψευδόμαντίς εἰμι θυροκόπος φλέδων;
ἐκμαρτύρησον προὐμόσας τό μ' εἰδέναι
λόγῳ παλαιὰς τῶνδ' ἁμαρτίας δόμων.

ΧΟΡΟΣ.

καὶ πῶς ἂν ὅρκος, πῆγμα γενναίως παγὲν,
παιώνιον γένοιτο; θαυμάζω δέ σου,
πόντου πέραν τραφεῖσαν ἀλλόθρουν πόλιν
κυρεῖν λέγουσαν, ὥσπερ εἰ παρεστάτεις.

ΚΑΣΑΝΔΡΑ.

μάντις μ' Ἀπόλλων τῷδ' ἐπέστησεν τέλει.
προτοῦ μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε.

ΧΟΡΟΣ.

μῶν καὶ θεός περ ἱμέρῳ πεπληγμένος;
ἁβρύνεται γὰρ πᾶς τις εὖ πράσσων πλέον.

ΚΑΣΑΝΔΡΑ.

ἀλλ' ἦν παλαιστὴς, κάρτ' ἐμοὶ πνέων χάριν.

ΧΟΡΟΣ.

ἦ καὶ τέκνων εἰς ἔργον ἠλθέτον νόμῳ;

ΚΑΣΑΝΔΡΑ.

ξυναινέσασα Λοξίαν ἐψευσάμην.

ΧΟΡΟΣ.

ἤδη τέχναισιν ἐνθέοις ᾑρημένη;

ΚΑΣΑΝΔΡΑ.

ἤδη πολίταις πάντ' ἐθέσπιζον πάθη.

ΧΟΡΟΣ.

πῶς δῆτ' ἄνατος ἦσθα Λοξίου κότῳ;

ΚΑΣΑΝΔΡΑ.

ἔπειθον οὐδέν' οὐδὲν, ὡς τάδ' ἤμπλακον.

ΧΟΡΟΣ.

ἡμῖν γε μὲν δὴ πιστὰ θεσπίζειν δοκεῖς.

ΚΑΣΑΝΔΡΑ.

ἰοὺ ἰοὺ, ὢ ὢ κακά.
ὑπ᾽ αὖ με δεινὸς ὀρθομαντείας πόνος
στροβεῖ, ταράσσων φροιμίοις ἐφημίοις.
ὁρᾶτε τούσδε τοὺς δόμοις ἐφημένους
νέους, ὀνείρων προσφερεῖς μορφώμασι;
παῖδες θανόντες ὡσπερεὶ πρὸς τῶν φίλων,
χεῖρας κρεῶν πλήθοντες οἰκείας βορᾶς,
σὺν ἐντέροις τε σπλάγχν᾽, ἐποίκτιστον γέμος,
πρέπουσ᾽ ἔχοντες, ὧν πατὴρ ἐγεύσατο.
ἐκ τῶνδε ποινάς φημι βουλεύειν τινὰ
λέοντ᾽ ἄναλκιν ἐν λέχει στρωφώμενον
οἰκουρὸν, οἴμοι, τῷ μολόντι δεσπότῃ
ἐμῷ· φέρειν γὰρ χρὴ τὸ δούλιον ζυγόν.
νεῶν τ᾽ ἔπαρχος Ἰλίου τ᾽ ἀναστάτης
οὐκ οἶδεν οἷα γλῶσσα μισητῆς κυνὸς
λέξασα, κἀκτείνασα φαιδρόνους, δίκην
ἄτης λαθραίου, τεύξεται κακῇ τύχῃ.
τοιαῦτα τολμᾷ· θῆλυς ἄρσενος φονεὺς
ἔστιν. τί νιν καλοῦσα δυσφιλὲς δάκος
τύχοιμ᾽ ἄν; ἀμφίσβαιναν, ἢ Σκύλλαν τινὰ
οἰκοῦσαν ἐν πέτραισι, ναυτίλων βλάβην,
θύουσαν Ἅιδου μητέρ᾽, ἄσπονδόν τ᾽ ἀρὰν
φίλοις πνέουσαν; ὡς δ᾽ ἐπωλολύξατο
ἡ παντότολμος, ὥσπερ ἐν μάχης τροπῇ.
δοκεῖ δὲ χαίρειν νοστίμῳ σωτηρίᾳ.
καὶ τῶνδ᾽ ὅμοιον εἴ τι μὴ πείθω· τί γάρ;
τὸ μέλλον ἥξει. καὶ σύ μ᾽ ἐν τάχει παρὼν
ἄγαν ἀληθόμαντιν οἰκτείρας ἐρεῖς.

ΧΟΡΟΣ.

τὴν μὲν Θυέστου δαῖτα παιδείων κρεῶν
ξυνῆκα καὶ πέφρικα· καὶ φόβος μ᾽ ἔχει
κλύοντ᾽ ἀληθῶς οὐδὲν ἐξῃκασμένα.
τὰ δ᾽ ἄλλ᾽ ἀκούσας ἐκ δρόμου πεσὼν τρέχω.

ΚΑΣΑΝΔΡΑ.

Ἀγαμέμνονός σέ φημ᾽ ἐπόψεσθαι μόρον.

ΧΟΡΟΣ.

εὔφημον, ὦ τάλαινα, κοίμησον στόμα.

ΚΑΣΑΝΔΡΑ.

ἀλλ᾽ οὔτι Παιὼν τῷδ᾽ ἐπιστατεῖ λόγῳ.

ΧΟΡΟΣ.

οὐκ, εἴπερ ἔσται γ᾽· ἀλλὰ μὴ γένοιτό πως.

ΚΑΣΑΝΔΡΑ.

σὺ μὲν κατεύχει, τοῖς δ᾽ ἀποκτείνειν μέλει.

ΧΟΡΟΣ.

τίνος πρὸς ἀνδρὸς τοῦτ᾽ ἄγος πορσύνεται;

ΚΑΣΑΝΔΡΑ.

ἦ κάρτ᾽ ἄρ᾽ ἂν παρεσκόπεις χρησμῶν ἐμῶν.

ΧΟΡΟΣ.

τοῦ γὰρ τελοῦντος οὐ ξυνῆκα μηχανήν.

ΚΑΣΑΝΔΡΑ.

καὶ μὴν ἄγαν γ᾽ Ἕλλην᾽ ἐπίσταμαι φάτιν.

ΧΟΡΟΣ.

καὶ γὰρ τὰ πυθόκραντα· δυσμαθῆ δ᾽ ὅμως.

ΚΑΣΑΝΔΡΑ.

παπαῖ, οἷον τὸ πῦρ ἐπέρχεται δέ μοι.
ὀτοτοῖ, Λύκει᾽ Ἄπολλον, οἳ ἐγὼ ἐγώ.
αὕτη δίπους λέαινα συγκοιμωμένη
λύκῳ, λέοντος εὐγενοῦς ἀπουσίᾳ,
κτενεῖ με τὴν τάλαιναν· ὡς δὲ φάρμακον
τεύχουσα κἀμοῦ μισθὸν ἐνθήσει κότῳ.
ἐπεύχεται θήγουσα φωτὶ φάσγανον
ἐμῆς ἀγωγῆς ἀντιτίσασθαι φόνον.
τί δῆτ᾽ ἐμαυτῆς καταγέλωτ᾽ ἔχω τάδε,
καὶ σκῆπτρα καὶ μαντεῖα περὶ δέρῃ στέφη;
σὲ μὲν πρὸ μοίρας τῆς ἐμῆς διαφθερῶ.
ἴτ᾽ ἐς φθόρον πεσόντ᾽· ἀγαθῷ δ᾽ ἀμείψομαι·
ἄλλην τιν᾽ ἄτην ἀντ᾽ ἐμοῦ πλουτίζετε.
ἰδοὺ δ᾽ Ἀπόλλων αὐτὸς ἐκδύων ἐμὲ
χρηστηρίαν ἐσθῆτ᾽. ἐποπτεύσας δέ με
κἀν τοῖσδε κόσμοις καταγελωμένην μετὰ
φίλων, ὑπ᾽ ἐχθρῶν, οὐ διχορρόπως, μάτην.
καλουμένη δὲ φοιτὰς ὡς ἀγύρτρια
πτωχὸς τάλαινα λιμοθνὴς ἠνεσχόμην.
καὶ νῦν ὁ μάντις μάντιν ἐκπράξας ἐμὲ
ἀπήγαγ᾽ ἐς τοιάσδε θανασίμους τύχας.
βωμοῦ πατρῴου δ᾽ ἀντ᾽ ἐπίξηνον μένει
θερμῷ κοπείσῃ φοινίῳ προσφάγματι.
οὐ μὴν ἄτιμοί γ᾽ ἐκ θεῶν τεθνήξομεν.
ἥξει γὰρ ἡμῶν ἄλλος αὖ τιμάορος,
μητροκτόνον φίτυμα, ποινάτωρ πατρός·
φυγὰς δ᾽ ἀλήτης τῆσδε γῆς ἀπόξενος
κάτεισιν, ἄτας τάσδε θριγκώσων φίλοις·
ἄξει νιν ὑπτίασμα κειμένου πατρός.
τί δῆτ᾽ ἐγὼ κάτοικος ὧδ᾽ ἀναστένω,
ἐπεὶ τὸ πρῶτον εἶδον Ἰλίου πόλιν
πράξασαν ὡς ἔπραξεν· οἳ δ᾽ εἷχον πόλιν,
οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει;
ἰοῦσα πράξω, τλήσομαι τὸ κατθανεῖν.
ὀμώμοται γὰρ ὅρκος ἐκ θεῶν μέγας.
Ἅιδου πύλας δὲ τάσδ᾽ ἐγὼ προσεννέπω·
ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν,
ὡς ἀσφάδαστος, αἱμάτων εὐθνησίμων
ἀπορρυέντων, ὄμμα συμβάλω τόδε.

ΧΟΡΟΣ.

ὦ πολλὰ μὲν τάλαινα, πολλὰ δ᾽ αὖ σοφὴ
γύναι, μακρὰν ἔτεινας. εἰ δ᾽ ἐτητύμως
μόρον τὸν αὑτῆς οἶσθα, πῶς θεηλάτου
βοὸς δίκην πρὸς βωμὸν εὐτόλμως πατεῖς;

ΚΑΣΑΝΔΡΑ.

οὐκ ἔστ᾽ ἄλυξις, οὐ ξένοι χρόνῳ πλέω.

ΧΟΡΟΣ.

ὁ δ᾽ ὕστατός γε τοῦ χρόνου πρεσβεύεται.

ΚΑΣΑΝΔΡΑ.

ἥκει τόδ᾽ ἦμαρ· σμικρὰ κερδανῶ φυγῇ.

ΧΟΡΟΣ.

ἀλλ᾽ ἴσθι τλήμων οὖσ᾽ ἀπ᾽ εὐτόλμου φρενός.

ΚΑΣΑΝΔΡΑ.

οὐδεὶς ἀκούει ταῦτα τῶν εὐδαιμόνων.

ΧΟΡΟΣ.

ἀλλ᾽ εὐκλεῶς τοι κατθανεῖν χάρις βροτῷ.

ΚΑΣΑΝΔΡΑ.

ἰὼ πάτερ σοῦ τῶν τε γενναίων τέκνων.

ΧΟΡΟΣ.

τί δ᾽ ἐστὶ χρῆμα, τίς σ᾽ ἀποστρέφει φόβος;

ΚΑΣΑΝΔΡΑ.

φεῦ φεῦ.

ΧΟΡΟΣ.

τί τοῦτ' ἔφευξας; εἴ τι μὴ φρενῶν στύγος.

ΚΑΣΑΝΔΡΑ.

φόνον δόμοι πνέουσιν αἱματοσταγῆ.

ΧΟΡΟΣ.

καὶ πῶς τόδ' ὄζει θυμάτων ἐφεστίων;

ΚΑΣΑΝΔΡΑ.

ὅμοιος ἀτμὸς ὥσπερ ἐκ τάφου πρέπει.

ΧΟΡΟΣ.

οὐ Σύριον ἀγλάϊσμα δώμασιν λέγεις.

ΚΑΣΑΝΔΡΑ.

ἀλλ' εἶμι κἀν δόμοισι κωκύσουσ' ἐμὴν
Ἀγαμέμνονός τε μοῖραν. ἀρκείτω βίος.
ἰὼ ξένοι.
οὔτοι δυσοίζω θάμνον ὡς ὄρνις φόβῳ·
ἀλλ' ὡς θανούσῃ μαρτυρεῖτέ μοι τόδε,
ὅταν γυνὴ γυναικὸς ἀντ' ἐμοῦ θάνῃ,
ἀνήρ τε δυσδάμαρτος ἀντ' ἀνδρὸς πέσῃ.
ἐπιξενοῦμαι ταῦτα δ' ὡς θανουμένη.

ΧΟΡΟΣ.

ὦ τλῆμον, οἰκτείρω σε θεσφάτου μόρου.

ΚΑΣΑΝΔΡΑ.

ἅπαξ ἔτ' εἰπεῖν ῥῆσιν ἢ θρῆνον θέλω
ἐμὸν τὸν αὐτῆς. ἡλίῳ δ' ἐπεύχομαι
πρὸς ὕστατον φῶς, τοῖς ἐμοῖς τιμαόροις,
ἐχθροῖς φονεῦσι τοῖς ἐμοῖς τίνειν ὁμοῦ,
δούλης θανούσης εὐμαροῦς χειρώματος.
ἰὼ βρότεια πράγματ'· εὐτυχοῦντα μὲν
σκιά τις ἂν τρέψειεν· εἰ δὲ δυστυχεῖ,
βολαῖς ὑγρώσσων σπόγγος ὤλεσεν γραφήν.
καὶ ταῦτ' ἐκείνων μᾶλλον οἰκτείρω πολύ.

ΧΟΡΟΣ.

τὸ μὲν εὖ πράσσειν ἀκόρεστον ἔφυ
πᾶσι βροτοῖσιν· δακτυλοδεικτῶν δ'
οὔτις ἀπειπὼν εἴργει μελάθρων,
μηκέτ' ἐσέλθῃς τάδε, φωνῶν.
καὶ τῷδε πόλιν μὲν ἑλεῖν ἔδοσαν
μάκαρες Πριάμου·
θεοτίμητος δ' οἴκαδ' ἱκάνει.
νῦν δ' εἰ προτέρων αἷμ' ἀποτίσει,
καὶ τοῖσι θανοῦσι θανὼν ἄλλων
ποινὰς θανάτων ἄγαν ἐπικρανεῖ,
τίς ἂν εὔξαιτο βροτῶν ἀσινεῖ
δαίμονι φῦναι τάδ' ἀκούων;

ΑΓΑΜΕΜΝΩΝ.

ὤμοι, πέπληγμαι καιρίαν πληγὴν ἔσω.

ΗΜΙΧΟΡΙΟΝ.

σῖγα· τίς πληγὴν ἀϋτεῖ καιρίως οὐτασμένος;

ΑΓΑΜΕΜΝΩΝ.

ὤμοι μάλ' αὖθις, δευτέραν πεπληγμένος.

ΗΜΙΧΟΡΙΟΝ.

τοὔργον εἰργάσθαι δοκεῖ μοι βασιλέως οἰμώγματι.
ἀλλὰ κοινωσαίμεθ' ἄν πως ἀσφαλῆ βουλεύματα.

ΗΜΙΧΟΡΙΟΝ.

ἐγὼ μὲν ὑμῖν τὴν ἐμὴν γνώμην λέγω,
πρὸς δῶμα δεῦρ' ἀστοῖσι κηρύσσειν βοήν.

ΗΜΙΧΟΡΙΟΝ.

ἐμοὶ δ' ὅπως τάχιστά γ' ἐμπεσεῖν δοκεῖ
καὶ πρᾶγμ' ἐλέγχειν ξὺν νεορρύτῳ ξίφει.

ΗΜΙΧΟΡΙΟΝ.

κἀγὼ τοιούτου γνώματος κοινωνὸς ὢν
ψηφίζομαί τι δρᾶν. τὸ μὴ μέλλειν δ' ἀκμή.

ΗΜΙΧΟΡΙΟΝ.

ὁρᾶν πάρεστι· φροιμιάζονται γὰρ ὡς
τυραννίδος σημεῖα πράσσοντες πόλει.

ΗΜΙΧΟΡΙΟΝ.

χρονίζομεν γάρ. οἱ δὲ τῆς μελλοῦς κλέος
πέδον πατοῦντες οὐ καθεύδουσιν χερί.

ΗΜΙΧΟΡΙΟΝ.

οὐκ οἶδα βουλῆς ἧστινος τυχὼν λέγω.
τοῦ δρῶντός ἐστι καὶ τὸ βουλεῦσαι πέρι.

ΗΜΙΧΟΡΙΟΝ.

κἀγὼ τοιοῦτός εἰμ', ἐπεὶ δυσμηχανῶ
λόγοισι τὸν θανόντ' ἀνιστάναι πάλιν.

ΗΜΙΧΟΡΙΟΝ.

ἦ καὶ βίον κτείνοντες ὧδ' ὑπείξομεν
δόμων καταισχυντῆρσι τοῖσδ' ἡγουμένοις;

ΗΜΙΧΟΡΙΟΝ.

ἀλλ' οὐκ ἀνεκτὸν, ἀλλὰ κατθανεῖν κρατεῖ.
πεπαιτέρα γὰρ μοῖρα τῆς τυραννίδος.

ΗΜΙΧΟΡΙΟΝ.

ἦ γὰρ τεκμηρίοισιν ἐξ οἰμωγμάτων
μαντευσόμεσθα τἀνδρὸς ὡς ὀλωλότος;

ΗΜΙΧΟΡΙΟΝ.

σάφ' εἰδότας χρὴ τῶνδε μυθοῦσθαι πέρι.
τὸ γὰρ τοπάζειν τοῦ σάφ' εἰδέναι δίχα.

ΗΜΙΧΟΡΙΟΝ.

ταύτην ἐπαινεῖν πάντοθεν πληθύνομαι,
τρανῶς Ἀτρείδην εἰδέναι κυροῦνθ' ὅπως.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πολλῶν πάροιθε καιρίως εἰρημένων
τἀναντί' εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι.
πῶς γάρ τις ἐχθροῖς ἐχθρὰ πορσύνων, φίλοις
δοκοῦσιν εἶναι, πημονὴν ἀρκύστατον
φράξειεν, ὕψος κρεῖσσον ἐκπηδήματος;
ἐμοὶ δ' ἀγὼν ὅδ' οὐκ ἀφρόντιστος πάλαι
νείκης παλαιᾶς ἦλθε, σὺν χρόνῳ γε μήν·
ἕστηκα δ' ἔνθ' ἔπαισ' ἐπ' ἐξειργασμένοις.
οὕτω δ' ἔπραξα, καὶ τάδ' οὐκ ἀρνήσομαι
ὡς μήτε φεύγειν μήτ' ἀμύνεσθαι μόρον.
ἄπειρον ἀμφίβληστρον, ὥσπερ ἰχθύων,
περιστιχίζω, πλοῦτον εἵματος κακόν.
παίω δέ νιν δίς· κἀν δυοῖν οἰμώγμασι
μεθῆκεν αὐτοῦ κῶλα· καὶ πεπτωκότι
τρίτην ἐπενδίδωμι, τοῦ κατὰ χθονὸς
Ἅιδου νεκρῶν σωτῆρος εὐκταίαν χάριν.
οὕτω τὸν αὐτοῦ θυμὸν ὁρμαίνει πεσών·
κἀκφυσιῶν ὀξεῖαν αἵματος σφαγὴν
βάλλει μ' ἐρεμνῇ ψακάδι φοινίας δρόσου,
χαίρουσαν οὐδὲν ἧσσον ἢ Διὸς νότῳ
γανᾷ σπορητὸς κάλυκος ἐν λοχεύμασιν.
ὡς ὧδ' ἐχόντων, πρέσβος Ἀργείων τόδε,
χαίροιτ' ἂν, εἰ χαίροιτ', ἐγὼ δ' ἐπεύχομαι.
εἰ δ' ἦν πρεπόντων ὥστ' ἐπισπένδειν νεκρῷ,
τάδ' ἂν δικαίως ἦν. ὑπερδίκως μὲν οὖν
τοσῶνδε κρατῆρ' ἐν δόμοις κακῶν ὅδε
πλήσας ἀραίων, αὐτὸς ἐκπίνει μολών.

ΧΟΡΟΣ.

θαυμάζομέν σου γλῶσσαν, ὡς θρασύστομος.

ἥτις τοιόνδ' ἐπ' ἀνδρὶ κομπάζεις λόγον.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πειρᾶσθέ μου γυναικὸς ὡς ἀφράσμονος,
ἐγὼ δ' ἀτρέστῳ καρδίᾳ πρὸς εἰδότας
λέγω· σὺ δ' αἰνεῖν εἴτε με ψέγειν θέλεις
ὅμοιον. οὗτός ἐστιν Ἀγαμέμνων, ἐμὸς
πόσις, νεκρὸς δὲ, τῆσδε δεξιᾶς χερὸς
ἔργον δικαίας τέκτονος. τάδ' ὧδ' ἔχει.

ΧΟΡΟΣ.

τί κακὸν, ὦ γύναι, χθονοτρεφὲς ἐδανὸν
ἢ ποτὸν πασαμένα ῥυτᾶς ἐξ ἁλὸς ὄρμενον
τόδ' ἐπέθου θύος δημοθρόους τ' ἀράς;
ἀπέδικες, ἀπέταμες· ἀπόπολις δ' ἔσει,
μῖσος ὄβριμον ἀστοῖς.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

νῦν μὲν δικάζεις ἐκ πόλεως φυγὴν ἐμοὶ
καὶ μῖσος ἀστῶν δημόθρους τ' ἔχειν ἀράς,
οὐδὲν τόδ' ἀνδρὶ τῷδ' ἐναντίον φέρων·
ὃς οὐ προτιμῶν, ὡσπερεὶ βοτοῦ μόρον,
μήλων φλεόντων εὐπόκοις νομεύμασιν,
ἔθυσεν αὑτοῦ παῖδα, φιλτάτην ἐμοὶ
ὠδῖν', ἐπῳδὸν Θρηκίων ἀημάτων.
οὐ τοῦτον ἐκ γῆς τῆσδε χρῆν σ' ἀνδρηλατεῖν,
μιασμάτων ἄποιν'; ἐπήκοος δ' ἐμῶν
ἔργων δικαστὴς τραχὺς εἶ. λέγω δέ σοι
τοιαῦτ' ἀπειλεῖν, ὡς παρεσκευασμένης
ἐκ τῶν ὁμοίων χειρὶ νικήσαντ' ἐμοῦ
ἄρχειν· ἐὰν δὲ τοὔμπαλιν κραίνῃ θεός,
γνώσει διδαχθεὶς ὀψὲ γοῦν τὸ σωφρονεῖν.

ΧΟΡΟΣ.

μεγαλόμητις εἶ, περίφρονα δ' ἔλακες,
ὥσπερ οὖν φονολιβεῖ τύχᾳ φρὴν ἐπιμαίνεται,
λίπος ἐπ' ὀμμάτων αἵματος ἐμπρέπειν
ἄτιον. ἔτι σὲ χρὴ στερομέναν φίλων
τύμμα τύμματι τῖσαι.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

καὶ τήνδ' ἀκούεις ὁρκίων ἐμῶν θέμιν·
μὰ τὴν τέλειον τῆς ἐμῆς παιδὸς δίκην,
Ἄτην Ἐρινύν θ', αἷσι τόνδ' ἔσφαξ' ἐγώ,
οὔ μοι φόβου μέλαθρον ἐλπὶς ἐμπατεῖν,
ἕως ἂν αἴθῃ πῦρ ἐφ' ἑστίας ἐμῆς
Αἴγισθος, ὡς τὸ πρόσθεν εὖ φρονῶν ἐμοί.
οὗτος γὰρ ἡμῖν ἀσπὶς οὐ μικρὰ θράσους.
κεῖται γυναικὸς τῆσδε λυμαντήριος,
Χρυσηίδων μείλιγμα τῶν ὑπ' Ἰλίῳ,
ἥ τ' αἰχμάλωτος ἥδε καὶ τερασκόπος,
καὶ κοινόλεκτρος τοῦδε, θεσφατηλόγος
πιστὴ ξύνευνος, ναυτίλων δὲ σελμάτων
ἰσοτριβής. ἄτιμα δ' οὐκ ἐπραξάτην.
ὁ μὲν γὰρ οὕτως· ἡ δέ τοι κύκνου δίκην
τὸν ὕστατον μέλψασα θανάσιμον γόον
κεῖται φιλήτωρ τοῦδ', ἐμοὶ δ' ἐπήγαγεν
εὐνῆς παροψώνημα τῆς ἐμῆς χλιδῆς.

ΧΟΡΟΣ.

φεῦ, τίς ἂν ἐν τάχει, μὴ περιώδυνος,
μηδὲ δεμνιοτήρης,
μόλοι τὸν αἰεὶ φέρουσ' ἐν ἡμῖν
μοῖρ' ἀτέλευτον ὕπνον, δαμέντος

1407—1411. == 1426—1430.
1448—1454. == 1468—1474.

φύλακος εὐμενεστάτου καὶ
πολλὰ τλάντος γυναικὸς διαί·
πρὸς γυναικὸς δ' ἀπέφθισεν βίον.
ἰὼ ἰὼ παράνους Ἑλένα
μία τὰς πολλάς, τὰς πάνυ πολλὰς
ψυχὰς ὀλέσασ' ὑπὸ Τροίᾳ.
νῦν δὲ τελείαν * *
* * * *
* * * *
* * * *
* * * *
* πολύμναστον ἐπηνθίσω αἷμ' ἄνιπτον.
ἥτις ἦν τότ' ἐν δόμοις
ἔρις ἐρίδματος ἀνδρὸς οἰζύς.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

μηδὲν θανάτου μοῖραν ἐπεύχου
τοῖσδε βαρυνθείς·
μηδ' εἰς Ἑλένην κότον ἐκτρέψῃς,
ὡς ἀνδρολέτειρ', ὡς μία πολλῶν
ἀνδρῶν ψυχὰς Δαναῶν ὀλέσασ'
ἀξύστατον ἄλγος ἔπραξε.

ΧΟΡΟΣ.

δαῖμον, ὃς ἐμπίτνεις δώμασι καὶ διφυί-
οισι Τανταλίδαισιν,
κράτος τ' ἰσόψυχον ἐκ γυναικῶν
καρδιόδηκτον ἐμοὶ κρατύνεις.
ἐπὶ δὲ σώματος δίκαν μοι
κόρακος ἐχθροῦ σταθεῖσ' ἐκνόμως
ὕμνον ὑμνεῖν * * ἐπεύχεται.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

νῦν δ' ὤρθωσας στόματος γνώμην,
τὸν τριπάχυιον
δαίμονα γέννας τῆσδε κικλήσκων.
ἐκ τοῦ γὰρ ἔρως αἱματολοιχὸς
νείρει τρέφεται, πρὶν καταλῆξαι
τὸ παλαιὸν ἄχος, νέος ἰχώρ.

ΧΟΡΟΣ.

ἦ μέγαν οἴκοις τοῖσδε
δαίμονα καὶ βαρύμηνιν αἰνεῖς.
φεῦ φεῦ, κακὸν αἶνον ἀτη-
ρᾶς τύχας ἀκορέστου·
ἰώ, ἰὴ διαὶ Διὸς
παναιτίου πανεργέτα,
τί γὰρ βροτοῖς ἄνευ Διὸς τελεῖται;
τί τῶνδ' οὐ θεόκραντόν ἐστιν;
ἰὼ ἰὼ βασιλεῦ βασιλεῦ,
πῶς σε δακρύσω;
φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷδ'
ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων.
ὤμοι μοι κοίταν τάνδ' ἀνελεύθερον
δολίῳ μόρῳ δαμεὶς
ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

αὐχεῖς εἶναι τόδε τοὔργον ἐμόν.
μηδ' ἐπιλεχθῇς
Ἀγαμεμνονίαν εἶναί μ' ἄλοχον.

1455—1461. == 1537—1550.
1462—1467. == 1475—1480.
1481—1504. == 1505—1529.

φανταζόμενος δὲ γυναικὶ νεκροῦ
τοῦδ' ὁ παλαιὸς δριμὺς ἀλάστωρ
Ἀτρέως χαλεποῦ θοινατῆρος
τόνδ' ἀπέτισεν,
τέλεον νεαροῖς ἐπιθύσας.

ΧΟΡΟΣ.

ὡς μὲν ἀναίτιος εἶ
τοῦδε φόνου τίς ὁ μαρτυρήσων;
πῶ πῶ; πατρόθεν δὲ συλλή-
πτωρ γένοιτ' ἂν ἀλάστωρ.
βιάζεται δ' ὁμοσπόροις
ἐπιρροαῖσιν αἱμάτων
μέλας Ἄρης· ὅποι δὲ καὶ προβαίνων
πάχνα κουροβόρῳ παρέξει.
ἰὼ ἰὼ βασιλεῦ βασιλεῦ,
πῶς σε δακρύσω;
φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷδ'
ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων.
ὤμοι μοι κοίταν τάνδ' ἀνελεύθερον
δολίῳ μόρῳ δαμεὶς
ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

[οὔτ' ἀνελεύθερον οἶμαι θάνατον
τῷδε γενέσθαι.]
οὐδὲ γὰρ οὗτος δολίαν ἄτην
οἴκοισιν ἔθηκ';
ἀλλ' ἐμὸν ἐκ τοῦδ' ἔρνος ἀερθὲν,
τὴν πολυκλαύτην Ἰφιγενείαν,
ἄξια δράσας ἄξια πάσχων
μηδὲν ἐν Ἅιδου μεγαλαυχείτω,
ξιφοδηλήτῳ
θανάτῳ τίσας ἅπερ ἦρξεν.

ΧΟΡΟΣ.

ἀμηχανῶ φροντίδων στερηθεὶς
εὐπάλαμον μέριμναν
ὅπα τράπωμαι, πίτνοντος οἴκου.
δέδοικα δ' ὄμβρου κτύπον δομοσφαλῆ
τὸν αἱματηρόν· ψακὰς δὲ λήγει.
δίκην δ' ἐπ' ἄλλο πρᾶγμα θηγάνει βλάβης
πρὸς ἄλλαις θηγάναισι μοῖρα.
ἰὼ γᾶ γᾶ, εἴθ' ἔμ' ἐδέξω,
πρὶν τόνδ' ἐπιδεῖν ἀργυροτοίχου
δροίτας κατέχοντα χαμεύναν.
τίς ὁ θάψων νιν; τίς ὁ θρηνήσων;
ἦ σὺ τόδ' ἔρξαι τλήσει, κτείνασ'
ἄνδρα τὸν αὑτῆς, ἀποκωκῦσαι
ψυχὴν, ἄχαριν χάριν ἀντ' ἔργων
μεγάλων ἀδίκως ἐπικρᾶναι;
τίς δ' ἐπιτύμβιος αἶνος ἐπ' ἀνδρὶ θείῳ
σὺν δάκρυσιν ἰάπτων
ἀληθείᾳ φρενῶν πονήσει;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὔ σε προσήκει τὸ μέλημα λέγειν
τοῦτο· πρὸς ἡμῶν
κάππεσε, κάτθανε, καὶ καταθάψομεν
οὐχ ὑπὸ κλαυθμῶν τῶν ἐξ οἴκων,
* * * * *
* * * *
ἀλλ' Ἰφιγένειά νιν ἀσπασίως
θυγάτηρ, ὡς χρὴ,
πατέρ' ἀντιάσασα πρὸς ὠκύπορον
πόρθμευμ' ἀχέων
περὶ χεῖρε βαλοῦσα φιλήσει.

ΧΟΡΟΣ.

ὄνειδος ἥκει τόδ' ἀντ' ὀνείδους.
δύσμαχα δ' ἐστὶ κρῖναι.
φέρει φέροντ', ἐκτίνει δ' ὁ καίνων.
μίμνει δὲ μίμνοντος ἐν χρόνῳ Διὸς
παθεῖν τὸν ἔρξαντα. θέσμιον γὰρ
τίς ἂν γονὰν ἀραῖον ἐκβάλοι δόμων;
κεκόλληται γένος προσάψαι.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἐς τόνδ' ἐνέβη ξὺν ἀληθείᾳ
χρησμόν. ἐγὼ δ' οὖν
ἐθέλω δαίμονι τῷ Πλεισθενιδᾶν
ὅρκους θεμένη τάδε μὲν στέργειν,
δύστλητά περ ὄνθ'. ὃ δὲ λοιπὸν, ἰόντ'
ἐκ τῶνδε δόμων ἄλλην γενεὰν
τρίβειν θανάτοις αὐθένταισι.
κτεάνων τε μέρος
βαιὸν ἐχούσῃ πᾶν ἀπόχρη μοι
κἀλληλοφόνους
μανίας μελάθρων ἀφελούσῃ.

ΑΙΓΙΣΘΟΣ.

ὦ φέγγος εὔφρον ἡμέρας δικηφόρου.
φαίην ἂν ἤδη νῦν βροτῶν τιμαόρους
θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄγη,
ἰδὼν ὑφαντοῖς ἐν πέπλοις Ἐρινύων
τὸν ἄνδρα τόνδε κείμενον φίλως ἐμοὶ,
χερὸς πατρῴας ἐκτίνοντα μηχανάς.
Ἀτρεὺς γὰρ ἄρχων τῆσδε γῆς, τούτου πατὴρ,
πατέρα Θυέστην τὸν ἐμὸν, ὡς τορῶς φράσαι,
αὑτοῦ δ' ἀδελφὸν, ἀμφίλεκτος ὢν κράτει,
ἠνδρηλάτησεν ἐκ πόλεώς τε καὶ δόμων.
καὶ προστρόπαιος ἑστίας μολὼν πάλιν
τλήμων Θυέστης μοῖραν εὕρετ' ἀσφαλῆ,
τὸ μὴ θανὼν πατρῷον αἱμάξαι πέδον
αὐτοῦ. ξένια δὲ τοῦδε δύσθεος πατὴρ
Ἀτρεὺς, προθύμως μᾶλλον ἢ φίλως, πατρὶ
τὠμῷ, κρεουργὸν ἦμαρ εὐθύμως ἄγειν
δοκῶν, παρέσχε δαῖτα παιδείων κρεῶν.
τὰ μὲν ποδήρη καὶ χερῶν ἄκρους κτένας
ἔθρυπτ' ἄνωθεν ἀνδρακὰς καθήμενος.
ἄσημα δ' αὐτῶν αὐτίκ' ἀγνοίᾳ λαβὼν
ἔσθει βορὰν ἄσωτον, ὡς ὁρᾷς, γένει.
κἄπειτ' ἐπιγνοὺς ἔργον οὐ καταίσιον,
ᾤμωξεν, ἀμπίπτει δ' ἀπὸ σφαγῆς ἐμῶν,
μόρον δ' ἄφερτον Πελοπίδαις ἐπεύχεται,
λάκτισμα δείπνου ξυνδίκως τιθεὶς ἀρᾷ,
οὕτως ὀλέσθαι πᾶν τὸ Πλεισθένους γένος.
ἐκ τῶνδέ σοι πεσόντα τόνδ' ἰδεῖν πάρα.
κἀγὼ δίκαιος τοῦδε τοῦ φόνου ῥαφεύς.
τρίτον γὰρ ὄντα μ' ἐπὶ δέκ' ἀθλίῳ πατρὶ
συνεξελαύνει τυτθὸν ὄντ' ἐν σπαργάνοις.
τραφέντα δ' αὖθις ἡ δίκη κατήγαγεν.

1530—1536. == 1560—1566.
1551—1559. == 1567—1576.

καὶ τοῦδε τἀνδρὸς ἠψάμην θυραῖος ὤν,
πᾶσαν συνάψας μηχανὴν δυσβουλίας.
οὕτω καλὸν δὴ καὶ τὸ κατθανεῖν ἐμοί,
ἰδόντα τοῦτον τῆς δίκης ἐν ἕρκεσιν.

ΧΟΡΟΣ.

Αἴγισθ᾽, ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω.
σὺ δ᾽ ἄνδρα τόνδε φὴς ἑκὼν κατακτανεῖν,
μόνος δ᾽ ἔποικτον τόνδε βουλεῦσαι φόνον·
οὔ φημ᾽ ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα
δημορριφεῖς, σάφ᾽ ἴσθι, λευσίμους ἀράς.

ΑΙΓΙΣΘΟΣ.

σὺ ταῦτα φωνεῖς νερτέρᾳ προσήμενος
κώπῃ, κρατούντων τῶν ἐπὶ ζυγῷ δορός;
γνώσει γέρων ὢν ὡς διδάσκεσθαι βαρὺ
τῷ τηλικούτῳ, σωφρονεῖν εἰρημένον.
δεσμὸς δὲ καὶ τὸ γῆρας αἵ τε νήστιδες
δύαι, διδάσκειν ἐξοχώταται φρενῶν
ἰατρομάντεις. οὐχ ὁρᾷς ὁρῶν τάδε;
πρὸς κέντρα μὴ λάκτιζε, μὴ πταίσας μογῇς.

ΧΟΡΟΣ.

γύναι, σὺ τοῦδ᾽ ἥκοντος ἐκ μάχης νέον
οἰκουρὸς εὐνὴν ἀνδρὸς αἰσχύνουσ᾽ ἅμα
ἀνδρὶ στρατηγῷ τόνδ᾽ ἐβούλευσας μόρον;

ΑΙΓΙΣΘΟΣ.

καὶ ταῦτα τἄπη κλαυμάτων ἀρχηγενῆ.
Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις.
ὁ μὲν γὰρ ἦγε πάντ᾽ ἀπὸ φθογγῆς χαρᾷ,
σὺ δ᾽ ἐξορίνας ἠπίοις ὑλάγμασιν
ἄξει· κρατηθεὶς δ᾽ ἡμερώτερος φανεῖ.

ΧΟΡΟΣ.

ὡς δὴ σύ μοι τύραννος Ἀργείων ἔσει,
ὃς οὐκ, ἐπειδὴ τῷδ᾽ ἐβούλευσας μόρον,
δρᾶσαι τόδ᾽ ἔργον οὐκ ἔτλης αὐτοκτόνως;

ΑΙΓΙΣΘΟΣ.

τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς·
ἐγὼ δ᾽ ὕποπτος ἐχθρὸς ἦ παλαιγενής.
ἐκ τῶν δὲ τοῦδε χρημάτων πειράσομαι
ἄρχειν πολιτῶν· τὸν δὲ μὴ πειθάνορα
ζεύξω βαρείαις οὔτι μοι σειραφόρον
κριθῶντα πῶλον· ἀλλ᾽ ὁ δυσφιλεῖ σκότῳ
λιμὸς ξύνοικος μαλθακόν σφ᾽ ἐπόψεται.

ΧΟΡΟΣ.

τί δὴ τὸν ἄνδρα τόνδ᾽ ἀπὸ ψυχῆς κακῆς
οὐκ αὐτὸς ἠνάριζες; ἀλλά νιν γυνὴ
χώρας μίασμα καὶ θεῶν ἐγχωρίων
ἔκτειν᾽. Ὀρέστης ἆρά που βλέπει φάος,
ὅπως κατελθὼν δεῦρο πρευμενεῖ τύχῃ
ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς;

ΑΙΓΙΣΘΟΣ.

ἀλλ᾽ ἐπεὶ δοκεῖς τάδ᾽ ἔρδειν καὶ λέγειν, γνώσει τάχα.

ΧΟΡΟΣ.

εἶα δὴ φίλοι λοχῖται, τοὔργον οὐχ ἑκὰς τόδε.

ΑΙΓΙΣΘΟΣ.

* * * * * * *

ΧΟΡΟΣ.

εἶα δή, ξίφος πρόκωπον πᾶς τις εὐτρεπιζέτω.

ΑΙΓΙΣΘΟΣ.

ἀλλὰ μὴν κἀγὼ πρόκωπος οὐκ ἀναίνομαι θανεῖν.

ΧΟΡΟΣ.

δεχομένοις λέγεις θανεῖν σε· τὴν τύχην δ᾽ αἱρούμεθα.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

μηδαμῶς, ὦ φίλτατ᾽ ἀνδρῶν, ἄλλα δράσωμεν κακά.
ἀλλὰ καὶ τάδ᾽ ἐξαμῆσαι πολλὰ δύστηνον θέρος·
πημονῆς δ᾽ ἅλις γ᾽ ὑπάρχει· μηδὲν αἱματώμεθα.
στείχεθ᾽ οἱ γέροντες ἤδη πρὸς δόμους πεπρωμένους,
πρὶν παθεῖν. ἔρξαντα καιρὸν χρῆν τάδ᾽ ὡς ἐπράξαμεν.
εἰ δέ τοι μόχθων γένοιτο, τῶνδ᾽ ἅλις γ᾽ ἐχοίμεθ᾽ ἄν,
δαίμονος χολῇ βαρείᾳ δυστυχῶς πεπληγμένοι.
ὧδ᾽ ἔχει λόγος γυναικός, εἴ τις ἀξιοῖ παθεῖν.

ΑΙΓΙΣΘΟΣ.

ἀλλὰ τούσδε μοι ματαίαν γλῶσσαν ὧδ᾽ ἀπανθίσαι,
κἀκβαλεῖν ἔπη τοιαῦτα δαίμονος πειρωμένους,
σώφρονος γνώμης δ᾽ ἁμαρτεῖν, τὸν κρατοῦντα * * *

ΧΟΡΟΣ.

οὐκ ἂν Ἀργείων τόδ᾽ εἴη, φῶτα προσσαίνειν κακόν.

ΑΙΓΙΣΘΟΣ.

ἀλλ᾽ ἐγώ σ᾽ ἐν ὑστέραισιν ἡμέραις μέτειμ᾽ ἔτι.

ΧΟΡΟΣ.

οὐκ, ἐὰν δαίμων Ὀρέστην δεῦρ᾽ ἀπευθύνῃ μολεῖν.

ΑΙΓΙΣΘΟΣ.

οἶδ᾽ ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους.

ΧΟΡΟΣ.

πρᾶσσε, πιαίνου, μιαίνων τὴν δίκην· ἐπεὶ πάρα.

ΑΙΓΙΣΘΟΣ.

ἴσθι μοι δώσων ἄποινα τῆσδε μωρίας χάριν.

ΧΟΡΟΣ.

κόμπασον θαρσῶν, ἀλέκτωρ ὥστε θηλείας πέλας.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

μὴ προτιμήσῃς ματαίων τῶνδ᾽ ὑλαγμάτων· ἐγὼ
καὶ σὺ θήσομεν κρατοῦντε τῶνδε δωμάτων καλῶς.

# ΑΙΣΧΥΛΟΥ ΧΟΗΦΟΡΟΙ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΟΡΕΣΤΗΣ.*
*ΧΟΡΟΣ.*
*ΗΛΕΚΤΡΑ.*
*ΤΡΟΦΟΣ.*
*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*
*ΑΙΓΙΣΘΟΣ.*
*ΘΕΡΑΠΩΝ.*
*ΠΥΛΑΔΗΣ.*

*ΟΡΕΣΤΗΣ.*

Ἑρμῆ χθόνιε πατρῷ' ἐποπτεύων κράτη,
σωτὴρ γενοῦ μοι ξύμμαχός τ' αἰτουμένῳ·
ἥκω γὰρ εἰς γῆν τήνδε καὶ κατέρχομαι.
τύμβου δ' ἐπ' ὄχθῳ τῷδε κηρύσσω πατρὶ
κλύειν, ἀκοῦσαι. * *
* * * * * *
* * πλόκαμον Ἰνάχῳ θρεπτήριον,
τὸν δεύτερον δὲ τόνδε πενθητήριον
* * * * * *
τί χρῆμα λεύσσω; τίς ποθ' ἥδ' ὁμήγυρις
στείχει γυναικῶν φάρεσιν μελαγχίμοις
πρέπουσα; ποίᾳ ξυμφορᾷ προσεικάσω;
πότερα δόμοισι πτῶμα προσκυρεῖ νέον;
ἢ πατρὶ τὠμῷ τάσδ' ἐπεικάσας τύχω
χοὰς φερούσας νερτέροις μειλίγματα;
οὐδέν ποτ' ἄλλο· καὶ γὰρ Ἠλέκτραν δοκῶ
στείχειν ἀδελφὴν τὴν ἐμὴν πένθει λυγρῷ
πρέπουσαν. ὦ Ζεῦ, δός με τίσασθαι μόρον
πατρός, γενοῦ δὲ σύμμαχος θέλων ἐμοί.
Πυλάδη, σταθῶμεν ἐκποδὼν, ὡς ἂν σαφῶς
μάθω γυναικῶν ἥτις ἥδε προστροπή.

*ΧΟΡΟΣ.*

ἰαλτὸς ἐκ δόμων ἔβην
χοὰς προπομπὸς ὀξύχειρι σὺν κτύπῳ.
πρέπει παρὴς φοινίοις ἀμυγμοῖς
ὄνυχος ἄλοκι νεοτόμῳ·
δι' αἰῶνος δ' ἰυγμοῖσι βόσκεται κέαρ.
λινοφθόροι δ' ὑφασμάτων
λακίδες ἔφλαδον ὑπ' ἄλγεσιν,
πρόστερνοι στολμοὶ
πέπλων ἀγελάστοις
ξυμφοραῖς πεπληγμένων.

22—31. == 32—41.

τορὸς γὰρ ὀρθόθριξ φόβος,
δόμων ὀνειρόμαντις, ἐξ ὕπνου κότον
πνέων, ἀωρόνυκτον ἀμβόαμα
μυχόθεν ἔλακε περὶ φόβῳ,
γυναικείοισιν ἐν δώμασιν βαρὺς πίτνων.
κριταί τε τῶνδ' ὀνειράτων
θεόθεν ἔλακον ὑπέγγυοι
μέμφεσθαι τοὺς γᾶς
νέρθεν περιθύμως
τοῖς κτανοῦσί τ' ἐγκοτεῖν.
τοιάνδε χάριν ἄχαριν, ἀπότροπον κακῶν,
ἰὼ γαῖα μαῖα, μωμένα μ' ἰάλλει
δύσθεος γυνά. φοβοῦ-
μαι δ' ἔπος τόδ' ἐκβαλεῖν.
τί γὰρ λύτρον πεσόντος αἵματος πέδῳ;
ἰὼ πανοιζὺς ἑστία,
ἰὼ κατασκαφαὶ δόμων.
ἀνήλιοι, βροτοστυγεῖς
δνόφοι καλύπτουσι δόμους
δεσποτῶν θανάτοισι.
σέβας δ' ἄμαχον, ἀδάματον, ἀπόλεμον τὸ πρ
δι' ὤτων φρενός τε δαμίας περαῖνον,
νῦν ἀφίσταται. φοβεῖ-
ται δέ τις. τὸ δ' εὐτυχεῖν
τόδ' ἐν βροτοῖς θεός τε καὶ θεοῦ πλέον.
ῥοπὴ δ' ἐπισκοπεῖ δίκας
ταχεῖα, τοῖς μὲν ἐν φάει,
τὰ δ' ἐν μεταιχμίῳ σκότου
μένει χρονίζοντα βρύει·
τοὺς δ' ἄκραντος ἔχει νύξ.
δι' αἵματ' ἐκποθένθ' ὑπὸ χθονὸς τροφοῦ
τίτας φόνος πέπηγεν, οὐ διαρρυδᾶν.
διαλγὴς ἄτη διαφέρει τὸν αἴτιον
παναρκέτας νόσου.

42—53. == 54—65.

οἴγοντι δ' οὔτι νυμφικῶν ἑδωλίων
ἄκος, πόροι τε πάντες ἐκ μιᾶς ὁδοῦ
βαίνοντες τὸν χερομυσῆ
φόνον καθαίροντες ἰοῦσαν ἄτην.
ἐμοὶ δ', ἀνάγκαν γὰρ ἀμφίπτολιν
θεοὶ προσήνεγκαν. ἐκ γὰρ οἴκων
πατρῴων δούλιον ἐσᾶγον αἶσαν,
δίκαια καὶ μὴ δίκαια,
πρέποντ' ἀρχαῖς βίου,
βίᾳ φερομένων αἰνέσαι, πικρὸν φρενῶν
στύγος κρατούσῃ. δακρύω δ' ὑφ' εἱμάτων
ματαίοισι δεσποτᾶν
τύχαις, κρυφαίοις πένθεσιν παχνουμένη.

ΗΛΕΚΤΡΑ.

δμωαὶ γυναῖκες, δωμάτων εὐθήμονες,
ἐπεὶ πάρεστε τῆσδε προστροπῆς ἐμοὶ
πομποὶ, γένεσθε τῶνδε σύμβουλοι πέρι·
τύμβῳ χέουσα τάσδε κηδείους χοὰς
πῶς εὔφρον' εἴπω; πῶς κατεύξωμαι πατρί;
πότερα λέγουσα παρὰ φίλης φίλῳ φέρειν
γυναικὸς ἀνδρὶ, τῆς ἐμῆς μητρὸς πάρα;
τῶνδ' οὐ πάρεστι θάρσος, οὐδ' ἔχω τί φῶ,
χέουσα τόνδε πέλανον ἐν τύμβῳ πατρός.
ἢ τοῦτο φάσκω τοὔπος, ὡς νόμος βροτοῖς
ἔστ' ἀντιδοῦναι τοῖσι πέμπουσιν τάδε
στέφη δόσιν τε τῶν κακῶν ἐπαξίαν;
ἢ σῖγ' ἀτίμως, ὥσπερ οὖν ἀπώλετο
πατὴρ, τάδ' ἐκχέουσα, γάποτον χύσιν,
στείχω, καθάρμαθ' ὥς τις ἐκπέμψας πάλιν
δικοῦσα τεῦχος ἀστρόφοισιν ὄμμασιν;
τῆσδ' ἐστὲ βουλῆς, ὦ φίλαι, μεταίτιαι.
κοινὸν γὰρ ἔχθος ἐν δόμοις νομίζομεν.
μὴ κεύθετ' ἔνδον καρδίας φόβῳ τινός.
τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει
καὶ τὸν πρὸς ἄλλης δεσποτούμενον χερός.
λέγοις ἂν, εἴ τι τῶνδ' ἔχοις ὑπέρτερον.

ΧΟΡΟΣ.

αἰδουμένη σοι βωμὸν ὣς τύμβον πατρὸς
λέξω, κελεύεις γὰρ, τὸν ἐκ φρενὸς λόγον.

ΗΛΕΚΤΡΑ.

λέγοις ἂν, ὥσπερ ᾐδέσω τάφον πατρός.

ΧΟΡΟΣ.

φθέγγου χέουσα σεμνὰ τοῖσιν εὔφροσιν.

ΗΛΕΚΤΡΑ.

τίνας δὲ τούτους τῶν φίλων προσεννέπω;

ΧΟΡΟΣ.

πρῶτον μὲν αὑτὴν, χὤστις Αἴγισθον στυγεῖ.

ΗΛΕΚΤΡΑ.

ἐμοί τε καὶ σοί τἄρ' ἐπεύξομαι τάδε.

ΧΟΡΟΣ,

αὐτὴ σὺ ταῦτα μανθάνουσ' ἤδη φράσαι.

ΗΛΕΚΤΡΑ.

τίν' οὖν ἔτ' ἄλλον τῇδε προστιθῶ στάσει;

ΧΟΡΟΣ.

μέμνησ' Ὀρέστου, κεἰ θυραῖός ἐσθ' ὅμως.

ΗΛΕΚΤΡΑ.

εὖ τοῦτο κἀφρένωσάς οὐχ ἥκιστά με.

ΧΟΡΟΣ.

τοῖς αἰτίοις νῦν, τοῦ φόνου μεμνημένη.

ΗΛΕΚΤΡΑ.

τί φῶ; δίδασκ' ἄπειρον ἐξηγουμένη.

ΧΟΡΟΣ.

ἐλθεῖν τιν' αὐτοῖς δαίμον' ἢ βροτῶν τινὰ

ΗΛΕΚΤΡΑ.

πότερα δικαστὴν ἢ δικηφόρον λέγεις;

ΧΟΡΟΣ.

ἁπλῶς τι φράζουσ', ὅστις ἀνταποκτενεῖ.

ΗΛΕΚΤΡΑ.

καὶ ταῦτά μοὐστὶν εὐσεβῆ θεῶν πάρα;

ΧΟΡΟΣ.

πῶς δ' οὐ τὸν ἐχθρὸν ἀνταμείβεσθαι κακοῖς;

ΗΛΕΚΤΡΑ.

* * Ἑρμῆ χθόνιε, κηρύξας ἐμοὶ,
τοὺς γῆς ἔνερθε δαίμονας κλύειν ἐμὰς
εὐχὰς, πατρῴων δωμάτων ἐπισκόπους,
καὶ γαῖαν αὐτὴν, ἣ τὰ πάντα τίκτεται,
θρέψασά τ' αὖθις τῶνδε κῦμα λαμβάνει·
κἀγὼ χέουσα τάσδε χέρνιβας βροτοῖς,
λέγω, καλοῦσα πατέρ', ἐποίκτειρόν τ' ἐμὲ
φίλον τ' Ὀρέστην, πῶς ἀνάξομεν δόμοις.
πεπραμένοι γὰρ νῦν γέ πως ἀλώμεθα
πρὸς τῆς τεκούσης, ἄνδρα δ' ἀντηλλάξατο
Αἴγισθον, ὅσπερ σοῦ φόνου μεταίτιος.
κἀγὼ μὲν ἀντίδουλος· ἐκ δὲ χρημάτων
φεύγων Ὀρέστης ἐστὶν, οἱ δ' ὑπερκόπως
ἐν τοῖσι σοῖς πόνοισι χλίουσιν μέγα.
ἐλθεῖν δ' Ὀρέστην δεῦρο σὺν τύχῃ τινὶ
κατεύχομαί σοι. καὶ σὺ κλῦθί μου, πάτερ·
αὐτῇ τέ μοι δὸς σωφρονεστέραν πολὺ
μητρὸς γενέσθαι χεῖρά τ' εὐσεβεστέραν.
ἡμῖν μὲν εὐχὰς τάσδε· τοῖς δ' ἐναντίοις
λέγω φανῆναί σου, πάτερ, τιμάορον,
καὶ τοὺς κτανόντας ἀντικατθανεῖν δίκην.
ταῦτ' ἐν μέσῳ τίθημι τῆς κακῆς ἀρᾶς,
κείνοις λέγουσα τήνδε τὴν κακὴν ἀράν·
ἡμῖν δὲ πομπὸς ἴσθι τῶν ἐσθλῶν ἄνω,
σὺν θεοῖσι καὶ γῇ καὶ δίκῃ νικηφόρῳ.
τοιαῖσδ' ἐπ' εὐχαῖς τάσδ' ἐπισπένδω χοάς.
ὑμᾶς δὲ κωκυτοῖς ἐπανθίζειν νόμος,
παιᾶνα τοῦ θανόντος ἐξαυδωμένας.

ΧΟΡΟΣ.

ἵετε δάκρυ καναχὲς ὀλόμενον
ὀλομένῳ δεσπότᾳ,
πρὸς ἔρυμα τόδε κακῶν κεδνῶν τ'
ἀπότροπον ἄγος ἀπεύχετον,
κεχυμένων χοᾶν. κλύε δέ μοι, κλύε,
σέβας ὦ δέσποτ', ἐξ ἀμαυρᾶς φρενός.
ὀτοτοτοτοτοτοτοτοῖ, ἰὼ, τίς δορυ-
σθενὴς ἀνὴρ, ἀναλυτὴρ δόμων,
Σκύθης, τά τ' ἐν χεροῖν παλίντον'
ἐν ἔργῳ βέλη 'πιπάλλων Ἄρης,
σχέδιά τ' αὐτόκωπα νωμῶν βέλη;

ΗΛΕΚΤΡΑ.

ἔχει μὲν ἤδη γαπότους χοὰς πατὴρ,
κῆρυξ μέγιστε τῶν ἄνω τε καὶ κάτω·
νέου δὲ μύθου τοῦδε κοινωνήσατε.

ΧΟΡΟΣ.

λέγοις ἄν· ὀρχεῖται δὲ καρδία φόβῳ.

152 — 157. = 158 — 163.

ΗΛΕΚΤΡΑ.

ὁρῶ τομαῖον τόνδε βόστρυχον τάφῳ.

ΧΟΡΟΣ.

τίνος ποτ' ἀνδρὸς, ἢ βαθυζώνου κόρης;

ΗΛΕΚΤΡΑ.

εὐξύμβολον τόδ' ἐστὶ παντὶ δοξάσαι.

ΧΟΡΟΣ.

πῶς οὖν παλαιὰ παρὰ νεωτέρας μάθω;

ΗΛΕΚΤΡΑ.

οὐκ ἔστιν ὅστις πλὴν ἐμοῦ κείραιτό νιν.

ΧΟΡΟΣ.

ἐχθροὶ γὰρ οἷς προσῆκε πενθῆσαι τριχί.

ΗΛΕΚΤΡΑ.

καὶ μὴν ὅδ' ἐστὶ κάρτ' ἰδεῖν ὁμόπτερος.

ΧΟΡΟΣ.

ποίαις ἐθείραις; τοῦτο γὰρ θέλω μαθεῖν.

ΗΛΕΚΤΡΑ.

αὐτοῖσιν ἡμῖν κάρτα προσφερὴς ἰδεῖν.

ΧΟΡΟΣ.

μῶν οὖν Ὀρέστου κρύβδα δῶρον ἦ τόδε;

ΗΛΕΚΤΡΑ.

μάλιστ' ἐκείνου βοστρύχοις προσείδεται.

ΧΟΡΟΣ.

καὶ πῶς ἐκεῖνος δεῦρ' ἐτόλμησεν μολεῖν;

ΗΛΕΚΤΡΑ.

ἔπεμψε χαίτην κουρίμην χάριν πατρός.

ΧΟΡΟΣ.

οὐχ ἧσσον εὐδάκρυτά μοι λέγεις τάδε,
εἰ τῆσδε χώρας μήποτε ψαύσει ποδί.

ΗΛΕΚΤΡΑ.

κἀμοὶ προσέστη καρδίας κλυδώνιον
χολῆς, ἐπαίσθην δ' ὡς διανταίῳ βέλει·
ἐξ ὀμμάτων δὲ δίψιοι πίπτουσί μοι
σταγόνες ἄφραστοι δυσχίμου πλημμυρίδος,
πλόκαμον ἰδούσῃ τόνδε· πῶς γὰρ ἐλπίσω
ἀστῶν τιν' ἄλλον τῆσδε δεσπόζειν φόβης;
ἀλλ' οὐδὲ μήν νιν ἡ κτανοῦσ' ἐκείρατο,
ἐμὴ δὲ μήτηρ, οὐδαμῶς ἐπώνυμον
φρόνημα παισὶ δύσθεον πεπαμένη.
ἐγὼ δ' ὅπως μὲν ἄντικρυς τάδ' αἰνέσω,
εἶναι τόδ' ἀγλάϊσμά μοι τοῦ φιλτάτου
βροτῶν Ὀρέστου· σαίνομαι δ' ὑπ' ἐλπίδος.
φεῦ. εἶθ' εἶχε φωνὴν εὔφρον' ἀγγέλου δίκην,
ὅπως δίφροντις οὖσα μὴ 'κινυσσόμην·
ἀλλ' εὖ σαφηνῆ τόνδ' ἀποπτύξαι πλόκον,
εἴπερ γ' ἀπ' ἐχθροῦ κρατὸς ἦν τετμημένος,
ἢ ξυγγενὴς ὢν εἶχε συμπενθεῖν ἐμοὶ,
ἄγαλμα τύμβου τοῦδε καὶ τιμὴν πατρός.
ἀλλ' εἰδότας μὲν τοὺς θεοὺς καλούμεθα,
οἵοισιν ἐν χειμῶσι ναυτίλων δίκην
στροβούμεθ'· εἰ δὲ χρὴ τυχεῖν σωτηρίας,
σμικροῦ γένοιτ' ἂν σπέρματος μέγας πυθμήν.
καὶ μὴν στίβοι γε, δεύτερον τεκμήριον,
ποδῶν ὅμοιοι τοῖς τ' ἐμοῖσιν ἐμφερεῖς.
καὶ γὰρ δύ' ἐστὸν τῶδε περιγραφὰ ποδοῖν,
αὐτοῦ τ' ἐκείνου καὶ συνεμπόρου τινός.
πτέρναι τενόντων θ' ὑπογραφαὶ μετρούμεναι
εἰς ταὐτὸ συμβαίνουσι τοῖς ἐμοῖς στίβοις.
πάρεστι δ' ὠδὶς καὶ φρενῶν καταφθορά.

ΟΡΕΣΤΗΣ.

εὔχου τὰ λοιπὰ, τοῖς θεοῖς τελεσφόρους
εὐχὰς ἐπαγγέλλουσα, τυγχάνειν καλῶς.

ΗΛΕΚΤΡΑ.

ἐπεὶ τί νῦν ἕκατι δαιμόνων κυρῶ;

ΟΡΕΣΤΗΣ.

εἰς ὄψιν ἥκεις ὧνπερ ἐξηύχου πάλαι.

ΗΛΕΚΤΡΑ.

καὶ τίνα σύνοισθά μοι καλουμένῃ βροτῶν;

ΟΡΕΣΤΗΣ.

σύνοιδ' Ὀρέστην πολλά σ' ἐκπαγλουμένην.

ΗΛΕΚΤΡΑ.

καὶ πρὸς τί δῆτα τυγχάνω κατευγμάτων;

ΟΡΕΣΤΗΣ.

ὅδ' εἰμί· μὴ μάτευ' ἐμοῦ μᾶλλον φίλον.

ΗΛΕΚΤΡΑ.

ἀλλ' ἦ δόλον τιν', ὦ ξέν', ἀμφί μοι πλέκεις;

ΟΡΕΣΤΗΣ.

αὐτὸς κατ' αὑτοῦ τἆρα μηχανορραφῶ.

ΗΛΕΚΤΡΑ.

ἀλλ' ἐν κακοῖσι τοῖς ἐμοῖς γελᾶν θέλεις.

ΟΡΕΣΤΗΣ.

κἂν τοῖς ἐμοῖς ἄρ', εἴπερ ἔν γε τοῖσι σοῖς.

ΗΛΕΚΤΡΑ.

ὡς ὄντ' Ὀρέστην τάδε σ' ἐγὼ προσεννέπω;

ΟΡΕΣΤΗΣ.

αὐτὸν μὲν οὖν ὁρῶσα δυσμαθεῖς ἐμέ.
κουρὰν δ' ἰδοῦσα τήνδε κηδείου τριχὸς
σαυτῆς ἀδελφοῦ συμμέτρου τῷ σῷ κάρᾳ,
ἰχνοσκοποῦσά τ' ἐν στίβοισι τοῖς ἐμοῖς
ἀνεπτερώθης κἀδόκεις ὁρᾶν ἐμέ·
σκέψαι τομῇ προσθεῖσα βόστρυχον τριχός·
ἰδοῦ δ' ὕφασμα τοῦτο, σῆς ἔργον χερός·
σπάθης τε πληγάς· εἰς δὲ θηρίων γραφήν.
ἔνδον γενοῦ, χαρᾷ δὲ μὴ 'κπλαγῇς φρένας·
τοὺς φιλτάτους γὰρ οἶδα νῷν ὄντας πικρούς.

ΗΛΕΚΤΡΑ.

ὦ φίλτατον μέλημα δώμασιν πατρὸς,
δακρυτὸς ἐλπὶς σπέρματος σωτηρίου,
ἀλκῇ πεποιθὼς δῶμ' ἀνακτήσει πατρός.
ὦ τερπνὸν ὄμμα τέσσαρας μοίρας ἔχον
ἐμοί· προσαυδᾶν δ' ἔστ' ἀναγκαίως ἔχον
πατέρα τε καὶ τὸ μητρὸς ἐς σέ μοι ῥέπει
στέργηθρον· ἡ δὲ πανδίκως ἐχθαίρεται·
καὶ τῆς τυθείσης νηλεῶς ὁμοσπόρου·
πιστὸς δ' ἀδελφὸς ἦσθ', ἐμοὶ σέβας φέρων·
μόνον Κράτος τε καὶ Δίκη σὺν τῷ τρίτῳ
πάντων μεγίστῳ Ζηνὶ συγγένοιτό μοι.

ΟΡΕΣΤΗΣ.

Ζεῦ Ζεῦ, θεωρὸς τῶνδε πραγμάτων γενοῦ·
ἰδοῦ δὲ γένναν εὖνιν αἰετοῦ πατρὸς,
θανόντος ἐν πλεκταῖσι καὶ σπειράμασι
δεινῆς ἐχίδνης. τοὺς δ' ἀπωρφανισμένους
νῆστις πιέζει λιμός· οὐ γὰρ ἐντελὴς
θήραν πατρῴαν προσφέρειν σκηνήμασιν.
οὕτω δὲ κἀμὲ τήνδε τ', Ἠλέκτραν λέγω,
ἰδεῖν πάρεστί σοι, πατροστερῆ γόνον,
ἄμφω φυγὴν ἔχοντε τὴν αὐτὴν δόμων.
καὶ τοῦ θυτῆρος καί σε τιμῶντος μέγα
πατρὸς νεοσσοὺς τούσδ' ἀποφθείρας, πόθεν

ἕξεις ὁμοίας χειρὸς εὔθοινον γέρας;
οὔτ' αἰετοῦ γένεθλ' ἀποφθείρας, πάλιν
πέμπειν ἔχοις ἂν σήματ' εὐπειθῆ βροτοῖς·
οὔτ' ἀρχικός σοι πᾶς ὅδ' αὐανθεὶς πυθμὴν
βωμοῖς ἀρήξει, βουθύτοις ἐν ἤμασι.
κόμιζ', ἀπὸ σμικροῦ δ' ἂν ἄρειας μέγαν
δόμον, δοκοῦντα κάρτα νῦν πεπτωκέναι.

ΧΟΡΟΣ.

ὦ παῖδες, ὦ σωτῆρες ἑστίας πατρὸς,
σιγᾶθ', ὅπως μὴ πεύσεταί τις, ὦ τέκνα,
γλώσσης χάριν δὲ πάντ' ἀπαγγείλῃ τάδε
πρὸς τοὺς κρατοῦντας· οὓς ἴδοιμ' ἐγώ ποτε
θανόντας ἐν κηκῖδι πισσήρει φλογός.

ΟΡΕΣΤΗΣ.

οὔτοι προδώσει Λοξίου μεγασθενὴς
χρησμὸς, κελεύων τόνδε κίνδυνον περᾶν,
κἀξορθιάζων πολλὰ, καὶ δυσχειμέρους
ἄτας ὑφ' ἧπαρ θερμὸν ἐξαυδώμενος,
εἰ μὴ μέτειμι τοῦ πατρὸς τοὺς αἰτίους,
τρόπον τὸν αὐτὸν ἀνταποκτεῖναι λέγων,
ἀποχρημάτοισι ζημίαις ταυρούμενον,
αὐτὸν δ' ἔφασκε τῇ φίλῃ ψυχῇ τάδε
τίσειν μ' ἔχοντα πολλὰ δυστερπῆ κακά.
τὰ μὲν γὰρ ἐκ γῆς δυσφρόνων μειλίγματα
βροτοῖς πιφαύσκων εἶπε, τὰς δὲ νῷν νόσους,
σαρκῶν ἐπαμβατῆρας ἀγρίαις γνάθοις
λιχῆνας ἐξέσθοντας ἀρχαίαν φύσιν·
λευκὰς δὲ κόρσας τῇδ' ἐπαντέλλειν νόσῳ·
ἄλλας τε φωνεῖ προσβολὰς Ἐρινύων,
ἐκ τῶν πατρῴων αἱμάτων τελουμένας,
ὁρῶντα λαμπρὸν ἐν σκότῳ νωμῶντ' ὀφρύν.
τὸ γὰρ σκοτεινὸν τῶν ἐνερτέρων βέλος
ἐκ προστροπαίων ἐν γένει πεπτωκότων,
καὶ λύσσα, καὶ μάταιος ἐκ νυκτῶν φόβος
κινεῖ, ταράσσει, καὶ διώκεται πόλεως
χαλκηλάτῳ πλάστιγγι λυμανθὲν δέμας.
καὶ τοῖς τοιούτοις οὔτε κρατῆρος μέρος
εἶναι μετασχεῖν, οὐ φιλοσπόνδου λιβὸς,
βωμῶν τ' ἀπείργειν, οὐχ ὁρωμένην πατρὸς
μῆνιν δέχεσθαι, οὔτε συλλύειν τινά.
πάντων δ' ἄτιμον κἄφιλον θνήσκειν χρόνῳ,
κακῶς ταριχευθέντα παμφθάρτῳ μόρῳ.
τοιοῖσδε χρησμοῖς ἆρα χρὴ πεποιθέναι·
κεἰ μὴ πέποιθα, τοὔργον ἐξεργαστέον.
πολλοὶ γὰρ εἰς ἓν συμπίτνουσιν ἵμεροι,
θεοῦ τ' ἐφετμαὶ, καὶ πατρὸς πένθος μέγα,
καὶ προσπιέζει χρημάτων ἀχηνία,
τὸ μὴ πολίτας εὐκλεεστάτους βροτῶν,
Τροίας ἀναστατῆρας εὐδόξῳ φρενὶ,
δυοῖν γυναικοῖν ὧδ' ὑπηκόους πέλειν.
θήλεια γὰρ φρήν· εἰ δὲ μὴ, τάχ' εἴσεται.

ΧΟΡΟΣ.

ἀλλ' ὦ μεγάλαι Μοῖραι, Διόθεν
τῇδε τελευτᾶν,
ᾗ τὸ δίκαιον μεταβαίνει.
ἀντὶ μὲν ἐχθρᾶς γλώσσης ἐχθρὰ
γλῶσσα τελείσθω· τοὐφειλόμενον
πράσσουσα δίκη μέγ' ἀϋτεῖ·
ἀντὶ δὲ πληγῆς φονίας φονίαν
πληγὴν τινέτω. δράσαντι παθεῖν,
τριγέρων μῦθος τάδε φωνεῖ.

ΟΡΕΣΤΗΣ.

ὦ πάτερ αἰνόπατερ, τί σοι
φάμενος ἢ τί ῥέξας
τύχοιμ' ἄν, ἕκαθεν οὐρίσας, ἔνθα σ' ἔχουσιν
εὐναί,
σκότῳ φάος ἰσόμοιρον; χάριτες δ' ὁμοίως
κέκληνται γόος εὐκλεὴς προσθοδόμοις Ἀτρείδαις.

ΧΟΡΟΣ.

τέκνον, φρόνημα τοῦ θανόντος οὐ δαμάζει
πυρὸς μαλερὰ γνάθος,
φαίνει δ' ὕστερον ὀργάς·
ὀτοτύζεται δ' ὁ θνήσκων, ἀναφαίνεται δ' ὁ
βλάπτων.
πατέρων τε καὶ τεκόντων γόος ἔνδικος ματεύει
τὸ πᾶν, ἀμφιλαφὴς ταραχθείς.

ΗΛΕΚΤΡΑ.

κλῦθί νυν, ὦ πάτερ, ἐν μέρει
πολυδάκρυτα πένθη.
δίπαις τοί σ' ἐπιτύμβιος θρῆνος ἀναστενάζει.
τάφος δ' ἱκέτας δέδεκται, φυγάδας θ' ὁμοίως.
τί τῶνδ' εὖ, τί δ' ἄτερ κακῶν; οὐκ ἀτρίακτος
ἄτα;

ΧΟΡΟΣ.

ἀλλ' ἔτ' ἂν ἐκ τῶνδε θεὸς χρῄζων
θείη κελάδους εὐφθογγοτέρους·
ἀντὶ δὲ θρήνων ἐπιτυμβιδίων
παιὼν μελάθροις ἐν βασιλείοις
νεοκρᾶτα φίλον κομίσειεν.

ΟΡΕΣΤΗΣ.

εἰ γὰρ ὑπ' Ἰλίῳ
πρός τινος Λυκίων, πάτερ,
δορίτμητος κατηναρίσθης,
λιπὼν ἂν εὔκλειαν ἐν δόμοισι,
τέκνων τε κελεύθοις ἐπιστρεπτὸν αἰῶνα κτίσας,
πολύχωστον ἂν εἶχες
τάφον διαποντίου γᾶς
δώμασιν εὐφόρητον.

ΧΟΡΟΣ.

φίλος φίλοισι τοῖς ἐκεῖ καλῶς θανοῦσι,
κατὰ χθονὸς ἐμπρέπων
σεμνότιμος ἀνάκτωρ,
πρόπολός τε τῶν μεγίστων χθονίων ἐκεῖ τυράννων·
βασιλεὺς γὰρ ἦς, ὄφρ' ἔζης, μόριμον λάχος
πιπλάντων
χεροῖν πεισίβροτόν τε βάκτρον.

ΗΛΕΚΤΡΑ.

μηδ' ὑπὸ Τρωίας
τείχεσι φθίμενος, πάτερ,
μετ' ἄλλων δορικμῆτι λαῷ
παρὰ Σκαμάνδρου πόρον τέθαψαι·
πάρος δ' οἱ κτανόντες νιν οὕτως δαμῆναι
θανατηφόρον αἶσαν
πρόσσω τινὰ πυνθάνεσθαι
τῶνδε πόνων ἄπειρον.

ΧΟΡΟΣ.

ταῦτα μὲν, ὦ παῖ, κρείσσονα χρυσοῦ,

315—322. == 332—339.
323—331. == 354—362.
345—353. == 363—371.

μεγάλης δὲ τύχης καὶ ὑπερβορέου
μείζονα φωνεῖς· [δύνασαι γάρ.]
ἀλλὰ διπλῆς γὰρ τῆσδε μαράγνης
δοῦπος ἱκνεῖται· τῶν μὲν ἀρωγοὶ
κατὰ γῆς ἤδη· τῶν δὲ κρατούντων
χέρες οὐχ ὅσιαι στυγερῶν τούτων·
παισὶ δὲ μᾶλλον γεγένηται.

ΗΛΕΚΤΡΑ.

τοῦτο διαμπερὲς οὖς
ἵκεθ' ἅπερ τε βέλος.
Ζεῦ Ζεῦ, κάτωθεν ἀμπέμπων
ὑστερόποινον ἄταν
βροτῶν τλήμονι καὶ πανούργῳ
χειρὶ, τοκεῦσι δ' ὅμως τελεῖται.

ΧΟΡΟΣ.

ἐφυμνῆσαι γένοιτό μοι πευκή-
εντ' ὀλολυγμὸν ἀνδρὸς
θεινομένου, γυναικός τ'
ὀλλυμένας, τί γὰρ κεύ-
θω φρενὸς οἷον ἔμπας
ποτᾶται, πάροιθεν δὲ πρῴρας,
δριμὺς ἄηται καρδίας,
θυμὸς, ἔγκοτον στύγος.

ΟΡΕΣΤΗΣ.

καὶ πότ' ἂν ἀμφιθαλὴς
Ζεὺς ἐπὶ χεῖρα βάλοι;
φεῦ φεῦ, κάρανα δαΐξας,
πιστὰ γένοιτο χώρᾳ.
δίκαν δ' ἐξ ἀδίκων ἀπαιτῶ.
κλῦτε δὲ τὰ χθονίων τετιμέναι.

ΧΟΡΟΣ.

ἀλλὰ νόμος μὲν φονίας σταγόνας
χυμένας ἐς πέδον ἄλλο προσαιτεῖν
αἷμα. βοᾷ γὰρ λοιγὸν Ἐρινὺς
παρὰ τῶν πρότερον φθιμένων ἄτην
ἑτέραν ἐπάγουσαν ἐπ' ἄτῃ.

ΗΛΕΚΤΡΑ.

ποῖ ποῖ δὴ νερτέρων τυραννίδες;
ἴδετε πολυκρατεῖς ἀραὶ φθιμένων,
ἴδεσθ' Ἀτρειδᾶν τὰ λοίπ' ἀμηχάνως
ἔχοντα καὶ δωμάτων
ἄτιμα. πᾶ τίς τράποιτ' ἄν, ὦ Ζεῦ;

ΧΟΡΟΣ.

πέπαλται δ' αὖτέ μοι φίλον κέαρ
τόνδε κλύουσαν οἶκτον.
καὶ τότε μὲν δύσελπις,
σπλάγχνα δέ μου κελαινοῦ-
ται πρὸς ἔπος κλυούσῃ.
ὅταν δ' αὖτ' ἐπαλκὲς
θρασέ', ἀπέστασεν ἄχος
πρὸς τὸ φανεῖσθαί μοι καλῶς.

ΟΡΕΣΤΗΣ.

τί δ' ἂν πάντες τύχοιμεν; ἦ τάπερ
πάθομεν ἄχεα πρός γε τῶν τεκομένων;
πάρεστι σαίνειν, τὰ δ' οὔτι θέλγεται.
λύκος γὰρ ὥστ' ὠμόφρων

380—384. = 394—399.
385—393. = 410—417.
405—409. = 418—422.

ἄσαντος ἐκ ματρός ἐστι θυμός.

ΗΛΕΚΤΡΑ.

ἔκοψε κομμὸν Ἄρεον, εἶτε Κισσίας
νόμοισι πολεμιστρίας,
ἀπριγδόπληκτα πολυπλάνητα δ' ἦν ἰδεῖν
ἐπασσυτεροτριβῆ τὰ χερὸς ὀρέγματα,
ἄνωθεν ἀνέκαθεν, κτύπῳ δ' ἐπιρροθεῖ
κροτητὸν ἀμὸν καὶ πανάθλιον κάρα.
ἰὼ ἰὼ δαΐα
πάντολμε μῆτερ, δαΐαις ἐν ἐκφοραῖς
ἄνευ πολιτᾶν ἄνακτ',
ἄνευ δὲ πενθημάτων
ἔτλης ἀνοίμωκτον ἄνδρα θάψαι.

ΟΡΕΣΤΗΣ.

τὸ πᾶν ἀτίμως ἔλεξας, οἴμοι.
πατρὸς δ' ἀτίμωσιν ἆρα τίσει,
ἕκατι μὲν δαιμόνων,
ἕκατι δ' ἀμᾶν χερῶν.
ἔπειτ' ἐγὼ νοσφίσας ὀλοίμαν.

ΗΛΕΚΤΡΑ.

ἐμασχαλίσθης δ' ἔθ' ὡς τόδ' εἰδῇς,
ἔπρασσε δ' ἅπέρ νιν, ὧδε θάπτει,
μόρον κτίσαι μωμένα
ἄφερτον αἰῶνι σῷ.
κλύεις πατρῴους δύας ἀτίμους.

ΟΡΕΣΤΗΣ.

λέγεις πατρῷον μόρον.

ΗΛΕΚΤΡΑ.

ἐγὼ δ' ἀπεστάτουν,
ἄτιμος, οὐδὲν ἀξία,
μυχοῦ δ' ἄφερκτος πολυσινοῦς κυνὸς δίκαν
ἑτοιμότερα γέλωτος ἀνέφερον λίβη,
χαίρουσα πολύδακρυν γόον κεκρυμμένα.
τοιαῦτ' ἀκούων ἐν φρεσὶν
γράφου, δι' ὤτων δὲ συν-
τέτραινε μῦθον ἡσύχῳ φρενῶν βάσει.
τὰ μὲν γὰρ οὕτως ἔχει,
τὰ δ' αὐτὸς ὀργᾷ μαθεῖν.
πρέπει δ' ἀκάμπτῳ μένει καθήκειν.

ΟΡΕΣΤΗΣ.

σέ τοι λέγω, ξυγγενοῦ, πάτερ, φίλοις.

ΗΛΕΚΤΡΑ.

ἐγὼ δ' ἐπιφθέγγομαι κεκλαυμένα.

ΧΟΡΟΣ.

στάσις δὲ πάγκοινος ἅδ' ἐπιρροθεῖ,
ἄκουσον ἐς φάος μολὼν, ξὺν δὲ γενοῦ πε
ἐχθρούς.

ΟΡΕΣΤΗΣ.

Ἄρης Ἄρει ξυμβάλοι, Δίκα Δίκᾳ.

ΗΛΕΚΤΡΑ.

ἰὼ θεοὶ, κραίνετ' ἐνδίκως * *

ΧΟΡΟΣ.

τρόμος μ' ὑφέρπει κλύουσαν εὐγμάτων.
τὸ μόρσιμον μένει πάλαι, εὐχομένοις δ' ἂν ἔλ
ἰὼ πόνος ἐγγενὴς,
καὶ παράμουσος ἄτης

423—433. = 444—455.
434—438. = 439—443.
456—460. = 461—465.
466—470. = 471—475.

αἱματόεσσα πλαγά.
ἰὼ δύστον᾽ ἄφερτα κήδη·
ἰὼ δυσκατάπαυστον ἄλγος.
δώμασιν ἔμμοτον
τῶνδ᾽ ἑκὰς οὐδ᾽ ἀπ᾽ ἄλλων
ἔκτοθεν, ἀλλ᾽ ἀπ᾽ αὐτῶν
διώκειν ἔριν αἱματηράν·
θεῶν τῶν κατὰ γᾶς ὅδ᾽ ὕμνος.
ἀλλὰ κλύοντες, μάκαρες χθόνιοι,
τῆσδε κατευχῆς πέμπετ᾽ ἀρωγὴν
παισὶν προφρόνως ἐπὶ νίκην.

ΟΡΕΣΤΗΣ.

πάτερ, τρόποισιν οὐ τυραννικοῖς θανὼν,
αἰτουμένῳ μοι δὸς κράτος τῶν σῶν δόμων.

ΗΛΕΚΤΡΑ.

κἀγὼ, πάτερ, τοιάνδε σου χρείαν ἔχω,
φυγεῖν, μέγαν προσθεῖσαν Αἰγίσθῳ μόρον.

ΟΡΕΣΤΗΣ.

οὕτω γὰρ ἄν σοι δαῖτες ἔννομοι βροτῶν
κτιζοίατ᾽· εἰ δὲ μὴ, παρ᾽ εὐδείπνοις ἔσει
ἄτιμος ἐν πυροῖσι κνισωτοῖς χθονός.

ΗΛΕΚΤΡΑ.

κἀγὼ χοάς σοι τῆς ἐμῆς παγκληρίας
οἴσω πατρῴων ἐκ δόμων γαμηλίους·
πάντων δὲ πρῶτον τόνδε πρεσβεύσω τάφον.

ΟΡΕΣΤΗΣ.

ὦ γαῖ᾽, ἄνες μοι πατέρ᾽ ἐποπτεῦσαι μάχην.

ΗΛΕΚΤΡΑ.

ὦ Περσέφασσα, δὸς δέ τ᾽ εὔμορφον κράτος.

ΟΡΕΣΤΗΣ.

μέμνησο λουτρῶν οἷς ἐνοσφίσθης, πάτερ.

ΗΛΕΚΤΡΑ.

μέμνησο δ᾽ ἀμφίβληστρον ᾧ σ᾽ ἐκαίνισαν.

ΟΡΕΣΤΗΣ.

πέδαις δ᾽ ἀχαλκεύτοις ἐθηρεύθης, πάτερ.

ΗΛΕΚΤΡΑ.

αἰσχρῶς τε βουλευτοῖσιν ἐν καλύμμασιν.

ΟΡΕΣΤΗΣ.

ἆρ᾽ ἐξεγείρει τοῖσδ᾽ ὀνείδεσιν, πάτερ;

ΗΛΕΚΤΡΑ.

ἆρ᾽ ὀρθὸν αἴρεις φίλτατον τὸ σὸν κάρα;

ΟΡΕΣΤΗΣ.

ἤτοι δίκην ἴαλλε σύμμαχον φίλοις,
ἢ τὰς ὁμοίας ἀντίδος βλάβας λαβεῖν,
εἴπερ κρατηθείς γ᾽ ἀντινικῆσαι θέλεις.

ΗΛΕΚΤΡΑ.

καὶ τῆσδ᾽ ἄκουσον λοισθίου βοῆς, πάτερ,
ἰδὼν νεοσσοὺς τούσδ᾽ ἐφημένους τάφῳ·
οἴκτειρε θῆλυν ἄρσενός θ᾽ ὁμοῦ γόνον·
καὶ μὴ ᾽ξαλείψῃς σπέρμα Πελοπιδῶν τόδε.
οὕτω γὰρ οὐ τέθνηκας οὐδέ περ θανών.
παῖδες γὰρ ἀνδρὶ κληδόνες σωτήριοι
θανόντι· φελλοὶ δ᾽ ὣς ἄγουσι δίκτυον,
τὸν ἐκ βυθοῦ κλωστῆρα σώζοντες λίνου.
ἄκου᾽, ὑπὲρ σοῦ τοιάδ᾽ ἔστ᾽ ὀδύρματα.
αὐτὸς δὲ σώζει τόνδε τιμήσας λόγον.
καὶ μὴν ἀμεμφῆ τόνδ᾽ ἐτεινα τὸν λόγον,
τίμημα τύμβου τῆς τ᾽ ἀνοιμώκτου τύχης.
τὰ δ᾽ ἄλλ᾽, ἐπειδὴ δρᾶν κατώρθωσαι φρενὶ,
ἔρδοις ἂν ἤδη, δαίμονος πειρώμενος.

ΟΡΕΣΤΗΣ.

ἔσται· πυθέσθαι δ᾽ οὐδέν ἐστ᾽ ἔξω δρόμου,
πόθεν χοὰς ἔπεμψεν, ἐκ τίνος λόγου
μεθύστερον τιμῶσ᾽ ἀνήκεστον πάθος;
θανόντι δ᾽, οὐ φρονοῦντι, δειλαία χάρις
ἐπέμπετ᾽· οὐκ ἔχοιμ᾽ ἂν εἰκάσαι τάδε
τὰ δῶρα, μείω δ᾽ ἐστὶ τῆς ἁμαρτίας.
τὰ πάντα γάρ τις ἐκχέας ἀνθ᾽ αἵματος
ἑνὸς, μάτην ὁ μόχθος· ὧδ᾽ ἔχει λόγος.
θέλοντι δ᾽, εἴπερ οἶσθ᾽, ἐμοὶ φράσον τάδε.

ΧΟΡΟΣ.

οἶδ᾽, ὦ τέκνον, παρῆ γάρ· ἔκ τ᾽ ὀνειράτων
καὶ νυκτιπλάγκτων δειμάτων πεπαλμένη
χοὰς ἔπεμψε τάσδε δύσθεος γυνή.

ΟΡΕΣΤΗΣ.

ἦ καὶ πέπυσθε τοὔναρ, ὥστ᾽ ὀρθῶς φράσαι;

ΧΟΡΟΣ.

τεκεῖν δράκοντ᾽ ἔδοξεν, ὡς αὐτὴ λέγει.

ΟΡΕΣΤΗΣ.

καὶ ποῖ τελευτᾷ καὶ καρανοῦται λόγος;

ΧΟΡΟΣ.

ἐν σπαργάνοισι παιδὸς ὁρμῆσαι δίκην
τινὸς βορᾶς χρῄζοντα, νεογενὲς δάκος·
καὐτὴ προσέσχε μαζὸν ἐν τὠνείρατι.

ΟΡΕΣΤΗΣ.

καὶ πῶς ἄτρωτον οὖθαρ ἦν ὑπὸ στυγός;

ΧΟΡΟΣ.

ὥστ᾽ ἐν γάλακτι θρόμβον αἵματος σπάσαι.

ΟΡΕΣΤΗΣ.

οὔτοι μάταιον ἀνδρὸς ὄψανον πέλει.

ΧΟΡΟΣ.

ἡ δ᾽ ἐξ ὕπνου κέκραγεν ἐπτοημένη·
πολλοὶ δ᾽ ἀνῆλθον, ἐκτυφλωθέντες σκότῳ,
λαμπτῆρες ἐν δόμοισι δεσποίνης χάριν·
πέμπει τ᾽ ἔπειτα τάσδε κηδείους χοὰς,
ἄκος τομαῖον ἐλπίσασα πημάτων.

ΟΡΕΣΤΗΣ.

ἀλλ᾽ εὔχομαι γῇ τῇδε καὶ πατρὸς τάφῳ
τοὔνειρον εἶναι τοῦτ᾽ ἐμοὶ τελεσφόρον.
κρίνω δέ τοί νιν ὥστε συγκόλλως ἔχειν.
εἰ γὰρ τὸν αὐτὸν χῶρον ἐκλιπὼν ἐμοὶ
οὔφις σεπασα σπαργάνοις ὡπλίζετο,
καὶ μαστὸν ἀμφέχασκ᾽ ἐμὸν θρεπτήριον,
θρόμβῳ δ᾽ ἔμιξεν αἵματος φίλον γάλα,
ἡ δ᾽ ἀμφὶ τάρβει τῷδ᾽ ἐπῴμωξεν πάθει,
δεῖ τοί νιν, ὡς ἔθρεψεν ἔκπαγλον τέρας,
θανεῖν βιαίως· ἐκδρακοντωθεὶς δ᾽ ἐγὼ
κτενῶ νιν, ὡς τοὔνειρον ἐννέπει τόδε.
τερασκόπον δὲ τῶνδέ σ᾽ αἱροῦμαι πέρι.

ΧΟΡΟΣ.

γένοιτο δ᾽ οὕτως. τἄλλα δ᾽ ἐξηγοῦ φίλοις,
τοὺς μέν τι ποιεῖν, τοὺς δὲ μή τι δρᾶν λέγων.

ΟΡΕΣΤΗΣ.

ἁπλοῦς ὁ μῦθος· τήνδε μὲν στείχειν ἔσω·
αἰνῶ δὲ κρύπτειν τάσδε συνθήκας ἐμάς,
ὡς ἂν δόλῳ κτείναντες ἄνδρα τίμιον
δόλῳ τε καὶ ληφθῶσιν ἐν ταὐτῷ βρόχῳ
θανόντες, ᾗ καὶ Λοξίας ἐφήμισεν,

544 σεπασα] ἐμοῖσι Porsonus.

ἄναξ Ἀπόλλων, μάντις ἀψευδὴς τὸ πρίν.
ξένῳ γὰρ εἰκὼς, παντελῆ σάγην ἔχων,
ἥξω σὺν ἀνδρὶ τῷδ' ἐφ' ἑρκείους πύλας.
Πυλάδῃ, ξένος τε καὶ δορύξενος δόμων.
ἄμφω δὲ φωνὴν ἥσομεν Παρνησίδα,
γλώσσης ἀϋτὴν Φωκίδος μιμουμένω.
καὶ δὴ θυρωρῶν οὔτις ἂν φαιδρᾷ φρενὶ
δέξαιτ', ἐπειδὴ δαιμονᾷ δόμος κακοῖς.
μενοῦμεν οὕτως ὥστ' ἐπεικάζειν τινὰ
δόμοις παραστείχοντα καὶ τάδ' ἐννέπειν·
τί δὴ πύλαισι τὸν ἱκέτην ἀπείργετε,
Αἴγισθος εἴπερ οἶδεν ἔνδημος παρών;
εἰ δ' οὖν ἀμείψω βαλὸν ἕρκειον πυλῶν,
κἀκεῖνον ἐν θρόνοισιν εὑρήσω πατρὸς,
ἢ καὶ μολὼν ἔπειτά μοι κατὰ στόμα
ἐρεῖ, σάφ' ἴσθι, καὶ κατ' ὀφθαλμοὺς βαλεῖ,
πρὶν αὐτὸν εἰπεῖν, ποδαπὸς ὁ ξένος; νεκρὸν
θήσω, ποδώκει περιβαλὼν χαλκεύματι.
φόνου δ' Ἐρινὺς οὐχ ὑπεσπανισμένη
ἄκρατον αἷμα πίεται τρίτην πόσιν.
νῦν οὖν σὺ μὲν φύλασσε τἀν οἴκῳ καλῶς,
ὅπως ἂν ἀρτίκολλα συμβαίνῃ τάδε·
ὑμῖν δ' ἐπαινῶ γλῶσσαν εὔφημον φέρειν,
σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν τὰ καίρια.
τὰ δ' ἄλλα τούτῳ δεῦρ' ἐποπτεῦσαι λέγω,
ξιφηφόρους ἀγῶνας ὀρθώσαντί μοι.

ΧΟΡΟΣ.

πολλὰ μὲν γᾶ τρέφει
δεινὰ δειμάτων ἄχη,
πόντιαί τ' ἀγκάλαι κνωδάλων
ἀνταίων βροτοῖσι
πλάθουσι, βλαστοῦσι καὶ πεδαίχμιοι
λαμπάδες πεδάοροι,
πτηνά τε καὶ πεδοβάμονα, κἀνεμοέντων
αἰγίδων φράσαι κότον.
ἀλλ' ὑπέρτολμον ἀν-
δρὸς φρόνημα τίς λέγοι,
καὶ γυναικῶν φρεσὶν τλημόνων,
καὶ παντόλμους
ἔρωτας ἄταισι συννόμους βροτῶν,
ξυζύγους θ' ὁμαυλίας;
θηλυκρατὴς ἀπέρωτος ἔρως παρανικᾷ
κνωδάλων τε καὶ βροτῶν.
ἴστω δ' ὅστις οὐχ ὑπόπτερος
φροντίσιν δαεὶς,
τὰν ἁ παιδολύμας τάλαινα Θεστιὰς μήσατο
πυρδαῆ τινα πρόνοιαν, καταίθουσα παιδὸς δαφοινὸν
δαλὸν ἥλικ', ἐπεὶ μολὼν ματρόθεν κελάδησε
σύμμετρόν τε διαὶ βίου μοιρόκραντον ἐς ἦμαρ.
ἄλλαν δεῖ τιν' ἐν λόγοις στυγεῖν
φοινίαν Σκύλλαν,
ἅτ' ἐχθρῶν ὕπερ φῶτ' ἀπώλεσεν φίλον, Κρητικοῖς
χρυσεοδμήτοισιν ὅρμοις πιθήσασα δώροισι Μίνω,
Νῖσον ἀθανάτας τριχὸς νοσφίσασ' ἀπροβούλως
πνέονθ' ἁ κυνόφρων ὕπνῳ. κιγχάνει δέ μιν Ἑρμῆς.
ἐπεὶ δ' ἐπεμνησάμην ἀμειλίχων

585—593. == 594—602.
603—612. == 613—622.
623—630. == 631—638.

πόνων, ἀκαίρως δὲ δυσφιλὲς γαμή-
λευμ', ἀπεύχετον δόμοις,
γυναικοβούλους τε μήτιδας φρενῶν
ἐπ' ἀνδρὶ τευχεσφόρῳ,
ἐπ' ἀνδρὶ δήοισιν ἐπικότῳ σέβας,
τίω δ' ἀθέρμαντον ἑστίαν δόμων
γυναικείαν ἄτολμον αἰχμάν.
κακῶν δὲ πρεσβεύεται τὸ Λήμνιον
λόγῳ· γοᾶται δὲ δήποθεν κατά-
πτυστον· ἤκασεν δέ τις
τὸ δεινὸν αὖ Λημνίοισι πήμασιν.
θεοστυγήτῳ δ' ἄχει
βροτῶν ἀτιμωθὲν οἴχεται γένος.
σέβει γὰρ οὔτις τὸ δυσφιλὲς θεοῖς.
τί τῶνδ' οὐκ ἐνδίκως ἀγείρω;
τὸ δ' ἄγχι πλευμόνων ξίφος
διανταίαν ὀξυπευκὲς οὐτᾷ
διαὶ Δίκας. τὸ μὴ θέμις γὰρ οὐ
λὰξ πέδον πατούμενον. τὸ πᾶν Διὸς
σέβας παρεκβάντες οὐ θεμίστως.
Δίκας δ' ἐρείδεται πυθμήν.
προχαλκεύει δ' Αἶσα φασγανουργός·
τέκνον δ' ἐπεισφέρει δώμασιν
αἱμάτων παλαιτέρων. τίνει μύσος
χρόνῳ κλυτὴ βυσσόφρων Ἐρινύς.

ΟΡΕΣΤΗΣ.

παῖ παῖ, θύρας ἄκουσον ἑρκείας κτύπον.
τίς ἔνδον, ὦ παῖ, παῖ, μάλ' αὖθις, ἐν δόμοις
τρίτον τόδ' ἐκπέραμα δωμάτων καλῶ,
εἴπερ φιλόξεν' ἐστὶν Αἰγίσθου βίᾳ.

ΟΙΚΕΤΗΣ.

εἶεν, ἀκούω· ποδαπὸς ὁ ξένος; πόθεν;

ΟΡΕΣΤΗΣ.

ἄγγελλε τοῖσι κυρίοισι δωμάτων,
πρὸς οὕσπερ ἥκω καὶ φέρω καινοὺς λόγους.
τάχυνε δ', ὡς καὶ νυκτὸς ἅρμ' ἐπείγεται
σκοτεινὸν, ὥρα δ' ἐμπόρους μεθιέναι
ἄγκυραν ἐν δόμοισι πανδόκοις ξένων.
ἐξελθέτω τις δωμάτων τελεσφόρος
γυνὴ τόπαρχος. ἄνδρα δ' εὐπρεπέστερον·
αἰδὼς γὰρ ἐν λεχθεῖσιν οὐκ ἐπαργέμους
λόγους τίθησιν· εἶπε θαρσήσας ἀνὴρ
πρὸς ἄνδρα, κἀσήμηνεν ἐμφανὲς τέκμαρ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ξένοι, λέγοιτ' ἂν εἴ τι δεῖ· πάρεστι γὰρ
ὁποῖάπερ δόμοισι τοῖσδ' ἐπεικότα,
καὶ θερμὰ λουτρὰ, καὶ πόνων θελκτήρια,
στρωμνὴ, δικαίων τ' ὀμμάτων παρουσία.
εἰ δ' ἄλλο πρᾶξαι δεῖ τι βουλιώτερον,
ἀνδρῶν τόδ' ἐστὶν ἔργον, οἷς κοινώσομεν.

ΟΡΕΣΤΗΣ.

ξένος μέν εἰμι Δαυλιεὺς ἐκ Φωκέων·
στείχοντα δ' αὐτόφορτον οἰκείᾳ σάγῃ
ἐς Ἄργος, ὥσπερ δεῦρ' ἀπεζύγην πόδας,
ἀγνὼς πρὸς ἀγνῶτ' εἶπε συμβαλὼν ἀνὴρ
ἐξιστορήσας καὶ σαφηνίσας ὁδὸν,
Στρόφιος ὁ Φωκεύς· πεύθομαι γὰρ ἐν λόγῳ·
ἐπείπερ ἄλλως, ὦ ξέν', εἰς Ἄργος κίεις,
πρὸς τοὺς τεκόντας, πανδίκως μεμνημένος,

639—645. == 646—652.

τεθνεῶτ' Ὀρέστην εἰπὲ, μηδαμῶς λάθῃ.
εἴτ' οὖν κομίζειν δόξα νικήσει φίλων,
εἴτ' οὖν μέτοικον, εἰς τὸ πᾶν ἀεὶ ξένον,
θάπτειν, ἐφετμὰς τάσδε πόρθμευσον πάλιν.
νῦν γὰρ λέβητος χαλκέου πλευρώματα
σποδὸν κέκευθεν ἀνδρὸς εὖ κεκλαυμένου.
τοσαῦτ' ἀκούσας εἶπον. εἰ δὲ τυγχάνω
τοῖς κυρίοισι καὶ προσήκουσιν λέγων
οὐκ οἶδα, τὸν τεκόντα δ' εἰκὸς εἰδέναι.

ΗΛΕΚΤΡΑ.

οἲ 'γὼ, κατ' ἄκρας ἐνθάδ' ὡς πορθούμεθα.
ὦ δυσπάλαιστε τῶνδε δωμάτων ἀρὰ,
ὡς πόλλ' ἐπωπᾷς κἀκποδὼν εὖ κείμενα,
τόξοις πρόσωθεν εὐσκόποις χειρουμένη,
φίλων ἀποψιλοῖς με τὴν παναθλίαν.
καὶ νῦν Ὀρέστης, ἦν γὰρ εὐβόλως ἔχων,
ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα,
νῦν δ' ἥπερ ἐν δόμοισι βακχείας καλῆς
ἰατρὸς ἐλπὶς ἦν, παροῦσαν ἐγγράφει.

ΟΡΕΣΤΗΣ.

ἐγὼ μὲν οὖν ξένοισιν ὧδ' εὐδαίμοσι
κεδνῶν ἕκατι πραγμάτων ἂν ἤθελον
γνωστὸς γενέσθαι καὶ ξενωθῆναι· τί γὰρ
ξένου ξένοισίν ἐστιν εὐμενέστερον;
πρὸς δυσσεβείας ἦν ἐμοὶ τόδ' ἐν φρεσὶ
τοιόνδε πρᾶγμα μὴ καρανῶσαι φίλοις,
καταινέσαντα καὶ κατεξενωμένον.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὔτοι κυρήσεις μεῖον ἀξίως σέθεν,
οὐδ' ἧσσον ἂν γένοιο δώμασιν φίλος.
ἄλλος δ' ὁμοίως ἦλθεν ἂν τάδ' ἀγγελῶν.
ἀλλ' ἔσθ' ὁ καιρὸς ἡμερεύοντας ξένους
μακρᾶς κελεύθου τυγχάνειν τὰ πρόσφορα.
ἄγ' αὐτὸν εἰς ἀνδρῶνας εὐξένους δόμων,
ὀπισθόπους δὲ τούσδε καὶ ξυνεμπόρους·
κἀκεῖ κυρούντων δώμασιν τὰ πρόσφορα:
αἰνῶ δὲ πράσσειν ὡς ὑπευθύνῳ τάδε.
ἡμεῖς δὲ ταῦτα τοῖς κρατοῦσι δωμάτων
κοινώσομέν τε κοὐ σπανίζοντες φίλων
βουλευσόμεσθα τῆσδε συμφορᾶς πέρι.

ΧΟΡΟΣ.

εἶεν, φίλιαι δμωίδες οἴκων,
πότε δὴ στομάτων
δείξομεν ἰσχὺν ἐπ' Ὀρέστῃ;
ὦ πότνια χθὼν καὶ πότνι' ἀκτὴ
χώματος, ἣ νῦν ἐπὶ ναυάρχῳ
σώματι κεῖσαι τῷ βασιλείῳ,
νῦν ἐπάκουσον, νῦν ἐπάρηξον·
νῦν γὰρ ἀκμάζει πειθὼ δολίαν
ξυγκαταβῆναι, χθόνιον δ' Ἑρμῆν
καὶ τὸν νύχιον τοῖσδ' ἐφοδεῦσαι
ξιφοδηλήτοισιν ἀγῶσιν.
ἔοικεν ἀνὴρ ὁ ξένος τεύχειν κακὸν,
τροφὸν δ' Ὀρέστου τήνδ' ὁρῶ κεκλαυμένην.
ποῖ δὴ πατεῖς, Κίλισσα, δωμάτων πύλας;
λύπη δ' ἄμισθός ἐστί σοι ξυνέμπορος.

ΤΡΟΦΟΣ.

Αἴγισθον ἡ κρατοῦσα τοὺς ξένους καλεῖν
ὅπως τάχιστ' ἄνωγεν, ὡς σαφέστερον
ἀνὴρ ἀπ' ἀνδρὸς τὴν νεάγγελτον φάτιν
ἐλθὼν πύθηται τήνδε. πρὸς μὲν οἰκέτας
θέτο σκυθρωπὸν ἐντὸς ὀμμάτων γέλων,
κεύθουσ' ἐπ' ἔργοις διαπεπραγμένοις, καλῶς
κείνῃ, δόμοις δὲ τοῖσδε παγκάκως ἔχει,
φήμης ὑφ' ἧς ἤγγειλαν οἱ ξένοι τορῶς.
ἦ δὴ κλύων ἐκεῖνος εὐφρανεῖ νόον,
εὖτ' ἂν πύθηται μῦθον. ὦ τάλαιν' ἐγώ·
ὥς μοι τὰ μὲν παλαιὰ συγκεκραμένα
ἄλγη δύσοιστα, τοῖσδ' ἐν Ἀτρέως δόμοις
τυχόντ', ἐμὴν ἤλγυνεν ἐν στέρνοις φρένα.
ἀλλ' οὔτι πω τοιόνδε πῆμ' ἀνεσχόμην.
τὰ μὲν γὰρ ἄλλα τλημόνως ἤντλουν κακά·
φίλον δ' Ὀρέστην, τῆς ἐμῆς ψυχῆς τριβήν,
ὃν ἐξέθρεψα μητρόθεν δεδεγμένη,
καὶ νυκτιπλάγκτων ὀρθίων κελευσμάτων,
καὶ πολλὰ καὶ μοχθήρ' ἀνωφέλητ' ἐμοὶ
τλάσῃ. τὸ μὴ φρονοῦν γὰρ ὡσπερεὶ βοτὸν
τρέφειν ἀνάγκη, πῶς γὰρ οὔ; τρόπῳ φρενός·
οὐ γάρ τι φωνεῖ παῖς ἔτ' ὢν ἐν σπαργάνοις,
ἢ λιμὸς, ἢ δίψη τις, ἢ λιψουρία
ἔχει· νέα δὲ νηδὺς αὐτάρκης τέκνων.
τούτων πρόμαντις οὖσα, πολλὰ δ', οἴομαι,
ψευσθεῖσα παιδὸς σπαργάνων φαιδρύντρια,
γναφεὺς τροφεύς τε ταυτὸν εἰχέτην τέλος.
ἐγὼ διπλᾶς δὲ τάσδε χειρωναξίας
ἔχουσ' Ὀρέστην ἐξεδεξάμην πατρί.
τεθνηκότος δὲ νῦν τάλαινα πεύθομαι.
στείχω δ' ἐπ' ἄνδρα τῶνδε λυμαντήριον
οἴκων, θέλων δὲ τῶνδε πεύσεται λόγων.

ΧΟΡΟΣ.

πῶς οὖν κελεύει νιν μολεῖν ἐσταλμένον;

ΤΡΟΦΟΣ.

ἢ πῶς; λέγ' αὖθις, ὡς μάθω σαφέστερον.

ΧΟΡΟΣ.

εἰ ξὺν λοχίταις, εἴτε καὶ μονοστιβῆ.

ΤΡΟΦΟΣ.

ἄγειν κελεύει δορυφόρους ὀπάονας.

ΧΟΡΟΣ.

μὴ νυν σὺ ταῦτ' ἄγγελλε δεσπότου στύγει·
ἀλλ' αὐτὸν ἐλθεῖν, ὡς ἀδειμάντως κλύῃ,
ἄνωχθ' ὅσον τάχιστα γαθούσῃ φρενί.
ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὀρθοῦται λόγος.

ΤΡΟΦΟΣ.

ἀλλ' ἦ φρονεῖς εὖ τοῖσι νῦν ἠγγελμένοις;

ΧΟΡΟΣ.

ἀλλ' εἰ τροπαίαν Ζεὺς κακῶν θήσει ποτέ.

ΤΡΟΦΟΣ.

καὶ πῶς; Ὀρέστης ἐλπὶς οἴχεται δόμων.

ΧΟΡΟΣ.

οὔπω· κακός γε μάντις ἂν γνοίη τάδε.

ΤΡΟΦΟΣ.

τί φής; ἔχεις τι τῶν λελεγμένων δίχα;

ΧΟΡΟΣ.

ἄγγελλ' ἰοῦσα, πρᾶσσε τἀπεσταλμένα.
μέλει θεοῖσιν ὧνπερ ἂν μέλη πέρι.

ΤΡΟΦΟΣ.

ἀλλ' εἶμι καὶ σοῖς ταῦτα πείσομαι λόγοις.
γένοιτο δ' ὡς ἄριστα σὺν θεῶν δόσει.

ΧΟΡΟΣ.

νῦν παραιτουμένῃ μοι, πάτερ

783—788. == 794—799.

Ζεῦ θεῶν Ὀλυμπίων,
δὸς τύχας, τυχεῖν δέ μοι κυρίως
τὰ σώφροσιν εὖ μαιομένοις ἰδεῖν
διαδικάσαι πᾶν ἔπος.
ἔλακον, Ζεῦ· σὺ δέ νιν φυλάσσοις.
ἒ ἒ, πρὸ δὲ δὴ 'χθρῶν
τῶν ἔσω μελάθρων, ὦ Ζεῦ, θές.
ἐπεί μιν μέγαν ἄρας,
δίδυμα καὶ τριπλᾶ
παλίμποινα θέλων ἀμείψει.
ἴσθι δ' ἀνδρὸς φίλου πῶλον εὖ-
νιν ζυγέντ' ἐν ἅρματι
πημάτων, ἐν δρόμῳ, προστιθεὶς
μέτρον. τίς ἂν σωζόμενον ῥυθμὸν
τοῦτ' ἰδεῖν δάπεδον,
ἀνομένων πημάτων ὄρεγμα;
οἵ τ' ἔσωθε δωμάτων
πλουτογαθῆ μυχὸν νομίζετε,
κλύετε, σύμφρονες θεοί.
ἄγετε, τῶν πάλαι πεπραγμένων
λύσασθ' αἷμα προσφάτοις δίκαις.
γέρων φόνος μηκέτ' ἐν δόμοις τέκοι,
τόδε καλῶς κτάμενον. ὦ
μέγα ναίων στόμιον, εὖ
δὸς ἀνιδεῖν δόμον ἀνδρὸς,
καί νιν ἐλευθερίως
λαμπρῶς τ' ἰδεῖν φιλίοις
ὄμμασι δνοφερὰς καλύπτρας.
ξυλλάβοι δ' ἐνδίκως
παῖς ὁ Μαίας ἐπιφορώτατος
πρᾶξιν οὐρίαν θέλων.
πολλὰ δ' ἄλλα φανεῖ χρηίζων,
κρύπτ'. ἄσκοπον δ' ἔπος λέγων,
νύκτα πρό τ' ὀμμάτων σκότον φέρει,
καθ' ἡμέραν δ' οὐδὲν ἐμφανέστερος.
καὶ τότε δὴ πλοῦτον
δωμάτων λυτήριον,
θῆλυν οὐριοστάταν
ὁμοῦ κρεκτὸν γοή-
των νόμον μεθήσομεν
πόλει· τὰ δ' εὖ,
ἐμὸν ἐμὸν κέρδος αὔξεται τόδε·
ἄτα δ' ἀποστατεῖ φίλων.
σὺ δὲ θαρσῶν, ὅταν ἥκῃ μέρος ἔργων,
ἐπαΰσας πατρὸς ἔργῳ, θροούσᾳ
πρὸς σὲ, τέκνον, πατρὸς αὐδὰν,
καὶ περαίνων ἐπίμομφον ἄταν,
Περσέως τ' ἐν φρεσὶν
καρδίαν σχεθὼν,
τοῖς θ' ὑπὸ χθονὸς φίλοισι,
τοῖς τ' ἄνωθεν προπράσσων
χάριτος ὀργὰς λυπρὰς, ἔνδοθεν
φοινίαν ἄταν τιθεὶς,
τὸν αἴτιον δ' ἐξαπολλὺς μόρου.

ΑΙΓΙΣΘΟΣ.

ἥκω μὲν οὐκ ἄκλητος, ἀλλ' ὑπάγγελος·
νέαν φάτιν δὲ πεύθομαι λέγειν τινὰς

789—793. = 827—830.
800—805. = 812—818.
819—826. = 831—837.

ξένους μολόντας οὐδαμῶς ἐφίμερον,
μόρον δ' Ὀρέστου. καὶ τόδ' ἀμφέρειν δόμοις
γένοιτ' ἂν ἄχθος αἱματοσταγὲς φόνῳ
τῷ πρόσθεν ἑλκαίνοντι καὶ δεδηγμένῳ.
πῶς ταῦτ' ἀληθῆ καὶ βλέποντα δοξάσω;
ἢ πρὸς γυναικῶν δειματούμενοι λόγοι
πεδάρσιοι θρώσκουσι, θνήσκοντες μάτην;
τί τῶνδ' ἂν εἴποις ὥστε δηλῶσαι φρενί;

ΤΡΟΦΟΣ.

ἠκούσαμεν μὲν, πυνθάνου δὲ τῶν ξένων
ἔσω παρελθών. οὐδὲν ἀγγέλων σθένος,
ὡς αὐτὸν αὐτῶν ἄνδρα πεύθεσθαι πέρι.

ΑΙΓΙΣΘΟΣ.

ἰδεῖν ἐλέγξαι τ' αὖ θέλω τὸν ἄγγελον,
εἴτ' αὐτὸς ἦν θνήσκοντος ἐγγύθεν παρὼν
εἴτ' ἐξ ἀμαυρᾶς κληδόνος λέγει μαθών.
οὔτοι φρέν' ἂν κλέψειεν ὠμματωμένην.

ΧΟΡΟΣ.

Ζεῦ Ζεῦ, τί λέγω, πόθεν ἄρξωμαι,
τάδ' ἐπευχομένη κἀπιθοάζουσ',
ὑπὸ δ' εὐνοίας
πῶς ἴσον εἰποῦσ' ἀνύσωμαι;
νῦν γὰρ μέλλουσι μιανθεῖσαι
πεῖραι κοπάνων ἀνδροδαΐκτων
ἢ πάνυ θήσειν Ἀγαμεμνονίων
οἴκων ὄλεθρον διὰ παντὸς,
ἢ πῦρ καὶ φῶς ἐπ' ἐλευθερίᾳ
δαίων ἀρχαῖς τε πολισσονόμοις
ἕξει πατέρων μέγαν ὄλβον.
τοιάνδε πάλην μόνος ὢν ἔφεδρος
δισσοῖς μέλλει θεῖος Ὀρέστης
ἅψειν. εἴη δ' ἐπὶ νίκῃ.

ΑΙΓΙΣΘΟΣ.

ἒ ἔ, ὀτοτοτοῖ.

ΧΟΡΟΣ.

ἔα ἔα μάλα·
πῶς ἔχει; πῶς κέκρανται δόμοις;
ἀποσταθῶμεν πράγματος τελουμένου,
ὅπως δοκῶμεν τῶνδ' ἀναίτιαι κακῶν
εἶναι. μάχης γὰρ δὴ κεκύρωται τέλος.

ΟΙΚΕΤΗΣ.

οἴμοι πανοίμοι δεσπότου τελουμένου,
οἴμοι μάλ' αὖθις ἐν τρίτοις προσφθέγμασιν.
Αἴγισθος οὐκ ἔτ' ἐστίν. ἀλλ' ἀνοίξατε
ὅπως τάχιστα καὶ γυναικείους πύλας
μοχλοῖς χαλᾶτε· καὶ μάλ' ἡβῶντος δὲ δεῖ,
οὐχ ὥστ' ἀρῆξαι διαπεπραγμένῳ· τί γάρ;
ἰοὺ ἰού. κωφοῖς ἀϋτῶ καὶ καθεύδουσιν μάτην
ἄκραντα βάζω. ποῖ Κλυταιμνήστρα; τί δρᾷ;
ἔοικε νῦν αὐτῆς ἐπὶ ξυροῦ πέλας
αὐχὴν πεσεῖσθαι πρὸς δίκην πεπληγμένης.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τί δ' ἐστὶ χρῆμα; τίνα βοὴν ἵστης δόμοις;

ΟΙΚΕΤΗΣ.

τὸν ζῶντα καίνειν τοὺς τεθνηκότας λέγω.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οἲ 'γώ. ξυνῆκα τοὔπος ἐξ αἰνιγμάτων.
δόλοις ὀλούμεθ', ὥσπερ οὖν ἐκτείναμεν.
δοίη τις ἀνδροκμῆτα πέλεκυν ὡς τάχος·
εἰδῶμεν ἢ νικῶμεν, ἢ νικώμεθα.
ἐνταῦθα γὰρ δὴ τοῦδ' ἀφικόμην κακοῦ.

ΟΡΕΣΤΗΣ.

σὲ καὶ ματεύω· τῷδε δ' ἀρκούντως ἔχει.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οἲ 'γώ. τέθνηκας φίλτατ' Αἰγίσθου βία.

ΟΡΕΣΤΗΣ.

φιλεῖς τὸν ἄνδρα; τοιγὰρ ἐν ταὐτῷ τάφῳ
κείσει. θανόντα δ' οὔτι μὴ προδῷς ποτέ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἐπίσχες, ὦ παῖ, τόνδε δ' αἴδεσαι, τέκνον,
μαστὸν, πρὸς ᾧ σὺ πολλὰ δὴ βρίζων ἅμα
οὔλοισιν ἐξήμελξας εὐτραφὲς γάλα.

ΟΡΕΣΤΗΣ.

Πυλάδη, τί δράσω; μητέρ' αἰδεσθῶ κτανεῖν;

ΠΥΛΑΔΗΣ.

ποῦ δὴ τὰ λοιπὰ Λοξίου μαντεύματα
τὰ πυθόχρηστα, πιστὰ δ' εὐορκώματα;
ἅπαντας ἐχθροὺς τῶν θεῶν ἡγοῦ πλέον.

ΟΡΕΣΤΗΣ.

κρίνω σὲ νικᾶν, καὶ παραινεῖς μοι καλῶς.
ἕπου, πρὸς αὐτὸν τόνδε σὲ σφάξαι θέλω.
καὶ ζῶντα γάρ νιν κρείσσον' ἡγήσω πατρός·
τούτῳ θανοῦσα ξυγκάθευδ'· ἐπεὶ φιλεῖς
τὸν ἄνδρα τοῦτον, ὃν δ' ἐχρῆν φιλεῖν στυγεῖς.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἐγώ σ' ἔθρεψα, νῦν δὲ γηράναι θέλω.

ΟΡΕΣΤΗΣ.

πατροκτονοῦσα γὰρ ξυνοικήσεις ἐμοί;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἡ μοῖρα τούτων, ὦ τέκνον, παραιτία.

ΟΡΕΣΤΗΣ.

καὶ τόνδε τοίνυν μοῖρ' ἐπόρσυνεν μόρον.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐδὲν σεβίζει γενεθλίους ἀρὰς, τέκνον;

ΟΡΕΣΤΗΣ.

τεκοῦσα γάρ μ' ἔρριψας ἐς τὸ δυστυχές.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὔτοι σ' ἀπέρριψ' εἰς δόμους δορυξένους.

ΟΡΕΣΤΗΣ.

διχῶς ἐπράθην, ὢν ἐλευθέρου πατρός.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ποῦ δῆθ' ὁ τῖμος ὅντιν' ἀντεδεξάμην;

ΟΡΕΣΤΗΣ.

αἰσχύνομαί σοι τοῦτ' ὀνειδίσαι σαφῶς.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

μὴ, ἀλλ' εἴφ' ὁμοίως καὶ πατρὸς τοῦ σοῦ μάτας.

ΟΡΕΣΤΗΣ.

μὴ 'λεγχε τὸν πονοῦντ' ἔσω καθημένη.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἄλγος γυναιξὶν ἀνδρὸς εἴργεσθαι, τέκνον.

ΟΡΕΣΤΗΣ.

τρέφει δέ γ' ἀνδρὸς μόχθος ἡμένας ἔσω.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

κτενεῖν ἔοικας, ὦ τέκνον, τὴν μητέρα.

ΟΡΕΣΤΗΣ.

σύ τοι σεαυτὴν, οὐκ ἐγὼ, κατακτενεῖς.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὅρα, φύλαξαι μητρὸς ἐγκότους κύνας.

ΟΡΕΣΤΗΣ.

τὰς τοῦ πατρὸς δὲ πῶς φύγω, παρεὶς τάδε;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἔοικα θρηνεῖν ζῶσα πρὸς τύμβον μάτην.

ΟΡΕΣΤΗΣ.

πατρὸς γὰρ αἶσα τόνδε σουρίζει μόρον.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οἲ 'γὼ τεκοῦσα τόνδ' ὄφιν ἐθρεψάμην.
ἦ κάρτα μάντις οὐξ ὀνειράτων φόβος.

ΟΡΕΣΤΗΣ.

ἔκανές γ' ὃν οὐ χρῆν, καὶ τὸ μὴ χρεὼν πάθε.

ΧΟΡΟΣ.

στένωμεν οὖν καὶ τῶνδε συμφορὰν διπλῆν.
ἐπεὶ δὲ πολλῶν αἱμάτων ἐπήκρισε
τλήμων Ὀρέστης, τοῦθ' ὅμως αἱρούμεθα,
ὀφθαλμὸν οἴκων μὴ πανώλεθρον πεσεῖν.
ἔμολε μὲν δίκα Πριαμίδαις χρόνῳ,
βαρύδικος ποινά.
ἔμολε δ' ἐς δόμον τὸν Ἀγαμέμνονος
διπλοῦς λέων, διπλοῦς Ἄρης.
ἔλακε δ' ἐς τὸ πᾶν
ὁ πυθοχρήστας φυγάς.
θεόθεν εὖ φραδαῖσιν ὡρμημένος
ἐπολολύξατ' ὦ δεσποσύνων δόμων
ἀναφυγὰς κακῶν καὶ κτεάνων τριβᾶς
ὑπὸ δυοῖν μιαστόροιν
δυσοίμου τύχας.
ἔμολε δ' ᾧ μέλει κρυπταδίου μάχας,
δολιόφρων ποινά.
ἔθιγε δὴ μάχᾳ χερὸς ἐτήτυμος
Διὸς κόρα· Δίκαν δέ νιν
προσαγορεύομεν
βροτοὶ τυχόντες καλῶς·
ὀλέθριον πνέουσ' ἐν ἐχθροῖς κότον·
τάπερ ὁ Λοξίας ὁ Παρνάσιος,
μέγαν ἔχων μυχὸν χθονὸς * *
* * *
* * *
* * *
* * *
* * *
* * *
* * ἐπ' ὄχθει
ἄξεν ἀδόλως δολίαν
βλαπτομέναν χρονισθεῖσαν ἐποίχεται.
κρατεῖταί πως τὸ θεῖον παρὰ τὸ μὴ
ὑπουργεῖν κακοῖς.
ἄξιον οὐρανοῦχον ἀρχὰν σέβειν.
πάρα τὸ φῶς ἰδεῖν.
μέγα τ' ἀφῃρέθην ψάλιον οἴκων.
ἄναγε μὰν δόμοι· πολὺν ἄγαν χρόνον
χαμαιπετεῖς ἔκεισθ' ἀεί,
τάχα δὲ παντελὴς χρόνος ἀμείψεται
πρόθυρα δωμάτων, ὅταν ἀφ' ἑστίας
μύσος πᾶν ἐλάσῃ
καθαρμοῖσιν ἀτᾶν ἐλατηρίοις.
τύχᾳ δ' εὐπροσωποκοίτᾳ τὸ πᾶν
ἰδεῖν ἀκοῦσαι θρεομένοις,
μέτοικοι δόμων πεσοῦνται πάλιν.
πάρα τὸ φῶς ἰδεῖν.

ΟΡΕΣΤΗΣ.

ἴδεσθε χώρας τὴν διπλῆν τυραννίδα,
πατροκτόνους τε δωμάτων πορθήτορας.

935—945. == 946—954.

955—961. == 962—972.

σεμνοὶ μὲν ἦσαν, ἐν θρόνοις τόθ᾿ ἥμενοι,
φίλοι δὲ καὶ νῦν, ὡς ἐπεικάσαι πάθη
πάρεστιν, ὅρκος τ᾿ ἐμμένει πιστώμασι.
ξυνώμοσαν μὲν θάνατον ἀθλίῳ πατρὶ,
καὶ ξυνθανεῖσθαι· καὶ τάδ᾿ εὐόρκως ἔχει.
ἴδεσθε δ᾿ αὖτε, τῶνδ᾿ ἐπήκοοι κακῶν,
τὸ μηχάνημα, δεσμὸν ἀθλίῳ πατρὶ,
πέδας τε χειροῖν καὶ ποδοῖν ξυνωρίδα.
ἐκτείνατ᾿ αὐτὸν, καὶ κύκλῳ παρασταδὸν
στέγαστρον ἀνδρῶν δείξαθ᾿, ὡς ἴδῃ πατὴρ,
οὐχ οὑμὸς, ἀλλ᾿ ὁ πάντ᾿ ἐποπτεύων τάδε
Ἥλιος, ἄναγνα μητρὸς ἔργα τῆς ἐμῆς,
ὡς ἂν παρῇ μοι μάρτυς ἐν δίκῃ ποτὲ,
ὡς τόνδ᾿ ἐγὼ μετῆλθον ἐνδίκως μόρον
τὸν μητρός· Αἰγίσθου γὰρ οὐ λέγω μόρον·
ἔχει γὰρ αἰσχυντῆρος, ὡς νόμου, δίκην·
ἥτις δ᾿ ἐπ᾿ ἀνδρὶ τοῦτ᾿ ἐμήσατο στύγος,
ἐξ οὗ τέκνων ἤνεγχ᾿ ὑπὸ ζώνην βάρος,
φίλον τέως, νῦν δ᾿ ἐχθρὸν, ὡς φαίνει, κακόν.
τί σοι δοκεῖ; μύραινά γ᾿ ἢ ἔχιδν᾿ ἔφυ,
σήπειν θιγοῦσ᾿ ἂν ἄλλον, οὐ δεδηγμένον,
τόλμης ἕκατι κἀδίκου φρονήματος.
τί νιν προσείπω, καὶ τύχω μάλ᾿ εὐστομῶν;
ἄγρευμα θηρὸς, ἢ νεκροῦ ποδένδυτον
δροίτης κατασκήνωμα; δίκτυον μὲν οὖν.
ἄρκυν δ᾿ ἂν εἴποις καὶ ποδιστῆρας πέπλους.
τοιοῦτον ἂν κτήσαιτο φηλήτης ἀνὴρ,
ξένων ἀπαιόλημα, κἀργυροστερῆ
βίον νομίζων· τῷδέ τ᾿ ἂν δολώματι
πολλοὺς ἀναιρῶν πολλὰ θερμαίνοι φρενί.
τοιάδε μοι ξύνοικος ἐν δόμοισι μὴ
γένοιτ᾿· ὀλοίμην πρόσθεν ἐκ θεῶν ἄπαις.

ΧΟΡΟΣ.

αἰαῖ αἰαῖ μελέων ἔργων·
στυγερῷ θανάτῳ διεπράχθης.
ἒ ἔ, μίμνοντι δὲ καὶ πάθος ἀνθεῖ.

ΟΡΕΣΤΗΣ.

ἔδρασεν ἢ οὐκ ἔδρασε; μαρτυρεῖ δέ μοι
φᾶρος τόδ᾿, ὡς ἔβαψεν Αἰγίσθου ξίφος.
φόνου δὲ κηκὶς ξὺν χρόνῳ ξυμβάλλεται,
πολλὰς βαφὰς φθείρουσα τοῦ ποικίλματος.
νῦν αὐτὸν αἰνῶ, νῦν ἀποιμώζω παρὼν,
πατροκτόνον θ᾿ ὕφασμα προσφωνῶν τόδε.
ἀλγῶ μὲν ἔργα καὶ πάθος, γένος τε πᾶν,
ἄζηλα νίκης τῆσδ᾿ ἔχων μιάσματα.

ΧΟΡΟΣ.

οὔτις μερόπων ἀσινῆ βίοτον
διὰ πάντ᾿ ἄτιμος ἀμείψεται.
ἒ ἔ, μόχθος δ᾿ ὁ μὲν αὐτίχ᾿, ὁ δ᾿ ἥξει.

ΟΡΕΣΤΗΣ.

ἀλλ᾿, ὡς ἂν εἰδῆς, τοῦτ᾿ ἄρ᾿ οἶδ᾿ ὅπῃ τελεῖ,
ὥσπερ ξὺν ἵπποις ἡνιοστρόφου δρόμου
ἐξωτέρω. φέρουσι γὰρ νικώμενον
φρένες δύσαρκτοι. πρὸς δὲ καρδίᾳ φόβος
ᾄδειν ἕτοιμος ἠδ᾿ ὑπορχεῖσθαι κότῳ.
ἕως δ᾿ ἔτ᾿ ἔμφρων εἰμὶ, κηρύσσω φίλοις,
κτανεῖν τέ φημι μητέρ᾿ οὐκ ἄνευ δίκης,
πατροκτόνον μίασμα καὶ θεῶν στύγος,
καὶ φίλτρα τόλμης τῆσδε πλειστηρίζομαι
τὸν πυθόμαντιν Λοξίαν, χρήσαντ᾿ ἐμοὶ
πράξαντι μὲν ταῦτ᾿ ἐκτὸς αἰτίας κακῆς
εἶναι, παρέντι δ᾿ οὐκ ἐρῶ τὴν ζημίαν.
τόξῳ γὰρ οὔτις πημάτων προσίξεται.
καὶ νῦν ὁρᾶτέ μ᾿, ὡς παρεσκευασμένος
ξὺν τῷδε θαλλῷ καὶ στέφει προσίξομαι
μεσόμφαλόν θ᾿ ἵδρυμα Λοξίου πέδον
πυρός τε φέγγος ἄφθιτον κεκλημένον,
φεύγων τόδ᾿ αἷμα κοινόν. οὐδ᾿ ἐφ᾿ ἑστίαν
ἄλλην τραπέσθαι Λοξίας ἐφίετο.
τὰ δ᾿ ἐν χρόνῳ μοι πάντας Ἀργείους λέγω
καὶ μαρτυρεῖν μὲν ὡς ἐπορσύνθη κακά.
ἐγὼ δ᾿ ἀλήτης τῆσδε γῆς ἀπόξενος,
ζῶν καὶ τεθνηκὼς τάσδε κληδόνας λιπών.

ΧΟΡΟΣ.

ἀλλ᾿ εὖ γε πράξας μήτ᾿ ἐπιζευχθῇς στόμα
φήμαις πονηραῖς μήτ᾿ ἐπιγλωσσῶ κακὰ,
ἐλευθερώσας πᾶσαν Ἀργείαν πόλιν,
δυοῖν δρακόντοιν εὐπετῶς τεμὼν κάρα.

ΟΡΕΣΤΗΣ.

ἆ ἆ. δμωαὶ γυναῖκες, αἵδε Γοργόνων δίκην
φαιοχίτωνες καὶ πεπλεκτανημέναι
πυκνοῖς δράκουσιν· οὐκ ἔτ᾿ ἂν μείναιμ᾿ ἐγώ.

ΧΟΡΟΣ.

τίνες σε δόξαι, φίλτατ᾿ ἀνθρώπων πατρὶ,
στροβοῦσιν; ἴσχε, μὴ φόβου νικῶ πολύ.

ΟΡΕΣΤΗΣ.

οὐκ εἰσὶ δόξαι τῶνδε πημάτων ἐμοί.
σαφῶς γὰρ αἵδε μητρὸς ἔγκοτοι κύνες.

ΧΟΡΟΣ.

ποταίνιον γὰρ αἷμά σοι χεροῖν ἔτι·
ἐκ τῶνδέ τοι ταραγμὸς ἐς φρένας πίτνει.

ΟΡΕΣΤΗΣ.

ἄναξ Ἄπολλον, αἵδε πληθύουσι δὴ,
κἀξ ὀμμάτων στάζουσιν αἷμα δυσφιλές.

ΧΟΡΟΣ.

εἰσὶν καθαρμοί. Λοξίου δὲ προσθιγὼν
ἐλεύθερόν σε τῶνδε πημάτων κτίσει.

ΟΡΕΣΤΗΣ.

ὑμεῖς μὲν οὐχ ὁρᾶτε τάσδ᾿, ἐγὼ δ᾿ ὁρῶ·
ἐλαύνομαι δὲ, κοὐκ ἔτ᾿ ἂν μείναιμ᾿ ἐγώ.

ΧΟΡΟΣ.

ἀλλ᾿ εὐτυχοίης, καί σ᾿ ἐποπτεύων πρόφρων
θεὸς φυλάσσοι καιρίοισι συμφοραῖς.
ὅδε τοι μελάθροις τοῖς βασιλείοις
τρίτος αὖ χειμὼν
πνεύσας γονίας ἐτελέσθη.
παιδόβοροι μὲν πρῶτον ὑπῆρξαν
μόχθοι τάλανές τε Θυέστου·
δεύτερον ἀνδρὸς βασίλεια πάθη·
λουτροδάϊκτος δ᾿ ὤλετ᾿ Ἀχαιῶν
πολέμαρχος ἀνήρ.
νῦν δ᾿ αὖ τρίτος ἦλθέ ποθεν σωτὴρ,
ἢ μόρον εἴπω.
ποῖ δῆτα κρανεῖ, ποῖ καταλήξει
μετακοιμισθὲν μένος ἄτης;

# ΑΙΣΧΥΛΟΥ ΕΥΜΕΝΙΔΕΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΠΥΘΙΑΣ ΠΡΟΦΗΤΙΣ.*
*ΑΠΟΛΛΩΝ.*
*ΟΡΕΣΤΗΣ.*
*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑΣ ΕΙΔΩΛΟΝ.*
*ΧΟΡΟΣ ΕΥΜΕΝΙΔΩΝ.*
*ΑΘΗΝΑ.*
*ΠΡΟΠΟΜΠΟΙ.*

## *ΥΠΟΘΕΣΙΣ.*

*Ὀρέστης ἐν Δελφοῖς περιεχόμενος ὑπὸ τῶν Ἐριννύων βουλῇ Ἀπόλλωνος παρεγένετο εἰς Ἀθήνας εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς· ἧς βουλῇ νικήσας κατῆλθεν εἰς Ἄργος. τὰς δὲ Ἐριννύας πραΰνας προσηγόρευσεν Εὐμενίδας. παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιία.*

# ΕΥΜΕΝΙΔΕΣ.

ΠΥΘΙΑΣ.

Πρῶτον μὲν εὐχῇ τῇδε πρεσβεύω θεῶν
τὴν πρωτόμαντιν Γαῖαν· ἐκ δὲ τῆς Θέμιν,
ἣ δὴ τὸ μητρὸς δευτέρα τόδ' ἕζετο
μαντεῖον, ὡς λόγος τις· ἐν δὲ τῷ τρίτῳ
λάχει, θελούσης, οὐδὲ πρὸς βίαν τινὸς,
Τιτανὶς ἄλλη παῖς χθονὸς καθέζετο
Φοίβη, δίδωσι δ' ἣ γενέθλιον δόσιν
Φοίβῳ. τὸ Φοίβης δ' ὄνομ' ἔχει παρώνυμον.
λιπὼν δὲ λίμνην Δηλίαν τε χοιράδα,
κέλσας ἐπ' ἀκτὰς ναυπόρους τὰς Παλλάδος,
ἐς τήνδε γαῖαν ἦλθε Παρνησοῦ θ' ἕδρας.
πέμπουσι δ' αὐτὸν καὶ σεβίζουσιν μέγα
κελευθοποιοὶ παῖδες Ἡφαίστου, χθόνα
ἀνήμερον τιθέντες ἡμερωμένην.
μολόντα δ' αὐτὸν κάρτα τιμαλφεῖ λεὼς,
Δελφός τε χώρας τῆσδε πρυμνήτης ἄναξ.
τέχνης δέ νιν Ζεὺς ἔνθεον κτίσας φρένα
ἵζει τέταρτον τόνδε μάντιν ἐν θρόνοις·
Διὸς προφήτης δ' ἐστὶ Λοξίας πατρός.
τούτους ἐν εὐχαῖς φροιμιάζομαι θεούς.
Παλλὰς προναία δ' ἐν λόγοις πρεσβεύεται.
σέβω δὲ νύμφας, ἔνθα Κωρυκὶς πέτρα
κοίλη, φίλορνις, δαιμόνων ἀναστροφή.
Βρόμιος δ' ἔχει τὸν χῶρον, οὐδ' ἀμνημονῶ,
ἐξ οὗτε Βάκχαις ἐστρατήγησεν θεὸς,
λαγὼ δίκην Πενθεῖ καταρράψας μόρον·
Πλειστοῦ τε πηγὰς καὶ Ποσειδῶνος κράτος
καλοῦσα καὶ τέλειον ὕψιστον Δία.
ἔπειτα μάντις εἰς θρόνους καθιζάνω.
καὶ νῦν τυχεῖν με τῶν πρὶν εἰσόδων μακρῷ
ἄριστα δοῖεν· κεἰ παρ' Ἑλλήνων τινὲς,
ἴτων πάλῳ λαχόντες, ὡς νομίζεται.
μαντεύομαι γὰρ ὡς ἂν ἡγῆται θεός.
ἦ δεινὰ λέξαι, δεινὰ δ' ὀφθαλμοῖς δρακεῖν
πάλιν μ' ἔπεμψεν ἐκ δόμων τῶν Λοξίου,
ὡς μήτε σωκεῖν μήτε μ' ἀκταίνειν στάσιν·
τρέχω δὲ χερσὶν, οὐ ποδωκίᾳ σκελῶν·
δείσασα γὰρ γραῦς, οὐδὲν, ἀντίπαις μὲν οὖν.
ἐγὼ μὲν ἕρπω πρὸς πολυστεφῆ μυχόν·
ὁρῶ δ' ἐπ' ὀμφαλῷ μὲν ἄνδρα θεομυσῆ
ἕδραν ἔχοντα προστρόπαιον, αἵματι
στάζοντα χεῖρας καὶ νεοσπαδὲς ξίφος
ἔχοντ', ἐλαίας θ' ὑψιγέννητον κλάδον,
λήνει μεγίστῳ σωφρόνως ἐστεμμένον,
ἀργῆτι μαλλῷ. τῇδε γὰρ τρανῶς ἐρῶ.
πρόσθεν δὲ τἀνδρὸς τοῦδε θαυμαστὸς λόχος
εὕδει γυναικῶν ἐν θρόνοισιν ἥμενος.
οὔτοι γυναῖκας, ἀλλὰ Γοργόνας λέγω·
οὐδ' αὖτε Γοργείοισιν εἰκάσω τύποις·
εἶδόν ποτ' ἤδη Φινέως γεγραμμένας
δεῖπνον φερούσας· ἄπτεροί γε μὴν ἰδεῖν
αὗται, μέλαιναι δ' ἐς τὸ πᾶν βδελύκτροποι·
ῥέγκουσι δ' οὐ πλαστοῖσι φυσιάμασιν·
ἐκ δ' ὀμμάτων λείβουσι δυσφιλῆ βίαν·
καὶ κόσμος οὔτε πρὸς θεῶν ἀγάλματα
φέρειν δίκαιος οὔτ' ἐς ἀνθρώπων στέγας.
τὸ φῦλον οὐκ ὄπωπα τῆσδ' ὁμιλίας,
οὐδ' ἥτις αἶα τοῦτ' ἐπεύχεται γένος
τρέφουσ' ἀνατεὶ μὴ μεταστένειν πόνων.
τἀντεῦθεν ἤδη τῶνδε δεσπότῃ δόμων
αὐτῷ μελέσθω Λοξίᾳ μεγασθενεῖ.
ἰατρόμαντις δ' ἐστὶ καὶ τερασκόπος,
καὶ τοῖσιν ἄλλοις δωμάτων καθάρσιος.

ΑΠΟΛΛΩΝ.

οὔτοι προδώσω· διὰ τέλους δέ σοι φύλαξ
ἐγγὺς παρεστὼς, καὶ πρόσω δ' ἀποστατῶν,
ἐχθροῖσι τοῖς σοῖς οὐ γενήσομαι πέπων.
καὶ νῦν ἁλούσας τάσδε τὰς μάργους ὁρᾷς.
ὕπνῳ πεσοῦσαι δ' αἱ κατάπτυστοι κόραι,
γραῖαι, παλαιαὶ παῖδες, αἷς οὐ μίγνυται
θεῶν τις οὐδ' ἄνθρωπος οὐδὲ θήρ ποτε·
κακῶν δ' ἕκατι κἀγένοντ'· ἐπεὶ κακὸν
σκότον νέμονται Τάρταρόν θ' ὑπὸ χθονὸς,
μισήματ' ἀνδρῶν καὶ θεῶν Ὀλυμπίων.
ὅμως δὲ φεῦγε μηδὲ μαλθακὸς γένῃ.
ἐλῶσι γάρ σε καὶ δι' ἠπείρου μακρᾶς
βεβῶτ' ἀνατεὶ τὴν πλανοστιβῆ χθόνα,
ὑπέρ τε πόντου καὶ περιρρύτας πόλεις.
καὶ μὴ πρόκαμνε τόνδε βουκολούμενος
πόνον· μολὼν δὲ Παλλάδος ποτὶ πτόλιν
ἵζου παλαιὸν ἄγκαθεν λαβὼν βρέτας,
κἀκεῖ δικαστὰς τῶνδε καὶ θελκτηρίους
μύθους ἔχοντες μηχανὰς εὑρήσομεν,
ὥστ' ἐς τὸ πᾶν σε τῶνδ' ἀπαλλάξαι πόνων.
καὶ γὰρ κτανεῖν σ' ἔπεισα μητρῷον δέμας.

ΟΡΕΣΤΗΣ.

ἄναξ Ἄπολλον, οἶσθα μὲν τὸ μὴ 'δικεῖν·
ἐπεὶ δ' ἐπίστᾳ, καὶ τὸ μὴ 'μελεῖν μάθε.
σθένος δὲ ποιεῖν εὖ φερέγγυον τὸ σόν.

ΑΠΟΛΛΩΝ.

μέμνησο, μὴ φόβος σε νικάτω φρένας.
σὺ δ', αὐτάδελφον αἷμα καὶ κοινοῦ πατρὸς,
Ἑρμῆ, φύλασσε· κάρτα δ' ὢν ἐπώνυμος
πομπαῖος ἴσθι, τόνδε ποιμαίνων ἐμὸν
ἱκέτην. σέβει τοι Ζεὺς τόδ' ἐκ νόμων σέβας,
ὁρμώμενον βροτοῖσιν εὐπόμπῳ τύχῃ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

εὕδοιτ' ἄν, ὠή, καὶ καθευδουσῶν τί δεῖ;
ἐγὼ δ' ὑφ' ὑμῶν ὧδ' ἀπητιμασμένη
ἄλλοισιν ἐν νεκροῖσιν, ὡς μὲν ἔκτανον,
ὄνειδος ἐν φθιτοῖσιν οὐκ ἐκλείπεται,
αἰσχρῶς δ' ἀλῶμαι· προὐννέπω δ' ὑμῖν ὅτι
ἔχω μεγίστην αἰτίαν κείνων ὕπο·
παθοῦσα δ' οὕτω δεινὰ πρὸς τῶν φιλτάτων
οὐδεὶς ὑπέρ μου δαιμόνων μηνίεται,
κατασφαγείσης πρὸς χερῶν μητροκτόνων.
ὅρα δὲ πληγὰς τάσδε, καρδίᾳ, σέθεν.
εὕδουσα γὰρ φρὴν ὄμμασιν λαμπρύνεται.

ἐν ἡμέρᾳ δὲ μοῖρα πρόσκοπος βροτῶν.
ἦ πολλὰ μὲν δὴ τῶν ἐμῶν ἐλείξατε,
χοάς τ' ἀοίνους, νηφάλια μειλίγματα,
καὶ νυκτίσεμνα δεῖπν' ἐπ' ἐσχάρᾳ πυρὸς
ἔθυον, ὥραν οὐδενὸς κοινὴν θεῶν.
καὶ πάντα ταῦτα λὰξ ὁρῶ πατούμενα.
ὁ δ' ἐξαλύξας οἴχεται νεβροῦ δίκην,
καὶ ταῦτα κούφως ἐκ μέσων ἀρκυστάτων
ὤρουσεν, ὑμῖν ἐγκατιλλώψας μέγα.
ἀκούσαθ' ὡς ἔλεξα τῆς ἐμῆς περὶ
ψυχῆς, φρονήσατ', ὦ κατὰ χθονὸς θεαί.
ὄναρ γὰρ ὑμᾶς νῦν Κλυταιμνήστρα καλῶ.

ΧΟΡΟΣ.

(μυγμός.)

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

μύζοιτ' ἄν, ἀνὴρ δ' οἴχεται φεύγων πρόσω.
φίλοις γάρ εἰσιν οὐκ ἐμοῖς προσίκτορες.

ΧΟΡΟΣ.

(μυγμός.)

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἄγαν ὑπνώσσεις, κοὐ κατοικτίζεις πάθος·
φονεὺς δ' Ὀρέστης τῆσδε μητρὸς οἴχεται.

ΧΟΡΟΣ.

(ὠγμός.)

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὤζεις, ὑπνώσσεις, οὐκ ἀναστήσει τάχος;
τί σοι πέπρακται πρᾶγμα πλὴν τεύχειν κακά;

ΧΟΡΟΣ.

(ὠγμός.)

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὕπνος πόνος τε κύριοι συνωμόται
δεινῆς δρακαίνης ἐξεκήραναν μένος.

ΧΟΡΟΣ.

(μυγμος διπλοῦς ὀξύς.)
λαβὲ λαβὲ λαβὲ λαβὲ, φράζου.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὄναρ διώκεις θῆρα, κλαγγαίνεις δ' ἅπερ
κύων μέριμναν οὔποτ' ἐκλιπὼν πόνου.
τί δρᾷς; ἀνίστω, μή σε νικάτω πόνος,
μηδ' ἀγνοήσῃς πῆμα μαλθαχθεῖσ' ὕπνῳ.
ἄλγησον ἧπαρ ἐνδίκοις ὀνείδεσι·
τοῖς σώφροσιν γὰρ ἀντίκεντρα γίγνεται.
σὺ δ' αἱματηρὸν πνεῦμ' ἐπουρίσασα τῷ,
ἀτμῷ κατισχναίνουσα νηδύος πυρὶ,
ἕπου, μάραινε δευτέροις διώγμασιν.

ΧΟΡΟΣ.

ἔγειρ', ἔγειρε καὶ σὺ τήνδ', ἐγὼ δὲ σέ.
εὕδεις; ἀνίστω, κἀπολακτίσασ' ὕπνον,
ἰδώμεθ' εἴ τι τοῦδε φροιμίου ματᾷ.
ἰοὺ ἰοὺ, πόπαξ. ἐπάθομεν, φίλαι,
ἦ πολλὰ δὴ παθοῦσα καὶ μάτην ἐγὼ,
ἐπάθομεν πάθος δυσαχὲς, ὦ πόποι,
ἄφερτον κακόν.
ἐξ ἀρκύων πέπτωκεν, οἴχεται δ' ὁ θήρ.
ὕπνῳ κρατηθεῖσ' ἄγραν ὤλεσα.
ἰὼ παῖ Διὸς, ἐπίκλοπος πέλει.
νέος δὲ γραίας δαίμονας καθιππάσω,
τὸν ἱκέταν σέβων ἄθεον ἄνδρα καὶ
τοκεῦσιν πικρὸν,

143 — 148. == 149 — 154.

τὸν μητραλοίαν δ' ἐξέκλεψας ὢν θεός.
τί τῶνδ' ἐρεῖ τις δικαίως ἔχειν;
ἐμοὶ δ' ὄνειδος ἐξ ὀνειράτων μολὸν
ἔτυψεν δίκαν διφρηλάτου
μεσολαβεῖ κέντρῳ
ὑπὸ φρένας, ὑπὸ λοβὸν,
πάρεστι μαστίκτορος,
δαΐου δαμίου.
βαρὺ τὸ περίβαρυ κρύος ἔχειν.
τοιαῦτα δρῶσιν οἱ νεώτεροι θεοὶ
κρατοῦντες τὸ πᾶν δίκας πλέον·
φονολιβῆ θρόνον
περὶ πόδα, περὶ κάρα
πάρεστι γᾶς ὀμφαλὸν
προσδρακεῖν αἱμάτων
βλοσυρὸν αἱρούμενον ἄγος ἔχειν.
ἐφεστίῳ δὲ μάντις ὢν μιάσματι
μυχὸν ἔχρανας αὐτόσσυτος, αὐτόκλητος,
παρὰ νόμον θεῶν βρότεα μὲν τίων,
παλαιγενεῖς δὲ Μοίρας φθίσας.
κἀμοί τε λυπρὸς, καὶ τὸν οὐκ ἐκλύσεται,
ὑπό τε γᾶν φυγὼν οὔ ποτ' ἐλευθεροῦται,
ποτιτρόπαιος ὢν δ' ἕτερον ἐν κάρᾳ
μιάστορ' ἐκείνου πάσεται.

ΑΠΟΛΛΩΝ.

ἔξω, κελεύω, τῶνδε δωμάτων τάχος
χωρεῖτ', ἀπαλλάσσεσθε μαντικῶν μυχῶν,
μὴ καὶ λαβοῦσα πτηνὸν ἀργηστὴν ὄφιν,
χρυσηλάτου θώμιγγος ἐξορμώμενον,
ἀνῇς ὑπ' ἄλγους μέλαν' ἀπ' ἀνθρώπων ἀφρὸν,
ἐμοῦσα θρόμβους οὓς ἀφείλκυσας φόνου.
οὔτοι δόμοισι τοῖσδε χρίμπτεσθαι πρέπει·
ἀλλ' οὗ καρανιστῆρες ὀφθαλμώρυχοι
δίκαι, σφαγαί τε, σπέρματός τ' ἀποφθοραὶ
παίδων, κακοῦ τε χλοῦνις, ἠδ' ἀκρωνία,
λευσμόν τε καὶ μύζουσιν οἰκτισμὸν πολὺν
ὑπὸ ῥάχιν παγέντες. ἆρ' ἀκούετε
οἵας ἑορτῆς ἔστ' ἀπόπτυστοι θεοῖς
στέργηθρ' ἔχουσαι; πᾶς δ' ὑφηγεῖται τρόπος
μορφῆς. λέοντος ἄντρον αἱματορρόφου
οἰκεῖν τοιαύτας εἰκὸς, οὐ χρηστηρίοις
ἐν τοῖσδε πλησίοισι τρίβεσθαι μύσος.
χωρεῖτ' ἄνευ βοτῆρος αἰπολούμεναι.
ποίμνης τοιαύτης δ' οὔτις εὐφιλὴς θεῶν.

ΧΟΡΟΣ.

ἄναξ Ἄπολλον, ἀντάκουσον ἐν μέρει.
αὐτὸς σὺ τούτων οὐ μεταίτιος πέλει,
ἀλλ' εἷς τὸ πᾶν ἔπραξας, ὡς παναίτιος.

ΑΠΟΛΛΩΝ.

πῶς δή; τοσοῦτο μῆκος ἔκτεινον λόγου.

ΧΟΡΟΣ.

ἔχρησας ὥστε τὸν ξένον μητροκτονεῖν.

ΑΠΟΛΛΩΝ.

ἔχρησα ποινὰς τοῦ πατρὸς πέμψαι. τί μήν;

ΧΟΡΟΣ.

κἄπειθ' ὑπέστης αἵματος δέκτωρ νέου.

ΑΠΟΛΛΩΝ.

καὶ προστραπέσθαι τούσδ' ἐπέστελλον δόμους.

155 — 161. == 162 — 168.
169 — 173. == 174 — 178.

ΧΟΡΟΣ.

καὶ τὰς προπομποὺς δῆτα τάσδε λοιδορεῖς;

ΑΠΟΛΛΩΝ.

οὐ γὰρ δόμοισι τοῖσδε πρόσφορον μολεῖν.

ΧΟΡΟΣ.

ἀλλ' ἔστιν ἡμῖν τοῦτο προστεταγμένον.

ΑΠΟΛΛΩΝ.

τίς ἥδε τιμή; κόμπασον γέρας καλόν.

ΧΟΡΟΣ.

τοὺς μητραλοίας ἐκ δόμων ἐλαύνομεν.

ΑΠΟΛΛΩΝ.

τί γὰρ γυναικὸς ἥτις ἄνδρα νοσφίσῃ;

ΧΟΡΟΣ.

οὐκ ἂν γένοιθ' ὅμαιμος αὐθέντης φόνος.

ΑΠΟΛΛΩΝ.

ἦ κάρτ' ἄτιμα, καὶ παρ' οὐδὲν ἠρκέσω<br>
Ἥρας τελείας καὶ Διὸς πιστώματα.<br>
Κύπρις δ' ἄτιμος τῷδ' ἀπέρριπται λόγῳ,<br>
ὅθεν βροτοῖσι γίγνεται τὰ φίλτατα.<br>
εὐνὴ γὰρ ἀνδρὶ καὶ γυναικὶ μόρσιμος<br>
ὅρκου 'στὶ μείζων τῇ δίκῃ φρουρουμένη.<br>
εἰ τοῖσιν οὖν κτείνουσιν ἀλλήλους χαλᾷς<br>
τὸ μὴ γενέσθαι μηδ' ἐποπτεύειν κότῳ,<br>
οὔ φημ' Ὀρέστην σ' ἐνδίκως ἀνδρηλατεῖν.<br>
τὰ μὲν γὰρ οἶδα κάρτα σ' ἐνθυμουμένην,<br>
τὰ δ' ἐμφανῶς πράσσουσαν ἡσυχαιτέραν.<br>
δίκας δὲ Παλλὰς τῶνδ' ἐποπτεύσει θεά.

ΧΟΡΟΣ.

τον ἄνδρ' ἐκεῖνον οὔ τι μὴ λίπω ποτέ.

ΑΠΟΛΛΩΝ.

σὺ δ' οὖν δίωκε καὶ πόνον πλέον τίθου.

ΧΟΡΟΣ.

τιμὰς σὺ μὴ σύντεμνε τὰς ἐμὰς λόγῳ.

ΑΠΟΛΛΩΝ.

οὐδ' ἂν δεχοίμην ὥστ' ἔχειν τιμὰς σέθεν.

ΧΟΡΟΣ.

μέγας γὰρ ἔμπας παρὰ Διὸς θρόνοις λέγει·<br>
ἐγὼ δ', ἄγει γὰρ αἷμα μητρῷον, δίκας<br>
μέτειμι τόνδε φῶτα κακκυνηγέτις.

ΑΠΟΛΛΩΝ.

ἐγὼ δ' ἀρήξω τὸν ἱκέτην τε ῥύσομαι·<br>
δεινὴ γὰρ ἐν βροτοῖσι κἀν θεοῖς πέλει<br>
τοῦ προστροπαίου μῆνις, εἰ προδῶ σφ' ἑκών.

ΟΡΕΣΤΗΣ.

ἄνασσ' Ἀθάνα, Λοξίου κελεύσμασιν<br>
ἥκω, δέχου δὲ πρευμενῶς ἀλάστορα,<br>
οὐ προστρόπαιον οὐδ' ἀφοίβαντον χέρα,<br>
ἀλλ' ἀμβλὺν ἤδη, προστετριμμένον τε πρὸς<br>
ἄλλοισιν οἴκοις καὶ πορεύμασιν βροτῶν.<br>
ὅμοια χέρσον καὶ θάλασσαν ἐκπερῶν,<br>
σώζων ἐφετμὰς Λοξίου χρηστηρίους,<br>
πρόσειμι δῶμα καὶ βρέτας τὸ σόν, θεά.<br>
αὐτοῦ φυλάσσων ἀναμένω τέλος δίκης.

ΧΟΡΟΣ.

εἶεν· τόδ' ἐστὶ τἀνδρὸς ἐκφανὲς τέκμαρ.<br>
ἕπου δὲ μηνυτῆρος ἀφθέγκτου φράδαῖς.<br>
τετραυματισμένον γὰρ ὡς κύων νεβρὸν<br>
πρὸς αἷμα καὶ σταλαγμὸν ἐκμαστεύομεν.<br>
πολλοῖς δὲ μόχθοις ἀνδροκμῆσι φυσιᾷ<br>
σπλάγχνον· χθονὸς γὰρ πᾶς πεποίμανται τόπος,<br>
ὑπέρ τε πόντον ἀπτέροις ποτήμασιν<br>
ἦλθον διώκουσ', οὐδὲν ὑστέρα νεώς.<br>
καὶ νῦν ὅδ' ἐνθάδ' ἐστί που καταπτακών.<br>
ὀσμὴ βροτείων αἱμάτων με προσγελᾷ.<br>
ὅρα ὅρα μάλ' αὖ,<br>
λεύσσετον πάντα,<br>
μὴ λάθῃ φύγδα βὰς<br>
ὁ ματροφόνος ἀτίτας.<br>
ὅδ' αὖτε γοῦν ἀλκὰν ἔχων, περὶ βρέτει<br>
πλεχθεὶς θεᾶς ἀμβρότου,<br>
ὑπόδικος θέλει γενέσθαι χερῶν.<br>
τὸ δ' οὐ πάρεστιν· αἷμα μητρῷον χαμαὶ,<br>
δυσαγκόμιστον, παπαῖ,<br>
τὸ διερὶν πέδῳ χύμενον οἴχεται.<br>
ἀλλ' ἀντιδοῦναι δεῖ σ', ἀπὸ ζῶντος ῥοφεῖν<br>
ἐρυθρὸν ἐκ μελέων πέλανον· ἀπὸ δὲ σοῦ<br>
βοσκὰν φεροίμαν πώματος δυσπότου·<br>
καὶ ζῶντά σ' ἰσχνάνασ' ἀπάξομαι κάτω.<br>
ἀντιποίνους τίνῃς μητροφόνας δύας.<br>
ὄψει δὲ κεἴ τις ἄλλον ἤλιτεν βροτῶν,<br>
ἢ θεὸν ἢ ξένον<br>
τιν' ἀσεβῶν, ἢ τοκέας φίλους,<br>
ἔχονθ' ἕκαστον τῆς δίκης ἐπάξια.<br>
μέγας γὰρ Ἅιδης ἐστὶν εὔθυνος βροτῶν,<br>
ἔνερθε χθονὸς,<br>
δελτογράφῳ δὲ πάντ' ἐπωπᾷ φρενί.

ΟΡΕΣΤΗΣ.

ἐγὼ διδαχθεὶς ἐν κακοῖς ἐπίσταμαι<br>
πολλοὺς καθαρμοὺς, καὶ λέγειν ὅπου δίκη<br>
σιγᾶν θ' ὁμοίως. ἐν δὲ τῷδε πράγματι<br>
φωνεῖν ἐτάχθην πρὸς σοφοῦ διδασκάλου·<br>
βρίζει γὰρ αἷμα καὶ μαραίνεται χερὸς,<br>
μητροκτόνον μίασμα δ' ἔκπλυτον πέλει.<br>
ποταίνιον γὰρ ὂν πρὸς ἑστίᾳ θεοῦ<br>
Φοίβου καθαρμοῖς ἠλάθη χοιροκτόνοις.<br>
πολὺς δέ μοι γένοιτ' ἂν ἐξ ἀρχῆς λόγος,<br>
ὅσοις προσῆλθον ἀβλαβεῖ ξυνουσίᾳ.<br>
χρόνος καθαιρεῖ πάντα γηράσκων ὁμοῦ.<br>
καὶ νῦν ἀφ' ἁγνοῦ στόματος εὐφήμως καλῶ<br>
χώρας ἄνασσαν τῆσδ' Ἀθηναίαν ἐμοὶ<br>
μολεῖν ἀρωγόν· κτήσεται δ' ἄνευ δορὸς<br>
αὐτόν τε καὶ γῆν καὶ τὸν Ἀργεῖον λεὼν,<br>
πιστὸν δικαίως ἐς τὸ πᾶν τε σύμμαχον.<br>
ἀλλ' εἴτε χώρας ἐν τόποις Λιβυστικοῖς,<br>
Τρίτωνος ἀμφὶ χεῦμα γενεθλίου πόρου,<br>
τίθησιν ὀρθὸν ἢ κατηρεφῆ πόδα,<br>
φίλοις ἀρήγουσ', εἴτε Φλεγραίαν πλάκα<br>
θρασὺς ταγοῦχος ὡς ἀνὴρ ἐπισκοπεῖ,<br>
ἔλθοι, κλύει δὲ καὶ πρόσωθεν ὢν θεὸς,<br>
ὅπως γένοιτο τῶνδ' ἐμοὶ λυτήριος.

ΧΟΡΟΣ.

οὔτοι σ' Ἀπόλλων οὐδ' Ἀθηναίας σθένος<br>
ῥύσαιτ' ἂν ὥστε μὴ οὐ παρημελημένον<br>
ἔρρειν, τὸ χαίρειν μὴ μαθόνθ' ὅπου φρενῶν,<br>
ἀναίματον βόσκημα δαιμόνων, σκιάν.<br>
οὐδ' ἀντιφωνεῖς, ἀλλ' ἀποπτύεις λόγους,<br>
ἐμοὶ τραφεὶς τε καὶ καθιερωμένος.<br>
καὶ ζῶν με δαίσεις, οὐδὲ πρὸς βωμῷ σφαγεὶς<br>
ὕμνον δ' ἀκούσει τόνδε δέσμιον σέθεν.<br>
ἄγε δὴ καὶ χορὸν ἅψωμεν, ἐπεὶ

μοῦσαν στυγερὰν
ἀποφαίνεσθαι δεδόκηκε,
λέξαι τε λάχη τὰ κατ' ἀνθρώπους
ὡς ἐπινωμᾷ στάσις ἁμά,
εὐθυδίκαι θ' ἡδόμεθ' εἶναι.
τὸν μὲν καθαρὰς χεῖρας προνέμοντ'
οὔτις ἀφ' ἡμῶν μῆνις ἐφέρπει,
ἀσινὴς δ' αἰῶνα διοιχνεῖ·
ὅστις δ' ἀλιτρῶν ὥσπερ ὅδ' ἀνὴρ
χεῖρας φονίας ἐπικρύπτει,
μάρτυρες ὀρθαὶ τοῖσι θανοῦσιν
παραγιγνόμεναι πράκτορες αἵματος
αὐτῷ τελέως ἐφάνημεν.
μᾶτερ, ἅ μ' ἔτικτες, ὦ μᾶτερ
Νὺξ ἀλαοῖσι καὶ δεδορκόσιν
ποινάν, κλῦθ'. ὁ Λατοῦς γὰρ ἶνίς μ' ἄτιμον
τίθησι,
τόνδ' ἀφαιρούμενος πτῶκα, ματρῷον ἅ-
γνισμα κύριον φόνου.
ἐπὶ δὲ τῷ τεθυμένῳ
τόδε μέλος, παρακοπά,
παραφορὰ φρενοδαλής,
ὕμνος ἐξ Ἐρινύων,
δέσμιος φρενῶν, ἀφόρ-
μικτος, αὐονὰ βροτοῖς.
τοῦτο γὰρ λάχος διανταία
μοῖρ' ἐπέκλωσεν ἐμπέδως ἔχειν,
θνατῶν τοῖσιν αὐτουργίαι ξυμπέσωσιν μάταιοι,
τοῖς ὁμαρτεῖν, ὄφρ' ἂν γᾶν ὑπέλθῃ· θανὼν δ'
οὐκ ἄγαν ἐλεύθερος.
ἐπὶ δὲ τῷ τεθυμένῳ
τόδε μέλος, παρακοπά,
παραφορὰ φρενοδαλής,
ὕμνος ἐξ Ἐρινύων,
δέσμιος φρενῶν, ἀφόρ-
μικτος, αὐονὰ βροτοῖς.
γιγνομέναισι λάχη τάδ' ἐφ' ἁμὶν ἐκράνθη·
ἀθανάτων δ' ἀπέχειν χέρας, οὐδέ τις ἐστὶ
συνδαίτωρ μετάκοινος.
παλλεύκων δὲ πέπλων
ἄμοιρος, ἄκληρος ἐτύχθην.
δωμάτων γὰρ εἱλόμαν
ἀνατροπάς, ὅταν Ἄρης
τιθασὸς ὢν φίλον ἕλῃ·
ἐπὶ τὸν, ὢ, διόμεναι
κρατερὸν ὄνθ', ὅμως
μαυροῦμεν ὑφ' αἵματος νέου.
σπευδόμεναι δ' ἀφελεῖν τινὰ τάσδε μερίμνας,
θεῶν δ' ἀτέλειαν ἐμαῖσι λιταῖς ἐπικραίνειν,
μηδ' ἐς ἄγκρισιν ἐλθεῖν.
Ζεὺς γὰρ αἱματοσταγὲς
ἀξιόμισον ἔθνος τόδε λέσχας
ἇς ἀπηξιώσατο.
μάλα γὰρ οὖν ἁλομένα
ἀγκαθεν βαρυπεσῆ
καταφέρω ποδὸς ἀκμάν,
σφαλερὰ τανυδρόμοις
κῶλα δύσφορον ἄταν.

321—333. = 334—346.
347—359. = 360—372.

δόξαι τ' ἀνδρῶν καὶ μάλ' ὑπ' αἰθέρι σεμναὶ
τακόμεναι κατὰ γᾶν μινύθουσιν ἄτιμοι
ἡμετέραις ἐφόδοις μελανείμοσιν ὀρχησμοῖς τ'
ἐπιφθόνοις ποδός.
πίπτων δ' οὐκ οἶδεν τόδ' ὑπ' ἄφρονι λύμᾳ.
τοῖον ἐπὶ κνέφας ἀνδρὶ μύσος πεπόταται,
καὶ δνοφεράν τιν' ἀχλὺν κατὰ δώματος αὐδᾶ-
ται πολύστονος φάτις.
μένει γάρ· εὐμήχανοι
δὲ καὶ τέλειοι, κακῶν
τε μνήμονες σεμναί,
καὶ δυσπαρήγοροι βροτοῖς,
ἄτιμ' ἀτίετα διόμεναι
λάχη θεῶν διχοστατοῦντ'
ἀνηλίῳ λάμπᾳ, δυσοδοπαίπαλα
δερκομένοισι καὶ δυσομμάτοις ὁμῶς.
τίς οὖν τάδ' οὐχ ἅζεταί
τε καὶ δέδοικεν βροτῶν,
ἐμοῦ κλύων θεσμὸν
τὸν μοιρόκραντον ἐκ θεῶν
δοθέντα τέλεον; ἐπὶ δέ μοι
γέρας παλαιόν, οὐδ'
ἀτιμίας κυρῶ, καίπερ ὑπὸ χθόνα
τάξιν ἔχουσα καὶ δυσήλιον κνέφας.

ΑΘΗΝΑ.

πρόσωθεν ἐξήκουσα κληδόνος βοὴν,
ἀπὸ Σκαμάνδρου γῆν καταφθατουμένη,
ἣν δῆτ' Ἀχαιῶν ἄκτορές τε καὶ πρόμοι,
τῶν αἰχμαλώτων χρημάτων λάχος μέγα,
ἔνειμαν αὐτόπρεμνον εἰς τὸ πᾶν ἐμοί,
ἐξαίρετον δώρημα Θησέως τόκοις·
ἔνθεν διώκουσ' ἦλθον ἄτρυτον πόδα,
πτερῶν ἄτερ ῥοιβδοῦσα κόλπον αἰγίδος,
πώλοις ἀκμαίοις τόνδ' ἐπιζεύξασ' ὄχον.
καινὴν δ' ὁρῶσα τήνδ' ὁμιλίαν χθονὸς
ταρβῶ μὲν οὐδέν, θαῦμα δ' ὄμμασιν πάρα.
τίνες ποτ' ἐστέ; πᾶσι δ' ἐς κοινὸν λέγω,
βρέτας τε τοὐμὸν τῷδ' ἐφημένῳ ξένῳ,
ὑμᾶς θ' ὁμοίας οὐδενὶ σπαρτῶν γένει,
οὔτ' ἐν θεαῖσι πρὸς θεῶν ὁρωμένας
οὔτ' οὖν βροτείοις ἐμφερεῖς μορφώμασι.
λέγειν δ' ἄμορφον ὄντα τοὺς πέλας κακῶς
πρόσω δικαίων ἠδ' ἀποστατεῖ θέμις.

ΧΟΡΟΣ.

πεύσει τὰ πάντα συντόμως, Διὸς κόρη.
ἡμεῖς γάρ ἐσμεν Νυκτὸς αἰανῆς τέκνα.
Ἀραὶ δ' ἐν οἴκοις γῆς ὕπαι κεκλήμεθα.

ΑΘΗΝΑ.

γένος μὲν οἶδα κληδόνας τ' ἐπωνύμους.

ΧΟΡΟΣ.

τιμάς γε μὲν δὴ τὰς ἐμὰς πεύσει τάχα.

ΑΘΗΝΑ.

μάθοιμ' ἄν, εἰ λέγοι τις ἐμφανῆ λόγον.

ΧΟΡΟΣ.

βροτοκτονοῦντας ἐκ δόμων ἐλαύνομεν.

ΑΘΗΝΑ.

καὶ τῷ κτανόντι ποῦ τὸ τέρμα τῆς φυγῆς;

373—376. = 377—380.
381—388. = 389—396.

ΧΟΡΟΣ.

ὅπου τὸ χαίρειν μηδαμοῦ νομίζεται.

ΑΘΗΝΑ.

ἦ καὶ τοιαύτας τῷδ' ἐπιρροιζεῖ φυγάς;

ΧΟΡΟΣ.

φονεὺς γὰρ εἶναι μητρὸς ἠξιώσατο.

ΑΘΗΝΑ.

ἄλλης ἀνάγκης οὔτινος τρέων κότον;

ΧΟΡΟΣ.

ποῦ γὰρ τοσοῦτο κέντρον ὡς μητροκτονεῖν;

ΑΘΗΝΑ.

δυοῖν παρόντοιν ἥμισυς λόγος πάρα.

ΧΟΡΟΣ.

ἀλλ' ὅρκον οὐ δέξαιτ' ἄν, οὐ δοῦναι θέλει.

ΑΘΗΝΑ.

κλύειν δικαίως μᾶλλον ἢ πρᾶξαι θέλεις.

ΧΟΡΟΣ.

πῶς δή, δίδαξον· τῶν σοφῶν γὰρ οὐ πένει.

ΑΘΗΝΑ.

ὅρκοις τὰ μὴ δίκαια μὴ νικᾶν λέγω.

ΧΟΡΟΣ.

ἀλλ' ἐξέλεγχε, κρῖνε δ' εὐθεῖαν δίκην.

ΑΘΗΝΑ.

ἦ κἀπ' ἐμοὶ τρέποιτ' ἂν αἰτίας τέλος;

ΧΟΡΟΣ.

πῶς δ' οὔ; σέβουσαί γ' ἀξίαν ἐπαξίων.

ΑΘΗΝΑ.

τί πρὸς τάδ' εἰπεῖν, ὦ ξέν', ἐν μέρει θέλεις;
λέξας δὲ χώραν καὶ γένος καὶ ξυμφορὰς
τὰς σάς, ἔπειτα τόνδ' ἀμυναθοῦ ψόγον·
εἴπερ πεποιθὼς τῇ δίκῃ βρέτας τόδε
ἧσαι φυλάσσων ἑστίας ἀμῆς πέλας,
σεμνὸς προσίκτωρ, ἐν τρόποις Ἰξίονος·
τούτοις ἀμείβου πᾶσιν εὐμαθές τί μοι.

ΟΡΕΣΤΗΣ.

ἄνασσ' Ἀθάνα, πρῶτον ἐκ τῶν ὑστάτων
τῶν σῶν ἐπῶν μέλημ' ἀφαιρήσω μέγα.
οὐκ εἰμὶ προστρόπαιος, οὐδ' ἔχει μύσος
πρὸς χειρὶ τἠμῇ τὸ σὸν ἐφημένη βρέτας.
τεκμήριον δὲ τῶνδέ σοι λέξω μέγα·
ἄφθογγον εἶναι τὸν παλαμναῖον νόμος,
ἔς τ' ἂν πρὸς ἀνδρὸς αἵματος καθαρσίου
σφαγαὶ καθαιμάξωσι νεοθήλου βοτοῦ.
πάλαι πρὸς ἄλλοις ταῦτ' ἀφιερώμεθα
οἴκοισι καὶ βοτοῖσι καὶ ῥυτοῖς πόροις.
ταύτην μὲν οὕτω φροντίδ' ἐκποδὼν λέγω.
γένος δὲ τοὐμὸν ὡς ἔχει πεύσει τάχα.
Ἀργεῖός εἰμι, πατέρα δ' ἱστορεῖς καλῶς,
Ἀγαμέμνον' ἀνδρῶν ναυβατῶν ἁρμόστορα·
ξὺν ᾧ σὺ Τροίαν ἄπολιν Ἰλίου πόλιν
ἔθηκας. ἔφθιθ' οὗτος οὐ καλῶς, μολὼν
ἐς οἶκον· ἀλλά νιν κελαινόφρων ἐμὴ
μήτηρ κατέκτα, ποικίλοις ἀγρεύμασι
κρύψασα, λουτρῶν ἐξεμαρτύρει φόνον.
κἀγὼ κατελθών, τὸν πρὸ τοῦ φεύγων χρόνον,
ἔκτεινα τὴν τεκοῦσαν, οὐκ ἀρνήσομαι,
ἀντικτόνοις ποιναῖσι φιλτάτου πατρός.
καὶ τῶνδε κοινῇ Λοξίας ἐπαίτιος,
ἄλγη προφωνῶν ἀντίκεντρα καρδίᾳ,
εἰ μή τι τῶνδ' ἔρξαιμι τοὺς ἐπαιτίους.
σύ τ' εἰ δικαίως εἴτε μὴ κρῖνον δίκην·
πράξας γὰρ ἐν σοὶ πανταχῇ τάδ' αἰνέσω.

ΑΘΗΝΑ.

τὸ πρᾶγμα μεῖζον ἤ τις οἴεται τόδε
βροτὸς δικάζειν· οὐδὲ μὴν ἐμοὶ θέμις
φόνου διαιρεῖν ὀξυμηνίτου δίκας.
ἄλλως τε καὶ σὺ μὲν κατηρτυκὼς ὅμως
ἱκέτης προσῆλθες καθαρὸς ἀβλαβὴς δόμοις.
ὅμως δ' ἄμομφον ὄντα σ' αἱροῦμαι πόλει.
αὗται δ' ἔχουσι μοῖραν οὐκ εὐπέμπελον,
καὶ μὴ τυχοῦσαι πράγματος νικηφόρου,
χώρᾳ μεταῦθις ἰὸς ἐκ φρονημάτων
πέδῳ πεσὼν ἄφερτος αἰανὴς νόσος.
τοιαῦτα μὲν τάδ' ἐστὶν ἀμφότερα μένειν,
πέμπειν δὲ δυσπήμαντ' ἀμηχάνως ἐμοί.
ἐπεὶ δὲ πρᾶγμα δεῦρ' ἐπέσκηψεν τόδε,
φόνων δικαστὰς ὁρκίων αἱρουμένους
θεσμὸν τὸν εἰς ἅπαντ' ἐγὼ θήσω χρόνον.
ὑμεῖς δὲ μαρτύριά τε καὶ τεκμήρια
καλεῖσθ' ἀρωγὰ τῆς δίκης ὁρκώματα.
κρίνασα δ' ἀστῶν τῶν ἐμῶν τὰ βέλτατα
ἥξω, διαιρεῖν τοῦτο πρᾶγμ' ἐτητύμως,
ὅρκον περῶντας μηδὲν ἔκδικον φρεσίν.

ΧΟΡΟΣ.

νῦν καταστροφαὶ νέων
θεσμίων, εἰ κρατήσει δίκα τε καὶ βλάβα
τοῦδε μητροκτόνου.
πάντας ἤδη τόδ' ἔργον εὐχερείᾳ συναρμό-
βροτούς.
πολλὰ δ' ἔτυμα παιδότρωτα
πάθεα προσμένει τοκεῦ-
σιν, μετά τ' αὖθις ἐν χρόνῳ.
οὔτε γὰρ βροτοσκόπων
μαινάδων τῶνδ' ἐφέρψει κότος τις ἐργμάτω-
πάντ' ἐφήσω μόρον.
πεύσεται δ' ἄλλος ἄλλοθεν, προφωνῶν τὰ
πέλας κακά
λῆξιν ὑπόδοσίν τε μόχθων
οὐκέτ' οὐ βέβαια· τλά-
μων δὲ μάταν παρηγορεῖ.
μηδέ τις κικλησκέτω
ξυμφορᾷ τετυμμένος,
τοῦτ' ἔπος θροούμενος,
ὦ δίκα, ὦ θρόνοι τ' Ἐρινύων.
ταῦτά τις τάχ' ἂν πατὴρ
ἢ τεκοῦσα νεοπαθὴς
οἶκτον οἰκτίσαιτ', ἐπει-
δὴ πίτνει δόμος δίκας.
ἔσθ' ὅπου τὸ δεινὸν εὖ
καὶ φρενῶν ἐπίσκοπον
δειμαίνει καθήμενον.
ξυμφέρει σωφρονεῖν ὑπὸ στένει.
τίς δὲ μηδὲν ἐν φάει
καρδίας ἀνατρέφων
ἢ πόλις βροτός θ' ὁμοί-
ως ἔτ' ἂν σέβοι δίκαν;
μήτ' ἄναρκτον βίον

490 — 498. == 499 — 507.
508 — 516. == 517 — 525.
526 — 537. == 538 — 549.

μήτε δεσποτούμενον
αἰνέσῃς. παντὶ μέσῳ τὸ κράτος θεὸς ὤπασεν,
ἄλλ' ἄλλα δ' ἐφορεύει.
ξύμμετρον δ' ἔπος λέγω,
δυσσεβίας μὲν ὕβρις τέκος ὡς ἐτύμως·
ἐκ δ' ὑγιείας
φρενῶν ὁ πᾶσιν φίλος
καὶ πολύευκτος ὄλβος.
ἐς τὸ πᾶν δέ τοι λέγω,
βωμὸν αἴδεσαι δίκας·
μηδέ νιν κέρδος ἰδὼν ἀθέῳ ποδὶ λὰξ ἀτί-
σῃς· ποινὰ γὰρ ἐπέσται,
κύριον μένει τέλος.
πρὸς τάδε τις τοκέων σέβας εὖ προτίων,
καὶ ξενοτίμους
ἐπιστροφὰς δωμάτων
αἰδόμενός τις ἔστω.
ἐκ τῶνδ' ἀνάγκας ἄτερ
δίκαιος ὢν οὐκ ἄνολβος ἔσται·
πανώλεθρος δ' οὔ ποτ' ἂν γένοιτο.
τὸν ἀντίτολμον δέ φαμι παρβάταν
τὰ πολλὰ παντόφυρτ' ἄνευ δίκης
βιαίως ξὺν χρόνῳ καθήσειν,
λαῖφος ὅταν λάβῃ πόνος θραυομένας κεραίας.
καλεῖ δ' ἀκούοντας οὐ-
δὲν ἐν μέσᾳ δυσπαλεῖ τε δίνᾳ·
γελᾷ δὲ δαίμων ἐπ' ἀνδρὶ θερμῷ,
τὸν οὔποτ' αὐχοῦντ' ἰδὼν ἀμηχάνοις
δύαις λέπαδνον, οὐδ' ὑπερθέοντ' ἄκραν·
δι' αἰῶνος δὲ τὸν πρὶν ὄλβον
ἕρματι προσβαλὼν δίκας ὤλετ' ἄκλαυστος, αἶστος.

ΑΘΗΝΑ.

κήρυσσε, κῆρυξ, καὶ στρατὸν κατειργαθοῦ.
ἥ τ' οὖν *** διάτορος Τυρσηνικὴ
σάλπιγξ, βροτείου πνεύματος πληρουμένη,
ὑπέρτονον γήρυμα φαινέτω στρατῷ.
πληρουμένου γὰρ τοῦδε βουλευτηρίου
σιγᾶν ἀρήγει καὶ μαθεῖν θεσμοὺς ἐμοὺς
πόλιν τε πᾶσαν εἰς τὸν αἰανῆ χρόνον
καὶ τόνδ', ὅπως ἂν εὖ καταγνωσθῇ δίκη.

ΧΟΡΟΣ.

ἄναξ Ἄπολλον, ὧν ἔχεις αὐτὸς κράτει.
τί τοῦδε σοὶ μέτεστι πράγματος λέγε.

ΑΠΟΛΛΩΝ.

καὶ μαρτυρήσων ἦλθον· ἔστι γὰρ δόμων
ἱκέτης ὅδ' ἀνὴρ καὶ δόμων ἐφέστιος
ἐμῶν· φόνου δὲ τοῦδ' ἐγὼ καθάρσιος,
καὶ ξυνδικήσων αὐτός· αἰτίαν δ' ἔχω
τῆς τοῦδε μητρὸς τοῦ φόνου. σὺ δ' εἴσαγε
ὅπως ἐπίστᾳ, τήνδε κυρώσων δίκην.

ΑΘΗΝΑ.

ὑμῶν ὁ μῦθος, εἰσάγω δὲ τὴν δίκην.
ὁ γὰρ διώκων πρότερος ἐξ ἀρχῆς λέγων
γένοιτ' ἂν ὀρθῶς πράγματος διδάσκαλος.

ΧΟΡΟΣ.

πολλαὶ μέν ἐσμεν, λέξομεν δὲ συντόμως.
ἔπος δ' ἀμείβου πρὸς ἔπος ἐν μέρει τιθείς.
τὴν μητέρ' εἰπὲ πρῶτον εἰ κατέκτονας.

550—557. == 558—565.

ΟΡΕΣΤΗΣ.

ἔκτεινα· τούτου δ' οὔτις ἄρνησις πέλει.

ΧΟΡΟΣ.

ἓν μὲν τόδ' ἤδη τῶν τριῶν παλαισμάτων.

ΟΡΕΣΤΗΣ.

οὐ κειμένῳ πω τόνδε κομπάζεις λόγον.

ΧΟΡΟΣ.

εἰπεῖν γε μέντοι δεῖ σ' ὅπως κατέκτανες.

ΟΡΕΣΤΗΣ.

λέξω. ξιφουλκῷ χειρὶ πρὸς δέρην τεμών.

ΧΟΡΟΣ.

πρὸς τοῦ δ' ἐπείσθης καὶ τίνος βουλεύμασι;

ΟΡΕΣΤΗΣ.

τοῖς τοῦδε θεσφάτοισι· μαρτυρεῖ δέ μοι.

ΧΟΡΟΣ.

ὁ μάντις ἐξηγεῖτό σοι μητροκτονεῖν;

ΟΡΕΣΤΗΣ.

καὶ δεῦρό γ' ἀεὶ τὴν τύχην οὐ μέμφομαι.

ΧΟΡΟΣ.

ἀλλ' εἴ σε μάρψει ψῆφος, ἄλλ' ἐρεῖς τάχα.

ΟΡΕΣΤΗΣ.

πέποιθ', ἀρωγὰς δ' ἐκ τάφου πέμπει πατήρ.

ΧΟΡΟΣ.

νεκροῖσί νυν πέπεισθι μητέρα κτανών.

ΟΡΕΣΤΗΣ.

δυοῖν γὰρ εἶχε προσβολὰς μιασμάτοιν.

ΧΟΡΟΣ.

πῶς δή; δίδαξον τοὺς δικάζοντας τάδε.

ΟΡΕΣΤΗΣ.

ἀνδροκτονοῦσα πατέρ' ἐμὸν κατέκτανε.

ΧΟΡΟΣ.

τοιγὰρ σὺ μὲν ζῇς, ἡ δ' ἐλευθέρα φόνου.

ΟΡΕΣΤΗΣ.

τί δ' οὐκ ἐκείνην ζῶσαν ἤλαυνες φυγῇ;

ΧΟΡΟΣ.

οὐκ ἦν ὅμαιμος φωτὸς ὃν κατέκτανεν.

ΟΡΕΣΤΗΣ.

ἐγὼ δὲ μητρὸς τῆς ἐμῆς ἐν αἵματι;

ΧΟΡΟΣ.

πῶς γάρ σ' ἔθρεψεν ἐντὸς, ὦ μιαιφόνε,
ζώνης; ἀπεύχει μητρὸς αἷμα φίλτατον;

ΟΡΕΣΤΗΣ.

ἤδη σὺ μαρτύρησον. ἐξηγοῦ δέ μοι,
Ἄπολλον, εἴ σφε σὺν δίκῃ κατέκτανον.
δρᾶσαι γὰρ ὥσπερ ἐστὶν οὐκ ἀρνούμεθα·
ἀλλ' εἰ δικαίως εἴτε μὴ τῇ σῇ φρενὶ
δοκεῖ τόδ' αἷμα κρῖνον, ὡς τούτοις φράσω.

ΑΠΟΛΛΩΝ.

λέξω πρὸς ὑμᾶς τόνδ' Ἀθηναίας μέγαν
θεσμὸν δικαίως, μάντις ὢν δ' οὐ ψεύσομαι.
οὐπώποτ' εἶπον μαντικοῖσιν ἐν θρόνοις,
οὐκ ἀνδρὸς, οὐ γυναικὸς, οὐ πόλεως πέρι,
ὃ μὴ 'κέλευσε Ζεὺς Ὀλυμπίων πατήρ.
τὸ μὲν δίκαιον τοῦθ', ὅσον σθένει, μαθεῖν,
βουλῇ πιφαύσκω δ' ὔμμ' ἐπισπέσθαι πατρός.
ὅρκος γὰρ οὔτι Ζηνὸς ἰσχύει πλέον.

ΧΟΡΟΣ.

Ζεὺς, ὡς λέγεις σὺ, τόνδε χρησμὸν ὤπασε,
φράζειν Ὀρέστῃ τῷδε τὸν πατρὸς φόνον
πράξαντα μητρὸς μηδαμοῦ τιμὰς νέμειν;

ΑΠΟΛΛΩΝ.

οὐ γάρ τι ταὐτὸν ἄνδρα γενναῖον θανεῖν
διοσδότοις σκήπτροισι τιμαλφούμενον,
καὶ ταῦτα πρὸς γυναικὸς, οὔ τι θουρίοις
τόξοις ἑκηβόλοισιν, ὥστ' Ἀμαζόνος,
ἀλλ' ὡς ἀκούσει Παλλὰς οἵ τ' ἐφήμενοι
ψήφῳ διαιρεῖν τοῦδε πράγματος πέρι.
ἀπὸ στρατείας γάρ μιν ἠμποληκότα
τὰ πλεῖστ' ἀμείνον' εὔφροσιν δεδεγμένη
δροίτῃ, περῶντι λουτρὰ, κἀπὶ τέρματι
φᾶρος παρεσκήνωσεν, ἐν δ' ἀτέρμονι
κόπτει πεδήσασ' ἄνδρα δαιδάλῳ πέπλῳ.
ἀνδρὸς μὲν ὑμῖν οὗτος εἴρηται μόρος
τοῦ παντοσέμνου, τοῦ στρατηλάτου νεῶν.
ταύτην τοιαύτην εἶπον, ὡς δηχθῇ λεὼς,
ὅσπερ τέτακται τήνδε κυρῶσαι δίκην.

ΧΟΡΟΣ.

πατρὸς προτιμᾷ Ζεὺς μόρον τῷ σῷ λόγῳ,
αὐτὸς δ' ἔδησε πατέρα πρεσβύτην Κρόνον.
πῶς ταῦτα τούτοις οὐκ ἐναντίως λέγεις;
ὑμᾶς δ' ἀκούειν ταῦτ' ἐγὼ μαρτύρομαι.

ΑΠΟΛΛΩΝ.

ὦ παντομισῆ κνώδαλα, στύγη θεῶν,
πέδας μὲν ἂν λύσειεν, ἔστι τοῦδ' ἄκος,
καὶ κάρτα πολλὴ μηχανὴ λυτήριος·
ἀνδρὸς δ' ἐπειδὰν αἷμ' ἀνασπάσῃ κόνις
ἅπαξ θανόντος, οὔτις ἔστ' ἀνάστασις.
τούτων ἐπῳδὰς οὐκ ἐποίησεν πατὴρ
οὑμὸς, τὰ δ' ἄλλα πάντ' ἄνω τε καὶ κάτω
στρέφων τίθησιν, οὐδὲν ἀσθμαίνων μένει.

ΧΟΡΟΣ.

πῶς γὰρ τὸ φεύγειν τοῦδ' ὑπερδικεῖς ὅρα·
τὸ μητρὸς αἷμ' ὅμαιμον ἐκχέας πέδῳ,
ἔπειτ' ἐν Ἄργει δώματ' οἰκήσει πατρός;
ποίοισι βωμοῖς χρώμενος τοῖς δημίοις;
ποία δὲ χέρνιψ φρατόρων προσδέξεται;

ΑΠΟΛΛΩΝ.

καὶ τοῦτο λέξω, καὶ μάθ' ὡς ὀρθῶς ἐρῶ.
οὐκ ἔστι μήτηρ ἡ κεκλημένου τέκνου
τοκεὺς, τροφὸς δὲ κύματος νεοσπόρου·
τίκτει δ' ὁ θρώσκων, ἡ δ' ἅπερ ξένῳ ξένη
ἔσωσεν ἔρνος, οἷσι μὴ βλάψῃ θεός.
τεκμήριον δὲ τοῦδέ σοι δείξω λόγου.
πατὴρ μὲν ἂν γένοιτ' ἄνευ μητρός· πέλας
μάρτυς πάρεστι παῖς Ὀλυμπίου Διὸς,
οὐδ' ἐν σκότοισι νηδύος τεθραμμένη,
ἀλλ' οἷον ἔρνος οὔτις ἂν τέκοι θεός.
ἐγὼ δὲ, Παλλὰς, τἄλλα θ' ὡς ἐπίσταμαι,
τὸ σὸν πόλισμα καὶ στρατὸν τεύξω μέγαν,
καὶ τόνδ' ἔπεμψα σῶν δόμων ἐφέστιον,
ὅπως γένοιτο πιστὸς εἰς τὸ πᾶν χρόνου,
καὶ τόνδ' ἐπικτήσαιο σύμμαχον, θεὰ,
καὶ τοὺς ἔπειτα, καὶ τάδ' αἰανῶς μένοι
στέργειν τὰ πιστὰ τῶνδε τοὺς ἐπισπόρους.

ΑΘΗΝΑ.

ἤδη κελεύω τούσδ' ἀπὸ γνώμης φέρειν
ψῆφον δικαίαν, ὡς ἅλις λελεγμένων.

ΧΟΡΟΣ.

ἡμῖν μὲν ἤδη πᾶν τετόξευται βέλος.
μένω δ' ἀκοῦσαι πῶς ἀγὼν κριθήσεται.

ΑΘΗΝΑ.

τί γάρ; πρὸς ὑμῶν πῶς τιθεῖσ' ἄμομφος ὦ;

ΧΟΡΟΣ.

ἠκούσαθ' ὧν ἠκούσατ', ἐν δὲ καρδίᾳ
ψῆφον φέροντες ὅρκον αἰδεῖσθε, ξένοι.

ΑΘΗΝΑ.

κλύοιτ' ἂν ἤδη θεσμὸν, Ἀττικὸς λεὼς,
πρώτας δίκας κρίνοντες αἵματος χυτοῦ.
ἔσται δὲ καὶ τὸ λοιπὸν Αἰγέως στρατῷ
ἀεὶ δικαστῶν τοῦτο βουλευτήριον.
πάγον δ' Ἄρειον τόνδ' Ἀμαζόνων ἕδραν,
σκηνάς θ', ὅτ' ἦλθον Θησέως κατὰ φθόνον
στρατηλατοῦσαι, καὶ πόλιν νεόπτολιν
τήνδ' ὑψίπυργον ἀντεπύργωσαν τότε·
Ἄρει δ' ἔθυον, ἔνθεν ἔστ' ἐπώνυμος
πέτρα, πάγος τ' Ἄρειος· ἐν δὲ τῷ σέβας
ἀστῶν, φόβος τε συγγενὴς τὸ μὴ 'δικεῖν
σχήσει, τό τ' ἦμαρ καὶ κατ' εὐφρόνην ὁμῶς,
αὐτῶν πολιτῶν μὴ 'πικαινούντων νόμους
κακαῖς ἐπιρροαῖσι βορβόρῳ θ' ὕδωρ
λαμπρὸν μιαίνων οὔ ποθ' εὑρήσεις ποτόν.
τὸ μήτ' ἄναρχον μήτε δεσποτούμενον
ἀστοῖς περιστέλλουσα βουλεύω σέβειν,
καὶ μὴ τὸ δεινὸν πᾶν πόλεως ἔξω βαλεῖν.
τίς γὰρ δεδοικὼς μηδὲν ἔνδικος βροτῶν;
τοιόνδε τοι ταρβοῦντες ἐνδίκως σέβας,
ἔρυμά τε χώρας καὶ πόλεως σωτήριον
ἔχοιτ' ἂν οἷον οὔτις ἀνθρώπων ἔχει
οὔτ' ἐν Σκύθαισιν οὔτε Πέλοπος ἐν τόποις.
κερδῶν ἄθικτον τοῦτο βουλευτήριον,
αἰδοῖον, ὀξύθυμον, εὑδόντων ὕπερ
ἐγρηγορὸς φρούρημα γῆς καθίσταμαι.
ταύτην μὲν ἐξέτειν' ἐμοῖς παραίνεσιν
ἀστοῖσιν εἰς τὸ λοιπόν. ὀρθοῦσθαι δὲ χρὴ,
καὶ ψῆφον αἴρειν καὶ διαγνῶναι δίκην,
αἰδουμένους τὸν ὅρκον. εἴρηται λόγος.

ΧΟΡΟΣ.

καὶ μὴν βαρεῖαν τήνδ' ὁμιλίαν χθονὸς
ξύμβουλός εἰμι μηδαμῶς ἀτιμάσαι.

ΑΠΟΛΛΩΝ.

κἄγωγε χρησμοὺς τοὺς ἐμούς τε καὶ Διὸς
ταρβεῖν κελεύω μηδ' ἀκαρπώτους κτίσαι.

ΧΟΡΟΣ.

ἀλλ' αἱματηρὰ πράγματ' οὐ λαχὼν σέβεις,
μαντεῖα δ' οὐκ ἔθ' ἁγνὰ μαντεύσει μένων.

ΑΠΟΛΛΩΝ.

ἦ καὶ πατήρ τι σφάλλεται βουλευμάτων
πρωτοκτόνοισι προστροπαῖς Ἰξίονος;

ΧΟΡΟΣ.

λέγεις· ἐγὼ δὲ μὴ τυχοῦσα τῆς δίκης
βαρεῖα χώρᾳ τῇδ' ὁμιλήσω πάλιν.

ΑΠΟΛΛΩΝ.

ἀλλ' ἔν τε τοῖς νέοισι καὶ παλαιτέροις
θεοῖς ἄτιμος εἶ σύ· νικήσω δ' ἐγώ.

ΧΟΡΟΣ.

τοιαῦτ' ἔδρασας καὶ Φέρητος ἐν δόμοις·
Μοίρας ἔπεισας ἀφθίτους θεῖναι βροτούς.

ΑΠΟΛΛΩΝ.

οὔκουν δίκαιον τὸν σέβοντ' εὐεργετεῖν,
ἄλλως τε πάντως χὤτε δεόμενος τύχοι;

ΧΟΡΟΣ.

σύ τοι παλαιὰς δαίμονας καταφθίσας
οἴνῳ παρηπάτησας ἀρχαίας θεάς.

ΑΠΟΛΛΩΝ.

σύ τοι τέχ', οὐκ ἔχουσα τῆς δίκης τέλος,
ἐμεῖ τὸν ἰὸν οὐδὲν ἐχθροῖσιν βαρύν.

ΧΟΡΟΣ.

ἐπεὶ καθιππάζει με πρεσβῦτιν νέος,
δίκης γενέσθαι τῆσδ' ἐπήκοος μένω,
ὡς ἀμφίβουλος οὖσα θυμοῦσθαι πόλει.

ΑΘΗΝΑ.

ἐμὸν τόδ' ἔργον, λοισθίαν κρῖναι δίκην·
ψῆφον δ' Ὀρέστῃ τήνδ' ἐγὼ προσθήσομαι.
μήτηρ γὰρ οὔτις ἐστὶν ἥ μ' ἐγείνατο,
τὸ δ' ἄρσεν αἰνῶ πάντα, πλὴν γάμου τυχεῖν,
ἅπαντι θυμῷ, κάρτα δ' εἰμὶ τοῦ πατρός.
οὕτω γυναικὸς οὐ προτιμήσω μόρον,
ἄνδρα κτανούσης δωμάτων ἐπίσκοπον.
νικᾷ δ' Ὀρέστης, κἂν ἰσόψηφος κριθῇ.
ἐκβάλλεθ' ὡς τάχιστα τευχέων πάλους
ὅσοις δικαστῶν τοῦτ' ἐπέσταλται τέλος.

ΟΡΕΣΤΗΣ.

ὦ Φοῖβ' Ἄπολλον, πῶς ἀγὼν κριθήσεται;

ΧΟΡΟΣ.

ὦ Νὺξ μέλαινα μῆτερ, ἆρ' ὁρᾷς τάδε;

ΟΡΕΣΤΗΣ.

νῦν ἀγχόνης μοι τέρματ', ἢ φάος βλέπειν.

ΧΟΡΟΣ.

ἡμῖν γὰρ ἔρρειν, ἢ πρόσω τιμὰς νέμειν.

ΑΠΟΛΛΩΝ.

πεμπάζετ' ὀρθῶς ἐκβολὰς ψήφων, ξένοι,
τὸ μὴ 'δικεῖν σέβοντες ἐν διαιρέσει.
γνώμης δ' ἀπούσης πῆμα γίγνεται μέγα.
βαλοῦσά τ' οἶκον ψῆφος ὤρθωσεν μία.

ΑΘΗΝΑ.

ἀνὴρ ὅδ' ἐκπέφευγεν αἵματος δίκην.
ἴσον γάρ ἐστι τἀρίθμημα τῶν πάλων.

ΟΡΕΣΤΗΣ.

ὦ Παλλάς, ὦ σώσασα τοὺς ἐμοὺς δόμους,
καὶ γῆς πατρῴας ἐστερημένον σύ τοι
κατῴκισάς με· καί τις Ἑλλήνων ἐρεῖ,
Ἀργεῖος ἀνὴρ αὖθις ἔν τε χρήμασιν
οἰκεῖ πατρῴοις, Παλλάδος καὶ Λοξίου
ἕκατι καὶ τοῦ πάντα κραίνοντος τρίτου
σωτῆρος, ὃς πατρῷον αἰδεσθεὶς μόρον
σώζει με, μητρὸς τάσδε συνδίκους ὁρῶν.
ἐγὼ δὲ χώρᾳ τῇδε καὶ τῷ σῷ στρατῷ
τὸ λοιπὸν εἰς ἅπαντα πλειστήρη χρόνον
ὁρκωμοτήσας νῦν ἄπειμι πρὸς δόμους,
μήτοι τιν' ἄνδρα δεῦρο πρυμνήτην χθονὸς
ἐλθόντ' ἐποίσειν εὖ κεκασμένον δόρυ.
αὐτοὶ γὰρ ἡμεῖς ὄντες ἐν τάφοις τότε
τοῖς τἀμὰ παρβαίνουσι νῦν ὁρκώματα
ἀμηχάνοισι πράξομεν δυσπραξίαις
ὁδοὺς ἀθύμους καὶ παρόρνιθας πόρους
τιθέντες, ὡς αὐτοῖσι μεταμέλῃ πόνος·
ὀρθουμένων δὲ καὶ πόλιν τὴν Παλλάδος
τιμῶσιν ἀεὶ τήνδε συμμάχῳ δορὶ
αὐτοῖσιν ἡμεῖς ἐσμεν εὐμενέστεροι.
καὶ χαῖρε καὶ σὺ καὶ πολισσοῦχος λεώς,
πάλαισμ' ἄφυκτον τοῖς ἐναντίοις ἔχοις,
σωτήριόν τε καὶ δορὸς νικηφόρον.

ΧΟΡΟΣ.

ἰὼ θεοὶ νεώτεροι παλαιοὺς νόμους
καθιππάσασθε κἀκ χερῶν εἵλεσθέ μου.
ἐγὼ δ' ἄτιμος ἡ τάλαινα βαρύκοτος,
ἐν γᾷ τᾷδε, φεῦ,
ἰοὺ ἰού, ἀντιπαθῆ
μεθεῖσα καρδίας σταλαγμὸν
χθονὶ ἄφορον· ἐκ δὲ τοῦ
λιχὴν ἄφυλλος, ἄτεκνος,
ἰὼ δίκα, πέδον ἐπισύμενος
βροτοφθόρους κηλῖδας ἐν χώρᾳ βαλεῖ.
στενάζω; τί ῥέξω; γένωμαι; δύσοιστα
πολίταις ἔπαθον,
ἰὼ μεγάλατοι κόραι δυστυχεῖς
Νυκτὸς ἀτιμοπενθεῖς.

ΑΘΗΝΑ.

ἐμοὶ πίθεσθε μὴ βαρυστόνως φέρειν.
οὐ γὰρ νενίκησθ', ἀλλ' ἰσόψηφος δίκη
ἐξῆλθ' ἀληθῶς, οὐκ ἀτιμίᾳ σέθεν.
ἀλλ' ἐκ Διὸς γὰρ λαμπρὰ μαρτύρια παρῆν,
αὐτός θ' ὁ χρήσας αὐτὸς ἦν ὁ μαρτυρῶν,
ὡς ταῦτ' Ὀρέστην δρῶντα μὴ βλάβας ἔχειν.
ὑμεῖς δὲ τῇ γῇ τῇδε μὴ βαρὺν κότον
σκήψησθε, μὴ θυμοῦσθε, μηδ' ἀκαρπίαν
τεύξητ', ἀφεῖσαι δαιμόνων σταλάγματα,
βρωτῆρας αἰχμὰς σπερμάτων ἀνημέρους.
ἐγὼ γὰρ ὑμῖν πανδίκως ὑπίσχομαι
ἕδρας τε καὶ κευθμῶνας ἐνδίκου χθονός,
λιπαροθρόνοισιν ἡμένας ἐπ' ἐσχάραις,
ἕξειν, ὑπ' ἀστῶν τῶνδε τιμαλφουμένας.

ΧΟΡΟΣ.

ἰὼ θεοὶ νεώτεροι παλαιοὺς νόμους
καθιππάσασθε κἀκ χερῶν εἵλεσθέ μου.
ἐγὼ δ' ἄτιμος ἡ τάλαινα βαρύκοτος,
ἐν γᾷ τᾷδε, φεῦ,
ἰοὺ ἰού, ἀντιπαθῆ
μεθεῖσα καρδίας σταλαγμὸν
χθονὶ ἄφορον· ἐκ δὲ τοῦ
λιχὴν ἄφυλλος, ἄτεκνος,
ἰὼ δίκα, πέδον ἐπισύμενος

*βροτοφθόρους κηλῖδας ἐν χώρᾳ βαλεῖ.*
*στενάζω; τί ῥέξω; γένωμαι; δύσοιστα*
*πολίταις ἔπαθον,*
*ἰὼ μεγάλατοι κόραι δυστυχεῖς*
*Νυκτὸς ἀτιμοπενθεῖς.*

*ΑΘΗΝΑ.*

*οὐκ ἔστ' ἄτιμοι, μηδ' ὑπερθύμως ἄγαν*
*θεαὶ βροτῶν στήσητε δύσκηλον χθόνα.*
*κἀγὼ πέποιθα Ζηνὶ, καὶ τί δεῖ λέγειν;*
*καὶ κλῇδας οἶδα δωμάτων μόνη θεῶν,*
*ἐν ᾧ κεραυνός ἐστιν ἐσφραγισμένος·*
*ἀλλ' οὐδὲν αὐτοῦ δεῖ· σὺ δ' εὐπειθὴς ἐμοὶ*
*γλώσσης ματαίας μὴ 'κβάλῃς ἐπὶ χθόνα*
*καρπὸν φέροντα πάντα μὴ πράσσειν καλῶς.*
*κοίμα κελαινοῦ κύματος πικρὸν μένος,*
*ὡς σεμνότιμος καὶ ξυνοικήτωρ ἐμοί·*
*πολλῆς δὲ χώρας τῆσδε τἀκροθίνια*
*θύη πρὸ παίδων καὶ γαμηλίου τέλους*
*ἔχουσ' ἐς ἀεὶ τόνδ' ἐπαινέσεις λόγον.*

*ΧΟΡΟΣ.*

*ἐμὲ παθεῖν τάδε, φεῦ,*
*ἐμὲ παλαιόφρονα κατὰ γᾶν οἰκεῖν,*
*ἀτίετον, φεῦ, μύσος.*
*πνέω τοι μένος ἅπαντά τε κότον.*
*οἶ οἶ, δᾶ φεῦ.*
*τίς μ' ὑποδύεται*
*πλευρὰς ὀδύνα;*
*θυμὸν ἄϊε, μᾶτερ*
*Νύξ. ἀπὸ γάρ με τιμᾶν δαμιᾶν θεῶν*
*δυσπάλαμοι παρ' οὐδὲν ἦραν δόλοι.*

*ΑΘΗΝΑ.*

*ὀργὰς ξυνοίσω σοι· γεραιτέρα γὰρ εἶ.*
*καίτοι γε μὴν σὺ κάρτ' ἐμοῦ σοφωτέρα,*
*φρονεῖν δὲ κἀμοὶ Ζεὺς ἔδωκεν οὐ κακῶς.*
*ὑμεῖς δ' ἐς ἀλλόφυλον ἐλθοῦσαι χθόνα*
*γῆς τῆσδ' ἐρασθήσεσθε· προὐννέπω τάδε.*
*οὑπιρρέων γὰρ τιμιώτερος χρόνος*
*ἔσται πολίταις τοῖσδε. καὶ σὺ τιμίαν*
*ἕδραν ἔχουσα πρὸς δόμοις Ἐρεχθέως*
*τεύξει παρ' ἀνδρῶν καὶ γυναικείων στόλων,*
*ὅσην παρ' ἄλλων οὔποτ' ἂν σχέθοις βροτῶν.*
*σὺ δ' ἐν τόποισι τοῖς ἐμοῖσι μὴ βάλῃς*
*μήθ' αἱματηρὰς θηγάνας, σπλάγχνων βλάβας*
*νέων, ἀοίνοις ἐμμανεῖς θυμώμασι,*
*μηδ' ἐξελοῦσ' ὡς καρδίαν ἀλεκτόρων*
*ἐν τοῖς ἐμοῖς ἀστοῖσιν ἱδρύσῃς Ἄρη*
*ἐμφύλιόν τε καὶ πρὸς ἀλλήλους θρασύν.*
*θυραῖος ἔστω πόλεμος, οὐ μόλις παρὼν,*
*ἐν ᾧ τις ἔσται δεινὸς εὐκλείας ἔρως·*
*ἐνοικίου δ' ὄρνιθος οὐ λέγω μάχην.*
*τοιαῦθ' ἑλέσθαι σοι πάρεστιν ἐξ ἐμοῦ,*
*εὖ δρῶσαν, εὖ πάσχουσαν, εὖ τιμωμένην*
*χώρας μετασχεῖν τῆσδε θεοφιλεστάτης.*

*ΧΟΡΟΣ.*

*ἐμὲ παθεῖν τάδε, φεῦ,*
*ἐμὲ παλαιόφρονα κατὰ γᾶν οἰκεῖν,*
*ἀτίετον, φεῦ, μύσος.*
*πνέω τοι μένος ἅπαντά τε κότον.*
*οἶ οἶ, δᾶ φεῦ.*
*τίς μ' ὑποδύεται*
*πλευρὰς ὀδύνα;*
*θυμὸν ἄϊε, μᾶτερ*
*Νύξ. ἀπὸ γάρ με τιμᾶν δαμιᾶν θεῶν*
*δυσπάλαμοι παρ' οὐδὲν ἦραν δόλοι.*

*ΑΘΗΝΑ.*

*οὔτοι καμοῦμαί σοι λέγουσα τἀγαθὰ,*
*ὡς μήποτ' εἴπῃς, πρὸς νεωτέρας ἐμοῦ*
*θεὸς παλαιὰ καὶ πολισσούχων βροτῶν*
*ἄτιμος ἔρρειν τοῦδ' ἀπόξενος πέδου.*
*ἀλλ' εἰ μὲν ἁγνόν ἐστί σοι πειθοῦς σέβας,*
*γλώσσης ἐμῆς μείλιγμα καὶ θελκτήριον,*
*σὺ δ' οὖν μένοις ἄν· εἰ δὲ μὴ θέλεις μένειν,*
*οὔτ' ἂν δικαίως τῇδ' ἐπιρρέποις πόλει*
*μῆνίν τιν' ἢ κότον τιν' ἢ βλάβην στρατῷ.*
*ἔξεστι γάρ σοι τῆδέ γ' εὐμοίρου χθονὸς*
*εἶναι δικαίως ἐς τὸ πᾶν τιμωμένῃ.*

*ΧΟΡΟΣ.*

*ἄνασσ' Ἀθάνα, τίνα με φὴς ἔχειν ἕδραν;*

*ΑΘΗΝΑ.*

*πάσης ἀπήμον' οἰζύος· δέχου δὲ σύ.*

*ΧΟΡΟΣ.*

*καὶ δὴ δέδεγμαι· τίς δέ μοι τιμὴ μένει;*

*ΑΘΗΝΑ.*

*ὡς μή τιν' οἶκον εὐθενεῖν ἄνευ σέθεν.*

*ΧΟΡΟΣ.*

*σὺ τοῦτο πράξεις, ὥστε με σθένειν τόσον;*

*ΑΘΗΝΑ.*

*τῷ γὰρ σέβοντι συμφορὰς ὀρθώσομεν.*

*ΧΟΡΟΣ.*

*καί μοι πρόπαντος ἐγγύην θήσει χρόνου;*

*ΑΘΗΝΑ.*

*ἔξεστι γάρ μοι μὴ λέγειν ἃ μὴ τελῶ.*

*ΧΟΡΟΣ.*

*θέλξειν μ' ἔοικας, καὶ μεθίσταμαι κότου.*

*ΑΘΗΝΑ.*

*τοιγὰρ κατὰ χθόν' οὖσ' ἐπικτήσει φίλους.*

*ΧΟΡΟΣ.*

*τί οὖν μ' ἄνωγας τῇδ' ἐφυμνῆσαι χθονί;*

*ΑΘΗΝΑ.*

*ὁποῖα νίκης μὴ κακῆς ἐπίσκοπα,*
*καὶ ταῦτα γῆθεν ἔκ τε ποντίας δρόσου*
*ἐξ οὐρανοῦ τε, κἀνέμων ἀήματα,*
*εὐηλίως πνέοντ' ἐπιστείχειν χθόνα·*
*καρπόν τε γαίας καὶ βροτῶν ἐπίρρυτον*
*ἀστοῖσιν εὐθενοῦντα μὴ κάμνειν χρόνῳ,*
*καὶ τῶν βροτείων σπερμάτων σωτηρίαν.*
*τῶν δυσσεβούντων δ' ἐκφορωτέρα πέλοις.*
*στέργω γὰρ, ἀνδρὸς φιτυποιμένος δίκην,*
*τὸ τῶν δικαίων τῶνδ' ἀπένθητον γένος.*

τοιαῦτα σοὔστι. τῶν ἀρειφάτων δ' ἐγὼ
πρεπτῶν ἀγώνων οὐκ ἀνέξομαι τὸ μὴ οὐ
τήνδ' ἀστύνικον ἐν βροτοῖς τιμᾶν πόλιν.

ΧΟΡΟΣ.

δέξομαι Παλλάδος ξυνοικίαν,
οὐδ' ἀτιμάσω πόλιν,
τὰν καὶ Ζεὺς ὁ παγκρατὴς Ἄρης τε
φρούριον θεῶν νέμει,
ῥυσίβωμον Ἑλλά-
νων ἄγαλμα δαιμόνων.
ᾇτ' ἐγὼ κατεύχομαι
θεσπίσασα πρευμενῶς
ἐπισσύτους βίου τύχας ὀνησίμους
γαίας ἐξαμβρόσαι
φαιδρὸν ἁλίου σέλας.

ΑΘΗΝΑ.

τάδ' ἐγὼ προφρόνως τοῖσδε πολίταις
πράσσω, μεγάλας καὶ δυσαρέστους
δαίμονας αὐτοῦ κατανασσαμένη.
πάντα γὰρ αὗται τὰ κατ' ἀνθρώπους
ἔλαχον διέπειν.
ὁ δὲ μὴ κύρσας βαρέων τούτων
οὐκ οἶδεν ὅθεν πληγαὶ βιότου.
τὰ γὰρ ἐκ προτέρων ἀπλακήματά νιν
πρὸς τάσδ' ἀπάγει, σιγῶν ὄλεθρος,
καὶ μέγα φωνοῦντ'
ἐχθραῖς ὀργαῖς ἀμαθύνει.

ΧΟΡΟΣ.

δενδροπήμων δὲ μὴ πνέοι βλάβα,
τὰν ἐμὰν χάριν λέγω·
φλογμός τ' ὀμματοστερὴς φυτῶν,
τὸ μὴ περᾶν ὅρον τόπων,
μηδ' ἄκαρπος αἰα-
νὴς ἐφερπέτω νόσος,
μῆλά τ' εὐθενοῦντ' ἄγαν,
ξὺν διπλοῖσιν ἐμβρύοις,
τρέφοι χρόνῳ τεταγμένῳ· γόνος
πλουτόχθων ἑρμαίαν
δαιμόνων δόσιν τίοι.

ΑΘΗΝΑ.

ἦ τάδ' ἀκούετε, πόλεως φρούριον,
οἷ' ἐπικραίνει; μέγα γὰρ δύναται
πότνι' Ἐρινὺς παρά τ' ἀθανάτοις
τοῖς θ' ὑπὸ γαῖαν περί τ' ἀνθρώπων
φανερῶς τελέως διαπράσσουσιν
τοῖς μὲν ἀοιδάς, τοῖς δ' αὖ δακρύων
βίον ἀμβλωπὸν παρέχουσαι.

ΧΟΡΟΣ.

ἀνδροκμῆτας δ' ἀώ-
ρους ἀπεννέπω τύχας,
νεανίδων τ' ἐπηράτων
ἀνδροτυχεῖς βιότους δότε, κύρι' ἔχοντες
θεαὶ, τῶν Μοῖραι
ματροκασιγνῆται,
δαίμονες ὀρθονόμοι,

916—926. == 938—948.
956—967. == 976—987.

παντὶ δόμῳ μετάκοινοι,
παντὶ χρόνῳ δ' ἐπιβριθεῖς,
ἐνδίκοις ὁμιλίαις
παντᾷ τιμιώταται θεῶν.

ΑΘΗΝΑ.

τάδε τοι χώρᾳ τήμῃ προφρόνως
ἐπικραινομένων
γάνυμαι· στέργω δ' ὄμματα πειθοῦς,
ὅτι μοι γλῶσσαν καὶ στόμ' ἐπωπᾷ
πρὸς τάσδ' ἀγρίως ἀπανηναμένας·
ἀλλ' ἐκράτησε Ζεὺς ἀγοραῖος.
νικᾷ δ' ἀγαθῶν
ἔρις ἡμετέρα διὰ παντός.

ΧΟΡΟΣ.

τὰν δ' ἄπληστον κακῶν
μήποτ' ἐν πόλει στάσιν
τᾷδ' ἐπεύχομαι βρέμειν.
μηδὲ πιοῦσα κόνις μέλαν αἷμα πολιτᾶν
δι' ὀργὰν ποινὰς
ἀντιφόνους ἄτας
ἁρπαλίσαι πόλεως.
χάρματα δ' ἀντιδιδοῖεν
κοινοφελεῖ διανοίᾳ,
καὶ στυγεῖν μιᾷ φρενί.
πολλῶν γὰρ τόδ' ἐν βροτοῖς ἄκος.

ΑΘΗΝΑ.

ἆρα φρονοῦσι γλώσσης ἀγαθῆς
ὁδὸν εὑρίσκειν
ἐκ τῶν φοβερῶν τῶνδε προσώπων
μέγα κέρδος ὁρῶ τοῖσδε πολίταις.
τάσδε γὰρ εὔφρονας εὔφρονες ἀεὶ
μέγα τιμῶντες, καὶ γῆν καὶ πόλιν
ὀρθοδίκαιον
πρέψετε πάντες διάγοντες.

ΧΟΡΟΣ.

χαίρετ' ἐν αἰσιμίαις πλούτου,
χαίρετ' ἀστικὸς λεώς,
ἴκταρ ἥμενοι Διός,
παρθένου φίλας φίλοι
σωφρονοῦντες ἐν χρόνῳ.
Παλλάδος δ' ὑπὸ πτεροῖς
ὄντας ἅζεται πατήρ.

ΑΘΗΝΑ.

χαίρετε χὐμεῖς· προτέραν δ' ἐμὲ χρὴ
στείχειν θαλάμους ἀποδείξουσαν.
πρὸς φῶς ἱερὸν τῶνδε προπομπῶν
ἴτε, καὶ σφαγίων τῶνδ' ὑπὸ σεμνῶν
κατὰ γῆς σύμεναι, τὸ μὲν ἀτηρὸν
χώρας κατέχειν, τὸ δὲ κερδαλέον
πέμπειν πόλεως ἐπὶ νίκῃ.
ὑμεῖς δ' ἡγεῖσθε, πολισσοῦχοι,
παῖδες Κραναοῦ, ταῖσδε μετοίκοις.
εἴη δ' ἀγαθῶν
ἀγαθὴ διάνοια πολίταις.

ΧΟΡΟΣ.

χαίρετε, χαίρετε δ' αὖθις, [ἐπιδιπλοίζω,]

996—1002. == 1013—1020.

πάντες οἱ κατὰ πτόλιν,
δαίμονές τε καὶ βροτοὶ,
Παλλάδος πόλιν νέμον-
τες· μετοικίαν δ' ἐμὴν
εὖ σέβοντες οὔτι μέμ-
ψεσθε συμφορὰς βίου.

### ΑΘΗΝΑ.

αἰνῶ δὲ μύθους τῶνδε τῶν κατευγμάτων,
πέμψω τε φέγγη λαμπάδων σελασφόρων
εἰς τοὺς ἔνερθε καὶ κάτω χθονὸς τόπους,
ξὺν προσπόλοισιν, αἵτε φρουροῦσιν βρέτας
τοὐμὸν δικαίως. ὄμμα γὰρ πάσης χθονὸς
Θησῇδος ἐξίκοιτ' ἂν εὐκλεὴς λόχος
παίδων γυναικῶν καὶ στόλος πρεσβυτίδων.
φοινικοβάπτοις ἐνδυτοῖς ἐσθήμασι
τιμᾶτε, καὶ τὸ φέγγος ὁρμάσθω πυρὸς,
ὅπως ἂν εὔφρων ἥδ' ὁμιλία χθονὸς
τὸ λοιπὸν εὐάνδροισι συμφοραῖς πρέπῃ.

### ΠΡΟΠΟΜΠΟΙ.

βᾶτε δόμῳ, μεγάλαι φιλότιμοι
Νυκτὸς παῖδες ἄπαιδες, ὑπ' εὐθύφρονι πομπ[illegible]
εὐφαμεῖτε δὲ, χωρῖται.
γᾶς ὑπὸ κεύθεσιν ὠγυγίοισι,
καὶ τιμαῖς καὶ θυσίαις περίσεπται τύχᾳ τε.
εὐφαμεῖτε δὲ πανδαμεί.
ἵλαοι δὲ καὶ εὐθύφρονες γᾷ
δεῦρ' ἴτε σεμναὶ, πυριδάπτῳ
λαμπάδι τερπόμεναι. καθ' ὁδὸν δ'
ὀλολύξατε νῦν ἐπὶ μολπαῖς.
σπονδαὶ δ' ἐς τὸ πᾶν ἔνδαιδες οἴκων.
Παλλάδος ἀστοῖσι Ζεὺς πανόπτας.
οὕτω μοῖρά τε συγκατέβα.
ὀλολύξατε νῦν ἐπὶ μολπαῖς.

# ΣΟΦΟΚΛΕΟΥΣ

# ΤΡΑΓΩΙΔΙΑΙ.

# ΣΟΦΟΚΛΕΟΥΣ ΑΙΑΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΑΘΗΝΑ.*
*ΟΔΥΣΣΕΥΣ.*
*ΑΙΑΣ.*
*ΧΟΡΟΣ ΣΑΛΑΜΙΝΙΩΝ ΝΑΥΤΩΝ.*
*ΤΕΚΜΗΣΣΑ.*
*ΑΓΓΕΛΟΣ.*
*ΤΕΥΚΡΟΣ.*
*ΜΕΝΕΛΑΟΣ.*
*ΑΓΑΜΕΜΝΩΝ.*

## ΚΩΦΑ ΠΡΟΣΩΠΑ

*ΕΥΡΥΣΑΚΗΣ.* *ΠΑΙΔΑΓΩΓΟΣ.* *ΣΤΡΑΤΟΚΗΡΥΞ.*

## ΥΠΟΘΕΣΙΣ.

*Τὸ δρᾶμα τῆς Τρωϊκῆς ἐστι πραγματείας, ὥσπερ οἱ ΑΝΤΗΝΟΡΙΔΑΙ, καὶ ΑΙΧΜΑΛΩΤΙΔΕΣ, κι ΕΛΕΝΗΣ ΑΡΠΑΓΗ, καὶ ΜΕΜΝΩΝ. πεπτωκότος γὰρ ἐν τῇ μάχῃ τοῦ Ἀχιλλέως ἐδόκουν Αἴας τε κι Ὀδυσσεὺς ἐπ' αὐτῷ πλέον τι ἀριστεύειν περὶ τὴν τοῦ σώματος κομιδήν· καὶ κρινομένων περὶ τῶν ὅπλα κρατεῖ Ὀδυσσεύς. ὅθεν ὁ Αἴας, τῆς κρίσεως μὴ τυχὼν, παρακεκίνηται καὶ διέφθαρται τὴν γνώμην, ὥσι ἐφαπτόμενος τῶν ποιμνίων δοκεῖν τοὺς Ἕλληνας διαχρήσασθαι. καὶ τὰ μὲν ἀνεῖλε τῶν τετραπόδων, τ δὲ δήσας ἀπάγει ἐπὶ τὴν σκηνήν· ἐν οἷς ἐστι καὶ κριός τις ἔξοχος, ὃν ᾤετο εἶναι Ὀδυσσέα, ὃν δήσι ἐμαστίγωσεν, ὅθεν καὶ τῇ ἐπιγραφῇ πρόσκειται ὁ ΜΑΣΤΙΓΟΦΟΡΟΣ, ἢ πρὸς ἀντιδιαστολὴν τοῦ ΛΟ ΚΡΟΥ. Δικαίαρχος δὲ ΑΙΑΝΤΟΣ ΘΑΝΑΤΟΝ ἐπιγράφει. ἐν δὲ ταῖς διδασκαλίαις ψιλῶς ΑΙΑ ἀναγέγραπται.*

*Ταῦτα μὲν οὖν πράττει ὁ Αἴας· καταλαμβάνει δὲ Ἀθηνᾶ Ὀδυσσέα ἐπὶ τῆς σκηνῆς διοπτεύοντα ποτε ἄρα πράττει ὁ Αἴας, καὶ δηλοῖ αὐτῷ τὰ πραχθέντα, καὶ προκαλεῖται εἰς τὸ ἐμφανὲς τὸν Αἴαντ ἔτι ἐμμανῆ ὄντα, καὶ ἐπικομπάζοντα, ὡς τῶν ἐχθρῶν ἀνῃρημένων. καὶ ὁ μὲν εἰσέρχεται ὡς ἐπὶ τ μαστιγοῦν τὸν Ὀδυσσέα. παραγίνεται δὲ χορὸς Σαλαμινίων ναυτῶν, εἰδὼς μὲν τὸ γεγονὸς, ὅτι ποίμνι ἐσφάγησαν Ἑλληνικὰ, ἀγνοῶν δὲ τὸν δράσαντα. ἔξεισι δὲ καὶ Τέκμησσα, τοῦ Αἴαντος αἰχμάλωτος παλ λακὶς, εἰδυῖα μὲν τὸν σφαγέα τῶν ποιμνίων ὅτι Αἴας ἐστὶν, ἀγνοοῦσα δὲ τίνος εἶεν τὰ ποίμνια. ἑκα τερος οὖν παρ' ἑκατέρου μαθόντες τὸ ἀγνοούμενον, ὁ χορὸς μὲν παρὰ Τεκμήσσης, ὅτι ὁ Αἴας ταῦι ἔδρασε, Τέκμησσα δὲ παρὰ τοῦ χοροῦ, ὅτι Ἑλληνικὰ τὰ σφαγέντα ποίμνια, ἀπολοφύρονται· κ μάλιστα ὁ χορός. ὅθεν δὴ ὁ Αἴας προελθὼν ἔμφρων γενόμενος ἑαυτὸν ἀπολοφύρεται. καὶ τούτου Τέκμησσα δεῖται παύσασθαι τῆς ὀργῆς· ὁ δὲ ὑποκρινόμενος πεπαῦσθαι ἔξεισι καθαρσίων ἕνεκα καὶ ἑα τὸν διαχρῆται. εἰσὶ δὲ καὶ ἐπὶ τῷ τέλει τοῦ δράματος λόγοι τινὲς Τεύκρου πρὸς Μενέλαον, οὐκ ἐῶντ θάπτειν τὸ σῶμα. τὸ δὲ πέρας, θάψας αὐτὸν Τεῦκρος ἀπολοφύρεται. παρίστησι δὲ ὁ λόγος τῆς τραγῳ δίας ὅτι ἐξ ὀργῆς καὶ φιλονεικίας οἱ ἄνθρωποι ἥκοιεν ἐπὶ τὰ τοιαῦτα νοσήματα, ὥσπερ ὁ Αἴας προσδο κήσας ἐγκρατὴς εἶναι τῶν ὅπλων, καὶ ἀποτυχὼν ἔγνω ἑαυτὸν ἀνελεῖν. αἱ δὲ τοιαῦται φιλονεικίαι οι εἰσὶν ἐπωφελεῖς οὐδὲ τοῖς δοκοῦσι νενικηκέναι. ὅρα γὰρ καὶ παρ' Ὁμήρῳ τὰ περὶ τῆς ἥττης τοῦ Αἴαντ πάνυ διὰ βραχέων καὶ περιπαθῶς· (Ὀδ. λ, 542.)*

> *οἴη δ' Αἴαντος ψυχὴ Τελαμωνιάδαο*
> *νόσφιν ἀφειστήκει κεχολωμένη εἵνεκα τευχέων.*

*εἶτα αὐτοῦ ἄκουε τοῦ κεκρατηκότος· (547.)*

> *ὡς δὴ μὴ ὄφελον νικᾶν τοιῷδ' ἐπ' ἀέθλῳ.*

*οὐκ ἐλυσιτέλησεν ἄρα αὐτῷ ἡ νίκη, τοιούτου ἀνδρὸς διὰ τὴν ἧτταν ἀποθανόντος.*

*Ἡ σκηνὴ τοῦ δράματος ἐν τῷ ναυστάθμῳ πρὸς τῇ σκηνῇ τοῦ Αἴαντος. δαιμονίως δὲ εἰσφέρει πρ λογίζουσαν τὴν Ἀθηνᾶν. ἀπίθανον γὰρ τὸν Αἴαντα προϊόντα εἰπεῖν περὶ τῶν αὐτῷ πεπραγμένων, ὥσπ ἐξελέγχοντα ἑαυτόν· οὐδὲ μὴν ἕτερός τις ἠπίστατο τὰ τοιαῦτα, ἐν ἀπορρήτῳ καὶ νυκτὸς τοῦ Αἴαντ δράσαντος. θεοῦ οὖν ἦν τὸ ταῦτα διασαφῆσαι, καὶ Ἀθηνᾶς προκηδομένης τοῦ Ὀδυσσέως, διό φησι·*

> *καὶ πάλαι φύλαξ ἔβην*
> *τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυνηγίᾳ.*

*Περὶ δὲ τοῦ θανάτου τοῦ Αἴαντος διαφόρως ἱστορήκασιν. οἱ μὲν γάρ φασιν ὅτι ὑπὸ Πάριδος τρ θεὶς ἦλθεν εἰς τὰς ναῦς αἱμορροῶν· οἱ δὲ ὅτι χρησμὸς ἐδόθη Τρωσὶ πηλὸν κατ' αὐτοῦ βαλεῖν· σιδήρ γὰρ οὐκ ἦν τρωτός· καὶ οὕτω τελευτᾷ. οἱ δὲ ὅτι αὐτόχειρ αὐτοῦ γέγονεν, ὧν ἐστι καὶ Σοφοκλῆς. πε δὲ τῆς πλευρᾶς, ὅτι μόνην αὐτὴν τρωτὴν εἶχεν, ἱστορεῖ καὶ Πίνδαρος, ὅτι τὸ μὲν σῶμα, ὅπερ ἐκάλυι λεοντῇ, ἄτρωτον ἦν, τὸ δὲ μὴ καλυφθὲν τρωτὸν ἔμεινε.*

# Α Ι Α Σ.

ΑΘΗΝΑ.

Ἀεὶ μὲν, ὦ παῖ Λαρτίου, δέδορκά σε
πεῖράν τιν' ἐχθρῶν ἁρπάσαι θηρώμενον·
καὶ νῦν ἐπὶ σκηναῖς σε ναυτικαῖς ὁρῶ
Αἴαντος, ἔνθα τάξιν ἐσχάτην ἔχει,
πάλαι κυνηγετοῦντα καὶ μετρούμενον
ἴχνη τὰ κείνου νεοχάραχθ', ὅπως ἴδῃς
εἴτ' ἔνδον εἴτ' οὐκ ἔνδον. εὖ δέ σ' ἐκφέρει
κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις.
ἔνδον γὰρ ἁνὴρ ἄρτι τυγχάνει, κάρα
στάζων ἱδρῶτι καὶ χέρας ξιφοκτόνους.
καί σ' οὐδὲν εἴσω τῆσδε παπταίνειν πύλης
ἔτ' ἔργον ἐστὶν, ἐννέπειν δ' ὅτου χάριν
σπουδὴν ἔθου τήνδ', ὡς παρ' εἰδυίας μάθῃς.

ΟΔΥΣΣΕΥΣ.

ὦ φθέγμ' Ἀθάνας φιλτάτης ἐμοὶ θεῶν,
ὡς εὐμαθές σου, κἂν ἄποπτος ᾖς ὅμως,
φώνημ' ἀκούω καὶ ξυναρπάζω φρενὶ
χαλκοστόμου κώδωνος ὡς Τυρσηνικῆς.
καὶ νῦν ἐπέγνως εὖ μ' ἐπ' ἀνδρὶ δυσμενεῖ
βάσιν κυκλοῦντ', Αἴαντι τῷ σακεσφόρῳ.
κεῖνον γὰρ, οὐδέν' ἄλλον, ἰχνεύω πάλαι.
νυκτὸς γὰρ ἡμᾶς τῆσδε πρᾶγος ἄσκοπον
ἔχει περάνας, εἴπερ εἴργασται τάδε·
ἴσμεν γὰρ οὐδὲν τρανὲς, ἀλλ' ἀλώμεθα·
κἀγὼ 'θελοντὴς τῷδ' ὑπεζύγην πόνῳ.
ἐφθαρμένας γὰρ ἀρτίως εὑρίσκομεν
λείας ἁπάσας καὶ κατηναρισμένας
ἐκ χειρὸς αὐτοῖς ποιμνίων ἐπιστάταις.
τήνδ' οὖν ἐκείνῳ πᾶς τις αἰτίαν νέμει.
καί μοί τις ὀπτὴρ αὐτὸν εἰσιδὼν μόνον
πηδῶντα πεδία σὺν νεορράντῳ ξίφει
φράζει τε κἀδήλωσεν· εὐθέως δ' ἐγὼ
κατ' ἴχνος ᾄσσω, καὶ τὰ μὲν σημαίνομαι,
τὰ δ' ἐκπέπληγμαι, κοὐκ ἔχω μαθεῖν ὅτου.
καιρὸν δ' ἐφήκεις· πάντα γὰρ τά τ' οὖν πάρος
τά τ' εἰσέπειτα σῇ κυβερνῶμαι χερί.

ΑΘΗΝΑ.

ἔγνων, Ὀδυσσεῦ, καὶ πάλαι φύλαξ ἔβην
τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυνηγίᾳ.

ΟΔΥΣΣΕΥΣ.

ἦ καὶ, φίλη δέσποινα, πρὸς καιρὸν πονῶ;

ΑΘΗΝΑ.

ὡς ἔστιν ἀνδρὸς τοῦδε τἄργα ταῦτά σοι.

ΟΔΥΣΣΕΥΣ.

καὶ πρὸς τί δυσλόγιστον ὧδ' ᾖξεν χέρα;

ΑΘΗΝΑ.

χόλῳ βαρυνθεὶς τῶν Ἀχιλλείων ὅπλων.

ΟΔΥΣΣΕΥΣ.

τί δῆτα ποίμναις τήνδ' ἐπεμπίπτει βάσιν;

ΑΘΗΝΑ.

δοκῶν ἐν ὑμῖν χεῖρα χραίνεσθαι φόνῳ.

ΟΔΥΣΣΕΥΣ.

ἦ καὶ τὸ βούλευμ' ὡς ἐπ' Ἀργείοις τόδ' ἦν;

ΑΘΗΝΑ.

κἂν ἐξέπραξεν, εἰ κατημέλησ' ἐγώ.

ΟΔΥΣΣΕΥΣ.

ποίαισι τόλμαις ταῖσδε καὶ φρενῶν θράσει;

ΑΘΗΝΑ.

νύκτωρ ἐφ' ὑμᾶς δόλιος ὁρμᾶται μόνος.

ΟΔΥΣΣΕΥΣ.

ἦ καὶ παρέστη κἀπὶ τέρμ' ἀφίκετο;

ΑΘΗΝΑ.

καὶ δὴ 'πὶ δισσαῖς ἦν στρατηγίσιν πύλαις.

ΟΔΥΣΣΕΥΣ.

καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου;

ΑΘΗΝΑ.

ἐγώ σφ' ἀπείργω, δυσφόρους ἐπ' ὄμμασι
γνώμας βαλοῦσα, τῆς ἀνηκέστου χαρᾶς,
καὶ πρός τε ποίμνας ἐκτρέπω σύμμικτά τε
λείας ἄδαστα βουκόλων φρουρήματα·
ἔνθ' εἰσπεσὼν ἔκειρε πολύκερων φόνον
κύκλῳ ῥαχίζων· κἀδόκει μὲν ἔσθ' ὅτε
δισσοὺς Ἀτρείδας αὐτόχειρ κτείνειν ἔχων,
ὅτ' ἄλλοτ' ἄλλον ἐμπίτνων στρατηλατῶν.
ἐγὼ δὲ φοιτῶντ' ἄνδρα μανιάσιν νόσοις
ὤτρυνον, εἰσέβαλλον εἰς ἕρκη κακά.
κἄπειτ' ἐπειδὴ τοῦδ' ἐλώφησεν πόνου,
τοὺς ζῶντας αὖ δεσμοῖσι συνδήσας βοῶν
ποίμνας τε πάσας εἰς δόμους κομίζεται,
ὡς ἄνδρας, οὐχ ὡς εὔκερων ἄγραν ἔχων.
καὶ νῦν κατ' οἴκους συνδέτους αἰκίζεται.
δείξω δὲ καὶ σοὶ τήνδε περιφανῆ νόσον,
ὡς πᾶσιν Ἀργείοισιν εἰσιδὼν θροῇς.
θαρσῶν δὲ μίμνε μηδὲ συμφορὰν δέχου
τὸν ἄνδρ'. ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους
αὐγὰς ἀπείρξω σὴν πρόσοψιν εἰσιδεῖν.
οὗτος, σὲ τὸν τὰς αἰχμαλωτίδας χέρας
δεσμοῖς ἀπευθύνοντα προσμολεῖν καλῶ·
Αἴαντα φωνῶ· στεῖχε δωμάτων πάρος.

ΟΔΥΣΣΕΥΣ.

τί δρᾷς, Ἀθάνα; μηδαμῶς σφ' ἔξω κάλει.

ΑΘΗΝΑ.

οὐ σῖγ' ἀνέξει μηδὲ δειλίαν ἀρεῖς;

ΟΔΥΣΣΕΥΣ.

μὴ πρὸς θεῶν· ἀλλ' ἔνδον ἀρκείτω μένων.

ΑΘΗΝΑ.

τί μὴ γένηται; πρόσθεν οὐκ ἀνὴρ ὅδ' ἦν;

ΟΔΥΣΣΕΥΣ.

ἐχθρός γε τῷδε τἀνδρὶ καὶ τανῦν ἔτι.

ΑΘΗΝΑ.

οὔκουν γέλως ἥδιστος εἰς ἐχθροὺς γελᾶν;

ΟΔΥΣΣΕΥΣ.
ἐμοὶ μὲν ἀρκεῖ τοῦτον ἐν δόμοις μένειν.
ΑΘΗΝΑ.
μεμηνότ' ἄνδρα περιφανῶς ὀκνεῖς ἰδεῖν;
ΟΔΥΣΣΕΥΣ.
φρονοῦντα γάρ νιν οὐκ ἂν ἐξέστην ὄκνῳ.
ΑΘΗΝΑ.
ἀλλ' οὐδὲ νῦν σε μὴ παρόντ' ἴδῃ πέλας.
ΟΔΥΣΣΕΥΣ.
πῶς, εἴπερ ὀφθαλμοῖς γε τοῖς αὐτοῖς ὁρᾷ;
ΑΘΗΝΑ.
ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα.
ΟΔΥΣΣΕΥΣ.
γένοιτο μέντἂν πᾶν θεοῦ τεχνωμένου.
ΑΘΗΝΑ.
σίγα νυν ἑστὼς καὶ μέν' ὡς κυρεῖς ἔχων.
ΟΔΥΣΣΕΥΣ.
μένοιμ' ἄν· ἤθελον δ' ἂν ἐκτὸς ὢν τυχεῖν.
ΑΘΗΝΑ.
ὦ οὗτος, Αἶαν, δεύτερόν σε προσκαλῶ.
τί βαιὸν οὕτως ἐντρέπει τῆς ξυμμάχου;
ΑΙΑΣ.
ὦ χαῖρ' Ἀθάνα, χαῖρε Διογενὲς τέκνον,
ὡς εὖ παρέστης· καί σε παγχρύσοις ἐγὼ
στέψω λαφύροις τῆσδε τῆς ἄγρας χάριν.
ΑΘΗΝΑ.
καλῶς ἔλεξας. ἀλλ' ἐκεῖνό μοι φράσον,
ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στρατῷ;
ΑΙΑΣ.
κόμπος πάρεστι κοὐκ ἀπαρνοῦμαι τὸ μή.
ΑΘΗΝΑ.
ἦ καὶ πρὸς Ἀτρείδαισιν ᾔχμασας χέρα;
ΑΙΑΣ.
ὥστ' οὔποτ' Αἴανθ' οἵδ' ἀτιμάσουσ' ἔτι.
ΑΘΗΝΑ.
τεθνᾶσιν ἅνδρες, ὡς τὸ σὸν ξυνῆκ' ἐγώ.
ΑΙΑΣ.
θανόντες ἤδη τἄμ' ἀφαιρείσθων ὅπλα.
ΑΘΗΝΑ.
εἶεν, τί γὰρ δὴ παῖς ὁ τοῦ Λαερτίου,
ποῦ σοι τύχης ἕστηκεν; ἦ πέφευγέ σε;
ΑΙΑΣ.
ἦ τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου;
ΑΘΗΝΑ.
ἔγωγ'· Ὀδυσσέα τὸν σὸν ἐνστάτην λέγω.
ΑΙΑΣ.
ἥδιστος, ὦ δέσποινα, δεσμώτης ἔσω
θακεῖ· θανεῖν γὰρ αὐτὸν οὔ τί πω θέλω.
ΑΘΗΝΑ.
πρὶν ἂν τί δράσῃς ἢ τί κερδάνῃς πλέον;
ΑΙΑΣ.
πρὶν ἂν δεθεὶς πρὸς κίον' ἑρκείου στέγης
ΑΘΗΝΑ.
τί δῆτα τὸν δύστηνον ἐργάσει κακόν;
ΑΙΑΣ.
μάστιγι πρῶτον νῶτα φοινιχθεὶς θάνῃ.
ΑΘΗΝΑ.
μὴ δῆτα τὸν δύστηνον ὧδέ γ' αἰκίσῃ.
ΑΙΑΣ.
χαίρειν, Ἀθάνα, τἄλλ' ἐγώ σ' ἐφίεμαι·
κεῖνος δὲ τίσει τήνδε κοὐκ ἄλλην δίκην.
ΑΘΗΝΑ.
σὺ δ' οὖν, ἐπειδὴ τέρψις ἥδε σοι τὸ δρᾶν,
χρῶ χειρί, φείδου μηδὲν ὧνπερ ἐννοεῖς.
ΑΙΑΣ.
χωρῶ πρὸς ἔργον· τοῦτό σοι δ' ἐφίεμαι,
τοιάνδ' ἀεί μοι ξύμμαχον παρεστάναι.
ΑΘΗΝΑ.
ὁρᾷς, Ὀδυσσεῦ, τὴν θεῶν ἰσχὺν ὅση;
τούτου τίς ἄν σοι τἀνδρὸς ἢ προνούστερος,
ἢ δρᾶν ἀμείνων εὑρέθη τὰ καίρια;
ΟΔΥΣΣΕΥΣ.
ἐγὼ μὲν οὐδέν' οἶδ'· ἐποικτείρω δέ νιν
δύστηνον ἔμπας, καίπερ ὄντα δυσμενῆ,
ὁθούνεκ' ἄτῃ συγκατέζευκται κακῇ,
οὐδὲν τὸ τούτου μᾶλλον ἢ τοὐμὸν σκοπῶν.
ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
εἴδωλ' ὅσοιπερ ζῶμεν ἢ κούφην σκιάν.
ΑΘΗΝΑ.
τοιαῦτα τοίνυν εἰσορῶν ὑπέρκοπον
μηδέν ποτ' εἴπῃς αὐτὸς εἰς θεοὺς ἔπος,
μηδ' ὄγκον ἄρῃς μηδέν', εἴ τινος πλέον
ἢ χειρὶ βρίθεις ἢ μακροῦ πλούτου βάθει.
ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
ἅπαντα τἀνθρώπεια· τοὺς δὲ σώφρονας
θεοὶ φιλοῦσι καὶ στυγοῦσι τοὺς κακούς.
ΧΟΡΟΣ.
Τελαμώνιε παῖ, τῆς ἀμφιρύτου
Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου,
σὲ μὲν εὖ πράσσοντ' ἐπιχαίρω·
σὲ δ' ὅταν πληγὴ Διὸς ἢ ζαμενὴς
λόγος ἐκ Δαναῶν κακόθρους ἐπιβῇ,
μέγαν ὄκνον ἔχω καὶ πεφόβημαι
πτηνῆς ὡς ὄμμα πελείας.
ὡς καὶ τῆς νῦν φθιμένης νυκτὸς
μεγάλοι θόρυβοι κατέχουσ' ἡμᾶς
ἐπὶ δυσκλείᾳ, σὲ τὸν ἱππομανῆ
λειμῶν' ἐπιβάντ' ὀλέσαι Δαναῶν
βοτὰ καὶ λείαν,
ἥπερ δορίληπτος ἔτ' ἦν λοιπή,
κτείνοντ' αἴθωνι σιδήρῳ.
τοιούσδε λόγους ψιθύρους πλάσσων
εἰς ὦτα φέρει πᾶσιν Ὀδυσσεύς,
καὶ σφόδρα πείθει. περὶ γὰρ σοῦ νῦν
εὔπειστα λέγει, καὶ πᾶς ὁ κλύων
τοῦ λέξαντος χαίρει μᾶλλον
τοῖς σοῖς ἄχεσιν καθυβρίζων.
τῶν γὰρ μεγάλων ψυχῶν ἱεὶς
οὐκ ἂν ἁμάρτοι· κατὰ δ' ἄν τις ἐμοῦ
τοιαῦτα λέγων οὐκ ἂν πείθοι.
πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει.
καίτοι σμικροὶ μεγάλων χωρὶς
σφαλερὸν πύργου ῥῦμα πέλονται·
μετὰ γὰρ μεγάλων βαιὸς ἄριστ' ἂν
καὶ μέγας ὀρθοῖθ' ὑπὸ μικροτέρων.
ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους
τούτων γνώμας προδιδάσκειν.
ὑπὸ τοιούτων ἀνδρῶν θορυβεῖ

χἠμεῖς οὐδὲν σθένομεν πρὸς ταῦτ'
ἀπαλέξασθαι σοῦ χωρὶς, ἄναξ.
ἀλλ' ὅτε γὰρ δὴ τὸ σὸν ὄμμ' ἀπέδραν,
παταγοῦσιν ἅτε πτηνῶν ἀγέλαι·
μέγαν αἰγυπιὸν δ' ὑποδείσαντες
τάχ' ἂν ἐξαίφνης, εἰ σὺ φανείης,
σιγῇ πτήξειαν ἄφωνοι.
ἦ ῥά σε Ταυροπόλα Διὸς Ἄρτεμις,
ὢ μεγάλα φάτις, ὢ
μᾶτερ αἰσχύνας ἐμᾶς,
ὥρμασε πανδάμους ἐπὶ βοῦς ἀγελαίας,
ἤ πού τινος νίκας ἀκάρπωτον χάριν,
ἦ ῥα κλυτῶν ἐνάρων
ψευσθεῖσ', ἀδώροις εἴτ' ἐλαφηβολίαις;
ἢ χαλκοθώραξ ἤ τιν' Ἐνυάλιος
μομφὰν ἔχων ξυνοῦ δορὸς ἐννυχίοις
μαχαναῖς ἐτίσατο λώβαν;
οὔ ποτε γὰρ φρενόθεν γ' ἐπ' ἀριστερὰ,
παῖ Τελαμῶνος, ἔβας
τόσσον ἐν ποίμναις πίτνων·
ἥκοι γὰρ ἂν θεία νόσος· ἀλλ' ἀπερύκοι
καὶ Ζεὺς κακὰν καὶ Φοῖβος Ἀργείων φάτιν.
εἰ δ' ὑποβαλλόμενοι
κλέπτουσι μύθους οἱ μεγάλοι βασιλῆς,
ἢ τᾶς ἀσώτου Σισυφιδᾶν γενεᾶς,
μὴ μή μ', ἄναξ, ἔθ' ὧδ' ἐφάλοις κλισίαις
ὄμμ' ἔχων κακὰν φάτιν ἄρῃ.
ἀλλ' ἄνα ἐξ ἑδράνων, ὅπου μακραίωνι
στηρίζει ποτὲ τᾷδ' ἀγωνίῳ σχολᾷ
ἄταν οὐρανίαν φλέγων. ἐχθρῶν δ' ὕβρις
ἀτάρβητος ὁρμᾶται
ἐν εὐανέμοις βάσσαις,
πάντων καγχαζόντων
γλώσσαις βαρυάλγητα·
ἐμοὶ δ' ἄχος ἕστακεν.

ΤΕΚΜΗΣΣΑ.

ναὸς ἀρωγοὶ τῆς Αἴαντος,
γενεᾶς χθονίων ἀπ' Ἐρεχθειδᾶν,
ἔχομεν στοναχὰς οἱ κηδόμενοι
τοῦ Τελαμῶνος τηλόθεν οἴκου.
νῦν γὰρ ὁ δεινὸς μέγας ὠμοκρατὴς
Αἴας θολερῷ
κεῖται χειμῶνι νοσήσας.

ΧΟΡΟΣ.

τί δ' ἐνήλλακται τῆς ἀμερίας
νὺξ ἥδε βάρος;
παῖ τοῦ Φρυγίου Τελεύταντος,
λέγ', ἐπεί σε λέχος δουριάλωτον
στέρξας ἀνέχει θούριος Αἴας·
ὥστ' οὐκ ἂν ἄϊδρις ὑπείποις.

ΤΕΚΜΗΣΣΑ.

πῶς δῆτα λέγω λόγον ἄρρητον;
θανάτῳ γὰρ ἴσον πάθος ἐκπεύσει.
μανίᾳ γὰρ ἁλοὺς ἡμὶν ὁ κλεινὸς
νύκτερος Αἴας ἀπελωβήθη.
τοιαῦτ' ἂν ἴδοις σκηνῆς ἔνδον
χειροδάϊκτα σφάγι' αἱμοβαφῆ,
κείνου χρηστήρια τἀνδρός.

172 — 182. = 183 — 193.

ΧΟΡΟΣ.

οἵαν ἐδήλωσας ἀνδρὸς αἴθονος ἀγγελίαν ἄτλατον
οὐδὲ φευκτὰν,
τῶν μεγάλων Δαναῶν ὕπο κληζομέναν,
τὰν ὁ μέγας μῦθος ἀέξει.
οἴμοι φοβοῦμαι τὸ προσέρπον. περίφαντος ἀνὴρ
θανεῖται, παραπλήκτῳ χερὶ συγκατακτὰς
κελαινοῖς ξίφεσιν βοτὰ καὶ βοτῆρας ἱππονώμας.

ΤΕΚΜΗΣΣΑ.

ὤμοι· κεῖθεν κεῖθεν ἄρ' ἡμῖν
δεσμῶτιν ἄγων ἤλυθε ποίμναν·
ὧν τὴν μὲν ἔσω σφάζ' ἐπὶ γαίας,
τὰ δὲ πλευροκοπῶν δίχ' ἀνερρήγνυ.
δύο δ' ἀργίποδας κριοὺς ἀνελὼν
τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν ἄκραν
ῥίπτει θερίσας, τὸν δ' ὀρθὸν ἄνω
κίονι δήσας
μέγαν ἱπποδέτην ῥυτῆρα λαβὼν
παίει λιγυρᾷ μάστιγι διπλῇ,
κακὰ δεννάζων ῥήμαθ', ἃ δαίμων
κοὐδεὶς ἀνδρῶν ἐδίδαξεν.

ΧΟΡΟΣ.

ὥρα τιν' ἤδη κάρα καλύμμασι κρυψάμενον. πο-
δοῖν κλοπὰν ἀρέσθαι,
ἢ θοὸν εἰρεσίας ζυγὸν ἑζόμενον
ποντοπόρῳ ναῒ μεθεῖναι.
τοίας ἐρέσσουσιν ἀπειλὰς δικρατεῖς Ἀτρεῖδαι
καθ' ἡμῶν· πεφόβημαι λιθόλευστον Ἄρη
ξυναλγεῖν μετὰ τοῦδε τυπεὶς, τὸν αἶσ' ἄπλα-
τος ἴσχει.

ΤΕΚΜΗΣΣΑ.

οὐκ ἔτι. λαμπρᾶς γὰρ ἄτερ στεροπᾶς
ᾄξας ὀξὺς νότος ὣς λήγει.
καὶ νῦν φρόνιμος νέον ἄλγος ἔχει.
τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη,
μηδενὸς ἄλλου παραπράξαντος,
μεγάλας ὀδύνας ὑποτείνει.

ΧΟΡΟΣ.

ἀλλ' εἰ πέπαυται, κάρτ' ἂν εὐτυχεῖν δοκῶ.
φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος.

ΤΕΚΜΗΣΣΑ.

πότερα δ' ἂν, εἰ νέμοι τις αἵρεσιν, λάβοις,
φίλους ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν,
ἢ κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι ξυνών;

ΧΟΡΟΣ.

τό τοι διπλάζον, ὦ γύναι, μεῖζον κακόν.

ΤΕΚΜΗΣΣΑ.

ἡμεῖς ἄρ' οὐ νοσοῦντες ἀτώμεσθα νῦν.

ΧΟΡΟΣ.

πῶς τοῦτ' ἔλεξας; οὐ κάτοιδ' ὅπως λέγεις.

ΤΕΚΜΗΣΣΑ.

ἀνὴρ ἐκεῖνος, ἡνίκ' ἦν ἐν τῇ νόσῳ,
αὐτὸς μὲν ἥδεθ' οἷσιν εἴχετ' ἐν κακοῖς,
ἡμᾶς δὲ τοὺς φρονοῦντας ἠνία ξυνών·
νῦν δ' ὡς ἔληξε κἀνέπνευσε τῆς νόσου,
κεῖνός τε λύπῃ πᾶς ἐλήλαται κακῇ
ἡμεῖς θ' ὁμοίως οὐδὲν ἧσσον ἢ πάρος.
ἆρ' ἔστι ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν κακά;

221 — 232. = 245 — 256.

ΧΟΡΟΣ.

ξύμφημι δή σοι καὶ δέδοικα μὴ 'κ θεοῦ
πληγή τις ἥκῃ. πῶς γὰρ, εἰ πεπαυμένος
μηδέν τι μᾶλλον ἢ νοσῶν εὐφραίνεται;

ΤΕΚΜΗΣΣΑ.

ὡς ὧδ' ἐχόντων τῶνδ' ἐπίστασθαί σε χρή.

ΧΟΡΟΣ.

τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ προσέπτατο;
δήλωσον ἡμῖν τοῖς ξυναλγοῦσιν τύχας.

ΤΕΚΜΗΣΣΑ.

ἅπαν μαθήσει τοὔργον, ὡς κοινωνὸς ὤν.
κεῖνος γὰρ ἄκρας νυκτὸς, ἡνίχ' ἕσπεροι
λαμπτῆρες οὐκέτ' ᾖθον, ἄμφηκες λαβὼν
ἐμαίετ' ἔγχος ἐξόδους ἕρπειν κενάς.
κἀγὼ 'πιπλήσσω καὶ λέγω, τί χρῆμα δρᾷς,
Αἴαν; τί τήνδ' ἄκλητος οὔθ' ὑπ' ἀγγέλων
κληθεὶς ἀφορμᾷς πεῖραν οὔτε του κλύων
σάλπιγγος; ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός.
ὁ δ' εἶπε πρός με βαί', ἀεὶ δ' ὑμνούμενα·
γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
κἀγὼ μαθοῦσ' ἔληξ', ὁ δ' ἐσσύθη μόνος.
καὶ τὰς ἐκεῖ μὲν οὐκ ἔχω φράζειν πάθας·
ἔσω δ' ἐσῆλθε συνδέτους ἄγων ὁμοῦ
ταύρους, κύνας βοτῆρας, εὔκερών τ' ἄγραν.
καὶ τοὺς μὲν ηὐχένιζε, τοὺς δ' ἄνω τρέπων
ἔσφαζε κἀρράχιζε, τοὺς δὲ δεσμίους
ᾐκίζεθ' ὥστε φῶτας ἐν ποίμναις πίτνων.
τέλος δ' ὑπάξας διὰ θυρῶν σκιᾷ τινὶ
λόγους ἀνέσπα τοὺς μὲν Ἀτρειδῶν κάτα,
τοὺς δ' ἀμφ' Ὀδυσσεῖ, συντιθεὶς γέλων πολὺν,
ὅσην κατ' αὐτῶν ὕβριν ἐκτίσαιτ' ἰών·
κἄπειτ' ἐπάξας αὖθις ἐς δόμους πάλιν
ἔμφρων μόλις πως ξὺν χρόνῳ καθίσταται,
καὶ πλῆρες ἄτης ὡς διοπτεύει στέγος,
παίσας κάρα θώϋξεν· ἐν δ' ἐρειπίοις
νεκρῶν ἐρειφθεὶς ἕζετ' ἀρνείου φόνου,
κόμην ἀπρὶξ ὄνυξι συλλαβὼν χερί.
καὶ τὸν μὲν ἧστο πλεῖστον ἄφθογγος χρόνον·
ἔπειτ' ἐμοὶ τὰ δείν' ἐπηπείλησ' ἔπη,
εἰ μὴ φανοίην πᾶν τὸ συντυχὸν πάθος,
κἀνήρετ' ἐν τῷ πράγματος κυροῖ ποτέ.
κἀγὼ, φίλοι, δείσασα τοὐξειργασμένον
ἔλεξα πᾶν ὅσονπερ ἐξηπιστάμην.
ὁ δ' εὐθὺς ἐξῴμωξεν οἰμωγὰς λυγρὰς,
ἃς οὔποτ' αὐτοῦ πρόσθεν εἰσήκουσ' ἐγώ.
πρὸς γὰρ κακοῦ τε καὶ βαρυψύχου γόους
τοιούσδ' ἀεί ποτ' ἀνδρὸς ἐξηγεῖτ' ἔχειν·
ἀλλ' ἀψόφητος ὀξέων κωκυμάτων
ὑπεστέναζε ταῦρος ὣς βρυχώμενος.
νῦν δ' ἐν τοιᾷδε κείμενος κακῇ τύχῃ
ἄσιτος ἀνὴρ, ἄποτος, ἐν μέσοις βοτοῖς
σιδηροκμῆσιν ἥσυχος θακεῖ πεσών.
καὶ δῆλός ἐστιν ὥς τι δρασείων κακόν.
τοιαῦτα γάρ πως καὶ λέγει κὠδύρεται.
ἀλλ', ὦ φίλοι, τούτων γὰρ οὕνεκ' ἐστάλην,
ἀρήξατ' εἰσελθόντες, εἰ δύνασθέ τι.
φίλων γὰρ οἱ τοιοίδε νικῶνται λόγοις.

ΧΟΡΟΣ.

Τέκμησσα δεινὰ παῖ Τελεύταντος λέγεις
ἡμῖν, τὸν ἄνδρα διαπεφοιβάσθαι κακοῖς.

ΑΙΑΣ.

ἰώ μοί μοι.

ΤΕΚΜΗΣΣΑ.

τάχ', ὡς ἔοικε, μᾶλλον· ἢ οὐκ ἠκούσατε
Αἴαντος οἵαν τήνδε θωΰσσει βοήν;

ΑΙΑΣ.

ἰώ μοί μοι.

ΧΟΡΟΣ.

ἀνὴρ ἔοικεν ἢ νοσεῖν, ἢ τοῖς πάλαι
νοσήμασι ξυνοῦσι λυπεῖσθαι παρών.

ΑΙΑΣ.

ἰὼ παῖ παῖ.

ΤΕΚΜΗΣΣΑ.

ὤμοι τάλαιν'· Εὐρύσακες, ἀμφὶ σοὶ βοᾷ.
τί ποτε μενοινᾷ; ποῦ ποτ' εἶ; τάλαιν' ἐγώ.

ΑΙΑΣ.

Τεῦκρον καλῶ. ποῦ Τεῦκρος; ἢ τὸν εἰσαεὶ
λεηλατήσει χρόνον; ἐγὼ δ' ἀπόλλυμαι.

ΧΟΡΟΣ.

ἀνὴρ φρονεῖν ἔοικεν. ἀλλ' ἀνοίγετε.
τάχ' ἄν τιν' αἰδῶ κἀπ' ἐμοὶ βλέψας λάβοι.

ΤΕΚΜΗΣΣΑ.

ἰδοὺ, διοίγω· προσβλέπειν δ' ἔξεστί σοι
τὰ τοῦδε πράγη, καὐτὸς ὡς ἔχων κυρεῖ.

ΑΙΑΣ.

ἰὼ φίλοι ναυβάται, μόνοι ἐμῶν φίλων
μόνοι ἔτ' ἐμμένοντες ὀρθῷ νόμῳ,
ἴδεσθέ μ' οἷον ἄρτι κῦμα φοινίας ὑπὸ ζάλης
ἀμφίδρομον κυκλεῖται.

ΧΟΡΟΣ.

οἴμ' ὡς ἔοικας ὀρθὰ μαρτυρεῖν ἄγαν.
δηλοῖ δὲ τοὔργον ὡς ἀφροντίστως ἔχει.

ΑΙΑΣ.

ἰὼ γένος ναΐας ἀρωγὸν τέχνας,
ἅλιον ὃς ἐπέβας ἑλίσσων πλάταν,
σέ τοι σέ τοι μόνον δέδορκα ποιμένων ἐπα-
κέσοντ'·
ἀλλά με συνδάϊξον.

ΧΟΡΟΣ.

εὔφημα φώνει. μὴ κακὸν κακῷ διδοὺς
ἄκος πλέον τὸ πῆμα τῆς ἄτης τίθει.

ΑΙΑΣ.

ὁρᾷς τὸν θρασὺν, τὸν εὐκάρδιον,
τὸν ἐν δαΐοις ἄτρεστον μάχαις,
ἐν ἀφόβοις με θηρσὶ δεινὸν χέρας;
οἴμοι γέλωτος, οἷον ὑβρίσθην ἄρα.

ΤΕΚΜΗΣΣΑ.

μὴ, δέσποτ' Αἴας, λίσσομαί σ'. αὔδα τάδε.

ΑΙΑΣ.

οὐκ ἐκτός; οὐκ ἄψορρον ἐκνεμεῖ πόδα;
αἰαῖ αἰαῖ.

ΧΟΡΟΣ.

ὦ πρὸς θεῶν ὕπεικε καὶ φρόνησον εὖ.

ΑΙΑΣ.

ὦ δύσμορος, ὃς χερὶ μὲν μεθῆκα τοὺς ἀλάστο
ἐν δ' ἑλίκεσσι βουσὶ καὶ κλυτοῖς πεσὼν αἰπολ
ἐρεμνὸν αἷμ' ἔδευσα.

348 — 355. = 356 — 363.
364 — 378. = 379 — 393.

ΧΟΡΟΣ.
τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις;
οὐ γὰρ γένοιτ' ἂν ταῦθ' ὅπως οὐχ ὧδ' ἔχειν.

ΑΙΑΣ.
ἰὼ πάνθ' ὁρῶν, ἁπάντων τ' ἀεὶ
κακῶν ὄργανον, τέκνον Λαρτίου,
κακοπινέστατόν τ' ἄλημα στρατοῦ,
ἦ που πολὺν γέλωθ' ὑφ' ἡδονῆς ἄγεις.

ΧΟΡΟΣ.
ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κὠδύρεται.

ΑΙΑΣ.
ἴδοιμ' ἴδοιμι, καίπερ ὧδ' ἀτώμενος.
ἰώ μοί μοι.

ΧΟΡΟΣ.
μηδὲν μέγ' εἴπῃς. οὐχ ὁρᾷς ἵν' εἶ κακοῦ;

ΑΙΑΣ.
ὦ Ζεῦ, προγόνων προπάτωρ, πῶς ἂν τὸν αἱ-
μυλώτατον,
ἐχθρὸν ἄλημα, τούς τε δισσάρχας ὀλέσσας βα-
σιλῆς,
τέλος θάνοιμι καὐτός.

ΤΕΚΜΗΣΣΑ.
ὅταν κατεύχῃ ταῦθ', ὁμοῦ κἀμοὶ θανεῖν
εὔχου· τί γὰρ δεῖ ζῆν με σοῦ τεθνηκότος;

ΑΙΑΣ.
ἰὼ σκότος, ἐμὸν φάος,
ἔρεβος ὦ φαεννότατον, ὡς ἐμοί,
ἕλεσθ' ἕλεσθέ μ' οἰκήτορα,
ἕλεσθέ μ'· οὔτε γὰρ θεῶν γένος οὔθ' ἁμερίων
ἔτ' ἄξιος βλέπειν τιν' εἰς ὄνησιν ἀνθρώπων.
ἀλλά μ' ἁ Διὸς
ἀλκίμα θεὸς
ὀλέθριον αἰκίζει.
ποῖ τις οὖν φύγῃ;
ποῖ μολὼν μενῶ;
εἰ τὰ μὲν φθίνει, φίλοι, τοῖσδ'
ὁμοῦ πέλας, μωραῖς δ' ἄγραις προσκείμεθα,
πᾶς δὲ στρατὸς δίπαλτος ἄν με
χειρὶ φονεύοι.

ΤΕΚΜΗΣΣΑ.
ὦ δυστάλαινα, τοιάδ' ἄνδρα χρήσιμον
φωνεῖν, ἃ πρόσθεν οὗτος οὐκ ἔτλη ποτ' ἄν.

ΑΙΑΣ.
ἰὼ πόροι ἁλίρροθοι
πάραλά τ' ἄντρα καὶ νέμος ἐπάκτιον,
πολὺν πολύν με δαρόν τε δὴ
κατείχετ' ἀμφὶ Τροίαν χρόνον· ἀλλ' οὐκ ἔτι
μ', οὐκ
ἔτ' ἀμπνοὰς ἔχοντα. τοῦτό τις φρονῶν ἴστω.
ὦ Σκαμάνδριοι
γείτονες ῥοαί,
εὔφρονες Ἀργείοις
οὐκ ἔτ' ἄνδρα μὴ
τόνδ' ἴδητ', ἔπος
ἐξερέω μέγ', οἷον οὔτινα
Τροία στρατοῦ δέρχθη χθονὸς μολόντ' ἀπὸ
Ἑλλανίδος· τανῦν δ' ἄτιμος
ὧδε πρόκειμαι.

364—378. = 379—393.
394—411. = 412—429.

ΧΟΡΟΣ.
οὔτοι σ' ἀπείργειν, οὐδ' ὅπως ἐῶ λέγειν
ἔχω, κακοῖς τοιοῖσδε συμπεπτωκότα.

ΑΙΑΣ.
αἰαῖ· τίς ἄν ποτ' ᾤεθ' ὧδ' ἐπώνυμον
τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς;
νῦν γὰρ πάρεστι καὶ δὶς αἰάζειν ἐμοὶ
καὶ τρίς· τοιούτοις γὰρ κακοῖς ἐντυγχάνω·
ὅτου πατὴρ μὲν τῆσδ' ἀπ' Ἰδαίας χθονὸς
τὰ πρῶτα καλλιστεῖ' ἀριστεύσας στρατοῦ
πρὸς οἶκον ἦλθε πᾶσαν εὔκλειαν φέρων·
ἐγὼ δ' ὁ κείνου παῖς, τὸν αὐτὸν ἐς τόπον
Τροίας ἐπελθὼν οὐκ ἐλάσσονι σθένει,
οὐδ' ἔργα μείω χειρὸς ἀρκέσας ἐμῆς,
ἄτιμος Ἀργείοισιν ὧδ' ἀπόλλυμαι.
καίτοι τοσοῦτόν γ' ἐξεπίστασθαι δοκῶ,
εἰ ζῶν Ἀχιλλεὺς τῶν ὅπλων τῶν ὧν πέρι
κρίνειν ἔμελλε κράτος ἀριστείας τινί,
οὐκ ἄν τις αὔτ' ἔμαρψεν ἄλλος ἀντ' ἐμοῦ.
νῦν δ' αὔτ' Ἀτρεῖδαι φωτὶ παντουργῷ φρένας
ἔπραξαν, ἀνδρὸς τοῦδ' ἀπώσαντες κράτη.
κεἰ μὴ τόδ' ὄμμα καὶ φρένες διάστροφοι
γνώμης ἀπῇξαν τῆς ἐμῆς, οὐκ ἄν ποτε
δίκην κατ' ἄλλου φωτὸς ὧδ' ἐψήφισαν.
νῦν δ' ἡ Διὸς γοργῶπις ἀδάματος θεὰ
ἤδη μ' ἐπ' αὐτοῖς χεῖρ' ἐπευτύνοντ' ἐμὴν
ἔσφηλεν ἐμβαλοῦσα λυσσώδη νόσον,
ὥστ' ἐν τοιοῖσδε χεῖρας αἱμάξαι βοτοῖς·
κεῖνοι δ' ἐπεγγελῶσιν ἐκπεφευγότες,
ἐμοῦ μὲν οὐχ ἑκόντος· εἰ δέ τις θεῶν
βλάπτοι, φύγοι τἂν χὠ κακὸς τὸν κρείσσονα.
καὶ νῦν τί χρὴ δρᾶν; ὅστις ἐμφανῶς θεοῖς
ἐχθαίρομαι, μισεῖ δέ μ' Ἑλλήνων στρατός,
ἔχθει δὲ Τροία πᾶσα καὶ πεδία τάδε.
πότερα πρὸς οἴκους, ναυλόχους λιπὼν ἕδρας
μόνους τ' Ἀτρείδας, πέλαγος Αἰγαῖον περῶ;
καὶ ποῖον ὄμμα πατρὶ δηλώσω φανεὶς
Τελαμῶνι; πῶς με τλήσεταί ποτ' εἰσιδεῖν
γυμνὸν φανέντα τῶν ἀριστείων ἄτερ,
ὧν αὐτὸς ἔσχε στέφανον εὐκλείας μέγαν;
οὐκ ἔστι τοὔργον τλητόν. ἀλλὰ δῆτ' ἰὼν
πρὸς ἔρυμα Τρώων, ξυμπεσὼν μόνος μόνοις
καὶ δρῶν τι χρηστόν, εἶτα λοίσθιον θάνω;
ἀλλ' ὧδέ γ' Ἀτρείδας ἂν εὐφράναιμί που.
οὐκ ἔστι ταῦτα. πεῖρά τις ζητητέα
τοιάδ' ἀφ' ἧς γέροντι δηλώσω πατρὶ
μή τοι φύσιν γ' ἄσπλαγχνος ἐκ κείνου γεγώς.
αἰσχρὸν γὰρ ἄνδρα τοῦ μακροῦ χρῄζειν βίου,
κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται.
τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει
προσθεῖσα κἀναθεῖσα τοῦ γε κατθανεῖν;
οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτὸν
ὅστις κεναῖσιν ἐλπίσιν θερμαίνεται.
ἀλλ' ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι
τὸν εὐγενῆ χρή. πάντ' ἀκήκοας λόγον.

ΧΟΡΟΣ.
οὐδεὶς ἐρεῖ ποθ' ὡς ὑπόβλητον λόγον,
Αἴας, ἔλεξας, ἀλλὰ τῆς σαυτοῦ φρενός.
παῦσαί γε μέντοι καὶ δὸς ἀνδράσιν φίλοις
γνώμης κρατῆσαι τάσδε φροντίδας μεθείς.

*ΤΕΚΜΗΣΣΑ.*

ὦ δέσποτ' Αἴας, τῆς ἀναγκαίας τύχης
οὐκ ἔστιν οὐδὲν μεῖζον ἀνθρώποις κακόν.
ἐγὼ δ' ἐλευθέρου μὲν ἐξέφυν πατρὸς,
εἴπερ τινὸς σθένοντος ἐν πλούτῳ Φρυγῶν·
νῦν δ' εἰμὶ δούλη. θεοῖς γὰρ ὧδ' ἔδοξέ που
καὶ σῇ μάλιστα χειρί. τοιγαροῦν, ἐπεὶ
τὸ σὸν λέχος ξυνῆλθον, εὖ φρονῶ τὰ σὰ,
καί σ' ἀντιάζω πρός τ' ἐφεστίου Διὸς
εὐνῆς τε τῆς σῆς, ᾗ συνηλλάχθης ἐμοὶ,
μή μ' ἀξιώσῃς βάξιν ἀλγεινὴν λαβεῖν
τῶν σῶν ὑπ' ἐχθρῶν, χειρίαν ἀφείς τινι.
ᾗ γὰρ θάνῃς σὺ καὶ τελευτήσας ἀφῇς,
ταύτῃ νόμιζε κἀμὲ τῇ τόθ' ἡμέρᾳ
βίᾳ ξυναρπασθεῖσαν Ἀργείων ὕπο
ξὺν παιδὶ τῷ σῷ δουλίαν ἕξειν τροφήν.
καί τις πικρὸν πρόσφθεγμα δεσποτῶν ἐρεῖ
λόγοις ἰάπτων, ἴδετε τὴν ὁμευνέτιν
Αἴαντος, ὃς μέγιστον ἴσχυσε στρατοῦ,
οἵας λατρείας ἀνθ' ὅσου ζήλου τρέφει.
τοιαῦτ' ἐρεῖ τις. κἀμὲ μὲν δαίμων ἐλᾷ,
σοὶ δ' αἰσχρὰ τἄπη ταῦτα καὶ τῷ σῷ γένει.
ἀλλ' αἴδεσαι μὲν πατέρα τὸν σὸν ἐν λυγρῷ
γήρᾳ προλείπων, αἴδεσαι δὲ μητέρα
πολλῶν ἐτῶν κληροῦχον, ἥ σε πολλάκις
θεοῖς ἀρᾶται ζῶντα πρὸς δόμους μολεῖν·
οἴκτειρε δ', ὦναξ, παῖδα τὸν σὸν, εἰ νέας
τροφῆς στερηθεὶς σοῦ διοίσεται μόνος
ὑπ' ὀρφανιστῶν μὴ φίλων, ὅσον κακὸν
κείνῳ τε κἀμοὶ τοὔθ', ὅταν θάνῃς, νεμεῖς.
ἐμοὶ γὰρ οὐκ ἔτ' ἐστὶν εἰς ὅ τι βλέπω
πλὴν σοῦ. σὺ γάρ μοι πατρίδ' ᾔστωσας δόρει,
καὶ μητέρ' ἄλλη μοῖρα τὸν φύσαντά τε
καθεῖλεν Ἅιδου θανασίμους οἰκήτορας.
τίς δῆτ' ἐμοὶ γένοιτ' ἂν ἀντὶ σοῦ πατρίς;
τίς πλοῦτος; ἐν σοὶ πᾶσ' ἔγωγε σῴζομαι.
ἀλλ' ἴσχε κἀμοῦ μνῆστιν. ἀνδρί τοι χρεὼν
μνήμην προσεῖναι, τερπνὸν εἴ τί που πάθοι.
χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί·
ὅτου δ' ἀπορρεῖ μνῆστις εὖ πεπονθότος,
οὐκ ἂν γένοιτ' ἔθ' οὗτος εὐγενὴς ἀνήρ.

*ΧΟΡΟΣ.*

Αἴας, ἔχειν σ' ἂν οἶκτον ὡς κἀγὼ φρενὶ
θέλοιμ' ἄν· αἰνοίης γὰρ ἂν τὰ τῆσδ' ἔπη.

*ΑΙΑΣ.*

καὶ κάρτ' ἐπαίνου τεύξεται πρὸς γοῦν ἐμοῦ,
ἐὰν μόνον τὸ ταχθὲν εὖ τολμᾷ τελεῖν.

*ΤΕΚΜΗΣΣΑ.*

ἀλλ', ὦ φίλ' Αἴας, πάντ' ἔγωγε πείσομαι.

*ΑΙΑΣ.*

κόμιζέ νύν μοι παῖδα τὸν ἐμὸν, ὡς ἴδω.

*ΤΕΚΜΗΣΣΑ.*

καὶ μὴν φόβοισί γ' αὐτὸν ἐξελυσάμην.

*ΑΙΑΣ.*

ἐν τοῖσδε τοῖς κακοῖσιν, ἢ τί μοι λέγεις;

*ΤΕΚΜΗΣΣΑ.*

μὴ σοί γέ που δύστηνος ἀντήσας θάνοι.

*ΑΙΑΣ.*

πρέπον γέ τἂν ἦν δαίμονος τοὐμοῦ τόδε.

*ΤΕΚΜΗΣΣΑ.*

ἀλλ' οὖν ἐγὼ 'φύλαξα τοῦτό γ' ἀρκέσαι.

*ΑΙΑΣ.*

ἐπῄνεσ' ἔργον καὶ πρόνοιαν ἣν ἔθου.

*ΤΕΚΜΗΣΣΑ.*

τί δῆτ' ἂν ὡς ἐκ τῶνδ' ἂν ὠφελοῖμί σε;

*ΑΙΑΣ.*

δός μοι προσειπεῖν αὐτὸν ἐμφανῆ τ' ἰδεῖν.

*ΤΕΚΜΗΣΣΑ.*

καὶ μὴν πέλας γε προσπόλοις φυλάσσεται.

*ΑΙΑΣ.*

τί δῆτα μέλλει μὴ οὐ παρουσίαν ἔχειν;

*ΤΕΚΜΗΣΣΑ.*

ὦ παῖ, πατὴρ καλεῖ σε. δεῦρο προσπόλων
ἄγ' αὐτὸν ὅσπερ χερσὶν εὐθύνων κυρεῖς.

*ΑΙΑΣ.*

ἕρποντι φωνεῖς, ἢ λελειμμένῳ λόγου;

*ΤΕΚΜΗΣΣΑ.*

καὶ δὴ κομίζει προσπόλων ὅδ' ἐγγύθεν.

*ΑΙΑΣ.*

αἶρ' αὐτὸν, αἶρε δεῦρο. ταρβήσει γὰρ οὔ
νεοσφαγῆ που τόνδε προσλεύσσων φόνον,
εἴπερ δικαίως ἔστ' ἐμὸς τὰ πατρόθεν.
ἀλλ' αὐτίκ' ὠμοῖς αὐτὸν ἐν νόμοις πατρὸς
δεῖ πωλοδαμνεῖν κἀξομοιοῦσθαι φύσιν.
ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος,
τὰ δ' ἄλλ' ὅμοιος· καὶ γένοι' ἂν οὐ κακός.
καίτοι σε καὶ νῦν τοῦτό γε ζηλοῦν ἔχω,
ὁθούνεκ' οὐδὲν τῶνδ' ἐπαισθάνει κακῶν.
ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος,
ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς.
ὅταν δ' ἵκῃ πρὸς τοῦτο, δεῖ σ' ὅπως πατρὸ
δείξεις ἐν ἐχθροῖς οἷος ἐξ οἵου 'τράφης.
τέως δὲ κούφοις πνεύμασιν βόσκου, νέαν
ψυχὴν ἀτάλλων, μητρὶ τῇδε χαρμονήν.
οὔτοι σ' Ἀχαιῶν, οἶδα, μή τις ὑβρίσῃ
στυγναῖσι λώβαις, οὐδὲ χωρὶς ὄντ' ἐμοῦ.
τοῖον πυλωρὸν φύλακα Τεῦκρον ἀμφί σοι
λείψω τροφῆς ἄοκνον ἔμπα, κεἰ τανῦν
τηλωπὸς οἰχνεῖ, δυσμενῶν θήραν ἔχων.
ἀλλ', ἄνδρες ἀσπιστῆρες, ἐνάλιος λεὼς,
ὑμῖν τε κοινὴν τήνδ' ἐπισκήπτω χάριν,
κείνῳ τ' ἐμὴν ἀγγείλατ' ἐντολὴν, ὅπως
τὸν παῖδα τόνδε πρὸς δόμους ἐμοὺς ἄγων
Τελαμῶνι δείξει μητρί τ', Ἐρίβοιαν λέγω,
ὥς σφιν γένηται γηροβοσκὸς εἰσαεί.
καὶ τἀμὰ τεύχη μήτ' ἀγωνάρχαι τινὲς
θήσουσ' Ἀχαιοῖς μήθ' ὁ λυμεὼν ἐμός.
ἀλλ' αὐτό μοι σὺ, παῖ, λαβὼν ἐπώνυμον,
Εὐρύσακες, ἴσχε διὰ πολυρράφου στρέφων
πόρπακος ἑπτάβοιον ἄρρηκτον σάκος·
τὰ δ' ἄλλα τεύχη κοίν' ἐμοὶ τεθάψεται.
ἀλλ' ὡς τάχος τὸν παῖδα τόνδ' ἤδη δέχου,
καὶ δῶμα πάκτου, μηδ' ἐπισκήνους γόους
δάκρυε. κάρτα τοι φιλοίκτιστον γυνή.

---

**Post 554 sequebatur**
τὸ μὴ φρονεῖν γὰρ κάρτ' ἀνώδυνον κακ
**Post 570 sequebatur**
μέχρις οὗ μυχοὺς κίχωσι τοῦ κάτω θεοῦ.

πύκαζε θᾶσσον. οὐ πρὸς ἰατροῦ σοφοῦ
θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι.

ΧΟΡΟΣ.

δέδοικ᾿ ἀκούων τήνδε τὴν προθυμίαν.
οὐ γάρ μ᾿ ἀρέσκει γλῶσσά σου τεθηγμένη.

ΤΕΚΜΗΣΣΑ.

ὦ δέσποτ᾿ Αἴας, τί ποτε δρασείεις φρενί;

ΑΙΑΣ.

μὴ κρῖνε, μὴ ᾿ξέταζε. σωφρονεῖν καλόν.

ΤΕΚΜΗΣΣΑ.

οἴμ᾿ ὡς ἀθυμῶ· καί σε πρὸς τοῦ σοῦ τέκνου
καὶ θεῶν ἱκνοῦμαι μὴ προδοὺς ἡμᾶς γένῃ.

ΑΙΑΣ.

ἄγαν γε λυπεῖς. οὐ κάτοισθ᾿ ἐγὼ θεοῖς
ὡς οὐδὲν ἀρκεῖν εἴμ᾿ ὀφειλέτης ἔτι;

ΤΕΚΜΗΣΣΑ.

εὔφημα φώνει.

ΑΙΑΣ.

τοῖς ἀκούουσιν λέγε.

ΤΕΚΜΗΣΣΑ.

σὺ δ᾿ οὐχὶ πείσει;

ΑΙΑΣ.

πόλλ᾿ ἄγαν ἤδη θροεῖς.

ΤΕΚΜΗΣΣΑ.

ταρβῶ γάρ, ὦναξ.

ΑΙΑΣ.

οὐ ξυνέρξεθ᾿ ὡς τάχος;

ΤΕΚΜΗΣΣΑ.

πρὸς θεῶν, μαλάσσου.

ΑΙΑΣ.

μῶρά μοι δοκεῖς φρονεῖν,
εἰ τοὐμὸν ἦθος ἄρτι παιδεύειν νοεῖς.

ΧΟΡΟΣ.

ὦ κλεινὰ Σαλαμίς, σὺ μέν που
ναίεις ἁλίπλαγκτος, εὐδαίμων,
πᾶσιν περίφαντος ἀεί·
ἐγὼ δ᾿ ὁ τλάμων παλαιὸς ἀφ᾿ οὗ χρόνος
Ἰδαίᾳ μίμνων λειμώνι᾿ ἄποινα, μηνῶν
ἀνήριθμος αἰὲν εὐνώμᾳ
χρόνῳ τρυχόμενος,
κακὰν ἐλπίδ᾿ ἔχων
ἔτι μέ ποτ᾿ ἀνύσειν
τὸν ἀπότροπον ἀΐδηλον Ἅιδαν.
καί μοι δυσθεράπευτος Αἴας
ξύνεστιν ἔφεδρος, ὤμοι μοι,
θείᾳ μανίᾳ ξύναυλος·
ὃν ἐξεπέμψω πρὶν δή ποτε θουρίῳ
κρατοῦντ᾿ ἐν Ἄρει· νῦν δ᾿ αὖ φρενὸς οἰοβώτας
φίλοις μέγα πένθος εὕρηται.
τὰ πρὶν δ᾿ ἔργα χεροῖν
μεγίστας ἀρετᾶς
ἄφιλα παρ᾿ ἀφίλοις
ἔπεσ᾿ ἔπεσε μελέοις Ἀτρείδαις.
ἦ που παλαιᾷ μὲν ἔντροφος ἁμέρᾳ,
λευκῷ δὲ γήρᾳ μάτηρ νιν ὅταν νοσοῦντα
φρενομόρως ἀκούσῃ,
αἴλινον αἴλινον
οὐδ᾿ οἰκτρᾶς γόον ὄρνιθος ἀηδοῦς

596—608. == 609—621.
622—634. == 635—645.

ἥσει δύσμορος, ἀλλ᾿ ὀξυτόνους μὲν ᾠδὰς
θρηνήσει, χερόπληκτοι δ᾿
ἐν στέρνοισι πεσοῦνται
δοῦποι καὶ πολιᾶς ἄμυγμα χαίτας.
κρείσσων γὰρ Ἅιδᾳ κεύθων ὁ νοσῶν μάταν,
ὃς ἐκ πατρῴας ἥκων γενεᾶς ἄριστος
πολυπόνων Ἀχαιῶν,
οὐκ ἔτι συντρόφοις
ὀργαῖς ἔμπεδος, ἀλλ᾿ ἐκτὸς ὁμιλεῖ.
ὦ τλάμων πάτερ, οἵαν σε μένει πυθέσθαι
παιδὸς δύσφορον ἄταν,
ἂν οὔπω τις ἔθρεψεν
αἰὼν Αἰακιδᾶν ἄτερθε τοῦδε.

ΑΙΑΣ.

ἅπανθ᾿ ὁ μακρὸς κἀναρίθμητος χρόνος
φύει τ᾿ ἄδηλα καὶ φανέντα κρύπτεται·
κοὐκ ἔστ᾿ ἄελπτον οὐδέν, ἀλλ᾿ ἁλίσκεται
χὠ δεινὸς ὅρκος χαὶ περισκελεῖς φρένες.
κἀγὼ γάρ, ὃς τὰ δείν᾿ ἐκαρτέρουν τότε,
βαφῇ σίδηρος ὣς ἐθηλύνθην στόμα
πρὸς τῆσδε τῆς γυναικός· οἰκτείρω δέ νιν
χήραν παρ᾿ ἐχθροῖς παῖδά τ᾿ ὀρφανὸν λιπεῖν.
ἀλλ᾿ εἶμι πρός τε λουτρὰ καὶ παρακτίους
λειμῶνας, ὡς ἂν λύμαθ᾿ ἁγνίσας ἐμὰ
μῆνιν βαρεῖαν ἐξαλεύσωμαι θεᾶς·
μολών τε χῶρον ἔνθ᾿ ἂν ἀστιβῆ κίχω
κρύψω τόδ᾿ ἔγχος τοὐμόν, ἔχθιστον βελῶν,
γαίας ὀρύξας ἔνθα μή τις ὄψεται·
ἀλλ᾿ αὐτὸ νὺξ Ἅιδης τε σῳζόντων κάτω.
ἐγὼ γὰρ ἐξ οὗ χειρὶ τοῦτ᾿ ἐδεξάμην
παρ᾿ Ἕκτορος δώρημα δυσμενεστάτου,
οὔπω τι κεδνὸν ἔσχον Ἀργείων πάρα.
ἀλλ᾿ ἔστ᾿ ἀληθὴς ἡ βροτῶν παροιμία,
ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα.
τοιγὰρ τὸ λοιπὸν εἰσόμεσθα μὲν θεοῖς
εἴκειν, μαθησόμεσθα δ᾿ Ἀτρείδας σέβειν.
ἄρχοντές εἰσιν, ὥσθ᾿ ὑπεικτέον. τί μή;
καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα
τιμαῖς ὑπείκει· τοῦτο μὲν νιφοστιβεῖς
χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει·
ἐξίσταται δὲ νυκτὸς αἰανῆς κύκλος
τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν·
δεινῶν τ᾿ ἄημα πνευμάτων ἐκοίμισε
στένοντα πόντον· ἐν δ᾿ ὁ παγκρατὴς ὕπνος
λύει πεδήσας, οὐδ᾿ ἀεὶ λαβὼν ἔχει.
ἡμεῖς δὲ πῶς οὐ γνωσόμεσθα σωφρονεῖν;
ἐγὼ δ᾿, ἐπίσταμαι γὰρ ἀρτίως ὅτι
ὅ τ᾿ ἐχθρὸς ἡμῖν ἐς τοσόνδ᾿ ἐχθαρτέος,
ὡς καὶ φιλήσων αὖθις, ἔς τε τὸν φίλον
τοσαῦθ᾿ ὑπουργῶν ὠφελεῖν βουλήσομαι,
ὡς αἰὲν οὐ μενοῦντα. τοῖς πολλοῖσι γὰρ
βροτῶν ἄπιστός ἐσθ᾿ ἑταιρείας λιμήν.
ἀλλ᾿ ἀμφὶ μὲν τούτοισιν εὖ σχήσει· σὺ δὲ
ἔσω θεοῖς ἐλθοῦσα διὰ τέλους, γύναι,
εὔχου τελεῖσθαι τοὐμὸν ὧν ἐρᾷ κέαρ.
ὑμεῖς θ᾿ ἑταῖροι ταὐτὰ τῇδέ μοι τάδε
τιμᾶτε, Τεύκρῳ τ᾿, ἢν μόλῃ, σημήνατε
μέλειν μὲν ἡμῶν, εὐνοεῖν δ᾿ ὑμῖν ἅμα.
ἐγὼ γὰρ εἶμ᾿ ἐκεῖσ᾿ ὅποι πορευτέον·
ὑμεῖς δ᾿ ἃ φράζω δρᾶτε, καὶ τάχ᾿ ἄν μ᾿ ἴσως

ASHMOLEAN OXFORD

πύθοισθε, κεἰ νῦν δυστυχῶ, σεσωσμένον.

ΧΟΡΟΣ.

ἔφριξ' ἔρωτι, περιχαρὴς δ' ἀνεπτόμαν.
ἰὼ ἰὼ Πὰν Πὰν,
ὦ Πὰν Πὰν ἁλίπλαγκτε Κυλλανίας χιονοκτύπου
πετραίας ἀπὸ δειράδος φάνηθ', ὦ
θεῶν χοροποί' ἄναξ, ὅπως μοι
Νύσια Κνώσι' ὀρχήματ' αὐτοδαῆ ξυνὼν ἰάψῃς.
νῦν γὰρ ἐμοὶ μέλει χορεῦσαι.
Ἰκαρίων δ' ὑπὲρ πελαγέων μολὼν ἄναξ Ἀπόλλων
ὁ Δάλιος, εὔγνωστος,
ἐμοὶ ξυνείης διὰ παντὸς εὔφρων.
ἔλυσεν αἰνὸν ἄχος ἀπ' ὀμμάτων Ἄρης.
ἰὼ ἰώ. νῦν αὖ,
νῦν, ὦ Ζεῦ, πάρα λευκὸν εὐάμερον πελάσαι φάος
θοῶν ὠκυάλων νεῶν, ὅτ' Αἴας
λαθίπονος πάλιν, θεῶν δ' αὖ
πάνθυτα θέσμι' ἐξήνυσ' εὐνομίᾳ σέβων μεγίστᾳ.
πάνθ' ὁ μέγας χρόνος μαραίνει,
κοὐδὲν ἀναύδητον φατίσαιμ' ἂν, εὖτέ γ' ἐξ ἀέλπτων
Αἴας μετανεγνώσθη
θυμῶν Ἀτρείδαις μεγάλων τε νεικέων.

ΑΓΓΕΛΟΣ.

ἄνδρες φίλοι, τὸ πρῶτον ἀγγεῖλαι θέλω,
Τεῦκρος πάρεστιν ἄρτι Μυσίων ἀπὸ
κρημνῶν· μέσον δὲ προσμολὼν στρατήγιον
κυδάζεται τοῖς πᾶσιν Ἀργείοις ὁμοῦ.
στείχοντα γὰρ πρόσωθεν αὐτὸν ἐν κύκλῳ
μαθόντες ἀμφέστησαν, εἶτ' ὀνείδεσιν
ἤρασσον ἔνθεν κἄνθεν οὔτις ἔσθ' ὃς οὔ,
τὸν τοῦ μανέντος κἀπιβουλευτοῦ στρατοῦ
ξύναιμον ἀποκαλοῦντες, ὡς οὐκ ἀρκέσοι
τὸ μὴ οὐ πέτροισι πᾶς καταξανθεὶς θανεῖν.
ὥστ' εἰς τοσοῦτον ἦλθον ὥστε καὶ χεροῖν
κολεῶν ἐρυστὰ διεπεραιώθη ξίφη.
λήγει δ' ἔρις δραμοῦσα τοῦ προσωτάτω
ἀνδρῶν γερόντων ἐν ξυναλλαγῇ λόγου.
ἀλλ' ἡμὶν Αἴας ποῦ 'στιν, ὡς φράσω τάδε;
τοῖς κυρίοις γὰρ πάντα χρὴ δηλοῦν λόγον.

ΧΟΡΟΣ.

οὐκ ἔνδον, ἀλλὰ φροῦδος ἀρτίως, νέας
βουλὰς νέοισιν ἐγκαταζεύξας τρόποις.

ΑΓΓΕΛΟΣ.

ἰοὺ ἰού.
βραδεῖαν ἡμᾶς ἆρ' ὁ τήνδε τὴν ὁδὸν
πέμπων ἔπεμψεν, ἢ 'φάνην ἐγὼ βραδύς.

ΧΟΡΟΣ.

τί δ' ἐστὶ χρείας τῆσδ' ὑπεσπανισμένον;

ΑΓΓΕΛΟΣ.

τὸν ἄνδρ' ἀπηύδα Τεῦκρος ἔνδοθεν στέγης
μὴ 'ξω παρήκειν, πρὶν παρὼν αὐτὸς τύχοι.

ΧΟΡΟΣ.

ἀλλ' οἴχεταί τοι, πρὸς τὸ κέρδιστον τραπεὶς
γνώμης, θεοῖσιν ὡς καταλλαχθῇ χόλου.

ΑΓΓΕΛΟΣ.

ταῦτ' ἐστὶ τἄπη μωρίας πολλῆς πλέα,
εἴπερ τι Κάλχας εὖ φρονῶν μαντεύεται.

693—705. = 706—718.

ΧΟΡΟΣ.

ποῖον; τί δ' εἰδὼς τοῦδε πράγματος πέρι;

ΑΓΓΕΛΟΣ.

τοσοῦτον οἶδα καὶ παρὼν ἐτύγχανον.
ἐκ γὰρ ξυνέδρου καὶ τυραννικοῦ κύκλου
Κάλχας μεταστὰς οἶος Ἀτρειδῶν δίχα,
εἰς χεῖρα Τεύκρου δεξιὰν φιλοφρόνως
θεὶς εἶπε κἀπέσκηψε παντοίᾳ τέχνῃ
εἶρξαι κατ' ἦμαρ τοὐμφανὲς τὸ νῦν τόδε
Αἴανθ' ὑπὸ σκηναῖσι μηδ' ἀφέντ' ἐᾶν,
εἰ ζῶντ' ἐκεῖνον εἰσιδεῖν θέλοι ποτέ.
ἐλᾷ γὰρ αὐτὸν τῇδε θἠμέρᾳ μόνῃ
δίας Ἀθάνας μῆνις, ὡς ἔφη λέγων.
τὰ γὰρ περισσὰ κἀνόνητα σώματα
πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις
ἔφασχ' ὁ μάντις, ὅστις ἀνθρώπου φύσιν
βλαστὼν ἔπειτα μὴ κατ' ἄνθρωπον φρονεῖ.
κεῖνος δ' ἀπ' οἴκων εὐθὺς ἐξορμώμενος
ἄνους καλῶς λέγοντος εὑρέθη πατρός.
ὁ μὲν γὰρ αὐτὸν ἐννέπει, τέκνον, δόρει
βούλου κρατεῖν μὲν, σὺν θεῷ δ' ἀεὶ κρατεῖν.
ὁ δ' ὑψικόμπως κἀφρόνως ἠμείψατο,
πάτερ, θεοῖς μὲν κἂν ὁ μηδὲν ὢν ὁμοῦ
κράτος κατακτήσαιτ'· ἐγὼ δὲ καὶ δίχα
κείνων πέποιθα τοῦτ' ἐπισπάσειν κλέος.
τοσόνδ' ἐκόμπει μῦθον. εἶτα δεύτερον
δίας Ἀθάνας, ἡνίκ' ὀτρύνουσά νιν
ηὐδᾶτ' ἐπ' ἐχθροῖς χεῖρα φοινίαν τρέπειν,
τότ' ἀντιφωνεῖ δεινὸν ἄρρητόν τ' ἔπος·
ἄνασσα, τοῖς ἄλλοισιν Ἀργείων πέλας
ἵστω, καθ' ἡμᾶς δ' οὔποτ' ἐκρήξει μάχη.
τοιοῖσδε τοῖς λόγοισιν ἀστεργῆ θεᾶς
ἐκτήσατ' ὀργὴν, οὐ κατ' ἄνθρωπον φρονῶν.
ἀλλ' εἴπερ ἔστι τῇδε θἠμέρᾳ, τάχ' ἂν
γενοίμεθ' αὐτοῦ σὺν θεῷ σωτήριοι.
τοσαῦθ' ὁ μάντις εἶφ'· ὁ δ' εὐθὺς ἐξ ἕδρας
πέμπει με σοὶ φέροντα τάσδ' ἐπιστολὰς
Τεῦκρος φυλάσσειν. εἰ δ' ἀπεστερήμεθα,
οὐκ ἔστιν ἀνὴρ κεῖνος, εἰ Κάλχας σοφός.

ΧΟΡΟΣ.

ὦ δαΐα Τέκμησσα, δύσμορον γένος,
ὅρα μολοῦσα τόνδ' ὁποῖ' ἔπη θροεῖ.
ξυρεῖ γὰρ ἐν χρῷ τοῦτο μὴ χαίρειν τινά.

ΤΕΚΜΗΣΣΑ.

τί μ' αὖ τάλαιναν, ἀρτίως πεπαυμένην
κακῶν ἀτρύτων, ἐξ ἕδρας ἀνίστατε;

ΧΟΡΟΣ.

τοῦδ' εἰσάκουε τἀνδρὸς, ὡς ἥκει φέρων
Αἴαντος ἡμῖν πρᾶξιν ἣν ἤλγησ' ἐγώ.

ΤΕΚΜΗΣΣΑ.

οἴμοι, τί φῄς, ὤνθρωπε; μῶν ὀλώλαμεν;

ΑΓΓΕΛΟΣ.

οὐκ οἶδα τὴν σὴν πρᾶξιν, Αἴαντος δ' ὅτι,
θυραῖος εἴπερ ἐστὶν, οὐ θαρσῶ πέρι.

ΤΕΚΜΗΣΣΑ.

καὶ μὴν θυραῖος, ὥστε μ' ὠδίνειν τί φῄς.

ΑΓΓΕΛΟΣ.

ἐκεῖνον εἴργειν Τεῦκρος ἐξεφίεται
σκηνῆς ὕπαυλον μηδ' ἀφιέναι μόνον.

ΤΕΚΜΗΣΣΑ.

ποῦ δ' ἐστὶ Τεῦκρος, κἀπὶ τῷ λέγει τάδε;

ΑΓΓΕΛΟΣ.

πάρεστ' ἐκεῖνος ἄρτι· τήνδε δ' ἔξοδον
ὀλεθρίαν Αἴαντος ἐλπίζει φέρειν.

ΤΕΚΜΗΣΣΑ.

οἴμοι τάλαινα, τοῦ ποτ' ἀνθρώπων μαθών;

ΑΓΓΕΛΟΣ.

τοῦ Θεστορείου μάντεως, καθ' ἡμέραν
τὴν νῦν, ὅτ' αὐτῷ θάνατον ἢ βίον φέρει.

ΤΕΚΜΗΣΣΑ.

οἲ 'γώ, φίλοι, πρόστητ' ἀναγκαίας τύχης,
καὶ σπεύσαθ', οἱ μὲν Τεῦκρον ἐν τάχει μολεῖν,
οἱ δ' ἑσπέρους ἀγκῶνας, οἱ δ' ἀντηλίους
ζητεῖτ' ἰόντες τἀνδρὸς ἔξοδον κακήν.
ἔγνωκα γὰρ δὴ φωτὸς ἠπατημένη
καὶ τῆς παλαιᾶς χάριτος ἐκβεβλημένη.
οἴμοι, τί δράσω, τέκνον· οὐχ ἱδρυτέον.
ἀλλ' εἶμι κἀγὼ κεῖσ' ὅποιπερ ἂν σθένω.
χωρῶμεν, ἐγκονῶμεν, οὐχ ἕδρας ἀκμή,
σώζειν θέλοντες ἄνδρ' ὃς σπεύδῃ θανεῖν.

ΧΟΡΟΣ.

χωρεῖν ἕτοιμος, κοὐ λόγῳ δείξω μόνον.
τάχος γὰρ ἔργου καὶ ποδῶν ἅμ' ἕψεται.

ΑΙΑΣ.

ὁ μὲν σφαγεὺς ἕστηκεν ᾗ τομώτατος
γένοιτ' ἄν, εἴ τῳ καὶ λογίζεσθαι σχολή,
δῶρον μὲν ἀνδρὸς Ἕκτορος ξένων ἐμοὶ
μάλιστα μισηθέντος, ἐχθίστου θ' ὁρᾶν.
πέπηγε δ' ἐν γῇ πολεμίᾳ τῇ Τρῳάδι,
σιδηροβρῶτι θηγάνῃ νεηκονής·
ἔπηξα δ' αὐτὸν εὖ περιστείλας ἐγώ,
εὐνούστατον τῷδ' ἀνδρὶ διὰ τάχους θανεῖν.
οὕτω μὲν εὐσκευοῦμεν· ἐκ δὲ τῶνδέ μοι
σὺ πρῶτος, ὦ Ζεῦ, καὶ γὰρ εἰκός, ἄρκεσον.
αἰτήσομαι δέ σ' οὐ μακρὸν γέρας λαχεῖν.
πέμψον τιν' ἡμῖν ἄγγελον, κακὴν φάτιν
Τεύκρῳ φέροντα, πρῶτος ὥς με βαστάσῃ
πεπτῶτα τῷδε περὶ νεορράντῳ ξίφει,
καὶ μὴ πρὸς ἐχθρῶν του κατοπτευθεὶς πάρος
ῥιφθῶ κυσὶν πρόβλητος οἰωνοῖς θ' ἕλωρ.
τοσαῦτά σ', ὦ Ζεῦ, προστρέπω, καλῶ θ' ἅμα
πομπαῖον Ἑρμῆν χθόνιον εὖ με κοιμίσαι,
ξὺν ἀσφαδάστῳ καὶ ταχεῖ πηδήματι
πλευρὰν διαρρήξαντα τῷδε φασγάνῳ.
καλῶ δ' ἀρωγοὺς τὰς ἀεί τε παρθένους
ἀεί θ' ὁρώσας πάντα τἀν βροτοῖς πάθη,
σεμνὰς Ἐρινῦς τανύποδας, μαθεῖν ἐμὲ
πρὸς τῶν Ἀτρειδῶν ὡς διόλλυμαι τάλας.
καί σφας κακοὺς κάκιστα καὶ πανωλέθρους
ξυναρπάσειαν, ὥσπερ εἰσορῶσ' ἐμὲ
αὐτοσφαγῆ πίπτοντα, τὼς αὐτοσφαγεῖς
πρὸς τῶν φιλίστων ἐκγόνων ὀλοίατο.
ἴτ', ὦ ταχεῖαι ποίνιμοί τ' Ἐρινύες,
γεύεσθε, μὴ φείδεσθε πανδήμου στρατοῦ.
σὺ δ', ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν
Ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα
ἴδῃς, ἐπισχὼν χρυσόνωτον ἡνίαν
ἄγγειλον ἄτας τὰς ἐμὰς μόρον τ' ἐμὸν
γέροντι πατρὶ τῇ τε δυστήνῳ τροφῷ.
ἤ που τάλαινα, τήνδ' ὅταν κλύῃ φάτιν,
ἥσει μέγαν κωκυτὸν ἐν πάσῃ πόλει.
ἀλλ' οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην·
ἀλλ' ἀρκτέον τὸ πρᾶγμα σὺν τάχει τινί.
ὦ Θάνατε Θάνατε, νῦν μ' ἐπίσκεψαι μολών·
καίτοι σὲ μὲν κἀκεῖ προσαυδήσω ξυνών.
σὲ δ', ὦ φαεννῆς ἡμέρας τὸ νῦν σέλας,
καὶ τὸν διφρευτὴν Ἥλιον προσεννέπω,
πανύστατον δὴ κοὔποτ' αὖθις ὕστερον.
ὦ φέγγος, ὦ γῆς ἱρὸν οἰκείας πέδον
Σαλαμῖνος, ὦ πατρῷον ἑστίας βάθρον,
κλειναί τ' Ἀθῆναι, καὶ τὸ σύντροφον γένος,
κρῆναί τε ποταμοί θ' οἵδε, καὶ τὰ Τρωϊκὰ
πεδία προσαυδῶ, χαίρετ', ὦ τροφῆς ἐμοί·
τοῦθ' ὑμὶν Αἴας τοὔπος ὕστατον θροεῖ·
τὰ δ' ἄλλ' ἐν Ἅιδου τοῖς κάτω μυθήσομαι.

ΗΜΙΧΟΡΙΟΝ.

πόνος πόνῳ πόνον φέρει.
πᾷ πᾷ
πᾷ γὰρ οὐκ ἔβαν ἐγώ;
κοὐδεὶς ἐπίσταταί με συμμαθεῖν τόπος.
ἰδού,
δοῦπον αὖ κλύω τινά.

ΗΜΙΧΟΡΙΟΝ.

ἡμῶν γε ναὸς κοινόπλουν ὁμιλίαν.

ΗΜΙΧΟΡΙΟΝ.

τί οὖν δή;

ΗΜΙΧΟΡΙΟΝ.

πᾶν ἐστίβηται πλευρὸν ἕσπερον νεῶν.

ΗΜΙΧΟΡΙΟΝ.

ἔχεις οὖν;

ΗΜΙΧΟΡΙΟΝ.

πόνου γε πλῆθος, κοὐδὲν εἰς ὄψιν πλέον.

ΗΜΙΧΟΡΙΟΝ.

ἀλλ' οὐδ' ἐμοὶ δὴ τὴν ἀφ' ἡλίου βολῶν
κέλευθον ἀνὴρ οὐδαμοῦ δηλοῖ φανείς.

ΧΟΡΟΣ.

τίς ἂν δῆτά μοι, τίς ἂν φιλοπόνων
ἁλιαδᾶν ἔχων ἀΰπνους ἄγρας,
ἢ τίς Ὀλυμπιάδων θεῶν, ἢ ῥυτῶν
Βοσπορίων ποταμῶν, τὸν ὠμόθυμον
εἴ ποθι πλαζόμενον λεύσσων
ἀπύοι; σχέτλια γὰρ
ἐμέ γε τὸν μακρῶν ἀλάταν πόνων
οὐρίῳ μὴ πελάσαι δρόμῳ,
ἀλλ' ἀμενηνὸν ἄνδρα μὴ λεύσσειν ὅπου.

ΤΕΚΜΗΣΣΑ.

ἰώ μοί μοι.

ΧΟΡΟΣ.

τίνος βοὴ πάραυλος ἐξέβη νάπους;

ΤΕΚΜΗΣΣΑ.

ἰὼ τλήμων.

ΧΟΡΟΣ.

τὴν δουρίληπτον δύσμορον νύμφην ὁρῶ
Τέκμησσαν, οἴκτῳ τῷδε συγκεκραμένην.

ΤΕΚΜΗΣΣΑ.

οἴχωκ', ὄλωλα, διαπεπόρθημαι, φίλοι.

ΧΟΡΟΣ.

τί δ' ἔστιν;

879—914. == 925—960.

ΤΕΚΜΗΣΣΑ.

Αἴας ὅδ' ἡμῖν ἀρτίως νεοσφαγὴς
κεῖται, κρυφαίῳ φασγάνῳ περιπτυχής.

ΧΟΡΟΣ.

ὤμοι ἐμῶν νόστων·
ὤμοι, κατέπεφνες, ἄναξ, *
τόνδε συνναύταν, ὦ τάλας·
ὦ ταλαίφρων γύναι.

ΤΕΚΜΗΣΣΑ.

ὡς ὧδε τοῦδ' ἔχοντος αἰάζειν πάρα.

ΧΟΡΟΣ.

τίνος ποτ' ἄρ' ἔρξε χειρὶ δύσμορος;

ΤΕΚΜΗΣΣΑ.

αὐτὸς πρὸς αὑτοῦ· δῆλον. ἐν γάρ οἱ χθονὶ
πηκτὸν τόδ' ἔγχος περιπετὲς κατηγορεῖ.

ΧΟΡΟΣ.

ὤμοι ἐμᾶς ἄτας, οἷος ἄῤ αἱμάχθης, ἄφρακτος
φίλων·
ἐγὼ δ' ὁ πάντα κωφὸς, ὁ πάντ' ἄϊδρις, κατη-
μέλησα. πᾶ πᾶ
κεῖται ὁ δυστράπελος, δυσώνυμος Αἴας;

ΤΕΚΜΗΣΣΑ.

οὔτοι θεατός· ἀλλά νιν περιπτυχεῖ
φάρει καλύψω τῷδε παμπήδην, ἐπεὶ
οὐδεὶς ἂν, ὅστις καὶ φίλος, τλαίη βλέπειν
φυσῶντ' ἄνω πρὸς ῥῖνας, ἔκ τε φοινίας
πληγῆς μελανθὲν αἷμ' ἀπ' οἰκείας σφαγῆς.
οἴμοι, τί δράσω; τίς σε βαστάσει φίλων;
ποῦ Τεῦκρος; ὡς ἀκμαῖος, εἰ βαίη, μόλοι,
πεπτῶτ' ἀδελφὸν τόνδε συγκαθαρμόσαι.
ὦ δύσμορ' Αἴας, οἷος ὢν οἴως ἔχεις,
ὡς καὶ παρ' ἐχθροῖς ἄξιος θρήνων τυχεῖν.

ΧΟΡΟΣ.

ἔμελλες, τάλας, ἔμελλες χρόνῳ
στερεόφρων ἄρ' ἐξανύσειν κακὰν
μοῖραν ἀπειρεσίων πόνων. τοῖά μοι
πάννυχα καὶ φαέθοντ' ἀνεστέναζες
ὠμόφρων ἐχθοδόπ' Ἀτρείδαις
οὐλίῳ σὺν πάθει.
μέγας ἄῤ ἦν ἐκεῖνος ἄρχων χρόνος
πημάτων, ἦμος ἀριστόχειρ
**** ὅπλων ἔκειτ' ἀγὼν πέρι.

ΤΕΚΜΗΣΣΑ.

ἰώ μοί μοι.

ΧΟΡΟΣ.

χωρεῖ πρὸς ἧπαρ, οἶδα, γενναία δύη.

ΤΕΚΜΗΣΣΑ.

ἰώ μοί μοι.

ΧΟΡΟΣ.

οὐδέν σ' ἀπιστῶ καὶ δὶς οἰμῶξαι, γύναι,
τοιοῦδ' ἀποβλαφθεῖσαν ἀρτίως φίλου.

ΤΕΚΜΗΣΣΑ.

σοὶ μὲν δοκεῖν ταῦτ' ἔστ', ἐμοὶ δ' ἄγαν φρονεῖν.

ΧΟΡΟΣ.

ξυναυδῶ.

ΤΕΚΜΗΣΣΑ.

οἴμοι, τέκνον, πρὸς οἷα δουλείας ζυγὰ
χωροῦμεν, οἷοι νῷν ἐφεστᾶσι σκοποί.

ΧΟΡΟΣ.

ὤμοι, ἀναλγήτων
δισσῶν ἐθρόησας ἄναυδον
ἔργον Ἀτρειδᾶν τῷδ' ἄχει.
ἀλλ' ἀπείργοι θεός.

ΤΕΚΜΗΣΣΑ.

οὐκ ἂν τάδ' ἔστη τῇδε, μὴ θεῶν μέτα.

ΧΟΡΟΣ.

ἄγαν ὑπερβριθὲς ἄχθος ἤνυσαν.

ΤΕΚΜΗΣΣΑ.

τοιόνδε μέντοι Ζηνὸς ἡ δεινὴ θεὸς
Παλλὰς φυτεύει πῆμ' Ὀδυσσέως χάριν.

ΧΟΡΟΣ.

ἦ ῥα κελαινώπαν θυμὸν ἐφυβρίζει πολύτλ[as]
ἀνὴρ,
γελᾷ δὲ τοῖσδε μαινομένοις ἄχεσιν πολὺν γέλ[ω-]
τα, φεῦ φεῦ,
ξύν τε διπλοῖ βασιλῆς κλύοντες Ἀτρεῖδαι.

ΤΕΚΜΗΣΣΑ.

οἱ δ' οὖν γελώντων κἀπιχαιρόντων κακοῖς
τοῖς τοῦδ'. ἴσως τοι, κεἰ βλέποντα μὴ 'πόθου
θανόντ' ἂν οἰμώξειαν ἐν χρείᾳ δορός.
οἱ γὰρ κακοὶ γνώμαισι τἀγαθὸν χεροῖν
ἔχοντες οὐκ ἴσασι, πρίν τις ἐκβάλῃ.
ἐμοὶ πικρὸς τέθνηκεν ἢ κείνοις γλυκὺς,
αὑτῷ δὲ τερπνός. ὧν γὰρ ἠράσθη τυχεῖν
ἐκτήσαθ' αὑτῷ, θάνατον, ὅνπερ ἤθελεν.
τί δῆτα τοῦδ' ἐπεγγελῷεν ἂν κάτα;
θεοῖς τέθνηκεν οὗτος, οὐ κείνοισιν, οὔ.
πρὸς ταῦτ' Ὀδυσσεὺς ἐν κενοῖς ὑβριζέτω.
Αἴας γὰρ αὐτοῖς οὐκέτ' ἐστίν· ἀλλ' ἐμοὶ
λιπὼν ἀνίας καὶ γόους διοίχεται.

ΤΕΥΚΡΟΣ.

ἰώ μοί μοι.

ΧΟΡΟΣ.

σίγησον. αὐδὴν γὰρ δοκῶ Τεύκρου κλύειν
βοῶντος ἄτης τῆσδ' ἐπίσκοπον μέλος.

ΤΕΥΚΡΟΣ.

ὦ φίλτατ' Αἴας, ὦ ξύναιμον ὄμμ' ἐμοὶ,
ἆρ' ἠμπόληκας, ὥσπερ ἡ φάτις κρατεῖ;

ΧΟΡΟΣ.

ὄλωλεν ἀνὴρ, Τεῦκρε, τοῦτ' ἐπίστασο.

ΤΕΥΚΡΟΣ.

ὤμοι βαρείας ἆρα τῆς ἐμῆς τύχης.

ΧΟΡΟΣ.

ὡς ὧδ' ἐχόντων

ΤΕΥΚΡΟΣ.

ὢ τάλας ἐγὼ, τάλας.

ΧΟΡΟΣ.

πάρα στενάζειν.

ΤΕΥΚΡΟΣ.

ὢ περισπερχὲς πάθος.

ΧΟΡΟΣ.

ἄγαν γε, Τεῦκρε.

ΤΕΥΚΡΟΣ.

φεῦ τάλας. τί γὰρ τέκνον
τὸ τοῦδε ποῦ μοι γῆς κυρεῖ τῆς Τρῳάδος;

ΧΟΡΟΣ.

μόνος παρὰ σκηναῖσιν.

ΤΕΥΚΡΟΣ.

οὐχ ὅσον τάχος
δῆτ' αὐτὸν ἄξεις δεῦρο, μή τις ὡς κενῆς

σκύμνον λεαίνης δυσμενῶν ἀναρπάσῃ;
ἴθ', ἐγκόνει, σύγκαμνε. τοῖς θανοῦσί τοι
φιλοῦσι πάντες κειμένοις ἐπεγγελᾶν.

ΧΟΡΟΣ.

καὶ μὴν ἔτι ζῶν, Τεῦκρε, τοῦδέ σοι μέλειν
ἐφεῖθ' ἁνὴρ κεῖνος, ὥσπερ οὖν μέλει.

ΤΕΥΚΡΟΣ.

ὦ τῶν ἁπάντων δὴ θεαμάτων ἐμοὶ
ἄλγιστον ὧν προσεῖδον ὀφθαλμοῖς ἐγώ,
ὁδός θ' ὁδῶν πασῶν ἀνιάσασα δὴ
μάλιστα τοὐμὸν σπλάγχνον, ἣν δὴ νῦν ἔβην,
ὦ φίλτατ' Αἴας, τὸν σὸν ὡς ἐπῃσθόμην
μόρον διώκων κἀξιχνοσκοπούμενος.
ὀξεῖα γάρ σου βάξις ὡς θεοῦ τινος
διῆλθ' Ἀχαιοὺς πάντας ὡς οἴχει θανών.
ἁγὼ κλύων δείλαιος ἐκποδὼν μὲν ὢν
ὑπεστένᾳζον, νῦν δ' ὁρῶν ἀπόλλυμαι.
οἴμοι.
ἴθ' ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν.
ὦ δυσθέατον ὄμμα καὶ τόλμης πικρᾶς,
ὅσας ἀνίας μοι κατασπείρας φθίνεις.
ποῖ γὰρ μολεῖν μοι δυνατὸν, εἰς ποίους βρο-
τούς,
τοῖς σοῖς ἀρήξαντ' ἐν πόνοισι μηδαμοῦ;
ἦ πού με Τελαμὼν, σὸς πατὴρ ἐμός θ' ἅμα,
δέξαιτ' ἂν εὐπρόσωπος ἵλεώς τ' ἴσως
χωροῦντ' ἄνευ σοῦ. πῶς γὰρ οὔχ; ὅτῳ πάρα
μηδ' εὐτυχοῦντι μηδὲν ἥδιον γελᾶν.
οὗτος τί κρύψει; ποῖον οὐκ ἐρεῖ κακὸν,
τὸν ἐκ δορὸς γεγῶτα πολεμίου νόθον,
τὸν δειλίᾳ προδόντα καὶ κακανδρίᾳ
σὲ, φίλτατ' Αἴας, ἢ δόλοισιν, ὡς τὰ σὰ
κράτη θανόντος καὶ δόμους νέμοιμι σούς.
τοιαῦτ' ἀνὴρ δύσοργος, ἐν γήρᾳ βαρὺς,
ἐρεῖ, πρὸς οὐδὲν εἰς ἔριν θυμούμενος.
τέλος δ' ἀπωστὸς γῆς ἀπορριφθήσομαι,
δοῦλος λόγοισιν ἀντ' ἐλευθέρου φανείς.
τοιαῦτα μὲν κατ' οἶκον· ἐν Τροίᾳ δέ μοι
πολλοὶ μὲν ἐχθροὶ, παῦρα δ' ὠφελήσιμα.
καὶ ταῦτα πάντα σοῦ θανόντος εὑρόμην.
οἴμοι, τί δράσω; πῶς σ' ἀποσπάσω πικροῦ
τοῦδ' αἰόλου κνώδοντος, ὦ τάλας, ὑφ' οὗ
φονέως ἄρ' ἐξέπνευσας; εἶδες ὡς χρόνῳ
ἔμελλέ σ' Ἕκτωρ καὶ θανὼν ἀποφθιεῖν;
σκέψασθε, πρὸς θεῶν, τὴν τύχην δυοῖν βροτοῖν.
Ἕκτωρ μὲν, ᾧ δὴ τοῦδ' ἐδωρήθη πάρα,
ζωστῆρι πρισθεὶς ἱππικῶν ἐξ ἀντύγων
ἐκνάπτετ' αἰὲν, ἕς τ' ἀπέψυξεν βίον·
οὗτος δ' ἐκείνου τήνδε δωρεὰν ἔχων
πρὸς τοῦδ' ὄλωλε θανασίμῳ πεσήματι.
ἆρ' οὐκ Ἐρινὺς τοῦτ' ἐχάλκευσε ξίφος
κἀκεῖνον Ἅιδης, δημιουργὸς ἄγριος;
ἐγὼ μὲν ἂν καὶ ταῦτα καὶ τὰ πάντ' ἀεὶ
φάσκοιμ' ἂν ἀνθρώποισι μηχανᾶν θεούς·
ὅτῳ δὲ μὴ τάδ' ἐστὶν ἐν γνώμῃ φίλα,
κεῖνός τε κείνου στεργέτω, κἀγὼ τάδε.

ΧΟΡΟΣ.

μὴ τεῖνε μακρὰν, ἀλλ' ὅπως κρύψεις τάφῳ
φράζου τὸν ἄνδρα, χὤ τι μυθήσει τάχα.
βλέπω γὰρ ἐχθρὸν φῶτα, καὶ τάχ' ἂν κακοῖς
γελῶν ἃ δὴ κακοῦργος ἐξίκοιτ' ἀνήρ.

ΤΕΥΚΡΟΣ.

τίς δ' ἐστὶν ὅντιν' ἄνδρα προσλεύσσεις στρατοῦ;

ΧΟΡΟΣ.

Μενέλαος, ᾧ δὴ τόνδε πλοῦν ἐστείλαμεν.

ΤΕΥΚΡΟΣ.

ὁρῶ· μαθεῖν γὰρ ἐγγὺς ὢν οὐ δυσπετής.

ΜΕΝΕΛΑΟΣ·

οὗτος, σὲ φωνῶ τόνδε τὸν νεκρὸν χεροῖν
μὴ συγκομίζειν, ἀλλ' ἐᾶν ὅπως ἔχει.

ΤΕΥΚΡΟΣ.

τίνος χάριν τοσόνδ' ἀνάλωσας λόγον;

ΜΕΝΕΛΑΟΣ.

δοκοῦντ' ἐμοί, δοκοῦντα δ' ὃς κραίνει στρατοῦ.

ΤΕΥΚΡΟΣ.

οὔκουν ἂν εἴποις ἥντιν' αἰτίαν προθείς;

ΜΕΝΕΛΑΟΣ.

ὁθούνεκ' αὐτὸν ἐλπίσαντες οἴκοθεν
ἄγειν Ἀχαιοῖς ξύμμαχόν τε καὶ φίλον,
ἐξεύρομεν ζητοῦντες ἐχθίω Φρυγῶν·
ὅστις στρατῷ ξύμπαντι βουλεύσας φόνον
νύκτωρ ἐπεστράτευσεν, ὡς ἕλοι δόρει·
κεἰ μὴ θεῶν τις τήνδε πεῖραν ἔσβεσεν,
ἡμεῖς μὲν ἂν τήνδ', ἣν ὅδ' εἴληχεν τύχην,
θανόντες ἂν προὐκείμεθ' αἰσχίστῳ μόρῳ,
οὗτος δ' ἂν ἔζη. νῦν δ' ἐνήλλαξεν θεὸς
τὴν τοῦδ' ὕβριν πρὸς μῆλα καὶ ποίμνας πεσεῖν.
ὧν οὕνεκ' αὐτὸν οὔτις ἔστ' ἀνὴρ σθένων
τοσοῦτον ὥστε σῶμα τυμβεῦσαι τάφῳ,
ἀλλ' ἀμφὶ χλωρὰν ψάμαθον ἐκβεβλημένος
ὄρνισι φορβὴ παραλίοις γενήσεται.
πρὸς ταῦτα μηδὲν δεινὸν ἐξάρῃς μένος.
εἰ γὰρ βλέποντος μὴ 'δυνήθημεν κρατεῖν,
πάντως θανόντος γ' ἄρξομεν, κἂν μὴ θέλῃς,
χερσὶν παρευθύνοντες. οὐ γὰρ ἔσθ' ὅπου
λόγων ἀκοῦσαι ζῶν ποτ' ἠθέλησ' ἐμῶν.
καίτοι κακοῦ πρὸς ἀνδρὸς ἄνδρα δημότην
μηδὲν δικαιοῦν τῶν ἐφεστώτων κλύειν.
οὐ γάρ ποτ' οὔτ' ἂν ἐν πόλει νόμοι καλῶς
φέροιντ' ἄν, ἔνθα μὴ καθεστήκῃ δέος,
οὔτ' ἂν στρατός γε σωφρόνως ἄρχοιτ' ἔτι
μηδὲν φόβου πρόβλημα μηδ' αἰδοῦς ἔχων.
ἀλλ' ἄνδρα χρή, κἂν σῶμα γεννήσῃ μέγα,
δοκεῖν πεσεῖν ἂν κἂν ἀπὸ σμικροῦ κακοῦ.
δέος γὰρ ᾧ πρόσεστιν αἰσχύνη θ' ὁμοῦ,
σωτηρίαν ἔχοντα τόνδ' ἐπίστασο·
ὅπου δ' ὑβρίζειν δρᾶν θ' ἃ βούλεται παρῇ,
ταύτην νόμιζε τὴν πόλιν χρόνῳ ποτὲ
ἐξ οὐρίων δραμοῦσαν εἰς βυθὸν πεσεῖν.
ἀλλ' ἑστάτω μοι καὶ δέος τι καίριον,
καὶ μὴ δοκῶμεν δρῶντες ἃν ἡδώμεθα
οὐκ ἀντιτίσειν αὖθις ἃν λυπώμεθα.
ἕρπει παραλλὰξ ταῦτα. πρόσθεν οὗτος ἦν
αἴθων ὑβριστής· νῦν δ' ἐγὼ μέγ' αὖ φρονῶ.
καί σοι προφωνῶ τόνδε μὴ θάπτειν, ὅπως
μὴ τόνδε θάπτων αὐτὸς εἰς ταφὰς πέσῃς.

ΧΟΡΟΣ.

Μενέλαε, μὴ γνώμας ὑποστήσας σοφὰς
εἶτ' αὐτὸς ἐν θανοῦσιν ὑβριστὴς γένῃ.

ΤΕΥΚΡΟΣ.

οὐκ ἄν ποτ', ἄνδρες, ἄνδρα θαυμάσαιμ' ἔτι,
ὃς μηδὲν ὢν γοναῖσιν εἶθ' ἁμαρτάνει,
ὅθ' οἱ δοκοῦντες εὐγενεῖς πεφυκέναι
τοιαῦθ' ἁμαρτάνουσιν ἐν λόγοις ἔπη.
ἄγ', εἴπ' ἀπ' ἀρχῆς αὖθις, ἦ σὺ φῂς ἄγειν
τὸν ἄνδρ' Ἀχαιοῖς δεῦρο σύμμαχον λαβών;
οὐκ αὐτὸς ἐξέπλευσεν, ὡς αὑτοῦ κρατῶν;
ποῦ σὺ στρατηγεῖς τοῦδε; ποῦ δὲ σοὶ λεῶν
ἔξεστ' ἀνάσσειν ὧν ὅδ' ἡγεῖτ' οἴκοθεν;
Σπάρτης ἀνάσσων ἦλθες, οὐχ ἡμῶν κρατῶν.
οὐδ' ἔσθ' ὅπου σοὶ τόνδε κοσμῆσαι πλέον
ἀρχῆς ἔκειτο θεσμὸς ἢ καὶ τῷδε σέ.
ὕπαρχος ἄλλων δεῦρ' ἔπλευσας, οὐχ ὅλων
στρατηγὸς, ὥστ' Αἴαντος ἡγεῖσθαί ποτε.
ἀλλ' ὧνπερ ἄρχεις ἄρχε, καὶ τὰ σέμν' ἔπη
κόλαζ' ἐκείνους· τόνδε δ', εἴτε μὴ σὺ φῂς
εἴθ' ἅτερος στρατηγὸς, εἰς ταφὰς ἐγὼ
θήσω δικαίως, οὐ τὸ σὸν δείσας στόμα.
οὐ γάρ τι τῆς σῆς οὕνεκ' ἐστρατεύσατο
γυναικὸς, ὥσπερ οἱ πόνου πολλοῦ πλέῳ,
ἀλλ' οὕνεχ' ὅρκων οἷσιν ἦν ἐπώμοτος,
σοῦ δ' οὐδέν· οὐ γὰρ ἠξίου τοὺς μηδένας.
πρὸς ταῦτα πλείους δεῦρο κήρυκας λαβὼν
καὶ τὸν στρατηγὸν ἧκε. τοῦ δὲ σοῦ ψόφου
οὐκ ἂν στραφείην, ὡς ἂν ᾖς οἷός περ εἶ.

ΧΟΡΟΣ.

οὐδ' αὖ τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ.
τὰ σκληρὰ γάρ τοι, κἂν ὑπέρδικ' ᾖ, δάκνει.

ΜΕΝΕΛΑΟΣ.

ὁ τοξότης ἔοικεν οὐ σμικρὸν φρονεῖν.

ΤΕΥΚΡΟΣ.

οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην.

ΜΕΝΕΛΑΟΣ.

μέγ' ἄν τι κομπάσειας, ἀσπίδ' εἰ λάβοις.

ΤΕΥΚΡΟΣ.

κἂν ψιλὸς ἀρκέσαιμι σοί γ' ὡπλισμένῳ.

ΜΕΝΕΛΑΟΣ.

ἡ γλῶσσά σου τὸν θυμὸν ὡς δεινὸν τρέφει.

ΤΕΥΚΡΟΣ.

ξὺν τῷ δικαίῳ γὰρ μέγ' ἔξεστιν φρονεῖν.

ΜΕΝΕΛΑΟΣ.

δίκαια γὰρ τόνδ' εὐτυχεῖν κτείναντά με;

ΤΕΥΚΡΟΣ.

κτείναντα; δεινόν γ' εἶπας, εἰ καὶ ζῇς θανών.

ΜΕΝΕΛΑΟΣ.

θεὸς γὰρ ἐκσώζει με, τῷδε δ' οἴχομαι.

ΤΕΥΚΡΟΣ.

μή νυν ἀτίμα θεοὺς, θεοῖς σεσωσμένος.

ΜΕΝΕΛΑΟΣ.

ἐγὼ γὰρ ἂν ψέξαιμι δαιμόνων νόμους;

ΤΕΥΚΡΟΣ.

εἰ τοὺς θανόντας οὐκ ἐᾷς θάπτειν παρών.

ΜΕΝΕΛΑΟΣ.

τούς γ' αὐτὸς αὑτοῦ πολεμίους. οὐ γὰρ καλόν.

ΤΕΥΚΡΟΣ.

ἦ σοὶ γὰρ Αἴας πολέμιος προὔστη ποτέ;

ΜΕΝΕΛΑΟΣ.

μισοῦντ' ἐμίσει· καὶ σὺ τοῦτ' ἠπίστασο.

ΤΕΥΚΡΟΣ.

κλέπτης γὰρ αὐτοῦ ψηφοποιὸς εὑρέθης.

ΜΕΝΕΛΑΟΣ.

ἐν τοῖς δικασταῖς, κοὐκ ἐμοὶ, τόδ' ἐσφάλη.

ΤΕΥΚΡΟΣ.

πόλλ' ἂν κακῶς λάθρα σὺ κλέψειας κακά.

ΜΕΝΕΛΑΟΣ.

τοῦτ' εἰς ἀνίαν τοὔπος ἔρχεταί τινι.

ΤΕΥΚΡΟΣ.

οὐ μᾶλλον, ὡς ἔοικεν, ἢ λυπήσομεν.

ΜΕΝΕΛΑΟΣ.

ἕν σοι φράσω· τόνδ' ἐστὶν οὐχὶ θαπτέον.

ΤΕΥΚΡΟΣ.

σὺ δ' ἀντακούσει τοῦτον ὡς τεθάψεται.

ΜΕΝΕΛΑΟΣ.

ἤδη ποτ' εἶδον ἄνδρ' ἐγὼ γλώσσῃ θρασὺν
ναύτας ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν,
ᾧ φθέγμ' ἂν οὐκ ἂν εὗρες, ἡνίκ' ἐν κακῷ
χειμῶνος εἴχετ', ἀλλ' ὑφ' εἵματος κρυφεὶς
πατεῖν παρεῖχε τῷ θέλοντι ναυτίλων.
οὕτω δὲ καὶ σὲ καὶ τὸ σὸν λάβρον στόμα
σμικροῦ νέφους τάχ' ἄν τις ἐκπνεύσας μέγας
χειμὼν κατασβέσειε τὴν πολλὴν βοήν.

ΤΕΥΚΡΟΣ.

ἐγὼ δέ γ' ἄνδρ' ὄπωπα μωρίας πλέων,
ὃς ἐν κακοῖς ὕβριζε τοῖσι τῶν πέλας.
κᾆτ' αὐτὸν εἰσιδών τις ἐμφερὴς ἐμοὶ
ὀργήν θ' ὅμοιος εἶπε τοιοῦτον λόγον,
ἄνθρωπε, μὴ δρᾶ τοὺς τεθνηκότας κακῶς·
εἰ γὰρ ποιήσεις, ἴσθι πημανούμενος.
τοιαῦτ' ἄνολβον ἄνδρ' ἐνουθέτει παρών.
ὁρῶ δέ τοί νιν, κἄστιν, ὡς ἐμοὶ δοκεῖ,
οὐδείς ποτ' ἄλλος ἢ σύ. μῶν ᾐνιξάμην;

ΜΕΝΕΛΑΟΣ.

ἄπειμι· καὶ γὰρ αἰσχρὸν, εἰ πύθοιτό τις
λόγοις κολάζειν ᾧ βιάζεσθαι πάρα.

ΤΕΥΚΡΟΣ.

ἄφερπέ νυν. κἀμοὶ γὰρ αἴσχιστον κλύειν
ἀνδρὸς ματαίου φλαῦρ' ἔπη μυθουμένου.

ΧΟΡΟΣ.

ἔσται μεγάλης ἔριδός τις ἀγών.
ἀλλ' ὡς δύνασαι, Τεῦκρε, ταχύνας
σπεῦσον κοίλην κάπετόν τιν' ἰδεῖν
τῷδ', ἔνθα βροτοῖς τὸν ἀείμνηστον
τάφον εὐρώεντα καθέξει.

ΤΕΥΚΡΟΣ.

καὶ μὴν ἐς αὐτὸν καιρὸν οἵδε πλησίον
πάρεισιν ἀνδρὸς τοῦδε παῖς τε καὶ γυνὴ,
τάφον περιστελοῦντε δυστήνου νεκροῦ.
ὦ παῖ πρόσελθε δεῦρο, καὶ σταθεὶς πέλας
ἱκέτης ἔφαψαι πατρὸς, ὅς σ' ἐγείνατο.
θάκει δὲ προστρόπαιος ἐν χεροῖν ἔχων
κόμας ἐμὰς καὶ τῆσδε καὶ σαυτοῦ τρίτου,
ἱκτήριον θησαυρόν. εἰ δέ τις στρατοῦ
βίᾳ σ' ἀποσπάσειε τοῦδε τοῦ νεκροῦ,

κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονὸς,
γένους ἅπαντος ῥίζαν ἐξημημένος,
αὕτως ὅπωσπερ τόνδ' ἐγὼ τέμνω πλόκον.
ἔχ' αὐτὸν, ὦ παῖ, καὶ φύλασσε, μηδέ σε
κινησάτω τις, ἀλλὰ προσπεσὼν ἔχου.
ὑμεῖς τε μὴ γυναῖκες ἀντ' ἀνδρῶν πέλας
παρέστατ', ἀλλ' ἀρήγετ', ἐς τ' ἐγὼ μόλω
τάφου μεληθεὶς τῷδε, κἂν μηδεὶς ἐᾷ.

ΧΟΡΟΣ.

τίς ἄρα νέατος ἐς πότε λήξει πολυπλάγκτων
ἐτέων ἀριθμὸς
τὰν ἄπαυστον αἰὲν ἐμοὶ δορυσσόντων
μόχθων ἄταν ἐπάγων
ἀν' εὐρώδη Τροΐαν,
δύστανον ὄνειδος Ἑλλάνων;
ὄφελε πρότερον αἰθέρα δῦναι μέγαν ἢ τὸν πο-
λύκοινον Ἅιδαν
κεῖνος ἀνὴρ, ὃς στυγερῶν ἔδειξ' ὅπλων
Ἕλλασι κοινὸν Ἄρη.
ἰὼ πόνοι πρόπονοι.
κεῖνος γὰρ ἔπερσεν ἀνθρώπους.
ἐκεῖνος οὐ στεφάνων
οὔτε βαθειᾶν κυλίκων
νεῖμεν ἐμοὶ τέρψιν ὁμιλεῖν,
οὔτε γλυκὺν αὐλῶν ὄτοβον
δύσμορος οὔτ' ἐννυχίαν
τέρψιν ἰαύειν.
ἐρώτων δ' ἐρώτων ἀπέπαυσεν, ὤμοι.
κεῖμαι δ' ἀμέριμνος οὕτως,
ἀεὶ πυκιναῖς δρόσοις
τεγγόμενος κόμας,
λυγρᾶς μνήματα Τροίας.
καὶ πρὶν μὲν ἐννυχίου
δείματος ἦν μοι προβολὰ
καὶ βελέων θούριος Αἴας,
νῦν δ' οὗτος ἀνεῖται στυγερῷ
δαίμονι. τίς μοι, τίς ἔτ' οὖν
τέρψις ἐπέσται;
γενοίμαν ἵν' ὑλᾶεν ἔπεστι πόντου
πρόβλημ' ἁλίκλυστον, ἄκραν
ὑπὸ πλάκα Σουνίου,
τὰς ἱερὰς ὅπως
προσείποιμεν Ἀθάνας.

ΤΕΥΚΡΟΣ.

καὶ μὴν ἰδὼν ἔσπευσα τὸν στρατηλάτην
Ἀγαμέμνον' ἡμῖν δεῦρο τόνδ' ὁρμώμενον·
δῆλος δέ μοὐστὶ σκαιὸν ἐκλύσων στόμα.

ΑΓΑΜΕΜΝΩΝ.

σὲ δὴ τὰ δεινὰ ῥήματ' ἀγγέλλουσί μοι
τλῆναι καθ' ἡμῶν ὧδ' ἀνοιμωκτὶ χανεῖν;
σέ τοι, σὲ τὸν τῆς αἰχμαλωτίδος λέγω,
ἦ που τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο
ὑψήλ' ἐκόμπεις κἀπ' ἄκρων ὡδοιπόρεις,
ὅτ' οὐδὲν ὢν τοῦ μηδὲν ἀντέστης ὕπερ,
κοὔτε στρατηγοὺς οὔτε ναυάρχους μολεῖν
ἡμᾶς Ἀχαιῶν οὔτε σοῦ διωμόσω·
ἀλλ' αὐτὸς ἄρχων, ὡς σὺ φῄς, Αἴας ἔπλει.

1185—1191. == 1192—1198.
1199—1210. == 1211—1222.

ταῦτ' οὐκ ἀκούειν μεγάλα πρὸς δούλων κακά;
ποίου κέκραγας ἀνδρὸς ὧδ' ὑπέρφρονα;
ποῦ βάντος ἢ ποῦ στάντος οὗπερ οὐκ ἐγώ;
οὐκ ἆρ' Ἀχαιοῖς ἄνδρες εἰσὶ πλὴν ὅδε;
πικροὺς ἔοιγμεν τῶν Ἀχιλλείων ὅπλων
ἀγῶνας Ἀργείοισι κηρῦξαι τότε,
εἰ πανταχοῦ φανούμεθ' ἐκ Τεύκρου κακοὶ,
κοὐκ ἀρκέσει ποθ' ὑμὶν οὐδ' ἡσσημένοις
εἴκειν ἃ τοῖς πολλοῖσιν ἤρεσκεν κριταῖς,
ἀλλ' αἰὲν ἡμᾶς ἢ κακοῖς βαλεῖτέ που
ἢ σὺν δόλῳ κεντήσεθ' οἱ λελειμμένοι.
ἐκ τῶνδε μέντοι τῶν τρόπων οὐκ ἄν ποτε
κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου,
εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν
καὶ τοὺς ὄπισθεν εἰς τὸ πρόσθεν ἄξομεν.
ἀλλ' εἰρκτέον τάδ' ἐστίν. οὐ γὰρ οἱ πλατεῖς
οὐδ' εὐρύνωτοι φῶτες ἀσφαλέστατοι,
ἀλλ' οἱ φρονοῦντες εὖ κρατοῦσι πανταχοῦ.
μέγας δὲ πλευρὰ βοῦς ὑπὸ σμικρᾶς ὅμως
μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται.
καὶ σοὶ προσέρπον τοῦτ' ἐγὼ τὸ φάρμακον
ὁρῶ τάχ', εἰ μὴ νοῦν κατακτήσει τινά·
ὃς ἀνδρὸς οὐκέτ' ὄντος, ἀλλ' ἤδη σκιᾶς,
θαρσῶν ὑβρίζεις κἀξελευθεροστομεῖς.
οὐ σωφρονήσεις; οὐ μαθὼν ὃς εἶ φύσιν
ἄλλον τιν' ἄξεις ἄνδρα δεῦρ' ἐλεύθερον,
ὅστις πρὸς ἡμᾶς ἀντὶ σοῦ λέξει τὰ σά;
σοῦ γὰρ λέγοντος οὐκέτ' ἂν μάθοιμ' ἐγώ·
τὴν βάρβαρον γὰρ γλῶσσαν οὐκ ἐπαΐω.

ΧΟΡΟΣ.

εἴθ' ὑμὶν ἀμφοῖν νοῦς γένοιτο σωφρονεῖν.
τούτου γὰρ οὐδὲν σφῷν ἔχω λῷον φράσαι.

ΤΕΥΚΡΟΣ.

φεῦ· τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς
χάρις διαρρεῖ καὶ προδοῦσ' ἁλίσκεται,
εἰ σοῦ γ' ὅδ' ἀνὴρ οὐδ' ἐπὶ σμικρῶν λόγων,
Αἴας, ἔτ' ἴσχει μνῆστιν, οὗ σὺ πολλάκις
τὴν σὴν προτείνων προὔκαμες ψυχὴν δόρει·
ἀλλ' οἴχεται δὴ πάντα ταῦτ' ἐρριμμένα.
ὦ πολλὰ λέξας ἄρτι κἀνόνητ' ἔπη,
οὐ μνημονεύεις οὐκέτ' οὐδὲν, ἡνίκα
ἑρκέων ποθ' ὑμᾶς οὗτος ἐγκεκλῃμένους,
ἤδη τὸ μηδὲν ὄντας, ἐν τροπῇ δορὸς
ἐρρύσατ' ἐλθὼν μοῦνος, ἀμφὶ μὲν νεῶν
ἄκροισιν ἤδη ναυτικοῖς ἑδωλίοις
πυρὸς φλέγοντος, εἰς δὲ ναυτικὰ σκάφη
πηδῶντος ἄρδην Ἕκτορος τάφρων ὕπερ;
τίς ταῦτ' ἀπεῖρξεν; οὐχ ὅδ' ἦν ὁ δρῶν τάδε,
ὃν οὐδαμοῦ φῂς οὐδὲ συμβῆναι ποδί;
ἆρ' ὑμὶν οὗτος ταῦτ' ἔδρασεν ἔνδικα;
χὤτ' αὖθις αὐτὸς Ἕκτορος μόνος μόνου,
λαχών τε κἀκέλευστος, ἦλθ' ἐναντίος,
οὐ δραπέτην τὸν κλῆρον ἐς μέσον καθεὶς,
ὑγρᾶς ἀρούρας βῶλον, ἀλλ' ὃς εὐλόφου
κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν;
ὅδ' ἦν ὁ πράσσων ταῦτα, σὺν δ' ἐγὼ παρὼν,
ὁ δοῦλος, οὐκ τῆς βαρβάρου μητρὸς γεγώς.
δύστηνε, ποῖ βλέπων ποτ' αὐτὰ καὶ θροεῖς;
οὐκ οἶσθα σοῦ πατρὸς μὲν ὃς προὔφυ πατὴρ

ἀρχαῖον ὄντα Πέλοπα βάρβαρον Φρύγα;
Ἀτρέα δ᾽, ὃς αὖ σ᾽ ἔσπειρε δυσσεβέστατον,
προθέντ᾽ ἀδελφῷ δεῖπνον οἰκείων τέκνων;
αὐτὸς δὲ μητρὸς ἐξέφυς Κρήσσης, ἐφ᾽ ᾗ
λαβὼν ἐπακτὸν ἄνδρ᾽ ὁ φιτύσας πατὴρ
ἐφῆκεν ἐλλοῖς ἰχθύσιν διαφθοράν.
τοιοῦτος ὢν τοιάνδ᾽ ὀνειδίζεις σποράν;
ὃς ἐκ πατρὸς μέν εἰμι Τελαμῶνος γεγὼς,
ὅστις στρατοῦ τὰ πρῶτ᾽ ἀριστεύσας ἐμὴν
ἴσχει ξύνευνον μητέρ᾽, ἣ φύσει μὲν ἦν
βασίλεια, Λαομέδοντος· ἔκκριτον δέ νιν
δώρημα κείνῳ ᾽δωκεν Ἀλκμήνης γόνος.
ἆρ᾽ ὧδ᾽ ἄριστος ἐξ ἀριστέοιν δυοῖν
βλαστὼν ἂν αἰσχύνοιμι τοὺς πρὸς αἵματος,
οὓς νῦν σὺ τοιοῖσδ᾽ ἐν πόνοισι κειμένους
ὠθεῖς ἀθάπτους, οὐδ᾽ ἐπαισχύνει λέγων;
εὖ νυν τόδ᾽ ἴσθι, τοῦτον εἰ βαλεῖτέ που,
βαλεῖτε χἠμᾶς τρεῖς ὁμοῦ συγκειμένους.
ἐπεὶ καλόν μοι τοῦδ᾽ ὑπερπονουμένῳ
θανεῖν προδήλως μᾶλλον ἢ τῆς σῆς ὑπὲρ
γυναικὸς, ἢ τοῦ σοῦ θ᾽ ὁμαίμονος λέγω;
πρὸς ταῦθ᾽ ὅρα μὴ τοὐμὸν, ἀλλὰ καὶ τὸ σόν.
ὡς εἴ με πημανεῖς τι, βουλήσει ποτὲ
καὶ δειλὸς εἶναι μᾶλλον ἢ ᾽ν ἐμοὶ θρασύς.

ΧΟΡΟΣ.

ἄναξ Ὀδυσσεῦ, καιρὸν ἴσθ᾽ ἐληλυθὼς,
εἰ μὴ ξυνάψων, ἀλλὰ συλλύσων πάρει.

ΟΔΥΣΣΕΥΣ.

τί δ᾽ ἔστιν, ἄνδρες; τηλόθεν γὰρ ᾐσθόμην
βοὴν Ἀτρειδῶν τῷδ᾽ ἐπ᾽ ἀλκίμῳ νεκρῷ.

ΑΓΑΜΕΜΝΩΝ.

οὐ γὰρ κλύοντές ἐσμεν αἰσχίστους λόγους,
ἄναξ Ὀδυσσεῦ, τοῦδ᾽ ὑπ᾽ ἀνδρὸς ἀρτίως;

ΟΔΥΣΣΕΥΣ.

ποίους; ἐγὼ γὰρ ἀνδρὶ συγγνώμην ἔχω
κλύοντι φλαῦρα συμβαλεῖν ἔπη κακά.

ΑΓΑΜΕΜΝΩΝ.

ἤκουσεν αἰσχρά· δρῶν γὰρ ἦν τοιαῦτά με.

ΟΔΥΣΣΕΥΣ.

τί γάρ σ᾽ ἔδρασεν, ὥστε καὶ βλάβην ἔχειν;

ΑΓΑΜΕΜΝΩΝ.

οὔ φησ᾽ ἐάσειν τόνδε τὸν νεκρὸν ταφῆς
ἄμοιρον, ἀλλὰ πρὸς βίαν θάψειν ἐμοῦ.

ΟΔΥΣΣΕΥΣ.

ἔξεστιν οὖν εἰπόντι τἀληθῆ φίλῳ
σοὶ μηδὲν ἧσσον ἢ πάρος ξυνηρετμεῖν;

ΑΓΑΜΕΜΝΩΝ.

εἴπ᾽· ἦ γὰρ εἴην οὐκ ἂν εὖ φρονῶν, ἐπεὶ
φίλον σ᾽ ἐγὼ μέγιστον Ἀργείων νέμω.

ΟΔΥΣΣΕΥΣ.

ἄκουέ νυν. τὸν ἄνδρα τόνδε πρὸς θεῶν
μὴ τλῇς ἄθαπτον ὧδ᾽ ἀναλγήτως βαλεῖν·
μηδ᾽ ἡ βία σε μηδαμῶς νικησάτω
τοσόνδε μισεῖν ὥστε τὴν δίκην πατεῖν.
κἀμοὶ γὰρ ἦν ποθ᾽ οὗτος ἔχθιστος στρατοῦ,
ἐξ οὗ ᾽κράτησα τῶν Ἀχιλλείων ὅπλων.
ἀλλ᾽ αὐτὸν ἔμπας ὄντ᾽ ἐγὼ τοιόνδ᾽ ἐμοὶ
οὐκ ἂν ἀτιμάσαιμ᾽ ἂν, ὥστε μὴ λέγειν
ἕν᾽ ἄνδρ᾽ ἰδεῖν ἄριστον Ἀργείων, ὅσοι
Τροίαν ἀφικόμεσθα, πλὴν Ἀχιλλέως.
ὥστ᾽ οὐκ ἂν ἐνδίκως γ᾽ ἀτιμάζοιτό σοι.
οὐ γάρ τι τοῦτον, ἀλλὰ τοὺς θεῶν νόμους
φθείροις ἄν. ἄνδρα δ᾽ οὐ δίκαιον, εἰ θάνοι,
βλάπτειν τὸν ἐσθλὸν, οὐδ᾽ ἐὰν μισῶν κυρῇς.

ΑΓΑΜΕΜΝΩΝ.

σὺ ταῦτ᾽, Ὀδυσσεῦ, τοῦδ᾽ ὑπερμαχεῖς ἐμοί;

ΟΔΥΣΣΕΥΣ.

ἔγωγ᾽· ἐμίσουν δ᾽, ἡνίκ᾽ ἦν μισεῖν καλόν.

ΑΓΑΜΕΜΝΩΝ.

οὐ γὰρ θανόντι καὶ προσεμβῆναί σε χρή;

ΟΔΥΣΣΕΥΣ.

μὴ χαῖρ᾽, Ἀτρείδη, κέρδεσιν τοῖς μὴ καλοῖς.

ΑΓΑΜΕΜΝΩΝ.

τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον.

ΟΔΥΣΣΕΥΣ.

ἀλλ᾽ εὖ λέγουσι τοῖς φίλοις τιμὰς νέμειν.

ΑΓΑΜΕΜΝΩΝ.

κλύειν τὸν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐν τέλει.

ΟΔΥΣΣΕΥΣ.

παῦσαι· κρατεῖς τοι τῶν φίλων νικώμενος.

ΑΓΑΜΕΜΝΩΝ.

μέμνησ᾽ ὁποίῳ φωτὶ τὴν χάριν δίδως.

ΟΔΥΣΣΕΥΣ.

ὅδ᾽ ἐχθρὸς ἀνὴρ, ἀλλὰ γενναῖός ποτ᾽ ἦν.

ΑΓΑΜΕΜΝΩΝ.

τί ποτε ποιήσεις; ἐχθρὸν ὧδ᾽ αἰδεῖ νέκυν;

ΟΔΥΣΣΕΥΣ.

νικᾷ γὰρ ἀρετή με τῆς ἔχθρας πολύ.

ΑΓΑΜΕΜΝΩΝ.

τοιοίδε μέντοι φῶτες ἔμπληκτοι βροτοῖς.

ΟΔΥΣΣΕΥΣ.

ἦ κάρτα πολλοὶ νῦν φίλοι καὖθις πικροί.

ΑΓΑΜΕΜΝΩΝ.

τοιούσδ᾽ ἐπαινεῖς δῆτα σὺ κτᾶσθαι φίλους;

ΟΔΥΣΣΕΥΣ.

σκληρὰν ἐπαινεῖν οὐ φιλῶ ψυχὴν ἐγώ.

ΑΓΑΜΕΜΝΩΝ.

ἡμᾶς σὺ δειλοὺς τῇδε θἠμέρᾳ φανεῖς.

ΟΔΥΣΣΕΥΣ.

ἄνδρας μὲν οὖν Ἕλλησι πᾶσιν ἐνδίκους.

ΑΓΑΜΕΜΝΩΝ.

ἄνωγας οὖν με τὸν νεκρὸν θάπτειν ἐᾶν;

ΟΔΥΣΣΕΥΣ.

ἔγωγε. καὶ γὰρ αὐτὸς ἐνθάδ᾽ ἵξομαι.

ΑΓΑΜΕΜΝΩΝ.

ἦ πάνθ᾽ ὅμοια πᾶς ἀνὴρ αὑτῷ πονεῖ.

ΟΔΥΣΣΕΥΣ.

τῷ γάρ με μᾶλλον εἰκὸς ἢ ᾽μαυτῷ πονεῖν;

ΑΓΑΜΕΜΝΩΝ.

σὸν ἆρα τοὔργον, οὐκ ἐμὸν κεκλήσεται.

ΟΔΥΣΣΕΥΣ.

ὡς ἂν ποιήσῃς, πανταχῇ χρηστός γ᾽ ἔσει.

ΑΓΑΜΕΜΝΩΝ.

ἀλλ᾽ εὖ γε μέντοι τοῦτ᾽ ἐπίστασ᾽, ὡς ἐγώ

σοὶ μὲν νέμοιμ' ἂν τῆσδε καὶ μείζω χάριν·
οὗτος δὲ κἀκεῖ κἀνθάδ' ὢν ἔμοιγ' ὁμῶς
ἔχθιστος ἔσται. σοὶ δὲ δρᾶν ἔξεσθ' ἃ χρή.

ΧΟΡΟΣ.

ὅστις σ', Ὀδυσσεῦ, μὴ λέγει γνώμῃ σοφὸν
φῦναι, τοιοῦτον ὄντα, μῶρός ἐστ' ἀνήρ.

ΟΔΥΣΣΕΥΣ.

καὶ νῦν γε Τεύκρῳ τἀπὸ τοῦδ' ἀγγέλλομαι
ὅσον τότ' ἐχθρὸς ἦν, τοσόνδ' εἶναι φίλος.
καὶ τὸν θανόντα τόνδε συνθάπτειν θέλω,
καὶ ξυμπονεῖν καὶ μηδὲν ἐλλείπειν ὅσον
χρὴ τοῖς ἀρίστοις ἀνδράσιν πονεῖν βροτούς.

ΤΕΥΚΡΟΣ.

ἄριστ' Ὀδυσσεῦ, πάντ' ἔχω σ' ἐπαινέσαι
λόγοισι· καί μ' ἔψευσας ἐλπίδος πολύ.
τούτῳ γὰρ ὢν ἔχθιστος Ἀργείων ἀνὴρ
μόνος παρέστης χερσὶν, οὐδ' ἔτλης παρὼν
θανόντι τῷδε ζῶν ἐφυβρίσαι μέγα,
ὡς ὁ στρατηγὸς οὑπιβρόντητος μολὼν,
αὐτός τε χὠ ξύναιμος ἠθελησάτην
λωβητὸν αὐτὸν ἐκβαλεῖν ταφῆς ἄτερ.
τοιγάρ σφ' Ὀλύμπου τοῦδ' ὁ πρεσβεύων πατὴρ
μνήμων τ' Ἐρινὺς καὶ τελεσφόρος Δίκη
κακοὺς κακῶς φθείρειαν, ὥσπερ ἤθελον
τὸν ἄνδρα λώβαις ἐκβαλεῖν ἀναξίως.
σὲ δ', ὦ γεραιοῦ σπέρμα Λαέρτου πατρὸς,
τάφου μὲν ὀκνῶ τοῦδ' ἐπιψαύειν ἐᾶν,
μὴ τῷ θανόντι τοῦτο δυσχερὲς ποιῶ·
τὰ δ' ἄλλα καὶ ξύμπρασσε, κεἴ τινα στρατοῦ
θέλεις κομίζειν, οὐδὲν ἄλγος ἕξομεν.
ἐγὼ δὲ τἄλλα πάντα πορσυνῶ· σὺ δὲ
ἀνὴρ καθ' ἡμᾶς ἐσθλὸς ὢν ἐπίστασο.

ΟΔΥΣΣΕΥΣ.

ἀλλ' ἤθελον μέν· εἰ δὲ μή 'στί σοι φίλον
πράσσειν τάδ' ἡμᾶς, εἶμ', ἐπαινέσας τὸ σόν.

ΤΕΥΚΡΟΣ.

ἅλις· ἤδη γὰρ πολὺς ἐκτέταται
χρόνος. ἀλλ' οἱ μὲν κοίλην κάπετον
χερσὶ ταχύνατε, τοὶ δ' ὑψίβατον
τρίποδ' ἀμφίπυρον λουτρῶν ὁσίων
θέσθ' ἐπίκαιρον·
μία δ' ἐκ κλισίας ἀνδρῶν ἴλη
τὸν ὑπασπίδιον κόσμον φερέτω.
παῖ, σὺ δὲ πατρός γ', ὅσον ἰσχύεις,
φιλότητι θιγὼν πλευρὰς σὺν ἐμοὶ
τάσδ' ἐπικούφιζ'· ἔτι γὰρ θερμαὶ
σύριγγες ἄνω φυσῶσι μέλαν
μένος. ἀλλ' ἄγε πᾶς, φίλος ὅστις ἀνὴρ
φησὶ παρεῖναι, σούσθω, βάτω,
τῷδ' ἀνδρὶ πονῶν τῷ πάντ' ἀγαθῷ
κοὐδενί πω λῴονι θνητῶν.

ΧΟΡΟΣ.

ἦ πολλὰ βροτοῖς ἔστιν ἰδοῦσιν
γνῶναι· πρὶν ἰδεῖν δ' οὐδεὶς μάντις
τῶν μελλόντων ὅ τι πράξει.

---

**Post 1416 sequebatur**
Αἴαντος, ὅτ' ἦν, τότε φωνῶ.

# ΣΟΦΟΚΛΕΟΥΣ ΗΛΕΚΤΡΑ.

---

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΠΑΙΔΑΓΩΓΟΣ.*
*ΟΡΕΣΤΗΣ.*
*ΗΛΕΚΤΡΑ.*
*ΧΟΡΟΣ.*
*ΧΡΥΣΟΘΕΜΙΣ.*
*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*
*ΑΙΓΙΣΘΟΣ.*

---

## *ΥΠΟΘΕΣΙΣ.*

*Ὑπόκειται ὧδε· τροφεὺς δεικνὺς Ὀρέστῃ τὰ ἐν Ἄργει. μικρὸν γὰρ αὐτὸν ὄντα κλέψασα ἡ Ἠλέ ἡνίκα ὁ πατὴρ ἐσφάζετο, δέδωκε τῷ τροφεῖ, δείσασα μὴ καὶ αὐτὸν κτείνωσιν. ὁ δὲ ὑπεξέθετο αὐτὸ Φωκίδα πρὸς τὸν Στρόφιον· νῦν δὲ μετὰ εἴκοσιν ἔτη ἐπανιὼν σὺν αὐτῷ πρὸς τὸ Ἄργος δείκνυσιν τὰ ἐν Ἄργει.*

*Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει. ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων παρθένων. λογίζει δὲ ὁ παιδαγωγὸς Ὀρέστου.*

---

# Η Λ Ε Κ Τ Ρ Α.

ΠΑΙΔΑΓΩΓΟΣ.

Ὦ τοῦ στρατηγήσαντος ἐν Τροίᾳ ποτὲ
Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν' ἔξεστί σοι
παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ' ἀεί.
τὸ γὰρ παλαιὸν Ἄργος οὑπόθεις τόδε,
τῆς οἰστροπλῆγος ἄλσος Ἰνάχου κόρης·
αὕτη δ', Ὀρέστα, τοῦ λυκοκτόνου θεοῦ
ἀγορὰ Λύκειος· οὑξ ἀριστερᾶς δ' ὅδε
Ἥρας ὁ κλεινὸς ναός· οἱ δ' ἱκάνομεν,
φάσκειν Μυκήνας τὰς πολυχρύσους ὁρᾶν,
πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε,
ὅθεν σε πατρὸς ἐκ φόνων ἐγώ ποτε
πρὸς σῆς ὁμαίμου καὶ κασιγνήτης λαβὼν
ἤνεγκα κἀξέσωσα κἀξεθρεψάμην
τοσόνδ' ἐς ἥβης, πατρὶ τιμωρὸν φόνου.
νῦν οὖν, Ὀρέστα καὶ σὺ φίλτατε ξένων
Πυλάδη, τί χρὴ δρᾶν ἐν τάχει βουλευτέον·
ὡς ἡμὶν ἤδη λαμπρὸν ἡλίου σέλας
ἑῷα κινεῖ φθέγματ' ὀρνίθων σαφῆ
μέλαινά τ' ἄστρων ἐκλέλοιπεν εὐφρόνη.
πρὶν οὖν τιν' ἀνδρῶν ἐξοδοιπορεῖν στέγης,
ξυνάπτετον λόγοισιν· ὡς ἐνταῦθ' ἵνα
οὐκ ἔστ' ἔτ' ὀκνεῖν καιρός, ἀλλ' ἔργων ἀκμή.

ΟΡΕΣΤΗΣ.

Ὦ φίλτατ' ἀνδρῶν προσπόλων, ὥς μοι σαφῆ
σημεῖα φαίνεις ἐσθλὸς εἰς ἡμᾶς γεγώς.
ὥσπερ γὰρ ἵππος εὐγενής, κἂν ᾖ γέρων,
ἐν τοῖσι δεινοῖς θυμὸν οὐκ ἀπώλεσεν,
ἀλλ' ὀρθὸν οὖς ἵστησιν, ὡσαύτως δὲ σὺ
ἡμᾶς τ' ὀτρύνεις καὐτὸς ἐν πρώτοις ἕπει.
τοιγὰρ τὰ μὲν δόξαντα δηλώσω· σὺ δὲ
ὀξεῖαν ἀκοὴν τοῖς ἐμοῖς λόγοις διδούς,
εἰ μή τι καιροῦ τυγχάνω, μεθάρμοσον.
ἐγὼ γὰρ ἡνίχ' ἱκόμην τὸ Πυθικὸν
μαντεῖον, ὡς μάθοιμ' ὅτῳ τρόπῳ πατρὸς
δίκας ἀροίμην τῶν φονευσάντων πάρα,
χρῇ μοι τοιαῦθ' ὁ Φοῖβος ὧν πεύσει τάχα·
ἄσκευον αὐτὸν ἀσπίδων τε καὶ στρατοῦ
δόλοισι κλέψαι χειρὸς ἐνδίκους σφαγάς.
ὅτ' οὖν τοιόνδε χρησμὸν εἰσηκούσαμεν,
σὺ μὲν μολών, ὅταν σε καιρὸς εἰσάγῃ,
δόμων ἔσω τῶνδ', ἴσθι πᾶν τὸ δρώμενον,
ὅπως ἂν εἰδὼς ἡμὶν ἀγγείλῃς σαφῆ.
οὐ γάρ σε μὴ γήρᾳ τε καὶ χρόνῳ μακρῷ
γνῶσ' οὐδ' ὑποπτεύσουσιν ὧδ' ἠνθισμένον.
λόγῳ δὲ χρῶ τοιῷδ', ὅτι ξένος μὲν εἶ
Φωκεύς, παρ' ἀνδρὸς Φανοτέως ἥκων· ὁ γὰρ
μέγιστος αὐτοῖς τυγχάνει δορυξένων.
ἄγγελλε δ' ὅρκῳ προστιθεὶς ὁθούνεκα
τέθνηκ' Ὀρέστης ἐξ ἀναγκαίας τύχης,
ἄθλοισι Πυθικοῖσιν ἐκ τροχηλάτων
δίφρων κυλισθείς· ὧδ' ὁ μῦθος ἑστάτω.
ἡμεῖς δὲ πατρὸς τύμβον, ὡς ἐφίετο,
λοιβαῖς τε πρῶτον καὶ καρατόμοις χλιδαῖς
στέψαντες, εἶτ' ἄψορρον ἥξομεν πάλιν,
τύπωμα χαλκόπλευρον ἠρμένοι χεροῖν,
ὃ καὶ σὺ θάμνοις οἶσθά που κεκρυμμένον,
ὅπως λόγῳ κλέπτοντες ἡδεῖαν φάτιν
φέρωμεν αὐτοῖς, τοὐμὸν ὡς ἔρρει δέμας
φλογιστὸν ἤδη καὶ κατηνθρακωμένον.
τί γάρ με λυπεῖ τοῦθ', ὅταν λόγῳ θανὼν
ἔργοισι σωθῶ κἀξενέγκωμαι κλέος;
δοκῶ μὲν οὐδὲν ῥῆμα σὺν κέρδει κακόν.
ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς
λόγῳ μάτην θνήσκοντας· εἶθ', ὅταν δόμους
ἔλθωσιν αὖθις, ἐκτετίμηνται πλέον.
ὡς κἄμ' ἐπαυχῶ τῆσδε τῆς φήμης ἄπο
δεδορκότ' ἐχθροῖς ἄστρον ὣς λάμψειν ἔτι.
ἀλλ', ὦ πατρῴα γῆ θεοί τ' ἐγχώριοι,
δέξασθέ μ' εὐτυχοῦντα ταῖσδε ταῖς ὁδοῖς,
σύ τ', ὦ πατρῷον δῶμα· σοῦ γὰρ ἔρχομαι
δίκῃ καθαρτὴς πρὸς θεῶν ὡρμημένος·
καὶ μή μ' ἄτιμον τῆσδ' ἀποστείλητε γῆς,
ἀλλ' ἀρχέπλουτον καὶ καταστάτην δόμων.
εἴρηκα μὲν νῦν ταῦτα· σοὶ δ' ἤδη, γέρον,
τὸ σὸν μελέσθω βάντι φρουρῆσαι χρέος.
νὼ δ' ἔξιμεν· καιρὸς γάρ, ὅσπερ ἀνδράσιν
μέγιστος ἔργου παντός ἐστ' ἐπιστάτης.

ΗΛΕΚΤΡΑ.

ἰώ μοί μοι δύστηνος.

ΠΑΙΔΑΓΩΓΟΣ.

καὶ μὴν θυρῶν ἔδοξα προσπόλων τινὸς
ὑποστενούσης ἔνδον αἰσθέσθαι, τέκνον.

ΟΡΕΣΤΗΣ.

ἆρ' ἐστὶν ἡ δύστηνος Ἠλέκτρα; θέλεις
μείνωμεν αὐτοῦ κἀνακούσωμεν γόων;

ΠΑΙΔΑΓΩΓΟΣ.

ἥκιστα. μηδὲν πρόσθεν ἢ τὰ Λοξίου
πειρώμεθ' ἔρδειν κἀπὸ τῶνδ' ἀρχηγετεῖν,
πατρὸς χέοντες λουτρά· ταῦτα γὰρ φέρει
νίκην τ' ἐφ' ἡμῖν καὶ κράτος τῶν δρωμένων.

ΗΛΕΚΤΡΑ.

ὦ φάος ἁγνὸν
καὶ γῆς ἰσόμοιρ' ἀήρ, ὥς μοι
πολλὰς μὲν θρήνων ᾠδάς,
πολλὰς δ' ἀντήρεις ᾔσθου
στέρνων πλαγὰς αἱμασσομένων,
ὁπόταν δνοφερὰ νὺξ ὑπολειφθῇ·
τὰ δὲ παννυχίδων ἤδη στυγεραὶ
ξυνίσασ' εὐναὶ μογερῶν οἴκων,
ὅσα τὸν δύστηνον ἐμὸν θρηνῶ
πατέρ', ὃν κατὰ μὲν βάρβαρον αἶαν

*φοίνιος Ἄρης οὐκ ἐξένισεν,*
*μήτηρ δ' ἡμὴ χὼ κοινολεχὴς*
*Αἴγισθος ὅπως δρῦν ὑλοτόμοι*
*σχίζουσι κάρα φονίῳ πελέκει.*
*κοὐδεὶς τούτων οἶκτος ἀπ' ἄλλης*
*ἢ 'μοῦ φέρεται, σοῦ, πάτερ, οὕτως*
*αἰκῶς οἰκτρῶς τε θανόντος.*
*ἀλλ' οὐ μὲν δὴ*
*λήξω θρήνων στυγερῶν τε γόων,*
*ἔς τ' ἂν παμφεγγεῖς ἄστρων*
*ῥιπὰς, λεύσσω δὲ τόδ' ἦμαρ,*
*μὴ οὐ τεκνολέτειρ' ὥς τις ἀηδὼν*
*ἐπὶ κωκυτῷ τῶνδε πατρῴων*
*πρὸ θυρῶν ἠχὼ πᾶσι προφωνεῖν.*
*ὦ δῶμ' Ἀΐδου καὶ Περσεφόνης,*
*ὦ χθόνι' Ἑρμῆ καὶ πότνι' Ἀρὰ,*
*σεμναί τε θεῶν παῖδες Ἐρινύες,*
*αἳ τοὺς ἀδίκως θνήσκοντας ὁρᾶτ',*
** * * * * * * τοὺς εὐνὰς*
*ὑποκλεπτομένους, ἔλθετ', ἀρήξατε,*
*τίσασθε πατρὸς φόνον ἡμετέρου,*
*καί μοι τὸν ἐμὸν πέμψατ' ἀδελφόν.*
*μούνη γὰρ ἄγειν οὐκ ἔτι σωκῶ*
*λύπης ἀντίρροπον ἄχθος.*

ΧΟΡΟΣ.

*ὦ παῖ, παῖ δυστανοτάτας*
*Ἠλέκτρα ματρὸς, τίν' ἀεὶ*
*τάκεις ὧδ' ἀκόρεστον οἰμωγὰν*
*τὸν πάλαι ἐκ δολερᾶς ἀθεώτατα*
*ματρὸς ἁλόντ' ἀπάταις Ἀγαμέμνονα*
*κακᾷ τε χειρὶ πρόδοτον; ὡς ὁ τάδε πορὼν*
*ὄλοιτ', εἴ μοι θέμις τάδ' αὐδᾶν.*

ΗΛΕΚΤΡΑ.

*ὦ γενέθλα γενναίων,*
*ἥκετ' ἐμῶν καμάτων παραμύθιον.*
*οἶδά τε καὶ ξυνίημι τάδ', οὔ τί με*
*φυγγάνει, οὐδ' ἐθέλω προλιπεῖν τόδε,*
*μὴ οὐ τὸν ἐμὸν στοναχεῖν πατέρ' ἄθλιον.*
*ἀλλ' ὦ παντοίας φιλότητος ἀμειβόμεναι χάριν,*
*ἐᾶτέ μ' ὧδ' ἀλύειν,*
*αἰαῖ, ἱκνοῦμαι.*

ΧΟΡΟΣ.

*ἀλλ' οὔτοι τόν γ' ἐξ Ἀΐδα*
*παγκοίνου λίμνας πατέρ' ἀν-*
*στάσεις οὔτε γόοισιν οὔτ' ἄνταις.*
*ἀλλ' ἀπὸ τῶν μετρίων ἐπ' ἀμήχανον*
*ἄλγος ἀεὶ στενάχουσα διόλλυσαι,*
*ἐν οἷς ἀνάλυσίς ἐστιν οὐδεμία κακῶν.*
*τί μοι τῶν δυσφόρων ἐφίει;*

ΗΛΕΚΤΡΑ.

*νήπιος ὃς τῶν οἰκτρῶς*
*οἰχομένων γονέων ἐπιλάθεται.*
*ἀλλ' ἐμέ γ' ἁ στονόεσσ' ἄραρεν φρένας,*
*ἃ Ἴτυν, αἰὲν Ἴτυν ὀλοφύρεται,*
*ὄρνις ἀτυζομένα, Διὸς ἄγγελος.*
*ἰὼ παντλάμων Νιόβα, σὲ δ' ἔγωγε νέμω θεὸν,*
*ἅτ' ἐν τάφῳ πετραίῳ*
*αἰαῖ δακρύεις.*

121 — 136. == 137 — 152.

ΧΟΡΟΣ.

*οὔτοι σοὶ μούνᾳ, τέκνον,*
*ἄχος ἐφάνη βροτῶν,*
*πρὸς ὅ τι σὺ τῶν ἔνδον εἶ περισσὰ,*
*οἷς ὁμόθεν εἶ καὶ γονᾷ ξύναιμος,*
*οἵα Χρυσόθεμις ζώει καὶ Ἰφιάνασσα,*
*κρυπτᾷ τ' ἀχέων ἐν ἥβᾳ*
*ὄλβιος, ὃν ἁ κλεινὰ*
*γᾶ ποτὲ Μυκηναίων*
*δέξεται εὐπατρίδαν, Διὸς εὔφρονι*
*βήματι μολόντα τάνδε γᾶν Ὀρέσταν.*

ΗΛΕΚΤΡΑ.

*ὅν γ' ἐγὼ ἀκάματα προσμένουσ', ἄτεκνος,*
*τάλαιν' ἀνύμφευτος αἰὲν οἰχνῶ,*
*δάκρυσι μυδαλέα, τὸν ἀνήνυτον*
*οἶτον ἔχουσα κακῶν· ὁ δὲ λάθεται*
*ὧν τ' ἔπαθ' ὧν τ' ἐδάη. τί γὰρ οὐκ ἐμοὶ*
*ἔρχεται ἀγγελίας ἀπατώμενον;*
*ἀεὶ μὲν γὰρ ποθεῖ,*
*ποθῶν δ' οὐκ ἀξιοῖ φανῆναι.*

ΧΟΡΟΣ.

*θάρσει μοι, θάρσει, τέκνον.*
*ἔτι μέγας οὐρανῷ*
*Ζεὺς, ὃς ἐφορᾷ πάντα καὶ κρατύνει·*
*ᾧ τὸν ὑπεραλγῆ χόλον νέμουσα*
*μήθ' οἷς ἐχθαίρεις ὑπεράχθεο μήτ' ἐπιλάθου.*
*χρόνος γὰρ εὐμαρὴς θεός.*
*οὔτε γὰρ ὁ τὰν Κρῖσαν*
*βούνομον ἔχων ἀκτὰν*
*παῖς Ἀγαμεμνονίδας ἀπερίτροπος*
*οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα θεὸς ἀνάσσων.*

ΗΛΕΚΤΡΑ.

*ἀλλ' ἐμὲ μὲν ὁ πολὺς ἀπολέλοιπεν ἤδη*
*βίοτος ἀνέλπιστος, οὐδ' ἔτ' ἀρκῶ·*
*ἅτις ἄνευ τοκέων κατατάκομαι,*
*ἇς φίλος οὔτις ἀνὴρ ὑπερίσταται,*
*ἀλλ' ἁπερεί τις ἔποικος ἀναξία*
*οἰκονομῶ θαλάμους πατρὸς, ὧδε μὲν*
*ἀεικεῖ σὺν στολᾷ,*
*κεναῖς δ' ἀμφίσταμαι τραπέζαις.*

ΧΟΡΟΣ.

*οἰκτρὰ μὲν νόστοις αὐδὰ,*
*οἰκτρὰ δ' ἐν κοίταις πατρῴαις*
*ὅτε σοι παγχάλκων ἀνταία*
*γενύων ὡρμάθη πλαγά.*
*δόλος ἦν ὁ φράσας, ἔρος ὁ κτείνας,*
*δεινὰν δεινῶς προφυτεύσαντες*
*μορφὰν, εἴτ' οὖν θεὸς εἴτε βροτῶν*
*ἦν ὁ ταῦτα πράσσων.*

ΗΛΕΚΤΡΑ.

*ὦ πασᾶν κείνα πλέον ἁμέρα*
*ἐλθοῦσ' ἐχθίστα δή μοι·*
*ὦ νὺξ, ὦ δείπνων ἀρρήτων*
*ἔκπαγλ' ἄχθη·*
*τοὺς ἐμὸς ἴδε πατὴρ*
*θανάτους αἰκεῖς διδύμαιν χειροῖν,*
*αἳ τὸν ἐμὸν εἷλον βίον*
*πρόδοτον, αἵ μ' ἀπώλεσαν·*

153 — 172. == 173 — 192.
193 — 212. == 213 — 232.

οἷς θεὸς ὁ μέγας Ὀλύμπιος
ποίνιμα πάθεα παθεῖν πόροι,
μηδέ ποτ' ἀγλαΐας ἀποναίατο
τοιάδ' ἀνύσαντες ἔργα.

ΧΟΡΟΣ.

φράζου μὴ πόρσω φωνεῖν.
οὐ γνώμαν ἴσχεις ἐξ οἵων
τὰ παρόντ' οἰκείας εἰς ἄτας
ἐμπίπτεις οὕτως αἰκῶς;
πολὺ γάρ τι κακῶν ὑπερεκτήσω,
σᾷ δυσθύμῳ τίκτουσ' ἀεὶ
ψυχᾷ πολέμους· τὰ δὲ τοῖς δυνατοῖς
οὐκ ἐριστὰ πλάθειν.

ΗΛΕΚΤΡΑ.

δεινοῖς ἠναγκάσθην, δεινοῖς·
ἔξοιδ', οὐ λάθει μ' ὀργά.
ἀλλ' ἐν γὰρ δεινοῖς οὐ σχήσω
ταύτας ἄτας,
ὄφρα με βίος ἔχῃ.
τίνι γάρ ποτ' ἄν, ὦ φιλία γενέθλα,
πρόσφορον ἀκούσαιμ' ἔπος,
τίνι φρονοῦντι καίρια;
ἄνετέ μ', ἄνετε παράγοροι.
τάδε γὰρ ἄλυτα κεκλήσεται·
οὐδέ ποτ' ἐκ καμάτων ἀποπαύσομαι
ἀνάριθμος ὧδε θρήνων.

ΧΟΡΟΣ.

ἀλλ' οὖν εὐνοίᾳ γ' αὐδῶ,
μάτηρ ὡσεί τις πιστὰ,
μὴ τίκτειν σ' ἄταν ἄταις.

ΗΛΕΚΤΡΑ.

καὶ τί μέτρον κακότητος ἔφυ; φέρε,
πῶς ἐπὶ τοῖς φθιμένοις ἀμελεῖν καλόν;
ἐν τίνι τοῦτ' ἔβλαστ' ἀνθρώπων;
μήτ' εἴην ἔντιμος τούτοις
μήτ', εἴ τῳ πρόσκειμαι χρηστῷ,
ξυνναίοιμ' εὔκηλος, γονέων
ἐκτίμους ἴσχουσα πτέρυγας
ὀξυτόνων γόων.
εἰ γὰρ ὁ μὲν θανὼν γᾶ τε καὶ οὐδὲν ὢν
κείσεται τάλας,
οἱ δὲ μὴ πάλιν
δώσουσ' ἀντιφόνους δίκας,
ἔρροι τ' ἂν αἰδὼς
ἁπάντων τ' εὐσέβεια θνατῶν.

ΧΟΡΟΣ.

ἐγὼ μὲν, ὦ παῖ, καὶ τὸ σὸν σπεύδουσ' ἅμα
καὶ τοὐμὸν αὐτῆς ἦλθον· εἰ δὲ μὴ καλῶς
λέγω, σὺ νίκα. σοὶ γὰρ ἑψόμεσθ' ἅμα.

ΗΛΕΚΤΡΑ.

αἰσχύνομαι μὲν, ὦ γυναῖκες, εἰ δοκῶ
πολλοῖσι θρήνοις δυσφορεῖν ὑμῖν ἄγαν.
ἀλλ' ἡ βία γὰρ ταῦτ' ἀναγκάζει με δρᾶν,
σύγγνωτε. πῶς γὰρ ἥτις εὐγενὴς γυνὴ,
πατρῷ' ὁρῶσα πήματ', οὐ δρῴη τάδ' ἄν,
ἁγὼ κατ' ἦμαρ καὶ κατ' εὐφρόνην ἀεὶ
θάλλοντα μᾶλλον ἢ καταφθίνονθ' ὁρῶ;
ᾗ πρῶτα μὲν τὰ μητρὸς, ἥ μ' ἐγείνατο,
ἔχθιστα συμβέβηκεν· εἶτα δώμασιν
ἐν τοῖς ἐμαυτῆς τοῖς φονεῦσι τοῦ πατρὸς
ξύνειμι, κἀκ τῶνδ' ἄρχομαι κἀκ τῶνδέ μοι
λαβεῖν θ' ὁμοίως καὶ τὸ τητᾶσθαι πέλει.
ἔπειτα ποίας ἡμέρας δοκεῖς μ' ἄγειν,
ὅταν θρόνοις Αἴγισθον ἐνθακοῦντ' ἴδω
τοῖσιν πατρῴοις, εἰσίδω δ' ἐσθήματα
φοροῦντ' ἐκείνῳ ταὐτὰ, καὶ παρεστίους
σπένδοντα λοιβὰς ἔνθ' ἐκεῖνον ὤλεσεν,
ἴδω δὲ τούτων τὴν τελευταίαν ὕβριν,
τὸν αὐτοέντην ἡμὶν ἐν κοίτῃ πατρὸς
ξὺν τῇ ταλαίνῃ μητρὶ, μητέρ' εἰ χρεὼν
ταύτην προσαυδᾶν τῷδε συγκοιμωμένην·
ἡ δ' ὧδε τλήμων ὥστε τῷ μιάστορι
ξύνεστ', Ἐρινὺν οὔτιν' ἐκφοβουμένη·
ἀλλ' ὥσπερ ἐγγελῶσα τοῖς ποιουμένοις,
εὑροῦσ' ἐκείνην ἡμέραν, ἐν ᾗ τότε
πατέρα τὸν ἁμὸν ἐκ δόλου κατέκτανεν,
ταύτῃ χοροὺς ἵστησι καὶ μηλοσφαγεῖ
θεοῖσιν ἔμμην' ἱρὰ τοῖς σωτηρίοις.
ἐγὼ δ' ὁρῶσ' ἡ δύσμορος κατὰ στέγας
κλαίω, τέτηκα, κἀπικωκύω πατρὸς
τὴν δυστάλαιναν δαῖτ' ἐπωνομασμένην
αὐτὴ πρὸς αὐτήν· οὐδὲ γὰρ κλαῦσαι πάρα
τοσόνδ' ὅσον μοι θυμὸς ἡδονὴν φέρει.
αὕτη γὰρ ἡ λόγοισι γενναία γυνὴ
φωνοῦσα τοιάδ' ἐξονειδίζει κακὰ,
ὦ δύσθεον μίσημα, σοὶ μόνῃ πατὴρ
τέθνηκεν; ἄλλος δ' οὔτις ἐν πένθει βροτῶν;
κακῶς ὄλοιο, μηδέ σ' ἐκ γόων ποτὲ
τῶν νῦν ἀπαλλάξειαν οἱ κάτω θεοί.
τάδ' ἐξυβρίζει· πλὴν ὅταν κλύῃ τινὸς
ἥξοντ' Ὀρέστην· τηνικαῦτα δ' ἐμμανὴς
βοᾷ παραστᾶσ', οὐ σύ μοι τῶνδ' αἰτία;
οὐ σὸν τόδ' ἐστὶ τοὔργον, ἥτις ἐκ χερῶν
κλέψασ' Ὀρέστην τῶν ἐμῶν ὑπεξέθου;
ἀλλ' ἴσθι τοι τίσουσά γ' ἀξίαν δίκην.
τοιαῦθ' ὑλακτεῖ, σὺν δ' ἐποτρύνει πέλας
ὁ κλεινὸς αὐτῇ ταὐτὰ νυμφίος παρὼν,
ὁ πάντ' ἄναλκις οὗτος, ἡ πᾶσα βλάβη,
ὁ σὺν γυναιξὶ τὰς μάχας ποιούμενος.
ἐγὼ δ' Ὀρέστην τῶνδε προσμένουσ' ἀεὶ
παυστῆρ' ἐφήξειν ἡ τάλαιν' ἀπόλλυμαι.
μέλλων γὰρ ἀεὶ δρᾶν τι τὰς οὔσας τέ μου
καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν.
ἐν οὖν τοιούτοις οὔτε σωφρονεῖν, φίλαι,
οὔτ' εὐσεβεῖν πάρεστιν· ἀλλ' ἔν τοι κακοῖς
πόλλή 'στ' ἀνάγκη κἀπιτηδεύειν κακά.

ΧΟΡΟΣ.

φέρ' εἰπὲ, πότερον ὄντος Αἰγίσθου πέλας
λέγεις τάδ' ἡμῖν, ἢ βεβῶτος ἐκ δόμων;

ΗΛΕΚΤΡΑ.

ἦ κάρτα. μὴ δόκει μ' ἄν, εἴπερ ἦν πέλας,
θυραῖον οἰχνεῖν· νῦν δ' ἀγροῖσι τυγχάνει.

ΧΟΡΟΣ.

ἦ δ' ἂν ἐγὼ θαρσοῦσα μᾶλλον ἐς λόγους
τοὺς σοὺς ἱκοίμην, εἴπερ ὧδε ταῦτ' ἔχει;

ΗΛΕΚΤΡΑ.

ὡς νῦν ἀπόντος ἱστόρει τί σοι φίλον.

ΧΟΡΟΣ.

καὶ δή σ' ἐρωτῶ, τοῦ κασιγνήτου τί φῄς,
ἥξοντος, ἢ μέλλοντος; εἰδέναι θέλω.

ΗΛΕΚΤΡΑ.
φησίν γε· φάσκων δ' οὐδὲν ὧν λέγει ποιεῖ.
ΧΟΡΟΣ.
φιλεῖ γὰρ ὀκνεῖν πρᾶγμ' ἀνὴρ πράσσων μέγα.
ΗΛΕΚΤΡΑ.
καὶ μὴν ἔγωγ' ἔσωσ' ἐκεῖνον οὐκ ὄκνῳ.
ΧΟΡΟΣ.
θάρσει· πέφυκεν ἐσθλὸς, ὥστ' ἀρκεῖν φίλοις.
ΗΛΕΚΤΡΑ.
πέποιθ', ἐπεί τἂν οὐ μακρὰν ἔζων ἐγώ.
ΧΟΡΟΣ.
μὴ νῦν ἔτ' εἴπῃς μηδέν· ὡς δόμων ὁρῶ
τὴν σὴν ὅμαιμον, ἐκ πατρὸς ταὐτοῦ φύσιν,
Χρυσόθεμιν, ἔκ τε μητρὸς, ἐντάφια χεροῖν
φέρουσαν, οἷα τοῖς κάτω νομίζεται.
ΧΡΥΣΟΘΕΜΙΣ.
τίν' αὖ σὺ τήνδε πρὸς θυρῶνος ἐξόδοις
ἐλθοῦσα φωνεῖς, ὦ κασιγνήτη, φάτιν,
κοὐδ' ἐν χρόνῳ μακρῷ διδαχθῆναι θέλεις
θυμῷ ματαίῳ μὴ χαρίζεσθαι κενά;
καίτοι τοσοῦτόν γ' οἶδα κἀμαυτὴν, ὅτι
ἀλγῶ 'πὶ τοῖς παροῦσιν· ὥστ' ἂν, εἰ σθένος
λάβοιμι, δηλώσαιμ' ἂν οἷ' αὐτοῖς φρονῶ.
νῦν δ' ἐν κακοῖς μοι πλεῖν ὑφειμένῃ δοκεῖ,
καὶ μὴ δοκεῖν μὲν δρᾶν τι, πημαίνειν δὲ μή.
τοιαῦτα δ' ἄλλα καὶ σὲ βούλομαι ποιεῖν.
καίτοι τὸ μὲν δίκαιον, οὐχ ᾗ 'γὼ λέγω,
ἀλλ' ᾗ σὺ κρίνεις. εἰ δ' ἐλευθέραν με δεῖ
ζῆν, τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα.
ΗΛΕΚΤΡΑ.
δεινόν γέ σ' οὖσαν πατρὸς οὗ σὺ παῖς ἔφυς,
κείνου λελῆσθαι, τῆς δὲ τικτούσης μέλειν.
ἅπαντα γάρ σοι τἀμὰ νουθετήματα
κείνης διδακτὰ, κοὐδὲν ἐκ σαυτῆς λέγεις.
ἐπειθ' ἑλοῦ γε θάτερ', ἢ φρονεῖν κακῶς,
ἢ τῶν φίλων φρονοῦσα μὴ μνήμην ἔχειν·
ἥτις λέγεις μὲν ἀρτίως ὡς, εἰ λάβοις
σθένος, τὸ τούτων μῖσος ἐκδείξειας ἄν·
ἐμοῦ δὲ πατρὶ πάντα τιμωρουμένης
οὔτε ξυνέρδεις τήν τε δρῶσαν ἐκτρέπεις.
οὐ ταῦτα πρὸς κακοῖσι δειλίαν ἔχει;
ἐπεὶ δίδαξον, ἢ μάθ' ἐξ ἐμοῦ, τί μοι
κέρδος γένοιτ' ἂν τῶνδε ληξάσῃ γόων.
οὐ ζῶ; κακῶς μὲν, οἶδ'· ἐπαρκούντως δέ μοι.
λυπῶ δὲ τούτους, ὥστε τῷ τεθνηκότι
τιμὰς προσάπτειν, εἴ τις ἔστ' ἐκεῖ χάρις.
σὺ δ' ἡμὶν ἡ μισοῦσα μισεῖς μὲν λόγῳ,
ἔργῳ δὲ τοῖς φονεῦσι τοῦ πατρὸς ξύνει.
ἐγὼ μὲν οὖν οὐκ ἄν ποτ', οὐδ' εἴ μοι τὰ σὰ
μέλλοι τις οἴσειν δῶρ', ἐφ' οἷσι νῦν χλιδᾷς,
τούτοις ὑπεικάθοιμι· σοὶ δὲ πλουσία
τράπεζα κείσθω καὶ περιρρείτω βίος.
ἐμοὶ γὰρ ἔστω τοὐμὲ μὴ λυπεῖν μόνον
βόσκημα· τῆς σῆς δ' οὐκ ἐρῶ τιμῆς τυχεῖν.
οὐδ' ἂν σὺ, σώφρων γ' οὖσα. νῦν δ' ἐξὸν πατρὸς
πάντων ἀρίστου παῖδα κεκλῆσθαι, καλοῦ
τῆς μητρός. οὕτω γὰρ φανεῖ πλείστοις κακὴ,
θανόντα πατέρα καὶ φίλους προδοῦσα σούς.
ΧΟΡΟΣ.
μηδὲν πρὸς ὀργὴν πρὸς θεῶν· ὡς τοῖς λόγοις
ἔνεστιν ἀμφοῖν κέρδος, εἰ σὺ μὲν μάθοις
τοῖς τῆσδε χρῆσθαι, τοῖς δὲ σοῖς αὕτη πάλιν.
ΧΡΥΣΟΘΕΜΙΣ.
ἐγὼ μὲν, ὦ γυναῖκες, ἠθάς εἰμί πως
τῶν τῆσδε μύθων· οὐδ' ἂν ἐμνήσθην ποτὲ,
εἰ μὴ κακὸν μέγιστον εἰς αὐτὴν ἰὸν
ἤκουσ', ὃ ταύτην τῶν μακρῶν σχήσει γόων.
ΗΛΕΚΤΡΑ.
φέρ' εἰπὲ δὴ τὸ δεινόν. εἰ γὰρ τῶνδέ μοι
μεῖζόν τι λέξεις, οὐκ ἂν ἀντείποιμ' ἔτι.
ΧΡΥΣΟΘΕΜΙΣ.
ἀλλ' ἐξερῶ τοι πᾶν ὅσον κάτοιδ' ἐγώ.
μέλλουσι γάρ σ', εἰ τῶνδε μὴ λήξεις γόων,
ἐνταῦθα πέμψειν ἔνθα μή ποθ' ἡλίου
φέγγος προσόψει, ζῶσα δ' ἐν κατηρεφεῖ
στέγῃ χθονὸς τῆσδ' ἐκτὸς ὑμνήσεις κακά.
πρὸς ταῦτα φράζου κἀμὲ μή ποθ' ὕστερον
παθοῦσα μέμψῃ. νῦν γὰρ ἐν καλῷ φρονεῖν.
ΗΛΕΚΤΡΑ.
ἦ ταῦτα δή με καὶ βεβούλευνται ποιεῖν;
ΧΡΥΣΟΘΕΜΙΣ.
μάλισθ'· ὅταν περ οἴκαδ' Αἴγισθος μόλῃ.
ΗΛΕΚΤΡΑ.
ἀλλ' ἐξίκοιτο τοῦδέ γ' οὕνεκ' ἐν τάχει.
ΧΡΥΣΟΘΕΜΙΣ.
τίν', ὦ τάλαινα, τόνδ' ἐπηράσω λόγον;
ΗΛΕΚΤΡΑ.
ἐλθεῖν ἐκεῖνον, εἴ τι τῶνδε δρᾶν νοεῖ.
ΧΡΥΣΟΘΕΜΙΣ.
ὅπως πάθῃς τί χρῆμα; ποῦ ποτ' εἶ φρενῶν;
ΗΛΕΚΤΡΑ.
ὅπως ἀφ' ὑμῶν ὡς προσώτατ' ἐκφύγω.
ΧΡΥΣΟΘΕΜΙΣ.
βίου δὲ τοῦ παρόντος οὐ μνείαν ἔχεις;
ΗΛΕΚΤΡΑ.
καλὸς γὰρ οὑμὸς βίοτος ὥστε θαυμάσαι.
ΧΡΥΣΟΘΕΜΙΣ.
ἀλλ' ἦν ἂν, εἰ σύ γ' εὖ φρονεῖν ἠπίστασο.
ΗΛΕΚΤΡΑ.
μή μ' ἐκδίδασκε τοῖς φίλοις εἶναι κακήν.
ΧΡΥΣΟΘΕΜΙΣ.
ἀλλ' οὐ διδάσκω· τοῖς κρατοῦσι δ' εἰκαθεῖν.
ΗΛΕΚΤΡΑ.
σὺ ταῦτα θώπευ'· οὐκ ἐμοὺς τρόπους λέγεις.
ΧΡΥΣΟΘΕΜΙΣ.
καλόν γε μέντοι μὴ 'ξ ἀβουλίας πεσεῖν.
ΗΛΕΚΤΡΑ.
πεσούμεθ', εἰ χρὴ, πατρὶ τιμωρούμενοι.
ΧΡΥΣΟΘΕΜΙΣ.
πατὴρ δὲ τούτων, οἶδα, συγγνώμην ἔχει.
ΗΛΕΚΤΡΑ.
ταῦτ' ἐστὶ τἄπη πρὸς κακῶν ἐπαινέσαι.
ΧΡΥΣΟΘΕΜΙΣ.
σὺ δ' οὐχὶ πείσει καὶ συναινέσεις ἐμοί;
ΗΛΕΚΤΡΑ.
οὐ δῆτα. μή πω νοῦ τοσόνδ' εἴην κενή.
ΧΡΥΣΟΘΕΜΙΣ.
χωρήσομαί τἄρ' οἷπερ ἐστάλην ὁδοῦ.
ΗΛΕΚΤΡΑ.
ποῖ δ' ἐμπορεύει; τῷ φέρεις τάδ' ἔμπυρα;

ΧΡΥΣΟΘΕΜΙΣ.

μήτηρ με πέμπει πατρὶ τυμβεῦσαι χοάς.

ΗΛΕΚΤΡΑ.

πῶς εἶπας; ἦ τῷ δυσμενεστάτῳ βροτῶν;

ΧΡΥΣΟΘΕΜΙΣ.

ὃν ἔκταν' αὐτή. τοῦτο γὰρ λέξαι θέλεις.

ΗΛΕΚΤΡΑ.

ἐκ τοῦ φίλων πεισθεῖσα; τῷ τοῦτ' ἤρεσεν;

ΧΡΥΣΟΘΕΜΙΣ.

ἐκ δείματός του νυκτέρου, δοκεῖν ἐμοί.

ΗΛΕΚΤΡΑ.

ὦ θεοὶ πατρῷοι, συγγένεσθέ γ' ἀλλὰ νῦν.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἔχεις τι θάρσος τοῦδε τοῦ τάρβους πέρι;

ΗΛΕΚΤΡΑ.

εἴ μοι λέγοις τὴν ὄψιν, εἴποιμ' ἂν τότε.

ΧΡΥΣΟΘΕΜΙΣ.

ἀλλ' οὐ κάτοιδα πλὴν ἐπὶ σμικρὸν φράσαι.

ΗΛΕΚΤΡΑ.

λέγ' ἀλλὰ τοῦτο. πολλά τοι σμικροὶ λόγοι
ἔσφηλαν ἤδη καὶ κατώρθωσαν βροτούς.

ΧΡΥΣΟΘΕΜΙΣ.

λόγος τις αὐτήν ἐστιν εἰσιδεῖν πατρὸς
τοῦ σοῦ τε κἀμοῦ δευτέραν ὁμιλίαν
ἐλθόντος ἐς φῶς· εἶτα τόνδ' ἐφέστιον
πῆξαι λαβόντα σκῆπτρον οὑφόρει ποτὲ
αὐτός, τανῦν δ' Αἴγισθος· ἐκ δὲ τοῦδ' ἄνω
βλαστεῖν βρύοντα θαλλόν, ᾧ κατάσκιον
πᾶσαν γενέσθαι τὴν Μυκηναίων χθόνα.
τοιαῦτά του παρόντος, ἡνίχ' Ἡλίῳ
δείκνυσι τοὔναρ, ἔκλυον ἐξηγουμένου.
πλείω δὲ τούτων οὐ κάτοιδα, πλὴν ὅτι
πέμπει μ' ἐκείνη τοῦδε τοῦ φόβου χάριν.
πρός νυν θεῶν σε λίσσομαι τῶν ἐγγενῶν
ἐμοὶ πιθέσθαι μηδ' ἀβουλίᾳ πεσεῖν.
εἰ γάρ μ' ἀπώσει, σὺν κακῷ μέτει πάλιν.

ΗΛΕΚΤΡΑ.

ἀλλ', ὦ φίλη, τούτων μὲν ὧν ἔχεις χεροῖν
τύμβῳ προσάψῃς μηδέν· οὐ γάρ σοι θέμις
οὐδ' ὅσιον ἐχθρᾶς ἀπὸ γυναικὸς ἱστάναι
κτερίσματ' οὐδὲ λουτρὰ προσφέρειν πατρί·
ἀλλ' ἢ πνοαῖσιν ἢ βαθυσκαφεῖ κόνει
κρύψον νιν, ἔνθα μή ποτ' εἰς εὐνὴν πατρὸς
τούτων πρόσεισι μηδέν· ἀλλ' ὅταν θάνῃ,
κειμήλι' αὐτῇ ταῦτα σωζέσθω κάτω.
ἀρχὴν δ' ἄν, εἰ μὴ τλημονεστάτη γυνὴ
πασῶν ἔβλαστε, τάσδε δυσμενεῖς χοὰς
οὐκ ἄν ποθ' ὅν γ' ἔκτεινε, τῷδ' ἐπέστεφε.
σκέψαι γὰρ εἴ σοι προσφιλῶς αὐτῇ δοκεῖ
γέρα τάδ' οὑν τάφοισι δέξασθαι νέκυς
ὑφ' ἧς θανὼν ἄτιμος, ὥστε δυσμενής,
ἐμασχαλίσθη κἀπὶ λουτροῖσιν κάρᾳ
κηλῖδας ἐξέμαξεν. ἆρα μὴ δοκεῖς
λυτήρι' αὐτῇ ταῦτα τοῦ φόνου φέρειν;
οὐκ ἔστιν. ἀλλὰ ταῦτα μὲν μέθες· σὺ δὲ
τεμοῦσα κρατὸς βοστρύχων ἄκρας φόβας
κἀμοῦ ταλαίνης, σμικρὰ μὲν τάδ', ἀλλ' ὅμως
ἄχω, δὸς αὐτῷ, τήνδ' ἀλιπαρῆ τρίχα
καὶ ζῶμα τοὐμὸν οὐ χλιδαῖς ἠσκημένον.
αἰτοῦ δὲ προσπίτνουσα γῆθεν εὐμενῆ
ἡμῖν ἀρωγὸν αὐτὸν εἰς ἐχθροὺς μολεῖν,
καὶ παῖδ' Ὀρέστην ἐξ ὑπερτέρας χερὸς
ἐχθροῖσιν αὐτοῦ ζῶντ' ἐπεμβῆναι ποδί,
ὅπως τὸ λοιπὸν αὐτὸν ἀφνεωτέραις
χερσὶ στέφωμεν ἢ τανῦν δωρούμεθα.
οἶμαι μὲν οὖν, οἶμαί τι κἀκείνῳ μέλον
πέμψαι τάδ' αὐτῇ δυσπρόσοπτ' ὀνείρατα·
ὅμως δ', ἀδελφή, σοί θ' ὑπούργησον τάδε
ἐμοί τ' ἀρωγά, τῷ τε φιλτάτῳ βροτῶν
πάντων, ἐν Ἅιδου κειμένῳ κοινῷ πατρί.

ΧΟΡΟΣ.

πρὸς εὐσέβειαν ἡ κόρη λέγει· σὺ δέ,
εἰ σωφρονήσεις, ὦ φίλη, δράσεις τάδε.

ΧΡΥΣΟΘΕΜΙΣ.

δράσω. τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον
δυοῖν ἐρίζειν, ἀλλ' ἐπισπεύδειν τὸ δρᾶν.
πειρωμένῃ δὲ τῶνδε τῶν ἔργων ἐμοὶ
σιγὴ παρ' ὑμῶν πρὸς θεῶν ἔστω, φίλαι·
ὡς εἰ τάδ' ἡ τεκοῦσα πεύσεται, πικρὰν
δοκῶ με πεῖραν τήνδε τολμήσειν ἔτι.

ΧΟΡΟΣ.

εἰ μὴ 'γὼ παράφρων μάντις ἔφυν
καὶ γνώμας λειπομένα σοφᾶς,
εἶσιν ἁ πρόμαντις
Δίκα, δίκαια φερομένα χεροῖν κράτη·
μέτεισιν, ὦ τέκνον, οὐ μακροῦ χρόνου.
ὕπεστί μοι θράσος,
ἁδυπνόων κλύουσαν
ἀρτίως ὀνειράτων.
οὐ γάρ ποτ' ἀμναστεῖ γ' ὁ φύσας
Ἑλλάνων ἄναξ,
οὐδ' ἁ παλαιὰ χαλκόπλακτος
ἀμφήκης γένυς,
ἅ νιν κατέπεφνεν αἰσχίσταις ἐν αἰκίαις.
ἥξει καὶ πολύπους καὶ πολύχειρ
ἁ δεινοῖς κρυπτομένα λόχοις
χαλκόπους Ἐρινύς.
ἄλεκτρ' ἄνυμφα γὰρ ἐπέβα μιαιφόνων
γάμων ἁμιλλήμαθ' οἷσιν οὐ θέμις.
πρὸ τῶνδέ τοί μ' ἔχει,
μήποτε μήποθ' ἡμῖν
ἀψεγὲς πελᾶν τέρας
τοῖς δρῶσι καὶ συνδρῶσιν. ἤ τοι
μαντεῖαι βροτῶν
οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις
οὐδ' ἐν θεσφάτοις,
εἰ μὴ τόδε φάσμα νυκτὸς εὖ κατασχήσει.
ὦ Πέλοπος ἁ πρόσθεν
πολύπονος ἱππεία,
ὡς ἔμολες αἰανὴ
τᾷδε γᾷ.
εὖτε γὰρ ὁ ποντισθεὶς
Μυρτίλος ἐκοιμάθη,
παγχρύσων ἐκ δίφρων
δυστάνοις αἰκίαις
πρόρριζος ἐκριφθείς,
οὔ τί πω
ἔλιπεν ἐκ τοῦδ' οἴκου
πολύπονος αἰκία.

472—487. = 488—508.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἀνειμένη μὲν, ὡς ἔοικας, αὖ στρέφει.
οὐ γὰρ πάρεστ' Αἴγισθος, ὅς σ' ἐπεῖχ' ἀεὶ
μή τοι θυραίαν γ' οὖσαν αἰσχύνειν φίλους·
νῦν δ' ὡς ἄπεστ' ἐκεῖνος, οὐδὲν ἐντρέπει
ἐμοῦ γε· καίτοι πολλὰ πρὸς πολλούς με δὴ
ἐξεῖπας ὡς θρασεῖα καὶ πέρα δίκης
ἄρχω, καθυβρίζουσα καὶ σὲ καὶ τὰ σά.
ἐγὼ δ' ὕβριν μὲν οὐκ ἔχω· κακῶς δέ σε
λέγω κακῶς κλύουσα πρὸς σέθεν θαμά.
πατὴρ γὰρ, οὐδὲν ἄλλο σοὶ πρόσχημ' ἀεὶ,
ὡς ἐξ ἐμοῦ τέθνηκεν. ἐξ ἐμοῦ· καλῶς
ἔξοιδα· τῶνδ' ἄρνησις οὐκ ἔνεστί μοι.
ἡ γὰρ Δίκη νιν εἷλεν, οὐκ ἐγὼ μόνη,
ᾗ χρῆν σ' ἀρήγειν, εἰ φρονοῦσ' ἐτύγχανες·
ἐπεὶ πατὴρ οὗτος σὸς, ὃν θρηνεῖς ἀεὶ,
τὴν σὴν ὅμαιμον μοῦνος Ἑλλήνων ἔτλη
θῦσαι θεοῖσιν, οὐκ ἴσον καμὼν ἐμοὶ
λύπης, ὅτ' ἔσπειρ', ὥσπερ ἡ τίκτουσ' ἐγώ.
εἶεν, δίδαξον δή με τοῦ χάριν τίνων
ἔθυσεν αὐτήν. πότερον Ἀργείων ἐρεῖς;
ἀλλ' οὐ μετῆν αὐτοῖσι τήν γ' ἐμὴν κτανεῖν.
ἀλλ' ἀντ' ἀδελφοῦ δῆτα Μενέλεω κτανὼν
τἄμ' οὐκ ἔμελλε τῶνδέ μοι δώσειν δίκην;
πότερον ἐκείνῳ παῖδες οὐκ ἦσαν διπλοῖ,
οὓς τῆσδε μᾶλλον εἰκὸς ἦν θνήσκειν, πατρὸς
καὶ μητρὸς ὄντας, ἧς ὁ πλοῦς ὅδ' ἦν χάριν,
ἢ τῶν ἐμῶν Ἅιδης τιν' ἵμερον τέκνων
ἢ τῶν ἐκείνης ἔσχε δαίσασθαι πλέον;
ἢ τῷ πανώλει πατρὶ τῶν μὲν ἐξ ἐμοῦ
παίδων πόθος παρεῖτο, Μενέλεω δ' ἐνῆν;
οὐ ταῦτ' ἀβούλου καὶ κακοῦ γνώμην πατρός;
δοκῶ μὲν, εἰ καὶ σῆς δίχα γνώμης λέγω.
φαίη δ' ἂν ἡ θανοῦσά γ', εἰ φωνὴν λάβοι.
ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τοῖς πεπραγμένοις
δύσθυμος· εἰ δέ σοι δοκῶ φρονεῖν κακῶς
γνώμην δικαίαν σχοῦσα, τοὺς πέλας ψέγε.

ΗΛΕΚΤΡΑ.

ἐρεῖς μὲν οὐχὶ νῦν γέ μ' ὡς ἄρξασά τι
λυπηρὸν εἶτα σοῦ τάδ' ἐξήκουσ' ὕπο·
ἀλλ' ἢν ἐφῇς μοι, τοῦ τεθνηκότος θ' ὕπερ
λέξαιμ' ἂν ὀρθῶς τῆς κασιγνήτης θ' ὁμοῦ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

καὶ μὴν ἐφίημ'· εἰ δέ μ' ὧδ' ἀεὶ λόγοις
ἐξῆρχες, οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν.

ΗΛΕΚΤΡΑ.

καὶ δὴ λέγω σοι. πατέρα φὴς κτεῖναι. τίς ἂν
τούτου λόγος γένοιτ' ἂν αἰσχίων ἔτι,
εἴτ' οὖν δικαίως εἴτε μή; λέξω δέ σοι
ὡς οὐ δίκῃ γ' ἔκτεινας, ἀλλά σ' ἔσπασε
πειθὼ κακοῦ πρὸς ἀνδρὸς, ᾧ τανῦν ξύνει.
ἐροῦ δὲ τὴν κυναγὸν Ἄρτεμιν τίνος
ποινῆς τὰ πολλὰ πνεύματ' ἔσχ' ἐν Αὐλίδι·
ἢ 'γὼ φράσω· κείνης γὰρ οὐ θέμις μαθεῖν.
πατήρ ποθ' οὑμὸς, ὡς ἐγὼ κλύω, θεᾶς
παίζων κατ' ἄλσος ἐξεκίνησεν ποδοῖν
στικτὸν κεράστην ἔλαφον, οὗ κατὰ σφαγὰς
ἐκκομπάσας ἔπος τι τυγχάνει βαλών.
κἀκ τοῦδε μηνίσασα Λητῴα κόρη
κατεῖχ' Ἀχαιοὺς, ὡς πατὴρ ἀντίσταθμον
τοῦ θηρὸς ἐκθύσειε τὴν αὑτοῦ κόρην.
ὧδ' ἦν τὰ κείνης θύματ'· οὐ γὰρ ἦν λύσις
ἄλλη στρατῷ πρὸς οἶκον οὐδ' εἰς Ἴλιον.
ἀνθ' ὧν βιασθεὶς πολλὰ κἀντιβὰς μόλις
ἔθυσεν αὐτὴν, οὐχὶ Μενέλεω χάριν.
εἰ δ' οὖν, ἐρῶ γὰρ καὶ τὸ σὸν, κεῖνον θέλων
ἐπωφελῆσαι ταῦτ' ἔδρα, τούτου θανεῖν
χρῆν αὐτὸν οὕνεκ' ἐκ σέθεν; ποίῳ νόμῳ;
ὅρα τιθεῖσα τόνδε τὸν νόμον βροτοῖς
μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν τιθῇς.
εἰ γὰρ κτενοῦμεν ἄλλον ἀντ' ἄλλου, σύ τοι
πρώτη θάνοις ἂν, εἰ δίκης γε τυγχάνοις.
ἀλλ' εἰσόρα μὴ σκῆψιν οὐκ οὖσαν τιθῇς.
εἰ γὰρ θέλεις, δίδαξον ἀνθ' ὅτου τανῦν
αἴσχιστα πάντων ἔργα δρῶσα τυγχάνεις,
ἥτις ξυνεύδεις τῷ παλαμναίῳ, μεθ' οὗ
πατέρα τὸν ἀμὸν πρόσθεν ἐξαπώλεσας,
καὶ παιδοποιεῖς· τοὺς δὲ πρόσθεν εὐσεβεῖς
κἀξ εὐσεβῶν βλαστόντας ἐκβαλοῦσ' ἔχεις.
πῶς ταῦτ' ἐπαινέσαιμ' ἂν; ἢ καὶ τοῦτ' ἐρεῖς
ὡς τῆς θυγατρὸς ἀντίποινα λαμβάνεις;
αἰσχρῶς, ἐάν περ καὶ λέγῃς. οὐ γὰρ καλὸν
ἐχθροῖς γαμεῖσθαι τῆς θυγατρὸς οὕνεκα.
ἀλλ' οὐ γὰρ οὐδὲ νουθετεῖν ἔξεστί σε,
ἣ πᾶσαν ἵης γλῶσσαν ὡς τὴν μητέρα
κακοστομοῦμεν. καί σ' ἔγωγε δεσπότιν
ἢ μητέρ' οὐκ ἔλασσον εἰς ἡμᾶς νέμω,
ἢ ζῶ βίον μοχθηρὸν, ἔκ τε σοῦ κακοῖς
πολλοῖς ἀεὶ ξυνοῦσα τοῦ τε συννόμου.
ὁ δ' ἄλλος ἔξω, χεῖρα σὴν μόλις φυγὼν,
τλήμων Ὀρέστης δυστυχῆ τρίβει βίον·
ὃν πολλὰ δή μέ σοι τρέφειν μιάστορα
ἐπῃτιάσω· καὶ τόδ', εἴπερ ἔσθενον,
ἔδρων ἂν, εὖ τοῦτ' ἴσθι. τοῦδέ γ' οὕνεκα
κήρυσσέ μ' εἰς ἅπαντας, εἴτε χρὴ κακὴν
εἴτε στόμαργον εἴτ' ἀναιδείας πλέαν.
εἰ γὰρ πέφυκα τῶνδε τῶν ἔργων ἴδρις,
σχεδόν τι τὴν σὴν οὐ καταισχύνω φύσιν.

ΧΟΡΟΣ.

ὁρῶ μένος πνέουσαν· εἰ δὲ σὺν δίκῃ
ξύνεστι, τοῦδε φροντίδ' οὐκ ἔτ' εἰσορῶ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ποίας δέ μοι δεῖ πρός γε τήνδε φροντίδος,
ἥτις τοιαῦτα τὴν τεκοῦσαν ὕβρισεν,
καὶ ταῦτα τηλικοῦτος; ἆρ' οὔ σοι δοκεῖ
χωρεῖν ἂν εἰς πᾶν ἔργον αἰσχύνης ἄτερ;

ΗΛΕΚΤΡΑ.

εὖ νυν ἐπίστω τῶνδέ μ' αἰσχύνην ἔχειν,
κεἰ μὴ δοκῶ σοι· μανθάνω δ' ὁθούνεκα
ἔξωρα πράσσω κοὐκ ἐμοὶ προσεικότα.
ἀλλ' ἡ γὰρ ἐκ σοῦ δυσμένεια καὶ τὰ σὰ
ἔργ' ἐξαναγκάζει με ταῦτα δρᾶν βίᾳ.
αἰσχροῖς γὰρ αἰσχρὰ πράγματ' ἐκδιδάσκεται.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ θρέμμ' ἀναιδὲς, ἦ σ' ἐγὼ καὶ τἄμ' ἔπη
καὶ τἄργα τἀμὰ πόλλ' ἄγαν λέγειν ποιεῖ.

ΗΛΕΚΤΡΑ.

σύ τοι λέγεις νιν, οὐκ ἐγώ. σὺ γὰρ ποιεῖς
τοὔργον· τὰ δ' ἔργα τοὺς λόγους εὑρίσκεται.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἀλλ' οὐ μὰ τὴν δέσποιναν Ἄρτεμιν θράσους
τοῦδ' οὐκ ἀλύξεις, εὖτ' ἂν Αἴγισθος μόλῃ.
ΗΛΕΚΤΡΑ.
ὁρᾷς; πρὸς ὀργὴν ἐκφέρει, μεθεῖσά μοι
λέγειν ἃ χρῄζοιμ'· οὐδ' ἐπίστασαι κλύειν.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
οὔκουν ἐάσεις οὐδ' ὑπ' εὐφήμου βοῆς
θῦσαί μ', ἐπειδὴ σοί γ' ἐφῆκα πᾶν λέγειν;
ΗΛΕΚΤΡΑ.
ἐῶ, κελεύω, θῦε· μηδ' ἐπαιτιῶ
τοὐμὸν στόμ', ὡς οὐκ ἂν πέρα λέξαιμ' ἔτι.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἔπαιρε δὴ σὺ θύμαθ' ἡ παροῦσά μοι
πάγκαρπ', ἄνακτι τῷδ' ὅπως λυτηρίους
εὐχὰς ἀνάσχω δειμάτων ὧν νῦν ἔχω.
κλύοις ἂν ἤδη, Φοῖβε προστατήριε,
κεκρυμμένην μου βάξιν. οὐ γὰρ ἐν φίλοις
ὁ μῦθος, οὐδὲ πᾶν ἀναπτύξαι πρέπει
πρὸς φῶς παρούσης τῆσδε πλησίας ἐμοί,
μὴ σὺν φθόνῳ τε καὶ πολυγλώσσῳ βοῇ
σπείρῃ ματαίαν βάξιν ἐς πᾶσαν πόλιν.
ἀλλ' ὧδ' ἄκουε· τῇδε γὰρ κἀγὼ φράσω.
ἃ γὰρ προσεῖδον νυκτὶ τῇδε φάσματα
δισσῶν ὀνείρων, ταῦτά μοι, Λύκει' ἄναξ,
εἰ μὲν πέφηνεν ἐσθλά, δὸς τελεσφόρα,
εἰ δ' ἐχθρά, τοῖς ἐχθροῖσιν ἔμπαλιν μέθες·
καὶ μή με πλούτου τοῦ παρόντος εἴ τινες
δόλοισι βουλεύουσιν ἐκβαλεῖν, ἐφῇς,
ἀλλ' ὧδέ μ' ἀεὶ ζῶσαν ἀβλαβεῖ βίῳ
δόμους Ἀτρειδῶν σκῆπτρά τ' ἀμφέπειν τάδε,
φίλοισί τε ξυνοῦσαν οἷς ξύνειμι νῦν
εὐημεροῦσαν καὶ τέκνων ὅσων ἐμοὶ
δύσνοια μὴ πρόσεστιν ἢ λύπη πικρά.
ταῦτ', ὦ Λύκει' Ἄπολλον, ἵλεως κλύων
δὸς πᾶσιν ἡμῖν ὥσπερ ἐξαιτούμεθα.
τὰ δ' ἄλλα πάντα καὶ σιωπώσης ἐμοῦ
ἐπαξιῶ σε δαίμον' ὄντ' ἐξειδέναι.
τοὺς ἐκ Διὸς γὰρ εἰκός ἐστι πάνθ' ὁρᾶν.
ΠΑΙΔΑΓΩΓΟΣ.
ξέναι γυναῖκες, πῶς ἂν εἰδείην σαφῶς
εἰ τοῦ τυράννου δώματ' Αἰγίσθου τάδε;
ΧΟΡΟΣ.
τάδ' ἐστὶν, ὦ ξέν'. αὐτὸς ᾔκασας καλῶς.
ΠΑΙΔΑΓΩΓΟΣ.
ἦ καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ
κείνου; πρέπει γὰρ ὡς τύραννος εἰσορᾶν.
ΧΟΡΟΣ.
μάλιστα πάντων. ἥδε σοι κείνη πάρα.
ΠΑΙΔΑΓΩΓΟΣ.
ὦ χαῖρ', ἄνασσα. σοὶ φέρων ἥκω λόγους
ἡδεῖς φίλου παρ' ἀνδρὸς Αἰγίσθῳ θ' ὁμοῦ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἐδεξάμην τὸ ῥηθέν· εἰδέναι δέ σου
πρώτιστα χρῄζω τίς σ' ἀπέστειλεν βροτῶν.
ΠΑΙΔΑΓΩΓΟΣ.
Φανοτεὺς ὁ Φωκεύς, πρᾶγμα πορσύνων μέγα.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
τὸ ποῖον, ὦ ξέν'; εἰπέ. παρὰ φίλου γὰρ ὢν
ἀνδρὸς, σάφ' οἶδα, προσφιλεῖς λέξεις λόγους.
ΠΑΙΔΑΓΩΓΟΣ.
τέθνηκ' Ὀρέστης. ἐν βραχεῖ ξυνθεὶς λέγω.
ΗΛΕΚΤΡΑ.
οἲ 'γὼ τάλαιν', ὄλωλα τῇδ' ἐν ἡμέρᾳ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
τί φῄς, τί φῄς, ὦ ξεῖνε; μὴ ταύτης κλύε.
ΠΑΙΔΑΓΩΓΟΣ.
θανόντ' Ὀρέστην νῦν τε καὶ πάλαι λέγω.
ΗΛΕΚΤΡΑ.
ἀπωλόμην δύστηνος, οὐδέν εἰμ' ἔτι.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
σὺ μὲν τὰ σαυτῆς πρᾶσσ', ἐμοὶ δὲ σὺ, ξένε,
τἀληθὲς εἰπὲ, τῷ τρόπῳ διόλλυται;
ΠΑΙΔΑΓΩΓΟΣ.
κἀπεμπόμην πρὸς ταῦτα καὶ τὸ πᾶν φράσω.
κεῖνος γὰρ ἐλθὼν εἰς τὸ κλεινὸν Ἑλλάδος
πρόσχημ' ἀγῶνος Δελφικῶν ἄθλων χάριν,
ὅτ' ᾔσθετ' ἀνδρὸς ὀρθίων κηρυγμάτων
δρόμον προκηρύξαντος, οὗ πρώτη κρίσις,
εἰσῆλθε λαμπρὸς, πᾶσι τοῖς ἐκεῖ σέβας·
δρόμου δ' ἰσώσας τἀφέσει τὰ τέρματα
νίκης ἔχων ἐξῆλθε πάντιμον γέρας.
χὤπως μὲν ἐν πολλοῖσι παῦρά σοι λέγω,
οὐκ οἶδα τοιοῦδ' ἀνδρὸς ἔργα καὶ κράτη.
ἓν δ' ἴσθ'· ὅσων γὰρ εἰσεκήρυξαν βραβῆς
δρόμων διαύλων ἆθλ' ἅπερ νομίζεται,
τούτων ἐνεγκὼν πάντα τἀπινίκια
ὠλβίζετ', Ἀργεῖος μὲν ἀνακαλούμενος,
ὄνομα δ' Ὀρέστης, τοῦ τὸ κλεινὸν Ἑλλάδος
Ἀγαμέμνονος στράτευμ' ἀγείραντός ποτε.
καὶ ταῦτα μὲν τοιαῦθ'· ὅταν δέ τις θεῶν
βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν.
κεῖνος γὰρ ἄλλης ἡμέρας, ὅθ' ἱππικῶν
ἦν ἡλίου τέλλοντος ὠκύπους ἀγών,
εἰσῆλθε πολλῶν ἁρματηλατῶν μέτα.
εἷς ἦν Ἀχαιὸς, εἷς ἀπὸ Σπάρτης, δύο
Λίβυες ζυγωτῶν ἁρμάτων ἐπιστάται·
κἀκεῖνος ἐν τούτοισι Θεσσαλὰς ἔχων
ἵππους, ὁ πέμπτος· ἕκτος ἐξ Αἰτωλίας
ξανθαῖσι πώλοις· ἕβδομος Μάγνης ἀνήρ·
ὁ δ' ὄγδοος λεύκιππος, Αἰνιὰν γένος·
ἔνατος Ἀθηνῶν τῶν θεοδμήτων ἄπο·
Βοιωτὸς ἄλλος, δέκατον ἐκπληρῶν ὄχον.
στάντες δ' ὅθ' αὐτοὺς οἱ τεταγμένοι βραβῆς
κλήροις ἔπηλαν καὶ κατέστησαν δίφρους,
χαλκῆς ὑπαὶ σάλπιγγος ᾖξαν· οἱ δ' ἅμα
ἵπποις ὁμοκλήσαντες ἡνίας χεροῖν
ἔσεισαν· ἐν δὲ πᾶς ἐμεστώθη δρόμος
κτύπου κροτητῶν ἁρμάτων· κόνις δ' ἄνω
φορεῖθ'· ὁμοῦ δὲ πάντες ἀναμεμιγμένοι
φείδοντο κέντρων οὐδὲν, ὡς ὑπερβάλοι
χνόας τις αὐτῶν καὶ φρυάγμαθ' ἱππικά.
ὁμοῦ γὰρ ἀμφὶ νῶτα καὶ τροχῶν βάσεις
ἤφριζον, εἰσέβαλλον ἱππικαὶ πνοαί.
κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων
ἔχριμπτ' ἀεὶ σύριγγα, δεξιὸν δ' ἀνεὶς
σειραῖον ἵππον εἶργε τὸν προσκείμενον.
καὶ πρὶν μὲν ὀρθοὶ πάντες ἕστασαν δίφροι·
ἔπειτα δ' Αἰνιᾶνος ἀνδρὸς ἄστομοι
πῶλοι βίᾳ φέρουσιν, ἐκ δ' ὑποστροφῆς

τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον
μέτωπα συμπαίουσι Βαρκαίοις ὄχοις·
κἀντεῦθεν ἄλλος ἄλλον ἐξ ἑνὸς κακοῦ
ἔθραυε, κἀνέπιπτε, πᾶν δ' ἐπίμπλατο
ναυαγίων Κρισαῖον ἱππικῶν πέδον.
γνοὺς δ' οὑξ Ἀθηνῶν δεινὸς ἡνιοστρόφος
ἔξω παρασπᾷ κἀνακωχεύει παρεὶς
κλύδων' ἔφιππον ἐν μέσῳ κυκώμενον.
ἤλαυνε δ' ἔσχατος μὲν, ὑστέρας δ' ἔχων
πώλους Ὀρέστης, τῷ τέλει πίστιν φέρων.
ὁ δ' ὡς ὁρᾷ μόνον νιν ἐλλελειμμένον,
ὀξὺν δι' ὤτων κέλαδον ἐνσείσας θοαῖς
πώλοις διώκει, κἀξισώσαντε ζυγὰ
ἠλαυνέτην, τότ' ἄλλος, ἄλλοθ' ἅτερος
κάρα προβάλλων ἱππικῶν ὀχημάτων.
καὶ τοὺς μὲν ἄλλους πάντας ἀσφαλεῖς δρόμους
ὠρθοῦθ' ὁ τλήμων ὀρθὸς ἐξ ὀρθῶν δίφρων·
ἔπειτα λύων ἡνίαν ἀριστερὰν
κάμπτοντος ἵππου λανθάνει στήλην ἄκραν
παίσας· ἔθραυσε δ' ἄξονος μέσας χνόας,
κἀξ ἀντύγων ὤλισθε· σὺν δ' ἑλίσσεται
τμητοῖς ἱμᾶσι· τοῦ δὲ πίπτοντος πέδῳ
πῶλοι διεσπάρησαν ἐς μέσον δρόμον.
στρατὸς δ' ὅπως ὁρᾷ νιν ἐκπεπτωκότα
δίφρων, ἀνωλόλυξε τὸν νεανίαν,
οἷ' ἔργα δράσας οἷα λαγχάνει κακὰ,
φορούμενος πρὸς οὖδας, ἄλλοτ' οὐρανῷ
σκέλη προφαίνων, ἔς τέ νιν διφηλάται,
μόλις κατασχεθόντες ἱππικὸν δρόμον,
ἔλυσαν αἱματηρὸν, ὥστε μηδένα
γνῶναι φίλων ἰδόντ' ἂν ἄθλιον δέμας.
καί νιν πυρᾷ κέαντες εὐθὺς ἐν βραχεῖ
χαλκῷ μέγιστον σῶμα δειλαίας σποδοῦ
φέρουσιν ἄνδρες Φωκέων τεταγμένοι,
ὅπως πατρῴας τύμβον ἐκλάχῃ χθονός.
τοιαῦτά σοι ταῦτ' ἐστὶν, ὡς μὲν ἐν λόγοις
ἀλγεινὰ, τοῖς δ' ἰδοῦσιν, οἵπερ εἴδομεν,
μέγιστα πάντων ὧν ὄπωπ' ἐγὼ κακῶν.

ΧΟΡΟΣ.

φεῦ φεῦ· τὸ πᾶν δὴ δεσπόταισι τοῖς πάλαι
πρόρριζον, ὡς ἔοικεν, ἔφθαρται γένος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ Ζεῦ, τί ταῦτα, πότερον εὐτυχῆ λέγω,
ἢ δεινὰ μὲν, κέρδη δέ; λυπηρῶς δ' ἔχει,
εἰ τοῖς ἐμαυτῆς τὸν βίον σώζω κακοῖς.

ΠΑΙΔΑΓΩΓΟΣ.

τί δ' ὧδ' ἀθυμεῖς, ὦ γύναι, τῷ νῦν λόγῳ;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

δεινὸν τὸ τίκτειν ἐστίν· οὐδὲ γὰρ κακῶς
πάσχοντι μῖσος ὧν τέκῃ προσγίγνεται.

ΠΑΙΔΑΓΩΓΟΣ.

μάτην ἄρ' ἡμεῖς, ὡς ἔοικεν, ἥκομεν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὔτοι μάτην γε. πῶς γὰρ ἂν μάτην λέγοις;
εἴ μοι θανόντος πίστ' ἔχων τεκμήρια
προσῆλθες, ὅστις τῆς ἐμῆς ψυχῆς γεγὼς,
μαστῶν ἀποστὰς καὶ τροφῆς ἐμῆς, φυγὰς
ἀπεξενοῦτο· καί μ', ἐπεὶ τῆσδε χθονὸς
ἐξῆλθεν, οὐκ ἔτ' εἶδεν· ἐγκαλῶν δέ μοι
φόνους πατρῴους δείν' ἐπηπείλει τελεῖν·
ὥστ' οὔτε νυκτὸς ὕπνον οὔτ' ἐξ ἡμέρας
ἐμὲ στεγάζειν ἡδύν· ἀλλ' ὁ προστατῶν
χρόνος διῆγέ μ' αἰὲν ὡς θανουμένην.
νῦν δ' — ἡμέρᾳ γὰρ τῇδ' ἀπηλλάγην φόβου
πρὸς τῆσδ' ἐκείνου θ'· ἥδε γὰρ μείζων βλάβη
ξύνοικος ἦν μοι, τοὐμὸν ἐκπίνουσ' ἀεὶ
ψυχῆς ἄκρατον αἷμα — νῦν δ' ἕκηλά που
τῶν τῆσδ' ἀπειλῶν οὕνεχ' ἡμερεύσομεν.

ΗΛΕΚΤΡΑ.

οἴμοι τάλαινα· νῦν γὰρ οἰμῶξαι πάρα,
Ὀρέστα, τὴν σὴν ξυμφορὰν, ὅθ' ὧδ' ἔχων
πρὸς τῆσδ' ὑβρίζει μητρός. ἆρ' ἔχει καλῶς;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὔτοι σύ· κεῖνος δ' ὡς ἔχει καλῶς ἔχει.

ΗΛΕΚΤΡΑ.

ἄκουε, Νέμεσι τοῦ θανόντος ἀρτίως.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἤκουσεν ὧν δεῖ κἀπεκύρωσεν καλῶς.

ΗΛΕΚΤΡΑ.

ὕβριζε. νῦν γὰρ εὐτυχοῦσα τυγχάνεις.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὔκουν Ὀρέστης καὶ σὺ παύσετον τάδε.

ΗΛΕΚΤΡΑ.

πεπαύμεθ' ἡμεῖς, οὐχ ὅπως σε παύσομεν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πολλῶν ἂν ἥκοις, ὦ ξέν', ἄξιος τυχεῖν,
εἰ τήνδ' ἔπαυσας τῆς πολυγλώσσου βοῆς.

ΠΑΙΔΑΓΩΓΟΣ.

οὔκουν ἀποστείχοιμ' ἂν, εἰ τάδ' εὖ κυρεῖ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἥκιστ'· ἐπείπερ οὔτ' ἐμοῦ καταξίως
πράξειας οὔτε τοῦ πορεύσαντος ξένου.
ἀλλ' εἴσιθ' εἴσω· τήνδε δ' ἔκτοθεν βοᾶν
ἔα τά θ' αὑτῆς καὶ τὰ τῶν φίλων κακά.

ΗΛΕΚΤΡΑ.

ἆρ' ὑμὶν ὡς ἀλγοῦσα κὠδυνωμένη
δεινῶς δακρῦσαι κἀπικωκῦσαι δοκεῖ
τὸν υἱὸν ἡ δύστηνος ὧδ' ὀλωλότα;
ἀλλ' ἐγγελῶσα φροῦδος. ὦ τάλαιν' ἐγώ·
Ὀρέστα φίλταθ', ὥς μ' ἀπώλεσας θανών.
ἀποσπάσας γὰρ τῆς ἐμῆς οἴχει φρενὸς
αἵ μοι μόναι παρῆσαν ἐλπίδων ἔτι,
σὲ πατρὸς ἥξειν ζῶντα τιμωρόν ποτε
κἀμοῦ ταλαίνης. νῦν δὲ ποῖ με χρὴ μολεῖν;
μόνη γάρ εἰμι, σοῦ τ' ἀπεστερημένη
καὶ πατρός. ἤδη δεῖ με δουλεύειν πάλιν
ἐν τοῖσιν ἐχθίστοισιν ἀνθρώπων ἐμοὶ
φονεῦσι πατρός. ἆρά μοι καλῶς ἔχει;
ἀλλ' οὔ τι μὴν ἔγωγε τοῦ λοιποῦ χρόνου
ξύνοικος ἔσσομ', ἀλλὰ τῇδε πρὸς πύλῃ
παρεῖσ' ἐμαυτὴν ἄφιλος αὐανῶ βίον.
πρὸς ταῦτα καινέτω τις, εἰ βαρύνεται,
τῶν ἔνδον ὄντων· ὡς χάρις μὲν, ἢν κτάνῃ,
λύπη δ', ἐὰν ζῶ· τοῦ βίου δ' οὐδεὶς πόθος.

ΧΟΡΟΣ.

ποῦ ποτε κεραυνοὶ Διός, ἢ ποῦ φαέθων
Ἅλιος, εἰ ταῦτ' ἐφορῶντες
κρύπτουσιν ἕκηλοι;

824—836. == 837—848.

ΗΛΕΚΤΡΑ.
ἒ ἒ, αἰαῖ.
ΧΟΡΟΣ.
ὦ παῖ, τί δακρύεις;
ΗΛΕΚΤΡΑ.
φεῦ.
ΧΟΡΟΣ.
μηδὲν μέγ' ἀΰσῃς.
ΗΛΕΚΤΡΑ.
ἀπολεῖς.
ΧΟΡΟΣ.
πῶς;
ΗΛΕΚΤΡΑ.
εἰ τῶν φανερῶς οἰχομένων
εἰς Ἀΐδαν ἐλπίδ' ὑποί-
σεις, κατ' ἐμοῦ τακομένας
μᾶλλον ἐπεμβάσει.
ΧΟΡΟΣ.
οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων χρυσοδέτοις
ἕρκεσι κρυφθέντα γυναικῶν·
καὶ νῦν ὑπὸ γαίας
ΗΛΕΚΤΡΑ.
ἒ ἒ, ἰώ.
ΧΟΡΟΣ.
πάμψυχος ἀνάσσει.
ΗΛΕΚΤΡΑ.
φεῦ.
ΧΟΡΟΣ.
φεῦ δῆτ'· ὀλοὰ γάρ.
ΗΛΕΚΤΡΑ.
ἐδάμη;
ΧΟΡΟΣ.
ναί.
ΗΛΕΚΤΡΑ.
οἶδ' οἶδ'· ἐφάνη γὰρ μελέτωρ
ἀμφὶ τὸν ἐν πένθει· ἐμοὶ δ'
οὔτις ἔτ' ἔσθ'· ὃς γὰρ ἔτ' ἦν,
φροῦδος ἀναρπασθείς.
ΧΟΡΟΣ.
δειλαία δειλαίων κυρεῖς.
ΗΛΕΚΤΡΑ.
κἀγὼ τοῦδ' ἵστωρ, ὑπερίστωρ,
πανσύρτῳ παμμήνῳ δεινῶν
στυγνῶν τ' ἀχέων αἰῶνι.
ΧΟΡΟΣ.
εἴδομεν ἃ θροεῖς.
ΗΛΕΚΤΡΑ.
μή με νυν μηκέτι
παραγάγῃς, ἵν' οὐ
ΧΟΡΟΣ.
τί φῄς;
ΗΛΕΚΤΡΑ.
πάρεισιν ἐλπίδων ἔτι κοινοτόκων
εὐπατριδᾶν τ' ἀρωγαί.
ΧΟΡΟΣ.
πᾶσι θνατοῖς ἔφυ μόρος.
ΗΛΕΚΤΡΑ,
ἦ καὶ χαλαργοῖς ἐν ἁμίλλαις

849—859. == 860—870.

οὕτως, ὡς κείνῳ δυστάνῳ,
τμητοῖς ὁλκοῖς ἐγκῦρσαι;
ΧΟΡΟΣ.
ἄσκοπος ἁ λώβα.
ΗΛΕΚΤΡΑ.
πῶς γὰρ οὔκ; εἰ ξένος
ἄτερ ἐμᾶν χερῶν
ΧΟΡΟΣ.
παπαῖ.
ΗΛΕΚΤΡΑ.
κέκευθεν, οὔτε του τάφου ἀντιάσας
οὔτε γόων παρ' ἡμῶν.
ΧΡΥΣΟΘΕΜΙΣ.
ὑφ' ἡδονῆς τοι, φιλτάτη, διώκομαι
τὸ κόσμιον μεθεῖσα σὺν τάχει μολεῖν.
φέρω γὰρ ἡδονάς τε κἀνάπαυλαν ὧν
πάροιθεν εἶχες καὶ κατέστενες κακῶν.
ΗΛΕΚΤΡΑ.
πόθεν δ' ἂν εὕροις τῶν ἐμῶν σὺ πημάτων
ἀρῆξιν, οἷς ἴασιν οὐκ ἔνεστ' ἰδεῖν;
ΧΡΥΣΟΘΕΜΙΣ.
πάρεστ' Ὀρέστης ἡμίν, ἴσθι τοῦτ' ἐμοῦ
κλύουσ', ἐναργῶς, ὥσπερ εἰσορᾷς ἐμέ.
ΗΛΕΚΤΡΑ.
ἀλλ' ἦ μέμηνας, ὦ τάλαινα, κἀπὶ τοῖς
σαυτῆς κακοῖσι κἀπὶ τοῖς ἐμοῖς γελᾷς;
ΧΡΥΣΟΘΕΜΙΣ.
μὰ τὴν πατρῴαν ἑστίαν, ἀλλ' οὐχ ὕβρει
λέγω τάδ', ἀλλ' ἐκεῖνον ὡς παρόντα νῷν.
ΗΛΕΚΤΡΑ.
οἴμοι τάλαινα· καὶ τίνος βροτῶν λόγον
τόνδ' εἰσακούσασ' ὧδε πιστεύεις ἄγαν;
ΧΡΥΣΟΘΕΜΙΣ.
ἐγὼ μὲν ἐξ ἐμοῦ τε κοὐκ ἄλλου σαφῆ
σημεῖ' ἰδοῦσα τῷδε πιστεύω λόγῳ.
ΗΛΕΚΤΡΑ.
τίν', ὦ τάλαιν', ἰδοῦσα πίστιν; ἐς τί μοι
βλέψασα θάλπει τῷδ' ἀνηκέστῳ πυρί;
ΧΡΥΣΟΘΕΜΙΣ.
πρός νυν θεῶν ἄκουσον, ὡς μαθοῦσά μου
τὸ λοιπὸν ἢ φρονοῦσαν ἢ μωρὰν λέγῃς.
ΗΛΕΚΤΡΑ.
σὺ δ' οὖν λέγ', εἴ σοι τῷ λόγῳ τις ἡδονή.
ΧΡΥΣΟΘΕΜΙΣ.
καὶ δὴ λέγω σοι πᾶν ὅσον κατειδόμην.
ἐπεὶ γὰρ ἦλθον πατρὸς ἀρχαῖον τάφον,
ὁρῶ κολώνης ἐξ ἄκρας νεορρύτους
πηγὰς γάλακτος καὶ περιστεφῆ κύκλῳ
πάντων ὅσ' ἐστὶν ἀνθέων θήκην πατρός.
ἰδοῦσα δ' ἔσχον θαῦμα, καὶ περισκοπῶ
μή πού τις ἡμῖν ἐγγὺς ἐγχρίμπτῃ βροτῶν.
ὡς δ' ἐν γαλήνῃ πάντ' ἐδερκόμην τόπον,
τύμβου προσεῖρπον ἆσσον· ἐσχάτης δ' ὁρῶ
πυρᾶς νεωρῆ βόστρυχον τετμημένον·
κεὐθὺς τάλαιν' ὡς εἶδον, ἐμπαίει τί μοι
ψυχῇ σύνηθες ὄμμα, φιλτάτου βροτῶν
πάντων Ὀρέστου τοῦθ' ὁρᾶν τεκμήριον·
καὶ χερσὶ βαστάσασα δυσφημῶ μὲν οὔ,
χαρᾷ δὲ πίμπλημ' εὐθὺς ὄμμα δακρύων.
καὶ νῦν θ' ὁμοίως καὶ τότ' ἐξεπίσταμαι

*μή του τόδ' ἀγλάϊσμα πλὴν κείνου μολεῖν.*
*τῷ γὰρ προσήκει πλήν γ' ἐμοῦ καὶ σοῦ τόδε;*
*κἀγὼ μὲν οὐκ ἔδρασα, τοῦτ' ἐπίσταμαι,*
*οὐδ' αὖ σύ. πῶς γάρ; ᾗ γε μηδὲ πρὸς θεοὺς*
*ἔξεστ' ἀκλαύστῳ τῆσδ' ἀποστῆναι στέγης.*
*ἀλλ' οὐδὲ μὲν δὴ μητρὸς οὔθ' ὁ νοῦς φιλεῖ*
*τοιαῦτα πράσσειν οὔτε δρῶσ' ἐλάνθαν' ἄν·*
*ἀλλ' ἔστ' Ὀρέστου ταῦτα τἀπιτίμια.*
*ἀλλ', ὦ φίλη, θάρσυνε. τοῖς αὐτοῖσί τοι*
*οὐχ αὑτὸς ἀεὶ δαιμόνων παραστατεῖ.*
*νῷν δ' ἦν τὰ πρόσθεν στυγνός· ἡ δὲ νῦν ἴσως*
*πολλῶν ὑπάρξει κῦρος ἡμέρα καλῶν.*

**ΗΛΕΚΤΡΑ.**

*φεῦ, τῆς ἀνοίας ὥς σ' ἐποικτείρω πάλαι.*

**ΧΡΥΣΟΘΕΜΙΣ.**

*τί δ' ἔστιν; οὐ πρὸς ἡδονὴν λέγω τάδε;*

**ΗΛΕΚΤΡΑ.**

*οὐκ οἶσθ' ὅποι γῆς οὐδ' ὅποι γνώμης φέρει.*

**ΧΡΥΣΟΘΕΜΙΣ.**

*πῶς δ' οὐκ ἐγὼ κάτοιδ' ἅ γ' εἶδον ἐμφανῶς;*

**ΗΛΕΚΤΡΑ.**

*τέθνηκεν, ὦ τάλαινα· τἀκείνου δέ σοι*
*σωτήρι' ἔρρει· μηδὲν ἐς κεῖνόν γ' ὅρα.*

**ΧΡΥΣΟΘΕΜΙΣ.**

*οἴμοι τάλαινα· τοῦ τάδ' ἤκουσας βροτῶν;*

**ΗΛΕΚΤΡΑ.**

*τοῦ πλησίον παρόντος, ἡνίκ' ὤλλυτο.*

**ΧΡΥΣΟΘΕΜΙΣ.**

*καὶ ποῦ 'στιν οὗτος; θαῦμά τοί μ' ὑπέρχεται.*

**ΗΛΕΚΤΡΑ.**

*κατ' οἶκον, ἡδὺς οὐδὲ μητρὶ δυσχερής.*

**ΧΡΥΣΟΘΕΜΙΣ.**

*οἴμοι τάλαινα· τοῦ γὰρ ἀνθρώπων ποτ' ἦν*
*τὰ πολλὰ πατρὸς πρὸς τάφον κτερίσματα;*

**ΗΛΕΚΤΡΑ.**

*οἶμαι μάλιστ' ἔγωγε τοῦ τεθνηκότος*
*μνημεῖ' Ὀρέστου ταῦτα προσθεῖναί τινα.*

**ΧΡΥΣΟΘΕΜΙΣ.**

*ὦ δυστυχής· ἐγὼ δὲ σὺν χαρᾷ λόγους*
*τοιούσδ' ἔχουσ' ἔσπευδον, οὐκ εἰδυῖ' ἄρα*
*ἵν' ἦμεν ἄτης· ἀλλὰ νῦν, ὅθ' ἱκόμην,*
*τά τ' ὄντα πρόσθεν ἄλλα θ' εὑρίσκω κακά.*

**ΗΛΕΚΤΡΑ.**

*οὕτως ἔχει σοι ταῦτ'· ἐὰν δέ μοι πίθῃ,*
*τῆς νῦν παρούσης πημονῆς λύσεις βάρος.*

**ΧΡΥΣΟΘΕΜΙΣ.**

*ἦ τοὺς θανόντας ἐξαναστήσω ποτέ;*

**ΗΛΕΚΤΡΑ.**

*οὐκ ἔσθ' ὅ γ' εἶπον· οὐ γὰρ ὧδ' ἄφρων ἔφυν.*

**ΧΡΥΣΟΘΕΜΙΣ.**

*τί γὰρ κελεύεις ὧν ἐγὼ φερέγγυος;*

**ΗΛΕΚΤΡΑ.**

*τλῆναί σε δρῶσαν ἃν ἐγὼ παραινέσω.*

**ΧΡΥΣΟΘΕΜΙΣ.**

*ἀλλ' εἴ τις ὠφέλειά γ', οὐκ ἀπώσομαι.*

**ΗΛΕΚΤΡΑ.**

*ὅρα, πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ.*

**ΧΡΥΣΟΘΕΜΙΣ.**

*ὁρῶ. ξυνοίσω πᾶν ὅσονπερ ἂν σθένω.*

**ΗΛΕΚΤΡΑ.**

*ἄκουε δή νυν ᾗ βεβούλευμαι τελεῖν.*
*παρουσίαν μὲν οἶσθα καὶ σύ που φίλων*
*ὡς οὔτις ἡμῖν ἐστιν, ἀλλ' Ἅιδης λαβὼν*
*ἀπεστέρηκε καὶ μόνα λελείμμεθον.*
*ἐγὼ δ' ἕως μὲν τὸν κασίγνητον βίῳ*
*θάλλοντά τ' εἰσήκουον, εἶχον ἐλπίδας*
*φόνου ποτ' αὐτὸν πράκτορ' ἵξεσθαι πατρός·*
*νῦν δ' ἡνίκ' οὐκ ἔτ' ἔστιν, εἰς σὲ δὴ βλέπω,*
*ὅπως τὸν αὐτόχειρα πατρῴου φόνου*
*ξὺν τῇδ' ἀδελφῇ μὴ κατοκνήσεις κτανεῖν*
*Αἴγισθον. οὐδὲν γάρ σε δεῖ κρύπτειν μ' ἔτι.*
*ποῖ γὰρ μενεῖς ῥᾴθυμος εἰς τίν' ἐλπίδων*
*βλέψασ' ἔτ' ὀρθήν; ᾗ πάρεστι μὲν στένειν*
*πλούτου πατρῴου κτῆσιν ἐστερημένῃ,*
*πάρεστι δ' ἀλγεῖν ἐς τοσόνδε τοῦ χρόνου*
*ἄλεκτρα γηράσκουσαν ἀνυμέναιά τε.*
*καὶ τῶνδε μέντοι μηκέτ' ἐλπίσῃς ὅπως*
*τεύξει ποτ'. οὐ γὰρ ὧδ' ἄβουλός ἐστ' ἀνὴρ*
*Αἴγισθος ὥστε σόν ποτ' ἢ κἀμὸν γένος*
*βλαστεῖν ἐᾶσαι, πημονὴν αὑτῷ σαφῆ.*
*ἀλλ' ἢν ἐπίσπῃ τοῖς ἐμοῖς βουλεύμασιν,*
*πρῶτον μὲν εὐσέβειαν ἐκ πατρὸς κάτω*
*θανόντος οἴσει τοῦ κασιγνήτου θ' ἅμα·*
*ἔπειτα δ' ὥσπερ ἐξέφυς, ἐλευθέρα*
*καλεῖ τὸ λοιπὸν, καὶ γάμων ἐπαξίων*
*τεύξει. φιλεῖ γὰρ πρὸς τὰ χρηστὰ πᾶς ὁρᾶν.*
*λόγῳ γε μὴν εὔκλειαν οὐχ ὁρᾷς ὅσην*
*σαυτῇ τε κἀμοὶ προσβαλεῖς πεισθεῖσά μοι;*
*τίς γάρ ποτ' ἀστῶν ἢ ξένων ἡμᾶς ἰδὼν*
*τοιοῖσδ' ἐπαίνοις οὐχὶ δεξιώσεται,*
*ἴδεσθε τώδε τὼ κασιγνήτω, φίλοι,*
*ὣ τὸν πατρῷον οἶκον ἐξεσωσάτην,*
*ὣ τοῖσιν ἐχθροῖς εὖ βεβηκόσιν ποτὲ*
*ψυχῆς ἀφειδήσαντε προὐστήτην φόνου.*
*τούτω φιλεῖν χρὴ, τώδε χρὴ πάντας σέβειν*
*τώδ' ἔν θ' ἑορταῖς ἔν τε πανδήμῳ πόλει*
*τιμᾶν ἅπαντας οὕνεκ' ἀνδρείας χρεών.*
*τοιαῦτά τοι νὼ πᾶς τις ἐξερεῖ βροτῶν,*
*ζώσαιν θανούσαιν θ' ὥστε μὴ 'κλιπεῖν κλέ*
*ἀλλ', ὦ φίλη, πείσθητι, συμπόνει πατρί,*
*σύγκαμν' ἀδελφῷ, παῦσον ἐκ κακῶν ἐμὲ,*
*παῦσον δὲ σαυτὴν, τοῦτο γιγνώσκουσ', ὅτι*
*ζῆν αἰσχρὸν αἰσχρῶς τοῖς καλῶς πεφυκόσιν.*

**ΧΟΡΟΣ.**

*ἐν τοῖς τοιούτοις ἐστὶν ἡ προμηθία*
*καὶ τῷ λέγοντι καὶ κλύοντι σύμμαχος.*

**ΧΡΥΣΟΘΕΜΙΣ.**

*καὶ πρίν γε φωνεῖν, ὦ γυναῖκες, εἰ φρε*
*ἐτύγχαν' αὕτη μὴ κακῶν, ἐσῴζετ' ἂν*
*τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται.*
*ποῖ γάρ ποτ' ἐμβλέψασα τοιοῦτον θράσος*
*αὐτή θ' ὁπλίζει κἄμ' ὑπηρετεῖν καλεῖς;*
*οὐκ εἰσορᾷς; γυνὴ μὲν οὐδ' ἀνὴρ ἔφυς,*
*σθένεις δ' ἔλασσον τῶν ἐναντίων χερί.*
*δαίμων δὲ τοῖς μὲν εὐτυχὴς καθ' ἡμέραν,*
*ἡμῖν δ' ἀπορρεῖ κἀπὶ μηδὲν ἔρχεται.*
*τίς οὖν τοιοῦτον ἄνδρα βουλεύων ἑλεῖν*
*ἄλυπος ἄτης ἐξαπαλλαχθήσεται;*
*ὅρα κακῶς πράσσοντε μὴ μείζω κακὰ*

κτησώμεθ', εἴ τις τούσδ' ἀκούσεται λόγους.
λύει γὰρ ἡμᾶς οὐδὲν οὐδ' ἐπωφελεῖ
βάξιν καλὴν λαβόντε δυσκλεῶς θανεῖν.
οὐ γὰρ θανεῖν ἔχθιστον, ἀλλ' ὅταν θανεῖν
χρῄζων τις εἶτα μηδὲ τοῦτ' ἔχῃ λαβεῖν.
ἀλλ' ἀντιάζω, πρὶν πανωλέθρους τὸ πᾶν
ἡμᾶς τ' ὀλέσθαι κἀξερημῶσαι γένος,
κατάσχες ὀργήν. καὶ τὰ μὲν λελεγμένα
ἄρρητ' ἐγώ σοι κἀτελῆ φυλάξομαι,
αὐτὴ δὲ νοῦν σχὲς ἀλλὰ τῷ χρόνῳ ποτέ,
σθένουσα μηδὲν τοῖς κρατοῦσιν εἰκαθεῖν.

ΧΟΡΟΣ.
πείθου. προνοίας οὐδὲν ἀνθρώποις ἔφυ
κέρδος λαβεῖν ἄμεινον οὐδὲ νοῦ σοφοῦ.

ΗΛΕΚΤΡΑ.
ἀπροσδόκητον οὐδὲν εἴρηκας· καλῶς δ'
ᾔδη σ' ἀπορρίψουσαν ἀπηγγελλόμην.
ἀλλ' αὐτόχειρί μοι μόνῃ τε δραστέον
τοὔργον τόδ'· οὐ γὰρ δὴ κενόν γ' ἀφήσομεν.

ΧΡΥΣΟΘΕΜΙΣ.
φεῦ·
εἴθ' ὤφελες τοιάδε τὴν γνώμην πατρὸς
θνῄσκοντος εἶναι· πάντα γὰρ κατειργάσω.

ΗΛΕΚΤΡΑ.
ἀλλ' ἦν φύσιν γε, τὸν δὲ νοῦν ἥσσων τότε.

ΧΡΥΣΟΘΕΜΙΣ.
ἄσκει τοιαύτη νοῦν δι' αἰῶνος μένειν.

ΗΛΕΚΤΡΑ.
ὡς οὐχὶ συνδράσουσα νουθετεῖς τάδε.

ΧΡΥΣΟΘΕΜΙΣ.
εἰκὸς γὰρ ἐγχειροῦντα καὶ πράσσειν κακῶς.

ΗΛΕΚΤΡΑ.
ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας στυγῶ.

ΧΡΥΣΟΘΕΜΙΣ.
ἀνέξομαι κλύουσα χὤταν εὖ λέγῃς.

ΗΛΕΚΤΡΑ.
ἀλλ' οὔ ποτ' ἐξ ἐμοῦ γε μὴ πάθῃς τόδε.

ΧΡΥΣΟΘΕΜΙΣ.
μακρὸς τὸ κρῖναι ταῦτα χὠ λοιπὸς χρόνος.

ΗΛΕΚΤΡΑ.
ἄπελθε. σοὶ γὰρ ὠφέλησις οὐκ ἔνι.

ΧΡΥΣΟΘΕΜΙΣ.
ἔνεστιν· ἀλλὰ σοὶ μάθησις οὐ πάρα.

ΗΛΕΚΤΡΑ.
ἐλθοῦσα μητρὶ ταῦτα πάντ' ἔξειπε σῇ.

ΧΡΥΣΟΘΕΜΙΣ.
οὐδ' αὖ τοσοῦτον ἔχθος ἐχθαίρω σ' ἐγώ.

ΗΛΕΚΤΡΑ.
ἀλλ' οὖν ἐπίστω γ' οἷ μ' ἀτιμίας ἄγεις.

ΧΡΥΣΟΘΕΜΙΣ.
ἀτιμίας μὲν οὔ, προμηθίας δὲ σοῦ.

ΗΛΕΚΤΡΑ.
τῷ σῷ δικαίῳ δῆτ' ἐπισπέσθαι με δεῖ;

ΧΡΥΣΟΘΕΜΙΣ.
ὅταν γὰρ εὖ φρονῇς, τόθ' ἡγήσει σὺ νῷν.

ΗΛΕΚΤΡΑ.
ἦ δεινὸν εὖ λέγουσαν ἐξαμαρτάνειν.

ΧΡΥΣΟΘΕΜΙΣ.
εἴρηκας ὀρθῶς ᾧ σὺ πρόσκεισαι κακῷ.

ΗΛΕΚΤΡΑ.
τί δ'; οὐ δοκῶ σοι ταῦτα σὺν δίκῃ λέγειν;

ΧΡΥΣΟΘΕΜΙΣ.
ἀλλ' ἔστιν ἔνθα χὴ δίκη βλάβην φέρει.

ΗΛΕΚΤΡΑ.
τούτοις ἐγὼ ζῆν τοῖς νόμοις οὐ βούλομαι.

ΧΡΥΣΟΘΕΜΙΣ.
ἀλλ' εἰ ποιήσεις ταῦτ', ἐπαινέσεις ἐμέ.

ΗΛΕΚΤΡΑ.
καὶ μὴν ποιήσω γ' οὐδὲν ἐκπλαγεῖσά σε.

ΧΡΥΣΟΘΕΜΙΣ.
καὶ τοῦτ' ἀληθές, οὐδὲ βουλεύσει πάλιν;

ΗΛΕΚΤΡΑ.
βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς.

ΧΡΥΣΟΘΕΜΙΣ.
φρονεῖν ἔοικας οὐδὲν ὧν ἐγὼ λέγω.

ΗΛΕΚΤΡΑ.
πάλαι δέδοκται ταῦτα κοὐ νεωστί μοι.

ΧΡΥΣΟΘΕΜΙΣ.
ἄπειμι τοίνυν. οὔτε γὰρ σὺ τἄμ' ἔπη
τολμᾷς ἐπαινεῖν οὔτ' ἐγὼ τοὺς σοὺς τρόπους.

ΗΛΕΚΤΡΑ.
ἀλλ' εἴσιθ'. οὔ σοι μὴ μεθέψομαί ποτε,
οὐδ' ἢν σφόδρ' ἱμείρουσα τυγχάνῃς· ἐπεὶ
πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά.

ΧΡΥΣΟΘΕΜΙΣ.
ἀλλ' εἰ σεαυτῇ τυγχάνεις δοκοῦσά τι
φρονεῖν, φρόνει τοιαῦθ'. ὅταν γὰρ ἐν κακοῖς
ἤδη βεβήκῃς, τἄμ' ἐπαινέσεις ἔπη.

ΧΟΡΟΣ.
τί τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς
ἐσορώμενοι τροφᾶς κηδομένους ἀφ' ὧν τε βλάστωσιν ἀφ' ὧν τ' ὄνασιν εὕρωσι, τάδ' οὐκ ἐπ' ἴσας τελοῦμεν;
ἀλλ' οὐ τὰν Διὸς ἀστραπὰν
καὶ τὰν οὐρανίαν Θέμιν,
δαρὸν οὐκ ἀπόνητοι.
ὦ χθονία βροτοῖσι φάμα, κατά μοι βόασον οἰκτρὰν
ὄπα τοῖς ἔνερθ' Ἀτρείδαις, ἀχόρευτα φέρουσ' ὀνείδη·
ὅτι σφὶν ἤδη τὰ μὲν ἐκ δόμων νοσεῖ,
τὰ δὲ πρὸς τέκνων διπλῆ φύλοπις οὐκ ἔτ' ἐξισοῦται
φιλοτασίῳ διαίτᾳ. πρόδοτος δὲ μόνα σαλεύει
Ἠλέκτρα, τὸν ἀεὶ πατρὸς
δειλαία στενάχουσ', ὅπως
ἁ πάνδυρτος ἀηδών,
οὔτε τι τοῦ θανεῖν προμηθὴς τό τε μὴ βλέπειν ἑτοίμα,
διδύμαν ἑλοῦσ' Ἐρινύν. τίς ἂν εὔπατρις ὧδε βλάστοι;
οὐδεὶς τῶν ἀγαθῶν γὰρ
ζῶν κακῶς εὔκλειαν αἰσχῦναι θέλει
νώνυμος, ὦ παῖ παῖ,
ὡς καὶ σὺ πάγκλαυτον αἰῶνα κοινὸν εἵλου,
τὸ μὴ καλὸν καθοπλίσασα δύο φέρειν ἐν ἑνὶ λόγῳ,

1058 — 1069. == 1070 — 1081.
1082 — 1089. == 1090 — 1097.

σοφά τ' ἀρίστα τε παῖς κεκλῆσθαι.
ζώης μοι καθύπερθεν
χειρὶ καὶ πλούτῳ τεῶν ἐχθρῶν ὅσον
νῦν ὑπόχειρ ναίεις·
ἐπεί σ' ἐφεύρηκα μοίρᾳ μὲν οὐκ ἐν ἐσθλᾷ
βεβῶσαν· ἃ δὲ μέγιστ' ἔβλαστε νόμιμα, τῶνδε
φερομέναν
ἄριστα τᾷ Ζηνὸς εὐσεβείᾳ.

ΟΡΕΣΤΗΣ.

ἆρ', ὦ γυναῖκες, ὀρθά τ' εἰσηκούσαμεν
ὀρθῶς θ' ὁδοιποροῦμεν ἔνθα χρῄζομεν;

ΧΟΡΟΣ.

τί δ' ἐξερευνᾷς καὶ τί βουληθεὶς πάρει;

ΟΡΕΣΤΗΣ.

Αἴγισθον ἔνθ' ᾤκηκεν ἱστορῶ πάλαι.

ΧΟΡΟΣ.

ἀλλ' εὖ θ' ἱκάνεις χὠ φράσας ἀζήμιος.

ΟΡΕΣΤΗΣ.

τίς οὖν ἂν ὑμῶν τοῖς ἔσω φράσειεν ἂν
ἡμῶν ποθεινὴν κοινόπουν παρουσίαν;

ΧΟΡΟΣ.

ἥδ', εἰ τὸν ἄγχιστόν γε κηρύσσειν χρεών.

ΟΡΕΣΤΗΣ.

ἴθ', ὦ γύναι, δήλωσον εἰσελθοῦσ' ὅτι
Φωκῆς ματεύουσ' ἄνδρες Αἴγισθόν τινες.

ΗΛΕΚΤΡΑ.

οἴμοι τάλαιν', οὐ δή ποθ' ἧς ἠκούσαμεν
φήμης φέροντες ἐμφανῆ τεκμήρια;

ΟΡΕΣΤΗΣ.

οὐκ οἶδα τὴν σὴν κληδόν'· ἀλλά μοι γέρων
ἐφεῖτ' Ὀρέστου Στρόφιος ἀγγεῖλαι πέρι.

ΗΛΕΚΤΡΑ.

τί δ' ἔστιν, ὦ ξέν'; ὥς μ' ὑπέρχεται φόβος.

ΟΡΕΣΤΗΣ.

φέροντες αὐτοῦ σμικρὰ λείψαν' ἐν βραχεῖ
τεύχει θανόντος, ὡς ὁρᾷς, κομίζομεν.

ΗΛΕΚΤΡΑ.

οἳ 'γὼ τάλαινα, τοῦτ' ἐκεῖν' ἤδη σαφὲς
πρόχειρον ἄχθος, ὡς ἔοικε, δέρκομαι.

ΟΡΕΣΤΗΣ.

εἴπερ τι κλαίεις τῶν Ὀρεστείων κακῶν,
τόδ' ἄγγος ἴσθι σῶμα τοὐκείνου στέγον.

ΗΛΕΚΤΡΑ.

ὦ ξεῖνε, δός νυν πρὸς θεῶν, εἴπερ τόδε
κέκευθεν αὐτὸν τεῦχος, εἰς χεῖρας λαβεῖν,
ὅπως ἐμαυτὴν καὶ γένος τὸ πᾶν ὁμοῦ
ξὺν τῇδε κλαύσω κἀποδύρωμαι σποδῷ.

ΟΡΕΣΤΗΣ.

δόθ' ἥτις ἐστὶ προσφέροντες. οὐ γὰρ ὡς
ἐν δυσμενείᾳ γ' οὖσ' ἐπαιτεῖται τάδε,
ἀλλ' ἢ φίλων τις, ἢ πρὸς αἵματος φύσιν.

ΗΛΕΚΤΡΑ.

ὦ φιλτάτου μνημεῖον ἀνθρώπων ἐμοὶ
ψυχῆς Ὀρέστου λοιπὸν, ὥς σ' ἀπ' ἐλπίδων
οὐχ ὧνπερ ἐξέπεμπον εἰσεδεξάμην.
νῦν μὲν γὰρ οὐδὲν ὄντα βαστάζω χεροῖν,
δόμων δέ σ', ὦ παῖ, λαμπρὸν ἐξέπεμψ' ἐγώ.
ὡς ὤφελον πάροιθεν ἐκλιπεῖν βίον,
πρὶν ἐς ξένην σε γαῖαν ἐκπέμψαι χεροῖν
κλέψασα ταῖνδε κἀνασώσασθαι φόνου,
ὅπως θανὼν ἔκεισο τῇ τόθ' ἡμέρᾳ,
τύμβου πατρῴου κοινὸν εἰληχὼς μέρος.
νῦν δ' ἐκτὸς οἴκων κἀπὶ γῆς ἄλλης φυγὰς
κακῶς ἀπώλου, σῆς κασιγνήτης δίχα·
κοὔτ' ἐν φίλαισι χερσὶν ἡ τάλαιν' ἐγὼ
λουτροῖς ἐκόσμησ' οὔτε παμφλέκτου πυρὸς
ἀνειλόμην, ὡς εἰκὸς, ἄθλιον βάρος.
ἀλλ' ἐν ξέναισι χερσὶ κηδευθεὶς τάλας
σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει.
οἴμοι τάλαινα τῆς ἐμῆς πάλαι τροφῆς
ἀνωφελήτου, τὴν ἐγὼ θάμ' ἀμφὶ σοὶ
πόνῳ γλυκεῖ παρέσχον. οὔτε γάρ ποτε
μητρὸς σύ γ' ἦσθα μᾶλλον ἢ κἀμοῦ φίλος
οὔθ' οἱ κατ' οἶκον ἦσαν, ἀλλ' ἐγὼ τροφός·
ἐγὼ δ' ἀδελφὴ σοὶ προσηυδώμην ἀεί.
νῦν δ' ἐκλέλοιπε ταῦτ' ἐν ἡμέρᾳ μιᾷ
θανόντα σὺν σοί. πάντα γὰρ συναρπάσας
θύελλ' ὅπως βέβηκας. οἴχεται πατήρ·
τέθνηκ' ἐγώ σοι· φροῦδος αὐτὸς εἶ θανών·
γελῶσι δ' ἐχθροί· μαίνεται δ' ὑφ' ἡδονῆς
μήτηρ ἀμήτωρ, ἧς ἐμοὶ σὺ πολλάκις
φήμας λάθρα προὔπεμπες ὡς φανούμενος
τιμωρὸς αὐτός. ἀλλὰ ταῦθ' ὁ δυστυχὴς
δαίμων ὁ σός τε κἀμὸς ἐξαφείλετο,
ὅς σ' ὧδέ μοι προὔπεμψεν ἀντὶ φιλτάτης
μορφῆς σποδόν τε καὶ σκιὰν ἀνωφελῆ.
οἴμοι μοι.
ὦ δέμας οἰκτρόν. φεῦ φεῦ.
ὦ δεινοτάτας, οἴμοι μοι,
πεμφθεὶς κελεύθους, φίλταθ', ὥς μ' ἀπώλεσ
ἀπώλεσας δῆτ', ὦ κασίγνητον κάρα.
τοιγὰρ σὺ δέξαι μ' ἐς τὸ σὸν τόδε στέγος,
τὴν μηδὲν εἰς τὸ μηδὲν, ὡς σὺν σοὶ κάτω
ναίω τὸ λοιπόν. καὶ γὰρ ἡνίκ' ἦσθ' ἄνω,
ξὺν σοὶ μετεῖχον τῶν ἴσων· καὶ νῦν ποθῶ
τοῦ σοῦ θανοῦσα μὴ 'πολείπεσθαι τάφου.
τοὺς γὰρ θανόντας οὐχ ὁρῶ λυπουμένους.

ΧΟΡΟΣ.

θνητοῦ πέφυκας πατρὸς, Ἠλέκτρα, φρόνει·
θνητὸς δ' Ὀρέστης· ὥστε μὴ λίαν στένε.
πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν.

ΟΡΕΣΤΗΣ.

φεῦ φεῦ. τί λέξω; ποῖ λόγων ἀμηχανῶν
ἔλθω; κρατεῖν γὰρ οὐκ ἔτι γλώσσης σθένω.

ΗΛΕΚΤΡΑ.

τί δ' ἔσχες ἄλγος πρὸς τί τοῦτ' εἰπὼν κυρε

ΟΡΕΣΤΗΣ.

ἦ σὸν τὸ κλεινὸν εἶδος Ἠλέκτρας τόδε;

ΗΛΕΚΤΡΑ.

τόδ' ἔστ' ἐκεῖνο, καὶ μάλ' ἀθλίως ἔχον.

ΟΡΕΣΤΗΣ.

οἴμοι ταλαίνης ἆρα τῆσδε συμφορᾶς.

ΗΛΕΚΤΡΑ.

τί δή ποτ', ὦ ξέν', ἀμφ' ἐμοὶ στένεις τάδε

ΟΡΕΣΤΗΣ.

ὦ σῶμ' ἀτίμως κἀθέως ἐφθαρμένον.

ΗΛΕΚΤΡΑ.

οὔτοι ποτ' ἄλλην ἢ 'μὲ δυσφημεῖς, ξένε.

ΟΡΕΣΤΗΣ.

φεῦ τῆς ἀνύμφου δυσμόρου τε σῆς τροφῆς

ΗΛΕΚΤΡΑ.
τί δή ποτ', ὦ ξέν', ὧδ' ἐπισκοπῶν στένεις;
ΟΡΕΣΤΗΣ.
ὡς οὐκ ἄρ' ᾔδη τῶν ἐμῶν οὐδὲν κακῶν.
ΗΛΕΚΤΡΑ.
ἐν τῷ διέγνως τοῦτο τῶν εἰρημένων;
ΟΡΕΣΤΗΣ.
ὁρῶν σε πολλοῖς ἐμπρέπουσαν ἄλγεσιν.
ΗΛΕΚΤΡΑ.
καὶ μὴν ὁρᾷς γε παῦρα τῶν ἐμῶν κακῶν.
ΟΡΕΣΤΗΣ.
καὶ πῶς γένοιτ' ἂν τῶνδ' ἔτ' ἐχθίω βλέπειν;
ΗΛΕΚΤΡΑ.
ὁθούνεκ' εἰμὶ τοῖς φονεῦσι σύντροφος.
ΟΡΕΣΤΗΣ.
τοῖς τοῦ; πόθεν τοῦτ' ἐξεσήμηνας κακόν;
ΗΛΕΚΤΡΑ.
τοῖς πατρός. εἶτα τοῖσδε δουλεύω βίᾳ.
ΟΡΕΣΤΗΣ.
τίς γάρ σ' ἀνάγκῃ τῇδε προτρέπει βροτῶν;
ΗΛΕΚΤΡΑ.
μήτηρ καλεῖται· μητρὶ δ' οὐδὲν ἐξισοῖ.
ΟΡΕΣΤΗΣ.
τί δρῶσα; πότερα χερσίν, ἢ λύμῃ βίου;
ΗΛΕΚΤΡΑ.
καὶ χερσὶ καὶ λύμαισι καὶ πᾶσιν κακοῖς.
ΟΡΕΣΤΗΣ.
οὐδ' οὑπαρήξων οὐδ' ὁ κωλύσων πάρα;
ΗΛΕΚΤΡΑ.
οὐ δῆθ'. ὃς ἦν γάρ μοι σὺ προὔθηκας σποδόν.
ΟΡΕΣΤΗΣ.
ὦ δύσποτμ', ὡς ὁρῶν σ' ἐποικτείρω πάλαι.
ΗΛΕΚΤΡΑ.
μόνος βροτῶν νυν ἴσθ' ἐποικτείρας ποτέ.
ΟΡΕΣΤΗΣ.
μόνος γὰρ ἥκω τοῖσι σοῖς ἀλγῶν κακοῖς.
ΗΛΕΚΤΡΑ.
οὐ δή ποθ' ἡμῖν ξυγγενὴς ἥκεις ποθέν;
ΟΡΕΣΤΗΣ.
ἐγὼ φράσαιμ' ἄν, εἰ τὸ τῶνδ' εὔνουν πάρα.
ΗΛΕΚΤΡΑ.
ἀλλ' ἐστὶν εὔνουν, ὥστε πρὸς πιστὰς ἐρεῖς.
ΟΡΕΣΤΗΣ.
μέθες τόδ' ἄγγος νῦν, ὅπως τὸ πᾶν μάθῃς.
ΗΛΕΚΤΡΑ.
μὴ δῆτα πρὸς θεῶν τοῦτό μ' ἐργάσῃ, ξένε.
ΟΡΕΣΤΗΣ.
πείθου λέγοντι κοὐχ ἁμαρτήσει ποτέ.
ΗΛΕΚΤΡΑ.
μὴ πρὸς γενείου μὴ 'ξέλῃ τὰ φίλτατα.
ΟΡΕΣΤΗΣ.
οὔ φημ' ἐάσειν.
ΗΛΕΚΤΡΑ.
ὦ τάλαιν' ἐγὼ σέθεν,
Ὀρέστα, τῆς σῆς εἰ στερήσομαι ταφῆς.
ΟΡΕΣΤΗΣ.
εὔφημα φώνει. πρὸς δίκης γὰρ οὐ στένεις.
ΗΛΕΚΤΡΑ.
πῶς τὸν θανόντ' ἀδελφὸν οὐ δίκῃ στένω;
ΟΡΕΣΤΗΣ.
οὔ σοι προσήκει τήνδε προσφωνεῖν φάτιν.
ΗΛΕΚΤΡΑ.
οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος;
ΟΡΕΣΤΗΣ.
ἄτιμος οὐδενὸς σύ· τοῦτο δ' οὐχὶ σόν.
ΗΛΕΚΤΡΑ.
εἴπερ γ' Ὀρέστου σῶμα βαστάζω τόδε.
ΟΡΕΣΤΗΣ.
ἀλλ' οὐκ Ὀρέστου, πλὴν λόγῳ γ' ἠσκημένον.
ΗΛΕΚΤΡΑ.
ποῦ δ' ἔστ' ἐκείνου τοῦ ταλαιπώρου τάφος;
ΟΡΕΣΤΗΣ.
οὐκ ἔστι. τοῦ γὰρ ζῶντος οὐκ ἔστιν τάφος.
ΗΛΕΚΤΡΑ.
πῶς εἶπας, ὦ παῖ;
ΟΡΕΣΤΗΣ.
ψεῦδος οὐδὲν ὧν λέγω.
ΗΛΕΚΤΡΑ.
ἦ ζῇ γὰρ ἁνήρ;
ΟΡΕΣΤΗΣ.
εἴπερ ἔμψυχός γ' ἐγώ.
ΗΛΕΚΤΡΑ.
ἦ γὰρ σὺ κεῖνος;
ΟΡΕΣΤΗΣ.
τήνδε προσβλέψασά μου
σφραγῖδα πατρὸς ἔκμαθ' εἰ σαφῆ λέγω.
ΗΛΕΚΤΡΑ.
ὦ φίλτατον φῶς.
ΟΡΕΣΤΗΣ.
φίλτατον, συμμαρτυρῶ.
ΗΛΕΚΤΡΑ.
ὦ φθέγμ', ἀφίκου;
ΟΡΕΣΤΗΣ.
μηκέτ' ἄλλοθεν πύθῃ.
ΗΛΕΚΤΡΑ.
ἔχω σε χερσίν;
ΟΡΕΣΤΗΣ.
ὡς τὰ λοίπ' ἔχοις ἀεί.
ΗΛΕΚΤΡΑ.
ὦ φίλταται γυναῖκες, ὦ πολίτιδες,
ὁρᾶτ' Ὀρέστην τόνδε, μηχαναῖσι μὲν
θανόντα, νῦν δὲ μηχαναῖς σεσωσμένον.
ΧΟΡΟΣ.
ὁρῶμεν, ὦ παῖ, κἀπὶ συμφοραῖσί μοι
γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο.
ΗΛΕΚΤΡΑ.
ἰὼ γοναί,
γοναὶ σωμάτων ἐμοὶ φιλτάτων
ἐμόλετ' ἀρτίως,
ἐφεύρετ', ἤλθετ', εἴδεθ' οὓς ἐχρῄζετε.
ΟΡΕΣΤΗΣ.
πάρεσμεν· ἀλλὰ σῖγ' ἔχουσα πρόσμενε.
ΗΛΕΚΤΡΑ.
τί δ' ἔστιν;
ΟΡΕΣΤΗΣ.
σιγᾶν ἄμεινον; μή τις ἔνδοθεν κλύῃ.
ΗΛΕΚΤΡΑ.
ἀλλ' οὐ τὰν Ἄρτεμιν
1232—1252. == 1253—1272.

τὰν αἰὲν ἀδμήταν,
τόδε μὲν οὔ ποτ᾽ ἀξιώσω τρέσαι
περισσὸν ἄχθος ἔνδον γυναικῶν ὂν ἀεί.

ΟΡΕΣΤΗΣ.

ὅρα γε μὲν δὴ κὰν γυναιξὶν ὡς Ἄρης
ἔνεστιν· εὖ δ᾽ ἐξοισθα πειραθεῖσά που.

ΗΛΕΚΤΡΑ.

ὀτοτοτοτοῖ τοτοῖ,
ἀνέφελον ἐπέβαλες οὔ ποτε καταλύσιμον,
οὐδέ ποτε λησόμενον ἁμέτερον
οἷον ἔφυ κακόν.

ΟΡΕΣΤΗΣ.

ἔξοιδα καὶ ταῦτ᾽· ἀλλ᾽ ὅταν παρουσία
φράζῃ, τότ᾽ ἔργων τῶνδε μεμνῆσθαι χρεών.

ΗΛΕΚΤΡΑ.

ὁ πᾶς ἐμοὶ
ὁ πᾶς ἂν πρέποι παρὼν ἐννέπειν
τάδε δίκᾳ χρόνος.
μόλις γὰρ ἔσχον νῦν ἐλεύθερον στόμα.

ΟΡΕΣΤΗΣ.

ξύμφημι κἀγώ. τοιγαροῦν σώζου τόδε.

ΗΛΕΚΤΡΑ.

τί δρῶσα;

ΟΡΕΣΤΗΣ.

οὗ μή ᾽στι καιρὸς μὴ μακρὰν βούλου λέγειν.

ΗΛΕΚΤΡΑ.

τίς οὖν ἂν ἀξίαν
γε σοῦ πεφηνότος
μεταβάλοιτ᾽ ἂν ὧδε σιγὰν λόγων;
ἐπεί σε νῦν ἀφράστως ἀέλπτως τ᾽ ἐσεῖδον.

ΟΡΕΣΤΗΣ.

τότ᾽ εἶδες, ὅτε θεοί μ᾽ ἐπώτρυναν μολεῖν
*  *  *  *

ΗΛΕΚΤΡΑ.

ἔφρασας ὑπερτέραν
τᾶς πάρος ἔτι χάριτος, εἴ σε θεὸς ἐπόρισεν
ἁμέτερα πρὸς μέλαθρα, δαιμόνιον
αὐτὸ τίθημ᾽ ἐγώ.

ΟΡΕΣΤΗΣ.

τὰ μὲν σ᾽ ὀκνῶ χαίρουσαν εἰργαθεῖν, τὰ δὲ
δέδοικα λίαν ἡδονῇ νικωμένην.

ΗΛΕΚΤΡΑ.

ἰὼ χρόνῳ μακρῷ φιλτάταν
ὁδὸν ἐπαξιώσας ὧδέ μοι φανῆναι,
μή τί με, πολύπονον ὧδ᾽ ἰδὼν

ΟΡΕΣΤΗΣ.

τί μὴ ποιήσω;

ΗΛΕΚΤΡΑ.

μή μ᾽ ἀποστερήσῃς
τῶν σῶν προσώπων ἡδονὰν μεθέσθαι.

ΟΡΕΣΤΗΣ.

ἦ κάρτα κἂν ἄλλοισι θυμοίμην ἰδών.

ΗΛΕΚΤΡΑ.

ξυναινεῖς;

ΟΡΕΣΤΗΣ.

τί μὴν οὔ;

ΗΛΕΚΤΡΑ.

ὦ φίλαι, ἔκλυον ἂν ἐγὼ οὐδ᾽ ἂν ἤλπισ᾽ αὐδάν.
ἔσχον ὀργὰν
ἄναυδον οὐδὲ σὺν βοᾷ κλύουσα
τάλαινα. νῦν δ᾽ ἔχω σε· προὐφάνης δὲ
φιλτάταν ἔχων πρόσοψιν,
ἇς ἐγὼ οὐδ᾽ ἂν ἐν κακοῖς λαθοίμαν.

ΟΡΕΣΤΗΣ.

τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες,
καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκέ με
μήθ᾽ ὡς πατρῴαν κτῆσιν Αἴγισθος δόμων
ἀντλεῖ, τὰ δ᾽ ἐκχεῖ, τὰ δὲ διασπείρει μάτην·
χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.
ἃ δ᾽ ἁρμόσει μοι τῷ παρόντι νῦν χρόνῳ
σήμαιν᾽, ὅπου φανέντες ἢ κεκρυμμένοι
γελῶντας ἐχθροὺς παύσομεν τῇ νῦν ὁδῷ.
οὕτως δ᾽ ὅπως μήτηρ σε μὴ ᾽πιγνώσεται
φαιδρῷ προσώπῳ νῷν ἐπελθόντοιν δόμους·
ἀλλ᾽ ὡς ἐπ᾽ ἄτῃ τῇ μάτην λελεγμένῃ
στέναζ᾽· ὅταν γὰρ εὐτυχήσωμεν, τότε
χαίρειν παρέσται καὶ γελᾶν ἐλευθέρως.

ΗΛΕΚΤΡΑ.

ἀλλ᾽, ὦ κασίγνηθ᾽, ὧδ᾽ ὅπως καὶ σοὶ φίλον
καὶ τοὐμὸν ἔσται τῇδ᾽· ἐπεὶ τὰς ἡδονὰς
πρὸς σοῦ λαβοῦσα κοὐκ ἐμὰς ἐκτησάμην.
κοὐδ᾽ ἄν σε λυπήσασα βουλοίμην βραχὺ
αὐτὴ μέγ᾽ εὑρεῖν κέρδος. οὐ γὰρ ἂν καλῶς
ὑπηρετοίην τῷ παρόντι δαίμονι.
ἀλλ᾽ οἶσθα μὲν τἀνθένδε, πῶς γὰρ οὔ; κλ[...]
ὁθούνεκ᾽ Αἴγισθος μὲν οὐ κατὰ στέγας,
μήτηρ δ᾽ ἐν οἴκοις· ἣν σὺ μὴ δείσῃς ποθ᾽ [...]
γέλωτι φαιδρὸν τοὐμὸν ὄψεται κάρα.
μῖσός τε γὰρ παλαιὸν ἐντέτηκέ μοι,
κἀπεί σ᾽ ἐσεῖδον, οὔ ποτ᾽ ἐκλήξω χαρᾶς
δακρυρροοῦσα. πῶς γὰρ ἂν λήξαιμ᾽ ἐγὼ,
ἥτις μιᾷ σε τῇδ᾽ ὁδῷ θανόντα τε
καὶ ζῶντ᾽ ἐσεῖδον; εἴργασαι δέ μ᾽ ἄσκοπα·
ὥστ᾽ εἰ πατήρ μοι ζῶν ἵκοιτο, μηκέτ᾽ ἂν
τέρας νομίζειν αὐτὸ, πιστεύειν δ᾽ ὁρᾶν.
ὅτ᾽ οὖν τοιαύτην ἡμὶν ἐξήκεις ὁδὸν,
ἄρχ᾽ αὐτὸς ὥς σοι θυμός. ὡς ἐγὼ μόνη
οὐκ ἂν δυοῖν ἥμαρτον· ἢ γὰρ ἂν καλῶς
ἔσωσ᾽ ἐμαυτὴν, ἢ καλῶς ἀπωλόμην.

ΧΟΡΟΣ.

σιγᾶν ἐπήνεσ᾽· ὡς ἐπ᾽ ἐξόδῳ κλύω
τῶν ἔνδοθεν χωροῦντος.

ΗΛΕΚΤΡΑ.

εἴσιτ᾽, ὦ ξένοι,
ἄλλως τε καὶ φέροντες οἷ᾽ ἂν οὔτε τις
δόμων ἀπώσαιτ᾽ οὔτ᾽ ἂν ἡσθείη λαβών.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὦ πλεῖστα μῶροι καὶ φρενῶν τητώμενοι,
πότερα παρ᾽ οὐδὲν τοῦ βίου κήδεσθ᾽ ἔτι,
ἢ νοῦς ἔνεστιν οὔτις ὑμῖν ἐγγενὴς,
ὅτ᾽ οὐ παρ᾽ αὐτοῖς, ἀλλ᾽ ἐν αὐτοῖσιν κακο[ῖς]
τοῖσιν μεγίστοις ὄντες οὐ γιγνώσκετε;
ἀλλ᾽ εἰ σταθμοῖσι τοῖσδε μὴ ᾽κύρουν ἐγὼ
πάλαι φυλάσσων, ἦν ἂν ὑμὶν ἐν δόμοις
τὰ δρώμεν᾽ ὑμῶν πρόσθεν ἢ τὰ σώματα·
νῦν δ᾽ εὐλάβειαν τῶνδε προὐθέμην ἐγώ.
καὶ νῦν ἀπαλλαχθέντε τῶν μακρῶν λόγων
καὶ τῆς ἀπλήστου τῆσδε σὺν χαρᾷ βοῆς
εἴσω παρέλθεθ᾽, ὡς τὸ μὲν μέλλειν κακὸν
ἐν τοῖς τοιούτοις ἐστ᾽, ἀπηλλάχθαι δ᾽ ἀκμ[ή].

ΟΡΕΣΤΗΣ.
πῶς οὖν ἔχει τἀντεῦθεν εἰσιόντι μοι;
ΠΑΙΔΑΓΩΓΟΣ.
καλῶς. ὑπάρχει γάρ σε μὴ γνῶναί τινα.
ΟΡΕΣΤΗΣ.
ἤγγειλας, ὡς ἔοικεν, ὡς τεθνηκότα.
ΠΑΙΔΑΓΩΓΟΣ.
εἷς τῶν ἐν Ἅιδου μάνθαν' ἐνθάδ' ὢν ἀνήρ.
ΟΡΕΣΤΗΣ.
χαίρουσιν οὖν τούτοισιν; ἢ τίνες λόγοι;
ΠΑΙΔΑΓΩΓΟΣ.
τελουμένων εἴποιμ' ἄν· ὡς δὲ νῦν ἔχει,
καλῶς τὰ κείνων πάντα, καὶ τὰ μὴ καλῶς.
ΗΛΕΚΤΡΑ.
τίς οὗτός ἐστ', ἀδελφέ; πρὸς θεῶν φράσον.
ΟΡΕΣΤΗΣ.
οὐχὶ ξυνίης;
ΗΛΕΚΤΡΑ.
οὐδέ γ' ἐς θυμὸν φέρω.
ΟΡΕΣΤΗΣ.
οὐκ οἶσθ' ὅτῳ μ' ἔδωκας εἰς χέρας ποτέ;
ΗΛΕΚΤΡΑ.
ποίῳ; τί φωνεῖς;
ΟΡΕΣΤΗΣ.
οὗ τὸ Φωκέων πέδον
ὑπεξεπέμφθην σῇ προμηθίᾳ χεροῖν.
ΗΛΕΚΤΡΑ.
ἦ κεῖνος οὗτος ὅν ποτ' ἐκ πολλῶν ἐγὼ
μόνον προσεῦρον πιστὸν ἐν πατρὸς φόνῳ;
ΟΡΕΣΤΗΣ.
ὅδ' ἐστί. μή μ' ἔλεγχε πλείοσιν λόγοις.
ΗΛΕΚΤΡΑ.
ὦ φίλτατον φῶς, ὦ μόνος σωτὴρ δόμων
Ἀγαμέμνονος, πῶς ἦλθες; ἦ σὺ κεῖνος εἶ,
ὃς τόνδε κἄμ' ἔσωσας ἐκ πολλῶν πόνων;
ὦ φίλταται μὲν χεῖρες, ἥδιστον δ' ἔχων
ποδῶν ὑπηρέτημα, πῶς οὕτω πάλαι
ξυνών μ' ἔληθες οὐδ' ἔφαινες; ἀλλά με
λόγοις ἀπώλλυς, ἔργ' ἔχων ἥδιστ' ἐμοί.
χαῖρ', ὦ πάτερ· πατέρα γὰρ εἰσορᾶν δοκῶ·
χαῖρ'· ἴσθι δ' ὡς μάλιστά σ' ἀνθρώπων ἐγὼ
ἤχθηρα κἀφίλησ' ἐν ἡμέρᾳ μιᾷ.
ΠΑΙΔΑΓΩΓΟΣ.
ἀρκεῖν δοκεῖ μοι. τοὺς γὰρ ἐν μέσῳ λόγους
πολλαὶ κυκλοῦσι νύκτες ἡμέραι τ' ἴσαι,
αἳ ταῦτά σοι δείξουσιν, Ἠλέκτρα, σαφῆ.
σφῷν δ' ἐννέπω γε τοῖν παρεστώτοιν ὅτι
νῦν καιρὸς ἔρδειν· νῦν Κλυταιμνήστρα μόνη·
νῦν οὔτις ἀνδρῶν ἔνδον· εἰ δ' ἐφέξετον,
φροντίζεθ' ὡς τούτοις τε καὶ σοφωτέροις
ἄλλοισι τούτων πλείοσιν μαχούμενοι.
ΟΡΕΣΤΗΣ.
οὐκ ἂν μακρῶν ἔθ' ἡμὶν οὐδὲν ἂν λόγων,
Πυλάδη, τόδ' εἴη τοὔργον, ἀλλ' ὅσον τάχος
χωρεῖν ἔσω, πατρῷα προσκύσανθ' ἕδη
θεῶν, ὅσοιπερ πρόπυλα ναίουσιν τάδε.
ΗΛΕΚΤΡΑ.
ἄναξ Ἄπολλον, ἵλεως αὐτοῖν κλύε,
ἐμοῦ τε πρὸς τούτοισιν, ἥ σε πολλὰ δὴ
ἀφ' ὧν ἔχοιμι λιπαρεῖ προὔστην χερί.
νῦν δ', ὦ Λύκει' Ἄπολλον, ἐξ οἵων ἔχω
αἰτῶ, προπίτνω, λίσσομαι, γενοῦ πρόφρων
ἡμῖν ἀρωγὸς τῶνδε τῶν βουλευμάτων,
καὶ δεῖξον ἀνθρώποισι τἀπιτίμια
τῆς δυσσεβείας οἷα δωροῦνται θεοί.
ΧΟΡΟΣ.
ἴδεθ' ὅπη προνέμεται
τὸ δυσέριστον αἷμα φυσῶν Ἄρης.
βεβᾶσιν ἄρτι δωμάτων ὑπόστεγοι
μετάδρομοι κακῶν πανουργημάτων
ἄφυκτοι κύνες,
ὥστ' οὐ μακρὰν ἔτ' ἀμμένει
τοὐμὸν φρενῶν ὄνειρον αἰωρούμενον.
παράγεται γὰρ ἐνέρων
δολιόπους ἀρωγὸς εἴσω στέγας,
ἀρχαιόπλουτα πατρὸς εἰς ἑδώλια,
νεοκόνητον αἷμα χειροῖν ἔχων·
ὁ Μαίας δὲ παῖς
Ἑρμῆς σφ' ἄγει δόλον σκότῳ
κρύψας πρὸς αὐτὸ τέρμα, κοὐκ ἔτ' ἀμμένει.
ΗΛΕΚΤΡΑ.
ὦ φίλταται γυναῖκες, ἄνδρες αὐτίκα
τελοῦσι τοὔργον· ἀλλὰ σῖγα πρόσμενε.
ΧΟΡΟΣ.
πῶς δή; τί νῦν πράσσουσιν;
ΗΛΕΚΤΡΑ.
ἡ μὲν ἐς τάφον
λέβητα κοσμεῖ, τὼ δ' ἐφέστατον πέλας.
ΧΟΡΟΣ.
σὺ δ' ἐκτὸς ᾖξας πρὸς τί;
ΗΛΕΚΤΡΑ.
φρουρήσουσ' ὅπως
Αἴγισθος ἡμᾶς μὴ λάθῃ μολὼν ἔσω.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
αἰαῖ. ἰὼ στέγαι
φίλων ἔρημοι, τῶν δ' ἀπολλύντων πλέᾳ.
ΗΛΕΚΤΡΑ.
βοᾷ τις ἔνδον. οὐκ ἀκούετ', ὦ φίλαι;
ΧΟΡΟΣ.
ἤκουσ' ἀνήκουστα δύστανος, ὥστε φρῖξαι.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
οἴμοι τάλαιν'· Αἴγισθε, ποῦ ποτ' ὢν κυρεῖς;
ΗΛΕΚΤΡΑ.
ἰδοὺ μάλ' αὖ θροεῖ τις.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ὦ τέκνον τέκνον,
οἴκτειρε τὴν τεκοῦσαν.
ΗΛΕΚΤΡΑ.
ἀλλ' οὐκ ἐκ σέθεν
ᾠκτείρεθ' οὗτος οὐδ' ὁ γεννήσας πατήρ.
ΧΟΡΟΣ.
ὦ πόλις, ὦ γενεὰ τάλαινα, νῦν σε
μοῖρα καθαμερία φθίνει φθίνει.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ὤμοι πέπληγμαι.
ΗΛΕΚΤΡΑ.
παῖσον, εἰ σθένεις, διπλῆν.

1384—1390. = 1391—1397.
1398—1421. = 1422—1441.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ὤμοι μάλ' αὖθις.
ΗΛΕΚΤΡΑ.
εἰ γὰρ Αἰγίσθῳ θ' ὁμοῦ.
ΧΟΡΟΣ.
τελοῦσ' ἀραί· ζῶσιν οἱ γᾶς ὑπαὶ κείμενοι.
πολύρρυτον γὰρ αἷμ' ὑπεξαιροῦσι τῶν
κτανόντων οἱ πάλαι θανόντες.
καὶ μὴν πάρεισιν οἵδε· φοινία δὲ χεὶρ
στάζει θυηλῆς Ἄρεος, οὐδ' ἔχω λέγειν.
ΗΛΕΚΤΡΑ.
Ὀρέστα, πῶς κυρεῖ *;
ΟΡΕΣΤΗΣ.
τἀν δόμοισι μὲν
καλῶς, Ἀπόλλων εἰ καλῶς ἐθέσπισεν.
ΗΛΕΚΤΡΑ.
τέθνηκεν ἡ τάλαινα;
ΟΡΕΣΤΗΣ.
μηκέτ' ἐκφοβοῦ
μητρῷον ὥς σε λῆμ' ἀτιμάσει ποτέ.
ΗΛΕΚΤΡΑ.
* * * *
* * * * * * * * * *
ΟΡΕΣΤΗΣ.
* * * * * * * * * *
ΧΟΡΟΣ.
παύσασθε, λεύσσω γὰρ Αἴγισθον ἐκ προδήλου.
ΟΡΕΣΤΗΣ.
* * * * * * * *
ΗΛΕΚΤΡΑ.
ὦ παῖδες, οὐκ ἄψορρον;
ΟΡΕΣΤΗΣ.
εἰσορᾶτε ποῦ
τὸν ἄνδρ';
ΗΛΕΚΤΡΑ.
ἐφ' ἡμῖν οὗτος ἐκ προαστίου
χωρεῖ γεγηθὼς * * * *
ΧΟΡΟΣ.
βᾶτε κατ' ἀντιθύρων ὅσον τάχιστα,
νῦν, τὰ πρὶν εὖ θέμενοι, τάδ' ὡς πάλιν.
ΟΡΕΣΤΗΣ.
θάρσει· τελοῦμεν.
ΗΛΕΚΤΡΑ.
ᾗ νοεῖς ἔπειγέ νυν.
ΟΡΕΣΤΗΣ.
καὶ δὴ βέβηκα.
ΗΛΕΚΤΡΑ.
τἀνθάδ' ἂν μέλοιτ' ἐμοί.
ΧΟΡΟΣ.
δι' ὠτὸς ἂν παῦρά γ' ὡς ἠπίως ἐννέπειν
πρὸς ἄνδρα τόνδε συμφέροι, λαθραῖον ὡς
ὀρούσῃ πρὸς δίκας ἀγῶνα.
ΑΙΓΙΣΘΟΣ.
τίς οἶδεν ὑμῶν ποῦ ποθ' οἱ Φωκῆς ξένοι,
οὕς φασ' Ὀρέστην ἡμὶν ἀγγεῖλαι βίον
λελοιπόθ' ἱππικοῖσιν ἐν ναυαγίοις;
σέ τοι, σὲ κρίνω, ναὶ σὲ, τὴν ἐν τῷ πάρος
χρόνῳ θρασεῖαν· ὡς μάλιστά σοι μέλειν
οἶμαι, μάλιστα δ' ἂν κατειδυῖαν φράσαι.
ΗΛΕΚΤΡΑ.
ἔξοιδα. πῶς γὰρ οὐχί; συμφορᾶς γὰρ ἂν
ἔξωθεν εἴην τῶν ἐμῶν τῆς φιλτάτης.
ΑΙΓΙΣΘΟΣ.
ποῦ δῆτ' ἂν εἶεν οἱ ξένοι; δίδασκέ με.
ΗΛΕΚΤΡΑ.
ἔνδον. φίλης γὰρ προξένου κατήνυσαν.
ΑΙΓΙΣΘΟΣ.
ἦ καὶ θανόντ' ἤγγειλαν ὡς ἐτητύμως;
ΗΛΕΚΤΡΑ.
οὔκ, ἀλλὰ κἀπέδειξαν, οὐ λόγῳ μόνον.
ΑΙΓΙΣΘΟΣ.
πάρεστ' ἄρ' ἡμῖν ὥστε κἀμφανῆ μαθεῖν.
ΗΛΕΚΤΡΑ.
πάρεστι δῆτα καὶ μάλ' ἄζηλος θέα.
ΑΙΓΙΣΘΟΣ.
ἦ πολλὰ χαίρειν εἶπας οὐκ εἰωθότως.
ΗΛΕΚΤΡΑ.
χαίροις ἄν, εἴ σοι χαρτὰ τυγχάνει τάδε.
ΑΙΓΙΣΘΟΣ.
σιγᾶν ἄνωγα κἀναδεικνύναι πύλας
πᾶσιν Μυκηναίοισιν Ἀργείοις θ' ὁρᾶν,
ὡς εἴ τις αὐτῶν ἐλπίσιν κεναῖς πάρος
ἐξῄρετ' ἀνδρὸς τοῦδε, νῦν ὁρῶν νεκρὸν
στόμια δέχηται τἀμὰ, μηδὲ πρὸς βίαν
ἐμοῦ κολαστοῦ προστυχὼν φύσῃ φρένας.
ΗΛΕΚΤΡΑ.
καὶ δὴ τελεῖται τἀπ' ἐμοῦ. τῷ γὰρ χρόνῳ
νοῦν ἔσχον, ὥστε συμφέρειν τοῖς κρείσσοσιν.
ΑΙΓΙΣΘΟΣ.
ὦ Ζεῦ, δέδορκα φάσμ' ἄνευ φθόνου μὲν οὐ
πεπτωκός· εἰ δ' ἔπεστι Νέμεσις, οὐ λέγω.
χαλᾶτε πᾶν κάλυμμ' ἀπ' ὀφθαλμῶν, ὅπως
τὸ συγγενές τοι κἀπ' ἐμοῦ θρήνων τύχῃ.
ΟΡΕΣΤΗΣ.
αὐτὸς σὺ βάσταζ'. οὐκ ἐμὸν τόδ', ἀλλὰ σὸν,
τὸ ταῦθ' ὁρᾶν τε καὶ προσηγορεῖν φίλως.
ΑΙΓΙΣΘΟΣ.
ἀλλ' εὖ παραινεῖς, κἀπιπείσομαι· σὺ δὲ,
εἴ που κατ' οἶκόν μοι Κλυταιμνήστρα, κάλει.
ΟΡΕΣΤΗΣ.
αὕτη πέλας σοῦ. μηκέτ' ἄλλοσε σκόπει.
ΑΙΓΙΣΘΟΣ.
οἴμοι, τί λεύσσω;
ΟΡΕΣΤΗΣ.
τίνα φοβεῖ; τίν' ἀγνοεῖς;
ΑΙΓΙΣΘΟΣ.
τίνων ποτ' ἀνδρῶν ἐν μέσοις ἀρκυστάτοις
πέπτωχ' ὁ τλήμων;
ΟΡΕΣΤΗΣ.
οὐ γὰρ αἰσθάνει πάλαι
ζῶντας θανοῦσιν οὕνεκ' ἀνταυδᾷς ἴσα;
ΑΙΓΙΣΘΟΣ.
οἴμοι, ξυνῆκα τοὔπος. οὐ γὰρ ἔσθ' ὅπως
ὅδ' οὐκ Ὀρέστης ἔσθ' ὁ προσφωνῶν ἐμέ.
ΟΡΕΣΤΗΣ.
καὶ μάντις ὢν ἄριστος ἐσφάλλου πάλαι.
ΑΙΓΙΣΘΟΣ.
ὄλωλα δὴ δείλαιος. ἀλλά μοι πάρες
κἂν σμικρὸν εἰπεῖν.

ΗΛΕΚΤΡΑ.

μὴ πέρα λέγειν ἔα
πρὸς θεῶν, ἀδελφὲ, μηδὲ μηκύνειν λόγους.
τί γὰρ βροτῶν ἂν σὺν κακοῖς μεμιγμένων
θνήσκειν ὁ μέλλων τοῦ χρόνου κέρδος φέροι;
ἀλλ' ὡς τάχιστα κτεῖνε καὶ κτανὼν πρόθες
ταφεῦσιν, ὧν τόνδ' εἰκός ἐστι τυγχάνειν,
ἄποπτον ἡμῶν. ὡς ἐμοὶ τόδ' ἂν κακῶν
μόνον γένοιτο τῶν πάλαι λυτήριον.

ΟΡΕΣΤΗΣ.

χωροῖς ἂν εἴσω σὺν τάχει. λόγων γὰρ οὐ
νῦν ἐστιν ἀγὼν, ἀλλὰ σῆς ψυχῆς πέρι.

ΑΙΓΙΣΘΟΣ.

τί δ' ἐς δόμους ἄγεις με; πῶς, τόδ' εἰ καλὸν
τοὔργον, σκότου δεῖ, κοὐ πρόχειρος εἶ κτανεῖν;

ΟΡΕΣΤΗΣ.

μὴ τάσσε· χώρει δ' ἔνθαπερ κατέκτανες
πατέρα τὸν ἀμὸν, ὡς ἂν ἐν ταὐτῷ θάνῃς.

ΑΙΓΙΣΘΟΣ.

ἦ πᾶσ' ἀνάγκη τήνδε τὴν στέγην ἰδεῖν
τά τ' ὄντα καὶ μέλλοντα Πελοπιδῶν κακά;

ΟΡΕΣΤΗΣ.

τὰ γοῦν σ'· ἐγώ σοι μάντις εἰμὶ τῶνδ' ἄκρος.

ΑΙΓΙΣΘΟΣ.

ἀλλ' οὐ πατρῴαν τὴν τέχνην ἐκόμπασας.

ΟΡΕΣΤΗΣ.

πόλλ' ἀντιφωνεῖς, ἡ δ' ὁδὸς βραδύνεται.
ἀλλ' ἕρφ'.

ΑΙΓΙΣΘΟΣ.

ὑφηγοῦ.

ΟΡΕΣΤΗΣ.

σοὶ βαδιστέον πάρος.

ΑΙΓΙΣΘΟΣ.

ἦ μὴ φύγω σε;

ΟΡΕΣΤΗΣ.

μὴ μὲν οὖν καθ' ἡδονὴν
θάνῃς· φυλάξαι δεῖ με τοῦτό σοι πικρόν.
χρῆν δ' εὐθὺς εἶναι τήνδε τοῖς πᾶσιν δίκην,
ὅστις πέρα πράσσειν γε τῶν νόμων θέλει,
κτείνειν. τὸ γὰρ πανοῦργον οὐκ ἂν ἦν πολύ.

ΧΟΡΟΣ.

ὦ σπέρμ' Ἀτρέως, ὡς πολλὰ παθὸν
δι' ἐλευθερίας μόλις ἐξῆλθες
τῇ νῦν ὁρμῇ τελεωθέν.

# ΣΟΦΟΚΛΕΟΥΣ ΟΙΔΙΠΟΥΣ ΤΥΡΑΝΝΟΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΟΙΔΙΠΟΥΣ.*
*ΙΕΡΕΥΣ.*
*ΚΡΕΩΝ.*
*ΧΟΡΟΣ γερόντων Θηβαίων.*
*ΤΕΙΡΕΣΙΑΣ.*
*ΙΟΚΑΣΤΗ.*
*ΑΓΓΕΛΟΣ.*
*ΘΕΡΑΠΩΝ Λαΐου.*
*ΕΞΑΓΓΕΛΟΣ.*

## *ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ ΥΠΟΘΕΣΙΣ.*

*Λιπὼν Κόρινθον Οἰδίπους, πατρὸς νόθος*
*πρὸς τῶν ἁπάντων λοιδορούμενος ξένος,*
*ἦλθεν πυθέσθαι Πυθικῶν θεσπισμάτων,*
*ζητῶν ἑαυτὸν καὶ γένους φυτοσπόρον.*
*εὑρὼν δὲ τλήμων ἐν στεναῖς ἀμαξιτοῖς*
*ἄκων ἔπεφνε Λάϊον γεννήτορα.*
*Σφιγγὸς δὲ δεινῆς θανάσιμον λύσας μέλος*
*ἤσχυνε μητρὸς ἀγνοουμένης λέχος.*
*λοιμὸς δὲ Θήβας εἷλε καὶ νόσος μακρά.*
*Κρέων δὲ πεμφθεὶς Δελφικὴν πρὸς ἑστίαν,*
*ὅπως πύθοιτο τοῦ κακοῦ παυστήριον,*
*ἤκουσε φωνῆς μαντικῆς θεοῦ πάρα,*
*τὸν Λαΐειον ἐκδικηθῆναι φόνον.*
*ὅθεν μαθὼν ἑαυτὸν Οἰδίπους τάλας*
*πόρπαισι δισσὰς ἐξανάλωσεν κόρας,*
*αὐτὴ δὲ μήτηρ ἀγχόναις διώλετο.*

## ΔΙΑ ΤΙ ΤΥΡΑΝΝΟΣ ΕΠΙΓΕΓΡΑΠΤΑΙ.

*Ο ΤΥΡΑΝΝΟΣ ΟΙΔΙΠΟΥΣ ἐπὶ διακρίσει θατέρου ἐπιγέγραπται. χαριέντως δὲ ΤΥΡΑΝΝΟΝ ἅπα[ντες] αὐτὸν ἐπέγραφον, ὡς ἐξέχοντα πάσης τῆς Σοφοκλέους ποιήσεως, καίπερ ἡττηθέντα ὑπὸ Φιλοκλέους, φησι Δικαίαρχος. εἰσὶ δὲ καὶ οἱ ΠΡΟΤΕΡΟΝ αὐτὸν, οὐ ΤΥΡΑΝΝΟΝ, ἐπιγράφοντες, διὰ τοὺς χρό[νους] τῶν διδασκαλιῶν καὶ διὰ τὰ πράγματα· ἀλήτην γὰρ καὶ πηρὸν Οἰδίποδα τὸν ἐπὶ Κολωνῷ εἰς τὰς Ἀθ[ήνας] ἀφικνεῖσθαι. Ἴδιον δέ τι πεπόνθασιν οἱ μεθ' Ὅμηρον ποιηταί, τοὺς πρὸ τῶν Τρωϊκῶν βασιλεῖς ΤΥΡ[ΑΝ]ΝΟΥΣ προσαγορεύοντες, ὀψέ ποτε τοῦδε τοῦ ὀνόματος εἰς τοὺς Ἕλληνας διαδοθέντος, κατὰ τοὺς Ἀ[ρχι]λόχου χρόνους, καθάπερ Ἱππίας ὁ σοφιστής φησιν. Ὅμηρος γοῦν τὸν πάντων παρανομώτατον Ἔχ[ετον] βασιλέα φησὶ, καὶ οὐ τύραννον· (Ὀδυσσ. σ, 84.)*

*Εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα.*

προσαγορευθῆναι δέ φασι τὸν τύραννον ἀπὸ τῶν Τυρρηνῶν· χαλεποὺς γάρ τινας περὶ λῃστείαν τούτους γενέσθαι. ὅτι δὲ νεώτερον τὸ τοῦ τυράννου ὄνομα δῆλον. οὔτε γὰρ Ὅμηρος οὔτε Ἡσίοδος οὔτε ἄλλος οὐδεὶς τῶν παλαιῶν τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει. ὁ δὲ Ἀριστοτέλης ἐν Κυμαίων πολιτείᾳ τοὺς τυράννους φησὶ τὸ πρότερον αἰσυμνήτας προσαγορεύεσθαι. εὐφημότερον γὰρ ἐκεῖνο τοὔνομα.

---

## ΑΛΛΩΣ.

Ὁ Τύραννος Οἰδίπους πρὸς ἀντιδιαστολὴν τοῦ ἐν τῷ Κολωνῷ ἐπιγέγραπται. τὸ κεφάλαιον δὲ τοῦ δράματος γνῶσις τῶν ἰδίων κακῶν Οἰδίποδος, πήρωσίς τε τῶν ὀφθαλμῶν, καὶ δι' ἀγχόνης θάνατος Ἰοκάστης.

---

## ΧΡΗΣΜΟΣ ΔΟΘΕΙΣ ΛΑΙΩι.

*Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς.*
*δώσω τοι φίλον υἱόν· ἀτὰρ πεπρωμένον ἐστὶ*
*σοῦ παιδὸς χείρεσσι λιπεῖν φάος. ὧς γὰρ ἔνευσε*
*Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,*
*οὗ φίλον ἥρπασας υἱόν· ὁ δ' ηὔξατό σοι τάδε πάντα.*

---

## ΤΟ ΑΙΝΙΓΜΑ ΤΗΣ ΣΦΙΓΓΟΣ.

*Ἔστι δίπουν ἐπὶ γῆς καὶ τέτραπον, οὗ μία φωνή,*
*καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον ὅσσ' ἐπὶ γαῖαν*
*ἑρπετὰ κινεῖται ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον.*
*ἀλλ' ὁπόταν πλείστοισιν ἐρειδόμενον ποσὶ βαίνῃ,*
*ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.*

---

## ΛΥΣΙΣ ΤΟΥ ΑΙΝΙΓΜΑΤΟΣ.

*Κλῦθι καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων,*
*φωνῆς ἡμετέρης σὸν τέλος ἀμπλακίης.*
*ἄνθρωπον κατέλεξας, ὃς ἡνίκα γαῖαν ἐφέρπει,*
*πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων·*
*γηραλέος δὲ πέλων τρίτατον πόδα βάκτρον ἐρείδει,*
*αὐχένα φορτίζων, γήραϊ καμπτόμενος.*

---

# ΟΙΔΙΠΟΥΣ ΤΥΡΑΝΝΟΣ.

ΟΙΔΙΠΟΥΣ.

Ὦ τέκνα, Κάδμου τοῦ πάλαι νέα τροφή,
τίνας ποθ' ἕδρας τάσδε μοι θοάζετε
ἱκτηρίοις κλάδοισιν ἐξεστεμμένοι;
πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,
ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων·
ἁγὼ δικαιῶν μὴ παρ' ἀγγέλων, τέκνα,
ἄλλων ἀκούειν αὐτὸς ὧδ' ἐλήλυθα,
ὁ πᾶσι κλεινὸς Οἰδίπους καλούμενος.
ἀλλ', ὦ γεραιὲ, φράζ', ἐπεὶ πρέπων ἔφυς
πρὸ τῶνδε φωνεῖν, τίνι τρόπῳ καθέστατε,
δείσαντες, ἢ στέρξαντες; ὡς θέλοντος ἂν
ἐμοῦ προσαρκεῖν πᾶν. δυσάλγητος γὰρ ἂν
εἴην τοιάνδε μὴ οὐ κατοικτείρων ἕδραν.

ΙΕΡΕΥΣ.

ἀλλ', ὦ κρατύνων Οἰδίπους χώρας ἐμῆς,
ὁρᾷς μὲν ἡμᾶς ἡλίκοι προσήμεθα
βωμοῖσι τοῖς σοῖς· οἱ μὲν οὐδέπω μακρὰν
πτέσθαι σθένοντες, οἱ δὲ σὺν γήρᾳ βαρεῖς
ἱερῆς, ἐγὼ μὲν Ζηνός, οἵδε τ' ἠθέων
λεκτοί· τὸ δ' ἄλλο φῦλον ἐξεστεμμένον
ἀγοραῖσι θακεῖ, πρός τε Παλλάδος διπλοῖς
ναοῖς, ἐπ' Ἰσμηνοῦ τε μαντείᾳ σποδῷ.
πόλις γὰρ, ὥσπερ καὐτὸς εἰσορᾷς, ἄγαν
ἤδη σαλεύει κἀνακουφίσαι κάρα
βυθῶν ἔτ' οὐχ οἵα τε φοινίου σάλου,
φθίνουσα μὲν κάλυξιν ἐγκάρποις χθονὸς,
φθίνουσα δ' ἀγέλαις βουνόμοις, τόκοισί τε
ἀγόνοις γυναικῶν· ἐν δ' ὁ πυρφόρος θεὸς
σκήψας ἐλαύνει, λοιμὸς ἔχθιστος, πόλιν,
ὑφ' οὗ κενοῦται δῶμα Καδμεῖον· μέλας δ'
Ἅιδης στεναγμοῖς καὶ γόοις πλουτίζεται.
θεοῖσι μέν νυν οὐκ ἰσούμενόν σ' ἐγὼ
οὐδ' οἵδε παῖδες ἑζόμεσθ' ἐφέστιοι,
ἀνδρῶν δὲ πρῶτον ἔν τε συμφοραῖς βίου
κρίνοντες ἔν τε δαιμόνων ξυναλλαγαῖς·
ὅς γ' ἐξέλυσας ἄστυ Καδμεῖον μολὼν
σκληρᾶς ἀοιδοῦ δασμὸν ὃν παρείχομεν,
καὶ ταῦθ' ὑφ' ἡμῶν οὐδὲν ἐξειδὼς πλέον
οὐδ' ἐκδιδαχθείς· ἀλλὰ προσθήκῃ θεοῦ
λέγει νομίζει θ' ἡμὶν ὀρθῶσαι βίον·
νῦν τ', ὦ κράτιστον πᾶσιν Οἰδίπου κάρα,
ἱκετεύομέν σε πάντες οἵδε πρόστροποι
ἀλκήν τιν' εὑρεῖν ἡμὶν, εἴτε του θεῶν
φήμην ἀκούσας εἴτ' ἀπ' ἀνδρὸς οἶσθά που·
ὡς τοῖσιν ἐμπείροισι καὶ τὰς ξυμφορὰς
ζώσας ὁρῶ μάλιστα τῶν βουλευμάτων.
ἴθ', ὦ βροτῶν ἄριστ', ἀνόρθωσον πόλιν.
ἴθ', εὐλαβήθηθ'· ὡς σὲ νῦν μὲν ἥδε γῆ
σωτῆρα κλῄζει τῆς πάρος προθυμίας·
ἀρχῆς δὲ τῆς σῆς μηδαμῶς μεμνῴμεθα
στάντες τ' ἐς ὀρθὸν καὶ πεσόντες ὕστερον·
ἀλλ' ἀσφαλείᾳ τήνδ' ἀνόρθωσον πόλιν.
ὄρνιθι γὰρ καὶ τὴν τότ' αἰσίῳ τύχην
παρέσχες ἡμὶν, καὶ τανῦν ἴσος γενοῦ.
ὡς εἴπερ ἄρξεις τῆσδε γῆς, ὥσπερ κρατεῖς,
ξὺν ἀνδράσιν κάλλιον ἢ κενῆς κρατεῖν.
ὡς οὐδέν ἐστιν οὔτε πύργος οὔτε ναῦς
ἔρημος ἀνδρῶν μὴ ξυνοικούντων ἔσω.

ΟΙΔΙΠΟΥΣ.

ὦ παῖδες οἰκτροὶ, γνωτὰ κοὐκ ἄγνωτά μοι
προσήλθεθ' ἱμείροντες. εὖ γὰρ οἶδ' ὅτι
νοσεῖτε πάντες, καὶ νοσοῦντες, ὡς ἐγὼ
οὐκ ἔστιν ὑμῶν ὅστις ἐξ ἴσου νοσεῖ.
τὸ μὲν γὰρ ὑμῶν ἄλγος εἰς ἕν' ἔρχεται
μόνον καθ' αὑτὸν, κοὐδέν' ἄλλον· ἡ δ' ἐμὴ
ψυχὴ πόλιν τε κἀμὲ καὶ σ' ὁμοῦ στένει.
ὥστ' οὐχ ὕπνῳ γ' εὕδοντά μ' ἐξεγείρετε,
ἀλλ' ἴστε πολλὰ μέν με δακρύσαντα δὴ,
πολλὰς δ' ὁδοὺς ἐλθόντα φροντίδος πλάνοις.
ἣν δ' εὖ σκοπῶν εὕρισκον ἴασιν μόνην,
ταύτην ἔπραξα. παῖδα γὰρ Μενοικέως
Κρέοντ', ἐμαυτοῦ γαμβρὸν, ἐς τὰ Πυθικὰ
ἔπεμψα Φοίβου δώμαθ', ὡς πύθοιθ' ὅ τι
δρῶν ἢ τί φωνῶν τήνδε ῥυσαίμην πόλιν.
καί μ' ἦμαρ ἤδη ξυμμετρούμενον χρόνῳ
λυπεῖ τί πράσσει. τοῦ γὰρ εἰκότος πέρα
ἄπεστι πλείω τοῦ καθήκοντος χρόνου.
ὅταν δ' ἵκηται, τηνικαῦτ' ἐγὼ κακὸς
μὴ δρῶν ἂν εἴην πάνθ' ὅσ' ἂν δηλοῖ θεός.

ΙΕΡΕΥΣ.

ἀλλ' εἰς καλὸν σύ τ' εἶπας οἵδε τ' ἀρτίως
Κρέοντα προσστείχοντα σημαίνουσί μοι.

ΟΙΔΙΠΟΥΣ.

ὦναξ Ἄπολλον, εἰ γὰρ ἐν τύχῃ γέ τῳ
σωτῆρι βαίη λαμπρὸς ὥσπερ ὄμματι.

ΙΕΡΕΥΣ.

ἀλλ' εἰκάσαι μὲν, ἡδύς· οὐ γὰρ ἂν κάρα
πολυστεφὴς ὧδ' εἷρπε παγκάρπου δάφνης.

ΟΙΔΙΠΟΥΣ.

τάχ' εἰσόμεσθα· ξύμμετρος γὰρ ὡς κλύειν.
ἄναξ, ἐμὸν κήδευμα, παῖ Μενοικέως,
τίν' ἡμὶν ἥκεις τοῦ θεοῦ φήμην φέρων;

ΚΡΕΩΝ.

ἐσθλήν. λέγω γὰρ καὶ τὰ δύσφορ', εἰ τύχοι
κατ' ὀρθὸν ἐξελθόντα, πάντ' ἂν εὐτυχεῖν.

ΟΙΔΙΠΟΥΣ.

ἔστιν δὲ ποῖον τοὔπος; οὔτε γὰρ θρασὺς
οὔτ' οὖν προδείσας εἰμὶ τῷ γε νῦν λόγῳ.

ΚΡΕΩΝ.

εἰ τῶνδε χρῄζεις πλησιαζόντων κλύειν,
ἕτοιμος εἰπεῖν, εἴτε καὶ στείχειν ἔσω.

ΟΙΔΙΠΟΥΣ.
ἐς πάντας αὔδα. τῶνδε γὰρ πλέον φέρω
τὸ πένθος ἢ καὶ τῆς ἐμῆς ψυχῆς πέρι.
ΚΡΕΩΝ.
λέγοιμ᾽ ἂν οἷ᾽ ἤκουσα τοῦ θεοῦ πάρα.
ἄνωγεν ἡμᾶς Φοῖβος ἐμφανῶς ἄναξ
μίασμα χώρας, ὡς τεθραμμένον χθονὶ
ἐν τῇδ᾽, ἐλαύνειν μηδ᾽ ἀνήκεστον τρέφειν.
ΟΙΔΙΠΟΥΣ.
ποίῳ καθαρμῷ; τίς ὁ τρόπος τῆς ξυμφορᾶς;
ΚΡΕΩΝ.
ἀνδρηλατοῦντας, ἢ φόνῳ φόνον πάλιν
λύοντας, ὡς τόδ᾽ αἷμα χειμάζον πόλιν.
ΟΙΔΙΠΟΥΣ.
ποίου γὰρ ἀνδρὸς τήνδε μηνύει τύχην;
ΚΡΕΩΝ.
ἦν ἡμίν, ὦναξ, Λάϊός ποθ᾽ ἡγεμὼν
γῆς τῆσδε, πρὶν σὲ τήνδ᾽ ἀπευθύνειν πόλιν.
ΟΙΔΙΠΟΥΣ.
ἔξοιδ᾽ ἀκούων· οὐ γὰρ εἰσεῖδόν γέ πω.
ΚΡΕΩΝ.
τούτου θανόντος νῦν ἐπιστέλλει σαφῶς
τοὺς αὐτοέντας χειρὶ τιμωρεῖν τινάς.
ΟΙΔΙΠΟΥΣ.
οἱ δ᾽ εἰσὶ ποῦ γῆς; ποῦ τόδ᾽ εὑρεθήσεται
ἴχνος παλαιᾶς δυστέκμαρτον αἰτίας;
ΚΡΕΩΝ.
ἐν τῇδ᾽ ἔφασκε γῇ. τὸ δὲ ζητούμενον
ἁλωτόν· ἐκφεύγει δὲ τἀμελούμενον.
ΟΙΔΙΠΟΥΣ.
πότερα δ᾽ ἐν οἴκοις, ἢ ᾽ν ἀγροῖς ὁ Λάϊος,
ἢ γῆς ἐπ᾽ ἄλλης τῷδε συμπίπτει φόνῳ;
ΚΡΕΩΝ.
θεωρός, ὡς ἔφασκεν, ἐκδημῶν, πάλιν
πρὸς οἶκον οὐκ ἔθ᾽ ἵκεθ᾽, ὡς ἀπεστάλη.
ΟΙΔΙΠΟΥΣ.
οὐδ᾽ ἄγγελός τις οὐδὲ συμπράκτωρ ὁδοῦ
κατεῖδ᾽, ὅτου τις ἐκμαθὼν ἐχρήσατ᾽ ἄν;
ΚΡΕΩΝ.
θνήσκουσι γάρ, πλὴν εἷς τις, ὃς φόβῳ φυγὼν
ὧν εἶδε πλὴν ἓν οὐδὲν εἶχ᾽ εἰδὼς φράσαι.
ΟΙΔΙΠΟΥΣ.
τὸ ποῖον; ἓν γὰρ πόλλ᾽ ἂν ἐξεύροι μαθεῖν,
ἀρχὴν βραχεῖαν εἰ λάβοιμεν ἐλπίδος.
ΚΡΕΩΝ.
λῃστὰς ἔφασκε συντυχόντας οὐ μιᾷ
ῥώμῃ κτανεῖν νιν, ἀλλὰ σὺν πλήθει χερῶν.
ΟΙΔΙΠΟΥΣ.
πῶς οὖν ὁ λῃστής, εἴ τι μὴ ξὺν ἀργύρῳ
ἐπράσσετ᾽ ἐνθένδ᾽, ἐς τόδ᾽ ἂν τόλμης ἔβη;
ΚΡΕΩΝ.
δοκοῦντα ταῦτ᾽ ἦν· Λαΐου δ᾽ ὀλωλότος
οὐδεὶς ἀρωγὸς ἐν κακοῖς ἐγίγνετο.
ΟΙΔΙΠΟΥΣ.
κακὸν δὲ ποῖον ἐμποδὼν τυραννίδος
οὕτω πεσούσης εἶργε τοῦτ᾽ ἐξειδέναι;
ΚΡΕΩΝ.
ἡ ποικιλῳδὸς Σφὶγξ τὰ πρὸς ποσὶ σκοπεῖν
μεθέντας ἡμᾶς τἀφανῆ προσήγετο.
ΟΙΔΙΠΟΥΣ.
ἀλλ᾽ ἐξ ὑπαρχῆς αὖθις αὔτ᾽ ἐγὼ φανῶ.
ἐπαξίως γὰρ Φοῖβος, ἀξίως δὲ σὺ
πρὸ τοῦ θανόντος τήνδ᾽ ἔθεσθ᾽ ἐπιστροφήν·
ὥστ᾽ ἐνδίκως ὄψεσθε κἀμὲ σύμμαχον,
γῇ τῇδε τιμωροῦντα τῷ θεῷ θ᾽ ἅμα.
ὑπὲρ γὰρ οὐχὶ τῶν ἀπωτέρω φίλων,
ἀλλ᾽ αὐτὸς αὑτοῦ, τοῦτ᾽ ἀποσκεδῶ μύσος·
ὅστις γὰρ ἦν ἐκεῖνον ὁ κτανὼν τάχ᾽ ἂν
κἄμ᾽ ἂν τοιαύτῃ χειρὶ τιμωρεῖν θέλοι.
κείνῳ προσαρκῶν οὖν ἐμαυτὸν ὠφελῶ.
ἀλλ᾽ ὡς τάχιστα, παῖδες, ὑμεῖς μὲν βάθρων
ἵστασθε, τούσδ᾽ ἄραντες ἱκτῆρας κλάδους·
ἄλλος δὲ Κάδμου λαὸν ὧδ᾽ ἀθροιζέτω,
ὡς πᾶν ἐμοῦ δράσοντος. ἢ γὰρ εὐτυχεῖς
σὺν τῷ θεῷ φανούμεθ᾽, ἢ πεπτωκότες.
ΙΕΡΕΥΣ.
ὦ παῖδες, ἱστώμεσθα· τῶνδε γὰρ χάριν
καὶ δεῦρ᾽ ἔβημεν ὧν ὅδ᾽ ἐξαγγέλλεται.
Φοῖβος δ᾽ ὁ πέμψας τάσδε μαντείας ἅμα
σωτήρ θ᾽ ἵκοιτο καὶ νόσου παυστήριος.
ΧΟΡΟΣ.
ὦ Διὸς ἁδυεπὲς φάτι, τίς ποτε τᾶς πολυχρύσου
Πυθῶνος ἀγλαὰς ἔβας
Θήβας; ἐκτέταμαι φοβερὰν φρένα, δείματι
πάλλων,
ἰήιε Δάλιε Παιάν,
ἀμφὶ σοὶ ἁζόμενος, τί μοι ἢ νέον,
ἢ περιτελλομέναις ὥραις πάλιν ἐξανύσεις χρέος.
εἰπέ μοι, ὦ χρυσέας τέκνον Ἐλπίδος, ἄμβροτε
Φάμα.
πρῶτά σε κεκλόμενος, θύγατερ Διός, ἄμβροτ᾽
Ἀθάνα,
γαιάοχόν τ᾽ ἀδελφεὰν
Ἄρτεμιν, ἃ κυκλόεντ᾽ ἀγορᾶς θρόνον εὐκλέα
θάσσει,
καὶ Φοῖβον ἑκαβόλον, ἰὼ
τρισσοὶ ἀλεξίμοροι προφάνητέ μοι,
εἴ ποτε καὶ προτέρας ἄτας ὑπερορνυμένας πόλει
ἠνύσατ᾽ ἐκτοπίαν φλόγα πήματος, ἔλθετε καὶ νῦν.
ὦ πόποι, ἀνάριθμα γὰρ φέρω
πήματα· νοσεῖ δέ μοι πρόπας στόλος, οὐδ᾽ ἔνι
φροντίδος ἔγχος
ᾧ τις ἀλέξεται. οὔτε γὰρ ἔκγονα
κλυτᾶς χθονὸς αὔξεται οὔτε τόκοισιν
ἰηίων καμάτων ἀνέχουσι γυναῖκες·
ἄλλον δ᾽ ἂν ἄλλῳ προσίδοις ἅπερ εὔπτερον ὄρνιν
κρεῖσσον ἀμαιμακέτου πυρὸς ὄρμενον
ἀκτὰν πρὸς ἑσπέρου θεοῦ·
ὧν πόλις ἀνάριθμος ὄλλυται·
νηλέα δὲ γένεθλα πρὸς πέδῳ θανατηφόρα κεῖται
ἀνοίκτως·
ἐν δ᾽ ἄλοχοι πολιαί τ᾽ ἔπι ματέρες
ἀκτὰν παρὰ βώμιον ἄλλοθεν ἄλλαι
λυγρῶν πόνων ἱκτῆρες ἐπιστενάχουσιν.
παιὰν δὲ λάμπει στονόεσσά τε γῆρυς ὅμαυλος·
ὧν ὕπερ, ὦ χρυσέα θύγατερ Διός,
εὐῶπα πέμψον ἀλκάν·

151—158. = 159—166.
167—178. = 179—189.

Ἀρεά τε τὸν μαλερὸν, ὃς νῦν ἄχαλκος ἀσπίδων
φλέγει με περιβόητος ἀντιάζων,
παλίσσυτον δρόμημα νωτίσαι πάτρας
ἄπουρον, εἴτ' ἐς μέγαν
θάλαμον Ἀμφιτρίτας
εἴτ' ἐς τὸν ἀπόξενον ὅρμον
Θρήκιον κλύδωνα·
τέλει γὰρ εἴ τι νὺξ ἀφῇ,
τοῦτ' ἐπ' ἦμαρ ἔρχεται·
τὸν, ὦ τᾶν πυρφόρων
ἀστραπᾶν κράτη νέμων,
ὦ Ζεῦ πάτερ, ὑπὸ σῷ φθίσον κεραυνῷ.
Λύκει' ἄναξ, τά τε σὰ χρυσοστρόφων ἀπ' ἀγκυλᾶν
βέλεα θέλοιμ' ἂν ἀδάματ' ἐνδατεῖσθαι
ἀρωγὰ προσταθέντα, τάς τε πυρφόρους
Ἀρτέμιδος αἴγλας, ξὺν αἷς
Λύκι' ὄρεα διᾴσσει·
τὸν χρυσομίτραν τε κικλήσκω,
τᾶσδ' ἐπώνυμον γᾶς,
οἰνῶπα Βάκχον εὔιον,
Μαινάδων ὁμόστολον,
πελασθῆναι φλέγοντ'
ἀγλαῶπι * * *
πεύκᾳ 'πὶ τὸν ἀπότιμον ἐν θεοῖς θεόν.

ΟΙΔΙΠΟΥΣ.

αἰτεῖς· ἃ δ' αἰτεῖς, τἄμ' ἐὰν θέλῃς ἔπη
κλύων δέχεσθαι τῇ νόσῳ θ' ὑπηρετεῖν,
ἀλκὴν λάβοις ἂν κἀνακούφισιν κακῶν·
ἀγὼ ξένος μὲν τοῦ λόγου τοῦδ' ἐξερῶ,
ξένος δὲ τοῦ πραχθέντος. οὐ γὰρ ἂν μακρὰν
ἴχνευον αὐτὸς, μὴ οὐκ ἔχων τι σύμβολον.
νῦν δ', ὕστερος γὰρ ἀστὸς εἰς ἀστοὺς τελῶ,
ὑμῖν προφωνῶ πᾶσι Καδμείοις τάδε·
ὅστις ποθ' ὑμῶν Λάϊον τὸν Λαβδάκου
κάτοιδεν ἀνδρὸς ἐκ τίνος διώλετο,
τοῦτον κελεύω πάντα σημαίνειν ἐμοί·
κεἰ μὲν φοβεῖται, τοὐπίκλημ' ὑπεξελὼν
αὐτὸς καθ' αὑτοῦ· πείσεται γὰρ ἄλλο μὲν
ἀστεργὲς οὐδὲν, γῆς δ' ἄπεισιν ἀβλαβής.
εἰ δ' αὖ τις ἄλλον οἶδεν ἐξ ἄλλης χθονὸς,
τὸν αὐτόχειρα μὴ σιωπάτω· τὸ γὰρ
κέρδος τελῶ 'γὼ χἠ χάρις προσκείσεται.
εἰ δ' αὖ σιωπήσεσθε, καί τις ἢ φίλου
δείσας ἀπώσει τοὔπος ἢ χαὐτοῦ τόδε,
ἀκ τῶνδε δράσω, ταῦτα χρὴ κλύειν ἐμοῦ.
τὸν ἄνδρ' ἀπαυδῶ τοῦτον, ὅστις ἐστὶ, γῆς
τῆσδ', ἧς ἐγὼ κράτη τε καὶ θρόνους νέμω,
μήτ' εἰσδέχεσθαι μήτε προσφωνεῖν τινὰ,
μήτ' ἐν θεῶν εὐχαῖσι μήτε θύμασιν
κοινὸν ποιεῖσθαι, μήτε χέρνιβας νέμειν·
ὠθεῖν δ' ἀπ' οἴκων πάντας, ὡς μιάσματος
τοῦδ' ἡμὶν ὄντος, ὡς τὸ Πυθικὸν θεοῦ
μαντεῖον ἐξέφηνεν ἀρτίως ἐμοί.
ἐγὼ μὲν οὖν τοιόσδε τῷ τε δαίμονι
τῷ τ' ἀνδρὶ τῷ θανόντι σύμμαχος πέλω.
κατεύχομαι δὲ τὸν δεδρακότ', εἴτε τις
εἷς ὢν λέληθεν εἴτε πλειόνων μέτα,
κακὸν κακῶς νιν ἄμορον ἐκτρῖψαι βίον.
ἐπεύχομαι δ', οἴκοισιν εἰ ξυνέστιος

190—202. = 203—215.

ἐν τοῖς ἐμοῖς γένοιτ' ἐμοῦ συνειδότος,
παθεῖν ἅπερ τοῖσδ' ἀρτίως ἠρασάμην.
ὑμῖν δὲ ταῦτα πάντ' ἐπισκήπτω τελεῖν,
ὑπέρ τ' ἐμαυτοῦ, τοῦ θεοῦ τε, τῆσδέ τε
γῆς ὧδ' ἀκάρπως κἀθέως ἐφθαρμένης.
οὐδ' εἰ γὰρ ἦν τὸ πρᾶγμα μὴ θεήλατον,
ἀκάθαρτον ὑμᾶς εἰκὸς ἦν οὕτως ἐᾶν,
ἀνδρός γ' ἀρίστου βασιλέως ὀλωλότος,
ἀλλ' ἐξερευνᾶν· νῦν δ' ἐπεὶ κυρῶ τ' ἐγὼ
ἔχων μὲν ἀρχὰς, ἃς ἐκεῖνος εἶχε πρὶν,
ἔχων δὲ λέκτρα καὶ γυναῖχ' ὁμόσπορον,
κοινῶν τε παίδων κοίν' ἂν, εἰ κείνῳ γένος
μὴ 'δυστύχησεν, ἦν ἂν ἐκπεφυκότα·
νῦν δ' ἐς τὸ κείνου κρᾶτ' ἐνήλαθ' ἡ τύχη·
ἀνθ' ὧν ἐγὼ τάδ', ὡσπερεὶ τοὐμοῦ πατρὸς,
ὑπερμαχοῦμαι κἀπὶ πάντ' ἀφίξομαι,
ζητῶν τὸν αὐτόχειρα τοῦ φόνου λαβεῖν,
τῷ Λαβδακείῳ παιδὶ Πολυδώρου τε καὶ
τοῦ πρόσθε Κάδμου τοῦ πάλαι τ' Ἀγήνορος·
καὶ ταῦτα τοῖς μὴ δρῶσιν εὔχομαι θεοὺς
μήτ' ἄροτον αὐτοῖς γῆς ἀνιέναι τινὰ
μήτ' οὖν γυναικῶν παῖδας, ἀλλὰ τῷ πότμῳ
τῷ νῦν φθερεῖσθαι κἄτι τοῦδ' ἐχθίονι·
ὑμῖν δὲ τοῖς ἄλλοισι Καδμείοις, ὅσοις
τάδ' ἔστ' ἀρέσκονθ', ἥ τε σύμμαχος Δίκη
χοἰ πάντες εὖ ξυνεῖεν εἰσαεὶ θεοί.

ΧΟΡΟΣ.

ὥσπερ μ' ἀραῖον ἔλαβες, ὧδ', ἄναξ, ἐρῶ.
οὔτ' ἔκτανον γὰρ οὔτε τὸν κτανόντ' ἔχω
δεῖξαι. τὸ δὲ ζήτημα τοῦ πέμψαντος ἦν
Φοίβου τόδ' εἰπεῖν, ὅστις εἴργασταί ποτε.

ΟΙΔΙΠΟΥΣ.

δίκαι' ἔλεξας. ἀλλ' ἀναγκάσαι θεοὺς
ἂν μὴ θέλωσιν οὐδ' ἂν εἷς δύναιτ' ἀνήρ.

ΧΟΡΟΣ.

τὰ δεύτερ' ἐκ τῶνδ' ἂν λέγοιμ' ἁμοὶ δοκεῖ.

ΟΙΔΙΠΟΥΣ.

εἰ καὶ τρίτ' ἐστὶ, μὴ παρῇς τὸ μὴ οὐ φράσ

ΧΟΡΟΣ.

ἄνακτ' ἄνακτι ταὔθ' ὁρῶντ' ἐπίσταμαι
μάλιστα Φοίβῳ Τειρεσίαν, παρ' οὗ τις ἂν
σκοπῶν τάδ', ὦναξ, ἐκμάθοι σαφέστατα.

ΟΙΔΙΠΟΥΣ.

ἀλλ' οὐκ ἐν ἀργοῖς οὐδὲ τοῦτ' ἐπραξάμην.
ἔπεμψα γὰρ Κρέοντος εἰπόντος διπλοῦς
πομπούς· πάλαι δὲ μὴ παρὼν θαυμάζεται.

ΧΟΡΟΣ.

καὶ μὴν τά γ' ἄλλα κωφὰ καὶ παλαί' ἔπη.

ΟΙΔΙΠΟΥΣ.

τὰ ποῖα ταῦτα; πάντα γὰρ σκοπῶ λόγον.

ΧΟΡΟΣ.

θανεῖν ἐλέχθη πρός τινων ὁδοιπόρων.

ΟΙΔΙΠΟΥΣ.

ἤκουσα κἀγώ· τὸν δ' ἰδόντ' οὐδεὶς ὁρᾷ.

ΧΟΡΟΣ.

ἀλλ' εἴ τι μὲν δὴ δείματός γ' ἔχει μέρος,
τὰς σὰς ἀκούων οὐ μενεῖ τοιάσδ' ἀράς.

ΟΙΔΙΠΟΥΣ.

ᾧ μὴ 'στι δρῶντι τάρβος, οὐδ' ἔπος φοβε

ΧΟΡΟΣ.

ἀλλ' οὐξελέγξων αὐτὸν ἔστιν· οἵδε γὰρ
τὸν θεῖον ἤδη μάντιν ὧδ' ἄγουσιν, ᾧ
τἀληθὲς ἐμπέφυκεν ἀνθρώπων μόνῳ.

ΟΙΔΙΠΟΥΣ.

ὦ πάντα νωμῶν Τειρεσία, διδακτά τε
ἄρρητά τ' οὐράνιά τε καὶ χθονοστιβῆ,
πόλιν μὲν, εἰ καὶ μὴ βλέπεις, φρονεῖς δ' ὅμως
οἵᾳ νόσῳ σύνεστιν· ἧς σε προστάτην
σωτῆρά τ', ὦναξ, μοῦνον ἐξευρίσκομεν.
Φοῖβος γὰρ, εἰ καὶ μὴ κλύεις τῶν ἀγγέλων,
πέμψασιν ἡμῖν ἀντέπεμψεν, ἔκλυσιν
μόνην ἂν ἐλθεῖν τοῦδε τοῦ νοσήματος,
εἰ τοὺς κτανόντας Λάϊον μαθόντες εὖ
κτείναιμεν, ἢ γῆς φυγάδας ἐκπεμψαίμεθα.
σὺ δ' οὖν φθονήσας μήτ' ἀπ' οἰωνῶν φάτιν
μήτ' εἴ τιν' ἄλλην μαντικῆς ἔχεις ὁδὸν,
ῥῦσαι σεαυτὸν καὶ πόλιν, ῥῦσαι δ' ἐμὲ,
ῥῦσαι δὲ πᾶν μίασμα τοῦ τεθνηκότος.
ἐν σοὶ γὰρ ἐσμεν· ἄνδρα δ' ὠφελεῖν ἀφ' ὧν
ἔχοι τε καὶ δύναιτο κάλλιστος πόνων.

ΤΕΙΡΕΣΙΑΣ.

φεῦ φεῦ, φρονεῖν ὡς δεινὸν ἔνθα μὴ τέλη
λύει φρονοῦντι. ταῦτα γὰρ καλῶς ἐγὼ
εἰδὼς διώλεσ'· οὐ γὰρ ἂν δεῦρ' ἱκόμην.

ΟΙΔΙΠΟΥΣ.

τί δ' ἔστιν; ὡς ἄθυμος εἰσελήλυθας.

ΤΕΙΡΕΣΙΑΣ.

ἄφες μ' ἐς οἴκους· ῥᾷστα γὰρ τὸ σόν τε σὺ
κἀγὼ διοίσω τοὐμὸν, ἢν ἐμοὶ πίθῃ.

ΟΙΔΙΠΟΥΣ.

οὔτ' ἔννομ' εἶπας οὔτε προσφιλὲς πόλει
τῇδ', ἥ σ' ἔθρεψε, τήνδ' ἀποστερῶν φάτιν.

ΤΕΙΡΕΣΙΑΣ.

ὁρῶ γὰρ οὐδὲ σοὶ τὸ σὸν φώνημ' ἰὸν
πρὸς καιρόν· ὡς οὖν μηδ' ἐγὼ ταυτὸν πάθω.

ΟΙΔΙΠΟΥΣ.

μὴ πρὸς θεῶν φρονῶν γ' ἀποστραφῇς, ἐπεὶ
πάντες σε προσκυνοῦμεν οἵδ' ἱκτήριοι.

ΤΕΙΡΕΣΙΑΣ.

πάντες γὰρ οὐ φρονεῖτ'. ἐγὼ δ' οὐ μή ποτε
τἄμ' ὡς ἂν εἴπω μὴ τὰ σ' ἐκφήνω κακά.

ΟΙΔΙΠΟΥΣ.

τί φῄς; ξυνειδὼς οὐ φράσεις, ἀλλ' ἐννοεῖς
ἡμᾶς προδοῦναι καὶ καταφθεῖραι πόλιν;

ΤΕΙΡΕΣΙΑΣ.

ἐγὼ οὔτ' ἐμαυτὸν οὔτε σ' ἀλγυνῶ. τί ταῦτ'
ἄλλως ἐλέγχεις; οὐ γὰρ ἂν πύθοιό μου.

ΟΙΔΙΠΟΥΣ.

οὐκ, ὦ κακῶν κάκιστε, καὶ γὰρ ἂν πέτρου
φύσιν σύ γ' ὀργάνειας, ἐξερεῖς ποτὲ,
ἀλλ' ὧδ' ἄτεγκτος κἀτελεύτητος φανεῖ;

ΤΕΙΡΕΣΙΑΣ.

ὀργὴν ἐμέμψω τὴν ἐμήν· τὴν σὴν δ' ὁμοῦ
ναίουσαν οὐ κατεῖδες, ἀλλ' ἐμὲ ψέγεις.

ΟΙΔΙΠΟΥΣ.

τίς γὰρ τοιαῦτ' ἂν οὐκ ἂν ὀργίζοιτ' ἔπη
κλύων, ἃ νῦν σὺ τήνδ' ἀτιμάζεις πόλιν;

ΤΕΙΡΕΣΙΑΣ.

ἥξει γὰρ αὐτὰ, κἂν ἐγὼ σιγῇ στέγω.

ΟΙΔΙΠΟΥΣ.

οὐκοῦν ἅ γ' ἥξει καὶ σὲ χρὴ λέγειν ἐμοί.

ΤΕΙΡΕΣΙΑΣ.

οὐκ ἂν πέρα φράσαιμι. πρὸς τάδ', εἰ θέλεις,
θυμοῦ δι' ὀργῆς ἥτις ἀγριωτάτη.

ΟΙΔΙΠΟΥΣ.

καὶ μὴν παρήσω γ' οὐδὲν, ὡς ὀργῆς ἔχω,
ἅπερ ξυνίημ'. ἴσθι γὰρ δοκῶν ἐμοὶ
καὶ ξυμφυτεῦσαι τοὔργον, εἰργάσθαι θ', ὅσον
μὴ χερσὶ καίνων· εἰ δ' ἐτύγχανες βλέπων,
καὶ τοὔργον ἂν σοῦ τοῦτ' ἔφην εἶναι μόνου.

ΤΕΙΡΕΣΙΑΣ.

ἄληθες; ἐννέπω σὲ τῷ κηρύγματι
ᾧπερ προεῖπας ἐμμένειν, κἀφ' ἡμέρας
τῆς νῦν προσαυδᾶν μήτε τούσδε μήτ' ἐμὲ,
ὡς ὄντι γῆς τῆσδ' ἀνοσίῳ μιάστορι.

ΟΙΔΙΠΟΥΣ.

οὕτως ἀναιδῶς ἐξεκίνησας τόδε
τὸ ῥῆμα; καί που τοῦτο φεύξεσθαι δοκεῖς;

ΤΕΙΡΕΣΙΑΣ.

πέφευγα· τἀληθὲς γὰρ ἰσχῦον τρέφω.

ΟΙΔΙΠΟΥΣ.

πρὸς τοῦ διδαχθείς; οὐ γὰρ ἔκ γε τῆς τέχνης.

ΤΕΙΡΕΣΙΑΣ.

πρὸς σοῦ. σὺ γάρ μ' ἄκοντα προὐτρέψω λέγειν.

ΟΙΔΙΠΟΥΣ.

ποῖον λόγον; λέγ' αὖθις, ὡς μᾶλλον μάθω.

ΤΕΙΡΕΣΙΑΣ.

οὐχὶ ξυνῆκας πρόσθεν; ἢ 'κπειρᾷ λέγειν;

ΟΙΔΙΠΟΥΣ.

οὐχ ὥστε γ' εἰπεῖν γνωστόν· ἀλλ' αὖθις φράσον.

ΤΕΙΡΕΣΙΑΣ.

φονέα σε φημὶ τἀνδρὸς οὗ ζητεῖς κυρεῖν.

ΟΙΔΙΠΟΥΣ.

ἀλλ' οὔ τι χαίρων δίς γε πημονὰς ἐρεῖς.

ΤΕΙΡΕΣΙΑΣ.

εἴπω τι δῆτα κἄλλ', ἵν' ὀργίζῃ πλέον;

ΟΙΔΙΠΟΥΣ.

ὅσον γε χρῄζεις· ὡς μάτην εἰρήσεται.

ΤΕΙΡΕΣΙΑΣ.

λεληθέναι σε φημὶ σὺν τοῖς φιλτάτοις
αἴσχισθ' ὁμιλοῦντ', οὐδ' ὁρᾶν ἵν' εἶ κακοῦ.

ΟΙΔΙΠΟΥΣ.

ἦ καὶ γεγηθὼς ταῦτ' ἀεὶ λέξειν δοκεῖς;

ΤΕΙΡΕΣΙΑΣ.

εἴπερ τί γ' ἐστὶ τῆς ἀληθείας σθένος.

ΟΙΔΙΠΟΥΣ.

ἀλλ' ἔστι, πλὴν σοί. σοὶ δὲ τοῦτ' οὐκ ἔστ', ἐπεὶ
τυφλὸς τά τ' ὦτα τόν τε νοῦν τά τ' ὄμματ' εἶ.

ΤΕΙΡΕΣΙΑΣ.

σὺ δ' ἄθλιός γε ταῦτ' ὀνειδίζων, ἃ σοὶ
οὐδεὶς ὃς οὐχὶ τῶνδ' ὀνειδιεῖ τάχα.

ΟΙΔΙΠΟΥΣ.

μιᾶς τρέφει πρὸς νυκτὸς, ὥστε μήτ' ἐμὲ
μήτ' ἄλλον, ὅστις φῶς ὁρᾷ, βλάψαι ποτ' ἄν.

ΤΕΙΡΕΣΙΑΣ.

οὐ γάρ σε μοῖρα πρός γ' ἐμοῦ πεσεῖν, ἐπεὶ
ἱκανὸς Ἀπόλλων, ᾧ τάδ' ἐκπρᾶξαι μέλει.

ΟΙΔΙΠΟΥΣ.

Κρέοντος, ἢ σοῦ ταῦτα τάξευρήματα;

ΤΕΙΡΕΣΙΑΣ.

Κρέων δέ σοι πῆμ' οὐδὲν, ἀλλ' αὐτὸς σὺ σοί.

ΟΙΔΙΠΟΥΣ.

ὦ πλοῦτε καὶ τυραννὶ καὶ τέχνη τέχνης
ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ,
ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται,
εἰ τῆσδέ γ' ἀρχῆς οὕνεχ', ἣν ἐμοὶ πόλις
δωρητὸν, οὐκ αἰτητὸν, εἰσεχείρισεν,
ταύτης Κρέων ὁ πιστὸς, οὐξ ἀρχῆς φίλος,
λάθρα μ' ὑπελθὼν ἐκβαλεῖν ἱμείρεται,
ὑφεὶς μάγον τοιόνδε μηχανορράφον,
δόλιον ἀγύρτην, ὅστις ἐν τοῖς κέρδεσιν
μόνον δέδορκε, τὴν τέχνην δ' ἔφυ τυφλός.
ἐπεὶ, φέρ' εἰπὲ, ποῦ σὺ μάντις εἶ σαφής;
πῶς οὐχ, ὅθ' ἡ ῥαψῳδὸς ἐνθάδ' ἦν κύων,
ηὔδας τι τοῖσδ' ἀστοῖσιν ἐκλυτήριον;
καίτοι τό γ' αἴνιγμ' οὐχὶ τοὐπιόντος ἦν
ἀνδρὸς διειπεῖν, ἀλλὰ μαντείας ἔδει·
ἣν οὔτ' ἀπ' οἰωνῶν σὺ προὐφάνης ἔχων
οὔτ' ἐκ θεῶν του γνωτόν· ἀλλ' ἐγὼ μολὼν,
ὁ μηδὲν εἰδὼς Οἰδίπους, ἔπαυσά νιν,
γνώμῃ κυρήσας οὐδ' ἀπ' οἰωνῶν μαθών·
ὃν δὴ σὺ πειρᾷς ἐκβαλεῖν, δοκῶν θρόνοις
παραστατήσειν τοῖς Κρεοντείοις πέλας.
κλαίων δοκεῖς μοι καὶ σὺ χὡ συνθεὶς τάδε
ἀγηλατήσειν· εἰ δὲ μὴ 'δόκεις γέρων
εἶναι, παθὼν ἔγνως ἂν οἷά περ φρονεῖς.

ΧΟΡΟΣ.

ἡμῖν μὲν εἰκάζουσι καὶ τὰ τοῦδ' ἔπη
ὀργῇ λελέχθαι καὶ τὰ σ', Οἰδίπου, δοκεῖ.
δεῖ δ' οὐ τοιούτων, ἀλλ' ὅπως τὰ τοῦ θεοῦ
μαντεῖ' ἄριστα λύσομεν, τόδε σκοπεῖν.

ΤΕΙΡΕΣΙΑΣ.

εἰ καὶ τυραννεῖς, ἐξισωτέον τὸ γοῦν
ἴσ' ἀντιλέξαι· τοῦδε γὰρ κἀγὼ κρατῶ.
οὐ γάρ τι σοὶ ζῶ δοῦλος, ἀλλὰ Λοξίᾳ·
ὥστ' οὐ Κρέοντος προστάτου γεγράψομαι.
λέγω δ', ἐπειδὴ καὶ τυφλόν μ' ὠνείδισας·
σὺ καὶ δέδορκας, κοὐ βλέπεις ἵν' εἶ κακοῦ,
οὐδ' ἔνθα ναίεις, οὐδ' ὅτων οἰκεῖς μέτα.
ἆρ' οἶσθ' ἀφ' ὧν εἶ; καὶ λέληθας ἐχθρὸς ὢν
τοῖς σοῖσιν αὐτοῦ νέρθε κἀπὶ γῆς ἄνω,
καί σ' ἀμφιπλὴξ μητρός τε καὶ τοῦ σοῦ πατρὸς
ἐλᾷ ποτ' ἐκ γῆς τῆσδε δεινόπους ἀρὰ,
βλέποντα νῦν μὲν ὄρθ', ἔπειτα δὲ σκότον.
βοῆς δὲ τῆς σῆς ποῖος οὐκ ἔσται λιμὴν,
ποῖος Κιθαιρὼν οὐχὶ σύμφωνος τάχα,
ὅταν καταίσθῃ τὸν ὑμέναιον, ὃν δόμοις
ἄνορμον εἰσέπλευσας, εὐπλοίας τυχών;
ἄλλων δὲ πλῆθος οὐκ ἐπαισθάνει κακῶν,
ἅ σ' ἐξισώσει σοί τε καὶ τοῖς σοῖς τέκνοις.
πρὸς ταῦτα καὶ Κρέοντα καὶ τοὐμὸν στόμα
προπηλάκιζε. σοῦ γὰρ οὐκ ἔστιν βροτῶν
κάκιον ὅστις ἐκτριβήσεταί ποτε.

ΟΙΔΙΠΟΥΣ.

ἦ ταῦτα δῆτ' ἀνεκτὰ πρὸς τούτου κλύειν;
οὐκ εἰς ὄλεθρον; οὐχὶ θᾶσσον; οὐ πάλιν
ἄψορρος οἴκων τῶνδ' ἀποστραφεὶς ἄπει;

ΤΕΙΡΕΣΙΑΣ.

οὐδ' ἱκόμην ἔγωγ' ἂν, εἰ σὺ μὴ 'κάλεις.

ΟΙΔΙΠΟΥΣ.

οὐ γάρ τι σ' ᾔδη μῶρα φωνήσοντ', ἐπεὶ
σχολῇ γ' ἂν οἴκους τοὺς ἐμοὺς ἐστειλάμην.

ΤΕΙΡΕΣΙΑΣ.

ἡμεῖς τοιοίδ' ἔφυμεν, ὡς μὲν σοὶ δοκεῖ,
μῶροι, γονεῦσι δ', οἵ σ' ἔφυσαν, ἔμφρονες.

ΟΙΔΙΠΟΥΣ.

ποίοισι; μεῖνον. τίς δέ μ' ἐκφύει βροτῶν;

ΤΕΙΡΕΣΙΑΣ.

ἥδ' ἡμέρα φύσει σε καὶ διαφθερεῖ.

ΟΙΔΙΠΟΥΣ.

ὡς πάντ' ἄγαν αἰνικτὰ κἀσαφῆ λέγεις.

ΤΕΙΡΕΣΙΑΣ.

οὐκ οὖν σὺ ταῦτ' ἄριστος εὑρίσκειν ἔφυς;

ΟΙΔΙΠΟΥΣ.

τοιαῦτ' ὀνείδιζ', οἷς ἔμ' εὑρήσεις μέγαν.

ΤΕΙΡΕΣΙΑΣ.

αὕτη γε μέντοι σ' ἡ τύχη διώλεσεν.

ΟΙΔΙΠΟΥΣ.

ἀλλ' εἰ πόλιν τήνδ' ἐξέσωσ', οὔ μοι μέλει.

ΤΕΙΡΕΣΙΑΣ.

ἄπειμι τοίνυν· καὶ σὺ, παῖ, κόμιζέ με.

ΟΙΔΙΠΟΥΣ.

κομιζέτω δῆθ'· ὡς παρὼν σύ γ' ἐμποδὼν
ὀχλεῖς, συθείς τ' ἂν οὐκ ἂν ἀλγύναις πλέον.

ΤΕΙΡΕΣΙΑΣ.

εἰπὼν ἄπειμ' ὧν οὕνεκ' ἦλθον, οὐ τὸ σὸν
δείσας πρόσωπον. οὐ γὰρ ἔσθ' ὅπου μ' ὀλεῖς·
λέγω δέ σοι· τὸν ἄνδρα τοῦτον, ὃν πάλαι
ζητεῖς ἀπειλῶν, κἀνακηρύσσων φόνον
τὸν Λαΐειον, οὗτός ἐστιν ἐνθάδε,
ξένος λόγῳ μέτοικος, εἶτα δ' ἐγγενὴς
φανήσεται Θηβαῖος· οὐδ' ἡσθήσεται
τῇ ξυμφορᾷ. τυφλὸς γὰρ ἐκ δεδορκότος
καὶ πτωχὸς ἀντὶ πλουσίου ξένην ἔπι
σκήπτρῳ προδεικνὺς γαῖαν ἐμπορεύσεται.
φανήσεται δὲ παισὶ τοῖς αὑτοῦ ξυνὼν
ἀδελφὸς αὑτὸς καὶ πατὴρ, κἀξ ἧς ἔφυ
γυναικὸς υἱὸς καὶ πόσις, καὶ τοῦ πατρὸς
ὁμόσπορός τε καὶ φονεύς. καὶ ταῦτ' ἰὼν
εἴσω λογίζου· κἂν λάβῃς μ' ἐψευσμένον,
φάσκειν ἔμ' ἤδη μαντικῇ μηδὲν φρονεῖν.

ΧΟΡΟΣ.

τίς ὅντιν' ἁ θεσπιέπεια Δελφὶς εἶπε πέτρα
ἄρρητ' ἀρρήτων τελέσαντα φοινίαισι χερσίν;
ὥρα νιν ἀελλάδων
ἵππων σθεναρώτερον
φυγᾷ πόδα νωμᾶν.
ἔνοπλος γὰρ ἐπ' αὐτὸν ἐπενθρῴσκει
πυρὶ καὶ στεροπαῖς ὁ Διὸς γενέτας·
δειναὶ δ' ἅμ' ἕπονται
Κῆρες ἀναπλάκητοι.
ἔλαμψε γὰρ τοῦ νιφόεντος ἀρτίως φανεῖσα
φάμα Παρνασοῦ τὸν ἄδηλον ἄνδρα πάντ' ἰχνεύειν.
φοιτᾷ γὰρ ὑπ' ἀγρίαν
ὕλαν ἀνά τ' ἄντρα καὶ
πέτρας ἅτε ταῦρος,
μέλεος μελέῳ ποδὶ χηρεύων,
τὰ μεσόμφαλα γᾶς ἀπονοσφίζων

463—472. = 473—482.

μαντεῖα· τὰ δ' ἀεὶ
ζῶντα περιποτᾶται.
δεινὰ μὲν οὖν, δεινὰ ταράσσει σοφὸς οἰωνοθέτας,
οὔτε δοκοῦντ' οὔτ' ἀποφάσκονθ'· ὅ τι λέξω δ' ἀπορῶ.
πέτομαι δ' ἐλπίσιν οὔτ' ἐνθάδ' ὁρῶν οὔτ' ὀπίσω.
τί γὰρ ἢ Λαβδακίδαις
ἢ τῷ Πολύβου νεῖκος ἔκειτ' οὔτε πάροιθέν ποτ' ἔγωγ' οὔτε τανῦν πω
ἔμαθον πρὸς ὅτου δὴ βασάνῳ
ἐπὶ τὰν ἐπίδαμον φάτιν εἶμ' Οἰδιπόδα Λαβδακίδαις
ἐπίκουρος ἀδήλων θανάτων.
ἀλλ' ὁ μὲν οὖν Ζεὺς ὅ τ' Ἀπόλλων ξυνετοὶ καὶ τὰ βροτῶν
εἰδότες· ἀνδρῶν δ' ὅτι μάντις πλέον ἢ 'γὼ φέρεται,
κρίσις οὐκ ἔστιν ἀληθής· σοφίᾳ δ' ἂν σοφίαν
παραμείψειεν ἀνήρ.
ἀλλ' οὔποτ' ἔγωγ' ἄν, πρὶν ἴδοιμ' ὀρθὸν ἔπος, μεμφομένων ἂν καταφαίην.
φανερὰ πτερόεσσ' ἦλθε κόρα
ποτέ, καὶ σοφὸς ὤφθη, βασάνῳ θ' ἡδύπολις· τῷ ἀπ' ἐμᾶς
φρενὸς οὔποτ' ὀφλήσει κακίαν.

ΚΡΕΩΝ.

ἄνδρες πολῖται, δείν' ἔπη πεπυσμένος
κατηγορεῖν μου τὸν τύραννον Οἰδίπουν
πάρειμ' ἀτλητῶν. εἰ γὰρ ἐν ταῖς ξυμφοραῖς
ταῖς νῦν νομίζει πρός γ' ἐμοῦ πεπονθέναι
λόγοισιν εἴτ' ἔργοισιν εἰς βλάβην φέρον,
οὔτοι βίου μοι τοῦ μακραίωνος πόθος,
φέροντι τήνδε βάξιν. οὐ γὰρ εἰς ἁπλοῦν
ἡ ζημία μοι τοῦ λόγου τούτου φέρει,
ἀλλ' ἐς μέγιστον, εἰ κακὸς μὲν ἐν πόλει,
κακὸς δὲ πρὸς σοῦ καὶ φίλων κεκλήσομαι.

ΧΟΡΟΣ.

ἀλλ' ἦλθε μὲν δὴ τοῦτο τοὔνειδος τάχ' ἂν
ὀργῇ βιασθὲν μᾶλλον ἢ γνώμῃ φρενῶν.

ΚΡΕΩΝ.

πρὸς τοῦ δ' ἐφάνθη ταῖς ἐμαῖς γνώμαις ὅτι
πεισθεὶς ὁ μάντις τοὺς λόγους ψευδεῖς λέγοι;

ΧΟΡΟΣ.

ηὐδᾶτο μὲν τάδ'· οἶδα δ' οὐ γνώμῃ τίνι.

ΚΡΕΩΝ.

ἐξ ὀμμάτων δ' ὀρθῶν τε κἀξ ὀρθῆς φρενὸς
κατηγορεῖτο τοὐπίκλημα τοῦτό μου;

ΧΟΡΟΣ.

οὐκ οἶδ'· ἃ γὰρ δρῶσ' οἱ κρατοῦντες οὐχ ὁρῶ.
αὐτὸς δ' ὅδ' ἤδη δωμάτων ἔξω περᾷ.

ΟΙΔΙΠΟΥΣ.

οὗτος σύ, πῶς δεῦρ' ἦλθες; ἦ τοσόνδ' ἔχεις
τόλμης πρόσωπον ὥστε τὰς ἐμὰς στέγας
ἵκου, φονεὺς ὢν τοῦδε τἀνδρὸς ἐμφανῶς
λῃστής τ' ἐναργὴς τῆς ἐμῆς τυραννίδος;
φέρ' εἰπὲ πρὸς θεῶν, δειλίαν ἢ μωρίαν
ἰδών τιν' ἔν μοι ταῦτ' ἐβουλεύσω ποιεῖν;
ἢ τοὔργον ὡς οὐ γνωριοῖμί σου τόδε
δόλῳ προσέρπον κοὐκ ἀλεξοίμην μαθών;

483 — 497. = 498 — 512.

ἆρ' οὐχὶ μῶρόν ἐστι τοὐγχείρημά σου,
ἄνευ τε πλήθους καὶ φίλων τυραννίδα
θηρᾶν, ὃ πλήθει χρήμασίν θ' ἁλίσκεται;

ΚΡΕΩΝ.

οἶσθ' ὡς ποίησον; ἀντὶ τῶν εἰρημένων
ἴσ' ἀντάκουσον, κᾆτα κρῖν' αὐτὸς μαθών.

ΟΙΔΙΠΟΥΣ.

λέγειν σὺ δεινός· μανθάνειν δ' ἐγὼ κακὸς
σοῦ. δυσμενῆ γὰρ καὶ βαρύν σ' εὕρηκ' ἐμοί.

ΚΡΕΩΝ.

τοῦτ' αὐτὸ νῦν μου πρῶτ' ἄκουσον ὡς ἐρῶ.

ΟΙΔΙΠΟΥΣ.

τοῦτ' αὐτὸ μή μοι φράζ', ὅπως οὐκ εἶ κακός.

ΚΡΕΩΝ.

εἴ τοι νομίζεις κτῆμα τὴν αὐθαδίαν
εἶναί τι τοῦ νοῦ χωρίς, οὐκ ὀρθῶς φρονεῖς.

ΟΙΔΙΠΟΥΣ.

εἴ τοι νομίζεις ἄνδρα συγγενῆ κακῶς
δρῶν οὐχ ὑφέξειν τὴν δίκην, οὐκ εὖ φρονεῖς.

ΚΡΕΩΝ.

ξύμφημί σοι ταῦτ' ἔνδικ' εἰρῆσθαι· τὸ δὲ
πάθημ' ὁποῖον φῂς παθεῖν δίδασκέ με.

ΟΙΔΙΠΟΥΣ.

ἔπειθες, ἢ οὐκ ἔπειθες, ὡς χρείη μ' ἐπὶ
τὸν σεμνόμαντιν ἄνδρα πέμψασθαί τινα;

ΚΡΕΩΝ.

καὶ νῦν ἔθ' αὑτός εἰμι τῷ βουλεύματι.

ΟΙΔΙΠΟΥΣ.

πόσον τιν' ἤδη δῆθ' ὁ Λάϊος χρόνον

ΚΡΕΩΝ.

δέδρακε ποῖον ἔργον; οὐ γὰρ ἐννοῶ.

ΟΙΔΙΠΟΥΣ.

ἄφαντος ἔρρει θανασίμῳ χειρώματι;

ΚΡΕΩΝ.

μακροὶ παλαιοί τ' ἂν μετρηθεῖεν χρόνοι.

ΟΙΔΙΠΟΥΣ.

τότ' οὖν ὁ μάντις οὗτος ἦν ἐν τῇ τέχνῃ;

ΚΡΕΩΝ.

σοφός γ' ὁμοίως κἀξ ἴσου τιμώμενος.

ΟΙΔΙΠΟΥΣ.

ἐμνήσατ' οὖν ἐμοῦ τι τῷ τότ' ἐν χρόνῳ;

ΚΡΕΩΝ.

οὔκουν ἐμοῦ γ' ἑστῶτος οὐδαμοῦ πέλας.

ΟΙΔΙΠΟΥΣ.

ἀλλ' οὐκ ἔρευναν τοῦ θανόντος ἔσχετε;

ΚΡΕΩΝ.

παρέσχομεν, πῶς δ' οὐχί; κοὐκ ἠκούσαμεν.

ΟΙΔΙΠΟΥΣ.

πῶς οὖν τόθ' οὗτος ὁ σοφὸς οὐκ ηὔδα τάδε;

ΚΡΕΩΝ.

οὐκ οἶδ'· ἐφ' οἷς γὰρ μὴ φρονῶ σιγᾶν φιλῶ.

ΟΙΔΙΠΟΥΣ.

τοσόνδε γ' οἶσθα καὶ λέγοις ἂν εὖ φρονῶν.

ΚΡΕΩΝ.

ποῖον τόδ'; εἰ γὰρ οἶδά γ', οὐκ ἀρνήσομαι.

ΟΙΔΙΠΟΥΣ.

ὁθούνεκ', εἰ μὴ σοὶ ξυνῆλθε, τὰς ἐμὰς
οὐκ ἄν ποτ' εἶπε Λαΐου διαφθοράς.

ΚΡΕΩΝ.

εἰ μὲν λέγει τάδ᾽, αὐτὸς οἶσθ᾽· ἐγὼ δέ σου
μαθεῖν δικαιῶ ταῦθ᾽ ἅπερ κἀμοῦ σὺ νῦν.

ΟΙΔΙΠΟΥΣ.

ἐκμάνθαν᾽· οὐ γὰρ δὴ φονεὺς ἁλώσομαι.

ΚΡΕΩΝ.

τί δῆτ᾽; ἀδελφὴν τὴν ἐμὴν γήμας ἔχεις;

ΟΙΔΙΠΟΥΣ.

ἄρνησις οὐκ ἔνεστιν ὧν ἀνιστορεῖς.

ΚΡΕΩΝ.

ἄρχεις δ᾽ ἐκείνῃ ταὐτὰ γῆς ἴσον νέμων;

ΟΙΔΙΠΟΥΣ.

ἂν ᾖ θέλουσα πάντ᾽ ἐμοῦ κομίζεται.

ΚΡΕΩΝ.

οὐκ οὖν ἰσοῦμαι σφῷν ἐγὼ δυοῖν τρίτος;

ΟΙΔΙΠΟΥΣ.

ἐνταῦθα γὰρ δὴ καὶ κακὸς φαίνει φίλος.

ΚΡΕΩΝ.

οὐκ, εἰ διδοίης γ᾽ ὡς ἐγὼ σαυτῷ λόγον.
σκέψαι δὲ τοῦτο πρῶτον, εἴ τιν᾽ ἂν δοκεῖς
ἄρχειν ἑλέσθαι ξὺν φόβοισι μᾶλλον ἢ
ἄτρεστον εὕδοντ᾽, εἰ τά γ᾽ αὔθ᾽ ἕξει κράτη.
ἐγὼ μὲν οὖν οὔτ᾽ αὐτὸς ἱμείρων ἔφυν
τύραννος εἶναι μᾶλλον ἢ τύραννα δρᾶν,
οὔτ᾽ ἄλλος ὅστις σωφρονεῖν ἐπίσταται.
νῦν μὲν γὰρ ἐκ σοῦ πάντ᾽ ἄνευ φόβου φέρω·
εἰ δ᾽ αὐτὸς ἦρχον, πολλὰ κἂν ἄκων ἔδρων.
πῶς δῆτ᾽ ἐμοὶ τυραννὶς ἡδίων ἔχειν
ἀρχῆς ἀλύπου καὶ δυναστείας ἔφυ;
οὔπω τοσοῦτον ἠπατημένος κυρῶ
ὥστ᾽ ἄλλα χρῄζειν ἢ τὰ σὺν κέρδει καλά.
νῦν πᾶσι χαίρω, νῦν με πᾶς ἀσπάζεται,
νῦν οἱ σέθεν χρῄζοντες ἐκκαλοῦσί με.
τὸ γὰρ τυχεῖν αὐτοῖς ἅπαντ᾽ ἐνταῦθ᾽ ἔνι.
πῶς δῆτ᾽ ἐγὼ κεῖν᾽ ἂν λάβοιμ᾽ ἀφεὶς τάδε;
οὐκ ἂν γένοιτο νοῦς κακὸς καλῶς φρονῶν.
ἀλλ᾽ οὔτ᾽ ἐραστὴς τῆσδε τῆς γνώμης ἔφυν
οὔτ᾽ ἂν μετ᾽ ἄλλου δρῶντος ἂν τλαίην ποτέ.
καὶ τῶνδ᾽ ἔλεγχον τοῦτο μὲν Πυθώδ᾽ ἰὼν
πεύθου τὰ χρησθέντ᾽, εἰ σαφῶς ἤγγειλά σοι·
τοῦτ᾽ ἄλλ᾽, ἐάν με τῷ τερασκόπῳ λάβῃς
κοινῇ τι βουλεύσαντα, μή μ᾽ ἁπλῇ κτάνῃς
ψήφῳ, διπλῇ δὲ, τῇ τ᾽ ἐμῇ καὶ σῇ, λαβών.
γνώμῃ δ᾽ ἀδήλῳ μή με χωρὶς αἰτιῶ.
οὐ γὰρ δίκαιον οὔτε τοὺς κακοὺς μάτην
χρηστοὺς νομίζειν οὔτε τοὺς χρηστοὺς κακούς.
φίλον γὰρ ἐσθλὸν ἐκβαλεῖν ἴσον λέγω
καὶ τὸν παρ᾽ αὑτῷ βίοτον, ὃν πλεῖστον φιλεῖ.
ἀλλ᾽ ἐν χρόνῳ γνώσει τάδ᾽ ἀσφαλῶς· ἐπεὶ
χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος·
κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μιᾷ.

ΧΟΡΟΣ.

καλῶς ἔλεξεν εὐλαβουμένῳ πεσεῖν,
ἄναξ. φρονεῖν γὰρ οἱ ταχεῖς οὐκ ἀσφαλεῖς.

ΟΙΔΙΠΟΥΣ.

ὅταν ταχύς τις οὑπιβουλεύων λάθρα
χωρῇ, ταχὺν δεῖ κἀμὲ βουλεύειν πάλιν.
εἰ δ᾽ ἡσυχάζων προσμενῶ, τὰ τοῦδε μὲν
πεπραγμέν᾽ ἔσται, τἀμὰ δ᾽ ἡμαρτημένα.

ΚΡΕΩΝ.

τί δῆτα χρῄζεις; ἦ με γῆς ἔξω βαλεῖν;

ΟΙΔΙΠΟΥΣ.

ἥκιστα. θνήσκειν, οὐ φυγεῖν σε βούλομαι.

ΚΡΕΩΝ.

ὅταν προδείξῃς οἷόν ἐστι τὸ φθονεῖν.

ΟΙΔΙΠΟΥΣ.

ὡς οὐχ ὑπείξων οὐδὲ πιστεύσων λέγεις;

ΚΡΕΩΝ.

οὐ γὰρ φρονοῦντά σ᾽ εὖ βλέπω.

ΟΙΔΙΠΟΥΣ.

τὸ γοῦν ἐμοί

ΚΡΕΩΝ.

ἀλλ᾽ ἐξ ἴσου δεῖ κἀμόν.

ΟΙΔΙΠΟΥΣ.

ἀλλ᾽ ἔφυς κακός.

ΚΡΕΩΝ.

εἰ δὲ ξυνίης μηδέν;

ΟΙΔΙΠΟΥΣ.

ἀρκτέον γ᾽ ὅμως.

ΚΡΕΩΝ.

οὔτοι κακῶς γ᾽ ἄρχοντος.

ΟΙΔΙΠΟΥΣ.

ὦ πόλις πόλις.

ΚΡΕΩΝ.

κἀμοὶ πόλεως μέτεστιν, οὐχὶ σοὶ μόνῳ.

ΧΟΡΟΣ.

παύσασθ᾽, ἄνακτες· καιρίαν δ᾽ ὑμῖν ὁρῶ
τήνδ᾽ ἐκ δόμων στείχουσαν Ἰοκάστην, μεθ᾽ ἧ
τὸ νῦν παρεστὸς νεῖκος εὖ θέσθαι χρεών.

ΙΟΚΑΣΤΗ.

τί τὴν ἄβουλον, ὦ ταλαίπωροι, στάσιν
γλώσσης ἐπήρασθ᾽ οὐδ᾽ ἐπαισχύνεσθε γῆς
οὕτω νοσούσης ἴδια κινοῦντες κακά;
οὐκ εἶ σύ τ᾽ οἴκους σύ τε, Κρέον, κατὰ στέγ
καὶ μὴ τὸ μηδὲν ἄλγος εἰς μέγ᾽ οἴσετε;

ΚΡΕΩΝ.

ὅμαιμε, δεινά μ᾽ Οἰδίπους ὁ σὸς πόσις
δρᾶσαι δικαιοῖ, δυοῖν ἀποκρίνας κακοῖν.
ἢ γῆς ἀπῶσαι πατρίδος, ἢ κτεῖναι λαβών.

ΟΙΔΙΠΟΥΣ.

ξύμφημι· δρῶντα γάρ νιν, ὦ γύναι, κακῶς
εἴληφα τοὐμὸν σῶμα σὺν τέχνῃ κακῇ.

ΚΡΕΩΝ.

μὴ νῦν ὀναίμην, ἀλλ᾽ ἀραῖος, εἴ σέ τι
δέδρακ᾽, ὀλοίμην, ὧν ἐπαιτιᾷ με δρᾶν.

ΙΟΚΑΣΤΗ.

ὦ πρὸς θεῶν πίστευσον, Οἰδίπου, τάδε,
μάλιστα μὲν τόνδ᾽ ὅρκον αἰδεσθεὶς θεῶν,
ἔπειτα κἀμὲ, τούσδε θ᾽ οἳ πάρεισί σοι.

ΧΟΡΟΣ.

649 πιθοῦ θελήσας φρονήσας τ᾽, ἄναξ, λίσσομαι

ΟΙΔΙΠΟΥΣ.

τί σοι θέλεις δῆτ᾽ εἰκάθω;

ΧΟΡΟΣ.

τὸν οὔτε πρὶν νήπιον νῦν τ᾽ ἐν ὅρκῳ μ
καταίδεσαι.

649—659. = 678—688.

ΟΙΔΙΠΟΥΣ.

εἶσθ' οὖν ἃ χρῄζεις;

ΧΟΡΟΣ.

οἶδα.

ΟΙΔΙΠΟΥΣ.

φράζε δὴ τί φῄς.

ΧΟΡΟΣ.

τὸν ἐναγῆ φίλον μήποτ' ἐν αἰτίᾳ
σὺν ἀφανεῖ λόγῳ ἄτιμον βαλεῖν.

ΟΙΔΙΠΟΥΣ.

εὖ νυν ἐπίστω, ταῦθ' ὅταν ζητῇς, ἐμοὶ
ζητῶν ὄλεθρον ἢ φυγὴν ἐκ τῆσδε γῆς.

ΧΟΡΟΣ.

οὐ τὸν πάντων θεῶν θεὸν πρόμον
Ἅλιον· ἐπεὶ ἄθεος ἄφιλος ὅ τι πύματον
ὀλοίμαν, φρόνησιν εἰ τάνδ' ἔχω.
ἀλλά μοι δυσμόρῳ γᾶ φθίνουσα
τρύχει ψυχάν, τάδ' εἰ κακοῖς κακὰ
προσάψει τοῖς πάλαι τὰ πρὸς σφῷν.

ΟΙΔΙΠΟΥΣ.

ὁ δ' οὖν ἴτω, κεἰ χρή με παντελῶς θανεῖν,
ἢ γῆς ἄτιμον τῆσδ' ἀπωσθῆναι βίᾳ.
τὸ γὰρ σὸν, οὐ τὸ τοῦδ', ἐποικτείρω στόμα
ἐλεινόν· οὗτος δ' ἔνθ' ἂν ᾖ στυγήσεται.

ΚΡΕΩΝ.

στυγνὸς μὲν εἴκων δῆλος εἶ, βαρὺς δ', ὅταν
θυμοῦ περάσῃς. αἱ δὲ τοιαῦται φύσεις
αὑταῖς δικαίως εἰσὶν ἄλγισται φέρειν.

ΟΙΔΙΠΟΥΣ.

οὔκουν μ' ἐάσεις κἀκτὸς εἶ;

ΚΡΕΩΝ.

πορεύσομαι,
σοῦ μὲν τυχὼν ἀγνῶτος, ἐν δὲ τοῖσδ' ἴσος.

ΧΟΡΟΣ.

γύναι, τί μέλλεις κομίζειν δόμων τόνδ' ἔσω;

ΙΟΚΑΣΤΗ.

μαθοῦσά γ' ἥτις ἡ τύχη.

ΧΟΡΟΣ.

δόκησις ἀγνὼς λόγων ἦλθε, δάπτει δὲ καὶ τὸ
μὴ 'νδικον.

ΙΟΚΑΣΤΗ.

ἀμφοῖν ἀπ' αὐτοῖν;

ΧΟΡΟΣ.

ναίχι.

ΙΟΚΑΣΤΗ.

καὶ τίς ἦν λόγος;

ΧΟΡΟΣ.

ἅλις ἔμοιγ', ἅλις, γᾶς προπονουμένας,
φαίνεται ἔνθ' ἔληξεν, αὐτοῦ μένειν.

ΟΙΔΙΠΟΥΣ.

ὁρᾷς ἵν' ἥκεις, ἀγαθὸς ὢν γνώμην ἀνὴρ,
τοὐμὸν παριεὶς καὶ καταμβλύνων κέαρ;

ΧΟΡΟΣ.

ὦναξ, εἶπον μὲν οὐχ ἅπαξ μόνον,
ἴσθι δὲ παραφρόνιμον, ἄπορον ἐπὶ φρόνιμα
πεφάνθαι μ' ἂν, εἴ σε νοσφίζομαι,
ὅστ' ἐμὰν γᾶν φίλαν ἐν πόνοις
ἀλύουσαν κατ' ὀρθὸν οὔρισας,
τανῦν τ' εὔπομπος, εἰ δύναιο.

660—668. = 689—697.

ΙΟΚΑΣΤΗ.

πρὸς θεῶν δίδαξον κἄμ', ἄναξ, ὅτου ποτὲ
μῆνιν τοσήνδε πράγματος στήσας ἔχεις.

ΟΙΔΙΠΟΥΣ.

ἐρῶ· σὲ γὰρ τῶνδ' ἐς πλέον, γύναι, σέβω·
Κρέοντος, οἷά μοι βεβουλευκὼς ἔχει.

ΙΟΚΑΣΤΗ.

λέγ', εἰ σαφῶς τὸ νεῖκος ἐγκαλῶν ἐρεῖς.

ΟΙΔΙΠΟΥΣ.

φονέα με φησὶ Λαΐου καθεστάναι.

ΙΟΚΑΣΤΗ.

αὐτὸς ξυνειδὼς, ἢ μαθὼν ἄλλου πάρα;

ΟΙΔΙΠΟΥΣ.

μάντιν μὲν οὖν κακοῦργον εἰσπέμψας, ἐπεὶ
τό γ' εἰς ἑαυτὸν πᾶν ἐλευθεροῖ στόμα.

ΙΟΚΑΣΤΗ.

σὺ νῦν ἀφεὶς σεαυτὸν ὧν λέγεις πέρι,
ἐμοῦ 'πάκουσον καὶ μάθ' οὕνεκ' ἐστί σοι
βρότειον οὐδὲν μαντικῆς ἔχον τέχνης.
φανῶ δέ σοι σημεῖα τῶνδε σύντομα.
χρησμὸς γὰρ ἦλθε Λαΐῳ ποτ', οὐκ ἐρῶ
Φοίβου γ' ἀπ' αὐτοῦ, τῶν δ' ὑπηρετῶν ἄπο,
ὡς αὐτὸν ἥξοι μοῖρα πρὸς παιδὸς θανεῖν,
ὅστις γένοιτ' ἐμοῦ τε κἀκείνου πάρα.
καὶ τὸν μὲν, ὥσπερ γ' ἡ φάτις, ξένοι ποτὲ
λῃσταὶ φονεύουσ' ἐν τριπλαῖς ἁμαξιτοῖς·
παιδὸς δὲ βλάστας οὐ διέσχον ἡμέραι
τρεῖς, καί νιν ἄρθρα κεῖνος ἐνζεύξας ποδοῖν,
ἔρριψεν ἄλλων χερσὶν εἰς ἄβατον ὄρος.
κἀνταῦθ' Ἀπόλλων οὔτ' ἐκεῖνον ἤνυσεν
φονέα γενέσθαι πατρὸς οὔτε Λάϊον,
τὸ δεινὸν οὑφοβεῖτο, πρὸς παιδὸς θανεῖν.
τοιαῦτα φῆμαι μαντικαὶ διώρισαν,
ὧν ἐντρέπου σὺ μηδέν. ὧν γὰρ ἂν θεὸς
χρείαν ἐρευνᾷ ῥᾳδίως αὐτὸς φανεῖ.

ΟΙΔΙΠΟΥΣ.

οἷόν μ' ἀκούσαντ' ἀρτίως ἔχει, γύναι,
ψυχῆς πλάνημα κἀνακίνησις φρενῶν.

ΙΟΚΑΣΤΗ.

ποίας μερίμνης τοῦθ' ὑποστραφεὶς λέγεις;

ΟΙΔΙΠΟΥΣ.

ἔδοξ' ἀκοῦσαι σοῦ τόδ', ὡς ὁ Λάϊος
κατασφαγείη πρὸς τριπλαῖς ἁμαξιτοῖς.

ΙΟΚΑΣΤΗ.

ηὐδᾶτο γὰρ ταῦτ' οὐδέ πω λήξαντ' ἔχει.

ΟΙΔΙΠΟΥΣ.

καὶ ποῦ 'σθ' ὁ χῶρος οὗτος οὗ τόδ' ἦν πάθος;

ΙΟΚΑΣΤΗ.

Φωκὶς μὲν ἡ γῆ κλῄζεται, σχιστὴ δ' ὁδὸς
ἐς ταὐτὸ Δελφῶν κἀπὸ Δαυλίας ἄγει.

ΟΙΔΙΠΟΥΣ.

καὶ τίς χρόνος τοῖσδ' ἐστὶν οὑξεληλυθώς;

ΙΟΚΑΣΤΗ.

σχεδόν τι πρόσθεν ἢ σὺ τῆσδ' ἔχων χθονὸς
ἀρχὴν ἐφαίνου τοῦτ' ἐκηρύχθη πόλει.

ΟΙΔΙΠΟΥΣ.

ὦ Ζεῦ, τί μου δρᾶσαι βεβούλευσαι πέρι;

ΙΟΚΑΣΤΗ.

τί δ' ἐστί σοι τοῦτ', Οἰδίπους, ἐνθύμιον;

ΟΙΔΙΠΟΥΣ.

μήπω μ' ἐρώτα. τὸν δὲ Λάϊον φύσιν
τίν' εἶχε φράζε, τίνα δ' ἀκμὴν ἥβης ἔχων.

ΙΟΚΑΣΤΗ.

μέγας, χνοάζων ἄρτι λευκανθὲς κάρα,
μορφῆς δὲ τῆς σῆς οὐκ ἀπεστάτει πολύ.

ΟΙΔΙΠΟΥΣ.

οἴμοι τάλας· ἔοικ' ἐμαυτὸν εἰς ἀρὰς
δεινὰς προβάλλων ἀρτίως οὐκ εἰδέναι.

ΙΟΚΑΣΤΗ.

πῶς φῄς; ὀκνῶ τοι πρὸς σ' ἀποσκοποῦσ', ἄναξ.

ΟΙΔΙΠΟΥΣ.

δεινῶς ἀθυμῶ μὴ βλέπων ὁ μάντις ᾖ.
δείξεις δὲ μᾶλλον, ἢν ἓν ἐξείπῃς ἔτι.

ΙΟΚΑΣΤΗ.

καὶ μὴν ὀκνῶ μὲν, ἃν δ' ἔρῃ μαθοῦσ' ἐρῶ.

ΟΙΔΙΠΟΥΣ.

πότερον ἐχώρει βαιὸς, ἢ πολλοὺς ἔχων
ἄνδρας λοχίτας οἷ' ἀνὴρ ἀρχηγέτης;

ΙΟΚΑΣΤΗ.

πέντ' ἦσαν οἱ ξύμπαντες, ἐν δ' αὐτοῖσιν ἦν
κήρυξ· ἀπήνη δ' ἦγε Λάϊον μία.

ΟΙΔΙΠΟΥΣ.

αἰαῖ, τάδ' ἤδη διαφανῆ. τίς ἦν ποτὲ
ὁ τούσδε λέξας τοὺς λόγους ὑμῖν, γύναι;

ΙΟΚΑΣΤΗ.

οἰκεύς τις, ὅσπερ ἵκετ' ἐκσωθεὶς μόνος.

ΟΙΔΙΠΟΥΣ.

ἦ κἀν δόμοισι τυγχάνει τανῦν παρών;

ΙΟΚΑΣΤΗ.

οὐ δῆτ'· ἀφ' οὗ γὰρ κεῖθεν ἦλθε καὶ κράτη
σέ τ' εἶδ' ἔχοντα Λάϊόν τ' ὀλωλότα,
ἐξικέτευσε τῆς ἐμῆς χειρὸς θιγὼν
ἀγρούς σφε πέμψαι κἀπὶ ποιμνίων νομὰς,
ὡς πλεῖστον εἴη τοῦδ' ἄποπτος ἄστεως.
κἄπεμψ' ἐγώ νιν. ἄξιος γὰρ οἷ' ἀνὴρ
δοῦλος φέρειν ἦν τῆσδε καὶ μείζω χάριν.

ΟΙΔΙΠΟΥΣ.

πῶς ἂν μόλοι δῆθ' ἡμὶν ἐν τάχει πάλιν;

ΙΟΚΑΣΤΗ.

πάρεστιν. ἀλλὰ πρὸς τί τοῦτ' ἐφίεσαι;

ΟΙΔΙΠΟΥΣ.

δέδοικ' ἐμαυτὸν, ὦ γύναι, μὴ πόλλ' ἄγαν
εἰρημέν' ᾖ μοι δι' ἅ νιν εἰσιδεῖν θέλω.

ΙΟΚΑΣΤΗ.

ἀλλ' ἵξεται μέν· ἀξία δέ που μαθεῖν
κἀγὼ τά γ' ἐν σοὶ δυσφόρως ἔχοντ', ἄναξ.

ΟΙΔΙΠΟΥΣ.

κοὐ μὴ στερηθῇς γ' ἐς τοσοῦτον ἐλπίδων
ἐμοῦ βεβῶτος. τῷ γὰρ ἂν καὶ μείζονι
λέξαιμ' ἂν ἢ σοὶ διὰ τύχης τοιᾶσδ' ἰών;
ἐμοὶ πατὴρ μὲν Πόλυβος ἦν Κορίνθιος,
μήτηρ δὲ Μερόπη Δωρίς. ἠγόμην δ' ἀνὴρ
ἀστῶν μέγιστος τῶν ἐκεῖ, πρίν μοι τύχη
τοιάδ' ἐπέστη, θαυμάσαι μὲν ἀξία,
σπουδῆς γε μέντοι τῆς ἐμῆς οὐκ ἀξία.
ἀνὴρ γὰρ ἐν δείπνοις μ' ὑπερπλησθεὶς μέθῃ
καλεῖ παρ' οἴνῳ, πλαστὸς ὡς εἴην πατρί.
κἀγὼ βαρυνθεὶς τὴν μὲν οὖσαν ἡμέραν
μόλις κατέσχον· θατέρᾳ δ' ἰὼν πέλας
μητρὸς πατρός τ' ἤλεγχον· οἱ δὲ δυσφόρως
τοὔνειδος ἦγον τῷ μεθέντι τὸν λόγον.
κἀγὼ τὰ μὲν κείνοιν ἐτερπόμην, ὅμως δ'
ἔκνιζέ μ' ἀεὶ τοῦθ'· ὑφεῖρπε γὰρ πολύ.
λάθρα δὲ μητρὸς καὶ πατρὸς πορεύομαι
Πυθώδε. καί μ' ὁ Φοῖβος ὧν μὲν ἱκόμην
ἄτιμον ἐξέπεμψεν, ἄλλα δ' ἄθλια
καὶ δεινὰ καὶ δύστηνα προὐφάνη λέγων,
ὡς μητρὶ μὲν χρείη με μιχθῆναι, γένος δ'
ἄτλητον ἀνθρώποισι δηλώσοιμ' ὁρᾶν,
φονεὺς δ' ἐσοίμην τοῦ φυτεύσαντος πατρός.
κἀγὼ 'πακούσας ταῦτα τὴν Κορινθίαν
ἄστροις τὸ λοιπὸν ἐκμετρούμενος χθόνα
ἔφευγον, ἔνθα μήποτ' ὀψοίμην κακῶν
χρησμῶν ὀνείδη τῶν ἐμῶν τελούμενα.
στείχων δ' ἱκνοῦμαι τούσδε τοὺς χώρους ἐν
σὺ τὸν τύραννον τοῦτον ὄλλυσθαι λέγεις.
καί σοι, γύναι, τἀληθὲς ἐξερῶ. τριπλῆς
ὅτ' ἦν κελεύθου τῆσδ' ὁδοιπορῶν πέλας,
ἐνταῦθά μοι κῆρυξ τε κἀπὶ πωλικῆς
ἀνὴρ ἀπήνης ἐμβεβὼς, οἷον σὺ φῄς,
ξυνηντίαζον· κἀξ ὁδοῦ μ' ὅ θ' ἡγεμὼν
αὐτός θ' ὁ πρέσβυς πρὸς βίαν ἠλαυνέτην.
κἀγὼ τὸν ἐκτρέποντα, τὸν τροχηλάτην,
παίω δι' ὀργῆς· καί μ' ὁ πρέσβυς ὡς ὁρᾷ,
ὄχου παραστείχοντα τηρήσας μέσον
κάρα διπλοῖς κέντροισί μου καθίκετο.
οὐ μὴν ἴσην γ' ἔτισεν, ἀλλὰ συντόμως
σκήπτρῳ τυπεὶς ἐκ τῆσδε χειρὸς ὕπτιος
μέσης ἀπήνης εὐθὺς ἐκκυλίνδεται·
κτείνω δὲ τοὺς ξύμπαντας. εἰ δὲ τῷ ξένῳ
τούτῳ προσήκει Λαΐῳ τι συγγενὲς,
τίς τοῦδε νῦν ἔστ' ἀνδρὸς ἀθλιώτερος;
τίς ἐχθροδαίμων μᾶλλον ἂν γένοιτ' ἀνήρ;
ᾧ μὴ ξένων ἔξεστι μηδ' ἀστῶν τινὰ
δόμοις δέχεσθαι, μηδὲ προσφωνεῖν τινὰ,
ὠθεῖν δ' ἀπ' οἴκων. καὶ τάδ' οὔτις ἄλλος
ἦ 'γὼ 'π' ἐμαυτῷ τάσδ' ἀρὰς ὁ προστιθείς.
λέχη δὲ τοῦ θανόντος ἐν χεροῖν ἐμαῖν
χραίνω, δι' ὧνπερ ὤλετ'. ἆρ' ἔφυν κακός;
ἆρ' οὐχὶ πᾶς ἄναγνος; εἴ με χρὴ φυγεῖν,
καί μοι φυγόντι μήτε τοὺς ἐμοὺς ἰδεῖν
μήτ' ἐμβατεύειν πατρίδος· ἢ γάμοις με δε
μητρὸς ζυγῆναι καὶ πατέρα κατακτανεῖν
Πόλυβον, ὃς ἐξέφυσε κἀξέθρεψέ με.
ἆρ' οὐκ ἀπ' ὠμοῦ ταῦτα δαίμονός τις ἂν
κρίνων ἐπ' ἀνδρὶ τῷδ' ἂν ὀρθοίη λόγον;
μὴ δῆτα μὴ δῆτ', ὦ θεῶν ἁγνὸν σέβας,
ἴδοιμι ταύτην ἡμέραν, ἀλλ' ἐκ βροτῶν
βαίην ἄφαντος πρόσθεν ἢ τοιάνδ' ἰδεῖν
κηλῖδ' ἐμαυτῷ συμφορᾶς ἀφιγμένην.

ΧΟΡΟΣ.

ἡμῖν μὲν, ὦναξ, ταῦτ' ὀκνήρ'· ἕως δ' ἂ
πρὸς τοῦ παρόντος ἐκμάθῃς, ἔχ' ἐλπίδα.

ΟΙΔΙΠΟΥΣ.

καὶ μὴν τοσοῦτόν γ' ἐστί μοι τῆς ἐλπίδος
τὸν ἄνδρα τὸν βοτῆρα προσμεῖναι μόνον.

ΙΟΚΑΣΤΗ.

πεφασμένου δὲ τίς ποθ' ἡ προθυμία;

ΟΙΔΙΠΟΥΣ.

ἐγὼ διδάξω σ᾽· ἢν γὰρ εὑρεθῇ λέγων
σοὶ ταὔτ᾽, ἔγωγ᾽ ἂν ἐκπεφευγοίην πάθος.

ΙΟΚΑΣΤΗ.

ποῖον δέ μου περισσὸν ἤκουσας λόγον;

ΟΙΔΙΠΟΥΣ.

λῃστὰς ἔφασκες αὐτὸν ἄνδρας ἐννέπειν
ὥς νιν κατακτείνειαν. εἰ μὲν οὖν ἔτι
λέξει τὸν αὐτὸν ἀριθμὸν, οὐκ ἐγὼ 'κτανον.
οὐ γὰρ γένοιτ᾽ ἂν εἷς γε τοῖς πολλοῖς ἴσος.
εἰ δ᾽ ἄνδρ᾽ ἕν᾽ οἰόζωνον αὐδήσει, σαφῶς
τοῦτ᾽ ἐστὶν ἤδη τοὔργον εἰς ἐμὲ ῥέπον.

ΙΟΚΑΣΤΗ.

ἀλλ᾽ ὡς φανέν γε τοὔπος ὧδ᾽ ἐπίστασο,
κοὐκ ἔστιν αὐτῷ τοῦτό γ᾽ ἐκβαλεῖν πάλιν.
πόλις γὰρ ἤκουσ᾽, οὐκ ἐγὼ μόνη, τάδε.
εἰ δ᾽ οὖν τι κἀκτρέποιτο τοῦ πρόσθεν λόγου,
οὔτοι ποτ᾽, ὦναξ, τόν γε Λαΐου φόνον
φανεῖ δικαίως ὀρθὸν, ὅν γε Λοξίας
διεῖπε χρῆναι παιδὸς ἐξ ἐμοῦ θανεῖν.
καίτοι νιν οὐ κεῖνός γ᾽ ὁ δύστηνός ποτε
κατέκταν᾽, ἀλλ᾽ αὐτὸς πάροιθεν ὤλετο.
ὥστ᾽ οὐχὶ μαντείας γ᾽ ἂν οὔτε τῇδ᾽ ἐγὼ
βλέψαιμ᾽ ἂν οὕνεκ᾽ οὔτε τῇδ᾽ ἂν ὕστερον.

ΟΙΔΙΠΟΥΣ.

καλῶς νομίζεις. ἀλλ᾽ ὅμως τὸν ἐργάτην
πέμψον τινὰ στελοῦντα μηδὲ τοῦτ᾽ ἀφῇς.

ΙΟΚΑΣΤΗ.

πέμψω ταχύνασ᾽· ἀλλ᾽ ἴωμεν εἰς δόμους.
οὐδὲν γὰρ ἂν πράξαιμ᾽ ἂν ὧν οὐ σοὶ φίλον.

ΧΟΡΟΣ.

εἴ μοι ξυνείη φέροντι
μοῖρα τὰν εὔσεπτον ἁγνείαν λόγων
ἔργων τε πάντων, ὧν νόμοι πρόκεινται
ὑψίποδες, οὐρανίαν
δι᾽ αἰθέρα τεκνωθέντες, ὧν Ὄλυμπος
πατὴρ μόνος, οὐδέ νιν
θνατὰ φύσις ἀνέρων
ἔτικτεν, οὐδὲ μήν ποτε λάθα κατακοιμάσει·
μέγας ἐν τούτοις θεὸς, οὐδὲ γηράσκει.
ὕβρις φυτεύει τύραννον·
ὕβρις, εἰ πολλῶν ὑπερπλησθῇ μάταν,
ἃ μὴ 'πίκαιρα μηδὲ συμφέροντα,
ἀκρότατον εἰσαναβᾶσ᾽
* * ἀπότομον ὤρουσεν εἰς ἀνάγκαν,
ἔνθ᾽ οὐ ποδὶ χρησίμῳ
χρῆται. τὸ καλῶς δ᾽ ἔχον
πόλει πάλαισμα μήποτε λῦσαι θεὸν αἰτοῦμαι.
θεὸν οὐ λήξω ποτὲ προστάταν ἴσχων.
εἰ δέ τις ὑπέροπτα χερσὶν
ἢ λόγῳ πορεύεται,
Δίκας ἀφόβητος, οὐδὲ
δαιμόνων ἕδη σέβων,
κακά νιν ἕλοιτο μοῖρα,
δυσπότμου χάριν χλιδᾶς,
εἰ μὴ τὸ κέρδος κερδανεῖ δικαίως,
καὶ τῶν ἀσέπτων ἕρξεται,
ἢ τῶν ἀθίκτων ἕξεται ματάζων.
τίς ἔτι ποτ᾽ ἐν τοῖσδ᾽ ἀνὴρ θυμοῦ βέλη
ἔρξεται ψυχᾶς ἀμύνειν;
εἰ γὰρ αἱ τοιαίδε πράξεις τίμιαι,
τί δεῖ με χορεύειν;
οὐκ ἔτι τὸν ἄθικτον εἶμι
γᾶς ἐπ᾽ ὀμφαλὸν σέβων,
οὐδ᾽ ἐς τὸν Ἄβαισι ναὸν,
οὐδὲ τὰν Ὀλυμπίαν,
εἰ μὴ τάδε χειρόδεικτα
πᾶσιν ἁρμόσει βροτοῖς.
ἀλλ᾽, ὦ κρατύνων, εἴπερ ὄρθ᾽ ἀκούεις,
Ζεῦ, πάντ᾽ ἀνάσσων, μὴ λάθοι
σὲ τάν τε σὰν ἀθάνατον αἰὲν ἀρχάν.
φθίνοντα γὰρ * * * Λαΐου
θέσφατ᾽ ἐξαιροῦσιν ἤδη,
κοὐδαμοῦ τιμαῖς Ἀπόλλων ἐμφανής·
ἔρρει δὲ τὰ θεῖα.

ΙΟΚΑΣΤΗ.

χώρας ἄνακτες, δόξα μοι παρεστάθη
ναοὺς ἱκέσθαι δαιμόνων, τάδ᾽ ἐν χεροῖν
στέφη λαβούσῃ κἀπιθυμιάματα.
ὑψοῦ γὰρ αἴρει θυμὸν Οἰδίπους ἄγαν
λύπαισι παντοίαισιν· οὐδ᾽ ὁποῖ᾽ ἀνὴρ
ἔννους τὰ καινὰ τοῖς πάλαι τεκμαίρεται,
ἀλλ᾽ ἐστὶ τοῦ λέγοντος, ἢν φόβους λέγῃ.
ὅτ᾽ οὖν παραινοῦσ᾽ οὐδὲν ἐς πλέον ποιῶ,
πρὸς σ᾽, ὦ Λύκει᾽ Ἄπολλον, ἄγχιστος γὰρ εἶ,
ἱκέτις ἀφῖγμαι τοῖσδε σὺν κατεύγμασιν,
ὅπως λύσιν τιν᾽ ἡμὶν εὐαγῆ πόρῃς·
ὡς νῦν ὀκνοῦμεν πάντες ἐκπεπληγμένον
κεῖνον βλέποντες ὡς κυβερνήτην νεώς.

ΑΓΓΕΛΟΣ.

ἆρ᾽ ἂν παρ᾽ ὑμῶν, ὦ ξένοι, μάθοιμ᾽ ὅπου
τὰ τοῦ τυράννου δώματ᾽ ἐστὶν Οἰδίπου;
μάλιστα δ᾽ αὐτὸν εἴπατ᾽, εἰ κάτισθ᾽ ὅπου.

ΧΟΡΟΣ.

στέγαι μὲν αἵδε· καὐτὸς ἔνδον, ὦ ξένε·
γυνὴ δὲ μήτηρ ἥδε τῶν κείνου τέκνων.

ΑΓΓΕΛΟΣ.

ἀλλ᾽ ὀλβία τε καὶ ξὺν ὀλβίοις ἀεὶ
γένοιτ᾽, ἐκείνου γ᾽ οὖσα παντελὴς δάμαρ.

ΙΟΚΑΣΤΗ.

αὔτως δὲ καὶ σύ γ᾽, ὦ ξέν᾽· ἄξιος γὰρ εἶ
τῆς εὐεπείας οὕνεκ᾽. ἀλλὰ φράζ᾽ ὅτου
χρῄζων ἀφῖξαι χὤ τι σημῆναι θέλων.

ΑΓΓΕΛΟΣ.

ἀγαθὰ δόμοις τε καὶ πόσει τῷ σῷ, γύναι.

ΙΟΚΑΣΤΗ.

τὰ ποῖα ταῦτα; παρὰ τίνος δ᾽ ἀφιγμένος;

ΑΓΓΕΛΟΣ.

ἐκ τῆς Κορίνθου. τὸ δ᾽ ἔπος οὐξερῶ τάχα
ἥδοιο μὲν, πῶς δ᾽ οὐκ ἄν, ἀσχάλλοις δ᾽ ἴσως.

ΙΟΚΑΣΤΗ.

τί δ᾽ ἔστι, ποίαν δύναμιν ὧδ᾽ ἔχει διπλῆν;

ΑΓΓΕΛΟΣ.

τύραννον αὐτὸν οὐπιχώριοι χθονὸς
τῆς Ἰσθμίας στήσουσιν, ὡς ηὐδᾶτ᾽ ἐκεῖ.

ΙΟΚΑΣΤΗ.

τί δ᾽; οὐχ ὁ πρέσβυς Πόλυβος ἐγκρατὴς ἔτι;

863—872. == 873—882.
883—896. == 897—910.

ΑΓΓΕΛΟΣ.
οὐ δῆτ᾽, ἐπεί νιν θάνατος ἐν τάφοις ἔχει.
ΙΟΚΑΣΤΗ.
πῶς εἶπας; ἦ τέθνηκε Πόλυβος, ὦ γέρον;
ΑΓΓΕΛΟΣ.
εἰ μὴ λέγω τἀληθὲς, ἀξιῶ θανεῖν.
ΙΟΚΑΣΤΗ.
ὦ πρόσπολ᾽, οὐχὶ δεσπότῃ τάδ᾽ ὡς τάχος
μολοῦσα λέξεις; ὦ θεῶν μαντεύματα,
ἵν᾽ ἐστέ· τοῦτον Οἰδίπους πάλαι τρέμων
τὸν ἄνδρ᾽ ἔφευγε μὴ κτάνῃ· καὶ νῦν ὅδε
πρὸς τῆς τύχης ὄλωλεν οὐδὲ τοῦδ᾽ ὕπο.
ΟΙΔΙΠΟΥΣ.
ὦ φίλτατον γυναικὸς Ἰοκάστης κάρα,
τί μ᾽ ἐξεπέμψω δεῦρο τῶνδε δωμάτων;
ΙΟΚΑΣΤΗ.
ἄκουε τἀνδρὸς τοῦδε, καὶ σκόπει κλύων
τὰ σέμν᾽ ἵν᾽ ἥκει τοῦ θεοῦ μαντεύματα.
ΟΙΔΙΠΟΥΣ.
οὗτος δὲ τίς ποτ᾽ ἐστὶ καὶ τί μοι λέγει;
ΙΟΚΑΣΤΗ.
ἐκ τῆς Κορίνθου, πατέρα τὸν σὸν ἀγγελῶν
ὡς οὐκ ἔτ᾽ ὄντα Πόλυβον, ἀλλ᾽ ὀλωλότα.
ΟΙΔΙΠΟΥΣ.
τί φῄς, ξέν᾽; αὐτός μοι σὺ σημήνας γενοῦ.
ΑΓΓΕΛΟΣ.
εἰ τοῦτο πρῶτον δεῖ μ᾽ ἀπαγγεῖλαι σαφῶς,
εὖ ἴσθ᾽ ἐκεῖνον θανάσιμον βεβηκότα.
ΟΙΔΙΠΟΥΣ.
πότερα δόλοισιν, ἢ νόσου ξυναλλαγῇ;
ΑΓΓΕΛΟΣ.
σμικρὰ παλαιὰ σώματ᾽ εὐνάζει ῥοπή.
ΟΙΔΙΠΟΥΣ.
νόσοις ὁ τλήμων, ὡς ἔοικεν, ἔφθιτο.
ΑΓΓΕΛΟΣ.
καὶ τῷ μακρῷ γε συμμετρούμενος χρόνῳ.
ΟΙΔΙΠΟΥΣ.
φεῦ φεῦ, τί δῆτ᾽ ἂν, ὦ γύναι, σκοποῖτό τις
τὴν Πυθόμαντιν ἑστίαν, ἢ τοὺς ἄνω
κλάζοντας ὄρνις, ὧν ὑφηγητῶν ἐγὼ
κτανεῖν ἔμελλον πατέρα τὸν ἐμόν; ὁ δὲ θανὼν
κεύθει κάτω δὴ γῆς· ἐγὼ δ᾽ ὅδ᾽ ἐνθάδε
ἄψαυστος ἔγχους, εἴ τι μὴ τὠμῷ πόθῳ
κατέφθιθ᾽· οὕτω δ᾽ ἂν θανὼν εἴη ᾽ξ ἐμοῦ.
τὰ δ᾽ οὖν παρόντα συλλαβὼν θεσπίσματα
κεῖται παρ᾽ Ἅιδῃ Πόλυβος ἄξι᾽ οὐδενός.
ΙΟΚΑΣΤΗ.
οὔκουν ἐγώ σοι ταῦτα προὔλεγον πάλαι;
ΟΙΔΙΠΟΥΣ.
ηὔδας· ἐγὼ δὲ τῷ φόβῳ παρηγόμην.
ΙΟΚΑΣΤΗ.
μὴ νῦν ἔτ᾽ αὐτῶν μηδὲν εἰς θυμὸν βάλῃς.
ΟΙΔΙΠΟΥΣ.
καὶ πῶς τὸ μητρὸς λέκτρον οὐκ ὀκνεῖν με δεῖ;
ΙΟΚΑΣΤΗ.
τί δ᾽ ἂν φοβοῖτ᾽ ἄνθρωπος ᾧ τὰ τῆς τύχης
κρατεῖ, πρόνοια δ᾽ ἐστὶν οὐδενὸς σαφής;
εἰκῇ κράτιστον ζῆν, ὅπως δύναιτό τις.
σὺ δ᾽ εἰς τὰ μητρὸς μὴ φοβοῦ νυμφεύματα.
πολλοὶ γὰρ ἤδη κἀν ὀνείρασιν βροτῶν
μητρὶ ξυνευνάσθησαν. ἀλλὰ ταῦθ᾽ ὅτῳ
παρ᾽ οὐδέν ἐστι, ῥᾷστα τὸν βίον φέρει.
ΟΙΔΙΠΟΥΣ.
καλῶς ἅπαντα ταῦτ᾽ ἂν ἐξείρητό σοι,
εἰ μὴ ᾽κύρει ζῶσ᾽ ἡ τεκοῦσα· νῦν δ᾽ ἐπεὶ
ζῇ, πᾶσ᾽ ἀνάγκη, κεἰ καλῶς λέγεις, ὀκνεῖν.
ΙΟΚΑΣΤΗ.
καὶ μὴν μέγας γ᾽ ὀφθαλμὸς οἱ πατρὸς τάφοι.
ΟΙΔΙΠΟΥΣ.
μέγας, ξυνίημ᾽· ἀλλὰ τῆς ζώσης φόβος.
ΑΓΓΕΛΟΣ.
ποίας δὲ καὶ γυναικὸς ἐκφοβεῖσθ᾽ ὕπερ;
ΟΙΔΙΠΟΥΣ.
Μερόπης, γεραιὲ, Πόλυβος ἧς ᾤκει μέτα.
ΑΓΓΕΛΟΣ.
τί δ᾽ ἔστ᾽ ἐκείνης ὑμὶν ἐς φόβον φέρον;
ΟΙΔΙΠΟΥΣ.
θεήλατον μάντευμα δεινὸν, ὦ ξένε.
ΑΓΓΕΛΟΣ.
ἦ ῥητόν; ἢ οὐχὶ θεμιτὸν ἄλλον εἰδέναι;
ΟΙΔΙΠΟΥΣ.
μάλιστά γ᾽· εἶπε γάρ με Λοξίας ποτὲ
χρῆναι μιγῆναι μητρὶ τἠμαυτοῦ, τό τε
πατρῷον αἷμα χερσὶ ταῖς ἐμαῖς ἑλεῖν.
ὧν οὕνεχ᾽ ἡ Κόρινθος ἐξ ἐμοῦ πάλαι
μακρὰν ἀπῳκεῖτ᾽· εὐτυχῶς μὲν, ἀλλ᾽ ὅμως
τὰ τῶν τεκόντων ὄμμαθ᾽ ἥδιστον βλέπειν.
ΑΓΓΕΛΟΣ.
ἦ γὰρ τάδ᾽ ὀκνῶν κεῖθεν ἦσθ᾽ ἀπόπτολις;
ΟΙΔΙΠΟΥΣ.
πατρός τε χρῄζων μὴ φονεὺς εἶναι, γέρον.
ΑΓΓΕΛΟΣ.
τί δῆτ᾽ ἐγὼ οὐχὶ τοῦδε τοῦ φόβου σ᾽, ἄναξ,
ἐπείπερ εὔνους ἦλθον, ἐξελυσάμην;
ΟΙΔΙΠΟΥΣ.
καὶ μὴν χάριν γ᾽ ἂν ἀξίαν λάβοις ἐμοῦ.
ΑΓΓΕΛΟΣ.
καὶ μὴν μάλιστα τοῦτ᾽ ἀφικόμην, ὅπως
σοῦ πρὸς δόμους ἐλθόντος εὖ πράξαιμί τι.
ΟΙΔΙΠΟΥΣ.
ἀλλ᾽ οὔποτ᾽ εἶμι τοῖς φυτεύσασίν γ᾽ ὁμοῦ.
ΑΓΓΕΛΟΣ.
ὦ παῖ, καλῶς εἶ δῆλος οὐκ εἰδὼς τί δρᾷς.
ΟΙΔΙΠΟΥΣ.
πῶς, ὦ γεραιέ; πρὸς θεῶν δίδασκέ με.
ΑΓΓΕΛΟΣ.
εἰ τῶνδε φεύγεις οὕνεκ᾽ εἰς οἴκους μολεῖν.
ΟΙΔΙΠΟΥΣ.
ταρβῶν γε μή μοι Φοῖβος ἐξέλθῃ σαφής.
ΑΓΓΕΛΟΣ.
ἦ μὴ μίασμα τῶν φυτευσάντων λάβῃς;
ΟΙΔΙΠΟΥΣ.
τοῦτ᾽ αὐτὸ, πρέσβυ, τοῦτό μ᾽ εἰσαεὶ φοβεῖ.
ΑΓΓΕΛΟΣ.
ἆρ᾽ οἶσθα δῆτα πρὸς δίκης οὐδὲν τρέμων;
ΟΙΔΙΠΟΥΣ.
πῶς δ᾽ οὐχὶ, παῖς γ᾽ εἰ τῶνδε γεννητῶν ἔ[illegible]
ΑΓΓΕΛΟΣ.
ὁθούνεκ᾽ ἦν σοι Πόλυβος οὐδὲν ἐν γένει.

ΟΙΔΙΠΟΥΣ.
πῶς εἶπας; οὐ γὰρ Πόλυβος ἐξέφυσέ με;
ΑΓΓΕΛΟΣ.
οὐ μᾶλλον οὐδὲν τοῦδε τἀνδρὸς, ἀλλ' ἴσον.
ΟΙΔΙΠΟΥΣ.
καὶ πῶς ὁ φύσας ἐξ ἴσου τῷ μηδενί;
ΑΓΓΕΛΟΣ.
ἀλλ' οὔ σ' ἐγείνατ' οὔτ' ἐκεῖνος οὔτ' ἐγώ.
ΟΙΔΙΠΟΥΣ.
ἀλλ' ἀντὶ τοῦ δὴ παῖδά μ' ὠνομάζετο;
ΑΓΓΕΛΟΣ.
δῶρόν ποτ', ἴσθι, τῶν ἐμῶν χειρῶν λαβών.
ΟΙΔΙΠΟΥΣ.
κᾆθ' ὧδ' ἀπ' ἄλλης χειρὸς ἔστερξεν μέγα;
ΑΓΓΕΛΟΣ.
ἡ γὰρ πρὶν αὐτὸν ἐξέπεισ' ἀπαιδία.
ΟΙΔΙΠΟΥΣ.
σὺ δ' ἐμπολήσας, ἢ τεκών μ' αὐτῷ δίδως;
ΑΓΓΕΛΟΣ.
εὑρὼν ναπαίαις ἐν Κιθαιρῶνος πτυχαῖς.
ΟΙΔΙΠΟΥΣ.
ὡδοιπόρεις δὲ πρὸς τί τούσδε τοὺς τόπους;
ΑΓΓΕΛΟΣ.
ἐνταῦθ' ὀρείοις ποιμνίοις ἐπεστάτουν.
ΟΙΔΙΠΟΥΣ.
ποιμὴν γὰρ ἦσθα κἀπὶ θητείᾳ πλάνης;
ΑΓΓΕΛΟΣ.
σοῦ δ', ὦ τέκνον, σωτήρ γε τῷ τότ' ἐν χρόνῳ.
ΟΙΔΙΠΟΥΣ.
τί δ' ἄλγος ἴσχοντ' ἐν κακοῖς με λαμβάνεις;
ΑΓΓΕΛΟΣ.
ποδῶν ἂν ἄρθρα μαρτυρήσειεν τὰ σά.
ΟΙΔΙΠΟΥΣ.
οἴμοι, τί τοῦτ' ἀρχαῖον ἐννέπεις κακόν;
ΑΓΓΕΛΟΣ.
λύω σ' ἔχοντα διατόρους ποδοῖν ἀκμάς.
ΟΙΔΙΠΟΥΣ.
δεινόν γ' ὄνειδος σπαργάνων ἀνειλόμην.
ΑΓΓΕΛΟΣ.
ὥστ' ὠνομάσθης ἐκ τύχης ταύτης ὃς εἶ.
ΟΙΔΙΠΟΥΣ.
ὢ πρὸς θεῶν, πρὸς μητρὸς, ἢ πατρὸς, φράσον.
ΑΓΓΕΛΟΣ.
οὐκ οἶδ'· ὁ δοὺς δὲ ταῦτ' ἐμοῦ λῷον φρονεῖ.
ΟΙΔΙΠΟΥΣ.
ἦ γὰρ παρ' ἄλλου μ' ἔλαβες οὐδ' αὐτὸς τυχών;
ΑΓΓΕΛΟΣ.
οὔκ, ἀλλὰ ποιμὴν ἄλλος ἐκδίδωσί μοι.
ΟΙΔΙΠΟΥΣ.
τίς οὗτος; ἦ κάτοισθα δηλῶσαι λόγῳ;
ΑΓΓΕΛΟΣ.
τῶν Λαΐου δήπου τις ὠνομάζετο.
ΟΙΔΙΠΟΥΣ.
ἦ τοῦ τυράννου τῆσδε γῆς πάλαι ποτέ;
ΑΓΓΕΛΟΣ.
μάλιστα. τούτου τἀνδρὸς οὗτος ἦν βοτήρ.
ΟΙΔΙΠΟΥΣ.
ἦ κἄστ' ἔτι ζῶν οὗτος, ὥστ' ἰδεῖν ἐμέ;
ΑΓΓΕΛΟΣ.
ὑμεῖς γ' ἄριστ' εἰδεῖτ' ἂν οὑπιχώριοι.
ΟΙΔΙΠΟΥΣ.
ἔστιν τὶς ὑμῶν τῶν παρεστώτων πέλας,
ὅστις κάτοιδε τὸν βοτῆρ', ὃν ἐννέπει,
εἴτ' οὖν ἐπ' ἀγρῶν εἴτε κἀνθάδ' εἰσιδών;
σημήναθ', ὡς ὁ καιρὸς εὑρῆσθαι τάδε.
ΧΟΡΟΣ.
οἶμαι μὲν οὐδέν' ἄλλον ἢ τὸν ἐξ ἀγρῶν,
ὃν κἀμάτευες πρόσθεν εἰσιδεῖν· ἀτὰρ
ἥδ' ἂν τάδ' οὐχ ἥκιστ' ἂν Ἰοκάστη λέγοι.
ΟΙΔΙΠΟΥΣ.
γύναι, νοεῖς ἐκεῖνον, ὅντιν' ἀρτίως
μολεῖν ἐφιέμεσθα τόν θ' οὗτος λέγει;
ΙΟΚΑΣΤΗ.
τίς δ' ὅντιν' εἶπε; μηδὲν ἐντραπῇς. τὰ δὲ
ῥηθέντα βούλου μηδὲ μεμνῆσθαι μάτην.
ΟΙΔΙΠΟΥΣ.
οὐκ ἂν γένοιτο τοῦθ' ὅπως ἐγὼ λαβὼν
σημεῖα τοιαῦτ' οὐ φανῶ τοὐμὸν γένος.
ΙΟΚΑΣΤΗ.
μὴ πρὸς θεῶν, εἴπερ τι τοῦ σαυτοῦ βίου
κήδει, ματεύσῃς τοῦθ', ἅλις νοσοῦσ' ἐγώ.
ΟΙΔΙΠΟΥΣ.
θάρσει. σὺ μὲν γὰρ οὐδ' ἂν ἐκ τρίτης ἐγὼ
μητρὸς φανῶ τρίδουλος, ἐκφανεῖ κακή.
ΙΟΚΑΣΤΗ.
ὅμως πιθοῦ μοι, λίσσομαι· μὴ δρᾶ τάδε.
ΟΙΔΙΠΟΥΣ.
οὐκ ἂν πιθοίμην μὴ οὐ τάδ' ἐκμαθεῖν σαφῶς.
ΙΟΚΑΣΤΗ.
καὶ μὴν φρονοῦσά γ' εὖ τὰ λῷστά σοι λέγω.
ΟΙΔΙΠΟΥΣ.
τὰ λῷστα τοίνυν ταῦτά μ' ἀλγύνει πάλαι.
ΙΟΚΑΣΤΗ.
ὦ δύσποτμ', εἴθε μήποτε γνοίης ὃς εἶ.
ΟΙΔΙΠΟΥΣ.
ἄξει τις ἐλθὼν δεῦρο τὸν βοτῆρά μοι;
ταύτην δ' ἐᾶτε πλουσίῳ χαίρειν γένει.
ΙΟΚΑΣΤΗ.
ἰοὺ ἰοὺ, δύστηνε· τοῦτο γάρ σ' ἔχω
μόνον προσειπεῖν, ἄλλο δ' οὔποθ' ὕστερον.
ΧΟΡΟΣ.
τί ποτε βέβηκεν, Οἰδίπους, ὑπ' ἀγρίας
ᾄξασα λύπης ἡ γυνή; δέδοιχ' ὅπως
μὴ 'κ τῆς σιωπῆς τῆσδ' ἀναρρήξει κακά.
ΟΙΔΙΠΟΥΣ.
ὁποῖα χρῄζει ῥηγνύτω· τοὐμὸν δ' ἐγὼ,
κεἰ σμικρόν ἐστι, σπέρμ' ἰδεῖν βουλήσομαι.
αὐτὴ δ' ἴσως, φρονεῖ γὰρ ὡς γυνὴ μέγα,
τὴν δυσγένειαν τὴν ἐμὴν αἰσχύνεται.
ἐγὼ δ' ἐμαυτὸν παῖδα τῆς Τύχης νέμων
τῆς εὖ διδούσης οὐκ ἀτιμασθήσομαι.
τῆς γὰρ πέφυκα μητρός· οἱ δὲ συγγενεῖς
μῆνές με μικρὸν καὶ μέγαν διώρισαν.
τοιόσδε δ' ἐκφὺς οὐκ ἂν ἐξέλθοιμ' ἔτι
ποτ' ἄλλος, ὥστε μὴ 'κμαθεῖν τοὐμὸν γένος.
ΧΟΡΟΣ.
εἴπερ ἐγὼ μάντις εἰμὶ
καὶ κατὰ γνώμην ἴδρις,
οὐ τὸν Ὄλυμπον, ἀπείρων,
1086 — 1097. = 1098 — 1109.

ὦ Κιθαιρὼν, οὐκ ἔσει
τὰν αὔριον πανσέληνον,
μὴ οὐ σέ γε καὶ πατριώταν Οἰδίπου
καὶ τροφὸν καὶ μητέρ᾽ αὔξειν,
καὶ χορεύεσθαι πρὸς ἡμῶν, ὡς ἐπίηρα φέροντα
τοῖς ἐμοῖς τυράννοις.
ἰήιε Φοῖβε, σοὶ δὲ ταῦτ᾽ ἀρέστ᾽ εἴη.
τίς σε, τέκνον, τίς σ᾽ ἔτικτε
τῶν μακραιώνων ἄρα,
Πανὸς ὀρεσσιβάτα που
προσπελασθεῖσ᾽, ἤ σέ γέ
τις θυγάτηρ, Λοξίου; τῷ
γὰρ πλάκες ἀγρόνομοι πᾶσαι φίλαι·
εἴθ᾽ ὁ Κυλλάνας ἀνάσσων,
εἴθ᾽ ὁ Βακχεῖος θεὸς ναίων ἐπ᾽ ἄκρων ὀρέων
εὕρημα δέξατ᾽ ἔκ του
Νυμφᾶν Ἑλικωνίδων, αἷς πλεῖστα συμπαίζει.

ΟΙΔΙΠΟΥΣ.
εἰ χρή τι κἀμὲ, μὴ ξυναλλάξαντά πω,
πρέσβυ, σταθμᾶσθαι, τὸν βοτῆρ᾽ ὁρᾶν δοκῶ,
ὅνπερ πάλαι ζητοῦμεν. ἔν τε γὰρ μακρῷ
γήρᾳ ξυνᾴδει τῷδε τἀνδρὶ σύμμετρος,
ἄλλως τε τοὺς ἄγοντας ὥσπερ οἰκέτας
ἔγνωκ᾽ ἐμαυτοῦ· τῇ δ᾽ ἐπιστήμῃ σύ μου
προὔχοις τάχ᾽ ἄν που, τὸν βοτῆρ᾽ ἰδὼν πάρος.

ΧΟΡΟΣ.
ἔγνωκα γὰρ, σάφ᾽ ἴσθι, Λαΐου γὰρ ἦν
εἴπερ τις ἄλλος πιστὸς ὡς νομεὺς ἀνήρ.

ΟΙΔΙΠΟΥΣ.
σὲ πρῶτ᾽ ἐρωτῶ, τὸν Κορίνθιον ξένον,
ἦ τόνδε φράζεις;

ΑΓΓΕΛΟΣ.
τοῦτον, ὅνπερ εἰσορᾷς.

ΟΙΔΙΠΟΥΣ.
οὗτος σὺ, πρέσβυ, δεῦρό μοι φώνει βλέπων
ὅσ᾽ ἄν σ᾽ ἐρωτῶ. Λαΐου ποτ᾽ ἦσθα σύ;

ΘΕΡΑΠΩΝ.
ἦ δοῦλος οὐκ ὠνητὸς, ἀλλ᾽ οἴκοι τραφείς.

ΟΙΔΙΠΟΥΣ.
ἔργον μεριμνῶν ποῖον ἢ βίον τίνα;

ΘΕΡΑΠΩΝ.
ποίμναις τὰ πλεῖστα τοῦ βίου ξυνειπόμην.

ΟΙΔΙΠΟΥΣ.
χώροις μάλιστα πρὸς τίσι ξύναυλος ὤν;

ΘΕΡΑΠΩΝ.
ἦν μὲν Κιθαιρὼν, ἦν δὲ πρόσχωρος τόπος.

ΟΙΔΙΠΟΥΣ.
τὸν ἄνδρα τόνδ᾽ οὖν οἶσθα τῇδέ που μαθών;

ΘΕΡΑΠΩΝ.
τί χρῆμα δρῶντα; ποῖον ἄνδρα καὶ λέγεις;

ΟΙΔΙΠΟΥΣ.
τόνδ᾽ ὃς πάρεστιν. ἦ ξυναλλάξας τί πω;

ΘΕΡΑΠΩΝ.
οὐχ ὥστε γ᾽ εἰπεῖν ἐν τάχει μνήμης ὕπο.

ΑΓΓΕΛΟΣ.
κοὐδέν γε θαῦμα, δέσποτ᾽. ἀλλ᾽ ἐγὼ σαφῶς
ἀγνῶτ᾽ ἀναμνήσω νιν. εὖ γὰρ οἶδ᾽ ὅτι
κάτοιδεν, ἦμος τὸν Κιθαιρῶνος τόπον
ὁ μὲν διπλοῖσι ποιμνίοις, ἐγὼ δ᾽ ἑνὶ
ἐπλησίαζον τῷδε τἀνδρὶ τρεῖς ὅλους
ἐξ ἦρος εἰς ἀρκτοῦρον ἐκμήνους χρόνους·
χειμῶνα δ᾽ ἤδη τἀμά τ᾽ εἰς ἔπαυλ᾽ ἐγὼ
ἤλαυνον οὗτός τ᾽ εἰς τὰ Λαΐου σταθμά.
λέγω τι τούτων, ἢ οὐ λέγω πεπραγμένον;

ΘΕΡΑΠΩΝ.
λέγεις ἀληθῆ, καίπερ ἐκ μακροῦ χρόνου.

ΑΓΓΕΛΟΣ.
φέρ᾽ εἰπὲ νῦν, τότ᾽ οἶσθα παῖδά μοί τινα
δοὺς, ὡς ἐμαυτῷ θρέμμα θρεψαίμην ἐγώ;

ΘΕΡΑΠΩΝ.
τί δ᾽ ἐστὶ πρὸς τί τοῦτο τοὔπος ἱστορεῖς;

ΑΓΓΕΛΟΣ.
ὅδ᾽ ἐστὶν, ὦ τᾶν, κεῖνος ὃς τότ᾽ ἦν νέος.

ΘΕΡΑΠΩΝ.
οὐκ εἰς ὄλεθρον; οὐ σιωπήσας ἔσει;

ΟΙΔΙΠΟΥΣ.
ἆ, μὴ κόλαζε, πρέσβυ, τόνδ᾽, ἐπεὶ τὰ σὰ
δεῖται κολαστοῦ μᾶλλον ἢ τὰ τοῦδ᾽ ἔπη.

ΘΕΡΑΠΩΝ.
τί δ᾽, ὦ φέριστε δεσποτῶν, ἁμαρτάνω;

ΟΙΔΙΠΟΥΣ.
οὐκ ἐννέπων τὸν παῖδ᾽ ὃν οὗτος ἱστορεῖ.

ΘΕΡΑΠΩΝ.
λέγει γὰρ εἰδὼς οὐδὲν, ἀλλ᾽ ἄλλως πονεῖ.

ΟΙΔΙΠΟΥΣ.
σὺ πρὸς χάριν μὲν οὐκ ἐρεῖς, κλαίων δ᾽ ἐρ

ΘΕΡΑΠΩΝ.
μὴ δῆτα πρὸς θεῶν τὸν γέροντά μ᾽ αἰκίσῃ.

ΟΙΔΙΠΟΥΣ.
οὐχ ὡς τάχος τις τοῦδ᾽ ἀποστρέψει χέρας;

ΘΕΡΑΠΩΝ.
δύστηνος, ἀντὶ τοῦ; τί προσχρῄζων μαθεῖν;

ΟΙΔΙΠΟΥΣ.
τὸν παῖδ᾽ ἔδωκας τῷδ᾽ ὃν οὗτος ἱστορεῖ;

ΘΕΡΑΠΩΝ.
ἔδωκ᾽· ὀλέσθαι δ᾽ ὤφελον τῇδ᾽ ἡμέρᾳ.

ΟΙΔΙΠΟΥΣ.
ἀλλ᾽ εἰς τόδ᾽ ἥξεις μὴ λέγων γε τοὔνδικον.

ΘΕΡΑΠΩΝ.
πολλῷ γε μᾶλλον, ἢν φράσω, διόλλυμαι.

ΟΙΔΙΠΟΥΣ.
ἀνὴρ ὅδ᾽, ὡς ἔοικεν, εἰς τριβὰς ἐλᾷ.

ΘΕΡΑΠΩΝ.
οὐ δῆτ᾽ ἔγωγ᾽, ἀλλ᾽ εἶπον ὡς δοίην πάλαι.

ΟΙΔΙΠΟΥΣ.
πόθεν λαβών; οἰκεῖον, ἢ ᾽ξ ἄλλου τινός;

ΘΕΡΑΠΩΝ.
ἐμὸν μὲν οὐκ ἔγωγ᾽, ἐδεξάμην δέ του.

ΟΙΔΙΠΟΥΣ.
τίνος πολιτῶν τῶνδε κἀκ ποίας στέγης;

ΘΕΡΑΠΩΝ.
μὴ πρὸς θεῶν, μὴ, δέσποθ᾽, ἱστόρει πλέο

ΟΙΔΙΠΟΥΣ.
ὄλωλας, εἴ σε ταῦτ᾽ ἐρήσομαι πάλιν.

ΘΕΡΑΠΩΝ.
τῶν Λαΐου τοίνυν τις ἦν γεννημάτων.

ΟΙΔΙΠΟΥΣ.
ἦ δοῦλος, ἢ κείνου τις ἐγγενὴς γεγώς;

ΘΕΡΑΠΩΝ.
οἴμοι, πρὸς αὐτῷ γ' εἰμὶ τῷ δεινῷ λέγειν.
ΟΙΔΙΠΟΥΣ.
κἄγωγ' ἀκούειν. ἀλλ' ὅμως ἀκουστέον.
ΘΕΡΑΠΩΝ.
κείνου γέ τοι δὴ παῖς ἐκλῄζεθ'· ἡ δ' ἔσω
κάλλιστ' ἂν εἴποι σὴ γυνὴ τάδ' ὡς ἔχει.
ΟΙΔΙΠΟΥΣ.
ἦ γὰρ δίδωσιν ἥδε σοι;
ΘΕΡΑΠΩΝ.
μάλιστ', ἄναξ.
ΟΙΔΙΠΟΥΣ.
ὡς πρὸς τί χρείας;
ΘΕΡΑΠΩΝ.
ὡς ἀναλώσαιμί νιν.
ΟΙΔΙΠΟΥΣ.
τεκοῦσα τλήμων;
ΘΕΡΑΠΩΝ.
θεσφάτων γ' ὄκνῳ κακῶν.
ΟΙΔΙΠΟΥΣ.
ποίων;
ΘΕΡΑΠΩΝ.
κτενεῖν νιν τοὺς τεκόντας ἦν λόγος.
ΟΙΔΙΠΟΥΣ.
πῶς δῆτ' ἀφῆκας τῷ γέροντι τῷδε σύ;
ΘΕΡΑΠΩΝ.
κατοικτίσας, ὦ δέσποθ', ὡς ἄλλην χθόνα
δοκῶν ἀποίσειν, αὐτὸς ἔνθεν ἦν· ὁ δὲ
κάκ' εἰς μέγιστ' ἔσωσεν. εἰ γὰρ οὗτος εἶ
ὅν φησιν οὗτος, ἴσθι δύσποτμος γεγώς.
ΟΙΔΙΠΟΥΣ.
ἰοὺ ἰού· τὰ πάντ' ἂν ἐξήκοι σαφῆ.
ὦ φῶς, τελευταῖόν σε προσβλέψαιμι νῦν,
ὅστις πέφασμαι φύς τ' ἀφ' ὧν οὐ χρῆν, ξὺν οἷς τ'
οὐ χρῆν μ' ὁμιλῶν, οὕς τέ μ' οὐκ ἔδει κτανών.
ΧΟΡΟΣ.
ἰὼ γενεαὶ βροτῶν,
ὡς ὑμᾶς ἴσα καὶ τὸ μη-
δὲν ζώσας ἐναριθμῶ.
τίς γάρ, τίς ἀνὴρ πλέον
τᾶς εὐδαιμονίας φέρει
ἢ τοσοῦτον ὅσον δοκεῖν
καὶ δόξαντ' ἀποκλῖναι;
τὸ σόν τοι παράδειγμ' ἔχων,
τὸν σὸν δαίμονα, τὸν σόν, ὦ
τλᾶμον Οἰδιπόδα, βροτῶν
οὐδένα μακαρίζω·
ὅστις καθ' ὑπερβολὰν
τοξεύσας ἐκράτησε τοῦ
πάντ' εὐδαίμονος ὄλβου,
ὦ Ζεῦ, κατὰ μὲν φθίσας
τὰν γαμψώνυχα παρθένον
χρησμῳδόν· θανάτων δ' ἐμᾷ
χώρᾳ πύργος ἀνέστα·
ἐξ οὗ καὶ βασιλεὺς καλεῖ
ἐμός, καὶ τὰ μέγιστ' ἐτι-

1186—1195. == 1196—1203.

μάθης, ταῖς μεγάλαισιν ἐν
Θήβαισιν ἀνάσσων.
τανῦν δ' ἀκούειν τίς ἀθλιώτερος;
τίς ἄταις ἀγρίαις, τίς ἐν πόνοις
ξύνοικος ἀλλαγᾷ βίου;
ἰὼ κλεινὸν Οἰδίπου κάρα,
ᾧ μέγας λιμὴν
αὐτὸς ἤρκεσεν
παιδὶ καὶ πατρὶ
θαλαμηπόλῳ πεσεῖν,
πῶς ποτε πῶς ποθ' αἱ πατρῷαί σ' ἄλοκες φέρειν,
τάλας,
σῖγ' ἐδυνάθησαν ἐς τοσόνδε;
ἐφεῦρέ σ' ἄκονθ' ὁ πάνθ' ὁρῶν χρόνος,
δικάζει τ' ἄγαμον γάμον πάλαι
τεκνοῦντα καὶ τεκνούμενον.
ἰὼ Λαΐειον τέκνον,
εἴθε σ', εἴθε σε
μήποτ' εἰδόμαν.
δύρομαι γὰρ ὡς
περίαλλ' ἰαχέων
ἐκ στομάτων. τὸ δ' ὀρθὸν εἰπεῖν, ἀνέπνευσά
τ' ἐκ σέθεν
καὶ κατεκοίμησα τοὐμὸν ὄμμα.
ΕΞΑΓΓΕΛΟΣ.
ὦ γῆς μέγιστα τῆσδ' ἀεὶ τιμώμενοι,
οἷ' ἔργ' ἀκούσεσθ', οἷα δ' εἰσόψεσθ', ὅσον δ'
ἀρεῖσθε πένθος, εἴπερ ἐγγενῶς ἔτι
τῶν Λαβδακείων ἐντρέπεσθε δωμάτων.
οἶμαι γὰρ οὔτ' ἂν Ἴστρον οὔτε Φᾶσιν ἂν
νίψαι καθαρμῷ τήνδε τὴν στέγην, ὅσα
κεύθει· τὰ δ' αὐτίκ' εἰς τὸ φῶς φανεῖ κακὰ
ἑκόντα κοὐκ ἄκοντα. τῶν δὲ πημονῶν
μάλιστα λυποῦσ' αἳ φανῶσ' αὐθαίρετοι.
ΧΟΡΟΣ.
λείπει μὲν οὐδ' ἃ πρόσθεν ᾔδεμεν τὸ μὴ οὐ
βαρύστον' εἶναι· πρὸς δ' ἐκείνοισιν τί φῄς;
ΕΞΑΓΓΕΛΟΣ.
ὁ μὲν τάχιστος τῶν λόγων εἰπεῖν τε καὶ
μαθεῖν, τέθνηκε θεῖον Ἰοκάστης κάρα.
ΧΟΡΟΣ.
ὦ δυστάλαινα, πρὸς τίνος ποτ' αἰτίας;
ΕΞΑΓΓΕΛΟΣ.
αὐτὴ πρὸς αὑτῆς. τῶν δὲ πραχθέντων τὰ μὲν
ἄλγιστ' ἄπεστιν· ἡ γὰρ ὄψις οὐ πάρα.
ὅμως δ', ὅσον γε κἀν ἐμοὶ μνήμης ἔνι,
πεύσει τὰ κείνης ἀθλίας παθήματα.
ὅπως γὰρ ὀργῇ χρωμένη παρῆλθ' ἔσω
θυρῶνος, ἵετ' εὐθὺ πρὸς τὰ νυμφικὰ
λέχη, κόμην σπῶσ' ἀμφιδεξίοις ἀκμαῖς·
πύλας δ', ὅπως εἰσῆλθ', ἐπιρρήξασ' ἔσω
καλεῖ τὸν ἤδη Λάϊον πάλαι νεκρόν,
μνήμην παλαιῶν σπερμάτων ἔχουσ' ὑφ' ὧν
θάνοι μὲν αὐτός, τὴν δὲ τίκτουσαν λίποι
τοῖς οἷσιν αὐτοῦ δύστεκνον παιδουργίαν.
γοᾶτο δ' εὐνάς, ἔνθα δύστηνος διπλοῦς
ἐξ ἀνδρὸς ἄνδρας καὶ τέκν' ἐκ τέκνων τέκοι.
χὤπως μὲν ἐκ τῶνδ' οὐκ ἔτ' οἶδ' ἀπόλλυται.

1204—1212. == 1213—1222.

βοῶν γὰρ εἰσέπαισεν Οἰδίπους, ὑφ' οὗ
οὐκ ἦν τὸ κείνης ἐκθεάσασθαι κακόν·
ἀλλ' εἰς ἐκεῖνον περιπολοῦντ' ἐλεύσσομεν.
φοιτᾷ γὰρ, ἡμᾶς ἔγχος ἐξαιτῶν πορεῖν,
γυναῖκά τ' οὐ γυναῖκα, μητρῴαν δ' ὅπου
κίχοι διπλῆν ἄρουραν οὗ τε καὶ τέκνων.
λυσσῶντι δ' αὐτῷ δαιμόνων δείκνυσί τις·
οὐδεὶς γὰρ ἀνδρῶν, οἳ παρῆμεν ἐγγύθεν.
δεινὸν δ' ἀΰσας, ὡς ὑφηγητοῦ τινὸς,
πύλαις διπλαῖς ἐνήλατ'· ἐκ δὲ πυθμένων
ἔκλινε κοῖλα κλῇθρα, κἀμπίπτει στέγῃ.
οὗ δὴ κρεμαστὴν τὴν γυναῖκ' ἐσείδομεν,
πλεκταῖς ἐώραις ἐμπεπλεγμένην. ὁ δὲ
ὅπως ὁρᾷ νιν, δεινὰ βρυχηθεὶς τάλας,
χαλᾷ κρεμαστὴν ἀρτάνην. ἐπεὶ δὲ γῇ
ἔκειτο τλήμων, δεινὰ δ' ἦν τἀνθένδ' ὁρᾶν.
ἀποσπάσας γὰρ εἱμάτων χρυσηλάτους
περόνας ἀπ' αὐτῆς, αἷσιν ἐξεστέλλετο,
ἄρας ἔπαισεν ἄρθρα τῶν αὐτοῦ κύκλων,
αὐδῶν τοιαῦθ', ὁθούνεκ' οὐκ ὄψοιντό νιν
οὔθ' οἷ' ἔπασχεν οὔθ' ὁποῖ' ἔδρα κακὰ,
ἀλλ' ἐν σκότῳ τὸ λοιπὸν οὓς μὲν οὐκ ἔδει
ὀψοίαθ', οὓς δ' ἔχρῃζεν οὐ γνωσοίατο.
τοιαῦτ' ἐφυμνῶν πολλάκις τε κοὐχ ἅπαξ
ἤρασσ' ἐπαίρων βλέφαρα. φοίνιαι δ' ὁμοῦ
γλῆναι γένει' ἔτεγγον, οὐδ' ἀνίεσαν
φόνου μυδώσας σταγόνας, ἀλλ' ὁμοῦ μέλας
ὄμβρος χαλάζης αἱματοῦς ἐτέγγετο.
[τάδ' ἐκ δυοῖν ἔρρωγεν, οὐ μόνου, κακὰ,
ἀλλ' ἀνδρὶ καὶ γυναικὶ συμμιγῆ κακά.]
ὁ πρὶν παλαιὸς δ' ὄλβος ἦν πάροιθε μὲν
ὄλβος δικαίως· νῦν δὲ τῇδε θἠμέρᾳ
στεναγμὸς, ἄτη, θάνατος, αἰσχύνη, κακῶν
ὅσ' ἐστὶ πάντων ὀνόματ', οὐδέν ἐστ' ἀπόν.

ΧΟΡΟΣ.

νῦν δ' ἔσθ' ὁ τλήμων ἐν τίνι σχολῇ κακοῦ;

ΕΞΑΓΓΕΛΟΣ.

βοᾷ διοίγειν κλῇθρα καὶ δηλοῦν τινὰ
τοῖς πᾶσι Καδμείοισι τὸν πατροκτόνον,
τὸν μητρὸς, αὐδῶν ἀνόσι' οὐδὲ ῥητά μοι,
ὡς ἐκ χθονὸς ῥίψων ἑαυτὸν, οὐδ' ἔτι
μενῶν δόμοις ἀραῖος, ὡς ἠράσατο.
ῥώμης γε μέντοι καὶ προηγητοῦ τινὸς
δεῖται· τὸ γὰρ νόσημα μεῖζον ἢ φέρειν.
δείξει δὲ καὶ σοί. κλῇθρα γὰρ πυλῶν τάδε
διοίγεται· θέαμα δ' εἰσόψει τάχα
τοιοῦτον οἷον καὶ στυγοῦντ' ἐποικτίσαι.

ΧΟΡΟΣ.

ὦ δεινὸν ἰδεῖν πάθος ἀνθρώποις,
ὦ δεινότατον πάντων ὅσ' ἐγὼ
προσέκυρσ' ἤδη. τίς σ', ὦ τλῆμον,
προσέβη μανία; τίς ὁ πηδήσας
μείζονα δαίμων τῶν μακίστων
πρὸς σῇ δυσδαίμονι μοίρᾳ;
φεῦ φεῦ, δύσταν'. ἀλλ' οὐδ' ἐσιδεῖν
δύναμαί σ', ἐθέλων πόλλ' ἀνερέσθαι,
πολλὰ πυθέσθαι, πολλὰ δ' ἀθρῆσαι·
τοίαν φρίκην παρέχεις μοι.

ΟΙΔΙΠΟΥΣ.

αἰαῖ αἰαῖ.
φεῦ φεῦ δύστανος ἐγὼ,
ποῖ γᾶς φέρομαι τλάμων;
πᾷ μοι φθογγὰ [διαπέταται] φοράδην;
ἰὼ δαῖμον, ἵν' ἐξήλλου.

ΧΟΡΟΣ.

ἐς δεινὸν, οὐδ' ἀκουστὸν, οὐδ' ἐπόψιμον.

ΟΙΔΙΠΟΥΣ.

ἰὼ σκότου
νέφος ἐμὸν ἀπότροπον, ἐπιπλόμενον ἄφατον,
ἀδάματόν τε καὶ δυσούριστον ὄν.
οἴμοι,
οἴμοι μάλ' αὖθις· οἷον εἰσέδυ μ' ἅμα
κέντρων τε τῶνδ' οἴστρημα καὶ μνήμη κακῶν.

ΧΟΡΟΣ.

καὶ θαῦμά γ' οὐδὲν ἐν τοσοῖσδε πήμασιν
διπλᾶ σε πενθεῖν καὶ διπλᾶ φέρειν κακά.

ΟΙΔΙΠΟΥΣ.

ἰὼ φίλος,
σὺ μὲν ἐμὸς ἐπίπολος ἔτι μόνιμος. ἔτι γὰρ
ὑπομένεις με τὸν τυφλὸν κηδεύων.
φεῦ φεῦ.
οὐ γάρ με λήθεις, ἀλλὰ γιγνώσκω σαφῶς,
καίπερ σκοτεινὸς, τήν γε σὴν αὐδὴν ὅμως.

ΧΟΡΟΣ.

ὦ δεινὰ δράσας, πῶς ἔτλης τοιαῦτα σὰς
ὄψεις μαρᾶναι; τίς σ' ἐπῆρε δαιμόνων;

ΟΙΔΙΠΟΥΣ.

Ἀπόλλων τάδ' ἦν, Ἀπόλλων, φίλοι,
ὁ κακὰ κακὰ τελῶν ἐμὰ τάδ' ἐμὰ πάθεα.
ἔπαισε δ' αὐτόχειρ νιν οὔτις, ἀλλ' ἐγὼ τλάμ
τί γὰρ ἔδει μ' ὁρᾶν,
ὅτῳ γ' ὁρῶντι μηδὲν ἦν ἰδεῖν γλυκύ;

ΧΟΡΟΣ.

ἦν ταῦθ' ὅπωσπερ καὶ σὺ φῄς.

ΟΙΔΙΠΟΥΣ.

τί δῆτ' ἐμοὶ βλεπτὸν, ἢ
στερκτὸν, ἢ προσήγορον
ἔτ' ἔστ' ἀκούειν ἡδονᾷ, φίλοι;
ἀπάγετ' ἐκτόπιον ὅτι τάχιστά με,
ἀπάγετ', ὦ φίλοι, τὸν ὄλεθρον μέγαν,
τὸν καταρατότατον, ἔτι δὲ καὶ θεοῖς
ἐχθρότατον βροτῶν.

ΧΟΡΟΣ.

δείλαιε τοῦ νοῦ τῆς τε συμφορᾶς ἴσον,
ὥς σ' ἠθέλησα μηδέ γ' ἂν γνῶναί ποτε.

ΟΙΔΙΠΟΥΣ.

ὄλοιθ' ὅστις ἦν ὃς [ἀπ'] ἀγρίας πέδας
νομάδος ἐπιποδίας ἔλαβέ μ' ἀπό τε φόνου
ἔρρυτο κἀνέσωσεν, οὐδὲν εἰς χάριν πράσσω
τότε γὰρ ἂν θανὼν
οὐκ ἦν φίλοισιν οὐδ' ἐμοὶ τοσόνδ' ἄχος.

ΧΟΡΟΣ.

θέλοντι κἀμοὶ τοῦτ' ἂν ἦν.

1313—1320. == 1321—1328.
1329—1348. == 1349—1368.

ΟΙΔΙΠΟΥΣ.

οὔκουν πατρός γ' ἂν φονεὺς
ἦλθον, οὐδὲ νυμφίος
βροτοῖς ἐκλήθην ὧν ἔφυν ἄπο·
νῦν δ' ἄθεος μέν εἰμ', ἀνοσίων δὲ παῖς,
ὁμογενὴς δ' ἀφ' ὧν αὐτὸς ἔφυν τάλας.
εἰ δέ τι πρεσβύτερον ἔτι κακοῦ κακὸν,
τοῦτ' ἔλαχ' Οἰδίπους.

ΧΟΡΟΣ.

οὐκ οἶδ' ὅπως σε φῶ βεβουλεῦσθαι καλῶς.
κρείσσων γὰρ ἦσθα μηκέτ' ὢν ἢ ζῶν τυφλός.

ΟΙΔΙΠΟΥΣ.

ὡς μὲν τάδ' οὐχ ὧδ' ἔστ' ἄριστ' εἰργασμένα,
μή μ' ἐκδίδασκε, μηδὲ συμβούλευ' ἔτι.
ἐγὼ γὰρ οὐκ οἶδ' ὄμμασιν ποίοις βλέπων
πατέρα ποτ' ἂν προσεῖδον εἰς Ἅιδου μολὼν,
οὐδ' αὖ τάλαιναν μητέρ', οἷν ἐμοὶ δυοῖν
ἔργ' ἐστὶ κρείσσον' ἀγχόνης εἰργασμένα.
ἀλλ' ἡ τέκνων δῆτ' ὄψις ἦν ἐφίμερος,
βλαστοῦσ' ὅπως ἔβλαστε, προσλεύσσειν ἐμοί.
οὐ δῆτα τοῖς γ' ἐμοῖσιν ὀφθαλμοῖς ποτέ·
οὐδ' ἄστυ γ', οὐδὲ πύργος, οὐδὲ δαιμόνων
ἀγάλμαθ' ἱρὰ, τῶν ὁ παντλήμων ἐγὼ
κάλλιστ' ἀνὴρ εἷς ἔν γε ταῖς Θήβαις τραφεὶς
ἀπεστέρησ' ἐμαυτὸν, αὐτὸς ἐννέπων
ὠθεῖν ἅπαντας, τὸν ἀσεβῆ, τὸν ἐκ θεῶν
φανέντ' ἄναγνον καὶ γένους τοῦ Λαΐου.
τοιάνδ' ἐγὼ κηλῖδα μηνύσας ἐμὴν
ὀρθοῖς ἔμελλον ὄμμασιν τούτους ὁρᾶν;
ἥκιστά γ'· ἀλλ' εἰ τῆς ἀκουούσης ἔτ' ἦν
πηγῆς δι' ὤτων φραγμὸς, οὐκ ἂν ἐσχόμην
τὸ μὴ 'ποκλεῖσαι τοὐμὸν ἄθλιον δέμας,
ἵν' ἦ τυφλός τε καὶ κλύων μηδέν. τὸ γὰρ
τὴν φροντίδ' ἔξω τῶν κακῶν οἰκεῖν γλυκύ.
ἰὼ Κιθαιρὼν, τί μ' ἐδέχου; τί μ' οὐ λαβὼν
ἔκτεινας εὐθὺς, ὡς ἔδειξα μήποτε
ἐμαυτὸν ἀνθρώποισιν ἔνθεν ἦν γεγώς;
ὦ Πόλυβε καὶ Κόρινθε καὶ τὰ πάτρια
λόγῳ παλαιὰ δώμαθ', οἷον ἆρά με
κάλλος κακῶν ὕπουλον ἐξεθρέψατε.
νῦν γὰρ κακός τ' ὢν κἀκ κακῶν εὑρίσκομαι.
ὦ τρεῖς κέλευθοι καὶ κεκρυμμένη νάπη
δρυμός τε καὶ στενωπὸς ἐν τριπλαῖς ὁδοῖς,
αἳ τοὐμὸν αἷμα τῶν ἐμῶν χειρῶν ἄπο
ἐπίετε πατρὸς, ἆρά μου μέμνησθ' ὅτι,
οἷ' ἔργα δράσας ὑμὶν, εἶτα δεῦρ' ἰὼν
ὁποῖ' ἔπρασσον αὖθις; ὦ γάμοι γάμοι,
ἐφύσαθ' ἡμᾶς, καὶ φυτεύσαντες πάλιν
ἀνεῖτε ταυτὸν σπέρμα, κἀπεδείξατε
πατέρας, ἀδελφοὺς, παῖδας, αἷμ' ἐμφύλιον,
νύμφας, γυναῖκας, μητέρας τε, χὠπόσα
αἴσχιστ' ἐν ἀνθρώποισιν ἔργα γίγνεται.
ἀλλ' οὐ γὰρ αὐδᾶν ἔσθ' ἃ μηδὲ δρᾶν καλὸν,
ὅπως τάχιστα πρὸς θεῶν ἔξω μέ που
καλύψατ', ἢ φονεύσατ', ἢ θαλάσσιον
ἐκρίψατ', ἔνθα μήποτ' εἰσόψεσθ' ἔτι.
ἴτ', ἀξιώσατ' ἀνδρὸς ἀθλίου θιγεῖν.
πείθεσθε, μὴ δείσητε. τἀμὰ γὰρ κακὰ
οὐδεὶς οἷός τε πλὴν ἐμοῦ φέρειν βροτῶν.

ΧΟΡΟΣ.

ἀλλ' ὧν ἐπαιτεῖς ἐς δέον πάρεσθ' ὅδε
Κρέων τὸ πράσσειν καὶ τὸ βουλεύειν· ἐπεὶ
χώρας λέλειπται μοῦνος ἀντὶ σοῦ φύλαξ.

ΟΙΔΙΠΟΥΣ.

οἴμοι, τί δῆτα λέξομεν πρὸς τόνδ' ἔπος;
τίς μοι φανεῖται πίστις ἔνδικος; τὰ γὰρ
πάρος πρὸς αὐτὸν πάντ' ἐφεύρημαι κακός.

ΚΡΕΩΝ.

ουχ ὡς γελαστὴς, Οἰδίπους, ἐλήλυθα,
οὐδ' ὡς ὀνειδιῶν τι τῶν πάρος κακῶν.
ἀλλ' εἰ τὰ θνητῶν μὴ καταισχύνεσθ' ἔτι
γένεθλα, τὴν γοῦν πάντα βόσκουσαν φλόγα
αἰδεῖσθ' ἄνακτος Ἡλίου, τοιόνδ' ἄγος
ἀκάλυπτον οὕτω δεικνύναι, τὸ μήτε γῆ
μήτ' ὄμβρος ἱρὸς μήτε φῶς προσδέξεται.
ἀλλ' ὡς τάχιστ' ἐς οἶκον ἐσκομίζετε.
τοῖς ἐν γένει γὰρ τἀγγενῆ μάλισθ' ὁρᾶν
μόνοις τ' ἀκούειν εὐσεβῶς ἔχει κακά.

ΟΙΔΙΠΟΥΣ.

πρὸς θεῶν, ἐπείπερ ἐλπίδος μ' ἀπέσπασας,
ἄριστος ἐλθὼν πρὸς κάκιστον ἄνδρ' ἐμὲ,
πιθοῦ τί μοι· πρὸς σοῦ γὰρ, οὐδ' ἐμοῦ, φράσω.

ΚΡΕΩΝ.

καὶ τοῦ με χρείας ὧδε λιπαρεῖς τυχεῖν;

ΟΙΔΙΠΟΥΣ.

ῥῖψόν με γῆς ἐκ τῆσδ' ὅσον τάχισθ' ὅπου
θνητῶν φανοῦμαι μηδενὸς προσήγορος.

ΚΡΕΩΝ.

ἔδρασ' ἂν εὖ τοῦτ' ἴσθ' ἂν, εἰ μὴ τοῦ θεοῦ
πρώτιστ' ἔχρῃζον ἐκμαθεῖν τί πρακτέον.

ΟΙΔΙΠΟΥΣ.

ἀλλ' ἥ γ' ἐκείνου πᾶσ' ἐδηλώθη φάτις,
τὸν πατροφόντην, τὸν ἀσεβῆ μ' ἀπολλύναι.

ΚΡΕΩΝ.

οὕτως ἐλέχθη ταῦθ'· ὅμως δ' ἵν' ἕσταμεν
χρείας ἄμεινον ἐκμαθεῖν τί δραστέον.

ΟΙΔΙΠΟΥΣ.

οὕτως ἄρ' ἀνδρὸς ἀθλίου πεύσεσθ' ὕπερ;

ΚΡΕΩΝ.

καὶ γὰρ σὺ νῦν τἂν τῷ θεῷ πίστιν φέροις.

ΟΙΔΙΠΟΥΣ.

καὶ σοί γ' ἐπισκήπτω τε καὶ προτρέψομαι,
τῆς μὲν κατ' οἴκους αὐτὸς ὃν θέλεις τάφον
θοῦ· καὶ γὰρ ὀρθῶς τῶν γε σῶν τελεῖς ὕπερ.
ἐμοῦ δὲ μήποτ' ἀξιωθήτω τόδε
πατρῷον ἄστυ ζῶντος οἰκητοῦ τυχεῖν.
ἀλλ' ἔα με ναίειν ὄρεσιν, ἔνθα κλῄζεται
οὑμὸς Κιθαιρὼν οὗτος, ὃν μήτηρ τέ μοι
πατήρ τ' ἐθέσθην ζῶντι κύριον τάφον,
ἵν' ἐξ ἐκείνων, οἵ μ' ἀπωλλύτην, θάνω.
καίτοι τοσοῦτόν γ' οἶδα, μήτε μ' ἂν νόσον
μήτ' ἄλλο πέρσαι μηδέν· οὐ γὰρ ἄν ποτε
θνήσκων ἐσώθην, μὴ 'πί τῳ δεινῷ κακῷ.
ἀλλ' ἡ μὲν ἡμῶν μοῖρ', ὅποιπερ εἶσ', ἴτω.
παίδων δὲ τῶν μὲν ἀρσένων μή μοι, Κρέον,
προσθῇ μέριμναν· ἄνδρες εἰσὶν, ὥστε μὴ
σπάνιν ποτὲ σχεῖν, ἔνθ' ἂν ὦσι, τοῦ βίου·

ταῖν δ' ἀθλίαιν οἰκτραῖν τε παρθένοιν ἐμαῖν,
αἷν οὔ ποθ' ἡμὴ χωρὶς ἐστάθη βορᾶς
τράπεζ' ἄνευ τοῦδ' ἀνδρὸς, ἀλλ' ὅσων ἐγὼ
ψαύοιμι, πάντων τῶνδ' ἀεὶ μετειχέτην·
αἷν μοι μέλεσθαι· καὶ μάλιστα μὲν χεροῖν
ψαῦσαί μ' ἔασον, κἀποκλαύσασθαι κακά.
ἴθ' ὦναξ,
ἴθ' ὦ γονῇ γενναῖε. χερσί τἂν θιγὼν
δοκοῖμ' ἔχειν σφᾶς, ὥσπερ ἡνίκ' ἔβλεπον.
τί φημί;
οὐ δὴ κλύω που πρὸς θεῶν τοῖν μοι φίλοιν
δακρυρροούντοιν, καί μ' ἐποικτείρας Κρέων
ἔπεμψέ μοι τὰ φίλτατ' ἐκγόνοιν ἐμοῖν;
λέγω τι;

ΚΡΕΩΝ.

λέγεις. ἐγὼ γάρ εἰμ' ὁ πορσύνας τάδε,
γνοὺς τὴν παροῦσαν τέρψιν, ἥ σ' εἶχεν πάλαι.

ΟΙΔΙΠΟΥΣ.

ἀλλ' εὐτυχοίης, καί σε τῆσδε τῆς ὁδοῦ
δαίμων ἄμεινον ἢ 'μὲ φρουρήσας τύχοι.
ὦ τέκνα, ποῦ ποτ' ἐστέ; δεῦρ' ἴτ', ἔλθετε
ὡς τὰς ἀδελφὰς τάσδε τὰς ἐμὰς χέρας,
αἳ τοῦ φυτουργοῦ πατρὸς ὑμῖν ὧδ' ὁρᾶν
τὰ πρόσθε λαμπρὰ προὐξένησαν ὄμματα·
ὃς ὑμίν, ὦ τέκν', οὔθ' ὁρῶν οὔθ' ἱστορῶν
πατὴρ ἐφάνθην ἔνθεν αὐτὸς ἠρόθην.
καὶ σφὼ δακρύω· προσβλέπειν γὰρ οὐ σθένω·
νοούμενος τὰ λοιπὰ τοῦ πικροῦ βίου,
οἷον βιῶναι σφὼ πρὸς ἀνθρώπων χρεών.
ποίας γὰρ ἀστῶν ἥξετ' εἰς ὁμιλίας;
ποίας δ' ἑορτὰς, ἔνθεν οὐ κεκλαυμέναι
πρὸς οἶκον ἵξεσθ' ἀντὶ τῆς θεωρίας;
ἀλλ' ἡνίκ' ἂν δὴ πρὸς γάμων ἥκητ' ἀκμὰς,
τίς οὗτος ἔσται, τίς παραρρίψει, τέκνα,
τοιαῦτ' ὀνείδη λαμβάνων, ἃ τοῖς ἐμοῖς
γονεῦσιν ἔσται σφῷν θ' ὁμοῦ δηλήματα;
τί γὰρ κακῶν ἄπεστι; τὸν πατέρα πατὴρ
ὑμῶν ἔπεφνε· τὴν τεκοῦσαν ἤροσεν,
ὅθεν περ αὐτὸς ἐσπάρη, κἀκ τῶν ἴσων
ἐκτήσαθ' ὑμᾶς, ὧνπερ αὐτὸς ἐξέφυ.
τοιαῦτ' ὀνειδιεῖσθε. κᾆτα τίς γαμεῖ;
οὐκ ἔστιν οὐδεὶς, ὦ τέκν', ἀλλὰ δηλαδὴ
χέρσους φθαρῆναι κἀγάμους ὑμᾶς χρεών.
ὦ παῖ Μενοικέως, ἀλλ' ἐπεὶ μόνος πατὴρ
ταύταιν λέλειψαι, νὼ γὰρ, ὣ 'φυτεύσαμεν,
ὀλώλαμεν δύ' ὄντε, μή σφε περιίδῃς
πτωχὰς ἀνάνδρους ἐγγενεῖς ἀλωμένας,
μηδ' ἐξισώσῃς τάσδε τοῖς ἐμοῖς κακοῖς.
ἀλλ' οἴκτισον σφᾶς, ὧδε τηλικάσδ' ὁρῶν
πάντων ἐρήμους, πλὴν ὅσον τὸ σὸν μέρος.
ξύννευσον, ὦ γενναῖε, σῇ ψαύσας χερί.
σφῷν δ', ὦ τέκν', εἰ μὲν εἰχέτην ἤδη φρένας,
πόλλ' ἂν παρῄνουν· νῦν δὲ τοῦτ' εὔχεσθέ μ
οὗ καιρὸς ἀεὶ ζῆν, βίου δὲ λῴονος
ὑμᾶς κυρῆσαι τοῦ φυτεύσαντος πατρός.

ΚΡΕΩΝ.

ἅλις ἵν' ἐξήκεις δακρύων. ἀλλ' ἴθι στέγης ἔσ

ΟΙΔΙΠΟΥΣ.

πειστέον, κεἰ μηδὲν ἡδύ.

ΚΡΕΩΝ.

πάντα γὰρ καιρῷ κα

ΟΙΔΙΠΟΥΣ.

οἶσθ' ἐφ' οἷς οὖν εἶμι;

ΚΡΕΩΝ.

λέξεις, καὶ τότ' εἴσομαι κλυ

ΟΙΔΙΠΟΥΣ.

γῆς μ' ὅπως πέμψεις ἄποικον.

ΚΡΕΩΝ.

τοῦ θεοῦ μ' αἰτεῖς δό

ΟΙΔΙΠΟΥΣ.

ἀλλὰ θεοῖς γ' ἔχθιστος ἥκω.

ΚΡΕΩΝ.

τοιγαροῦν τεύξει τά

ΟΙΔΙΠΟΥΣ.

φῂς τάδ' οὖν;

ΚΡΕΩΝ.

ἃ μὴ φρονῶ γὰρ οὐ φιλῶ λέγειν μά

ΟΙΔΙΠΟΥΣ.

ἄπαγέ νύν μ' ἐντεῦθεν ἤδη.

ΚΡΕΩΝ.

στεῖχέ νυν, τέκνων δ' ἀ

ΟΙΔΙΠΟΥΣ.

μηδαμῶς ταύτας γ' ἕλῃ μου.

ΚΡΕΩΝ.

πάντα μὴ βούλου κρα
καὶ γὰρ ἀκράτησας οὔ σοι τῷ βίῳ ξυνέσπετ

ΧΟΡΟΣ.

ὦ πάτρας Θήβης ἔνοικοι, λεύσσετ', Οἰδίπους
ὃς τὰ κλείν' αἰνίγματ' ᾔδη καὶ κράτιστος ἦν
ὅστις οὐ ζήλῳ πολιτῶν καὶ τύχαις ἐπιβλέπ
εἰς ὅσον κλύδωνα δεινῆς συμφορᾶς ἐλήλυθε
ὥστε θνητὸν ὄντ' ἐκείνην τὴν τελευταίαν ἰ
ἡμέραν ἐπισκοποῦντα μηδέν' ὀλβίζειν, πρὶν
τέρμα τοῦ βίου περάσῃ μηδὲν ἀλγεινὸν πα

# ΣΟΦΟΚΛΕΟΥΣ ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩι.

---

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

*ΟΙΔΙΠΟΥΣ.*
*ΑΝΤΙΓΟΝΗ.*
*ΞΕΝΟΣ.*
*ΧΟΡΟΣ ΑΤΤΙΚΩΝ ΓΕΡΟΝΤΩΝ.*
*ΙΣΜΗΝΗ.*
*ΘΗΣΕΥΣ.*
*ΚΡΕΩΝ.*
*ΠΟΛΥΝΕΙΚΗΣ.*
*ΑΓΓΕΛΟΣ.*

---

## *ΥΠΟΘΕΣΙΣ.*

*Ο ΕΠΙ ΚΟΛΩΝΩι ΟΙΔΙΠΟΥΣ συνημμένος πώς ἐστι τῷ ΤΥΡΑΝΝΩι. τῆς γὰρ πατρίδος ἐκπεσὼν ὁ Οἰδί-πους ἤδη γεραιὸς ὢν ἀφικνεῖται εἰς Ἀθήνας, ὑπὸ τῆς θυγατρὸς Ἀντιγόνης χειραγωγούμενος. ἦσαν γὰρ τῶν ἀρσένων περὶ τὸν πατέρα φιλοστοργότεραι. ἀφικνεῖται δὲ εἰς Ἀθήνας κατὰ πυθόχρηστον, ὡς αὐτός φησι, χρησθὲν αὐτῷ παρὰ ταῖς σεμναῖς καλουμέναις θεαῖς μεταλλάξαι τὸν βίον. τὸ μὲν οὖν πρῶτον γέροντες ἐγχώριοι, ἐξ ὧν ὁ χορὸς συνέστηκε, πυθόμενοι συνέρχονται καὶ διαλέγονται πρὸς αὐτόν. ἔπειτα δὲ Ἰσμήνη παραγενομένη τὰ κατὰ τὴν στάσιν ἀπαγγέλλει τῶν παίδων, καὶ τὴν γενομένην ἄφιξιν τοῦ Κρέοντος πρὸς αὐτόν· ὃς καὶ παραγενόμενος ἐπὶ τῷ ἀγαγεῖν αὐτὸν εἰς τοὐπίσω ἄπρακτος ἀπαλλάττεται. ὁ δὲ πρὸς τὸν Θησέα διελθὼν τὸν χρησμὸν οὕτω τὸν βίον καταστρέφει παρὰ ταῖς θεαῖς.*

*Τὸ δὲ δρᾶμα τῶν θαυμαστῶν· ὃ καὶ ἤδη γεγηρακὼς ὁ Σοφοκλῆς ἐποίησε, χαριζόμενος οὐ μόνον τῇ πατρίδι, ἀλλὰ καὶ τῷ ἑαυτοῦ δήμῳ· ἦν γὰρ Κολωνῆθεν· ὥστε τὸν μὲν δῆμον ἐπίσημον ἀποδεῖξαι, χαρί-σασθαι δὲ καὶ τὰ μέγιστα τοῖς Ἀθηναίοις, δι' ὧν ἀπορθήτους ἔσεσθαι, καὶ τῶν ἐχθρῶν αὐτοὺς κρατήσειν ὑποτίθεται ὁ Οἰδίπους προαναφωνῶν καὶ ὅτι διαστασιάσουσι πρὸς Θηβαίους ποτὲ, καὶ τούτων κρατήσου-σιν ἐκ χρησμῶν διὰ τὸν τάφον αὐτοῦ.*

---

## *ΣΑΛΛΟΥΣΤΙΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ.*

*Τὰ πραχθέντα περὶ τὸν Οἰδίποδα ἴσμεν ἅπαντα τὰ ἐν τῷ ἑτέρῳ ΟΙΔΙΠΟΔΙ. πεπήρωται γὰρ καὶ ἀφῖκται εἰς τὴν Ἀττικὴν, ὁδηγούμενος ἐκ μιᾶς τῶν θυγατέρων, Ἀντιγόνης. καὶ ἔστιν ἐν τῷ τεμένει τῶν σεμνῶν [Ἐρι-νύων], ὅ ἐστιν ἐν τῷ καλουμένῳ ἱππίῳ Κολωνῷ, οὕτω κληθέντι, ἐπεὶ καὶ Ποσειδῶνός ἐστιν ἱερὸν ἱππίου καὶ Προμηθέως, καὶ αὐτοῦ οἱ ὀρεωκόμοι ἵστανται· ἔστι γὰρ αὐτῷ πυθόχρηστον ἐνταῦθα δεῖν αὐτὸν ταφῆς τυχεῖν· οὗ μή ἐστιν ἑτέρῳ βεβήλῳ τόπος, αὐτόθι κάθηται· καὶ κατὰ μικρὸν αὐτῷ τὰ τῆς ὑποθέσεως προέρ-χεται. ὁρᾷ γάρ τις αὐτὸν τῶν ἐντεῦθεν, καὶ πορεύεται ἀγγελῶν ὅτι τις ἄρα τῷ χωρίῳ τούτῳ προσκάθηται. καὶ ἔρχονται οἱ ἐν τῷ τόπῳ ἐν χοροῦ σχήματι, μαθησόμενοι τὰ πάντα. πρῶτος οὖν ἐστι καταλύων τὴν ὁδοι-*

πορίαν, καὶ τῇ θυγατρὶ διαλεγόμενος. ἄφατος δέ ἐστι καθόλου ἡ οἰκονομία ἐν τῷ δράματι, ὡς οὐδεὶ ἄλλῳ σχεδόν.

Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῇ Ἀττικῇ ἐν τῷ ἱππίῳ, πρὸς τῷ ναῷ τῶν σεμνῶν. ὁ δὲ χορὸ συνέστηκεν ἐξ Ἀθηναίων ἀνδρῶν. προλογίζει Οἰδίπους.

## ΑΛΛΩΣ.

Τὸν ἐπὶ Κολωνῷ Οἰδίποδα ἐπὶ τετελευτηκότι τῷ πάππῳ Σοφοκλῆς ὁ υἱδοῦς ἐδίδαξεν, υἱὸς ὢν Ἀρίστωνο ἐπὶ ἄρχοντος Μίκωνος *, ὃς τέταρτος ἀπὸ Καλλίου, ἐφ' οὗ φασιν οἱ πλείους τὸν Σοφοκλέα τελευτῆσα σαφὲς δὲ τοῦτ' ἐστὶν ἐξ ὧν ὁ μὲν Ἀριστοφάνης ἐν τοῖς Βατράχοις ἐπὶ Καλλίου ἀνάγει τοὺς στρατηγο ὑπὲρ γῆς, ὁ δὲ Φρύνιχος ἐν Μούσαις, ἃς συγκαθῆκε τοῖς Βατράχοις, φησὶν οὕτως·

μάκαρ Σοφοκλέης, ὃς πολὺν χρόνον βιοὺς
ἀπέθανεν, εὐδαίμων ἀνὴρ καὶ δεξιός,
πολλὰς ποιήσας καὶ καλὰς τραγῳδίας,
καλῶς ἐτελεύτησ', οὐδὲν ὑπομείνας κακόν.

ἐπὶ δὲ τῷ λεγομένῳ ἱππίῳ Κολωνῷ τὸ δρᾶμα κεῖται. ἔστι γὰρ καὶ ἕτερος Κολωνὸς ἀγοραῖος πρὸς τῷ Εὐ ρυσακείῳ, πρὸς ᾧ οἱ μισθαρνοῦντες προειστήκεισαν, ὥστε καὶ τὴν παροιμίαν ἐπὶ τοῖς καθυστερίζουσι τῶ καιρῶν διαδοθῆναι

ὀψ' ἦλθες, ἀλλ' εἰς τὸν Κολωνὸν ἵεσο.

μνημονεύει τῶν δυεῖν Κολωνῶν Φερεκράτης ἐν Πετάλῃ διὰ τούτων

οὗτος, πόθεν ἦλθες; Εἰς Κολωνὸν ᾠχόμην,
οὐ τὸν ἀγοραῖον, ἀλλὰ τὸν τῶν ἱππέων.

---

* Ol. XCIV., 2.

# ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩι.

ΟΙΔΙΠΟΥΣ.

Τέκνον τυφλοῦ γέροντος Ἀντιγόνη, τίνας
χώρους ἀφίγμεθ', ἢ τίνων ἀνδρῶν πόλιν;
τίς τὸν πλανήτην Οἰδίπουν καθ' ἡμέραν
τὴν νῦν σπανιστοῖς δέξεται δωρήμασι,
σμικρὸν μὲν ἐξαιτοῦντα, τοῦ σμικροῦ δ' ἔτι
μεῖον φέροντα, καὶ τόδ' ἐξαρκοῦν ἐμοί.
στέργειν γὰρ αἱ πάθαι με χὼ χρόνος ξυνὼν
μακρὸς διδάσκει καὶ τὸ γενναῖον τρίτον.
ἀλλ', ὦ τέκνον, θάκησιν εἴ τινα βλέπεις
ἢ πρὸς βεβήλοις ἢ πρὸς ἄλσεσιν θεῶν,
στῆσόν με κἀξίδρυσον, ὡς πυθοίμεθα
ὅπου ποτ' ἐσμέν. μανθάνειν γὰρ ἥκομεν
ξένοι πρὸς ἀστῶν, χἂν ἀκούσωμεν τελεῖν.

ΑΝΤΙΓΟΝΗ.

πάτερ ταλαίπωρ' Οἰδίπου, πύργοι μέν, οἳ
πόλιν στέγουσιν, ὡς ἀπ' ὀμμάτων, πρόσω·
χῶρος δ' ὅδ' ἱρός, ὡς σάφ' εἰκάσαι, βρύων
δάφνης, ἐλαίας, ἀμπέλου· πυκνόπτεροι δ'
εἴσω κατ' αὐτὸν εὐστομοῦσ' ἀηδόνες·
οὗ κῶλα κάμψον τοῦδ' ἐπ' ἀξέστου πέτρου.
μακρὰν γὰρ ὡς γέροντι προὐστάλης ὁδόν.

ΟΙΔΙΠΟΥΣ.

κάθιζέ νύν με καὶ φύλασσε τὸν τυφλόν.

ΑΝΤΙΓΟΝΗ.

χρόνου μὲν οὕνεκ' οὐ μαθεῖν με δεῖ τόδε.

ΟΙΔΙΠΟΥΣ.

ἔχεις διδάξαι δή μ' ὅποι καθέσταμεν;

ΑΝΤΙΓΟΝΗ.

τὰς γοῦν Ἀθήνας οἶδα, τὸν δὲ χῶρον οὔ.

ΟΙΔΙΠΟΥΣ.

πᾶς γάρ τις ηὔδα τοῦτό γ' ἡμῖν ἐμπόρων.

ΑΝΤΙΓΟΝΗ.

ἀλλ' ὅστις ὁ τόπος ἢ μάθω μολοῦσά ποι;

ΟΙΔΙΠΟΥΣ.

ναί, τέκνον, εἴπερ ἐστί γ' ἐξοικήσιμος.

ΑΝΤΙΓΟΝΗ.

ἀλλ' ἐστὶ μὴν οἰκητός. οἴομαι δὲ δεῖν
οὐδέν· πέλας γὰρ ἄνδρα τόνδε νῷν ὁρῶ.

ΟΙΔΙΠΟΥΣ.

ἦ δεῦρο προστείχοντα κἀξορμώμενον;

ΑΝΤΙΓΟΝΗ.

καὶ δὴ μὲν οὖν παρόντα· χὤ τι σοι λέγειν
εὔκαιρόν ἐστιν, ἔννεφ', ὡς ἁνὴρ ὅδε.

ΟΙΔΙΠΟΥΣ.

ὦ ξεῖν', ἀκούων τῆσδε τῆς ὑπέρ τ' ἐμοῦ
αὑτῆς θ' ὁρώσης, οὕνεχ' ἡμῖν αἴσιος
σκοπὸς προσήκεις τῶν ἀδηλοῦμεν φράσαι,

ΞΕΝΟΣ.

πρὶν νῦν τὰ πλείον' ἱστορεῖν, ἐκ τῆσδ' ἕδρας
ἔξελθ', ἔχεις γὰρ χῶρον οὐχ ἁγνὸν πατεῖν.

ΟΙΔΙΠΟΥΣ.

τίς δ' ἔσθ' ὁ χῶρος; τοῦ θεῶν νομίζεται;

ΞΕΝΟΣ.

ἄθικτος οὐδ' οἰκητός. αἱ γὰρ ἔμφοβοι
θεαί σφ' ἔχουσι, Γῆς τε καὶ Σκότου κόραι.

ΟΙΔΙΠΟΥΣ.

τίνων τὸ σεμνὸν ὄνομ' ἂν εὐξαίμην κλύων;

ΞΕΝΟΣ.

τὰς πάνθ' ὁρώσας Εὐμενίδας ὅ γ' ἐνθάδ' ἂν
εἴποι λεώς νιν· ἄλλα δ' ἀλλαχοῦ καλά.

ΟΙΔΙΠΟΥΣ.

ἀλλ' ἵλεῳ μὲν τὸν ἱκέτην δεξαίατο·
ὡς οὐχ ἕδρας γῆς τῆσδ' ἂν ἐξέλθοιμ' ἔτι.

ΞΕΝΟΣ.

τί δ' ἐστὶ τοῦτο;

ΟΙΔΙΠΟΥΣ.

ξυμφορᾶς ξύνθημ' ἐμῆς.

ΞΕΝΟΣ.

ἀλλ' οὐδὲ μέντοι τοὐξανιστάναι πόλεως
δίχ' ἐστὶ θάρσος, πρίν γ' ἂν ἐνδείξω τί δρῶ.

ΟΙΔΙΠΟΥΣ.

πρός νυν θεῶν, ὦ ξεῖνε, μή μ' ἀτιμάσῃς,
τοιόνδ' ἀλήτην, ὧν σε προστρέπω φράσαι.

ΞΕΝΟΣ.

σήμαινε, κοὐκ ἄτιμος ἔκ γ' ἐμοῦ φανεῖ.

ΟΙΔΙΠΟΥΣ.

τίς δ' ἔσθ' ὁ χῶρος δῆτ' ἐν ᾧ βεβήκαμεν;

ΞΕΝΟΣ.

ὅσ' οἶδα κἀγὼ πάντ' ἐπιστήσει κλύων.
χῶρος μὲν ἱρὸς πᾶς ὅδ' ἔστ'· ἔχει δέ νιν
σεμνὸς Ποσειδῶν· ἐν δ' ὁ πυρφόρος θεὸς
Τιτὰν Προμηθεύς· ὃν δ' ἐπιστείβεις τόπον,
χθονὸς καλεῖται τῆσδε χαλκόπους ὀδός,
ἔρεισμ' Ἀθηνῶν· οἱ δὲ πλησίοι γύαι
τόνδ' ἱππότην Κολωνὸν εὔχονται σφίσιν
ἀρχηγὸν εἶναι, καὶ φέρουσι τοὔνομα
τὸ τοῦδε κοινὸν πάντες ὠνομασμένοι.
τοιαῦτά σοι ταῦτ' ἐστίν, ὦ ξέν', οὐ λόγοις
τιμώμεν', ἀλλὰ τῇ ξυνουσίᾳ πλέον.

ΟΙΔΙΠΟΥΣ.

ἦ γάρ τινες ναίουσι τούσδε τοὺς τόπους;

ΞΕΝΟΣ.

καὶ κάρτα, τοῦδε τοῦ θεοῦ γ' ἐπώνυμοι.

ΟΙΔΙΠΟΥΣ.

ἄρχει τις αὐτῶν, ἢ 'πὶ τῷ πλήθει λόγος;

ΞΕΝΟΣ.

ἐκ τοῦ κατ' ἄστυ βασιλέως τάδ' ἄρχεται.

ΟΙΔΙΠΟΥΣ.

οὗτος δὲ τίς λόγῳ τε καὶ σθένει κρατεῖ;

ΞΕΝΟΣ.

Θησεὺς καλεῖται, τοῦ πρὶν Αἰγέως τόκος.

ΟΙΔΙΠΟΥΣ.
ἆρ᾽ ἄν τις αὐτῷ πομπὸς ἐξ ὑμῶν μόλοι;
ΞΕΝΟΣ.
ὡς πρὸς τί λέξων ἢ καταρτύσων μολεῖν;
ΟΙΔΙΠΟΥΣ.
ὡς ἂν προσαρκῶν μικρὰ κερδάνῃ μέγα.
ΞΕΝΟΣ.
καὶ τίς πρὸς ἀνδρὸς μὴ βλέποντος ἄρκεσις;
ΟΙΔΙΠΟΥΣ.
ὅσ᾽ ἂν λέγωμεν πάνθ᾽ ὁρῶντα λέξομεν.
ΞΕΝΟΣ.
οἶσθ᾽, ὦ ξέν᾽, ὡς νῦν μὴ σφαλῇς; ἐπείπερ εἶ
γενναῖος, ὡς ἰδόντι, πλὴν τοῦ δαίμονος.
αὐτοῦ μέν᾽, οὗπερ κἀφάνης, ἕως ἐγὼ
τοῖσδ᾽ ἐνθάδ᾽ αὐτοῦ μὴ κατ᾽ ἄστυ δημόταις
λέξω τάδ᾽ ἐλθών. οἵδε γὰρ κρινοῦσί σοι
εἰ χρή σε μίμνειν, ἢ πορεύεσθαι πάλιν.
ΟΙΔΙΠΟΥΣ.
ὦ τέκνον, ἦ βέβηκεν ἡμὶν ὁ ξένος;
ΑΝΤΙΓΟΝΗ.
βέβηκεν, ὥστε πᾶν ἐν ἡσύχῳ, πάτερ,
ἔξεστι φωνεῖν, ὡς ἐμοῦ μόνης πέλας.
ΟΙΔΙΠΟΥΣ.
ὦ πότνιαι δεινῶπες, εὖτε νῦν ἕδρας
πρώτων ἐφ᾽ ὑμῶν τῆσδε γῆς ἔκαμψ᾽ ἐγώ,
Φοίβῳ τε κἀμοὶ μὴ γένησθ᾽ ἀγνώμονες,
ὅς μοι, τὰ πόλλ᾽ ἐκεῖν᾽ ὅτ᾽ ἐξέχρη κακά,
ταύτην ἔλεξε παῦλαν ἐν χρόνῳ μακρῷ,
ἐλθόντι χώραν τερμίαν, ὅπου θεῶν
σεμνῶν ἕδραν λάβοιμι καὶ ξενόστασιν,
ἐνταῦθα κάμπτειν τὸν ταλαίπωρον βίον,
κέρδη μὲν οἰκήσαντα τοῖς δεδεγμένοις,
ἄτην δὲ τοῖς πέμψασιν, οἵ μ᾽ ἀπήλασαν·
σημεῖα δ᾽ ἥξειν τῶνδέ μοι παρηγγύα,
ἢ σεισμὸν, ἢ βροντήν τιν᾽, ἢ Διὸς σέλας.
ἔγνωκα μὲν νῦν ὥς με τήνδε τὴν ὁδὸν
οὐκ ἔσθ᾽ ὅπως οὐ πιστὸν ἐξ ὑμῶν πτερὸν
ἐξήγαγ᾽ εἰς τόδ᾽ ἄλσος. οὐ γὰρ ἄν ποτε
πρώταισιν ὑμῖν ἀντέκυρσ᾽ ὁδοιπορῶν,
νήφων ἀοίνοις, κἀπὶ σεμνὸν ἑζόμην
βάθρον τόδ᾽ ἀσκέπαρνον. ἀλλά μοι, θεαί,
βίου κατ᾽ ὀμφὰς τὰς Ἀπόλλωνος δότε
πέρασιν ἤδη καὶ καταστροφήν τινα,
εἰ μὴ δοκῶ τι μειόνως ἔχειν, ἀεὶ
μόχθοις λατρεύων τοῖς ὑπερτάτοις βροτῶν.
ἴτ᾽, ὦ γλυκεῖαι παῖδες ἀρχαίου Σκότου,
ἴτ᾽, ὦ μεγίστης Παλλάδος καλούμεναι
πασῶν Ἀθῆναι τιμιωτάτη πόλις,
οἰκτείρατ᾽ ἀνδρὸς Οἰδίπου τόδ᾽ ἄθλιον
εἴδωλον· οὐ γὰρ δὴ τόδ᾽ ἀρχαῖον δέμας.
ΑΝΤΙΓΟΝΗ.
σίγα. πορεύονται γὰρ οἵδε δή τινες
χρόνῳ παλαιοὶ, σῆς ἕδρας ἐπίσκοποι.
ΟΙΔΙΠΟΥΣ.
σιγήσομαί τε καὶ σύ μ᾽ ἐξ ὁδοῦ πόδα
κρύψον κατ᾽ ἄλσος, τῶνδ᾽ ἕως ἂν ἐκμάθω
τίνας λόγους ἐροῦσιν. ἐν γὰρ τῷ μαθεῖν
ἔνεστιν ηὐλάβεια τῶν ποιουμένων.
ΧΟΡΟΣ.
ὅρα. τίς ἄρ᾽ ἦν; ποῦ ναίει;

117 — 137. == 149 — 169.

ποῦ κυρεῖ ἐκτόπιος συθεὶς ὁ πάντων
ὁ πάντων ἀκορέστατος;
προσπεύθου, λεῦσσ᾽ αὐτὸν,
προσδέρκου πανταχῇ.
πλανάτας πλανάτας τις ὁ πρέσβυς, οὐδ᾽
ἔγχωρος· προσέβα γὰρ οὐκ
ἂν ποτ᾽ ἀστιβὲς ἄλσος ἐς
τᾶνδ᾽ ἀμαιμακετᾶν κορᾶν,
ἃς τρέμομεν λέγειν,
καὶ παραμειβόμεσθ᾽ ἀδέρκτως,
ἀφώνως, ἀλόγως τὸ τᾶς
εὐφήμου στόμα φροντίδος
ἱέντες, τὰ δὲ νῦν τιν᾽ ἥκειν
λόγος οὐδὲν ἅζονθ᾽,
ὃν ἐγὼ λεύσσων περὶ πᾶν οὔπω
δύναμαι τέμενος
γνῶναι ποῦ μοί ποτε ναίει.
ΟΙΔΙΠΟΥΣ.
ὅδ᾽ ἐκεῖνος ἐγώ· φωνῇ γὰρ ὁρῶ,
τὸ φατιζόμενον.
ΧΟΡΟΣ.
ἰὼ ἰώ,
δεινὸς μὲν ὁρᾶν, δεινὸς δὲ κλύειν.
ΟΙΔΙΠΟΥΣ.
μή μ᾽, ἱκετεύω, προσίδητ᾽ ἄνομον.
ΧΟΡΟΣ.
Ζεῦ ἀλεξῆτορ, τίς ποθ᾽ ὁ πρέσβυς;
ΟΙΔΙΠΟΥΣ.
οὐ πάνυ μοίρας εὐδαιμονίσαι
πρώτης, ὦ τῆσδ᾽ ἔφοροι χώρας.
δηλῶ δ᾽· οὐ γὰρ ἂν ὧδ᾽ ἀλλοτρίοις
ὄμμασιν εἷρπον
κἀπὶ σμικροῖς μέγας ὥρμουν.
ΧΟΡΟΣ.
ἒ ἔ, ἀλαῶν ὀμμάτων
ἆρα καὶ ἦσθα φυτάλμιος δυσαίων;
μακραίων γ᾽, ὅσ᾽ ἐπεικάσαι.
ἀλλ᾽ οὐ μὰν ἔν γ᾽ ἐμοὶ
προσθήσεις τάσδ᾽ ἀράς.
περᾷς γὰρ περᾷς· ἀλλ᾽ ἵνα τῷδ᾽ ἐν ἀ-
φθέγκτῳ μὴ προπέσῃς νάπει
ποιάεντι, κάθυδρος οὗ
κρατὴρ μειλιχίων ποτῶν
ῥεύματι συντρέχει,
τῶν, ξένε πάμμορ᾽, εὖ φύλαξαι,
μετάσταθ᾽, ἀπόβαθι. πολ-
λὰ κέλευθος ἐρατύει·
κλύεις, ὦ πολύμοχθ᾽ ἀλᾶτα;
λόγον εἴ τιν᾽ οἴσεις
πρὸς ἐμὰν λέσχαν, ἀβάτων ἀποβὰς,
ἵνα πᾶσι νόμος,
φώνει· πρόσθεν δ᾽ ἀπερύκου.
ΟΙΔΙΠΟΥΣ.
θύγατερ, ποῖ τις φροντίδος ἔλθῃ;
ΑΝΤΙΓΟΝΗ.
ὦ πάτερ, ἀστοῖς ἴσα χρὴ μελετᾶν,
εἴκοντας ἃ δεῖ κἀκούοντας.
ΟΙΔΙΠΟΥΣ.
πρόσθιγέ νύν μου.

ΑΝΤΙΓΟΝΗ.
ψαύω καὶ δή.
ΟΙΔΙΠΟΥΣ.
ὦ ξεῖνοι, μὴ δῆτ᾽ ἀδικηθῶ
σοὶ πιστεύσας μεταναστάς.
ΧΟΡΟΣ.
οὔ τοι μήποτέ σ᾽ ἐκ τῶνδ᾽ ἑδράνων,
ὦ γέρον, ἄκοντά τις ἄξει.
ΟΙΔΙΠΟΥΣ.
ἔτ᾽ οὖν;
ΧΟΡΟΣ.
ἐπίβαινε πόρσω.
ΟΙΔΙΠΟΥΣ.
ἔτι;
ΧΟΡΟΣ.
προβίβαζε, κούρα,
πρόσω· σὺ γὰρ ἀΐεις.
ΑΝΤΙΓΟΝΗ.
ἕπεο μὰν, ἕπε᾽ ὧδ᾽ ἀμαυρῷ
κώλῳ, πάτερ, ᾇ σ᾽ ἄγω.
ΧΟΡΟΣ.
τόλμα ξεῖνος ἐπὶ ξένης,
ὦ τλάμων, ὅ τι καὶ πόλις
τέτροφεν ἄφιλον ἀποστυγεῖν
καὶ τὸ φίλον σέβεσθαι.
ΟΙΔΙΠΟΥΣ.
ἄγε νυν σύ με, παῖ,
ἵν᾽ ἂν εὐσεβίας ἐπιβαίνοντες
τὸ μὲν εἴποιμεν, τὸ δ᾽ ἀκούσαιμεν,
καὶ μὴ χρείᾳ πολεμῶμεν.
ΧΟΡΟΣ.
αὐτοῦ· μηκέτι τοῦδ᾽ αὐτοπέτρου
βήματος ἔξω πόδα κλίνῃς.
ΟΙΔΙΠΟΥΣ.
οὕτως;
ΧΟΡΟΣ.
ἅλις, ὡς ἀκούεις.
ΟΙΔΙΠΟΥΣ.
ἦ στῶ;
ΧΟΡΟΣ.
λέχριός γ᾽ ἐπ᾽ ἄκρου
λᾶος βραχὺς ὀκλάσας.
ΑΝΤΙΓΟΝΗ.
πάτερ, ἐμὸν τόδ᾽· ἐν ἡσυχαίᾳ
βάσει βάσιν ἅρμοσαι,
ΟΙΔΙΠΟΥΣ.
ἰώ μοί μοι.
ΑΝΤΙΓΟΝΗ.
γεραὸν ἐς χέρα σῶμα σὸν
προκλίνας φιλίαν ἐμάν.
ΟΙΔΙΠΟΥΣ.
ὤμοι δύσφρονος ἄτας.
ΧΟΡΟΣ.
ὦ τλάμων, ὅτε νῦν χαλᾷς,
αὔδασον, τίς ἔφυς βροτῶν;
τίς ὁ πολύπονος ἄγει; τίν᾽ ἂν
σοῦ πατρίδ᾽ ἐκπυθοίμαν;
176—183. == 192—198.
184—187. == 203—206.

ΟΙΔΙΠΟΥΣ.
ὦ ξένοι,
ἀπόπτολις· ἀλλὰ μὴ,
ΧΟΡΟΣ.
τί τόδ᾽ ἀπεννέπεις, γέρον;
ΟΙΔΙΠΟΥΣ.
μὴ μὴ μή μ᾽ ἀνέρῃ τίς εἰμι,
μηδ᾽ ἐξετάσῃς πέρα ματεύων.
ΧΟΡΟΣ.
τί τόδε;
ΟΙΔΙΠΟΥΣ.
δεινὰ φύσις.
ΧΟΡΟΣ.
αὔδα.
ΟΙΔΙΠΟΥΣ.
τέκνον, ὤμοι, τί γεγώνω;
ΧΟΡΟΣ.
τίνος εἶ σπέρματος,
ξεῖνε, φώνει, πατρόθεν.
ΟΙΔΙΠΟΥΣ.
ὤμοι ἐγὼ, τί πάθω, τέκνον ἐμόν;
ΑΝΤΙΓΟΝΗ.
λέγ᾽, ἐπείπερ ἐπ᾽ ἔσχατα βαίνεις.
ΟΙΔΙΠΟΥΣ.
ἀλλ᾽ ἐρῶ. οὐ γὰρ ἔχω κατακρυφάν.
ΧΟΡΟΣ.
μακρὰ μέλλετον, ἀλλὰ τάχυνε.
ΟΙΔΙΠΟΥΣ.
Λαΐου ἴστε τιν᾽;
ΧΟΡΟΣ.
ὤ, ἰοὺ ἰού.
ΟΙΔΙΠΟΥΣ.
τό τε Λαβδακιδᾶν γένος;
ΧΟΡΟΣ.
ὦ Ζεῦ.
ΟΙΔΙΠΟΥΣ.
ἄθλιον Οἰδιπόδαν;
ΧΟΡΟΣ.
σὺ γὰρ ὅδ᾽ εἶ;
ΟΙΔΙΠΟΥΣ.
δέος ἴσχετε μηδὲν ὅσ᾽ αὐδῶ.
ΧΟΡΟΣ.
ἰὼ, ὢ ὤ.
ΟΙΔΙΠΟΥΣ.
δύσμορος.
ΧΟΡΟΣ.
ὢ ὤ.
ΟΙΔΙΠΟΥΣ.
θύγατερ, τί ποτ᾽ αὐτίκα κύρσει;
ΧΟΡΟΣ.
ἔξω πόρσω βαίνετε χώρας.
ΟΙΔΙΠΟΥΣ.
ἃ δ᾽ ὑπέσχεο ποῖ καταθήσεις;
ΧΟΡΟΣ.
οὐδενὶ μοιριδία τίσις ἔρχεται
ὧν προπάθῃ τὸ τίνειν· ἀπάτα δ᾽ ἀπά-
ταις ἑτέραις ἑτέρα παραβαλλομέ-
να πόνον, οὐ χάριν, ἀντιδίδωσιν ἔ-
χειν. σὺ δὲ τῶνδ᾽ ἑδράνων πάλιν ἔκτοπος

αὖθις ἄφορμος ἐμᾶς χθονὸς ἔκθορε,
μή τι πέρα χρέος ἐμᾷ πόλει προσάψῃς.

ΑΝΤΙΓΟΝΗ.

ὦ ξένοι
αἰδόφρονες, ἀλλ' ἐπεὶ
γεραὸν πατέρα τόνδ' ἐμὸν
οὐκ ἀνέτλατ' ἔργων
ἀκόντων ἀΐοντες αὐδὰν,
ἀλλ' ἐμὲ τὰν μελέαν, ἱκετεύομεν,
ὦ ξένοι, οἰκτείραθ', ἃ
πατρὸς ὑπὲρ τοὐμοῦ μόνου ἄντομαι,
ἄντομαι οὐκ ἀλαοῖς προσορωμένα
ὄμμα σὸν ὄμμασιν, ὥς τις ἀφ' αἵματος
ὑμετέρου προφανεῖσα, τὸν ἄθλιον
αἰδοῦς κῦρσαι. ἐν ὑμῖν ὡς θεῷ
κείμεθα τλάμονες. ἀλλ' ἴτε, νεύσατε
τὰν ἀδόκητον χάριν.
πρὸς σ' ὅ τι σοι φίλον ἐκ σέθεν ἄντομαι,
ἢ τέκνον, ἢ λέχος, ἢ χρέος, ἢ θεός.
οὐ γὰρ ἴδοις ἂν ἀθρῶν βροτὸν,
ὅστις ἂν, εἰ θεὸς ἄγοι, ἐκφυγεῖν δύναιτο.

ΧΟΡΟΣ.

ἀλλ' ἴσθι, τέκνον Οἰδίπου, σέ τ' ἐξ ἴσου
οἰκτείρομεν καὶ τόνδε συμφορᾶς χάριν·
τὰ δ' ἐκ θεῶν τρέμοντες οὐ σθένοιμεν ἂν
φωνεῖν πέρα τῶν πρὸς σὲ νῦν εἰρημένων.

ΟΙΔΙΠΟΥΣ.

τί δῆτα δόξης, ἢ τί κληδόνος καλῆς
μάτην ῥεούσης ὠφέλημα γίγνεται,
εἰ τάς γ' Ἀθήνας φασὶ θεοσεβεστάτας
εἶναι, μόνας δὲ τὸν κακούμενον ξένον
σώζειν οἵας τε καὶ μόνας ἀρκεῖν ἔχειν,
κἄμοιγε ποῦ ταῦτ' ἐστὶν, οἵτινες βάθρων
ἐκ τῶνδέ μ' ἐξάραντες εἶτ' ἐλαύνετε,
ὄνομα μόνον δείσαντες; οὐ γὰρ δὴ τό γε
σῶμ' οὐδὲ τἄργα τἄμ'· ἐπεὶ τά γ' ἔργα μου
πεπονθότ' ἐστὶ μᾶλλον ἢ δεδρακότα,
εἴ σοι τὰ μητρὸς καὶ πατρὸς χρείη λέγειν,
ὧν οὕνεκ' ἐκφοβεῖ με. τοῦτ' ἐγὼ καλῶς
ἔξοιδα. καίτοι πῶς ἐγὼ κακὸς φύσιν,
ὅστις παθὼν μὲν ἀντέδρων, ὥστ' εἰ φρονῶν
ἔπρασσον, οὐδ' ἂν ὧδ' ἐγιγνόμην κακός;
νῦν δ' οὐδὲν εἰδὼς ἱκόμην ἵν' ἱκόμην,
ὑφ' ὧν δ' ἔπασχον, εἰδότων ἀπωλλύμην.
ἀνθ' ὧν ἱκνοῦμαι πρὸς θεῶν ὑμᾶς, ξένοι,
ὥσπερ με κἀνεστήσαθ', ὧδε σώσατε.
καὶ μὴ θεοὺς τιμῶντες εἶτα τοὺς θεοὺς
μοίραις ποιεῖσθε μηδαμῶς· ἡγεῖσθε δὲ
βλέπειν μὲν αὐτοὺς πρὸς τὸν εὐσεβῆ βροτῶν,
βλέπειν δὲ πρὸς τοὺς δυσσεβεῖς· φυγὴν δέ του
μήπω γενέσθαι φωτὸς ἀνοσίου βροτῶν.
ξὺν οἷς σὺ μὴ κάλυπτε τὰς εὐδαίμονας
ἔργοις Ἀθήνας ἀνοσίοις ὑπηρετῶν.
ἀλλ' ὥσπερ ἔλαβες τὸν ἱκέτην ἐχέγγυον,
ῥύου με κἀκφύλασσε· μηδέ μου κάρα
τὸ δυσπρόσωπον εἰσορῶν ἀτιμάσῃς.
ἥκω γὰρ ἱρὸς εὐσεβής τε καὶ φέρων
ὄνησιν ἀστοῖς τοῖσδ'· ὅταν δ' ὁ κύριος
παρῇ τις, ὑμῶν ὅστις ἐστὶν ἡγεμὼν,
τότ' εἰσακούων πάντ' ἐπιστήσει· τὰ δὲ
μεταξὺ τούτου μηδαμῶς γίγνου κακός.

ΧΟΡΟΣ.

ταρβεῖν μὲν, ὦ γεραιὲ, τἀνθυμήματα
πολλή 'στ' ἀνάγκη τἀπὸ σοῦ· λόγοισι γὰρ
οὐκ ὠνόμασται βραχέσι. τοὺς δὲ τῆσδε γῆς
ἄνακτας ἀρκεῖ ταῦτά μοι διειδέναι.

ΟΙΔΙΠΟΥΣ.

καὶ ποῦ 'σθ' ὁ κραίνων τῆσδε τῆς χώρας, ξέ

ΧΟΡΟΣ.

πατρῷον ἄστυ γῆς ἔχει· σκοπὸς δέ νιν,
ὃς κἀμὲ δεῦρ' ἔπεμπεν, οἴχεται στελῶν.

ΟΙΔΙΠΟΥΣ.

ἦ καὶ δοκεῖτε τοῦ τυφλοῦ τιν' ἐντροπὴν
ἢ φροντίδ' ἕξειν, αὐτὸν ὥστ' ἐλθεῖν πέλας;

ΧΟΡΟΣ.

καὶ κάρθ', ὅταν περ τοὔνομ' αἴσθηται τὸ

ΟΙΔΙΠΟΥΣ.

τίς δ' ἔσθ' ὁ κείνῳ τοῦτο τοὔπος ἀγγελῶν;

ΧΟΡΟΣ.

μακρὰ κέλευθος· πολλὰ δ' ἐμπόρων ἔπη
φιλεῖ πλανᾶσθαι, τῶν ἐκεῖνος ἀΐων,
θάρσει, παρέσται. πολὺ γάρ, ὦ γέρον, τὸ
ὄνομα διήκει πάντας, ὥστε κεἰ βραδὺς
εὕδει, κλύων σου δεῦρ' ἀφίξεται ταχύς.

ΟΙΔΙΠΟΥΣ.

ἀλλ' εὐτυχὴς ἵκοιτο τῇ θ' αὑτοῦ πόλει
ἐμοί τε. τίς γὰρ ἐσθλὸς οὐχ αὑτῷ φίλος;

ΑΝΤΙΓΟΝΗ.

ὦ Ζεῦ, τί λέξω; ποῖ φρενῶν ἔλθω, πάτε

ΟΙΔΙΠΟΥΣ.

τί δ' ἔστι, τέκνον Ἀντιγόνη;

ΑΝΤΙΓΟΝΗ.

γυναῖχ' ὁρ
στείχουσαν ἡμῶν ἆσσον, Αἰτναίας ἐπὶ
πώλου βεβῶσαν· κρατὶ δ' ἡλιοστερὴς
κυνῆ πρόσωπα Θεσσαλίς νιν ἀμπέχει.
τί φῶ;
ἆρ' ἔστιν; ἆρ' οὐκ ἔστιν; ἢ γνώμη πλανᾷ;
καὶ φημὶ κἀπόφημι κοὐκ ἔχω τί φῶ.
τάλαινα.
οὐκ ἔστιν ἄλλη. φαιδρὰ γοῦν ἀπ' ὀμμάτ
σαίνει με προστείχουσα· σημαίνει δ' ὅτι
μόνης τόδ' ἐστὶ δῆλον Ἰσμήνης κάρα.

ΟΙΔΙΠΟΥΣ.

πῶς εἶπας, ὦ παῖ;

ΑΝΤΙΓΟΝΗ.

παῖδα σὴν, ἐμὴν δ'
ὅμαιμον· αὐδῇ δ' αὐτίκ' ἔξεστιν μαθεῖν.

ΙΣΜΗΝΗ.

ὦ δισσὰ πατρὸς καὶ κασιγνήτης ἐμοὶ
ἥδιστα προσφωνήμαθ', ὡς ὑμᾶς μόλις
εὑροῦσα λύπῃ δεύτερον μόλις βλέπω.

ΟΙΔΙΠΟΥΣ.

ὦ τέκνον, ἥκεις;

ΙΣΜΗΝΗ.

ὦ πάτερ δύσμοιρ' ὁρ

ΟΙΔΙΠΟΥΣ.
τέκνον, πέφηνας;
ΙΣΜΗΝΗ.
οὐκ ἄνευ μόχθου γέ μοι.
ΟΙΔΙΠΟΥΣ.
πρόσψαυσον, ὦ παῖ.
ΙΣΜΗΝΗ.
θιγγάνω δυοῖν ὁμοῦ.
ΟΙΔΙΠΟΥΣ.
ὦ σπέρμ᾽ ὅμαιμον.
ΙΣΜΗΝΗ.
ὦ δυσάθλιαι τροφαί.
ΟΙΔΙΠΟΥΣ.
ἦ τῆσδε κἀμοῦ;
ΙΣΜΗΝΗ.
δυσμόρου τ᾽ ἐμοῦ τρίτης.
ΟΙΔΙΠΟΥΣ.
τέκνον, τί δ᾽ ἦλθες;
ΙΣΜΗΝΗ.
σῇ, πάτερ, προμηθίᾳ.
ΟΙΔΙΠΟΥΣ.
πότερα πόθοισι;
ΙΣΜΗΝΗ.
καὶ λόγοις γ᾽ αὐτάγγελος,
ξὺν ᾧπερ εἶχον οἰκετῶν πιστῷ μόνῳ.
ΟΙΔΙΠΟΥΣ.
οἱ δ᾽ αὐθόμαιμοι ποῖ νεανίαι πονεῖν;
ΙΣΜΗΝΗ.
εἴσ᾽ οὗπέρ εἰσι. δεινὰ τἀκείνοις τανῦν.
ΟΙΔΙΠΟΥΣ.
ὢ πάντ᾽ ἐκείνω τοῖς ἐν Αἰγύπτῳ νόμοις
φύσιν κατεικασθέντε καὶ βίου τροφάς.
ἐκεῖ γὰρ οἱ μὲν ἄρσενες κατὰ στέγας
θακοῦσιν ἱστουργοῦντες, αἱ δὲ σύννομοι
τἄξω βίου τροφεῖα πορσύνουσ᾽ ἀεί.
σφῷν δ᾽, ὦ τέκν᾽, οὓς μὲν εἰκὸς ἦν πονεῖν τάδε,
κατ᾽ οἶκον οἰκουροῦσιν ὥστε παρθένοι,
σφὼ δ᾽ ἀντ᾽ ἐκείνων τἀμὰ δυστήνου κακὰ
ὑπερπονεῖτον. ἡ μὲν ἐξ ὅτου νέας
τροφῆς ἔληξε καὶ κατίσχυσεν δέμας,
ἀεὶ μεθ᾽ ἡμῶν δύσμορος πλανωμένη
γερονταγωγεῖ, πολλὰ μὲν κατ᾽ ἀγρίαν
ὕλην ἄσιτος νηλίπους τ᾽ ἀλωμένη,
πολλοῖσι δ᾽ ὄμβροις ἡλίου τε καύμασιν
μοχθοῦσα τλήμων, δεύτερ᾽ ἡγεῖται τὰ τῆς
οἴκοι διαίτης, εἰ πατὴρ τροφὴν ἔχοι.
σὺ δ᾽, ὦ τέκνον, πρόσθεν μὲν ἐξίκου πατρὶ
μαντεῖ᾽ ἄγουσα πάντα, Καδμείων λάθρα,
ἃ τοῦδ᾽ ἐχρήσθη σώματος· φύλαξ δέ μου
πιστὴ κατέστης, γῆς ὅτ᾽ ἐξηλαυνόμην·
νῦν δ᾽ αὖ τίν᾽ ἥκεις μῦθον, Ἰσμήνη, πατρὶ
φέρουσα; τίς σ᾽ ἐξῆρεν οἴκοθεν στόλος;
ἥκεις γὰρ οὐ κενή γε, τοῦτ᾽ ἐγὼ σαφῶς
ἔξοιδα, μὴ οὐχὶ δεῖμ᾽ ἐμοὶ φέρουσά τι.
ΙΣΜΗΝΗ.
ἐγὼ τὰ μὲν παθήμαθ᾽ ἅπαθον, πάτερ,
ζητοῦσα τὴν σὴν ποῦ κατοικοίης τροφήν,
παρεῖσ᾽ ἐάσω. δὶς γὰρ οὐχὶ βούλομαι
πονοῦσά τ᾽ ἀλγεῖν καὶ λέγουσ᾽ αὖθις πάλιν.
ἃ δ᾽ ἀμφὶ τοῖν σοῖν δυσμόροιν παίδοιν κακὰ
νῦν ἐστι, ταῦτα σημανοῦσ᾽ ἐλήλυθα.
πρὶν μὲν γὰρ αὐτοῖς ἦν ἔρως Κρέοντί τε
θρόνους ἐᾶσθαι μηδὲ χραίνεσθαι πόλιν,
λόγῳ σκοποῦσι τὴν πάλαι γένους φθοράν,
οἵα κατέσχε τὸν σὸν ἄθλιον δόμον·
νῦν δ᾽ ἐκ θεῶν του κἀξ ἀλιτηροῦ φρενὸς
εἰσῆλθε τοῖν τρισαθλίοιν ἔρις κακή,
ἀρχῆς λαβέσθαι καὶ κράτους τυραννικοῦ.
χὠ μὲν νεάζων καὶ χρόνῳ μείων γεγὼς
τὸν πρόσθε γεννηθέντα Πολυνείκη θρόνων
ἀποστερίσκει, κἀξελήλακεν πάτρας.
ὁ δ᾽, ὡς καθ᾽ ἡμᾶς ἔσθ᾽ ὁ πληθύων λόγος,
τὸ κοῖλον Ἄργος βὰς φυγάς, προσλαμβάνει
κῆδός τε καινὸν καὶ ξυνασπιστὰς φίλους,
ὡς αὐτίκ᾽ Ἄργος ἢ τὸ Καδμείων πέδον
τιμῇ καθέξον, ἢ πρὸς οὐρανὸν βιβῶν.
ταῦτ᾽ οὐκ ἀριθμός ἐστιν, ὦ πάτερ, λόγων,
ἀλλ᾽ ἔργα δεινά· τοὺς δὲ σοὺς ὅποι θεοὶ
πόνους κατοικτιοῦσιν οὐκ ἔχω μαθεῖν.
ΟΙΔΙΠΟΥΣ.
ἤδη γὰρ ἔσχες ἐλπίδ᾽ ὡς ἐμοῦ θεοὺς
ὤραν τιν᾽ ἕξειν, ὥστε σωθῆναί ποτε;
ΙΣΜΗΝΗ.
ἔγωγε τοῖς νῦν γ᾽, ὦ πάτερ, μαντεύμασιν.
ΟΙΔΙΠΟΥΣ.
ποίοισι τούτοις; τί δὲ τεθέσπισται, τέκνον;
ΙΣΜΗΝΗ.
σὲ τοῖς ἐκεῖ ζητητὸν ἀνθρώποις ποτὲ
θανόντ᾽ ἔσεσθαι ζῶντά τ᾽, εὐσοίας χάριν.
ΟΙΔΙΠΟΥΣ.
τίς δ᾽ ἂν τι τοιοῦδ᾽ ἀνδρὸς εὖ πράξειεν ἄν;
ΙΣΜΗΝΗ.
ἐν σοὶ τὰ κείνων φασὶ γίγνεσθαι κράτη.
ΟΙΔΙΠΟΥΣ.
ὅτ᾽ οὐκ ἔτ᾽ εἰμί, τηνικαῦτ᾽ ἄρ᾽ εἴμ᾽ ἀνήρ;
ΙΣΜΗΝΗ.
νῦν γὰρ θεοί σ᾽ ὀρθοῦσι, πρόσθε δ᾽ ὤλλυσαν.
ΟΙΔΙΠΟΥΣ.
γέροντα δ᾽ ὀρθοῦν φλαῦρον ὃς νέος πέσῃ.
ΙΣΜΗΝΗ.
καὶ μὴν Κρέοντά γ᾽ ἴσθι σοι τούτων χάριν
ἥξοντα βαιοῦ κοὐχὶ μυρίου χρόνου.
ΟΙΔΙΠΟΥΣ.
ὅπως τί δράσῃ, θύγατερ; ἑρμήνευέ μοι.
ΙΣΜΗΝΗ.
ὥς σ᾽ ἄγχι γῆς στήσωσι Καδμείας, ὅπως
κρατῶσι μέν σου, γῆς δὲ μὴ ᾽μβαίνῃς ὅρων.
ΟΙΔΙΠΟΥΣ.
ἡ δ᾽ ὠφέλησις τίς θύρασι κειμένου;
ΙΣΜΗΝΗ.
κείνοις ὁ τύμβος δυστυχῶν ὁ σὸς βαρύς.
ΟΙΔΙΠΟΥΣ.
κἄνευ θεοῦ τις τοῦτό γ᾽ ἂν γνώμῃ μάθοι.
ΙΣΜΗΝΗ.
τούτου χάριν τοίνυν σε προσθέσθαι πέλας
χώρας θέλουσι μηδ᾽ ἵν᾽ ἂν σαυτοῦ κρατῇς.
ΟΙΔΙΠΟΥΣ.
ἦ καὶ κατασκιῶσι Θηβαίᾳ κόνει;
ΙΣΜΗΝΗ.
ἀλλ᾽ οὐκ ἐᾷ τοὔμφυλον αἷμά σ᾽, ὦ πάτερ.

ΟΙΔΙΠΟΥΣ.
οὐκ ἄρ᾽ ἐμοῦ γε μὴ κρατήσωσίν ποτέ.
ΙΣΜΗΝΗ.
ἔσται ποτ᾽ ἄρα τοῦτο Καδμείοις βάρος.
ΟΙΔΙΠΟΥΣ.
ποίας φανείσης, ὦ τέκνον, ξυναλλαγῆς;
ΙΣΜΗΝΗ.
τῆς σῆς ὑπ᾽ ὀργῆς, σοῖς ὅταν στῶσιν τάφοις.
ΟΙΔΙΠΟΥΣ.
ἃ δ᾽ ἐννέπεις, κλύουσα τοῦ λέγεις, τέκνον;
ΙΣΜΗΝΗ.
ἀνδρῶν θεωρῶν Δελφικῆς ἀφ᾽ ἑστίας.
ΟΙΔΙΠΟΥΣ.
καὶ ταῦτ᾽ ἐφ᾽ ἡμῖν Φοῖβος εἰρηκὼς κυρεῖ;
ΙΣΜΗΝΗ.
ὥς φασιν οἱ μολόντες εἰς Θήβης πέδον.
ΟΙΔΙΠΟΥΣ.
παίδων τις οὖν ἤκουσε τῶν ἐμῶν τάδε;
ΙΣΜΗΝΗ.
ἄμφω γ᾽ ὁμοίως, κἀξεπίστασθον καλῶς.
ΟΙΔΙΠΟΥΣ.
κᾆθ᾽ οἱ κάκιστοι τῶνδ᾽ ἀκούσαντες πάρος
τοὐμοῦ πόθου προὔθεντο τὴν τυραννίδα;
ΙΣΜΗΝΗ.
ἀλγῶ κλύουσα ταῦτ᾽ ἐγώ, φέρω δ᾽ ὅμως.
ΟΙΔΙΠΟΥΣ.
ἀλλ᾽ οἱ θεοί σφι μήτε τὴν πεπρωμένην
ἔριν κατασβέσειαν, ἐν δ᾽ ἐμοὶ τέλος
αὐτοῖν γένοιτο τῆσδε τῆς μάχης πέρι,
ἧς νῦν ἔχονται κἀπαναίρονται δόρυ·
ὡς οὔτ᾽ ἂν ὃς νῦν σκῆπτρα καὶ θρόνους ἔχει
μείνειεν, οὔτ᾽ ἂν οὑξεληλυθὼς πόλιν
ἔλθοι ποτ᾽ αὖθις· οἵ γε τὸν φύσαντ᾽ ἐμὲ
οὕτως ἀτίμως πατρίδος ἐξωθούμενον
οὐκ ἔσχον οὐδ᾽ ἤμυναν· ἀλλ᾽ ἀνάστατος
αὐτοῖν ἐπέμφθην κἀξεκηρύχθην φυγάς.
εἴποις ἂν ὡς θέλοντι τοῦτ᾽ ἐμοὶ τότε
πόλις τὸ δῶρον εἰκότως κατῄνεσεν.
οὐ δῆτ᾽, ἐπεί τοι τὴν μὲν αὐτίχ᾽ ἡμέραν,
ὁπηνίκ᾽ ἔζει θυμός, ἥδιστον δέ μοι
τὸ κατθανεῖν ἦν καὶ τὸ λευσθῆναι πέτροις,
οὐδεὶς ἔρωτος τοῦδ᾽ ἐφαίνετ᾽ ὠφελῶν·
χρόνῳ δ᾽, ὅτ᾽ ἤδη πᾶς ὁ μόχθος ἦν πέπων,
κἀμάνθανον τὸν θυμὸν ἐκδραμόντα μοι
μείζω κολαστὴν τῶν πρὶν ἡμαρτημένων,
τὸ τηνίκ᾽ ἤδη τοῦτο μὲν πόλις βίᾳ
ἤλαυνέ μ᾽ ἐκ γῆς χρόνιον, οἱ δ᾽ ἐπωφελεῖν,
οἱ τοῦ πατρός, τῷ πατρὶ δυνάμενοι, τὸ δρᾶν
οὐκ ἠθέλησαν, ἀλλ᾽ ἔπους σμικροῦ χάριν
φυγάς σφιν ἔξω πτωχὸς ἠλώμην ἐγώ.
ἐκ ταῖνδε δ᾽, οὔσαιν παρθένοιν, ὅσον φύσις
δίδωσιν αὐταῖν, καὶ τροφὰς ἔχω βίου
καὶ γῆς ἄδειαν καὶ γένους ἐπάρκεσιν·
τὼ δ᾽ ἀντὶ τοῦ φύσαντος εἱλέσθην θρόνους
καὶ σκῆπτρα κραίνειν καὶ τυραννεύειν χθονός.
ἀλλ᾽ οὔ τι μὴ λάχωσι τοῦδε συμμάχου,
οὔτε σφιν ἀρχῆς τῆσδε Καδμείας ποτὲ
ὄνησις ἥξει. τοῦτ᾽ ἐγῷδα, τῆσδέ τε
μαντεῖ᾽ ἀκούων, συννοῶν τε τἀξ ἐμοῦ
παλαίφαθ᾽ ἁμοὶ Φοῖβος ἤνυσέν ποτε.
πρὸς ταῦτα καὶ Κρέοντα πεμπόντων ἐμοῦ
μαστῆρα, κεἴ τις ἄλλος ἐν πόλει σθένει.
ἐὰν γὰρ ὑμεῖς, ὦ ξένοι, θέλητέ μου
προστάτισι ταῖς σεμναῖσι δημούχοις θεαῖς
ἀλκὴν ποιεῖσθαι, τῇδε τῇ πόλει μέγαν
σωτῆρ᾽ ἀρεῖσθε, τοῖς δ᾽ ἐμοῖς ἐχθροῖς πόνους.
ΧΟΡΟΣ.
ἐπάξιος μὲν, Οἰδίπους, κατοικτίσαι,
αὐτός τε παῖδές θ᾽ αἵδ᾽· ἐπεὶ δὲ τῆσδε γῆς
σωτῆρα σαυτὸν τῷδ᾽ ἐπεμβάλλεις λόγῳ,
παραινέσαι σοι βούλομαι τὰ σύμφορα.
ΟΙΔΙΠΟΥΣ.
ὦ φίλταθ᾽, ὡς νῦν πᾶν τελοῦντι προξένει.
ΧΟΡΟΣ.
θοῦ νῦν καθαρμὸν τῶνδε δαιμόνων, ἐφ᾽ ἃς
τὸ πρῶτον ἵκου καὶ κατέστειψας πέδον.
ΟΙΔΙΠΟΥΣ.
τρόποισι ποίοις; ὦ ξένοι, διδάσκετε.
ΧΟΡΟΣ.
πρῶτον μὲν ἱρὰς ἐξ ἀειρύτου χοὰς
κρήνης ἐνεγκοῦ, δι᾽ ὁσίων χειρῶν θιγών.
ΟΙΔΙΠΟΥΣ.
ὅταν δὲ τοῦτο χεῦμ᾽ ἀκήρατον λάβω;
ΧΟΡΟΣ.
κρατῆρές εἰσιν, ἀνδρὸς εὔχειρος τέχνη,
ὧν κρᾶτ᾽ ἔρεψον καὶ λαβὰς ἀμφιστόμους.
ΟΙΔΙΠΟΥΣ.
θαλλοῖσιν, ἢ κρόκαισιν, ἢ ποίῳ τρόπῳ;
ΧΟΡΟΣ.
οἰὸς νεαρᾶς νεοπόκῳ μαλλῷ λαβών.
ΟΙΔΙΠΟΥΣ.
εἶεν· τὸ δ᾽ ἔνθεν ποῖ τελευτῆσαί με χρή;
ΧΟΡΟΣ.
χοὰς χέασθαι στάντα πρὸς πρώτην ἕω.
ΟΙΔΙΠΟΥΣ.
ἦ τοῖσδε κρωσσοῖς οἷς λέγεις χέω τάδε;
ΧΟΡΟΣ.
τρισσάς γε πηγάς· τὸν τελευταῖον δ᾽ ὅλον.
ΟΙΔΙΠΟΥΣ.
τοῦ τόνδε πλήσας; θῶ; δίδασκε καὶ τόδε.
ΧΟΡΟΣ.
ὕδατος, μελίσσης· μηδὲ προσφέρειν μέθυ.
ΟΙΔΙΠΟΥΣ.
ὅταν δὲ τούτων γῆ μελάμφυλλος τύχῃ;
ΧΟΡΟΣ.
τρὶς ἐννέ᾽ αὐτῇ κλῶνας ἐξ ἀμφοῖν χεροῖν
τιθεὶς ἐλαίας, τάσδ᾽ ἐπεύχεσθαι λιτάς.
ΟΙΔΙΠΟΥΣ.
τούτων ἀκοῦσαι βούλομαι· μέγιστα γάρ.
ΧΟΡΟΣ.
ὥς σφας καλοῦμεν Εὐμενίδας, ἐξ εὐμενῶν
στέρνων δέχεσθαι τὸν ἱκέτην σωτήριον,
αἰτοῦ σύ τ᾽ αὐτός, κεἴ τις ἄλλος ἀντὶ σοῦ,
ἄπυστα φωνῶν μηδὲ μηκύνων βοήν.
ἔπειτ᾽ ἀφέρπειν ἄστροφος. καὶ ταῦτά σοι
δράσαντι θαρσῶν ἂν παρασταίην ἐγώ·
ἄλλως δὲ δειμαίνοιμ᾽ ἄν, ὦ ξέν᾽, ἀμφὶ σοί.
ΟΙΔΙΠΟΥΣ.
ὦ παῖδε, κλύετον τῶνδε προσχώρων ξένων;

ΑΝΤΙΓΟΝΗ.
ἠκούσαμέν τε χὤ τι δεῖ πρόστασσε δρᾶν.
ΟΙΔΙΠΟΥΣ.
ἐμοὶ μὲν οὐχ ὁδωτά. λείπομαι γὰρ ἐν
τῷ μὴ δύνασθαι μήθ᾽ ὁρᾶν, δυοῖν κακοῖν.
σφῷν δ᾽ ἁτέρα μολοῦσα πραξάτω τάδε.
ἀρκεῖν γὰρ οἶμαι κἀντὶ μυρίων μίαν
ψυχὴν τάδ᾽ ἐκτίνουσαν, ἢν εὔνους παρῇ.
ἀλλ᾽ ἐν τάχει τι πράσσετον· μόνον δέ με
μὴ λείπετ᾽. οὐ γὰρ ἂν σθένοι τοὐμὸν δέμας
ἔρημον ἕρπειν οὐδ᾽ ὑφηγητοῦ γ᾽ ἄνευ.
ΙΣΜΗΝΗ.
ἀλλ᾽ εἶμ᾽ ἐγὼ τελοῦσα· τὸν τόπον δ᾽ ἵνα
χρῆσται μ᾽ ἐφευρεῖν, τοῦτο βούλομαι μαθεῖν.
ΧΟΡΟΣ.
τοὐκεῖθεν ἄλσους, ὦ ξένη, τοῦδ᾽· ἢν δέ του
σπάνιν τιν᾽ ἴσχῃς, ἔστ᾽ ἔποικος, ὃς φράσει.
ΙΣΜΗΝΗ.
χωροῖμ᾽ ἂν εἰς τόδ᾽· Ἀντιγόνη, σὺ δ᾽ ἐνθάδε
φύλασσε πατέρα τόνδε. τοῖς τεκοῦσι γὰρ
οὐδ᾽ εἰ πονεῖ τις, δεῖ πόνου μνήμην ἔχειν.
ΧΟΡΟΣ.
δεινὸν μὲν τὸ πάλαι κείμενον ἤδη κακὸν, ὦ
ξεῖν᾽, ἐπεγείρειν·
ὅμως δ᾽ ἔραμαι πυθέσθαι.
ΟΙΔΙΠΟΥΣ.
τί τοῦτο;
ΧΟΡΟΣ.
τᾶς δειλαίας ἀπόρου φανείσας
ἀλγηδόνος, ᾇ ξυνέστας.
ΟΙΔΙΠΟΥΣ.
μὴ πρὸς ξενίας ἀνοίξῃς
τᾶς σᾶς, πέπον, ἔργ᾽ ἀναιδῆ.
ΧΟΡΟΣ.
τό τοι πολὺ καὶ μηδαμὰ λῆγον
χρῄζω, ξέν᾽, ὀρθὸν ἄκουσμ᾽ ἀκοῦσαι.
ΟΙΔΙΠΟΥΣ.
ὤμοι.
ΧΟΡΟΣ.
στέρξον, ἱκετεύω.
ΟΙΔΙΠΟΥΣ.
φεῦ φεῦ.
ΧΟΡΟΣ.
πείθου· κἀγὼ γὰρ ὅσον σὺ προσχρῄζεις.
ΟΙΔΙΠΟΥΣ.
ἤνεγκον κακότατ᾽, ὦ ξένοι, ἤνεγκον ἑκὼν μὲν,
θεὸς ἴστω,
τούτων δ᾽ αὐθαίρετον οὐδέν.
ΧΟΡΟΣ.
ἀλλ᾽ ἐς τί;
ΟΙΔΙΠΟΥΣ.
κακᾷ μ᾽ εὐνᾷ πόλις οὐδὲν ἴδριν
γάμων ἐνέδησεν ἄτᾳ.
ΧΟΡΟΣ.
ἦ μητρόθεν, ὡς ἀκούω,
δυσώνυμα λέκτρ᾽ ἐπλήσω;
ΟΙΔΙΠΟΥΣ.
ὤμοι, θάνατος μὲν τάδ᾽ ἀκούειν,
ὦ ξεῖν᾽· αὗται δὲ δύ᾽ ἐξ ἐμοῦ μὲν
510—520. = 521—533.

ΧΟΡΟΣ.
πῶς φῄς;
ΟΙΔΙΠΟΥΣ.
παῖδε, δύο δ᾽ ἄτα
ΧΟΡΟΣ.
ὦ Ζεῦ.
ΟΙΔΙΠΟΥΣ.
ματρὸς κοινᾶς ἀπέβλαστον ὠδῖνος.
ΧΟΡΟΣ.
αὗται γὰρ ἀπόγονοι τεαί;
ΟΙΔΙΠΟΥΣ.
κοιναί γε πατρὸς ἀδελφεαί.
ΧΟΡΟΣ.
ἰώ.
ΟΙΔΙΠΟΥΣ.
ἰὼ δῆτα μυρίων γ᾽ ἐπιστροφαὶ κακῶν.
ΧΟΡΟΣ.
ἔπαθες
ΟΙΔΙΠΟΥΣ.
ἔπαθον ἄλαστ᾽ ἔχειν.
ΧΟΡΟΣ.
ἔρεξας
ΟΙΔΙΠΟΥΣ.
οὐκ ἔρεξα.
ΧΟΡΟΣ.
τί γάρ;
ΟΙΔΙΠΟΥΣ.
ἐδεξάμην
δῶρον, ὃ μήποτ᾽ ἐγὼ ταλακάρδιος
ἐπωφέλησα πόλεος ἐξελέσθαι.
ΧΟΡΟΣ.
δύστανε, τί γάρ; ἔθου φόνον
ΟΙΔΙΠΟΥΣ.
τί τοῦτο; τί δ᾽ ἐθέλεις μαθεῖν;
ΧΟΡΟΣ.
πατρός;
ΟΙΔΙΠΟΥΣ.
παπαῖ, δευτέραν ἔπαισας ἐπὶ νόσῳ νόσον.
ΧΟΡΟΣ.
ἔκανες
ΟΙΔΙΠΟΥΣ.
ἔκανον. ἔχει δέ μοι
ΧΟΡΟΣ.
τί τοῦτο;
ΟΙΔΙΠΟΥΣ.
πρὸς δίκας τι.
ΧΟΡΟΣ.
τί γάρ;
ΟΙΔΙΠΟΥΣ.
ἐγὼ φράσω.
καὶ γὰρ ἁλοὺς ἐφόνευσα καὶ ὤλεσα·
νόμῳ δὲ καθαρὸς, ἄϊδρις εἰς τόδ᾽ ἦλθον.
ΧΟΡΟΣ.
καὶ μὴν ἄναξ ὅδ᾽ ἡμὶν Αἰγέως γόνος
Θησεὺς κατ᾽ ὀμφὴν σὴν ἐφ᾽ ἀστάλη πάρα.
ΘΗΣΕΥΣ.
πολλῶν ἀκούων ἔν τε τῷ πάρος χρόνῳ
τὰς αἱματηρὰς ὀμμάτων διαφθορὰς
ἔγνωκά σ᾽, ὦ παῖ Λαΐου, τανῦν θ᾽ ὁδοῖς
534—541. = 542—548.

ἐν ταῖσδ' ἀκούων μᾶλλον ἐξεπίσταμαι.
σκευή τε γάρ σε καὶ τὸ δύστηνον κάρα
δηλοῦτον ἡμῖν ὄνθ' ὃς εἶ, καί σ' οἰκτίσας
θέλω 'περέσθαι, δύσμορ' Οἰδίπου, τίνα
πόλεως ἐπέστης προστροπὴν ἐμοῦ τ' ἔχων,
αὐτός τε χἠ σὴ δύσμορος παραστάτις.
δίδασκε. δεινὴν γάρ τιν' ἂν πρᾶξιν τύχοις
λέξας ὁποίας ἐξαφισταίμην ἐγώ.
ὡς οἶδά γ' αὐτὸς ὡς ἐπαιδεύθην ξένος,
ὥσπερ σύ, χὡς τις πλεῖστ' ἀνὴρ ἐπὶ ξένης
ἤθλησα κινδυνεύματ' ἐν τὠμῷ κάρᾳ,
ὥστε ξένον γ' ἂν οὐδέν' ὄνθ', ὥσπερ σὺ νῦν,
ὑπεκτραποίμην μὴ οὐ συνεκσῴζειν· ἐπεὶ
ἔξοιδ' ἀνὴρ ὢν χὤτι τῆς ἐς αὔριον
οὐδὲν πλέον μοι σοῦ μέτεστιν ἡμέρας.

ΟΙΔΙΠΟΥΣ.

Θησεῦ, τὸ σὸν γενναῖον ἐν σμικρῷ λόγῳ
παρῆκεν, ὥστε βραχέα μοι δεῖσθαι φράσαι.
σὺ γάρ μ' ὃς εἰμι, κἀφ' ὅτου πατρὸς γεγὼς
καὶ γῆς ὁποίας ἦλθον, εἰρηκὼς κυρεῖς·
ὥστ' ἐστί μοι τὸ λοιπὸν οὐδὲν ἄλλο πλὴν
εἰπεῖν ἃ χρῄζω, χὠ λόγος διοίχεται.

ΘΗΣΕΥΣ.

τοῦτ' αὐτὸ νῦν δίδασχ', ὅπως ἂν ἐκμάθω.

ΟΙΔΙΠΟΥΣ.

δώσων ἱκάνω τοὐμὸν ἄθλιον δέμας
σοὶ δῶρον, οὐ σπουδαῖον εἰς ὄψιν· τὰ δὲ
κέρδη παρ' αὐτοῦ κρείσσον' ἢ μορφὴ καλή.

ΘΗΣΕΥΣ.

ποῖον δὲ κέρδος ἀξιοῖς ἥκειν φέρων;

ΟΙΔΙΠΟΥΣ.

χρόνῳ μάθοις ἄν, οὐχὶ τῷ παρόντι που.

ΘΗΣΕΥΣ.

ποίῳ γὰρ ἡ σὴ προσφορὰ δηλώσεται;

ΟΙΔΙΠΟΥΣ.

ὅταν θάνω 'γὼ καὶ σύ μου ταφεὺς γένῃ.

ΘΗΣΕΥΣ.

τὰ λοίσθι' αἰτεῖ τοῦ βίου, τὰ δ' ἐν μέσῳ
ἢ λῆστιν ἴσχεις ἢ δι' οὐδενὸς ποιεῖ.

ΟΙΔΙΠΟΥΣ.

ἐνταῦθα γάρ μοι κεῖνα συγκομίζεται.

ΘΗΣΕΥΣ.

ἀλλ' ἐν βραχεῖ δὴ τήνδε μ' ἐξαιτεῖ χάριν.

ΟΙΔΙΠΟΥΣ.

ὅρα γε μήν· οὐ σμικρός, οὐχ, ἀγὼν ὅδε.

ΘΗΣΕΥΣ.

πότερα τὰ τῶν σῶν ἐκγόνων, ἢ 'μοῦ λέγεις;

ΟΙΔΙΠΟΥΣ.

κεῖνοι κομίζειν κεῖσ' ἀναγκάσουσί με.

ΘΗΣΕΥΣ.

ἀλλ' εἰ θέλοντά γ', οὐδὲ σοὶ φεύγειν καλόν.

ΟΙΔΙΠΟΥΣ.

ἀλλ' οὐδ', ὅτ' αὐτὸς ἤθελον, παρίεσαν.

ΘΗΣΕΥΣ.

ὦ μῶρε, θυμὸς δ' ἐν κακοῖς οὐ ξύμφορον.

ΟΙΔΙΠΟΥΣ.

ὅταν μάθῃς μου, νουθέτει, τανῦν δ' ἔα.

ΘΗΣΕΥΣ.

δίδασκ'. ἄνευ γνώμης γὰρ οὔ με χρὴ λέγειν.

ΟΙΔΙΠΟΥΣ.

πέπονθα, Θησεῦ, δεινὰ πρὸς κακοῖς κακά.

ΘΗΣΕΥΣ.

ἦ τὴν παλαιὰν ξυμφορὰν γένους ἐρεῖς;

ΟΙΔΙΠΟΥΣ.

οὐ δῆτ'· ἐπεὶ πᾶς τοῦτό γ' Ἑλλήνων θροεῖ.

ΘΗΣΕΥΣ.

τί γὰρ τὸ μεῖζον ἢ κατ' ἄνθρωπον νοσεῖς;

ΟΙΔΙΠΟΥΣ.

οὕτως ἔχει μοι. γῆς ἐμῆς ἀπηλάθην
πρὸς τῶν ἐμαυτοῦ σπερμάτων· ἔστιν δέ μοι
πάλιν κατελθεῖν μήποθ', ὡς πατροκτόνῳ.

ΘΗΣΕΥΣ.

πῶς δῆτά σ' ἂν πεμψαίαθ', ὥστ' οἰκεῖν δίχ

ΟΙΔΙΠΟΥΣ.

τὸ θεῖον αὐτοὺς ἐξαναγκάζει στόμα.

ΘΗΣΕΥΣ.

ποῖον πάθος δείσαντας ἐκ χρηστηρίων;

ΟΙΔΙΠΟΥΣ.

ὅτι σφ' ἀνάγκη τῇδε πληγῆναι χθονί.

ΘΗΣΕΥΣ.

καὶ πῶς γένοιτ' ἂν τἀμὰ κἀκείνων πικρά;

ΟΙΔΙΠΟΥΣ.

ὦ φίλτατ' Αἰγέως παῖ, μόνοις οὐ γίγνεται
θεοῖσι γῆρας οὐδὲ κατθανεῖν ποτε,
τὰ δ' ἄλλα συγχεῖ πάνθ' ὁ παγκρατὴς χρόνο
φθίνει μὲν ἰσχὺς γῆς, φθίνει δὲ σώματος,
θνῄσκει δὲ πίστις, βλαστάνει δ' ἀπιστία,
καὶ πνεῦμα ταυτὸν οὔποτ' οὔτ' ἐν ἀνδράσιν
φίλοις βέβηκεν οὔτε πρὸς πόλιν πόλει.
τοῖς μὲν γὰρ ἤδη, τοῖς δ' ἐν ὑστέρῳ χρόνῳ
τὰ τερπνὰ πικρὰ γίγνεται καὖθις φίλα.
καὶ ταῖσι Θήβαις εἰ τανῦν εὐημερεῖ
καλῶς τὰ πρὸς σέ, μυρίας ὁ μυρίος
χρόνος τεκνοῦται νύκτας ἡμέρας τ' ἰών,
ἐν αἷς τὰ νῦν ξύμφωνα δεξιώματα
δόρει διασκεδῶσιν ἐκ σμικροῦ λόγου·
ἵν' οὑμὸς εὕδων καὶ κεκρυμμένος νέκυς
ψυχρός ποτ' αὐτῶν θερμὸν αἷμα πίεται,
εἰ Ζεὺς ἔτι Ζεύς, χὠ Διὸς Φοῖβος σαφής.
ἀλλ' οὐ γὰρ αὐδᾶν ἡδὺ τἀκίνητ' ἔπη,
ἔα μ' ἐν οἷσιν ἠρξάμην, τὸ σὸν μόνον
πιστὸν φυλάσσων· κοὔποτ' Οἰδίπουν ἐρεῖς
ἀχρεῖον οἰκητῆρα δέξασθαι τόπων
τῶν ἐνθάδ', εἴπερ μὴ θεοὶ ψεύσουσί με.

ΧΟΡΟΣ.

ἄναξ, πάλαι καὶ ταῦτα καὶ τοιαῦτ' ἔπη
γῇ τῇδ' ὅδ' ἀνὴρ ὡς τελῶν ἐφαίνετο.

ΘΗΣΕΥΣ.

τίς δῆτ' ἂν ἀνδρὸς εὐμένειαν ἐκβάλοι
τοιοῦδ', ὅτου πρῶτον μὲν ἡ δορύξενος
κοινὴ παρ' ἡμῖν αἰὲν ἔστιν ἑστία;
ἔπειτα δ' ἱκέτης δαιμόνων ἀφιγμένος
γῇ τῇδε κἀμοὶ δασμὸν οὐ σμικρὸν τίνει.
ἁγὼ σεβισθεὶς οὔποτ' ἐκβαλῶ χάριν
τὴν τοῦδε, χώρᾳ δ' ἔμπαλιν κατοικιῶ.
εἰ δ' ἐνθάδ' ἡδὺ τῷ ξένῳ μίμνειν, σέ νιν
τάξω φυλάσσειν· εἰ δ' ἐμοῦ στείχειν μέτα
τόδ' ἡδύ, τούτων, Οἰδίπου, δίδωμί σοι
κρίναντι χρῆσθαι. τῇδε γὰρ ξυνοίσομαι.

ΟΙΔΙΠΟΥΣ.
ὦ Ζεῦ, διδοίης τοῖσι τοιούτοισιν εὖ.
ΘΗΣΕΥΣ.
τί δῆτα χρῄζεις; ἦ δόμους στείχειν ἐμούς;
ΟΙΔΙΠΟΥΣ.
εἴ μοι θέμις γ' ἦν. ἀλλ' ὁ χῶρός ἐσθ' ὅδε,
ΘΗΣΕΥΣ.
ἐν ᾧ τί πράξεις; οὐ γὰρ ἀντιστήσομαι.
ΟΙΔΙΠΟΥΣ.
ἐν ᾧ κρατήσω τῶν ἔμ' ἐκβεβληκότων.
ΘΗΣΕΥΣ.
μέγ' ἂν λέγοις δώρημα τῆς συνουσίας.
ΟΙΔΙΠΟΥΣ.
εἰ σοί γ' ἅπερ φῂς ἐμμενεῖ τελοῦντί μοι.
ΘΗΣΕΥΣ.
θάρσει τὸ τοῦδέ γ' ἀνδρός· οὔ σε μὴ προδῶ.
ΟΙΔΙΠΟΥΣ.
οὔτοι σ' ὑφ' ὅρκου γ' ὡς κακὸν πιστώσομαι.
ΘΗΣΕΥΣ.
οὔκουν πέρα γ' ἂν οὐδὲν ἢ λόγῳ φέροις.
ΟΙΔΙΠΟΥΣ.
πῶς οὖν ποιήσεις;
ΘΗΣΕΥΣ.
τοῦ μάλιστ' ὄκνος σ' ἔχει;
ΟΙΔΙΠΟΥΣ.
ἥξουσιν ἄνδρες
ΘΗΣΕΥΣ.
ἀλλὰ τοῖσδ' ἔσται μέλον.
ΟΙΔΙΠΟΥΣ.
ὅρα με λείπων
ΘΗΣΕΥΣ.
μὴ δίδασχ' ἃ χρή με δρᾶν.
ΟΙΔΙΠΟΥΣ.
ὀκνοῦντ' ἀνάγκη.
ΘΗΣΕΥΣ.
τοὐμὸν οὐκ ὀκνεῖ κέαρ.
ΟΙΔΙΠΟΥΣ.
οὐκ οἶσθ' ἀπειλὰς
ΘΗΣΕΥΣ.
οἶδ' ἐγώ σε μή τινα
ἐνθένδ' ἀπάξοντ' ἄνδρα πρὸς βίαν ἐμοῦ.
πολλαὶ δ' ἀπειλαὶ πολλὰ δὴ μάτην ἔπη
θυμῷ κατηπείλησαν, ἀλλ' ὁ νοῦς ὅταν
αὑτοῦ γένηται, φροῦδα τἀπειλήματα.
κείνοις δ' ἴσως κεἰ δείν' ἐπερρώσθη λέγειν
τῆς σῆς ἀγωγῆς, οἶδ' ἐγώ, φανήσεται
μακρὸν τὸ δεῦρο πέλαγος οὐδὲ πλώσιμον.
θαρσεῖν μὲν οὖν ἔγωγε κἄνευ τῆς ἐμῆς
γνώμης ἐπαινῶ, Φοῖβος εἰ προὔπεμψέ σε·
ὅμως δὲ κἀμοῦ μὴ παρόντος οἶδ' ὅτι
τοὐμὸν φυλάξει σ' ὄνομα μὴ πάσχειν κακῶς.
ΧΟΡΟΣ.
εὐίππου, ξένε, τᾶσδε χώρας
ἵκου τὰ κράτιστα γᾶς ἔπαυλα,
τὸν ἀργῆτα Κολωνόν, ἔνθ'
ἁ λίγεια μινύρεται
θαμίζουσα μάλιστ' ἀηδὼν
χλωραῖς ὑπὸ βάσσαις,
τὸν οἰνῶπ' ἀνέχουσα κισσὸν
668—680. = 681—693.

καὶ τὰν ἄβατον θεοῦ
φυλλάδα μυριόκαρπον ἀνήλιον
ἀνήνεμόν τε πάντων
χειμώνων· ἵν' ὁ βακχιώτας
ἀεὶ Διόνυσος ἐμβατεύει
θεαῖς ἀμφιπολῶν τιθήναις.
θάλλει δ' οὐρανίας ὑπ' ἄχνας
ὁ καλλίβοτρυς κατ' ἦμαρ ἀεὶ
νάρκισσος, μεγάλαιν θεαῖν
ἀρχαῖον στεφάνωμ', ὅ τε
χρυσαυγὴς κρόκος· οὐδ' ἄυπνοι
κρῆναι μινύθουσιν
Κηφισοῦ νομάδες ῥεέθρων,
ἀλλ' αἰὲν ἐπ' ἤματι
ὠκύτοκος πεδίων ἐπινίσσεται
ἀκηράτῳ ξὺν ὄμβρῳ
στερνούχου χθονός· οὐδὲ Μουσᾶν
χοροί νιν ἀπεστύγησαν, οὐδ' ἁ
χρυσάνιος Ἀφροδίτα.
ἔστιν δ' οἷον ἐγὼ γᾶς Ἀσίας οὐκ ἐπακούω,
οὐδ' ἐν τᾷ μεγάλᾳ Δωρίδι νάσῳ Πέλοπος πώποτε βλαστὸν
φύτευμ' ἀχείρωτον αὐτόποιον
ἐγχέων φόβημα δαΐων,
ὃ τᾷδε θάλλει μέγιστα χώρᾳ,
γλαυκᾶς παιδοτρόφου φύλλον ἐλαίας·
τὸ μέν τις οὔτε νεαρὸς οὔτε γήρᾳ
σημαίνων ἁλιώσει χερὶ πέρσας· ὁ γὰρ αἰὲν ὁρῶν κύκλος
λεύσσει νιν Μορίου Διὸς
χἀ γλαυκῶπις Ἀθάνα.
ἄλλον δ' αἶνον ἔχω ματροπόλει τᾷδε κράτιστον,
δῶρον τοῦ μεγάλου δαίμονος, εἰπεῖν, * * αὔχημα μέγιστον,
εὔιππον, εὔπωλον, εὐθάλασσον.
ὦ παῖ Κρόνου, σὺ γάρ νιν εἰς
τόδ' εἷσας αὔχημ', ἄναξ Ποσειδάν,
ἵπποισιν τὸν ἀκεστῆρα χαλινὸν
πρώταισι ταῖσδε κτίσας ἀγυιαῖς.
ἁ δ' εὐήρετμος ἔκπαγλ' ἁλία χερσὶ παραπτομένα πλάτα
θρῴσκει, τῶν ἑκατομπόδων
Νηρῄδων ἀκόλουθος.
ΑΝΤΙΓΟΝΗ.
ὦ πλεῖστ' ἐπαίνοις εὐλογούμενον πέδον,
νῦν σοὶ τὰ λαμπρὰ ταῦτα δεῖ φαίνειν ἔπη.
ΟΙΔΙΠΟΥΣ.
τί δ' ἔστιν, ὦ παῖ, καινόν;
ΑΝΤΙΓΟΝΗ.
ἆσσον ἔρχεται
Κρέων ὅδ' ἡμῖν οὐκ ἄνευ πομπῶν, πάτερ.
ΟΙΔΙΠΟΥΣ.
ὦ φίλτατοι γέροντες, ἐξ ὑμῶν ἐμοὶ
φαίνοιτ' ἂν ἤδη τέρμα τῆς σωτηρίας.
ΧΟΡΟΣ.
θάρσει, παρέσται. καὶ γὰρ εἰ γέρων κυρῶ,
τὸ τῆσδε χώρας οὐ γεγήρακε σθένος.
ΚΡΕΩΝ.
ἄνδρες χθονὸς τῆσδ' εὐγενεῖς οἰκήτορες,
694—706. = 707—719.

ὁρῶ τιν' ὑμᾶς ὀμμάτων εἰληφότας
φόβον νεωρῆ τῆς ἐμῆς ἐπεισόδου,
ὃν μήτ' ὀκνεῖτε μήτ' ἀφῆτ' ἔπος κακόν.
ἥκω γὰρ οὐχ ὡς δρᾶν τι βουληθεὶς, ἐπεὶ
γέρων μέν εἰμι, πρὸς πόλιν δ' ἐπίσταμαι
σθένουσαν ἥκων, εἴ τιν' Ἑλλάδος, μέγα.
ἀλλ' ἄνδρα τόνδε τηλικόσδ' ἀπεστάλην
πείσων ἕπεσθαι πρὸς τὸ Καδμείων πέδον,
οὐκ ἐξ ἑνὸς στείλαντος, ἀλλ' ἀνδρῶν ὕπο
πάντων κελευσθεὶς, οὕνεχ' ἧκέ μοι γένει
τὰ τοῦδε πενθεῖν πήματ' εἰς πλεῖστον πόλεως.
ἀλλ', ὦ ταλαίπωρ' Οἰδίπου, κλύων ἐμοῦ
ἱκοῦ πρὸς οἴκους. πᾶς σε Καδμείων λεὼς
καλεῖ δικαίως· ἐκ δὲ τῶν μάλιστ' ἐγὼ,
ὅσῳπερ, εἰ μὴ πλεῖστον ἀνθρώπων ἔφυν
κάκιστος, ἀλγῶ τοῖσι σοῖς κακοῖς, γέρον,
ὁρῶν σε τὸν δύστηνον, ὄντα μὲν ξένον,
ἀεὶ δ' ἀλήτην κἀπὶ προσπόλου μιᾶς
βιοστερῆ χωροῦντα, τὴν ἐγὼ τάλας
οὐκ ἄν ποτ' ἐς τοσοῦτον αἰκίας πεσεῖν
ἔδοξ', ὅσον πέπτωκεν ἥδε δύσμορος,
ἀεί σε κηδεύουσα καὶ τὸ σὸν κάρα
πτωχῷ διαίτῃ, τηλικοῦτος, οὐ γάμων
ἔμπειρος, ἀλλὰ τοὐπιόντος ἁρπάσαι.
ἆρ' ἄθλιον τοὔνειδος, ὦ τάλας ἐγὼ,
ὠνείδισ' εἰς σὲ κἀμὲ καὶ τὸ πᾶν γένος;
ἀλλ' οὐ γὰρ ἔστι τἀμφανῆ κρύπτειν, σύ νυν
πρὸς θεῶν πατρῴων, Οἰδίπου, πεισθεὶς ἐμοὶ
κρύψον, θελήσας ἄστυ καὶ δόμους μολεῖν
τοὺς σοὺς πατρῴους, τήνδε τὴν πόλιν φίλως
εἰπών. ἐπαξία γάρ. ἡ δ' οἴκοι πλέον
δίκῃ σέβοιτ' ἂν, οὖσα μὴ πάλαι τροφός.

ΟΙΔΙΠΟΥΣ.

ὦ πάντα τολμῶν κἀπὸ παντὸς ἂν φέρων
λόγου δικαίου μηχάνημα ποικίλον,
τί ταῦτα πειρᾷ κἀμὲ δεύτερον θέλεις
ἑλεῖν, ἐν οἷς μάλιστ' ἂν ἀλγοίην ἁλούς;
πρόσθεν τε γάρ με τοῖσιν οἰκείοις κακοῖς
νοσοῦνθ', ὅτ' ἦν μοι τέρψις ἐκπεσεῖν χθονὸς,
οὐκ ἤθελες θέλοντι προσθέσθαι χάριν,
ἀλλ' ἡνίκ' ἤδη πιστὸς ἦν θυμούμενος,
καὶ τοὐν δόμοισιν ἦν διαιτᾶσθαι γλυκὺ,
τότ' ἐξεώθεις κἀξέβαλλες, οὐδέ σοι
τὸ συγγενὲς τοῦτ' οὐδαμῶς τότ' ἦν φίλον·
νῦν τ' αὖθις ἡνίκ' εἰσορᾷς πόλιν τέ μοι
ξυνοῦσαν εὔνουν τήνδε καὶ γένος τὸ πᾶν,
πειρᾷ μετασπᾶν, σκληρὰ μαλθακῶς λέγων.
καίτοι τίς αὕτη τέρψις ἄκοντας φιλεῖν,
ὥσπερ τις εἴ σοι λιπαροῦντι μὲν τυχεῖν
μηδὲν διδοίη μηδ' ἐπαρκέσαι θέλοι,
πλήρη δ' ἔχοντι θυμὸν ὧν χρῄζοις, τότε
δωροῖθ', ὅτ' οὐδὲν ἡ χάρις χάριν φέροι·
ἆρ' ἂν ματαίου τῆσδ' ἂν ἡδονῆς τύχοις;
τοιαῦτα μέντοι καὶ σὺ προσφέρεις ἐμοὶ,
λόγῳ μὲν ἐσθλὰ, τοῖσι δ' ἔργοισιν κακά.
φράσω δὲ καὶ τοῖσδ', ὥς σε δηλώσω κακόν.
ἥκεις ἔμ' ἄξων, οὐχ ἵν' εἰς φόμους ἄγῃς,
ἀλλ' ὡς πάραυλον οἰκίσῃς, πόλις δέ σοι
κακῶν ἄνατος τῶνδ' ἀπαλλαχθῇ χθονός.
οὐκ ἔστι σοι ταῦτ', ἀλλά σοι τάδ' ἔστ', ἐκεῖ
χώρας ἀλάστωρ οὑμὸς ἐνναίων ἀεί·
ἔστιν δὲ παισὶ τοῖς ἐμοῖσι τῆς ἐμῆς
χθονὸς λαχεῖν τοσοῦτον, ἐνθανεῖν μόνον.
ἆρ' οὐκ ἄμεινον ἢ σὺ τἀν Θήβαις φρονῶ;
πολλῷ γ', ὅσῳπερ καὶ σαφεστέρων κλύω
Φοίβου τε καὐτοῦ Ζηνὸς, ὃς κείνου πατήρ.
τὸ σὸν δ' ἀφῖκται δεῦρ' ὑπόβλητον στόμα,
πολλὴν ἔχον στόμωσιν· ἐν δὲ τῷ λέγειν
κάκ' ἂν λάβοις τὰ πλείον' ἢ σωτήρια.
ἀλλ' οἶδα γάρ σε ταῦτα μὴ πείθων, ἴθι·
ἡμᾶς δ' ἔα ζῆν ἐνθάδ'. οὐ γὰρ ἂν κακῶς
οὐδ' ὧδ' ἔχοντες ζῷμεν, εἰ τερποίμεθα.

ΚΡΕΩΝ.

πότερα νομίζεις δυστυχεῖν ἔμ' εἰς τὰ σὰ
ἢ σ' εἰς τὰ σαυτοῦ μᾶλλον ἐν τῷ νῦν λόγῳ;

ΟΙΔΙΠΟΥΣ.

ἐμοὶ μέν ἐσθ' ἥδιστον, εἰ σὺ μήτ' ἐμὲ
πείθειν οἷός τ' εἶ μήτε τούσδε τοὺς πέλας.

ΚΡΕΩΝ.

ὦ δύσμορ', οὐδὲ τῷ χρόνῳ φύσας φανεῖ
φρένας ποτ', ἀλλὰ λῦμα τῷ γήρᾳ τρέφει;

ΟΙΔΙΠΟΥΣ.

γλώσσῃ σὺ δεινός· ἄνδρα δ' οὐδέν' οἶδ' ἐγὼ
δίκαιον ὅστις ἐξ ἅπαντος εὖ λέγει.

ΚΡΕΩΝ.

χωρὶς τό τ' εἰπεῖν πολλὰ καὶ τὰ καίρια.

ΟΙΔΙΠΟΥΣ.

ὡς δὴ σὺ βραχέα, ταῦτα δ' ἐν καιρῷ λέγεις.

ΚΡΕΩΝ.

οὐ δῆθ', ὅτῳ γε νοῦς ἴσος καὶ σοὶ πάρα.

ΟΙΔΙΠΟΥΣ.

ἄπελθ', ἐρῶ γὰρ καὶ πρὸ τῶνδε, μηδέ με
φύλασσ' ἐφορμῶν ἔνθα χρὴ ναίειν ἐμέ.

ΚΡΕΩΝ.

μαρτύρομαι τούσδ', οὐ σέ. πρὸς δὲ τοὺς φίλ[ους]
οἷ' ἀνταμείβει ῥήματ', ἤν σ' ἕλω ποτέ.

ΟΙΔΙΠΟΥΣ.

τίς δ' ἄν με τῶνδε συμμάχων ἕλοι βίᾳ;

ΚΡΕΩΝ.

ἦ μὴν σὺ κἄνευ τῶνδε λυπηθεὶς ἔσει.

ΟΙΔΙΠΟΥΣ.

ποίῳ σὺν ἔργῳ τοῦτ' ἀπειλήσας ἔχεις;

ΚΡΕΩΝ.

παίδοιν δυοῖν σοι τὴν μὲν ἀρτίως ἐγὼ
ξυναρπάσας ἔπεμψα, τὴν δ' ἄξω τάχα.

ΟΙΔΙΠΟΥΣ.

ὤμοι.

ΚΡΕΩΝ.

τάχ' ἕξεις μᾶλλον οἰμώζειν τάδε.

ΟΙΔΙΠΟΥΣ.

τὴν παῖδ' ἔχεις μου;

ΚΡΕΩΝ.

τήνδε τ' οὐ μακροῦ χρό[νου].

ΟΙΔΙΠΟΥΣ.

ἰὼ ξένοι, τί δράσετ'; ἦ προδώσετε,
κοὐκ ἐξελᾶτε τὸν ἀσεβῆ τῆσδε χθονός;

ΧΟΡΟΣ.

χώρει, ξέν', ἔξω θᾶσσον· οὔτε γὰρ τὰ νῦν
δίκαια πράσσεις οὔθ' ἃ πρόσθεν εἴργασαι.

ΚΡΕΩΝ.
ὑμῖν ἂν εἴη τήνδε καιρὸς ἐξάγειν
ἄκουσαν, εἰ θέλουσα μὴ πορεύσεται.
ΑΝΤΙΓΟΝΗ.
οἴμοι τάλαινα, ποῖ φύγω; ποίαν λάβω
θεῶν ἄρηξιν ἢ βροτῶν;
ΧΟΡΟΣ.
τί δρᾷς, ξένε;
ΚΡΕΩΝ.
οὐχ ἅψομαι τοῦδ' ἀνδρὸς, ἀλλὰ τῆς ἐμῆς.
ΟΙΔΙΠΟΥΣ.
ὦ γῆς ἄνακτες.
ΧΟΡΟΣ.
ὦ ξέν', οὐ δίκαια δρᾷς.
ΚΡΕΩΝ.
δίκαια.
ΧΟΡΟΣ.
πῶς δίκαια;
ΚΡΕΩΝ.
τοὺς ἐμοὺς ἄγω.
ΑΝΤΙΓΟΝΗ.
ἰὼ πόλις.
ΧΟΡΟΣ.
τί δρᾷς, ὦ ξέν'; οὐκ ἀφήσεις; τάχ' εἰς
βάσανον εἶ χερῶν.
ΚΡΕΩΝ.
εἴργου.
ΧΟΡΟΣ.
σοῦ μὲν οὔ τάδε γε μωμένου.
ΚΡΕΩΝ.
πόλει μαχεῖ γὰρ, εἴ τι πημανεῖς ἐμέ.
ΟΙΔΙΠΟΥΣ.
οὐκ ἠγόρευον ταῦτ' ἐγώ;
ΧΟΡΟΣ.
μέθες χεροῖν
τὴν παῖδα θᾶσσον.
ΚΡΕΩΝ.
μὴ 'πίτασσ' ἃ μὴ κρατεῖς.
ΧΟΡΟΣ.
χαλᾶν λέγω σοι.
ΚΡΕΩΝ.
σοὶ δ' ἔγωγ' ὁδοιπορεῖν.
ΧΟΡΟΣ.
προβᾶθ' ὧδε, βᾶτε βᾶτ', ἔντοποι.
πόλις ἐναίρεται, πόλις ἐμὰ, σθένει.
προβᾶθ' ὧδέ μοι.
ΑΝΤΙΓΟΝΗ.
ἀφέλκομαι δύστηνος, ὦ ξένοι ξένοι.
ΟΙΔΙΠΟΥΣ.
ποῦ, τέκνον, εἶ μοι;
ΑΝΤΙΓΟΝΗ.
πρὸς βίαν πορεύομαι.
ΟΙΔΙΠΟΥΣ.
ὄρεξον, ὦ παῖ, χεῖρας.
ΑΝΤΙΓΟΝΗ.
ἀλλ' οὐδὲν σθένω.
ΚΡΕΩΝ.
οὐκ ἄξεθ' ὑμεῖς;
833—843. = 876—886.

ΟΙΔΙΠΟΥΣ.
ὦ τάλας ἐγὼ, τάλας.
ΚΡΕΩΝ.
οὔκουν ποτ' ἐκ τούτοιν γε μὴ σκήπτροιν ἔτι
ὁδοιπορήσεις· ἀλλ' ἐπεὶ νικᾶν θέλεις
πατρίδα τε τὴν σὴν καὶ φίλους, ὑφ' ὧν ἐγὼ
ταχθεὶς τάδ' ἔρδω, καὶ τύραννος ὢν ὅμως,
νίκα. χρόνῳ γὰρ, οἶδ' ἐγὼ, γνώσει τάδε,
ὁθούνεκ' αὐτὸς αὐτὸν οὔτε νῦν καλὰ
δρᾷς οὔτε πρόσθεν εἰργάσω βίᾳ φίλων,
ὀργῇ χάριν δοὺς, ἥ σ' ἀεὶ λυμαίνεται.
ΧΟΡΟΣ.
ἐπίσχες αὐτοῦ, ξεῖνε.
ΚΡΕΩΝ.
μὴ ψαύειν λέγω.
ΧΟΡΟΣ.
οὔτοι σ' ἀφήσω, τῶνδέ γ' ἐστερημένος.
ΚΡΕΩΝ.
καὶ μεῖζον ἆρα ῥύσιον πόλει τάχα
θήσεις; ἐφάψομαι γὰρ οὐ ταύταιν μόναιν.
ΧΟΡΟΣ.
ἀλλ' ἐς τί τρέψει;
ΚΡΕΩΝ.
τόνδ' ἀπάξομαι λαβών.
ΧΟΡΟΣ.
δεινὸν λέγεις.
ΚΡΕΩΝ.
ὡς τοῦτο νῦν πεπράξεται,
ἢν μή μ' ὁ κραίνων τῆσδε γῆς ἀπειργάθῃ.
ΟΙΔΙΠΟΥΣ.
ὦ φθέγμ' ἀναιδὲς, ἦ σὺ γὰρ ψαύσεις ἐμοῦ;
ΚΡΕΩΝ.
αὐδῶ σιωπᾶν.
ΟΙΔΙΠΟΥΣ.
μὴ γὰρ αἵδε δαίμονες
θεῖέν μ' ἄφωνον τῆσδε τῆς ἀρᾶς ἔτι,
ὅς μ', ὦ κάκιστε, ψιλὸν ὄμμ' ἀποσπάσας
πρὸς ὄμμασιν τοῖς πρόσθεν ἐξοίχει βίᾳ.
τοιγὰρ σέ τ' αὐτὸν καὶ γένος τὸ σὸν θεῶν
ὁ πάντα λεύσσων Ἥλιος δοίη βίον
τοιοῦτον οἷον κἀμὲ γηράναι ποτέ.
ΚΡΕΩΝ.
ὁρᾶτε ταῦτα, τῆσδε γῆς ἐγχώριοι;
ΟΙΔΙΠΟΥΣ.
ὁρῶσι κἀμὲ καὶ σὲ, καὶ φρονοῦσ' ὅτι
ἔργοις πεπονθὼς ῥήμασίν σ' ἀμύνομαι.
ΚΡΕΩΝ.
οὔτοι καθέξω θυμὸν, ἀλλ' ἄξω βίᾳ
κεἰ μοῦνός εἰμι τόνδε καὶ χρόνῳ βραδύς.
ΟΙΔΙΠΟΥΣ.
ἰὼ τάλας.
ΧΟΡΟΣ.
ὅσον λῆμ' ἔχων ἀφίκου, ξέν', εἰ
τάδε δοκεῖς τελεῖν.
ΚΡΕΩΝ.
δοκῶ.
ΧΟΡΟΣ.
τάνδ' ἄρ' οὐκ ἔτι νεμῶ πόλιν.
ΚΡΕΩΝ.
τοῖς τοι δικαίοις χὡ βραχὺς νικᾷ μέγαν.

ΟΙΔΙΠΟΥΣ.

ἀκούεθ᾽ οἷα φθέγγεται;

ΧΟΡΟΣ.

τά γ᾽ σὺ τελεῖ.

* * * * *

ΚΡΕΩΝ.

Ζεὺς ταῦτ᾽ ἂν εἰδείη, σὺ δ᾽ οὔ.

ΧΟΡΟΣ.

ἆρ᾽ οὐχ ὕβρις τάδ᾽;

ΚΡΕΩΝ.

ὕβρις, ἀλλ᾽ ἀνεκτέα.

ΧΟΡΟΣ.

ἰὼ πᾶς λεὼς, ἰὼ γᾶς πρόμοι,
μόλετε σὺν τάχει, μόλετ᾽· ἐπεὶ πέραν
περῶσι * * δή.

ΘΗΣΕΥΣ.

τίς ποθ᾽ ἡ βοή; τί τοὔργον; ἐκ τίνος φόβου ποτὲ
βουθυτοῦντά μ᾽ ἀμφὶ βωμὸν ἔσχετ᾽ ἐναλίῳ θεῷ
τοῦδ᾽ ἐπιστάτῃ Κολωνοῦ; λέξαθ᾽, ὡς εἰδῶ τὸ πᾶν
οὗ χάριν δεῦρ᾽ ᾖξα θᾶσσον ἢ καθ᾽ ἡδονὴν ποδός.

ΟΙΔΙΠΟΥΣ.

ὦ φίλτατ᾽, ἔγνων γὰρ τὸ προσφώνημά σου,
πέπονθα δεινὰ τοῦδ᾽ ὑπ᾽ ἀνδρὸς ἀρτίως.

ΘΗΣΕΥΣ.

τὰ ποῖα ταῦτα, τίς δ᾽ ὁ πημήνας; λέγε.

ΟΙΔΙΠΟΥΣ.

Κρέων ὅδ᾽, ὃν δέδορκας, οἴχεται τέκνων
ἀποσπάσας μου τὴν μόνην ξυνωρίδα.

ΘΗΣΕΥΣ.

πῶς εἶπας;

ΟΙΔΙΠΟΥΣ.

οἷά περ πέπονθ᾽ ἀκήκοας.

ΘΗΣΕΥΣ.

οὔκουν τις ὡς τάχιστα προσπόλων μολὼν
πρὸς τούσδε βωμοὺς πάντ᾽ ἀναγκάσει λεὼν
ἄνιππον ἱππότην τε θυμάτων ἄπο
σπεύδειν ἄπο ῥυτῆρος, ἔνθα δίστομοι
μάλιστα συμβάλλουσιν ἐμπόρων ὁδοί,
ὡς μὴ παρέλθωσ᾽ αἱ κόραι, γέλως δ᾽ ἐγὼ,
ξένῳ γένωμαι τῷδε, χειρωθεὶς βίᾳ.
ἴθ᾽, ὡς ἄνωγα, σὺν τάχει. τοῦτον δ᾽ ἐγὼ,
εἰ μὲν δι᾽ ὀργῆς ἧκον, ἧς ὅδ᾽ ἄξιος,
ἄτρωτον οὐ μεθῆκ᾽ ἂν ἐξ ἐμῆς χερός·
νῦν δ᾽ οὕσπερ αὐτὸς τοὺς νόμους εἰσῆλθ᾽ ἔχων,
τούτοισι κοὐκ ἄλλοισιν ἁρμοσθήσεται.
οὐ γάρ ποτ᾽ ἔξει τῆσδε τῆς χώρας, πρὶν ἂν
κείνας ἐναργεῖς δεῦρό μοι στήσῃς ἄγων·
ἐπεὶ δέδρακας οὔτ᾽ ἐμοῦ καταξίως
οὔθ᾽ ὧν πέφυκας αὐτὸς οὔτε σῆς χθονὸς,
ὅστις δίκαι᾽ ἀσκοῦσαν εἰσελθὼν πόλιν
κἄνευ νόμου κραίνουσαν οὐδὲν εἶτ᾽ ἀφεὶς
τὰ τῆσδε τῆς γῆς κύρι᾽ ὧδ᾽ ἐπεισπεσὼν
ἄγεις θ᾽ ἃ χρῄζεις καὶ παρίστασαι βίᾳ.
καί μοι πόλιν κένανδρον ἢ δούλην τινὰ
ἔδοξας εἶναι, κἄμ᾽ ἴσον τῷ μηδενί.
καίτοι σε Θῆβαί γ᾽ οὐκ ἐπαίδευσαν κακόν·
οὐ γὰρ φιλοῦσιν ἄνδρας ἐκδίκους τρέφειν,
οὐδ᾽ ἄν σ᾽ ἐπαινέσειαν, εἰ πυθοίατο
συλῶντα τἀμὰ καὶ τὰ τῶν θεῶν, βίᾳ
ἄγοντα φωτῶν ἀθλίων ἱκτήρια.
οὔκουν ἔγωγ᾽ ἂν σῆς ἐπεμβαίνων χθονὸς,
οὐδ᾽ εἰ τὰ πάντων εἶχον ἐνδικώτατα,
ἄνευ γε τοῦ κραίνοντος, ὅστις ἦν, χθονὸς,
οὔθ᾽ εἷλκον οὔτ᾽ ἂν ἦγον, ἀλλ᾽ ἠπιστάμην
ξένον παρ᾽ ἀστοῖς ὡς διαιτᾶσθαι χρεών.
σὺ δ᾽ ἀξίαν οὐκ οὖσαν αἰσχύνεις πόλιν
τὴν αὐτὸς αὑτοῦ, καί σ᾽ ὁ πληθύων χρόνος
γέρονθ᾽ ὁμοῦ τίθησι καὶ τοῦ νοῦ κενόν.
εἶπον μὲν οὖν καὶ πρόσθεν, ἐννέπω δὲ νῦν,
τὰς παῖδας ὡς τάχιστα δεῦρ᾽ ἄγειν τινὰ,
εἰ μὴ μέτοικος τῆσδε τῆς χώρας θέλεις
εἶναι βίᾳ τε κοὐχ ἑκών· καὶ ταῦτά σοι
τῷ νῷ θ᾽ ὁμοίως κἀπὸ τῆς γλώσσης λέγω.

ΧΟΡΟΣ.

ὁρᾷς ἵν᾽ ἥκεις, ὦ ξέν᾽; ὡς ἀφ᾽ ὧν μὲν εἶ
φαίνει δίκαιος, δρῶν δ᾽ ἐφευρίσκει κακά.

ΚΡΕΩΝ.

ἐγὼ οὔτ᾽ ἄνανδρον τήνδε τὴν πόλιν λέγων,
ὦ τέκνον Αἰγέως, οὔτ᾽ ἄβουλον, ὡς σὺ φῄς,
τοὔργον τόδ᾽ ἐξέπραξα, γιγνώσκων δ᾽ ὅτι
οὐδείς ποτ᾽ αὐτοὺς τῶν ἐμῶν ἂν ἐμπέσοι
ζῆλος ξυναίμων, ὥστ᾽ ἐμοῦ τρέφειν βίᾳ.
ᾔδη δ᾽ ὁθούνεκ᾽ ἄνδρα καὶ πατροκτόνον
κἄναγνον οὐ δεξοίατ᾽, οὐδ᾽ ὅτῳ γάμοι
ξυνόντες εὑρέθησαν ἀνόσιοι τέκνων.
τοιοῦτον αὐτοῖς Ἄρεος εὔβουλον πάγον
ἐγὼ ξυνῄδη χθόνιον ὄνθ᾽, ὃς οὐκ ἐᾷ
τοιούσδ᾽ ἀλήτας τῇδ᾽ ὁμοῦ ναίειν πόλει·
ᾧ πίστιν ἴσχων τήνδ᾽ ἐχειρούμην ἄγραν.
καὶ ταῦτ᾽ ἂν οὐκ ἔπρασσον, εἰ μή μοι πικρὰς
αὐτῷ τ᾽ ἀρὰς ἠρᾶτο καὶ τὠμῷ γένει·
ἀνθ᾽ ὧν πεπονθὼς ἠξίουν τάδ᾽ ἀντιδρᾶν.
θυμοῦ γὰρ οὐδὲν γῆράς ἐστιν ἄλλο πλὴν
θανεῖν· θανόντων δ᾽ οὐδὲν ἄλγος ἅπτεται.
πρὸς ταῦτα πράξεις οἷον ἂν θέλῃς· ἐπεὶ
ἐρημία με, κεἰ δίκαι᾽ ὅμως λέγω,
σμικρὸν τίθησι· πρὸς δὲ τὰς πράξεις ὅμως,
καὶ τηλικόσδ᾽ ὤν, ἀντιδρᾶν πειράσομαι.

ΟΙΔΙΠΟΥΣ.

ὦ λῆμ᾽ ἀναιδὲς, τοῦ καθυβρίζειν δοκεῖς,
πότερον ἐμοῦ γέροντος, ἢ σαυτοῦ, τόδε;
ὅστις φόνους σοι καὶ γάμους καὶ ξυμφορὰς
τοῦ σοῦ διῆκας στόματος, ἃς ἐγὼ τάλας
ἤνεγκον ἄκων. θεοῖς γὰρ ἦν οὕτω φίλον,
τάχ᾽ ἄν τι μηνίουσιν εἰς γένος πάλαι.
ἐπεὶ καθ᾽ αὑτόν γ᾽ οὐκ ἂν ἐξεύροις ἐμοὶ
ἁμαρτίας ὄνειδος οὐδὲν ἀνθ᾽ ὅτου
τάδ᾽ εἰς ἐμαυτὸν τοὺς ἐμούς θ᾽ ἡμάρτανον.
ἐπεὶ δίδαξον, εἴ τι θέσφατον πατρὶ
χρησμοῖσιν ἱκνεῖθ᾽ ὥστε πρὸς παίδων θανεῖν,
πῶς ἂν δικαίως τοῦτ᾽ ὀνειδίζοις ἐμοὶ,
ὃς οὔτε βλάστας πω γενεθλίους πατρὸς,
οὐ μητρὸς εἶχον, ἀλλ᾽ ἀγέννητος τότ᾽ ἦ;
εἰ δ᾽ αὖ φανεὶς δύστηνος, ὡς ἐγὼ ᾽φάνην,
εἰς χεῖρας ἦλθον πατρὶ καὶ κατέκτανον,
μηδὲν ξυνιεὶς ὧν ἔδρων εἰς οὕς τ᾽ ἔδρων,
πῶς ἂν τό γ᾽ ἆκον πρᾶγμ᾽ ἂν εἰκότως ψέγοις;
μητρὸς δὲ, τλῆμον, οὐκ ἐπαισχύνει γάμους
οὔσης ὁμαίμου σῆς μ᾽ ἀναγκάζων λέγειν,
οἵους ἐρῶ τάχ᾽. οὐ γὰρ οὖν σιγήσομαι,

σοῦ γ' εἰς τόδ' ἐξελθόντος ἀνόσιον στόμα.
ἔτικτε γάρ μ' ἔτικτεν, ὤμοι μοι κακῶν,
οὐκ εἰδότ' οὐκ εἰδυῖα· καὶ τεκοῦσά με
αὑτῆς ὄνειδος παῖδας ἐξέφυσέ μοι.
ἀλλ' ἓν γὰρ οὖν ἔξοιδα, σὲ μὲν ἑκόντ' ἐμὲ
κείνην τε ταῦτα δυστομεῖν· ἐγὼ δέ νιν
ἄκων ἔγημα, φθέγγομαί τ' ἄκων τάδε.
ἀλλ' οὐ γὰρ οὔτ' ἐν τοῖσδ' ἀκούσομαι κακὸς
γάμοισιν οὔθ' οὓς αἰὲν ἐμφέρεις σύ μοι
φόνους πατρῴους ἐξονειδίζων πικρῶς.
ἓν γάρ μ' ἄμειψαι μοῦνον ὧν σ' ἀνιστορῶ.
εἴ τίς σε τὸν δίκαιον αὐτίκ' ἐνθάδε
κτείνοι παραστὰς, πότερα πυνθάνοι' ἂν, εἰ
πατήρ σ' ὁ καίνων, ἢ τίνοι' ἂν εὐθέως;
δοκῶ μὲν, εἴπερ ζῆν φιλεῖς, τὸν αἴτιον
τίνοι' ἂν, οὐδὲ τοὔνδικον περιβλέποις.
τοιαῦτα μέντοι καὐτὸς εἰσέβην κακὰ,
θεῶν ἀγόντων· οἷς ἐγὼ οὐδὲ τὴν πατρὸς
ψυχὴν ἂν οἶμαι ζῶσαν ἀντειπεῖν ἐμοί.
σὺ δ', εἶ γὰρ οὐ δίκαιος, ἀλλ' ἅπαν καλὸν
λέγειν νομίζων, ῥητὸν ἄρρητόν τ' ἔπος,
τοιαῦτ' ὀνειδίζεις με τῶνδ' ἐναντίον.
καί σοι τὸ Θησέως ὄνομα θωπεῦσαι καλὸν,
καὶ τὰς Ἀθήνας, ὡς κατῴκηνται καλῶς·
κᾆθ' ὧδ' ἐπαινῶν πολλὰ τοῦδ' ἐκλανθάνει,
ὁθούνεκ' εἴ τις γῆ θεοὺς ἐπίσταται
τιμαῖς σεβίζειν, ἥδε τοῦθ' ὑπερφέρει,
ἀφ' ἧς σὺ κλέψας τὸν ἱκέτην γέροντ' ἐμὲ
αὐτόν τ' ἐχειροῦ τὰς κόρας τ' οἴχει λαβών.
ἀνθ' ὧν ἐγὼ νῦν τάσδε τὰς θεὰς ἐμοὶ
καλῶν ἱκνοῦμαι καὶ κατασκήπτω λιταῖς
ἐλθεῖν ἀρωγοὺς ξυμμάχους θ', ἵν' ἐκμάθῃς
οἵων ὑπ' ἀνδρῶν ἥδε φρουρεῖται πόλις.

ΧΟΡΟΣ.

ὁ ξεῖνος, ὦναξ, χρηστός· αἱ δὲ συμφοραὶ
αὐτοῦ πανώλεις, ἄξιαι δ' ἀμυναθεῖν.

ΘΗΣΕΥΣ.

ἅλις λόγων· ὡς οἱ μὲν ἐξηρπασμένοι
σπεύδουσιν, ἡμεῖς δ' οἱ παθόντες ἕσταμεν.

ΚΡΕΩΝ.

τί δῆτ' ἀμαυρῷ φωτὶ προστάσσεις ποιεῖν;

ΘΗΣΕΥΣ.

ὁδοῦ κατάρχειν τῆς ἐκεῖ, πομπὸν δέ με
χωρεῖν, ἵν', εἰ μὲν ἐν τόποισι τοῖσδ' ἔχεις
τὰς παῖδας ἡμῶν, αὐτὸς ἐκδείξῃς ἐμοί·
εἰ δ' ἐγκρατεῖς φεύγουσιν, οὐδὲν δεῖ πονεῖν.
ἄλλοι γὰρ οἱ σπεύδοντες, οὓς οὐ μή ποτε
χώρας φυγόντες τῆσδ' ἐπεύξωνται θεοῖς.
ἀλλ' ἐξυφηγοῦ· γνῶθι δ' ὡς ἔχων ἔχει
καί σ' εἷλε θηρῶνθ' ἡ τύχη· τὰ γὰρ δόλῳ
τῷ μὴ δικαίῳ κτήματ' οὐχὶ σώζεται.
κοὐκ ἄλλον ἕξεις εἰς τόδ'· ὡς ἔξοιδά σε
οὐ ψιλὸν οὐδ' ἄσκευον ἐς τοσήνδ' ὕβριν
ἥκοντα τόλμης τῆς παρεστώσης τανῦν,
ἀλλ' ἔσθ' ὅτῳ σὺ πιστὸς ὢν ἔδρας τάδε.
ἃ δεῖ μ' ἀθρῆσαι, μηδὲ τήνδε τὴν πόλιν
ἑνὸς ποιῆσαι φωτὸς ἀσθενεστέραν.
νοεῖς τι τούτων, ἢ μάτην τανῦν τέ σοι
δοκεῖ λελέχθαι χὤτε ταῦτ' ἐμηχανῶ;

ΚΡΕΩΝ.

οὐδὲν σὺ μεμπτὸν ἐνθάδ' ὢν ἐρεῖς ἐμοί·
οἴκοι δὲ χἡμεῖς εἰσόμεσθ' ἃ χρὴ ποιεῖν.

ΘΗΣΕΥΣ.

χωρῶν ἀπείλει νῦν· σὺ δ' ἡμῖν, Οἰδίπου,
ἕκηλος αὐτοῦ μίμνε, πιστωθεὶς ὅτι,
ἢν μὴ θάνω 'γὼ πρόσθεν, οὐχὶ παύσομαι
πρὶν ἄν σε τῶν σῶν κύριον στήσω τέκνων.

ΟΙΔΙΠΟΥΣ.

ὄναιο, Θησεῦ, τοῦ τε γενναίου χάριν
καὶ τῆς πρὸς ἡμᾶς ἐνδίκου προμηθίας.

ΧΟΡΟΣ.

εἴην ὅθι δαΐων
ἀνδρῶν τάχ' ἐπιστροφαὶ
τὸν χαλκοβόαν Ἄρη
μίξουσιν, ἢ πρὸς Πυθίαις,
ἢ λαμπάσιν ἀκταῖς,
οὗ πότνιαι σεμνὰ τιθηνοῦνται τέλη
θνατοῖσιν, ὧν καὶ χρυσέα
κλῄς ἐπὶ γλώσσᾳ βέβακε
προσπόλων Εὐμολπιδᾶν·
ἔνθ' οἶμαι τὸν ἐγρεμάχαν
Θησέα καὶ τὰς διστόλους
ἀδμῆτας ἀδελφὰς
αὐταρκεῖ τάχ' ἐμμίξειν βοᾷ
τούσδ' ἀνὰ χώρους·
ἤ που τὸν ἐφέσπερον
πέτρας νιφάδος πελῶσ'
Οἰάτιδος ἐκ νομοῦ,
πώλοισιν, ἢ ῥιμφαρμάτοις
φεύγοντες ἁμίλλαις.
ἁλώσεται, δεινὸς ὁ προσχώρων Ἄρης,
δεινὰ δὲ Θησειδᾶν ἀκμά.
πᾶς γὰρ ἀστράπτει χαλινὸς,
πᾶσα δ' ὁρμᾶται κατ' ἀμ-
πυκτήρια φάλαρα πώλων
ἄμβασις, οἳ τὰν ἱππίαν
τιμῶσιν Ἀθάναν
καὶ τὸν πόντιον γαιάοχον
Ῥέας φίλον υἱόν.
ἔρδουσιν, ἢ μέλλουσι; προμνᾶταί τί μοι
γνώμα, τάχ' ἂν δώσειν
τὰν δεινὰ τλᾶσαν, δεινὰ δ' εὑροῦσαν πρὸς αὐ-
θαίμων πάθη.
τελεῖ τελεῖ Ζεύς τι κατ' ἆμαρ·
μάντις εἴμ' ἐσθλῶν ἀγώνων.
εἴθ' ἀελλαία ταχύρρωστος πελειὰς
αἰθερίας νεφέλας κύρσαιμι τῶνδ' ἀγώνων
ἐωρήσασα τοὐμὸν ὄμμα.
ἰὼ Ζεῦ, θεῶν πάνταρχε, παντόπτα, πόροις
γᾶς τᾶσδε δαμούχοις
σθένει 'πινικείῳ τὸν εὔαγρον τελειῶσαι λόχον,
σεμνά τε παῖς Παλλὰς Ἀθάνα.
καὶ τὸν ἀγρευτὰν Ἀπόλλω
καὶ κασιγνήταν πυκνοστίκτων ὀπαδὸν
ὠκυπόδων ἐλάφων στέργω διπλᾶς ἀρωγὰς
μολεῖν γᾷ τᾷδε καὶ πολίταις.
ὦ ξεῖν' ἀλῆτα, τῷ σκοπῷ μὲν οὐκ ἐρεῖς

1044 — 1058. = 1059 — 1073.
1074 — 1084. = 1085 — 1095.

ὡς ψευδόμαντις. τὰς κόρας γὰρ εἰσορῶ
τάσδ' ἆσσον αὖθις ὧδε προσπολουμένας.

ΟΙΔΙΠΟΥΣ.

ποῦ ποῦ; τί φής; πῶς εἶπας;

ΑΝΤΙΓΟΝΗ.

ὦ πάτερ πάτερ,
τίς ἂν θεῶν σοι τόνδ' ἄριστον ἄνδρ' ἰδεῖν
δοίη, τὸν ἡμᾶς δεῦρο προσπέμψαντά σοι;

ΟΙΔΙΠΟΥΣ.

ὦ τέκνον, ἦ πάρεστον;

ΑΝΤΙΓΟΝΗ.

αἵδε γὰρ χέρες
Θησέως ἔσωσαν φιλτάτων τ' ὀπαόνων.

ΟΙΔΙΠΟΥΣ.

προσέλθετ', ὦ παῖ, πατρὶ, καὶ τὸ μηδαμὰ
ἐλπισθὲν ἥξειν σῶμα βαστάσαι δότε.

ΑΝΤΙΓΟΝΗ.

αἰτεῖς ἃ τεύξει· σὺν πόθῳ γὰρ ἡ χάρις.

ΟΙΔΙΠΟΥΣ.

ποῦ δῆτα, ποῦ 'στον;

ΑΝΤΙΓΟΝΗ.

αἵδ' ὁμοῦ πελάζομεν.

ΟΙΔΙΠΟΥΣ.

ὦ φίλτατ' ἔρνη.

ΑΝΤΙΓΟΝΗ.

τῷ τεκόντι πᾶν φίλον.

ΟΙΔΙΠΟΥΣ.

ὦ σκῆπτρα φωτός.

ΑΝΤΙΓΟΝΗ.

δυσμόρου γε δύσμορα.

ΟΙΔΙΠΟΥΣ.

ἔχω τὰ φίλτατ', οὐδ' ἔτ' ἂν πανάθλιος
θανὼν ἂν εἴην σφῷν παρεστώσαιν ἐμοί.
ἐρείσατ', ὦ παῖ, πλευρὸν ἀμφιδέξιον
ἐμφύντε τῷ φύσαντι, κἀναπαύσατον
τοῦ πρόσθ' ἐρήμου τοῦδε δυστήνου πλάνου.
καί μοι τὰ πραχθέντ' εἴπαθ' ὡς βράχιστ', ἐπεὶ
ταῖς τηλικαῖσδε σμικρὸς ἐξαρκεῖ λόγος.

ΑΝΤΙΓΟΝΗ.

ὅδ' ἔσθ' ὁ σώσας· τοῦδε χρὴ κλύειν, πάτερ,
καὶ σοί τε τοὔργον τοῦτ' ἐμοί τ' ἔσται βραχύ.

ΟΙΔΙΠΟΥΣ.

ὦ ξεῖνε, μὴ θαύμαζε, πρὸς τὸ λιπαρὲς
τέκν' εἰ φανέντ' ἄελπτα μηκύνω λόγον.
ἐπίσταμαι γὰρ τήνδε τὴν ἐς τάσδε μοι
τέρψιν παρ' ἄλλου μηδενὸς πεφασμένην.
σὺ γάρ νιν ἐξέσωσας, οὐκ ἄλλος βροτῶν.
καί σοι θεοὶ πόροιεν ὡς ἐγὼ θέλω,
αὐτῷ τε καὶ γῇ τῇδ'· ἐπεὶ τό γ' εὐσεβὲς
μόνοις παρ' ὑμῖν εὗρον ἀνθρώπων ἐγὼ
καὶ τοὐπιεικὲς καὶ τὸ μὴ ψευδοστομεῖν.
εἰδὼς δ' ἀμύνω τοῖσδε τοῖς λόγοις τάδε.
ἔχω γὰρ ἅχω διὰ σὲ κοὐκ ἄλλον βροτῶν.
καί μοι χέρ', ὦναξ, δεξιὰν ὄρεξον, ὡς
ψαύσω φιλήσω τ', εἰ θέμις, τὸ σὸν κάρα.
καίτοι τί φωνῶ; πῶς σ' ἂν ἄθλιος γεγὼς
θιγεῖν θελήσαιμ' ἀνδρὸς, ᾧ τίς οὐκ ἔνι
κηλὶς κακῶν ξύνοικος; οὐκ ἔγωγέ σε,
οὐδ' οὖν ἐάσω. τοῖς γὰρ ἐμπείροις βροτῶν
μόνοις οἷόν τε συνταλαιπωρεῖν τάδε.
σὺ δ' αὐτόθεν μοι χαῖρε καὶ τὰ λοιπά μου
μέλου δικαίως, ὥσπερ ἐς τόδ' ἡμέρας.

ΘΗΣΕΥΣ.

οὔτ' εἴ τι μῆκος τῶν λόγων ἔθου πλέον,
τέκνοισι τερφθεὶς τοῖσδε, θαυμάσας ἔχω,
οὐδ' εἰ πρὸ τοὐμοῦ προὔλαβες τὰ τῶνδ' ἔπη.
βάρος γὰρ ἡμᾶς οὐδὲν ἐκ τούτων ἔχει.
οὐ γὰρ λόγοισι τὸν βίον σπουδάζομεν
λαμπρὸν ποιεῖσθαι μᾶλλον ἢ τοῖς δρωμένοις.
δείκνυμι δ'. ὧν γὰρ ὤμοσ' οὐκ ἐψευσάμην
οὐδέν σε, πρέσβυ. τάσδε γὰρ πάρειμ' ἄγων
ζώσας, ἀκραιφνεῖς τῶν κατηπειλημένων.
χὤπως μὲν ἁγὼν ᾑρέθη τί δεῖ μάτην
κομπεῖν, ἅ γ' εἴσει καὐτὸς ἐκ ταύταιν ξυνών;
λόγος δ' ὃς ἐμπέπτωκεν ἀρτίως ἐμοὶ
στείχοντι δεῦρο, συμβαλοῦ γνώμην, ἐπεὶ
σμικρὸς μὲν εἰπεῖν, ἄξιος δὲ θαυμάσαι.
πρᾶγος δ' ἀτίζειν οὐδὲν ἄνθρωπον χρεών.

ΟΙΔΙΠΟΥΣ.

τί δ' ἔστι, τέκνον Αἰγέως; δίδασκέ με,
ὡς μὴ εἰδότ' αὐτὸν μηδὲν ὧν σὺ πυνθάνει.

ΘΗΣΕΥΣ.

φασίν τιν' ἡμῖν ἄνδρα, σοὶ μὲν ἔμπολιν
οὐκ ὄντα, συγγενῆ δὲ, προσπεσόντα πως
βωμῷ καθῆσθαι τῷ Ποσειδῶνος, παρ' ᾧ
θύων ἔκυρον, ἡνίχ' ὡρμώμην ἐγώ.

ΟΙΔΙΠΟΥΣ.

ποδαπόν; τί προσχρῄζοντα τῷ θακήματι;

ΘΗΣΕΥΣ.

οὐκ οἶδα πλὴν ἕν. σοῦ γὰρ, ὡς λέγουσί μοι,
βραχύν τιν' αἰτεῖ μῦθον οὐκ ὄγκου πλέων.

ΟΙΔΙΠΟΥΣ.

ποῖόν τιν'; οὐ γὰρ ἥδ' ἕδρα σμικροῦ λόγου.

ΘΗΣΕΥΣ.

σοί φασιν αὐτὸν ἐς λόγους ἐλθεῖν μολόντ'
αἰτεῖν ἀπελθεῖν τ' ἀσφαλῶς τῆς δεῦρ' ὁδοῦ.

ΟΙΔΙΠΟΥΣ.

τίς δῆτ' ἂν εἴη τήνδ' ὁ προσθακῶν ἕδραν;

ΘΗΣΕΥΣ.

ὅρα κατ' Ἄργος εἴ τις ὑμῖν ἐγγενὴς
ἔσθ', ὅστις ἄν σου τοῦτο προσχρῄζοι τυχεῖν.

ΟΙΔΙΠΟΥΣ.

ὦ φίλτατε, σχὲς οὗπερ εἶ.

ΘΗΣΕΥΣ.

τί δ' ἔστι σοι;

ΟΙΔΙΠΟΥΣ.

μή μου δεηθῇς.

ΘΗΣΕΥΣ.

πράγματος ποίου; λέγε.

ΟΙΔΙΠΟΥΣ.

ἔξοιδ' ἀκούων τῶνδ' ὅς ἐσθ' ὁ προστάτης.

ΘΗΣΕΥΣ.

καὶ τίς ποτ' ἐστὶν, ὅν γ' ἐγὼ ψέξαιμί τι;

ΟΙΔΙΠΟΥΣ.

παῖς οὑμὸς, ὦναξ, στυγνὸς, οὗ λόγων ἐγὼ
ἄλγιστ' ἂν ἀνδρῶν ἐξανασχοίμην κλύων.

ΘΗΣΕΥΣ.

τί δ'; οὐκ ἀκούειν ἔστι, καὶ μὴ δρᾶν ἃ μὴ
χρῄζεις; τί σοι τοῦτ' ἐστὶ λυπηρὸν κλύειν;

ΟΙΔΙΠΟΥΣ.

ἔχθιστον, ὤναξ, φθέγμα τοῦθ᾽ ἥκει πατρί·
καὶ μή μ᾽ ἀνάγκη προσβάλῃς τάδ᾽ εἰκαθεῖν.

ΘΗΣΕΥΣ.

ἀλλ᾽ εἰ τὸ θάκημ᾽ ἐξαναγκάζει, σκόπει
μή σοι πρόνοι᾽ ᾖ τοῦ θεοῦ φυλακτέα.

ΑΝΤΙΓΟΝΗ.

πάτερ, πιθοῦ μοι, κεἰ νέα παραινέσω.
τὸν ἄνδρ᾽ ἔασον τόνδε τῇ θ᾽ αὐτοῦ φρενὶ
χάριν παρασχεῖν τῷ θεῷ θ᾽ ἃ βούλεται·
καὶ νῷν ὕπεικε τὸν κασίγνητον μολεῖν.
οὐ γάρ σε, θάρσει, πρὸς βίαν παρασπάσει
γνώμης, ἃ μή σοι ξυμφέροντα λέξεται.
λόγων δ᾽ ἀκοῦσαι τίς βλάβη; τά τοι κακῶς
εὑρημέν᾽ ἔργα τῷ λόγῳ μηνύεται.
ἔφυσας αὐτόν· ὥστε μηδὲ δρῶντά σε
τὰ τῶν κάκιστα δυσσεβεστάτων, πάτερ,
θέμις σέ γ᾽ εἶναι κεῖνον ἀντιδρᾶν κακῶς.
ἀλλ᾽ ἔασον. εἰσὶ χἀτέροις γοναὶ κακαὶ
καὶ θυμὸς ὀξύς, ἀλλὰ νουθετούμενοι
φίλων ἐπῳδαῖς ἐξεπᾴδονται φύσιν.
σὺ δ᾽ εἰς ἐκεῖνά μοι τανῦν ἀποσκόπει
πατρῷα καὶ μητρῷα πήμαθ᾽ ἅπαθες,
κἂν κεῖνα λεύσσῃς, οἶδ᾽ ἐγώ, γνώσει κακοῦ
θυμοῦ τελευτὴν ὡς κακὴ προσγίγνεται.
ἔχεις γὰρ οὐχὶ βαιὰ τἀνθυμήματα,
τῶν σῶν ἀδέρκτων ὀμμάτων τητώμενος.
ἀλλ᾽ ἡμὶν εἶκε. λιπαρεῖν γὰρ οὐ καλὸν
δίκαια προσχρῄζουσιν, οὐδ᾽ αὐτὸν μὲν εὖ
πάσχειν, παθόντα δ᾽ οὐκ ἐπίστασθαι τίνειν.

ΟΙΔΙΠΟΥΣ.

τέκνον, βαρεῖαν ἡδονὴν νικᾶτέ με
λέγοντες· ἔστω δ᾽ οὖν ὅπως ὑμῖν φίλον.
μόνον, ξέν᾽, εἴπερ κεῖνος ὧδ᾽ ἐλεύσεται,
μηδεὶς κρατείτω τῆς ἐμῆς ψυχῆς ποτέ.

ΘΗΣΕΥΣ.

ἅπαξ τὰ τοιαῦτ᾽, οὐχὶ δὶς χρῄζω κλύειν,
ὦ πρέσβυ. κομπεῖν δ᾽ οὐχὶ βούλομαι· σὺ δὲ
σῶς ἴσθ᾽, ἐάν περ κἀμέ τις σώζῃ θεῶν.

ΧΟΡΟΣ.

ὅστις τοῦ πλέονος μέρους
χρῄζει τοῦ μετρίου παρεὶς
ζώειν, σκαιοσύναν φυλάσσων
ἐν ἐμοὶ κατάδηλος ἔσται.
ἐπεὶ πολλὰ μὲν αἱ μακραὶ
ἁμέραι κατέθεντο δὴ
λύπας ἐγγυτέρω, τὰ τέρ-
ποντα δ᾽ οὐκ ἂν ἴδοις ὅπου,
ὅταν τις ἐς πλέον πέσῃ
τοῦ θέλοντος· ὁ δ᾽ ἐπίκουρος ἰσοτέλεστος
Ἄϊδος, ὅτε Μοῖρ᾽ ἀνυμέναιος
ἄλυρος ἄχορος ἀναπέφηνε,
θάνατος ἐς τελευτάν.
μὴ φῦναι τὸν ἅπαντα νι-
κᾷ λόγον· τὸ δ᾽, ἐπεὶ φανῇ,
βῆναι κεῖθεν ὅθεν περ ἥκει
πολὺ δεύτερον ὡς τάχιστα.
ὡς εὖτ᾽ ἂν τὸ νέον παρῇ
κούφας ἀφροσύνας φέρον,

1211 — 1224. == 1225 — 1238.

τίς πλάγχθη πολύμοχθος ἔ-
ξω; τίς οὐ καμάτων ἔνι;
φόνοι, στάσεις, ἔρις, μάχαι,
καὶ φθόνος· τό τε κατάμεμπτον ἐπιλέλογχε
πύματον ἀκρατὲς ἀπροσόμιλον
γῆρας ἄφιλον, ἵνα πρόπαντα
κακὰ κακῶν ξυνοικεῖ.
ἐν ᾧ τλάμων ὅδ᾽, οὐκ ἐγὼ μόνος,
πάντοθεν βόρειος ὥς τις
ἀκτὰ κυματοπλὴξ χειμερία κλονεῖται,
ὣς καὶ τόνδε κατάκρας
δειναὶ κυματοαγεῖς
ἆται κλονέουσιν ἀεὶ ξυνοῦσαι,
αἱ μὲν ἀπ᾽ ἀελίου δυσμᾶν,
αἱ δ᾽ ἀνατέλλοντος,
αἱ δ᾽ ἀνὰ μέσσαν ἀκτῖν᾽,
αἱ δὲ νυχιᾶν ἀπὸ ῥιπᾶν.

ΑΝΤΙΓΟΝΗ.

καὶ μὴν ὅδ᾽ ἡμῖν, ὡς ἔοικεν, ὁ ξένος
ἀνδρῶν γε μοῦνος, ὦ πάτερ, δι᾽ ὄμματος
ἀστακτὶ λείβων δάκρυον ὧδ᾽ ὁδοιπορεῖ.

ΟΙΔΙΠΟΥΣ.

τίς οὗτος;

ΑΝΤΙΓΟΝΗ.

ὅνπερ καὶ πάλαι κατείχομεν
γνώμῃ, πάρεστι δεῦρο Πολυνείκης ὅδε.

ΠΟΛΥΝΕΙΚΗΣ.

οἴμοι, τί δράσω; πότερα τἀμαυτοῦ κακὰ
πρόσθεν δακρύσω, παῖδες, ἢ τὰ τοῦδ᾽ ὁρῶν
πατρὸς γέροντος; ὃν ξένης ἐπὶ χθονὸς
ξὺν σφῷν ἐφεύρηκ᾽ ἐνθάδ᾽ ἐκβεβλημένον
ἐσθῆτι σὺν τοιᾷδε, τῆς ὁ δυσφιλὴς
γέρων γέροντι συγκατῴκηκεν πίνος
πλευρὰν μαραίνων, κρατὶ δ᾽ ὀμματοστερεῖ
κόμη δι᾽ αὔρας ἀκτένιστος ᾄσσεται·
ἀδελφὰ δ᾽, ὡς ἔοικε, τούτοισιν φορεῖ
τὰ τῆς ταλαίνης νηδύος θρεπτήρια.
ἁγὼ πανώλης ὄψ᾽ ἄγαν ἐκμανθάνω·
καὶ μαρτυρῶ κάκιστος ἀνθρώπων τροφαῖς
ταῖς σαῖσιν ἥκειν· τἀμὰ μὴ ᾽ξ ἄλλων πύθῃ.
ἀλλ᾽ ἔστι γὰρ καὶ Ζηνὶ σύνθακος θρόνων
Αἰδὼς ἐπ᾽ ἔργοις πᾶσι, καὶ πρὸς σοί, πάτερ,
παρασταθήτω. τῶν γὰρ ἡμαρτημένων
ἄκη μὲν ἔστι, προσφορὰ δ᾽ οὐκ ἔστ᾽ ἔτι.
τί σιγᾷς;
φώνησον, ὦ πάτερ, τι· μή μ᾽ ἀποστραφῇς.
οὐδ᾽ ἀνταμείβει μ᾽ οὐδέν; ἀλλ᾽ ἀτιμάσας
πέμψεις ἄναυδος, οὐδ᾽ ἃ μηνίεις φράσας;
ὦ σπέρματ᾽ ἀνδρὸς τοῦδ᾽, ἐμαὶ δ᾽ ὁμαίμονες,
πειράσατ᾽ ἀλλ᾽ ὑμεῖς γε κινῆσαι πατρὸς
τὸ δυσπρόσοιστον κἀπροσήγορον στόμα,
ὡς μή μ᾽ ἄτιμον, τοῦ θεοῦ γε προστάτην,
οὕτως ἀφῇ με μηδὲν ἀντειπὼν ἔπος.

ΑΝΤΙΓΟΝΗ.

λέγ᾽, ὦ ταλαίπωρ᾽, αὐτὸς ὧν χρείᾳ πάρει.
τὰ πολλὰ γάρ τοι ῥήματ᾽ ἢ τέρψαντά τι,
ἢ δυσχεράναντ᾽, ἢ κατοικτίσαντά πως,
παρέσχε φωνὴν τοῖς ἀφωνήτοις τινά.

ΠΟΛΥΝΕΙΚΗΣ.

ἀλλ᾽ ἐξερῶ· καλῶς γὰρ ἐξηγεῖ σύ μοι·

πρωτον μὲν αὐτὸν τὸν θεὸν ποιούμενος
ἀρωγὸν, ἔνθεν μ' ὧδ' ἀνέστησεν μολεῖν
ὁ τῆσδε τῆς γῆς κοίρανος, διδοὺς ἐμοὶ
λέξαι τ' ἀκοῦσαί τ' ἀσφαλεῖ ξὺν ἐξόδῳ.
καὶ ταῦτ' ἀφ' ὑμῶν, ὦ ξένοι, βουλήσομαι
καὶ ταῖνδ' ἀδελφαῖν καὶ πατρὸς κυρεῖν ἐμοί.
ἃ δ' ἦλθον ἤδη σοι θέλω λέξαι, πάτερ.
γῆς ἐκ πατρῴας ἐξελήλαμαι φυγάς,
τοῖς σοῖς πανάρχοις οὕνεκ' ἐνθακεῖν θρόνοις
γονῇ πεφυκὼς ἠξίουν γεραιτέρᾳ.
ἀνθ' ὧν μ' Ἐτεοκλῆς, ὢν φύσει νεώτερος,
γῆς ἐξέωσεν, οὔτε νικήσας λόγῳ
οὔτ' εἰς ἔλεγχον χειρὸς οὐδ' ἔργου μολὼν,
πόλιν δὲ πείσας. ὧν ἐγὼ μάλιστα μὲν
τὴν σὴν Ἐρινὺν αἰτίαν εἶναι λέγω·
ἔπειτα κἀπὸ μάντεων ταύτῃ κλύων.
ἐπεὶ γὰρ ἦλθον Ἄργος ἐς τὸ Δωρικὸν,
λαβὼν Ἄδραστον πενθερὸν, ξυνωμότας
ἔστησ' ἐμαυτῷ γῆς ὅσοιπερ Ἀπίας
πρῶτοι καλοῦνται καὶ τετίμηνται δόρει,
ὅπως τὸν ἑπτάλογχον ἐς Θήβας στόλον
ξὺν τοῖσδ' ἀγείρας ἢ θάνοιμι πανδίκως,
ἢ τοὺς τάδ' ἐκπράξαντας ἐκβάλοιμι γῆς.
εἶεν. τί δῆτα νῦν ἀφιγμένος κυρῶ;
σοὶ προστροπαίους, ὦ πάτερ, λιτὰς ἔχων,
αὐτός τ' ἐμαυτοῦ ξυμμάχων τε τῶν ἐμῶν,
οἳ νῦν ξὺν ἑπτὰ τάξεσι ξὺν ἑπτά τε
λόγχαις τὸ Θήβης πεδίον ἀμφεστᾶσι πᾶν·
οἷος δορυσσοῦς Ἀμφιάρεως, τὰ πρῶτα μὲν
δόρει κρατύνων, πρῶτα δ' οἰωνῶν ὁδοῖς·
ὁ δεύτερος δ' Αἰτωλὸς Οἰνέως τόκος
Τυδεύς· τρίτος δ' Ἐτέοκλος, Ἀργεῖος γεγώς·
τέταρτον Ἱππομέδοντ' ἀπέστειλεν πατὴρ
Ταλαός· ὁ πέμπτος δ' εὔχεται κατασκαφῇ
Καπανεὺς τὸ Θήβης ἄστυ δῃώσειν πυρί·
ἕκτος δὲ Παρθενοπαῖος Ἀρκὰς ὄρνυται,
ἐπώνυμος τῆς πρόσθεν ἀδμήτης χρόνῳ
μητρὸς λοχευθεὶς, πιστὸς Ἀταλάντης γόνος·
ἐγὼ δὲ σὸς, κεἰ μὴ σὸς, ἀλλὰ τοῦ κακοῦ
πότμου φυτευθεὶς, σός γέ τοι καλούμενος,
ἄγω τὸν Ἄργους ἄφοβον ἐς Θήβας στρατόν.
οἵ σ' ἀντὶ παίδων τῶνδε καὶ ψυχῆς, πάτερ,
ἱκετεύομεν ξύμπαντες ἐξαιτούμενοι
μῆνιν βαρεῖαν εἰκαθεῖν ὁρμωμένῳ
τῷδ' ἀνδρὶ τοὐμοῦ πρὸς κασιγνήτου τίσιν,
ὅς μ' ἐξέωσε κἀπεσύλησεν πάτρας.
εἰ γάρ τι πιστόν ἐστιν ἐκ χρηστηρίων,
οἷς ἂν σὺ προσθῇ, τοῖσδ' ἔφασκ' εἶναι κράτος.
πρός νύν σε κρηνῶν, πρὸς θεῶν ὁμογνίων,
αἰτῶ πιθέσθαι καὶ παρεικαθεῖν, ἐπεὶ
πτωχοὶ μὲν ἡμεῖς καὶ ξένοι, ξένος δὲ σύ·
ἄλλους δὲ θωπεύοντες οἰκοῦμεν σύ τε
κἀγὼ, τὸν αὐτὸν δαίμον' ἐξειληχότες.
ὁ δ' ἐν δόμοις τύραννος, ὢ τάλας ἐγὼ,
κοινῇ καθ' ἡμῶν ἐγγελῶν ἁβρύνεται·
ὃν, εἰ σὺ τἠμῇ ξυμπαραστήσει φρενὶ,
βραχεῖ ξὺν ὄγκῳ καὶ χρόνῳ διασκεδῶ.
ὥστ' ἐν δόμοισι τοῖσι σοῖς στήσω σ' ἄγων,
στήσω δ' ἐμαυτὸν, κεῖνον ἐκβαλὼν βίᾳ.
καὶ ταῦτα μὲν σοῦ ξυνθέλοντος ἔστι μοι
κομπεῖν, ἄνευ σοῦ δ' οὐδὲ σωθῆναι σθένω.

ΧΟΡΟΣ.

τὸν ἄνδρα, τοῦ πέμψαντος οὕνεκ', Οἰδίπου,
εἰπὼν ὁποῖα ξύμφορ' ἔκπεμψαι πάλιν.

ΟΙΔΙΠΟΥΣ.

ἀλλ' εἰ μὲν, ἄνδρες, τῆσδε δημοῦχος χθονὸς
μὴ 'τύγχαν' αὐτὸν δεῦρο προσπέμψας ἐμοὶ
Θησεὺς, δικαιῶν ὥστ' ἐμοῦ κλύειν λόγους,
οὔτἂν ποτ' ὀμφῆς τῆς ἐμῆς ἐπήσθετο·
νῦν δ' ἀξιωθεὶς εἶσι κἀκούσας γ' ἐμοῦ
τοιαῦθ' ἃ τὸν τοῦδ' οὔ ποτ' εὐφρανεῖ βίον.
ὅς γ', ὦ κάκιστε, σκῆπτρα καὶ θρόνους ἔχων,
ἃ νῦν ὁ σὸς ξύναιμος ἐν Θήβαις ἔχει,
τὸν αὐτὸς αὑτοῦ πατέρα τόνδ' ἀπήλασας
κἄθηκας ἄπολιν καὶ στολὰς ταύτας φορεῖν,
ἃς νῦν δακρύεις εἰσορῶν, ὅτ' ἐν πόνῳ
ταὐτῷ βεβηκὼς τυγχάνεις κακῶν ἐμοί.
οὐ κλαυστὰ δ' ἐστὶν, ἀλλ' ἐμοὶ μὲν οἰστέα
τάδ', ὥσπερ ἂν ζῶ σοῦ φονέως μεμνημένος.
σὺ γάρ με μόχθῳ τῷδ' ἔθηκας ἔντροφον,
σύ μ' ἐξέωσας· ἐκ σέθεν δ' ἀλώμενος
ἄλλους ἐπαιτῶ τὸν καθ' ἡμέραν βίον.
εἰ δ' ἐξέφυσα τάσδε μὴ 'μαυτῷ τροφοὺς
τὰς παῖδας, ἦ τἂν οὐκ ἂν ἦ, τὸ σὸν μέρος·
νῦν δ' αἵδε μ' ἐκσώζουσιν, αἵδ' ἐμαὶ τροφοὶ,
αἵδ' ἄνδρες, οὐ γυναῖκες, εἰς τὸ συμπονεῖν·
ὑμεῖς δ' ἀπ' ἄλλου κοὐκ ἐμοῦ πεφύκατον.
τοιγάρ σ' ὁ δαίμων εἰσορᾷ μὲν οὔ τί πω
ὡς αὐτίκ', εἴπερ οἵδε κινοῦνται λόχοι
πρὸς ἄστυ Θήβης. οὐ γὰρ ἔσθ' ὅπως πόλιν
κείνην ἐρεῖ τις, ἀλλὰ πρόσθεν αἵματι
πεσεῖ μιανθεὶς χὠ ξύναιμος ἐξ ἴσου.
τοιάσδ' ἀρὰς σφῷν πρόσθε τ' ἐξανῆκ' ἐγὼ
νῦν τ' ἀνακαλοῦμαι ξυμμάχους ἐλθεῖν ἐμοὶ,
ἵν' ἀξιῶτον τοὺς φυτεύσαντας σέβειν,
καὶ μὴ 'ξατιμάζητον, εἰ τυφλοῦ πατρὸς
τοιώδ' ἐφύτην. αἵδε γὰρ τάδ' οὐκ ἔδρων.
τοιγὰρ τὸ σὸν θάκημα καὶ τοὺς σοὺς θρόνους
κρατοῦσιν, εἴπερ ἐστὶν ἡ παλαίφατος
Δίκη ξύνεδρος Ζηνὸς ἀρχαίοις νόμοις.
σὺ δ' ἔρρ' ἀπόπτυστός τε κἀπάτωρ ἐμοῦ,
κακῶν κάκιστε, τάσδε συλλαβὼν ἀρὰς,
ἅς σοι καλοῦμαι, μήτε γῆς ἐμφυλίου
δόρει κρατῆσαι μήτε νοστῆσαί ποτε
τὸ κοῖλον Ἄργος, ἀλλὰ συγγενεῖ χερὶ
θανεῖν κτανεῖν θ' ὑφ' οὗπερ ἐξελήλασαι.
τοιαῦτ' ἀρῶμαι, καὶ καλῶ τὸ Ταρτάρου
στυγνὸν πατρῷον ἔρεβος, ὥς σ' ἀποικίσῃ,
καλῶ δὲ τάσδε δαίμονας, καλῶ δ' Ἄρη
τὸν σφῷν τὸ δεινὸν μῖσος ἐμβεβληκότα.
καὶ ταῦτ' ἀκούσας στεῖχε, κἀξάγγελλ' ἰὼν
καὶ πᾶσι Καδμείοισι τοῖς σαυτοῦ θ' ἅμα
πιστοῖσι συμμάχοισιν, οὕνεκ' Οἰδίπους
τοιαῦτ' ἔνειμε παισὶ τοῖς αὑτοῦ γέρα.

ΧΟΡΟΣ.

Πολύνεικες, οὔτε ταῖς παρελθούσαις ὁδοῖς
ξυνήδομαί σοι, νῦν τ' ἴθ' ὡς τάχος πάλιν.

ΠΟΛΥΝΕΙΚΗΣ.

οἴμοι κελεύθου τῆς τ' ἐμῆς δυσπραξίας,
οἴμοι δ' ἑταίρων· οἷον ἄρ' ὁδοῦ τέλος

Ἄργους ἀφωρμήθημεν, ὢ τάλας ἐγὼ,
τοιοῦτον οἷον οὐδὲ φωνῆσαί τινι
ἔξεσθ' ἑταίρων, οὐδ' ἀποστρέψαι πάλιν,
ἀλλ' ὄντ' ἄναυδον τῇδε συγκῦρσαι τύχῃ.
ὦ τοῦδ' ὅμαιμοι παῖδες, ἀλλ' ὑμεῖς, ἐπεὶ
τὰ σκληρὰ πατρὸς κλύετε τοῦδ' ἀρωμένου,
μή τοί με πρὸς θεῶν σφώ γ', ἐὰν αἱ τοῦδ' ἀραὶ
πατρὸς τελῶνται, καί τις ὑμῖν ἐς δόμους
νόστος γένηται, μή μ' ἀτιμάσητέ γε,
ἀλλ' ἐν τάφοισι θέσθε καὶ κτερίσμασιν.
καὶ σφῷν ὁ νῦν ἔπαινος, ὃν κομίζετον
τοῦδ' ἀνδρὸς οἷς πονεῖτον, οὐκ ἐλάσσονα
ἔτ' ἄλλον οἴσει τῆς ἐμῆς ὑπουργίας.

*ΑΝΤΙΓΟΝΗ.*

Πολύνεικες, ἱκετεύω σε πεισθῆναί τί μοι.

*ΠΟΛΥΝΕΙΚΗΣ.*

ὦ φιλτάτη τὸ ποῖον Ἀντιγόνη; λέγε.

*ΑΝΤΙΓΟΝΗ.*

στρέψαι στράτευμ' ἐς Ἄργος ὡς τάχιστά γε,
καὶ μὴ σέ τ' αὐτὸν καὶ πόλιν διεργάσῃ.

*ΠΟΛΥΝΕΙΚΗΣ.*

ἀλλ' οὐχ οἷόν τε. πῶς γὰρ αὖθις αὖ πάλιν
στράτευμ' ἄγοιμι ταυτὸν εἰσάπαξ τρέσας;

*ΑΝΤΙΓΟΝΗ.*

τί δ' αὖθις, ὦ παῖ, δεῖ σε θυμοῦσθαι; τί σοι
πάτραν κατασκάψαντι κέρδος ἔρχεται;

*ΠΟΛΥΝΕΙΚΗΣ.*

αἰσχρὸν τὸ φεύγειν καὶ τὸ πρεσβεύοντ' ἐμὲ
οὕτω γελᾶσθαι τοῦ κασιγνήτου πάρα.

*ΑΝΤΙΓΟΝΗ.*

ὁρᾷς τὰ τοῦδ' οὖν ὡς ἐς ὀρθὸν ἐκφέρει
μαντεύμαθ', ὃς σφῷν θάνατον ἐξ ἀμφοῖν θροεῖ;

*ΠΟΛΥΝΕΙΚΗΣ.*

χρῄζει γάρ· ἡμῖν δ' οὐχὶ συγχωρητέα.

*ΑΝΤΙΓΟΝΗ.*

οἴμοι τάλαινα· τίς δὲ τολμήσει κλύων
τὰ τοῦδ' ἕπεσθαι τἀνδρὸς, οἷ' ἐθέσπισεν;

*ΠΟΛΥΝΕΙΚΗΣ.*

οὐδ' ἀγγελοῦμεν φλαῦρ'· ἐπεὶ στρατηλάτου
χρηστοῦ τὰ κρείσσω μηδὲ τἀνδεᾶ λέγειν.

*ΑΝΤΙΓΟΝΗ.*

οὕτως ἄρ', ὦ παῖ, ταῦτά σοι δεδογμένα;

*ΠΟΛΥΝΕΙΚΗΣ.*

καὶ μή μ' ἐπίσχῃς γ'· ἀλλ' ἐμοὶ μὲν ἥδ' ὁδὸς
ἔσται μέλουσα δύσποτμός τε καὶ κακὴ
πρὸς τοῦδε πατρὸς τῶν τε τοῦδ' Ἐρινύων.
σφῷν δ' εὐοδοίη Ζεὺς, τάδ' εἰ τελεῖτέ μοι
θανόντ', ἐπεὶ οὔ μοι ζῶντί γ' αὖθις ἕξετον.
μέθεσθε δ' ἤδη, χαίρετόν τ'. οὐ γάρ μ' ἔτι
βλέποντ' ἐσόψεσθ' αὖθις.

*ΑΝΤΙΓΟΝΗ.*

ὢ τάλαιν' ἐγώ.

*ΠΟΛΥΝΕΙΚΗΣ.*

μή τοί μ' ὀδύρου.

*ΑΝΤΙΓΟΝΗ.*

καὶ τίς ἂν σ' ὁρμώμενον
ἐς προὖπτον Ἅιδην οὐ κατασπένοι, κάσι;

*ΠΟΛΥΝΕΙΚΗΣ.*

εἰ χρὴ, θανοῦμαι.

*ΑΝΤΙΓΟΝΗ.*

μὴ σύ γ', ἀλλ' ἐμοὶ πιθοῦ

*ΠΟΛΥΝΕΙΚΗΣ.*

μὴ πεῖθ' ἃ μὴ δεῖ.

*ΑΝΤΙΓΟΝΗ.*

δυστάλαινά τἄρ' ἐγὼ,
εἴ σου στερηθῶ.

*ΠΟΛΥΝΕΙΚΗΣ.*

ταῦτα δ' ἐν τῷ δαίμονι
καὶ τῇδε φῦναι χἀτέρᾳ. σφῷν δ' οὖν ἐγὼ
θεοῖς ἀρῶμαι μή ποτ' ἀντῆσαι κακῶν.
ἀνάξιαι γὰρ πᾶσίν ἐστε δυστυχεῖν.

*ΧΟΡΟΣ.*

νέα τάδε νεόθεν ἦλθέ μοι
νέα βαρύποτμα κακὰ παρ' ἀλαοῦ ξένου,
εἴ τι μοῖρα μὴ κιγχάνει.
μάτην γὰρ οὐδὲν ἀξίωμα δαιμόνων ἔχω φράσαι.
ὁρᾷ ὁρᾷ ταῦτ' ἀεὶ χρόνος, ἐπεὶ μὲν ἕτερα,
τὰ δὲ παρ' ἦμαρ αὖθις αὔξων ἄνω.
ἔκτυ πεναῖθὴρ, ὦ Ζεῦ.

*ΟΙΔΙΠΟΥΣ.*

ὦ τέκνα τέκνα, πῶς ἂν, εἴ τις ἔντοπος,
τὸν πάντ' ἄριστον δεῦρο Θησέα πόροι;

*ΑΝΤΙΓΟΝΗ.*

πάτερ, τί δ' ἐστὶ τἀξίωμ' ἐφ' ᾧ καλεῖς;

*ΟΙΔΙΠΟΥΣ.*

Διὸς πτερωτὸς ἥδε μ' αὐτίκ' ἄξεται
βροντὴ πρὸς Ἅιδην. ἀλλὰ πέμψαθ' ὡς τάχος.

*ΧΟΡΟΣ.*

ἴδε μάλα μέγας ἐρείπεται
κτύπος ἄφατος ὅδε διόβολος· ἐς δ' ἄκραν
δεῖμ' ὑπῆλθε κρατὸς φόβαν.
ἔπτηξα θυμόν. οὐρανία γὰρ ἀστραπὴ φλέγει πάλιν.
τί μὰν ἀφήσει τέλος; δέδια δ'· οὐ γὰρ ἅλιον
ἀφορμᾷ ποτ' οὐκ ἄνευ ξυμφορᾶς.
ὦ μέγας αἰθὴρ, ὦ Ζεῦ.

*ΟΙΔΙΠΟΥΣ.*

ὦ παῖδες, ἥκει τῷδ' ἐπ' ἀνδρὶ θέσφατος
βίου τελευτὴ, κοὐκ ἔτ' ἔστ' ἀποστροφή.

*ΑΝΤΙΓΟΝΗ.*

πῶς οἶσθα; τῷ δὲ τοῦτο συμβαλὼν ἔχεις;

*ΟΙΔΙΠΟΥΣ.*

καλῶς κάτοιδ'. ἀλλ' ὡς τάχιστά μοι μολὼν
ἄνακτα χώρας τῆσδέ τις πορευσάτω.

*ΧΟΡΟΣ.*

ἔα ἔα, ἰδοὺ μάλ' αὖθις ἀμφίσταται
διαπρύσιος ὄτοβος.
ἵλαος, ὦ δαίμων, ἵλαος, εἴ τι γᾷ
ματέρι τυγχάνεις ἀφεγγὲς φέρων.
ἐναισίου δὲ συντύχοιμι, μηδ' ἄλαστον ἄνδρ' ἰδὼν,
ἀκερδῆ χάριν μετάσχοιμί πως.
Ζεῦ ἄνα, σοὶ φωνῶ.

*ΟΙΔΙΠΟΥΣ.*

ἆρ' ἐγγὺς ἁνήρ; ἆρ' ἔτ' ἐμψύχου, τέκνα,
κιχήσεταί μου καὶ κατορθοῦντος φρένα;

1447 — 1456. = 1462 — 1471.
1477 — 1485. = 1491 — 1499.

ΑΝΤΙΓΟΝΗ.
τί δ' ἂν θέλοις τὸ πιστὸν ἐμφῦναι φρενί;
ΟΙΔΙΠΟΥΣ.
ἀνθ' ὧν ἔπασχον εὖ, τελεσφόρον χάριν
δοῦναί σφιν, ἥνπερ τυγχάνων ὑπεσχόμην.
ΧΟΡΟΣ.
ἰὼ ἰὼ παῖ, * * * βᾶθι βᾶθ',
εἴτ' ἄκρον ἐπὶ γύαλον
ἐναλίῳ Ποσειδαονίῳ θεῷ
βούθυτον ἑστίαν ἁγίζων, ἱκοῦ.
ὁ γὰρ ξένος σε καὶ πόλισμα καὶ φίλους ἐπαξιοῖ
δικαίαν χάριν παρασχεῖν παθών.
σπεῦσον, ἄϊσσ', ὦναξ.
ΘΗΣΕΥΣ.
τίς αὖ παρ' ὑμῶν κοινὸς ἠχεῖται κτύπος,
σαφὴς μὲν αὐτῶν, ἐμφανὴς δὲ τοῦ ξένου;
μή τις Διὸς κεραυνὸς, ἤ τις ὀμβρία
χάλαζ' ἐπιρράξασα; πάντα γὰρ θεοῦ
τοιαῦτα χειμάζοντος εἰκάσαι πάρα.
ΟΙΔΙΠΟΥΣ.
ἄναξ, ποθοῦντι προὐφάνης, καί σοι θεῶν
τύχην τις ἐσθλὴν θῆκε τῆσδε τῆς ὁδοῦ.
ΘΗΣΕΥΣ.
τί δ' ἐστὶν, ὦ παῖ Λαΐου, νέορτον αὖ;
ΟΙΔΙΠΟΥΣ.
ῥοπὴ βίου μοι. καί σ' ἅπερ ξυνῄνεσα
θέλω πόλιν τε τήνδε μὴ ψεύσας θανεῖν.
ΘΗΣΕΥΣ.
ἐν τῷ δὲ κεῖσαι τοῦ μόρου τεκμηρίῳ;
ΟΙΔΙΠΟΥΣ.
αὐτοὶ θεοὶ κήρυκες ἀγγέλλουσί μοι,
ψεύδοντες οὐδὲν σημάτων προκειμένων.
ΘΗΣΕΥΣ.
πῶς εἶπας, ὦ γεραιὲ, δηλοῦσθαι τάδε;
ΟΙΔΙΠΟΥΣ.
αἱ πολλὰ βρονταὶ διατελεῖς, τὰ πολλά τε
στράψαντα χειρὸς τῆς ἀνικήτου βέλη.
ΘΗΣΕΥΣ.
πείθεις με· πολλὰ γάρ σε θεσπίζονθ' ὁρῶ
κοὐ ψευδόφημα. χὤ τι χρὴ ποιεῖν λέγε.
ΟΙΔΙΠΟΥΣ.
ἐγὼ διδάξω, τέκνον Αἰγέως, ἅ σοι
γήρως ἄλυπα τῇδε κείσεται πόλει.
χῶρον μὲν αὐτὸς αὐτίκ' ἐξηγήσομαι,
ἄθικτος ἡγητῆρος, οὗ με χρὴ θανεῖν.
τοῦτον δὲ φράζε μή ποτ' ἀνθρώπων τινὶ,
μήθ' οὗ κέκευθε μήτ' ἐν οἷς κεῖται τόποις·
ὥς σοι πρὸ πολλῶν ἀσπίδων ἀλκὴν ὅδε
δορός τ' ἐπακτοῦ γειτόνων ἀεὶ τιθῇ.
ἃ δ' ἐξάγιστα μηδὲ κινεῖται λόγῳ,
αὐτὸς μαθήσει, κεῖσ' ὅταν μόλῃς μόνος·
ὡς οὔτ' ἂν ἀστῶν τῶνδ' ἂν ἐξείποιμί τῳ
οὔτ' ἂν τέκνοισι τοῖς ἐμοῖς, στέργων ὅμως.
ἀλλ' αὐτὸς ἀεὶ σῷζε, χὤταν εἰς τέλος
τοῦ ζῆν ἀφικνῇ, τῷ προφερτάτῳ μόνῳ
σήμαιν'· ὁ δ' ἀεὶ τὠπιόντι δεικνύτω.
χοὕτως ἀδῆον τήνδ' ἐνοικήσεις πόλιν
σπαρτῶν ἀπ' ἀνδρῶν· αἱ δὲ μυρίαι πόλεις,
κἂν εὖ τις οἰκῇ, ῥᾳδίως καθύβρισαν.
θεοὶ γὰρ εὖ μὲν, ὀψὲ δ' εἰσορῶσ', ὅταν
τὰ θεῖ' ἀφείς τις εἰς τὸ μαίνεσθαι τραπῇ·
ὃ μὴ σὺ, τέκνον Αἰγέως, βούλου παθεῖν.
τὰ μὲν τοιαῦτ' οὖν εἰδότ' ἐκδιδάσκομεν.
χῶρον δ', ἐπείγει γάρ με τοὐκ θεοῦ παρὸν,
στείχωμεν ἤδη, μηδ' ἔτ' ἐντρεπώμεθα.
ὦ παῖδες, ὧδ' ἕπεσθ'. ἐγὼ γὰρ ἡγεμὼν
σφῷν αὖ πέφασμαι καινὸς, ὥσπερ σφὼ πατρί.
χωρεῖτε, καὶ μὴ ψαύετ', ἀλλ' ἐᾶτέ με
αὐτὸν τὸν ἱερὸν τύμβον ἐξευρεῖν, ἵνα
μοῖρ' ἀνδρὶ τῷδε τῇδε κρυφθῆναι χθονί.
τῇδ', ὧδε, τῇδε βᾶτε. τῇδε γάρ μ' ἄγει
Ἑρμῆς ὁ πομπὸς ἥ τε νερτέρα θεός.
ὦ φῶς ἀφεγγὲς, πρόσθε πού ποτ' ἦσθ' ἐμὸν,
νῦν δ' ἔσχατόν σου τοὐμὸν ἅπτεται δέμας.
ἤδη γὰρ ἕρπω τὸν τελευταῖον βίον
κρύψων παρ' Ἅιδην. ἀλλὰ, φίλτατε ξένων,
αὐτός τε χώρα θ' ἥδε πρόσπολοί τε σοὶ
εὐδαίμονες γένοισθε, κἀπ' εὐπραξίᾳ
μέμνησθέ μου θανόντος εὐτυχεῖς ἀεί.
ΧΟΡΟΣ.
εἰ θέμις ἐστί μοι τὰν ἀφανῆ θεὸν
καὶ σὲ λιταῖς σεβίζειν,
ἐννυχίων ἄναξ,
Αἰδωνεῦ Αἰδωνεῦ, λίσσομαι,
μήτ' ἐπιπόνῳ μήτ' ἐπὶ βαρυαχεῖ
ξένον ἐκτανύσαι
μόρῳ τὰν παγκευθῆ κάτω
νεκρῶν πλάκα καὶ Στύγιον δόμον.
πολλῶν γὰρ ἂν καὶ μάταν
πημάτων ἱκνουμένων,
πάλιν σε δαίμων δίκαιος αὔξοι.
ὦ χθόνιαι θεαὶ, σῶμά τ' ἀνικάτου
θηρὸς, ὃν ἐν πύλαισι
φασὶ πολυξέστοις
εὐνᾶσθαι κνυζᾶσθαί τ' ἐξ ἄντρων
ἀδάματον φύλακα παρ' Ἀΐδᾳ
λόγος αἰὲν ἔχει·
ὅν, ὦ Γᾶς παῖ καὶ Ταρτάρου,
κατεύχομαι ἐν καθαρῷ βῆναι
ὁρμωμένῳ νερτέρας
τῷ ξένῳ νεκρῶν πλάκας.
σέ τοι κικλήσκω τὸν αἰένυπνον.
ΑΓΓΕΛΟΣ.
ἄνδρες πολῖται, ξυντομωτάτως μὲν ἂν
τύχοιμι λέξας Οἰδίπουν ὀλωλότα·
ἃ δ' ἦν τὰ πραχθέντ' οὔθ' ὁ μῦθος ἐν βραχεῖ
φράσαι πάρεστιν οὔτε τἄργ' ὅσ' ἦν ἐκεῖ.
ΧΟΡΟΣ.
ὄλωλε γὰρ δύστηνος;
ΑΓΓΕΛΟΣ.
ὡς λελοιπότα
κεῖνον τὸν ἀεὶ βίοτον ἐξεπίστασο.
ΧΟΡΟΣ.
πῶς; ἆρα θείᾳ κἀπόνῳ τάλας τύχῃ;
ΑΓΓΕΛΟΣ.
τοῦτ' ἐστὶν ἤδη κἀποθαυμάσαι πρέπον.
ὡς μὲν γὰρ ἐνθένδ' εἷρπε, καὶ σύ που παρὼν
ἔξοισθ', ὑφηγητῆρος οὐδενὸς φίλων,

1556—1567. = 1568—1578.

ἀλλ' αὐτὸς ἡμῖν πᾶσιν ἐξηγούμενος·
ἐπεὶ δ' ἀφῖκτο τὸν καταῤῥάκτην ὀδὸν
χαλκοῖς βάθροισι γῆθεν ἐῤῥιζωμένον,
ἔστη κελεύθων ἐν πολυσχίστων μιᾷ,
κοίλου πέλας κρατῆρος, οὗ τὰ Θησέως
Περίθου τε κεῖται πίστ' ἀεὶ ξυνθήματα·
ἀφ' οὗ μέσος στὰς τοῦ τε Θορικίου πέτρου
κοίλης τ' ἀχέρδου κἀπὸ λαΐνου τάφου,
καθέζετ'· εἶτ' ἔλυσε δυσπινεῖς στολάς.
κἄπειτ' ἀΰσας παῖδας ἠνώγει ῥυτῶν
ὑδάτων ἐνεγκεῖν λουτρὰ καὶ χοάς ποθεν·
τὼ δ' εὐχλόου Δήμητρος εἰς ἐπόψιον
πάγον μολοῦσα τάσδ' ἐπιστολὰς πατρὶ
ταχεῖ πόρευσαν ξὺν χρόνῳ, λουτροῖς τέ νιν
ἐσθῆτί τ' ἐξήσκησαν ᾗ νομίζεται.
ἐπεὶ δὲ παντὸς εἶχε δρῶντος ἡδονὴν
κοὐκ ἦν ἔτ' ἀργὸν οὐδὲν ὧν ἐφίετο,
κτύπησε μὲν Ζεὺς χθόνιος, αἱ δὲ παρθένοι
ῥίγησαν, ὡς ἤκουσαν· ἐς δὲ γούνατα
πατρὸς πεσοῦσαι κλαῖον, οὐδ' ἀνίεσαν
στέρνων ἀραγμοὺς οὐδὲ παμμήκεις γόους.
ὁ δ' ὡς ἀκούει φθόγγον ἐξαίφνης πικρὸν,
πτύξας ἐπ' αὐταῖς χεῖρας εἶπεν, ὦ τέκνα,
οὐκ ἔστ' ἔθ' ὑμῖν τῇδ' ἐν ἡμέρᾳ πατήρ.
ὄλωλε γὰρ δὴ πάντα τἀμὰ, κοὐκ ἔτι
τὴν δυσπόνητον ἕξετ' ἀμφ' ἐμοὶ τροφήν·
σκληρὰν μὲν, οἶδα, παῖδες· ἀλλ' ἓν γὰρ μόνον
τὰ πάντα λύει ταῦτ' ἔπος μοχθήματα.
τὸ γὰρ φιλεῖν οὐκ ἔστιν ἐξ ὅτου πλέον
ἢ τοῦδε τἀνδρὸς ἔσχεθ', οὗ τητώμεναι
τὸ λοιπὸν ἤδη τὸν βίον διάξετον.
τοιαῦτ' ἐπ' ἀλλήλοισιν ἀμφικείμενοι
λύγδην ἔκλαιον πάντες. ὡς δὲ πρὸς τέλος
γόων ἀφίκοντ' οὐδ' ἔτ' ὠρώρει βοὴ,
ἦν μὲν σιωπή· φθέγμα δ' ἐξαίφνης τινὸς
θώϋξεν αὐτὸν, ὥστε πάντας ὀρθίας
στῆσαι φόβῳ δείσαντας ἐξαίφνης τρίχας.
καλεῖ γὰρ αὐτὸν πολλὰ πολλαχῇ θεός·
ὦ οὗτος οὗτος, Οἰδίπους, τί μέλλομεν
χωρεῖν; πάλαι δὴ τἀπὸ σοῦ βραδύνεται.
ὁ δ' ὡς ἐπήσθετ' ἐκ θεοῦ καλούμενος,
αὐδᾷ μολεῖν οἱ γῆς ἄνακτα Θησέα.
κἀπεὶ προσῆλθεν, εἶπεν, ὦ φίλον κάρα,
δός μοι χερὸς σῆς πίστιν ἀρχαίαν τέκνοις,
ὑμεῖς τε, παῖδες, τῷδε· καὶ καταίνεσον
μήποτε προδώσειν τάσδ' ἑκὼν, τελεῖν δ' ὅσ' ἂν
μέλλῃς φρονῶν εὖ ξυμφέροντ' αὐταῖς ἀεί.
ὁ δ', ὡς ἀνὴρ γενναῖος, οὐκ οἴκτου μέτα
κατῄνεσεν τάδ' ὅρκιος δράσειν ξένῳ.
ὅπως δὲ ταῦτ' ἔδρασεν, εὐθὺς Οἰδίπους
ψαύσας ἀμαυραῖς χερσὶν ὧν παίδων λέγει,
ὦ παῖδε, τλάσα χρὴ τὸ γενναῖον φρενὶ
χωρεῖν τόπων ἐκ τῶνδε, μηδ' ἃ μὴ θέμις
λεύσσειν δικαιοῦν, μηδὲ φωνούντων κλύειν.
ἀλλ' ἕρπεθ' ὡς τάχιστα· πλὴν ὁ κύριος
Θησεὺς παρέστω μανθάνων τὰ δρώμενα.
τοσαῦτα φωνήσαντος εἰσηκούσαμεν
ξύμπαντες· ἀστακτὶ δὲ σὺν ταῖς παρθένοις
στένοντες ὡμαρτοῦμεν. ὡς δ' ἀπήλθομεν,
χρόνῳ βραχεῖ στραφέντες, ἐξαπείδομεν
τὸν ἄνδρα, τὸν μὲν οὐδαμοῦ παρόντ' ἔτι,
ἄνακτα δ' αὐτὸν ὀμμάτων ἐπίσκιον
χεῖρ' ἀντέχοντα κρατὸς, ὡς δεινοῦ τινὸς
φόβου φανέντος οὐδ' ἀνασχετοῦ βλέπειν.
ἔπειτα μέντοι βαιὸν, οὐδὲ σὺν χρόνῳ,
ὁρῶμεν αὐτὸν γῆν τε προσκυνοῦνθ' ἅμα
καὶ τὸν θεῶν Ὄλυμπον ἐν ταὐτῷ λόγῳ.
μόρῳ δ' ὁποίῳ κεῖνος ὤλετ' οὐδ' ἂν εἷς
θνητῶν φράσειε, πλὴν τὸ Θησέως κάρα.
οὐ γάρ τις αὐτὸν οὔτε πυρφόρος θεοῦ
κεραυνὸς ἐξέπραξεν οὔτε ποντία
θύελλα κινηθεῖσα τῷ τότ' ἐν χρόνῳ,
ἀλλ' ἤ τις ἐκ θεῶν πομπὸς, ἢ τὸ νερτέρων
εὔνουν διαστὰν γῆς ἀλύπητον βάθρον.
ἀνὴρ γὰρ οὐ στενακτὸς οὐδὲ σὺν νόσοις
ἀλγεινὸς ἐξεπέμπετ', ἀλλ' εἴ τις βροτῶν
θαυμαστός. εἰ δὲ μὴ δοκῶ φρονῶν λέγειν,
οὐκ ἂν παρείμην οἷσι μὴ δοκῶ φρονεῖν.

ΧΟΡΟΣ.

ποῦ δ' αἵ τε παῖδες χοἰ προπέμψαντες φίλων;

ΑΓΓΕΛΟΣ.

αἵδ' οὐχ ἑκάς. γόων γὰρ οὐκ ἀσήμονες
φθόγγοι σφε σημαίνουσι δεῦρ' ὁρμωμένας.

ΑΝΤΙΓΟΝΗ.

αἰαῖ, ἔστιν ἔστι νῷν δὴ
οὐ τὸ μὲν, ἄλλο δὲ μὴ, πατρὸς ἔμφυτον
ἄλαστον αἷμα δυσμόροιν στενάζειν,
ᾧτινι τὸν πολὺν
ἄλλοτε μὲν πόνον ἔμπεδον εἴχομεν,
ἐν πυμάτῳ δ' ἀλόγιστα παροίσομεν
ἰδόντε καὶ παθούσα.

ΧΟΡΟΣ.

τί δ' ἔστιν;

ΑΝΤΙΓΟΝΗ.

ἔστιν μὲν εἰκάσαι, φίλοι.

ΧΟΡΟΣ.

βέβηκεν;

ΑΝΤΙΓΟΝΗ.

ὡς μάλιστ' ἂν εἰ πόθῳ λάβοις.
τί γὰρ, ὅτῳ μήτ' Ἄρης
μήτε πόντος ἀντέκυρσεν,
ἄσκοποι δὲ πλάκες ἔμαρψαν
ἐν ἀφανεῖ τινι μόρῳ φερόμενον.
τάλαινα· νῷν δ' ὀλεθρία
νὺξ ἐπ' ὄμμασιν βέβηκε.
πῶς γὰρ ἤ τιν' ἀπίαν γᾶν
ἢ πόντιον κλύδων' ἀλώμεναι βίου
δύσοιστον ἕξομεν τροφάν;

ΙΣΜΗΝΗ.

οὐ κάτοιδα. κατά με φόνιος
Ἀΐδας ἕλοι πατρὶ ξυνθανεῖν γεραιῷ
τάλαιναν· ὡς ἔμοιγ' ὁ μέλλων βίος οὐ βιωτός.

ΧΟΡΟΣ.

ὦ διδύμα τέκνων ἀρίστα,

1670—1687. == 1697—1714.
1688—1696. == 1715—1723

τὸ φέρον ἐκ θεοῦ καλῶς
μηδὲν ἄγαν φλέγεσθον· οὔ τοι κατάμεμπτ' ἔβητον.

ΑΝΤΙΓΟΝΗ.

πόθος καὶ κακῶν ἄρ' ἦν τις.
καὶ γὰρ ὃ μηδαμὰ δὴ τὸ φίλον, φίλον·
ὁπότε γε καὶ τὸν ἐν χεροῖν κατεῖχον.
ὦ πάτερ, ὦ φίλος,
ὦ τὸν ἀεὶ κατὰ γᾶς σκότον εἱμένος·
οὐδὲ γέρων ἀφίλητος ἐμοί ποτε
καὶ τᾷδε μὴ κυρήσῃς.

ΧΟΡΟΣ.

ἔπραξεν;

ΑΝΤΙΓΟΝΗ.

ἔπραξεν οἷον ἤθελεν.

ΧΟΡΟΣ.

τὸ ποῖον;

ΑΝΤΙΓΟΝΗ.

ἃς ἔχρῃζε γᾶς ἐπὶ ξένας
ἔθανε· κοίταν δ' ἔχει
νέρθεν εὐσκίαστον αἰέν,
οὐδὲ πένθος ἔλιπ' ἄκλαυτον.
ἀεὶ γὰρ ὄμμα σε τόδ', ὦ πάτερ, ἐμὸν
στένει δακρῦον, οὐδ' ἔχω
πῶς με χρὴ τὸ σὸν τάλαιναν
ἀφανίσαι τοσόνδ' ἄχος. ἰὼ
μὴ γᾶς ἐπὶ ξένας θανεῖν ἔχρῃζες, ἀλλ'
ἔρημος ἔθανες ὧδέ μοι.

ΙΣΜΗΝΗ.

ὦ τάλαινα, τίς ἄρα με πότμος
αὖθις ὧδ' ἔρημος ἄπορος
ἐπαμμένει σέ τ', ὦ φίλα, τὰ πατρὸς ὧδ' ἐρήμα;

ΧΟΡΟΣ.

ἀλλ' ἐπεὶ ὀλβίως γ' ἔλυσεν
τὸ τέλος, ὦ φίλαι, βίου,
λήγετε τοῦδ' ἄχους· κακῶν γὰρ δυσάλωτος οὐδείς.

ΑΝΤΙΓΟΝΗ.

πάλιν, φίλα, συθῶμεν.

ΙΣΜΗΝΗ.

ὡς τί ῥέξομεν;

ΑΝΤΙΓΟΝΗ.

ἵμερος ἔχει με

ΙΣΜΗΝΗ.

τίς;

ΑΝΤΙΓΟΝΗ.

τὰν χθόνιον ἑστίαν ἰδεῖν

ΙΣΜΗΝΗ.

τίνος;

ΑΝΤΙΓΟΝΗ.

πατρός, τάλαιν' ἐγώ.

1724—1736. = 1737—1750.

ΙΣΜΗΝΗ.

θέμις δὲ πῶς τάδ' ἐστί; μῶν
οὐχ ὁρᾷς;

ΑΝΤΙΓΟΝΗ.

τί τόδ' ἐπέπληξας;

ΙΣΜΗΝΗ.

καὶ τόδ', ὡς

ΑΝΤΙΓΟΝΗ.

τί τόδε μάλ' αὖθις;

ΙΣΜΗΝΗ.

ἄταφος ἔπιτνε δίχα τε παντός.

ΑΝΤΙΓΟΝΗ.

ἄγε με, καὶ τότ' ἐπενάριξον.

ΙΣΜΗΝΗ.

αἰαῖ, δυστάλαινα, ποῖ δῆτ'
αὖθις ὧδ' ἔρημος ἄπορος
αἰῶνα τλάμον' ἕξω;

ΧΟΡΟΣ.

φίλαι, τρέσητε μηδέν.

ΑΝΤΙΓΟΝΗ.

ἀλλὰ ποῖ φύγω;

ΧΟΡΟΣ.

καὶ πάρος ἀπέφυγε

ΑΝΤΙΓΟΝΗ.

τί;

ΧΟΡΟΣ.

τὰ σφῷν τὸ μὴ πίτνειν κακῶς.

ΑΝΤΙΓΟΝΗ.

φρονῶ.

ΧΟΡΟΣ.

τί δῆθ' ὑπερνοεῖς;

ΑΝΤΙΓΟΝΗ.

ὅπως μολούμεθ' ἐς δόμους
οὐκ ἔχω.

ΧΟΡΟΣ.

μηδέ γε μάτευε.

ΑΝΤΙΓΟΝΗ.

μόγος ἔχει.

ΧΟΡΟΣ.

καὶ πάρος ἐπεί.

ΑΝΤΙΓΟΝΗ.

τοτὲ μὲν πέρα, τοτὲ δ' ὕπερθεν.

ΧΟΡΟΣ.

μέγ' ἄρα πέλαγος ἐλάχετόν τι.

ΑΝΤΙΓΟΝΗ.

αἰαῖ, ποῖ μόλωμεν, ὦ Ζεῦ;
ἐλπίδων γὰρ ἐς τί με
δαίμων τανῦν γ' ἐλαύνει;

ΘΗΣΕΥΣ.

παύετε θρήνων, παῖδες. ἐν οἷς γὰρ

χάρις ἡ χθονία ξὺν' ἀπόκειται
πενθεῖν οὐ χρή· νέμεσις γάρ.

ΑΝΤΙΓΟΝΗ.

ὦ τέκνον Αἰγέως, προσπίτνομέν σοι.

ΘΗΣΕΥΣ.

τίνος, ὦ παῖδες, χρείας ἀνύσαι;

ΑΝΤΙΓΟΝΗ.

τύμβον θέλομεν
προσιδεῖν αὐταὶ πατρὸς ἡμετέρου.

ΘΗΣΕΥΣ.

ἀλλ' οὐ θεμιτὸν κεῖσ' ἐστὶ μολεῖν.

ΑΝΤΙΓΟΝΗ.

πῶς εἶπας, ἄναξ, κοίραν' Ἀθηνῶν;

ΘΗΣΕΥΣ.

ὦ παῖδες, ἀπεῖπεν ἐμοὶ κεῖνος
μήτε πελάζειν ἐς τούσδε τόπους
μήτ' ἐπιφωνεῖν μηδένα θνητῶν
θήκην ἱερὰν, ἣν κεῖνος ἔχει.
καὶ ταῦτά μ' ἔφη πράσσοντα καλῶς
χώραν ἕξειν αἰὲν ἄλυπον.
ταῦτ' οὖν ἔκλυεν δαίμων ἡμῶν
χὠ πάντ' ἀΐων Διὸς Ὅρκος.

ΑΝΤΙΓΟΝΗ.

ἀλλ' εἰ τάδ' ἔχει κατὰ νοῦν κείνῳ,
ταῦτ' ἂν ἀπαρκοῖ· Θήβας δ' ἡμᾶς
τὰς ὠγυγίους πέμψον, ἐάν πως
διακωλύσωμεν ἰόντα φόνον
τοῖσιν ὁμαίμοις.

ΘΗΣΕΥΣ.

δράσω καὶ τάδε καὶ πάνθ' ὁπόσ' ἂν
μέλλω πράσσειν πρόσφορά θ' ὑμῖν
καὶ τῷ κατὰ γῆς, ὃς νέον ἔρρει,
πρὸς χάριν, οὐ δεῖ μ' ἀποκάμνειν.

ΧΟΡΟΣ.

ἀλλ' ἀποπαύετε μηδ' ἐπὶ πλείω
θρῆνον ἐγείρετε.
πάντως γὰρ ἔχει τάδε κῦρος.

# ΣΟΦΟΚΛΕΟΥΣ ΑΝΤΙΓΟΝΗ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΑΝΤΙΓΟΝΗ.*
*ΙΣΜΗΝΗ.*
*ΧΟΡΟΣ ΘΗΒΑΙΩΝ ΓΕΡΟΝΤΩΝ.*
*ΚΡΕΩΝ.*
*ΦΥΛΑΞ.*
*ΑΙΜΩΝ.*
*ΤΕΙΡΕΣΙΑΣ.*
*ΑΓΓΕΛΟΣ.*
*ΕΥΡΥΔΙΚΗ.*
*ΕΞΑΓΓΕΛΟΣ.*

## ΥΠΟΘΕΣΙΣ.

Ἀποθανόντα Πολυνείκην ἐν τῇ πρὸς τὸν ἀδελφὸν μονομαχίᾳ Κρέων ἄταφον ἐκβαλὼν κηρύττει μὴ αὐτὸν θάπτειν, θάνατον τὴν ζημίαν ἀπειλήσας. τοῦτον Ἀντιγόνη ἡ ἀδελφὴ θάπτειν πειρᾶται. καὶ λαθοῦσα τοὺς φύλακας ἐπιβάλλει χῶμα· οἷς ἐπαπειλεῖ θάνατον ὁ Κρέων, εἰ μὴ τὸν τοῦτο δράσα ἐξεύροιεν. οὗτοι τὴν κόνιν τὴν ἐπιβεβλημένην καθάραντες οὐδὲν ἧττον ἐφρούρουν. ἐπελθοῦσα δὲ ἡ Ἀ γόνη καὶ γυμνὸν εὑροῦσα τὸν νεκρὸν ἀνοιμώξασα ἑαυτὴν εἰσαγγέλλει. ταύτην ἀπὸ τῶν φυλάκων παρ δομένην Κρέων καταδικάζει καὶ ζῶσαν εἰς τύμβον καθεῖρξεν. ἐπὶ τούτοις Αἵμων, ὁ Κρέοντος υἱὸς, ἐμνᾶτο αὐτὴν, ἀγανακτήσας ἑαυτὸν ἐπισφάζει τῇ κόρῃ ἀπολομένῃ ἀγχόνῃ, Τειρεσίου ταῦτα προθε σαντος· ἐφ' ᾧ λυπηθεῖσα Εὐρυδίκη, ἡ τοῦ Κρέοντος γαμετὴ, ἑαυτὴν κατασφάζει. καὶ τέλος θρ Κρέων τὸν τοῦ παιδὸς καὶ τῆς γαμετῆς θάνατον.

## ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἀντιγόνη παρὰ τὴν πρόσταξιν τῆς πόλεως θάψασα τὸν Πολυνείκην ἐφωράθη, καὶ εἰς μνημεῖον κατά ἐντεθεῖσα παρὰ τοῦ Κρέοντος ἀνῄρηται· ἐφ' ᾗ καὶ Αἵμων δυσπαθήσας διὰ τὸν εἰς αὐτὴν ἔρωτα ἑαυτὸν διεχρήσατο. ἐπὶ δὲ τῷ τούτου θανάτῳ καὶ ἡ μήτηρ Εὐρυδίκη ἑαυτὴν ἀνεῖλε.

Τὸ μὲν δρᾶμα τῶν καλλίστων Σοφοκλέους. στασιάζεται δὲ τὰ περὶ τὴν ἡρωΐδα ἱστορούμενα τὴν ἀδελφὴν αὐτῆς Ἰσμήνην, ἃς ὁ μὲν Ἴων ἐν τοῖς διθυράμβοις καταπρησθῆναί φησιν ἀμφοτέρας ἐ ἱερῷ τῆς Ἥρας ὑπὸ Λαοδάμαντος τοῦ Ἐτεοκλέους· Μίμνερμος δέ φησι τὴν μὲν Ἰσμήνην προσομιλο Θεοκλυμένῳ ὑπὸ Τυδέως κατὰ Ἀθηνᾶς ἐγκέλευσιν τελευτῆσαι. τὸ δὲ δρᾶμα τὴν ἐπιγραφὴν ἔσχεν ἀπ παρεχούσης τὴν ὑπόθεσιν Ἀντιγόνης.

Κεῖται δὲ ἡ μυθοποιία καὶ παρ' Εὐριπίδῃ ἐν Ἀντιγόνῃ· πλὴν ἐκεῖ φωραθεῖσα μετὰ τοῦ Αἵ δίδοται πρὸς γάμου κοινωνίαν καὶ τίκτει τὸν Μαίμονα.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Θήβαις ταῖς Βοιωτικαῖς. ὁ δὲ χορὸς συνέστηκε ἐπιχωρίων γερόντων· προλογίζει δὲ ἡ Ἀντιγόνη· ὑπόκειται δὲ τὰ πράγματα ἐπὶ τῶν Κρέοντος βασι τὸ δὲ κεφάλαιόν ἐστι, τάφος Πολυνείκους, Ἀντιγόνης ἀναίρεσις, θάνατος Αἵμονος, καὶ μόρος Εὐρυ τῆς Αἵμονος μητρός. φασὶ δὲ τὸν Σοφοκλέα ἠξιῶσθαι τῆς ἐν Σάμῳ στρατηγίας, εὐδοκιμήσαντα ἐ διδασκαλίᾳ τῆς Ἀντιγόνης. λέλεκται δὲ τὸ δρᾶμα τοῦτο τριακοστὸν δεύτερον.

# ΑΝΤΙΓΟΝΗ.

ΑΝΤΙΓΟΝΗ.

Ὦ κοινὸν αὐτάδελφον Ἰσμήνης κάρα,
ἆρ' οἶσθ' ὅ τι Ζεὺς τῶν ἀπ' Οἰδίπου κακῶν
ὁποῖον οὐχὶ νῷν ἔτι ζώσαιν τελεῖ;
οὐδὲν γὰρ οὔτ' ἀλγεινὸν οὔτ' ἄτης ἄτερ
οὔτ' αἰσχρὸν οὔτ' ἄτιμόν ἐσθ', ὁποῖον οὐ
τῶν σῶν τε κἀμῶν οὐκ ὄπωπ' ἐγὼ κακῶν.
καὶ νῦν τί τοῦτ' αὖ φασι πανδήμῳ πόλει
κήρυγμα θεῖναι τὸν στρατηγὸν ἀρτίως;
ἔχεις τι κεἰσήκουσας; ἤ σε λανθάνει
πρὸς τοὺς φίλους στείχοντα τῶν ἐχθρῶν κακά;

ΙΣΜΗΝΗ.

ἐμοὶ μὲν οὐδεὶς μῦθος, Ἀντιγόνη, φίλων
οὔθ' ἡδὺς οὔτ' ἀλγεινὸς ἵκετ' ἐξ ὅτου
δυοῖν ἀδελφοῖν ἐστερήθημεν δύο,
μιᾷ θανόντων ἡμέρᾳ διπλῇ χερί·
ἐπεὶ δὲ φροῦδός ἐστιν Ἀργείων στρατὸς
ἐν νυκτὶ τῇ νῦν, οὐδὲν οἶδ' ὑπέρτερον,
οὔτ' εὐτυχοῦσα μᾶλλον οὔτ' ἀτωμένη.

ΑΝΤΙΓΟΝΗ.

ᾔδη καλῶς, καί σ' ἐκτὸς αὐλείων πυλῶν
τοῦδ' οὕνεκ' ἐξέπεμπον, ὡς μόνη κλύοις.

ΙΣΜΗΝΗ.

τί δ' ἔστι; δηλοῖς γάρ τι καλχαίνουσ' ἔπος.

ΑΝΤΙΓΟΝΗ.

οὐ γὰρ τάφου νῷν τὼ κασιγνήτω Κρέων
τὸν μὲν προτίσας, τὸν δ' ἀτιμάσας ἔχει;
Ἐτεοκλέα μὲν, ὡς λέγουσι, σὺν δίκῃ
χρησθεὶς δικαίᾳ καὶ νόμῳ κατὰ χθονὸς
ἔκρυψε, τοῖς ἔνερθεν ἔντιμον νεκροῖς,
τὸν δ' ἀθλίως θανόντα Πολυνείκους νέκυν
ἀστοῖσί φασιν ἐκκεκηρῦχθαι τὸ μὴ
τάφῳ καλύψαι μηδὲ κωκῦσαί τινα,
ἐᾶν δ' ἄκλαυτον, ἄταφον, οἰωνοῖς γλυκὺν
θησαυρὸν εἰσορῶσι πρὸς χάριν βορᾶς.
τοιαῦτά φασι τὸν ἀγαθὸν Κρέοντα σοὶ
κἀμοὶ, λέγω γὰρ κἀμὲ, κηρύξαντ' ἔχειν,
καὶ δεῦρο νεῖσθαι ταῦτα τοῖσι μὴ εἰδόσιν
σαφῆ προκηρύξοντα, καὶ τὸ πρᾶγμ' ἄγειν
οὐχ ὡς παρ' οὐδὲν, ἀλλ' ὃς ἂν τούτων τι δρᾷ,
φόνον προκεῖσθαι δημόλευστον ἐν πόλει.
οὕτως ἔχει σοι ταῦτα, καὶ δείξεις τάχα
εἴτ' εὐγενὴς πέφυκας εἴτ' ἐσθλῶν κακή.

ΙΣΜΗΝΗ.

τί δ', ὦ ταλαῖφρον, εἰ τάδ' ἐν τούτοις, ἐγὼ
λύουσ' ἂν ἢ 'φάπτουσα προσθείμην πλέον;

ΑΝΤΙΓΟΝΗ.

εἰ ξυμπονήσεις καὶ ξυνεργάσει σκόπει.

ΙΣΜΗΝΗ.

ποῖόν τι κινδύνευμα; ποῦ γνώμης ποτ' εἶ;

ΑΝΤΙΓΟΝΗ.

εἰ τὸν νεκρὸν ξὺν τῇδε κουφιεῖς χερί.

ΙΣΜΗΝΗ.

ἦ γὰρ νοεῖς θάπτειν σφ', ἀπόρρητον πόλει;

ΑΝΤΙΓΟΝΗ.

τὸν γοῦν ἐμον καὶ τὸν σὸν, ἢν σὺ μὴ θέλῃς,
ἀδελφόν. οὐ γὰρ δὴ προδοῦσ' ἁλώσομαι.

ΙΣΜΗΝΗ.

ὦ σχετλία, Κρέοντος ἀντειρηκότος;

ΑΝΤΙΓΟΝΗ.

ἀλλ' οὐδὲν αὐτῷ τῶν ἐμῶν μ' εἴργειν μέτα.

ΙΣΜΗΝΗ.

οἴμοι· φρόνησον, ὦ κασιγνήτη, πατὴρ
ὡς νῷν ἀπεχθὴς δυσκλεής τ' ἀπώλετο
πρὸς αὐτοφώρων ἀμπλακημάτων, διπλᾶς
ὄψεις ἀράξας αὐτὸς αὐτουργῷ χερί·
ἔπειτα μήτηρ καὶ γυνὴ, διπλοῦν ἔπος,
πλεκταῖσιν ἀρτάναισι λωβᾶται βίον·
τρίτον δ' ἀδελφὼ δύο μίαν καθ' ἡμέραν
αὐτοκτονοῦντε τὼ ταλαιπώρω μόρον
κοινὸν κατειργάσαντ' ἐπ' ἀλλήλοιν χεροῖν.
νῦν δ' αὖ μόνα δὴ νὼ λελειμμένα σκόπει
ὅσῳ κάκιστ' ὀλούμεθ', εἰ νόμου βίᾳ
ψῆφον τυράννων ἢ κράτη παρέξιμεν.
ἀλλ' ἐννοεῖν χρὴ τοῦτο μὲν γυναῖχ' ὅτι
ἔφυμεν, ὡς πρὸς ἄνδρας οὐ μαχουμένα·
ἔπειτα δ' οὕνεκ' ἀρχόμεσθ' ἐκ κρεισσόνων,
καὶ ταῦτ' ἀκούειν κἄτι τῶνδ' ἀλγίονα.
ἐγὼ μὲν οὖν αἰτοῦσα τοὺς ὑπὸ χθονὸς
ξύγγνοιαν ἴσχειν, ὡς βιάζομαι τάδε,
τοῖς ἐν τέλει βεβῶσι πείσομαι. τὸ γὰρ
περισσὰ πράσσειν οὐκ ἔχει νοῦν οὐδένα.

ΑΝΤΙΓΟΝΗ.

οὔτ' ἂν κελεύσαιμ' οὔτ' ἂν, εἰ θέλοις ἔτι
πράσσειν, ἐμοῦ γ' ἂν ἡδέως δρῴης μέτα.
ἀλλ' ἴσθ' ὁποία σοι δοκεῖ, κεῖνον δ' ἐγὼ
θάψω. καλόν μοι τοῦτο ποιούσῃ θανεῖν.
φίλη μετ' αὐτοῦ κείσομαι, φίλου μέτα,
ὅσια πανουργήσασ'· ἐπεὶ πλείων χρόνος
ὃν δεῖ μ' ἀρέσκειν τοῖς κάτω τῶν ἐνθάδε.
ἐκεῖ γὰρ ἀεὶ κείσομαι· σοὶ δ', εἰ δοκεῖ,
τὰ τῶν θεῶν ἔντιμ' ἀτιμάσασ' ἔχε.

ΙΣΜΗΝΗ.

ἐγὼ μὲν οὐκ ἄτιμα ποιοῦμαι, τὸ δὲ
βίᾳ πολιτῶν δρᾶν ἔφυν ἀμήχανος.

ΑΝΤΙΓΟΝΗ.

σὺ μὲν τάδ' ἂν προὔχοι'· ἐγὼ δὲ δὴ τάφον
χώσουσ' ἀδελφῷ φιλτάτῳ πορεύσομαι.

ΙΣΜΗΝΗ.

οἴμοι ταλαίνης, ὡς ὑπερδέδοικά σου.

ΑΝΤΙΓΟΝΗ.

μή μου προτάρβει· τὸν σὸν ἐξόρθου πότμον.

ΙΣΜΗΝΗ.
ἀλλ' οὖν προμηνύσῃς γε τοῦτο μηδενὶ
τοὔργον, κρυφῇ δὲ κεῦθε, σὺν δ' αὔτως ἐγώ.
ΑΝΤΙΓΟΝΗ.
οἴμοι· καταύδα. πολλὸν ἐχθίων ἔσει
σιγῶσ', ἐὰν μὴ πᾶσι κηρύξῃς τάδε.
ΙΣΜΗΝΗ.
θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχεις.
ΑΝΤΙΓΟΝΗ.
ἀλλ' οἶδ' ἀρέσκουσ' οἷς μάλισθ' ἁδεῖν με χρή.
ΙΣΜΗΝΗ.
εἰ καὶ δυνήσει γ'· ἀλλ' ἀμηχάνων ἐρᾷς.
ΑΝΤΙΓΟΝΗ.
οὐκοῦν, ὅταν δὴ μὴ σθένω, πεπαύσομαι.
ΙΣΜΗΝΗ.
ἀρχὴν δὲ θηρᾶν οὐ πρέπει τἀμήχανα.
ΑΝΤΙΓΟΝΗ.
εἰ ταῦτα λέξεις, ἐχθαρεῖ μὲν ἐξ ἐμοῦ,
ἐχθρὰ δὲ τῷ θανόντι προσκείσει δίκῃ.
ἀλλ' ἔα με καὶ τὴν ἐξ ἐμοῦ δυσβουλίαν
παθεῖν τὸ δεινὸν τοῦτο. πείσομαι γὰρ οὐ
τοσοῦτον οὐδὲν ὥστε μὴ οὐ καλῶς θανεῖν.
ΙΣΜΗΝΗ.
ἀλλ' εἰ δοκεῖ σοι, στεῖχε· τοῦτο δ' ἴσθ', ὅτι
ἄνους μὲν ἔρχει, τοῖς φίλοις δ' ὀρθῶς φίλη.
ΧΟΡΟΣ.
ἀκτὶς ἀελίου, τὸ κάλ-
λιστον ἑπταπύλῳ φανὲν
Θήβᾳ τῶν προτέρων φάος,
ἐφάνθης ποτ', ὦ χρυσέας
ἁμέρας βλέφαρον,
Διρκαίων ὑπὲρ ῥεέθρων μολοῦσα,
τὸν λεύκασπιν Ἀργόθεν
φῶτα βάντα πανσαγίᾳ,
φυγάδα πρόδρομον ὀξυτέρῳ
κινήσασα χαλινῷ,
ὃν ἐφ' ἁμετέρᾳ γῇ Πολυνείκης
ἀρθεὶς νεικέων ἐξ ἀμφιλόγων
* * * * ὀξέα κλάζων
αἰετὸς ἐς γᾶν ὑπερέπτα,
λευκῆς χιόνος πτέρυγι στεγανος
πολλῶν μεθ' ὅπλων
ξύν θ' ἱπποκόμοις κορύθεσσι.
στὰς δ' ὑπὲρ μελάθρων φονώ-
σαισιν ἀμφιχανὼν κύκλῳ
λόγχαις ἑπτάπυλον στόμα
ἔβα, πρίν ποθ' ἁμετέρων
αἱμάτων γένυσιν
πλησθῆναί τε καὶ στεφάνωμα πύργων
πευκάενθ' Ἥφαιστον ἑλεῖν.
τοῖος ἀμφὶ νῶτ' ἐτάθη
πάταγος Ἄρεος ἀντιπάλῳ
δυσχείρωμα δράκοντι.
Ζεὺς γὰρ μεγάλης γλώσσης κόμπους
ὑπερεχθαίρει, καί σφας ἐσιδὼν
πολλῷ ῥεύματι προσνισσομένους
χρυσοῦ καναχῆς ὑπερόπτας,
παλτῷ ῥιπτεῖ πυρὶ βαλβίδων
ἐπ' ἄκρων ἤδη

100—116. == 117—133.

νίκην ὁρμῶντ' ἀλαλάξαι·
ἀντίτυπα δ' ἐπὶ γᾷ πέσε τανταλωθεὶς
πυρφόρος ὃς τότε μαινομένᾳ ξὺν ὁρμᾷ
βακχεύων ἐπέπνει
ῥιπαῖς ἐχθίστων ἀνέμων.
εἶχε δ' ἄλλᾳ τὰ μέν,
ἄλλα δ' ἐπ' ἄλλοις ἐπενώμα στυφελίζων μέγ[as]
Ἄρης
δεξιόσειρος.
ἑπτὰ λοχαγοὶ γὰρ ἐφ' ἑπτὰ πύλαις
ταχθέντες ἴσοι πρὸς ἴσους ἔλιπον
Ζηνὶ τροπαίῳ πάγχαλκα τέλη,
πλὴν τοῖν στυγεροῖν, ὣ πατρὸς ἑνὸς
μητρός τε μιᾶς φύντε καθ' αὑτοῖν
δικρατεῖς λόγχας στήσαντ' ἔχετον
κοινοῦ θανάτου μέρος ἄμφω.
ἀλλὰ γὰρ ἁ μεγαλώνυμος ἦλθε Νίκα
τᾷ πολυαρμάτῳ ἀντιχαρεῖσα Θήβᾳ,
ἐκ μὲν δὴ πολέμων
τῶν νῦν θέσθε λησμοσύναν,
θεῶν δὲ ναοὺς χοροῖς
παννυχίοις πάντας ἐπέλθωμεν, ὁ Θήβας δ' ἐ[λε-]
λίχθων
Βάκχιος ἄρχοι.
ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς χώρας,
Κρέων ὁ Μενοικέως, νεοχμοῖσι θεῶν
ἐπὶ συντυχίαις χωρεῖ τινὰ δὴ
μῆτιν ἐρέσσων, ὅτι σύγκλητον
τήνδε γερόντων προὔθετο λέσχην,
κοινῷ κηρύγματι πέμψας.
ΚΡΕΩΝ.
ἄνδρες, τὰ μὲν δὴ πόλεος ἀσφαλῶς θεοὶ
πολλῷ σάλῳ σείσαντες ὤρθωσαν πάλιν·
ὑμᾶς δ' ἐγὼ πομποῖσιν ἐκ πάντων δίχα
ἔστειλ' ἱκέσθαι, τοῦτο μὲν τὰ Λαΐου
σέβοντας εἰδὼς εὖ θρόνων ἀεὶ κράτη,
τοῦτ' αὖθις, ἡνίκ' Οἰδίπους ὤρθου πόλιν,
κἀπεὶ διώλετ', ἀμφὶ τοὺς κείνων ἔτι
παῖδας μένοντας ἐμπέδοις φρονήμασιν.
ὅτ' οὖν ἐκεῖνοι πρὸς διπλῆς μοίρας μίαν
καθ' ἡμέραν ὤλοντο παίσαντές τε καὶ
πληγέντες αὐτόχειρι σὺν μιάσματι,
ἐγὼ κράτη δὴ πάντα καὶ θρόνους ἔχω
γένους κατ' ἀγχιστεῖα τῶν ὀλωλότων.
ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.
ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν
μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλείσας ἔχει,
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ·
καὶ μείζον' ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
ἐγὼ γάρ, ἴστω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεί,
οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας,
οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς
θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων ὅτι
ἥδ' ἐστὶν ἡ σώζουσα καὶ ταύτης ἔπι

134—140. == 148—154.

πλέοντες ὀρθῆς τοὺς φίλους ποιούμεθα.
τοιοῖσδ' ἐγὼ νόμοισι τήνδ' αὔξω πόλιν,
καὶ νῦν ἀδελφὰ τῶνδε κηρύξας ἔχω
ἀστοῖσι παίδων τῶν ἀπ' Οἰδίπου πέρι·
Ἐτεοκλέα μὲν, ὃς πόλεως ὑπερμαχῶν
ὄλωλε τῆσδε, πάντ' ἀριστεύσας δόρει,
τάφῳ τε κρύψαι καὶ τὰ πάντ' ἐφαγνίσαι
ἃ τοῖς ἀρίστοις ἔρχεται κάτω νεκροῖς,
τὸν δ' αὖ ξύναιμον τοῦδε, Πολυνείκη λέγω,
ὃς γῆν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς
φυγὰς κατελθὼν ἠθέλησε μὲν πυρὶ
πρῆσαι κατάκρας, ἠθέλησε δ' αἵματος
κοινοῦ πάσασθαι, τοὺς δὲ δουλώσας ἄγειν,
τοῦτον πόλει τῇδ' ἐκκεκήρυκται τάφῳ
μήτε κτερίζειν μήτε κωκῦσαί τινα,
ἐᾶν δ' ἄθαπτον καὶ πρὸς οἰωνῶν δέμας
καὶ πρὸς κυνῶν ἐδεστὸν αἰκισθέντ' ἰδεῖν.
τοιόνδ' ἐμὸν φρόνημα. κοὔποτ' ἔκ γ' ἐμοῦ
τιμὴν προέξουσ' οἱ κακοὶ τῶν ἐνδίκων.
ἀλλ' ὅστις εὔνους τῇδε τῇ πόλει, θανὼν
καὶ ζῶν ὁμοίως ἐξ ἐμοῦ τιμήσεται.

ΧΟΡΟΣ.

σοὶ ταῦτ' ἀρέσκει, παῖ Μενοικέως Κρέον,
*   *   *   *   *   *
τὸν τῇδε δύσνουν καὶ τὸν εὐμενῆ πόλει.
νόμῳ δὲ χρῆσθαι παντί πού γ' ἔνεστί σοι
καὶ τῶν θανόντων χὡπόσοι ζῶμεν πέρι.

ΚΡΕΩΝ.

*   *   *   *   *   *
ὡς ἂν σκοποὶ νῦν ἦτε τῶν εἰρημένων.

ΧΟΡΟΣ.

νεωτέρῳ τῳ τοῦτο βαστάζειν πρόθες.

ΚΡΕΩΝ.

ἀλλ' εἴσ' ἕτοιμοι τοῦ νεκροῦ γ' ἐπίσκοποι.

ΧΟΡΟΣ.

τί δῆτ' ἂν ἄλλῳ τοῦτ' ἐπεντέλλοις ἔτι;

ΚΡΕΩΝ.

τὸ μὴ 'πιχωρεῖν τοῖς ἀπιστοῦσιν τάδε.

ΧΟΡΟΣ.

οὐκ ἔστιν οὕτω μῶρος ὃς θανεῖν ἐρᾷ.

ΚΡΕΩΝ.

καὶ μὴν ὁ μισθός γ' οὗτος. ἀλλ' ὑπ' ἐλπίδων
ἄνδρας τὸ κέρδος πολλάκις διώλεσεν.

ΦΥΛΑΞ.

ἄναξ, ἐρῶ μὲν οὐχ ὅπως τάχους ὕπο
δύσπνους ἱκάνω κοῦφον ἐξάρας πόδα.
πολλὰς γὰρ ἔσχον φροντίδων ἐπιστάσεις,
ὁδοῖς κυκλῶν ἐμαυτὸν εἰς ἀναστροφήν.
ψυχὴ γὰρ ηὔδα πολλά μοι μυθουμένη·
τάλας, τί χωρεῖς οἷ μολὼν δώσεις δίκην;
τλῆμον, μενεῖς αὖ; καὶ τάδ' εἴσεται Κρέων
ἄλλου παρ' ἀνδρός; πῶς σὺ δῆτ' οὐκ ἀλγυνεῖ;
τοιαῦθ' ἑλίσσων ἤνυτον σχολῇ ταχύς.
χοὕτως ὁδὸς βραχεῖα γίγνεται μακρά.
τέλος γε μέντοι δεῦρ' ἐνίκησεν μολεῖν
σοὶ, κεἰ τὸ μηδὲν ἐξερῶ, φράσω δ' ὅμως.
τῆς ἐλπίδος γὰρ ἔρχομαι δεδραγμένος,
τὸ μὴ παθεῖν ἂν ἄλλο πλὴν τὸ μόρσιμον.

ΚΡΕΩΝ.

τί δ' ἐστὶν ἀνθ' οὗ τήνδ' ἔχεις ἀθυμίαν;

ΦΥΛΑΞ.

φράσαι θέλω σοι πρῶτα τἀμαυτοῦ. τὸ γὰρ
πρᾶγμ' οὔτ' ἔδρασ' οὔτ' εἶδον ὅστις ἦν ὁ δρῶν·
οὐδ' ἂν δικαίως ἐς κακὸν πέσοιμί τι.

ΚΡΕΩΝ.

εὖ γε στοχάζει κἀποφράγνυσαι κύκλῳ
τὸ πρᾶγμα. δηλοῖς δ' ὥς τι σημανῶν νέον.

ΦΥΛΑΞ.

τὰ δεινὰ γάρ τοι προστίθησ' ὄκνον πολύν.

ΚΡΕΩΝ.

οὔκουν ἐρεῖς ποτ', εἶτ' ἀπαλλαχθεὶς ἄπει;

ΦΥΛΑΞ.

καὶ δὴ λέγω σοι. τὸν νεκρόν τις ἀρτίως
θάψας βέβηκε κἀπὶ χρωτὶ διψίαν
κόνιν παλύνας κἀφαγιστεύσας ἃ χρή.

ΚΡΕΩΝ.

τί φής; τίς ἀνδρῶν ἦν ὁ τολμήσας τάδε;

ΦΥΛΑΞ.

οὐκ οἶδ'· ἐκεῖ γὰρ οὔτε του γενῇδος ἦν
πλῆγμ', οὐ δικέλλης ἐκβολή· στύφλος δὲ γῆ
καὶ χέρσος, ἀρρὼξ οὐδ' ἐπημαξευμένη
τροχοῖσιν, ἀλλ' ἄσημος οὑργάτης τις ἦν.
ὅπως δ' ὁ πρῶτος ἡμὶν ἡμεροσκόπος
δείκνυσι, πᾶσι θαῦμα δυσχερὲς παρῆν.
ὁ μὲν γὰρ ἠφάνιστο, τυμβήρης μὲν οὔ,
λεπτὴ δ' ἄγος φεύγοντος ὣς ἐπῆν κόνις.
σημεῖα δ' οὔτε θηρὸς οὔτε του κυνῶν
ἐλθόντος, οὐ σπάσαντος ἐξεφαίνετο.
λόγοι δ' ἐν ἀλλήλοισιν ἐρρόθουν κακοὶ,
φύλαξ ἐλέγχων φύλακα, κἂν ἐγίγνετο
πληγὴ τελευτῶσ', οὐδ' ὁ κωλύσων παρῆν.
εἷς γάρ τις ἦν ἕκαστος οὑξειργασμένος,
κοὐδεὶς ἐναργὴς, ἀλλ' ἔφευγε πᾶς τὸ μή.
ἦμεν δ' ἕτοιμοι καὶ μύδρους αἴρειν χεροῖν,
καὶ πῦρ διέρπειν, καὶ θεοὺς ὁρκωμοτεῖν
τὸ μήτε δρᾶσαι μήτε τῳ ξυνειδέναι
τὸ πρᾶγμα βουλεύσαντι μήτ' εἰργασμένῳ.
τέλος δ' ὅτ' οὐδὲν ἦν ἐρευνῶσιν πλέον,
λέγει τις εἷς, ὃς πάντας ἐς πέδον κάρα
νεῦσαι φόβῳ προὔτρεψεν. οὐ γὰρ εἴχομεν
οὔτ' ἀντιφωνεῖν οὔθ' ὅπως δρῶντες καλῶς
πράξαιμεν. ἦν δ' ὁ μῦθος ὡς ἀνοιστέον
σοὶ τοὔργον εἴη τοῦτο κοὐχὶ κρυπτέον.
καὶ ταῦτ' ἐνίκα, κἀμὲ τὸν δυσδαίμονα
πάλος καθαιρεῖ τοῦτο τἀγαθὸν λαβεῖν.
πάρειμι δ' ἄκων οὐχ ἑκοῦσιν, οἶδ' ὅτι.
στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν.

ΧΟΡΟΣ.

ἄναξ, ἐμοί τοι μή τι καὶ ἐθελάτον
τοὔργον τόδ' ἡ ξύννοια βουλεύει πάλαι.

ΚΡΕΩΝ.

παῦσαι, πρὶν ὀργῆς κἀμὲ μεστῶσαι λέγων,
μὴ 'φευρεθῇς ἄνους τε καὶ γέρων ἅμα.
λέγεις γὰρ οὐκ ἀνεκτὰ, δαίμονας λέγων
πρόνοιαν ἴσχειν τοῦδε τοῦ νεκροῦ πέρι.
πότερον ὑπερτιμῶντες ὡς εὐεργέτην
ἔκρυπτον αὐτὸν, ὅστις ἀμφικίονας
ναοὺς πυρώσων ἦλθε κἀναθήματα
καὶ γῆν ἐκείνων καὶ νόμους διασκεδῶν;
ἢ τοὺς κακοὺς τιμῶντας εἰσορᾷς θεούς;

οὐκ ἔστιν. ἀλλὰ ταῦτα καὶ πάλαι πόλεως
ἄνδρες μόλις φέροντες ἐρρόθουν ἐμοί,
κρυφῇ κάρα σείοντες· οὐδ' ὑπὸ ζυγῷ
λόφον δικαίως εἶχον, ὡς στέργειν ἐμέ.
ἐκ τῶνδε τούτους ἐξεπίσταμαι καλῶς
παρηγμένους μισθοῖσιν εἰργάσθαι τάδε.
οὐδὲν γὰρ ἀνθρώποισιν οἷον ἄργυρος
κακὸν νόμισμ' ἔβλαστε. τοῦτο καὶ πόλεις
πορθεῖ, τόδ' ἄνδρας ἐξανίστησιν δόμων·
τόδ' ἐκδιδάσκει καὶ παραλλάσσει φρένας
χρηστὰς πρὸς αἰσχρὰ πράγμαθ' ἵστασθαι βροτῶν·
πανουργίας δ' ἔδειξεν ἀνθρώποις ἔχειν
καὶ παντὸς ἔργου δυσσέβειαν εἰδέναι.
ὅσοι δὲ μισθαρνοῦντες ἤνυσαν τάδε,
χρόνῳ ποτ' ἐξέπραξαν ὡς δοῦναι δίκην.
ἀλλ' εἴπερ ἴσχει Ζεὺς ἔτ' ἐξ ἐμοῦ σέβας,
εὖ τοῦτ' ἐπίστασ', ὅρκιος δέ σοι λέγω,
εἰ μὴ τὸν αὐτόχειρα τοῦδε τοῦ τάφου
εὑρόντες ἐκφανεῖτ' ἐς ὀφθαλμοὺς ἐμούς,
οὐχ ὑμὶν Ἅιδης μοῦνος ἀρκέσει, πρὶν ἂν
ζῶντες κρεμαστοὶ τήνδε δηλώσηθ' ὕβριν,
ἵν' εἰδότες τὸ κέρδος ἔνθεν οἰστέον
τὸ λοιπὸν ἁρπάζητε, καὶ μάθηθ' ὅτι
οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν.
ἐκ τῶν γὰρ αἰσχρῶν λημμάτων τοὺς πλείονας
ἀτωμένους ἴδοις ἂν ἢ σεσωσμένους.

ΦΥΛΑΞ.

εἰπεῖν τι δώσεις; ἢ στραφεὶς οὕτως ἴω;

ΚΡΕΩΝ.

οὐκ οἶσθα καὶ νῦν ὡς ἀνιαρῶς λέγεις;

ΦΥΛΑΞ.

ἐν τοῖσιν ὠσὶν ἢ 'πὶ τῇ ψυχῇ δάκνει;

ΚΡΕΩΝ.

τί δὲ ῥυθμίζεις τὴν ἐμὴν λύπην ὅπου;

ΦΥΛΑΞ.

ὁ δρῶν σ' ἀνιᾷ τὰς φρένας, τὰ δ' ὦτ' ἐγώ.

ΚΡΕΩΝ.

οἴμ' ὡς λάλημα δῆλον ἐκπεφυκὸς εἶ.

ΦΥΛΑΞ.

οὔκουν τό γ' ἔργον τοῦτο ποιήσας ποτέ.

ΚΡΕΩΝ.

καὶ ταῦτ' ἐπ' ἀργύρῳ γε τὴν ψυχὴν προδούς.

ΦΥΛΑΞ.

φεῦ·
ἦ δεινὸν ᾧ δοκεῖ γε καὶ ψευδῆ δοκεῖν.

ΚΡΕΩΝ.

κόμψευε νῦν τὴν δόξαν· εἰ δὲ ταῦτα μὴ
φανεῖτέ μοι τοὺς δρῶντας, ἐξερεῖθ' ὅτι
τὰ δειλὰ κέρδη πημονὰς ἐργάζεται.

ΦΥΛΑΞ.

ἀλλ' εὑρεθείη μὲν μάλιστ'· ἐὰν δέ τοι
ληφθῇ τε καὶ μή, τοῦτο γὰρ τύχη κρινεῖ,
οὐκ ἔσθ' ὅπως ὄψει σὺ δεῦρ' ἐλθόντα με.
καὶ νῦν γὰρ ἐκτὸς ἐλπίδος γνώμης τ' ἐμῆς
σωθεὶς ὀφείλω τοῖς θεοῖς πολλὴν χάριν.

ΧΟΡΟΣ.

πολλὰ τὰ δεινὰ κοὐδὲν ἀν-
θρώπου δεινότερον πέλει.
τοῦτο καὶ πολιοῦ πέραν
πόντου χειμερίῳ νότῳ
χωρεῖ, περιβρυχίοισιν
περῶν ὑπ' οἴδμασιν,
θεῶν τε τὰν ὑπερτάταν, Γᾶν
ἄφθιτον, ἀκαμάταν ἀποτρύεται,
ἰλλομένων ἀρότρων ἔτος εἰς ἔτος, ἱππείῳ γέ-
πολεῦον.

332—342. == 343—353.

κουφονόων τε φῦλον ὀρ-
νίθων ἀμφιβαλὼν ἄγει,
καὶ θηρῶν ἀγρίων ἔθνη,
πόντου τ' εἰναλίαν φύσιν
σπείραισι δικτυοκλώστοις,
περιφραδὴς ἀνήρ·
κρατεῖ δὲ μηχαναῖς ἀγραύλου
θηρὸς ὀρεσσιβάτα, λασιαύχενά θ'
ἵππον ἀέξεται ἀμφίλοφον ζυγὸν οὔρειόν τ' ἀ-
μῆτα ταῦρον.

καὶ φθέγμα καὶ ἀνεμόεν
φρόνημα καὶ ἀστυνόμους
ὀργὰς ἐδιδάξατο καὶ δυσαύλων
πάγων αἴθρια καὶ
δύσομβρα φεύγειν βέλη,
παντοπόρος, ἄπορος ἐπ' οὐδὲν ἔρχεται
τὸ μέλλον· Ἅιδα μόνον
φεῦξιν οὐκ ἐπάξεται·
νόσων δ' ἀμηχάνων
φυγὰς ξυμπέφρασται.
σοφόν τι τὸ μηχανόεν
τέχνας ὑπὲρ ἐλπίδ' ἔχων
ποτὲ μὲν κακόν, ἄλλοτ' ἐπ' ἐσθλὸν ἕρπει·
νόμους παρείρων χθονὸς
θεῶν τ' ἔνορκον δίκαν,
ὑψίπολις· ἄπολις, ὅτῳ τὸ μὴ καλὸν
ξύνεστι, τόλμας χάριν.
μήτ' ἐμοὶ παρέστιος
γένοιτο μήτ' ἴσον
φρονῶν ὃς τάδ' ἔρδει.
ἐς δαιμόνιον τέρας ἀμφινοῶ
τόδε, πῶς εἰδὼς ἀντιλογήσω
τήνδ' οὐκ εἶναι παῖδ' Ἀντιγόνην.
ὦ δύστηνος
καὶ δυστήνου πατρὸς Οἰδιπόδα,
τί ποτ'; οὐ δή που σέ γ' ἀπιστοῦσαν
τοῖς βασιλείοισιν ἄγουσι νόμοις
καὶ ἐν ἀφροσύνῃ καθελόντες;

ΦΥΛΑΞ.

ἥδ' ἔστ' ἐκείνη τοὔργον ἡ 'ξειργασμένη·
τήνδ' εἵλομεν θάπτουσαν. ἀλλὰ ποῦ Κρέων;

ΧΟΡΟΣ.

ὅδ' ἐκ δόμων ἄψορρος εἰς δέον περᾷ.

ΚΡΕΩΝ.

τί δ' ἔστι; ποίᾳ ξύμμετρος προὔβην τύχῃ;

ΦΥΛΑΞ.

ἄναξ, βροτοῖσιν οὐδέν ἐστ' ἀπώμοτον.
ψεύδει γὰρ ἡ 'πίνοια τὴν γνώμην· ἐπεὶ
σχολῇ γ' ἂν ἥξειν δεῦρ' ἂν ἐξηύχουν ἐγώ,
ταῖς σαῖς ἀπειλαῖς, αἷς ἐχειμάσθην τότε.
ἀλλ' ἡ γὰρ ἐκτὸς καὶ παρ' ἐλπίδας χαρὰ
ἔοικεν ἄλλῃ μῆκος οὐδὲν ἡδονῇ,

354—364. == 365—375.

ἥκω, δι᾽ ὅρκων καίπερ ὢν ἀπώμοτος,
κόρην ἄγων τήνδ᾽, ἣ καθευρέθη τάφον
κοσμοῦσα. κλῆρος ἐνθάδ᾽ οὐκ ἐπάλλετο,
ἀλλ᾽ ἔστ᾽ ἐμὸν θοὔρμαιον, οὐκ ἄλλου, τόδε.
καὶ νῦν, ἄναξ, τήνδ᾽ αὐτὸς, ὡς θέλεις, λαβὼν,
καὶ κρῖνε κἀξέλεγχ᾽· ἐγὼ δ᾽ ἐλεύθερος
δίκαιός εἰμι τῶνδ᾽ ἀπηλλάχθαι κακῶν.

ΚΡΕΩΝ.

ἄγεις δὲ τήνδε τῷ τρόπῳ πόθεν λαβών;

ΦΥΛΑΞ.

αὕτη τὸν ἄνδρ᾽ ἔθαπτε. πάντ᾽ ἐπίστασαι.

ΚΡΕΩΝ.

ἦ καὶ ξυνίης καὶ λέγεις ὀρθῶς ἃ φής;

ΦΥΛΑΞ.

ταύτην γ᾽ ἰδὼν θάπτουσαν ὃν σὺ τὸν νεκρὸν
ἀπεῖπας. ἆρ᾽ ἔνδηλα καὶ σαφῆ λέγω;

ΚΡΕΩΝ.

καὶ πῶς ὁρᾶται κἀπίληπτος ᾑρέθη;

ΦΥΛΑΞ.

τοιοῦτον ἦν τὸ πρᾶγμ᾽. ὅπως γὰρ ἥκομεν,
πρὸς σοῦ τὰ δείν᾽ ἐκεῖν᾽ ἐπηπειλημένοι,
πᾶσαν κόνιν σήραντες ἣ κατεῖχε τὸν
νέκυν, μυδῶν τε σῶμα γυμνώσαντες εὖ,
καθήμεθ᾽ ἄκρων ἐκ πάγων ὑπήνεμοι,
ὀσμὴν ἀπ᾽ αὐτοῦ μὴ βάλῃ πεφευγότες,
ἐγερτὶ κινῶν ἄνδρ᾽ ἀνὴρ ἐπιρρόθοις
κακοῖσιν, εἴ τις τοῦδ᾽ ἀφειδήσοι πόνου.
χρόνον τάδ᾽ ἦν τοσοῦτον, ἕς τ᾽ ἐν αἰθέρι
μέσῳ κατέστη λαμπρὸς ἡλίου κύκλος
καὶ καῦμ᾽ ἔθαλπε· καὶ τότ᾽ ἐξαίφνης χθονὸς
τυφὼς ἀείρας σκηπτὸν, οὐράνιον ἄχος,
πίμπλησι πεδίον, πᾶσαν αἰκίζων φόβην
ὕλης πεδιάδος, ἐν δ᾽ ἐμεστώθη μέγας
αἰθήρ· μύσαντες δ᾽ εἴχομεν θείαν νόσον.
καὶ τοῦδ᾽ ἀπαλλαγέντος ἐν χρόνῳ μακρῷ,
ἡ παῖς ὁρᾶται, κἀνακωκύει πικρᾶς
ὄρνιθος ὀξὺν φθόγγον, ὡς ὅταν κενῆς
εὐνῆς νεοσσῶν ὀρφανὸν βλέψῃ λέχος·
οὕτω δὲ χαὔτη, ψιλὸν ὡς ὁρᾷ νέκυν,
γόοισιν ἐξῴμωξεν, ἐκ δ᾽ ἀρὰς κακὰς
ἠρᾶτο τοῖσι τοὔργον ἐξειργασμένοις.
καὶ χερσὶν εὐθὺς διψίαν φέρει κόνιν,
ἔκ τ᾽ εὐκροτήτου χαλκέας ἄρδην πρόχου
χοαῖσι τρισπόνδοισι τὸν νέκυν στέφει.
χἠμεῖς ἰδόντες ἱέμεσθα, σὺν δέ νιν
θηρώμεθ᾽ εὐθὺς οὐδὲν ἐκπεπληγμένην·
καὶ τάς τε πρόσθεν τάς τε νῦν ἠλέγχομεν
πράξεις· ἄπαρνος δ᾽ οὐδενὸς καθίστατο,
ἀλλ᾽ ἡδέως ἔμοιγε κἀλγεινῶς ἅμα.
τὸ μὲν γὰρ αὐτὸν ἐκ κακῶν πεφευγέναι
ἥδιστον, ἐς κακὸν δὲ τοὺς φίλους ἄγειν
ἀλγεινόν. ἀλλὰ πάντα ταῦθ᾽ ἥσσω λαβεῖν
ἐμοὶ πέφυκε τῆς ἐμῆς σωτηρίας.

ΚΡΕΩΝ.

σὲ δὴ, σὲ τὴν νεύουσαν ἐς πέδον κάρα,
φῂς, ἢ καταρνεῖ μὴ δεδρακέναι τάδε;

ΑΝΤΙΓΟΝΗ.

καὶ φημὶ δρᾶσαι κοὐκ ἀπαρνοῦμαι τὸ μή.

ΚΡΕΩΝ.

σὺ μὲν κομίζοις ἂν σεαυτὸν ᾗ θέλεις
ἔξω βαρείας αἰτίας ἐλεύθερον·
σὺ δ᾽ εἰπέ μοι μὴ μῆκος, ἀλλὰ σύντομα,
ᾔδης τὰ κηρυχθέντα μὴ πράσσειν τάδε;

ΑΝΤΙΓΟΝΗ.

ᾔδη. τί δ᾽ οὐκ ἔμελλον; ἐμφανῆ γὰρ ἦν.

ΚΡΕΩΝ.

καὶ δῆτ᾽ ἐτόλμας τούσδ᾽ ὑπερβαίνειν νόμους;

ΑΝΤΙΓΟΝΗ.

οὐ γάρ τί μοι Ζεὺς ἦν ὁ κηρύξας τάδε
οὐδ᾽ ἡ ξύνοικος τῶν κάτω θεῶν Δίκη,
οἳ τούσδ᾽ ἐν ἀνθρώποισιν ὥρισαν νόμους.
οὐδὲ σθένειν τοσοῦτον ᾠόμην τὰ σὰ
κηρύγμαθ᾽ ὥστ᾽ ἄγραπτα κἀσφαλῆ θεῶν
νόμιμα δύνασθαι θνητὸν ὄνθ᾽ ὑπερδραμεῖν.
οὐ γάρ τι νῦν γε κἀχθὲς, ἀλλ᾽ ἀεί ποτε
ζῇ ταῦτα, κοὐδεὶς οἶδεν ἐξ ὅτου ᾽φάνη.
τούτων ἐγὼ οὐκ ἔμελλον, ἀνδρὸς οὐδενὸς
φρόνημα δείσασ᾽, ἐν θεοῖσι τὴν δίκην
δώσειν. θανουμένη γὰρ ἐξῄδη, τί δ᾽ οὔ;
κεἰ μὴ σὺ προὐκήρυξας. εἰ δὲ τοῦ χρόνου
πρόσθεν θανοῦμαι, κέρδος αὔτ᾽ ἐγὼ λέγω.
ὅστις γὰρ ἐν πολλοῖσιν ὡς ἐγὼ κακοῖς
ζῇ, πῶς ὅδ᾽ οὐχὶ κατθανὼν κέρδος φέρει;
οὕτως ἔμοιγε τοῦδε τοῦ μόρου τυχεῖν
παρ᾽ οὐδὲν ἄλγος· ἀλλ᾽ ἄν, εἰ τὸν ἐξ ἐμῆς
μητρὸς θανόντ᾽ ἄθαπτον ἐσχόμην νέκυν,
κείνοις ἂν ἤλγουν· τοῖσδε δ᾽ οὐκ ἀλγύνομαι.
σοὶ δ᾽ εἰ δοκῶ νῦν μῶρα δρῶσα τυγχάνειν,
σχεδόν τι μώρῳ μωρίαν ὀφλισκάνω.

ΧΟΡΟΣ.

δηλοῖ τὸ γέννημ᾽ ὠμὸν ἐξ ὠμοῦ πατρὸς
τῆς παιδός· εἴκειν δ᾽ οὐκ ἐπίσταται κακοῖς.

ΚΡΕΩΝ.

ἀλλ᾽ ἴσθι τοι τὰ σκλήρ᾽ ἄγαν φρονήματα
πίπτειν μάλιστα, καὶ τὸν ἐγκρατέστατον
σίδηρον ὀπτὸν ἐκ πυρὸς περισκελῆ
θραυσθέντα καὶ ῥαγέντα πλεῖστ᾽ ἂν εἰσίδοις.
σμικρῷ χαλινῷ δ᾽ οἶδα τοὺς θυμουμένους
ἵππους καταρτυθέντας. οὐ γὰρ ἐκπέλει
φρονεῖν μέγ᾽ ὅστις δοῦλός ἐστι τῶν πέλας.
αὕτη δ᾽ ὑβρίζειν μὲν τότ᾽ ἐξηπίστατο,
νόμους ὑπερβαίνουσα τοὺς προκειμένους·
ὕβρις δ᾽, ἐπεὶ δέδρακεν, ἥδε δευτέρα,
τούτοις ἐπαυχεῖν καὶ δεδρακυῖαν γελᾶν.
ἦ νῦν ἐγὼ μὲν οὐκ ἀνὴρ, αὕτη δ᾽ ἀνὴρ,
εἰ ταῦτ᾽ ἀνατὶ τῇδε κείσεται κράτη.
ἀλλ᾽ εἴτ᾽ ἀδελφῆς εἴθ᾽ ὁμαιμονεστέρα
τοῦ παντὸς ἡμῖν Ζηνὸς ἑρκείου κυρεῖ,
αὐτή τε χἠ ξύναιμος οὐκ ἀλύξετον
μόρου κακίστου· καὶ γὰρ οὖν κείνην ἴσον
ἐπαιτιῶμαι τοῦδε βουλεῦσαι τάφου.
καί νιν καλεῖτ᾽· ἔσω γὰρ εἶδον ἀρτίως
λυσσῶσαν αὐτὴν οὐδ᾽ ἐπήβολον φρενῶν.
φιλεῖ δ᾽ ὁ θυμὸς πρόσθεν ᾑρῆσθαι κλοπεὺς
τῶν μηδὲν ὀρθῶς ἐν σκότῳ τεχνωμένων.
μισῶ γε μέντοι χὤταν ἐν κακοῖσί τις
ἁλοὺς ἔπειτα τοῦτο καλλύνειν θέλῃ.

ΑΝΤΙΓΟΝΗ.

θέλεις τι μεῖζον ἢ κατακτεῖναί μ᾽ ἑλών;

ΚΡΕΩΝ.
ἐγὼ μὲν οὐδέν· τοῦτ' ἔχων ἅπαντ' ἔχω.
ΑΝΤΙΓΟΝΗ.
τί δῆτα μέλλεις; ὡς ἐμοὶ τῶν σῶν λόγων
ἀρεστὸν οὐδὲν, μηδ' ἀρεσθείη ποτὲ,
οὕτω δὲ καὶ σοὶ τἄμ' ἀφανδάνοντ' ἔφυ.
καίτοι πόθεν κλέος γ' ἂν εὐκλεέστερον
κατέσχον ἢ τὸν αὐτάδελφον ἐν τάφῳ
τιθεῖσα; τούτοις τοῦτο πᾶσιν ἁνδάνειν
λέγοιτ' ἂν, εἰ μὴ γλῶσσαν ἐγκλείσοι φόβος.
ἀλλ' ἡ τυραννὶς πολλά τ' ἄλλ' εὐδαιμονεῖ,
κἄξεστιν αὐτῇ δρᾶν λέγειν θ' ἃ βούλεται.
ΚΡΕΩΝ.
σὺ τοῦτο μούνη τῶνδε Καδμείων ὁρᾷς.
ΑΝΤΙΓΟΝΗ.
ὁρῶσι χοἶδε· σοὶ δ' ὑπίλλουσι στόμα.
ΚΡΕΩΝ.
σὺ δ' οὐκ ἐπαιδεῖ, τῶνδε χωρὶς εἰ φρονεῖς;
ΑΝΤΙΓΟΝΗ.
οὐδὲν γὰρ αἰσχρὸν τοὺς ὁμοσπλάγχνους σέβειν.
ΚΡΕΩΝ.
οὔκουν ὅμαιμος χὠ καταντίον θανών;
ΑΝΤΙΓΟΝΗ.
ὅμαιμος ἐκ μιᾶς τε καὶ ταὐτοῦ πατρός.
ΚΡΕΩΝ.
πῶς δῆτ' ἐκείνῳ δυσσεβῆ τιμᾷς χάριν;
ΑΝΤΙΓΟΝΗ.
οὐ μαρτυρήσει ταῦθ' ὁ κατθανὼν νέκυς.
ΚΡΕΩΝ.
εἴ τοί σφε τιμᾷς ἐξ ἴσου τῷ δυσσεβεῖ.
ΑΝΤΙΓΟΝΗ.
οὐ γάρ τι δοῦλος, ἀλλ' ἀδελφὸς ὤλετο.
ΚΡΕΩΝ.
πορθῶν γε τήνδε γῆν· ὁ δ' ἀντιστὰς ὕπερ.
ΑΝΤΙΓΟΝΗ.
ὅμως ὅ γ' Ἅιδης τοὺς νόμους τούτους ποθεῖ.
ΚΡΕΩΝ.
ἀλλ' οὐχ ὁ χρηστὸς τῷ κακῷ λαχεῖν ἴσος.
ΑΝΤΙΓΟΝΗ.
τίς οἶδεν εἰ κάτωθεν εὐαγῆ τάδε;
ΚΡΕΩΝ.
οὔτοι ποθ' οὐχθρὸς, οὐδ' ὅταν θάνῃ, φίλος.
ΑΝΤΙΓΟΝΗ.
οὔτοι συνέχθειν, ἀλλὰ συμφιλεῖν ἔφυν.
ΚΡΕΩΝ.
κάτω νυν ἐλθοῦσ', εἰ φιλητέον, φίλει
κείνους· ἐμοῦ δὲ ζῶντος οὐκ ἄρξει γυνή.
ΧΟΡΟΣ.
καὶ μὴν πρὸ πυλῶν ἥδ' Ἰσμήνη,
φιλάδελφα κάτω δάκρυ' εἰβομένη·
νεφέλη δ' ὀφρύων ὕπερ αἱματόεν
ῥέθος αἰσχύνει,
τέγγουσ' εὐῶπα παρειάν.
ΚΡΕΩΝ.
σὺ δ', ἣ κατ' οἴκους ὡς ἔχιδν' ὑφειμένη
λήθουσά μ' ἐξέπινες, οὐδ' ἐμάνθανον
τρέφων δύ' ἄτα κἀπαναστάσεις θρόνων,
φέρ', εἰπὲ δή μοι, καὶ σὺ τοῦδε τοῦ τάφου
φήσεις μετασχεῖν, ἢ 'ξομεῖ τὸ μὴ εἰδέναι;
ΙΣΜΗΝΗ.
δέδρακα τοὔργον, εἴπερ ἥδ' ὁμορροθεῖ,
καὶ ξυμμετίσχω καὶ φέρω τῆς αἰτίας.
ΑΝΤΙΓΟΝΗ.
ἀλλ' οὐκ ἐάσει τοῦτό γ' ἡ δίκη σ', ἐπεὶ
οὔτ' ἠθέλησας οὔτ' ἐγὼ 'κοινωσάμην.
ΙΣΜΗΝΗ.
ἀλλ' ἐν κακοῖς τοῖς σοῖσιν οὐκ αἰσχύνομαι
ξύμπλουν ἐμαυτὴν τοῦ πάθους ποιουμένη.
ΑΝΤΙΓΟΝΗ.
ὧν τοὔργον Ἅιδης χοἰ κάτω ξυνίστορες·
λόγοις δ' ἐγὼ φιλοῦσαν οὐ στέργω φίλην.
ΙΣΜΗΝΗ.
μήτοι, κασιγνήτη, μ' ἀτιμάσῃς τὸ μὴ οὐ
θανεῖν τε σὺν σοὶ τὸν θανόντα θ' ἁγνίσαι.
ΑΝΤΙΓΟΝΗ.
μή μοι θάνῃς σὺ κοινὰ, μηδ' ἃ μὴ 'θιγες
ποιοῦ σεαυτῆς. ἀρκέσω θνήσκουσ' ἐγώ.
ΙΣΜΗΝΗ.
καὶ τίς βίος μοι σοῦ λελειμμένῃ φίλος;
ΑΝΤΙΓΟΝΗ.
Κρέοντ' ἐρώτα. τοῦδε γὰρ σὺ κηδεμών.
ΙΣΜΗΝΗ.
τί ταῦτ' ἀνιᾷς μ' οὐδὲν ὠφελουμένη;
ΑΝΤΙΓΟΝΗ.
ἀλγοῦσα μὲν δῆτ', εἰ γέλωτ' ἐν σοὶ γελῶ.
ΙΣΜΗΝΗ.
τί δῆτ' ἂν ἀλλὰ νῦν σ' ἔτ' ὠφελοῖμ' ἐγώ;
ΑΝΤΙΓΟΝΗ.
σῶσον σεαυτήν. οὐ φθονῶ σ' ὑπεκφυγεῖν.
ΙΣΜΗΝΗ.
οἴμοι τάλαινα, κἀμπλάκω τοῦ σοῦ μόρου;
ΑΝΤΙΓΟΝΗ.
σὺ μὲν γὰρ εἵλου ζῆν, ἐγὼ δὲ κατθανεῖν.
ΙΣΜΗΝΗ.
ἀλλ' οὐκ ἐπ' ἀρρήτοις γε τοῖς ἐμοῖς λόγοις.
ΑΝΤΙΓΟΝΗ.
καλῶς σὺ μὲν τοῖς, τοῖς δ' ἐγὼ 'δόκουν φρον
ΙΣΜΗΝΗ.
καὶ μὴν ἴση νῷν ἐστιν ἡ 'ξαμαρτία.
ΑΝΤΙΓΟΝΗ.
θάρσει. σὺ μὲν ζῇς, ἡ δ' ἐμὴ ψυχὴ πάλαι
τέθνηκεν, ὥστε τοῖς θανοῦσιν ὠφελεῖν.
ΚΡΕΩΝ.
τὼ παῖδε φημὶ τώδε τὴν μὲν ἀρτίως
ἄνουν πεφάνθαι, τὴν δ' ἀφ' οὗ τὰ πρῶτ'
ΙΣΜΗΝΗ.
οὐ γάρ ποτ', ὦναξ, οὐδ' ὃς ἂν βλάστῃ μέ
νοῦς τοῖς κακῶς πράσσουσιν, ἀλλ' ἐξίσταται
ΚΡΕΩΝ.
σοὶ γοῦν, ὅθ' εἵλου σὺν κακοῖς πράσσειν κ
ΙΣΜΗΝΗ.
τί γὰρ μόνῃ μοι τῆσδ' ἄτερ βιώσιμον;
ΚΡΕΩΝ.
ἀλλ' ἥδε μέντοι μὴ λέγ'· οὐ γὰρ ἔστ' ἔτι.
ΙΣΜΗΝΗ.
ἀλλὰ κτενεῖς νυμφεῖα τοῦ σαυτοῦ τέκνου;
ΚΡΕΩΝ.
ἀρώσιμοι γὰρ χἀτέρων εἰσὶν γύαι.

ΙΣΜΗΝΗ.
οὐχ ὥς γ' ἐκείνῳ τῇδέ τ' ἦν ἡρμοσμένα.
ΚΡΕΩΝ.
κακὰς ἐγὼ γυναῖκας υἱέσι στυγῶ.
ΙΣΜΗΝΗ.
ὦ φίλταθ' Αἷμον, ὥς σ' ἀτιμάζει πατήρ.
ΚΡΕΩΝ.
ἄγαν γε λυπεῖς καὶ σὺ καὶ τὸ σὸν λέχος.
ΙΣΜΗΝΗ.
ἦ γὰρ στερήσεις τῆσδε τὸν σαυτοῦ γόνον;
ΚΡΕΩΝ.
Ἅιδης ὁ παύσων τούσδε τοὺς γάμους ἔφυ.
ΙΣΜΗΝΗ.
δεδογμέν', ὡς ἔοικε, τήνδε κατθανεῖν.
ΚΡΕΩΝ.
καὶ σοί γε κἀμοί. μὴ τριβὰς ἔτ', ἀλλά νιν
κομίζετ' εἴσω, δμῶες· ἐκ δὲ τοῦδε χρὴ
γυναῖκας εἶναι τάσδε μηδ' ἀνειμένας.
φεύγουσι γάρ τοι χοἰ θρασεῖς, ὅταν πέλας
ἤδη τὸν Ἅιδην εἰσορῶσι τοῦ βίου.
ΧΟΡΟΣ.
εὐδαίμονες οἶσι κακῶν ἄγευστος αἰών.
οἷς γὰρ ἂν σεισθῇ θεόθεν δόμος, ἄτας
οὐδὲν ἐλλείπει, γενεᾶς ἐπὶ πλῆθος ἕρπον·
ὅμοιον ὥστε ποντίαις
οἶδμα δυσπνόοις ὅταν
Θρῄσσαισιν ἔρεβος ὕφαλον ἐπιδράμῃ πνοαῖς,
κυλίνδει βυσσόθεν κελαινὰν
θῖνα καὶ δυσάνεμον,
στόνῳ βρέμουσι δ' ἀντιπλῆγες ἀκταί.
ἀρχαῖα τὰ Λαβδακιδᾶν οἴκων ὁρῶμαι
πήματα φθιμένων ἐπὶ πήμασι πίπτοντ',
οὐδ' ἀπαλλάσσει γενεὰν γένος, ἀλλ' ἐρείπει
θεῶν τις, οὐδ' ἔχει λύσιν.
νῦν γὰρ ἐσχάτας ὑπὲρ
ῥίζας ὃ τέτατο φάος ἐν Οἰδίπου δόμοις,
κατ' αὖ νιν φοινία θεῶν τῶν
νερτέρων ἀμᾷ κόνις,
λόγου τ' ἄνοια καὶ φρενῶν Ἐρινύς.
τεάν, Ζεῦ, δύνασιν τίς ἀνδρῶν
ὑπερβασία κατάσχοι,
τὰν οὔθ' ὕπνος αἱρεῖ ποθ' ὁ παντογήρως
οὔτ' ἀκάματοι θεῶν
μῆνες, ἀγήρῳ δὲ χρόνῳ δυνάστας κατέχεις
Ὀλύμπου
μαρμαρόεσσαν αἴγλαν.
τό τ' ἔπειτα καὶ τὸ μέλλον
καὶ τὸ πρὶν ἐπαρκέσει
νόμος ὅδ', οὐδὲν ἕρπων
θνατῶν βιότῳ πάμπολις ἐκτὸς ἄτας.
ἁ γὰρ δὴ πολύπλαγκτος ἐλπὶς
πολλοῖς μὲν ὄνασις ἀνδρῶν,
πολλοῖς δ' ἀπάτα κουφονόων ἐρώτων·
εἰδότι δ' οὐδὲν ἕρπει,
πρὶν πυρὶ θερμῷ πόδα τις προσαύρῃ. σοφίᾳ
γὰρ ἔκ του
κλεινὸν ἔπος πέφανται,
τὸ κακὸν δοκεῖν ποτ' ἐσθλὸν

582 — 592. = 593 — 603.
604 — 614. = 615 — 625.

τῷδ' ἔμμεν ὅτῳ φρένας
θεὸς ἄγει πρὸς ἄταν·
πράσσει δ' ὀλιγοστὸν χρόνον ἐκτὸς ἄτας.
ὅδε μὴν Αἵμων, παίδων τῶν σῶν
νέατον γέννημ'· ἆρ' ἀχνύμενος
τῆς μελλογάμου
τάλιδος ἥκει μόρον Ἀντιγόνης,
ἀπάτας λεχέων ὑπεραλγῶν;
ΚΡΕΩΝ.
τάχ' εἰσόμεσθα μάντεων ὑπέρτερον.
ὦ παῖ, τελείαν ψῆφον ἆρα μὴ κλύων
τῆς μελλονύμφου πατρὶ λυσσαίνων πάρει;
ἢ σοὶ μὲν ἡμεῖς πανταχῇ δρῶντες φίλοι;
ΑΙΜΩΝ.
πάτερ, σός εἰμι· καὶ σύ μοι γνώμας ἔχων
χρηστὰς ἀπορθοῖς, αἷς ἔγωγ' ἐφέψομαι.
ἐμοὶ γὰρ οὐδεὶς ἀξίως ἔσται γάμος
μείζων φέρεσθαι, σοῦ καλῶς ἡγουμένου.
ΚΡΕΩΝ.
οὕτω γάρ, ὦ παῖ, χρὴ διὰ στέρνων ἔχειν,
γνώμης πατρῴας πάντ' ὄπισθεν ἑστάναι.
τούτου γὰρ οὕνεκ' ἄνδρες εὔχονται γονὰς
κατηκόους φύσαντες ἐν δόμοις ἔχειν,
ὡς καὶ τὸν ἐχθρὸν ἀνταμύνωνται κακοῖς,
καὶ τὸν φίλον τιμῶσιν ἐξ ἴσου πατρί.
ὅστις δ' ἀνωφέλητα φιτύει τέκνα,
τί τόνδ' ἂν εἴποις ἄλλο πλὴν αὑτῷ πόνους
φῦσαι, πολὺν δὲ τοῖσιν ἐχθροῖσιν γέλων;
μή νύν ποτ', ὦ παῖ, τὰς φρένας γ' ὑφ' ἡδονῆς
γυναικὸς οὕνεκ' ἐκβάλῃς, εἰδὼς ὅτι
ψυχρὸν παραγκάλισμα τοῦτο γίγνεται,
γυνὴ κακὴ ξύνευνος ἐν δόμοις. τί γὰρ
γένοιτ' ἂν ἕλκος μεῖζον ἢ φίλος κακός;
ἀλλὰ πτύσας ὡσεί τε δυσμενῆ μέθες
τὴν παῖδ' ἐν Ἅιδου τήνδε νυμφεύσειν τινί.
ἐπεὶ γὰρ αὐτὴν εἷλον ἐμφανῶς ἐγὼ
πόλεως ἀπιστήσασαν ἐκ πάσης μόνην,
ψευδῆ γ' ἐμαυτὸν οὐ καταστήσω πόλει,
ἀλλὰ κτενῶ. πρὸς ταῦτ' ἐφυμνείτω Δία
ξύναιμον. εἰ γὰρ δὴ τά γ' ἐγγενῆ φύσει
ἄκοσμα θρέψω, κάρτα τοὺς ἔξω γένους.
ἐν τοῖς γὰρ οἰκείοισιν ὅστις ἔστ' ἀνὴρ
χρηστός, φανεῖται κἀν πόλει δίκαιος ὤν.
ὅστις δ' ὑπερβὰς ἢ νόμους βιάζεται,
ἢ τοὐπιτάσσειν τοῖς κρατοῦσιν ἐννοεῖ,
οὐκ ἔστ' ἐπαίνου τοῦτον ἐξ ἐμοῦ τυχεῖν.
ἀλλ' ὃν πόλις στήσειε, τοῦδε χρὴ κλύειν,
καὶ σμικρὰ καὶ δίκαια καὶ τἀναντία.
καὶ τοῦτον ἂν τὸν ἄνδρα θαρσοίην ἐγὼ
καλῶς μὲν ἄρχειν, εὖ δ' ἂν ἄρχεσθαι θέλειν,
δορός τ' ἂν ἐν χειμῶνι προστεταγμένον
μένειν δίκαιον κἀγαθὸν παραστάτην.
ἀναρχίας δὲ μεῖζον οὐκ ἔστιν κακόν.
αὕτη πόλεις τ' ὄλλυσιν, ἥδ' ἀναστάτους
οἴκους τίθησιν· ἥδε σὺν μάχῃ δορὸς
τροπὰς καταρρήγνυσι· τῶν δ' ὀρθουμένων
σώζει τὰ πολλὰ σώμαθ' ἡ πειθαρχία.
οὕτως ἀμυντέ' ἐστὶ τοῖς κοσμουμένοις,
κοὔτοι γυναικὸς οὐδαμῶς ἡσσητέα.

κρεῖσσον γάρ, εἴπερ δεῖ, πρὸς ἀνδρὸς ἐκπεσεῖν
κοὐκ ἂν γυναικῶν ἥσσονες καλοίμεθ' ἄν.

ΧΟΡΟΣ.

ἡμῖν μέν, εἰ μὴ τῷ χρόνῳ κεκλέμμεθα,
λέγειν φρονούντως ὧν λέγεις δοκεῖς πέρι.

ΑΙΜΩΝ.

πάτερ, θεοὶ φύουσιν ἀνθρώποις φρένας,
πάντων ὅσ' ἐστὶ χρημάτων ὑπέρτατον.
ἐγὼ δ' ὅπως σὺ μὴ λέγεις ὀρθῶς τάδε,
οὔτ' ἂν δυναίμην μήτ' ἐπισταίμην λέγειν·
γένοιτο μέντἂν χἀτέρῳ καλῶς ἔχον.
σοῦ δ' οὖν πέφυκα πάντα προσκοπεῖν ὅσα
λέγει τις ἢ πράσσει τις ἢ ψέγειν ἔχει.
τὸ γὰρ σὸν ὄμμα δεινὸν ἀνδρὶ δημότῃ
λόγοις τοιούτοις, οἷς σὺ μὴ τέρψει κλύων·
ἐμοὶ δ' ἀκούειν ἔσθ' ὑπὸ σκότου τάδε,
τὴν παῖδα ταύτην οἷ' ὀδύρεται πόλις,
πασῶν γυναικῶν ὡς ἀναξιωτάτη
κάκιστ' ἀπ' ἔργων εὐκλεεστάτων φθίνει·
ἥτις τὸν αὑτῆς αὐτάδελφον ἐν φοναῖς
πεπτῶτ' ἄθαπτον μήθ' ὑπ' ὠμηστῶν κυνῶν
εἴασ' ὀλέσθαι μήθ' ὑπ' οἰωνῶν τινός·
οὐχ ἥδε χρυσῆς ἀξία τιμῆς λαχεῖν;
τοιάδ' ἐρεμνὴ σῖγ' ἐπέρχεται φάτις.
ἐμοὶ δὲ σοῦ πράσσοντος εὐτυχῶς, πάτερ,
οὐκ ἔστιν οὐδὲν κτῆμα τιμιώτερον.
τί γὰρ πατρὸς θάλλοντος εὐκλείας τέκνοις
ἄγαλμα μεῖζον, ἢ τί πρὸς παίδων πατρί;
μή νυν ἓν ἦθος μοῦνον ἐν σαυτῷ φόρει,
ὡς φῂς σύ, κοὐδὲν ἄλλο, τοῦτ' ὀρθῶς ἔχειν.
ὅστις γὰρ αὐτὸς ἢ φρονεῖν μόνος δοκεῖ,
ἢ γλῶσσαν, ἣν οὐκ ἄλλος, ἢ ψυχὴν ἔχειν,
οὗτοι διαπτυχθέντες ὤφθησαν κενοί.
ἀλλ' ἄνδρα, κεἴ τις ᾖ σοφός, τὸ μανθάνειν
πόλλ' αἰσχρὸν οὐδὲν καὶ τὸ μὴ τείνειν ἄγαν.
ὁρᾷς παρὰ ῥείθροισι χειμάρροις ὅσα
δένδρων ὑπείκει, κλῶνας ὡς ἐκσῴζεται·
τὰ δ' ἀντιτείνοντ' αὐτόπρεμν' ἀπόλλυται.
αὔτως δὲ ναὸς ὅστις ἐγκρατῆ πόδα
τείνας ὑπείκει μηδέν, ὑπτίοις κάτω
στρέψας τὸ λοιπὸν σέλμασιν ναυτίλλεται.
ἀλλ' εἶκε θυμῷ καὶ μετάστασιν δίδου.
γνώμη γὰρ εἴ τις κἀπ' ἐμοῦ νεωτέρου
πρόσεστι, φήμ' ἔγωγε πρεσβεύειν πολὺ
φῦναι τὸν ἄνδρα πάντ' ἐπιστήμης πλέων·
εἰ δ' οὖν, φιλεῖ γὰρ τοῦτο μὴ ταύτῃ ῥέπειν,
καὶ τῶν λεγόντων εὖ καλὸν τὸ μανθάνειν.

ΧΟΡΟΣ.

ἄναξ, σέ τ' εἰκός, εἴ τι καίριον λέγει,
μαθεῖν, σέ τ' αὖ τοῦδ'· εὖ γὰρ εἴρηται διπλᾶ.

ΚΡΕΩΝ.

οἱ τηλικοίδε καὶ διδαξόμεσθα δὴ
φρονεῖν πρὸς ἀνδρὸς τηλικοῦδε τὴν φύσιν;

ΑΙΜΩΝ.

μηδὲν τὸ μὴ δίκαιον· εἰ δ' ἐγὼ νέος,
οὐ τὸν χρόνον χρὴ μᾶλλον ἢ τἄργα σκοπεῖν.

ΚΡΕΩΝ.

ἔργον γάρ ἐστι τοὺς ἀκοσμοῦντας σέβειν.

ΑΙΜΩΝ.

οὐδ' ἂν κελεύσαιμ' εὐσεβεῖν εἰς τοὺς κακούς.

ΚΡΕΩΝ.

οὐχ ἥδε γὰρ τοιᾷδ' ἐπείληπται νόσῳ;

ΑΙΜΩΝ.

οὔ φησι Θήβης τῆσδ' ὁμόπτολις λεώς.

ΚΡΕΩΝ.

πόλις γὰρ ἡμῖν ἁμὲ χρὴ τάσσειν ἐρεῖ;

ΑΙΜΩΝ.

ὁρᾷς τόδ' ὡς εἴρηκας ὡς ἄγαν νέος;

ΚΡΕΩΝ.

ἄλλῳ γὰρ ἢ 'μοὶ χρή γε τῆσδ' ἄρχειν χθονός;

ΑΙΜΩΝ.

πόλις γὰρ οὐκ ἔσθ' ἥτις ἀνδρός ἐσθ' ἑνός.

ΚΡΕΩΝ.

οὐ τοῦ κρατοῦντος ἡ πόλις νομίζεται;

ΑΙΜΩΝ.

καλῶς ἐρήμης γ' ἂν σὺ γῆς ἄρχοις μόνος.

ΚΡΕΩΝ.

ὅδ', ὡς ἔοικε, τῇ γυναικὶ συμμαχεῖ.

ΑΙΜΩΝ.

εἴπερ γυνὴ σύ· σοῦ γὰρ οὖν προκήδομαι.

ΚΡΕΩΝ.

ὦ παγκάκιστε, διὰ δίκης ἰὼν πατρί.

ΑΙΜΩΝ.

οὐ γὰρ δίκαιά σ' ἐξαμαρτάνονθ' ὁρῶ.

ΚΡΕΩΝ.

ἁμαρτάνω γὰρ τὰς ἐμὰς ἀρχὰς σέβων;

ΑΙΜΩΝ.

οὐ γὰρ σέβεις, τιμάς γε τὰς θεῶν πατῶν.

ΚΡΕΩΝ.

ὦ μιαρὸν ἦθος καὶ γυναικὸς ὕστερον.

ΑΙΜΩΝ.

οὐκ ἂν ἕλοις ἥσσω γε τῶν αἰσχρῶν ἐμέ.

ΚΡΕΩΝ.

ὁ γοῦν λόγος σοι πᾶς ὑπὲρ κείνης ὅδε.

ΑΙΜΩΝ.

καὶ σοῦ γε κἀμοῦ, καὶ θεῶν τῶν νερτέρων.

ΚΡΕΩΝ.

ταύτην ποτ' οὐκ ἔσθ' ὡς ἔτι ζῶσαν γαμεῖς.

ΑΙΜΩΝ.

ἥδ' οὖν θανεῖται, καὶ θανοῦσ' ὀλεῖ τινά.

ΚΡΕΩΝ.

ἦ κἀπαπειλῶν ὧδ' ἐπεξέρχει θρασύς;

ΑΙΜΩΝ.

τίς δ' ἔστ' ἀπειλὴ πρὸς κενὰς γνώμας λέγειν;

ΚΡΕΩΝ.

κλαίων φρενώσεις, ὢν φρενῶν αὐτὸς κενός.

ΑΙΜΩΝ.

εἰ μὴ πατὴρ ἦσθ', εἶπον ἄν σ' οὐκ εὖ φρονεῖ

ΚΡΕΩΝ.

γυναικὸς ὢν δούλευμα, μὴ κώτιλλέ με.

ΑΙΜΩΝ.

βούλει λέγειν τι, καὶ λέγων μηδὲν κλύειν;

ΚΡΕΩΝ.

ἄληθες; ἀλλ' οὐ, τόνδ' Ὄλυμπον, ἴσθ' ὅτι
χαίρων ἐπὶ ψόγοισι δεννάσεις ἐμέ.
ἄγετε τὸ μῖσος, ὡς κατ' ὄμματ' αὐτίκα
παρόντι θνήσκῃ πλησία τῷ νυμφίῳ.

ΑΙΜΩΝ.

οὐ δῆτ' ἔμοιγε, τοῦτο μὴ δόξῃς ποτέ,
οὔθ' ἥδ' ὀλεῖται πλησία, σύ τ' οὐδαμὰ

τοὐμὸν προσόψει κρᾶτ' ἐν ὀφθαλμοῖς ὁρῶν,
ὡς τοῖς θέλουσι τῶν φίλων μαίνῃ ξυνών.

ΧΟΡΟΣ.

ἀνήρ, ἄναξ, βέβηκεν ἐξ ὀργῆς ταχύς·
νοῦς δ' ἐστὶ τηλικοῦτος ἀλγήσας βαρύς.

ΚΡΕΩΝ.

δράτω, φρονείτω μεῖζον ἢ κατ' ἄνδρ' ἰών·
τὰ δ' οὖν κόρα τάδ' οὐκ ἀπαλλάξει μόρου.

ΧΟΡΟΣ.

ἄμφω γὰρ αὐτὰ καὶ κατακτεῖναι νοεῖς;

ΚΡΕΩΝ.

οὐ τήν γε μὴ θιγοῦσαν. εὖ γὰρ οὖν λέγεις.

ΧΟΡΟΣ.

μόρῳ δὲ ποίῳ καί σφε βουλεύει κτανεῖν;

ΚΡΕΩΝ.

ἄγων ἔρημος ἔνθ' ἂν ᾖ βροτῶν στίβος
κρύψω πετρώδει ζῶσαν ἐν κατώρυχι,
φορβῆς τοσοῦτον ὡς ἄγος μόνον προθείς,
ὅπως μίασμα πᾶσ' ὑπεκφύγῃ πόλις.
κἀκεῖ τὸν Ἅιδην, ὃν μόνον σέβει θεῶν,
αἰτουμένη που τεύξεται τὸ μὴ θανεῖν,
ἢ γνώσεται γοῦν ἀλλὰ τηνικαῦθ' ὅτι
πόνος περισσός ἐστι τὰν Ἅιδου σέβειν.

ΧΟΡΟΣ.

Ἔρως ἀνίκατε μάχαν,
Ἔρως, ὃς ἐν κτήμασι πίπτεις,
ὃς ἐν μαλακαῖς παρειαῖς
νεάνιδος ἐννυχεύεις,
φοιτᾷς δ' ὑπερπόντιος ἔν τ' ἀγρονόμοις αὐλαῖς·
καί σ' οὔτ' ἀθανάτων φύξιμος οὐδεὶς
οὔθ' ἁμερίων ἐπ' ἀνθρώ-
πων, ὁ δ' ἔχων μέμηνεν.
σὺ καὶ δικαίων ἀδίκους
φρένας παρασπᾷς ἐπὶ λώβᾳ·
σὺ καὶ τόδε νεῖκος ἀνδρῶν
ξύναιμον ἔχεις ταράξας·
νικᾷ δ' ἐναργὴς βλεφάρων ἵμερος εὐλέκτρου
νύμφας, τῶν μεγάλων πάρεδρος ἐν ἀρχαῖς
θεσμῶν. ἄμαχος γὰρ ἐμπαί-
ζει θεὸς Ἀφροδίτα.
νῦν δ' ἤδη 'γὼ καὐτὸς θεσμῶν
ἔξω φέρομαι τάδ' ὁρῶν, ἴσχειν δ'
οὐκ ἔτι πηγὰς δύναμαι δακρύων,
τὸν παγκοίταν ὅθ' ὁρῶ θάλαμον
τήνδ' Ἀντιγόνην ἀνύτουσαν.

ΑΝΤΙΓΟΝΗ.

ὁρᾶτ' ἔμ', ὦ γᾶς πατρίας πολῖται,
τὰν νεάταν ὁδὸν
στείχουσαν, νέατον δὲ φέγγος
λεύσσουσαν ἀελίου,
κοὔποτ' αὖθις· ἀλλά μ' ὁ παγ-
κοίτας Ἅιδας ζῶσαν ἄγει
τὰν Ἀχέροντος
ἀκτάν, οὔθ' ὑμεναίων
ἔγκληρον, οὔτ' ἐπινύμφειός
πώ μέ τις ὕμνος
ὕμνησεν, ἀλλ' Ἀχέροντι νυμφεύσω.

781—790. = 791—800.
806—816. = 823—833.

ΧΟΡΟΣ.

οὐκοῦν κλεινὴ καὶ ἔπαινον ἔχουσ'
ἐς τόδ' ἀπέρχει κεῦθος νεκύων,
οὔτε φθινάσιν πληγεῖσα νόσοις
οὔτε ξιφέων ἐπίχειρα λαχοῦσ',
ἀλλ' αὐτόνομος, ζῶσα, μόνη δὴ
θνατῶν, Ἀΐδαν καταβήσει.

ΑΝΤΙΓΟΝΗ.

ἤκουσα δὴ λυγροτάταν ὀλέσθαι
τὰν Φρυγίαν ξέναν
Ταντάλου Σιπύλῳ πρὸς ἄκρῳ,
τὰν κισσὸς ὡς ἀτενὴς
πετραία βλάστα δάμασεν,
καί νιν ὄμβρῳ τακομέναν,
ὡς φάτις ἀνδρῶν,
χιών τ' οὐδαμὰ λείπει
τέγγει θ' ὑπ' ὀφρύσι παγκλαύτοις
δειράδας· ᾇ με
δαίμων ὁμοιοτάταν κατευνάζει.

ΧΟΡΟΣ.

ἀλλὰ θεός τοι καὶ θεογεννής,
ἡμεῖς δὲ βροτοὶ καὶ θνητογενεῖς.
καίτοι φθιμένῳ τοῖς ἰσοθέοις
ἔγκληρα λαχεῖν μέγ' ἀκοῦσαι.

ΑΝΤΙΓΟΝΗ.

οἴμοι γελῶμαι. τί με, πρὸς θεῶν πατρῴων,
οὐκ ὀλλυμέναν ὑβρίζεις,
ἀλλ' ἐπίφαντον;
ὦ πόλις, ὦ πόλεως
πολυκτήμονες ἄνδρες·
ἰὼ Διρκαῖαι κρῆναι Θήβας τ'
εὐαρμάτου ἄλσος, ἔμπας
ξυμμάρτυρας ὔμμ' ἐπικτῶμαι,
οἵα φίλων ἄκλαυτος, οἵοις νόμοις
πρὸς ἕρμα τυμβόχωστον ἔρχομαι τάφου ποταινίου·
ἰὼ δύστανος,
οὔτ' ἐν βροτοῖς οὔτ' ἐν νεκροῖσιν
μέτοικος, οὐ ζῶσιν, οὐ θανοῦσιν.

ΧΟΡΟΣ.

προβᾶσ' ἐπ' ἔσχατον θράσους
ὑψηλὸν ἐς Δίκας βάθρον
προσέπεσες, ὦ τέκνον, πολύ.
πατρῷον δ' ἐκτίνεις τιν' ἆθλον.

ΑΝΤΙΓΟΝΗ.

ἔψαυσας ἀλγεινοτάτας ἐμοὶ μερίμνας
πατρὸς τριπόλιστον οἶκον,
τοῦ τε πρόπαντος
ἁμετέρου πότμου
κλεινοῖς Λαβδακίδαισιν.
ἰὼ ματρῷαι λέκτρων ἆται
κοιμήματά τ' αὐτογέννητ'
ἐμῷ πατρὶ δυσμόρου ματρός,
οἵων ἐγώ ποθ' ἁ ταλαίφρων ἔφυν·
πρὸς οὓς ἀραῖος, ἄγαμος, ἅδ' ἐγὼ μέτοικος ἔρ-
χομαι.
ἰὼ δυσπότμων
κασίγνητε γάμων κυρήσας,
θανὼν ἔτ' οὖσαν κατήναρές με.

838—856. = 857—875.

ΧΟΡΟΣ.

*σέβειν μὲν εὐσέβειά τις,*
*κράτος δ' ὅτῳ κράτος μέλει*
*παραβατὸν οὐδαμῆ πέλει,*
*σὲ δ' αὐτόγνωτος ὤλεσ' ὀργά.*

ΑΝΤΙΓΟΝΗ.

*ἄκλαυτος, ἄφιλος, ἀνυμέναιος,*
*ταλαίφρων ἄγομαι τάνδ' ἑτοίμαν ὁδόν.*
*οὐκ ἔτι μοι τόδε λαμπάδος ἱερὸν ὄμμα*
*θέμις ὁρᾶν ταλαίνᾳ·*
*τὸν δ' ἐμὸν πότμον ἀδάκρυτον οὐδεὶς φίλων*
*στενάζει.*

ΚΡΕΩΝ.

*ἆρ' ἴστ', ἀοιδὰς καὶ γόους πρὸ τοῦ θανεῖν,*
*ὡς οὐδ' ἂν εἷς παύσαιτ' ἄν, εἰ χρείη λέγειν;*
*οὐκ ἄξεθ' ὡς τάχιστα, καὶ κατηρεφεῖ*
*τύμβῳ περιπτύξαντες, ὡς εἴρηκ' ἐγώ,*
*ἄφετε μόνην ἔρημον, εἴτε χρῇ θανεῖν*
*εἴτ' ἐν τοιαύτῃ ζῶσα τυμβεύειν στέγῃ·*
*ἡμεῖς γὰρ ἁγνοὶ τοὐπὶ τήνδε τὴν κόρην·*
*μετοικίας δ' οὖν τῆς ἄνω στερήσεται.*

ΑΝΤΙΓΟΝΗ.

*ὦ τύμβος, ὦ νυμφεῖον, ὦ κατασκαφὴς*
*οἴκησις ἀείφρουρος, οἷ πορεύομαι*
*πρὸς τοὺς ἐμαυτῆς, ὧν ἀριθμὸν ἐν νεκροῖς*
*πλεῖστον δέδεκται Φερσέφασσ' ὀλωλότων·*
*ὧν λοισθία 'γὼ καὶ κάκιστα δὴ μακρῷ*
*κάτειμι, πρίν μοι μοῖραν ἐξήκειν βίου.*
*ἐλθοῦσα μέντοι κάρτ' ἐν ἐλπίσιν τρέφω*
*φίλη μὲν ἥξειν πατρί, προσφιλὴς δὲ σοί,*
*μῆτερ, φίλη δὲ σοί, κασίγνητον κάρα·*
*ἐπεὶ θανόντας αὐτόχειρ ὑμᾶς ἐγὼ*
*ἔλουσα κἀκόσμησα κἀπιτυμβίους*
*χοὰς ἔδωκα· νῦν δέ, Πολύνεικες, τὸ σὸν*
*δέμας περιστέλλουσα τοιάδ' ἄρνυμαι.*
*καίτοι σ' ἐγὼ 'τίμησα τοῖς φρονοῦσιν εὖ.*
*οὐ γάρ ποτ' οὔτ' ἂν εἰ τέκνων μήτηρ ἔφυν*
*οὔτ' εἰ πόσις μοι κατθανὼν ἐτήκετο,*
*βίᾳ πολιτῶν τόνδ' ἂν ἠρόμην πόνον.*
*τίνος νόμου δὴ ταῦτα πρὸς χάριν λέγω;*
*πόσις μὲν ἄν μοι κατθανόντος ἄλλος ἦν,*
*καὶ παῖς ἀπ' ἄλλου φωτός, εἰ τοῦδ' ἤμπλακον,*
*μητρὸς δ' ἐν Ἅιδου καὶ πατρὸς κεκευθότοιν*
*οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλάστοι ποτέ.*
*τοιῷδε μέντοι σ' ἐκπροτιμήσασ' ἐγὼ*
*νόμῳ, Κρέοντι ταῦτ' ἔδοξ' ἁμαρτάνειν*
*καὶ δεινὰ τολμᾶν, ὦ κασίγνητον κάρα.*
*καὶ νῦν ἄγει με διὰ χερῶν οὕτω λαβών,*
*ἄλεκτρον, ἀνυμέναιον, οὔτε του γάμου*
*μέρος λαχοῦσαν οὔτε παιδείου τροφῆς,*
*ἀλλ' ὧδ' ἔρημος πρὸς φίλων ἡ δύσμορος*
*ζῶσ' εἰς θανόντων ἔρχομαι κατασκαφάς·*
*ποίαν παρεξελθοῦσα δαιμόνων δίκην;*
*τί χρή με τὴν δύστηνον εἰς θεοὺς ἔτι*
*βλέπειν; τίν' αὐδᾶν ξυμμάχων; ἐπεί γε δὴ*
*τὴν δυσσέβειαν εὐσεβοῦσ' ἐκτησάμην.*
*ἀλλ' εἰ μὲν οὖν τάδ' ἐστὶν ἐν θεοῖς καλά,*
*παθόντες ἂν ξυγγνοῖμεν ἡμαρτηκότες·*
*εἰ δ' οἵδ' ἁμαρτάνουσι, μὴ πλείω κακὰ*
*πάθοιεν ἢ καὶ δρῶσιν ἐκδίκως ἐμέ.*

ΧΟΡΟΣ.

*ἔτι τῶν αὐτῶν ἀνέμων αὐταὶ*
*ψυχῆς ῥιπαὶ τήνδε γ' ἔχουσιν.*

ΚΡΕΩΝ.

*τοιγὰρ τούτων τοῖσιν ἄγουσιν*
*κλαύμαθ' ὑπάρξει βραδυτῆτος ὕπερ.*

ΑΝΤΙΓΟΝΗ.

*οἴμοι, θανάτου τοῦτ' ἐγγυτάτω*
*τοὔπος ἀφῖκται.*

ΚΡΕΩΝ.

*θαρσεῖν οὐδὲν παραμυθοῦμαι*
*μὴ οὐ τάδε ταύτῃ κατακυροῦσθαι.*

ΑΝΤΙΓΟΝΗ.

*ὦ γῆς Θήβης ἄστυ πατρῷον*
*καὶ θεοὶ προγενεῖς,*
*ἄγομαι δὴ 'γὼ κοὐκ ἔτι μέλλω.*
*λεύσσετε, Θήβης οἱ κοιρανίδαι,*
*τὴν βασιλίδα μούνην λοιπήν,*
*οἷα πρὸς οἵων ἀνδρῶν πάσχω,*
*τὴν εὐσεβίαν σεβίσασα.*

ΧΟΡΟΣ.

*ἔτλα καὶ Δανάας οὐράνιον φῶς*
*ἀλλάξαι δέμας ἐν χαλκοδέτοις*
*αὐλαῖς· κρυπτομένα δ' ἐν*
*τυμβήρει θαλάμῳ κατεζεύχθη·*
*καίτοι καὶ γενεᾷ τίμιος, ὦ παῖ παῖ,*
*καὶ Ζηνὸς ταμιεύεσκε γονὰς χρυσορύτους.*
*ἀλλ' ἁ μοιριδία τις δύνασις δεινά·*
*οὔτ' ἄν νιν ὄμβρος οὔτ' Ἄρης,*
*οὐ πύργος, οὐχ ἁλίκτυποι*
*κελαιναὶ νᾶες ἐκφύγοιεν.*
*ζεύχθη δ' ὀξυχόλοις παῖς ὁ Δρύαντος,*
*Ἠδωνῶν βασιλεύς, κερτομίοις*
*ὀργαῖς, ἐκ Διονύσου*
*πετρώδει κατάφρακτος ἐν δεσμῷ.*
*οὕτω τᾶς μανίας δεινὸν ἀποστάζει*
*ἀνθηρόν τε μένος. κεῖνος ἐπέγνω μανίαις*
*ψαύων τὸν θεὸν ἐν κερτομίοις γλώσσαις.*
*παύεσκε μὲν γὰρ ἐνθέους*
*γυναῖκας εὔιόν τε πῦρ,*
*φιλαύλους τ' ἠρέθιζε Μούσας.*
*παρὰ δὲ Κυανέων πελαγέων διδύμας ἁλὸς*
*ἀκταὶ Βοσπόριαι ἰδ' ὁ Θρηκῶν Σαλμυδησὸ*
*ἵν' ἀγχίπτολις Ἄρης*
*δισσοῖσι Φινεΐδαις*
*εἶδεν ἀρατὸν ἕλκος*
*τυφλωθὲν ἐξ ἀγρίας δάμαρτος*
*ἀλαὸν ἀλαστόροισιν ὀμμάτων κύκλοις*
*ἄτερθ' ἐγχέων, ὑφ' αἱματηραῖς*
*χείρεσσι καὶ κερκίδων ἀκμαῖσιν.*
*κατὰ δὲ τακόμενοι μέλεοι μελέαν πάθαν*
*κλαῖον, ματρὸς ἔχοντες ἀνύμφευτον γονάν*
*δὲ σπέρμα μὲν ἀρχαιογόνων*
*ἄντασ' Ἐρεχθεϊδᾶν,*
*τηλεπόροις δ' ἐν ἄντροις*
*τράφη θυέλλαισιν ἐν πατρῴαις*
*Βορεὰς ἅμιππος ὀρθόποδος ὑπὲρ πάγου*

944—954. = 955—965.
966—976. = 977—987.

θεῶν παῖς· ἀλλὰ κἀπ' ἐκείνᾳ
Μοῖραι μακραίωνες ἔσχον, ὦ παῖ.

ΤΕΙΡΕΣΙΑΣ.

Θήβης ἄνακτες, ἥκομεν κοινὴν ὁδὸν
δύ' ἐξ ἑνὸς βλέποντε, τοῖς τυφλοῖσι γὰρ
αὕτη κέλευθος ἐκ προηγητοῦ πέλει.

ΚΡΕΩΝ.

τί δ' ἔστιν, ὦ γεραιὲ Τειρεσία, νέον;

ΤΕΙΡΕΣΙΑΣ.

ἐγὼ διδάξω· καὶ σὺ τῷ μάντει πιθοῦ.

ΚΡΕΩΝ.

οὔκουν πάρος γε σῆς ἀπεστάτουν φρενός.

ΤΕΙΡΕΣΙΑΣ.

τοιγὰρ δι' ὀρθῆς τήνδε ναυκληρεῖς πόλιν.

ΚΡΕΩΝ.

ἔχω πεπονθὼς μαρτυρεῖν ὀνήσιμα.

ΤΕΙΡΕΣΙΑΣ.

φρόνει βεβὼς αὖ νῦν ἐπὶ ξυροῦ τύχης.

ΚΡΕΩΝ.

τί δ' ἔστιν; ὡς ἐγὼ τὸ σὸν φρίσσω στόμα.

ΤΕΙΡΕΣΙΑΣ.

γνώσει, τέχνης σημεῖα τῆς ἐμῆς κλύων.
ἐς γὰρ παλαιὸν θᾶκον ὀρνιθοσκόπον
ἵζων, ἵν' ἦν μοι παντὸς οἰωνοῦ λιμὴν,
ἀγνῶτ' ἀκούω φθόγγον ὀρνίθων, κακῷ
κλάζοντας οἴστρῳ καὶ βεβαρβαρωμένῳ·
καὶ σπῶντας ἐν χηλαῖσιν ἀλλήλους φοναῖς
ἔγνων· πτερῶν γὰρ ῥοῖβδος οὐκ ἄσημος ἦν.
εὐθὺς δὲ δείσας ἐμπύρων ἐγευόμην
βωμοῖσι παμφλέκτοισιν· ἐκ δὲ θυμάτων
Ἥφαιστος οὐκ ἔλαμπεν, ἀλλ' ἐπὶ σποδῷ
μυδῶσα κηκὶς μηρίων ἐτήκετο
κἄτυφε κἀνέπτυε, καὶ μετάρσιοι
χολαὶ διεσπείροντο, καὶ καταρρυεῖς
μηροὶ καλυπτῆς ἐξέκειντο πιμελῆς.
τοιαῦτα παιδὸς τοῦδ' ἐμάνθανον πάρα
φθίνοντ' ἀσήμων ὀργίων μαντεύματα.
ἐμοὶ γὰρ οὗτος ἡγεμὼν, ἄλλοις δ' ἐγώ.
καὶ ταῦτα τῆς σῆς ἐκ φρενὸς νοσεῖ πόλις.
βωμοὶ γὰρ ἡμῖν ἐσχάραι τε παντελεῖς
πλήρεις ὑπ' οἰωνῶν τε καὶ κυνῶν βορᾶς
τοῦ δυσμόρου πεπτῶτος Οἰδίπου γόνου.
κᾆτ' οὐ δέχονται θυστάδας λιτὰς ἔτι
θεοὶ παρ' ἡμῶν οὐδὲ μηρίων φλόγα,
οὐδ' ὄρνις εὐσήμους ἀπορροιβδεῖ βοὰς,
ἀνδροφθόρου βεβρῶτες αἵματος λίπος.
ταῦτ' οὖν, τέκνον, φρόνησον. ἀνθρώποισι γὰρ
τοῖς πᾶσι κοινόν ἐστι τοὐξαμαρτάνειν·
ἐπεὶ δ' ἁμάρτῃ, κεῖνος οὐκ ἔτ' ἔστ' ἀνὴρ
ἄβουλος οὐδ' ἄνολβος, ὅστις ἐς κακὸν
πεσὼν ἀκεῖται μηδ' ἀκίνητος πέλει.
αὐθαδία τοι σκαιότητ' ὀφλισκάνει.
ἀλλ' εἶκε τῷ θανόντι μηδ' ὀλωλότα
κέντει. τίς ἀλκὴ τὸν θανόντ' ἐπικτανεῖν;
εὖ σοι φρονήσας εὖ λέγω· τὸ μανθάνειν δ'
ἥδιστον εὖ λέγοντος, εἰ κέρδος φέροι.

ΚΡΕΩΝ.

ὦ πρέσβυ, πάντες ὥστε τοξόται σκοποῦ
τοξεύετ' ἀνδρὸς τοῦδε, κοὐδὲ μαντικῆς
ἄπρακτος ὑμῖν εἰμι, τῶν δ' ὕπαι γένους
ἐξημπόλημαι κἀκπεφόρτισμαι πάλαι.
κερδαίνετ', ἐμπολᾶτε τὸν πρὸς Σάρδεων
ἤλεκτρον, εἰ βούλεσθε, καὶ τὸν Ἰνδικὸν
χρυσόν· τάφῳ δ' ἐκεῖνον οὐχὶ κρύψετε,
οὐδ' εἰ θέλουσ' οἱ Ζηνὸς αἰετοὶ βορὰν
φέρειν νιν ἁρπάζοντες ἐς Διὸς θρόνους,
οὐδ' ὣς μίασμα τοῦτο μὴ τρέσας ἐγὼ
θάπτειν παρήσω κεῖνον. εὖ γὰρ οἶδ' ὅτι
θεοὺς μιαίνειν οὔτις ἀνθρώπων σθένει.
πίπτουσι δ', ὦ γεραιὲ Τειρεσία, βροτῶν
χοἰ πολλὰ δεινοὶ πτώματ' αἴσχρ', ὅταν λόγους
αἰσχροὺς καλῶς λέγωσι τοῦ κέρδους χάριν.

ΤΕΙΡΕΣΙΑΣ.

φεῦ·
ἆρ' οἶδεν ἀνθρώπων τις, ἆρα φράζεται,

ΚΡΕΩΝ.

τί χρῆμα; ποῖον τοῦτο πάγκοινον λέγεις;

ΤΕΙΡΕΣΙΑΣ.

ὅσῳ κράτιστον κτημάτων εὐβουλία;

ΚΡΕΩΝ.

ὅσῳπερ, οἶμαι, μὴ φρονεῖν πλείστη βλάβη.

ΤΕΙΡΕΣΙΑΣ.

ταύτης σὺ μέντοι τῆς νόσου πλήρης ἔφυς.

ΚΡΕΩΝ.

οὐ βούλομαι τὸν μάντιν ἀντειπεῖν κακῶς.

ΤΕΙΡΕΣΙΑΣ.

καὶ μὴν λέγεις, ψευδῆ με θεσπίζειν λέγων.

ΚΡΕΩΝ.

τὸ μαντικὸν γὰρ πᾶν φιλάργυρον γένος.

ΤΕΙΡΕΣΙΑΣ.

τὸ δ' ἐκ τυράννων αἰσχροκέρδειαν φιλεῖ.

ΚΡΕΩΝ.

ἆρ' οἶσθα ταγοὺς ὄντας ἂν λέγῃς λέγων;

ΤΕΙΡΕΣΙΑΣ.

οἶδ'. ἐξ ἐμοῦ γὰρ τήνδ' ἔχεις σώσας πόλιν.

ΚΡΕΩΝ.

σοφὸς σὺ μάντις, ἀλλὰ τἀδικεῖν φιλῶν.

ΤΕΙΡΕΣΙΑΣ.

ὄρσεις με τἀκίνητα διὰ φρενῶν φράσαι.

ΚΡΕΩΝ.

κίνει, μόνον δὲ μὴ 'πὶ κέρδεσιν λέγων.

ΤΕΙΡΕΣΙΑΣ.

οὕτω γὰρ ἤδη καὶ δοκῶ τὸ σὸν μέρος.

ΚΡΕΩΝ.

ὡς μὴ 'μπολήσων ἴσθι τὴν ἐμὴν φρένα.

ΤΕΙΡΕΣΙΑΣ.

ἀλλ' εὖ γέ τοι κάτισθι μὴ πολλοὺς ἔτι
τροχοὺς ἁμιλλητῆρας ἡλίου τελῶν,
ἐν οἷσι τῶν σῶν αὐτὸς ἐκ σπλάγχνων ἕνα
νέκυν νεκρῶν ἀμοιβὸν ἀντιδοὺς ἔσει,
ἀνθ' ὧν ἔχεις μὲν τῶν ἄνω βαλὼν κάτω,
ψυχήν τ' ἀτίμως ἐν τάφῳ κατῴκισας·
ἔχεις δὲ τῶν κάτωθεν ἐνθάδ' αὖ θεῶν
ἄμοιρον, ἀκτέριστον, ἀνόσιον νέκυν.
ὧν οὔτε σοὶ μέτεστιν οὔτε τοῖς ἄνω
θεοῖσιν, ἀλλ' ἐκ σοῦ βιάζονται τάδε.
τούτων σε λωβητῆρες ὑστεροφθόροι
λοχῶσιν Ἅιδου καὶ θεῶν Ἐρινύες,
ἐν τοῖσιν αὐτοῖς τοῖσδε ληφθῆναι κακοῖς.
καὶ ταῦτ' ἄθρησον εἰ κατηργυρωμένος

λέγω. φανεῖ γὰρ, οὐ μακροῦ χρόνου τριβὴ,
ἀνδρῶν γυναικῶν σοῖς δόμοις κωκύματα.
ἐχθραὶ δὲ πᾶσαι συνταράσσονται πόλεις
ὅσων σπαράγματ' ἢ κύνες καθήγισαν,
ἢ θῆρες, ἤ τις πτηνὸς οἰωνὸς, φέρων
ἀνόσιον ὀσμὴν ἑστιοῦχον ἐς πόλιν.
τοιαῦτά σου, λυπεῖς γὰρ, ὥστε τοξότης
ἀφῆκα θυμῷ καρδίας τοξεύματα
βέβαια, τῶν σὺ θάλπος οὐχ ὑπεκδραμεῖ.
ὦ παῖ, σὺ δ' ἡμᾶς ἄπαγε πρὸς δόμους, ἵνα
τὸν θυμὸν οὗτος ἐς νεωτέρους ἀφῇ,
καὶ γνῷ τρέφειν τὴν γλῶσσαν ἡσυχωτέραν
τὸν νοῦν τ' ἀμείνω τῶν φρενῶν ἢ νῦν φέρει.

ΧΟΡΟΣ.

ἀνὴρ, ἄναξ, βέβηκε δεινὰ θεσπίσας.
ἐπιστάμεσθα δ', ἐξ ὅτου λευκὴν ἐγὼ
τήνδ' ἐκ μελαίνης ἀμφιβάλλομαι τρίχα,
μή πώ ποτ' αὐτὸν ψεῦδος ἐς πόλιν λακεῖν.

ΚΡΕΩΝ.

ἔγνωκα καὐτὸς καὶ ταράσσομαι φρένας.
τό τ' εἰκαθεῖν γὰρ δεινόν· ἀντιστάντα δὲ
ἄτῃ πατάξαι θυμὸν ἐν δεινῷ πάρα.

ΧΟΡΟΣ.

εὐβουλίας δεῖ, παῖ Μενοικέως Κρέον.

ΚΡΕΩΝ.

τί δῆτα χρὴ δρᾶν; φράζε· πείσομαι δ' ἐγώ.

ΧΟΡΟΣ.

ἐλθὼν κόρην μὲν ἐκ κατώρυχος στέγης
ἄνες· κτίσον δὲ τῷ προκειμένῳ τάφον.

ΚΡΕΩΝ.

καὶ ταῦτ' ἐπαινεῖς καὶ δοκεῖς παρεικαθεῖν;

ΧΟΡΟΣ.

ὅσον γ', ἄναξ, τάχιστα. συντέμνουσι γὰρ
θεῶν ποδώκεις τοὺς κακόφρονας βλάβαι.

ΚΡΕΩΝ.

οἴμοι· μόλις μὲν, καρδίας δ' ἐξίσταμαι
τὸ δρᾶν· ἀνάγκῃ δ' οὐχὶ δυσμαχητέον.

ΧΟΡΟΣ.

δρᾶ νυν τάδ' ἐλθὼν μηδ' ἐπ' ἄλλοισιν τρέπε.

ΚΡΕΩΝ.

ὧδ' ὡς ἔχω στείχοιμ' ἄν· ἴτ' ἴτ' ὀπάονες
οἵ τ' ὄντες οἵ τ' ἀπόντες, ἀξίνας χεροῖν
ὁρμᾶσθ' ἑλόντες εἰς ἐπόψιον τόπον.
ἐγὼ δ', ἐπειδὴ δόξα τῇδ' ἐπεστράφη,
αὐτός τ' ἔδησα, καὶ παρὼν ἐκλύσομαι.
δέδοικα γὰρ μὴ τοὺς καθεστῶτας νόμους
ἄριστον ᾖ σώζοντα τὸν βίον τελεῖν.

ΧΟΡΟΣ.

πολυώνυμε, Καδμείας
Νύμφας ἄγαλμα, καὶ Διὸς βαρυβρεμέτα γένος,
κλυτὰν ὃς ἀμφέπεις
Ἰταλίαν, μέδεις δὲ παγ-
κοίνοις Ἐλευσινίας
Δηοῦς ἐν κόλποις,
ὦ Βακχεῦ, Βακχᾶν μητρόπολιν Θήβαν
ναίων παρ' ὑγρῶν
Ἰσμηνοῦ ῥείθρων, ἀγρίου τ'
ἐπὶ σπορᾷ δράκοντος·
σὲ δ' ὑπὲρ διλόφου πέτρας

1115—1125. == 1126—1136.

στέροψ ὄπωπε λιγνὺς, ἔνθα Κωρύκιαι Νύμφαι
στείχουσι Βακχίδες,
Κασταλίας τε νᾶμα· καί
σε Νυσαίων ὀρέων
κισσήρεις ὄχθαι,
χλωρά τ' ἀκτὰ πολύσταφυλος πέμπει
ἀβρότων' ἐπέων
εὐαζόντων Θηβαίας
ἐπισκοποῦντ' ἀγυιάς·
τὰν ἐκ πασᾶν τιμᾷς
ὑπερτάταν πόλεων
ματρὶ σὺν κεραυνίᾳ·
καὶ νῦν, ὡς βιαίας
ἔχεται πανδήμιος
πόλις ἐπὶ νόσου, μολεῖν
καθαρσίῳ ποδὶ Παρνησίαν
ὑπὲρ κλιτὺν, ἢ στονόεντα πορθμόν.
ἰὼ πῦρ πνεόντων
χοράγ' ἄστρων, νυχίων
φθεγμάτων ἐπίσκοπε,
παῖ Διὸς γένεθλον,
προφάνηθι Ναξίαις
σαῖς ἅμα περιπόλοις
Θυιάσιν, αἵ σε μαινόμεναι πάννυχοι
χορεύουσι, τὸν ταμίαν Ἴακχον.

ΑΓΓΕΛΟΣ.

Κάδμου πάροικοι καὶ δόμων Ἀμφίονος,
οὐκ ἔσθ' ὁποῖον στάντ' ἂν ἀνθρώπου βίον
οὔτ' αἰνέσαιμ' ἂν οὔτε μεμψαίμην ποτέ.
τύχη γὰρ ὀρθοῖ καὶ τύχη καταρρέπει
τὸν εὐτυχοῦντα τόν τε δυστυχοῦντ' ἀεί·
καὶ μάντις οὐδεὶς τῶν καθεστώτων βροτοῖς.
Κρέων γὰρ ἦν ζηλωτὸς, ὡς ἐμοὶ, ποτὲ,
σώσας μὲν ἐχθρῶν τήνδε Καδμείαν χθόνα,
λαβών τε χώρας παντελῆ μοναρχίαν
εὔθυνε, θάλλων εὐγενεῖ τέκνων σπορᾷ·
καὶ νῦν ἀφεῖται πάντα. τὰς γὰρ ἡδονὰς
ὅταν προδῶσιν ἄνδρες, οὐ τίθημ' ἐγὼ
ζῆν τοῦτον, ἀλλ' ἔμψυχον ἡγοῦμαι νεκρόν.
πλούτει τε γὰρ κατ' οἶκον, εἰ βούλει, μέγα,
καὶ ζῆ τύραννον σχῆμ' ἔχων· ἐὰν δ' ἀπῇ
τούτων τὸ χαίρειν, τἄλλ' ἐγὼ καπνοῦ σκιᾶς
οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν.

ΧΟΡΟΣ.

τί δ' αὖ τόδ' ἄχθος βασιλέων ἥκεις φέρων;

ΑΓΓΕΛΟΣ.

τεθνᾶσιν· οἱ δὲ ζῶντες αἴτιοι θανεῖν.

ΧΟΡΟΣ.

καὶ τίς φονεύει; τίς δ' ὁ κείμενος; λέγε.

ΑΓΓΕΛΟΣ.

Αἵμων ὄλωλεν· αὐτόχειρ δ' αἱμάσσεται.

ΧΟΡΟΣ.

πότερα πατρῴας, ἢ πρὸς οἰκείας χερός;

ΑΓΓΕΛΟΣ.

αὐτὸς πρὸς αὐτοῦ, πατρὶ μηνίσας φόνου.

ΧΟΡΟΣ.

ὦ μάντι, τοὔπος ὡς ἄρ' ὀρθὸν ἤνυσας.

ΑΓΓΕΛΟΣ.

ὡς ὧδ' ἐχόντων τἄλλα βουλεύειν πάρα.

1137—1145. == 1146—1154.

ΧΟΡΟΣ.

καὶ μὴν ὁρῶ τάλαιναν Εὐρυδίκην ὁμοῦ
δάμαρτα τὴν Κρέοντος· ἐκ δὲ δωμάτων
ἤτοι κλύουσα παιδὸς ἢ τύχῃ πάρα.

ΕΥΡΥΔΙΚΗ.

ὦ πάντες ἀστοὶ, τῶν λόγων ἐπῃσθόμην
πρὸς ἔξοδον στείχουσα, Παλλάδος θεᾶς
ὅπως ἱκοίμην εὐγμάτων προσήγορος.
καὶ τυγχάνω τε κλῇθρ' ἀνασπαστοῦ πύλης
χαλῶσα καί με φθόγγος οἰκείου κακοῦ
βάλλει δι' ὤτων· ὑπτία δὲ κλίνομαι
δείσασα πρὸς δμωαῖσι κἀποπλήσσομαι.
ἀλλ' ὅστις ἦν ὁ μῦθος αὖθις εἴπατε·
κακῶν γὰρ οὐκ ἄπειρος οὖσ' ἀκούσομαι.

ΑΓΓΕΛΟΣ.

ἐγὼ, φίλη δέσποινα, καὶ παρὼν ἐρῶ,
κοὐδὲν παρήσω τῆς ἀληθείας ἔπος.
τί γάρ σε μαλθάσσοιμ' ἂν ὧν ἐς ὕστερον
ψεῦσται φανούμεθ'; ὀρθὸν ἀλήθει' ἀεί.
ἐγὼ δὲ σῷ ποδαγὸς ἑσπόμην πόσει
πεδίον ἐπ' ἄκρον, ἔνθ' ἔκειτο νηλεὲς
κυνοσπάρακτον σῶμα Πολυνείκους ἔτι·
καὶ τὸν μὲν, αἰτήσαντες ἐνοδίαν θεὸν
Πλούτωνά τ' ὀργὰς εὐμενεῖς κατασχεθεῖν,
λούσαντες ἁγνὸν λουτρὸν, ἐν νεοσπάσιν
θαλλοῖς ὃ δὴ λέλειπτο συγκατῄθομεν,
καὶ τύμβον ὀρθόκρανον οἰκείας χθονὸς
χώσαντες αὖθις πρὸς λιθόστρωτον κόρης
νυμφεῖον Ἅιδου κοῖλον εἰσεβαίνομεν.
φωνῆς δ' ἄπωθεν ὀρθίων κωκυμάτων
κλύει τις ἀκτέριστον ἀμφὶ παστάδα,
καὶ δεσπότῃ Κρέοντι σημαίνει μολών·
τῷ δ' ἀθλίας ἄσημα περιβαίνει βοῆς
ἕρποντι μᾶλλον ἆσσον, οἰμώξας δ' ἔπος
ἵησι δυσθρήνητον, ὦ τάλας ἐγὼ,
ἆρ' εἰμὶ μάντις; ἆρα δυστυχεστάτην
κέλευθον ἕρπω τῶν παρελθουσῶν ὁδῶν;
παιδός με σαίνει φθόγγος. ἀλλὰ, πρόσπολοι,
ἴτ' ἆσσον ὠκεῖς, καὶ παραστάντες τάφῳ
ἀθρήσαθ', ἁρμὸν χώματος λιθοσπαδῆ
δύντες πρὸς αὐτὸ στόμιον, εἰ τὸν Αἵμονος
φθόγγον συνίημ', ἢ θεοῖσι κλέπτομαι.
τάδ' ἐξ ἀθύμου δεσπότου κελεύσμασιν
ἠθροῦμεν· ἐν δὲ λοισθίῳ τυμβεύματι
τὴν μὲν κρεμαστὴν αὐχένος κατείδομεν,
βρόχῳ μιτώδει σινδόνος καθημμένην,
τὸν δ' ἀμφὶ μέσσῃ περιπετῆ προσκείμενον,
εὐνῆς ἀποιμώζοντα τῆς κάτω φθορὰν
καὶ πατρὸς ἔργα καὶ τὸ δύστηνον λέχος.
ὁ δ' ὡς ὁρᾷ σφε, στυγνὸν οἰμώξας ἔσω
χωρεῖ πρὸς αὐτὸν κἀνακωκύσας καλεῖ,
ὦ τλῆμον, οἷον ἔργον εἴργασαι· τίνα
νοῦν ἔσχες; ἐν τῷ ξυμφορᾶς διεφθάρης;
ἔξελθε, τέκνον, ἱκέσιός σε λίσσομαι.
τὸν δ' ἀγρίοις ὄσσοισι παπτήνας ὁ παῖς,
πτύσας προσώπῳ κοὐδὲν ἀντειπὼν ξίφους
ἕλκει διπλοῦς κνώδοντας· ἐκ δ' ὁρμωμένου
πατρὸς φυγαῖσιν ἤμπλακ'· εἶθ' ὁ δύσμορος
αὑτῷ χολωθεὶς, ὥσπερ εἶχ', ἐπενταθεὶς
ἤρεισε πλευραῖς μέσσον ἔγχος, ἐς δ' ὑγρὸν
ἀγκῶν' ἔτ' ἔμφρων παρθένῳ προσπτύσσεται·
καὶ φυσιῶν ὀξεῖαν ἐκβάλλει πνοὴν
λευκῇ παρειᾷ φοινίου σταλάγματος.
κεῖται δὲ νεκρὸς περὶ νεκρῷ, τὰ νυμφικὰ
τέλη λαχὼν δείλαιος εἰν Ἅιδου δόμοις,
δείξας ἐν ἀνθρώποισι τὴν ἀβουλίαν
ὅσῳ μέγιστον ἀνδρὶ πρόσκειται κακόν.

ΧΟΡΟΣ.

τί τοῦτ' ἂν εἰκάσειας; ἡ γυνὴ πάλιν
φρούδη, πρὶν εἰπεῖν ἐσθλὸν ἢ κακὸν λόγον.

ΑΓΓΕΛΟΣ.

καὐτὸς τεθάμβηκ'· ἐλπίσιν δὲ βόσκομαι,
ἄχη τέκνου κλύουσαν ἐς πόλιν γόους
οὐκ ἀξιώσειν, ἀλλ' ὑπὸ στέγης ἔσω
δμωαῖς προθήσειν πένθος οἰκεῖον στένειν.
γνώμης γὰρ οὐκ ἄπειρος, ὥσθ' ἁμαρτάνειν.

ΧΟΡΟΣ.

οὐκ οἶδ'· ἐμοὶ δ' οὖν ἥ τ' ἄγαν σιγὴ βαρὺ
δοκεῖ προσεῖναι χἠ μάτην πολλὴ βοή.

ΑΓΓΕΛΟΣ.

ἀλλ' εἰσόμεσθα, μή τι καὶ κατάσχετον
κρυφῇ καλύπτει καρδίᾳ θυμουμένῃ,
δόμους παραστείχοντες. εὖ γὰρ οὖν λέγεις.
καὶ τῆς ἄγαν γάρ ἐστί που σιγῆς βάρος.

ΧΟΡΟΣ.

καὶ μὴν ὅδ' ἄναξ αὐτὸς ἐφήκει
μνῆμ' ἐπίσημον διὰ χειρὸς ἔχων,
εἰ θέμις εἰπεῖν, οὐκ ἀλλοτρίαν
ἄτην, ἀλλ' αὐτὸς ἁμαρτών.

ΚΡΕΩΝ.

ἰὼ φρενῶν δυσφρόνων ἁμαρτήματα
στερεὰ θανατόεντ'.
ὦ κτανόντας τε καὶ
θανόντας βλέποντες ἐμφυλίους.
ὤμοι ἐμῶν ἄνολβα βουλευμάτων.
ἰὼ παῖ, νέος νέῳ ξὺν μόρῳ,
αἰαῖ αἰαῖ,
ἔθανες, ἀπελύθης,
ἐμαῖς οὐδὲ σαῖσι δυσβουλίαις.

ΧΟΡΟΣ.

οἴμ' ὡς ἔοικας ὀψὲ τὴν δίκην ἰδεῖν.

ΚΡΕΩΝ.

οἴμοι,
ἔχω μαθὼν δείλαιος· ἐν δ' ἐμῷ κάρᾳ
θεὸς τότ' ἄρα τότε μέγα βάρος μ' ἔχων
ἔπαισεν, ἐν δ' ἔσεισεν ἀγρίαις ὁδοῖς,
οἴμοι λακπάτητον ἀντρέπων χαράν.
φεῦ φεῦ, ὦ πόνοι βροτῶν δύσπονοι.

ΕΞΑΓΓΕΛΟΣ.

ὦ δέσποθ', ὡς ἔχων τε καὶ κεκτημένος,
τὰ μὲν πρὸ χειρῶν τάδε φέρων, τὰ δ' ἐν δόμοις
ἔοικας ἥκειν καὶ τάχ' ὄψεσθαι κακά.

ΚΡΕΩΝ.

τί δ' ἔστιν αὖ κάκιον ἢ κακῶν ἔτι;

ΕΞΑΓΓΕΛΟΣ.

γυνὴ τέθνηκε, τοῦδε παμμήτωρ νεκροῦ,
δύστηνος, ἄρτι νεοτόμοισι πλήγμασιν.

ΚΡΕΩΝ.

ἰὼ ἰὼ δυσκάθαρτος Ἅιδου λιμὴν,

1261 — 1277. = 1284 — 1300.

τί μ' ἄρα τί μ' ὀλέκεις;
ὦ κακάγγελτά μοι
προπέμψας ἄχη, τίνα θροεῖς λόγον;
αἰαῖ, ὀλωλότ' ἄνδρ' ἐπεξειργάσω.
τί φῄς, τίνα λέγεις νέον μοι λόγον;
αἰαῖ αἰαῖ,
σφάγιον ἐπ' ὀλέθρῳ
γυναικεῖον ἀμφικεῖσθαι μόρον;

ΧΟΡΟΣ.

ὁρᾶν πάρεστιν. οὐ γὰρ ἐν μυχοῖς ἔτι.

ΚΡΕΩΝ.

οἴμοι,
κακὸν τόδ' ἄλλο δεύτερον βλέπω τάλας.
τίς ἄρα, τίς με πότμος ἔτι περιμένει;
ἔχω μὲν ἐν χείρεσσιν ἀρτίως τέκνον,
τάλας, τὸν δ' ἔναντα προσβλέπω νεκρόν.
φεῦ φεῦ μᾶτερ ἀθλία, φεῦ τέκνον.

ΕΞΑΓΓΕΛΟΣ.

ἡ δ' ὀξύθηκτος ἥδε βωμία πέριξ
λύει κελαινὰ βλέφαρα, κωκύσασα μὲν
τοῦ πρὶν θανόντος Μεγαρέως κλεινὸν λέχος,
αὖθις δὲ τοῦδε, λοίσθιον δὲ σοὶ κακὰς
πράξεις ἐφυμνήσασα τῷ παιδοκτόνῳ.

ΚΡΕΩΝ.

αἰαῖ αἰαῖ,
ἀνέπταν φόβῳ. τί μ' οὐκ ἀνταίαν
ἔπαισέν τις ἀμφιθήκτῳ ξίφει;
δείλαιος ἐγώ, φεῦ φεῦ,
δειλαίᾳ δὲ συγκέκραμαι δύᾳ.

ΕΞΑΓΓΕΛΟΣ.

ὡς αἰτίαν γε τῶνδε κἀκείνων ἔχων
πρὸς τῆς θανούσης τῆσδ' ἐπεσκήπτου μόρων.

ΚΡΕΩΝ.

ποίῳ δὲ κἀπελύσατ' ἐν φοναῖς τρόπῳ;

ΕΞΑΓΓΕΛΟΣ.

παίσασ' ὑφ' ἧπαρ αὐτόχειρ αὑτήν, ὅπως
παιδὸς τόδ' ᾔσθετ' ὀξυκώκυτον πάθος.

1306—1311. == 1328—1333.

ΚΡΕΩΝ.

ὤμοι μοι, τάδ' οὐκ ἐπ' ἄλλον βροτῶν
ἐμᾶς ἁρμόσει ποτ' ἐξ αἰτίας.
ἐγὼ γάρ σ' ἐγὼ ἔκανον, ὦ μέλεος,
ἐγώ, φάμ' ἔτυμον. ἰὼ πρόσπολοι,
ἄγετέ μ' ὅτι τάχος, ἄγετέ μ' ἐκποδών,
τὸν οὐκ ὄντα μᾶλλον ἢ μηδένα.

ΧΟΡΟΣ.

κέρδη παραινεῖς, εἴ τι κέρδος ἐν κακοῖς·
βράχιστα γὰρ κράτιστα τἀν ποσὶν κακά.

ΚΡΕΩΝ.

ἴτω ἴτω,
φανήτω μόρων ὁ κάλλιστ' ἐμῶν
ἐμοὶ τερμίαν ἄγων ἁμέραν
ὕπατος· ἴτω ἴτω,
ὅπως μηκέτ' ἆμαρ ἄλλ' εἰσίδω.

ΧΟΡΟΣ.

μέλλοντα ταῦτα. τῶν προκειμένων τι χρὴ
πράσσειν. μέλει γὰρ τῶνδ' ὅτοισι χρὴ μέλειν.

ΚΡΕΩΝ.

ἀλλ' ὧν ἐρῶ μέν, ταῦτα συγκατηυξάμην.

ΧΟΡΟΣ.

μή νυν προσεύχου μηδέν· ὡς πεπρωμένης
οὐκ ἔστι θνητοῖς συμφορᾶς ἀπαλλαγή.

ΚΡΕΩΝ.

ἄγοιτ' ἂν μάταιον ἄνδρ' ἐκποδών,
ὅς, ὦ παῖ, σέ τ' οὐχ ἑκὼν κάκτανον,
σέ τ' αὐτάν. ὤμοι μέλεος, οὐδ' ἔχω
ὅπα πρὸς πότερον ἴδω· πάντα γὰρ
λέχρια τἀν χεροῖν, τὰ δ' ἐπὶ κρατί μοι
πότμος δυσκόμιστος εἰσήλατο.

ΧΟΡΟΣ.

πολλῷ τὸ φρονεῖν εὐδαιμονίας
πρῶτον ὑπάρχει· χρὴ δὲ τά γ' εἰς θεοὺς
μηδὲν ἀσεπτεῖν· μεγάλοι δὲ λόγοι
μεγάλας πληγὰς τῶν ὑπεραύχων
ἀποτίσαντες
γήρᾳ τὸ φρονεῖν ἐδίδαξαν.

1317—1325. == 1339—1346.

# ΣΟΦΟΚΛΕΟΥΣ ΤΡΑΧΙΝΙΑΙ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

| | |
|---|---|
| *ΔΗΙΑΝΕΙΡΑ.* | *ΛΙΧΑΣ.* |
| *ΘΕΡΑΠΑΙΝΑ.* | *ΤΡΟΦΟΣ.* |
| *ΥΛΛΟΣ.* | *ΠΡΕΣΒΥΣ.* |
| *ΧΟΡΟΣ ΠΑΡΘΕΝΩΝ ΤΡΑΧΙΝΙΩΝ.* | *ΗΡΑΚΛΗΣ.* |
| *ΑΓΓΕΛΟΣ.* | |

## *ΥΠΟΘΕΣΙΣ*

### *ΕΚ ΤΗΣ ΑΠΟΛΛΟΔΩΡΟΥ ΒΙΒΛΙΟΘΗΚΗΣ.* (Π. 7, 5.)

*ρακλῆς παραγενόμενος εἰς Καλυδῶνα τὴν Οἰνέως θυγατέρα Δηιάνειραν ἐμνηστεύσατο, καὶ διαπαλαίσας ιο τῶν γάμων αὐτῆς πρὸς τὸν Ἀχελῷον ἀπεικασθέντα ταύρῳ, περιέκλασε τὸ ἕτερον τῶν κεράτων· καὶ ν μὲν Δηιάνειραν γαμεῖ, τὸ δὲ κέρας Ἀχελῷος λαμβάνει, δοὺς ἀντὶ τούτου τὸ τῆς Ἀμαλθείας. Ἀμάλ- α δὲ ἦν Αἱμονίου θυγάτηρ, ἣ κέρας εἶχε ταύρου· τοῦτο δὲ, ὡς Φερεκύδης φησὶ, δύναμιν εἶχε τοιαύ- ν ὥστε ποτὸν ἢ βρωτὸν, ὅπερ ἂν εὔξαιτό τις, παρέχειν ἄφθονον. στρατεύει δὲ Ἡρακλῆς μετὰ Καλυ- νίων ἐπὶ Θεσπρωτοὺς, καὶ πόλιν ἑλὼν Ἐφύραν, ἧς ἐβασίλευε Φύλας, Ἀστυόχῃ τῇ τούτου θυγατρὶ πελθὼν, πατὴρ Τληπολέμου γίνεται. γενομένων δὲ τούτων εὐωχούμενος παρὰ Οἰνεῖ, κονδύλῳ παίσας ἔκτεινεν Εὔνομον τὸν Ἀρχιτέλους παῖδα, κατὰ χειρῶν διδόντα· συγγενὴς δὲ οὗτος Οἰνέως. καὶ ὁ μὲν τὴρ τοῦ παιδὸς ἀκουσίου γενομένου τοῦ συμβεβηκότος συνεγνωμόνει· Ἡρακλῆς δὲ κατὰ τὸν νόμον γὴν ὑπομένειν ἤθελε, καὶ δὴ ἔγνω πρὸς Κήϋκα εἰς Τραχῖνα ἀπιέναι. ἄγων δὲ Δηιάνειραν εἰς ποτα- ν Εὔηνον ἦλθεν, ἐν ᾧ καθεζόμενος Νέσσος ὁ Κένταυρος τοὺς παριόντας διεπόρθμευε μισθοῦ, λέγων ρὰ θεῶν ταύτην τὴν πορείαν εἰληφέναι διὰ τὸ δίκαιος εἶναι. αὐτὸς μὲν οὖν Ἡρακλῆς τὸν ποταμὸν η· Δηιάνειραν δὲ μισθὸν αἰτηθεὶς ἐπέτρεψε Νέσσῳ διακομίζειν. ὁ δὲ πορθμεύων αὐτὴν ἐπεχείρει σθαι. τῆς δὲ ἀνακραγούσης αἰσθόμενος ἐξελθόντα Νέσσον ἐτόξευσεν εἰς τὴν καρδίαν· ὁ δὲ μέλλων ετᾷν, προσκαλεσάμενος Δηιάνειραν, εἶπε τηρεῖν λαβοῦσαν ἐν κόχλῳ, εἰ θέλοι πρὸς Ἡρακλέα φιλίαν ν. τόν τε ἰὸν ἀφῆκε κατὰ τῆς κόχλου καὶ τὸ ῥυὲν ἐκ τοῦ τραύματος τῆς ἀκίδος αἷμα συμμίξας δέδω- · ἡ δὲ λαβοῦσα ἐφύλαττε παρ' ἑαυτῇ. διεξιὼν δὲ Ἡρακλῆς τὴν Δρυόπων χώραν, καὶ τροφῆς ἀπορῶν, ντήσαντος αὐτῷ Θειοδάμαντος βοηλατοῦντος, τὸν ἕτερον τῶν ταύρων λύσας καὶ σφάξας εὐωχεῖτο. ὡς ῆκεν εἰς Τραχῖνα πρὸς Κήϋκα, ὑποδεχθεὶς ὑπ' αὐτοῦ Δρύοπας κατεπολέμησεν. αὖθις ἐκεῖθεν Αἰγιμίῳ λεῖ συνεμάχησε Δωριέων. Λαπίθαι γὰρ περὶ γῆς ὅρων πρὸς αὐτὸν ἐπολέμουν, Κορώνου στρατηγοῦν- ὁ δὲ πολιορκούμενος ἐπεκαλέσατο Ἡρακλέα βοηθὸν ἐπὶ μέρει τῆς γῆς. βοηθήσας δὲ Ἡρακλῆς ἀπέ- νε Κόρωνον μετὰ καὶ ἄλλων, καὶ τὴν γῆν ἅπασαν ἐλευθέραν ἐποίησεν· ἀπέκτεινε δὲ καὶ Λαογόραν ὶ τῶν παίδων, βασιλέα Δρυόπων, ἐν Ἀπόλλωνος τεμένει, Λαπιθῶν σύμμαχον. παριόντα δὲ Ἴτωνα ονομαχίαν προὐκαλεῖτο αὐτὸν Κύκνος ὁ Ἄρεος καὶ Πελοπίας· συστὰς δὲ καὶ τοῦτον ἀπέκτεινεν. ὡς ἰς Ὀρμένιον ἧκεν, Ἀμύντωρ αὐτὸν ὁ βασιλεὺς οὐκ εἴασε μεθ' ὅπλων παριέναι, κωλυόμενος δὲ πα-*

ρελθεῖν καὶ τοῦτον ἀπέκτεινεν. ἀφικόμενος δὲ εἰς Τραχῖνα στρατιὰν ἐπ' Οἰχαλίαν συνήθροισεν, Εὔρυτο
τιμωρήσασθαι θέλων. συμμαχούντων δ' Ἀρκάδων αὐτῷ καὶ Μηλιέων τῶν ἐκ Τραχῖνος καὶ Λοκρῶν τῶ
Ἐπικνημιδίων, κτείνας μετὰ τῶν παίδων Εὔρυτον, αἱρεῖ τὴν πόλιν, καὶ θάψας τῶν σὺν αὐτῷ στρατει
σαμένων τοὺς ἀποθανόντας, Ἵππασον τὸν Κήϋκος, καὶ Ἀργεῖον καὶ Μέλανα, τοὺς Λικυμνίου παῖδα
καὶ λαφυραγωγήσας τὴν πόλιν, ἦγεν Ἰόλην αἰχμάλωτον. καὶ προσορμισθεὶς Κηναίῳ τῆς Εὐβοίας ἀκρω
τηρίῳ Διὸς Κηναίου ἱερὸν ἱδρύσατο. μέλλων δὲ ἱερουργεῖν κήρυκα ἔπεμψε λαμπρὰν ἐσθῆτα οἴσοντα. πα
τούτου δὲ τὰ περὶ τὴν Ἰόλην Δηιάνειρα πυθομένη, καὶ δείσασα μὴ πάλιν ἐκείνην ἀγαπήσῃ, νομίσα
τῇ ἀληθείᾳ φίλτρον εἶναι τὸ ῥυὲν αἷμα Νέσσου, τούτῳ τὸν χιτῶνα ἔχρισεν. ὡς δὲ θερμανθέντος τ
χιτῶνος ὁ ἰὸς τῆς ὕδρας ἠσθίετο, τὸν μὲν Λίχαν κατέβαλεν, εἰς Τραχῖνα δὲ ἐπὶ νεὼς κομίζεται. Δηι
νειρα δὲ ἀχθεσθεῖσα ἑαυτὴν ἀνήρτησεν. Ἡρακλῆς δὲ ἐντειλάμενος Ὕλλῳ, ὃς αὐτῷ ἐκ Δηιανείρας ἦν πα
πρεσβύτερος, τὴν Ἰόλην ἀνδρωθέντα γῆμαι, παραγενόμενος εἰς Οἴτην, ὅ ἐστιν ὄρος Τραχῖνος, πυρ
ποιήσας, ἐκέλευσεν ἐπιβὰς ὑφάπτειν. τοῦ δὲ μὴ θέλοντος Ποίας παριὼν ἐπὶ ζήτησιν ποιμνίων ὑφάψ
ἔλαβε τὰ τόξα παρ' αὐτοῦ δωρεάν. καιομένης δὲ τῆς φλογὸς λέγεται νέφος ὑποστὰν μετὰ βροντ
αὐτὸν εἰς οὐρανὸν ἀναπέμψαι· ἔνθα τυχὼν ἀθανασίας γήμας Ἥβην τὴν Ἥρας θυγατέρα ποιεῖ παῖδ
Ἀλεξιάρην καὶ Ἀνίκητον.

---

## ΑΘΛΟΙ ΗΡΑΚΛΕΟΥΣ.

Πρῶτα μὲν ἐν Νεμέᾳ βριαρὸν κατέπεφνε λέοντα.
δεύτερον ἐν Λέρνῃ πολυαύχενον ὤλεσεν ὕδραν.
τὸ τρίτον αὖτ' ἐπὶ τοῖς Ἐρυμάνθιον ἔκτανε κάπρον.
χρυσόκερων ἔλαφον μετὰ ταῦτ' ἤγρευσε, τέταρτον.
πέμπτον δ', ὄρνιθας Στυμφηλίδας ἐξεδίωξεν.
ἕκτον, Ἀμαζονίδος κόμισε ζωστῆρα φαεινόν.
ἕβδομον, Αὐγείου πολλὴν κόπρον ἐξεκάθηρεν.
ὄγδοον, ἐκ Κρήτης δὲ πυρίπνοον ἤλασε ταῦρον.
ἐκ Θρῄκης, ἔνατον, Διομήδεος ἤγαγεν ἵππους.
Γηρυόνου, δέκατον, βόας ἤλασεν ἐξ Ἐρυθείης.
ἑνδέκατον δ', ἀνάγει κύνα Κέρβερον ἐξ Ἀΐδαο.
δωδέκατον δ', ἤνεγκεν ἐς Ἑλλάδα χρύσεα μῆλα.
Θεστίου θυγατρῶν τρισκαιδέκατος πέλεν ἆθλος.

---

# T P A X I N I A I.

ΔΗΙΑΝΕΙΡΑ.

Λόγος μέν ἐστ' ἀρχαῖος ἀνθρώπων φανεὶς
ὡς οὐκ ἂν αἰῶν' ἐκμάθοις βροτῶν, πρὶν ἂν
θάνῃ τις, οὔτ' εἰ χρηστὸς οὔτ' εἴ τῳ κακός·
ἐγὼ δὲ τὸν ἐμὸν, καὶ πρὶν εἰς Ἅιδου μολεῖν,
ἔξοιδ' ἔχουσα δυστυχῆ τε καὶ βαρὺν,
ἥτις πατρὸς μὲν ἐν δόμοισιν Οἰνέως
ναίουσ' ἐνὶ Πλευρῶνι νυμφείων ὄτλον
ἄλγιστον ἔσχον, εἴ τις Αἰτωλὶς γυνή.
μνηστὴρ γὰρ ἦν μοι ποταμὸς, Ἀχελῷον λέγω,
ὅς μ' ἐν τρισὶν μορφαῖσιν ἐξῄτει πατρὸς,
φοιτῶν ἐναργὴς ταῦρος, ἄλλοτ' αἰόλος
δράκων ἑλικτὸς, ἄλλοτ' ἀνδρείῳ κύτει
βούπρῳρος· ἐκ δὲ δασκίου γενειάδος
κρουνοὶ διερραίνοντο κρηναίου ποτοῦ.
τοιόνδ' ἐγὼ μνηστῆρα προσδεδεγμένη
δύστηνος ἀεὶ κατθανεῖν ἐπηυχόμην,
πρὶν τῆσδε κοίτης ἐμπελασθῆναί ποτε.
χρόνῳ δ' ἐν ὑστέρῳ μὲν, ἀσμένῃ δέ μοι,
ὁ κλεινὸς ἦλθε Ζηνὸς Ἀλκμήνης τε παῖς·
ὃς εἰς ἀγῶνα τῷδε συμπεσὼν μάχης
ἐκλύεταί με. καὶ τρόπον μὲν ἂν πόνων
οὐκ ἂν διείποιμ'· οὐ γὰρ οἶδ'· ἀλλ' ὅστις ἦν
θακῶν ἀταρβὴς τῆς θέας, ὅδ' ἂν λέγοι.
ἐγὼ γὰρ ἥμην ἐκπεπληγμένη φόβῳ
μή μοι τὸ κάλλος ἄλγος ἐξεύροι ποτέ.
τέλος δ' ἔθηκε Ζεὺς ἀγώνιος καλῶς,
εἰ δὴ καλῶς. λέχος γὰρ Ἡρακλεῖ κριτὸν
ξυστᾶσ' ἀεί τιν' ἐκ φόβου φόβον τρέφω,
κείνου προκηραίνουσα. νὺξ γὰρ εἰσάγει
καὶ νὺξ ἀπωθεῖ διαδεδεγμένη πόνον.
κἀφύσαμεν δὴ παῖδας, οὓς κεῖνός ποτε,
γήτης ὅπως ἄρουραν ἔκτοπον λαβὼν,
σπείρων μόνον προσεῖδε κἀξαμῶν ἅπαξ.
τοιοῦτος αἰὼν εἰς δόμους τε κἀκ δόμων
ἀεὶ τὸν ἄνδρ' ἔπεμπε λατρεύοντά τῳ.
νῦν δ' ἡνίκ' ἄθλων τῶνδ' ὑπερτελὴς ἔφυ,
ἐνταῦθα δὴ μάλιστα ταρβήσασ' ἔχω.
ἐξ οὗ γὰρ ἔκτα κεῖνος Ἰφίτου βίαν,
ἡμεῖς μὲν ἐν Τραχῖνι τῇδ' ἀνάστατοι
ξένῳ παρ' ἀνδρὶ ναίομεν· κεῖνος δ' ὅπου
βέβηκεν οὐδεὶς οἶδε. πλὴν ἐμοὶ πικρὰς
ὠδῖνας αὐτοῦ προσβαλὼν ἀποίχεται·
σχεδὸν δ' ἐπίσταμαί τι πῆμ' ἔχοντά νιν.
χρόνον γὰρ οὐχὶ βαιὸν, ἀλλ' ἤδη δέκα
μῆνας πρὸς ἄλλοις πέντ' ἀκήρυκτος μένει.
κἄστιν τι δεινὸν πῆμα· τοιαύτην ἐμοὶ
δέλτον λιπὼν ἔστειχε, τὴν ἐγὼ θαμὰ
θεοῖς ἀρῶμαι πημονῆς ἄτερ λαβεῖν.

ΘΕΡΑΠΑΙΝΑ.

δέσποινα Δηάνειρα, πολλὰ μέν σ' ἐγὼ
κατεῖδον ἤδη πανδάκρυτ' ὀδύρματα
τὴν Ἡράκλειον ἔξοδον γοωμένην·
νῦν δ', εἰ δίκαιον τοὺς ἐλευθέρους φρενοῦν
γνώμαισι δούλαις, κἀμὲ χρὴ φράσαι τόσον·
πῶς παισὶ μὲν τοσοῖσδε πληθύεις, ἀτὰρ
ἀνδρὸς κατὰ ζήτησιν οὐ πέμπεις τινὰ,
μάλιστα δ' ὅνπερ εἰκὸς Ὕλλον, εἰ πατρὸς
νέμοι τιν' ὤραν τοῦ καλῶς πράσσειν δοκεῖν;
ἐγγὺς δ' ὅδ' αὐτὸς ἀρτίπους θρώσκει δόμους,
ὥστ' εἴ τί σοι πρὸς καιρὸν ἐννέπειν δοκῶ,
πάρεστι χρῆσθαι τἀνδρὶ τοῖς τ' ἐμοῖς λόγοις.

ΔΗΙΑΝΕΙΡΑ.

ὦ τέκνον, ὦ παῖ, κἀξ ἀγεννήτων ἄρα
μῦθοι καλῶς πίπτουσιν. ἥδε γὰρ γυνὴ
δούλη μὲν, εἴρηκεν δ' ἐλεύθερον λόγον.

ΥΛΛΟΣ.

ποῖον; δίδαξον, μῆτερ, εἰ διδακτά μοι.

ΔΗΙΑΝΗΙΡΑ.

σὲ πατρὸς οὕτω δαρὸν ἐξενωμένου
τὸ μὴ πυθέσθαι ποῦ 'στιν αἰσχύνην φέρειν.

ΥΛΛΟΣ.

ἀλλ' οἶδα, μύθοις εἴ τι πιστεύειν χρεών.

ΔΗΙΑΝΕΙΡΑ.

καὶ ποῦ κλύεις νιν, τέκνον, ἱδρῦσθαι χθονός;

ΥΛΛΟΣ.

τὸν μὲν παρελθόντ' ἄροτον ἐν μήκει χρόνου
Λυδῇ γυναικί φασί νιν λάτριν πονεῖν.

ΔΗΙΑΝΕΙΡΑ.

πᾶν τοίνυν, εἰ καὶ τοῦτ' ἔτλη, κλύοι τις ἄν.

ΥΛΛΟΣ.

ἀλλ' ἐξαφεῖται τοῦδέ γ', ὡς ἐγὼ κλύω.

ΔΗΙΑΝΕΙΡΑ.

ποῦ δῆτα νῦν ζῶν ἢ θανὼν ἀγγέλλεται;

ΥΛΛΟΣ.

Εὐβοΐδα χώραν φασὶν, Εὐρύτου πόλιν,
ἐπιστρατεύειν αὐτὸν, ἢ μέλλειν ἔτι.

ΔΗΙΑΝΕΙΡΑ.

ἆρ' οἶσθα δῆτ', ὦ τέκνον, ὡς ἔλειπέ μοι
μαντεῖα πιστὰ τῆσδε τῆς χώρας πέρι;

ΥΛΛΟΣ.

τὰ ποῖα, μῆτερ; τὸν λόγον γὰρ ἀγνοῶ.

ΔΗΙΑΝΕΙΡΑ.

ὡς ἢ τελευτὴν τοῦ βίου μέλλει τελεῖν,
ἢ τοῦτον ἄρας ἆθλον εἰς τὸν ὕστερον
τὸ λοιπὸν ἤδη βίοτον εὐαίων' ἔχειν.
ἐν οὖν ῥοπῇ τοιᾷδε κειμένῳ, τέκνον,
οὐκ εἶ ξυνέρξων, ἡνίκ' ἢ σεσώσμεθα
[ἢ πίπτομεν, σοῦ πατρὸς ἐξολωλότος;]
κείνου βίον σώσαντος, ἢ οἰχόμεσθ' ἅμα;

ΥΛΛΟΣ.

ἀλλ' εἶμι, μῆτερ· εἰ δὲ θεσφάτων ἐγὼ
βάξιν κατῄδη τῶνδε, κἂν πάλαι παρῆ.
[νῦν δ' ὁ ξυνήθης πότμος οὐκ ἐᾷ πατρὸς

ἡμᾶς προταρβεῖν, οὐδὲ δειμαίνειν ἄγαν.]
νῦν δ' ὡς ξυνίημ', οὐδὲν ἐλλείψω τὸ μὴ οὐ
πᾶσαν πυθέσθαι τῶνδ' ἀλήθειαν πέρι.

ΔΗΙΑΝΕΙΡΑ.

χώρει νυν, ὦ παῖ. καὶ γὰρ ὑστέρῳ τό γ' εὖ
πράσσειν, ἐπεὶ πύθοιτο, κέρδος ἐμπολᾷ.

ΧΟΡΟΣ.

ὃν αἰόλα νὺξ ἐναριζομένα
τίκτει κατευνάζει τε, φλογιζόμενον
Ἅλιον Ἅλιον αἰτῶ,
τοῦτο καρῦξαι τὸν Ἀλκμήνας, πόθι μοι πόθι παῖς
ναίει ποτ', ὦ λαμπρᾷ στεροπᾷ φλεγέθων,
ἢ ποντίους αὐλῶνας, ἢ δισσαῖσιν ἀπείροις κλιθείς,
εἴπ', ὦ κρατιστεύων κατ' ὄμμα.
ποθουμένᾳ γὰρ φρενὶ πυνθάνομαι
τὰν ἀμφινεικῆ Δηιάνειραν ἀεί,
οἷά τιν' ἄθλιον ὄρνιν,
οὔ ποτ' εὐνάζειν ἀδακρύτων βλεφάρων πόθον, ἀλλ'
εὔμναστον ἀνδρὸς δεῖμα φέρουσαν ὁδοῦ
ἐνθυμίοις εὐναῖς ἀνανδρώτοισι τρύχεσθαι, κακὰν
δύστανον ἐλπίζουσαν αἶσαν.
πολλὰ γὰρ ὥστ' ἀκάμαντος
ἢ Νότου ἢ Βορέα τις
κύματά τ' εὐρέϊ πόντῳ
βάντ' ἐπιόντα τ' ἴδοι,
οὕτω δὲ τὸν Καδμογενῆ τρέφει, τὸ δ' αὔξει βιότου
πολύπονον, ὥσπερ πέλαγος Κρήσιον. ἀλλά τις θεῶν
αἰὲν ἀναμπλάκητον Ἅιδα σφε δόμων ἐρύκει.
ὧν ἐπιμεμφομένα σ' ἁ-
δεῖα μέν, ἀντία δ' οἴσω.
φαμὶ γὰρ οὐκ ἀποτρύειν
ἐλπίδα τὰν ἀγαθὰν
χρῆναί σ'. ἀνάλγητα γὰρ οὐδ' ὁ πάντα κραίνων βασιλεὺς
ἐπέβαλε θνατοῖς Κρονίδας. ἀλλ' ἐπὶ πῆμα καὶ χαρὰ
πᾶσι κυκλοῦσιν, οἷον ἄρκτου στροφάδες κέλευθοι.
μένει γὰρ οὔτ' αἰόλα
νὺξ βροτοῖσιν οὔτε Κῆρες οὔτε πλοῦτος,
ἀλλ' ἄφαρ βέβακε, τῷ δ' ἐπέρχεται χαίρειν τε καὶ στέρεσθαι.
ἃ καὶ σὲ τὰν ἄνασσαν ἐλπίσιν λέγω
τάδ' αἰὲν ἴσχειν· ἐπεὶ τίς ὧδε
τέκνοισι Ζῆν' ἄβουλον εἶδεν;

ΔΗΙΑΝΕΙΡΑ.

πεπυσμένη μέν, ὡς ἀπεικάσαι, πάρει
πάθημα τοὐμόν· ὡς δ' ἐγὼ θυμοφθορῶ
μήτ' ἐκμάθοις παθοῦσα, νῦν δ' ἄπειρος εἶ.
τὸ γὰρ νεάζον ἐν τοιοῖσδε βόσκεται
χώροισιν αὑτοῦ, καί νιν οὐ θάλπος θεοῦ,
οὐδ' ὄμβρος, οὐδὲ πνευμάτων οὐδὲν κλονεῖ,
ἀλλ' ἡδοναῖς ἄμοχθον ἐξαίρει βίον
ἐς τοῦθ', ἕως τις ἀντὶ παρθένου γυνὴ
κληθῇ, λάβῃ τ' ἐν νυκτὶ φροντίδων μέρος,
ἤτοι πρὸς ἀνδρὸς ἢ τέκνων φοβουμένη.
τότ' ἄν τις εἰσίδοιτο, τὴν αὑτοῦ σκοπῶν
πρᾶξιν, κακοῖσιν οἷς ἐγὼ βαρύνομαι.
πάθη μὲν οὖν δὴ πόλλ' ἔγωγ' ἐκλαυσάμην·
ἓν δ', οἷον οὔπω πρόσθεν, αὐτίκ' ἐξερῶ.
ὁδὸν γὰρ ἦμος τὴν τελευταίαν ἄναξ
ὡρμᾶτ' ἀπ' οἴκων Ἡρακλῆς, τότ' ἐν δόμοις
λείπει παλαιὰν δέλτον ἐγγεγραμμένην
ξυνθήμαθ', ἁμοὶ πρόσθεν οὐκ ἔτλη ποτέ,
πολλοὺς ἀγῶνας ἐξιών, οὕπω φράσαι,
ἀλλ' ὥς τι δράσων εἷρπε κοὐ θανούμενος.
νῦν δ' ὡς ἔτ' οὐκ ὢν εἶπε μὲν λέχους ὅτι
χρείη μ' ἑλέσθαι κτῆσιν, εἶπε δ' ἣν τέκνοις
μοῖραν πατρῴας γῆς διαίρετον νέμοι,
χρόνον προτάξας ὡς, τρίμηνον ἡνίκα
χώρας ἀπείη κἀνιαύσιος βεβώς,
τότ' ἢ θανεῖν χρείη σφε τῷδε τῷ χρόνῳ,
ἢ τοῦθ' ὑπεκδραμόντα τοῦ χρόνου τέλος
τὸ λοιπὸν ἤδη ζῆν ἀλυπήτῳ βίῳ.
τοιαῦτ' ἔφραζε πρὸς θεῶν εἱμαρμένα
τῶν Ἡρακλείων ἐκτελευτᾶσθαι πόνων,
ὡς τὴν παλαιὰν φηγὸν αὐδῆσαί ποτε
Δωδῶνι δισσῶν ἐκ πελειάδων ἔφη.
καὶ τῶνδε ναμέρτεια συμβαίνει χρόνου
τοῦ νῦν παρόντος, ὡς τελεσθῆναι χρεών.
ὥσθ' ἡδέως εὕδουσαν ἐκπηδᾶν ἐμὲ
φόβῳ, φίλαι, ταρβοῦσαν, εἴ με χρὴ μένειν
πάντων ἀρίστου φωτὸς ἐστερημένην.

ΧΟΡΟΣ.

εὐφημίαν νῦν ἴσχ'· ἐπεὶ καταστεφῆ
στείχονθ' ὁρῶ τιν' ἄνδρα πρὸς χαρὰν λόγων.

ΑΓΓΕΛΟΣ.

δέσποινα Δηάνειρα, πρῶτος ἀγγέλων
ὄκνου σε λύσω. τὸν γὰρ Ἀλκμήνης τόκον
καὶ ζῶντ' ἐπίστω καὶ κρατοῦντα κἀκ μάχης
ἄγοντ' ἀπαρχὰς θεοῖσι τοῖς ἐγχωρίοις.

ΔΗΙΑΝΕΙΡΑ.

τίν' εἶπας, ὦ γεραιέ, τόνδε μοι λόγον;

ΑΓΓΕΛΟΣ.

τάχ' ἐς δόμους σοὺς τὸν πολύζηλον πόσιν
ἥξειν, φανέντα σὺν κράτει νικηφόρῳ.

ΔΗΙΑΝΕΙΡΑ.

καὶ τοῦ τόδ' ἀστῶν ἢ ξένων μαθὼν λέγεις

ΑΓΓΕΛΟΣ.

ἐν βουθερεῖ λειμῶνι πρὸς πολλοὺς θροεῖ
Λίχας ὁ κῆρυξ ταῦτα· τοῦ δ' ἐγὼ κλύων
ἀπῇξ', ὅπως τοι πρῶτος ἀγγείλας τάδε
πρὸς σοῦ τι κερδάναιμι καὶ κτῴμην χάριν.

ΔΗΙΑΝΕΙΡΑ.

αὐτὸς δὲ πῶς ἄπεστιν, εἴπερ εὐτυχεῖ;

ΑΓΓΕΛΟΣ.

οὐκ εὐμαρείᾳ χρώμενος πολλῇ, γύναι.
κύκλῳ γὰρ αὐτὸν Μηλιεὺς ἅπας λεὼς
κρίνει παραστάς, οὐδ' ἔχει βῆναι πρόσω.
τὸ γὰρ ποθοῦν ἕκαστος ἐκμαθεῖν θέλων
οὐκ ἂν μεθεῖτο, πρὶν καθ' ἡδονὴν κλύειν
οὕτως ἐκεῖνος οὐχ ἑκών, ἑκοῦσι δὲ
ξύνεστιν· ὄψει δ' αὐτὸν αὐτίκ' ἐμφανῆ.

ΔΗΙΑΝΕΙΡΑ.

ὦ Ζεῦ, τὸν Οἴτης ἄτομον ὃς λειμῶν' ἔχεις

94 — 102. == 103 — 111.
112 — 121. == 122 — 131.

ἔδωκας ἡμῖν ἀλλὰ σὺν χρόνῳ χαράν.
φωνήσατ', ὦ γυναῖκες, αἵ τ' ἔσω στέγης
αἵ τ' ἐκτὸς αὐλῆς, ὡς ἄελπτον ὄμμ' ἐμοὶ
φήμης ἀνασχὸν τῆσδε νῦν καρπούμεθα.

ΧΟΡΟΣ.

ἀνολολύξατε δόμοις
ἐφεστίοις ἀλαλαγαῖς
ὁ μελλόνυμφος, ἐν δὲ κοινὸς ἀρσένων
ἴτω κλαγγὰ τὸν εὐφαρέτραν
Ἀπόλλωνα προστάταν·
ὁμοῦ δὲ παιᾶνα παιᾶν'
ἀνάγετ', ὦ παρθένοι,
βοᾶτε τὰν ὁμόσπορον
Ἄρτεμιν Ὀρτυγίαν, ἐλαφαβόλον, ἀμφίπυρον,
γείτονάς τε Νύμφας,
ἀείρομ' οὐδ' ἀπώσομαι
τὸν αὐλὸν, ὦ τύραννε τᾶς ἐμᾶς φρενός.
ἰδού μ', ἀναταράσσει
εὐοῖ μ' ὁ κισσὸς ἄρτι βακχίαν
ὑποστρέφων ἅμιλλαν.
ἰὼ ἰὼ Παιάν·
ἴδ' ἴδ', ὦ φίλα γύναι,
τάδ' ἀντίπρῳρα δή σοι
βλέπειν πάρεστ' ἐναργῆ.

ΔΗΙΑΝΕΙΡΑ.

ὁρῶ, φίλαι γυναῖκες, οὐδέ μ' ὄμματος
φρουρὰ παρῆλθε, τόνδε μὴ λεύσσειν στόλον·
χαίρειν δὲ τὸν κήρυκα προὐννέπω, χρόνῳ
πολλῷ φανέντα χαρτὸν, εἴ τι καὶ φέρεις.

ΛΙΧΑΣ.

ἀλλ' εὖ μὲν ἵγμεθ', εὖ δὲ προσφωνούμεθα,
γύναι, κατ' ἔργου κτῆσιν· ἄνδρα γὰρ καλῶς
πράσσοντ' ἀνάγκη χρηστὰ κερδαίνειν ἔπη.

ΔΗΙΑΝΕΙΡΑ.

ὦ φίλτατ' ἀνδρῶν, πρῶθ' ἃ πρῶτα βούλομαι
δίδαξον, εἰ ζῶνθ' Ἡρακλῆ προσδέξομαι.

ΛΙΧΑΣ.

ἔγωγέ τοι σφ' ἔλειπον ἰσχύοντά τε
καὶ ζῶντα καὶ θάλλοντα κοὐ νόσῳ βαρύν.

ΔΗΙΑΝΕΙΡΑ.

ποῦ γῆς; πατρῴας, εἴτε βαρβάρου; λέγε.

ΛΙΧΑΣ.

ἀκτή τις ἔστ' Εὐβοιίς, ἔνθ' ὁρίζεται
βωμοὺς τέλη τ' ἔγκαρπα Κηναίῳ Διί.

ΔΗΙΑΝΕΙΡΑ.

εὐκταῖα φαίνων, ἢ 'πὸ μαντείας τινός;

ΛΙΧΑΣ.

εὐκταῖ', ὅθ' ᾕρει τῶνδ' ἀνάστατον δόρει
χώραν γυναικῶν ὧν ὁρᾷς ἐν ὄμμασιν.

ΔΗΙΑΝΕΙΡΑ.

αὗται δὲ, πρὸς θεῶν, τοῦ ποτ' εἰσὶ καὶ τίνες;
οἰκτραὶ γὰρ, εἰ μὴ ξυμφοραὶ κλέπτουσί με.

ΛΙΧΑΣ.

ταύτας ἐκεῖνος Εὐρύτου πέρσας πόλιν
ἐξείλεθ' αὑτῷ κτῆμα καὶ θεοῖς κριτόν.

ΔΗΙΑΝΕΙΡΑ.

ἦ κἀπὶ ταύτῃ τῇ πόλει τὸν ἄσκοπον
χρόνον βεβὼς ἦν ἡμερῶν ἀνήριθμον;

ΛΙΧΑΣ.

οὔκ, ἀλλὰ τὸν μὲν πλεῖστον ἐν Λυδοῖς χρόνον
κατείχεθ', ὥς φησ' αὐτὸς, οὐκ ἐλεύθερος,
ἀλλ' ἐμποληθείς. τοῦ λόγου δ' οὐ χρὴ φθόνον,
γύναι, προσεῖναι, Ζεὺς ὅτου πράκτωρ φανῇ.
κεῖνος δὲ πραθεὶς Ὀμφάλῃ τῇ βαρβάρῳ
ἐνιαυτὸν ἐξέπλησεν, ὡς αὐτὸς λέγει.
χοὕτως ἐδήχθη τοῦτο τοὔνειδος λαβὼν
ὥσθ' ὅρκον αὑτῷ προσβαλὼν διώμοσεν,
ἦ μὴν τὸν ἀγχιστῆρα τοῦδε τοῦ πάθους
ξὺν παιδὶ καὶ γυναικὶ δουλώσειν ἔτι.
κοὐχ ἡλίωσε τοὔπος. ἀλλ' ὅθ' ἁγνὸς ἦν,
στρατὸν λαβὼν ἐπακτὸν ἔρχεται πόλιν
τὴν Εὐρυτείαν. τόνδε γὰρ μεταίτιον
μόνον βροτῶν ἔφασκε τοῦδ' εἶναι πάθους·
ὃς αὐτὸν ἐλθόντ' ἐς δόμους ἐφέστιον,
ξένον παλαιὸν ὄντα, πολλὰ μὲν λόγοις
ἐπερρόθησε, πολλὰ δ' ἀτηρᾷ φρενὶ,
λέγων χεροῖν μὲν ὡς ἄφυκτ' ἔχων βέλη
τῶν ὧν τέκνων λείποιτο πρὸς τόξου κρίσιν·
φωνεῖ δὲ δοῦλος ἀνδρὸς ὡς ἐλευθέρου
ῥαίοιτο· δείπνοις δ' ἡνίκ' ἦν οἰνωμένος,
ἔρριψεν ἐκτὸς αὐτόν. ὧν ἔχων χόλον,
ὡς ἵκετ' αὖθις Ἴφιτος Τιρυνθίαν
πρὸς κλιτὺν, ἵππους νομάδας ἐξιχνοσκοπῶν,
τότ' ἄλλοσ' αὐτὸν ὄμμα, θατέρᾳ δὲ νοῦν
ἔχοντ', ἀπ' ἄκρας ἧκε πυργώδους πλακός.
ἔργου δ' ἕκατι τοῦδε μηνίσας ἄναξ,
ὁ τῶν ἁπάντων Ζεὺς πατὴρ Ὀλύμπιος,
πρατόν νιν ἐξέπεμψεν, οὐδ' ἠνέσχετο,
ὁθούνεκ' αὐτὸν μοῦνον ἀνθρώπων δόλῳ
ἔκτεινεν. εἰ γὰρ ἐμφανῶς ἠμύνατο,
Ζεύς τἂν συνέγνω ξὺν δίκῃ χειρουμένῳ.
ὕβριν γὰρ οὐ στέργουσιν οὐδὲ δαίμονες.
κεῖνοι δ' ὑπερχλιδῶντες ἐκ γλώσσης κακῆς,
αὐτοὶ μὲν Ἅιδου πάντες εἴσ' οἰκήτορες,
πόλις δὲ δούλη· τάσδε δ' ἅσπερ εἰσορᾷς
ἐξ ὀλβίων ἄζηλον εὑροῦσαι βίον
χωροῦσι πρὸς σέ. ταῦτα γὰρ πόσις τε σὸς
ἐφεῖτ', ἐγὼ δὲ, πιστὸς ὢν κείνῳ, τελῶ.
αὐτὸν δ' ἐκεῖνον, εὖτ' ἂν ἁγνὰ θύματα
ῥέξῃ πατρῴῳ Ζηνὶ τῆς ἁλώσεως,
φρόνει νιν ὡς ἥξοντα. τοῦτο γὰρ λόγου
πολλοῦ καλῶς λεχθέντος ἥδιστον κλύειν.

ΧΟΡΟΣ.

ἄνασσα, νῦν σοι τέρψις ἐμφανὴς κυρεῖ,
τῶν μὲν παρόντων, τὰ δὲ πεπυσμένῃ λόγῳ.

ΔΗΙΑΝΕΙΡΑ.

πῶς δ' οὐκ ἐγὼ χαίροιμ' ἂν, ἀνδρὸς εὐτυχῆ
κλύουσα πρᾶξιν τήνδε, πανδίκῳ φρενί;
πολλή 'στ' ἀνάγκη τῇδε τοῦτο συντρέχειν,
ὅμως δ' ἔνεστι τοῖσιν εὖ σκοπουμένοις
ταρβεῖν τὸν εὖ πράσσοντα, μὴ σφαλῇ ποτε.
ἐμοὶ γὰρ οἶκτος δεινὸς εἰσέβη, φίλαι,
ταύτας ὁρώσῃ δυσπότμους ἐπὶ ξένης
χώρας ἀοίκους ἀπάτοράς τ' ἀλωμένας,
αἳ πρὶν μὲν ἦσαν ἐξ ἐλευθέρων ἴσως
ἀνδρῶν, τανῦν δὲ δοῦλον ἴσχουσιν βίον.
ὦ Ζεῦ τροπαῖε, μή ποτ' εἰσίδοιμί σε
πρὸς τοὐμὸν οὕτω σπέρμα χωρήσαντά ποι,

μηδ', εἴ τι δράσεις, τῆσδέ γε ζώσης ἔτι.
οὕτως ἐγὼ δέδοικα τάσδ' ὁρωμένη.
ὦ δυστάλαινα, τίς ποτ' εἶ νεανίδων;
ἄνανδρος, ἢ τεκνοῦσσα; πρὸς μὲν γὰρ φύσιν
πάντων ἄπειρος τῶνδε, γενναία δέ τις.
Λίχα, τίνος ποτ' ἐστὶν ἡ ξένη βροτῶν;
τίς ἡ τεκοῦσα, τίς δ' ὁ φιτύσας πατήρ;
ἔξειπ'· ἐπεί νιν τῶνδε πλεῖστον ᾤκτισα
βλέπουσ', ὅσῳπερ καὶ φρονεῖν οἶδεν μόνη.

ΛΙΧΑΣ.

τί δ' οἶδ' ἐγώ; τί δ' ἄν με καὶ κρίνοις; ἴσως
γέννημα τῶν ἐκεῖθεν οὐκ ἐν ὑστάτοις.

ΔΗΙΑΝΕΙΡΑ.

μὴ τῶν τυράννων; Εὐρύτου σπορά τις ἦν;

ΛΙΧΑΣ.

οὐκ οἶδα. καὶ γὰρ οὐδ' ἀνιστόρουν μακράν.

ΔΗΙΑΝΕΙΡΑ.

οὐδ' ὄνομα πρός του τῶν ξυνεμπόρων ἔχεις;

ΛΙΧΑΣ.

ἥκιστα· σιγῇ τοὐμὸν ἔργον ἤνυτον.

ΔΗΙΑΝΕΙΡΑ.

εἴπ', ὦ τάλαιν', ἀλλ' ἡμὶν ἐκ σαυτῆς· ἐπεὶ
καὶ ξυμφορά τοι μὴ εἰδέναι σέ γ' ἥτις εἶ.

ΛΙΧΑΣ.

οὔ τἄρα τῷ γε πρόσθεν οὐδὲν ἐξ ἴσου
χρόνῳ διοίσει γλῶσσαν, ἥτις οὐδαμὰ
προὔφηνεν οὔτε μείζον' οὔτ' ἐλάσσονα,
ἀλλ' αἰὲν ὠδίνουσα συμφορᾶς βάρος
δακρυρροεῖ δύστηνος, ἐξ ὅτου πάτραν
διήνεμον λέλοιπεν. ἡ δέ τοι τύχη
κακὴ μὲν αὐτῇ γ', ἀλλὰ συγγνώμην ἔχει.

ΔΗΙΑΝΕΙΡΑ.

ἡ δ' οὖν ἐάσθω, καὶ πορευέσθω στέγας
οὕτως ὅπως ἥδιστα, μηδὲ πρὸς κακοῖς
τοῖς οὖσι λύπη πρός γ' ἐμοῦ λύπην λάβοι·
ἅλις γὰρ ἡ παροῦσα. πρὸς δὲ δώματα
χωρῶμεν ἤδη πάντες, ὡς σύ θ' οἷ θέλεις
σπεύδῃς, ἐγὼ δὲ τἄνδον ἐξαρκῆ τιθῶ.

ΑΓΓΕΛΟΣ.

αὐτοῦ γε πρῶτον βαιὸν ἀμμείνασ', ὅπως
μάθῃς, ἄνευ τῶνδ', οὕστινάς τ' ἄγεις ἔσω
ὧν τ' οὐδὲν εἰσήκουσας, ἐκμάθῃς θ' ἃ δεῖ.
τούτων ἔχω γὰρ πάντ' ἐπιστήμην ἐγώ.

ΔΗΙΑΝΕΙΡΑ.

τί δ' ἐστὶ τοῦ με τήνδ' ἐφίστασαι βάσιν;

ΑΓΓΕΛΟΣ.

σταθεῖσ' ἄκουσον· καὶ γὰρ οὐδὲ τὸν πάρος
μῦθον μάτην ἤκουσας, οὐδὲ νῦν δοκῶ.

ΔΗΙΑΝΕΙΡΑ.

πότερον ἐκείνους δῆτα δεῦρ' αὖθις πάλιν
καλῶμεν, ἢ 'μοὶ ταῖσδέ τ' ἐξειπεῖν θέλεις;

ΑΓΓΕΛΟΣ.

σοὶ ταῖσδέ τ' οὐδὲν εἴργεται· τούτους δ' ἔα.

ΔΗΙΑΝΕΙΡΑ.

καὶ δὴ βεβᾶσι, χὼ λόγος σημαινέτω.

ΑΓΓΕΛΟΣ.

ἀνὴρ ὅδ' οὐδὲν ὧν ἔλεξεν ἀρτίως
φωνεῖ δίκης ἐς ὀρθὸν, ἀλλ' ἢ νῦν κακὸς,
ἢ πρόσθεν οὐ δίκαιος ἄγγελος παρῆν.

ΔΗΙΑΝΕΙΡΑ.

τί φής; σαφῶς μοι φράζε πᾶν ὅσον νοεῖς.
ἃ μὲν γὰρ ἐξείρηκας ἀγνοία μ' ἔχει.

ΑΓΓΕΛΟΣ.

τούτου λέγοντος τἀνδρὸς εἰσήκουσ' ἐγὼ,
πολλῶν παρόντων μαρτύρων, ὡς τῆς κόρης
ταύτης ἕκατι κεῖνος Εὔρυτόν θ' ἕλοι
τήν θ' ὑψίπυργον Οἰχαλίαν, Ἔρως δέ νιν
μόνος θεῶν θέλξειεν αἰχμάσαι τάδε,
οὐ τἀπὶ Λυδοῖς οὐδ' ἐπ' Ὀμφάλῃ πόνων
λατρεύματ', οὐδ' ὁ ῥιπτὸς Ἰφίτου μόρος,
ὃν νῦν παρώσας οὗτος ἔμπαλιν λέγει.
ἀλλ' ἡνίκ' οὐκ ἔπειθε τὸν φυτοσπόρον
τὴν παῖδα δοῦναι, κρύφιον ὡς ἔχοι λέχος,
ἔγκλημα μικρὸν αἰτίαν θ' ἑτοιμάσας
ἐπιστρατεύει πατρίδα τὴν ταύτης, ἐν ᾗ
τῶν Εὔρυτον τόνδ' εἶπε δεσπόζειν θρόνων,
κτείνει τ' ἄνακτα πατέρα τῆσδε καὶ πόλιν
ἔπερσε. καὶ νῦν, ὡς ὁρᾷς, ἥκει δόμους
ὡς τούσδε πέμπων οὐκ ἀφροντίστως, γύναι,
οὐδ' ὥστε δούλην· μηδὲ προσδόκα τόδε·
οὐδ' εἰκὸς, εἴπερ ἐντεθέρμανται πόθῳ.
ἔδοξεν οὖν μοι πρὸς σὲ δηλῶσαι τὸ πᾶν,
δέσποιν', ὃ τοῦδε τυγχάνω μαθὼν πάρα.
καὶ ταῦτα πολλοὶ πρὸς μέσῃ Τραχινίων
ἀγορᾷ συνεξήκουον ὡσαύτως ἐμοὶ,
ὥστ' ἐξελέγχειν· εἰ δὲ μὴ λέγω φίλα,
οὐχ ἥδομαι, τὸ δ' ὀρθὸν ἐξείρηχ' ὅμως.

ΔΗΙΑΝΕΙΡΑ.

οἴμοι τάλαινα, ποῦ ποτ' εἰμὶ πράγματος;
τίν' εἰσδέδεγμαι πημονὴν ὑπόστεγον
λαθραῖον; ὦ δύστηνος, ἆρ' ἀνώνυμος
πέφυκεν, ὥσπερ οὑπάγων διώμνυτο;

ΑΓΓΕΛΟΣ.

ἦ κάρτα λαμπρὰ καὶ κατ' ὄμμα καὶ φύσιν,
πατρὸς μὲν οὖσα γένεσιν Εὐρύτου ποτὲ
Ἰόλη 'καλεῖτο, τῆς ἐκεῖνος οὐδαμὰ
βλάστας ἐφώνει, δῆθεν οὐδὲν ἱστορῶν.

ΧΟΡΟΣ.

ὄλοιντο μή τι πάντες οἱ κακοὶ, τὰ δὲ
λαθραῖ' ὃς ἀσκεῖ μὴ πρέποντ' αὐτῷ κακά.

ΔΗΙΑΝΕΙΡΑ.

τί χρὴ ποιεῖν, γυναῖκες; ὡς ἐγὼ λόγοις
τοῖς νῦν παροῦσιν ἐκπεπληγμένη κυρῶ.

ΧΟΡΟΣ.

πεύθου μολοῦσα τἀνδρὸς, ὡς τάχ' ἂν σαφ
λέξειεν, εἴ μιν πρὸς βίαν κρίνειν θέλοις.

ΔΗΙΑΝΕΙΡΑ.

ἀλλ' εἶμι. καὶ γὰρ οὐκ ἄπο γνώμης λέγει

ΧΟΡΟΣ.

ἡμεῖς δὲ προσμένωμεν; ἢ τί χρὴ ποιεῖν;

ΔΗΙΑΝΕΙΡΑ.

μίμν', ὡς ὅδ' ἀνὴρ οὐκ ἐμῶν ὑπ' ἀγγέλω
ἀλλ' αὐτόκλητος ἐκ δόμων πορεύεται.

ΛΙΧΑΣ.

τί χρὴ, γύναι, μολόντα μ' Ἡρακλεῖ λέγει
δίδαξον, ὡς ἕρποντος εἰσορᾷς ἐμοῦ.

ΔΗΙΑΝΕΙΡΑ.

ὡς ἐκ ταχείας σὺν χρόνῳ βραδεῖ μολὼν
ᾄσσεις, πρὶν ἡμᾶς κἀννεώσασθαι λόγους.

ΛΙΧΑΣ.
ἀλλ' εἴ τι χρῄζεις ἱστορεῖν, πάρειμ' ἐγώ.
ΔΗΙΑΝΕΙΡΑ.
ἦ καὶ τὸ πιστὸν τῆς ἀληθείας νέμεις;
ΛΙΧΑΣ.
ἴστω μέγας Ζεύς, ὧν γ' ἂν ἐξειδὼς κυρῶ.
ΔΗΙΑΝΕΙΡΑ.
τίς ἡ γυνὴ δῆτ' ἐστὶν ἣν ἥκεις ἄγων;
ΛΙΧΑΣ.
Εὐβοΐς· ὧν δ' ἔβλαστεν οὐκ ἔχω λέγειν.
ΑΓΓΕΛΟΣ.
οὗτος, βλέφ' ὧδε. πρὸς τίν' ἐννέπειν δοκεῖς;
ΛΙΧΑΣ.
σὺ δ' εἰς τί δή με τοῦτ' ἐρωτήσας ἔχεις;
ΑΓΓΕΛΟΣ.
τόλμησον εἰπεῖν, εἰ φρονεῖς, ὅ σ' ἱστορῶ.
ΛΙΧΑΣ.
πρὸς τὴν κρατοῦσαν Δηάνειραν, Οἰνέως
κόρην, δάμαρτά θ' Ἡρακλέους, εἰ μὴ κυρῶ
λεύσσων μάταια, δεσπότιν τε τὴν ἐμήν.
ΑΓΓΕΛΟΣ.
τοῦτ' αὔτ' ἔχρῃζον τοῦτό σου μαθεῖν. λέγεις
δέσποιναν εἶναι τήνδε σήν;
ΛΙΧΑΣ.
δίκαια γάρ.
ΑΓΓΕΛΟΣ.
τί δῆτα; ποίαν ἀξιοῖς δοῦναι δίκην,
ἢν εὑρεθῇς ἐς τήνδε μὴ δίκαιος ὤν;
ΛΙΧΑΣ.
πῶς μὴ δίκαιος; τί ποτε ποικίλας ἔχεις;
ΑΓΓΕΛΟΣ.
οὐδέν. σὺ μέντοι κάρτα τοῦτο δρῶν κυρεῖς.
ΛΙΧΑΣ.
ἄπειμι. μῶρος δ' ἦν πάλαι κλύων σέθεν.
ΑΓΓΕΛΟΣ.
οὔ, πρίν γ' ἂν εἴπῃς ἱστορούμενος βραχύ.
ΛΙΧΑΣ.
λέγ', εἴ τι χρῄζεις. καὶ γὰρ οὐ σιγηλὸς εἶ.
ΑΓΓΕΛΟΣ.
τὴν αἰχμάλωτον, ἣν ἔπεμψας ἐς δόμους,
κάτοισθα δήπου;
ΛΙΧΑΣ.
φημί· πρὸς τί δ' ἱστορεῖς;
ΑΓΓΕΛΟΣ.
οὔκουν σὺ ταύτην, ἣν ὑπ' ἀγνοίας ὁρᾷς,
Ἰόλην ἔφασκες Εὐρύτου σπορὰν ἄγειν;
ΛΙΧΑΣ.
ποίοις ἐν ἀνθρώποισι; τίς πόθεν μολὼν
σοὶ μαρτυρήσει ταῦτ' ἐμοῦ κλύειν παρών;
ΑΓΓΕΛΟΣ.
πολλοῖσιν ἀστῶν. ἐν μέσῃ Τραχινίων
ἀγορᾷ πολύς σου ταῦτά γ' εἰσήκουσ' ὄχλος.
ΛΙΧΑΣ.
ναί.
κλύειν γ' ἔφασκον. ταὐτὸ δ' οὐχὶ γίγνεται
δόκησιν εἰπεῖν κἀξακριβῶσαι λόγον.
ΑΓΓΕΛΟΣ.
ποίαν δόκησιν; οὐκ ἐπώμοτος λέγων
δάμαρτ' ἔφασκες Ἡρακλεῖ ταύτην ἄγειν;
ΛΙΧΑΣ.
ἐγὼ δάμαρτα; πρὸς θεῶν, φράσον, φίλη
δέσποινα, τόνδε τίς ποτ' ἐστὶν ὁ ξένος.
ΑΓΓΕΛΟΣ.
ὅς σου παρὼν ἤκουσεν ὡς ταύτης πόθῳ
πόλις δαμείη πᾶσα, κοὐχ ἡ Λυδία
πέρσειεν αὐτήν, ἀλλ' ὁ τῆσδ' ἔρως φανείς.
ΛΙΧΑΣ.
ἄνθρωπος, ὦ δέσποιν', ἀποστήτω. τὸ γὰρ
νοσοῦντι ληρεῖν ἀνδρὸς οὐχὶ σώφρονος.
ΔΗΙΑΝΕΙΡΑ.
μή, πρός σε τοῦ κατ' ἄκρον Οἰταῖον νάπος
Διὸς καταστράπτοντος, ἐκκλέψῃς λόγον.
οὐ γὰρ γυναικὶ τοὺς λόγους ἐρεῖς κακῇ,
οὐδ' ἥτις οὐ κάτοιδε τἀνθρώπων, ὅτι
χαίρειν πέφυκεν οὐχὶ τοῖς αὐτοῖς ἀεί.
Ἔρωτι μὲν γοῦν ὅστις ἀντανίσταται
πύκτης ὅπως ἐς χεῖρας, οὐ καλῶς φρονεῖ.
οὗτος γὰρ ἄρχει καὶ θεῶν ὅπως θέλει,
κἀμοῦ γε· πῶς δ' οὐ χἀτέρας, οἵας γ' ἐμοῦ;
ὥστ' εἴ τι τὠμῷ τ' ἀνδρὶ τῇδε τῇ νόσῳ
ληφθέντι μεμπτός εἰμι, κάρτα μαίνομαι,
ἢ τῇδε τῇ γυναικὶ, τῇ μεταιτίᾳ
τοῦ μηδὲν αἰσχροῦ μηδ' ἐμοὶ κακοῦ τινος.
οὐκ ἔστι ταῦτ'. ἀλλ' εἰ μὲν ἐκ κείνου μαθὼν
ψεύδει, μάθησιν οὐ καλὴν ἐκμανθάνεις·
εἰ δ' αὐτὸς αὑτὸν ὧδε παιδεύεις, ὅταν
θέλῃς γενέσθαι χρηστὸς, ὀφθήσει κακός.
ἀλλ' εἰπὲ πᾶν τἀληθές· ὡς ἐλευθέρῳ
ψευδεῖ καλεῖσθαι κὴρ πρόσεστιν οὐ καλή.
ὅπως δὲ λήσεις, οὐδὲ τοῦτο γίγνεται·
πολλοὶ γὰρ οἷς εἴρηκας, οἳ φράσουσ' ἐμοί.
κεἰ μὲν δέδοικας, οὐ καλῶς ταρβεῖς, ἐπεὶ
τὸ μὴ πυθέσθαι, τοῦτό μ' ἀλγύνειεν ἄν·
τὸ δ' εἰδέναι τί δεινόν; οὐχὶ χἀτέρας
πλείστας ἀνὴρ εἷς Ἡρακλῆς ἔγημε δή;
κοὔπω τις αὐτῶν ἔκ γ' ἐμοῦ λόγον κακὸν
ἠνέγκατ' οὐδ' ὄνειδος· ἥδε τ' οὐδ' ἂν εἰ
κάρτ' ἐντακείη τῷ φιλεῖν, ἐπεί σφ' ἐγὼ
ᾤκτειρα δὴ μάλιστα προσβλέψασ', ὅτι
τὸ κάλλος αὐτῆς τὸν βίον διώλεσεν,
καὶ γῆν πατρῴαν οὐχ ἑκοῦσα δύσμορος
ἔπερσε κἀδούλωσεν. ἀλλὰ ταῦτα μὲν
ῥείτω κατ' οὖρον, σοὶ δ' ἐγὼ φράζω κακὸν
πρὸς ἄλλον εἶναι, πρὸς δ' ἔμ' ἀψευδεῖν ἀεί.
ΧΟΡΟΣ.
πείθου λεγούσῃ χρηστὰ, κοὐ μέμψει χρόνῳ
γυναικὶ τῇδε, κἀπ' ἐμοῦ κτήσει χάριν.
ΛΙΧΑΣ.
ἀλλ', ὦ φίλη δέσποιν', ἐπεί σε μανθάνω
θνητὴν φρονοῦσαν θνητὰ κοὐκ ἀγνώμονα,
πᾶν σοι φράσω τἀληθὲς οὐδὲ κρύψομαι.
ἔστιν γὰρ οὕτως ὥσπερ οὗτος ἐννέπει.
ταύτης ὁ δεινὸς ἵμερός ποθ' Ἡρακλῆ
διῆλθε, καὶ τῆσδ' οὕνεχ' ἡ πολύφθορος
καθῃρέθη πατρῷος Οἰχαλία δόρει.
καὶ ταῦτα, δεῖ γὰρ καὶ τὸ πρὸς κείνου λέγειν,
οὔτ' εἶπε κρύπτειν οὔτ' ἀπηρνήθη ποτὲ,
ἀλλ' αὐτὸς, ὦ δέσποινα, δειμαίνων τὸ σὸν
μὴ στέρνον ἀλγύνοιμι τοῖσδε τοῖς λόγοις,

ἥμαρτόν, εἴ τι τήνδ' ἁμαρτίαν νέμεις.
ἐπεί γε μὲν δὴ πάντ' ἐπίστασαι λόγον,
κείνου τε καὶ σὴν ἐξ ἴσου κοινὴν χάριν
καὶ στέργε τὴν γυναῖκα καὶ βούλου λόγους
οὓς εἶπας ἐς τήνδ' ἐμπέδως εἰρηκέναι.
ὡς τἄλλ' ἐκεῖνος πάντ' ἀριστεύων χεροῖν
τοῦ τῆσδ' ἔρωτος εἰς ἅπανθ' ἥσσων ἔφυ.

ΔΗΙΑΝΕΙΡΑ.

ἀλλ' ὧδε καὶ φρονοῦμεν ὥστε ταῦτα δρᾶν,
κοὔτοι νόσον γ' ἐπακτὸν ἐξαρούμεθα,
θεοῖσι δυσμαχοῦντες. ἀλλ εἴσω στέγης
χωρῶμεν, ὡς λόγων τ' ἐπιστολὰς φέρῃς,
ἅ τ' ἀντὶ δώρων δῶρα χρὴ προσαρμόσαι,
καὶ ταῦτ' ἄγῃς. κενὸν γὰρ οὐ δίκαιά σε
χωρεῖν προσελθόνθ' ὧδε σὺν πολλῷ στόλῳ.

ΧΟΡΟΣ.

μέγα τι σθένος ἁ Κύπρις ἐκφέρεται νίκας ἀεί.
καὶ τὰ μὲν θεῶν
παρέβαν, καὶ ὅπως Κρονίδαν ἀπάτασεν οὐ λέγω,
οὐδὲ τὸν ἔννυχον Ἅιδαν,
ἢ Ποσειδάωνα τινάκτορα γαίας·
ἀλλ' ἐπὶ τάνδ' ἄρ' ἄκοιτιν
τίνες ἀμφίγυοι κατέβαν πρὸ γάμων, τίνες
πάμπληκτα παγκόνιτά τ' ἐξῆλθον ἄεθλ' ἀγώνων.
ὁ μὲν ἦν ποταμοῦ σθένος, ὑψίκερω τετραόρου
φάσμα ταύρου,
Ἀχελῷος ἀπ' Οἰνιαδᾶν, ὁ δὲ Βακχείας ἄπο
ἦλθε παλίντονα Θήβας
τόξα καὶ λόγχας ῥόπαλόν τε τινάσσων,
παῖς Διός· οἳ τότ' ἀολλεῖς
ἴσαν ἐς μέσον ἱέμενοι λεχέων· μόνα δ'
εὔλεκτρος ἐν μέσῳ Κύπρις ῥαβδονόμει ξυνοῦσα.
τότ' ἦν χερὸς, ἦν δὲ τόξων πάταγος,
ταυρείων τ' ἀνάμιγδα κεράτων·
ἦν δ' ἀμφίπλεκτοι
κλίμακες, ἦν δὲ μετώπων ὀλόεντα
πλήγματα καὶ στόνος ἀμφοῖν.
ἁ δ' εὐῶπις ἁβρὰ
τηλαυγεῖ παρ' ὄχθῳ
ἧστο, τὸν ὃν προσμένουσ' ἀκοίταν.
ἐγὼ δὲ μάτηρ μὲν οἷα φράζω·
τὸ δ' ἀμφινείκητον ὄμμα νύμφας
ἐλεινὸν ἀμμένει·
κἀπὸ ματρὸς ἄφαρ βέβακεν,
ὥστε πόρτις ἐρήμα.

ΔΗΙΑΝΕΙΡΑ.

ἦμος, φίλαι, κατ' οἶκον ὁ ξένος θροεῖ
ταῖς αἰχμαλώτοις παισὶν ὡς ἐπ' ἐξόδῳ,
τῆμος θυραῖος ἦλθον ὡς ὑμᾶς λάθρα,
τὰ μὲν φράσουσα χερσὶν ἀτεχνησάμην,
τὰ δ' οἷα πάσχω συγκατοικτιουμένη.
κόρην γὰρ, οἶμαι δ' οὐκ ἔτ', ἀλλ' ἐζευγμένην,
παρεισδέδεγμαι, φόρτον ὥστε ναυτίλος,
λωβητὸν ἐμπόλημα τῆς ἐμῆς φρενός.
καὶ νῦν δύ' οὖσαι μίμνομεν μιᾶς ὑπὸ
χλαίνης ὑπαγκάλισμα. τοιάδ' Ἡρακλῆς,
ὁ πιστὸς ἡμῖν κἀγαθὸς καλούμενος,
οἰκούρι' ἀντέπεμψε τοῦ μακροῦ χρόνου.
ἐγὼ δὲ θυμοῦσθαι μὲν οὐκ ἐπίσταμαι
νοσοῦντι κείνῳ πολλὰ τῇδε τῇ νόσῳ,
τὸ δ' αὖ ξυνοικεῖν τῇδ' ὁμοῦ τίς ἂν γυνὴ
δύναιτο, κοινωνοῦσα τῶν αὐτῶν γάμων;
ὁρῶ γὰρ ἥβην τὴν μὲν ἕρπουσαν πρόσω,
τὴν δὲ φθίνουσαν· ὧν ἀφαρπάζειν φιλεῖ
ὀφθαλμὸς ἄνθος, τῶν δ' ὑπεκτρέπει πόδα.
ταῦτ' οὖν φοβοῦμαι μὴ πόσις μὲν Ἡρακλῆς
ἐμὸς καλεῖται, τῆς νεωτέρας δ' ἀνήρ.
ἀλλ' οὐ γὰρ, ὥσπερ εἶπον, ὀργαίνειν καλὸν
γυναῖκα νοῦν ἔχουσαν· ᾗ δ' ἔχω, φίλαι,
λυτήριον λύπημα, τῇδ' ὑμῖν φράσω.
ἦν μοι παλαιὸν δῶρον ἀρχαίου ποτὲ
θηρὸς, λέβητι χαλκέῳ κεκρυμμένον,
ὃ παῖς ἔτ' οὖσα τοῦ δασυστέρνου παρὰ
Νέσσου φθίνοντος ἐκ φόνων ἀνειλόμην,
ὃς τὸν βαθύρρουν ποταμὸν Εὔηνον βροτοὺς
μισθοῦ 'πόρευε χερσὶν, οὔτε πομπίμοις
κώπαις ἐρέσσων οὔτε λαίφεσιν νεώς.
ὃς κἀμὲ, τὸν πατρῷον ἡνίκα στόλον
ξὺν Ἡρακλεῖ τὸ πρῶτον εὖνις ἑσπόμην,
φέρων ἐπ' ὤμοις, ἡνίκ' ἦν μέσῳ πόρῳ,
ψαύει ματαίαις χερσίν· ἐκ δ' ἤϋσ' ἐγὼ,
χὠ Ζηνὸς εὐθὺς παῖς ἐπιστρέψας χεροῖν
ἧκεν κομήτην ἰόν· ἐς δὲ πνεύμονας
στέρνων διερροίζησεν. ἐκθνήσκων δ' ὁ θὴρ
τοσοῦτον εἶπε, παῖ γέροντος Οἰνέως,
τοσόνδ' ὀνήσει τῶν ἐμῶν, ἐὰν πίθῃ,
πορθμῶν, ὁθούνεχ' ὑστάτην σ' ἔπεμψ' ἐγ
ἐὰν γὰρ ἀμφίθρεπτον αἷμα τῶν ἐμῶν
σφαγῶν ἐνέγκῃ χερσὶν, ᾗ μελαγχόλους
ἔβαψεν ἰοὺς θρέμμα Λερναίας ὕδρας,
ἔσται φρενός σοι τοῦτο κηλητήριον
τῆς Ἡρακλείας, ὥστε μήτιν' εἰσιδὼν
στέρξει γυναῖκα κεῖνος ἀντὶ σοῦ πλέον.
τοῦτ' ἐννοήσασ', ὦ φίλαι, δόμοις γὰρ ἦν
κείνου θανόντος ἐγκεκλεισμένον καλῶς,
χιτῶνα τόνδ' ἔβαψα, προσβαλοῦσ' ὅσα
ζῶν κεῖνος εἶπε· καὶ πεπείρανται τάδε.
κακὰς δὲ τόλμας μήτ' ἐπισταίμην ἐγὼ
μήτ' ἐκμάθοιμι, τάς τε τολμώσας στυγῶ·
φίλτροις δ' ἐάν πως τήνδ' ὑπερβαλώμεθα
τὴν παῖδα καὶ θέλκτροισι τοῖς ἐφ' Ἡρακλ
μεμηχάνηται τοὔργον, εἴ τι μὴ δοκῶ
πράσσειν μάταιον· εἰ δὲ μὴ, πεπαύσεται.

ΧΟΡΟΣ.

ἀλλ' εἴ τις ἐστὶ πίστι; ἐν τοῖς δρωμένοις,
δοκεῖς παρ' ἡμῖν οὐ βεβουλεῦσθαι κακῶς.

ΔΗΙΑΝΕΙΡΑ.

οὕτως ἔχει γ' ἡ πίστις, ὡς τὸ μὲν δοκεῖν
ἔνεστι, πείρᾳ δ' οὐ προσωμίλησά πω.

ΧΟΡΟΣ.

ἀλλ' εἰδέναι χρὴ δρῶσαν, ὡς οὐδ' εἰ δοκε
ἔχειν, ἔχοις ἂν γνῶμα, μὴ πειρωμένη.

ΔΗΙΑΝΕΙΡΑ.

ἀλλ' αὐτίκ' εἰσόμεσθα, τόνδε γὰρ βλέπω
θυραῖον ἤδη· διὰ τάχους δ' ἐλεύσεται.
μόνον παρ' ὑμῶν εὖ στεγοίμεθ'· ὡς σκό
κἂν αἰσχρὰ πράσσῃς, οὔ ποτ' αἰσχύνῃ πε

ΛΙΧΑΣ.

τί χρὴ ποιεῖν; σήμαινε, τέκνον Οἰνέως,

497 — 506. == 507 — 516.

ὡς ἴσμεν ἤδη τῷ μακρῷ χρόνῳ βραδεῖς.

ΔΗΙΑΝΕΙΡΑ.

ἀλλ' αὐτὰ δή σοι ταῦτα καὶ πράσσω, Λίχα,
ἕως σὺ ταῖς ἔσωθεν ἠγορῶ ξέναις,
ὅπως φέρῃς μοι τόνδε γ' εὐυφῆ πέπλον,
δώρημα κείνῳ τἀνδρὶ τῆς ἐμῆς χερός.
διδοὺς δὲ τόνδε φράζ' ὅπως μηδεὶς βροτῶν
κείνου πάροιθεν ἀμφιδύσεται χροΐ,
μηδ' ὄψεταί νιν μήτε φέγγος ἡλίου
μήθ' ἕρκος ἱρὸν μήτ' ἐφέστιον σέλας,
πρὶν κεῖνος αὐτὸν φανερὸν ἐμφανὴς σταθεὶς
δείξῃ θεοῖσιν ἡμέρᾳ ταυροσφάγῳ.
οὕτω γὰρ ηὔγμην, εἴ ποτ' αὐτὸν ἐς δόμους
ἴδοιμι σωθέντ', ἢ κλύοιμι, πανδίκως
στελεῖν χιτῶνι τῷδε, καὶ φανεῖν θεοῖς
θυτῆρα καινῷ καινὸν ἐν πεπλώματι.
καὶ τῶνδ' ἀποίσεις σῆμ', ὃ κεῖνος εὐμαθὲς
σφραγῖδος ἕρκει τῷδ' ἐπ' ὄμμα θήσεται.
ἀλλ' ἕρπε, καὶ φύλασσε πρῶτα μὲν νόμον,
τὸ μὴ 'πιθυμεῖν πομπὸς ὢν περισσὰ δρᾶν·
ἔπειθ' ὅπως ἂν ἡ χάρις κείνου τέ σοι
κἀμοῦ ξυνελθοῦσ' ἐξ ἁπλῆς διπλῆ φανῇ.

ΛΙΧΑΣ.

ἀλλ' εἴπερ Ἑρμοῦ τήνδε πομπεύω τέχνην
βέβαιον, οὔ τι μὴ σφαλῶ γ' ἐν σοί ποτε,
τὸ μὴ οὐ τόδ' ἄγγος ὡς ἔχει δεῖξαι φέρων,
λόγων τε πίστιν ὧν ἔχεις ἐφαρμόσαι.

ΔΗΙΑΝΕΙΡΑ.

στείχοις ἂν ἤδη. καὶ γὰρ ἐξεπίστασαι
τά γ' ἐν δόμοισιν ὡς ἔχοντα τυγχάνει.

ΛΙΧΑΣ.

ἐπίσταμαί τε καὶ φράσω σεσωσμένα.

ΔΗΙΑΝΕΙΡΑ.

ἀλλ' οἶσθα μὲν δὴ καὶ τὰ τῆς ξένης ὁρῶν
προσδέγματ', αὐτὴν ὡς ἐδεξάμην φίλως.

ΛΙΧΑΣ.

ὥστ' ἐκπλαγῆναι τοὐμὸν ἡδονῇ κέαρ.

ΔΗΙΑΝΕΙΡΑ.

τί δῆτ' ἂν ἄλλο γ' ἐννέποις; δέδοικα γὰρ
μὴ πρῷ λέγοις ἂν τὸν πόθον τὸν ἐξ ἐμοῦ,
πρὶν εἰδέναι τἀκεῖθεν εἰ ποθούμεθα.

ΧΟΡΟΣ.

ὦ ναύλοχα καὶ πετραῖα
θερμὰ λουτρὰ καὶ πάγους
Οἴτας παραναιετάοντες, οἵ τε μέσσαν
Μηλίδα πὰρ λίμναν
χρυσαλακάτου τ' ἀκτὰν κόρας,
ἔνθ' Ἑλλάνων ἀγοραὶ
Πυλάτιδες καλεῦνται,
ὁ καλλιβόας τάχ' ὑμὶν
αὐλὸς οὐκ ἀναρσίαν
ἰάχων καναχὰν ἐπάνεισιν, ἀλλὰ θείας
ἀντίλυρον μούσας.
ὁ γὰρ Διὸς Ἀλκμήνας κόρος
σοῦται πάσας ἀρετᾶς
λάφυρ' ἔχων ἐπ' οἴκους·
ὃν ἀπόπτολιν εἴχομεν,
παντᾶ δυοκαιδεκάμηνον ἀμμένουσαι
χρόνον πελάγιον ἴδριες οὐδέν·
ἁ δέ οἱ φίλα δάμαρ
τάλαιναν δυστάλαινα καρδίαν
πάγκλαυτος αἰὲν ὤλλυτο·
νῦν δ' Ἄρης οἰστρηθεὶς
ἐξέλυσ' ἐπίπονον ἁμέραν.
ἀφίκοιτ' ἀφίκοιτο· μὴ
σταίη πολύκωπον ὄχημα ναὸς αὐτῷ,
πρὶν τάνδε πρὸς πόλιν ἀνύσειε,
νασιῶτιν ἑστίαν
ἀμείψας, ἔνθα κλῄζεται θυτήρ·
ὅθεν μόλοι πανάμερος,
τᾶς πειθοῦς παγχρίστῳ
συγκραθεὶς ἐπὶ προφάσει θηρός.

633 — 639. == 640 — 646.
647 — 654. == 655 — 662.

ΔΗΙΑΝΕΙΡΑ.

γυναῖκες, ὡς δέδοικα μὴ περαιτέρω
πεπραγμέν' ᾖ μοι πάνθ' ὅσ' ἀρτίως ἔδρων.

ΧΟΡΟΣ.

τί δ' ἔστι, Δηάνειρα, τέκνον Οἰνέως;

ΔΗΙΑΝΕΙΡΑ.

οὐκ οἶδ'· ἀθυμῶ δ', εἰ φανήσομαι τάχα
κακὸν μέγ' ἐκπράξασ' ἀπ' ἐλπίδος καλῆς.

ΧΟΡΟΣ.

οὐ δή τι τῶν σῶν Ἡρακλεῖ δωρημάτων;

ΔΗΙΑΝΕΙΡΑ.

μάλιστά γ'· ὥστε μήποτ' ἂν προθυμίαν
ἄδηλον ἔργου τῳ παραινέσαι λαβεῖν.

ΧΟΡΟΣ.

δίδαξον, εἰ διδακτὸν, ἐξ ὅτου φοβεῖ.

ΔΗΙΑΝΕΙΡΑ.

τοιοῦτον ἐκβέβηκεν, οἷον, ἢν φράσω,
γυναῖκες, ὑμὶν θαῦμ' ἀνέλπιστον μαθεῖν.
ᾧ γὰρ τὸν ἐνδυτῆρα πέπλον ἀρτίως
ἔχριον, ἀργῆτ' οἰὸς εὐείρῳ πόκῳ,
τοῦτ' ἠφάνισται, διάβορον πρὸς οὐδενὸς
τῶν ἔνδον, ἀλλ' ἐδεστὸν ἐξ αὑτοῦ φθίνει,
καὶ ψῇ κατ' ἄκρας σπιλάδος. ὡς δ' εἰδῇς ἅπαν,
ᾗ τοῦτ' ἐπράχθη, μείζον' ἐκτενῶ λόγον.
ἐγὼ γὰρ ὧν ὁ θήρ με Κένταυρος, πονῶν
πλευρὰν πικρᾷ γλωχῖνι, προὐδιδάξατο
παρῆκα θεσμῶν οὐδὲν, ἀλλ' ἐσωζόμην,
χαλκῆς ὅπως δύσνιπτον ἐκ δέλτου γραφήν.
καί μοι τάδ' ἦν πρόρρητα καὶ τοιαῦτ' ἔδρων,
τὸ φάρμακον τοῦτ' ἄπυρον ἀκτῖνός τ' ἀεὶ
θερμῆς ἄθικτον ἐν μυχοῖς σώζειν ἐμὲ,
ἕως ἂν ἀρτίχριστον ἁρμόσαιμί που.
κἄδρων τοιαῦτα. νῦν δ', ὅτ' ἦν ἐργαστέον,
ἔχρισα μὲν κατ' οἶκον ἐν δόμοις κρυφῇ
μαλλῷ, σπάσασα κτησίου βοτοῦ λάχνην,
κἄθηκα συμπτύξασ' ἀλαμπὲς ἡλίου
κοίλῳ ζυγάστρῳ δῶρον, ὥσπερ εἴδετε.
εἴσω δ' ἀποστείχουσα δέρκομαι φάτιν
ἄφραστον, ἀξύμβλητον ἀνθρώπῳ μαθεῖν.
τὸ γὰρ κάταγμα τυγχάνω ῥίψασά πως
τῆς οἰὸς, ᾧ προὔχριον, ἐς μέσην φλόγα,
ἀκτῖν' ἐς ἡλιῶτιν· ὡς δ' ἐθάλπετο,
ῥεῖ πᾶν ἄδηλον καὶ κατέψηκται χθονὶ,
μορφῇ μάλιστ' εἰκαστὸν ὥστε πρίονος
ἐκβρώματ' ἂν βλέψειας ἐν τομῇ ξύλου.
τοιόνδε κεῖται προπετές. ἐκ δὲ γῆς, ὅθεν

προὔκειτ᾽, ἀναζέουσι θρομβώδεις ἀφροί,
γλαυκῆς ὀπώρας ὥστε πίονος ποτοῦ
χυθέντος εἰς γῆν Βακχίας ἀπ᾽ ἀμπέλου.
ὥστ᾽ οὐκ ἔχω τάλαινα ποῖ γνώμης πέσω·
ὁρῶ δέ μ᾽ ἔργον δεινὸν ἐξειργασμένην.
πόθεν γὰρ ἄν ποτ᾽ ἀντὶ τοῦ θνήσκων ὁ θὴρ
ἐμοὶ παρέσχ᾽ εὔνοιαν, ἧς ἔθνησχ᾽ ὕπερ;
οὐκ ἔστιν. ἀλλὰ τὸν βαλόντ᾽ ἀποφθίσαι
χρῄζων ἔθελγέ μ᾽. ὧν ἐγὼ μεθύστερον,
ὅτ᾽ οὐκ ἔτ᾽ ἀρκεῖ, τὴν μάθησιν ἄρνυμαι.
μόνη γὰρ αὐτὸν, εἴ τι μὴ ψευσθήσομαι
γνώμης, ἐγὼ δύστηνος ἐξαποφθερῶ.
τὸν γὰρ βαλόντ᾽ ἄτρακτον οἶδα καὶ θεὸν
Χείρωνα πημήναντα, χὤσπερ ἂν θίγῃ,
φθείρει τὰ πάντα κνώδαλ᾽· ἐκ δὲ τοῦδ᾽ ὅδε
σφαγῶν διελθὼν ἰὸς αἵματος μέλας
πῶς οὐκ ὀλεῖ καὶ τόνδε; δόξῃ γοῦν ἐμῇ.
καίτοι δέδοκται, κεῖνος εἰ σφαλήσεται,
ταὐτῇ σὺν ὁρμῇ κἀμὲ συνθανεῖν ἅμα.
ζῆν γὰρ κακῶς κλύουσαν οὐκ ἀνασχετὸν,
ἥτις προτιμᾷ μὴ κακὴ πεφυκέναι.

ΧΟΡΟΣ.

ταρβεῖν μὲν ἔργα δείν᾽ ἀναγκαίως ἔχει,
τὴν δ᾽ ἐλπίδ᾽ οὐ χρὴ τῆς τύχης κρίνειν πάρος.

ΔΗΙΑΝΕΙΡΑ.

οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς βουλεύμασιν
οὐδ᾽ ἐλπὶς, ἥτις καὶ θράσος τι προξενεῖ.

ΧΟΡΟΣ.

ἀλλ᾽ ἀμφὶ τοῖς σφαλεῖσι μὴ ᾽ξ ἑκουσίας
ὀργὴ πέπειρα, τῆς σε τυγχάνειν πρέπει.

ΔΗΙΑΝΕΙΡΑ.

τοιαῦτα δ᾽ ἂν λέξειεν οὐχ ὁ τοῦ κακοῦ
κοινωνὸς, ἀλλ᾽ ᾧ μηδέν ἐστ᾽ οἴκοις βαρύ.

ΧΟΡΟΣ.

σιγᾶν ἂν ἁρμόζοι σε τὸν πλείω λόγον,
εἰ μή τι λέξεις παιδὶ τῷ σαυτῆς· ἐπεὶ
πάρεστι, μαστὴρ πατρὸς ὃς πρὶν ᾤχετο.

ΥΛΛΟΣ.

ὦ μῆτερ, ὡς ἂν ἐκ τριῶν σ᾽ ἓν εἱλόμην,
ἢ μηκέτ᾽ εἶναι ζῶσαν, ἢ σεσωσμένην
ἄλλου κεκλῆσθαι μητέρ᾽, ἢ λῴους φρένας
τῶν νῦν παρουσῶν τῶνδ᾽ ἀμείψασθαί ποθεν.

ΔΗΙΑΝΕΙΡΑ.

τί δ᾽ ἐστὶν, ὦ παῖ, πρός γ᾽ ἐμοῦ στυγούμενον;

ΥΛΛΟΣ.

τὸν ἄνδρα τὸν σὸν ἴσθι, τὸν δ᾽ ἐμὸν λέγω
πατέρα, κατακτείνασα τῇδ᾽ ἐν ἡμέρᾳ.

ΔΗΙΑΝΕΙΡΑ.

οἴμοι, τίν᾽ ἐξήνεγκας, ὦ τέκνον, λόγον;

ΥΛΛΟΣ.

ὃν οὐχ οἷόν τε μὴ τελεσθῆναι. τὸ γὰρ
φανθὲν τίς ἂν δύναιτ᾽ ἂν ἀγένητον ποιεῖν;

ΔΗΙΑΝΕΙΡΑ.

πῶς εἶπας, ὦ παῖ; τοῦ παρ᾽ ἀνθρώπων μαθὼν
ἄζηλον οὕτως ἔργον εἰργάσθαι με φῄς;

ΥΛΛΟΣ.

αὐτὸς βαρεῖαν ξυμφορὰν ἐν ὄμμασιν
πατρὸς δεδορκὼς κοὐ κατὰ γλῶσσαν κλύων.

ΔΗΙΑΝΕΙΡΑ.

ποῦ δ᾽ ἐμπελάζεις τἀνδρὶ καὶ παρίστασαι;

ΥΛΛΟΣ.

εἰ χρὴ μαθεῖν σε, πάντα δὴ φωνεῖν χρεών.
ὅθ᾽ εἷρπε κλεινὴν Εὐρύτου πέρσας πόλιν,
νίκης ἄγων τροπαῖα κἀκροθίνια,
ἀκτή τις ἀμφίκλυστος Εὐβοίας ἄκρον
Κηναιόν ἐστιν, ἔνθα πατρῴῳ Διὶ
βωμοὺς ὁρίζει τεμενίαν τε φυλλάδα·
οὗ νιν τὰ πρῶτ᾽ ἐσεῖδον ἄσμενος πόθῳ.
μέλλοντι δ᾽ αὐτῷ πολυθύτους τεύχειν σφαγὰς
κῆρυξ ἀπ᾽ οἴκων ἵκετ᾽ οἰκεῖος Λίχας,
τὸ σὸν φέρων δώρημα, θανάσιμον πέπλον·
ὃν κεῖνος ἐνδὺς, ὡς σὺ προὐξεφίεσο,
ταυροκτονεῖ μὲν δώδεκ᾽ ἐντελεῖς ἔχων
λείας ἀπαρχὴν βοῦς· ἀτὰρ τὰ πάνθ᾽ ὁμοῦ
ἑκατὸν προσῆγε συμμιγῆ βοσκήματα.
καὶ πρῶτα μὲν δείλαιος, ἵλεῳ φρενὶ,
κόσμῳ τε χαίρων καὶ στολῇ, κατηύχετο·
ὅπως δὲ σεμνῶν ὀργίων ἐδαίετο
φλὸξ αἱματηρὰ κἀπὸ πιείρας δρυὸς,
ἱδρὼς ἀνῄει χρωτὶ καὶ προσπτύσσετο
πλευραῖσιν ἀρτίκολλος, ὥστε τέκτονος,
χιτὼν ἅπαν κατ᾽ ἄρθρον· ἦλθε δ᾽ ὀστέων
ἀδαγμὸς ἀντίσπαστος· εἶτα φοινίας
ἐχθρᾶς ἐχίδνης ἰὸς ὣς ἐδαίνυτο.
ἐνταῦθα δὴ βόησε τὸν δυσδαίμονα
Λίχαν, τὸν οὐδὲν αἴτιον τοῦ σοῦ κακοῦ,
ποίαις ἐνέγκαι τόνδε μηχαναῖς πέπλον·
ὁ δ᾽ οὐδὲν εἰδὼς δύσμορος τὸ σὸν μόνης
δώρημ᾽ ἔλεξεν, ὥσπερ ἦν ἐσταλμένον.
κἀκεῖνος ὡς ἤκουσε καὶ διώδυνος
σπαραγμὸς αὐτοῦ πνευμόνων ἀνθήψατο,
μάρψας ποδός νιν, ἄρθρον ᾗ λυγίζεται,
ῥιπτεῖ πρὸς ἀμφίκλυστον ἐκ πόντου πέτραν
κόμης δὲ λευκὸν μυελὸν ἐκραίνει, μέσου
κρατὸς διασπαρέντος αἵματός θ᾽ ὁμοῦ.
ἅπας δ᾽ ἀνευφήμησεν οἰμωγῇ λεὼς,
τοῦ μὲν νοσοῦντος, τοῦ δὲ διαπεπραγμένου
κοὐδεὶς ἐτόλμα τἀνδρὸς ἀντίον μολεῖν.
ἐσπᾶτο γὰρ πέδονδε καὶ μετάρσιος,
βοῶν, ἰύζων· ἀμφὶ δ᾽ ἐκτύπουν πέτραι,
Λοκρῶν ὄρειοι πρῶνες Εὐβοίας τ᾽ ἄκραι.
ἐπεὶ δ᾽ ἀπεῖπε, πολλὰ μὲν τάλας χθονὶ
ῥίπτων ἑαυτὸν, πολλὰ δ᾽ οἰμωγῇ βοῶν,
τὸ δυσπάρευνον λέκτρον ἐνδατούμενος
σοῦ τῆς ταλαίνης, καὶ τὸν Οἰνέως γάμον
οἷον κατακτήσαιτο λυμαντὴν βίου,
τότ᾽ ἐκ προσέδρου λιγνύος διάστροφον
ὀφθαλμὸν ἄρας εἶδέ μ᾽ ἐν πολλῷ στρατῷ
δακρυρροοῦντα, καί με προσβλέψας καλεῖ,
ὦ παῖ, πρόσελθε, μὴ φύγῃς τοὐμὸν κακὸν
μηδ᾽ εἴ σε χρὴ θανόντι συνθανεῖν ἐμοί·
ἀλλ᾽ ἆρον ἔξω, καὶ μάλιστα μὲν μέθες
ἐνταῦθ᾽ ὅπου με μή τις ὄψεται βροτῶν·
εἰ δ᾽ οἶκτον ἴσχεις, ἀλλά μ᾽ ἔκ γε τῆσδε γῆς
πόρθμευσον ὡς τάχιστα, μηδ᾽ αὐτοῦ θάνω.
τοσαῦτ᾽ ἐπισκήψαντος, ἐν μέσῳ σκάφει
θέντες σφε πρὸς γῆν τήνδ᾽ ἐκέλσαμεν μόλις
βρυχώμενον σπασμοῖσι. καί νιν αὐτίκα
ἢ ζῶντ᾽ ἐσόψεσθ᾽, ἢ τεθνηκότ᾽ ἀρτίως.
τοιαῦτα, μῆτερ, πατρὶ βουλεύσασ᾽ ἐμῷ

καὶ δρῶσ' ἐλήφθης, ὧν σε ποίνιμος Δίκη
τίσαιτ' Ἐρινύς τ'. εἰ θέμις δ', ἐπεύχομαι·
θέμις δ', ἐπεί μοι τὴν θέμιν σὺ προὔβαλες,
πάντων ἄριστον ἄνδρα τῶν ἐπὶ χθονὶ
κτείνασ', ὁποῖον ἄλλον οὐκ ὄψει ποτέ.

ΧΟΡΟΣ.

τί σῖγ' ἀφέρπεις; οὐ κάτοισθ' ὁθούνεκα
ξυνηγορεῖς σιγῶσα τῷ κατηγόρῳ;

ΥΛΛΟΣ.

ἐᾶτ' ἀφέρπειν. οὖρος ὀφθαλμῶν ἐμῶν
αὐτῇ γένοιτ' ἄπωθεν ἑρπούσῃ καλῶς.
ὄγκον γὰρ ἄλλως ὀνόματος τί δεῖ τρέφειν
μητρῷον, ἥτις μηδὲν ὡς τεκοῦσα δρᾷ;
ἀλλ' ἑρπέτω χαίρουσα· τὴν δὲ τέρψιν ἣν
τὠμῷ δίδωσι πατρὶ, τήνδ' αὐτὴ λάβοι.

ΧΟΡΟΣ.

ἴδ' οἷον, ὦ παῖδες, προσέμιξεν ἄφαρ
τοὔπος τὸ θεοπρόπον ἡμῖν
τᾶς παλαιφάτου προνοίας,
ὅ τ' ἔλακεν, ὁπότε τελεόμηνος ἐκφέροι
δωδέκατος ἄροτος, ἀναδοχὰν τελεῖν πόνων
τῷ Διὸς αὐτόπαιδι· καὶ τάδ' ὀρθῶς
ἔμπεδα κατουρίζει.
πῶς γὰρ ἂν ὁ μὴ λεύσσων
ἔτι ποτ' ἔτ' ἐπίπονον ἔχοι θανὼν λατρείαν;
εἰ γάρ σφε Κενταύρου φονίᾳ νεφέλᾳ
χρίει δολοποιὸς ἀνάγκα
πλευρὰ προστακέντος ἰοῦ,
ὃν τέκετο θάνατος, ἔτεκε δ' αἰόλος δράκων,
πῶς ὅδ' ἂν ἀέλιον ἕτερον ἢ τανῦν ἴδοι,
δεινοτάτῳ μὲν ὕδρας προστετακὼς
φάσματι; μελαγχαίτα τ'
ἄμμιγά νιν αἰκίζει
Νέσσου θ' ὕπο φόνια δολόμυθα κέντρ' ἐπιζέ-
σαντα.
ὧν ἅδ' ἁ τλάμων ἄοκνον
μεγάλαν προσορῶσα δόμοισι βλάβαν νέων
ἀϊσσόντων γάμων
τὰ μὲν οὔτι προσέβαλε, τὰ δ' ἀπ' ἀλλόθρου
γνώμας μολόντ' ὀλεθρίαισι συναλλαγαῖς,
ἦ που ὀλοὰ στένει,
ἦ που ἀδινῶν χλωρὰν
τέγγει δακρύων ἄχναν.
ἁ δ' ἐρχομένα μοῖρα προφαίνει δολίαν καὶ με-
γάλαν ἄταν.
ἔρρωγεν παγὰ δακρύων,
κέχυται νόσος, ὦ πόποι, οἷον ἀναρσίων
οὔπω Ἡρακλέους
ἀγακλειτὸν ἐπέμολε πάθος οἰκτίσαι.
ἰὼ κελαινὰ λόγχα προμάχου δορὸς,
ἃ τότε θοὰν νύμφαν
ἄγαγες ἀπ' αἰπεινᾶς
τάνδ' Οἰχαλίας αἰχμᾷ·
ἁ δ' ἀμφίπολος Κύπρις ἄναυδος φανερὰ τῶνδ'
ἐφάνη πράκτωρ.

ΗΜΙΧΟΡΙΟΝ.

πότερον ἐγὼ μάταιος, ἢ κλύω τινὸς

821—830. = 831—840.
841—851. = 852—862.

οἰκτοῦ δι' οἴκων ἀρτίως ὁρμωμένου;
τί φημι;

ΗΜΙΧΟΡΙΟΝ.

ἠχεῖ τις οὐκ ἄσημον, ἀλλὰ δυστυχῆ
κωκυτὸν εἴσω· καί τι καινίζει στέγη.

ΗΜΙΧΟΡΙΟΝ.

ξύνες δὲ
τήνδ' ὡς ἀήθης καὶ ξυνωφρυωμένη
χωρεῖ πρὸς ἡμᾶς γραῖα σημανοῦσά τι.

ΤΡΟΦΟΣ.

ὦ παῖδες, ὡς ἄρ' ἡμὶν οὐ σμικρῶν κακῶν
ἦρξεν τὸ δῶρον Ἡρακλεῖ τὸ πόμπιμον.

ΧΟΡΟΣ.

τί δ', ὦ γεραιὰ, καινοποιηθὲν λέγεις;

ΤΡΟΦΟΣ.

βέβηκε Δηάνειρα τὴν πανυστάτην
ὁδῶν ἁπασῶν ἐξ ἀκινήτου ποδός.

ΧΟΡΟΣ.

οὐ δή ποθ' ὡς θανοῦσα;

ΤΡΟΦΟΣ.

πάντ' ἀκήκοας.

ΧΟΡΟΣ.

τέθνηκεν ἡ τάλαινα;

ΤΡΟΦΟΣ.

δεύτερον κλύεις.

ΧΟΡΟΣ.

τάλαιν' ὀλεθρία, τίνι τρόπῳ θανεῖν σφε φῄς;

ΤΡΟΦΟΣ.

σχετλιώτατα πρός γε πρᾶξιν.

ΧΟΡΟΣ.

εἰπὲ τῷ μόρῳ,
γύναι, ξυντρέχει.

ΤΡΟΦΟΣ.

αὑτὴν διηίστωσε.

ΧΟΡΟΣ.

τίς θυμὸς, ἢ τίνες
νόσοι τάνδ' αἰχμὰν
βέλεος κακοῦ ξυνεῖλε; πῶς ἐμήσατο
πρὸς θανάτῳ θάνατον
ἀνύσασα μόνα;

ΤΡΟΦΟΣ.

στονόεντος ἐν τομᾷ σιδήρου.

ΧΟΡΟΣ.

ἐπεῖδες, ὦ ματαία, τάνδ' ὕβριν;

ΤΡΟΦΟΣ.

ἐπεῖδον, ὡς δὴ πλησία παραστάτις.

ΧΟΡΟΣ.

τίς ἦν; πῶς; φέρ' εἰπέ.

ΤΡΟΦΟΣ.

αὐτὴ πρὸς αὑτῆς χειροποιεῖται τάδε.

ΧΟΡΟΣ.

τί φωνεῖς;

ΤΡΟΦΟΣ.

σαφηνῆ.

ΧΟΡΟΣ.

ἔτεκεν ἔτεκεν μεγάλαν
ἁ νέορτος ἅδε νύμφα
δόμοισι τοῖσδ' Ἐρινύν.

ΤΡΟΦΟΣ.

ἄγαν γε· μᾶλλον δ' εἰ παροῦσα πλησία

ἔλευσσες οἷ' ἔδρασε, κάρτ' ἂν ᾤκτισας.

ΧΟΡΟΣ.

καὶ ταῦτ' ἔτλη τις χεὶρ γυναικεία κτίσαι;

ΤΡΟΦΟΣ.

δεινῶς γε· πεύσει δ', ὥστε μαρτυρεῖν ἐμοί.
ἐπεὶ παρῆλθε δωμάτων εἴσω μόνη,
καὶ παῖδ' ἐν αὐλαῖς εἶδε κοῖλα δέμνια
στορνύνθ', ὅπως ἄψορρον ἀντῴη πατρὶ,
κρύψασ' ἑαυτὴν ἔνθα μή τις εἰσίδοι,
βρυχᾶτο μὲν βωμοῖσι προσπίπτουσ' ὅτι
γένοιτ' ἐρήμη, κλαῖε δ' ὀργάνων ὅτου
ψαύσειεν οἷς ἐχρῆτο δειλαία πάρος·
ἄλλη δὲ κἄλλη δωμάτων στρωφωμένη,
εἴ του φίλων βλέψειεν οἰκετῶν δέμας,
ἔκλαιεν ἡ δύστηνος εἰσορωμένη,
αὐτὴ τὸν αὑτῆς δαίμον' ἀγκαλουμένη,
καὶ τὰς ἄπαιδας ἐς τὸ λοιπὸν οὐσίας.
ἐπεὶ δὲ τῶνδ' ἔληξεν, ἐξαίφνης σφ' ὁρῶ
τὸν Ἡράκλειον θάλαμον εἰσορμωμένην.
κἀγὼ λαθραῖον ὄμμ' ἐπεσκιασμένη
φρούρουν· ὁρῶ δὲ τὴν γυναῖκα δεμνίοις
τοῖς Ἡρακλείοις στρωτὰ βάλλουσαν φάρη.
ὅπως δ' ἐτέλεσε τοῦτ', ἐπενθοροῦσ' ἄνω
καθέζετ' ἐν μέσοισιν εὐναστηρίοις,
καὶ δακρύων ῥήξασα θερμὰ νάματα
ἔλεξεν, ὦ λέχη τε καὶ νυμφεῖ' ἐμὰ
τὸ λοιπὸν ἤδη χαίρεθ', ὡς ἔμ' οὔποτε
δέξεσθ' ἔτ' ἐν κοίταισι ταῖσδ' εὐνήτριαν.
τοσαῦτα φωνήσασα συντόνῳ χερὶ
λύει τὸν αὑτῆς πέπλον, ᾧ χρυσήλατος
προὔκειτο μαστῶν περονὶς, ἐκ δ' ἐλώπισεν
πλευρὰν ἅπασαν ὠλένην τ' εὐώνυμον.
κἀγὼ δρομαία βᾶσ', ὅσονπερ ἔσθενον,
τῷ παιδὶ φράζω τῆς τεχνωμένης τάδε.
κἀν ᾧ τὸ κεῖσε δεῦρό τ' ἐξορμώμεθα,
ὁρῶμεν αὐτὴν ἀμφιπλῆγι φασγάνῳ
πλευρὰν ὑφ' ἧπαρ καὶ φρένας πεπληγμένην.
ἰδὼν δ' ὁ παῖς ᾤμωξεν. ἔγνω γὰρ τάλας
τοὔργον κατ' ὀργὴν ὡς ἐφάψειεν τόδε,
ὄψ' ἐκδιδαχθεὶς τῶν κατ' οἶκον οὕνεκα
ἄκουσα πρὸς τοῦ θηρὸς ἔρξειεν τάδε.
κἀνταῦθ' ὁ παῖς δύστηνος οὔτ' ὀδυρμάτων
ἐλείπετ' οὐδὲν, ἀμφί νιν γοώμενος,
οὔτ' ἀμφιπίπτων στόμασιν, ἀλλὰ πλευρόθεν
πλευρὰν παρεὶς ἔκειτο πόλλ' ἀναστένων,
ὥς νιν ματαίως αἰτίᾳ βάλοι κακῇ,
κλαίων ὁθούνεκ' ἐκ δυοῖν ἔσοιθ' ἅμα,
πατρός τ' ἐκείνης τ', ὠρφανισμένος βίου.
τοιαῦτα τἀνθάδ' ἐστίν. ὥστ' εἴ τις δύο
ἢ καὶ πλέους τις ἡμέρας λογίζεται,
μάταιός ἐστιν. οὐ γὰρ ἔσθ' ἥ γ' αὔριον,
πρὶν εὖ πάθῃ τις τὴν παροῦσαν ἡμέραν.

ΧΟΡΟΣ.

πότερα πρότερον ἐπιστένω,
πότερα τέλεα περαιτέρω,
δύσκριτ' ἔμοιγε δυστάνῳ.
τάδε μὲν ἔχομεν ὁρᾶν δόμοις,
τάδε δὲ μελόμεν' ἐπ' ἐλπίσιν·
κοινὰ δ' ἔχειν τε καὶ μέλλειν.

947—949. = 950—952.

εἴθ' ἀνεμόεσσά τις
γένοιτ' ἔπουρος ἑστιῶτις αὔρα,
ἥτις μ' ἀποικίσειεν ἐκ τόπων, ὅπως
τὸν Διὸς ἄλκιμον γόνον
μὴ ταρβαλέα θάνοιμι
μοῦνον εἰσιδοῦσ' ἄφαρ·
ἐπεὶ ἐν δυσαπαλλάκτοις ὀδύναις
χωρεῖν πρὸ δόμων λέγουσιν
ἄσπετόν τι θαῦμα.
ἀγχοῦ δ' ἄρα κοὐ μακρὰν
προὔκλαιον, ὀξύφωνος ὡς ἀηδών.
ξένων γὰρ ἐξόμιλος ἥδε τις βάσις.
πᾷ δὲ φορεῖ νιν; ὡς φίλου
προκηδομένα, βαρεῖαν
ἄψοφον φέρει βάσιν.
αἰαῖ, ὅδ' ἀναύδατος φέρεται.
τί χρὴ, θανόντα νιν, ἢ καθ'
ὕπνον ὄντα κρῖναι;

ΥΛΛΟΣ.

ὤμοι ἐγὼ σοῦ,
πάτερ, ὤμοι ἐγὼ σοῦ μέλεος.
τί πάθω; τί δὲ μήσομαι; οἴμοι.

ΠΡΕΣΒΥΣ.

σίγα, τέκνον, μὴ κινήσῃς
ἀγρίαν ὀδύνην πατρὸς ὠμόφρονος.
ζῇ γὰρ προπετής. ἀλλ' ἴσχε δακὼν
στόμα σόν.

ΥΛΛΟΣ.

πῶς φῄς, γέρον; ἦ ζῇ;

ΠΡΕΣΒΥΣ.

οὐ μὴ 'ξεγερεῖς τὸν ὕπνῳ κάτοχον
κἀκκινήσεις κἀναστήσεις
φοιτάδα δεινὴν
νόσον, ὦ τέκνον.

ΥΛΛΟΣ.

ἀλλ' ἐπί μοι μελέῳ
βάρος ἄπλετον ἐμμέμονεν φρήν.

ΗΡΑΚΛΗΣ.

ὦ Ζεῦ,
ποῖ γᾶς ἥκω; παρὰ τοῖσι βροτῶν
κεῖμαι πεπονημένος ἀλλήκτοις
ὀδύναις; οἴμοι ἐγὼ τλάμων·
ἡ δ' αὖ μιαρὰ βρύκει. φεῦ.

ΠΡΕΣΒΥΣ.

ἆρ' ἐξῄδης ὅσον ἦν κέρδος
σιγῇ κεύθειν, καὶ μὴ σκεδάσαι
τῷδ' ἀπὸ κρατὸς
βλεφάρων θ' ὕπνον;

ΥΛΛΟΣ.

οὐ γὰρ ἔχω πῶς ἂν
στέρξαιμι κακὸν τόδε λεύσσων.

ΗΡΑΚΛΗΣ.

ὦ Κηναία κρηπὶς βωμῶν,
ἱερῶν οἵαν οἵων ἐπί μοι
μελέῳ χάριν ἠνύσω. ὦ Ζεῦ,
οἵαν μ' ἄρ' ἔθου λώβαν, οἵαν,
ἣν μή ποτ' ἐγὼ προσιδεῖν ὁ τάλας
ὤφελον ὄσσοις, τόδ' ἀκήλητον
μανίας ἄνθος καταδερχθῆναι.
τίς γὰρ ἀοιδὸς, τίς ὁ χειροτέχνης

953—961. = 962—970.

ἰατορίας, ὃς τήνδ' ἄτην
χωρὶς Ζηνὸς κατακηλήσει;
θαῦμ' ἂν πόρρωθεν ἰδοίμην.
ἒ ἔ,
ἐᾶτέ μ', ἐᾶτέ με δύσμορον εὐνάσαι,
ἐᾶθ' ὕστατον εὐνάσαι.
πᾶ μου ψαύεις; ποῖ κλίνεις;
ἀπολεῖς μ', ἀπολεῖς.
ἀνατέτροφας ὅ τι καὶ μύσῃ.
ἧπταί μου, τοτοτοῖ. ἥδ' αὖθ' ἕρπει. πόθεν ἔστ', ὦ
πάντων Ἑλλάνων ἀδικώτατοι ἀνέρες, οὓς δὴ
πολλὰ μὲν ἐν πόντῳ, κατά τε δρία πάντα καθαίρων,
ὠλεκόμαν ὁ τάλας, καὶ νῦν ἐπὶ τῷδε νοσοῦντι
οὐ πῦρ, οὐκ ἔγχος τις ὀνήσιμον οὐκ ἀποτρέψει;
ἒ ἔ,
οὐδ' ἀπαράξαι κρᾶτα βίου θέλει
μολὼν τοῦ στυγεροῦ; φεῦ φεῦ.

ΠΡΕΣΒΥΣ.

ὦ παῖ τοῦδ' ἀνδρὸς, τοὔργον τόδε μεῖζον ἀνήκει
ἢ κατ' ἐμὰν ῥώμαν· σὺ δὲ σύλλαβε. σοί τε γὰρ ὄμμα
ἔμπλεον ἢ δι' ἐμοῦ σώζειν.

ΥΛΛΟΣ.

ψαύω μὲν ἔγωγε,
λαθίπονον δ' ὀδυνᾶν οὔτ' ἔνδοθεν οὔτε θύραθεν
ἔστι μοι ἐξανύσαι βίοτον. τοιαῦτα νέμει Ζεύς.

ΗΡΑΚΛΗΣ.

ὦ παῖ, ποῦ ποτ' εἶ;
τᾷδέ με τᾷδέ με πρόσλαβε κουφίσας.
ἒ ἔ, ἰὼ ἰὼ δαῖμον.
θρώσκει δ' αὖ, θρώσκει δειλαία
διολοῦσ' ἡμᾶς
ἀποτίβατος ἀγρία νόσος.
ὦ Παλλὰς, τόδε μ' αὖ λωβᾶται. ἰὼ παῖ τὸν
φύσαντ' οἰκτείρας ἀνεπίφθονον εἴρυσον ἔγχος,
παῖσον ἐμᾶς ὑπὸ κλῇδος· ἀκοῦ δ' ἄχος, ᾧ μ' ἐχόλωσεν
σὰ μάτηρ ἄθεος, ἂν ὧδ' ἐπίδοιμι πεσοῦσαν
αὔτως, ὧδ' αὔτως, ὥς μ' ὤλεσεν. ὦ γλυκὺς Ἅιδας,
ὦ Διὸς αὐθαίμων,
εὔνασον εὔνασον ὠκυπέτᾳ μόρῳ
τὸν μέλεον φθίσας.

ΧΟΡΟΣ.

κλύουσ' ἔφριξα τάσδε συμφορὰς, φίλαι,
ἄνακτος, οἵας οἷος ὢν ἐλαύνεται.

ΗΡΑΚΛΗΣ.

ὦ πολλὰ δὴ καὶ θερμὰ κοὐ λόγῳ κακὰ
καὶ χερσὶ καὶ νώτοισι μοχθήσας ἐγώ·
κοὔπω τοιοῦτον οὔτ' ἄκοιτις ἡ Διὸς
προὔθηκεν οὔθ' ὁ στυγνὸς Εὐρυσθεὺς ἐμοὶ,
οἷον τόδ' ἡ δολῶπις Οἰνέως κόρη
καθῆψεν ὤμοις τοῖς ἐμοῖς Ἐρινύων
ὑφαντὸν ἀμφίβληστρον, ᾧ διόλλυμαι.

1005 a. b. == 1015—1017.
1006—1014. == 1027—1040.
1023—1026. == 1041—1043.

πλευραῖσι γὰρ προσμαχθὲν ἐκ μὲν ἐσχάτας
βέβρωκε σάρκας, πνεύμονός τ' ἀρτηρίας
ῥοφεῖ ξυνοικοῦν· ἐκ δὲ χλωρὸν αἷμά μου
πέπωκεν ἤδη, καὶ διέφθαρμαι δέμας
τὸ πᾶν, ἀφράστῳ τῇδε χειρωθεὶς πέδῃ.
κοὐ ταῦτα λόγχη πεδιὰς, οὔθ' ὁ γηγενὴς
στρατὸς Γιγάντων, οὔτε θήρειος βία,
οὔθ' Ἑλλὰς, οὔτ' ἄγλωσσος, οὔθ' ὅσην ἐγὼ
γαῖαν καθαίρων ἱκόμην, ἔδρασέ πω·
γυνὴ δὲ, θῆλυς οὖσα κοὐκ ἀνδρὸς φύσιν,
μόνη με δὴ καθεῖλε φασγάνου δίχα.
ὦ παῖ, γενοῦ μοι παῖς ἐτήτυμος γεγὼς,
καὶ μὴ τὸ μητρὸς ὄνομα πρεσβεύσῃς πλέον.
δός μοι χεροῖν σαῖν αὐτὸς ἐξ οἴκου λαβὼν
εἰς χεῖρα τὴν τεκοῦσαν, ὡς εἰδῶ σάφα
εἰ τοὐμὸν ἀλγεῖς μᾶλλον ἢ κείνης ὁρῶν
λωβητὸν εἶδος ἐν δίκῃ κακούμενον.
ἴθ', ὦ τέκνον, τόλμησον· οἴκτειρόν τέ με
πολλοῖσιν οἰκτρὸν, ὅστις ὥστε παρθένος
βέβρυχα κλαίων, καὶ τόδ' οὐδ' ἂν εἷς ποτε
τόνδ' ἄνδρα φαίη πρόσθ' ἰδεῖν δεδρακότα,
ἀλλ' ἀστένακτος αἰὲν ἑσπόμην κακοῖς.
νῦν δ' ἐκ τοιούτου θῆλυς εὕρημαι τάλας.
καὶ νῦν προσελθὼν στῆθι πλησίον πατρὸς,
σκέψαι δ' ὁποίας ταῦτα συμφορᾶς ὕπο
πέπονθα. δείξω γὰρ τάδ' ἐκ καλυμμάτων.
ἰδοὺ, θεᾶσθε πάντες ἄθλιον δέμας,
ὁρᾶτε τὸν δύστηνον, ὡς οἰκτρῶς ἔχω.
αἰαῖ, ὦ τάλας,
ἒ ἔ,
ἔθαλψεν ἄτης σπασμὸς ἀρτίως ὅδ' αὖ,
διῇξε πλευρῶν· οὐδ' ἀγύμναστόν μ' ἐᾶν
ἔοικεν ἡ τάλαινα διάβορος νόσος.
ὦναξ Ἀΐδη, δέξαι μ',
ὦ Διὸς ἀκτὶς, παῖσον.
ἔνσεισον, ὦναξ, ἐγκατάσκηψον βέλος,
πάτερ, κεραυνοῦ. δαίνυται γὰρ αὖ πάλιν,
ἤνθηκεν, ἐξώρμηκεν. ὦ χέρες χέρες,
ὦ νῶτα καὶ στέρν', ὦ φίλοι βραχίονες,
ὑμεῖς ἐκεῖνοι δὴ καθέσταθ', οἵ ποτε
Νεμέας ἔνοικον, βουκόλων ἀλάστορα,
λέοντ', ἄπλατον θρέμμα κἀπροσήγορον,
βίᾳ κατειργάσασθε, Λερναίαν θ' ὕδραν,
διφυῆ τ' ἄμικτον ἱπποβάμονα στρατὸν
θηρῶν, ὑβριστὴν, ἄνομον, ὑπέροχον βίαν,
Ἐρυμάνθιόν τε θῆρα, τόν θ' ὑπὸ χθονὸς
Ἅιδου τρίκρανον σκύλακ', ἀπρόσμαχον τέρας,
δεινῆς Ἐχίδνης θρέμμα, τόν τε χρυσέων
δράκοντα μήλων φύλακ' ἐπ' ἐσχάτοις τόποις.
ἄλλων τε μόχθων μυρίων ἐγευσάμην,
κοὐδεὶς τροπαῖ' ἔστησε τῶν ἐμῶν χερῶν.
νῦν δ' ὧδ' ἄναρθρος καὶ κατερρακωμένος
τυφλῆς ὑπ' ἄτης ἐκπεπόρθημαι τάλας,
ὁ τῆς ἀρίστης μητρὸς ὠνομασμένος,
ὁ τοῦ κατ' ἄστρα Ζηνὸς αὐδηθεὶς γόνος.
ἀλλ' εὖ γέ τοι τάδ' ἴστε, κἂν τὸ μηδὲν ὦ
κἂν μηδὲν ἕρπω, τήν γε δράσασαν τάδε
χειρώσομαι κἀκ τῶνδε. προσμόλοι μόνον,
ἵν' ἐκδιδαχθῇ πᾶσιν ἀγγέλλειν ὅτι
καὶ ζῶν κακούς γε καὶ θανὼν ἐτισάμην.

ΧΟΡΟΣ.

ὦ τλῆμον Ἑλλὰς, πένθος οἷον εἰσορῶ
ἕξουσαν, ἀνδρὸς τοῦδέ γ' εἰ σφαλήσεται.

ΥΛΛΟΣ.

ἐπεὶ παρέσχες ἀντιφωνῆσαι, πάτερ
σιγὴν παρασχὼν κλῦθί μου, νοσῶν ὅμως.
αἰτήσομαι γάρ σ' ὧν δίκαια τυγχάνειν.
δός μοι σεαυτὸν, μὴ τοσοῦτον ὡς δάκνῃ
θυμῷ δύσοργος. οὐ γὰρ ἂν γνοίης ἐν οἷς
χαίρειν προθυμεῖ κἀν ὅτοις ἀλγεῖς μάτην.

ΗΡΑΚΛΗΣ.

εἰπὼν ὃ χρῄζεις λῆξον· ὡς ἐγὼ νοσῶν
οὐδὲν ξυνίημ' ὧν σὺ ποικίλλεις πάλαι.

ΥΛΛΟΣ.

τῆς μητρὸς ἥκω τῆς ἐμῆς φράσων ἐν οἷς
νῦν ἐστιν οἷς θ' ἥμαρτεν οὐχ ἑκουσία.

ΗΡΑΚΛΗΣ.

ὦ παγκάκιστε, καὶ παρεμνήσω γὰρ αὖ
τῆς πατροφόντου μητρὸς, ὡς κλύειν ἐμέ;

ΥΛΛΟΣ.

ἔχει γὰρ οὕτως ὥστε μὴ σιγᾶν πρέπειν.

ΗΡΑΚΛΗΣ.

οὐ δῆτα τοῖς γε πρόσθεν ἡμαρτημένοις.

ΥΛΛΟΣ.

ἀλλ' οὐδὲ μὲν δὴ τοῖς γ' ἐφ' ἡμέραν ἐρεῖς.

ΗΡΑΚΛΗΣ.

λέγ'· εὐλαβοῦ δὲ μὴ φανῇς κακὸς γεγώς.

ΥΛΛΟΣ.

λέγω. τέθνηκεν ἀρτίως νεοσφαγής.

ΗΡΑΚΛΗΣ.

πρὸς τοῦ; τέρας τοι διὰ κακῶν ἐθέσπισας.

ΥΛΛΟΣ.

αὐτὴ πρὸς αὑτῆς, οὐδενὸς πρὸς ἐκτόπου.

ΗΡΑΚΛΗΣ.

οἴμοι· πρὶν, ὡς χρῆν, σφ' ἐξ ἐμῆς θανεῖν χερός;

ΥΛΛΟΣ.

κἂν σοῦ στραφείη θυμὸς, εἰ τὸ πᾶν μάθοις.

ΗΡΑΚΛΗΣ.

δεινοῦ λόγου κατῆρξας· εἰπὲ δ' ᾗ νοεῖς.

ΥΛΛΟΣ.

ἅπαν τὸ χρῆμ', ἥμαρτε χρηστὰ μωμένη.

ΗΡΑΚΛΗΣ.

χρήστ', ὦ κάκιστε, πατέρα σὸν κτείνασα δρᾷ;

ΥΛΛΟΣ.

στέργημα γὰρ δοκοῦσα προσβαλεῖν σέθεν,
ἀπήμπλακ', ὡς προσεῖδε τοὺς ἔνδον γάμους.

ΗΡΑΚΛΗΣ.

καὶ τίς τοσοῦτος φαρμακεὺς Τραχινίων;

ΥΛΛΟΣ.

Νέσσος πάλαι Κένταυρος ἐξέπεισέ νιν
τοιῷδε φίλτρῳ τὸν σὸν ἐκμῆναι πόθον.

ΗΡΑΚΛΗΣ.

ἰοὺ ἰοὺ δύστηνος, οἴχομαι τάλας.
ὄλωλ' ὄλωλα, φέγγος οὐκ ἔτ' ἐστί μοι.
οἴμοι, φρονῶ δὴ ξυμφορᾶς ἵν' ἕσταμεν.
ἴθ', ὦ τέκνον· πατὴρ γὰρ οὐκ ἔτ' ἔστι σοι·
κάλει τὸ πᾶν μοι σπέρμα σῶν ὁμαιμόνων,
κάλει δὲ τὴν τάλαιναν Ἀλκμήνην, Διὸς
μάτην ἄκοιτιν, ὡς τελευταίαν ἐμοῦ
φήμην πύθησθε θεσφάτων ὅσ' οἶδ' ἐγώ.

ΥΛΛΟΣ.

ἀλλ' οὔτε μήτηρ ἐνθάδ', ἀλλ' ἐπακτίᾳ
Τίρυνθι συμβέβηκεν ὥστ' ἔχειν ἕδραν,
παίδων δὲ τοὺς μὲν ξυλλαβοῦσ' αὐτὴ τρέφει,
τοὺς δ' ἂν τὸ Θήβης ἄστυ ναίοντας μάθοις·
ἡμεῖς δ' ὅσοι πάρεσμεν, εἴ τι χρὴ, πάτερ,
πράσσειν, κλύοντες ἐξυπηρετήσομεν.

ΗΡΑΚΛΗΣ.

σὺ δ' οὖν ἄκουε τοὔργον· ἐξήκεις δ' ἵνα
φανεῖς ὁποῖος ὢν ἀνὴρ ἐμὸς καλεῖ.
ἐμοὶ γὰρ ἦν πρόφαντον ἐκ πατρὸς πάλαι,
πρὸς τῶν πνεόντων μηδενὸς θανεῖν ὕπο,
ἀλλ' ὅστις Ἅιδου φθίμενος οἰκήτωρ πέλοι.
ὅδ' οὖν ὁ θὴρ Κένταυρος, ὡς τὸ θεῖον ἦν
πρόφαντον, οὕτω ζῶντά μ' ἔκτεινεν θανών.
φανῶ δ' ἐγὼ τούτοισι συμβαίνοντ' ἴσα
μαντεῖα καινὰ, τοῖς πάλαι ξυνήγορα,
ἃ τῶν ὀρείων καὶ χαμαικοιτῶν ἐγὼ
Σελλῶν ἐσελθὼν ἄλσος εἰσεγραψάμην
πρὸς τῆς πατρῴας καὶ πολυγλώσσου δρυὸς,
ἥ μοι χρόνῳ τῷ ζῶντι καὶ παρόντι νῦν
ἔφασκε μόχθων τῶν ἐφεστώτων ἐμοὶ
λύσιν τελεῖσθαι· κἀδόκουν πράξειν καλῶς.
τὸ δ' ἦν ἄρ' οὐδὲν ἄλλο πλὴν θανεῖν ἐμέ.
τοῖς γὰρ θανοῦσι μόχθος οὐ προσγίγνεται.
ταῦτ' οὖν ἐπειδὴ λαμπρὰ συμβαίνει, τέκνον,
δεῖ σ' αὖ γενέσθαι τῷδε τἀνδρὶ σύμμαχον,
καὶ μὴ 'πιμεῖναι τοὐμὸν ὀξῦναι στόμα,
ἀλλ' αὐτὸν εἰκαθόντα συμπράσσειν, νόμον
κάλλιστον ἐξευρόντα, πειθαρχεῖν πατρί.

ΥΛΛΟΣ.

ἀλλ', ὦ πάτερ, ταρβῶ μὲν εἰς λόγου στάσιν
τοιάνδ' ἐπελθὼν, πείσομαι δ' ἅ σοι δοκεῖ.

ΗΡΑΚΛΗΣ.

ἔμβαλλε χεῖρα δεξιὰν πρώτιστά μοι.

ΥΛΛΟΣ.

ὡς πρὸς τί πίστιν τήνδ' ἄγαν ἐπιστρέφεις;

ΗΡΑΚΛΗΣ.

οὐ θᾶσσον οἴσεις μηδ' ἀπιστήσεις ἐμοί;

ΥΛΛΟΣ.

ἰδοὺ προτείνω, κοὐδὲν ἀντειρήσεται.

ΗΡΑΚΛΗΣ.

ὄμνυ Διός νῦν τοῦ με φύσαντος κάρα.

ΥΛΛΟΣ.

ἦ μὴν τί δράσειν, καὶ τόδ' ἐξειρήσεται;

ΗΡΑΚΛΗΣ.

ἦ μὴν ἐμοὶ τὸ λεχθὲν ἔργον ἐκτελεῖν.

ΥΛΛΟΣ.

ὄμνυμ' ἔγωγε, Ζῆν' ἔχων ἐπώμοτον.

ΗΡΑΚΛΗΣ.

εἰ δ' ἐκτὸς ἔλθοις, πημονὰς εὔχου λαβεῖν.

ΥΛΛΟΣ.

οὐ μὴ λάβω· δράσω γάρ. εὔχομαι δ' ὅμως.

ΗΡΑΚΛΗΣ.

οἶσθ' οὖν τὸν Οἴτης Ζηνὸς ὕψιστον πάγον;

ΥΛΛΟΣ.

οἶδ', ὡς θυτήρ γε πολλὰ δὴ σταθεὶς ἄνω.

ΗΡΑΚΛΗΣ.

ἐνταῦθά νυν χρὴ τοὐμὸν ἐξάραντά σε
σῶμ' αὐτόχειρα, καὶ ξὺν οἷς χρῄζεις φίλων,

πολλὴν μὲν ὕλην τῆς βαθυρρίζου δρυὸς
κείραντα, πολλὸν δ' ἄρσεν' ἐκτεμόνθ' ὁμοῦ
ἄγριον ἔλαιον, σῶμα τοὐμὸν ἐμβαλεῖν,
καὶ πευκίνης λαβόντα λαμπάδος σέλας
πρῆσαι. γόου δὲ μηδὲν εἰσίτω δάκρυ,
ἀλλ' ἀστένακτος κἀδάκρυτος, εἴπερ εἶ
τοῦδ' ἀνδρὸς, ἔρξον· εἰ δὲ μὴ, μενῶ σ' ἐγὼ
καὶ νέρθεν ὢν ἀραῖος εἰσαεὶ βαρύς.

ΥΛΛΟΣ.

οἴμοι, πάτερ, τί εἶπας; οἷά μ' εἴργασαι.

ΗΡΑΚΛΗΣ.

ὁποῖα δραστέ' ἐστίν· εἰ δὲ μὴ, πατρὸς
ἄλλου γενοῦ του μηδ' ἐμὸς κληθῇς ἔτι.

ΥΛΛΟΣ.

οἴμοι μάλ' αὖθις, οἷά μ' ἐκκαλεῖ, πάτερ,
φονέα γενέσθαι καὶ παλαμναῖον σέθεν.

ΗΡΑΚΛΗΣ.

οὐ δῆτ' ἔγωγ', ἀλλ' ὧν ἔχω παιώνιον
καὶ μοῦνον ἰατῆρα τῶν ἐμῶν κακῶν.

ΥΛΛΟΣ.

καὶ πῶς ὑπαίθων σῶμ' ἂν ἰῴμην τὸ σόν;

ΗΡΑΚΛΗΣ.

ἀλλ' εἰ φοβεῖ πρὸς τοῦτο, τἄλλα γ' ἔργασαι.

ΥΛΛΟΣ.

φορᾶς γέ τοι φθόνησις οὐ γενήσεται.

ΗΡΑΚΛΗΣ.

ἦ καὶ πυρᾶς πλήρωμα τῆς εἰρημένης;

ΥΛΛΟΣ.

ὅσον γ' ἂν αὐτὸς μὴ ποτιψαύων χεροῖν·
τὰ δ' ἄλλα πράξω κοὐ καμεῖ τοὐμὸν μέρος.

ΗΡΑΚΛΗΣ.

ἀλλ' ἀρκέσει καὶ ταῦτα· πρόσνειμαι δέ μοι
χάριν βραχεῖαν πρὸς μακροῖς ἄλλοις διδούς.

ΥΛΛΟΣ.

εἰ καὶ μακρὰ κάρτ' ἐστὶν, ἐργασθήσεται.

ΗΡΑΚΛΗΣ.

τὴν Εὐρυτείαν οἶσθα δῆτα παρθένον;

ΥΛΛΟΣ.

Ἰόλην ἔλεξας, ὥς γ' ἐπεικάζειν ἐμέ.

ΗΡΑΚΛΗΣ.

ἔγνως. τοσοῦτον δή σ' ἐπισκήπτω, τέκνον·
ταύτην, ἐμοῦ θανόντος, εἴπερ εὐσεβεῖν
βούλει, πατρῴων ὁρκίων μεμνημένος,
πρόσθου δάμαρτα, μηδ' ἀπιστήσῃς πατρί·
μηδ' ἄλλος ἀνδρῶν τοῖς ἐμοῖς πλευροῖς ὁμοῦ
κλιθεῖσαν αὐτὴν ἀντὶ σοῦ λάβοι ποτέ·
ἀλλ' αὐτὸς, ὦ παῖ, τοῦτο κήδευσον λέχος.
πείθου. τὸ γάρ τοι μεγάλα πιστεύσαντ' ἐμοὶ
σμικροῖς ἀπιστεῖν τὴν πάρος συγχεῖ χάριν.

ΥΛΛΟΣ.

οἴμοι. τὸ μὲν νοσοῦντι θυμοῦσθαι κακὸν,
τὸ δ' ὧδ' ὁρᾶν φρονοῦντα τίς ποτ' ἂν φέροι;

ΗΡΑΚΛΗΣ.

ὡς ἐργασείων οὐδὲν ὧν λέγω φρονεῖς.

ΥΛΛΟΣ.

τίς γάρ ποθ', ἥ μοι μητρὶ μὲν θανεῖν μόνη
μεταίτιος σοί τ' αὖθις ὡς ἔχεις ἔχειν,
τίς ταῦτ' ἄν, ὅστις μὴ 'ξ ἀλαστόρων νοσοῖ,
ἕλοιτο; κρεῖσσον κἀμέ γ', ὦ πάτερ, θανεῖν
ἢ τοῖσιν ἐχθίστοισι συνναίειν ὁμοῦ.

ΗΡΑΚΛΗΣ.

ἀνὴρ ὅδ' ὡς ἔοικεν οὐ νεμεῖν ἐμοὶ
φθίνοντι μοῖραν· ἀλλά τοι θεῶν ἀρὰ
μενεῖ σ' ἀπιστήσαντα τοῖς ἐμοῖς λόγοις.

ΥΛΛΟΣ.

οἴμοι, τάχ', ὡς ἔοικας, ὡς νοσεῖς φράσεις.

ΗΡΑΚΛΗΣ.

σὺ γάρ μ' ἀπ' εὐνασθέντος ἐκκινεῖς κακοῦ.

ΥΛΛΟΣ.

δείλαιος, ὡς ἐς πολλὰ τἀπορεῖν ἔχω.

ΗΡΑΚΛΗΣ.

οὐ γὰρ δικαιοῖς τοῦ φυτεύσαντος κλύειν.

ΥΛΛΟΣ.

ἀλλ' ἐκδιδαχθῶ δῆτα δυσσεβεῖν, πάτερ;

ΗΡΑΚΛΗΣ.

οὐ δυσσέβεια, τοὐμὸν εἰ τέρψεις κέαρ.

ΥΛΛΟΣ.

πράσσειν ἄνωγας οὖν με πανδίκως τάδε;

ΗΡΑΚΛΗΣ.

ἔγωγε. τούτων μάρτυρας καλῶ θεούς.

ΥΛΛΟΣ.

τοιγὰρ ποιήσω, κοὐκ ἀπώσομαι, τὸ σὸν
θεοῖσι δεικνὺς ἔργον. οὐ γὰρ ἄν ποτε
κακὸς φανείην σοί γε πιστεύσας, πάτερ.

ΗΡΑΚΛΗΣ.

καλῶς τελευτᾷς, κἀπὶ τοῖσδε τὴν χάριν
ταχεῖαν, ὦ παῖ, πρόσθες· ὡς πρὶν ἐμπεσεῖν
σπαραγμὸν ἤ τιν' οἶστρον, ἐς πυράν με θῇς.
ἄγ' ἐγκονεῖτ', αἴρεσθε. παῦλά τοι κακῶν
αὕτη, τελευτὴ τοῦδε τἀνδρὸς ὑστάτη.

ΥΛΛΟΣ.

ἀλλ' οὐδὲν εἴργει σοὶ τελειοῦσθαι τάδε,
ἐπεὶ κελεύεις κἀξαναγκάζεις, πάτερ.

ΗΡΑΚΛΗΣ.

ἄγε νυν, πρὶν τήνδ' ἀνακινῆσαι
νόσον, ὦ ψυχὴ σκληρὰ, χάλυβος
λιθοκόλλητον στόμιον παρέχουσ',
ἀνάπαυε βοὴν, ὡς ἐπίχαρτον
τελέουσ' ἀεκούσιον ἔργον.

ΥΛΛΟΣ.

αἴρετ', ὀπαδοὶ, μεγάλην μὲν ἐμοὶ
τούτων θέμενοι συγγνωμοσύνην,
μεγάλην δὲ θεοῖς ἀγνωμοσύνην
εἰδότες ἔργων τῶν πρασσομένων,
οἳ φύσαντες καὶ κληζόμενοι
πατέρες τοιαῦτ' ἐφορῶσι πάθη.
τὰ μὲν οὖν μέλλοντ' οὐδεὶς ἐφορᾷ,
τὰ δὲ νῦν ἑστῶτ' οἰκτρὰ μὲν ἡμῖν,
αἰσχρὰ δ' ἐκείνοις,
χαλεπώτατα δ' οὖν ἀνδρῶν πάντων
τῷ τήνδ' ἄτην ὑπέχοντι.
λείπου μηδὲ σύ, παρθέν', ἐπ' οἴκων,
μεγάλους μὲν ἰδοῦσα νέους θανάτους,
πολλὰ δὲ πήματα καὶ καινοπαθῆ,
κοὐδὲν τούτων ὅ τι μὴ Ζεύς.

# ΣΟΦΟΚΛΕΟΥΣ ΦΙΛΟΚΤΗΤΗΣ.

---

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΟΔΥΣΣΕΥΣ.* — *ΝΕΟΠΤΟΛΕΜΟΣ.*
*ΧΟΡΟΣ.* — *ΦΙΛΟΚΤΗΤΗΣ.*
*ΣΚΟΠΟΣ ὡς ΕΜΠΟΡΟΣ.* — *ΗΡΑΚΛΗΣ.*

---

## *ΥΠΟΘΕΣΙΣ.*

*Ἀπαγωγὴ Φιλοκτήτου ἐκ Λήμνου εἰς Τροίαν ὑπὸ Νεοπτολέμου καὶ Ὀδυσσέως καθ᾽ Ἑλένου μαντείαν, κατὰ μαντείαν Κάλχαντος, ὡς εἰδὼς χρησμοὺς συντελοῦντας πρὸς τὴν Τροίας ἅλωσιν, ὑπὸ Ὀδυσσέως νί- τωρ ἐνεδρευθεὶς, δέσμιος ἤχθη τοῖς Ἕλλησιν· ἡ δε σκηνὴ ἐν Λήμνῳ. ὁ δὲ χορὸς ἐκ γερόντων τῶν Νε- πτολέμῳ συμπλεόντων. κεῖται δὲ καὶ παρ᾽ Αἰσχύλῳ ἡ μυθοποιΐα. ἐδιδάχθη ἐπὶ Γλαυκίππου *. πρῶτ- ἦν Σοφοκλῆς.*

---

## *ΥΠΟΘΕΣΙΣ ΕΜΜΕΤΡΟΣ.*

*Χρύσης Ἀθηνᾶς βωμὸν ἐπικεχωσμένον,*
*ἐφ᾽ οὗπερ Ἀχαιοῖς χρησθὲν ἦν θῦσαι, μόνος*
*Ποίαντος ᾔδει παῖς ποθ᾽ Ἡρακλεῖ συνών.*
*ζητῶν δὲ τοῦτον ναυάτῃ δεῖξαι στόλῳ,*
*πληγεὶς ὑπ᾽ ἔχεως, ἐλίπετ᾽ ἐν Λήμνῳ νοσῶν.*
*Ἕλενος δ᾽ Ἀχαιοῖς εἶφ᾽ ἁλώσεσθ᾽ Ἴλιον*
*τοῖς Ἡρακλέους τόξοισι παιδί τ᾽ Ἀχιλλέως.*
*τὰ τόξ᾽ ὑπῆρχε παρὰ Φιλοκτήτῃ μόνῳ·*
*πεμφθεὶς δ᾽ Ὀδυσσεὺς ἀμφοτέρους συνήγαγεν.*

---

* Ol. XCII, 3.

---

# Φ Ι Λ Ο Κ Τ Η Τ Η Σ.

ΟΔΥΣΣΕΥΣ.

Ἀκτὴ μὲν ἥδε τῆς περιῤῥύτου χθονὸς
Λήμνου, βροτοῖς ἄστειπτος οὐδ᾽ οἰκουμένη,
ἔνθ᾽, ὦ κρατίστου πατρὸς Ἑλλήνων τραφεὶς
Ἀχιλλέως παῖ Νεοπτόλεμε, τὸν Μηλιᾶ
Ποίαντος υἱὸν ἐξέθηκ᾽ ἐγώ ποτε,
ταχθεὶς τόδ᾽ ἔρδειν τῶν ἀνασσόντων ὕπο,
νόσῳ καταστάζοντα διαβόρῳ πόδα·
ὅτ᾽ οὔτε λοιβῆς ἡμὶν οὔτε θυμάτων
παρῆν ἑκήλοις προσθιγεῖν, ἀλλ᾽ ἀγρίαις
κατεῖχ᾽ ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις,
βοῶν, ἰύζων. ἀλλὰ ταῦτα μὲν τί δεῖ
λέγειν; ἀκμὴ γὰρ οὐ μακρῶν ἡμῖν λόγων,
μὴ καὶ μάθῃ μ᾽ ἥκοντα κἀκχέω τὸ πᾶν
σόφισμα τῷ νιν αὐτίχ᾽ αἱρήσειν δοκῶ.
ἀλλ᾽ ἔργον ἤδη σὸν τὰ λοίφ᾽ ὑπηρετεῖν,
σκοπεῖν θ᾽ ὅπου ᾽στ᾽ ἐνταῦθα δίστομος πέτρα
τοιάδ᾽, ἵν᾽ ἐν ψύχει μὲν ἡλίου διπλῆ
πάρεστιν ἐνθάκησις, ἐν θέρει δ᾽ ὕπνον
δι᾽ ἀμφιτρῆτος αὐλίου πέμπει πνοή.
βαιὸν δ᾽ ἔνερθεν ἐξ ἀριστερᾶς τάχ᾽ ἂν
ἴδοις ποτὸν κρηναῖον, εἴπερ ἐστὶ σῶν.
ἅ μοι προσελθὼν σῖγα σήμαιν᾽ εἴτ᾽ ἔχει
χῶρον πρὸς αὐτὸν τόνδε γ᾽ εἴτ᾽ ἄλλῃ κυρεῖ,
ὡς τἀπίλοιπα τῶν λόγων σὺ μὲν κλύῃς,
ἐγὼ δὲ φράζω, κοινὰ δ᾽ ἐξ ἀμφοῖν ἴῃ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἄναξ Ὀδυσσεῦ, τοὔργον οὐ μακρὰν λέγεις.
δοκῶ γὰρ οἷον εἶπας ἄντρον εἰσορᾶν.

ΟΔΥΣΣΕΥΣ.

ἄνωθεν, ἢ κάτωθεν; οὐ γὰρ ἐννοῶ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τόδ᾽ ἐξύπερθε, καὶ στίβου γ᾽ οὐδεὶς τύπος.

ΟΔΥΣΣΕΥΣ.

ὅρα καθ᾽ ὕπνον μὴ καταυλισθεὶς κυρῇ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ὁρῶ κενὴν οἴκησιν ἀνθρώπων δίχα.

ΟΔΥΣΣΕΥΣ.

οὐδ᾽ ἔνδον οἰκοποιός ἐστί τις τροφή;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

στειπτή γε φυλλὰς ὡς ἐναυλίζοντί τῳ.

ΟΔΥΣΣΕΥΣ.

τὰ δ᾽ ἄλλ᾽ ἔρημα, κοὐδέν ἐσθ᾽ ὑπόστεγον;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

αὐτόξυλόν γ᾽ ἔκπωμα, φλαυρούργου τινὸς
τεχνήματ᾽ ἀνδρὸς, καὶ πυρεῖ᾽ ὁμοῦ τάδε.

ΟΔΥΣΣΕΥΣ.

κείνου τὸ θησαύρισμα σημαίνεις τόδε.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἰοὺ ἰού· καὶ ταῦτά γ᾽ ἄλλα θάλπεται
ῥάκη, βαρείας του νοσηλείας πλέα.

ΟΔΥΣΣΕΥΣ.

ἁνὴρ κατοικεῖ τούσδε τοὺς τόπους σαφῶς,
κἄστ᾽ οὐχ ἑκάς που. πῶς γὰρ ἂν νοσῶν ἀνὴρ
κῶλον παλαιᾷ κηρὶ προσβαίη μακράν;
ἀλλ᾽ ἢ ᾽πὶ φορβῆς νόστον ἐξελήλυθεν,
ἢ φύλλον εἴ τι νώδυνον κάτοιδέ που.
τὸν οὖν παρόντα πέμψον εἰς κατασκοπὴν,
μὴ καὶ λάθῃ με προσπεσών· ὡς μᾶλλον ἂν
ἕλοιτό μ᾽ ἢ τοὺς πάντας Ἀργείους λαβεῖν.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀλλ᾽ ἔρχεταί τε καὶ φυλάξεται στίβος.
σὺ δ᾽ εἴ τι χρῄζεις, φράζε δευτέρῳ λόγῳ.

ΟΔΥΣΣΕΥΣ.

Ἀχιλλέως παῖ, δεῖ σ᾽ ἐφ᾽ οἷς ἐλήλυθας
γενναῖον εἶναι, μὴ μόνον τῷ σώματι,
ἀλλ᾽ ἤν τι καινὸν, ὧν πρὶν οὐκ ἀκήκοας,
κλύῃς, ὑπουργεῖν, ὡς ὑπηρέτης πάρει.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τί δῆτ᾽ ἄνωγας;

ΟΔΥΣΣΕΥΣ.

τὴν Φιλοκτήτου σε δεῖ
ψυχὴν ὅπως λόγοισιν ἐκκλέψεις λέγων.
ὅταν σ᾽ ἐρωτᾷ τίς τε καὶ πόθεν πάρει,
λέγειν, Ἀχιλλέως παῖς· τόδ᾽ οὐχὶ κλεπτέον·
πλεῖς δ᾽ ὡς πρὸς οἶκον, ἐκλιπὼν τὸ ναυτικὸν
στράτευμ᾽ Ἀχαιῶν, ἔχθος ἐχθήρας μέγα,
οἵ σ᾽ ἐν λιταῖς στείλαντες ἐξ οἴκων μολεῖν,
μόνην ἔχοντες τήνδ᾽ ἅλωσιν Ἰλίου,
οὐκ ἠξίωσαν τῶν Ἀχιλλείων ὅπλων
ἐλθόντι δοῦναι κυρίως αἰτουμένῳ,
ἀλλ᾽ αὔτ᾽ Ὀδυσσεῖ παρέδοσαν· λέγων ὅσ᾽ ἂν
θέλῃς καθ᾽ ἡμῶν ἔσχατ᾽ ἐσχάτων κακά.
τούτων γὰρ οὐδὲν ἀλγυνεῖ μ᾽· εἰ δ᾽ ἐργάσει
μὴ ταῦτα, λύπην πᾶσιν Ἀργείοις βαλεῖς.
εἰ γὰρ τὰ τοῦδε τόξα μὴ ληφθήσεται,
οὐκ ἔστι πέρσαι σοι τὸ Δαρδάνου πέδον.
ὡς δ᾽ ἔστ᾽ ἐμοὶ μὲν οὐχὶ, σοὶ δ᾽ ὁμιλία
πρὸς τόνδε πιστὴ καὶ βέβαιος, ἔκμαθε.
σὺ μὲν πέπλευκας οὔτ᾽ ἔνορκος οὐδενὶ
οὔτ᾽ ἐξ ἀνάγκης οὔτε τοῦ πρώτου στόλου,
ἐμοὶ δὲ τούτων οὐδέν ἐστ᾽ ἀρνήσιμον.
ὥστ᾽ εἴ με τόξων ἐγκρατὴς αἰσθήσεται,
ὄλωλα καὶ σὲ προσδιαφθερῶ ξυνών.
ἀλλ᾽ αὐτὸ τοῦτο δεῖ σοφισθῆναι, κλοπεὺς
ὅπως γενήσει τῶν ἀνικήτων ὅπλων.
ἔξοιδα, παῖ, φύσει σε μὴ πεφυκότα
τοιαῦτα φωνεῖν μηδὲ τεχνᾶσθαι κακά.
ἀλλ᾽ ἡδὺ γάρ τοι κτῆμα τῆς νίκης λαβεῖν,
τόλμα· δίκαιοι δ᾽ αὖθις ἐκφανούμεθα.
νῦν δ᾽ εἰς ἀναιδὲς ἡμέρας μέρος βραχὺ
δός μοι σεαυτὸν, κᾆτα τὸν λοιπὸν χρόνον
κέκλησο πάντων εὐσεβέστατος βροτῶν.

ASHMOLEAN
OXFORD

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἐγὼ μὲν οὓς ἂν τῶν λόγων ἀλγῶ κλύων,
Λαερτίου παῖ, τούσδε καὶ πράσσειν στυγῶ.
ἔφυν γὰρ οὐδὲν ἐκ τέχνης πράσσειν κακῆς,
οὔτ' αὐτὸς οὔθ', ὥς φασιν, οὐκφύσας ἐμέ.
ἀλλ' εἴμ' ἕτοιμος πρὸς βίαν τὸν ἄνδρ' ἄγειν
καὶ μὴ δόλοισιν, οὐ γὰρ ἐξ ἑνὸς ποδὸς
ἡμᾶς τοσούσδε πρὸς βίαν χειρώσεται.
πεμφθείς γε μέντοι σοὶ ξυνεργάτης ὀκνῶ
προδότης καλεῖσθαι· βούλομαι δ', ἄναξ, καλῶς
δρῶν ἐξαμαρτεῖν μᾶλλον ἢ νικᾶν κακῶς.

ΟΔΥΣΣΕΥΣ.

ἐσθλοῦ πατρὸς παῖ, καὐτὸς ὢν νέος ποτὲ
γλῶσσαν μὲν ἀργὸν, χεῖρα δ' εἶχον ἐργάτιν·
νῦν δ' εἰς ἔλεγχον ἐξιὼν ὁρῶ βροτοῖς
τὴν γλῶσσαν, οὐχὶ τἄργα, πάνθ' ἡγουμένην.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τί οὖν μ' ἄνωγας ἄλλο πλὴν ψευδῆ λέγειν;

ΟΔΥΣΣΕΥΣ.

λέγω σ' ἐγὼ δόλῳ Φιλοκτήτην λαβεῖν.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τί δ' ἐν δόλῳ δεῖ μᾶλλον ἢ πείσαντ' ἄγειν;

ΟΔΥΣΣΕΥΣ.

οὐ μὴ πίθηται· πρὸς βίαν δ' οὐκ ἂν λάβοις.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὕτως ἔχει τι δεινὸν ἰσχύος θράσος;

ΟΔΥΣΣΕΥΣ.

ἰοὺς ἀφύκτους καὶ προπέμποντας φόνον.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὐκ ἆρ' ἐκείνῳ γ' οὐδὲ προσμῖξαι θρασύ;

ΟΔΥΣΣΕΥΣ.

οὔ, μὴ δόλῳ λαβόντα γ', ὡς ἐγὼ λέγω.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὐκ αἰσχρὸν ἡγεῖ δῆτα τὰ ψευδῆ λέγειν;

ΟΔΥΣΣΕΥΣ.

οὔκ, εἰ τὸ σωθῆναί γε τὸ ψεῦδος φέρει.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

πῶς οὖν βλέπων τις ταῦτα τολμήσει λαλεῖν.

ΟΔΥΣΣΕΥΣ.

ὅταν τι δρᾷς εἰς κέρδος, οὐκ ὀκνεῖν πρέπει.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

κέρδος δέ μοι τί τοῦτον εἰς Τροίαν μολεῖν;

ΟΔΥΣΣΕΥΣ.

αἱρεῖ τὰ τόξα ταῦτα τὴν Τροίαν μόνα.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὐκ ἆρ' ὁ πέρσων γ', ὡς ἐφάσκετ', εἴμ' ἐγώ;

ΟΔΥΣΣΕΥΣ.

οὔτ' ἂν σὺ κείνων χωρὶς οὔτ' ἐκεῖνα σοῦ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

θηρατέ' ἂν γίγνοιτ' ἄν, εἴπερ ὧδ' ἔχει.

ΟΔΥΣΣΕΥΣ.

ὡς τοῦτό γ' ἔρξας δύο φέρει δωρήματα.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ποίω; μαθὼν γὰρ οὐκ ἂν ἀρνοίμην τὸ δρᾶν.

ΟΔΥΣΣΕΥΣ.

σοφός τ' ἂν αὐτὸς κἀγαθὸς κεκλῇ' ἅμα.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἴτω· ποιήσω, πᾶσαν αἰσχύνην ἀφείς.

ΟΔΥΣΣΕΥΣ.

ἦ μνημονεύεις οὖν ἅ σοι παρῄνεσα;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

σάφ' ἴσθ', ἐπείπερ εἰσάπαξ συνῄνεσα.

ΟΔΥΣΣΕΥΣ.

σὺ μὲν μένων νυν κεῖνον ἐνθάδ' ἐκδέχου,
ἐγὼ δ' ἄπειμι, μὴ κατοπτευθῶ παρών,
καὶ τὸν σκοπὸν πρὸς ναῦν ἀποστελῶ πάλιν.
καὶ δεῦρ', ἐάν μοι τοῦ χρόνου δοκῆτέ τι
κατασχολάζειν, αὖθις ἐκπέμψω πάλιν
τοῦτον τὸν αὐτὸν ἄνδρα, ναυκλήρου τρόποις
μορφὴν δολώσας, ὡς ἂν ἀγνοίᾳ προσῇ·
οὗ δῆτα, τέκνον, ποικίλως αὐδωμένου
δέχου τὰ συμφέροντα τῶν ἀεὶ λόγων.
ἐγὼ δὲ πρὸς ναῦν εἶμι, σοὶ παρεὶς τάδε·
Ἑρμῆς δ' ὁ πέμπων δόλιος ἡγήσαιτο νῷν
Νίκη τ' Ἀθάνα Πολιάς, ἣ σῴζει μ' ἀεί.

ΧΟΡΟΣ.

τί χρὴ τί χρή με, δέσποτ', ἐν ξένᾳ ξένον
στέγειν; ἢ τί λέγειν πρὸς ἄνδρ' ὑπόπταν;
φράζε μοι.
τέχνα γὰρ τέχνας ἑτέρας προὔχει
καὶ γνώμα παρ' ὅτῳ τὸ θεῖον
Διὸς σκῆπτρον ἀνάσσεται.
σὲ δ', ὦ τέκνον, τόδ' ἐλήλυθεν
πᾶν κράτος ὠγύγιον· τό μοι ἔννεπε
τί σοι χρεὼν ὑπουργεῖν.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

νῦν μὲν ἴσως γὰρ τόπον ἐσχατιαῖς
προσιδεῖν ἐθέλεις ὅντινα κεῖται,
δέρκου θαρσῶν· ὁπόταν δὲ μόλῃ
δεινὸς ὁδίτης τῶνδ' ἐκ μελάθρων,
πρὸς ἐμὴν ἀεὶ χεῖρα προχωρῶν
πειρῶ τὸ παρὸν θεραπεύειν.

ΧΟΡΟΣ.

μέλον πάλαι μέλημά μοι λέγεις, ἄναξ,
φρουρεῖν ὄμμ' ἐπὶ σῷ μάλιστα καιρῷ·
νῦν δέ μοι
λέγ' αὐλὰς ποίας ἔνεδρος ναίει
καὶ χῶρον τίν' ἔχει. τὸ γάρ μοι
μαθεῖν οὐκ ἀποκαίριον,
μὴ προσπεσών με λάθῃ ποθὲν,
τίς τόπος, ἢ τίς ἕδρα, τίν' ἔχει στίβον,
ἔναυλον, ἢ θυραῖον.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οἶκον μὲν ὁρᾷς τόνδ' ἀμφίθυρον
πετρίνης κοίτης.

ΧΟΡΟΣ.

ποῦ γὰρ ὁ τλήμων αὐτὸς ἄπεστιν;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

δῆλον ἔμοιγ' ὡς φορβῆς χρείᾳ
στίβον ὀγμεύει τόνδε πέλας που.
ταύτην γὰρ ἔχειν βιοτῆς αὐτὸν
λόγος ἐστὶ φύσιν, θηροβολοῦντα
πτηνοῖς ἰοῖς στυγερὸν στυγερῶς,
οὐδέ τιν' αὐτῷ
παιῶνα κακῶν ἐπινωμᾶν.

ΧΟΡΟΣ.

οἰκτείρω νιν ἔγωγ', ὅπως,
μή του κηδομένου βροτῶν

135 — 143. == 150 — 158.
169 — 179. == 180 — 190.

μηδὲ σύντροφον ὄμμ' ἔχων,
δύστανος, μόνος ἀεὶ,
νοσεῖ μὲν νόσον ἀγρίαν,
ἀλύει δ' ἐπὶ παντί τῳ
χρείας ἱσταμένῳ. πῶς ποτε πῶς δύσμορος ἀντέχει;
ὦ παλάμαι θνητῶν,
ὦ δύστανα γένη βροτῶν,
οἷς μὴ μέτριος αἰών.
οὗτος πρωτογόνων ἴσως
οἴκων οὐδενὸς ὕστερος,
πάντων ἄμμορος ἐν βίῳ
κεῖται μοῦνος ἀπ' ἄλλων
στικτῶν ἢ λασίων μετὰ
θηρῶν, ἔν τ' ὀδύναις ὁμοῦ
λιμῷ τ' οἰκτρὸς, ἀνήκεστα μεριμνήματ' ἔχων βάρη.
ἁ δ' ἀθυρόστομος
ἀχὼ τηλεφανὴς πικρᾶς
οἰμωγᾶς ὕπ' ὀχεῖται.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὐδὲν τούτων θαυμαστὸν ἐμοί.
θεῖα γὰρ, εἴπερ κἀγώ τι φρονῶ,
καὶ τὰ παθήματα κεῖνα πρὸς αὐτὸν
τῆς ὠμόφρονος Χρύσης ἐπέβη,
καὶ νῦν ἃ πονεῖ δίχα κηδεμόνων,
οὐκ ἔσθ' ὡς οὐ θεῶν του μελέτῃ,
τοῦ μὴ πρότερον τόνδ' ἐπὶ Τροίᾳ
τεῖναι τὰ θεῶν ἀμάχητα βέλη,
πρὶν ὅδ' ἐξήκοι χρόνος, ᾧ λέγεται
χρῆναί σφ' ὑπὸ τῶνδε δαμῆναι.

ΧΟΡΟΣ.

εὔστομ' ἔχε, παῖ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τί τόδε;

ΧΟΡΟΣ.

προὐφάνη
κτύπος, φωτὸς σύντροφος ὡς τειρομένου του,
ἢ που τῇδ' ἢ τῇδε τόπων.
βάλλει βάλλει μ' ἐτύμα φθογγά
του στίβου κατ' ἀνάγκαν
ἕρποντος, οὐδέ με λάθει
βαρεῖα τηλόθεν αὐδὰ
τρυσάνωρ· διάσημα γὰρ θρηνεῖ.

ΧΟΡΟΣ.

ἀλλ' ἔχε, τέκνον,

ΝΕΟΠΤΟΛΕΜΟΣ.

λέγ' ὅ τι.

ΧΟΡΟΣ.

φροντίδας
νέας· ὡς οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ἀνήρ,
οὐ μολπὰν σύριγγος ἔχων,
ὡς ποιμὴν ἀγροβότας, ἀλλ' ἤ
που πταίων ὑπ' ἀνάγκας
βοᾷ τηλωπὸν ἰωάν,
ἢ ναὸς ἄξενον αὐγά-
ζων ὅρμον· προβοᾷ τι γὰρ δεινόν.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἰὼ ξένοι,

201—209. == 210—218.

τίνες ποτ' ἐς γῆν τήνδε ναυτίλῳ πλάτῃ
κατέσχετ' οὔτ' εὔορμον οὔτ' οἰκουμένην;
ποίας πάτρας ὑμᾶς ἂν ἢ γένους ποτὲ
τύχοιμ' ἂν εἰπών; σχῆμα μὲν γὰρ Ἑλλάδος
στολῆς ὑπάρχει προσφιλεστάτης ἐμοί·
φωνῆς δ' ἀκοῦσαι βούλομαι· καὶ μή μ' ὄκνῳ
δείσαντες ἐκπλαγῆτ' ἀπηγριωμένον,
ἀλλ' οἰκτίσαντες ἄνδρα δύστηνον, μόνον,
ἔρημον ὧδε κἄφιλον καλούμενον,
φωνήσατ', εἴπερ ὡς φίλοι προσήκετε.
ἀλλ' ἀνταμείψασθ'· οὐ γὰρ εἰκὸς οὔτ' ἐμὲ
ὑμῶν ἁμαρτεῖν τοῦτό γ' οὔθ' ὑμᾶς ἐμοῦ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀλλ', ὦ ξέν', ἴσθι τοῦτο πρῶτον, οὕνεκα
Ἕλληνές ἐσμεν. τοῦτο γὰρ βούλει μαθεῖν.

ΦΙΛΟΚΤΗΤΗΣ.

ὦ φίλτατον φώνημα. φεῦ τὸ καὶ λαβεῖν
πρόσφθεγμα τοιοῦδ' ἀνδρὸς ἐν χρόνῳ μακρῷ.
τίς σ', ὦ τέκνον, προσέσχε, τίς προσήγαγεν
χρεία; τίς ὁρμή; τίς ἀνέμων ὁ φίλτατος;
γέγωνέ μοι πᾶν τοῦθ', ὅπως εἰδῶ τίς εἶ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἐγὼ γένος μέν εἰμι τῆς περιρρύτου
Σκύρου· πλέω δ' ἐς οἶκον· αὐδῶμαι δὲ παῖς
Ἀχιλλέως, Νεοπτόλεμος. οἶσθα δὴ τὸ πᾶν.

ΦΙΛΟΚΤΗΤΗΣ.

ὦ φιλτάτου παῖ πατρὸς, ὦ φίλης χθονὸς,
ὦ τοῦ γέροντος θρέμμα Λυκομήδους, τίνι
στόλῳ προσέσχες τήνδε γῆν; πόθεν πλέων;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἐξ Ἰλίου τοι δῆτα νῦν γε ναυστολῶ.

ΦΙΛΟΚΤΗΤΗΣ.

πῶς εἶπας; οὐ γὰρ δὴ σύ γ' ἦσθα ναυβάτης
ἡμῖν κατ' ἀρχὴν τοῦ πρὸς Ἴλιον στόλου.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἦ γὰρ μετέσχες καὶ σὺ τοῦδε τοῦ πόνου;

ΦΙΛΟΚΤΗΤΗΣ.

ὦ τέκνον, οὐ γὰρ οἶσθά μ' ὅντιν' εἰσορᾷς;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

πῶς γὰρ κάτοιδ' ὅν γ' εἶδον οὐδεπώποτε;

ΦΙΛΟΚΤΗΤΗΣ.

οὐδ' οὔνομ' οὐδὲ τῶν ἐμῶν κακῶν κλέος
ᾔσθου ποτ' οὐδὲν, οἷς ἐγὼ διωλλύμην;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ὡς μηδὲν εἰδότ' ἴσθι μ' ὧν ἀνιστορεῖς.

ΦΙΛΟΚΤΗΤΗΣ.

ὦ πόλλ' ἐγὼ μοχθηρὸς, ὦ πικρὸς θεοῖς,
οὗ μηδὲ κληδὼν ὧδ' ἔχοντος οἴκαδε
μηδ' Ἑλλάδος γῆς μηδαμοῖ διῆλθέ που.
ἀλλ' οἱ μὲν ἐκβαλόντες ἀνοσίως ἐμὲ
γελῶσι σῖγ' ἔχοντες, ἡ δ' ἐμὴ νόσος
ἀεὶ τέθηλε κἀπὶ μεῖζον ἔρχεται.
ὦ τέκνον, ὦ παῖ πατρὸς ἐξ Ἀχιλλέως,
ὅδ' εἴμ' ἐγώ σοι κεῖνος, ὃν κλύεις ἴσως
τῶν Ἡρακλείων ὄντα δεσπότην ὅπλων,
ὁ τοῦ Ποίαντος παῖς Φιλοκτήτης, ὃν οἱ
δισσοὶ στρατηγοὶ χὠ Κεφαλλήνων ἄναξ
ἔρριψαν αἰσχρῶς ὧδ' ἔρημον, ἀγρίᾳ
νόσῳ καταφθίνοντα, τῆς ἀνδροφθόρου
πληγέντ' ἐχίδνης ἀγρίῳ χαράγματι·

ξὺν ᾗ μ᾽ ἐκεῖνοι, παῖ, προθέντες ἐνθάδε
ᾤχοντ᾽ ἔρημον, ἡνίχ᾽ ἐκ τῆς ποντίας
Χρύσης κατέσχον δεῦρο ναυβάτῃ στόλῳ.
τότ᾽ ἄσμενοί μ᾽ ὡς εἶδον ἐκ πολλοῦ σάλου
εὕδοντ᾽ ἐπ᾽ ἀκτῆς ἐν κατηρεφεῖ πέτρῳ,
λιπόντες ᾤχονθ᾽, οἷα φωτὶ δυσμόρῳ
ῥάκη προθέντες βαιὰ καί τι καὶ βορᾶς
ἐπωφέλημα σμικρὸν, οἷ᾽ αὐτοῖς τύχοι.
σὺ δὴ, τέκνον, ποίαν μ᾽ ἀνάστασιν δοκεῖς
αὐτῶν βεβώτων ἐξ ὕπνου στῆναι τότε;
ποῖ᾽ ἐκδακρῦσαι, ποῖ᾽ ἀποιμῶξαι κακά;
ὁρῶντα μὲν ναῦς ἃς ἔχων ἐναυστόλουν
πάσας βεβώσας, ἄνδρα δ᾽ οὐδέν᾽ ἔντοπον,
οὐχ ὅστις ἀρκέσειεν, οὐδ᾽ ὅστις νόσου
κάμνοντι συλλάβοιτο, πάντα δὲ σκοπῶν
εὕρισκον οὐδὲν πλὴν ἀνιᾶσθαι παρὸν,
τούτου δὲ πολλὴν εὐμάρειαν, ὦ τέκνον.
ὁ μὲν χρόνος δὴ διὰ χρόνου προὔβαινέ μοι,
κἄδει τι βαιᾷ τῇδ᾽ ὑπὸ στέγῃ μόνον
διακονεῖσθαι. γαστρὶ μὲν τὰ σύμφορα
τόξον τόδ᾽ ἐξεύρισκε, τὰς ὑποπτέρους
βάλλον πελείας· πρὸς δὲ τοῦθ᾽, ὅ μοι βάλοι
νευροσπαδὴς ἄτρακτος, αὐτὸς ἂν τάλας
εἰλυόμην δύστηνον ἐξέλκων πόδα
πρὸς τοῦτ᾽ ἄν· εἴ τ᾽ ἔδει τι καὶ ποτὸν λαβεῖν,
καί που πάγου χυθέντος, οἷα χείματι,
ξύλον τι θραῦσαι, ταῦτ᾽ ἂν ἐξέρπων τάλας
ἐμηχανώμην· εἶτα πῦρ ἂν οὐ παρῆν,
ἀλλ᾽ ἐν πέτροισι πέτρον ἐκτρίβων, μόλις
ἔφην᾽ ἄφαντον φῶς, ὃ καὶ σώζει μ᾽ ἀεί.
οἰκουμένη γὰρ οὖν στέγη πυρὸς μέτα
πάντ᾽ ἐκπορίζει πλὴν τὸ μὴ νοσεῖν ἐμέ.
φέρ᾽, ὦ τέκνον, νῦν καὶ τὸ τῆς νήσου μάθῃς.
ταύτῃ πελάζει ναυβάτης οὐδεὶς ἑκών.
οὐ γάρ τις ὅρμος ἐστὶν, οὐδ᾽ ὅποι πλέων
ἐξεμπολήσει κέρδος, ἢ ξενώσεται.
οὐκ ἐνθάδ᾽ οἱ πλοῖ τοῖσι σώφροσιν βροτῶν.
τάχ᾽ οὖν τις ἄκων ἔσχε· πολλὰ γὰρ τάδε
ἐν τῷ μακρῷ γένοιτ᾽ ἂν ἀνθρώπων χρόνῳ.
οὗτοί μ᾽, ὅταν μόλωσιν, ὦ τέκνον, λόγοις
ἐλεοῦσι μὲν, καί πού τι καὶ βορᾶς μέρος
προσέδοσαν οἰκτείραντες, ἤ τινα στολήν·
ἐκεῖνο δ᾽ οὐδεὶς, ἡνίκ᾽ ἂν μνησθῶ, θέλει,
σῶσαί μ᾽ ἐς οἴκους, ἀλλ᾽ ἀπόλλυμαι τάλας
ἔτος τόδ᾽ ἤδη δέκατον ἐν λιμῷ τε καὶ
κακοῖσι βόσκων τὴν ἀδηφάγον νόσον.
τοιαῦτ᾽ Ἀτρεῖδαί μ᾽ ἥ τ᾽ Ὀδυσσέως βία,
ὦ παῖ, δεδράκασ᾽· οἷς Ὀλύμπιοι θεοὶ
δοῖέν ποτ᾽ αὐτοῖς ἀντίποιν᾽ ἐμοῦ παθεῖν.

ΧΟΡΟΣ.

ἔοικα κἀγὼ τοῖς ἀφιγμένοις ἴσα
ξένοις ἐποικτείρειν σε, Ποίαντος τέκνον.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἐγὼ δὲ καὐτὸς τοῖσδε μάρτυς ἐν λόγοις,
ὡς εἴσ᾽ ἀληθεῖς οἶδα, συντυχὼν κακῶν
ἀνδρῶν Ἀτρειδῶν τῆς τ᾽ Ὀδυσσέως βίας.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἦ γάρ τι καὶ σὺ τοῖς πανωλέθροις ἔχεις
ἔγκλημ᾽ Ἀτρείδαις, ὥστε θυμοῦσθαι παθών;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

θυμὸν γένοιτο χειρὶ πληρῶσαί ποτε,
ἵν᾽ αἱ Μυκῆναι γνοῖεν ἡ Σπάρτη θ᾽ ὅτι
χἡ Σκῦρος ἀνδρῶν ἀλκίμων μήτηρ ἔφυ.

ΦΙΛΟΚΤΗΤΗΣ.

εὖ γ᾽, ὦ τέκνον. τίνος γὰρ ὧδε τὸν μέγαν
χόλον κατ᾽ αὐτῶν ἐγκαλῶν ἐλήλυθας;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ὦ παῖ Ποίαντος, ἐξερῶ, μόλις δ᾽ ἐρῶ,
ἅγωγ᾽ ὑπ᾽ αὐτῶν ἐξελωβήθην μολών.
ἐπεὶ γὰρ ἔσχε μοῖρ᾽ Ἀχιλλέα θανεῖν,

ΦΙΛΟΚΤΗΤΗΣ.

οἴμοι· φράσῃς μοι μὴ πέρα, πρὶν ἂν μάθω
πρῶτον τόδ᾽, ἦ τέθνηχ᾽ ὁ Πηλέως γόνος;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τέθνηκεν, ἀνδρὸς οὐδενὸς, θεοῦ δ᾽ ὕπο,
τοξευτὸς, ὡς λέγουσιν, ἐκ Φοίβου δαμείς.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἀλλ᾽ εὐγενὴς μὲν ὁ κτανών τε χὠ θανών.
ἀμηχανῶ δὲ πότερον, ὦ τέκνον, τὸ σὸν
πάθημ᾽ ἐλέγχω πρῶτον, ἢ κεῖνον στένω.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οἶμαι μὲν ἀρκεῖν σοί γε καὶ τὰ σ᾽, ὦ τάλας,
ἀλγήμαθ᾽, ὥστε μὴ τὰ τῶν πέλας στένειν.

ΦΙΛΟΚΤΗΤΗΣ.

ὀρθῶς ἔλεξας. τοιγαροῦν τὸ σὸν φράσον
αὖθις πάλιν μοι πρᾶγμ᾽, ὅτῳ σ᾽ ἐνύβρισαν.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἦλθόν με νηὶ ποικιλοστόλῳ μέτα
δῖός τ᾽ Ὀδυσσεὺς χὠ τροφεὺς τοὐμοῦ πατρ
λέγοντες, εἴτ᾽ ἀληθὲς εἴτ᾽ ἄρ᾽ οὖν μάτην,
ὡς οὐ θέμις γίγνοιτ᾽, ἐπεὶ κατέφθιτο
πατὴρ ἐμὸς, τὰ πέργαμ᾽ ἄλλον ἢ ᾽μ᾽ ἑλεῖν
ταῦτ᾽, ὦ ξέν᾽, οὕτως ἐννέποντες οὐ πολὺν
χρόνον μ᾽ ἐπέσχον μή με ναυστολεῖν ταχὺ
μάλιστα μὲν δὴ τοῦ θανόντος ἱμέρῳ,
ὅπως ἴδοιμ᾽ ἄθαπτον· οὐ γὰρ εἰδόμην·
ἔπειτα μέντοι χὠ λόγος καλὸς προσῆν,
εἰ τἀπὶ Τροίᾳ πέργαμ᾽ αἱρήσοιμ᾽ ἰών.
ἦν δ᾽ ἦμαρ ἤδη δεύτερον πλέοντί μοι,
κἀγὼ πικρὸν Σίγειον οὐρίῳ πλάτῃ
κατηγόμην· καί μ᾽ εὐθὺς ἐν κύκλῳ στρατ
ἐκβάντα πᾶς ἠσπάζετ᾽, ὀμνύντες βλέπειν
τὸν οὐκ ἔτ᾽ ὄντα ζῶντ᾽ Ἀχιλλέα πάλιν.
κεῖνος μὲν οὖν ἔκειτ᾽· ἐγὼ δ᾽ ὁ δύσμορος
ἐπεὶ δάκρυσα κεῖνον οὐ μακρῷ χρόνῳ,
ἐλθὼν Ἀτρείδας πρὸς φίλους, ὡς εἰκὸς ἦν,
τά θ᾽ ὅπλ᾽ ἀπῄτουν τοῦ πατρὸς τά τ᾽ ἄλλ᾽ ὅ
οἱ δ᾽ εἶπον, οἴμοι, τλημονέστατον λόγον,
ὦ σπέρμ᾽ Ἀχιλλέως, τἄλλα μὲν πάρεστί σ
πατρῷ᾽ ἑλέσθαι, τῶν δ᾽ ὅπλων κείνων ἀ
ἄλλος κρατύνει νῦν, ὁ Λαέρτου γόνος.
κἀγὼ δακρύσας εὐθὺς ἐξανίσταμαι
ὀργῇ βαρείᾳ, καὶ καταλγήσας λέγω,
ὦ σχέτλι᾽, ἦ τολμήσατ᾽ ἀντ᾽ ἐμοῦ τινι
δοῦναι τὰ τεύχη τἀμὰ, πρὶν μαθεῖν ἐμοῦ
ὁ δ᾽ εἶπ᾽ Ὀδυσσεὺς, πλησίον γὰρ ὢν κυ
ναὶ, παῖ, δεδώκασ᾽ ἐνδίκως οὗτοι τάδε.
ἐγὼ γὰρ αὔτ᾽ ἔσωσα κἀκεῖνον παρών.
κἀγὼ χολωθεὶς εὐθὺς ἤρασσον κακοῖς

τοῖς πᾶσιν, οὐδὲν ἐνδεὲς ποιούμενος,
εἰ τἀμὰ κεῖνος ὅπλ' ἀφαιρήσοιτό με.
ὁ δ' ἐνθάδ' ἥκων, καίπερ οὐ δύσοργος ὤν,
δηχθεὶς πρὸς ἁξήκουσεν ὧδ' ἠμείψατο,
οὐκ ἦσθ' ἵν' ἡμεῖς, ἀλλ' ἀπῆσθ' ἵν' οὔ σ' ἔδει.
καὶ ταῦτ' ἐπειδὴ καὶ λέγεις θρασυστομῶν,
οὐ μή ποτ' ἐς τὴν Σκῦρον ἐκπλεύσῃς ἔχων.
τοιαῦτ' ἀκούσας κἀξονειδισθεὶς κακὰ
πλέω πρὸς οἴκους, τῶν ἐμῶν τητώμενος
πρὸς τοῦ κακίστου κἀκ κακῶν Ὀδυσσέως.
κοὐκ αἰτιῶμαι κεῖνον ὡς τοὺς ἐν τέλει.
πόλις γάρ ἐστι πᾶσα τῶν ἡγουμένων
στρατός τε σύμπας· οἱ δ' ἀκοσμοῦντες βροτῶν
διδασκάλων λόγοισι γίγνονται κακοί.
λόγος λέλεκται πᾶς. ὁ δ' Ἀτρείδας στυγῶν
ἐμοί θ' ὁμοίως καὶ θεοῖς εἴη φίλος.

ΧΟΡΟΣ.

ὀρεστέρα παμβῶτι Γᾶ, μᾶτερ αὐτοῦ Διός,
ἃ τὸν μέγαν Πακτωλὸν εὔχρυσον νέμεις,
σὲ κἀκεῖ, μᾶτερ πότνι', ἐπηυδώμαν,
ὅτ' ἐς τόνδ' Ἀτρειδᾶν ὕβρις πᾶσ' ἐχώρει,
ὅτε τὰ πάτρια τεύχεα παρεδίδοσαν,
ἰὼ μάκαιρα ταυροκτόνων
λεόντων ἔφεδρε, τῷ Λαρτίου
σέβας ὑπέρτατον.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἔχοντες, ὡς ἔοικε, σύμβολον σαφὲς
λύπης πρὸς ἡμᾶς, ὦ ξένοι, πεπλεύκατε,
καί μοι προσᾴδεθ' ὥστε γιγνώσκειν ὅτι
ταῦτ' ἐξ Ἀτρειδῶν ἔργα κἀξ Ὀδυσσέως.
ἔξοιδα γάρ νιν παντὸς ἂν λόγου κακοῦ
γλώσσῃ θιγόντα καὶ πανουργίας, ἀφ' ἧς
μηδὲν δίκαιον ἐς τέλος μέλλει ποιεῖν.
ἀλλ' οὔ τι τοῦτο θαῦμ' ἔμοιγ', ἀλλ' εἰ παρὼν
Αἴας ὁ μείζων ταῦθ' ὁρῶν ἠνείχετο.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὐκ ἦν ἔτι ζῶν, ὦ ξέν'· οὐ γὰρ ἄν ποτε
ζῶντός γ' ἐκείνου ταῦτ' ἐσυλήθην ἐγώ.

ΦΙΛΟΚΤΗΤΗΣ.

πῶς εἶπας; ἀλλ' ἦ χοὖτος οἴχεται θανών;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ὡς μηκέτ' ὄντα κεῖνον ἐν φάει νόει.

ΦΙΛΟΚΤΗΤΗΣ.

οἴμοι τάλας. ἀλλ' οὐχ ὁ Τυδέως γόνος,
οὐδ' οὑμπολητὸς Σισύφου Λαερτίου,
οὐ μὴ θάνωσι. τούσδε γὰρ μὴ ζῆν ἔδει.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὐ δῆτ'· ἐπίστω τοῦτό γ'· ἀλλὰ καὶ μέγα
θάλλοντές εἰσι νῦν ἐν Ἀργείων στρατῷ.

ΦΙΛΟΚΤΗΤΗΣ.

τί δ' ὃς παλαιὸς κἀγαθὸς φίλος τ' ἐμός,
Νέστωρ ὁ Πύλιος ἔστιν; οὗτος γὰρ τά γε
κείνων κάκ' ἐξήρυκε, βουλεύων σοφῶς.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

κεῖνός γε πράσσει νῦν κακῶς, ἐπεὶ θανὼν
Ἀντίλοχος αὐτῷ φροῦδος, ὅσπερ ἦν, γόνος.

391—402. == 507—518.

ΦΙΛΟΚΤΗΤΗΣ.

οἴμοι, δύ' αὕτως δείν' ἔλεξας, οἶν ἐγὼ
ἥκιστ' ἂν ἠθέλησ' ὀλωλότοιν κλύειν.
φεῦ φεῦ· τί δῆτα δεῖ σκοπεῖν, ὅθ' οἵδε μὲν
τεθνᾶσ', Ὀδυσσεὺς δ' ἔστιν αὖ κἀνταῦθ' ἵνα
χρῆν ἀντὶ τούτων αὐτὸν αὐδᾶσθαι νεκρόν;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

σοφὸς παλαιστὴς κεῖνος, ἀλλὰ χαὶ σοφαὶ
γνῶμαι, Φιλοκτῆτ', ἐμποδίζονται θαμά.

ΦΙΛΟΚΤΗΤΗΣ.

φέρ' εἰπὲ πρὸς θεῶν, ποῦ γὰρ ἦν ἐνταῦθά σοι
Πάτροκλος, ὃς σοι πατρὸς ἦν τὰ φίλτατα;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

χοὖτος τεθνηκὼς ἦν· λόγῳ δέ σε βραχεῖ
τοῦτ' ἐκδιδάξω. πόλεμος οὐδέν' ἄνδρ' ἑκὼν
αἱρεῖ πονηρόν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί.

ΦΙΛΟΚΤΗΤΗΣ.

ξυμμαρτυρῶ σοι· καὶ κατ' αὐτὸ τοῦτό γε
ἀναξίου μὲν φωτὸς ἐξερήσομαι,
γλώσσῃ δὲ δεινοῦ καὶ σοφοῦ, τί νῦν κυρεῖ.

ΝΕΟΡΤΟΛΕΜΟΣ.

ποίου γε τούτου πλήν γ' Ὀδυσσέως ἐρεῖς;

ΦΙΛΟΚΤΗΤΗΣ.

οὐ τοῦτον εἶπον, ἀλλὰ Θερσίτης τις ἦν,
ὃς οὐκ ἂν εἵλετ' εἰσάπαξ εἰπεῖν, ὅπου
μηδεὶς ἐῴη· τοῦτον οἶσθ' εἰ ζῶν κυρεῖ;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὐκ εἶδον αὐτόν, ᾐσθόμην δ' ἔτ' ὄντα νιν.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἔμελλ'· ἐπεὶ οὐδέν πω κακόν γ' ἀπώλετο,
ἀλλ' εὖ περιστέλλουσιν αὐτὰ δαίμονες,
καί πως τὰ μὲν πανοῦργα καὶ παλιντριβῆ
χαίρουσ' ἀναστρέφοντες ἐξ Ἅιδου, τὰ δὲ
δίκαια καὶ τὰ χρήστ' ἀποστέλλουσ' ἀεί.
ποῦ χρὴ τίθεσθαι ταῦτα, ποῦ δ' αἰνεῖν, ὅταν
τὰ θεῖ' ἐπαινῶν τοὺς θεοὺς εὕρω κακούς;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἐγὼ μέν, ὦ γένεθλον Οἰταίου πατρός,
τὸ λοιπὸν ἤδη τηλόθεν τό τ' Ἴλιον
καὶ τοὺς Ἀτρείδας εἰσορῶν φυλάξομαι,
ὅπου θ' ὁ χείρων τἀγαθοῦ μεῖζον σθένει
κἀποφθίνει τὰ χρηστὰ χὠ δειλὸς κρατεῖ,
τούτους ἐγὼ τοὺς ἄνδρας οὐ στέρξω ποτέ·
ἀλλ' ἡ πετραία Σκῦρος ἐξαρκοῦσά μοι
ἔσται τὸ λοιπόν, ὥστε τέρπεσθαι δόμῳ.
νῦν δ' εἶμι πρὸς ναῦν. καὶ σύ, Ποίαντος τέκνον,
χαῖρ' ὡς μέγιστα, χαῖρε· καί σε δαίμονες
νόσου μεταστήσειαν, ὡς αὐτὸς θέλεις.
ἡμεῖς δ' ἴωμεν· ὡς ὁπηνίκ' ἂν θεὸς
πλοῦν ἡμὶν εἴκῃ, τηνικαῦθ' ὁρμώμεθα.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἤδη, τέκνον, στέλλεσθε;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

καιρὸς γὰρ καλεῖ
πλοῦν μὴ 'ξ ἀπόπτου μᾶλλον ἢ 'γγύθεν σκοπεῖν.

ΦΙΛΟΚΤΗΤΗΣ.

πρὸς νῦν σε πατρὸς, πρός τε μητρὸς, ὦ τέκνον,
πρός τ' εἴ τί σοι κατ' οἶκόν ἐστι προσφιλὲς,
ἱκέτης ἱκνοῦμαι, μὴ λίπῃς μ' οὕτω μόνον,
ἔρημον ἐν κακοῖσι τοῖσδ' οἵοις ὁρᾷς
ὅσοισί τ' ἐξήκουσας ἐνναίοντά με·
ἀλλ' ἐν παρέργῳ θοῦ με. δυσχέρεια μὲν,
ἔξοιδα, πολλὴ τοῦδε τοῦ φορήματος·
ὅμως δὲ τλῆθι. τοῖσι γενναίοισί τοι
τό τ' αἰσχρὸν ἐχθρὸν καὶ τὸ χρηστὸν εὐκλεές.
σοὶ δ' ἐκλιπόντι τοῦτ' ὄνειδος οὐ καλὸν,
δράσαντι δ', ὦ παῖ, πλεῖστον εὐκλείας γέρας,
ἐὰν μόλω 'γὼ ζῶν πρὸς Οἰταίαν χθόνα.
ἴθ'· ἡμέρας τοι μόχθος οὐχ ὅλης μιᾶς.
τόλμησον, ἐμβαλοῦ μ' ὅπῃ θέλεις ἄγων,
εἰς ἀντλίαν, εἰς πρῷραν, εἰς πρύμνην, ὅποι
ἥκιστα μέλλω τοὺς ξυνόντας ἀλγυνεῖν.
νεῦσον, πρὸς αὐτοῦ Ζηνὸς ἱκεσίου, τέκνον,
πείσθητι. προσπίτνω σε γόνασι, καίπερ ὢν
ἀκράτωρ ὁ τλήμων, χωλός. ἀλλὰ μή μ' ἀφῇς
ἔρημον οὕτω χωρὶς ἀνθρώπων στίβου.
ἀλλ' ἢ πρὸς οἶκον τὸν σὸν ἔκσωσόν μ' ἄγων,
ἢ πρὸς τὰ Χαλκώδοντος Εὐβοίας σταθμά·
κἀκεῖθεν οὔ μοι μακρὸς εἰς Οἴτην στόλος
Τραχινίαν τε δεράδα καὶ τὸν εὔροον
Σπερχειὸν ἔσται, πατρί μ' ὡς δείξῃς φίλῳ,
ὃν δὴ παλαί' ἂν ἐξότου δέδοικ' ἐγὼ
μή μοι βεβήκῃ. πολλὰ γὰρ τοῖς ἱγμένοις
ἔστελλον αὐτὸν ἱκεσίους πέμπων λιτὰς,
αὐτόστολον πέμψαντά μ' ἐκσῶσαι δόμοις.
ἀλλ' ἢ τέθνηκεν, ἢ τὰ τῶν διακόνων,
ὡς εἰκὸς, οἶμαι, τοὐμὸν ἐν σμικρῷ μέρος
ποιούμενοι τὸν οἴκαδ' ἤπειγον στόλον.
νῦν δ', εἰς σὲ γὰρ πομπόν τε κἀυτὸν ἄγγελον
ἥκω, σὺ σῶσον, σύ μ' ἐλέησον, εἰσορῶν
ὡς πάντα δεινὰ κἀπικινδύνως βροτοῖς
κεῖται παθεῖν μὲν εὖ, παθεῖν δὲ θἄτερα.
χρὴ δ' ἐκτὸς ὄντα πημάτων τὰ δείν' ὁρᾶν·
χὤταν τις εὖ ζῇ, τηνικαῦτα τὸν βίον
σκοπεῖν μάλιστα, μὴ διαφθαρεὶς λάθῃ.

ΧΟΡΟΣ.

οἴκτειρ', ἄναξ· πολλῶν ἔλεξεν δυσοίστων πόνων
ἆθλ', ὅσσα μηδεὶς τῶν ἐμῶν τύχοι φίλων.
εἰ δὲ πικροὺς, ἄναξ, ἔχθεις Ἀτρείδας,
ἐγὼ μὲν, τὸ κείνων κακὸν τῷδε κέρδος
μετατιθέμενος, ἔνθαπερ ἐπιμέμονεν,
ἐπ' εὐστόλου ταχείας νεὼς
πορεύσαιμ' ἂν ἐς δόμους, τὰν θεῶν
νέμεσιν ἐκφυγών.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ὅρα σὺ μὴ νῦν μέν τις εὐχερὴς παρῇς,
ὅταν δὲ πλησθῇς τῆς νόσου ξυνουσίᾳ,
τότ' οὐκ ἔθ' αὐτὸς τοῖς λόγοις τούτοις φανῇς.

ΧΟΡΟΣ.

ἥκιστα. τοῦτ' οὐκ ἔσθ' ὅπως ποτ' εἰς ἐμὲ
τοὔνειδος ἕξεις ἐνδίκως ὀνειδίσαι.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀλλ' αἰσχρὰ μέντοι σοῦ γέ μ' ἐνδεέστερον
ξένῳ φανῆναι πρὸς τὸ καίριον πονεῖν.
ἀλλ' εἰ δοκεῖ, πλέωμεν, ὁρμάσθω ταχύς·
χἠ ναῦς γὰρ ἄξει κοὐκ ἀπαρνηθήσεται.
μόνον θεοὶ σώζοιεν ἔκ γε τῆσδε γῆς
ἡμᾶς ὅποι τ' ἐνθένδε βουλοίμεσθα πλεῖν.

ΦΙΛΟΚΤΗΤΗΣ.

ὦ φίλτατον μὲν ἦμαρ, ἥδιστος δ' ἀνὴρ,
φίλοι δὲ ναῦται, πῶς ἂν ὑμῖν ἐμφανὴς
ἔργῳ γενοίμην, ὥς μ' ἔθεσθε προσφιλῆ.
ἴωμεν, ὦ παῖ, προσκύσαντε τὴν ἔσω
ἄοικον εἰσοίκησιν, ὥς με καὶ μάθῃς
ἀφ' ὧν διέζων, ὥς τ' ἔφυν εὐκάρδιος.
οἶμαι γὰρ οὐδ' ἂν ὄμμασιν μόνην θέαν
ἄλλον λαβόντα πλὴν ἐμοῦ τλῆναι τάδε·
ἐγὼ δ' ἀνάγκῃ προὔμαθον στέργειν κακά.

ΧΟΡΟΣ.

ἐπίσχετον, μάθωμεν. ἄνδρε γὰρ δύο,
ὁ μὲν νεὼς σῆς ναυβάτης, ὁ δ' ἀλλόθρους,
χωρεῖτον, ὧν μαθόντες αὖθις εἴσιτον.

ΕΜΠΟΡΟΣ.

Ἀχιλλέως παῖ, τόνδε τὸν ξυνέμπορον,
ὃς ἦν νεὼς σῆς σὺν δυοῖν ἄλλοιν φύλαξ,
ἐκέλευσ' ἐμοί σε ποῦ κυρῶν εἴης φράσαι,
ἐπείπερ ἀντέκυρσα, δοξάζων μὲν οὔ,
τύχῃ δέ πως πρὸς ταυτὸν ὁρμισθεὶς πέδον.
πλέων γὰρ ὡς ναύκληρος οὐ πολλῷ στόλῳ
ἐξ Ἰλίου πρὸς οἶκον ἐς τὴν εὔβοτρυν
Πεπάρηθον, ὡς ἤκουσα τοὺς ναύτας ὅτι
σοὶ πάντες εἶεν οἱ νεναυστοληκότες,
ἔδοξέ μοι μὴ σῖγα, πρὶν φράσαιμί σοι,
τὸν πλοῦν ποιεῖσθαι, προστυχόντι τῶν ἴσων.
οὐδὲν σύ που κάτοισθα τῶν σαυτοῦ πέρι,
ἃ τοῖσιν Ἀργείοισιν ἀμφὶ σοῦ νέα
βουλεύματ' ἐστί· κοὐ μόνον βουλεύματα,
ἀλλ' ἔργα δρώμεν', οὐκ ἔτ' ἐξαργούμενα.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀλλ' ἡ χάρις μὲν τῆς προμηθίας, ξένε,
εἰ μὴ κακὸς πέφυκα, προσφιλὴς μενεῖ·
φράσον δ' ἅπερ γ' ἔλεξας, ὡς μάθω τί μ
νεώτερον βούλευμ' ἀπ' Ἀργείων ἔχεις.

ΕΜΠΟΡΟΣ.

φροῦδοι διώκοντές σε ναυτικῷ στόλῳ
Φοῖνιξ ὁ πρέσβυς οἵ τε Θησέως κόροι.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ὡς ἐκ βίας μ' ἄξοντες, ἢ λόγοις πάλιν;

ΕΜΠΟΡΟΣ.

οὐκ οἶδ'. ἀκούσας δ' ἄγγελος πάρειμί σοι

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἦ ταῦτα δὴ Φοῖνιξ τε χοἰ ξυνναυβάται
οὕτω καθ' ὁρμὴν δρῶσιν Ἀτρειδῶν χάριν

ΕΜΠΟΡΟΣ.

ὡς ταῦτ' ἐπίστω δρώμεν', οὐ μέλλοντ' ἔτι

ΝΕΟΠΤΟΛΕΜΟΣ.

πῶς οὖν Ὀδυσσεὺς πρὸς τάδ' οὐκ αὐτάγγελος
πλεῖν ἦν ἕτοιμος; ἢ φόβος τις εἶργέ νιν;

ΕΜΠΟΡΟΣ.

κεῖνός γ' ἐπ' ἄλλον ἄνδρ' ὁ Τυδέως τε παῖς
ἔστελλον, ἡνίκ' ἐξανηγόμην ἐγώ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

πρὸς ποῖον ἂν τόνδ' αὐτὸς οὐδυσσεὺς ἔπλει;

ΕΜΠΟΡΟΣ.

ἦν δή τις. ἀλλὰ τόνδε μοι πρῶτον φράσον
τίς ἐστίν· ἂν λέγῃς δὲ μὴ φώνει μέγα.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ὅδ' ἔσθ' ὁ κλεινός σοι Φιλοκτήτης, ξένε.

ΕΜΠΟΡΟΣ.

μή νύν μ' ἔρῃ τὰ πλείον', ἀλλ' ὅσον τάχος
ἔκπλει σεαυτὸν ξυλλαβὼν ἐκ τῆσδε γῆς.

ΦΙΛΟΚΤΗΤΗΣ.

τί φησιν, ὦ παῖ; τί με κατὰ σκότον ποτὲ
διεμπολᾷ λόγοισι πρός σ' ὁ ναυβάτης;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὐκ οἶδά πω τί φησι· δεῖ δ' αὐτὸν λέγειν
εἰς φῶς ὃ λέξει, πρὸς σὲ κἀμὲ τούσδε τε.

ΕΜΠΟΡΟΣ.

ὦ σπέρμ' Ἀχιλλέως, μή με διαβάλῃς στρατῷ
λέγονθ' ἃ μὴ δεῖ· πόλλ' ἐγὼ κείνων ὕπο
δρῶν ἀντιπάσχω χρηστά γ', οἷ' ἀνὴρ πένης.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἐγώ εἰμ' Ἀτρείδαις δυσμενής· οὗτος δέ μοι
φίλος μέγιστος, οὕνεκ' Ἀτρείδας στυγεῖ.
δεῖ δή σ' ἔμοιγ' ἐλθόντα προσφιλῆ λόγον
κρύψαι πρὸς ἡμᾶς μηδέν' ὧν ἀκήκοας.

ΕΜΠΟΡΟΣ.

ὅρα τί ποιεῖς, παῖ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

σκοπῶ κἀγὼ πάλαι.

ΕΜΠΟΡΟΣ.

σὲ θήσομαι τῶνδ' αἴτιον.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ποιοῦ λέγων.

ΕΜΠΟΡΟΣ.

λέγω. 'πὶ τοῦτον ἄνδρε τώδ' ὥπερ κλύεις,
ὁ Τυδέως παῖς ἥ τ' Ὀδυσσέως βία,
διώμοτοι πλέουσιν ἦ μὴν ἢ λόγῳ
πείσαντες ἄξειν, ἢ πρὸς ἰσχύος κράτος.
καὶ ταῦτ' Ἀχαιοὶ πάντες ἤκουον σαφῶς
Ὀδυσσέως λέγοντος, οὗτος γὰρ πλέον
τὸ θάρσος εἶχε θατέρου, δράσειν τάδε.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τίνος δ' Ἀτρεῖδαι τοῦδ' ἄγαν οὕτω χρόνῳ
τοσῷδ' ἐπεστρέφοντο πράγματος χάριν,
ὅν γ' εἶχον ἤδη χρόνιον ἐκβεβληκότες;
τίς ὁ πόθος αὐτοὺς ἵκετ', ἢ θεῶν βία
καὶ νέμεσις, αἵπερ ἔργ' ἀμύνουσιν κακά;

ΕΜΠΟΡΟΣ.

ἐγώ σε τοῦτ', ἴσως γὰρ οὐκ ἀκήκοας,
πᾶν ἐκδιδάξω. μάντις ἦν τις εὐγενὴς,
Πριάμου μὲν υἱὸς, ὄνομα δ' ὠνομάζετο
Ἕλενος, ὃν οὗτος νυκτὸς ἐξελθὼν μόνος,
ὁ πάντ' ἀκούων αἰσχρὰ καὶ λωβήτ' ἔπη
δόλιος Ὀδυσσεὺς εἷλε· δέσμιον δ' ἄγων
ἔδειξ' Ἀχαιοῖς ἐς μέσον, θήραν καλήν·
ὃς δὴ τά τ' ἄλλ' αὐτοῖσι πάντ' ἐθέσπισεν
καὶ τἀπὶ Τροίᾳ πέργαμ' ὡς οὐ μή ποτε
πέρσοιεν, εἰ μὴ τόνδε πείσαντες λόγῳ
ἄγοιντο νήσου τῆσδ' ἐφ' ἧς ναίει τανῦν.
καὶ ταῦθ' ὅπως ἤκουσ' ὁ Λαέρτου τόκος
τὸν μάντιν εἰπόντ', εὐθέως ὑπέσχετο
τὸν ἄνδρ' Ἀχαιοῖς τόνδε δηλώσειν ἄγων·
οἴοιτο μὲν μάλισθ' ἑκούσιον λαβὼν,
εἰ μὴ θέλοι δ', ἄκοντα· καὶ τούτων κάρα
τέμνειν ἐφεῖτο τῷ θέλοντι μὴ τυχών.
ἤκουσας, ὦ παῖ, πάντα· τὸ σπεύδειν δέ σοι
καὐτῷ παραινῶ κεἴ τινος κήδει πέρι.

ΦΙΛΟΚΤΗΤΗΣ.

οἴμοι τάλας. ἦ κεῖνος, ἡ πᾶσα βλάβη,
ἔμ' εἰς Ἀχαιοὺς ὤμοσεν πείσας στελεῖν;
πεισθήσομαι γὰρ ὧδε κἀξ Ἅιδου θανὼν
πρὸς φῶς ἀνελθεῖν, ὥσπερ οὐκείνου πατήρ.

ΕΜΠΟΡΟΣ.

οὐκ οἶδ' ἐγὼ ταῦτ'. ἀλλ' ἐγὼ μὲν εἶμ' ἐπὶ
ναῦν, σφῷν δ' ὅπως ἄριστα συμφέροι θεός.

ΦΙΛΟΚΤΗΤΗΣ.

οὔκουν τάδ', ὦ παῖ, δεινὰ, τὸν Λαερτίου
ἔμ' ἐλπίσαι ποτ' ἂν λόγοισι μαλθακοῖς
δεῖξαι νεὼς ἄγοντ' ἐν Ἀργείοις μέσοις;
οὔ. θᾶσσον ἂν τῆς πλεῖστον ἐχθίστης ἐμοὶ
κλύοιμ' ἐχίδνης, ἥ μ' ἔθηκεν ὧδ' ἄπουν.
ἀλλ' ἔστ' ἐκείνῳ πάντα λεκτὰ, πάντα δὲ
τολμητά. καὶ νῦν οἶδ' ὁθούνεχ' ἵξεται.
ἀλλ', ὦ τέκνον, χωρῶμεν, ὡς ἡμᾶς πολὺ
πέλαγος ὁρίζει τῆς Ὀδυσσέως νεώς.
ἴωμεν. ἥ τοι καίριος σπουδὴ πόνου
λήξαντος ὕπνον κἀνάπαυλαν ἤγαγεν.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὐκοῦν ἐπειδὰν πνεῦμα τοὐκ πρῴρας ἀνῇ,
τότε στελοῦμεν· νῦν γὰρ ἀντιοστατεῖ.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἀεὶ καλὸς πλοῦς ἔσθ', ὅταν φεύγῃς κακά.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὔκ, ἀλλὰ κἀκείνοισι ταῦτ' ἐναντία.

ΦΙΛΟΚΤΗΤΗΣ.

οὐκ ἔστι λῃσταῖς πνεῦμ' ἐναντιούμενον,
ὅταν παρῇ κλέψαι τε χἀρπάσαι βίᾳ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀλλ' εἰ δοκεῖ, χωρῶμεν, ἔνδοθεν λαβὼν
ὅτου σε χρεία καὶ πόθος μάλιστ' ἔχει.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἀλλ' ἔστιν ὧν δεῖ, καίπερ οὐ πολλῶν ἄπο.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τί τοῦθ' ὃ μὴ νεώς γε τῆς ἐμῆς ἔνι;

ΦΙΛΟΚΤΗΤΗΣ.

φύλλον τί μοι πάρεστιν, ᾧ μάλιστ' ἀεὶ
κοιμῶ τόδ' ἕλκος, ὥστε πραΰνειν πάνυ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀλλ' ἔκφερ' αὐτό. τί γὰρ ἔτ' ἄλλ' ἐρᾷς λαβεῖν;

ΦΙΛΟΚΤΗΤΗΣ.

εἴ μοί τι τόξων τῶνδ' ἀπημελημένον
παρερρύηκεν, ὡς λίπω μή τῳ λαβεῖν.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἦ ταῦτα γὰρ τὰ κλεινὰ τόξ' ἃ νῦν ἔχεις;

ΦΙΛΟΚΤΗΤΗΣ.

ταῦτ', οὐ γὰρ ἄλλα γ' ἔσθ', ἃ βαστάζω χεροῖν.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἆρ' ἔστιν ὥστε κἀγγύθεν θέαν λαβεῖν,
καὶ βαστάσαι με προσκύσαι θ' ὥσπερ θεόν;

ΦΙΛΟΚΤΗΤΗΣ.

σοί γ', ὦ τέκνον, καὶ τοῦτο κἄλλο τῶν ἐμῶν
ὁποῖον ἄν σοι ξυμφέρῃ γενήσεται.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

καὶ μὴν ἐρῶ γε· τὸν δ' ἔρωθ' οὕτως ἔχω·
εἴ μοι θέμις, θέλοιμ' ἄν· εἰ δὲ μή, πάρες.

ΦΙΛΟΚΤΗΤΗΣ.

ὅσιά τε φωνεῖς ἔστι τ', ὦ τέκνον, θέμις,
ὅς γ' ἡλίου τόδ' εἰσορᾶν ἐμοὶ φάος
μόνος δέδωκας, ὃς χθόν' Οἰταίαν ἰδεῖν,
ὃς πατέρα πρέσβυν, ὃς φίλους, ὃς τῶν ἐμῶν
ἐχθρῶν μ' ἔνερθεν ὄντ' ἀνέστησας πέρα.
θάρσει. παρέσται ταῦτά σοι καὶ θιγγάνειν
καὶ δόντι δοῦναι κἀξεπεύξασθαι βροτῶν
ἀρετῆς ἕκατι τῶνδ' ἐπιψαῦσαι μόνον.
εὐεργετῶν γὰρ καὐτὸς αὔτ' ἐκτησάμην.
οὐκ ἄχθομαί σ' ἰδών τε καὶ λαβὼν φίλον.
ὅστις γὰρ εὖ δρᾶν εὖ παθὼν ἐπίσταται,
παντὸς γένοιτ' ἂν κτήματος κρείσσων φίλος.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

χωροῖς ἂν εἴσω.

ΦΙΛΟΚΤΗΤΗΣ.

καὶ σέ γ' εἰσάξω. τὸ γὰρ
νοσοῦν ποθεῖ σε ξυμπαραστάτην λαβεῖν.

ΧΟΡΟΣ.

λόγῳ μὲν ἐξήκουσ', ὄπωπα δ' οὐ μάλα,
τὸν πελάταν λέκτρων ποτὲ τῶν Διὸς
Ἰξίον' ἀν' ἄμπυκα δὴ δρομάδ' ὡς ἔβαλ' ὁ
παγκρατὴς Κρόνου παῖς·
ἄλλον δ' οὔτιν' ἔγωγ' οἶδα κλύων οὐδ' ἐσίδον
μοίρᾳ
τοῦδ' ἐχθίονι συντυχόντα θνατῶν,
ὃς οὔτ' ἔρξας τιν' οὔτε νοσφίσας,
ἀλλ' ἴσος ἐν ἴσοις ἀνήρ,
ὤλλυθ' ὧδ' ἀναξίως,
τόδε θαῦμ' ἔχει με,
πῶς ποτε πῶς ποτ' ἀμφιπλήκτων ῥοθίων μό-
νος κλύων,
πῶς ἄρα πανδάκρυτον οὕτω βιοτὰν κατέσχεν·
ἵν' αὐτὸς ἦν πρόσουρος, οὐκ ἔχων βάσιν,

676—690. = 691—705.

οὐδέ τιν' ἐγχώρων κακογείτονα,
παρ' ᾧ στόνον ἀντίτυπον βαρυβρῶτ' ἀποκλαύ-
σειεν αἱματηρόν·
οὐδ' ὃς τὰν θερμοτάταν αἱμάδα κηκιομέναν ἑλ-
κέων
ἐνθήρου ποδὸς ἠπίοισι φύλλοις
κατευνάσειεν, εἴ τις ἐμπέσοι,
φορβάδος ἔκ τε γᾶς ἑλεῖν·
εἷρπε γὰρ ἄλλοτ' ἄλλᾳ,
τότ' ἂν εἰλυόμενος,
παῖς ἄτερ ὡς φίλας τιθήνας, ὅθεν εὐμάρει' ὑπάρ-
χοι, πόρον, ἀνίκ' ἐξανείη δακέθυμος ἄτα.
οὐ φορβὰν ἱερᾶς γᾶς σπόρον, οὐκ ἄλλων
αἴρων τῶν νεμόμεσθ' ἀνέρες ἀλφησταί,
πλὴν ἐξ ὠκυβόλων εἴ ποτε τόξων
πτανοῖς ἰοῖς ἀνύσειε γαστρὶ φορβάν.
ὦ μελέα ψυχά,
ὃς μηδ' οἰνοχύτου πώματος ἥσθη δεκέτει χρόν-
λεύσσων δ' ὅπου γνοίη στατὸν εἰς ὕδωρ,
ἀεὶ προσενώμα.
νῦν δ' ἀνδρῶν ἀγαθῶν παιδὸς ὑπαντήσας
εὐδαίμων ἀνύσει καὶ μέγας ἐκ κείνων·
ὅς νιν ποντοπόρῳ δούρατι, πλήθει
πολλῶν μηνῶν, πατρῴαν ἄγει πρὸς αὐλὰν
Μηλιάδων νυμφᾶν,
Σπερχειοῦ τε παρ' ὄχθαις, ἵν' ὁ χάλκασ-
ἀνὴρ θεοῖς
πλάθει πᾶσιν, θείῳ πυρὶ παμφαής,
Οἴτας ὑπὲρ ὄχθων.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἕρπ', εἰ θέλεις. τί δή ποθ' ὧδ' ἐξ οὐδενὸς
λόγου σιωπᾷς κἀπόπληκτος ὧδ' ἔχει;

ΦΙΛΟΚΤΗΤΗΣ.

ἆ ἆ ἆ ἆ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τί ἔστιν;

ΦΙΛΟΚΤΗΤΗΣ.

οὐδὲν δεινόν. ἀλλ' ἴθ', ὦ τέκνον.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

μῶν ἄλγος ἴσχεις τῆς παρεστώσης νόσου;

ΦΙΛΟΚΤΗΤΗΣ.

οὐ δῆτ' ἔγωγ', ἀλλ' ἄρτι κουφίζειν δοκῶ.
ἰὼ θεοί.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τί τοὺς θεοὺς οὕτως ἀναστένων βοᾷς;

ΦΙΛΟΚΤΗΤΗΣ.

σωτῆρας αὐτοὺς ἠπίους θ' ἡμῖν μολεῖν.
ἆ ἆ ἆ ἆ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τί ποτε πέπονθας; οὐκ ἐρεῖς, ἀλλ' ὧδ' ἔσει
σιγηλός; ἐν κακῷ δέ τῳ φαίνει κυρῶν.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἀπόλωλα, τέκνον, κοὐ δυνήσομαι κακὸν
κρύψαι παρ' ὑμῖν, ἀτταταῖ· διέρχεται
διέρχεται. δύστηνος, ὦ τάλας ἐγώ.
ἀπόλωλα, τέκνον· βρύχομαι, τέκνον· παπαῖ

706—717. = 718—729.

ἀπαππαπαῖ, παπαππαπαππαπαππαπαῖ.
πρὸς θεῶν, πρόχειρον εἴ τί σοι, τέκνον, πάρα
ξίφος χεροῖν, πάταξον εἰς ἄκρον πόδα·
ἀπάμησον ὡς τάχιστα· μὴ φείσῃ βίου.
ἴθ', ὦ παῖ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τί δ' ἔστιν οὕτω νεοχμὸν ἐξαίφνης, ὅτου
τοσήνδ' ἰυγὴν καὶ στόνον σαυτοῦ ποιεῖς;

ΦΙΛΟΚΤΗΤΗΣ.

οἶσθ', ὦ τέκνον.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τί δ' ἔστιν;

ΦΙΛΟΚΤΗΤΗΣ.

οἶσθ', ὦ παῖ. τί σοί;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὐκ οἶδα.

ΦΙΛΟΚΤΗΤΗΣ.

πῶς οὐκ οἶσθα; παππαπαππαπαῖ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

δεινόν γε τοὐπίσαγμα τοῦ νοσήματος.

ΦΙΛΟΚΤΗΤΗΣ.

δεινὸν γὰρ οὐδὲ ῥητόν· ἀλλ' οἴκτειρέ με.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τί δῆτα δράσω;

ΦΙΛΟΚΤΗΤΗΣ.

μή με ταρβήσας προδῷς.
ἥκει γὰρ αὕτη διὰ χρόνου πλάνοις ἴσως
ὡς ἐξεπλήσθη.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἰὼ ἰὼ δύστηνε σύ,
δύστηνε δῆτα διὰ πόνων πάντων φανείς.
βούλει λάβωμαι δῆτα καὶ θίγω τί σου;

ΦΙΛΟΚΤΗΤΗΣ.

μὴ δῆτα τοῦτό γ'· ἀλλά μοι τὰ τόξ' ἑλὼν
τάδ', ὥσπερ ᾔτου μ' ἀρτίως, ἕως ἀνῇ
τὸ πῆμα τοῦτο τῆς νόσου τὸ νῦν παρὸν,
σῶζ' αὐτὰ καὶ φύλασσε. λαμβάνει γὰρ οὖν
ὕπνος μ', ὅταν περ τὸ κακὸν ἐξίῃ τόδε·
κοὐκ ἔστι λῆξαι πρότερον· ἀλλ' ἐᾶν χρεὼν
ἕκηλον εὕδειν. ἢν δὲ τῷδε τῷ χρόνῳ
μόλωσ' ἐκεῖνοι, πρὸς θεῶν, ἐφίεμαι
ἑκόντα μήτ' ἄκοντα, μηδέ τῳ τέχνῃ
κείνοις μεθεῖναι ταῦτα, μὴ σαυτόν θ' ἅμα
κἄμ', ὄντα σαυτοῦ πρόστροπον, κτείνας γένῃ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

θάρσει προνοίας οὕνεκ'. οὐ δοθήσεται
πλὴν σοί τε κἀμοί· ξὺν τύχῃ δὲ πρόσφερε.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἰδοὺ δέχου, παῖ· τὸν φθόνον δὲ πρόσκυσον,
μή σοι γενέσθαι πολύπον' αὐτὰ, μηδ' ὅπως
ἐμοί τε καὶ τῷ πρόσθ' ἐμοῦ κεκτημένῳ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ὦ θεοὶ, γένοιτο ταῦτα νῷν· γένοιτο δὲ
πλοῦς οὔριός τε κεὐσταλὴς ὅποι ποτὲ
θεὸς δικαιοῖ χὼ στόλος πορσύνεται.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἀλλὰ δέδοικ', ὦ παῖ, μή μ' ἀτελὴς εὐχή·
στάζει γὰρ αὖ μοι φοίνιον τόδ' ἐκ βυθοῦ
κηκῖον αἷμα, καί τι προσδοκῶ νέον.
παπαῖ, φεῦ.
παπαῖ μάλ', ὦ πούς, οἷά μ' ἐργάσει κακά.
προσέρπει,
προσέρχεται τόδ' ἐγγύς. οἴμοι μοι τάλας.
ἔχετε τὸ πρᾶγμα· μὴ φύγητε μηδαμῇ.
ἀτταταῖ.
ὦ ξένε Κεφαλλὴν, εἴθε σου διαμπερὲς
στέρνων ἔχοιτ' ἄλγησις ἥδε. φεῦ, παπαῖ.
παπαῖ μάλ' αὖθις. ὦ διπλοῖ στρατηλάται,
Ἀγάμεμνον, ὦ Μενέλαε, πῶς ἂν ἀντ' ἐμοῦ
τὸν ἴσον χρόνον τρέφοιτε τήνδε τὴν νόσον;
ὤμοι μοι.
ὦ θάνατε θάνατε, πῶς ἀεὶ καλούμενος
οὕτω κατ' ἦμαρ οὐ δύνᾳ μολεῖν ποτε;
ὦ τέκνον, ὦ γενναῖον, ἀλλὰ συλλαβὼν
τῷ Λημνίῳ τῷδ' ἀνακαλουμένῳ πυρὶ
ἔμπρησον, ὦ γενναῖε· κἀγώ τοι ποτὲ
τὸν τοῦ Διὸς παῖδ' ἀντὶ τῶνδε τῶν ὅπλων,
ἃ νῦν σὺ σώζεις, τοῦτ' ἐπηξίωσα δρᾶν.
τί φῄς, παῖ;
τί φῄς; τί σιγᾷς; ποῦ ποτ' ὤν, τέκνον, κυρεῖς;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀλγῶ πάλαι δὴ τἀπὶ σοὶ στένων κακά.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἀλλ', ὦ τέκνον, καὶ θάρσος ἴσχ'· ὡς ἥδε μοι
ὀξεῖα φοιτᾷ καὶ ταχεῖ' ἀπέρχεται.
ἀλλ' ἀντιάζω, μή με καταλίπῃς μόνον.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

θάρσει, μενοῦμεν.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἦ μενεῖς;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

σαφῶς φρόνει.

ΦΙΛΟΚΤΗΤΗΣ.

οὐ μήν σ' ἔνορκόν γ' ἀξιῶ θέσθαι, τέκνον.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ὡς οὐ θέμις γ' ἐμοὔστι σοῦ μολεῖν ἄτερ.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἔμβαλλε χειρὸς πίστιν.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἐμβάλλω μενεῖν.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἐκεῖσε νῦν μ', ἐκεῖσε

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ποῖ λέγεις;

ΦΙΛΟΚΤΗΤΗΣ.

ἄνω

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τί παραφρονεῖς αὖ; τί τὸν ἄνω λεύσσεις κύκλον;

ΦΙΛΟΚΤΗΤΗΣ.

μέθες μέθες με.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ποῖ μεθῶ;

ΦΙΛΟΚΤΗΤΗΣ.

μέθες ποτέ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὔ φημ' ἐάσειν.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἀπό μ' ὀλεῖς, ἢν προσθίγῃς.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

καὶ δὴ μεθίημ', εἴ τι δὴ πλέον φρονεῖς.

ΦΙΛΟΚΤΗΤΗΣ.

ὦ γαῖα, δέξαι θανάσιμόν μ' ὅπως ἔχω.
τὸ γὰρ κακὸν τόδ' οὐκ ἔτ' ὀρθοῦσθαί μ' ἐᾷ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τὸν ἄνδρ' ἔοικεν ὕπνος οὐ μακροῦ χρόνου
ἕξειν. κάρα γὰρ ὑπτιάζεται τόδε.
ἱδρώς γέ τοί νιν πᾶν καταστάζει δέμας,
μέλαινά τ' ἄκρου τις παρέρρωγεν ποδὸς
αἱμορραγὴς φλέψ. ἀλλ' ἐάσωμεν, φίλοι,
ἕκηλον αὐτόν, ὡς ἂν εἰς ὕπνον πέσῃ.

ΧΟΡΟΣ.

Ὕπν' ὀδύνας ἀδαής, Ὕπνε δ' ἀλγέων,
εὐαὲς ἡμῖν ἔλθοις,
εὐαίων εὐαίων, ὦναξ·
ὄμμασι δ' ἀντίσχοις
τάνδ' αἴγλαν, ἃ τέταται τανῦν.
ἴθι ἴθι μοι παιών.
ὦ τέκνον, ὅρα ποῦ στάσει,
ποῖ δὲ βάσει, πῶς δέ μοι τἀντεῦθεν
φροντίδος. ὁρᾷς ἤδη.
πρὸς τί μένομεν πράσσειν;
καιρός τοι πάντων γνώμαν ἴσχων
πολὺ παρὰ πόδα κράτος ἄρνυται.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀλλ' ὅδε μὲν κλύει οὐδέν, ἐγὼ δ' ὁρῶ οὕνεκα θήραν
τήνδ' ἁλίως ἔχομεν τόξων, δίχα τοῦδε πλέοντες.
τοῦδε γὰρ ὁ στέφανος, τοῦτον θεὸς εἶπε κομίζειν.
κομπεῖν δ' ἔστ' ἀτελῆ σὺν ψεύδεσιν αἰσχρὸν ὄνειδος.

ΧΟΡΟΣ.

ἀλλά, τέκνον, τάδε μὲν θεὸς ὄψεται·
ὧν δ' ἂν ἀμείβῃ μ' αὖθις,
βαιάν μοι, βαιάν, ὦ τέκνον,
πέμπε λόγων φήμαν·
ὡς πάντων ἐν νόσῳ εὐδρακὴς
ὕπνος ἄϋπνος λεύσσειν.
ἀλλ' ὅτι δύνᾳ μάκιστον,
κεῖνό μοι, κεῖνο λάθρᾳ
ἐξιδοῦ, ὅ τι πράξεις.
οἶσθα γὰρ ὃν αὐδῶμαι,
εἰ ταύταν τούτῳ γνώμαν ἴσχεις,
μάλα τοι ἄπορα πυκινοῖς ἐνιδεῖν πάθη.
οὖρός τοι, τέκνον, οὖρος·
ἀνὴρ δ' ἀνόμματος, οὐδ' ἔχων ἀρωγάν,
ἐκτέταται νύχιος,
ἀλεὴς ὕπνος ἐσθλός,
οὐ χερός, οὐ ποδός, οὔ τινος ἄρχων,
ἀλλ' ὥς τίς τ' Ἀΐδᾳ παρακείμενος·
ὁρᾷ. βλέπ' εἰ καίρια φθέγγει·
τὸ δ' ἁλώσιμον ἐμᾷ φροντίδι, παῖ,
πόνος ὁ μὴ φοβῶν κράτιστος.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

σιγᾶν κελεύω, μηδ' ἀφεστάναι φρενῶν.
κινεῖ γὰρ ἀνὴρ ὄμμα κἀνάγει κάρα.

ΦΙΛΟΚΤΗΤΗΣ.

ὦ φέγγος ὕπνου διάδοχον, τό τ' ἐλπίδων
ἄπιστον οἰκούρημα τῶνδε τῶν ξένων.
οὐ γάρ ποτ', ὦ παῖ, τοῦτ' ἂν ἐξηύχησ' ἐγὼ
τλῆναί σ' ἐλεινῶς ὧδε τἀμὰ πήματα
μεῖναι παρόντα καὶ ξυνωφελοῦντά μοι.
οὔκουν Ἀτρεῖδαι τοῦτ' ἔτλησαν εὐφόρως
οὕτως ἐνεγκεῖν, ἀγαθοὶ στρατηλάται.
ἀλλ' εὐγενὴς γὰρ ἡ φύσις κἀξ εὐγενῶν,
ὦ τέκνον, ἡ σή, πάντα ταῦτ' ἐν εὐχερεῖ
ἔθου, βοῆς τε καὶ δυσοσμίας γέμων.
καὶ νῦν ἐπειδὴ τοῦδε τοῦ κακοῦ δοκεῖ
λήθη τις εἶναι κἀνάπαυλα δή, τέκνον,
σύ μ' αὐτὸς ἆρον, σύ με κατάστησον, τέκνον,
ἵν', ἡνίκ' ἂν κόπος μ' ἀπαλλάξῃ ποτέ,
ὁρμώμεθ' ἐς ναῦν μηδ' ἐπίσχωμεν τὸ πλεῖν.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀλλ' ἥδομαι μέν σ' εἰσιδὼν παρ' ἐλπίδα
ἀνώδυνον βλέποντα κἀμπνέοντ' ἔτι·
ὡς οὐκ ἔτ' ὄντος γὰρ τὰ συμβόλαιά σοι
πρὸς τὰς παρούσας ξυμφορὰς ἐφαίνετο.
νῦν δ' αἶρε σαυτόν· εἰ δέ σοι μᾶλλον φίλον,
οἴσουσί σ' οἵδε· τοῦ πόνου γὰρ οὐκ ὄκνος,
ἐπείπερ οὕτω σοί τ' ἔδοξ' ἐμοί τε δρᾶν.

ΦΙΛΟΚΤΗΤΗΣ.

αἰνῶ τάδ', ὦ παῖ, καί μ' ἔπαιρ', ὥσπερ νοεῖς·
τούτους δ' ἔασον, μὴ βαρυνθῶσιν κακῇ
ὀσμῇ πρὸ τοῦ δέοντος· οὑπὶ νηὶ γὰρ
ἅλις πόνος τούτοισι συνναίειν ἐμοί.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἔσται τάδ'· ἀλλ' ἵστω τε καὐτὸς ἀντέχου.

ΦΙΛΟΚΤΗΤΗΣ.

θάρσει. τό τοι σύνηθες ὀρθώσει μ' ἔθος.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

παπαῖ· τί δῆτ' ἂν δρῷμ' ἐγὼ τοὐνθένδε γ

ΦΙΛΟΚΤΗΤΗΣ.

τί δ' ἔστιν, ὦ παῖ; ποῖ ποτ' ἐξέβης λόγῳ;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὐκ οἶδ' ὅποι χρὴ τἄπορον τρέπειν ἔπος.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἀπορεῖς δὲ τοῦ σύ; μὴ λέγ', ὦ τέκνον, τά

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀλλ' ἐνθάδ' ἤδη τοῦδε τοῦ πάθους κυρῶ.

ΦΙΛΟΚΤΗΤΗΣ.

οὐ δή σε δυσχέρεια τοῦ νοσήματος
ἔπεισεν ὥστε μή μ' ἄγειν ναύτην ἔτι;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἅπαντα δυσχέρεια, τὴν αὐτοῦ φύσιν
ὅταν λιπών τις δρᾷ τὰ μὴ προσεικότα.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἀλλ' οὐδὲν ἔξω τοῦ φυτεύσαντος σύ γε
δρᾷς οὐδὲ φωνεῖς, ἐσθλὸν ἄνδρ' ἐπωφελῶν.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

αἰσχρὸς φανοῦμαι· τοῦτ' ἀνιῶμαι πάλαι.

ΦΙΛΟΚΤΗΤΗΣ.

οὔκουν ἐν οἷς γε δρᾷς· ἐν οἷς δ' αὐδᾷς ὀκνῶ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ὦ Ζεῦ, τί δράσω; δεύτερον ληφθῶ κακός,
κρύπτων θ' ἃ μὴ δεῖ καὶ λέγων αἴσχιστ' ἐπῶν;

ΦΙΛΟΚΤΗΤΗΣ.

ἀνὴρ ὅδ', εἰ μὴ 'γὼ κακὸς γνώμην ἔφυν,
προδούς μ' ἔοικε κἀκλιπὼν τὸν πλοῦν στελεῖν.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

λιπὼν μὲν οὐκ ἔγωγε, λυπηρῶς δὲ μὴ
πέμπων σε μᾶλλον, τοῦτ' ἀνιῶμαι πάλαι.

ΦΙΛΟΚΤΗΤΗΣ.

τί ποτε λέγεις, ὦ τέκνον; ὡς οὐ μανθάνω.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὐδέν σε κρύψω. δεῖ γὰρ ἐς Τροίαν σε πλεῖν
πρὸς τοὺς Ἀχαιοὺς καὶ τὸν Ἀτρειδῶν στόλον.

ΦΙΛΟΚΤΗΤΗΣ.

οἴμοι, τί εἶπας;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

μὴ στέναζε, πρὶν μάθῃς.

ΦΙΛΟΚΤΗΤΗΣ.

ποῖον μάθημα; τί με νοεῖς δρᾶσαί ποτε;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

σῶσαι κακοῦ μὲν πρῶτα τοῦδ', ἔπειτα δὲ
ξὺν σοὶ τὰ Τροίας πεδία πορθῆσαι μολών.

ΦΙΛΟΚΤΗΤΗΣ.

καὶ ταῦτ' ἀληθῆ δρᾶν νοεῖς;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

πολλὴ κρατεῖ
τούτων ἀνάγκη· καὶ σὺ μὴ θυμοῦ κλύων.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἀπόλωλα τλήμων, προδέδομαι. τί μ', ὦ ξένε,
δέδρακας; ἀπόδος ὡς τάχος τὰ τόξα μοι.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀλλ' οὐχ οἷόν τε· τῶν γὰρ ἐν τέλει κλύειν
τό τ' ἔνδικόν με καὶ τὸ συμφέρον ποιεῖ.

ΦΙΛΟΚΤΗΤΗΣ.

ὦ πῦρ σὺ καὶ πᾶν δεῖμα καὶ πανουργίας
δεινῆς τέχνημ' ἔχθιστον, οἷά μ' εἰργάσω,
οἷ' ἠπάτηκας· οὐδ' ἐπαισχύνει μ' ὁρῶν
τὸν προστρόπαιον, τὸν ἱκέτην, ὦ σχέτλιε;
ἀπεστέρηκας τὸν βίον τὰ τόξ' ἑλών.
ἀπόδος, ἱκνοῦμαί σ', ἀπόδος, ἱκετεύω, τέκνον.
πρὸς θεῶν πατρῴων, τὸν βίον με μὴ ἀφέλῃς.
ὤμοι τάλας. ἀλλ' οὐδὲ προσφωνεῖ μ' ἔτι,
ἀλλ' ὡς μεθήσων μήποθ', ὧδ' ὁρᾷ πάλιν.
ὦ λιμένες, ὦ προβλῆτες, ὦ ξυνουσίαι
θηρῶν ὀρείων, ὦ καταρρῶγες πέτραι,
ὑμῖν τάδ', οὐ γὰρ ἄλλον οἶδ' ὅτῳ λέγω,
ἀνακλαίομαι παροῦσι τοῖς εἰωθόσιν,
οἷ' ἔργ' ὁ παῖς μ' ἔδρασεν οὐξ Ἀχιλλέως·
ὀμόσας ἀπάξειν οἴκαδ', ἐς Τροίαν μ' ἄγει·
προσθείς τε χεῖρα δεξιάν, τὰ τόξα μου
ἱερὰ λαβὼν τοῦ Ζηνὸς Ἡρακλέους ἔχει,
καὶ τοῖσιν Ἀργείοισι φήνασθαι θέλει.
ὡς ἄνδρ' ἑλὼν ἰσχυρὸν ἐκ βίας μ' ἄγει,
κοὐκ οἶδ' ἐναίρων νεκρόν, ἢ καπνοῦ σκιάν,
εἴδωλον ἄλλως. οὐ γὰρ ἂν σθένοντά γε
εἷλέν μ'· ἐπεὶ οὐδ' ἂν ὧδ' ἔχοντ', εἰ μὴ δόλῳ.
νῦν δ' ἠπάτημαι δύσμορος. τί χρή με δρᾶν;
ἀλλ' ἀπόδος. ἀλλὰ νῦν ἔτ' ἐν σαυτῷ γενοῦ.
τί φῄς; σιωπᾷς. οὐδέν εἰμ' ὁ δύσμορος.
ὦ σχῆμα πέτρας δίπυλον, αὖθις αὖ πάλιν
εἴσειμι πρὸς σὲ ψιλός, οὐκ ἔχων τροφήν·
ἀλλ' αὐανοῦμαι τῷδ' ἐν αὐλίῳ μόνος,
οὐ πτηνὸν ὄρνιν, οὐδὲ θῆρ' ὀρειβάτην
τόξοις ἐναίρων τοισίδ', ἀλλ' αὐτὸς τάλας
θανὼν παρέξω δαῖθ' ὑφ' ὧν ἐφερβόμην,
καί μ' οὓς ἐθήρων πρόσθε θηράσουσι νῦν·
φόνον φόνου δὲ ῥύσιον τίσω τάλας
πρὸς τοῦ δοκοῦντος οὐδὲν εἰδέναι κακόν.
ὄλοιο μή πω, πρὶν μάθοιμ' εἰ καὶ πάλιν
γνώμην μετοίσεις· εἰ δὲ μή, θάνοις κακῶς.

ΧΟΡΟΣ.

τί δρῶμεν; ἐν σοὶ καὶ τὸ πλεῖν ἡμᾶς, ἄναξ,
ἤδη 'στὶ καὶ τοῖς τοῦδε προσχωρεῖν λόγοις.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἐμοὶ μὲν οἶκτος δεινὸς ἐμπέπτωκέ τις
τοῦδ' ἀνδρὸς οὐ νῦν πρῶτον, ἀλλὰ καὶ πάλαι.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἐλέησον, ὦ παῖ, πρὸς θεῶν, καὶ μὴ παρῇς
σαυτοῦ βροτοῖς ὄνειδος, ἐκκλέψας ἐμέ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οἴμοι, τί δράσω; μή ποτ' ὤφελον λιπεῖν
τὴν Σκῦρον· οὕτω τοῖς παροῦσιν ἄχθομαι.

ΦΙΛΟΚΤΗΤΗΣ.

οὐκ εἶ κακὸς σύ· πρὸς κακῶν δ' ἀνδρῶν μαθὼν
ἔοικας ἥκειν αἰσχρά. νῦν δ' ἄλλοισι δοὺς
οἷς εἰκός, ἔκπλει, τἀμά μοι μεθεὶς ὅπλα.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τί δρῶμεν, ἄνδρες;

ΟΔΥΣΣΕΥΣ.

ὦ κάκιστ' ἀνδρῶν, τί δρᾷς;
οὐκ εἶ μεθεὶς τὰ τόξα ταῦτ' ἐμοὶ πάλιν;

ΦΙΛΟΚΤΗΤΗΣ.
οἴμοι, τίς ἀνήρ; ἆρ' Ὀδυσσέως κλύω;

ΟΔΥΣΣΕΥΣ.
Ὀδυσσέως, σάφ' ἴσθ', ἐμοῦ γ', ὃν εἰσορᾷς.

ΦΙΛΟΚΤΗΤΗΣ.
οἴμοι· πέπραμαι κἀπόλωλ'. ὅδ' ἦν ἄρα
ὁ ξυλλαβών με κἀπονοσφίσας ὅπλων.

ΟΔΥΣΣΕΥΣ.
ἐγώ, σάφ' ἴσθ', οὐκ ἄλλος ὁμολογῶ τάδε.

ΦΙΛΟΚΤΗΤΗΣ.
ἀπόδος, ἄφες μοι, παῖ, τὰ τόξα.

ΟΔΥΣΣΕΥΣ.
τοῦτο μέν,
οὐδ' ἢν θέλῃ, δράσει ποτ'· ἀλλὰ καὶ σὲ δεῖ
στείχειν ἅμ' αὐτοῖς, ἢ βίᾳ στελοῦσί σε.

ΦΙΛΟΚΤΗΤΗΣ.
ἔμ', ὦ κακῶν κάκιστε καὶ τολμήστατε,
οἵδ' ἐκ βίας ἄξουσιν;

ΟΔΥΣΣΕΥΣ.
ἢν μὴ ἕρπῃς ἑκών.

ΦΙΛΟΚΤΗΤΗΣ.
ὦ Λημνία χθὼν καὶ τὸ παγκρατὲς σέλας
Ἡφαιστότευκτον, ταῦτα δῆτ' ἀνασχετά,
εἴ μ' οὗτος ἐκ τῶν σῶν ἀπάξεται βίᾳ;

ΟΔΥΣΣΕΥΣ.
Ζεύς ἐσθ', ἵν' εἰδῇς, Ζεύς, ὁ τῆσδε γῆς κρατῶν,
Ζεύς, ᾧ δέδοκται ταῦθ'· ὑπηρετῶ δ' ἐγώ.

ΦΙΛΟΚΤΗΤΗΣ.
ὦ μῖσος, οἷα κἀξανευρίσκεις λέγειν·
θεοὺς προτείνων τοὺς θεοὺς ψευδεῖς τίθης.

ΟΔΥΣΣΕΥΣ.
οὔκ, ἀλλ' ἀληθεῖς. ἡ δ' ὁδὸς πορευτέα.

ΦΙΛΟΚΤΗΤΗΣ.
οὔ φημ' ἔγωγε.

ΟΔΥΣΣΕΥΣ.
φημί. πειστέον τάδε.

ΦΙΛΟΚΤΗΚΗΣ.
οἴμοι τάλας. ἡμᾶς μὲν ὡς δούλους σαφῶς
πατὴρ ἄρ' ἐξέφυσεν οὐδ' ἐλευθέρους.

ΟΔΥΣΣΕΥΣ.
οὔκ, ἀλλ' ὁμοίους τοῖς ἀρίστοισιν, μεθ' ὧν
Τροίαν σ' ἑλεῖν δεῖ καὶ κατασκάψαι βίᾳ.

ΦΙΛΟΚΤΗΤΗΣ.
οὐδέποτέ γ'· οὐδ' ἢν χρῇ με πᾶν παθεῖν κακόν,
ἕως ἂν ᾖ μοι γῆς τόδ' αἰπεινὸν βάθρον.

ΟΔΥΣΣΕΥΣ.
τί δ' ἐργασείεις;

ΦΙΛΟΚΤΗΤΗΣ.
κρᾶτ' ἐμὸν τόδ' αὐτίκα
πέτρᾳ πέτρας ἄνωθεν αἱμάξω πεσών.

ΟΔΥΣΣΕΥΣ.
ξυλλάβετέ γ' αὐτόν· μὴ 'πὶ τῷδ' ἔστω τάδε.

ΦΙΛΟΚΤΗΤΗΣ.
ὦ χεῖρες, οἷα πάσχετ' ἐν χρείᾳ φίλης
νευρᾶς, ὑπ' ἀνδρὸς τοῦδε συνθηρώμεναι.
ὦ μηδὲν ὑγιὲς μηδ' ἐλεύθερον φρονῶν,
οἷός μ' ὑπῆλθες, ὥς μ' ἐθηράσω, λαβὼν
πρόβλημα σαυτοῦ παῖδα τόνδ' ἀγνῶτ' ἐμοί,
ἀνάξιον μὲν σοῦ, κατάξιον δ' ἐμοῦ,
ὃς οὐδὲν ᾔδη πλὴν τὸ προσταχθὲν ποιεῖν,
δῆλος δὲ καὶ νῦν ἐστιν ἀλγεινῶς φέρων
οἷς τ' αὐτὸς ἐξήμαρτεν οἷς τ' ἐγὼ 'παθον.
ἀλλ' ἡ κακὴ σὴ διὰ μυχῶν βλέπουσ' ἀεὶ
ψυχή νιν ἀφυῆ τ' ὄντα κοὐ θέλονθ' ὅμως
εὖ προὐδίδαξεν ἐν κακοῖς εἶναι σοφόν.
καὶ νῦν ἔμ', ὦ δύστηνε, συνδήσας νοεῖς
ἄγειν ἀπ' ἀκτῆς τῆσδ', ἐν ᾗ με προὐβάλου
ἄφιλον ἔρημον ἄπολιν ἐν ζῶσιν νεκρόν.
φεῦ.
ὄλοιο· καίτοι πολλάκις τόδ' ηὐξάμην.
ἀλλ' οὐ γὰρ οὐδὲν θεοὶ νέμουσιν ἡδύ μοι,
σὺ μὲν γέγηθας ζῶν, ἐγὼ δ' ἀλγύνομαι
τοῦτ' αὔθ', ὅτι ζῶ σὺν κακοῖς πολλοῖς τάλ
γελώμενος πρὸς σοῦ τε καὶ τῶν Ἀτρέως
δισσῶν στρατηγῶν, οἷς σὺ ταῦθ' ὑπηρετεῖς.
καίτοι σὺ μὲν κλοπῇ τε κἀνάγκῃ ζυγεὶς
ἔπλεις ἅμ' αὐτοῖς, ἐμὲ δὲ τὸν πανάθλιον
ἑκόντα πλεύσανθ' ἑπτὰ ναυσὶ ναυβάτην
ἄτιμον ἔβαλον, ὡς σὺ φῄς, κεῖνοι δὲ σέ.
καὶ νῦν τί μ' ἄγετε; τί μ' ἀπάγεσθε; τοῦ χ
ὃς οὐδέν εἰμι καὶ τέθνηχ' ὑμῖν πάλαι.
πῶς, ὦ θεοῖς ἔχθιστε, νῦν οὐκ εἰμί σοι
χωλός, δυσώδης; πῶς θεοῖς εὔξεσθ', ἐμοῦ
πλεύσαντος, αἴθειν ἱρά; πῶς σπένδειν ἔτι;
αὕτη γὰρ ἦν σοι πρόφασις ἐκβαλεῖν ἐμέ.
κακῶς ὄλοισθ'. ὀλεῖσθε δ' ἠδικηκότες
τὸν ἄνδρα τόνδε, θεοῖσιν εἰ δίκης μέλει.
ἔξοιδα δ' ὡς μέλει γ'· ἐπεὶ οὔποτ' ἂν στ
ἐπλεύσατ' ἂν τόνδ' οὕνεκ' ἀνδρὸς ἀθλίου,
εἰ μή τι κέντρον θεῖον ἦγ' ὑμᾶς ἐμοῦ.
ἀλλ', ὦ πατρῴα γῆ θεοί τ' ἐπόψιοι,
τίσασθε, τίσασθ' ἀλλὰ τῷ χρόνῳ ποτὲ
ξύμπαντας αὐτούς, εἴ τι κἄμ' οἰκτείρετε.
ὡς ζῶ μὲν οἰκτρῶς, εἰ δ' ἴδοιμ' ὀλωλότας
τούτους, δοκοῖμ' ἂν τῆς νόσου πεφευγέναι

ΧΟΡΟΣ.
βαρύς τε καὶ βαρεῖαν ὁ ξένος φάτιν
τήνδ' εἶπ', Ὀδυσσεῦ, κοὐχ ὑπείκουσαν κ

ΟΔΥΣΣΕΥΣ.
πόλλ' ἂν λέγειν ἔχοιμι πρὸς τὰ τοῦδ' ἔπ
εἴ μοι παρείκοι· νῦν δ' ἑνὸς κρατῶ λόγου
οὗ γὰρ τοιούτων δεῖ, τοιοῦτός εἰμ' ἐγώ·
χὤπου δικαίων κἀγαθῶν ἀνδρῶν κρίσις,
οὐκ ἂν λάβοις μου μᾶλλον οὐδέν' εὐσεβῆ.
νικᾶν γε μέντοι πανταχοῦ χρῄζων ἔφυν.
πλὴν εἰς σέ· νῦν δὲ σοί γ' ἑκὼν ἐκστήσο
ἄφετε γὰρ αὐτόν, μηδὲ προσψαύσητ' ἔτι.
ἐᾶτε μίμνειν. οὐδέ σου προσχρῄζομεν,
τά γ' ὅπλ' ἔχοντες ταῦτ'· ἐπεὶ πάρεστι
Τεῦκρος παρ' ἡμῖν, τήνδ' ἐπιστήμην ἔχ
ἐγώ θ', ὃς οἶμαι σοῦ κάκιον οὐδὲν ἂν

τούτων κρατύνειν, μηδ' ἐπιθύνειν χερί.
τί δῆτα σοῦ δεῖ; χαῖρε τὴν Λῆμνον πατῶν.
ἡμεῖς δ' ἴωμεν. καὶ τάχ' ἂν τὸ σὸν γέρας
τιμὴν ἐμοὶ νείμειεν, ἥν σ' ἐχρῆν ἔχειν.

ΦΙΛΟΚΤΗΤΗΣ.

οἴμοι· τί δράσω δύσμορος, σὺ τοῖς ἐμοῖς
ὅπλοισι κοσμηθεὶς ἐν Ἀργείοις φανεῖ;

ΟΔΥΣΣΕΥΣ.

μή μ' ἀντιφώνει μηδέν, ὡς στείχοντα δή.

ΦΙΛΟΚΤΗΤΗΣ.

ὦ σπέρμ' Ἀχιλλέως, οὐδὲ σοῦ φωνῆς ἔτι
γενήσομαι προσφθεγκτός, ἀλλ' οὕτως ἄπει;

ΟΔΥΣΣΕΥΣ.

χώρει σύ· μὴ πρόσλευσσε, γενναῖός περ ὤν,
ἡμῶν ὅπως μὴ τὴν τύχην διαφθερεῖς.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἦ καὶ πρὸς ὑμῶν ὧδ' ἔρημος, ὦ ξένοι,
λειφθήσομ' ἤδη κοὐκ ἐποικτερεῖτέ με;

ΧΟΡΟΣ.

ὅδ' ἐστὶν ἡμῶν ναυκράτωρ ὁ παῖς· ὅσ' ἂν
οὗτος λέγῃ σοι, ταῦτά σοι χἠμεῖς φαμέν.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀκούσομαι μὲν ὡς ἔφυν οἴκτου πλέως
πρὸς τοῦδ'· ὅμως δὲ μείνατ', εἰ τούτῳ δοκεῖ,
χρόνον τοσοῦτον, εἰς ὅσον τά τ' ἐκ νεὼς
στείλωσι ναῦται καὶ θεοῖς εὐξώμεθα.
χοὖτος τάχ' ἂν φρόνησιν ἐν τούτῳ λάβοι
λῴω τιν' ἡμῖν. νὼ μὲν οὖν ὁρμώμεθον,
ὑμεῖς δ', ὅταν καλῶμεν, ὁρμᾶσθαι ταχεῖς.

ΦΙΛΟΚΤΗΤΗΣ.

ὦ κοίλας πέτρας γύαλον
θερμὸν καὶ παγετῶδες, ὥς σ'
οὐκ ἔμελλον ἄρ', ὦ τάλας,
λείψειν οὐδέποτ', ἀλλά μοι
καὶ θνήσκοντι συνοίσει.
ὤμοι μοί μοι.
ὦ πληρέστατον αὔλιον
λύπας τᾶς ἀπ' ἐμοῦ τάλαν.
τί ποτ' αὖ μοι τὸ κατ' ἦμαρ
ἔσται; τοῦ ποτε τεύξομαι
σιτονόμου μέλεος πόθεν ἐλπίδος;
εἴθ' αἰθέρος ἄνω
πτωκάδες ὀξυτόνου διὰ πνεύματος
ἕλωσί μ'. οὐ γὰρ ἔτ' ἴσχω.

ΧΟΡΟΣ.

σύ τοι σύ τοι κατηξίωσας,
ὦ βαρύποτμ', οὐκ ἄλλοθεν
ἔχει τύχᾳ τᾷδ' ἀπὸ μείζονος,
εὖτέ γε παρὸν φρονῆσαι
τοῦ λῴονος δαίμονος εἵλου τὸ κάκιον ἑλεῖν.

ΦΙΛΟΚΤΗΤΗΣ.

ὦ τλάμων τλάμων ἄρ' ἐγὼ
καὶ μόχθῳ λωβατός, ὃς ἤ-

1081 — 1101. == 1102 — 1122.

δη μετ' οὐδενὸς ὕστερον
ἀνδρῶν εἰσοπίσω τάλας
ναίων ἐνθάδ' ὀλοῦμαι,
αἰαῖ αἰαῖ,
οὐ φορβὰν ἔτι προσφέρων,
οὐ πτανῶν ἀπ' ἐμῶν ὅπλων
κραταιαῖς μετὰ χερσὶν
ἴσχων· ἀλλά μοι ἄσκοπα
κρυπτά τ' ἔπη δολερᾶς ὑπέδυ φρενός·
ἰδοίμαν δέ νιν,
τὸν τάδε μησάμενον, τὸν ἴσον χρόνον
ἐμὰς λαχόντ' ἀνίας.

ΧΟΡΟΣ.

πότμος πότμος σε δαιμόνων τάδ',
οὐδὲ σέ γε δόλος ἔσχ' ὑπὸ
χειρὸς ἐμᾶς. στυγερὰν ἔχε
δύσποτμον ἀρὰν ἐπ' ἄλλοις.
καὶ γὰρ ἐμοὶ τοῦτο μέλει, μὴ φιλότητ' ἀπώσῃ.

ΦΙΛΟΚΤΗΤΗΣ.

οἴμοι μοι, καί που πολιᾶς
πόντου θινὸς ἐφήμενος,
γελᾷ μου, χερὶ πάλλων
τὰν ἐμὰν μελέου τροφάν,
τὰν οὐδείς ποτ' ἐβάστασεν.
ὦ τόξον φίλον, ὦ φίλων
χειρῶν ἐκβεβιασμένον,
ἦ που ἐλεινὸν ὁρᾷς, φρένας εἴ τινας
ἔχεις, τὸν Ἡράκλειον
ἄθλον ὧδέ σοι
οὐκ ἔτι χρησόμενον τὸ μεθύστερον,
ἀλλ' ἐν μεταλλαγᾷ
πολυμηχάνου ἀνδρὸς ἐρέσσει,
ὁρῶν μὲν αἰσχρὰς ἀπάτας, στυγνόν τε φῶτ' ἐχθοδοπόν,
μυρί' ἀπ' αἰσχρῶν ἀνατέλλονθ', ὅσ' ἐφ' ἡμῖν κάκ' ἐμήσατ' Ὀδυσσεύς.

ΧΟΡΟΣ.

ἀνδρός τοι τὸ μὲν εὖ δίκαιον εἰπεῖν,
εἰπόντος δὲ μὴ φθονερὰν
ἐξῶσαι γλώσσας ὀδύναν.
κεῖνος δ' εἷς ἀπὸ πολλῶν
ταχθεὶς τοῦδ' ἐφημοσύνᾳ
κοινὰν ἤνυσεν ἐς φίλους ἀρωγάν.

ΦΙΛΟΚΤΗΤΗΣ.

ὦ πτανοὶ θῆραι χαροπῶν τ'
ἔθνη θηρῶν, οὓς ὅδ' ἔχει
χῶρος οὐρεσιβώτας,
φυγᾷ μ' οὐκ ἔτ' ἀπ' αὐλίων
πελᾶτ'· οὐ γὰρ ἔχω χεροῖν
τὰν πρόσθεν βελέων ἀλκάν,
ὦ δύστανος ἐγὼ τανῦν,
ἀλλ' ἀνέδην ὅδε χῶρος ἐρύκεται,
οὐκ ἔτι φοβητὸς ὑμῖν.
ἕρπετε, νῦν καλὸν
ἀντίφονον κορέσαι στόμα πρὸς χάριν
ἐμᾶς σαρκὸς αἰόλας.
ἀπὸ γὰρ βίον αὐτίκα λείψω.

1123 — 1145. == 1146 — 1168.

πόθεν γὰρ ἔσται βιοτά; τίς ὧδ' ἐν αὔραις τρέφεται,
μηκέτι μηδενὸς κρατύνων ὅσα πέμπει βιόδωρος αἶα;

ΧΟΡΟΣ.

πρὸς θεῶν, εἴ τι σέβει ξένον, πέλασσον,
εὐνοίᾳ πάσᾳ, πελάταν·
ἀλλὰ γνῶθ', εὖ γνῶθ' ὅτι σοὶ
κῆρα τάνδ' ἀποφεύγειν.
οἰκτρὰ γὰρ βόσκειν, ἀδαὴς δ'
ἔχειν μυρίον ἄχθος, ᾧ ξυνοικεῖ.

ΦΙΛΟΚΤΗΤΗΣ.

πάλιν πάλιν παλαιὸν ἄλγημ' ὑπέμνασας, ὦ
λῷστε τῶν πρὶν ἐντόπων.
τί μ' ὤλεσας; τί μ' εἴργασαι;

ΧΟΡΟΣ.

τί τοῦτ' ἔλεξας;

ΦΙΛΟΚΤΗΤΗΣ.

εἰ σὺ τὰν ἐμοὶ στυγερὰν
Τρῳάδα γαῖάν μ' ἤλπισας ἄξειν.

ΧΟΡΟΣ.

τόδε γὰρ νοῶ κράτιστον.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἀπό νύν με λείπετ' ἤδη.

ΧΟΡΟΣ.

φίλα μοι, φίλα ταῦτα παρήγγειλας, ἑκόντι τε πράσσειν.
ἴωμεν ἴωμεν
ναὸς ἵν' ἡμῖν τέτακται.

ΦΙΛΟΚΤΗΤΗΣ.

μή, πρὸς ἀραίου Διός, ἔλθῃς, ἱκετεύω.

ΧΟΡΟΣ.

μετρίαζε.

ΦΙΛΟΚΤΗΥΗΣ.

ὦ ξένοι,
μείνατε, πρὸς θεῶν.

ΧΟΡΟΣ.

τί θροεῖς;

ΦΙΛΟΚΤΗΤΗΣ.

αἰαῖ αἰαῖ, δαίμων δαίμων.
ἀπόλωλ' ὁ τάλας·
ὦ πούς πούς, τί σ' ἔτ' ἐν βίῳ
τεύξω τῷ μετόπιν τάλας;
ὦ ξένοι, ἔλθετ' ἐπήλυδες αὖθις.

ΧΟΡΟΣ.

τί ῥέξοντες ἀλλοκότῳ
γνώμᾳ τῶν πάρος, ὧν προὔφαινες;

ΦΙΛΟΚΤΗΤΗΣ.

οὔτοι νεμεσητόν,
ἀλύοντα χειμερίῳ
λύπᾳ καὶ παρὰ νοῦν θροεῖν.

ΧΟΡΟΣ.

βᾶθί νυν, ὦ τάλαν, ὥς σε κελεύομεν.

ΦΙΛΟΚΤΗΤΗΣ.

οὐδέποτ' οὐδέποτ', ἴσθι τόδ' ἔμπεδον,
οὐδ' εἰ πυρφόρος ἀστεροπητὴς
βροντᾶς αὐγαῖς μ' εἶσι φλογίζων.
ἐρρέτω Ἴλιον, οἵ θ' ὑπ' ἐκείνῳ
πάντες ὅσοι τόδ' ἔτλασαν ἐμοῦ ποδὸς ἄρθρ' ἀπῶσαι.
ἀλλ', ὦ ξένοι, ἕν γέ μοι εὖχος ὀρέξατε.

ΧΟΡΟΣ.

ποῖον ἐρεῖς τόδ' ἔπος;

ΦΙΛΟΚΤΗΤΗΣ.

ξίφος, εἴ ποθεν,
ἢ γένυν, ἢ βελέων τι, προπέμψατε.

ΧΟΡΟΣ.

ὡς τίνα ῥέξῃς παλάμαν ποτέ;

ΦΙΛΟΚΤΗΤΗΣ.

κρᾶτ' ἀπὸ πάντα καὶ ἄρθρα τέμω χερί·
φονᾷ φονᾷ νόος ἤδη.

ΧΟΡΟΣ.

τί ποτε;

ΦΙΛΟΚΤΗΤΗΣ.

πατέρα ματεύων.

ΧΟΡΟΣ.

ποῖ γᾶς;

ΦΙΛΟΚΤΗΤΗΣ.

ἐς Ἅιδου·
οὐ γὰρ ἐστ' ἐν φάει γ' ἔτι.
ὦ πόλις ὦ πόλις πατρία,
πῶς ἂν εἰσίδοιμί σ' ἄθλιός γ' ἀνήρ,
ὅς γε σὰν λιπὼν ἱερὰν λιβάδ',
ἐχθροῖς ἔβαν Δαναοῖς
ἀρωγός· ἔτ' οὐδέν εἰμι.

ΧΟΡΟΣ.

ἐγὼ μὲν ἤδη καὶ πάλαι νεὼς ὁμοῦ
στείχων ἂν ἦν σοι τῆς ἐμῆς, εἰ μὴ πέλας
Ὀδυσσέα στείχοντα τόν τ' Ἀχιλλέως
γόνον πρὸς ἡμᾶς δεῦρ' ἰόντ' ἐλεύσσομεν.

ΟΔΥΣΣΕΥΣ.

οὐκ ἂν φράσειας ἥντιν' αὖ παλίντροπος
κέλευθον ἕρπεις ὧδε σὺν σπουδῇ ταχύς;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

λύσων ὅσ' ἐξήμαρτον ἐν τῷ πρὶν χρόνῳ.

ΟΔΥΣΣΕΥΣ.

δεινόν γε φωνεῖς· ἡ δ' ἁμαρτία τίς ἦν;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἣν σοὶ πιθόμενος τῷ τε σύμπαντι στρατῷ

ΟΔΥΣΣΕΥΣ.

ἔπραξας ἔργον ποῖον ὧν οὔ σοι πρέπον;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀπάταισιν αἰσχραῖς ἄνδρα καὶ δόλοις ἑλών.

ΟΔΥΣΣΕΥΣ.

τὸν ποῖον; ὤμοι· μῶν τι βουλεύει νέον;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

νέον μὲν οὐδὲν, τῷ δὲ Ποίαντος τόκῳ

ΟΔΥΣΣΕΥΣ.

τί χρῆμα δράσεις; ὥς μ' ὑπῆλθέ τις φόβος.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

παρ' οὗπερ ἔλαβον τάδε τὰ τόξ', αὖθις πάλιν

ΟΔΥΣΣΕΥΣ.

ὦ Ζεῦ, τί λέξεις; οὔ τί που δοῦναι νοεῖς;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

αἰσχρῶς γὰρ αὐτὰ κοὐ δίκῃ λαβὼν ἔχω.

ΟΔΥΣΣΕΥΣ.

πρὸς θεῶν, πότερα δὴ κερτομῶν λέγεις τάδε;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

εἰ κερτόμησίς ἐστι τἀληθῆ λέγειν.

ΟΔΥΣΣΕΥΣ.

τί φῄς, Ἀχιλλέως παῖ; τίν' εἴρηκας λόγον;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

δὶς ταὐτὰ βούλει καὶ τρὶς ἀναπολεῖν μ' ἔπη;

ΟΔΥΣΣΕΥΣ.

ἀρχὴν κλύειν ἂν οὐδ' ἅπαξ ἐβουλόμην.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

εὖ νῦν ἐπίστω, πάντ' ἀκήκοας λόγον.

ΟΔΥΣΣΕΥΣ.

ἔστιν τις ἔστιν ὅς σε κωλύσει τὸ δρᾶν.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τί φῄς; τίς ἔσται μ' οὑπικωλύσων τάδε;

ΟΔΥΣΣΕΥΣ.

ξύμπας Ἀχαιῶν λαὸς, ἐν δὲ τοῖσδ' ἐγώ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

σοφὸς πεφυκὼς οὐδὲν ἐξαυδᾷς σοφόν.

ΟΔΥΣΣΕΥΣ.

σὺ δ' οὔτε φωνεῖς οὔτε δρασείεις σοφά.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀλλ' εἰ δίκαια, τῶν σοφῶν κρείσσω τάδε.

ΟΔΥΣΣΕΥΣ.

καὶ πῶς δίκαιον, ἅ γ' ἔλαβες βουλαῖς ἐμαῖς,
πάλιν μεθεῖναι ταῦτα;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τὴν ἁμαρτίαν
αἰσχρὰν ἁμαρτὼν ἀναλαβεῖν πειράσομαι.

ΟΔΥΣΣΕΥΣ.

στρατὸν δ' Ἀχαιῶν οὐ φοβεῖ, πράσσων τάδε;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ξὺν τῷ δικαίῳ τὸν σὸν οὐ ταρβῶ φόβον.

ΟΔΥΣΣΕΥΣ.

ἀλλ' οὐδέ τοι σῇ χειρὶ πείθομαι τὸ δρᾶν.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὔ τἄρα Τρωσὶν, ἀλλὰ σοὶ μαχούμεθα.

ΟΔΥΣΣΕΥΣ.

ἔστω τὸ μέλλον.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

χεῖρα δεξιὰν ὁρᾷς
κώπης ἐπιψαύουσαν;

ΟΔΥΣΣΕΥΣ.

ἀλλὰ κἀμέ τοι
ταυτὸν τόδ' ὄψει δρῶντα κοὐ μέλλοντ' ἔτι.
καίτοι σ' ἐάσω· τῷ δὲ σύμπαντι στρατῷ
λέξω τάδ' ἐλθὼν, ὅς σε τιμωρήσεται.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἐσωφρόνησας· κἂν τὰ λοίφ' οὕτω φρονῇς,
ἴσως ἂν ἐκτὸς κλαυμάτων ἔχοις πόδα.
σὺ δ', ὦ Ποίαντος παῖ, Φιλοκτήτην λέγω,
ἔξελθ', ἀμείψας τάσδε πετρήρεις στέγας.

ΦΙΛΟΚΤΗΤΗΣ.

τίς αὖ παρ' ἄντροις θόρυβος ἵσταται βοῆς;
τί μ' ἐκκαλεῖσθε; τοῦ κεχρημένοι, ξένοι;
ὤμοι· κακὸν τὸ χρῆμα. μῶν τί μοι μέγα
πάρεστε πρὸς κακοῖσι πέμποντες κακόν;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

θάρσει· λόγους δ' ἄκουσον οὓς ἥκω φέρων.

ΦΙΛΟΚΤΗΤΗΣ.

δέδοικ' ἔγωγε. καὶ τὰ πρὶν γὰρ ἐκ λόγων
καλῶν κακῶς ἔπραξα, σοῖς πεισθεὶς λόγοις.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὔκουν ἔνεστι καὶ μεταγνῶναι πάλιν;

ΦΙΛΟΚΤΗΤΗΣ.

τοιοῦτος ἦσθα τοῖς λόγοισι χὤτε μου
τὰ τόξ' ἔκλεπτες, πιστὸς, ἀτηρὸς λάθρα.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀλλ' οὔ τι μὴ νῦν· βούλομαι δέ σου κλύειν,
πότερα δέδοκταί σοι μένοντι καρτερεῖν,
ἢ πλεῖν μεθ' ἡμῶν.

ΦΙΛΟΚΤΗΤΗΣ.

παῦε, μὴ λέξῃς πέρα.
μάτην γὰρ ἂν εἴπῃς γε πάντ' εἰρήσεται.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὕτω δέδοκται;

ΦΙΛΟΚΤΗΤΗΣ.

καὶ πέρα γ' ἴσθ' ἢ λέγω.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀλλ' ἤθελον μὲν ἄν σε πεισθῆναι λόγοις
ἐμοῖσιν· εἰ δὲ μή τι πρὸς καιρὸν λέγων
κυρῶ, πέπαυμαι.

ΦΙΛΟΚΤΗΤΗΣ.

πάντα γὰρ φράσεις μάτην.

σὺ γάρ ποτ' εὔνουν τὴν ἐμὴν κτήσει φρένα,
ὅστις γ' ἐμοῦ δόλοισι τὸν βίον λαβὼν
ἀπεστέρηκας. κᾆτα νουθετεῖς ἐμὲ
ἐλθὼν, ἀρίστου πατρὸς αἴσχιστος γεγώς.
ὄλοισθ', Ἀτρεῖδαι μὲν μάλιστ', ἔπειτα δὲ
ὁ Λαρτίου παῖς, καὶ σύ.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

μὴ 'πεύξῃ πέρα·
δέχου δὲ χειρὸς ἐξ ἐμῆς βέλη τάδε.

ΦΙΛΟΚΤΗΤΗΣ.

πῶς εἶπας; ἆρα δεύτερον δολούμεθα;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀπώμοσ' ἁγνοῦ Ζηνὸς ὕψιστον σέβας.

ΦΙΛΟΚΤΗΤΗΣ.

ὦ φίλτατ' εἰπὼν, εἰ λέγεις ἐτήτυμα.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τοὔργον παρέσται φανερόν. ἀλλὰ δεξιὰν
πρότεινε χεῖρα, καὶ κράτει τῶν σῶν ὅπλων.

ΟΔΥΣΣΕΥΣ.

ἐγὼ δ' ἀπαυδῶ γ', ὡς θεοὶ ξυνίστορες,
ὑπέρ τ' Ἀτρειδῶν τοῦ τε σύμπαντος στρατοῦ.

ΦΙΛΟΚΤΗΤΗΣ.

τέκνον, τίνος φώνημα; τῶν Ὀδυσσέως
ἐπῃσθόμην;

ΟΔΥΣΣΕΥΣ.

σάφ' ἴσθι· καὶ πέλας γ' ὁρᾷς,
ὅς σ' ἐς τὰ Τροίας πεδί' ἀποστελῶ βίᾳ,
ἐάν τ' Ἀχιλλέως παῖς ἐάν τε μὴ θέλῃ.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἀλλ' οὔ τι χαίρων, ἢν τόδ' ὀρθωθῇ βέλος.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἆ, μηδαμῶς, μὴ πρὸς θεῶν, μεθῇς βέλος.

ΦΙΛΟΚΤΗΤΗΣ.

μέθες με, πρὸς θεῶν, χεῖρα, φίλτατον τέκνον.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὐκ ἂν μεθείην.

ΦΙΛΟΚΤΗΤΗΣ.

φεῦ· τί μ' ἄνδρα πολέμιον
ἐχθρόν τ' ἀφείλου μὴ κτανεῖν τόξοις ἐμοῖς;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀλλ' οὔτ' ἐμοὶ τοῦτ' ἐστὶν οὔτε σοὶ καλόν.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἀλλ' οὖν τοσοῦτόν γ' ἴσθι, τοὺς πρώτους στρατοῦ,
τοὺς τῶν Ἀχαιῶν ψευδοκήρυκας, κακοὺς
ὄντας πρὸς αἰχμὴν, ἐν δὲ τοῖς λόγοις θρασεῖς.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

εἶεν. τὰ μὲν δὴ τόξ' ἔχεις, κοὐκ ἔσθ' ὅτου
ὀργὴν ἔχοις ἂν οὐδὲ μέμψιν εἰς ἐμέ.

ΦΙΛΟΚΤΗΤΗΣ.

ξύμφημι. τὴν φύσιν δ' ἔδειξας, ὦ τέκνον,
ἐξ ἧς ἔβλαστες· οὐχὶ Σισύφου πατρὸς,
ἀλλ' ἐξ Ἀχιλλέως, ὃς μετὰ ζώντων θ' ὅτ' ἦν
ἤκου' ἄριστα, νῦν δὲ τῶν τεθνηκότων.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἥσθην πατέρα τε τὸν ἐμὸν εὐλογοῦντά σε
αὐτόν τέ μ'· ὧν δέ σου τυχεῖν ἐφίεμαι
ἄκουσον. ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν
τύχας δοθείσας ἔστ' ἀναγκαῖον φέρειν·
ὅσοι δ' ἑκουσίοισιν ἔγκεινται βλάβαις,
ὥσπερ σὺ, τούτοις οὔτε συγγνώμην ἔχειν
δίκαιόν ἐστιν οὔτ' ἐποικτείρειν τινά.
σὺ δ' ἠγρίωσαι, κοὔτε σύμβουλον δέχει,
ἐάν τε νουθετῇ τις εὐνοίᾳ λέγων,
στυγεῖς, πολέμιον δυσμενῆ θ' ἡγούμενος.
ὅμως δὲ λέξω· Ζῆνα δ' ὅρκιον καλῶ·
καὶ ταῦτ' ἐπίστω, καὶ γράφου φρενῶν ἔσω.
σὺ γὰρ νοσεῖς τόδ' ἄλγος ἐκ θείας τύχης,
Χρύσης πελασθεὶς φύλακος, ὃς τὸν ἀκαλυφῆ
σηκὸν φυλάσσει κρύφιος οἰκουρῶν ὄφις·
καὶ παῦλαν ἴσθι τῆσδε μή ποτ' ἐντυχεῖν
νόσου βαρείας, ὡς ἂν αὐτὸς ἥλιος
ταύτῃ μὲν αἴρῃ, τῇδε δ' αὖ δύνῃ πάλιν,
πρὶν ἂν τὰ Τροίας πεδί' ἑκὼν αὐτὸς μόλῃς,
καὶ τῶν παρ' ἡμῖν ἐντυχὼν Ἀσκληπιδῶν
νόσου μαλαχθῇς τῆσδε, καὶ τὰ πέργαμα
ξὺν τοῖσδε τόξοις ξύν τ' ἐμοὶ πέρσας φανῇς.
ὡς δ' οἶδα ταῦτα τῇδ' ἔχοντ' ἐγὼ φράσω.
ἀνὴρ γὰρ ἡμῖν ἐστιν ἐκ Τροίας ἁλοὺς,
Ἕλενος ἀριστόμαντις, ὃς λέγει σαφῶς
ὡς δεῖ γενέσθαι ταῦτα· καὶ πρὸς τοῖσδ' ἔτι,
ὡς ἔστ' ἀνάγκη τοῦ παρεστῶτος θέρους
Τροίαν ἁλῶναι πᾶσαν· ἢ δίδωσ' ἑκὼν
κτείνειν ἑαυτὸν, ἢν τάδε ψευσθῇ λέγων.
ταῦτ' οὖν ἐπεὶ κάτοισθα, συγχώρει θέλων.
καλὴ γὰρ ἡ 'πίκτησις, Ἑλλήνων ἕνα
κριθέντ' ἄριστον, τοῦτο μὲν παιωνίας
εἰς χεῖρας ἐλθεῖν, εἶτα τὴν πολύστονον
Τροίαν ἑλόντα κλέος ὑπέρτατον λαβεῖν.

ΦΙΛΟΚΤΗΤΗΣ.

ὦ στυγνὸς αἰὼν, τί με, τί δῆτ' ἔχεις ἄνω
βλέποντα κοὐκ ἀφῆκας εἰς Ἅιδου μολεῖν;
οἴμοι, τί δράσω; πῶς ἀπιστήσω λόγοις
τοῖς τοῦδ', ὃς εὔνους ὢν ἐμοὶ παρῄνεσεν;
ἀλλ' εἰκάθω δῆτ'; εἶτα πῶς ὁ δύσμορος
εἰς φῶς τάδ' ἔρξας εἶμι; τῷ προσήγορος;
πῶς, ὦ τὰ πάντ' ἰδόντες ἀμφ' ἐμοῦ κύκλοι,
ταῦτ', ἐξανασχήσεσθε τοῖσιν Ἀτρέως
ἐμὲ ξυνόντα παισὶν, οἵ μ' ἀπώλεσαν;
πῶς τῷ πανώλει παιδὶ τῷ Λαερτίου;
οὐ γάρ με τἄλγος τῶν παρελθόντων δάκνει,
ἀλλ' οἷα χρὴ παθεῖν με πρὸς τούτων ἔτι
δοκῶ προλεύσσειν. οἷς γὰρ ἡ γνώμη κακῶν
μήτηρ γένηται, τἄλλα παιδεύει κακά.
καὶ σοῦ δ' ἔγωγε θαυμάσας ἔχω τόδε.
χρῆν γάρ σε μήτ' αὐτόν ποτ' ἐς Τροίαν μολεῖν
ἡμᾶς τ' ἀπείργειν, οἵ γέ σου καθύβρισαν,
πατρὸς γέρας συλῶντες. [οἳ τὸν ἄθλιον
Αἴανθ' ὅπλων σοῦ πατρὸς ὕστερον δίκῃ
Ὀδυσσέως ἔκριναν.] εἶτα τοῖσδε σὺ

εἰ ξυμμαχήσων, κἄμ' ἀναγκάζεις τάδε;
μὴ δῆτα, τέκνον· ἀλλ' ἅ μοι ξυνώμοσας,
πέμψον πρὸς οἴκους· καὐτὸς ἐν Σκύρῳ μένων
ἔα κακῶς αὐτοὺς ἀπόλλυσθαι κακούς.
χοὔτω διπλῆν μὲν ἐξ ἐμοῦ κτήσει χάριν,
διπλῆν δὲ πατρός· κοὐ κακοὺς ἐπωφελῶν
δόξεις ὅμοιος τοῖς κακοῖς πεφυκέναι.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

λέγεις μὲν εἰκότ', ἀλλ' ὅμως σε βούλομαι
θεοῖς τε πιστεύσαντα τοῖς τ' ἐμοῖς λόγοις
φίλου μετ' ἀνδρὸς τοῦδε τῆσδ' ἐκπλεῖν χθονός.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἦ πρὸς τὰ Τροίας πεδία καὶ τὸν Ἀτρέως
ἔχθιστον υἱὸν τῷδε δυστήνῳ ποδί;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

πρὸς τοὺς μὲν οὖν σε τήνδε τ' ἔμπυον βάσιν
παύσοντας ἄλγους κἀποσώζοντας νόσου.

ΦΙΛΟΚΤΗΤΗΣ.

ὦ δεινὸν αἶνον αἰνέσας, τί φῄς ποτε;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἃ σοί τε κἀμοὶ λῷσθ' ὁρῶ τελούμενα.

ΦΙΛΟΚΤΗΤΗΣ.

καὶ ταῦτα λέξας οὐ καταισχύνει θεούς;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

πῶς γάρ τις αἰσχύνοιτ' ἂν ὠφελούμενος;

ΦΙΛΟΚΤΗΤΗΣ.

λέγεις δ' Ἀτρείδαις ὄφελος, ἢ 'π' ἐμοὶ τάδε;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

σοί που φίλος γ' ὤν, χὠ λόγος τοιόσδε μου.

ΦΙΛΟΚΤΗΤΗΣ.

πῶς, ὅς γε τοῖς ἐχθροῖσί μ' ἐκδοῦναι θέλεις;

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ὦ τᾶν, διδάσκου μὴ θρασύνεσθαι κακοῖς.

ΦΙΛΟΚΤΗΤΗΣ.

ὀλεῖς με, γιγνώσκω σε, τοῖσδε τοῖς λόγοις.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

οὔκουν ἔγωγε· φημὶ δ' οὔ σε μανθάνειν.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἔγωγ' Ἀτρείδας ἐκβαλόντας οἶδά με.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀλλ' ἐκβαλόντες εἰ πάλιν σώσουσ' ὅρα.

ΦΙΛΟΚΤΗΤΗΣ.

οὐδέποθ' ἑκόντα γ' ὥστε τὴν Τροίαν ἰδεῖν.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τί δῆτ' ἂν ἡμεῖς δρῷμεν, εἰ σέ γ' ἐν λόγοις
πείσειν δυνησόμεσθα μηδὲν ὧν λέγω;
ὡς ῥᾷστ' ἐμοὶ μὲν τῶν λόγων λῆξαι, σὲ δὲ
ζῆν ὥσπερ ἤδη ζῇς ἄνευ σωτηρίας.

ΦΙΛΟΚΤΗΤΗΣ.

ἔα με πάσχειν ταῦθ' ἅπερ παθεῖν με δεῖ·
ἃ δ' ᾔνεσάς μοι δεξιᾶς ἐμῆς θιγών,
πέμπειν πρὸς οἴκους, ταῦτά μοι πρᾶξον, τέκνον,
καὶ μὴ βράδυνε μηδ' ἐπιμνησθῇς ἔτι
Τροίας. ἅλις γάρ μοι τεθρύληται γόοις.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

εἰ δοκεῖ, στείχωμεν.

ΦΙΛΟΚΤΗΤΗΣ.

ὦ γενναῖον εἰρηκὼς ἔπος.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

ἀντέρειδε νῦν βάσιν σήν.

ΦΙΛΟΚΤΗΤΗΣ.

εἰς ὅσον γ' ἐγὼ σθένω.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

αἰτίαν δὲ πῶς Ἀχαιῶν φεύξομαι;

ΦΙΛΟΚΤΗΤΗΣ.

μὴ φροντίσῃς.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τί γάρ, ἐὰν πορθῶσι χώραν τὴν ἐμήν;

ΦΙΛΟΚΤΗΤΗΣ.

ἐγὼ παρὼν

ΝΕΟΠΤΟΛΕΜΟΣ.

τίνα προσωφέλησιν ἔρξεις;

ΦΙΛΟΚΤΗΤΗΣ.

βέλεσι τοῖς Ἡρακλέους

ΝΕΟΠΤΟΛΕΜΟΣ.

πῶς λέγεις;

ΦΙΛΟΚΤΗΤΗΣ.

εἴρξω πελάζειν.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

στεῖχε προσκύσας χθόνα.

ΗΡΑΚΛΗΣ.

μήπω γε, πρὶν ἂν τῶν ἡμετέρων
ἀΐῃς μύθων, παῖ Ποίαντος·
φάσκειν δ' αὐδὴν τὴν Ἡρακλέους
ἀκοῇ τε κλύειν λεύσσειν τ' ὄψιν.
τὴν σὴν δ' ἥκω χάριν οὐρανίας
ἕδρας προλιπών,
τὰ Διός τε φράσων βουλεύματά σοι,
κατερητύσων θ' ὁδὸν ἣν στέλλει·
σὺ δ' ἐμῶν μύθων ἐπάκουσον.
καὶ πρῶτα μέν σοι τὰς ἐμὰς λέξω τύχας,
ὅσους πονήσας καὶ διεξελθὼν πόνους
ἀθάνατον ἀρετὴν ἔσχον, ὡς πάρεσθ' ὁρᾶν.
καὶ σοί, σάφ' ἴσθι, τοῦτ' ὀφείλεται παθεῖν,
ἐκ τῶν πόνων τῶνδ' εὐκλεᾶ θέσθαι βίον.
ἐλθὼν δὲ σὺν τῷδ' ἀνδρὶ πρὸς τὸ Τρωικὸν
πόλισμα πρῶτον μὲν νόσου παύσει λυγρᾶς,
ἀρετῇ τε πρῶτος ἐκκριθεὶς στρατεύματος,
Πάριν μέν, ὃς τῶνδ' αἴτιος κακῶν ἔφυ,

τόξοισι τοῖς ἐμοῖσι νοσφιεῖς βίου,
πέρσεις τε Τροίαν, σκῦλά τ' εἰς μέλαθρα σὰ
πέμψεις, ἀριστεῖ' ἐκλαβὼν στρατεύματος,
Ποίαντι πατρὶ πρὸς πάτρας Οἴτης πλάκα.
ἃ δ' ἂν λάβῃς σὺ σκῦλα τοῦδε τοῦ στρατοῦ,
τόξων ἐμῶν μνημεῖα πρὸς πυρὰν ἐμὴν
κόμιζε. καὶ σοὶ ταῦτ', Ἀχιλλέως τέκνον,
παρῄνεσ'· οὔτε γὰρ σὺ τοῦδ' ἄτερ σθένεις
ἑλεῖν τὸ Τροίας πεδίον οὔθ' οὗτος σέθεν.
ἀλλ' ὡς λέοντε συννόμω φυλάσσετον
οὗτος σὲ καὶ σὺ τόνδ'. ἐγὼ δ' Ἀσκληπιὸν
παυστῆρα πέμψω σῆς νόσου πρὸς Ἴλιον.
τὸ δεύτερον γὰρ τοῖς ἐμοῖς αὐτὴν χρεὼν
τόξοις ἁλῶναι. τοῦτο δ' ἐννοεῖσθ', ὅταν
πορθῆτε γαῖαν, εὐσεβεῖν τὰ πρὸς θεούς.
ὡς τἆλλα πάντα δεύτερ' ἡγεῖται πατὴρ
Ζεύς. ἡ γὰρ εὐσέβεια συνθνήσκει βροτοῖς.
[κἂν ζῶσι κἂν θάνωσιν, οὐκ ἀπόλλυται.]

ΦΙΛΟΚΤΗΤΗΣ.

ὦ φθέγμα ποθεινὸν ἐμοὶ πέμψας,
χρόνιός τε φανείς,
οὐκ ἀπιθήσω τοῖς σοῖς μύθοις.

ΝΕΟΠΤΟΛΕΜΟΣ.

κἀγὼ γνώμῃ ταύτῃ τίθεμαι.

ΗΡΑΚΛΗΣ.

μή νυν χρόνιοι μέλλετε πράσσειν.
καιρὸς καὶ πλοῦς
ὅδ' ἐπείγει γὰρ κατὰ πρύμναν.

ΦΙΛΟΚΤΗΤΗΣ.

φέρε νυν στείχων χώραν καλέσω.
χαῖρ', ὦ μέλαθρον ξύμφρουρον ἐμοί,
Νύμφαι τ' ἔνυδροι λειμωνιάδες,
καὶ κτύπος ἄρσην πόντου προβολῆς,
οὗ πολλάκι δὴ τοὐμὸν ἐτέγχθη
κρᾶτ' ἐνδόμυχον πληγαῖσι νότου,
πολλὰ δὲ φωνῆς τῆς ἡμετέρας
Ἑρμαῖον ὄρος παρέπεμψεν ἐμοὶ
στόνον ἀντίτυπον χειμαζομένῳ.
νῦν δ', ὦ κρῆναι Λύκιόν τε ποτὸν,
λείπομεν ὑμᾶς, λείπομεν ἤδη,
δόξης οὔ ποτε τῆσδ' ἐπιβάντες.
χαῖρ', ὦ Λήμνου πέδον ἀμφίαλον,
καί μ' εὐπλοίᾳ πέμψον ἀμέμπτως,
ἔνθ' ἡ μεγάλη Μοῖρα κομίζει,
γνώμη τε φίλων, χὡ πανδαμάτωρ
δαίμων, ὃς ταῦτ' ἐπέκρανεν.

ΧΟΡΟΣ.

χωρῶμεν δὴ πάντες ἀολλεῖς,
Νύμφαις ἁλίαισιν ἐπευξάμενοι
νόστου σωτῆρας ἱκέσθαι.

# ΕΥΡΙΠΙΔΟΥ

# ΤΡΑΓΩΙΔΙΑΙ.

# ΕΥΡΙΠΙΔΟΥ ΡΗΣΟΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΧΟΡΟΣ ΦΥΛΑΚΩΝ ΤΡΩΙΚΩΝ.*
*ΕΚΤΩΡ.*
*ΑΙΝΕΙΑΣ.*
*ΔΟΛΩΝ.*
*ΑΓΓΕΛΟΣ.*
*ΡΗΣΟΣ.*
*ΟΔΥΣΣΕΥΣ.*
*ΔΙΟΜΗΔΗΣ.*
*ΑΘΗΝΑ.*
*ΠΑΡΙΣ.*
*ΜΟΥΣΑ.*
*ΡΗΣΟΥ ΗΝΙΟΧΟΣ.*

## *ΥΠΟΘΕΣΙΣ.*

*Ῥῆσος παῖς μὲν ην Στρυμόνος τοῦ ποταμοῦ καὶ Τερψιχόρης, Μουσῶν μιᾶς, Θρᾳκῶν δὲ ἡγούμενος ἰ Ἴλιον παραγίγνεται νυκτὸς, στρατευομένων Τρώων παρὰ ταῖς ναυσὶ τῶν Ἑλλήνων. τοῦτον Ὀδυσσεὺς κ Διομήδης κατάσκοποι ὄντες ἀναιροῦσιν, Ἀθηνᾶς αὐτοῖς ὑποθεμένης ὡς μέγαν ἐσόμενον τοῖς Ἕλλησι κ δυνον ἐκ τούτου. Τερψιχόρη δὲ ἐπιφανεῖσα τὸ τοῦ παιδὸς σῶμα ἀνείλετο. ὡς ἐν παρόδῳ δὲ διαλαμβ καὶ περὶ τοῦ φόνου τοῦ Δόλωνος.*

*Ἡ σκηνὴ τοῦ δράματος ἐν Τροίᾳ. ὁ δὲ χορὸς συνέστηκεν ἐκ φυλάκων Τρωικῶν, οἳ καὶ προλογίζ περιέχει δὲ νυκτεγερσίαν.*

*Τὸ δὲ δρᾶμα ἔνιοι νόθον ὑπενόησαν, ὡς οὐκ ὂν Εὐριπίδου· τὸν γὰρ Σοφόκλειον μᾶλλον ὑποφα χαρακτῆρα. ἐν μέντοι ταῖς διδασκαλίαις ὡς γνήσιον ἀναγέγραπται, καὶ ἡ περὶ τὰ μετάρσια δὲ ἐν α πολυπραγμοσύνη τὸν Εὐριπίδην ὁμολογεῖ.*

*Πρόλογοι δὲ διττοὶ φέρονται· ὁ γοῦν δικαίαν ἐκτιθεὶς τὴν ὑπόθεσιν τοῦ Ῥήσου γράφει κατὰ λ οὕτως*

*Νῦν εὐσέληνον φέγγος ἡ διφρήλατος.*

*ἐν ἐνίοις δὲ τῶν ἀντιγράφων ἕτερός τις φέρεται πρόλογος, πεζὸς πάνυ καὶ οὐ πρέπων Εὐριπίδῃ· τάχα ἄν τινες τῶν ὑποκριτῶν διεσκευακότες εἶεν αὐτόν. ἔχει δὲ οὕτως*

*Ὦ τοῦ μεγίστου Ζηνὸς ἄλκιμον τέκος*
*Παλλὰς, παρῶμεν· οὐκ ἐχρῆν ἡμᾶς ἔτι*
*μέλλειν Ἀχαιῶν ὠφελεῖν στρατεύματα.*
*νῦν γὰρ κακῶς πράσσουσιν ἐν μάχῃ δορὸς,*
*λόγχῃ βιαίᾳ γ' Ἕκτορος στροβούμενοι.*
*ἐμοὶ γὰρ οὐδέν ἐστιν ἄλγιον βάρος,*
*ἐξ οὗ γ' ἔκρινε Κύπριν Ἀλέξανδρος θεὰν*
*κάλλει προήκειν τῆς ἐμῆς εὐμορφίας*
*καὶ σῆς, Ἀθάνα, φιλτάτης ἐμοὶ θεῶν,*
*εἰ μὴ κατασκαφεῖσαν ὄψομαι πόλιν*
*Πριάμου, βίᾳ πρόρριζον ἐκτετριμμένην.*

## *ΑΛΛΩΣ.*

*Ἕκτωρ τοῖς Ἕλλησιν ἐπικοιτῶν ἀκούσας αὐτοὺς πυρκαΐειν, εὐλαβήθη μὴ φύγωσιν. ἐξοπλίζ διεγνωκὼς τὰς δυνάμεις μετενόησεν Αἰνείου συμβουλεύσαντος ἡσυχάζειν, κατάσκοπον δὲ πέμψαντ ἐκείνου τὴν ἀλήθειαν ἱστορῆσαι, Δόλωνα δὲ πρὸς τὴν χρείαν ὑπακούσαντα ἐκπέμπεσθαι. καὶ τὸν τὴν παρεμβολὴν ἀφώρισεν αὐτῷ. ἐπιφανέντες δὲ οἱ περὶ τὸν Ὀδυσσέα καὶ Δόλωνα μὲν ἀνῃρηκότες δὲ τὴν Ἕκτορος κοίτην ἐλθόντες πάλιν ὑπέστρεφον οὐχ εὑρόντες τὸν στρατηγόν. οὓς Ἀθηνᾶ ἐπιφ κατέσχεν. καὶ τὸν μὲν Ἕκτορα ἐκέλευσε μὴ ζητεῖν, Ῥῆσον δὲ ἀναιρεῖν ἐκέλευσε. τὸν γὰρ ἐκ τούτο δυνον μείζονα ἔσεσθαι, ἐὰν βιώσῃ· τούτων δὲ ἐπιφανεὶς Ἀλέξανδρος . . . . . . . . . ἐξαπατηθεὶς δὲ ὑπὸ Ἀθηνᾶς, ὡς δῆθεν ὑπὸ Ἀφροδίτης ἄπρακτος ὑπέστρεφεν· οἱ δὲ περὶ Διομήδην σαντες Ῥῆσον ἐχαρίσθησαν. καὶ ἡ συμφορὰ τῶν ἀνῃρημένων καθ' ὅλον ἦλθε τὸ στράτευμα.*

# Ρ Η Σ Ο Σ.

ΧΟΡΟΣ.

Βᾶθι πρὸς εὐνὰς τὰς Ἑκτορέους
τις ὑπασπιστῶν ἄγρυπνος βασιλέως,
εἰ τευχοφόρων δέξαιτο νέων
κληδόνα μύθων,
οἳ τετράμοιρον νυκτὸς φρουρὰν
πάσης στρατιᾶς προκάθηνται.
ὄρθου κεφαλὴν πῆχυν ἐρείσας,
λῦσον βλεφάρων γοργωπὸν ἕδραν,
λεῖπε χαμεύνας φυλλοστρώτους,
Ἕκτορ· καιρὸς γὰρ ἀκοῦσαι.

ΕΚΤΩΡ.

τίς ὅδ'; ἦ φίλιος φθόγγος; τίς ἀνήρ;
τί τὸ σῆμα θρόει·
τίνες ἐκ νυκτῶν τὰς ἡμετέρας
κοίτας πλάθουσ' ἐνέπειν χρή.

ΧΟΡΟΣ.

φύλακες στρατιᾶς.

ΕΚΤΩΡ.

τί φέρει θορύβῳ;

ΧΟΡΟΣ.

θάρσει.

ΕΚΤΩΡ.

θαρσῶ.
μῶν τις λόχος ἐκ νυκτῶν;

ΧΟΡΟΣ.

οὐκέτι.

ΕΚΤΩΡ.

τί σὺ γὰρ φυλακὰς προλιπὼν ἤδη
κινεῖς στρατιὰν, εἰ μή τιν' ἔχων
νυκτηγορίαν; οὐκ οἶσθα δορὸς
πέλας Ἀργείου νυχίαν ἡμᾶς
κοίταν πανόπλους κατέχοντας;

ΧΟΡΟΣ.

ὁπλίζου χέρα· συμμάχων,
Ἕκτορ, βᾶθι πρὸς εὐνάς·
ὄτρυνον ἔγχος αἴρειν, ἀφύπνισον·
πέμπε φίλους ἰέναι ποτὶ σὸν λόχον.
ἁρμόσατε ψαλίοις ἵππους.
τίς εἶσ' ἐπὶ Πανθοΐδαν,
ἢ τὸν Εὐρώπας, Λυκίων ἀγὸν ἀνδρῶν;
ποῦ σφαγίων ἔφοροι;
ποῦ δὲ γυμνήτων μόναρχοι;
τοξοφόροι τε Φρυγῶν
ζεύγνυτε κερόδετα τόξα νευραῖς.

ΕΚΤΩΡ.

τὰ μὲν ἀγγέλλεις δείματ' ἀκούειν,
τὰ δὲ θαρσύνεις, κοὐδὲν καθαρῶς·
ἀλλ' ἦ Κρονίου Πανὸς τρομερᾷ
μάστιγι φοβεῖ, φυλακὰς δὲ λιπὼν
κινεῖς στρατιάν· τί θροεῖς; τί σε φῶ
νέον ἀγγέλλειν; πολλὰ γὰρ εἰπὼν
οὐδὲν τρανῶς ἀπέδειξας.

ΧΟΡΟΣ.

πυραίθει στρατὸς Ἀργόλας,
Ἕκτορ, πᾶσαν ἀν' ὄρφναν,
διιπετῆ δὲ νεῶν πυρσοῖς σταθμά.
πᾶς δ' Ἀγαμεμνονίαν προσέβα στρατὸς
ἐννύχιος θορύβῳ σκηνὰν,
νέαν τιν' ἐφιέμενοι
βάξιν. οὐ γάρ πω πάρος ὧδ' ἐφοβήθη
ναυσιπόρος στρατιά.
σοὶ δ', ὑποπτεύων τὸ μέλλον,
ἤλυθον ἄγγελος, ὡς
μήποτ' ἐς ἐμέ τινα μέμψιν εἴπῃς.

ΕΚΤΩΡ.

ἐς καιρὸν ἦλθες, καίπερ ἀγγέλλων φόβον·
ἄνδρες γὰρ ἐκ γῆς τῆσδε νυκτέρῳ πλάτῃ
λαθόντες ὄμμα τοὐμὸν αἴρεσθαι φυγὴν
μέλλουσι· σαίνει μ' ἔννυχος φρυκτωρία.
ὦ δαῖμον, ὅστις μ' εὐτυχοῦντ' ἐνόσφισας
θοίνης λέοντα, πρὶν τὸν Ἀργείων στρατὸν
σύρδην ἅπαντα τῷδ' ἀναλῶσαι δορί.
εἰ γὰρ φαεννοὶ μὴ ξυνέσχον ἡλίου
λαμπτῆρες, οὐκ ἂν ἔσχον εὐτυχοῦν δόρυ,
πρὶν ναῦς πυρῶσαι καὶ διὰ σκηνῶν μολεῖν
κτείνων Ἀχαιοὺς τῇδε πολυφόνῳ χερί.
κἀγὼ μὲν ἦν πρόθυμος ἰέναι δόρυ
ἐν νυκτὶ χρῆσθαί τ' εὐτυχεῖ ῥύμῃ θεοῦ·
ἀλλ' οἱ σοφοί με καὶ τὸ θεῖον εἰδότες
μάντεις ἔπεισαν ἡμέρας μεῖναι φάος,
κἄπειτ' Ἀχαιῶν μηδέν' ἐν χέρσῳ λιπεῖν.
οἱ δ' οὐ μένουσι τῶν ἐμῶν θυοσκόων
βουλάς· ἐν ὄρφνῃ δραπέτης μέγα σθένει.
ἀλλ' ὡς τάχιστα χρὴ παραγγέλλειν στρατῷ
τεύχη πρόχειρα λαμβάνειν λῆξαί θ' ὕπνου,
ὡς ἄν τις αὐτῶν καὶ νεὼς θρῴσκων ἔπι
νῶτον χαραχθεὶς κλίμακας ῥάνῃ φόνῳ,
οἱ δ' ἐν βρόχοισι δέσμιοι λελημμένοι
Φρυγῶν ἀρούρας ἐκμάθωσι γαπονεῖν.

ΧΟΡΟΣ.

Ἕκτορ, ταχύνεις, πρὶν μαθεῖν τὸ δρώμενον·
ἄνδρες γὰρ εἰ φεύγουσιν οὐκ ἴσμεν τορῶς.

ΕΚΤΩΡ.

τίς γὰρ πυραίθειν πρόφασις Ἀργείων στρατόν;

ΧΟΡΟΣ.

οὐκ οἶδ'· ὕποπτον δ' ἐστὶ κάρτ' ἐμῇ φρενί.

ΕΚΤΩΡ.

πάντ' ἂν φοβηθεὶς ἴσθι, δειμαίνων τόδε.

ΧΟΡΟΣ.

οὔπω πρὶν ἧψαν πολέμιοι τοσόνδε φῶς.

ΕΚΤΩΡ.

οὐδ' ὧδέ γ' αἰσχρῶς ἔπεσον ἐν τροπῇ δορός.

23—33. == 41—51.

ΧΟΡΟΣ.

σὺ ταῦτ' ἔπραξας· καὶ τὰ λοιπά νυν σκόπει.

ΕΚΤΩΡ.

ἁπλοῦς ἐπ' ἐχθροῖς μῦθος ὁπλίζειν χέρα.

ΧΟΡΟΣ.

καὶ μὴν ὅδ' Αἰνέας καὶ μάλα σπουδῇ ποδὸς
στείχει, νέον τι πρᾶγμ' ἔχων φίλοις φράσαι.

ΑΙΝΕΙΑΣ.

Ἕκτορ, τί χρῆμα νύκτεροι κατὰ στρατὸν
τὰς σὰς πρὸς εὐνὰς φύλακες ἐλθόντες φόβῳ
νυκτηγοροῦσι καὶ κεκίνηται στρατός;

ΕΚΤΩΡ.

Αἰνέα, πυκάζου τεύχεσιν δέμας σέθεν.

ΑΙΝΕΙΑΣ.

τί δ' ἔστι; μῶν τις πολεμίων ἀγγέλλεται
δόλος κρυφαῖος ἑστάναι κατ' εὐφρόνην;

ΕΚΤΩΡ.

φεύγουσιν ἄνδρες κἀπιβαίνουσιν νεῶν.

ΑΙΝΕΙΑΣ.

τί τῶνδ' ἂν εἴποις ἀσφαλὲς τεκμήριον;

ΕΚΤΩΡ.

αἴθουσι πᾶσαν νύκτα λαμπάδας πυρός·
καί μοι δοκοῦσιν οὐ μενεῖν ἐς αὔριον,
ἀλλ' ἐκκέαντες πύρσ' ἐπ' εὐσέλμων νεῶν
φυγῇ πρὸς οἴκους τῆσδ' ἀφορμήσειν χθονός.

ΑΙΝΕΙΑΣ.

σὺ δ' ὡς τί δράσων πρὸς τάδ' ὁπλίζει χέρα;

ΕΚΤΩΡ.

φεύγοντας αὐτοὺς κἀπιθρώσκοντας νεῶν
λόγχῃ καθέξω κἀπικείσομαι βαρύς·
αἰσχρὸν γὰρ ἡμῖν καὶ πρὸς αἰσχύνῃ κακὸν
θεοῦ διδόντος πολεμίους ἄνευ μάχης
φεύγειν ἐᾶσαι πολλὰ δράσαντας κακά.

ΑΙΝΕΙΑΣ.

εἴθ' ἦσθ' ἀνὴρ εὔβουλος, ὡς δρᾶσαι χερί.
ἀλλ' οὐ γὰρ αὐτὸς πάντ' ἐπίστασθαι βροτῶν
πέφυκεν· ἄλλῳ δ' ἄλλο πρόσκειται γέρας,
σοὶ μὲν μάχεσθαι, τοῖς δὲ βουλεύειν καλῶς.
ὅστις πυρὸς λαμπτῆρας ἐξήρθης κλύων
φεύγειν Ἀχαιούς, καὶ στρατὸν μέλλεις ἄγειν,
τάφρους ὑπερβὰς νυκτὸς ἐν καταστάσει.
καίτοι περάσας κοῖλον αὐλώνων βάθος,
εἰ μὴ κυρήσεις πολεμίους ἀπὸ χθονὸς
φεύγοντας, ἀλλὰ σὸν βλέποντας ἐς δόρυ,
νικώμενος μὲν τήνδε μὴ οὐ μόλῃς πόλιν·
πῶς γὰρ περάσεις σκόλοπας ἐν τροπῇ δορός;
πῶς δ' αὖ γεφύρας διαβαλοῦσ' ἱππηλάται,
ἢν ἄρα μὴ θραύσαντες ἀντύγων χνόας;
νικῶν δ' ἔφεδρον παῖδ' ἔχεις τὸν Πηλέως,
ὅς σ' οὐκ ἐάσει ναυσὶν ἐμβαλεῖν φλόγα,
οὐδ' ὧδ' Ἀχαιοὺς ὡς δοκεῖς ἀναρπάσαι.
αἴθων γὰρ ἀνὴρ καὶ πεπύργωται θράσει.
ἀλλὰ στρατὸν μὲν ἥσυχον παρ' ἀσπίδας
εὕδειν ἐῶμεν ἐκ κόπων ἀρειφάτων,
κατάσκοπον δὲ πολεμίων, ὃς ἂν θέλῃ,
πέμπειν δοκεῖ μοι· κἂν μὲν αἴρωνται φυγήν,
στείχοντες ἐμπέσωμεν Ἀργείων στρατῷ,
εἰ δ' ἐς δόλον τιν' ἥδ' ἄγει φρυκτωρία,
μαθόντες ἐχθρῶν μηχανὰς κατασκόπου
βουλευσόμεσθα· τήνδ' ἔχω γνώμην, ἄναξ.

ΧΟΡΟΣ.

τάδε δοκεῖ, τάδε μεταθέμενος νόει.
σφαλερὰ δ' οὐ φιλῶ στρατηγῶν κράτη.
τί γὰρ ἄμεινον ἢ
ταχυβάταν νεῶν κατόπτην μολεῖν
πέλας ὅτι ποτ' ἄρα δαΐοις
πυρὰ κατ' ἀντίπρῳρα ναυστάθμων δαίεται.

ΕΚΤΩΡ.

νικᾶτ', ἐπειδὴ πᾶσιν ἁνδάνει τάδε.
στείχων δὲ κόσμει συμμάχους· τάχ' ἂν στρα
κινοῖτ' ἀκούσας νυκτέρους ἐκκλησίας.
ἐγὼ δὲ πέμψω πολεμίων κατάσκοπον.
κἂν μέν τιν' ἐχθρῶν μηχανὴν πυθώμεθα,
σὺ πάντ' ἀκούσει καὶ παρὼν εἴσει λόγους·
ἐὰν δ' ἀπαίρωσ' ἐς φυγὴν ὁρμώμενοι,
σάλπιγγος αὐδὴν προσδοκῶν καραδόκει,
ὡς οὐ μενοῦντά μ'· ἀλλὰ προσμίξω νεῶν
ὁλκοῖσι νυκτὸς τῆσδ' ἐπ' Ἀργείων στρατῷ.

ΑΙΝΕΙΑΣ.

πέμφ' ὡς τάχιστα· νῦν γὰρ ἀσφαλῶς φρονε
σὺν σοὶ δέ μ' ὄψει καρτεροῦνθ', ὅταν δέῃ.

ΕΚΤΩΡ.

τίς δῆτα Τρώων οἳ πάρεισιν ἐν λόγῳ
θέλει κατόπτης ναῦς ἐπ' Ἀργείων μολεῖν;
τίς ἂν γένοιτο τῆσδε γῆς εὐεργέτης;
τίς φησιν; οὔτοι πάντ' ἐγὼ δυνήσομαι
πόλει πατρῴᾳ συμμάχοις θ' ὑπηρετεῖν.

ΔΟΛΩΝ.

ἐγὼ πρὸ γαίας τόνδε κίνδυνον θέλω
ῥίψας κατόπτης ναῦς ἐπ' Ἀργείων μολεῖν,
καὶ πάντ' Ἀχαιῶν ἐκμαθὼν βουλεύματα
ἥξω· 'πὶ τούτοις τόνδ' ὑφίσταμαι πόνον.

ΕΚΤΩΡ.

ἐπώνυμος μὲν κάρτα καὶ φιλόπτολις
Δόλων· πατρὸς δὲ καὶ πρὶν εὐκλεᾶ δόμον
νῦν δὶς τόσως ἔθηκας εὐκλεέστερον.

ΔΟΛΩΝ.

οὐκοῦν πονεῖν με χρή, πονοῦντα δ' ἄξιον
μισθὸν φέρεσθαι. παντὶ γὰρ προσκείμενον
κέρδος πρὸς ἔργῳ τὴν χάριν τίκτει διπλῆν.

ΕΚΤΩΡ.

ναί, καὶ δίκαια ταῦτα κοὐκ ἄλλως λέγω.
τάξαι δὲ μισθὸν πλὴν ἐμῆς τυραννίδος.

ΔΟΛΩΝ.

οὐ σῆς ἐρῶμεν πολυόχλου τυραννίδος.

ΕΚΤΩΡ.

σὺ δ' ἀλλὰ γήμας Πριαμιδῶν γαμβρὸς γενο

ΔΟΛΩΝ.

οὐκ ἐξ ἐμαυτοῦ μειζόνων γαμεῖν θέλω.

ΕΚΤΩΡ.

χρυσὸς πάρεστιν, εἰ τόδ' αἰτήσει γέρας.

ΔΟΛΩΝ.

ἀλλ' ἔστ' ἐν οἴκοις· οὐ βίου σπανίζομεν.

ΕΚΤΩΡ.

τί δῆτα χρῄζεις ὧν κέκευθεν Ἴλιος;

ΔΟΛΩΝ.

ἑλὼν Ἀχαιοὺς δῶρά μοι ξυναίνεσον.

ΕΚΤΩΡ.

δώσω· σὺ δ' αἴτει πλὴν στρατηλάτας νεῶν.

131—136. == 195—200.

ΔΟΛΩΝ.

πτιν', οὗ σ' ἀπαιτῶ Μενέλεω σχέσθαι χέρα.

ΕΚΤΩΡ.

οὐ μὴν τὸν Οἰλέως παῖδά μ' ἐξαιτεῖς λαβεῖν;

ΔΟΛΩΝ.

κακαὶ γεωργεῖν χεῖρες εὖ τεθραμμέναι.

ΕΚΤΩΡ.

τίν' οὖν Ἀχαιῶν ζῶντ' ἀποινᾶσθαι θέλεις;

ΔΟΛΩΝ.

καὶ πρόσθεν εἶπον· ἔστι χρυσὸς ἐν δόμοις.

ΕΚΤΩΡ.

καὶ μὴν λαφύρων γ' αὐτὸς αἱρήσει παρών.

ΔΟΛΩΝ.

θεοῖσιν αὐτὰ πασσάλευε πρὸς δόμους.

ΕΚΤΩΡ.

τί δῆτα μεῖζον τῶνδέ μ' αἰτήσει γέρας;

ΔΟΛΩΝ.

ἵππους Ἀχιλλέως· χρὴ δ' ἐπ' ἀξίοις πονεῖν,
ψυχὴν προβάλλοντ' ἐν κύβοισι δαίμονος.

ΕΚΤΩΡ.

καὶ μὴν ἐρῶντί γ' ἀντερᾷς ἵππων ἐμοί·
ἐξ ἀφθίτων γὰρ ἄφθιτοι πεφυκότες
τὸν Πηλέως φέρουσι θούριον γόνον·
δίδωσι δ' αὐτοὺς πωλοδαμνήσας ἄναξ
Πηλεῖ Ποσειδῶν, ὡς λέγουσι, πόντιος.
ἀλλ' οὔ σ' ἐπάρας ψεύσομαι· δώσω δέ σοι
κάλλιστον οἴκοις κτῆμ' Ἀχιλλέως ὄχον.

ΔΟΛΩΝ.

αἰνῶ· λαβὼν δέ φημι κάλλιστον Φρυγῶν
δῶρον δέχεσθαι τῆς ἐμῆς εὐσπλαγχνίας.
σὲ δ' οὐ φθονεῖν χρή· μυρί' ἔστιν ἄλλα σοι,
ἐφ' οἷσι τέρψει, τῆσδ' ἀριστεύων χθονός.

ΧΟΡΟΣ.

μέγας ἀγών· μεγάλα δ' ἐπινοεῖς ἑλεῖν.
μακάριός γε μὴν κυρήσας ἔσει·
πόνος δ' εὐκλεής.
μέγα δὲ κοιράνοισι γαμβρὸν πέλειν.
τὰ θεόθεν ἐπιδέτω Δίκα,
τὰ δὲ παρ' ἀνδράσιν τέλειά σοι φαίνεται.

ΔΟΛΩΝ.

στείχοιμ' ἄν· ἐλθὼν δ' ἐς δόμους ἐφέστιος
σκευῇ πρεπόντως σῶμ' ἐμὸν καθάψομαι,
κἀκεῖθεν ἥσω ναῦς ἐπ' Ἀργείων πόδα.

ΧΟΡΟΣ.

εἶπ' εἴ τιν' ἄλλην ἀντὶ τῆσδ' ἕξεις στολήν.

ΔΟΛΩΝ.

πρέπουσαν ἔργῳ κλωπικοῖς τε βήμασιν.

ΧΟΡΟΣ.

σοφοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν·
λέξον τίς ἔσται τοῦδε σώματος σαγή.

ΔΟΛΩΝ.

λύκειον ἀμφὶ νῶτον ἅψομαι δοράν,
καὶ χάσμα θηρὸς ἀμφ' ἐμῷ θήσω κάρᾳ,
βάσιν τε χερσὶ προσθίαν καθαρμόσας
καὶ κῶλα κώλοις τετράπουν μιμήσομαι
λύκου κέλευθον, πολεμίοις δυσεύρετον,
τάφροις πελάζων καὶ νεῶν προβλήμασιν.
ὅταν δ' ἔρημον χῶρον ἐμβαίνω ποδί,
δίβαμος εἶμι· τῇδε σύγκειται δόλος.

ΧΟΡΟΣ.

ἀλλ' εὖ σ' ὁ Μαίας παῖς ἐκεῖσε καὶ πάλιν
πέμψειεν Ἑρμῆς, ὅς γε φηλητῶν ἄναξ.
ἔχεις δὲ τοὔργον, εὐτυχεῖν μόνον σε δεῖ.

ΔΟΛΩΝ.

σωθήσομαί τε καὶ κτανὼν Ὀδυσσέως
οἴσω κάρα σοι, σύμβολον δ' ἔχων σαφὲς
φήσεις Δόλωνα ναῦς ἐπ' Ἀργείων μολεῖν,
ἢ παῖδα Τυδέως· οὐδ' ἀναιμάκτῳ χερὶ
ἥξω πρὸς οἴκους, πρὶν φάος μολεῖν χθόνα.

ΧΟΡΟΣ.

Θυμβραῖε καὶ Δάλιε καὶ Λυκίας
ναὸν ἐμβατεύων,
Ἄπολλον, ὦ δία κεφαλά, μόλε τοξήρης, ἱκοῦ ἐννύχιος
καὶ γενοῦ σωτήριος ἀνέρι πομπᾶς
ἁγεμὼν καὶ ξύλλαβε Δαρδανίδαις,
ὦ παγκρατὲς, ὦ Τροΐας τείχη παλαιὰ δείμας.
μόλοι δὲ ναυκλήρια, καὶ στρατιᾶς
Ἑλλάδος διόπτας
ἵκοιτο, καὶ κάμψειε πάλιν θυμέλας οἴκων πατρὸς Ἰλιάδας.
Φθιάδων ἵππων τότ' ἐπ' ἄντυγα βαίη,
δεσπότου πέρσαντος Ἀχαιὸν Ἄρη,
τὰς πόντιος Αἰακίδᾳ Πηλεῖ δίδωσι δαίμων·
ἐπεὶ πρό τ' οἴκων πρό τε γᾶς ἔτλα μόνος
ναύσταθμα βὰς κατιδεῖν· ἄγαμαι
λήματος· ἦ σπανία
τῶν ἀγαθῶν; ὅταν ᾖ
δυσάλιος ἐν πελάγει
καὶ σαλεύῃ πόλις, ἔστι Φρυγῶν τις
ἔστιν ἄλκιμος· ἔνι δὲ θράσος
ἐν αἰχμᾷ· ποτὶ Μυσῶν ὃς ἐμὰν συμμαχίαν ἀτίζει.
τίν' ἄνδρ' Ἀχαιῶν ὁ πεδοστιβὴς σφαγεὺς
οὐτάσει ἐν κλισίαις, τετράπουν
μῖμον ἔχων ἐπὶ γᾶν
θηρός; ἕλοι Μενέλαν,
κτανὼν δ' Ἀγαμεμνόνιον
κρᾶτ' ἐνέγκοι Ἑλένᾳ κακόγαμβρον
ἐς χέρας γόον, ὃς ἐπὶ πτόλιν
ὃς ἐπὶ γᾶν Τροΐαν χιλιόναυν ἤλυθ' ἔχων στρατείαν.

ΑΓΓΕΛΟΣ.

ἄναξ, τοιούτων δεσπόταισιν ἄγγελος
εἴην τὸ λοιπὸν οἷά σοι φέρω μαθεῖν.

ΕΚΤΩΡ.

ἦ πόλλ' ἀγρώσταις σκαιὰ πρόσκειται φρενί·
καὶ γὰρ σὺ ποίμνας δεσπότας τελεσφόρους
ἥκειν ἔοικας ἀγγελῶν ἵν' οὐ πρέπει.
οὐκ οἶσθα δῶμα τοὐμὸν ἢ θρόνους πατρὸς,
οἷ χρῆν γεγωνεῖν σ' εὐτυχοῦντα ποιμνίων;

ΑΓΓΕΛΟΣ.

σκαιοὶ βοτῆρές ἐσμεν· οὐκ ἄλλως λέγω.
ἀλλ' οὐδὲν ἧσσόν σοι φέρω κεδνοὺς λόγους.

ΕΚΤΩΡ.

παῦσαι λέγων μοι τὰς προσαυλείους τύχας·
μάχας πρὸ χειρῶν καὶ δόρη βαστάζομεν.

224—232. == 233—241.
242—252. == 253—263.

ΑΓΓΕΛΟΣ.

τοιαῦτα κἀγὼ σημανῶν ἐλήλυθα·
ἀνὴρ γὰρ ἀλκῆς μυρίας στρατηλατῶν
στείχει φίλος σοὶ σύμμαχός τε τῇδε γῇ.

ΕΚΤΩΡ.

ποίας πατρῴας γῆς ἐρημώσας πέδον;

ΑΓΓΕΛΟΣ.

Θρῄκης· πατρὸς δὲ Στρυμόνος κικλήσκεται.

ΕΚΤΩΡ.

Ῥῆσον τιθέντ' ἔλεξας ἐν Τροίᾳ πόδα.

ΑΓΓΕΛΟΣ.

ἔγνως· λόγου δὲ δὶς τόσου μ' ἐκούφισας.

ΕΚΤΩΡ.

καὶ πῶς πρὸς Ἴδης ὀργάδας πορεύεται,
πλαγχθεὶς πλατείας πεδιάδος θ' ἁμαξιτοῦ;

ΑΓΓΕΛΟΣ.

οὐκ οἶδ' ἀκριβῶς, εἰκάσαι γε μὴν πάρα.
νυκτὸς γὰρ οὔτι φαῦλον ἐμβαλεῖν στρατὸν,
κλύοντα πλήρη πεδία πολεμίας χερός.
φόβον δ' ἀγρώσταις, οἳ κατ' Ἰδαῖον λέπας
οἰκοῦμεν αὐτόρριζον ἑστίαν χθονὸς,
παρέσχε, δρυμὸν νυκτὸς ἔνθηρον μολών.
πολλῇ γὰρ ἠχῇ Θρῄκιος ῥέων στρατὸς
ἔστειχε· θάμβει δ' ἐκπλαγέντες ἵεμεν
ποίμνας πρὸς ἄκρας, μή τις Ἀργείων μόλῃ
λεηλατήσων καὶ σὰ πορθήσων σταθμὰ,
πρὶν δὴ δι' ὤτων γῆρυν οὐχ Ἑλληνικὴν
ἐδεξάμεσθα καὶ μετέστημεν φόβου.
στείχων δ' ἄνακτος προὐξερευνητὰς στρατοῦ
ἀνιστόρησα Θρῃκίοις προσφθέγμασι
τίς ὁ στρατηγὸς καὶ τίνος κεκλημένος
στείχει πρὸς ἄστυ Πριαμίδαισι σύμμαχος.
καὶ πάντ' ἀκούσας ὧν ἐφιέμην μαθεῖν
ἔστην· ὁρῶ δὲ Ῥῆσον ὥστε δαίμονα
ἑστῶτ' ἐν ἱππείοισι Θρῃκίοις ὄχοις.
χρυσῇ δὲ πλάστιγξ αὐχένα ζυγηφόρον
πώλων ἔκληε χιόνος ἐξαυγεστέρων.
πέλτη δ' ἐπ' ὤμων χρυσοκολλήτοις τύποις
ἔλαμπε· Γοργὼ δ' ὡς ἀπ' αἰγίδος θεᾶς
χαλκῆ μετώποις ἱππικοῖσι πρόσδετος
πολλοῖσι σὺν κώδωσιν ἐκτύπει φόβον.
στρατοῦ δὲ πλῆθος οὐδ' ἂν ἐν ψήφου λόγῳ
θέσθαι δύναι' ἂν, ὡς ἄπλατον ἦν ἰδεῖν,
πολλοὶ μὲν ἱππῆς, πολλὰ πελταστῶν τέλη,
πολλοὶ δ' ἀτράκτων τοξόται, πολὺς δ' ὄχλος
γυμνὴς ὁμαρτῇ Θρῃκίαν ἔχων στολήν.
τοιόσδε Τροίᾳ σύμμαχος πάρεστ' ἀνὴρ,
ὃν οὔτε φεύγων οὔθ' ὑποσταθεὶς δορὶ
ὁ Πηλέως παῖς ἐκφυγεῖν δυνήσεται.

ΧΟΡΟΣ.

ὅταν πολίταις εὐσταθῶσι δαίμονες,
ἕρπει κατάντης συμφορὰ πρὸς τἀγαθά.

ΕΚΤΩΡ.

πολλοὺς, ἐπειδὴ τοὐμὸν εὐτυχεῖ δόρυ
καὶ Ζεὺς πρὸς ἡμῶν ἐστιν, εὑρήσω φίλους.
ἀλλ' οὐδὲν αὐτῶν δεόμεθ', οἵτινες πάλαι
μὴ ξυμπονοῦσιν, ἡνίκ' ἐξώστης Ἄρης
ἔθραυε λαίφη τῆσδε γῆς μέγας πνέων.
Ῥῆσος δ' ἔδειξεν οἷος ἦν Τροίᾳ φίλος·
ἥκει γὰρ ἐς δαῖτ', οὐ παρὼν κυνηγέταις
αἱροῦσι λείαν οὐδὲ συγκαμὼν δορί.

ΧΟΡΟΣ.

ὀρθῶς ἀτίζεις κἀπίμομφος εἶ φίλοις·
δέχου δὲ τοὺς θέλοντας ὠφελεῖν πόλιν.

ΕΚΤΩΡ.

ἀρκοῦμεν οἱ σώζοντες Ἴλιον πάλαι.

ΧΟΡΟΣ.

πέποιθας ἤδη πολεμίους ᾐρηκέναι;

ΕΚΤΩΡ.

πέποιθα· δείξει τοὐπιὸν σέλας θεοῦ.

ΧΟΡΟΣ.

ὅρα τὸ μέλλον· πόλλ' ἀναστρέφει θεός.

ΕΚΤΩΡ.

μισῶ φίλοισιν ὕστερον βοηδρομεῖν.

ΑΓΓΕΛΟΣ.

ἄναξ, ἀπωθεῖν συμμάχους ἐπίφθονον.
φόβος γένοιτ' ἂν πολεμίοις ὀφθεὶς μόνον.

ΧΟΡΘΣ.

ὅδ' οὖν, ἐπείπερ ἦλθε, σύμμαχος μὲν οὔ,
ξένος δὲ πρὸς τράπεζαν ἡκέτω ξένων·
χάρις γὰρ αὐτῷ Πριαμιδῶν διώλετο.

ΕΚΤΩΡ.

σύ τ' εὖ παραινεῖς καὶ σὺ καιρίως σκοπεῖς.
ὁ χρυσοτευχὴς δ' οὕνεκ' ἀγγέλου λόγων
Ῥῆσος παρέστω τῇδε σύμμαχος χθονί.

ΧΟΡΟΣ.

Ἀδράστεια μὲν ἁ Διὸς παῖς
εἴργοι στομάτων φθόνον·
φράσω γὰρ δὴ ὅσον μοι
ψυχᾷ προσφιλές ἐστιν εἰπεῖν.
ἥκεις, ὦ ποταμοῦ παῖ,
ἥκεις, ἐπλάθης Φρυγίαν πρὸς αὐλὰν
ἀσπαστὸς, ἐπεί σε χρόνῳ
Πιερὶς μάτηρ ὅ τε καλλιγέφυ-
ρος ποταμὸς πορεύει
Στρυμὼν, ὅς ποτε τᾶς μελῳδοῦ
Μούσας δι' ἀκηράτων
δινηθεὶς ὑδροειδὴς
κόλπων σὰν ἐφύτευσεν ἥβαν.
σύ μοι Ζεὺς ὁ φαναῖος
ἥκεις διφρεύων βαλιαῖσι πώλοις.
νῦν, ὦ πατρὶς ὦ Φρυγία,
ξὺν θεῷ νῦν σοι τὸν ἐλευθέριον
Ζῆνα πάρεστιν εἰπεῖν.
ἆρά ποτ' αὖθις ἁ παλαιὰ
Τροία τοὺς προπότας παναμερεύσει
θιάσους ἐρώτων
ψαλμοῖσι καὶ κυλίκων οἰνοπλανήτοις
ἐπιδεξίαις ἁμίλλαις,
κατὰ πόντον Ἀτρειδᾶν
Σπάρταν οἰχομένων Ἰλιάδος παρ' ἀκτᾶς;
ὦ φίλος, εἴθε μοι
σᾷ χερὶ καὶ σῷ δορὶ πράξας τάδ' ἐς οἶκον ἔλθοι
ἔλθὲ, φάνηθι, τὰν ζάχρυσον
Πηλείδα προβαλοῦ κατ' ὄμμα πέλταν,
δοχμίαν πεδαίρων
σχιστὰν παρ' ἄντυγα, πώλους ἐρεθίζων

342 — 350. == 351 — 359.
360 — 369. == 370 — 379.

δίβολόν τ' ἄκοντα πάλλων.
σὲ γὰρ οὔτις ὑποστὰς
Ἀργείας ποτ' ἐν Ἥρας δαπέδοις χορεύσει·
ἀλλά νιν ἅδε γᾶ
καπφθίμενον Θρηκὶ μόρῳ φίλτατον ἄχθος οἴσει.
ἰὼ ἰώ.
μέγας ὦ βασιλεῦ, καλὸν, ὦ Θρῄκη,
σκύμνον ἔθρεψας πολίαρχον ἰδεῖν.
ἴδε χρυσόδετον σώματος ἀλκὴν,
κλύε καὶ κόμπους κωδωνοκρότους
παρὰ πορπάκων κελαδοῦντας.
θεὸς, ὦ Τροία, θεὸς, αὐτὸς Ἄρης,
ὁ Στρυμόνιος πῶλος ἀοιδοῦ
Μούσης ἥκων καταπνεῖ σε.

ΡΗΣΟΣ.

χαῖρ', ἐσθλὸς ἐσθλοῦ παῖ, τύραννε τῆσδε γῆς,
Ἕκτορ· παλαιᾷ σ' ἡμέρᾳ προσεννέπω.
χαίρω δέ σ' εὐτυχοῦντα καὶ προσήμενον
πύργοισιν ἐχθρῶν· συγκατασκάψων δ' ἐγὼ
τείχη πάρειμι καὶ νεῶν πρήσων σκάφη.

ΕΚΤΩΡ.

παῖ τῆς μελῳδοῦ μητέρος, Μουσῶν μιᾶς,
Θρῃκός τε ποταμοῦ Στρυμόνος, φιλῶ λέγειν
τἀληθὲς ἀεὶ κοὐ διπλοῦς πέφυκ' ἀνήρ.
πάλαι πάλαι χρῆν τῇδε συγκάμνειν χθονὶ
ἐλθόντα, καὶ μὴ τοὐπὶ σ' Ἀργείων ὕπο
Τροίαν ἐᾶσαι πολεμίων πεσεῖν δορί.
οὐ γάρ τι λέξεις ὡς ἄκλητος ὢν φίλοις
οὐκ ἦλθες οὐδ' ἤμυνας οὐδ' ἐπεστράφης.
τίς γάρ σε κῆρυξ ἢ γερουσία Φρυγῶν
ἐλθοῦσ' ἀμύνειν οὐκ ἐπέσκηψεν πόλει;
ποῖον δὲ δώρων κόσμον οὐκ ἐπέμψαμεν;
σὺ δ' ἐγγενὴς ὢν βάρβαρός τε βαρβάρους
Ἕλλησιν ἡμᾶς προὔπιες τὸ σὸν μέρος.
καίτοι σε μικρᾶς ἐκ τυραννίδος μέγαν
Θρῃκῶν ἄνακτα τῇδ' ἔθηκ' ἐγὼ χερὶ,
ὅτ' ἀμφὶ Πάγγαιόν τε Παιόνων τε γῆν
Θρῃκῶν ἀρίστοις ἐμπεσὼν κατὰ στόμα,
ἔρρηξα πέλτην, σοὶ δὲ δουλώσας λεὼν
παρέσχον· ὧν σὺ λακτίσας πολλὴν χάριν,
φίλων νοσούντων ὕστερος βοηδρομεῖς.
οἱ δ' οὐδὲν ἡμῖν ἐν γένει πεφυκότες,
πάλαι παρόντες, οἱ μὲν ἐν χωστοῖς τάφοις
κεῖνται πεσόντες, πίστις οὐ σμικρὰ πόλει,
οἱ δ' ἔν θ' ὅπλοισι καὶ παρ' ἱππείοις ὄχοις
ψυχρὰν ἄησιν δίψιόν τε πῦρ θεοῦ
μένουσι καρτεροῦντες, οὐκ ἐν δεμνίοις
πυκνὴν ἄμυστιν ὡς σὺ δεξιούμενοι.
ταῦθ', ὡς ἂν εἰδῇς Ἕκτορ' ὄντ' ἐλεύθερον,
καὶ μέμφομαί σοι καὶ λέγω κατ' ὄμμα σόν.

ΡΗΣΟΣ.

τοιοῦτός εἰμι καὐτὸς, εὐθεῖαν λόγων
τέμνων κέλευθον, κοὐ διπλοῦς πέφυκ' ἀνήρ.
ἐγὼ δὲ μεῖζον ἢ σὺ τῆσδ' ἀπὼν χθονὸς
λύπῃ πρὸς ἧπαρ δυσφορῶν ἐτειρόμην·
ἀλλ' ἀγχιτέρμων γαῖά μοι, Σκύθης λεὼς,
μέλλοντι νόστον τὸν πρὸς Ἴλιον περᾶν
ξυνῆψε πόλεμον· Εὐξένου δ' ἀφικόμην
πόντου πρὸς ἀκτὰς, Θρῇκα πορθμεύσας στρατόν.
ἔνθ' αἱματηρὸς πέλανος ἐς γαῖαν Σκύθης
ἠντλεῖτο λόγχῃ, Θρῄξ τε συμμιγὴς φόνος.
τοιάδε τοί μ' ἀπεῖργε συμφορὰ πέδον
Τροίας ἱκέσθαι σύμμαχόν τέ σοι μολεῖν.
ἐπεὶ δ' ἔπερσα, τῶνδ' ὁμηρεύσας τέκνα,
τάξας ἔτειον δασμὸν ἐς δόμους φέρειν,
ἥκω περάσας ναυσὶ πόντιον στόμα,
τὰ δ' ἄλλα πεζὸς γῆς περῶν ὁρίσματα,
οὐδ' ὡς σὺ κομπεῖς τὰς ἐμὰς ἀμύστιδας,
οὔτ' ἐν ζαχρύσοις δώμασιν κοιμώμενος,
ἀλλ' οἷα πόντον Θρῄκιον φυσήματα
κρυσταλλόπηκτα Παιονάς τ' ἐπεζάρει,
ξὺν τοῖσδ' ἄυπνος οἶδα τλὰς πορπάμασιν.
ἀλλ' ὕστερον μὲν ἦλθον, ἐν καιρῷ δ' ὅμως·
σὺ μὲν γὰρ ἤδη δέκατον αἰχμάζεις ἔτος
κοὐδὲν περαίνεις, ἡμέραν δ' ἐξ ἡμέρας
ῥίπτεις κυβεύων τὸν πρὸς Ἀργείους Ἄρη·
ἐμοὶ δὲ φῶς ἓν ἡλίου καταρκέσει,
πέρσαντι πύργους ναυστάθμοις ἐπεισπεσεῖν
κτεῖναί τ' Ἀχαιούς· θατέρᾳ δ' ἀπ' Ἰλίου
πρὸς οἶκον εἶμι, συντεμὼν τοὺς σοὺς πόνους.
ὑμῶν δὲ μή τις ἀσπίδ' ἄρηται χερί·
ἐγὼ γὰρ ἕξω τοὺς μέγ' αὐχοῦντας δορὶ
πέρσας Ἀχαιοὺς, καίπερ ὕστερος μολών.

ΧΟΡΟΣ.

ἰὼ ἰώ.
φίλα θροεῖς, φίλος Διόθεν εἶ
* * * μόνον
φθόνον ἄμαχον ὕπατος
Ζεὺς ἐθέλοι τὸν ἀμφὶ
σοῖσι λόγοισιν εἴργειν.
τὸ δὲ νάϊον Ἀργόθεν δόρυ
οὔτε πρὶν οὔτε νῦν τιν' ἀνδρῶν
ἐπόρευσε σέθεν κρείσσω,
πῶς μοι Ἀχιλλεὺς τὸ σὸν ἔγχος ἂν δύναιτο,
πῶς δ' Αἴας ὑπομεῖναι;
εἰ γὰρ ἐγὼ τόδ' ἦμαρ ἐσίδοιμ', ἄναξ,
ὅπως πολυφόνου
χειρὸς ἀποινάσαιο λόγχᾳ.

ΡΗΣΟΣ.

τοιαῦτα μέν σοι τῆς μακρᾶς ἀπουσίας
πρᾶξαι παρέξω· σὺν δ' Ἀδραστείᾳ λέγω,
ἐπειδὰν ἐχθρῶν τήνδ' ἐλευθέραν πόλιν
θῶμεν θεοῖσί τ' ἀκροθίνι' ἐξέλης,
ξὺν σοὶ στρατεύειν γῆν ἐπ' Ἀργείων θέλω
καὶ πᾶσαν ἐλθὼν Ἑλλάδ' ἐκπέρσαι δορὶ,
ὡς ἂν μάθωσιν ἐν μέρει πάσχειν κακῶς.

ΕΚΤΩΡ.

εἰ τοῦ παρόντος τοῦδ' ἀπαλλαχθεὶς κακοῦ
πόλιν νεμοίμην ὡς τὸ πρίν ποτ' ἀσφαλῆ,
ἦ κάρτα πολλὴν θεοῖς ἂν εἰδείην χάριν.
τὰ δ' ἀμφί τ' Ἄργος καὶ νομὸν τὸν Ἑλλάδος
οὐχ ὧδε πορθεῖν ῥᾴδι', ὡς λέγεις, δορί.

ΡΗΣΟΣ.

οὐ τούσδ' ἀριστῆς φασιν Ἑλλήνων μολεῖν;

ΕΚΤΩΡ.

κοὐ μεμφόμεσθά γ', ἀλλ' ἄδην ἐλαύνομεν.

ΡΗΣΟΣ.

οὐκοῦν κτανόντες τούσδε πάντ' εἰργάσμεθα.

454—466. = 820—832.

ΕΚΤΩΡ.
μή νυν τὰ πόρρω τἀγγύθεν μεθεὶς σκόπει.
ΡΗΣΟΣ.
ἀρκεῖν ἔοικέ σοι παθεῖν, δρᾶσαι δὲ μή.
ΕΚΤΩΡ.
πολλῆς γὰρ ἄρχω κἀνθάδ' ὢν τυραννίδος.
ἀλλ' εἴτε λαιὸν εἴτε δεξιὸν κέρας
εἴτ' ἐν μέσοισι συμμάχοις, πάρεστί σοι
πέλτην ἐρεῖσαι καὶ καταστῆσαι στρατόν.
ΡΗΣΟΣ.
μόνος μάχεσθαι πολεμίοις, Ἕκτορ, θέλω.
εἰ δ' αἰσχρὸν ἡγεῖ μὴ συνεμπρῆσαι νεῶν
πρύμνας, πονήσας τὸν πάρος πολὺν χρόνον,
τάξον μ' Ἀχιλλέως καὶ στρατοῦ κατὰ στόμα.
ΕΚΤΩΡ.
οὐκ ἔστ' ἐκείνῳ θοῦρον ἐντάξαι δόρυ.
ΡΗΣΟΣ.
καὶ μὴν λόγος γ' ἦν ὡς ἔπλευσ' ἐπ' Ἴλιον.
ΕΚΤΩΡ.
ἔπλευσε καὶ πάρεστιν· ἀλλὰ μηνίων
στρατηλάταισιν οὐ συναίρεται δόρυ.
ΡΗΣΟΣ.
τίς δὴ μετ' αὐτὸν ἄλλος εὐδοξεῖ στρατοῦ;
ΕΚΤΩΡ.
Αἴας ἐμοὶ μὲν οὐδὲν ἡσσᾶσθαι δοκεῖ
χὡ Τυδέως παῖς· ἔστι δ' αἱμυλώτατον
κρότημ' Ὀδυσσεὺς, λῆμά τ' ἀρκούντως θρασὺς
καὶ πλεῖστα χώραν τήνδ' ἀνὴρ καθυβρίσας.
ὃς εἰς Ἀθάνας σηκὸν ἔννυχος μολὼν
κλέψας ἄγαλμα ναῦς ἐπ' Ἀργείων φέρει.
ἤδη δ' ἀγύρτης πτωχικὴν ἔχων στολὴν
εἰσῆλθε πύργους, πολλὰ δ' Ἀργείοις κακὰ
ἠρᾶτο, πεμφθεὶς Ἰλίου κατάσκοπος·
κτανὼν δὲ φρουροὺς καὶ παραστάτας πυλῶν
ἐξῆλθεν· ἀεὶ δ' ἐν λόχοις εὑρίσκεται
Θυμβραῖον ἀμφὶ βωμὸν ἄστεως πέλας
θάσσων· κακῷ δὲ μερμέρῳ παλαίομεν.
ΡΗΣΟΣ.
οὐδεὶς ἀνὴρ εὔψυχος ἀξιοῖ λάθρα
κτεῖναι τὸν ἐχθρὸν, ἀλλ' ἰὼν κατὰ στόμα.
τοῦτον δ' ὃν ἵζειν φὴς σὺ κλωπικὰς ἕδρας
καὶ μηχανᾶσθαι, ζῶντα συλλαβὼν ἐγὼ
πυλῶν ἐπ' ἐξόδοισιν ἀμπείρας ῥάχιν
στήσω πετεινοῖς γυψὶ θοινατήριον.
λῃστὴν γὰρ ὄντα καὶ θεῶν ἀνάκτορα
συλῶντα δεῖ νιν τῷδε κατθανεῖν μόρῳ.
ΕΚΤΩΡ.
νῦν μὲν καταυλίσθητε· καὶ γὰρ εὐφρόνη.
δείξω δ' ἐγώ σοι χῶρον ἔνθα χρὴ στρατὸν
τὸν σὸν νυχεῦσαι τοῦ τεταγμένου δίχα.
ξύνθημα δ' ἡμῖν Φοῖβος, ἤν τι καὶ δέῃ,
μέμνησ' ἀκούσας Θρῃκί τ' ἄγγειλον στρατῷ.
ὑμᾶς δὲ βάντας χρὴ προταινὶ τάξεων
φρουρεῖν ἐγερτὶ, καὶ νεῶν κατάσκοπον
δέχθαι Δόλωνα· καὶ γὰρ, εἴπερ ἐστὶ σῶς,
ἤδη πελάζει στρατοπέδοισι Τρωικοῖς.
ΧΟΡΟΣ.
τίνος ἁ φυλακά; τίς ἀμείβει
τὰν ἐμάν; πρῶτα
527—545. == 546—564.
δύεται σημεῖα καὶ ἑπτάποροι
Πλειάδες αἰθέριαι· μέσα δ' αἰετὸς οὐρανοῦ ποτᾶται.
ἔγρεσθε, τί μέλλετε; κοιτᾶν
ἔγρεσθε πρὸς φυλακάν.
οὐ λεύσσετε μηνάδος αἴγλαν;
ἀὼς δὴ πέλας ἀὼς
γίγνεται, καί τις πρὸ δόμων ὅδε γ' ἐστὶν ἀστήρ.
ΗΜΙΧΟΡΙΟΝ.
τίς ἐκηρύχθη πρώτην φυλακήν;
* * * *
ΗΜΙΧΟΡΙΟΝ.
Μυγδόνος υἱόν φασι Κόροιβον.
ΗΜΙΧΟΡΙΟΝ.
τίς γὰρ ἐπ' αὐτῷ;
ΗΜΙΧΟΡΙΟΝ.
Κίλικας Παίων
στρατὸς ἤγειρεν, Μυσοὶ δ' ἡμᾶς.
ΗΜΙΧΟΡΙΟΝ.
οὐκοῦν Λυκίους πέμπτην φυλακὴν
βάντας ἐγείρειν
καιρὸς κλήρου κατὰ μοῖραν.
ΧΟΡΟΣ.
καὶ μὴν ἀΐω, Σιμόεντος
ἡμένα κοίτας
φοινίας ὑμνεῖ πολυχορδοτάτᾳ
γήρυϊ παιδολέτωρ μελοποιὸς ἀηδονὶς μερίμνας·
ἤδη δὲ νέμουσι κατ' Ἴδαν
ποίμνια· νυκτιβρόμου
σύριγγος ἰὰν κατακούω·
θέλγει δ' ὄμματος ἕδραν
ὕπνος· ἅδιστος γὰρ ἔβα βλεφάροις πρὸς ἀοῦς.
ΗΜΙΧΟΡΙΟΝ.
τί ποτ' οὐ πελάθει σκοπὸς, ὃν ναῶν
Ἕκτωρ ὤτρυνε κατόπταν;
ΗΜΙΧΟΡΙΟΝ.
ταρβῶ· χρόνιος γὰρ ἄπεστιν.
ΗΜΙΧΟΡΙΟΝ.
ἀλλ' ἦ κρυπτὸν λόχον εἰσπαίσας
διόλωλε; τάχ' ἂν εἴη φοβερόν.
ΗΜΙΧΟΡΙΟΝ.
αὐδῶ Λυκίους πέμπτην φυλακὴν
βάντας ἐγείρειν
ἡμᾶς κλήρου κατὰ μοῖραν.
ΟΔΥΣΣΕΥΣ.
Διόμηδες, οὐκ ἤκουσας — ἢ κενὸς ψόφος
στάζει δι' ὤτων; — τευχέων τινὰ κτύπον;
ΔΙΟΜΗΔΗΣ.
οὔκ, ἀλλὰ δεσμὰ πωλικῶν ἐξ ἀντύγων
κλάζει σιδήρου· κἀμέ τοι, πρὶν ᾐσθόμην
δεσμῶν ἀραγμὸν ἱππικῶν, ἔδυ φόβος.
ΟΔΥΣΣΕΥΣ.
ὅρα κατ' ὄρφνην μὴ φύλαξιν ἐντύχῃς.
ΔΙΟΜΗΔΗΣ.
φυλάξομαί τοι κἀν σκότῳ τιθεὶς πόδα.
ΟΔΥΣΣΕΥΣ.
ἢν δ' οὖν ἐγείρῃς, οἶσθα σύνθημα στρατοῦ;
ΔΙΟΜΗΔΗΣ.
Φοῖβον Δόλωνος οἶδα σύμβολον κλύων.

ΟΔΥΣΣΕΥΣ.

ἔα.
εὐνὰς ἐρήμους τάσδε πολεμίων ὁρῶ.

ΔΙΟΜΗΔΗΣ.

καὶ μὴν Δόλων γε τάσδ' ἔφραζεν Ἕκτορος
κοίτας, ἐφ' ᾧπερ ἔγχος εἵλκυσται τόδε.

ΟΔΥΣΣΕΥΣ.

τί δῆτ' ἂν εἴη; μῶν λόχος βέβηκέ πη;

ΔΙΟΜΗΔΗΣ.

ἴσως ἐφ' ἡμῖν μηχανὴν στήσων τινά.

ΟΔΥΣΣΕΥΣ.

θρασὺς γὰρ Ἕκτωρ νῦν, ἐπεὶ κρατεῖ, θρασύς.

ΔΙΟΜΗΔΗΣ.

τί δῆτ', Ὀδυσσεῦ, δρῶμεν; οὐ γὰρ εὕρομεν
τὸν ἄνδρ' ἐν εὐναῖς, ἐλπίδων δ' ἡμάρτομεν.

ΟΔΥΣΣΕΥΣ.

στείχωμεν ὡς τάχιστα ναυστάθμων πέλας.
σώζει γὰρ αὐτὸν ὅστις εὐτυχῆ θεῶν
τίθησιν· ἡμῖν δ' οὐ βιαστέον τύχην.

ΔΙΟΜΗΔΗΣ.

οὐκοῦν ἐπ' Αἰνέαν ἢ τὸν ἔχθιστον Φρυγῶν
Πάριν μολόντε χρὴ καρατομεῖν ξίφει.

ΟΔΥΣΣΕΥΣ.

πῶς οὖν ἐν ὄρφνῃ πολεμίων ἀνὰ στρατὸν
ζητῶν δυνήσει τούσδ' ἀκινδύνως κτανεῖν;

ΔΙΟΜΗΔΗΣ.

αἰσχρόν γε μέντοι ναῦς ἐπ' Ἀργείων μολεῖν,
δράσαντε μηδὲν πολεμίους νεώτερον.

ΟΔΥΣΣΕΥΣ.

πῶς δ' οὐ δέδρακας; οὐ κτανόντε ναυστάθμων
κατάσκοπον Δόλωνα σώζομεν τάδε
σκυλεύματ'; ἢ πᾶν στρατόπεδον πέρσειν δοκεῖς;
πείθου, πάλιν στείχωμεν. εὖ δ' εἴη τύχη.

ΑΘΗΝΑ.

ποῖ δὴ λιπόντε Τρωικῶν ἐκ τάξεων
χωρεῖτε, λύπῃ καρδίαν δεδηγμένοι,
εἰ μὴ κτανεῖν σφῷν Ἕκτορ' ἢ Πάριν θεὸς
δίδωσιν; ἄνδρα δ' οὐ πέπυσθε σύμμαχον
Τροίᾳ μολόντα Ῥῆσον οὐ φαύλῳ τρόπῳ;
ὃς εἰ διοίσει νύκτα τήνδ' ἐς αὔριον,
οὔτ' ἄν σφ' Ἀχιλλέως οὔτ' ἂν Αἴαντος δόρυ
μὴ πάντα πέρσαι ναύσταθμ' Ἀργείων σχέθοι,
τείχη κατασκάψαντα καὶ πυλῶν ἔσω
λόγχῃ πλατεῖαν ἐσδρομὴν ποιούμενον·
τοῦτον κατακτὰς πάντ' ἔχεις. τὰς δ' Ἕκτορος
εὐνὰς ἔασον καὶ καρατόμους σφαγάς·
ἔσται γὰρ αὐτῷ θάνατος ἐξ ἄλλης χερός.

ΟΔΥΣΣΕΥΣ.

δέσποιν' Ἀθάνα, φθέγματος γὰρ ᾐσθόμην
τοῦ σοῦ συνήθη γῆρυν· ἐν πόνοισι γὰρ
παροῦσ' ἀμύνεις τοῖς ἐμοῖς ἀεί ποτε·
τὸν ἄνδρα δ' ἡμῖν ποῦ κατεύνασται φράσον,
πόθεν τέτακται βαρβάρου στρατεύματος.

ΑΘΗΝΑ.

ὅδ' ἐγγὺς ἧσται κοὐ συνήθροισται στρατῷ,
ἀλλ' ἐκτὸς αὐτὸν τάξεων κατεύνασεν
Ἕκτωρ, ἕως ἂν νὺξ ἀμείψηται φάος.
πέλας δὲ πῶλοι Θρῃκίων ἐξ ἁρμάτων
λευκαὶ δέδενται, διαπρεπεῖς ἐν εὐφρόνῃ·
στίλβουσι δ' ὥστε ποταμίου κύκνου πτερόν.
ταύτας κτανόντε δεσπότην κομίζετε,
κάλλιστον οἴκοις σκῦλον· οὐ γὰρ ἔσθ' ὅπου
τοιόνδ' ὄχημα χθὼν κέκευθε πωλικόν.

ΟΔΥΣΣΕΥΣ.

Διόμηδες, ἢ σὺ κτεῖνε Θρῄκιον λεών,
ἢ 'μοὶ πάρες γε, σοὶ δὲ χρὴ πώλων μέλειν.

ΔΙΟΜΗΔΗΣ.

ἐγὼ φονεύσω, πωλοδαμνήσεις δὲ σύ.
τρίβων γὰρ εἶ τὰ κομψὰ καὶ νοεῖν σοφός.
χρὴ δ' ἄνδρα τάσσειν οὗ μάλιστ' ἂν ὠφελῇ.

ΑΘΗΝΑ.

καὶ μὴν καθ' ἡμᾶς τόνδ' Ἀλέξανδρον βλέπω
στείχοντα, φυλάκων ἔκ τινος πεπυσμένον
δόξας ἀσήμους πολεμίων μεμβλωκότων.

ΔΙΟΜΗΔΗΣ.

πότερα σὺν ἄλλοις ἢ μόνος πορεύεται;

ΑΘΗΝΑ.

μόνος· πρὸς εὐνὰς δ', ὡς ἔοικεν, Ἕκτορος
χωρεῖ, κατόπτας σημανῶν ἥκειν στρατοῦ.

ΔΙΟΜΗΔΗΣ.

οὐκοῦν ὑπάρχειν τόνδε κατθανόντα χρή;

ΑΘΗΝΑ.

οὐκ ἂν δύναιο τοῦ πεπρωμένου πλέον.
τοῦτον δὲ πρὸς σῆς χειρὸς οὐ θέμις θανεῖν.
ἀλλ' ᾧπερ ἥκεις μορσίμους φέρων σφαγὰς,
τάχυν'· ἐγὼ δὲ τῷδε σύμμαχος Κύπρις
δοκοῦσ' ἀρωγὸς ἐν πόνοις παραστατεῖν,
σαθροῖς λόγοισιν ἐχθρὸν ἄνδρ' ἀμείψομαι.
καὶ ταῦτ' ἐγὼ μὲν εἶπον· ὃν δὲ χρὴ παθεῖν,
οὐκ οἶδεν, οὐδ' ἤκουσεν ἐγγὺς ὢν λόγου.

ΠΑΡΙΣ.

σὲ τὸν στρατηγὸν καὶ κασίγνητον λέγω,
Ἕκτορ, καθεύδεις; οὐκ ἐγείρεσθαί σε χρῆν;
ἐχθρῶν τις ἡμῖν χρίμπτεται στρατεύματι,
ἢ κλῶπες ἄνδρες ἢ κατάσκοποί τινες.

ΑΘΗΝΑ.

θάρσει· φυλάσσει σ' ἥδε πρευμενὴς Κύπρις.
μέλει δ' ὁ σός μοι πόλεμος, οὐδ' ἀμνημονῶ
τιμῆς, ἐπαινῶ δ' εὖ παθοῦσα πρὸς σέθεν.
καὶ νῦν ἐπ' εὐτυχοῦντι Τρωικῷ στρατῷ
ἥκω, πορεύουσ' ἄνδρα σοι μέγαν φίλον,
τῆς ὑμνοποιοῦ παῖδα Θρῄκιον θεᾶς
Μούσης, πατρὸς δὲ Στρυμόνος κικλήσκεται.

ΠΑΡΙΣ.

ἀεί ποτ' εὖ φρονοῦσα τυγχάνεις πόλει
κἀμοί, μέγιστον δ' ἐν βίῳ κειμήλιον
κρίνας σέ φημι τῇδε προσθέσθαι πόλει.
ἥκω δ' ἀκούσας οὐ τορῶς, φήμη δέ τις
φύλαξιν ἐμπέπτωκεν ὡς κατάσκοποι
ἥκουσ' Ἀχαιῶν. χὼ μὲν οὐκ εἰδὼς λέγει,
ὁ δ' εἰσιδὼν μολόντας οὐκ ἔχει φράσαι
ὧν οὕνεκ' εὐνὰς ἦλυθον πρὸς Ἕκτορος.

ΑΘΗΝΑ.

μηδὲν φοβηθῇς· οὐδὲν ἐν στρατῷ νέον·
Ἕκτωρ δὲ φροῦδος Θρῇκα κοσμήσων στρατόν.

ΠΑΡΙΣ.

σύ τοί με πείθεις, σοῖς τε πιστεύων λόγοις
τάξιν φυλάξων εἶμ' ἐλεύθερος φόβου.

ΑΘΗΝΑ.

χώρει· μέλειν γὰρ πάντ' ἐμοὶ δόκει τὰ σά,

ὥστ' εὐτυχοῦντας συμμάχους ἐμοὺς ὁρᾶν.
γνώσει δὲ καὶ σὺ τὴν ἐμὴν προθυμίαν.
ὑμᾶς δ' αὐτῷ τοὺς ἄγαν ἐρρωμένους,
Λαερτίου παῖ, θηκτὰ κοιμίσαι ξίφη.
κεῖται γὰρ ἡμῖν Θρῄκιος στρατηλάτης,
ἵπποι τ' ἔχονται, πολέμιοι δ' ᾐσθημένοι
χωροῦσ' ἐφ' ὑμᾶς· ἀλλ' ὅσον τάχιστα χρὴ
φεύγειν πρὸς ὁλκοὺς ναυστάθμων. τί μέλλετε
σκηπτοῦ 'πιόντος πολεμίων σῶσαι βίον;

ΧΟΡΟΣ.

ἔα ἔα·
βάλλε βάλλε βάλλε βάλλε,
θένε θένε· τίς ἀνήρ;
λεύσσετε, τοῦτον αὐδῶ.
κλῶπες οἵτινες κατ' ὄρφνην
τόνδε κινοῦσι στρατόν.
δεῦρο δεῦρο πᾶς.
τούσδ' ἔχω καὶ τούσδ' ἔμαρψα.
τίς ὁ λόγος; πόθεν ἔβας; ποδαπὸς εἶ;

ΟΔΥΣΣΕΥΣ.

οὔ σε χρὴ εἰδέναι· θανεῖ γὰρ σήμερον δράσας κακῶς.

ΗΜΙΧΟΡΙΟΝ.

οὐκ ἐρεῖς ξύνθημα, λόγχην πρὶν διὰ στέρνων μολεῖν;

ΟΔΥΣΣΕΥΣ.

ἴστω. θάρσει.

ΗΜΙΧΟΡΙΟΝ.

πέλας ἴθι. παῖε πᾶς.

ΗΜΙΧΟΡΙΟΝ.

ἦ σὺ δὴ Ῥῆσον κατέκτας;

ΟΔΥΣΣΕΥΣ.

ἀλλὰ τὸν κτενοῦντα σέ.

ΗΜΙΧΟΡΙΟΝ.

ἴσχε πᾶς τις.

ΗΜΙΧΟΡΙΟΝ.

οὐ μενῶ.

ΗΜΙΧΟΡΙΟΝ.

ἅ, φίλιον ἄνδρα μὴ θένῃς.

ΗΜΙΧΟΡΙΟΝ.

καὶ τί δὴ τὸ σῆμα;

ΟΔΥΣΣΕΥΣ.

Φοῖβος.

ΗΜΙΧΟΡΙΟΝ.

ἔμαθον· ἴσχε πᾶς δόρυ.

ΗΜΙΧΟΡΙΟΝ.

οἶσθ' ὅποι βεβᾶσιν ἄνδρες;

ΗΜΙΧΟΡΙΟΝ.

τῇδέ πῃ κατείδομεν.

ΗΜΙΧΟΡΙΟΝ.

ἕρπε πᾶς κατ' ἴχνος αὐτῶν, ἢ βοὴν ἐγερτέον.

ΗΜΙΧΟΡΙΟΝ.

ἀλλὰ συμμάχους ταράσσειν δεινὸν ἐν νυκτῶν φόβῳ.

ΧΟΡΟΣ.

τίς ἀνδρῶν ὁ βάς;
τίς, ὃς μέγα θράσος ἐπεύξεται
χεῖρα φυγὼν ἐμάν;
πόθεν νιν κυρήσω;
τίνι προσεικάσω;
ὅστις δι' ὄρφνης ἦλθ' ἀδειμάντῳ ποδὶ
διά τε τάξεων καὶ φυλάκων ἕδρας.
Θεσσαλὸς ἢ
παραλίαν Λοκρῶν νεμόμενος πόλιν;
ἢ νησιώτην σποράδα κέκτηται βίον;
τίς ἦν πόθεν; ποίας πάτρας;
ποῖον ἐπεύχεται τὸν ὕπατον θεῶν;

692 — 709. == 710 — 727.

ΗΜΙΧΟΡΙΟΝ.

ἆρ' ἔστ' Ὀδυσσέως τοὔργον ἢ τίνος τόδε;

ΗΜΙΧΟΡΙΟΝ.

εἰ τοῖς πάροιθε χρὴ τεκμαίρεσθαι, τί μή;

ΗΜΙΧΟΡΙΟΝ.

δοκεῖς γάρ;

ΗΜΙΧΟΡΙΟΝ.

τί μὴν οὔ;

ΗΜΙΧΟΡΙΟΝ.

θρασὺς γοῦν ἐς ἡμᾶς.

ΗΜΙΧΟΡΙΟΝ.

τίς; ἀλκὴν τίν' αἰνεῖς;

ΗΜΙΧΟΡΙΟΝ.

Ὀδυσσῆ.

ΗΜΙΧΟΡΙΟΝ.

μὴ κλωπὸς αἴνει φωτὸς αἱμύλον δόρυ.

ΧΟΡΟΣ.

ἔβα καὶ πάρος
κατὰ πτόλιν, ὕπαφρον ὄμμ' ἔχων
ῥακοδύτῳ στολᾷ
πυκασθεὶς, ξιφήρης
κρύφιος ἐν πέπλοις.
βίον δ' ἐπαιτῶν εἷρπ' ἀγύρτης τις λάτρις,
ψαφαρόχρουν κάρα πολυπινές τ' ἔχων·
πολλὰ δὲ τὰν
βασιλίδ' ἑστίαν Ἀτρειδᾶν κακῶς
ἔβαζε δῆθεν ἐχθρὸς ὢν στρατηλάταις.
ὄλοιτ' ὄλοιτο πανδίκως,
πρὶν ἐπὶ γᾶν Φρυγῶν ποδὸς ἴχνος βαλεῖν.

ΗΜΙΧΟΡΙΟΝ.

εἴτ' οὖν Ὀδυσσέως εἴτε μή, φόβος μ' ἔχ

ΗΜΙΧΟΡΙΟΝ.

Ἕκτωρ γὰρ ἡμῖν τοῖς φύλαξι μέμφεται.

ΗΜΙΧΟΡΙΟΝ.

τί λάσκων;

ΗΜΙΧΟΡΙΟΝ.

δυσοίζων.

ΗΜΙΧΟΡΙΟΝ.

τί δρᾶσαι; τί ταρβεῖς;

ΗΜΙΧΟΡΙΟΝ.

καθ' ἡμᾶς περᾶσαι

ΗΜΙΧΟΡΙΟΝ.

τίν' ἀνδρῶν;

ΗΜΙΧΟΡΙΟΝ.

οἳ τῆσδε νυκτὸς ἦλθον εἰς Φρυγῶν στρατ

ΗΝΙΟΧΟΣ.

ἰὼ ἰὼ δαίμονος τύχα βαρεῖα. φεῦ φεῦ.

ΧΟΡΟΣ.

ἔα.
σῖγα πᾶς. ὑφίζ'· ἴσως γὰρ εἰς βόλον τις ἐμ

ΗΝΙΟΧΟΣ.

ἰὼ ἰώ,
συμφορὰ βαρεῖα Θρῃκῶν συμμάχων.

ΧΟΡΟΣ.

τίς ὁ στένων;

ΗΝΙΟΧΟΣ.

ἰὼ ἰώ.
δύστηνος ἐγὼ σύ τ', ἄναξ Θρῃκῶν,
ὦ στυγνοτάτην Τροίαν ἐσιδών·
οἷόν σε βίου τέλος εἷλεν.

ΧΟΡΟΣ.

τίς εἶ ποτ' ἀνδρῶν συμμάχων; κατ' εὐφρόνην
ἀμβλῶπες αὐγαὶ, κοὔ σε γιγνώσκω τορῶς.

ΗΝΙΟΧΟΣ.

ποῦ τιν' ἀνάκτων Τρωικῶν εὕρω;
ποῦ δῆθ' Ἕκτωρ
τὸν ὑπασπίδιον κοῖτον ἰαύει;
τίνι σημήνω διόπων στρατιᾶς;
ἂ ἂ ἂ ἂ,
οἷα πεπόνθαμεν, οἷά τις ἡμᾶς
δράσας ἀφανῆ φροῦδος, φανερὸν
Θρῄξιν πένθος τολυπεύσας.

ΧΟΡΟΣ.

κακὸν κυρεῖν τι Θρῃκίῳ στρατεύματι
ἔοικεν, οἷα τοῦδε γιγνώσκω κλύων.

ΗΝΙΟΧΟΣ.

ἔρρει στρατιὰ,
πέπτωκεν ἄναξ δολίῳ πληγῇ.
ἂ ἂ ἂ ἂ,
οἷά μ' ὀδύνη τείρει φονίου
τραύματος εἴσω. πῶς ἂν ὀλοίμαν.
χρῆν γάρ μ' ἀκλεῶς Ῥῆσόν τε θανεῖν,
Τροίᾳ κέλσαντ' ἐπίκουρον;

ΧΟΡΟΣ.

τάδ' οὐκ ἐν αἰνιγμοῖσι σημαίνει κακά·
σαφῶς γὰρ αὐδᾷ συμμάχους ὀλωλότας.

ΗΝΙΟΧΟΣ.

κακῶς πέπρακται, κἀπὶ τοῖς κακοῖσι πρὸς
αἴσχιστα· καίτοι δὶς τόσον κακὸν τόδε·
θανεῖν γὰρ εὐκλεῶς μὲν, εἰ θανεῖν χρεὼν,
λυπρὸν μὲν οἶμαι τῷ θανόντι. πῶς γὰρ οὔ;
τοῖς ζῶσι δ' ὄγκος καὶ δόμων εὐδοξία.
ἡμεῖς δ' ἀβούλως κἀκλεῶς ὀλώλαμεν.
ἐπεὶ γὰρ ἡμᾶς Ἑκτορέα χεὶρ εὔνασε
ξύνθημα λέξας, εὕδομεν πεδοστιβεῖς,
κόπῳ δαμέντες, οὐδ' ἐφρουρεῖτο στρατὸς
φυλακαῖσι νυκτέροισιν, οὐδ' ἐν τάξεσιν
ἔκειτο τεύχη, πλῆκτρά τ' οὐκ ἐπὶ ζυγοῖς
ἵππων καθήρμοσθ', ὡς ἄναξ ἐπεύθετο
κρατοῦντας ὑμᾶς κἀφεδρεύοντας νεῶν
πρύμναισι· φαύλως δ' εὕδομεν πεπτωκότες.
κἀγὼ μελούσῃ καρδίᾳ λήξας ὕπνου
πώλοισι χόρτον, προσδοκῶν ἑωθινὴν
ζεύξειν ἐς ἀλκὴν, ἀφθόνῳ μετρῶ χερί.
λεύσσω δὲ φῶτε περιπολοῦνθ' ἡμῶν στρατὸν
πυκνῆς δι' ὄρφνης· ὡς δ' ἐκινήθην ἐγὼ,
ἐπτηξάτην τε κἀνεχωρείτην πάλιν·
ἤπυσα δ' αὐτοῖς μὴ πελάζεσθαι στρατῷ,
κλῶπας δοκήσας συμμάχων πλάθειν τινάς.
οἱ δ' οὐδέν· οὐ μὴν οἶδ' ἐγὼ τὰ πλείονα,
εὗδον δ' ἀπελθὼν αὖθις ἐς κοίτην πάλιν.
καί μοι καθ' ὕπνον δόξα τις παρίσταται·
ἵππους γὰρ ἃς ἔθρεψα κἀδιφρηλάτουν
Ῥήσῳ παρεστὼς εἶδον, ὡς ὄναρ δοκῶν,
λύκους ἐπεμβεβῶτας ἑδραίαν ῥάχιν·
θείνοντε δ' οὐρᾷ πωλικῆς ῥινοῦ τρίχα
ἤλαυνον, αἱ δ' ἔρεγκον ἐξ ἀντηρίδων
θυμὸν πνέουσαι κἀνεχαίτιζον φόβῳ.
ἐγὼ δ' ἀμύνων θῆρας ἐξεγείρομαι
πώλοισιν· ἔννυχος γάρ μ' ἐξώρμα φόβος.
κλύω δ' ἐπάρας κρᾶτα μυχθισμὸν νεκρῶν.
θερμὸς δὲ κρουνὸς δεσπότου πάρα σφαγαῖς
βάλλει με δυσθνήσκοντος αἵματος νέου.
ὀρθὸς δ' ἀνᾴσσω χειρὶ σὺν κενῇ δορός.
καί μ' ἔγχος αὐγάζοντα καὶ θηρώμενον
παίει παραστὰς νειάτην πλευρὰν ξίφει
ἀνὴρ ἀκμάζων· φασγάνου γὰρ ᾐσθόμην
πληγῆς, βαθεῖαν ἄλοκα τραύματος λαβών.
πίπτω δὲ πρηνής· οἱ δ' ὄχημα πωλικὸν
λαβόντες ἵππων ἵεσαν φυγῇ πόδα.
ἂ ἂ.
ὀδύνη με τείρει, κοὐκέτ' ὀρθοῦμαι τάλας.
καὶ ξυμφορὰν μὲν οἶδ' ὁρῶν, τρόπῳ δ' ὅτῳ
τεθνᾶσιν οἱ θανόντες οὐκ ἔχω φράσαι,
οὐδ' ἐξ ὁποίας χειρός. εἰκάσαι δέ μοι
πάρεστι λυπρὰ πρὸς φίλων πεπονθέναι.

ΧΟΡΟΣ.

ἡνίοχε Θρῃκὸς τοῦ κακῶς πεπραγότος,
μηδὲν δύσοιζ' οὐ πολεμίους δρᾶσαι τάδε.
Ἕκτωρ δὲ καὐτὸς, συμφορᾶς πεπυσμένος,
χωρεῖ· συναλγεῖ δ', ὡς ἔοικε, σοῖς κακοῖς.

ΕΚΤΩΡ.

πῶς, ὦ μέγιστα πήματ' ἐξειργασμένοι,
μολόντες ὑμᾶς πολεμίων κατάσκοποι
λήθουσιν αἰσχρῶς, καὶ κατεσφάγη στρατὸς,
κοὔτ' εἰσιόντας στρατόπεδ' ἐξαπώσατε
οὔτ' ἐξιόντας; τῶνδε τίς τίσει δίκην
πλὴν σοῦ; σὲ γὰρ δὴ φύλακά φημ' εἶναι στρατοῦ.
φροῦδοι δ' ἄπληκτοι, τῇ Φρυγῶν κακανδρίᾳ
πόλλ' ἐγγελῶντες τῷ στρατηλάτῃ τ' ἐμοί.
εὖ νυν τόδ' ἴστε, Ζεὺς ὀμώμοσται πατὴρ,
ἤτοι μάραγνά γ' ἢ καρανιστὴς μόρος
μένει σε δρῶντα τοιάδ' ἢ τὸν Ἕκτορα
τὸ μηδὲν εἶναι καὶ κακὸν νομίζετε.

ΧΟΡΟΣ.

ἰὼ ἰώ.
μέγας ἐμοὶ μέγας * *.
ὦ πολιοῦχον κράτος,
τότ' ἄρ' ἔμολον, ὅτε σοι
ἄγγελος ἦλθον, ἀμφὶ
ναυσὶν πυραίθειν Ἀργείων στρατὸν,
ἐπεὶ ἄγρυπνον ὄμμ' ἐν εὐφρόνῃ
οὔτ' ἐκοίμισ' οὔτ' ἔβριξα, οὐ μὰ τὰς
Σιμοεντίδας πηγάς·
μή μοι κότον, ὦναξ, θῇς· ἀναίτιος γὰρ
ἐγὼ πάντων * *
ἢν δὲ χρόνῳ παρὰ καιρὸν ἔργον ἢ λόγον
πύθῃ, κατά με γᾶς
ζῶντα πόρευσον· οὐ παραιτοῦμαι.

ΗΝΙΟΧΟΣ.

τί τοῖσδ' ἀπειλεῖς, βάρβαρός τε βαρβάρου
γνώμην ὑφαιρεῖ τὴν ἐμὴν, πλέκων λόγους;
σὺ ταῦτ' ἔδρασας· οὐδέν' ἂν δεξαίμεθα

οὔθ' οἱ παθόντες οὔτ' ἂν οἱ τετρωμένοι
ἄλλον· μακροῦ γε δεῖ σε καὶ σοφοῦ λόγου,
ὅτῳ με πείσεις μὴ φίλους κατακτανεῖν,
ἵππων ἐρασθεὶς, ὧν ἕκατι συμμάχους
τοὺς σοὺς φονεύεις, πόλλ' ἐπισκήπτων μολεῖν.
ἦλθον, τεθνᾶσιν· εὐπρεπέστερον Πάρις
ξενίαν κατῄσχυν' ἢ σὺ συμμάχους κτανών.
μὴ γάρ τι λέξῃς ὥς τις Ἀργείων μολὼν
διώλεσ' ἡμᾶς· τίς δ' ὑπερβαλὼν λόχους
Τρώων ἐφ' ἡμᾶς ἦλθεν, ὥστε καὶ λαθεῖν;
σὺ πρόσθεν ἡμῶν ἧσο καὶ Φρυγῶν στρατός.
τίς οὖν τέτρωται, τίς τέθνηκε συμμάχων
τῶν σῶν, μολόντων ὡς σὺ πολεμίων λέγεις;
ἡμεῖς δὲ καὶ τετρώμεθ', οἱ δὲ μειζόνως
παθόντες οὐχ ὁρῶσιν ἡλίου φάος.
ἁπλῶς δ' Ἀχαιῶν οὐδέν' αἰτιώμεθα.
τίς δ' ἂν χαμεύνας πολεμίων κατ' εὐφρόνην
Ῥήσου μολὼν ἐξεῦρεν, εἰ μή τις θεῶν
ἔφραζε τοῖς κτανοῦσιν; οὐδ' ἀφιγμένον
τὸ πάμπαν ᾖσαν· ἀλλὰ μηχανᾷ τάδε.

ΕΚΤΩΡ.

χρόνον μὲν ἤδη συμμάχοισι χρώμεθα
ὅσονπερ ἐν γῇ τῇδ' Ἀχαϊκὸς λεώς,
κοὐδὲν πρὸς αὐτῶν οἶδα πλημμελὲς κλύων·
ἐν σοὶ δ' ἂν ἀρχοίμεσθα. μή μ' ἔρως ἕλοι
τοιοῦτος ἵππων ὥστ' ἀποκτείνειν φίλους.
καὶ ταῦτ' Ὀδυσσεύς· τίς γὰρ ἄλλος ἄν ποτε
ἔδρασεν ἢ 'βούλευσεν Ἀργείων ἀνήρ;
δέδοικα δ' αὐτόν. καί τί μου θράσσει φρένας
μὴ καὶ Δόλωνα συντυχὼν κατακτάνῃ·
χρόνον γὰρ ἤδη φροῦδος ὢν οὐ φαίνεται.

ΗΝΙΟΧΟΣ.

οὐκ οἶδα τοὺς σοὺς οὓς λέγεις Ὀδυσσέας·
ἡμεῖς δ' ὑπ' ἐχθρῶν οὐδενὸς πεπλήγμεθα.

ΕΚΤΩΡ.

σὺ δ' οὖν νόμιζε ταῦτ', ἐπείπερ σοι δοκεῖ.

ΗΝΙΟΧΟΣ.

ὦ γαῖα πατρὶς, πῶς ἂν ἐνθάνοιμί σοι.

ΕΚΤΩΡ.

μὴ θνῆσχ'· ἅλις γὰρ τῶν τεθνηκότων ὄχλος.

ΗΝΙΟΧΟΣ.

ποῖ δὴ τράπωμαι δεσποτῶν μονούμενος;

ΕΚΤΩΡ.

οἶκός σε κεύθων οὑμὸς ἐξιάσεται.

ΗΝΙΟΧΟΣ.

καὶ πῶς με κηδεύσουσιν αὐθεντῶν χέρες;

ΕΚΤΩΡ.

ὅδ' αὖ τὸν αὐτὸν μῦθον οὐ λήξει λέγων.

ΗΝΙΟΧΟΣ.

ὄλοιθ' ὁ δράσας. οὐ γὰρ ἐς σὲ τείνεται
γλῶσσ', ὡς σὺ κομπεῖς· ἡ Δίκη δ' ἐπίσταται.

ΕΚΤΩΡ.

λάζυσθ'· ἄγοντες αὐτὸν ἐς δόμους ἐμοὺς,
οὕτως ὅπως ἂν μὴ 'γκαλῇ πορσύνετε·
ὑμᾶς δ' ἰόντας τοῖσιν ἐν τείχει χρεὼν
Πριάμῳ τε καὶ γέρουσι σημῆναι νεκροὺς
θάπτειν κελεύειν λεωφόρους πρὸς ἐκτροπάς.

ΧΟΡΟΣ.

τί ποτ' εὐτυχίας ἐκ τῆς μεγάλης
Τροίαν ἀνάγει πάλιν εἰς πένθη
δαίμων ἄλλος, τί φυτεύων;
ἔα ἔα. ὢ ὤ.
τίς ὑπὲρ κεφαλῆς θεὸς, ὦ βασιλεῦ,
τὸν νεόκμητον νεκρὸν ἐν χειροῖν
φοράδην πέμπει;
ταρβῶ λεύσσων τόδε πῆμα.

ΜΟΥΣΑ.

ὁρᾶν πάρεστι, Τρῶες· ἡ γὰρ ἐν σοφοῖς
τιμὰς ἔχουσα Μοῦσα, συγγόνων μία,
πάρειμι, παῖδα τόνδ' ὁρῶσ' οἰκτρῶς φίλον
θανόνθ' ὑπ' ἐχθρῶν· ὅν ποθ' ὁ κτείνας χρ
δόλιος Ὀδυσσεὺς ἀξίαν τίσει δίκην.
ἰαλέμῳ αὐθιγενεῖ,
τέκνον, σ' ὀλοφύρομαι, ὦ
ματρὸς ἄλγος, οἵαν
ἔκελσας ὁδὸν ποτὶ Τροίαν,
ἦ δυσδαίμονα καὶ μελέαν
ἀπὸ μὲν φαμένας ἐμοῦ πορευθεὶς,
ἀπὸ δ' ἀντομένου πατρὸς, βιαίως.
ὤμοι ἐγὼ σέθεν. ὦ φιλία φιλία κεφαλὰ, τέκ
ὤμοι.

ΧΟΡΟΣ.

ὅσον προσήκει μὴ γένους κοινωνίαν
ἔχοντι, λύπῃ τὸν σὸν οἰκτείρω γόνον.

ΜΟΥΣΑ.

ὄλοιτο μὲν Οἰνεΐδας,
ὄλοιτο δὲ Λαρτιάδας,
ὅς μ' ἄπαιδα γέννας
ἔθηκεν ἀριστοτόκοιο·
ἅ θ' Ἑλένα προλιποῦσα δόμον
Φρυγίων λεχέων ἔπλευσε πλαθεῖσ',
ὑπ' Ἰλίῳ ὤλεσε μὲν σὲ κατὰ Τροίας,
φίλτατε, μυριάδας τε πόλεις ἀνδρῶν ἀγα
ἐκένωσεν.
ἦ πολλὰ μὲν ζῶν, πολλὰ δ' εἰς Ἅιδου μολ
Φιλάμμονος παῖ, τῆς ἐμῆς ἥψω φρενός·
ὕβρις γὰρ, ἥ σ' ἔσφηλε, καὶ Μουσῶν ἔρις
τεκεῖν μ' ἔθηκε τόνδε δύστηνον γόνον.
περῶσα γὰρ δὴ ποταμίους διὰ ῥοὰς
λέκτροις ἐπλάθην Στρυμόνος φυταλμίοις,
ὅτ' ἤλθομεν γῆς χρυσόβωλον ἐς λέπας
Πάγγαιον ὀργάνοισιν ἐξησκημέναι
Μοῦσαι μεγίστην εἰς ἔριν μελῳδίας
δεινῷ σοφιστῇ Θρῃκὶ, κἀτυφλώσαμεν
Θάμυριν, ὃς ἡμῶν πόλλ' ἐδέννασεν τέχνην.
κἀπεὶ σὲ τίκτω, συγγόνους αἰδουμένη
καὶ παρθενείαν, ἧκ' ἐς εὐύδρου πατρὸς
δίνας· τρέφειν δέ σ' οὐ βροτείαν ἐς χέρα
Στρυμὼν δίδωσιν, ἀλλὰ πηγαίαις κόραις.
ἔνθ' ἐκτραφεὶς κάλλιστα παρθένων ὕπο,
Θρῄκης ἀνάσσων πρῶτος ἦσθ' ἀνδρῶν, τέ
καί σ' ἀμφὶ γῆν μὲν πατρίαν φιλαιμάτους
ἀλκὰς κορύσσοντ' οὐκ ἐδείμαινον θανεῖν·
Τροίας δ' ἀπηύδων ἄστυ μὴ κέλσαι ποτὲ,
εἰδυῖα τὸν σὸν πότμον· ἀλλά σ' Ἕκτορος
πρεσβεύμαθ' αἵ τε μυρίαι γερουσίαι
ἔπεισαν ἐλθεῖν κἀπικουρῆσαι φίλοις.
καὶ τοῦδ' Ἀθάνα παντὸς αἰτία μόρου,
οὐδὲν δ' Ὀδυσσεὺς οὐδ' ὁ Τυδέως τόκος

895 — 903. = 906 — 914.

ἔδρασε δράσας, μὴ δόκει λεληθέναι.
καίτοι πόλιν σὴν σύγγονοι πρεσβεύομεν
Μοῦσαι μάλιστα, κἀπιχρώμεθα χθονὶ,
μυστηρίων τε τῶν ἀπορρήτων φανὰς
ἔδειξεν Ὀρφεὺς, αὐτανέψιος νεκροῦ
τοῦδ᾽ ὃν κατακτείνεις σύ· Μουσαῖόν τε, σὸν
σεμνὸν πολίτην κἀπὶ πλεῖστον ἄνδρ᾽ ἕνα
ἐλθόντα, Φοῖβος σύγγονοί τ᾽ ἠσκήσαμεν.
καὶ τῶνδε μισθὸν παῖδ᾽ ἔχουσ᾽ ἐν ἀγκάλαις
θρηνῶ· σοφιστὴν δ᾽ ἄλλον οὐκ ἐπάξομαι.

ΧΟΡΟΣ.

μάτην ἄρ᾽ ἡμᾶς Θρήκιος στρατηλάτης
ἐδέννασ᾽, Ἕκτορ, τῷδε βουλεῦσαι φόνον.

ΕΚΤΩΡ.

ᾔδη τάδ᾽· οὐδὲν μάντεως ἔδει φράσαι
Ὀδυσσέως τέχναισι τόνδ᾽ ὀλωλότα.
ἐγὼ δὲ γῆς ἔφεδρον Ἑλλήνων στρατὸν
λεύσσων, τί μὴν ἔμελλον οὐ πέμψειν φίλοις
κήρυκας, ἐλθεῖν κἀπικουρῆσαι χθονί;
ἔπεμψ᾽· ὀφείλων δ᾽ ἦλθε συμπονεῖν ἐμοί.
οὐ μὴν θανόντι γ᾽ οὐδαμῶς συνήδομαι.
καὶ νῦν ἕτοιμος τῷδε καὶ τεῦξαι τάφον
καὶ ξυμπυρῶσαι μυρίων πέπλων χλιδήν·
φίλος γὰρ ἐλθὼν δυστυχῶς ἀπέρχεται.

ΜΟΥΣΑ.

οὐκ εἶσι γαίας ἐς μελάγχιμον πέδον·
τοσόνδε Νύμφην τὴν ἔνερθ᾽ αἰτήσομαι
τῆς καρποποιοῦ παῖδα Δήμητρος θεᾶς,
ψυχὴν ἀνεῖναι τοῦδ᾽. ὀφειλέτις δέ μοι
τοὺς Ὀρφέως τιμῶσα φαίνεσθαι φίλους.
κἀμοὶ μὲν ὡς θανών τε κοὐ λεύσσων φάος
ἔσται τὸ λοιπόν· οὐ γὰρ ἐς ταυτόν ποτε
οὔτ᾽ εἶσιν οὔτε μητρὸς ὄψεται δέμας,
κρυπτὸς δ᾽ ἐν ἄντροις τῆς ὑπαργύρου χθονὸς
ἀνθρωποδαίμων κείσεται βλέπων φάος,
Βάκχου προφήτης ὥστε Παγγαίου πέτραν
ᾤκησε σεμνὸς τοῖσιν εἰδόσιν θεός.
βαιὸν δὲ πένθος τῆς θαλασσίας θεοῦ
οἴσω· θανεῖν γὰρ καὶ τὸν ἐκ κείνης χρεών.
θρήνοις δ᾽ ἀδελφαὶ πρῶτα μὲν σ᾽ ὑμνήσομεν,
ἔπειτ᾽ Ἀχιλλέα Θέτιδος ἐν πένθει ποτέ.
οὐ ῥύσεταί νιν Παλλὰς, ἥ σ᾽ ἀπέκτανε·
τοῖον φαρέτρα Λοξίου σώζει βέλος.
ὦ παιδοποιοὶ συμφοραὶ, πόνοι βροτῶν,
ὡς ὅστις ὑμᾶς μὴ κακῶς λογίζεται,
ἄπαις διοίσει κοὐ τεκὼν θάψει τέκνα.

ΧΟΡΟΣ.

οὗτος μὲν ἤδη μητρὶ κηδεύειν μέλει·
σὺ δ᾽ εἴ τι πράσσειν τῶν προκειμένων θέλεις,
Ἕκτορ, πάρεστι· φῶς γὰρ ἡμέρας τόδε.

ΕΚΤΩΡ.

χωρεῖτε, συμμάχους θ᾽ ὁπλίζεσθαι τάχος
ἄνωχθε· πληροῦτ᾽ αὐχένας ξυνωρίδων.
πανοὺς δ᾽ ἔχοντας χρὴ μένειν Τυρσηνικῆς
σάλπιγγος αὐδήν· ὡς ὑπερβαλὼν στρατὸν
τείχη τ᾽ Ἀχαιῶν ναυσὶν αἶθον ἐμβαλεῖν
πέποιθα Τρωσί θ᾽ ἡμέραν ἐλευθέραν
ἀκτῖνα τὴν στείχουσαν ἡλίου φέρειν.

ΧΟΡΟΣ.

πείθου βασιλεῖ· στείχωμεν ὅπλοις
κοσμησάμενοι, καὶ ξυμμαχίᾳ
τάδε φράζωμεν· τάχα δ᾽ ἂν νίκην
δοίη δαίμων ὁ μεθ᾽ ἡμῶν.

# ΕΥΡΙΠΙΔΟΥ ΜΗΔΕΙΑ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΤΡΟΦΟΣ.*
*ΠΑΙΔΑΓΩΓΟΣ.*
*ΜΗΔΕΙΑ.*
*ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ ΠΟΛΙΤΙΔΩΝ.*
*ΚΡΕΩΝ.*
*ΙΑΣΩΝ.*
*ΑΙΓΕΥΣ.*
*ΑΓΓΕΛΟΣ.*
*ΠΑΙΔΕΣ ΜΗΔΕΙΑΣ.*

## *ΥΠΟΘΕΣΙΣ.*

*Ἰάσων εἰς Κόρινθον ἐλθὼν, ἐπαγόμενος καὶ Μήδειαν, ἐγγυᾶται τὴν Κρέοντος τοῦ Κορινθίων βασιλέ*
*θυγατέρα Γλαύκην πρὸς γάμον. μέλλουσα δὲ ἡ Μήδεια φυγαδεύεσθαι ὑπὸ Κρέοντος ἐκ τῆς Κορίνθ*
*παραιτησαμένη πρὸς μίαν ἡμέραν μεῖναι, καὶ τυχοῦσα, μισθὸν τῆς χάριτος δῶρα διὰ τῶν παίδων πέμ*
*τῇ Γλαύκῃ ἐσθῆτα καὶ χρυσοῦν στέφανον, οἷς ἐκείνη χρησαμένη διαφθείρεται· καὶ ὁ Κρέων δὲ περιπ*
*κεὶς τῇ θυγατρὶ ἀπόλλυται. Μήδεια δὲ τοὺς ἑαυτῆς παῖδας ἀποκτείνασα ἐφ' ἅρματος δρακόντων πτερ*
*τῶν, ὃ παρ' Ἡλίου ἔλαβεν, ἔποχος γενομένη ἀποδιδράσκει εἰς Ἀθήνας, κἀκεῖσε Αἰγεῖ τῷ Πανδίονος γ*
*μεῖται. Φερεκύδης δὲ καὶ Σιμωνίδης φασὶν ὡς ἡ Μήδεια ἀνεψήσασα τὸν Ἰάσονα νέον ποιήσειε. περὶ*
*τοῦ πατρὸς αὐτοῦ Αἴσονος ὁ τοὺς Νόστους ποιήσας φησὶν οὕτως*

*Αὐτίκα δ' Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα,*
*γῆρας ἀποξύσασα ἰδυίῃσι πραπίδεσσι,*
*φάρμακα πόλλ' ἕψουσ' ἐπὶ χρυσείοισι λέβησιν.*

*Αἰσχύλος δ' ἐν ταῖς Διονύσου Τροφοῖς ἱστορεῖ ὅτι καὶ τὰς Διονύσου τροφοὺς μετὰ τῶν ἀνδρῶν αὐτ*
*ἀνεψήσασα ἐνεοποίησε. Στάφυλος δέ φησι τὸν Ἰάσονα τρόπον τινὰ ὑπὸ τῆς Μηδείας ἀναιρεθῆναι· ἐγ*
*λεύσασθαι γὰρ αὐτὴν ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς αὐτὸν κατακοιμηθῆναι, μελλούσης τῆς νεὼς διαλύεσ*
*ὑπὸ τοῦ χρόνου· ἐπιπεσούσης γοῦν τῆς πρύμνης τῷ Ἰάσονι τελευτῆσαι αὐτόν.*

*Τὸ δρᾶμα δοκεῖ ὑποβαλέσθαι τὰ Νεόφρονος διασκευάσας, ὡς Δικαίαρχός τε περὶ τοῦ Ἑλλά*
*βίου καὶ Ἀριστοτέλης ἐν ὑπομνήμασι. μέμφονται δὲ αὐτῷ τὸ μὴ πεφυλακέναι τὴν ὑπόκρισιν τῇ Μηδ*
*ἀλλὰ πεσεῖν εἰς δάκρυα, ὅτε ἐπεβούλευσεν Ἰάσονι καὶ τῇ γυναικί. ἐπαινεῖται δὲ ἡ εἰσβολὴ διὰ τὸ πα*
*τικῶς ἄγαν ἔχειν, καὶ ἡ ἐπεξεργασία, μηδ' ἐν νάπαισι, καὶ τὰ ἑξῆς. ὅπερ ἀγνοήσας Τιμαχίδας τῷ ὕστ*
*φησὶ πρώτῳ κεχρῆσθαι, ὡς καὶ Ὅμηρος,*

*εἵματά τ' ἀμφιέσασα θυώδεα καὶ λούσασα.*

## ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

*Μήδεια διὰ τὴν πρὸς Ἰάσονα ἔχθραν τῷ ἐκεῖνον γεγαμηκέναι Γλαύκην τὴν Κρέοντος θυγα*
*ἀπέκτεινε μὲν Γλαύκην καὶ Κρέοντα καὶ τοὺς ἰδίους υἱοὺς, ἐχωρίσθη δὲ Ἰάσονος Αἰγεῖ συνοικήσου*
*παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιία.*

*Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Κορίνθῳ, ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν πολιτί*
*ἐδιδάχθη ἐπὶ Πυθοδώρου ἄρχοντος κατὰ τὴν ὀγδοηκοστὴν ἑβδόμην ὀλυμπιάδα. πρῶτος Εὐφορίων, δε*
*ρος Σοφοκλῆς, τρίτος Εὐριπίδης. Μήδεια, Φιλοκτήτης, Δίκτυς, Θερισταὶ σάτυροι. οὐ σώζεται.*

# Μ Η Δ Ε Ι Α.

ΤΡΟΦΟΣ.

Εἴθ᾽ ὤφελ᾽ Ἀργοῦς μὴ διαπτάσθαι σκάφος
Κόλχων ἐς αἶαν κυανέας Συμπληγάδας,
μηδ᾽ ἐν νάπαισι Πηλίου πεσεῖν ποτε
τμηθεῖσα πεύκη, μηδ᾽ ἐρετμῶσαι χέρας
ἀνδρῶν ἀριστέων, οἳ τὸ πάγχρυσον δέρος
Πελίᾳ μετῆλθον. οὐ γὰρ ἂν δέσποιν᾽ ἐμὴ
Μήδεια πύργους γῆς ἔπλευσ᾽ Ἰωλκίας,
ἔρωτι θυμὸν ἐκπλαγεῖσ᾽ Ἰάσονος,
οὐδ᾽ ἂν κτανεῖν πείσασα Πελιάδας κόρας
πατέρα κατῴκει τήνδε γῆν Κορινθίαν
ξὺν ἀνδρὶ καὶ τέκνοισιν, ἁνδάνουσα μὲν
φυγῇ πολιτῶν ὧν ἀφίκετο χθόνα,
αὐτή τε πάντα συμφέρουσ᾽ Ἰάσονι,
ἥπερ μεγίστη γίγνεται σωτηρία,
ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ·
νῦν δ᾽ ἐχθρὰ πάντα, καὶ νοσεῖ τὰ φίλτατα.
προδοὺς γὰρ αὑτοῦ τέκνα δεσπότιν τ᾽ ἐμὴν
γάμοις Ἰάσων βασιλικοῖς εὐνάζεται,
γήμας Κρέοντος παῖδ᾽, ὃς αἰσυμνᾷ χθονός.
Μήδεια δ᾽ ἡ δύστηνος ἠτιμασμένη
βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιᾶς
πίστιν μεγίστην, καὶ θεοὺς μαρτύρεται
οἵας ἀμοιβῆς ἐξ Ἰάσονος κυρεῖ.
κεῖται δ᾽ ἄσιτος, σῶμ᾽ ὑφεῖσ᾽ ἀλγηδόσι,
τὸν πάντα συντήκουσα δακρύοις χρόνον,
ἐπεὶ πρὸς ἀνδρὸς ᾔσθετ᾽ ἠδικημένη,
οὔτ᾽ ὄμμ᾽ ἐπαίρουσ᾽ οὔτ᾽ ἀπαλλάσσουσα γῆς
πρόσωπον· ὡς δὲ πέτρος ἢ θαλάσσιος
κλύδων ἀκούει νουθετουμένη φίλων,
ἢν μή ποτε στρέψασα πάλλευκον δέρην
αὐτὴ πρὸς αὑτὴν πατέρ᾽ ἀποιμώζῃ φίλον
καὶ γαῖαν οἴκους θ᾽, οὓς προδοῦσ᾽ ἀφίκετο
μετ᾽ ἀνδρὸς ὅς σφε νῦν ἀτιμάσας ἔχει.
ἔγνωκε δ᾽ ἡ τάλαινα συμφορᾶς ὕπο
οἷον πατρῴας μὴ ᾽πολείπεσθαι χθονός.
στυγεῖ δὲ παῖδας οὐδ᾽ ὁρῶσ᾽ εὐφραίνεται.
δέδοικα δ᾽ αὐτὴν μή τι βουλεύσῃ νέον·
βαρεῖα γὰρ φρήν, οὐδ᾽ ἀνέξεται κακῶς
πάσχουσ᾽· ἐγᾦδα τήνδε, δειμαίνω τέ νιν
μὴ θηκτὸν ὤσῃ φάσγανον δι᾽ ἥπατος,
ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ,
κἄπειτα μείζω ξυμφορὰν λάβῃ τινά·
δεινὴ γάρ· οὔτοι ῥᾳδίως γε συμβαλὼν
ἔχθραν τις αὐτῇ καλλίνικον ᾄσεται.
ἀλλ᾽ οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι
στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι
κακῶν, νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

---

**Post 40 sequebatur**
σιγῇ δόμους ἐσβᾶσ᾽, ἵν᾽ ἔστρωται λέχος.

ΠΑΙΔΑΓΩΓΟΣ.

παλαιὸν οἴκων κτῆμα δεσποίνης ἐμῆς,
τί πρὸς πύλαισι τήνδ᾽ ἄγουσ᾽ ἐρημίαν
ἕστηκας, αὐτὴ θρεομένη σαυτῇ κακά;
πῶς σοῦ μόνη Μήδεια λείπεσθαι θέλει;

ΤΡΟΦΟΣ.

τέκνων ὀπαδὲ πρέσβυ τῶν Ἰάσονος,
χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
κακῶς πίτνοντα καὶ φρενῶν ἀνθάπτεται.
ἐγὼ γὰρ ἐς τοῦτ᾽ ἐκβέβηκ᾽ ἀλγηδόνος
ὥσθ᾽ ἵμερός μ᾽ ὑπῆλθε γῇ τε κοὐρανῷ
λέξαι μολούσῃ δεῦρο δεσποίνης τύχας.

ΠΑΙΔΑΓΩΓΟΣ.

οὔπω γὰρ ἡ τάλαινα παύεται γόων;

ΤΡΟΦΟΣ.

ζηλῶ σ᾽· ἐν ἀρχῇ πῆμα κοὐδέπω μεσοῖ.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὦ μῶρος, εἰ χρὴ δεσπότας εἰπεῖν τόδε·
ὡς οὐδὲν οἶδε τῶν νεωτέρων κακῶν.

ΤΡΟΦΟΣ.

τί δ᾽ ἔστιν, ὦ γεραιέ; μὴ φθόνει φράσαι.

ΠΑΙΔΑΓΩΓΟΣ.

οὐδέν· μετέγνων καὶ τὰ πρόσθ᾽ εἰρημένα.

ΤΡΟΦΟΣ.

μή, πρὸς γενείου, κρύπτε σύνδουλον σέθεν·
σιγὴν γάρ, εἰ χρή, τῶνδε θήσομαι πέρι.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἤκουσά του λέγοντος, οὐ δοκῶν κλύειν,
πεσσοὺς προσελθών, ἔνθα δὴ παλαίτατοι
θάσσουσι, σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ,
ὡς τούσδε παῖδας γῆς ἐλᾶν Κορινθίας
ξὺν μητρὶ μέλλοι τῆσδε κοίρανος χθονὸς
Κρέων. ὁ μέντοι μῦθος εἰ σαφὴς ὅδε
οὐκ οἶδα· βουλοίμην δ᾽ ἂν οὐκ εἶναι τόδε.

ΤΡΟΦΟΣ.

καὶ ταῦτ᾽ Ἰάσων παῖδας ἐξανέξεται
πάσχοντας, εἰ καὶ μητρὶ διαφορὰν ἔχει;

ΠΑΙΔΑΓΩΓΟΣ.

παλαιὰ καινῶν λείπεται κηδευμάτων,
κοὐκ ἔστ᾽ ἐκεῖνος τοῖσδε δώμασιν φίλος.

ΤΡΟΦΟΣ.

ἀπωλόμεσθ᾽ ἄρ᾽, εἰ κακὸν προσοίσομεν
νέον παλαιῷ, πρὶν τόδ᾽ ἐξηντληκέναι.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἀτὰρ σύ γ᾽, οὐ γὰρ καιρὸς εἰδέναι τάδε
δέσποιναν, ἡσύχαζε καὶ σίγα λόγον.

ΤΡΟΦΟΣ.

ὦ τέκν᾽, ἀκούεθ᾽ οἷος εἰς ὑμᾶς πατήρ;
ὄλοιτο μὲν μή· δεσπότης γάρ ἐστ᾽ ἐμός·
ἀτὰρ κακός γ᾽ ὢν ἐς φίλους ἁλίσκεται.

ΠΑΙΔΑΓΩΓΟΣ.

τίς δ᾽ οὐχὶ θνητῶν; ἄρτι γιγνώσκεις τόδε,

ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ,
οἱ μὲν δικαίως, οἱ δὲ καὶ κέρδους χάριν,
εἰ τούσδε γ' εὐνῆς οὕνεκ' οὐ στέργει πατήρ;

ΤΡΟΦΟΣ.

ἴτ', εὖ γὰρ ἔσται, δωμάτων ἔσω, τέκνα.
σὺ δ' ὡς μάλιστα τούσδ' ἐρημώσας ἔχε,
καὶ μὴ πέλαζε μητρὶ δυσθυμουμένῃ.
ἤδη γὰρ εἶδον ὄμμα νιν ταυρουμένην
τοῖσδ', ὥς τι δρασείουσαν· οὐδὲ παύσεται
χόλου, σάφ' οἶδα, πρὶν κατασκῆψαί τινα.
ἐχθρούς γε μέντοι, μὴ φίλους, δράσειέ τι.

ΜΗΔΕΙΑ.

ἰώ,
δύστανος ἐγὼ μελέα τε πόνων,
ἰώ μοί μοι, πῶς ἂν ὀλοίμαν.

ΤΡΟΦΟΣ.

τόδ' ἐκεῖνο, φίλοι παῖδες· μάτηρ
κινεῖ κραδίαν, κινεῖ δὲ χόλον.
σπεύσατε θᾶσσον δώματος εἴσω,
καὶ μὴ πελάσητ' ὄμματος ἐγγύς,
μηδὲ προσέλθητ', ἀλλὰ φυλάσσεσθ'
ἄγριον ἦθος στυγεράν τε φύσιν
φρενὸς αὐθάδους.
ἴτε νῦν χωρεῖθ' ὡς τάχος εἴσω.
δῆλον δ' ἀρχῆς ἐξαιρόμενον
νέφος οἰμωγῆς ὡς τάχ' ἀνάψει
μείζονι θυμῷ· τί ποτ' ἐργάσεται
μεγαλόσπλαγχνος δυσκατάπαυστος
ψυχὴ δηχθεῖσα κακοῖσιν;

ΜΗΔΕΙΑ.

αἰαῖ αἰαῖ,
ἔπαθον τλάμων ἔπαθον μεγάλων
ἄξι' ὀδυρμῶν· ὦ κατάρατοι
παῖδες ὄλοισθε στυγερᾶς ματρὸς
ξὺν πατρί, καὶ πᾶς δόμος ἔρροι.

ΤΡΟΦΟΣ.

ἰώ μοί μοι. ἰὼ τλήμων.
τί δέ σοι παῖδες πατρὸς ἀμπλακίας
μετέχουσι; τί τούσδ' ἔχθεις; οἴμοι,
τέκνα, μή τι πάθηθ' ὡς ὑπεραλγῶ.
δεινὰ τυράννων λήματα, καί πως
ὀλίγ' ἀρχόμενοι, πολλὰ κρατοῦντες,
χαλεπῶς ὀργὰς μεταβάλλουσιν.
τὸ γὰρ εἰθίσθαι ζῆν ἐπ' ἴσοισιν
κρεῖσσον· ἔμοιγ' οὖν, εἰ μὴ μεγάλως,
ὀχυρῶς γ' εἴη καταγηράσκειν.
τῶν γὰρ μετρίων πρῶτα μὲν εἰπεῖν
τοὔνομα νικᾷ, χρῆσθαί τε μακρῷ
λῷστα βροτοῖσιν· τὰ δ' ὑπερβάλλοντ'
οὐδένα καιρὸν δύναται θνατοῖς·
μείζους δ' ἄτας, ὅταν ὀργισθῇ
δαίμων, οἴκοις ἀπέδωκεν.

ΧΟΡΟΣ.

ἔκλυον φωνάν, ἔκλυον δὲ βοὰν
τᾶς δυστάνου
Κολχίδος, οὐδέ πω ἤπιος· ἀλλά, γεραιά,
λέξον· ἐπ' ἀμφιπύλου γὰρ ἔσω μελάθρου γόον
ἔκλυον·
οὐδὲ συνήδομαι, ὦ γύναι, ἄλγεσι δώματος,
ἐπεί μοι φίλον κέκρανται,

ΤΡΟΦΟΣ.

οὐκ εἰσὶ δόμοι· φροῦδα τάδ' ἤδη.
τὸν μὲν γὰρ ἔχει λέκτρα τυράννων,
ἡ δ' ἐν θαλάμοις τάκει βιοτὰν
δέσποινα, φίλων οὐδενὸς οὐδὲν
παραθαλπομένα φρένα μύθοις.

ΜΗΔΕΙΑ.

αἰαῖ,
διά μου κεφαλᾶς φλὸξ οὐρανία
βαίη· τί δέ μοι ζῆν ἔτι κέρδος;
φεῦ φεῦ· θανάτῳ καταλυσαίμαν,
βιοτὰν στυγερὰν προλιποῦσα.

ΧΟΡΟΣ.

ἄϊες, ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς,
ἀχὰν οἵαν ἁ δύστανος
μέλπει νύμφα;
τίς σοί ποτε τᾶς ἀπλήστου
κοίτας ἔρος, ὦ ματαία,
σπεύσει θανάτου τελευτάν;
μηδὲν τόδε λίσσου.
εἰ δὲ σὸς πόσις
καινὰ λέχη σεβίζει,
κείνῳ τόδε μὴ χαράσσου·
Ζεύς σοι τόδε συνδικήσει.
μὴ λίαν τάκου δυρομένα σὸν εὐνήταν.

ΜΗΔΕΙΑ.

ὦ μεγάλα Θέμι καὶ πότνι' Ἄρτεμι,
λεύσσεθ' ἃ πάσχω, μεγάλοις ὅρκοις
ἐνδησαμένα τὸν κατάρατον
πόσιν; ὅν ποτ' ἐγὼ νύμφαν τ' ἐσίδοιμ'
αὐτοῖς μελάθροις διακναιομένους,
οἵ γ' ἐμὲ πρόσθεν τολμῶσ' ἀδικεῖν.
ὦ πάτερ, ὦ πόλις, ὧν ἀπενάσθην
αἰσχρῶς, τὸν ἐμὸν κτείνασα κάσιν.

ΤΡΟΦΟΣ.

κλύεθ' οἷα λέγει κἀπιβοᾶται
Θέμιν εὐκταίαν Ζῆνά θ', ὃς ὅρκων
θνατοῖς ταμίας νενόμισται;
οὐκ ἔστιν ὅπως ἔν τινι μικρῷ
δέσποινα χόλον καταπαύσει.

ΧΟΡΟΣ.

πῶς ἂν ἐς ὄψιν τὰν ἁμετέραν
ἔλθοι, μύθων τ' αὐδαθέντων
δέξαιτ' ὀμφάν,
εἴ πως βαρύθυμον ὀργὰν
καὶ λῆμα φρενῶν μεθείη.
μήτοι τό γ' ἐμὸν πρόθυμον
φίλοισιν ἀπέστω.
ἀλλὰ βᾶσά νιν
δεῦρο πόρευσον οἴκων
ἔξω, φίλα καὶ τάδ' αὔδα·
σπεῦσον δέ τι πρὶν κακῶσαι
τοὺς εἴσω· πένθος γὰρ μεγάλως τόδ' ὁρμᾶ.

ΤΡΟΦΟΣ.

δράσω τάδ'· ἀτὰρ φόβος εἰ πείσω
δέσποιναν ἐμήν·
μόχθου δὲ χάριν τήνδ' ἐπιδώσω.
καίτοι τοκάδος δέργμα λεαίνης
ἀποταυροῦται δμωσίν, ὅταν τις

148—159. == 173—183.

μῦθον προφέρων πέλας ὁρμαθῇ.
σκαιοὺς δὲ λέγων κοὐδέν τι σοφοὺς
τοὺς πρόσθε βροτοὺς οὐκ ἂν ἁμάρτοις,
οἵτινες ὕμνους ἐπὶ μὲν θαλίαις
ἐπί τ᾽ εἰλαπίναις καὶ παρὰ δείπνοις
εὕροντο, βίου τερπνὰς ἀκοάς,
στυγίους δὲ βροτῶν οὐδεὶς λύπας
εὕρετο μούσῃ καὶ πολυχόρδοις
ᾠδαῖς παύειν, ἐξ ὧν θάνατοι
δειναί τε τύχαι σφάλλουσι δόμους.
καίτοι τάδε μὲν κέρδος ἀκεῖσθαι
μολπαῖσι βροτούς· ἵνα δ᾽ εὔδειπνοι
δαῖτες, τί μάτην τείνουσι βοάν;
τὸ παρὸν γὰρ ἔχει τέρψιν ἀφ᾽ αὑτοῦ
δαιτὸς πλήρωμα βροτοῖσιν.

ΧΟΡΟΣ.

ἰαχὰν ἄϊον πολύστονον γόων,
λιγυρὰ δ᾽ ἄχεα μογερὰ βοᾷ
τὸν ἐν λέχει προδόταν κακόνυμφον·
θεοκλυτεῖ δ᾽ ἄδικα παθοῦσα
τὰν Ζηνὸς ὁρκίαν Θέμιν, ἅ νιν ἔβασεν
Ἑλλάδ᾽ ἐς ἀντίπορον
δι᾽ ἅλα νύχιον ἐφ᾽ ἁλμυρὰν
πόντου κλῇδ᾽ ἀπέραντον.

ΜΗΔΕΙΑ.

Κορίνθιαι γυναῖκες, ἐξῆλθον δόμων,
μή μοί τι μέμψησθ᾽· οἶδα γὰρ πολλοὺς βροτῶν
σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο,
τοὺς δ᾽ ἐν θυραίοις· οἱ δ᾽ ἀφ᾽ ἡσύχου ποδὸς
δύσκλειαν ἐκτήσαντο καὶ ῥᾳθυμίαν.
δίκη γὰρ οὐκ ἔνεστ᾽ ἐν ὀφθαλμοῖς βροτῶν,
ὅστις πρὶν ἀνδρὸς σπλάγχνον ἐκμαθεῖν σαφῶς
στυγεῖ δεδορκώς, οὐδὲν ἠδικημένος.
χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει·
οὐδ᾽ ἀστὸν ᾔνεσ᾽ ὅστις αὐθάδης γεγὼς
πικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο.
ἐμοὶ δ᾽ ἄελπτον πρᾶγμα προσπεσὸν τόδε
ψυχὴν διέφθαρκ᾽· οἴχομαι δὲ καὶ βίου
χάριν μεθεῖσα κατθανεῖν χρῄζω, φίλαι.
ἐν ᾧ γὰρ ἦν μοι πάντα γιγνώσκειν καλῶς,
κάκιστος ἀνδρῶν ἐκβέβηχ᾽ οὑμὸς πόσις.
πάντων δ᾽ ὅσ᾽ ἔστ᾽ ἔμψυχα καὶ γνώμην ἔχει
γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν·
ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ
πόσιν πρίασθαι δεσπότην τε σώματος
λαβεῖν· κακοῦ γὰρ τοῦτ᾽ ἔτ᾽ ἄλγιον κακόν·
κἀν τῷδ᾽ ἀγὼν μέγιστος, ἢ κακὸν λαβεῖν
ἢ χρηστόν. οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαὶ
γυναιξὶν, οὐδ᾽ οἷόν τ᾽ ἀνήνασθαι πόσιν.
ἐς καινὰ δ᾽ ἤθη καὶ νόμους ἀφιγμένην
δεῖ μάντιν εἶναι, μὴ μαθοῦσαν οἴκοθεν,
ὅτῳ μάλιστα χρήσεται ξυνευνέτῃ.
κἂν μὲν τάδ᾽ ἡμῖν ἐκπονουμέναισιν εὖ
πόσις ξυνοικῇ, μὴ βίᾳ φέρων ζυγόν,
ζηλωτὸς αἰών· εἰ δὲ μή, θανεῖν χρεών.
ἀνὴρ δ᾽ ὅταν τοῖς ἔνδον ἄχθηται ξυνών,
ἔξω μολὼν ἔπαυσε καρδίαν ἄσης,
ἢ πρὸς φίλον τιν᾽ ἢ πρὸς ἥλικας τραπείς·
ἡμῖν δ᾽ ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν.
λέγουσι δ᾽ ἡμᾶς ὡς ἀκίνδυνον βίον
ζῶμεν κατ᾽ οἴκους, οἱ δὲ μάρνανται δορί,
κακῶς φρονοῦντες· ὡς τρὶς ἂν παρ᾽ ἀσπίδα
στῆναι θέλοιμ᾽ ἂν μᾶλλον ἢ τεκεῖν ἅπαξ.
ἀλλ᾽ οὐ γὰρ αὐτὸς πρὸς σὲ κἄμ᾽ ἥκει λόγος·
σοὶ μὲν πόλις θ᾽ ἥδ᾽ ἐστὶ καὶ πατρὸς δόμοι
βίου τ᾽ ὄνησις καὶ φίλων κοινωνία,
ἐγὼ δ᾽ ἔρημος, ἄπολις οὖσ᾽ ὑβρίζομαι
πρὸς ἀνδρὸς, ἐκ γῆς βαρβάρου λελῃσμένη,
οὐ μητέρ᾽, οὐκ ἀδελφὸν, οὐχὶ συγγενῆ
μεθορμίσασθαι τῆσδ᾽ ἔχουσα συμφορᾶς.
τοσοῦτον οὖν σου τυγχάνειν βουλήσομαι,
ἤν μοι πόρος τις μηχανή τ᾽ ἐξευρεθῇ,
πόσιν δίκην τῶνδ᾽ ἀντιτίσασθαι κακῶν
τὸν δόντα τ᾽ αὐτῷ θυγατέρ᾽ ἥν τ᾽ ἐγήματο,
σιγᾶν. γυνὴ γὰρ τἄλλα μὲν φόβου πλέα,
κακή δ᾽ ἐς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν·
ὅταν δ᾽ ἐς εὐνὴν ἠδικημένη κυρῇ,
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.

ΧΟΡΟΣ.

δράσω τάδ᾽· ἐνδίκως γὰρ ἐκτίσει πόσιν,
Μήδεια. πενθεῖν δ᾽ οὔ σε θαυμάζω τύχας.
ὁρῶ δὲ καὶ Κρέοντα, τῆσδ᾽ ἄνακτα γῆς,
στείχοντα, καινῶν ἄγγελον βουλευμάτων.

ΚΡΕΩΝ.

σὲ τὴν σκυθρωπὸν καὶ πόσει θυμουμένην,
Μήδειαν, εἶπον τῆσδε γῆς ἔξω περᾶν
φυγάδα, λαβοῦσαν δισσὰ σὺν σαυτῇ τέκνα,
καὶ μή τι μέλλειν· ὡς ἐγὼ βραβεὺς λόγου
τοῦδ᾽ εἰμὶ, κοὐκ ἄπειμι πρὸς δόμους πάλιν,
πρὶν ἄν σε γαίας τερμόνων ἔξω βάλω.

ΜΗΔΕΙΑ.

αἰαῖ· πανώλης ἡ τάλαιν᾽ ἀπόλλυμαι.
ἐχθροὶ γὰρ ἐξιᾶσι πάντα δὴ κάλων,
κοὐκ ἔστιν ἄτης εὐπρόσοιστος ἔκβασις.
ἐρήσομαι δὲ καὶ κακῶς πάσχουσ᾽ ὅμως,
τίνος μ᾽ ἕκατι γῆς ἀποστέλλεις, Κρέον;

ΚΡΕΩΝ.

δέδοικά σ᾽, οὐδὲν δεῖ παραμπίσχειν λόγους,
μή μοί τι δράσῃς παῖδ᾽ ἀνήκεστον κακόν.
ξυμβάλλεται δὲ πολλὰ τοῦδε δείματος·
σοφὴ πέφυκας καὶ κακῶν πολλῶν ἴδρις,
λυπεῖ δὲ λέκτρων ἀνδρὸς ἐστερημένη.
κλύω δ᾽ ἀπειλεῖν σ᾽, ὡς ἀπαγγέλλουσί μοι,
τὸν δόντα καὶ γήμαντα καὶ γαμουμένην
δράσειν τι· ταῦτ᾽ οὖν πρὶν παθεῖν φυλάξομαι.
κρεῖσσον δέ μοι νῦν πρός σ᾽ ἀπεχθέσθαι, γύναι,
ἢ μαλθακισθένθ᾽ ὕστερον μέγα στένειν.

ΜΗΔΕΙΑ.

φεῦ φεῦ·
οὐ νῦν με πρῶτον, ἀλλὰ πολλάκις, Κρέον,
ἔβλαψε δόξα μεγάλα τ᾽ εἴργασται κακά.
χρὴ δ᾽ οὔποθ᾽ ὅστις ἀρτίφρων πέφυκ᾽ ἀνὴρ
παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς·
χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας
φθόνον πρὸς ἀστῶν ἀλφάνουσι δυσμενῆ.
σκαιοῖσι μὲν γὰρ καινὰ προσφέρων σοφὰ
δόξεις ἀχρεῖος κοὐ σοφὸς πεφυκέναι·
τῶν δ᾽ αὖ δοκούντων εἰδέναι τι ποικίλον
κρείσσων νομισθεὶς λυπρὸς ἐν πόλει φανεῖ.
ἐγὼ δὲ καὐτὴ τῆσδε κοινωνῶ τύχης.

σοφὴ γὰρ οὖσα τοῖς μὲν εἰμ' ἐπίφθονος,
τοῖς δ' αὖ προσάντης· εἰμὶ δ' οὐκ ἄγαν σοφή.
σὺ δ' οὖν φοβεῖ με μή τι πλημμελὲς πάθης.
οὐχ ὧδ' ἔχει μοι, μὴ τρέσῃς ἡμᾶς, Κρέον,
ὥστ' ἐς τυράννους ἄνδρας ἐξαμαρτάνειν.
σὺ γὰρ τί μ' ἠδίκηκας; ἐξέδου κόρην
ὅτῳ σε θυμὸς ἦγεν. ἀλλ' ἐμὸν πόσιν
μισῶ· σὺ δ', οἶμαι, σωφρονῶν ἔδρας τάδε.
καὶ νῦν τὸ μὲν σὸν οὐ φθονῶ καλῶς ἔχειν.
νυμφεύετ', εὖ πράσσοιτε· τήνδε δὲ χθόνα
ἐᾶτέ μ' οἰκεῖν· καὶ γὰρ ἠδικημένοι
σιγησόμεσθα, κρεισσόνων νικώμενοι.

ΚΡΕΩΝ.

λέγεις ἀκοῦσαι μαλθάκ', ἀλλ' ἔσω φρενῶν
ὀρρωδία μοι μή τι βουλεύῃς κακόν,
τοσῷδε δ' ἧσσον ἢ πάρος πέποιθά σοι·
γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνήρ,
ῥᾴων φυλάσσειν ἢ σιωπηλὸς σοφός.
ἀλλ' ἔξιθ' ὡς τάχιστα, μὴ λόγους λέγε·
ὡς ταῦτ' ἄραρε, κοὐκ ἔχεις τέχνην ὅπως
μενεῖς παρ' ἡμῖν, οὖσα δυσμενὴς ἐμοί.

ΜΗΔΕΙΑ.

μή, πρός σε γονάτων τῆς τε νεογάμου κόρης.

ΚΡΕΩΝ.

λόγους ἀναλοῖς· οὐ γὰρ ἂν πείσαις ποτέ.

ΜΗΔΕΙΑ.

ἀλλ' ἐξελᾷς με, κοὐδὲν αἰδέσει λιτάς;

ΚΡΕΩΝ.

φιλῶ γὰρ οὐ σὲ μᾶλλον ἢ δόμους ἐμούς.

ΜΗΔΕΙΑ.

ὦ πατρίς, ὥς σου κάρτα νῦν μνείαν ἔχω.

ΚΡΕΩΝ.

πλὴν γὰρ τέκνων ἔμοιγε φίλτατον πόλις.

ΜΗΔΕΙΑ.

φεῦ φεῦ· βροτοῖς ἔρωτες ὡς κακὸν μέγα.

ΚΡΕΩΝ.

ὅπως ἄν, οἶμαι, καὶ παραστῶσιν τύχαι.

ΜΗΔΕΙΑ.

Ζεῦ, μὴ λάθοι σε τῶνδ' ὃς αἴτιος κακῶν.

ΚΡΕΩΝ.

ἕρπ', ὦ ματαία, καί μ' ἀπάλλαξον πόνων.

ΜΗΔΕΙΑ.

πονοῦμεν ἡμεῖς κοὐ πόνων κεχρήμεθα.

ΚΡΕΩΝ.

τάχ' ἐξ ὀπαδῶν χειρὸς ὠσθήσει βίᾳ.

ΜΗΔΕΙΑ.

μὴ δῆτα τοῦτό γ', ἀλλά σ' αἰτοῦμαι, Κρέον.

ΚΡΕΩΝ.

ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι.

ΜΗΔΕΙΑ.

φευξούμεθ'· οὐ τοῦθ' ἱκέτευσα σοῦ τυχεῖν.

ΚΡΕΩΝ.

τί δ' οὖν βιάζει κοὐκ ἀπαλλάσσει χθονός;

ΜΗΔΕΙΑ.

μίαν με μεῖναι τήνδ' ἔασον ἡμέραν
καὶ ξυμπερᾶναι φροντίδ' ᾗ φευξούμεθα,
παισίν τ' ἀφορμὴν τοῖς ἐμοῖς, ἐπεὶ πατὴρ
οὐδὲν προτιμᾷ μηχανήσασθαι τέκνοις.
οἴκτειρε δ' αὐτούς· καὶ σύ τοι παίδων πατὴρ
πέφυκας· εἰκὸς δ' ἐστὶν εὔνοιάν σ' ἔχειν.
τοὐμοῦ γὰρ οὔ μοι φροντίς, εἰ φευξούμεθα,
κείνους δὲ κλαίω ξυμφορᾷ κεχρημένους.

ΚΡΕΩΝ.

ἥκιστα τοὐμὸν λῆμ' ἔφυ τυραννικόν,
αἰδούμενος δὲ πολλὰ δὴ διέφθορα·
καὶ νῦν ὁρῶ μὲν ἐξαμαρτάνων, γύναι,
ὅμως δὲ τεύξει τοῦδε· προὐννέπω δέ σοι,
εἴ σ' ἡ 'πιοῦσα λαμπὰς ὄψεται θεοῦ
καὶ παῖδας ἐντὸς τῆσδε τερμόνων χθονός,
θανεῖ· λέλεκται μῦθος ἀψευδὴς ὅδε.
νῦν δ', εἰ μένειν δεῖ, μίμν' ἐφ' ἡμέραν μίαν·
οὐ γάρ τι δράσεις δεινὸν ὧν φόβος μ' ἔχει.

ΧΟΡΟΣ.

δύστανε γύναι,
φεῦ φεῦ, μελέα τῶν σῶν ἀχέων.
ποῖ ποτε τρέψει; τίνα προξενίαν,
ἢ δόμον, ἢ χθόνα σωτῆρα κακῶν
ἐξευρήσεις;
ὡς εἰς ἄπορόν σε κλύδωνα θεός,
Μήδεια, κακῶν ἐπόρευσε.

ΜΗΔΕΙΑ.

κακῶς πέπρακται πανταχῇ· τίς ἀντερεῖ;
ἀλλ' οὔτι ταύτῃ ταῦτα, μὴ δοκεῖτέ πω.
ἔτ' εἴσ' ἀγῶνες τοῖς νεωστὶ νυμφίοις,
καὶ τοῖσι κηδεύσασιν οὐ σμικροὶ πόνοι.
δοκεῖς γὰρ ἄν με τόνδε θωπεῦσαί ποτ' ἄν,
εἰ μή τι κερδαίνουσαν ἢ τεχνωμένην;
οὐδ' ἂν προσεῖπον οὐδ' ἂν ἡψάμην χεροῖν.
ὁ δ' ἐς τοσοῦτον μωρίας ἀφίκετο
ὥστ', ἐξὸν αὐτῷ τἄμ' ἑλεῖν βουλεύματα
γῆς ἐκβαλόντι, τήνδ' ἀφῆκεν ἡμέραν
μεῖναί μ', ἐν ᾗ τρεῖς τῶν ἐμῶν ἐχθρῶν νεκροὺς
θήσω, πατέρα τε καὶ κόρην πόσιν τ' ἐμόν.
πολλὰς δ' ἔχουσα θανασίμους αὐτοῖς ὁδούς,
οὐκ οἶδ' ὁποίᾳ πρῶτον ἐγχειρῶ, φίλαι,
πότερον ὑφάψω δῶμα νυμφικὸν πυρί,
ἢ θηκτὸν ὤσω φάσγανον δι' ἥπατος,
σιγῇ δόμους ἐσβᾶσ' ἵν' ἔστρωται λέχος.
ἀλλ' ἕν τί μοι πρόσαντες· εἰ ληφθήσομαι
δόμους ὑπερβαίνουσα καὶ τεχνωμένη,
θανοῦσα θήσω τοῖς ἐμοῖς ἐχθροῖς γέλων.
κράτιστα τὴν εὐθεῖαν, ᾗ πεφύκαμεν
σοφαὶ μάλιστα, φαρμάκοις αὐτοὺς ἑλεῖν.
εἶεν·
καὶ δὴ τεθνᾶσι· τίς με δέξεται πόλις;
τίς γῆν ἄσυλον καὶ δόμους ἐχεγγύους
ξένος παρασχὼν ῥύσεται τοὐμὸν δέμας;
οὐκ ἔστι. μείνασ' οὖν ἔτι σμικρὸν χρόνον,
ἢν μέν τις ἡμῖν πύργος ἀσφαλὴς φανῇ,
δόλῳ μέτειμι τόνδε καὶ σιγῇ φόνον,
ἢν δ' ἐξελαύνῃ ξυμφορά μ' ἀμήχανος,
αὐτὴ ξίφος λαβοῦσα, κεἰ μέλλω θανεῖν,
κτενῶ σφε, τόλμης δ' εἶμι πρὸς τὸ καρτερόν.
οὐ γὰρ μὰ τὴν δέσποιναν, ἣν ἐγὼ σέβω
μάλιστα πάντων καὶ ξυνεργὸν εἱλόμην,
Ἑκάτην, μυχοῖς ναίουσαν ἑστίας ἐμῆς,
χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.

---

**Post 303.** sequebatur
τοῖς δ' ἡσυχαία, τοῖς δὲ θατέρου τρόπου.

πικροὺς δ' ἐγώ σφι καὶ λυγροὺς θήσω γάμους,
πικρὸν δὲ κῆδος καὶ φυγὰς ἐμὰς χθονός.
ἀλλ' εἶα· φείδου μηδὲν ὧν ἐπίστασαι,
Μήδεια, βουλεύουσα καὶ τεχνωμένη·
ἕρπ' ἐς τὸ δεινόν· νῦν ἀγὼν εὐψυχίας.
ὁρᾷς ἃ πάσχεις; οὐ γέλωτα δεῖ σ' ὀφλεῖν
τοῖς Σισυφείοις τοῖς τ' Ἰάσονος γάμοις,
γεγῶσαν ἐσθλοῦ πατρὸς Ἡλίου τ' ἄπο.
ἐπίστασαι δέ· πρὸς δὲ καὶ πεφύκαμεν
γυναῖκες, ἐς μὲν ἔσθλ' ἀμηχανώταται,
κακῶν δὲ πάντων τέκτονες σοφώταται.

ΧΟΡΟΣ.

ἄνω ποταμῶν ἱερῶν χωροῦσι παγαί,
καὶ δίκα καὶ πάντα πάλιν στρέφεται.
ἀνδράσι μὲν δόλιαι βουλαὶ, θεῶν δ'
οὐκέτι πίστις ἄραρε.
τὰν δ' ἐμὰν εὔκλειαν ἔχειν βιοτὰν στρέψουσι φᾶμαι.
ἔρχεται τιμὰ γυναικείῳ γένει·
οὐκέτι δυσκέλαδος φάμα γυναῖκας ἕξει.
μοῦσαι δὲ παλαιγενέων λήξουσ' ἀοιδᾶν
τὰν ἐμὰν ὑμνεῦσαι ἀπιστοσύναν.
οὐ γὰρ ἐν ἁμετέρᾳ γνώμᾳ λύρας
ὤπασε θέσπιν ἀοιδὰν
Φοῖβος, ἁγήτωρ μελέων· ἐπεὶ ἀντάχησ' ἂν ὕμνον
ἀρσένων γέννᾳ· μακρὸς δ' αἰὼν ἔχει
πολλὰ μὲν ἁμετέραν ἀνδρῶν τε μοῖραν εἰπεῖν.
σὺ δ' ἐκ μὲν οἴκων πατρῴων ἔπλευσας
μαινομένᾳ κραδίᾳ, διδύμους ὁρίσασα πόντου
πέτρας· ἐπὶ δὲ ξένᾳ
ναίεις χθονὶ, τᾶς ἀνάνδρου
κοίτας ὀλέσασα λέκτρον
τάλαινα, φυγὰς δὲ χώρας
ἄτιμος ἐλαύνει.
βέβακε δ' ὅρκων χάρις, οὐδ' ἔτ' αἰδὼς
Ἑλλάδι τᾷ μεγάλᾳ μένει, αἰθερία δ' ἀνέπτα.
σοὶ δ' οὔτε πατρὸς δόμοι,
δύστανε, μεθορμίσασθαι
μόχθων πάρα, σῶν δὲ λέκτρων
ἄλλα βασίλεια κρείσσων
δόμοισιν ἐπέστα.

ΙΑΣΩΝ.

οὐ νῦν κατεῖδον πρῶτον, ἀλλὰ πολλάκις
τραχεῖαν ὀργὴν ὡς ἀμήχανον κακόν.
σοὶ γὰρ παρὸν γῆν τήνδε καὶ δόμους ἔχειν,
κούφως φερούσῃ κρεισσόνων βουλεύματα,
λόγων ματαίων οὕνεκ' ἐκπεσεῖ χθονός.
κἀμοὶ μὲν οὐδὲν πρᾶγμα· μὴ παύσῃ ποτὲ
λέγουσ' Ἰάσων ὡς κάκιστός ἐστ' ἀνήρ·
ἃ δ' ἐς τυράννους ἐστί σοι λελεγμένα,
πᾶν κέρδος ἡγοῦ ζημιουμένη φυγῇ.
κἀγὼ μὲν ἀεὶ βασιλέων θυμουμένων
ὀργὰς ἀφῄρουν, καί σ' ἐβουλόμην μένειν·
σὺ δ' οὐκ ἀνίης μωρίας, λέγουσ' ἀεὶ
κακῶς τυράννους· τοιγὰρ ἐκπεσεῖ χθονός.
ὅμως δὲ κἀκ τῶνδ' οὐκ ἀπειρηκὼς φίλοις
ἥκω, τὸ σόν γε προσκοπούμενος, γύναι,
ὡς μήτ' ἀχρήμων ξὺν τέκνοισιν ἐκπέσῃς
μήτ' ἐνδεής του. πόλλ' ἐφέλκεται φυγὴ
κακὰ ξὺν αὑτῇ· καὶ γὰρ εἰ σύ με στυγεῖς,
οὐκ ἂν δυναίμην σοὶ κακῶς φρονεῖν ποτε.

ΜΗΔΕΙΑ.

ὦ παγκάκιστε, τοῦτο γάρ σ' εἰπεῖν ἔχω
γλώσσῃ μέγιστον εἰς ἀνανδρίαν κακὸν,
ἦλθες πρὸς ἡμᾶς, ἦλθες, ἔχθιστος γεγώς;
οὔτοι θράσος τόδ' ἐστὶν οὐδ' εὐτολμία,
φίλους κακῶς δράσαντ' ἐναντίον βλέπειν,
ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
πασῶν, ἀναίδει'· εὖ δ' ἐποίησας μολών.
ἐγώ τε γὰρ λέξασα κουφισθήσομαι
ψυχὴν κακῶς σε καὶ σὺ λυπήσει κλύων.
ἐκ τῶν δὲ πρώτων πρῶτον ἄρξομαι λέγειν.
ἔσωσά σ', ὡς ἴσασιν Ἑλλήνων ὅσοι
ταὐτὸν ξυνεισέβησαν Ἀργῷον σκάφος,
πεμφθέντα ταύρων πυρπνόων ἐπιστάτην
ζεύγλαισι, καὶ σπεροῦντα θανάσιμον γύην·
δράκοντά θ', ὃς πάγχρυσον ἀμφέπων δέρας
σπείραις ἔσωζε πολυπλόκοις ἄϋπνος ὤν,
κτείνασ' ἀνέσχον σοὶ φάος σωτήριον.
αὐτὴ δὲ πατέρα καὶ δόμους προδοῦσ' ἐμοὺς
τὴν Πηλιῶτιν εἰς Ἰωλκὸν ἱκόμην
ξὺν σοὶ, πρόθυμος μᾶλλον ἢ σοφωτέρα,
Πελίαν τ' ἀπέκτειν', ὥσπερ ἄλγιστον θανεῖν,
παίδων ὑπ' αὐτοῦ, πάντα δ' ἐξεῖλον φόβον.
καὶ ταῦθ' ὑφ' ἡμῶν, ὦ κάκιστ' ἀνδρῶν, παθὼν
προὔδωκας ἡμᾶς, καινὰ δ' ἐκτήσω λέχη,
παίδων γεγώτων· εἰ γὰρ ἦσθ' ἄπαις ἔτι,
συγγνώστ' ἂν ἦν σοι τοῦδ' ἐρασθῆναι λέχους.
ὅρκων δὲ φρούδη πίστις, οὐδ' ἔχω μαθεῖν
εἰ θεοὺς νομίζεις τοὺς τότ' οὐκ ἄρχειν ἔτι,
ἢ καινὰ κεῖσθαι θέσμ' ἐν ἀνθρώποις τανῦν,
ἐπεὶ ξύνοισθά γ' εἰς ἔμ' οὐκ εὔορκος ὤν.
φεῦ δεξιὰ χεὶρ, ἧς σὺ πόλλ' ἐλαμβάνου,
καὶ τῶνδε γονάτων, ὡς μάτην κεχρῴσμεθα
κακοῦ πρὸς ἀνδρὸς, ἐλπίδων δ' ἡμάρτομεν.
ἄγ', ὡς φίλῳ γὰρ ὄντι σοι κοινώσομαι,
δοκοῦσα μή τι πρός γε σοῦ πράξειν καλῶς,
ὅμως δ'· ἐρωτηθεὶς γὰρ αἰσχίων φανεῖ.
νῦν ποῖ τράπωμαι; πότερα πρὸς πατρὸς δόμους,
οὓς σοὶ προδοῦσα καὶ πάτραν ἀφικόμην;
ἢ πρὸς ταλαίνας Πελιάδας; καλῶς γ' ἂν οὖν
δέξαιντό μ' οἴκοις ὧν πατέρα κατέκτανον.
ἔχει γὰρ οὕτω· τοῖς μὲν οἴκοθεν φίλοις
ἐχθρὰ καθέστηχ', οὓς δέ μ' οὐκ ἐχρῆν κακῶς
δρᾶν, σοὶ χάριν φέρουσα πολεμίους ἔχω.
τοιγάρ με πολλαῖς μακαρίαν ἀν' Ἑλλάδα
ἔθηκας ἀντὶ τῶνδε· θαυμαστὸν δέ σε
ἔχω πόσιν καὶ πιστὸν ἡ τάλαιν' ἐγὼ,
εἰ φεύξομαί γε γαῖαν ἐκβεβλημένη,
φίλων ἔρημος, ξὺν τέκνοις μόνη μόνοις,
καλόν γ' ὄνειδος τῷ νεωστὶ νυμφίῳ,
πτωχοὺς ἀλᾶσθαι παῖδας ἥ τ' ἔσωσά σε.
ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν ὃς κίβδηλος ᾖ
τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ,
ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι;

410—420. == 421—430.
431—438. == 439—446.

---

Post 467. sequebatur
θεοῖς τε κἀμοὶ παντί τ' ἀνθρώπων γένει.

ΧΟΡΟΣ.

δεινή τις ὀργὴ καὶ δυσίατος πέλει,
ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.

ΙΑΣΩΝ.

δεῖ μ', ὡς ἔοικε, μὴ κακὸν φῦναι λέγειν,
ἀλλ' ὥστε ναὸς κεδνὸν οἰακοστρόφον
ἄκροισι λαίφους κρασπέδοις ὑπεκδραμεῖν
τὴν σὴν στόμαργον, ὦ γύναι, γλωσσαλγίαν.
ἐγὼ δ', ἐπειδὴ καὶ λίαν πυργοῖς χάριν,
Κύπριν νομίζω τῆς ἐμῆς ναυκληρίας
σώτειραν εἶναι θεῶν τε κἀνθρώπων μόνην.
σοὶ δ' ἔστι μὲν νοῦς λεπτὸς, ἀλλ' ἐπίφθονος
λόγος διελθεῖν, ὡς Ἔρως σ' ἠνάγκασε
τόξοις ἀφύκτοις τοὐμὸν ἐκσῶσαι δέμας.
ἀλλ' οὐκ ἀκριβῶς αὐτὸ θήσομαι λίαν·
ὅπη γὰρ οὖν ὤνησας, οὐ κακῶς ἔχει.
μείζω γε μέντοι τῆς ἐμῆς σωτηρίας
εἴληφας ἢ δέδωκας, ὡς ἐγὼ φράσω.
πρῶτον μὲν Ἑλλάδ' ἀντὶ βαρβάρου χθονὸς
γαῖαν κατοικεῖς, καὶ δίκην ἐπίστασαι
νόμοις τε χρῆσθαι, μὴ πρὸς ἰσχύος χάριν·
πάντες δέ σ' ᾔσθοντ' οὖσαν Ἕλληνες σοφὴν,
καὶ δόξαν ἔσχες· εἰ δὲ γῆς ἐπ' ἐσχάτοις
ὅροισιν ᾤκεις, οὐκ ἂν ἦν λόγος σέθεν.
εἴη δ' ἔμοιγε μήτε χρυσὸς ἐν δόμοις
μήτ' Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος,
εἰ μὴ 'πίσημος ἡ τύχη γένοιτό μοι.
τοσαῦτα μέντοι τῶν ἐμῶν πόνων πέρι
ἔλεξ'· ἅμιλλαν γὰρ σὺ προὔθηκας λόγων.
ἃ δ' ἐς γάμους μοι βασιλικοὺς ὠνείδισας,
ἐν τῷδε δείξω πρῶτα μὲν σοφὸς γεγὼς,
ἔπειτα σώφρων, εἶτα σοὶ μέγας φίλος
καὶ παισὶ τοῖς ἐμοῖσιν· ἀλλ' ἔχ' ἥσυχος.
ἐπεὶ μετέστην δεῦρ' Ἰωλκίας χθονὸς
πολλὰς ἐφέλκων ξυμφορὰς ἀμηχάνους,
τί τοῦδ' ἂν εὕρημ' εὗρον εὐτυχέστερον
ἢ παῖδα γῆμαι βασιλέως φυγὰς γεγώς;
οὐχ, ᾗ σὺ κνίζει, σὸν μὲν ἐχθαίρων λέχος,
καινῆς δὲ νύμφης ἱμέρῳ πεπληγμένος,
οὐδ' εἰς ἅμιλλαν πολύτεκνον σπουδὴν ἔχων·
ἅλις γὰρ οἱ γεγῶτες οὐδὲ μέμφομαι·
ἀλλ' ὡς, τὸ μὲν μέγιστον, οἰκοῖμεν καλῶς,
καὶ μὴ σπανιζοίμεσθα, γιγνώσκων ὅτι
πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος,
παῖδας δὲ θρέψαιμ' ἀξίως δόμων ἐμῶν,
σπείρας τ' ἀδελφοὺς τοῖσιν ἐκ σέθεν τέκνοις
ἐς ταὐτὸ θείην, καὶ ξυναρτήσας γένος
εὐδαιμονοίην. σοί τε γὰρ παίδων τί δεῖ,
ἐμοί τε λύει τοῖσι μέλλουσιν τέκνοις
τὰ ζῶντ' ὀνῆσαι. μῶν βεβούλευμαι κακῶς;
οὐδ' ἂν σὺ φαίης, εἴ σε μὴ κνίζοι λέχος.
ἀλλ' ἐς τοσοῦτον ἥκεθ' ὥστ' ὀρθουμένης
εὐνῆς γυναῖκες πάντ' ἔχειν νομίζετε,
ἢν δ' αὖ γένηται ξυμφορά τις ἐς λέχος,
τὰ λῷστα καὶ κάλλιστα πολεμιώτατα
τίθεσθε. χρῆν γὰρ ἄλλοθέν ποθεν βροτοὺς
παῖδας τεκνοῦσθαι, θῆλυ δ' οὐκ εἶναι γένος·
χοὕτως ἂν οὐκ ἦν οὐδὲν ἀνθρώποις κακόν.

ΧΟΡΟΣ.

Ἴασον, εὖ μὲν τούσδ' ἐκόσμησας λόγους·
ὅμως δ' ἔμοιγε, κεἰ παρὰ γνώμην ἐρῶ,
δοκεῖς προδοὺς σὴν ἄλοχον οὐ δίκαια δρᾶν.

ΜΗΔΕΙΑ.

ἦ πολλὰ πολλοῖς εἰμι διάφορος βροτῶν.
ἐμοὶ γὰρ ὅστις ἄδικος ὢν σοφὸς λέγειν
πέφυκε, πλείστην ζημίαν ὀφλισκάνει·
γλώσσῃ γὰρ αὐχῶν τἄδικ' εὖ περιστελεῖν,
τολμᾷ πανουργεῖν· ἔστι δ' οὐκ ἄγαν σοφός.
ὡς καὶ σὺ μὴ νῦν εἰς ἔμ' εὐσχήμων γένῃ
λέγειν τε δεινός· ἓν γὰρ ἐκτενεῖ σ' ἔπος.
χρῆν σ', εἴπερ ἦσθα μὴ κακὸς, πείσαντά με
γαμεῖν γάμον τόνδ', ἀλλὰ μὴ σιγῇ φίλων.

ΙΑΣΩΝ.

καλῶς γ' ἂν οὖν μοι τῷδ' ὑπηρέτεις λόγῳ,
εἴ σοι γάμον κατεῖπον, ἥτις οὐδὲ νῦν
τολμᾷς μεθεῖναι καρδίας μέγαν χόλον.

ΜΗΔΕΙΑ.

οὐ τοῦτό σ' εἶχεν, ἀλλὰ βάρβαρον λέχος
πρὸς γῆρας οὐκ εὔδοξον ἐξέβαινέ σοι.

ΙΑΣΩΝ.

εὖ νυν τόδ' ἴσθι, μὴ γυναικὸς οὕνεκα
γῆμαί με λέκτρα βασιλέων, ἃ νῦν ἔχω,
ἀλλ', ὥσπερ εἶπον καὶ πάρος, σῶσαι θέλων
σὲ καὶ τέκνοισι τοῖς ἐμοῖς ὁμοσπόρους
φῦσαι τυράννους παῖδας, ἔρυμα δώμασιν.

ΜΗΔΕΙΑ.

μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος,
μηδ' ὄλβος ὅστις τὴν ἐμὴν κνίζοι φρένα.

ΙΑΣΩΝ.

οἶσθ' ὡς μετεύξει καὶ σοφωτέρα φανεῖ;
τὰ χρηστὰ μή σοι λυπρὰ φαινέσθω ποτὲ,
μηδ' εὐτυχοῦσα δυστυχὴς εἶναι δόκει.

ΜΗΔΕΙΑ.

ὕβριζ', ἐπειδὴ σοὶ μὲν ἔστ' ἀποστροφὴ,
ἐγὼ δ' ἔρημος τήνδε φευξοῦμαι χθόνα.

ΙΑΣΩΝ.

αὐτὴ τάδ' εἵλου· μηδέν' ἄλλον αἰτιῶ.

ΜΗΔΕΙΑ.

τί δρῶσα; μῶν γαμοῦσα καὶ προδοῦσά σε;

ΙΑΣΩΝ.

ἀρὰς τυράννοις ἀνοσίους ἀρωμένη.

ΜΗΔΕΙΑ.

καὶ σοῖς ἀραία γ' οὖσα τυγχάνω δόμοις.

ΙΑΣΩΝ.

ὡς οὐ κρινοῦμαι τῶνδέ σοι τὰ πλείονα.
ἀλλ' εἴ τι βούλει παισὶν ἢ σαυτῇ φυγῆς
προσωφέλημα χρημάτων ἐμῶν λαβεῖν,
λέγ'· ὡς ἕτοιμος ἀφθόνῳ δοῦναι χερὶ,
ξένοις τε πέμπειν ξύμβολ', οἳ δράσουσί σ' εὖ.
καὶ ταῦτα μὴ θέλουσα μωρανεῖς, γύναι·
λήξασα δ' ὀργῆς κερδανεῖς ἀμείνονα.

ΜΗΔΕΙΑ.

οὔτ' ἂν ξένοισι τοῖσι σοῖς χρησαίμεθ' ἂν,
οὔτ' ἄν τι δεξαίμεσθα, μηδ' ἡμῖν δίδου·
κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.

ΙΑΣΩΝ.

ἀλλ' οὖν ἐγὼ μὲν δαίμονας μαρτύρομαι,
ὡς πάνθ' ὑπουργεῖν σοί τε καὶ τέκνοις θέλω·
σοὶ δ' οὐκ ἀρέσκει τἀγάθ', ἀλλ' αὐθαδίᾳ
φίλους ἀπωθεῖ· τοιγὰρ ἀλγυνεῖ πλέον.

ΜΗΔΕΙΑ.
χώρει· πόθῳ γὰρ τῆς νεοδμήτου κόρης
αἱρεῖ, χρονίζων δωμάτων ἐξώπιος·
νύμφευ'· ἴσως γάρ, ξὺν θεῷ δ' εἰρήσεται,
γαμεῖς τοιοῦτον ὥστε σ' ἀρνεῖσθαι γάμον.
ΧΟΡΟΣ.
ἔρωτες ὑπὲρ μὲν ἄγαν ἐλθόντες οὐκ εὐδοξίαν
οὐδ' ἀρετὰν παρέδωκαν
ἀνδράσιν· εἰ δ' ἅλις ἔλθοι
Κύπρις, οὐκ ἄλλα θεὸς εὔχαρις οὕτω.
μήποτ', ὦ δέσποιν', ἐπ' ἐμοὶ χρυσέων τόξων
ἐφείης
ἱμέρῳ χρίσασ' ἄφυκτον οἰστόν.
στέργοι δέ με σωφροσύνα, δώρημα κάλλιστον
θεῶν·
μηδέ ποτ' ἀμφιλόγους ὀρ-
γὰς ἀκόρεστά τε νείκη
θυμὸν ἐκπλήξασ' ἑτέροις ἐπὶ λέκτροις
προσβάλοι δεινὰ Κύπρις, ἀπτολέμους δ' εὐνὰς
σεβίζουσ'
ὀξύφρων κρίνοι λέχη γυναικῶν.
ὦ πατρίς, ὦ δῶμά τ' ἐμόν,
μὴ δῆτ' ἄπολις γενοίμαν
τὸν ἀμηχανίας ἔχουσα δυσπέρατον αἰῶν'
οἰκτροτάτων ἀχέων.
θανάτῳ θανάτῳ πάρος δαμείην
ἁμέραν τάνδ' ἐξανύσασα· μό-
χθων δ' οὐκ ἄλλος ὕπερθεν ἢ
γᾶς πατρίας στέρεσθαι.
εἴδομεν, οὐκ ἐξ ἑτέρων
μύθων ἔχομεν φράσασθαι·
σὲ γὰρ οὐ πόλις, οὐ φίλων τις ᾤκτειρεν πα-
θοῦσαν
δεινότατον παθέων.
ἀχάριστος ὄλοιθ' ὅτῳ πάρεστι
μὴ φίλους τιμᾶν, καθαρὰν ἀνοί-
ξαντα κλῇδα φρενῶν· ἐμοὶ
μὲν φίλος οὔποτ' ἔσται.
ΑΙΓΕΥΣ.
Μήδεια, χαῖρε· τοῦδε γὰρ προοίμιον
κάλλιον οὐδεὶς οἶδε προσφωνεῖν φίλους.
ΜΗΔΕΙΑ.
ὦ χαῖρε καὶ σύ, παῖ σοφοῦ Πανδίονος,
Αἰγεῦ. πόθεν γῆς τῆσδ' ἐπιστρωφᾷ πέδον;
ΑΙΓΕΥΣ.
Φοίβου παλαιὸν ἐκλιπὼν χρηστήριον.
ΜΗΔΕΙΑ.
τί δ' ὀμφαλὸν γῆς θεσπιῳδὸν ἐστάλης;
ΑΙΓΕΥΣ.
παίδων ἐρευνῶν σπέρμ' ὅπως γένοιτό μοι.
ΜΗΔΕΙΑ.
πρὸς θεῶν, ἄπαις γὰρ δεῦρ' ἀεὶ τείνεις βίον;
ΑΙΓΕΥΣ.
ἄπαιδές ἐσμεν δαίμονός τινος τύχῃ·
ΜΗΔΕΙΑ.
δάμαρτος οὔσης, ἢ λέχους ἄπειρος ὤν;
ΑΙΓΕΥΣ.
οὐκ ἐσμὲν εὐνῆς ἄζυγες γαμηλίου.
627—634. = 635—642.
643—651. = 652—662.

ΜΗΔΕΙΑ.
τί δῆτα Φοῖβος εἶπέ σοι παίδων πέρι;
ΑΙΓΕΥΣ.
σοφώτερ' ἢ κατ' ἄνδρα συμβαλεῖν ἔπη.
ΜΗΔΕΙΑ.
θέμις μὲν ἡμᾶς χρησμὸν εἰδέναι θεοῦ;
ΑΙΓΕΥΣ.
μάλιστ', ἐπεί τοι καὶ σοφῆς δεῖται φρενός.
ΜΗΔΕΙΑ.
τί δῆτ' ἔχρησε; λέξον, εἰ θέμις κλύειν.
ΑΙΓΕΥΣ.
ἀσκοῦ με τὸν προὔχοντα μὴ λῦσαι πόδα
ΜΗΔΕΙΑ.
πρὶν ἂν τί δράσῃς ἢ τίν' ἐξίκῃ χθόνα;
ΑΙΓΕΥΣ.
πρὶν ἂν πατρῴαν αὖθις ἑστίαν μόλω.
ΜΗΔΕΙΑ.
σὺ δ' ὡς τί χρῄζων τήνδε ναυστολεῖς χθόνα;
ΑΙΓΕΥΣ.
Πιτθεύς τις ἔστι γῆς ἄναξ Τροιζηνίας.
ΜΗΔΕΙΑ.
παῖς, ὡς λέγουσι, Πέλοπος εὐσεβέστατος.
ΑΙΓΕΥΣ.
τούτῳ θεοῦ μάντευμα κοινῶσαι θέλω.
ΜΗΔΕΙΑ.
σοφὸς γὰρ ἁνὴρ καὶ τρίβων τὰ τοιάδε.
ΑΙΓΕΥΣ.
κἀμοίγε πάντων φίλτατος δορυξένων.
ΜΗΔΕΙΑ.
ἀλλ' εὐτυχοίης, καὶ τύχοις ὅσων ἐρᾷς.
ΑΙΓΕΥΣ.
τί γὰρ σὸν ὄμμα χρώς τε συντέτηχ' ὅδε;
ΜΗΔΕΙΑ.
Αἰγεῦ, κάκιστός ἐστι μοι πάντων πόσις.
ΑΙΓΕΥΣ.
τί φῄς; σαφῶς μοι σὰς φράσον δυσθυμίας.
ΜΗΔΕΙΑ.
ἀδικεῖ μ' Ἰάσων οὐδὲν ἐξ ἐμοῦ παθών.
ΑΙΓΕΥΣ.
τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.
ΜΗΔΕΙΑ.
γυναῖκ' ἐφ' ἡμῖν δεσπότιν δόμων ἔχει.
ΑΙΓΕΥΣ.
ἦ γὰρ τετόλμηκ' ἔργον αἴσχιστον τόδε;
ΜΗΔΕΙΑ.
σάφ' ἴσθ'· ἄτιμοι δ' ἐσμὲν οἱ πρὸ τοῦ φίλοι.
ΑΙΓΕΥΣ.
πότερον ἐρασθεὶς ἢ σὸν ἐχθαίρων λέχος;
ΜΗΔΕΙΑ.
μέγαν γ' ἔρωτα· πιστὸς οὐκ ἔφυ φίλοις.
ΑΙΓΕΥΣ.
ἴτω νυν, εἴπερ ὡς λέγεις ἐστὶν κακός.
ΜΗΔΕΙΑ.
ἀνδρῶν τυράννων κῆδος ἠράσθη λαβεῖν.
ΑΙΓΕΥΣ.
δίδωσι δ' αὐτῷ τίς; πέραινέ μοι λόγον.
ΜΗΔΕΙΑ.
Κρέων, ὃς ἄρχει τῆσδε γῆς Κορινθίας.
ΑΙΓΕΥΣ.
ξυγγνωστὰ μὲν τἄρ' ἦν σε λυπεῖσθαι, γύναι.

ΜΗΔΕΙΑ.

ὄλωλα· καὶ πρός γ' ἐξελαύνομαι χθονός.

ΑΙΓΕΥΣ.

πρὸς τοῦ; τόδ' ἄλλο καινὸν αὖ λέγεις κακόν.

ΜΗΔΕΙΑ.

Κρέων μ' ἐλαύνει φυγάδα γῆς Κορινθίας.

ΑΙΓΕΥΣ.

ἐᾷ δ' Ἰάσων; οὐδὲ ταῦτ' ἐπῄνεσα.

ΜΗΔΕΙΑ.

λόγῳ μὲν οὐχὶ, καρδίᾳ δὲ βούλεται.
ἀλλ' ἄντομαί σε τῆσδε πρὸς γενειάδος
γονάτων τε τῶν σῶν, ἱκεσία τε γίγνομαι,
οἴκτειρον οἴκτειρόν με τὴν δυσδαίμονα,
καὶ μή μ' ἔρημον ἐκπεσοῦσαν εἰσίδῃς,
δέξαι δὲ χώρᾳ καὶ δόμοις ἐφέστιον.
οὕτως ἔρως σοὶ πρὸς θεῶν τελεσφόρος
γένοιτο παίδων, καὐτὸς ὄλβιος θάνοις.
εὕρημα δ' οὐκ οἶσθ' οἷον εὕρηκας τόδε·
παύσω δέ σ' ὄντ' ἄπαιδα, καὶ παίδων γονὰς
σπεῖραί σε θήσω· τοιάδ' οἶδα φάρμακα.

ΑΙΓΕΥΣ.

πολλῶν ἕκατι τήνδε σοι δοῦναι χάριν,
γύναι, πρόθυμός εἰμι, πρῶτα μὲν θεῶν,
ἔπειτα παίδων ὧν ἐπαγγέλλει γονάς.
ἐς τοῦτο γὰρ δὴ φροῦδός εἰμι πᾶς ἐγώ.
οὕτω δ' ἔχει μοι· σοῦ μὲν ἐλθούσης χθόνα,
πειράσομαί σου προξενεῖν δίκαιος ὤν.
τοσόνδε μέντοι σοι προσημαίνω, γύναι·
ἐκ τῆσδε μὲν γῆς οὔ σ' ἄγειν βουλήσομαι,
αὐτὴ δ' ἐάνπερ εἰς ἐμοὺς ἔλθῃς δόμους,
μενεῖς ἄσυλος, κοὔ σε μὴ μεθῶ τινι.
ἐκ τῆσδε δ' αὐτὴ γῆς ἀπαλλάσσου πόδα·
ἀναίτιος γὰρ καὶ ξένοις εἶναι θέλω.

ΜΗΔΕΙΑ.

ἔσται τάδ'· ἀλλὰ πίστις εἰ γένοιτό μοι
τούτων, ἔχοιμ' ἂν πάντα πρὸς σέθεν καλῶς.

ΑΙΓΕΥΣ.

μῶν οὐ πέποιθας; ἢ τί σοι τὸ δυσχερές;

ΜΗΔΕΙΑ.

πέποιθα· Πελίου δ' ἐχθρός ἐστί μοι δόμος
Κρέων τε. τούτοις δ' ὁρκίοισι μὲν ζυγεὶς
ἄγουσιν οὐ μεθεῖ' ἂν ἐκ γαίας ἐμέ,
λόγοις δὲ συμβὰς καὶ θεῶν ἀνώμοτος
φίλος γένοι' ἂν κἀπικηρυκεύμασι
οὐκ ἂν πίθοιο· τἀμὰ μὲν γὰρ ἀσθενῆ,
τοῖς δ' ὄλβος ἐστὶ καὶ δόμος τυραννικός.

ΑΙΓΕΥΣ.

πολλὴν ἔλεξας, ὦ γύναι, προμηθίαν·
ἀλλ' εἰ δοκεῖ σοι δρᾶν τάδ', οὐκ ἀφίσταμαι.
ἐμοί τε γὰρ τάδ' ἐστὶν ἀσφαλέστατα,
σκῆψίν τιν' ἐχθροῖς σοῖς ἔχοντα δεικνύναι,
τὸ σόν τ' ἄραρε μᾶλλον· ἐξηγοῦ θεούς.

ΜΗΔΕΙΑ.

ὄμνυ πέδον Γῆς πατέρα θ' Ἥλιον πατρὸς
τοὐμοῦ θεῶν τε συντιθεὶς ἅπαν γένος.

ΑΙΓΕΥΣ.

τί χρῆμα δράσειν ἢ τί μὴ δράσειν; λέγε.

ΜΗΔΕΙΑ.

μήτ' αὐτὸς ἐκ γῆς σῆς ἔμ' ἐκβαλεῖν ποτε
μήτ', ἄλλος ἤν τις τῶν ἐμῶν ἐχθρῶν ἄγειν
χρῄζῃ, μεθήσειν ζῶν ἑκουσίῳ τρόπῳ.

ΑΙΓΕΥΣ.

ὄμνυμι Γαῖαν Ἡλίου θ' ἁγνὸν σέβας
θεούς τε πάντας ἐμμενεῖν ἅ σου κλύω.

ΜΗΔΕΙΑ.

ἀρκεῖ· τί δ' ὅρκῳ τῷδε μὴ 'μμένων πάθοις;

ΑΙΓΕΥΣ.

ἃ τοῖσι δυσσεβοῦσι γίγνεται βροτῶν.

ΜΗΔΕΙΑ.

χαίρων πορεύου· πάντα γὰρ καλῶς ἔχει
κἀγὼ πόλιν σὴν ὡς τάχιστ' ἀφίξομαι,
πράξασ' ἃ μέλλω καὶ τυχοῦσ' ἃ βούλομαι.

ΧΟΡΟΣ.

ἀλλά σ' ὁ Μαίας πομπαῖος ἄναξ
πελάσειε δόμοις, ὧν τ' ἐπίνοιαν
σπεύδεις κατέχων πράξειας, ἐπεὶ
γενναῖος ἀνὴρ,
Αἰγεῦ, παρ' ἐμοὶ δεδόκησαι.

ΜΗΔΕΙΑ.

ὦ Ζεῦ Δίκη τε Ζηνὸς Ἡλίου τε φῶς,
νῦν καλλίνικοι τῶν ἐμῶν ἐχθρῶν, φίλαι,
γενησόμεσθα, κεἰς ὁδὸν βεβήκαμεν·
νῦν δ' ἐλπὶς ἐχθροὺς τοὺς ἐμοὺς τίσειν δίκ[ην].
οὗτος γὰρ ἀνὴρ ᾗ μάλιστ' ἐκάμνομεν
λιμὴν πέφανται τῶν ἐμῶν βουλευμάτων·
ἐκ τοῦδ' ἀναψόμεσθα πρυμνήτην κάλων,
μολόντες ἄστυ καὶ πόλισμα Παλλάδος.
ἤδη δὲ πάντα τἀμά σοι βουλεύματα
λέξω· δέχου δὲ μὴ πρὸς ἡδονὴν λόγους.
πέμψασ' ἐμῶν τιν' οἰκετῶν Ἰάσονα
ἐς ὄψιν ἐλθεῖν τὴν ἐμὴν αἰτήσομαι·
μολόντι δ' αὐτῷ μαλθακοὺς λέξω λόγους,
ὡς καὶ δοκεῖ μοι ταῦτα καὶ καλῶς ἔχει,
γάμους τυράννων, οὓς προδοὺς ἡμᾶς ἔχει,
καὶ ξύμφορ' εἶναι καὶ καλῶς ἐγνωσμένα·
παῖδας δὲ μεῖναι τοὺς ἐμοὺς αἰτήσομαι,
οὐχ ὡς λιποῦσα πολεμίας ἐπὶ χθονὸς
ἐχθροῖσι παῖδας τοὺς ἐμοὺς καθυβρίσαι,
ἀλλ' ὡς δόλοισι παῖδα βασιλέως κτάνω.
πέμψω γὰρ αὐτοὺς δῶρ' ἔχοντας ἐν χεροῖ[ν]
νύμφῃ φέροντας, τήνδε μὴ φεύγειν χθόνα
[λεπτόν τε πέπλον καὶ πλόκον χρυσήλατο[ν]
κἄνπερ λαβοῦσα κόσμον ἀμφιθῇ χροΐ,
κακῶς ὀλεῖται πᾶς θ' ὃς ἂν θίγῃ κόρης·
τοιοῖσδε χρίσω φαρμάκοις δωρήματα.
ἐνταῦθα μέντοι τόνδ' ἀπαλλάσσω λόγον·
ᾤμωξα δ' οἷον ἔργον ἔστ' ἐργαστέον
τοὐντεῦθεν ἡμῖν· τέκνα γὰρ κατακτενῶ
τἄμ'· οὔτις ἐστὶν ὅστις ἐξαιρήσεται·
δόμον τε πάντα συγχέασ' Ἰάσονος
ἔξειμι γαίας, φιλτάτων παίδων φόνον
φεύγουσα καὶ τλᾶσ' ἔργον ἀνοσιώτατον.
οὐ γὰρ γελᾶσθαι τλητὸν ἐξ ἐχθρῶν, φίλα[ι]
ἴτω· τί μοι ζῆν κέρδος; οὔτε μοι πατρὶς
οὔτ' οἶκός ἐστιν οὔτ' ἀποστροφὴ κακῶν.
ἡμάρτανον τόθ' ἡνίκ' ἐξελίμπανον
δόμους πατρῴους, ἀνδρὸς Ἕλληνος λόγοις

πεισθεῖσ', ὃς ἡμῖν ξὺν θεῷ τίσει δίκην.
οὔτ' ἐξ ἐμοῦ γὰρ παῖδας ὄψεταί ποτε
ζῶντας τὸ λοιπὸν οὔτε τῆς νεοζύγου
νύμφης τεκνώσει παῖδ', ἐπεὶ κακὴν κακῶς
θανεῖν σφ' ἀνάγκη τοῖς ἐμοῖσι φαρμάκοις.
μηδείς με φαύλην κἀσθενῆ νομιζέτω
μηδ' ἡσυχαίαν, ἀλλὰ θατέρου τρόπου,
βαρεῖαν ἐχθροῖς καὶ φίλοισιν εὐμενῆ·
τῶν γὰρ τοιούτων εὐκλεέστατος βίος.

ΧΟΡΟΣ.

ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωσας λόγον,
σέ τ' ὠφελεῖν θέλουσα καὶ νόμοις βροτῶν
ξυλλαμβάνουσα, δρᾶν σ' ἀπεννέπω τάδε.

ΜΗΔΕΙΑ.

οὐκ ἔστιν ἄλλως· σοὶ δὲ συγγνώμη λέγειν
τάδ' ἐστὶ, μὴ πάσχουσαν ὡς ἐγὼ κακῶς.

ΧΟΡΟΣ.

ἀλλὰ κτανεῖν σὼ παῖδε τολμήσεις, γύναι;

ΜΗΔΕΙΑ.

οὕτω γὰρ ἂν μάλιστα δηχθείη πόσις.

ΧΟΡΟΣ.

σὺ δ' ἂν γένοιό γ' ἀθλιωτάτη γυνή.

ΜΗΔΕΙΑ.

ἴτω· περισσοὶ πάντες οὑν μέσῳ λόγοι.
ἀλλ' εἶα χώρει καὶ κόμιζ' Ἰάσονα·
ἐς πάντα γὰρ δὴ σοὶ τὰ πιστὰ χρώμεθα.
λέξῃς δὲ μηδὲν τῶν ἐμοὶ δεδογμένων,
εἴπερ φρονεῖς εὖ δεσπόταις γυνή τ' ἔφυς.

ΧΟΡΟΣ.

Ἐρεχθεΐδαι τὸ παλαιὸν ὄλβιοι,
καὶ θεῶν παῖδες μακάρων, ἱερᾶς
χώρας ἀπορθήτου τ' ἀποφερβόμενοι
κλεινοτάταν σοφίαν, ἀεὶ διὰ λαμπροτάτου
βαίνοντες ἁβρῶς αἰθέρος, ἔνθα ποθ' ἁγνὰς
ἐννέα Πιερίδας Μούσας λέγουσι
ξανθὰν Ἁρμονίαν φυτεῦσαι·
τοῦ καλλινάου τ' ἀπὸ Κηφισοῦ ῥοὰς
τὰν Κύπριν κλήζουσιν ἀφυσσαμέναν
χώραν καταπνεῦσαι μετρίας ἀνέμων
ἡδυπνόους αὔρας· ἀεὶ δ' ἐπιβαλλομέναν
χαίταισιν εὐώδη ῥοδέων πλόκον ἀνθέων·
τᾷ σοφίᾳ παρέδρους πέμπειν ἔρωτας,
παντοίας ἀρετᾶς ξυνέργους.
πῶς οὖν ἱερῶν ποταμῶν
ἢ πόλις ἢ φίλων
πόμπιμός σε χώρα
τὰν παιδολέτειραν ἕξει,
τὰν οὐχ ὁσίαν μετ' ἄλλων;
σκέψαι τεκέων πλαγὰν,
σκέψαι φόνον οἷον αἴρει.
μὴ, πρὸς γονάτων σε πάντες
πάντως ἱκετεύομεν,
μὴ τέκνα φονεύσῃς.
πόθεν θράσος ἢ φρενὸς ἢ
χειρὶ τέκνων σέθεν
καρδίᾳ τε λήψει,
δεινὰν προσάγουσα τόλμαν;
πῶς δ' ὄμματα προσβαλοῦσα
τέκνοις ἄδακρυν μοῖραν
σχήσεις φόνου; οὐ δυνάσει,
παίδων ἱκετᾶν πιτνόντων,
τέγξαι χέρα φοινίαν
εὐτλάμονι θυμῷ.

824—834. == 836—845.
846—855. == 856—865.

ΙΑΣΩΝ.

ἥκω κελευσθείς· καὶ γὰρ οὖσα δυσμενὴς
οὐκ ἂν ἁμάρτοις τοῦδέ γ', ἀλλ' ἀκούσομαι
τί χρῆμα βούλει καινὸν ἐξ ἐμοῦ, γύναι.

ΜΗΔΕΙΑ.

Ἰᾶσον, αἰτοῦμαί σε τῶν εἰρημένων
συγγνώμον' εἶναι· τὰς δ' ἐμὰς ὀργὰς φέρειν
εἰκός σ', ἐπεὶ νῷν πόλλ' ὑπείργασται φίλα.
ἐγὼ δ' ἐμαυτῇ διὰ λόγων ἀφικόμην,
κἀλοιδόρησα· σχετλία, τί μαίνομαι
καὶ δυσμεναίνω τοῖσι βουλεύουσιν εὖ,
ἐχθρὰ δὲ γαίας κοιράνοις καθίσταμαι
πόσει θ', ὃς ἡμῖν δρᾷ τὰ συμφορώτατα,
γήμας τύραννον καὶ κασιγνήτους τέκνοις
ἐμοῖς φυτεύων; οὐκ ἀπαλλαχθήσομαι
θυμοῦ; τί πάσχω, θεῶν ποριζόντων καλῶς;
οὐκ εἰσὶ μέν μοι παῖδες, οἶδα δὲ χθόνα
φεύγοντας ἡμᾶς καὶ σπανίζοντας φίλων;
ταῦτ' ἐννοηθεῖσ' ᾐσθόμην ἀβουλίαν
πολλὴν ἔχουσα καὶ μάτην θυμουμένη.
νῦν οὖν ἐπαινῶ, σωφρονεῖν τέ μοι δοκεῖς
κῆδος τόδ' ἡμῖν προσλαβὼν, ἐγὼ δ' ἄφρων,
ᾗ χρῆν μετεῖναι τῶνδε τῶν βουλευμάτων
καὶ ξυμπεραίνειν καὶ παρεστάναι λέχει,
νύμφην τε κηδεύουσαν ἥδεσθαι σέθεν.
ἀλλ' ἐσμὲν οἷόν ἐσμεν; οὐκ ἐρῶ κακὸν,
γυναῖκες· οὔκουν χρή σ' ὁμοιοῦσθαι κακοῖς,
οὐδ' ἀντιτείνειν νήπι' ἀντὶ νηπίων.
παριέμεσθα, καί φαμεν κακῶς φρονεῖν
τότ', ἀλλ' ἄμεινον νῦν βεβούλευμαι τάδε.
ὦ τέκνα τέκνα, δεῦτε, λείπετε στέγας,
ἐξέλθετ', ἀσπάσασθε καὶ προσείπατε
πατέρα μεθ' ἡμῶν, καὶ διαλλάχθηθ' ἅμα
τῆς πρόσθεν ἔχθρας ἐς φίλους μητρὸς μέτα·
σπονδαὶ γὰρ ἡμῖν, καὶ μεθέστηκεν χόλος.
λάβεσθε χειρὸς δεξιᾶς. οἴμοι κακῶν·
ὡς ἐννοοῦμαι δή τι τῶν κεκρυμμένων.
ἆρ', ὦ τέκν', οὕτω καὶ πολὺν ζῶντες χρόνον
φίλην ὀρέξετ' ὠλένην; τάλαιν' ἐγὼ,
ὡς ἀρτίδακρύς εἰμι καὶ φόβου πλέα.
χρόνῳ δὲ νεῖκος πατρὸς ἐξαιρουμένη
ὄψιν τέρειναν τήνδ' ἔπλησα δακρύων.

ΧΟΡΟΣ.

κἀμοὶ κατ' ὄσσων χλωρὸν ὡρμήθη δάκρυ·
καὶ μὴ προβαίη μεῖζον ἢ τὸ νῦν κακόν.

ΙΑΣΩΝ.

αἰνῶ, γύναι, τάδ', οὐδ' ἐκεῖνα μέμφομαι·
εἰκὸς γὰρ ὀργὰς θῆλυ ποιεῖσθαι γένος,
γάμους παρεμπολῶντος ἀλλοίους πόσει.
ἀλλ' ἐς τὸ λῷον σὸν μεθέστηκεν κέαρ,
ἔγνως δὲ τὴν νικῶσαν ἀλλὰ τῷ χρόνῳ
βουλήν· γυναικὸς ἔργα ταῦτα σώφρονος.
ὑμῶν δὲ, παῖδες, οὐκ ἀφροντίστως πατὴρ
πολλὴν ἔθηκε σὺν θεοῖς προμηθίαν·
οἶμαι γὰρ ὑμᾶς τῆσδε γῆς Κορινθίας.

τὰ πρῶτ' ἔσεσθαι ξὺν κασιγνήτοις ἔτι.
ἀλλ' αὐξάνεσθε· τἄλλα δ' ἐξεργάζεται
πατήρ τε καὶ θεῶν ὅστις ἐστὶν εὐμενής·
ἴδοιμι δ' ὑμᾶς εὐτραφεῖς ἥβης τέλος
μολόντας, ἐχθρῶν τῶν ἐμῶν ὑπερτέρους.
αὕτη, τί χλωροῖς δακρύοις τέγγεις κόρας,
στρέψασα λευκὴν ἔμπαλιν παρηίδα,
κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχει λόγον;

ΜΗΔΕΙΑ.

οὐδέν· τέκνων τῶνδ' ἐννοουμένη πέρι.

ΙΑΣΩΝ.

θάρσει νυν· εὖ γὰρ τῶνδε θήσομαι πέρι.

ΜΗΔΕΙΑ.

δράσω τάδ'· οὔτοι σοῖς ἀπιστήσω λόγοις·
γυνὴ δὲ θῆλυ κἀπὶ δακρύοις ἔφυ.

ΙΑΣΩΝ.

τί δή, τάλαινα, τοῖσδ' ἐπιστένεις τέκνοις;

ΜΗΔΕΙΑ.

ἔτικτον αὐτούς· ζῆν δ' ὅτ' ἐξηύχου τέκνα,
ἐσῆλθέ μ' οἶκτος εἰ γενήσεται τάδε.
ἀλλ' ὧνπερ οὕνεκ' εἰς ἐμοὺς ἥκεις λόγους,
τὰ μὲν λέλεκται, τῶν δ' ἐγὼ μνησθήσομαι.
ἐπεὶ τυράννοις γῆς μ' ἀποστεῖλαι δοκεῖ,
κἀμοὶ τάδ' ἐστὶ λῷστα, γιγνώσκω καλῶς,
μήτ' ἐμποδὼν σοὶ μήτε κοιράνοις χθονὸς
ναίειν, δοκῶ γὰρ δυσμενὴς εἶναι δόμοις,
ἡμεῖς μὲν ἐκ γῆς τῆσδ' ἀπαίρομεν φυγῇ,
παῖδες δ' ὅπως ἂν ἐκτραφῶσι σῇ χερί,
αἰτοῦ Κρέοντα τήνδε μὴ φεύγειν χθόνα.

ΙΑΣΩΝ.

οὐκ οἶδ' ἂν εἰ πείσαιμι, πειρᾶσθαι δὲ χρή.

ΜΗΔΕΙΑ.

σὺ δ' ἀλλὰ σὴν κέλευσον αἰτεῖσθαι πατρὸς
γυναῖκα παῖδας τήνδε μὴ φεύγειν χθόνα.

ΙΑΣΩΝ.

μάλιστα, καὶ πείσειν γε δοξάζω σφ' ἐγώ,
εἴπερ γυναικῶν ἐστι τῶν ἄλλων μία.

ΜΗΔΕΙΑ.

ξυλλήψομαι δὲ τοῦδέ σοι κἀγὼ πόνου·
πέμψω γὰρ αὐτῇ δῶρ', ἃ καλλιστεύεται
τῶν νῦν ἐν ἀνθρώποισιν, οἶδ' ἐγώ, πολύ,
λεπτόν τε πέπλον καὶ πλόκον χρυσήλατον
παῖδας φέροντας. ἀλλ' ὅσον τάχος χρεὼν
κόσμον κομίζειν δεῦρο προσπόλων τινά.
εὐδαιμονήσει δ' οὐχ ἓν, ἀλλὰ μυρία,
ἀνδρός τ' ἀρίστου σοῦ τυχοῦσ' ὁμευνέτου,
κεκτημένη τε κόσμον ὅν ποθ' Ἥλιος
πατρὸς πατὴρ δίδωσιν ἐκγόνοισιν οἷς.
λάζυσθε φερνὰς τάσδε, παῖδες, ἐς χέρας,
καὶ τῇ τυράννῳ μακαρίᾳ νύμφῃ δότε
φέροντες· οὔτοι δῶρα μεμπτὰ δέξεται.

ΙΑΣΩΝ.

τί δ', ὦ ματαία, τῶνδε σὰς κενοῖς χέρας;
δοκεῖς σπανίζειν δῶμα βασίλειον πέπλων,
δοκεῖς δὲ χρυσοῦ; σῷζε, μὴ δίδου, τάδε.
εἴπερ γὰρ ἡμᾶς ἀξιοῖ λόγου τινὸς
γυνή, προθήσει χρημάτων, σάφ' οἶδ' ἐγώ.

ΜΗΔΕΙΑ.

μή μοι σύ· πείθειν δῶρα καὶ θεοὺς λόγος·
χρυσὸς δὲ κρείσσων μυρίων λόγων βροτοῖς.
κείνης ὁ δαίμων, κεῖνα νῦν αὔξει θεός,
νέα τυραννεῖ· τῶν δ' ἐμῶν παίδων φυγὰς
ψυχῆς ἂν ἀλλαξαίμεθ', οὐ χρυσοῦ μόνον.
ἀλλ', ὦ τέκν', εἰσελθόντε πλουσίους δόμους
πατρὸς νέαν γυναῖκα, δεσπότιν γ' ἐμήν,
ἱκετεύετ', ἐξαιτεῖσθε μὴ φεύγειν χθόνα,
κόσμον διδόντες· τοῦδε γὰρ μάλιστα δεῖ,
ἐς χεῖρ' ἐκείνην δῶρα δέξασθαι τάδε.
ἴθ' ὡς τάχιστα· μητρὶ δ' ὧν ἐρᾷ τυχεῖν
εὐάγγελοι γένοισθε πράξαντες καλῶς.

ΧΟΡΟΣ.

νῦν ἐλπίδες οὐκέτι μοι παίδων ζόας,
οὐκέτι· στείχουσι γὰρ ἐς φόνον ἤδη.
δέξεται νύμφα χρυσέων ἀναδεσμῶν
δέξεται δύστανος ἄταν·
ξανθᾷ δ' ἀμφὶ κόμᾳ θήσει τὸν Ἅιδα κόσμον α
ἐν χεροῖν λαβοῦσα.
πείσει χάρις ἀμβρόσιός τ' αὐγὰ πέπλον
χρυσότευκτόν τε στέφανον περιθέσθαι·
νερτέροις δ' ἤδη πάρα νυμφοκομήσει.
τοῖον εἰς ἕρκος πεσεῖται,
καὶ μοῖραν θανάτου προσλήψεται δύστα
ἄταν δ'
οὐχ ὑπεκδραμεῖται.
σὺ δ', ὦ τάλαν, ὦ κακόνυμφε κηδεμὼν
ράννων,
παισὶν οὐ κατειδὼς
ὀλέθριον βιοτὰν προσάγεις, ἀλόχῳ τε σᾷ
γερὸν θάνατον.
δύστανε, μοίρας ὅσον παροίχει.
μεταστένομαι δὲ σὸν ἄλγος, ὦ τάλαινα παί
μᾶτερ, ἃ φονεύσεις
1000 τέκεα νυμφιδίων ἕνεκεν λεχέων, ἅ σοι π
πὼν ἀνόμως
ἄλλᾳ ξυνοικεῖ πόσις ξυνεύνῳ.

ΠΑΙΔΑΓΩΓΟΣ.

δέσποιν', ἀφεῖνται παῖδες οἵδε σοὶ φυγῆς,
καὶ δῶρα νύμφη βασιλὶς ἀσμένη χεροῖν
ἐδέξατ'· εἰρήνη δὲ τἀκεῖθεν τέκνοις.

ΜΗΔΕΙΑ.

ἔα.

ΠΑΙΔΑΓΩΓΟΣ.

τί συγχυθεῖσ' ἕστηκας ἡνίκ' εὐτυχεῖς;

ΜΗΔΕΙΑ.

αἰαῖ.

ΠΑΙΔΑΓΩΓΟΣ.

τάδ' οὐ ξυνῳδὰ τοῖσιν ἐξηγγελμένοις.

ΜΗΔΕΙΑ.

αἰαῖ μάλ' αὖθις.

ΠΑΙΔΑΓΩΓΟΣ.

μῶν τιν' ἀγγέλλων τύχη
οὐκ οἶδα, δόξης δ' ἐσφάλην εὐαγγέλου;

976—982. = 983—989.
990—995. = 996—1001.

---

Post 1005. sequebantur
τί σὴν ἔτρεψας ἔμπαλιν παρηίδα,
κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχει λόγο

*ΜΗΔΕΙΑ.*

ἤγγειλας οἷ᾽ ἤγγειλας· οὐ σὲ μέμφομαι.

*ΠΑΙΔΑΓΩΓΟΣ.*

τί δὴ κατηφεῖς ὄμμα καὶ δακρυρροεῖς;

*ΜΗΔΕΙΑ.*

πολλή μ᾽ ἀνάγκη, πρέσβυ· ταῦτα γὰρ θεοὶ
κἀγὼ κακῶς φρονοῦσ᾽ ἐμηχανησάμην.

*ΠΑΙΔΑΓΩΓΟΣ.*

θάρσει· κάτει τοι καὶ σὺ πρὸς τέκνων ἔτι.

*ΜΗΔΕΙΑ.*

ἄλλους κατάξω πρόσθεν ἡ τάλαιν᾽ ἐγώ.

*ΠΑΙΔΑΓΩΓΟΣ.*

οὔτοι μόνη σὺ σῶν ἀπεζύγης τέκνων.
κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς.

*ΜΗΔΕΙΑ.*

δράσω τάδ᾽. ἀλλὰ βαῖνε δωμάτων ἔσω,
καὶ παισὶ πόρσυν᾽ οἷα χρὴ καθ᾽ ἡμέραν.
ὦ τέκνα τέκνα, σφῷν μὲν ἔστι δὴ πόλις
καὶ δῶμ᾽, ἐν ᾧ λιπόντες ἀθλίαν ἐμὲ
οἰκήσετ᾽ ἀεὶ μητρὸς ἐστερημένοι·
ἐγὼ δ᾽ ἐς ἄλλην γαῖαν εἶμι δὴ φυγάς,
πρὶν σφῷν ὄνασθαι κἀπιδεῖν εὐδαίμονας,
πρὶν λέκτρα καὶ γυναῖκα καὶ γαμηλίους
εὐνὰς ἀγῆλαι λαμπάδας τ᾽ ἀνασχεθεῖν.
ὦ δυστάλαινα τῆς ἐμῆς αὐθαδίας.
ἄλλως ἄρ᾽ ὑμᾶς, ὦ τέκν᾽, ἐξεθρεψάμην,
ἄλλως δ᾽ ἐμόχθουν καὶ κατεξάνθην πόνοις,
στερρὰς ἐνεγκοῦσ᾽ ἐν τόκοις ἀλγηδόνας.
ἦ μήν ποθ᾽ ἡ δύστηνος εἶχον ἐλπίδας
πολλὰς ἐν ὑμῖν γηροβοσκήσειν τ᾽ ἐμὲ
καὶ κατθανοῦσαν χερσὶν εὖ περιστελεῖν,
ζηλωτὸν ἀνθρώποισι· νῦν δ᾽ ὄλωλε δὴ
γλυκεῖα φροντίς. σφῷν γὰρ ἐστερημένη
λυπρὸν διάξω βίοτον ἀλγεινόν τ᾽ ἐμοί.
ὑμεῖς δὲ μητέρ᾽ οὐκέτ᾽ ὄμμασιν φίλοις
ὄψεσθ᾽, ἐς ἄλλο σχῆμ᾽ ἀποστάντες βίου.
φεῦ φεῦ· τί προσδέρκεσθέ μ᾽ ὄμμασιν, τέκνα;
τί προσγελᾶτε τὸν πανύστατον γέλων;
αἰαῖ· τί δράσω; καρδία γὰρ οἴχεται,
γυναῖκες, ὄμμα φαιδρὸν ὡς εἶδον τέκνων.
οὐκ ἂν δυναίμην· χαιρέτω βουλεύματα
τὰ πρόσθεν· ἄξω παῖδας ἐκ γαίας ἐμούς.
τί δεῖ με πατέρα τῶνδε τοῖς τούτων κακοῖς
λυποῦσαν αὐτὴν δὶς τόσα κτᾶσθαι κακά;
οὐ δῆτ᾽ ἔγωγε. χαιρέτω βουλεύματα.
καίτοι τί πάσχω; βούλομαι γέλωτ᾽ ὀφλεῖν
ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους;
τολμητέον τάδ᾽. ἀλλὰ τῆς ἐμῆς κάκης,
τὸ καὶ προέσθαι μαλθακοὺς λόγους φρενί.
χωρεῖτε, παῖδες, ἐς δόμους· ὅτῳ δὲ μὴ
θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,
αὐτῷ μελήσει· χεῖρα δ᾽ οὐ διαφθερῶ.
ἆ ἆ.
μὴ δῆτα, θυμέ, μὴ σύ γ᾽ ἐργάσῃ τάδε·
ἔασον αὐτούς, ὦ τάλαν, φεῖσαι τέκνων·
ἐκεῖ μεθ᾽ ἡμῶν ζῶντες εὐφρανοῦσί σε.
μὰ τοὺς παρ᾽ Ἅιδην νερτέρους ἀλάστορας,
οὔτοι ποτ᾽ ἔσται τοῦθ᾽ ὅπως ἐχθροῖς ἐγὼ
παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι.
πάντως πέπρωται ταῦτα κοὐκ ἐκφεύξεται.
καὶ δὴ ᾽πὶ κρατὶ στέφανος, ἐν πέπλοισί τε
νύμφη τύραννος ὄλλυται, σάφ᾽ οἶδ᾽ ἐγώ.
ἀλλ᾽ εἶμι γὰρ δὴ τλημονεστάτην ὁδὸν,
καὶ τούσδε πέμψω τλημονεστέραν ἔτι,
παῖδας προσειπεῖν βούλομαι. δότ᾽, ὦ τέκνα,
δότ᾽ ἀσπάσασθαι μητρὶ δεξιὰν χέρα.
ὦ φιλτάτη χεὶρ, φίλτατον δέ μοι στόμα,
καὶ σχῆμα καὶ πρόσωπον εὐγενὲς τέκνων,
εὐδαιμονοῖτον, ἀλλ᾽ ἐκεῖ· τὰ δ᾽ ἐνθάδε
πατὴρ ἀφείλετ᾽. ὦ γλυκεῖα προσβολὴ,
ὦ μαλθακὸς χρὼς πνεῦμά θ᾽ ἥδιστον τέκνων.
χωρεῖτε χωρεῖτ᾽· οὐκέτ᾽ εἰμὶ προσβλέπειν
οἵα τ᾽ ἐς ὑμᾶς, ἀλλὰ νικῶμαι κακοῖς.
καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά·
θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,
ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς.

*ΧΟΡΟΣ.*

πολλάκις ἤδη διὰ λεπτοτέρων
μύθων ἔμολον, καὶ πρὸς ἁμίλλας
ἦλθον μείζους ἢ χρὴ γενεὰν
θῆλυν ἐρευνᾶν· ἀλλὰ γὰρ ἔστιν
μοῦσα καὶ ἡμῖν, ἣ προσομιλεῖ
σοφίας ἕνεκεν· πάσαισι μὲν οὔ·
παῦρον γὰρ δὴ γένος ἐν πολλαῖς
εὕροις ἂν ἴσως
κοὐκ ἀπόμουσον τὸ γυναικῶν.
καί φημι βροτῶν οἵτινές εἰσιν
πάμπαν ἄπειροι μηδ᾽ ἐφύτευσαν
παῖδας, προφέρειν εἰς εὐτυχίαν
τῶν γειναμένων.
οἱ μὲν ἄτεκνοι δι᾽ ἀπειροσύναν
εἴθ᾽ ἡδὺ βροτοῖς εἴτ᾽ ἀνιαρὸν
παῖδες τελέθουσ᾽ οὐχὶ τυχόντες
πολλῶν μόχθων ἀπέχονται·
οἷσι δὲ τέκνων ἔστιν ἐν οἴκοις
γλυκερὸν βλάστημ᾽, ἐσορῶ μελέτῃ
κατατρυχομένους τὸν ἅπαντα χρόνον·
πρῶτον μὲν ὅπως θρέψουσι καλῶς,
βίοτόν θ᾽ ὁπόθεν λείψουσι τέκνοις·
ἔτι δ᾽ ἐκ τούτων εἴτ᾽ ἐπὶ φλαύροις
εἴτ᾽ ἐπὶ χρηστοῖς
μοχθοῦσι, τόδ᾽ ἐστὶν ἄδηλον.
ἓν δὲ τὸ πάντων λοίσθιον ἤδη
πᾶσιν κατερῶ θνητοῖσι κακόν·
καὶ δὴ γὰρ ἅλις βίοτόν θ᾽ εὗρον,
σῶμά τ᾽ ἐς ἥβην ἤλυθε τέκνων
χρηστοί τ᾽ ἐγένοντ᾽· εἰ δὲ κυρήσας
δαίμων οὗτος, φροῦδος ἐς Ἅιδην
Θάνατος προφέρων σώματα τέκνων.
πῶς οὖν λύει πρὸς τοῖς ἄλλοις
τήνδ᾽ ἔτι λύπην ἀνιαροτάτην

**Post 1061. sequebantur**
πάντως σφ᾽ ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρὴ,
ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.

παίδων ἕνεκεν
θνητοῖσι θεοὺς ἐπιβάλλειν;

ΜΗΔΕΙΑ.

φίλαι, πάλαι δὴ προσμένουσα τὴν τύχην
καραδοκῶ τἀκεῖθεν οἷ προβήσεται.
καὶ δὴ δέδορκα τόνδε τῶν Ἰάσονος
στείχοντ᾽ ὀπαδῶν· πνεῦμα δ᾽ ἠρεθισμένον
δείκνυσιν ὥς τι καινὸν ἀγγελεῖ κακόν.

ΑΓΓΕΛΟΣ.

ὦ δεινὸν ἔργον παράνομόν τ᾽ εἰργασμένη
Μήδεια, φεῦγε φεῦγε, μήτε ναΐαν
λιποῦσ᾽ ἀπήνην μήτ᾽ ὄχον πεδοστιβῆ.

ΜΗΔΕΙΑ.

τί δ᾽ ἄξιόν μοι τῆσδε τυγχάνει φυγῆς;

ΑΓΓΕΛΟΣ.

ὄλωλεν ἡ τύραννος ἀρτίως κόρη
Κρέων θ᾽ ὁ φύσας φαρμάκων τῶν σῶν ὕπο.

ΜΗΔΕΙΑ.

κάλλιστον εἶπας μῦθον, ἐν δ᾽ εὐεργέταις
τὸ λοιπὸν ἤδη καὶ φίλοις ἐμοῖς ἔσει.

ΑΓΓΕΛΟΣ.

τί φής; φρονεῖς μὲν ὀρθὰ κοὐ μαίνει, γύναι,
ἥτις τυράννων ἑστίαν ᾐκισμένην
χαίρεις κλύουσα, κοὐ φοβεῖ τὰ τοιάδε;

ΜΗΔΕΙΑ.

ἔχω τι κἀγὼ τοῖς γε σοῖς ἐναντίον
λόγοισιν εἰπεῖν· ἀλλὰ μὴ σπέρχου, φίλος,
λέξον δ᾽ ὅπως ὤλοντο· δὶς τόσον γὰρ ἂν
τέρψειας ἡμᾶς, εἰ τεθνᾶσι παγκάκως.

ΑΓΓΕΛΟΣ.

ἐπεὶ τέκνων σῶν ἦλθε δίπτυχος γονὴ
σὺν πατρὶ καὶ παρῆλθε νυμφικοὺς δόμους,
ἥσθημεν οἵπερ σοῖς ἐκάμνομεν κακοῖς
δμῶες· δι᾽ ὤτων δ᾽ εὐθὺς ἦν πολὺς λόγος
σὲ καὶ πόσιν σὸν νεῖκος ἐσπεῖσθαι τὸ πρίν.
κυνεῖ δ᾽ ὁ μέν τις χεῖρ᾽, ὁ δὲ ξανθὸν κάρα
παίδων· ἐγὼ δὲ καὐτὸς ἡδονῆς ὕπο
στέγας γυναικῶν σὺν τέκνοις ἅμ᾽ ἑσπόμην.
δέσποινα δ᾽ ἣν νῦν ἀντὶ σοῦ θαυμάζομεν,
πρὶν μὲν τέκνων σῶν εἰσιδεῖν ξυνωρίδα,
πρόθυμον εἶχ᾽ ὀφθαλμὸν εἰς Ἰάσονα·
ἔπειτα μέντοι προὐκαλύψατ᾽ ὄμματα,
λευκήν τ᾽ ἀπέστρεψ᾽ ἔμπαλιν παρηίδα,
παίδων μυσαχθεῖσ᾽ εἰσόδους· πόσις δὲ σὸς
ὀργὰς ἀφῄρει καὶ νεάνιδος χόλον,
λέγων τάδ᾽· οὐ μὴ δυσμενὴς ἔσει φίλοις,
παύσει δὲ θυμοῦ καὶ πάλιν στρέψεις κάρα,
φίλους νομίζουσ᾽ οὕσπερ ἂν πόσις σέθεν,
δέξει δὲ δῶρα, καὶ παραιτήσει πατρὸς
φυγὰς ἀφεῖναι παισὶ τοῖσδ᾽ ἐμὴν χάριν;
ἡ δ᾽ ὡς ἐσεῖδε κόσμον, οὐκ ἠνέσχετο,
ἀλλ᾽ ᾔνεσ᾽ ἀνδρὶ πάντα· καὶ πρὶν ἐκ δόμων
μακρὰν ἀπεῖναι πατέρα καὶ παῖδας σέθεν,
λαβοῦσα πέπλους ποικίλους ἠμπίσχετο,
χρυσοῦν τε θεῖσα στέφανον ἀμφὶ βοστρύχοις,
λαμπρῷ κατόπτρῳ σχηματίζεται κόμην,
ἄψυχον εἰκὼ προσγελῶσα σώματος.
κἄπειτ᾽ ἀναστᾶσ᾽ ἐκ θρόνων διέρχεται
στέγας, ἁβρὸν βαίνουσα παλλεύκῳ ποδί,
δώροις ὑπερχαίρουσα, πολλὰ πολλάκις
τένοντ᾽ ἐς ὀρθὸν ὄμμασι σκοπουμένη.
τοὐνθένδε μέντοι δεινὸν ἦν θέαμ᾽ ἰδεῖν·
χροιὰν γὰρ ἀλλάξασα λεχρία πάλιν
χωρεῖ τρέμουσα κῶλα, καὶ μόλις φθάνει
θρόνοισιν ἐμπεσοῦσα μὴ χαμαὶ πεσεῖν.
καί τις γεραιὰ προσπόλων, δόξασά που
ἢ Πανὸς ὀργὰς ἤ τινος θεῶν μολεῖν,
ἀνωλόλυξε, πρίν γ᾽ ὁρᾷ κατὰ στόμα
χωροῦντα λευκὸν ἀφρὸν, ὀμμάτων τ᾽ ἄπο
κόρας στρέφουσαν, αἷμά τ᾽ οὐκ ἐνὸν χροΐ·
εἶτ᾽ ἀντίμολπον ἧκεν ὀλολυγῆς μέγαν
κωκυτόν. εὐθὺς δ᾽ ἡ μὲν ἐς πατρὸς δόμους
ὥρμησεν, ἡ δὲ προς τὸν ἀρτίως πόσιν,
φράσουσα νύμφης συμφοράν· ἅπασα δὲ
στέγη πυκνοῖσιν ἐκτύπει δρομήμασιν.
ἤδη δ᾽ ἂν ἕλκων κῶλον ἐκπλέθρου δρόμου
ταχὺς βαδιστὴς τερμόνων ἀνθήπτετο·
ἡ δ᾽ ἐξ ἀναύδου καὶ μύσαντος ὄμματος
δεινὸν στενάξασ᾽ ἡ τάλαιν᾽ ἠγείρετο·
διπλοῦν γὰρ αὐτῇ πῆμ᾽ ἐπεστρατεύετο.
χρυσοῦς μὲν ἀμφὶ κρατὶ κείμενος πλόκος
θαυμαστὸν ἵει νᾶμα παμφάγου πυρός·
πέπλοι δὲ λεπτοὶ, σῶν τέκνων δωρήματα,
λευκὴν ἔδαπτον σάρκα τῆς δυσδαίμονος.
φεύγει δ᾽ ἀναστᾶσ᾽ ἐκ θρόνων πυρουμένη,
σείουσα χαίτην κρᾶτά τ᾽ ἄλλοτ᾽ ἄλλοσε,
ῥῖψαι θέλουσα στέφανον· ἀλλ᾽ ἀραρότως
σύνδεσμα χρυσὸς εἶχε, πῦρ δ᾽, ἐπεὶ κόμην
ἔσεισε, μᾶλλον δὶς τόσως τ᾽ ἐλάμπετο.
πίτνει δ᾽ ἐς οὖδας ξυμφορᾷ νικωμένη,
πλὴν τῷ τεκόντι κάρτα δυσμαθὴς ἰδεῖν·
οὔτ᾽ ὀμμάτων γὰρ δῆλος ἦν κατάστασις
οὔτ᾽ εὐφυὲς πρόσωπον, αἷμα δ᾽ ἐξ ἄκρου
ἔσταζε κρατὸς, συμπεφυρμένον πυρὶ,
σάρκες δ᾽ ἀπ᾽ ὀστέων ὥστε πεύκινον δάκρυ
γναθμοῖς ἀδήλοις φαρμάκων ἀπέρρεον,
δεινὸν θέαμα· πᾶσι δ᾽ ἦν φόβος θιγεῖν
νεκροῦ· τύχην γὰρ εἴχομεν διδάσκαλον.
πατὴρ δ᾽ ὁ τλήμων ξυμφορᾶς ἀγνωσίᾳ
ἄφνω προσελθὼν δῶμα προσπίτνει νεκρῷ·
ᾤμωξε δ᾽ εὐθὺς, καὶ περιπτύξας δέμας
κυνεῖ προσαυδῶν τοιάδ᾽· ὦ δύστηνε παῖ,
τίς σ᾽ ὧδ᾽ ἀτίμως δαιμόνων ἀπώλεσεν;
τίς τὸν γέροντα τύμβον ὀρφανὸν σέθεν
τίθησιν; οἴμοι, ξυνθάνοιμί σοι, τέκνον.
ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,
χρῄζων γεραιὸν ἐξαναστῆσαι δέμας,
προσείχεθ᾽ ὥστε κισσὸς ἔρνεσιν δάφνης
λεπτοῖσι πέπλοις, δεινὰ δ᾽ ἦν παλαίσματα·
ὁ μὲν γὰρ ἤθελ᾽ ἐξαναστῆσαι γόνυ,
ἡ δ᾽ ἀντελάζυτ᾽· εἰ δὲ πρὸς βίαν ἄγοι,
σάρκας γεραιὰς ἐσπάρασσ᾽ ἀπ᾽ ὀστέων.
χρόνῳ δ᾽ ἀπέσβη καὶ μεθῆχ᾽ ὁ δύσμορος
ψυχήν· κακοῦ γὰρ οὐκέτ᾽ ἦν ὑπέρτερος.
κεῖνται δὲ νεκροὶ παῖς τε καὶ γέρων πατὴρ

πέλας, ποθεινῇ δακρύοισι συμφορά.
καί μοί τὸ μὲν σὸν ἐκποδὼν ἔστω λόγου·
γνώσει γὰρ αὐτὴ ζημίας ἀποστροφήν.
τὰ θνητὰ δ' οὐ νῦν πρῶτον ἡγοῦμαι σκιάν,
οὐδ' ἂν τρέσας εἴποιμι τοὺς σοφοὺς βροτῶν
δοκοῦντας εἶναι καὶ μεριμνητὰς λόγων
τούτους μεγίστην μωρίαν ὀφλισκάνειν·
θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων ἀνήρ·
ὄλβου δ' ἐπιρρυέντος εὐτυχέστερος
ἄλλου γένοιτ' ἂν ἄλλος, εὐδαίμων δ' ἂν οὔ.

ΧΟΡΟΣ.

ἔοιχ' ὁ δαίμων πολλὰ τῇδ' ἐν ἡμέρᾳ
κακὰ ξυνάψειν ἐνδίκως Ἰάσονι.
ὦ τλῆμον, ὥς σου ξυμφορὰς οἰκτείρομεν,
κόρη Κρέοντος, ἥτις εἰς Ἅιδου δόμους
οἴχει γάμων ἕκατι τῶν Ἰάσονος.

ΜΗΔΕΙΑ.

φίλαι, δέδοκται τοὔργον ὡς τάχιστά μοι
παῖδας κτανούσῃ τῆσδ' ἀφορμᾶσθαι χθονός,
καὶ μὴ σχολὴν ἄγουσαν ἐκδοῦναι τέκνα
ἄλλῃ φονεῦσαι δυσμενεστέρᾳ χερί.
πάντως σφ' ἀνάγκη κατθανεῖν. ἐπεὶ δὲ χρή,
ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
ἀλλ' εἶ' ὁπλίζου, καρδία. τί μέλλομεν
τὰ δεινὰ κἀναγκαῖα μὴ πράσσειν κακά;
ἄγ', ὦ τάλαινα χεὶρ ἐμή, λαβὲ ξίφος,
λάβ', ἕρπε πρὸς βαλβῖδα λυπηρὰν βίου,
καὶ μὴ κακισθῇς, μηδ' ἀναμνησθῇς τέκνων,
ὡς φίλταθ', ὡς ἔτικτες· ἀλλὰ τήνδε γε
λαθοῦ βραχεῖαν ἡμέραν παίδων σέθεν,
κἄπειτα θρήνει· καὶ γὰρ εἰ κτενεῖς σφ' ὅμως
φίλοι γ' ἔφυσαν, δυστυχὴς δ' ἐγὼ γυνή.

ΧΟΡΟΣ.

ἰὼ Γᾶ τε καὶ παμφαὴς
ἀκτὶς Ἀελίου, κατίδετ' ἴδετε τὰν
ὀλομέναν γυναῖκα, πρὶν φοινίαν
τέκνοις προσβαλεῖν χέρ' αὐτοκτόνον·
τᾶς σᾶς γὰρ ἀπὸ χρυσέας γονᾶς
ἔβλαστεν, θεῶν δ' αἵματι πίτνειν
φόβος ὑπ' ἀνέρων.
ἀλλά νιν, ὦ φάος διογενές, κάτειρ-
γε, κατάπαυσον, ἔξελ' οἴκων τάλαι-
ναν φονίαν τ' Ἐρινὺν ὑπ' ἀλαστόρων.
μάταν μόχθος ἔρρει τέκνων,
μάταν ἄρα γένος φίλιον ἔτεκες, ὦ
κυανεᾶν λιποῦσα Συμπληγάδων
πετρᾶν ἀξενωτάταν ἐσβολάν.
δειλαία, τί σοι φρενῶν βαρὺς
χόλος προσπίτνει, καὶ δυσμενὴς
φόνος ἀμείβεται;
χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιά-
σματ' ἐπὶ γαῖαν αὐτοφόνταις ξυνῳ-
δὰ θεόθεν πίτνοντ' ἐπὶ δόμοις ἄχη.

ΠΑΙΣ α'.

οἴμοι, τί δράσω; ποῖ φύγω μητρὸς χέρας;

ΠΑΙΣ β'.

οὐκ οἶδ', ἀδελφὲ φίλτατ'· ὀλλύμεσθα γάρ.

1251 — 1260. = 1261 — 1270.

ΧΟΡΟΣ.

ἀκούεις βοὰν ἀκούεις τέκνων;
ἰὼ τλᾶμον, ὦ κακοτυχὲς γύναι.
παρέλθω δόμους; ἀρῆξαι φόνον
δοκεῖ μοι τέκνοις.

ΠΑΙΔΕΣ.

ναί, πρὸς θεῶν, ἀρήξατ'· ἐν δέοντι γάρ·
ὡς ἐγγὺς ἤδη γ' ἐσμὲν ἀρκύων ξίφους.

ΧΟΡΟΣ.

τάλαιν', ὡς ἄρ' ἦσθα πέτρος ἢ σίδα-
ρος, ἅτις τέκνων ὃν ἔτεκες
ἄροτον αὐτόχειρι μοίρᾳ κτενεῖς.
μίαν δὴ κλύω μίαν τῶν πάρος
γυναῖκ' ἐν φίλοις χέρα βαλεῖν τέκνοις,
Ἰνὼ μανεῖσαν ἐκ θεῶν, ὅθ' ἡ Διὸς
δάμαρ νιν ἐξέπεμψε δωμάτων ἄλῃ.
πίτνει δ' ἁ τάλαιν' ἐς ἅλμαν φόνῳ
τέκνων δυσσεβεῖ,
ἀκτῆς ὑπερτείνασα ποντίας πόδα,
δυοῖν τε παίδοιν ξυνθανοῦσ' ἀπόλλυται.
τί δῆτ' οὖν γένοιτ' ἂν ἔτι δεινόν; ὦ
γυναικῶν λέχος πολύπονον,
ὅσα βροτοῖς ἔρεξας ἤδη κακά.

ΙΑΣΩΝ.

γυναῖκες, αἳ τῆσδ' ἐγγὺς ἕστατε στέγης,
ἆρ' ἐν δόμοισιν ἡ τὰ δείν' εἰργασμένη
Μήδεια τοισίδ', ἢ μεθέστηκεν φυγῇ;
δεῖ γάρ νιν ἤτοι γῆς σφε κρυφθῆναι κάτω,
ἢ πτηνὸν ἆραι σῶμ' ἐς αἰθέρος βάθος,
εἰ μὴ τυράννων δώμασιν δώσει δίκην.
πέποιθ' ἀποκτείνασα κοιράνους χθονὸς
ἀθῷος αὐτὴ τῶνδε φεύξεσθαι δόμων;
ἀλλ' οὐ γὰρ αὐτῆς φροντίδ' ὡς τέκνων ἔχω·
κείνην μὲν οὓς ἔδρασεν ἔρξουσιν κακῶς,
ἐμῶν δὲ παίδων ἦλθον ἐκσῶσαι βίον,
μή μοί τι δράσωσ' οἱ προσήκοντες γένει,
μητρῷον ἐκπράσσοντες ἀνόσιον φόνον.

ΧΟΡΟΣ.

ὦ τλῆμον, οὐκ οἶσθ' οἷ κακῶν ἐλήλυθας,
Ἰάσον· οὐ γὰρ τούσδ' ἂν ἐφθέγξω λόγους.

ΙΑΣΩΝ.

τί δ' ἔστιν; ἦ που κἄμ' ἀποκτεῖναι θέλει;

ΧΟΡΟΣ.

παῖδες τεθνᾶσι χειρὶ μητρῴᾳ σέθεν.

ΙΑΣΩΝ.

οἴμοι τί λέξεις; ὥς μ' ἀπώλεσας, γύναι.

ΧΟΡΟΣ.

ὡς οὐκέτ' ὄντων σῶν τέκνων φρόντιζε δή.

ΙΑΣΩΝ.

ποῦ γάρ νιν ἔκτειν', ἐντὸς ἢ 'ξωθεν δόμων;

1273. 1274. = 1282. 1283.
1275. 1276. = 1286. 1287.
1279 — 1281. = 1290 — 1292.

ΧΟΡΟΣ.

πύλας ἀνοίξας σῶν τέκνων ὄψει φόνον.

ΙΑΣΩΝ.

χαλᾶτε κλῇδας ὡς τάχιστα, πρόσπολοι,
ἐκλύεθ' ἁρμούς, ὡς ἴδω διπλοῦν κακόν,
τοὺς μὲν θανόντας, τὴν δὲ τίσωμαι φόνῳ.

ΜΗΔΕΙΑ.

τί τάσδε κινεῖς κἀναμοχλεύεις πύλας,
νεκροὺς ἐρευνῶν κἀμὲ τὴν εἰργασμένην;
παῦσαι πόνου τοῦδ'. εἰ δ' ἐμοῦ χρείαν ἔχεις,
λέγ' εἴ τι βούλει, χειρὶ δ' οὐ ψαύσεις ποτέ.
τοιόνδ' ὄχημα πατρὸς Ἥλιος πατὴρ
δίδωσιν ἡμῖν, ἔρυμα πολεμίας χερός.

ΙΑΣΩΝ.

ὦ μῖσος, ὦ μέγιστον ἐχθίστη γύναι
θεοῖς τε κἀμοὶ παντί τ' ἀνθρώπων γένει,
ἥτις τέκνοισι σοῖσιν ἐμβαλεῖν ξίφος
ἔτλης τεκοῦσα, κἄμ' ἄπαιδ' ἀπώλεσας·
καὶ ταῦτα δράσασ' ἥλιόν τε προσβλέπεις
καὶ γαῖαν, ἔργον τλᾶσα δυσσεβέστατον.
ὄλοι'· ἐγὼ δὲ νῦν φρονῶ, τότ' οὐ φρονῶν
ὅτ' ἐκ δόμων σε βαρβάρου τ' ἀπὸ χθονὸς
Ἕλλην' ἐς οἶκον ἠγόμην, κακὸν μέγα,
πατρός τε καὶ γῆς προδότιν ἥ σ' ἐθρέψατο.
τὸν σὸν δ' ἀλάστορ' εἰς ἔμ' ἔσκηψαν θεοί·
κτανοῦσα γὰρ δὴ σὸν κάσιν παρέστιον,
τὸ καλλίπρῳρον εἰσέβης Ἀργοῦς σκάφος.
ἤρξω μὲν ἐκ τοιῶνδε, νυμφευθεῖσα δὲ
παρ' ἀνδρὶ τῷδε καὶ τεκοῦσά μοι τέκνα,
εὐνῆς ἕκατι καὶ λέχους σφ' ἀπώλεσας.
οὐκ ἔστιν ἥτις τοῦτ' ἂν Ἑλληνὶς γυνὴ
ἔτλη ποθ', ὧν γε πρόσθεν ἠξίουν ἐγὼ
γῆμαί σε, κῆδος ἐχθρὸν ὀλέθριόν τ' ἐμοί,
λέαιναν, οὐ γυναῖκα, τῆς Τυρσηνίδος
Σκύλλης ἔχουσαν ἀγριωτέραν φύσιν.
ἀλλ' οὐ γὰρ ἄν σε μυρίοις ὀνείδεσι
δάκοιμι· τοιόνδ' ἐμπέφυκέ σοι θράσος·
ἔρρ', αἰσχροποιὲ καὶ τέκνων μιαιφόνε.
ἐμοὶ δὲ τὸν ἐμὸν δαίμον' αἰάζειν πάρα,
ὃς οὔτε λέκτρων νεογάμων ὀνήσομαι,
οὐ παῖδας οὓς ἔφυσα κἀξεθρεψάμην
ἕξω προσειπεῖν ζῶντας, ἀλλ' ἀπώλεσα.

ΜΗΔΕΙΑ.

μακρὰν ἂν ἐξέτεινα τοῖσδ' ἐναντία
λόγοισιν, εἰ μὴ Ζεὺς πατὴρ ἠπίστατο
οἷ' ἐξ ἐμοῦ πέπονθας οἷά τ' εἰργάσω·
σὺ δ' οὐκ ἔμελλες τἄμ' ἀτιμάσας λέχη
τερπνὸν διάξειν βίοτον ἐγγελῶν ἐμοί,
οὐθ' ἡ τύραννος οὐθ' ὁ σοὶ προσθεὶς γάμους
Κρέων ἀνατὶ τῆσδέ μ' ἐκβαλεῖν χθονός.
πρὸς ταῦτα καὶ λέαιναν, εἰ βούλει, κάλει,
καὶ Σκύλλαν, ἣ Τυρσηνὸν ᾤκησεν πέδον·
τῆς σῆς γὰρ ὡς χρὴ καρδίας ἀνθηψάμην.

ΙΑΣΩΝ.

καὐτή γε λυπεῖ καὶ κακῶν κοινωνὸς εἶ.

ΜΗΔΕΙΑ.

σάφ' ἴσθι· λύει δ' ἄλγος, ἢν σὺ μὴ 'γγελᾷς.

ΙΑΣΩΝ.

ὦ τέκνα, μητρὸς ὡς κακῆς ἐκύρσατε.

ΜΗΔΕΙΑ.

ὦ παῖδες, ὡς ὤλεσθε πατρῴᾳ νόσῳ.

ΙΑΣΩΝ.

οὔτοι νιν ἡμὴ δεξιά γ' ἀπώλεσεν.

ΜΗΔΕΙΑ.

ἀλλ' ὕβρις οἵ τε σοὶ νεοδμῆτες γάμοι.

ΙΑΣΩΝ.

λέχους σφε κἠξίωσας οὕνεκα κτανεῖν;

ΜΗΔΕΙΑ.

σμικρὸν γυναικὶ πῆμα τοῦτ' εἶναι δοκεῖς;

ΙΑΣΩΝ.

ἥτις γε σώφρων· σοὶ δὲ πάντ' ἐστὶν κακά.

ΜΗΔΕΙΑ.

οἵδ' οὐκέτ' εἰσί· τοῦτο γάρ σε δήξεται.

ΙΑΣΩΝ.

οἵδ' εἰσίν, οἴμοι, σῷ κάρᾳ μιάστορες.

ΜΗΔΕΙΑ.

ἴσασιν ὅστις ἦρξε πημονῆς θεοί.

ΙΑΣΩΝ.

ἴσασι δῆτα σήν γ' ἀπόπτυστον φρένα.

ΜΗΔΕΙΑ.

στυγεῖ· πικρὰν δὲ βάξιν ἐχθαίρω σέθεν.

ΙΑΣΩΝ.

καὶ μὴν ἐγὼ σήν· ῥᾴδιοι δ' ἀπαλλαγαί.

ΜΗΔΕΙΑ.

πῶς οὖν; τί δράσω; κάρτα γὰρ κἀγὼ θέλω.

ΙΑΣΩΝ.

θάψαι νεκρούς μοι τούσδε καὶ κλαῦσαι πάρ

ΜΗΔΕΙΑ.

οὐ δῆτ', ἐπεὶ σφᾶς τῇδ' ἐγὼ θάψω χερί,
φέρουσ' ἐς Ἥρας τέμενος ἀκραίας θεοῦ,
ὡς μή τις αὐτοὺς πολεμίων καθυβρίσῃ,
τύμβους ἀνασπῶν· γῇ δὲ τῇδε Σισύφου
σεμνὴν ἑορτὴν καὶ τέλη προσάψομεν
τὸ λοιπὸν ἀντὶ τοῦδε δυσσεβοῦς φόνου.
αὐτὴ δὲ γαῖαν εἶμι τὴν Ἐρεχθέως,
Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος.
σὺ δ', ὥσπερ εἰκός, κατθανεῖ κακὸς κακῶ
Ἀργοῦς κάρα σὸν λειψάνῳ πεπληγμένος,
πικρὰς τελευτὰς τῶν ἐμῶν ἰδὼν γάμων.

ΙΑΣΩΝ.

ἀλλά σ' Ἐρινὺς ὀλέσειε τέκνων
φονία τε Δίκη.

ΜΗΔΕΙΑ.

τίς δὲ κλύει σου θεὸς ἢ δαίμων,
τοῦ ψευδόρκου καὶ ξειναπάτου;

ΙΑΣΩΝ.

φεῦ φεῦ, μυσαρὰ καὶ παιδολέτορ.

ΜΗΔΕΙΑ.

στεῖχε πρὸς οἴκους καὶ θάπτ' ἄλοχον.

ΙΑΣΩΝ.

στείχω, δισσῶν γ' ἄμορος τέκνων.

ΜΗΔΕΙΑ.

οὔπω θρηνεῖς· μένε καὶ γῆρας.

ΙΑΣΩΝ.

ὦ τέκνα φίλτατα.

ΜΗΔΕΙΑ.

μητρί γε, σοὶ δ' οὔ.

ΙΑΣΩΝ.

κἄπειτ' ἔκτας;

ΜΗΔΕΙΑ.

σέ γε πημαίνουσ'.

ΙΑΣΩΝ.

αἰαῖ· φιλίου χρῄζω στόματος
παίδων ὁ τάλας προσπτύξασθαι.

ΜΗΔΕΙΑ.

νῦν σφε προσαυδᾷς, νῦν ἀσπάζει,
τότ' ἀπωσάμενος.

ΙΑΣΩΝ.

δός μοι πρὸς θεῶν
μαλακοῦ χρωτὸς ψαῦσαι τέκνων.

ΜΗΔΕΙΑ.

οὐκ ἔστι· μάτην ἔπος ἔρριπται.

ΙΑΣΩΝ.

Ζεῦ, τάδ' ἀκούεις ὡς ἀπελαυνόμεθ',
οἷά τε πάσχομεν ἐκ τῆς μυσαρᾶς
καὶ παιδοφόνου τῆσδε λεαίνης;
ἀλλ' ὁπόσον γοῦν πάρα καὶ δύναμαι
τάδε καὶ θρηνῶ κἀπιθοάζω,
μαρτυρόμενος δαίμονας ὥς μοι
τέκν' ἀποκτείνασ' ἀποκωλύεις
ψαῦσαί τε χεροῖν θάψαι τε νεκρούς,
οὓς μήποτ' ἐγὼ φύσας ὄφελον
πρὸς σοῦ φθιμένους ἐπιδέσθαι.

ΧΟΡΟΣ.

πολλῶν ταμίας Ζεὺς ἐν Ὀλύμπῳ,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί·
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

# ΕΥΡΙΠΙΔΟΥ ΙΠΠΟΛΥΤΟΣ ΣΤΕΦΑΝΗΦΟΡΟΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΑΦΡΟΔΙΤΗ.*
*ΙΠΠΟΛΥΤΟΣ.*
*ΘΕΡΑΠΟΝΤΕΣ.*
*ΧΟΡΟΣ ΤΡΟΙΖΗΝΙΩΝ ΓΥΝΑΙΚΩΝ.*
*ΤΡΟΦΟΣ.*
*ΦΑΙΔΡΑ.*
*ΑΓΓΕΛΟΣ.*
*ΘΗΣΕΥΣ.*
*ΕΞΑΓΓΕΛΟΣ.*
*ΑΡΤΕΜΙΣ.*

## ΥΠΟΘΕΣΙΣ.

*Θησεὺς υἱὸς μὲν ἦν Αἴθρας καὶ Ποσειδῶνος, βασιλεὺς δὲ Ἀθηναίων· γήμας δὲ μίαν τῶν Ἀμαζόνων*
*πολύτην, Ἱππόλυτον ἐγέννησε, κάλλει τε καὶ σωφροσύνῃ διαφέροντα. ἐπεὶ δὲ ἡ συνοικοῦσα τὸν βίον*
*τήλλαξεν, ἐπεισηγάγετο Κρητικὴν γυναῖκα, τὴν Μίνωος τοῦ Κρητῶν βασιλέως καὶ Πασιφάης θυγα*
*Φαίδραν. ὁ δὲ Θησεὺς Πάλλαντα, ἕνα τῶν συγγενῶν, φονεύσας, φεύγει ἐς Τροιζῆνα μετὰ τῆς γυνα*
*οὗ συνέβη τὸν Ἱππόλυτον παρὰ Πιτθεῖ τρέφεσθαι· θεασαμένη δὲ τὸν νεανίσκον ἡ Φαίδρα εἰς ἐπιθυ*
*ὤλισθεν, οὐκ ἀκόλαστος οὖσα, πληροῦσα δὲ Ἀφροδίτης μῆνιν, ἣ τὸν Ἱππόλυτον διὰ σωφροσύνην ἀν*
*κρίνασα τέλος τοῖς προτεθεῖσιν ἐπέθηκε, τὴν Φαίδραν εἰς τὸν Ἱππολύτου ἔρωτα παρορμήσασα. ἡ δὲ*
*γουσα τὴν νόσον χρόνῳ πρὸς τὴν τροφὸν τὸ πάθος δηλῶσαι ἠναγκάσθη, κατεπαγγειλαμένην αὐτῇ βο*
*σειν· ἥτις καὶ κατὰ τὴν προαίρεσιν λόγους προσήνεγκε τῷ νεανίσκῳ. τραχυνόμενον δὲ αὐτὸν ἡ Φ*
*καταμαθοῦσα, τῇ μὲν τροφῷ ἐπέπληξεν, ἑαυτὴν δὲ ἀνήρτησε. καθ᾽ ὃν καιρὸν φανεὶς Θησεύς, καὶ*
*λεῖν σπεύδων τὴν ἀπηγχονισμένην, εὗρεν αὐτῇ προσηρτημένην δέλτον, δι᾽ ἧς Ἱππολύτου φθορὰν κα*
*ρει καὶ ἐπιβουλήν. πιστεύσας δὲ τοῖς γεγραμμένοις τὸν μὲν Ἱππόλυτον ἐπέταξε φεύγειν, αὐτὸς*
*Ποσειδῶνι ἀρὰς ἔθετο, ὧν ἐπακούσας ὁ θεὸς τὸν Ἱππόλυτον διέφθειρεν. Ἄρτεμις δὲ τῶν γεγενη*
*ἕκαστα διασαφήσασα Θησεῖ, τὴν μὲν Φαίδραν οὐ κατεμέμψατο, τοῦτον δὲ παρεμυθήσατο υἱοῦ καὶ*
*κὸς στερηθέντα· τῷ δὲ Ἱππολύτῳ τιμὰς ἔφη ἐπιχωρίους ἐγκαταστήσασθαι.*

*Ἡ σκηνὴ τοῦ δράματος ἐν Τροιζῆνι κεῖται. ἐδιδάχθη ἐπὶ Ἐπαμείνονος ἄρχοντος ὀλυμπιάδι*
*χοστῇ ἑβδόμῃ ἔτει τετάρτῳ. πρῶτος Εὐριπίδης, δεύτερος Ἰοφῶν, τρίτος Ἴων. ἔστι δὲ οὗτος ὁ Ἱππ*
*δεύτερος, καὶ ΣΤΕΦΑΝΙΑΣ προσαγορευόμενος. ἐμφαίνεται δὲ ὕστερος γεγραμμένος. τὸ γὰρ ἀ*
*καὶ κατηγορίας ἄξιον ἐν τούτῳ διώρθωται τῷ δράματι. τὸ δὲ δρᾶμα τῶν πρώτων.*

# ΙΠΠΟΛΥΤΟΣ ΣΤΕΦΑΝΗΦΟΡΟΣ.

*ΑΦΡΟΔΙΤΗ.*

Πολλὴ μὲν ἐν βροτοῖσι κοὐκ ἀνώνυμος
θεὰ κέκλημαι Κύπρις, οὐρανοῦ τ' ἔσω,
ὅσοι τε πόντου τερμόνων τ' Ἀτλαντικῶν
ναίουσιν εἴσω φῶς ὁρῶντες ἡλίου,
τοὺς μὲν σέβοντας τἀμὰ πρεσβεύω κράτη,
σφάλλω δ' ὅσοι φρονοῦσιν εἰς ἡμᾶς μέγα.
ἔνεστι γὰρ δὴ κἀν θεῶν γένει τόδε,
τιμώμενοι χαίρουσιν ἀνθρώπων ὕπο.
δείξω δὲ μύθων τῶνδ' ἀλήθειαν τάχα·
ὁ γάρ με Θησέως παῖς, Ἀμαζόνος τόκος,
Ἱππόλυτος, ἁγνοῦ Πιτθέως παιδεύματα,
μόνος πολιτῶν τῆσδε γῆς Τροιζηνίας
λέγει κακίστην δαιμόνων πεφυκέναι.
ἀναίνεται δὲ λέκτρα κοὐ ψαύει γάμων·
Φοίβου δ' ἀδελφὴν Ἄρτεμιν, Διὸς κόρην,
τιμᾷ, μεγίστην δαιμόνων ἡγούμενος·
χλωρὰν δ' ἀν' ὕλην παρθένῳ ξυνὼν ἀεὶ
κυσὶν ταχείαις θῆρας ἐξαίρει χθονὸς,
μείζω βροτείας προσπεσὼν ὁμιλίας.
τούτοισι μέν νυν οὐ φθονῶ· τί γάρ με δεῖ;
ἃ δ' εἰς ἔμ' ἡμάρτηκε, τιμωρήσομαι
Ἱππόλυτον ἐν τῇδ' ἡμέρᾳ· τὰ πολλὰ δὲ
πάλαι προκόψασ', οὐ πόνου πολλοῦ με δεῖ.
ἐλθόντα γάρ νιν Πιτθέως ποτ' ἐκ δόμων
σεμνῶν ἐς ὄψιν καὶ τέλη μυστηρίων
Πανδίονος γῆν πατρὸς εὐγενὴς δάμαρ
ἰδοῦσα Φαίδρα καρδίαν κατέσχετο
ἔρωτι δεινῷ τοῖς ἐμοῖς βουλεύμασι.
καὶ πρὶν μὲν ἐλθεῖν τήνδε γῆν Τροιζηνίαν,
πέτραν παρ' αὐτὴν Παλλάδος κατόψιον
γῆς τῆσδε ναὸν Κύπριδος ἐγκαθείσατο,
ἐρῶσ' ἔρωτ' ἔκδημον· Ἱππολύτῳ δ' ἔπι
τὸ λοιπὸν ὠνόμαζεν ἱδρῦσθαι θεάν.
ἐπεὶ δὲ Θησεὺς Κεκροπίαν λείπει χθόνα,
μίασμα φεύγων αἵματος Παλλαντιδῶν,
καὶ τήνδε σὺν δάμαρτι ναυστολεῖ χθόνα,
ἐνιαυσίαν ἔκδημον αἰνέσας φυγὴν,
ἐνταῦθα δὴ στένουσα κἀκπεπληγμένη
κέντροις ἔρωτος ἡ τάλαιν' ἀπόλλυται
σιγῇ· ξύνοιδε δ' οὔτις οἰκετῶν νόσον.
ἀλλ' οὔτι ταύτῃ τόνδ' ἔρωτα χρὴ πεσεῖν·
δείξω δὲ Θησεῖ πρᾶγμα, κἀκφανήσεται.
καὶ τὸν μὲν ἡμῖν πολέμιον πεφυκότα
κτενεῖ πατὴρ ἀραῖσιν, ἃς ὁ πόντιος
ἄναξ Ποσειδῶν ὤπασεν Θησεῖ γέρας,
μηδὲν μάταιον ἐς τρὶς εὔξασθαι θεῷ.
ἡ δ' εὐκλεὴς μὲν, ἀλλ' ὅμως ἀπόλλυται,
Φαίδρα· τὸ γὰρ τῆσδ' οὐ προτιμήσω κακὸν
τὸ μὴ οὐ παρασχεῖν τοὺς ἐμοὺς ἐχθροὺς ἐμοὶ
δίκην τοσαύτην ὥστ' ἐμοὶ καλῶς ἔχειν.
ἀλλ' εἰσορῶ γὰρ τόνδε παῖδα Θησέως
στείχοντα, θήρας μόχθον ἐκλελοιπότα,
Ἱππόλυτον, ἔξω τῶνδε βήσομαι τόπων.
πολὺς δ' ἅμ' αὐτῷ προσπόλων ὀπισθόπους
κῶμος λέλακεν, Ἄρτεμιν τιμῶν θεὰν
ὕμνοισιν· οὐ γὰρ οἶδ' ἀνεῳγμένας πύλας
Ἅιδου, φάος τε λοίσθιον βλέπων τόδε.

*ΙΠΠΟΛΥΤΟΣ.*

ἕπεσθ' ἀείδοντες ἕπεσθε
τὰν Διὸς οὐρανίαν
Ἄρτεμιν, ᾇ μελόμεσθα.

*ΘΕΡΑΠΟΝΤΕΣ.*

πότνια πότνια, σεμνοτάτα,
Ζανὸς γένεθλον,
χαῖρε χαῖρέ μοι, ὦ κόρα
Λατοῦς Ἄρτεμι καὶ Διὸς,
καλλίστα πολὺ παρθένων,
ἃ μέγαν κατ' οὐρανὸν
ναίεις εὐπατέρειαν αὐλὰν,
Ζανὸς πολύχρυσον οἶκον.

*ΙΠΠΟΛΥΤΟΣ.*

χαῖρέ μοι, ὦ καλλίστα,
καλλίστα τῶν κατ' Ὄλυμπον
παρθένων, Ἄρτεμι·
σοὶ τόνδε πλεκτὸν στέφανον ἐξ ἀκηράτου
λειμῶνος, ὦ δέσποινα, κοσμήσας φέρω,
ἔνθ' οὔτε ποιμὴν ἀξιοῖ φέρβειν βοτὰ
οὔτ' ἦλθέ πω σίδηρος, ἀλλ' ἀκήρατον
μέλισσα λειμῶν' ἠρινὸν διέρχεται·
Αἰδὼς δὲ ποταμίαισι κηπεύει δρόσοις,
ὅσοις διδακτὸν μηδὲν, ἀλλ' ἐν τῇ φύσει
τὸ σωφρονεῖν εἴληχεν ἐς τὰ πάνθ' ὁμῶς,
τούτοις δρέπεσθαι· τοῖς κακοῖσι δ' οὐ θέμις.
ἀλλ', ὦ φίλη δέσποινα, χρυσέας κόμης
ἀνάδημα δέξαι χειρὸς εὐσεβοῦς ἄπο.
μόνῳ γάρ ἐστι τοῦτ' ἐμοὶ γέρας βροτῶν·
σοὶ καὶ ξύνειμι καὶ λόγοις σ' ἀμείβομαι,
κλύων μὲν αὐδὴν, ὄμμα δ' οὐχ ὁρῶν τὸ σόν.
τέλος δὲ κάμψαιμ' ὥσπερ ἠρξάμην βίου.

*ΘΕΡΑΠΩΝ.*

ἄναξ, θεοὺς γὰρ δεσπότας καλεῖν χρεὼν,
ἆρ' ἄν τί μου δέξαιο βουλεύσαντος εὖ;

*ΙΠΠΟΛΥΤΟΣ.*

καὶ κάρτα γ'· ἢ γὰρ οὐ σοφοὶ φαινοίμεθ' ἄν.

*ΘΕΡΑΠΩΝ.*

οἶσθ' οὖν βροτοῖσιν ὃς καθέστηκεν νόμος;

*ΙΠΠΟΛΥΤΟΣ.*

οὐκ οἶδα· τοῦ δὲ καί μ' ἀνιστορεῖς πέρι;

*ΘΕΡΑΠΩΝ.*

μισεῖν τὸ σεμνὸν καὶ τὸ μὴ πᾶσιν φίλον.

*ΙΠΠΟΛΥΤΟΣ.*

ὀρθῶς γε· τίς δ' οὐ σεμνὸς ἀχθεινὸς βροτῶν;

ΘΕΡΑΠΩΝ.
ἐν δ' εὐπροσηγόροισιν ἔστι τις χάρις;
ΙΠΠΟΛΥΤΟΣ.
πλείστη γε, καὶ κέρδος γε σὺν μόχθῳ βραχεῖ.
ΘΕΡΑΠΩΝ.
ἦ κἀν θεοῖσι ταυτὸν ἐλπίζεις τόδε;
ΙΠΠΟΛΥΤΟΣ.
εἴπερ γε θνητοὶ θεῶν νόμοισι χρώμεθα.
ΘΕΡΑΠΩΝ.
πῶς οὖν σὺ σεμνὴν δαίμον' οὐ προσεννέπεις;
ΙΠΠΟΛΥΤΟΣ.
τίν'; εὐλαβοῦ δὲ μή τι σὸν σφαλῇ στόμα.
ΘΕΡΑΠΩΝ.
τήνδ' ἣ πύλαισι σαῖς ἐφέστηκεν Κύπρις.
ΙΠΠΟΛΥΤΟΣ.
πρόσωθεν αὐτὴν ἁγνὸς ὢν ἀσπάζομαι.
ΘΕΡΑΠΩΝ.
σεμνή γε μέντοι κἀπίσημος ἐν βροτοῖς.
ΙΠΠΟΛΥΤΟΣ.
ἄλλοισιν ἄλλος θεῶν τε κἀνθρώπων μέλει.
ΘΕΡΑΠΩΝ.
εὐδαιμονοίης, νοῦν ἔχων ὅσον σε δεῖ.
ΙΠΠΟΛΥΤΟΣ.
οὐδείς μ' ἀρέσκει νυκτὶ θαυμαστὸς θεῶν.
ΘΕΡΑΠΩΝ.
τιμαῖσιν, ὦ παῖ, δαιμόνων χρῆσθαι χρεών.
ΙΠΠΟΛΥΤΟΣ.
χωρεῖτ', ὀπαδοὶ, καὶ παρελθόντες δόμους
σίτων μέλεσθε· τερπνὸν ἐκ κυναγίας
τράπεζα πλήρης· καὶ καταψήχειν χρεὼν
ἵππους, ὅπως ἂν ἅρμασι ζεύξας ὕπο
βορᾶς κορεσθεὶς γυμνάσω τὰ πρόσφορα·
τὴν σὴν δὲ Κύπριν πόλλ' ἐγὼ χαίρειν λέγω.
ΘΕΡΑΠΩΝ.
ἡμεῖς δὲ, τοὺς νέους γὰρ οὐ μιμητέον,
φρονοῦντες οὕτως ὡς πρέπει δούλοις λέγειν,
προσευχόμεσθα τοῖσι σοῖς ἀγάλμασι,
δέσποινα Κύπρι. χρὴ δὲ συγγνώμην ἔχειν,
εἴ τίς σ', ὑφ' ἥβης σπλάγχνον ἔντονον φέρων,
μάταια βάζει· μὴ δόκει τούτων κλύειν·
σοφωτέρους γὰρ δεῖ βροτῶν εἶναι θεούς.
ΧΟΡΟΣ.
Ὠκεανοῦ τις ὕδωρ
στάζουσα πέτρα λέγεται
βαπτὰν κάλπισι ῥυτὰν
παγὰν προϊεῖσα κρημνῶν,
ὅθι μοί τις ἦν φίλα,
φάρεα πορφύρεα
ποταμίᾳ δρόσῳ
τέγγουσα, θερμᾶς δ' ἐπὶ νῶτα πέτρας
εὐαλίου κατέβαλλ'· ὅθεν μοι
πρώτα φάτις ἦλθε δέσποιναν
τειρομέναν νοσερᾷ
κοίτᾳ δέμας ἐντὸς ἔχειν
οἴκων, λεπτὰ δὲ φάρη
ξανθὰν κεφαλὰν σκιάζειν.
τριτάταν δέ νιν κλύω
τάνδε κατ' ἀμβροσίου
στόματος ἁμέραν

121—130. == 131—140.

Δάματρος ἀκτᾶς δέμας ἁγνὸν ἴσχειν,
κρυπτῷ πάθει θανάτου θέλουσαν
κέλσαι ποτὶ τέρμα δύστανον.
σύ τἂρ' ἔνθεος, ὦ κούρα,
εἴτ' ἐκ Πανὸς εἴθ' Ἑκάτας,
ἢ σεμνῶν Κορυβάντων,
ἢ ματρὸς ὀρείας φοιτᾷς.
σὺ δ' ἀμφὶ τὰν πολύθηρον
Δίκτυνναν ἀμπλακίαις
ἀνίερος ἀθύτων πελάνων τρύχει.
φοιτᾷ γὰρ καὶ διὰ λίμνας
χέρσον θ' ὑπὲρ πελάγους
δίναισιν νοτίας ἅλμας.
ἢ πόσιν, τὸν Ἐρεχθειδᾶν
ἀρχαγὸν, τὸν εὐπατρίδαν,
ποιμαίνει τις ἐν οἴκοις
κρυπτὰ κοίτα λεχέων σῶν;
ἢ ναυβάτας τις ἔπλευσεν
Κρήτας ἔξορμος ἀνὴρ
λιμένα τὸν εὐξεινότατον ναύταις,
φήμαν πέμπων βασιλείᾳ,
λύπᾳ δ' ὑπὲρ παθέων
εὐναία δέδεται ψυχάν;
φιλεῖ δὲ τᾷ δυστρόπῳ γυναικῶν
ἁρμονίᾳ κακα δύστανος ἀμαχανία συνοικεῖν
ὠδίνων τε καὶ ἀφροσύνας.
δι' ἐμᾶς ἦξέν ποτε νηδύος ἅδ' αὔρα·
τὰν δ' εὔλοχον οὐρανίαν
τόξων μεδέουσαν ἀΰτευν
Ἄρτεμιν, καί μοι πολυζήλωτος ἀεὶ
σὺν θεοῖσι φοιτᾷ.
ἀλλ ἥδε τροφὸς γεραιὰ πρὸ θυρῶν
τήνδε κομίζουσ' ἔξω μελάθρων·
στυγνὸν δ' ὀφρύων νέφος αὐξάνεται.
τί ποτ' ἔστι μαθεῖν ἔραται ψυχὰ,
τί δεδήληται
δέμας ἀλλόχροον βασιλείας.

ΤΡΟΦΟΣ.
ὦ κακὰ θνητῶν στυγεραί τε νόσοι.
τί σ' ἐγὼ δράσω; τί δὲ μὴ δράσω;
τόδε σοι φέγγος λαμπρὸν, ὅδ' αἰθήρ·
ἔξω δὲ δόμων ἤδη νοσερᾶς
δέμνια κοίτας.
δεῦρο γὰρ ἐλθεῖν πᾶν ἔπος ἦν σοι·
τάχα δ' ἐς θαλάμους σπεύσεις τὸ πάλιν.
ταχὺ γὰρ σφάλλει κοὐδενὶ χαίρεις,
οὐδέ σ' ἀρέσκει τὸ παρὸν, τὸ δ' ἀπὸν
φίλτερον ἡγεῖ.
κρεῖσσον δὲ νοσεῖν ἢ θεραπεύειν·
τὸ μέν ἐστιν ἁπλοῦν, τῷ δὲ συνάπτει
λύπη τε φρενῶν χερσίν τε πόνος.
πᾶς δ' ὀδυνηρὸς βίος ἀνθρώπων,
κοὐκ ἔστι πόνων ἀνάπαυσις·
ἀλλ' ὅ τι τοῦ ζῆν φίλτερον ἄλλο
σκότος ἀμπίσχων κρύπτει νεφέλαις.
δυσέρωτες δὴ φαινόμεθ' ὄντες
τοῦδ', ὅτι τοῦτο στίλβει κατὰ γᾶν,
δι' ἀπειροσύναν ἄλλου βιότου

141—150. == 151—160.

κοὐκ ἀπόδειξιν τῶν ὑπὸ γαίας·
μύθοις δ' ἄλλως φερόμεσθα.

ΦΑΙΔΡΑ.

αἴρετέ μου δέμας, ὀρθοῦτε κάρα·
λέλυμαι μελέων σύνδεσμα, φίλαι.
λάβετ' εὐπήχεις χεῖρας, πρόπολοι.
βαρύ μοι κεφαλῆς ἐπίκρανον ἔχειν·
ἄφελ', ἀμπέτασον βόστρυχον ὤμοις.

ΤΡΟΦΟΣ.

θάρσει, τέκνον, καὶ μὴ χαλεπῶς
μετάβαλλε δέμας.
ῥᾷον δὲ νόσον μετά θ' ἡσυχίας
καὶ γενναίου λήματος οἴσεις·
μοχθεῖν δὲ βροτοῖσιν ἀνάγκη.

ΦΑΙΔΡΑ.

αἰαῖ·
πῶς ἂν δροσερᾶς ἀπὸ κρηνῖδος
καθαρῶν ὑδάτων πῶμ' ἀρυσαίμαν,
ὑπό τ' αἰγείροις ἔν τε κομήτῃ
λειμῶνι κλιθεῖσ' ἀναπαυσαίμαν.

ΤΡΟΦΟΣ.

ὦ παῖ, τί θροεῖς;
οὐ μὴ παρ' ὄχλῳ τάδε γηρύσει,
μανίας ἔποχον ῥίπτουσα λόγον;

ΦΑΙΔΡΑ.

πέμπετέ μ' εἰς ὄρος· εἶμι πρὸς ὕλαν
καὶ παρὰ πεύκας, ἵνα θηροφόνοι
στείβουσι κύνες,
βαλιαῖς ἐλάφοις ἐγχριμπτομένα·
πρὸς θεῶν, ἔραμαι κυσὶ θωΰξαι,
καὶ παρὰ χαίταν ξανθὰν ῥῖψαι
Θεσσαλὸν ὅρπακ', ἐπίλογχον ἔχουσ'
ἐν χειρὶ βέλος.

ΤΡΟΦΟΣ.

τί ποτ', ὦ τέκνον, τάδε κηραίνεις;
τί κυνηγεσίων καὶ σοὶ μελέτης;
τί δὲ κρηναίων νασμῶν ἔρασαι;
πάρα γὰρ δροσερὰ πύργοις συνεχὴς
κλιτύς, ὅθεν σοι πῶμα γένοιτ' ἄν.

ΦΑΙΔΡΑ.

δέσποιν' ἁλίας Ἄρτεμι Λίμνας
καὶ γυμνασίων τῶν ἱπποκρότων,
εἴθε γενοίμαν ἐν σοῖς δαπέδοις,
πώλους Ἐνέτας δαμαλιζομένα.

ΤΡΟΦΟΣ.

τί τόδ' αὖ παράφρων ἔρριψας ἔπος;
νῦν δὴ μὲν ὄρος βᾶσ' ἐπὶ θήρας
πόθον ἐστέλλου, νῦν δ' αὖ ψαμάθοις
ἐπ' ἀκυμάντοις πώλων ἔρασαι.
τάδε μαντείας ἄξια πολλᾶς,
ὅστις σε θεῶν ἀνασειράζει
καὶ παρακόπτει φρένας, ὦ παῖ.

ΦΑΙΔΡΑ.

δύστανος ἐγώ, τί ποτ' εἰργασάμαν;
ποῖ παρεπλάγχθην γνώμας ἀγαθᾶς;
ἐμάνην, ἔπεσον δαίμονος ἄτᾳ.
φεῦ φεῦ, τλήμων.
μαῖα, πάλιν μου κρύψον κεφαλάν·
αἰδούμεθα γὰρ τὰ λελεγμένα μοι.
κρύπτε· κατ' ὄσσων δάκρυ μοι βαίνει,
καὶ ἐπ' αἰσχύνην ὄμμα τέτραπται.
τὸ γὰρ ὀρθοῦσθαι γνώμαν ὀδυνᾷ,
τὸ δὲ μαινόμενον κακόν· ἀλλὰ κρατεῖ
μὴ γιγνώσκοντ' ἀπολέσθαι.

ΤΡΟΦΟΣ.

κρύπτω· τὸ δ' ἐμὸν πότε δὴ θάνατος
σῶμα καλύψει;
πολλὰ διδάσκει μ' ὁ πολὺς βίοτος.
χρῆν γὰρ μετρίας εἰς ἀλλήλους
φιλίας θνατοὺς ἀνακίρνασθαι,
καὶ μὴ πρὸς ἄκρον μυελὸν ψυχᾶς,
εὔλυτα δ' εἶναι στέργηθρα φρενῶν,
ἀπό τ' ὤσασθαι καὶ ξυντεῖναι.
τὸ δ' ὑπὲρ δισσῶν μίαν ὠδίνειν
ψυχὰν χαλεπὸν βάρος, ὡς κἀγὼ
τῆσδ' ὑπεραλγῶ.
βιότου δ' ἀτρεκεῖς ἐπιτηδεύσεις
φασὶ σφάλλειν πλέον ἢ τέρπειν,
τῇ θ' ὑγιείᾳ μᾶλλον πολεμεῖν.
οὕτω τὸ λίαν ἧσσον ἐπαινῶ
τοῦ μηδὲν ἄγαν·
καὶ ξυμφήσουσι σοφοί μοι.

ΧΟΡΟΣ.

γύναι γεραιά, βασιλίδος πιστὴ τροφὲ
Φαίδρας, ὁρῶμεν τάσδε δυστήνους τύχας·
ἄσημα δ' ἡμῖν ἥτις ἐστὶν ἡ νόσος·
σοῦ δ' ἂν πυθέσθαι καὶ κλύειν βουλοίμεθ' ἄν.

ΤΡΟΦΟΣ.

οὐκ οἶδ' ἐλέγχουσ'· οὐ γὰρ ἐννέπειν θέλει.

ΧΟΡΟΣ.

οὐδ' ἥτις ἀρχὴ τῶνδε πημάτων ἔφυ;

ΤΡΟΦΟΣ.

ἐς ταυτὸν ἥκεις· πάντα γὰρ σιγᾷ τάδε.

ΧΟΡΟΣ.

ὡς ἀσθενεῖ τε καὶ κατέξανται δέμας.

ΤΡΟΦΟΣ.

πῶς δ' οὔ, τριταίαν γ' οὖσ' ἄσιτος ἡμέραν;

ΧΟΡΟΣ.

πότερον ὑπ' ἄτης, ἢ θανεῖν πειρωμένη;

ΤΡΟΦΟΣ.

θανεῖν· ἀσιτεῖ δ' εἰς ἀπόστασιν βίου.

ΧΟΡΟΣ.

θαυμαστὸν εἶπας, εἰ τάδ' ἐξαρκεῖ πόσει.

ΤΡΟΦΟΣ.

κρύπτει γὰρ ἥδε πῆμα κοὔ φησιν νοσεῖν.

ΧΟΡΟΣ.

ὁ δ' ἐς πρόσωπον οὐ τεκμαίρεται βλέπων;

ΤΡΟΦΟΣ.

ἔκδημος ὢν γὰρ τῆσδε τυγχάνει χθονός.

ΧΟΡΟΣ.

σὺ δ' οὐκ ἀνάγκην προσφέρεις, πειρωμένη
νόσον πυθέσθαι τῆσδε καὶ πλάνον φρενῶν;

ΤΡΟΦΟΣ.

εἰς πᾶν ἀφῖγμαι κοὐδὲν εἴργασμαι πλέον·
οὐ μὴν ἀνήσω γ' οὐδὲ νῦν προθυμίας,
ὡς ἂν παροῦσα καὶ σύ μοι ξυμμαρτυρῇς
οἵα πέφυκα δυστυχοῦσι δεσπόταις.
ἄγ', ὦ φίλη παῖ, τῶν πάροιθε μὲν λόγων
λαθώμεθ' ἄμφω, καὶ σύ θ' ἡδίων γενοῦ,
στυγνὴν ὀφρὺν λύσασα καὶ γνώμης ὁδόν,

ἐγὼ θ᾿ ὅπῃ σοι μὴ καλῶς τόθ᾿ εἱπόμην
μεθεῖσ᾿, ἐπ᾿ ἄλλον εἶμι βελτίω λόγον.
κεἰ μὲν νοσεῖς τι τῶν ἀπορρήτων κακῶν,
γυναῖκες αἵδε συγκαθιστάναι νόσον.
εἰ δ᾿ ἔκφορός σοι συμφορὰ πρὸς ἄρσενας,
λέγ᾿, ὡς ἰατροῖς πρᾶγμα μηνυθῇ τόδε.
εἶεν· τί σιγᾷς; οὐκ ἐχρῆν σιγᾶν, τέκνον,
ἀλλ᾿ ἤ μ᾿ ἐλέγχειν, εἴ τι μὴ καλῶς λέγω,
ἢ τοῖσιν εὖ λεχθεῖσι συγχωρεῖν λόγοις.
φθέγξαι τι· δεῦρ᾿ ἄθρησον· ὢ τάλαιν᾿ ἐγώ.
γυναῖκες, ἄλλως τούσδε μοχθοῦμεν πόνους,
ἴσον δ᾿ ἄπεσμεν τῷ πρίν· οὔτε γὰρ τότε
λόγοις ἐτέγγεθ᾿ ἥδε νῦν τ᾿ οὐ πείθεται.
ἀλλ᾿ ἴσθι μέντοι, πρὸς τάδ᾿ αὐθαδεστέρα
γίγνου θαλάσσης, εἰ θανεῖ, προδοῦσα σοὺς
παῖδας, πατρῴων μὴ μεθέξοντας δόμων,
μὰ τὴν ἄνασσαν ἱππίαν Ἀμαζόνα,
ἣ σοῖς τέκνοισι δεσπότην ἐγείνατο
νόθον, φρονοῦντα γνήσι᾿, οἶσθά νιν καλῶς,
Ἱππόλυτον.

ΦΑΙΔΡΑ.

οἴμοι.

ΤΡΟΦΟΣ.

θιγγάνει σέθεν τόδε;

ΦΑΙΔΡΑ.

ἀπώλεσάς με, μαῖα, καί σε πρὸς θεῶν
τοῦδ᾿ ἀνδρὸς αὖθις λίσσομαι σιγᾶν πέρι.

ΤΡΟΦΟΣ.

ὁρᾷς; φρονεῖς μὲν εὖ, φρονοῦσα δ᾿ οὐ θέλεις
παῖδάς τ᾿ ὀνῆσαι καὶ σὸν ἐκσῶσαι βίον.

ΦΑΙΔΡΑ.

φιλῶ τέκν᾿· ἄλλῃ δ᾿ ἐν τύχῃ χειμάζομαι.

ΤΡΟΦΟΣ.

ἁγνὰς μέν, ὦ παῖ, χεῖρας αἵματος φέρεις;

ΦΑΙΔΡΑ.

χεῖρες μὲν ἁγναί, φρὴν δ᾿ ἔχει μίασμά τι.

ΤΡΟΦΟΣ.

μῶν ἐξ ἐπακτοῦ πημονῆς ἐχθρῶν τινος;

ΦΑΙΔΡΑ.

φίλος μ᾿ ἀπόλλυσ᾿ οὐχ ἑκοῦσαν οὐχ ἑκών.

ΤΡΟΦΟΣ.

Θησεύς τιν᾿ ἡμάρτηκεν ἔς σ᾿ ἁμαρτίαν;

ΦΑΙΔΡΑ.

μὴ δρῶσ᾿ ἔγωγ᾿ ἐκεῖνον ὀφθείην κακῶς.

ΤΡΟΦΟΣ.

τί γὰρ τὸ δεινὸν τοῦθ᾿ ὅ σ᾿ ἐξαίρει θανεῖν;

ΦΑΙΔΡΑ.

ἔα μ᾿ ἁμαρτεῖν· οὐ γὰρ ἐς σ᾿ ἁμαρτάνω.

ΤΡΟΦΟΣ.

οὐ δῆθ᾿ ἑκοῦσά γ᾿, ἐν δὲ σοὶ λελείψομαι.

ΦΑΙΔΡΑ.

τί δρᾷς; βιάζει χειρὸς ἐξηρτημένη;

ΤΡΟΦΟΣ.

καὶ σῶν γε γονάτων οὐ μεθήσομαί ποτε.

ΦΑΙΔΡΑ.

κάκ᾿, ὦ τάλαινα, σοὶ τάδ᾿, εἰ πεύσει, κακά.

ΤΡΟΦΟΣ.

μεῖζον γὰρ ἢ σοῦ μὴ τυχεῖν τί μοι κακόν;

ΦΑΙΔΡΑ.

ὀλεῖ· τὸ μέντοι πρᾶγμ᾿ ἐμοὶ τιμὴν φέρει.

ΤΡΟΦΟΣ.

κἄπειτα κρύπτεις χρήσθ᾿ ἱκνουμένης ἐμοῦ;

ΦΑΙΔΡΑ.

ἐκ τῶν γὰρ αἰσχρῶν ἐσθλὰ μηχανώμεθα.

ΤΡΟΦΟΣ.

οὐκοῦν λέγουσα τιμιωτέρα φανεῖ.

ΦΑΙΔΡΑ.

ἄπελθε πρὸς θεῶν, δεξιάν τ᾿ ἐμὴν μέθες.

ΤΡΟΦΟΣ.

οὐ δῆτ᾿, ἐπεί μοι δῶρον οὐ δίδως ὃ χρῆν.

ΦΑΙΔΡΑ.

δώσω· σέβας γὰρ χειρὸς αἰδοῦμαι τὸ σόν.

ΤΡΟΦΟΣ.

σιγῷμ᾿ ἂν ἤδη· σὸς γὰρ οὑντεῦθεν λόγος.

ΦΑΙΔΡΑ.

ὦ τλῆμον, οἷον, μῆτερ, ἠράσθης ἔρον.

ΤΡΟΦΟΣ.

ὃν ἔσχε ταύρου, τέκνον, ἢ τί φῂς τόδε;

ΦΑΙΔΡΑ.

σύ τ᾿, ὦ τάλαιν᾿ ὅμαιμε, Διονύσου δάμαρ.

ΤΡΟΦΟΣ.

τέκνον, τί πάσχεις; συγγόνους κακορροθεῖς.

ΦΑΙΔΡΑ.

τρίτη δ᾿ ἐγὼ δύστηνος ὡς ἀπόλλυμαι.

ΤΡΟΦΟΣ.

ἔκ τοι πέπληγμαι· ποῖ προβήσεται λόγος;

ΦΑΙΔΡΑ.

ἐκεῖθεν ἡμεῖς οὐ νεωστὶ δυστυχεῖς.

ΤΡΟΦΟΣ.

οὐδέν τι μᾶλλον οἶδ᾿ ἃ βούλομαι κλύειν.

ΦΑΙΔΡΑ.

φεῦ·
πῶς ἂν σύ μοι λέξειας ἅμ᾿ ἐχρῆν λέγειν.

ΤΡΟΦΟΣ.

οὐ μάντις εἰμὶ τἀφανῆ γνῶναι σαφῶς.

ΦΑΙΔΡΑ.

τί τοῦθ᾿ ὃ δὴ λέγουσιν ἀνθρώπους ἐρᾶν;

ΤΡΟΦΟΣ.

ἥδιστον, ὦ παῖ, ταυτὸν ἀλγεινόν θ᾿ ἅμα.

ΦΑΙΔΡΑ.

ἡμεῖς ἂν εἶμεν θατέρῳ κεχρημένοι.

ΤΡΟΦΟΣ.

τί φῄς; ἐρᾷς, ὦ τέκνον, ἀνθρώπων τινός;

ΦΑΙΔΡΑ.

ὅστις ποθ᾿ οὗτός ἐσθ᾿ ὁ τῆς Ἀμαζόνος

ΤΡΟΦΟΣ.

Ἱππόλυτον αὐδᾷς;

ΦΑΙΔΡΑ.

σοῦ τάδ᾿, οὐκ ἐμοῦ κλύ[εις].

ΤΡΟΦΟΣ.

οἴμοι, τί λέξεις, τέκνον; ὥς μ᾿ ἀπώλεσα[ς].
γυναῖκες, οὐκ ἀνασχέτ᾿, οὐκ ἀνέξομαι
ζῶσ᾿· ἐχθρὸν ἦμαρ, ἐχθρὸν εἰσορῶ φάος.
ῥίψω, μεθήσω σῶμ᾿· ἀπαλλαχθήσομαι
βίου θανοῦσα. χαίρετ᾿· οὐκέτ᾿ εἴμ᾿ ἐγώ.
οἱ σώφρονες γὰρ οὐχ ἑκόντες, ἀλλ᾿ ὅμως
κακῶν ἐρῶσι. Κύπρις οὐκ ἄρ᾿ ἦν θεός,
ἀλλ᾿ εἴ τι μεῖζον ἄλλο γίγνεται θεοῦ,
ἣ τήνδε κἀμὲ καὶ δόμους ἀπώλεσεν.

ΧΟΡΟΣ.

ἄϊες ὤ, ἔκλυες ὤ
ἀνήκουστα τᾶς
τυράννου πάθεα μέλεα θρεομένας.
ὀλοίμαν ἔγωγε, πρὶν σὰν, φίλα,
κατανύσαι φρενῶν. ἰώ μοι, φεῦ φεῦ.
ὦ τάλαινα τῶνδ' ἀλγέων·
ὦ πόνοι τρέφοντες βροτούς·
ὄλωλας, ἐξέφηνας ἐς φάος κακά.
τίς σε πανάμερος ὅδε χρόνος μένει;
τελευτάσεταί τι καινὸν δόμοις.
ἄσημα δ' οὐκέτ' ἐστὶν οἷ φθίνει τύχα
Κύπριδος, ὦ τάλαινα παῖ Κρησία.

ΦΑΙΔΡΑ.

Τροιζήνιαι γυναῖκες, αἳ τόδ' ἔσχατον
οἰκεῖτε χώρας Πελοπίας προνώπιον,
ἤδη ποτ' ἄλλως νυκτὸς ἐν μακρῷ χρόνῳ
θνητῶν ἐφρόντισ' ᾗ διέφθαρται βίος.
καί μοι δοκοῦσιν οὐ κατὰ γνώμης φύσιν
πράσσειν κάκιον, ἔστι γὰρ τό γ' εὖ φρονεῖν
πολλοῖσιν, ἀλλὰ τῇδ' ἀθρητέον τόδε·
τὰ χρήστ' ἐπιστάμεσθα καὶ γιγνώσκομεν,
οὐκ ἐκπονοῦμεν δ' οἱ μὲν ἀργίας ὕπο,
οἱ δ' ἡδονὴν προθέντες ἀντὶ τοῦ καλοῦ
ἄλλην τιν'. εἰσὶ δ' ἡδοναὶ πολλαὶ βίου,
μακραί τε λέσχαι καὶ σχολὴ, τερπνὸν κακὸν,
αἰδώς τε. δισσαὶ δ' εἰσίν· ἡ μὲν οὐ κακὴ,
ἡ δ' ἄχθος οἴκων. εἰ δ' ὁ καιρὸς ἦν σαφὴς,
οὐκ ἂν δύ' ἤστην ταὔτ' ἔχοντε γράμματα.
ταῦτ' οὖν ἐπειδὴ τυγχάνω προγνοῦσ' ἐγὼ,
οὐκ ἔσθ' ὁποίῳ φαρμάκῳ διαφθερεῖν
ἔμελλον, ὥστε τοὔμπαλιν πεσεῖν φρενῶν.
λέξω δὲ καὶ σοὶ τῆς ἐμῆς γνώμης ὁδόν·
ἐπεί μ' ἔρως ἔτρωσεν, ἐσκόπουν ὅπως
κάλλιστ' ἐνέγκαιμ' αὐτόν. ἠρξάμην μὲν οὖν
ἐκ τοῦδε σιγᾶν τήνδε καὶ κρύπτειν νόσον.
γλώσσῃ γὰρ οὐδὲν πιστὸν, ἣ θυραῖα μὲν
φρονήματ' ἀνδρῶν νουθετεῖν ἐπίσταται,
αὐτὴ δ' ὑφ' αὑτῆς πλεῖστα κέκτηται κακά.
τὸ δεύτερον δὲ τὴν ἄνοιαν εὖ φέρειν
τῷ σωφρονεῖν νικῶσα προὐνοησάμην.
τρίτον δ', ἐπειδὴ τοισίδ' οὐκ ἐξήνυτον
Κύπριν κρατῆσαι, κατθανεῖν ἔδοξέ μοι
κράτιστον· οὐδεὶς ἀντερεῖ βουλεύμασιν.
ἐμοὶ γὰρ εἴη μήτε λανθάνειν καλὰ
μήτ' αἰσχρὰ δρώσῃ μάρτυρας πολλοὺς ἔχειν.
τὸ δ' ἔργον ᾔδη τὴν νόσον τε δυσκλεᾶ,
γυνή τε πρὸς τοῖσδ' οὖσ' ἐγίγνωσκον καλῶς,
μίσημα πᾶσιν. ὡς ὄλοιτο παγκάκως
ἥτις πρὸς ἄνδρας ἤρξατ' αἰσχύνειν λέχη
πρώτη θυραίους. ἐκ δὲ γενναίων δόμων
τόδ' ἦρξε θηλείαισι γίγνεσθαι κακόν.
ὅταν γὰρ αἰσχρὰ τοῖσιν ἐσθλοῖσιν δοκῇ,
ἦ κάρτα δόξει τοῖς κακοῖς εἶναι καλά.
μισῶ δὲ καὶ τὰς σώφρονας μὲν ἐν λόγοις,
λάθρα δὲ τόλμας οὐ καλὰς κεκτημένας,
αἳ πῶς ποτ', ὦ δέσποινα ποντία Κύπρι,
βλέπουσιν ἐς πρόσωπα τῶν ξυνευνετῶν,
οὐδὲ σκότον φρίσσουσι τὸν ξυνεργάτην

362 — 371. == 669 — 679.

τέρεμνά τ' οἴκων μή ποτε φθογγὴν ἀφῇ;
ἡμᾶς γὰρ αὐτὸ τοῦτ' ἀποκτείνει, φίλαι,
ὡς μήποτ' ἄνδρα τὸν ἐμὸν αἰσχύνασ' ἁλῶ,
μὴ παῖδας οὓς ἔτικτον· ἀλλ' ἐλεύθεροι
παρρησίᾳ θάλλοντες οἰκοῖεν πόλιν
κλεινῶν Ἀθηνῶν, μητρὸς οὕνεκ' εὐκλεεῖς.
δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τις ᾖ,
ὅταν ξυνειδῇ μητρὸς ἢ πατρὸς κακά.
μόνον δὲ τοῦτό φασ' ἁμιλλᾶσθαι βίῳ,
γνώμην δικαίαν κἀγαθὴν, ὅτῳ παρῇ.
κακοὺς δὲ θνητῶν ἐξέφην', ὅταν τύχῃ,
προθεὶς κάτοπτρον ὥστε παρθένῳ νέᾳ
χρόνος. παρ' οἷσι μήποτ' ὀφθείην ἐγώ.

ΧΟΡΟΣ.

φεῦ φεῦ. τὸ σῶφρον ὡς ἁπανταχῇ καλὸν,
καὶ δόξαν ἐσθλὴν ἐν βροτοῖς κομίζεται.

ΤΡΟΦΟΣ.

δέσποιν', ἐμοί τοι ξυμφορὰ μὲν ἀρτίως
ἡ σὴ παρέσχε δεινὸν ἐξαίφνης φόβον·
νῦν δ' ἐννοοῦμαι φαῦλος οὖσα· κἀν βροτοῖς
αἱ δεύτεραί πως φροντίδες σοφώτεραι.
οὐ γὰρ περισσὸν οὐδὲν οὐδ' ἔξω λόγου
πέπονθας· ὀργαὶ δ' ἔς σ' ἀπέσκηψαν θεᾶς.
ἐρᾷς· τί τοῦτο θαῦμα; σὺν πολλοῖς βροτῶν.
κἄπειτ' ἔρωτος οὕνεκα ψυχὴν ὀλεῖς;
οὔ τἄρα λύει τοῖς ἐρῶσι τῶν πέλας,
ὅσοι τε μέλλουσ', εἰ θανεῖν αὐτοὺς χρεών·
Κύπρις γὰρ οὐ φορητὸν, ἢν πολλὴ ῥυῇ·
ἣ τὸν μὲν εἴκονθ' ἡσυχῇ μετέρχεται,
ὃν δ' ἂν περισσὸν καὶ φρονοῦνθ' εὕρῃ μέγα,
τοῦτον λαβοῦσα πῶς δοκεῖς καθύβρισεν.
φοιτᾷ δ' ἀν' αἰθέρ', ἔστι δ' ἐν θαλασσίῳ
κλύδωνι Κύπρις, πάντα δ' ἐκ ταύτης ἔφυ·
ἥδ' ἐστὶν ἡ σπείρουσα καὶ διδοῦσ' ἔρον,
οὗ πάντες ἐσμὲν οἱ κατὰ χθόν' ἔκγονοι.
ὅσοι μὲν οὖν γραφάς τε τῶν παλαιτέρων
ἔχουσιν, αὐτοί τ' εἰσὶν ἐν μούσαις ἀεὶ,
ἴσασι μὲν Ζεὺς ὥς ποτ' ἠράσθη γάμων
Σεμέλης, ἴσασι δ' ὡς ἀνήρπασέν ποτε
ἡ καλλιφεγγὴς Κέφαλον ἐς θεοὺς Ἕως
ἔρωτος οὕνεκ'· ἀλλ' ὅμως ἐν οὐρανῷ
ναίουσι, κοὐ φεύγουσιν ἐκποδὼν θεοὺς,
στέργουσι δ', οἶμαι, ξυμφορᾷ νικώμενοι·
σὺ δ' οὐκ ἀνέξει; χρῆν σ' ἐπὶ ῥητοῖς ἄρα
πατέρα φυτεύειν ἢ 'πὶ δεσπόταις θεοῖς
ἄλλοισιν, εἰ μὴ τούσδε γε στέρξεις νόμους.
πόσους δοκεῖς δὴ κάρτ' ἔχοντας εὖ φρενῶν
νοσοῦνθ' ὁρῶντας λέκτρα μὴ δοκεῖν ὁρᾶν;
πόσους δὲ παισὶ πατέρας ἡμαρτηκόσι
ξυνεκκομίζειν Κύπριν; ἐν σοφοῖσι γὰρ
τάδ' ἐστὶ θνητῶν, λανθάνειν τὰ μὴ καλά.
οὐδ' ἐκπονεῖν τοι χρὴν βίον λίαν βροτούς·
οὐδὲ στέγην γὰρ ἧς κατηρεφεῖς δόμοι
καλῶς ἀκριβώσειαν· ἐς δὲ τὴν τύχην
πεσοῦσ' ὅσην σὺ πῶς ἂν ἐκνεῦσαι δοκεῖς;
ἀλλ' εἰ τὰ πλείω χρηστὰ τῶν κακῶν ἔχεις,
ἄνθρωπος οὖσα κάρτα γ' εὖ πράξειας ἄν.
ἀλλ', ὦ φίλη παῖ, λῆγε μὲν κακῶν φρενῶν,
λῆξον δ' ὑβρίζουσ'· οὐ γὰρ ἄλλο πλὴν ὕβρις
τάδ' ἐστὶ, κρείσσω δαιμόνων εἶναι θέλειν·

τόλμα δ' ἐρῶσα· θεὸς ἐβουλήθη τάδε.
νοσοῦσα δ' εὖ πως τὴν νόσον καταστρέφου.
εἰσὶν δ' ἐπῳδαὶ καὶ λόγοι θελκτήριοι·
φανήσεταί τι τῆσδε φάρμακον νόσου.
ἦ τἄρ' ἂν ὀψέ γ' ἄνδρες ἐξεύροιεν ἄν,
εἰ μὴ γυναῖκες μηχανὰς εὑρήσομεν.

ΧΟΡΟΣ.

Φαίδρα, λέγει μὲν ἥδε χρησιμώτερα
πρὸς τὴν παροῦσαν ξυμφοράν, αἰνῶ δὲ σέ.
ὁ δ' αἶνος οὗτος δυσχερέστερος λόγων
τῶν τῆσδε καὶ σοὶ μᾶλλον ἀλγίων κλύειν.

ΦΑΙΔΡΑ.

τοῦτ' ἔσθ' ὃ θνητῶν εὖ πόλεις οἰκουμένας
δόμους τ' ἀπόλλυσ', οἱ καλοὶ λίαν λόγοι.
οὐ γάρ τι τοῖσιν ὠσὶ τερπνὰ δεῖ λέγειν,
ἀλλ' ἐξ ὅτου τις εὐκλεὴς γενήσεται.

ΤΡΟΦΟΣ.

τί σεμνομυθεῖς; οὐ λόγων εὐσχημόνων
δεῖ σ', ἀλλὰ τἀνδρός. ὡς τάχος διιστέον
τὸν εὐθὺν ἐξειπόντας ἀμφὶ σοῦ λόγον.
εἰ μὲν γὰρ ἦν σοι μὴ 'πὶ συμφοραῖς βίος
τοιαῖσδε, σώφρων δ' οὖσ' ἐτύγχανες γυνή,
οὐκ ἄν ποτ' εὐνῆς οὕνεχ' ἡδονῆς τε σῆς
προσῆγον ἄν σε δεῦρο· νῦν δ' ἀγὼν μέγας
σῶσαι βίον σόν, κοὐκ ἐπίφθονον τόδε.

ΦΑΙΔΡΑ.

ὦ δεινὰ λέξασ', οὐχὶ συγκλήσεις στόμα,
καὶ μὴ μεθήσεις αὖθις αἰσχίστους λόγους;

ΤΡΟΦΟΣ.

αἴσχρ', ἀλλ' ἀμείνω τῶν καλῶν τάδ' ἐστί σοι.
κρεῖσσον δὲ τοὔργον, εἴπερ ἐκσώσει γέ σε,
ἢ τοὔνομ', ᾧ σὺ κατθανεῖ γαυρουμένη.

ΦΑΙΔΡΑ.

καὶ μή σε πρὸς θεῶν, εὖ λέγεις γάρ, αἰσχρὰ δέ,
πέρα προβῇς τῶνδ'· ὡς ὑπείργασμαι μὲν εὖ
ψυχὴν ἔρωτι, τἀσχρὰ δ' ἢν λέγῃς καλῶς,
ἐς τοῦθ' ὃ φεύγω νῦν ἀναλωθήσομαι.

ΤΡΟΦΟΣ.

εἴ τοι δοκεῖ σοι, χρῆν μὲν οὔ σ' ἁμαρτάνειν·
εἰ δ' οὖν, πιθοῦ μοι· δευτέρα γὰρ ἡ χάρις.
ἔστιν κατ' οἴκους φίλτρα μοι θελκτήρια
ἔρωτος, ἦλθε δ' ἄρτι μοι γνώμης ἔσω,
ἅ σ' οὔτ' ἐπ' αἰσχροῖς οὔτ' ἐπὶ βλάβῃ φρενῶν
παύσει νόσου τῆσδ', ἢν σὺ μὴ γένῃ κακή.
δεῖ δ' ἐξ ἐκείνου δή τι τοῦ ποθουμένου
σημεῖον, ἢ λόγον τιν' ἢ πέπλων ἄπο
λαβεῖν, ξυνάψαι τ' ἐκ δυοῖν μίαν χάριν.

ΦΑΙΔΡΑ.

πότερα δὲ χριστὸν ἢ ποτὸν τὸ φάρμακον;

ΤΡΟΦΟΣ.

οὐκ οἶδ'· ὄνασθαι, μὴ μαθεῖν, βούλου, τέκνον.

ΦΑΙΔΡΑ.

δέδοιχ' ὅπως μοι μὴ λίαν φανῇς σοφή.

ΤΡΟΦΟΣ.

πάντ' ἂν φοβηθεῖσ' ἴσθι· δειμαίνεις δὲ τί;

ΦΑΙΔΡΑ.

μή μοί τι Θησέως τῶνδε μηνύσῃς τόκῳ.

ΤΡΟΦΟΣ.

ἔασον, ὦ παῖ· ταῦτ' ἐγὼ θήσω καλῶς.
μόνον σύ μοι, δέσποινα ποντία Κύπρι,
ξύνεργος εἴης. τἄλλα δ' οἷ' ἐγὼ φρονῶ
τοῖς ἔνδον ἡμῖν ἀρκέσει λέξαι φίλοις.

ΧΟΡΟΣ.

Ἔρως Ἔρως, ὃ κατ' ὀμμάτων
στάζεις πόθον, εἰσάγων γλυκεῖαν
ψυχαῖς χάριν οἷς ἐπιστρατεύσῃ,
μή μοί ποτε σὺν κακῷ φανείης,
μηδ' ἄρρυθμος ἔλθοις.
οὔτε γὰρ πυρὸς οὔτ'
ἄστρων ὑπέρτερον βέλος,
οἷον τὸ τᾶς Ἀφροδίτας
ἵησιν ἐκ χερῶν
Ἔρως, ὁ Διὸς παῖς.
ἄλλως ἄλλως παρά τ' Ἀλφεῷ
Φοίβου τ' ἐπὶ Πυθίοις τεράμνοις
βούταν φόνον Ἑλλὰς αἷ' ἀέξει·
Ἔρωτα δέ, τὸν τύραννον ἀνδρῶν,
τὸν τᾶς Ἀφροδίτας
φιλτάτων θαλάμων
κληδοῦχον, οὐ σεβίζομεν,
πέρθοντα καὶ διὰ πάσας
ἰόντα συμφορᾶς
θνατοῖς, ὅταν ἔλθῃ.
τὰν μὲν Οἰχαλίᾳ
πῶλον, ἄζυγα λέκτρων,
ἄνανδρον τὸ πρὶν καὶ ἄνυμφον, οἴκων
ζεύξασ' ἀπ' εἰρεσίᾳ, δρομάδα
τιν' Ἅιδος ὥστε βάκχαν,
σὺν αἵματι, σὺν καπνῷ
φονίοις θ' ὑμεναίοισιν
Ἀλκμήνας τόκῳ Κύπρις ἐξέδωκεν·
ὦ τλάμων ὑμεναίων.
ὦ Θήβας ἱερὸν
τεῖχος, ὦ στόμα Δίρκας,
συνείποιτ' ἂν ἁ Κύπρις οἷον ἕρπει.
βροντᾷ γὰρ ἀμφιπύρῳ τοκάδα
τὰν Διογόνοιο Βάκχου
νυμφευσαμέναν πότμῳ
φονίῳ κατεκοίμασε.
δεινὰ γὰρ τὰ πάντ' ἐπιπνεῖ, μέλισσα δ'
οἵα τις πεπόταται.

ΦΑΙΔΡΑ.

σιγήσατ', ὦ γυναῖκες· ἐξειργάσμεθα.

ΧΟΡΟΣ.

τί δ' ἔστι, Φαίδρα, δεινὸν ἐν δόμοισι σοί;

ΦΑΙΔΡΑ.

ἐπίσχετ'· αὐδὴν τῶν ἔσωθεν ἐκμάθω.

ΧΟΡΟΣ.

σιγῶ· τὸ μέντοι φροίμιον κακὸν τόδε.

ΦΑΙΔΡΑ.

ἰώ μοι, αἰαῖ.
ὦ δυστάλαινα τῶν ἐμῶν παθημάτων.

ΧΟΡΟΣ.

τίνα θροεῖς αὐδάν; τίνα βοᾷς λόγον;
ἔνεπε τίς φοβεῖ σε φήμα, γύναι, φρένας
συτος.

525—534. == 535—544.
545—554. == 555—564.
571—574. == 591—593.

ΦΑΙΔΡΑ.

ἀπωλόμεσθα. ταῖσδ' ἐπιστᾶσαι πύλαις
ἀκούσαθ' οἷος κέλαδος ἐν δόμοις πίτνει.

ΧΟΡΟΣ.

σὺ παρὰ κλῇθρα· σοὶ μέλει πομπίμα φάτις δω-
μάτων.
ἔνεπε δ' ἔνεπέ μοι τί ποτ' ἔβα κακόν.

ΦΑΙΔΡΑ.

ὁ τῆς φιλίππου παῖς Ἀμαζόνος βοᾷ
Ἱππόλυτος, αὐδῶν δεινὰ πρόσπολον κακά.

ΧΟΡΟΣ.

ἀχὰν μὲν κλύω, σαφὲς δ' οὐκ ἔχω γεγωνεῖν ὅπα.
διὰ πύλας ἔμολεν ἔμολε σοὶ βοά.

ΦΑΙΔΡΑ.

καὶ μὴν σαφῶς γε τὴν κακῶν προμνήστριαν,
τὴν δεσπότου προδοῦσαν ἐξαυδᾷ λέχος.

ΧΟΡΟΣ.

ὤμοι ἐγὼ κακῶν. προδέδοσαι, φίλα.
τί σοι μήσομαι; τὰ κρύπτ' ἄρα πέφηνε, διὰ
δ' ὄλλυσαι

ΦΑΙΔΡΑ.

αἰαῖ, αἰαῖ.

ΧΟΡΟΣ.

πρόδοτος ἐκ φίλων.

ΦΑΙΔΡΑ.

ἀπώλεσέν μ' εἰποῦσα συμφορὰς ἐμάς,
φίλως, καλῶς δ' οὐ τήνδ' ἰωμένη νόσον.

ΧΟΡΟΣ.

πῶς οὖν; τί δράσεις, ὦ παθοῦσ' ἀμήχανα;

ΦΑΙΔΡΑ.

οὐκ οἶδα πλὴν ἕν, κατθανεῖν ὅσον τάχος
τῶν νῦν παρόντων πημάτων ἄκος μόνον.

ΙΠΠΟΛΥΤΟΣ.

ὦ γαῖα μῆτερ ἡλίου τ' ἀναπτυχαί,
οἵων λόγων ἄρρητον εἰσήκουσ' ὄπα.

ΤΡΟΦΟΣ.

σίγησον, ὦ παῖ, πρίν τιν' αἰσθέσθαι βοῆς.

ΙΠΠΟΛΥΤΟΣ.

οὐκ ἔστ' ἀκούσας δείν' ὅπως σιγήσομαι.

ΤΡΟΦΟΣ.

ναὶ πρός σε τῆς σῆς δεξιᾶς εὐωλένου.

ΙΠΠΟΛΥΤΟΣ.

οὐ μὴ προσοίσεις χεῖρα μηδ' ἅψει πέπλων;

ΤΡΟΦΟΣ.

ὦ πρός σε γονάτων, μηδαμῶς μ' ἐξεργάσῃ.

ΙΠΠΟΛΥΤΟΣ.

τί δ', εἴπερ, ὡς φής, μηδὲν εἴρηκας κακόν;

ΤΡΟΦΟΣ.

ὁ μῦθος, ὦ παῖ, κοινὸς οὐδαμῶς ὅδε.

ΙΠΠΟΛΥΤΟΣ.

τά τοι κάλ' ἐν πολλοῖσι κάλλιον λέγειν.

ΤΡΟΦΟΣ.

ὦ τέκνον, ὅρκους μηδαμῶς ἀτιμάσῃς.

ΙΠΠΟΛΥΤΟΣ.

ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

ΤΡΟΦΟΣ.

ὦ παῖ, τί δράσεις; σοὺς φίλους διεργάσει;

ΙΠΠΟΛΥΤΟΣ.

ἀπέπτυσ'· οὐδεὶς ἄδικός ἐστ' ἐμοὶ φίλος.

577—580. == 585—588.

ΤΡΟΦΟΣ.

σύγγνωθ'· ἁμαρτεῖν εἰκὸς ἀνθρώπους, τέκνον.

ΙΠΠΟΛΥΤΟΣ.

ὦ Ζεῦ, τί δὴ κίβδηλον ἀνθρώποις κακὸν
γυναῖκας ἐς φῶς ἡλίου κατῴκισας;
εἰ γὰρ βρότειον ἤθελες σπεῖραι γένος,
οὐκ ἐκ γυναικῶν χρῆν παρασχέσθαι τόδε,
ἀλλ' ἀντιθέντας σοῖσιν ἐν ναοῖς βροτοὺς
ἢ χρυσὸν ἢ σίδηρον ἢ χαλκοῦ βάρος
παίδων πρίασθαι σπέρμα, τοῦ τιμήματος
τῆς ἀξίας ἕκαστον· ἐν δὲ δώμασι
ναίειν ἐλευθέροισι θηλειῶν ἄτερ.
νῦν δ' ἐς δόμους μὲν πρῶτον ἄξεσθαι κακὸν
μέλλοντες ὄλβον δωμάτων ἐκπίνομεν.
τούτῳ δὲ δῆλον ὡς γυνὴ κακὸν μέγα·
προσθεὶς γὰρ ὁ σπείρας τε κἀκθρέψας πατὴρ
φερνὰς ἀπῴκισ', ὡς ἀπαλλαχθῇ κακοῦ·
ὁ δ' αὖ λαβὼν ἀτηρὸν ἐς δόμους κακὸν
γέγηθε κόσμον προστιθεὶς ἀγάλματι
καλὸν κακίστῳ καὶ πέπλοισιν ἐκπονεῖ,
δύστηνος, ὄλβον δωμάτων ὑπεξελών.
ἔχει δ' ἀνάγκην, ὥστε κηδεύσας καλοῖς
γαμβροῖσι χαίρων σώζεται πικρὸν λέχος,
ἢ χρηστὰ λέκτρα, πενθεροὺς δ' ἀνωφελεῖς
λαβὼν πιέζει τἀγαθῷ τὸ δυστυχές.
ῥᾷστον δ' ὅτῳ τὸ μηδέν, ἀλλ' ἀνωφελὴς
εὐηθίᾳ κατ' οἶκον ἵδρυται γυνή.
σοφὴν δὲ μισῶ· μὴ γὰρ ἔν γ' ἐμοῖς δόμοις
εἴη φρονοῦσα πλεῖον ἢ γυναῖκα χρή.
τὸ γὰρ κακοῦργον μᾶλλον ἐντίκτει Κύπρις
ἐν ταῖς σοφαῖσιν· ἡ δ' ἀμήχανος γυνὴ
γνώμῃ βραχείᾳ μωρίαν ἀφῃρέθη.
χρῆν δ' ἐς γυναῖκα πρόσπολον μὲν οὐ περᾶν,
ἄφθογγα δ' αὐταῖς συγκατοικίζειν δάκη
θηρῶν, ἵν' εἶχον μήτε προσφωνεῖν τινα
μήτ' ἐξ ἐκείνων φθέγμα δέξασθαι πάλιν.
νῦν δ' αἱ μὲν ἔνδον δρῶσιν αἱ κακαὶ κακὰ
βουλεύματ', ἔξω δ' ἐκφέρουσι πρόσπολοι.
ὡς καὶ σύ γ' ἡμῖν πατρός, ὦ κακὸν κάρα,
λέκτρων ἀθίκτων ἦλθες ἐς συναλλαγάς·
ἁγὼ ῥυτοῖς νασμοῖσιν ἐξομόρξομαι,
ἐς ὦτα κλύζων. πῶς ἂν οὖν εἴην κακός,
ὃς οὐδ' ἀκούσας τοιάδ' ἁγνεύειν δοκῶ;
εὖ δ' ἴσθι, τοὐμόν σ' εὐσεβὲς σώζει, γύναι.
εἰ μὴ γὰρ ὅρκοις θεῶν ἄφρακτος ᾑρέθην,
οὐκ ἄν ποτ' ἔσχον μὴ οὐ τάδ' ἐξειπεῖν πατρί.
νῦν δ' ἐκ δόμων μέν, ἔς τ' ἂν ἔκδημος χθονὸς
Θησεύς, ἄπειμι, σῖγα δ' ἕξομεν στόμα.
θεάσομαι δὲ σὺν πατρὸς μολὼν ποδὶ
πῶς νιν προσόψει καὶ σὺ καὶ δέσποινα σή·
τῆς σῆς δὲ τόλμης εἴσομαι γεγευμένος.
ὄλοισθε. μισῶν δ' οὔποτ' ἐμπλησθήσομαι
γυναῖκας, οὐδ' εἴ φησί τίς μ' ἀεὶ λέγειν·
ἀεὶ γὰρ οὖν πώς εἰσι κἀκεῖναι κακαί.
ἤ νύν τις αὐτὰς σωφρονεῖν διδαξάτω,
ἢ κἄμ' ἐάτω ταῖσδ' ἐπεμβαίνειν ἀεί.

ΧΟΡΟΣ.

τάλανες ὦ κακοτυχεῖς
γυναικῶν πότμοι.

τίνας νῦν τέχνας ἔχομεν ἢ λόγους
σφαλεῖσαι κάθαμμα λύειν λόγου;

ΦΑΙΔΡΑ.

ἐτύχομεν δίκας, ἰὼ γᾶ καὶ φῶς.
πᾶ ποτ' ἐξαλύξω τύχας;
πῶς δὲ πῆμα κρύψω, φίλαι;
τίς ἂν θεῶν ἀρωγὸς ἢ τίς ἂν βροτῶν
πάρεδρος ἢ ξύνεργος ἀδίκων ἔργων
φανείη; τὸ γὰρ παρ' ἡμῖν πάθος
παρὸν δυσεκπέρατον ἔρχεται βίου.
κακοτυχεστάτα γυναικῶν ἐγώ.

ΧΟΡΟΣ.

φεῦ φεῦ. πέπρακται, κοὐ κατώρθωται τέχνη,
δέσποινα, τῆς σῆς προσπόλου, κακῶς δ' ἔχει.

ΦΑΙΔΡΑ.

ὦ παγκακίστη καὶ φίλων διαφθορεῦ,
οἷ' εἰργάσω με. Ζεύς σ' ὁ γεννήτωρ ἐμὸς
πρόρριζον ἐκτρίψειεν οὐτάσας πυρί.
οὐκ εἶπον, οὐ σῆς προὐνοησάμην φρενὸς,
σιγᾶν ἐφ' οἷσι νῦν ἐγὼ κακύνομαι;
σὺ δ' οὐκ ἀνέσχου· τοιγὰρ οὐκέτ' εὐκλεεῖς
θανούμεθ'. ἀλλὰ δεῖ με δὴ καινῶν λόγων.
οὗτος γὰρ ὀργῇ συντεθηγμένος φρένας
ἐρεῖ καθ' ἡμῶν πατρὶ σὰς ἁμαρτίας,
πλήσει τε πᾶσαν γαῖαν αἰσχίστων λόγων.
ὄλοιο καὶ σὺ χὤστις ἄκοντας φίλους
πρόθυμός ἐστι μὴ καλῶς εὐεργετεῖν.

ΤΡΟΦΟΣ.

δέσποιν', ἔχεις μὲν τἀμὰ μέμψασθαι κακά·
τὸ γὰρ δάκνον σου τὴν διάγνωσιν κρατεῖ·
ἔχω δὲ κἀγὼ πρὸς τάδ', εἰ δέξει, λέγειν.
ἔθρεψά σ', εὔνους τ' εἰμί· τῆς νόσου δέ σοι
ζητοῦσα φάρμαχ' εὗρον οὐχ ἁβουλόμην.
εἰ δ' εὖ γ' ἔπραξα, κάρτ' ἂν ἐν σοφοῖσιν ἦν·
πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα.

ΦΑΙΔΡΑ.

ἦ γὰρ δίκαια ταῦτα κἀξαρκοῦντά μοι,
τρώσασαν ἡμᾶς εἶτα συγχωρεῖν λόγοις;

ΤΡΟΦΟΣ.

μακρηγοροῦμεν· οὐκ ἐσωφρόνουν ἐγώ·
ἀλλ' ἔστι κἀκ τῶνδ' ὥστε σωθῆναι, τέκνον.

ΦΑΙΔΡΑ.

παῦσαι λέγουσα· καὶ τὰ πρὶν γὰρ οὐ καλῶς
παρῄνεσάς μοι κἀπεχείρησας κακά.
ἀλλ' ἐκποδὼν ἄπελθε, καὶ σαυτῆς πέρι
φρόντιζ'· ἐγὼ γὰρ τἀμὰ θήσομαι καλῶς.
ὑμεῖς δὲ, παῖδες εὐγενεῖς Τροιζήνιαι,
τοσόνδε μοι παράσχετ' ἐξαιτουμένῃ,
σιγῇ καλύψαθ' ἁνθάδ' εἰσηκούσατε.

ΧΟΡΟΣ.

ὄμνυμι σεμνὴν Ἄρτεμιν, Διὸς κόρην,
μηδὲν κακῶν σῶν ἐς φάος δείξειν ποτέ.

ΦΑΙΔΡΑ.

καλῶς ἔλεξας. ἓν δὲ προτρέπουσ' ἐγὼ
εὕρημά δή τι τῆσδε συμφορᾶς ἔχω,
ὥστ' εὐκλεᾶ μὲν παισὶ προσθεῖναι βίον,
αὐτή τ' ὄνασθαι πρὸς τὰ νῦν πεπτωκότα.
οὐ γάρ ποτ' αἰσχυνῶ γε Κρησίους δόμους,
οὐδ' ἐς πρόσωπον Θησέως ἀφίξομαι
αἰσχροῖς ἐπ' ἔργοις οὕνεκα ψυχῆς μιᾶς.

ΧΟΡΟΣ.

μέλλεις δὲ δή τι δρᾶν ἀνήκεστον κακόν;

ΦΑΙΔΡΑ.

θανεῖν· ὅπως δὲ, τοῦτ' ἐγὼ βουλεύσομαι.

ΧΟΡΟΣ.

εὔφημος ἴσθι.

ΦΑΙΔΡΑ.

καὶ σύ γ' εὖ με νουθέτει.
ἐγὼ δὲ Κύπριν, ἥπερ ἐξόλλυσί με,
ψυχῆς ἀπαλλαχθεῖσα τῇδ' ἐν ἡμέρᾳ
τέρψω· πικροῦ δ' ἔρωτος ἡσσηθήσομαι.
ἀτὰρ κακόν γε χἀτέρῳ γενήσομαι
θανοῦσ', ἵν' εἰδῇ μὴ 'πὶ τοῖς ἐμοῖς κακοῖς
ὑψηλὸς εἶναι· τῆς νόσου δὲ τῆσδέ μοι
κοινῇ μετασχὼν σωφρονεῖν μαθήσεται.

ΧΟΡΟΣ.

ἠλιβάτοις ὑπὸ κευθμῶσι γενοίμαν,
ἵνα με πτεροῦσσαν ὄρνιν
θεὸς ἐν πταναῖς ἀγέλαισιν θείη.
ἀρθείην δ' ἐπὶ πόντιον
κῦμα τᾶς Ἀδριηνᾶς
ἀκτᾶς Ἠριδανοῦ θ' ὕδωρ·
ἔνθα πορφύρεον σταλάσσουσ'
εἰς οἶδμα πατρὸς τριτάλαιναι
κόραι Φαέθοντος οἴκτῳ δακρύων
τὰς ἠλεκτροφαεῖς αὐγάς.
Ἑσπερίδων δ' ἐπὶ μηλόσπορον ἀκτὰν
ἀνύσαιμι τᾶν ἀοιδῶν,
ἵν' ὁ ποντομέδων πορφυρέας λίμνας
ναύταις οὐκέθ' ὁδὸν νέμει,
σεμνὸν τέρμονα κύρων
οὐρανοῦ, τὸν Ἄτλας ἔχει,
κρῆναί τ' ἀμβρόσιαι χέονται
Ζηνὸς μελάθρων παρὰ κοίταις,
ἵν' ὀλβιόδωρος αὔξει ζαθέα
χθὼν εὐδαιμονίαν θεοῖς.
ὦ λευκόπτερε Κρησία
πορθμὶς, ἃ διὰ πόντιον
κῦμ' ἀλίκτυπον ἅλμας
ἐπόρευσας ἐμὰν ἄνασσαν
ὀλβίων ἀπ' οἴκων,
κακονυμφοτάταν ὄνασιν.
ἢ γὰρ ἀπ' ἀμφοτέρων ἢ
Κρησίας ἐκ γᾶς δύσορνις ἔπτατο κλεινὰς Ἀθά
Μουνύχου δ' ἀκταῖσιν ἐκδήσαντο πλεκτὰς π
σμάτων ἀρ-
χὰς ἐπ' ἀπείρου τε γᾶς ἔβασαν.
ἀνθ' ὧν οὐχ ὁσίων ἐρώ-
των δεινᾷ φρένας Ἀφροδί-
τας νόσῳ κατεκλάσθη·
χαλεπᾷ δ' ὑπέραντλος οὖσα
συμφορᾷ, τεράμνων
ἀπὸ νυμφιδίων κρεμαστὸν
ἅψεται ἀμφὶ βρόχον λευ-
κᾷ καθαρμόζουσα δείρᾳ, δαίμονα στυγνὸν κατα
σθεῖσα, τάν τ' εὔδοξον ἀνθαιρουμένα φή
ἀπαλλάσ-
σουσά τ' ἀλγεινὸν φρενῶν ἔρωτα.

732—741. = 742—751.
752—763. = 764—775.

**ΑΓΓΕΛΟΣ.**

ἰοὺ ἰού.
βοηδρομεῖτε πάντες οἱ πέλας δόμων.
ἐν ἀγχόναις δέσποινα, Θησέως δάμαρ.

**ΧΟΡΟΣ.**

φεῦ φεῦ, πέπρακται· βασιλὶς οὐκέτ' ἔστι δὴ
γυνὴ, κρεμαστοῖς ἐν βρόχοις ἠρτημένη.

**ΑΓΓΕΛΟΣ.**

οὐ σπεύσετ'; οὐκ οἴσει τις ἀμφιδέξιον
σίδηρον, ᾧ τόδ' ἅμμα λύσομεν δέρης;

**ΗΜΙΧΟΡΙΟΝ.**

φίλαι, τί δρῶμεν; ἦ δοκεῖ περᾶν δόμους,
λῦσαί τ' ἄνασσαν ἐξ ἐπισπαστῶν βρόχων;

**ΗΜΙΧΟΡΙΟΝ.**

τί δ'; οὐ πάρεισι πρόσπολοι νεανίαι;
τὸ πολλὰ πράσσειν οὐκ ἐν ἀσφαλεῖ βίου.

**ΑΓΓΕΛΟΣ.**

ὀρθώσατ' ἐκτείναντες ἄθλιον νέκυν.
πικρὸν τόδ' οἰκούρημα δεσπόταις ἐμοῖς.

**ΧΟΡΟΣ.**

ὄλωλεν ἡ δύστηνος, ὡς κλύω, γυνή.
ἤδη γὰρ ὡς νεκρόν νιν ἐκτείνουσι δή.

**ΘΗΣΕΥΣ.**

γυναῖκες, ἴστε τίς ποτ' ἐν δόμοις βοή;
ἠχὼ βαρεῖα προσπόλων μ' ἀφίκετο.
οὐ γάρ τί μ' ὡς θεωρὸν ἀξιοῖ δόμος
πύλας ἀνοίξας εὐφρόνως προσεννέπειν.
μῶν Πιτθέως τι γῆρας εἴργασται νέον;
πρόσω μὲν ἤδη βίοτος, ἀλλ' ὅμως ἔτ' ἂν
λυπηρὸς ἡμῖν τούσδ' ἂν ἐκλίποι δόμους.

**ΧΟΡΟΣ.**

οὐκ ἐς γέροντας ἥδε σοι τείνει τύχη,
Θησεῦ· νέοι θανόντες ἀλγυνοῦσί σε.

**ΘΗΣΕΥΣ.**

οἴμοι· τέκνων μοι μή τι συλᾶται βίος;

**ΧΟΡΟΣ.**

ζῶσιν, θανούσης μητρὸς ὡς ἄλγιστά σοι.

**ΘΗΣΕΥΣ.**

τί φῄς; ὄλωλεν ἄλοχος; ἐκ τίνος τύχης;

**ΧΟΡΟΣ.**

βρόχον κρεμαστὸν ἀγχόνης ἀνήψατο.

**ΘΗΣΕΥΣ.**

λύπῃ παχνωθεῖσ', ἢ 'πὸ συμφορᾶς τίνος;

**ΧΟΡΟΣ.**

τοσοῦτον ἴσμεν· ἄρτι γὰρ κἀγὼ δόμοις,
Θησεῦ, πάρειμι, σῶν κακῶν πενθήτρια.

**ΘΗΣΕΥΣ.**

αἰαῖ. τί δῆτα τοῖσδ' ἀνέστεμμαι κάρα
πλεκτοῖσι φύλλοις, δυστυχὴς θεωρὸς ὤν;
χαλᾶτε κλῇθρα, πρόσπολοι, πυλωμάτων,
ἐκλύεθ' ἁρμοὺς, ὡς ἴδω πικρὰν θέαν
γυναικὸς, ἥ με κατθανοῦσ' ἀπώλεσεν.

**ΧΟΡΟΣ.**

ἰὼ ἰὼ τάλαινα μελέων κακῶν·
ἔπαθες, εἰργάσω
τοσοῦτον ὥστε τούσδε συγχέαι δόμους.
αἰαῖ τόλμας, ὦ βιαίως θανοῦσ'
ἀνοσίῳ τε συμφορᾷ, σᾶς χερὸς πάλαισμα μελέας.
τίς ἄρα σὰν, τάλαιν', ἀμαυροῖ ζόαν;

**ΘΗΣΕΥΣ.**

ὤμοι ἐγὼ πόνων ὧν ἔπαθον τάλας,
τὰ μάκιστ' ἐμῶν κακῶν. ὦ τύχα,
ὥς μοι βαρεῖα καὶ δόμοις ἐπεστάθης,
κηλὶς ἄφραστος ἐξ ἀλαστόρων τινός.
κατακονὰ μὲν οὖν ἀβίοτος βίου·
κακῶν δ', ὦ τάλας, πέλαγος εἰσορῶ
τοσοῦτον ὥστε μήποτ' ἐκνεῦσαι πάλιν,
μηδ' ἐκπερᾶσαι κῦμα τῆσδε συμφορᾶς.
τίνα λόγον τάλας, τίνα τύχαν σέθεν
βαρύποτμον, γύναι, προσαυδῶν τύχω;
ὄρνις γὰρ ὥς τις ἐκ χερῶν ἄφαντος εἶ,
πήδημ' ἐς Ἅιδου κραιπνὸν ὁρμήσασά μοι.
αἰαῖ αἰαῖ, μέλεα μέλεα τάδε πάθη.
πρόσωθεν δέ ποθεν ἀνακομίζομαι τύχαν δαιμόνων
ἀμπλακίαισι τῶν πάροιθέν τινος.

**ΧΟΡΟΣ.**

οὐ σοὶ τάδ', ὦναξ, ἦλθε δὴ μόνῳ κακὰ,
πολλῶν μετ' ἄλλων δ' ὤλεσας κεδνὸν λέχος.

**ΘΗΣΕΥΣ.**

τὸ κατὰ γᾶς θέλω τὸ κατὰ γᾶς κνέφας
μετοικεῖν σκότῳ θανὼν ὁ τλάμων,
τῆς σῆς στερηθεὶς φιλτάτης ὁμιλίας·
ἀπώλεσας γὰρ μᾶλλον ἢ κατέφθισο.
τίνος δὴ κλύω πόθεν θανάσιμος
τύχα σὰν ἔβα, γύναι, καρδίαν;
εἴποι τις ἂν τὸ πραχθὲν, ἢ μάτην ὄχλον
στέγει τύραννον δῶμα προσπόλων ἐμῶν;
ἰώ μοι σέθεν
μέλεος, οἷον εἶδον ἄλγος δόμων,
οὐ τλητὸν οὐδὲ ῥητόν. ἀλλ' ἀπωλόμην·
ἔρημος οἶκος, καὶ τέκν' ὀρφανεύεται.

**ΧΟΡΟΣ.**

ἔλιπες ἔλιπες, ὦ φίλα
γυναικῶν ἀρίστα θ' ὁπόσας ἐφορᾷ
φέγγος ἀελίου τε καὶ
νυκτὸς ἀστερωπὸς σελάνα.
τάλας, ὅσον κακὸν ἔχει δόμος.
δάκρυσί μου βλέφαρα
καταχυθέντα τέγγεται σᾷ τύχᾳ·
τὸ δ' ἐπὶ τῷδε πῆμα φρίσσω πάλαι.

**ΘΗΣΕΥΣ.**

ἔα ἔα·
τί δή ποθ' ἥδε δέλτος ἐκ φίλης χερὸς
ἠρτημένη, θέλει τι σημῆναι νέον;
ἀλλ' ἦ λέχους μοι καὶ τέκνων ἐπιστολὰς
ἔγραψεν ἡ δύστηνος ἐξαιτουμένη;
θάρσει, τάλαινα· λέκτρα γὰρ τὰ Θησέως
οὐκ ἔστι δῶμά θ' ἥτις εἴσεισιν γυνή.
καὶ μὴν τύποι γε σφενδόνης χρυσηλάτου
τῆς οὐκέτ' οὔσης τῆσδε προσσαίνουσί με.
φέρ', ἐξελίξας περιβολὰς σφραγισμάτων
ἴδω τί λέξαι δέλτος ἥδε μοι θέλει.

**ΧΟΡΟΣ.**

φεῦ φεῦ. τόδ' αὖ νεοχμὸν ἐκδοχαῖς
ἐπιφέρει θεὸς κακόν. ἐμοὶ μὲν οὖν ἀβίοτος βίου
τύχα πρὸς τὸ κρανθὲν εἴη τυχεῖν.
ὀλομένους γὰρ, οὐκέτ' ὄντας λέγω,
φεῦ φεῦ, τῶν ἐμῶν τυράννων δόμους.

ὦ δαῖμον, εἴ πως ἔστι, μὴ σφήλῃς δόμους.
αἰτουμένης δὲ κλῦθί μου· πρὸς γάρ τινος
οἰωνὸν ὥστε μάντις εἰσορῶ κακοῦ.

ΘΗΣΕΥΣ.

οἴμοι. τόδ' οἷον ἄλλο πρὸς κακῷ κακὸν,
οὐ τλητὸν οὐδὲ λεκτόν. ὦ τάλας ἐγώ.

ΧΟΡΟΣ.

τί χρῆμα, λέξον, εἴ τί μοι λόγου μέτα.

ΘΗΣΕΥΣ.

βοᾷ βοᾷ δέλτος ἄλαστα. πᾶ φύγω
βάρος κακῶν; ἀπὸ γὰρ ὀλόμενος οἴχομαι
οἷον οἷον εἶδον ἐν γραφαῖς μέλος
φθεγγόμενον τλάμων.

ΧΟΡΟΣ.

αἰαῖ, κακῶν ἀρχηγὸν ἐκφαίνεις λόγον.

ΘΗΣΕΥΣ.

τόδε μὲν οὐκέτι στόματος ἐν πύλαις
καθέξω δυσεκπέρατον, ὀλοὸν
ὀλοὸν κακὸν, ὦ πόλις πόλις.
Ἱππόλυτος εὐνῆς τῆς ἐμῆς ἔτλη θιγεῖν
βίᾳ, τὸ σεμνὸν Ζηνὸς ὄμμ' ἀτιμάσας.
ἀλλ', ὦ πάτερ Πόσειδον, ἃς ἐμοί ποτε
ἀρὰς ὑπέσχου τρεῖς, μιᾷ κατέργασαι
τούτων ἐμὸν παῖδ', ἡμέραν δὲ μὴ φύγοι
τήνδ', εἴπερ ἡμῖν ὤπασα; σαφεῖς ἀράς.

ΧΟΡΟΣ.

ἄναξ, ἀπεύχου ταῦτα πρὸς θεῶν πάλιν·
γνώσει γὰρ αὖθις ἀμπλακών. ἐμοὶ πιθοῦ.

ΘΗΣΕΥΣ.

οὐκ ἔστι. καὶ πρός γ' ἐξελῶ σφε τῆσδε γῆς,
δυοῖν δὲ μοίραιν θατέρᾳ πεπλήξεται·
ἢ γὰρ Ποσειδῶν αὐτὸν εἰς Ἅιδου δόμους
θανόντα πέμψει, τὰς ἐμὰς ἀρὰς σέβων,
ἢ τῆσδε χώρας ἐκπεσὼν ἀλώμενος
ξένην ἐπ' αἶαν λυπρὸν ἀντλήσει βίον.

ΧΟΡΟΣ.

καὶ μὴν ὅδ' αὐτὸς παῖς σὸς ἐς καιρὸν πάρα,
Ἱππόλυτος· ὀργῆς δ' ἐξανεὶς κακῆς, ἄναξ
Θησεῦ, τὸ λῷστον σοῖσι βούλευσαι δόμοις.

ΙΠΠΟΛΥΤΟΣ.

κραυγῆς ἀκούσας σῆς ἀφικόμην, πάτερ,
σπουδῇ· τὸ μέντοι πρᾶγμ' ἐφ' ᾧτινι στένεις
οὐκ οἶδα, βουλοίμην δ' ἂν ἐκ σέθεν κλύειν.
ἔα, τί χρῆμα; σὴν δάμαρθ' ὁρῶ, πάτερ,
νεκρόν· μεγίστου θαύματος τόδ' ἄξιον·
ἣν ἀρτίως ἔλειπον, ἣ φάος τόδε
οὔπω χρόνον παλαιὸν εἰσεδέρκετο.
τί χρῆμα πάσχει; τῷ τρόπῳ διόλλυται;
πάτερ, πυθέσθαι βούλομαι σέθεν πάρα.
σιγᾷς; σιωπῆς δ' οὐδὲν ἔργον ἐν κακοῖς·
ἡ γὰρ ποθοῦσα πάντα καρδία κλύειν
κἀν τοῖς κακοῖσι λίχνος οὖσ' ἁλίσκεται.
οὐ μὴν φίλους γε, κἄτι μᾶλλον ἢ φίλους,
κρύπτειν δίκαιον σὰς, πάτερ, δυσπραξίας.

ΘΗΣΕΥΣ.

ὦ πόλλ' ἁμαρτάνοντες ἄνθρωποι μάτην,
τί δὴ τέχνας μὲν μυρίας διδάσκετε
καὶ πάντα μηχανᾶσθε κἀξευρίσκετε,
ἓν δ' οὐκ ἐπίστασθ' οὐδ' ἐθηράσασθέ πω,
φρονεῖν διδάσκειν οἷσιν οὐκ ἔνεστι νοῦς;

ΙΠΠΟΛΥΤΟΣ.

δεινὸν σοφιστὴν εἶπας, ὅστις εὖ φρονεῖν
τοὺς μὴ φρονοῦντας δυνατός ἐστ' ἀναγκάσαι.
ἀλλ' οὐ γὰρ ἐν δέοντι λεπτουργεῖς, πάτερ,
δέδοικα μή σου γλῶσσ' ὑπερβάλῃ κακοῖς.

ΘΗΣΕΥΣ.

φεῦ, χρῆν βροτοῖσι τῶν φίλων τεκμήριον
σαφές τι κεῖσθαι καὶ διάγνωσιν φρενῶν,
ὅστις τ' ἀληθής ἐστιν ὅς τε μὴ φίλος·
δισσάς τε φωνὰς πάντας ἀνθρώπους ἔχειν,
τὴν μὲν δικαίαν, τὴν δ' ὅπως ἐτύγχανεν,
ὡς ἡ φρονοῦσα τἄδικ' ἐξηλέγχετο
πρὸς τῆς δικαίας, κοὐκ ἂν ἠπατώμεθα.

ΙΠΠΟΛΥΤΟΣ.

ἀλλ' ἦ τις ἐς σὸν οὖς με διαβαλὼν ἔχει
φίλων, νοσοῦμεν δ' οὐδὲν ὄντες αἴτιοι;
ἐκ τοι πέπληγμαι· σοὶ γὰρ ἐκπλήσσουσί με
λόγοι παραλλάσσοντες ἔξεδροι φρενῶν.

ΘΗΣΕΥΣ.

φεῦ τῆς βροτείας, ποῖ προβήσεται, φρενός;
τί τέρμα τόλμης καὶ θράσους γενήσεται;
εἰ γὰρ κατ' ἀνδρὸς βίοτον ἐξογκώσεται,
ὁ δ' ὕστερος τοῦ πρόσθεν εἰς ὑπερβολὴν
πανοῦργος ἔσται, θεοῖσι προσβαλεῖν χθονὶ
ἄλλην δεήσει γαῖαν, ἣ χωρήσεται
τοὺς μὴ δικαίους καὶ κακοὺς πεφυκότας.
σκέψασθε δ' ἐς τόνδ', ὅστις ἐξ ἐμοῦ γεγὼς
ἤσχυνε τἀμὰ λέκτρα, κἀξελέγχεται
πρὸς τῆς θανούσης ἐμφανῶς κάκιστος ὤν.
δεῖξον δ', ἐπειδή γ' ἐς μίασμ' ἐλήλυθας,
τὸ σὸν πρόσωπον δεῦρ' ἐναντίον πατρί.
σὺ δὴ θεοῖσιν, ὡς περισσὸς ὢν ἀνὴρ,
σύνει; σὺ σώφρων καὶ κακῶν ἀκήρατος;
οὐκ ἂν πιθοίμην τοῖσι σοῖς κόμποις ἐγὼ,
θεοῖσι προσθεὶς ἀμαθίαν φρονεῖν κακῶς.
ἤδη νυν αὔχει καὶ δι' ἀψύχου βορᾶς
σίτοις καπήλευ', Ὀρφέα τ' ἄνακτ' ἔχων
βάκχευε, πολλῶν γραμμάτων τιμῶν καπνούς·
ἐπεί γ' ἐλήφθης. τοὺς δὲ τοιούτους ἐγὼ
φεύγειν προφωνῶ πᾶσι· θηρεύουσι γὰρ
σεμνοῖς λόγοισιν, αἰσχρὰ μηχανώμενοι.
τέθνηκεν ἥδε· τοῦτό σ' ἐκσώσειν δοκεῖς;
ἐν τῷδ' ἁλίσκει πλεῖστον, ὦ κάκιστε σύ.
ποῖοι γὰρ ὅρκοι κρείσσονες, τίνες λόγοι
τῆσδ' ἂν γένοιντ' ἂν, ὥστε σ' αἰτίαν φυγεῖν;
μισεῖν σε φήσεις τήνδε καὶ τὸ δὴ νόθον
τοῖς γνησίοισι πολέμιον πεφυκέναι·
κακὴν ἄρ' αὐτὴν ἔμπορον βίου λέγεις,
εἰ δυσμενείᾳ σῇ τὰ φίλτατ' ὤλεσεν.
ἀλλ' ὡς τὸ μῶρον ἀνδράσιν μὲν οὐκ ἔνι,
γυναιξὶ δ' ἐμπέφυκεν· οἶδ' ἐγὼ νέους
οὐδὲν γυναικῶν ὄντας ἀσφαλεστέρους,
ὅταν ταράξῃ Κύπρις ἡβῶσαν φρένα·
τὸ δ' ἄρσεν αὐτοὺς ὠφελεῖ προσκείμενον.
νῦν οὖν τί ταῦτα σοῖς ἁμιλλῶμαι λόγοις,
νεκροῦ παρόντος μάρτυρος σαφεστάτου;
ἔξερρε γαίας τῆσδ' ὅσον τάχος φυγὰς,
καὶ μήτ' Ἀθήνας τὰς θεοδμήτους μόλῃς
μήτ' εἰς ὅρους γῆς ἧς ἐμὸν κρατεῖ δόρυ.

εἰ γὰρ παθών γε σοῦ τάδ' ἡσσηθήσομαι,
οὐ μαρτυρήσει μ' Ἴσθμιος Σίνις ποτὲ
κτανεῖν ἑαυτὸν, ἀλλὰ κομπάζειν μάτην,
οὐδ' αἱ θαλάσσης σύννομοι Σκειρωνίδες
φήσουσι πέτραι τοῖς κακοῖς μ' εἶναι βαρύν.

ΧΟΡΟΣ.

οὐκ οἶδ' ὅπως εἴποιμ' ἂν εὐτυχεῖν τινα
θνητῶν· τὰ γὰρ δὴ πρῶτ' ἀνέστραπται πάλιν.

ΙΠΠΟΛΥΤΟΣ.

πάτερ, μένος μὲν ξύστασίς τε σῶν φρενῶν
δεινή· τὸ μέντοι πρᾶγμ', ἔχον καλοὺς λόγους,
εἴ τις διαπτύξειεν, οὐ καλὸν τόδε.
ἐγὼ δ' ἄκομψος εἰς ὄχλον δοῦναι λόγον,
ἐς ἥλικας δὲ κὠλίγους σοφώτερος.
ἔχει δὲ μοῖραν καὶ τόδ'· οἱ γὰρ ἐν σοφοῖς
φαῦλοι παρ' ὄχλῳ μουσικώτεροι λέγειν.
ὅμως δ' ἀνάγκη, συμφορᾶς ἀφιγμένης,
γλῶσσάν μ' ἀφεῖναι. πρῶτα δ' ἄρξομαι λέγειν
ὅθεν μ' ὑπῆλθες πρῶτον ὡς διαφθερῶν,
κοὐκ ἀντιλέξοντ'. εἰσορᾷς φάος τόδε
καὶ γαῖαν; ἐν τοῖσδ' οὐκ ἔνεστ' ἀνὴρ ἐμοῦ,
οὐδ' ἢν σὺ μὴ φῇς, σωφρονέστερος γεγώς.
ἐπίσταμαι γὰρ πρῶτα μὲν θεοὺς σέβειν,
φίλοις τε χρῆσθαι, μὴ 'δικεῖν πειρωμένοις,
ἀλλ' οἷσιν αἰδὼς μήτ' ἐπαγγέλλειν κακὰ
μήτ' ἀνθυπουργεῖν αἰσχρὰ τοῖσι χρωμένοις·
οὐκ ἐγγελαστὴς τῶν ὁμιλούντων, πάτερ,
ἀλλ' αὑτὸς οὐ παροῦσι κἀγγὺς ὢν φίλοις.
ἑνὸς δ' ἄθικτος, ᾧ με νῦν ἑλεῖν δοκεῖς·
λέχους γὰρ ἐς τόδ' ἡμέρας ἁγνὸν δέμας.
οὐκ οἶδα πρᾶξιν τήνδε, πλὴν λόγῳ κλύων
γραφῇ τε λεύσσων· οὐδὲ ταῦτα γὰρ σκοπεῖν
πρόθυμός εἰμι, παρθένον ψυχὴν ἔχων.
καίτοι τὸ σῶφρον τοὐμὸν οὐ πείθει σ' ἴσως.
δεῖ δή σε δεῖξαι τῷ τρόπῳ διεφθάρην.
πότερα τὸ τῆσδε σῶμ' ἐκαλλιστεύετο
πασῶν γυναικῶν; ἢ σὸν οἰκήσειν δόμον
ἔγκληρον εὐνὴν προσλαβὼν ἐπήλπισα;
μάταιος ἆρ' ἦν, οὐδαμοῦ μὲν οὖν φρενῶν.
ἀλλ' ὡς τυραννεῖν ἡδὺ τοῖσι σώφροσιν·
ἥκιστά γ', εἰ μὴ τὰς φρένας διέφθορε
θνητῶν ὅσοισιν ἁνδάνει μοναρχία.
ἐγὼ δ' ἀγῶνας μὲν κρατεῖν Ἑλληνικοὺς
πρῶτος θέλοιμ' ἂν, ἐν πόλει δὲ δεύτερος
σὺν τοῖς ἀρίστοις εὐτυχεῖν ἀεὶ φίλοις.
πράσσειν τε γὰρ πάρεστι, κίνδυνός τ' ἀπὼν
κρείσσω δίδωσι τῆς τυραννίδος χάριν.
ἓν οὐ λέλεκται τῶν ἐμῶν, τὰ δ' ἄλλ' ἔχεις·
εἰ μὲν γὰρ ἦν μοι μάρτυς οἷός εἰμ' ἐγὼ,
καὶ τῆσδ' ὁρώσης φέγγος ἠγωνιζόμην,
ἔργοις ἂν εἶδες τοὺς κακοὺς διεξιών.
νῦν δ' ὅρκιόν σοι Ζῆνα καὶ πέδον χθονὸς
ὄμνυμι τῶν σῶν μήποθ' ἅψασθαι γάμων,
μηδ' ἂν θελῆσαι, μηδ' ἂν ἔννοιαν λαβεῖν.
ἦ τἄρ' ὀλοίμην ἀκλεὴς, ἀνώνυμος,
[ἄπολις, ἄοικος, φυγὰς ἀλητεύων χθόνα,]
καὶ μήτε πόντος μήτε γῆ δέξαιτό μου
σάρκας θανόντος, εἰ κακὸς πέφυκ' ἀνήρ.
εἰ δ' ἥδε δειμαίνουσ' ἀπώλεσεν βίον
οὐκ οἶδ'· ἐμοὶ γὰρ οὐ πέρα θέμις λέγειν.
ἐσωφρόνησεν οὐκ ἔχουσα σωφρονεῖν,
ἡμεῖς δ' ἔχοντες οὐ καλῶς ἐχρώμεθα.

ΧΟΡΟΣ.

ἀρκοῦσαν εἶπας αἰτίας ἀποστροφὴν,
ὅρκους παρασχὼν, πίστιν οὐ σμικρὰν, θεῶν.

ΘΗΣΕΥΣ.

ἆρ' οὐκ ἐπῳδὸς, οὐ γόης πέφυχ' ὅδε,
ὃς τὴν ἐμὴν πέποιθεν εὐοργησίᾳ
ψυχὴν κρατήσειν τὸν τεκόντ' ἀτιμάσας;

ΙΠΠΟΛΥΤΟΣ.

καὶ σοῦ γε κάρτα ταῦτα θαυμάζω, πάτερ·
εἰ γὰρ σὺ μὲν παῖς ἦσθ', ἐγὼ δὲ σὸς πατὴρ,
ἔκτεινά τοί σ' ἂν, κοὐ φυγαῖς ἐζημίουν,
εἴπερ γυναικὸς ἠξίους γ' ἐμῆς θιγεῖν.

ΘΗΣΕΥΣ.

ὡς ἄξιον τόδ' εἶπας· οὐχ οὕτω θανεῖ,
ὥσπερ σὺ σαυτῷ τόνδε προὔθηκας νόμον·
ταχὺς γὰρ Ἅιδης ῥᾷστος ἀνδρὶ δυστυχεῖ.
ἀλλ' ἐκ πατρῴας φυγὰς ἀλητεύων χθονὸς
ξένην ἐπ' αἶαν λυπρὸν ἀντλήσεις βίον·
μισθὸς γὰρ ἐστιν οὗτος ἀνδρὶ δυσσεβεῖ.

ΙΠΠΟΛΥΤΟΣ.

οἴμοι, τί δράσεις; οὐδὲ μηνυτὴν χρόνον
δέξει καθ' ἡμῶν, ἀλλά μ' ἐξελᾷς χθονός;

ΘΗΣΕΥΣ.

πέραν γε πόντου τερμόνων τ' Ἀτλαντικῶν,
εἴ πως δυναίμην, ὡς σὸν ἐχθαίρω κάρα.

ΙΠΠΟΛΥΤΟΣ.

οὐδ' ὅρκον οὐδὲ πίστιν οὐδὲ μάντεων
φήμας ἐλέγξας ἄκριτον ἐκβαλεῖς με γῆς;

ΘΗΣΕΥΣ.

ἡ δέλτος ἥδε κλῆρον οὐ δεδεγμένη
κατηγορεῖ σου πιστά· τοὺς δ' ὑπὲρ κάρα
φοιτῶντας ὄρνις πόλλ' ἐγὼ χαίρειν λέγω.

ΙΠΠΟΛΥΤΟΣ.

ὦ θεοὶ, τί δῆτα τοὐμὸν οὐ λύω στόμα,
ὅστις γ' ὑφ' ὑμῶν, οὓς σέβω, διόλλυμαι;
οὐ δῆτα· πάντως οὐ πίθοιμ' ἂν οὓς με δεῖ,
μάτην δ' ἂν ὅρκους συγχέαιμ' οὓς ὤμοσα.

ΘΗΣΕΥΣ.

οἴμοι· τὸ σεμνὸν ὥς μ' ἀποκτείνει τὸ σόν.
οὐκ εἶ πατρῴας ἐκτὸς ὡς τάχιστα γῆς;

ΙΠΠΟΛΥΤΟΣ.

ποῖ δῆθ' ὁ τλήμων τρέψομαι; τίνος ξένων
δόμους ἔσειμι τῇδ' ἐπ' αἰτίᾳ φυγών;

ΘΗΣΕΥΣ.

ὅστις γυναικῶν λυμεῶνας ἥδεται
ξένους κομίζων καὶ ξυνοικούρους κακῶν.

ΙΠΠΟΛΥΤΟΣ.

αἰαῖ· πρὸς ἧπαρ δακρύων τ' ἐγγὺς τόδε,
εἰ δὴ κακός τε φαίνομαι δοκῶ τέ σοι.

ΘΗΣΕΥΣ.

τότε στενάζειν καὶ προγιγνώσκειν σ' ἐχρῆν,
ὅτ' ἐς πατρῴαν ἄλοχον ὑβρίζειν ἔτλης.

ΙΠΠΟΛΥΤΟΣ.

ὦ δώματ', εἴθε φθέγμα γηρύσαισθέ μοι
καὶ μαρτυρήσαιτ' εἰ κακὸς πέφυκ' ἀνήρ.

ΘΗΣΕΥΣ.

ἐς τοὺς ἀφώνους μάρτυρας φεύγεις; σαφῶς
τόδ' ἔργον οὐ λέγον σε μηνύει κακόν.

ΙΠΠΟΛΥΤΟΣ.

φεῦ·
εἴθ' ἦν ἐμαυτὸν προσβλέπειν ἐναντίον
στάνθ', ὡς ἐδάκρυσ' οἷα πάσχομεν κακά.

ΘΗΣΕΥΣ.

πολλῷ γε μᾶλλον σαυτὸν ἤσκησας σέβειν
ἢ τοὺς τεκόντας ὅσια δρᾶν, δίκαιος ὤν.

ΙΠΠΟΛΥΤΟΣ.

ὦ δυστάλαινα μῆτερ, ὦ πικραὶ γοναί.
μηδείς ποτ' εἴη τῶν ἐμῶν φίλων νόθος.

ΘΗΣΕΥΣ.

οὐχ ἕλξετ' αὐτὸν, δμῶες; οὐκ ἀκούετε
πάλαι ξενοῦσθαι τόνδε προὐννέποντά με;

ΙΠΠΟΛΥΤΟΣ.

κλαίων τις αὐτῶν ἆρ' ἐμοῦ γε θίξεται·
σὺ δ' αὐτὸς, εἴ σοι θυμὸς, ἐξώθει χθονός.

ΘΗΣΕΥΣ.

δράσω τάδ', εἰ μὴ τοῖς ἐμοῖς πείσει λόγοις·
οὐ γάρ τις οἶκτος σῆς μ' ὑπέρχεται φυγῆς.

ΙΠΠΟΛΥΤΟΣ.

ἄραρεν, ὡς ἔοικεν· ὦ τάλας ἐγώ.
ὡς οἶδα μὲν ταῦτ', οἶδα δ' οὐχ ὅπως φράσω.
ὦ φιλτάτη μοι δαιμόνων Λητοῦς κόρη,
σύνθακε, συγκύναγε, φευξόμεσθα δὴ
κλεινὰς Ἀθήνας. ἀλλὰ χαίρετ', ὦ πόλις
καὶ γαῖ' Ἐρεχθέως· ὦ πέδον Τροιζήνιον,
ὡς ἐγκαθηβᾶν πόλλ' ἔχεις εὐδαίμονα,
χαῖρ'· ὕστατον γάρ σ' εἰσορῶν προσφθέγγομαι.
ἴτ', ὦ νέοι μοι τῆσδε γῆς ὁμήλικες,
προσείπαθ' ἡμᾶς καὶ προπέμψατε χθονός·
ὡς οὔποτ' ἄλλον ἄνδρα σωφρονέστερον
ὄψεσθε, κεἰ μὴ ταῦτ' ἐμῷ δοκεῖ πατρί.

ΧΟΡΟΣ.

ἦ μέγα μοι τὰ θεῶν μελεδήμαθ', ὅταν φρένας
ἔλθῃ,
λύπας παραιρεῖ·
ξύνεσιν δέ τιν' ἐλπίδι κεύθων
λείπομαι ἔν τε τύχαις θνατῶν καὶ ἐν ἔργμασι
λεύσσων·
ἄλλα γὰρ ἄλλοθεν ἀμείβεται,
μετὰ δ' ἵσταται ἀνδράσιν αἰὼν
πολυπλάνητος ἀεί.
εἴθε μοι εὐξαμένᾳ θεόθεν τάδε μοῖρα παράσχοι,
τύχαν μετ' ὄλβου
καὶ ἀκήρατον ἄλγεσι θυμόν·
δόξα δὲ μήτ' ἀτρεκὴς μήτ' αὖ παράσημος ἐνείη·
ῥᾴδια δ' ἤθεα τὸν αὔριον
μεταβαλλομένα χρόνον ἀεὶ
βίον συνευτυχοίην.
οὐκέτι γὰρ καθαρὰν φρέν' ἔχω, παρὰ δ' ἐλπίδα
λεύσσω,
ἐπεὶ τὸν Ἑλλανίας
φανερώτατον ἀστέρ' Ἀθάνας
εἴδομεν εἴδομεν ἐκ πατρὸς ὀργᾶς
ἄλλαν ἐπ' αἶαν ἱέμενον.
ὦ ψάμαθοι πολιήτιδος ἀκτᾶς
δρυμός τ' ὄρειος, ὅθι κυνῶν
ὠκυπόδων μέτα θῆρας ἔναιρεν

1102 — 1110. = 1111 — 1117.
1118 — 1130. = 1131 — 1141.

Δίκτυνναν ἀμφὶ σεμνάν.
οὐκέτι συζυγίαν πώλων Ἐνετᾶν ἐπιβάσει
τὸν ἀμφὶ Λίμνας τρόχον
κατέχων ποδὶ γυμνάδας ἵππους.
μοῦσα δ' ἄϋπνος ὑπ' ἄντυγι χορδᾶν
λήξει πατρῷον ἀνὰ δόμον·
ἀστέφανοι δὲ κόρας ἀνάπαυλαι
Λατοῦς βαθεῖαν ἀνὰ χλόαν·
νυμφιδία δ' ἀπόλωλε φυγᾷ σᾷ
λέκτρων ἅμιλλα κούραις.
ἐγὼ δὲ σᾷ δυστυχίᾳ δάκρυσιν διοίσω
πότμον ἄποτμον· ὦ τάλαινα
μᾶτερ, ἔτεκες ἀνόνατα· φεῦ,
μανίω θεοῖσιν·
ἰὼ ἰὼ συζυγίαι Χάριτες,
τί τὸν τάλαν' ἐκ πατρίας γᾶς
τὸν οὐδὲν ἄτας αἴτιον πέμπετε τῶνδ' ἀπ' οἴκ
καὶ μὴν ὀπαδὸν Ἱππολύτου τόνδ' εἰσορῶ
σπουδῇ σκυθρωπὸν πρὸς δόμους ὁρμώμενον.

ΕΞΑΓΓΕΛΟΣ.

ποῖ γῆς ἄνακτα τῆσδε Θησέα μολὼν
εὕροιμ' ἄν, ὦ γυναῖκες; εἴπερ ἴστε, μοι
σημήνατ'· ἆρα τῶνδε δωμάτων ἔσω;

ΧΟΡΟΣ.

ὅδ' αὐτὸς ἔξω δωμάτων πορεύεται.

ΕΞΑΓΓΕΛΟΣ.

Θησεῦ, μερίμνης ἄξιον φέρω λόγον
σοὶ καὶ πολίταις οἵ τ' Ἀθηναίων πόλιν
ναίουσι καὶ γῆς τέρμονας Τροιζηνίας.

ΘΗΣΕΥΣ.

τί δ' ἔστι; μῶν τις συμφορὰ νεωτέρα
δισσὰς κατείληφ' ἀστυγείτονας πόλεις;

ΕΞΑΓΓΕΛΟΣ.

Ἱππόλυτος οὐκέτ' ἔστιν, ὡς εἰπεῖν ἔπος·
δέδορκε μέντοι φῶς ἐπὶ σμικρᾶς ῥοπῆς.

ΘΗΣΕΥΣ.

πρὸς τοῦ; δι' ἔχθρας μῶν τις ἦν ἀφιγμέν
ὅτου κατῄσχυν' ἄλοχον ὡς πατρὸς βίᾳ;

ΕΞΑΓΓΕΛΟΣ.

οἰκεῖος αὐτὸν ὤλεσ' ἁρμάτων ὄχος,
ἀραί τε τοῦ σοῦ στόματος, ἃς σὺ σῷ πατρ
πόντου κρέοντι παιδὸς ἠράσω πέρι.

ΘΗΣΕΥΣ.

ὦ θεοὶ Πόσειδόν θ', ὡς ἄρ' ἦσθ' ἐμὸς πα
ὀρθῶς, ἀκούσας τῶν ἐμῶν κατευγμάτων.
πῶς καὶ διώλετ' εἰπέ· τῷ τρόπῳ Δίκης
ἔπαισεν αὐτὸν ῥόπτρον αἰσχύναντ' ἐμέ;

ΕΞΑΓΓΕΛΟΣ.

ἡμεῖς μὲν ἀκτῆς κυμοδέγμονος πέλας
ψήκτραισιν ἵππων ἐκτενίζομεν τρίχας
κλαίοντες· ἦλθε γάρ τις ἄγγελος λέγων
ὡς οὐκέτ' ἐν γῇ τῇδ' ἀναστρέψοι πόδα
Ἱππόλυτος, ἐκ σοῦ τλήμονας φυγὰς ἔχων.
ὁ δ' ἦλθε ταὐτὸν δακρύων φέρων μέλος
ἡμῖν ἐπ' ἀκταῖς· μυρία δ' ὀπισθόπους
φίλων ἅμ' ἔστειχ' ἡλίκων ὁμήγυρις.
χρόνῳ δὲ δήποτ' εἶπ' ἀπαλλαχθεὶς γόων,
τί ταῦτ' ἀλύω; πειστέον πατρὸς λόγοις.
ἐντύναθ' ἵππους ἅρμασι ζυγηφόρους,
δμῶες· πόλις γὰρ οὐκέτ' ἔστιν ἥδε μοι.

τοὐνθένδε μέντοι πᾶς ἀνὴρ ἠπείγετο,
καὶ θᾶσσον ἢ λέγοι τις ἐξηρτυμένας
πώλους παρ' αὐτὸν δεσπότην ἐστήσαμεν.
μάρπτει δὲ χερσὶν ἡνίας ἀπ' ἄντυγος,
αὐταῖσιν ἀρβύλαισιν ἁρμόσας πόδας.
καὶ πρῶτα μὲν θεοῖς εἶπ' ἀναπτύξας χέρας,
Ζεῦ, μηκέτ' εἴην, εἰ κακὸς πέφυκ' ἀνήρ·
αἴσθοιτο δ' ἡμᾶς ὡς ἀτιμάζει πατὴρ
ἤτοι θανόντας ἢ φάος δεδορκότας.
κἀν τῷδ' ἐπῆγε κέντρον ἐς χεῖρας λαβὼν
πώλοις ὁμαρτῇ· πρόσπολοι δ' ὑφ' ἅρματος
πέλας χαλινῶν εἱπόμεσθα δεσπότῃ
τὴν εὐθὺς Ἄργους κἀπιδαυρίας ὁδόν.
ἐπεὶ δ' ἔρημον χῶρον εἰσεβάλλομεν,
ἀκτή τίς ἐστι τοὐπέκεινα τῆσδε γῆς,
πρὸς πόντον ἤδη κειμένη Σαρωνικόν.
ἔνθεν τις ἠχὼ χθόνιος ὡς βροντὴ Διὸς
βαρὺν βρόμον μεθῆκε, φρικώδη κλύειν·
ὀρθὸν δὲ κρᾶτ' ἔστησαν οὖς τ' ἐς οὐρανὸν
ἵπποι· παρ' ἡμῖν δ' ἦν φόβος νεανικὸς
πόθεν ποτ' εἴη φθόγγος. ἐς δ' ἁλιρρόθους
ἀκτὰς ἀποβλέψαντες ἱρὸν εἴδομεν
κῦμ' οὐρανῷ στηρίζον, ὥστ' ἀφῃρέθη
Σκείρωνος ἀκτὰς ὄμμα τοὐμὸν εἰσορᾶν·
ἔκρυπτε δ' Ἰσθμὸν καὶ πέτραν Ἀσκληπιοῦ.
κἄπειτ' ἀνοιδῆσάν τε καὶ πέριξ ἀφρὸν
πολὺν καχλάζον ποντίῳ φυσήματι
χωρεῖ πρὸς ἀκτὰς, οὗ τέθριππος ἦν ὄχος.
αὐτῷ δὲ σὺν κλύδωνι καὶ τρικυμίᾳ
κῦμ' ἐξέθηκε ταῦρον, ἄγριον τέρας,
οὗ πᾶσα μὲν χθὼν φθέγματος πληρουμένη
φρικῶδες ἀντεφθέγγετ', εἰσορῶσι δὲ
κρεῖσσον θέαμα δεργμάτων ἐφαίνετο.
εὐθὺς δὲ πώλοις δεινὸς ἐμπίπτει φόβος·
καὶ δεσπότης μὲν ἱππικοῖς ἐν ἤθεσι
πολὺς ξυνοικῶν ἥρπασ' ἡνίας χεροῖν,
ἕλκει δὲ κώπην ὥστε ναυβάτης ἀνὴρ
ἱμᾶσιν ἐς τοὔπισθεν ἀρτήσας δέμας·
αἱ δ' ἐνδακοῦσαι στόμια πυριγενῆ γνάθοις
βίᾳ φέρουσιν, οὔτε ναυκλήρου χερὸς
οὔθ' ἱπποδέσμων οὔτε κολλητῶν ὄχων
μεταστρέφουσαι. κεἰ μὲν ἐς τὰ μαλθακὰ
γαίας ἔχων οἴακας ἰθύνοι δρόμον,
προὐφαίνετ' εἰς τοὔμπροσθεν, ὥστ' ἀναστρέφειν,
ταῦρος, φόβῳ τέτρωρον ἐκμαίνων ὄχον·
εἰ δ' ἐς πέτρας φέροιντο μαργῶσαι φρένας,
σιγῇ πελάζων ἄντυγι ξυνείπετο,
ἐς τοῦθ' ἕως ἔσφηλε κἀνεχαίτισεν,
ἁψῖδα πέτρῳ προσβαλὼν ὀχήματος.
σύμφυρτα δ' ἦν ἅπαντα· σύριγγές τ' ἄνω
τροχῶν ἐπήδων ἀξόνων τ' ἐνήλατα.
αὐτὸς δ' ὁ τλήμων ἡνίαισιν ἐμπλακεὶς
δεσμὸν δυσεξήνυστον ἕλκεται δεθεὶς,
σποδούμενος μὲν πρὸς πέτρας φίλον κάρα,
θραύων δὲ σάρκας, δεινὰ δ' ἐξαυδῶν κλύειν,
στῆτ', ὦ φάτναισι ταῖς ἐμαῖς τεθραμμέναι,
μή μ' ἐξαλείψητ'. ὦ πατρὸς τάλαιν' ἀρά.
τίς ἄνδρ' ἄριστον βούλεται σῶσαι παρών;
πολλοὶ δὲ βουληθέντες ὑστέρῳ ποδὶ
ἐλειπόμεσθα. χὠ μὲν ἐκ δεσμῶν λυθεὶς
τμητῶν ἱμάντων οὐ κάτοιδ' ὅτῳ τρόπῳ
πίπτει, βραχὺν δὴ βίοτον ἐμπνέων ἔτι·
ἵπποι δ' ἔκρυφθεν καὶ τὸ δύστηνον τέρας
ταύρου λεπαίας οὐ κάτοιδ' ὅποι χθονός.
δοῦλος μὲν οὖν ἔγωγε σῶν δόμων, ἄναξ,
ἀτὰρ τοσοῦτόν γ' οὐ δυνήσομαί ποτε
τὸν σὸν πιθέσθαι παῖδ' ὅπως ἐστὶν κακὸς,
οὐδ' εἰ γυναικῶν πᾶν κρεμασθείη γένος
καὶ τὴν ἐν Ἴδῃ γραμμάτων πλήσειέ τις
πεύκην, ἐπεί νιν ἐσθλὸν ὄντ' ἐπίσταμαι.

ΧΟΡΟΣ.

αἰαῖ. κέκρανται συμφορὰ νέων κακῶν,
οὐδ' ἔστι μοίρας τοῦ χρεών τ' ἀπαλλαγή.

ΘΗΣΕΥΣ.

μίσει μὲν ἀνδρὸς τοῦ πεπονθότος τάδε
λόγοισιν ἥσθην τοῖσδε· νῦν δ' αἰδούμενος
θεούς τ' ἐκεῖνόν θ', οὕνεκ' ἐστὶν ἐξ ἐμοῦ,
οὔθ' ἥδομαι τοῖσδ' οὔτ' ἐπάχθομαι κακοῖς.

ΕΞΑΓΓΕΛΟΣ.

πῶς οὖν; κομίζειν, ἢ τί χρὴ τὸν ἄθλιον
δράσαντας ἡμᾶς σῇ χαρίζεσθαι φρενί;
φρόντιζ'· ἐμοῖς δὲ χρώμενος βουλεύμασιν
οὐκ ὠμὸς ἐς σὸν παῖδα δυστυχοῦντ' ἔσει.

ΘΗΣΕΥΣ.

κομίζετ' αὐτὸν, ὡς ἰδὼν ἐν ὄμμασι
τὸν τἄμ' ἀπαρνηθέντα μὴ χρᾶναι λέχη
λόγοις τ' ἐλέγξω δαιμόνων τε συμφοραῖς.

ΧΟΡΟΣ.

σὺ τὰν θεῶν ἄκαμπτον φρένα καὶ βροτῶν
ἄγεις, Κύπρι· σὺν δ'
ὁ ποικιλόπτερος ἀμφιβαλὼν
ὠκυτάτῳ πτερῷ.
ποτᾶται δ' ἐπὶ γαῖαν εὐάχητόν θ'
ἁλμυρὸν ἐπὶ πόντον.
θέλγει δ' Ἔρως, ᾧ μαινομένᾳ κραδίᾳ
πτανὸς ἐφορμάσῃ
χρυσοφαὴς, φύσιν
ὀρεσκόων σκυλάκων
πελαγίων θ' ὅσα τε γᾶ τρέφει,
τὰν Ἅλιος αἰθομέναν δέρκεται,
ἄνδρας τε· συμπάντων δὲ
βασιληίδα τιμὰν, Κύπρι,
τῶνδε μόνα κρατύνεις.

ΑΡΤΕΜΙΣ.

σὲ τὸν εὐπατρίδαν Αἰγέως κέλομαι
παῖδ' ἐπακοῦσαι·
Λητοῦς δὲ κόρη σ' Ἄρτεμις αὐδῶ.
Θησεῦ, τί τάλας τοῖσδε συνήδει,
παῖδ' οὐχ ὁσίως σὸν ἀποκτείνας,
ψευδέσι μύθοις ἀλόχου πεισθεὶς
ἀφανῆ; φανερὰ δ' εἷλέν σ' ἄτα.
πῶς οὐχ ὑπὸ γῆς τάρταρα κρύπτεις
δέμας αἰσχυνθεὶς,
ἢ πτηνὸς ἄνω μεταβὰς βίοτον
πήματος ἔξω πόδα τοῦδ' ἀνέχεις;
ὡς ἔν γ' ἀγαθοῖς ἀνδράσιν οὔ σοι
κτητὸν βιότου μέρος ἐστίν.
ἄκουε, Θησεῦ, σῶν κακῶν κατάστασιν·
καίτοι προκόψω γ' οὐδὲν, ἀλγυνῶ δὲ σέ.

ἀλλ' ἐς τόδ' ἦλθον, παιδὸς ἐκδεῖξαι φρένα
τοῦ σοῦ δικαίαν, ὡς ὑπ' εὐκλείας θάνῃ,
καὶ σῆς γυναικὸς οἶστρον, ἢ τρόπον τινὰ
γενναιότητα· τῆς γὰρ ἐχθίστης θεῶν
ἡμῖν ὅσαισι παρθένειος ἡδονὴ
δηχθεῖσα κέντροις παιδὸς ἠράσθη σέθεν.
γνώμῃ δὲ νικᾶν τὴν Κύπριν πειρωμένη
τροφοῦ διώλετ' οὐχ ἑκοῦσα μηχαναῖς,
ἣ σῷ δι' ὅρκων παιδὶ σημαίνει νόσον.
ὁ δ', ὥσπερ οὖν δίκαιον, οὐκ ἐφέσπετο
λόγοισιν, οὐδ' αὖ πρὸς σέθεν κακούμενος
ὅρκων ἀφεῖλε πίστιν, εὐσεβὴς γεγώς.
ἡ δ' εἰς ἔλεγχον μὴ πέσῃ φοβουμένη,
ψευδεῖς γραφὰς ἔγραψε καὶ διώλεσε
δόλοισι σὸν παῖδ', ἀλλ' ὅμως ἔπεισέ σε.

ΘΗΣΕΥΣ.

οἴμοι.

ΑΡΤΕΜΙΣ.

δάκνει σε, Θησεῦ, μῦθος; ἀλλ' ἕχ' ἥσυχος,
τοὐνθένδ' ἀκούσας ὡς ἂν οἰμώξῃς πλέον.
ἆρ' οἶσθα πατρὸς τρεῖς ἀρὰς σαφεῖς ἔχων,
ὧν τὴν μίαν παρεῖλες, ὦ κάκιστε σὺ,
ἐς παῖδα τὸν σὸν, ἐξὸν εἰς ἐχθρόν τινα.
πατὴρ μὲν οὖν σοι πόντιος φρονῶν καλῶς
ἔδωχ' ὅσονπέρ χρῆν, ἐπείπερ ἤνεσεν·
σὺ δ' ἔν τ' ἐκείνῳ κἀν ἐμοὶ φαίνει κακὸς,
ὃς οὔτε πίστιν οὔτε μάντεων ὄπα
ἔμεινας, οὐδ' ἤλεγξας, οὐ χρόνῳ μακρῷ
σκέψιν γ' ἔνειμας, ἀλλὰ θᾶσσον ἤ σ' ἐχρῆν
ἀρὰς ἀφῆκας παιδὶ καὶ κατέκτανες.

ΘΗΣΕΥΣ.

δέσποιν', ὀλοίμην.

ΑΡΤΕΜΙΣ.

δεῖν' ἔπραξας, ἀλλ' ὅμως
ἔτ' ἔστι καὶ σοὶ τῶνδε συγγνώμης τυχεῖν·
Κύπρις γὰρ ἤθελ' ὥστε γίγνεσθαι τάδε,
πληροῦσα θυμόν. θεοῖσι δ' ὧδ' ἔχει νόμος·
οὐδεὶς ἀπαντᾶν βούλεται προθυμίᾳ
τῇ τοῦ θέλοντος, ἀλλ' ἀφιστάμεσθ' ἀεί.
ἐπεὶ σάφ' ἴσθι, Ζῆνα μὴ φοβουμένη,
οὐκ ἄν ποτ' ἦλθον ἐς τόδ' αἰσχύνης ἐγὼ
ὥστ' ἄνδρα πάντων φίλτατον βροτῶν ἐμοὶ
θανεῖν ἐᾶσαι. τὴν δὲ σὴν ἁμαρτίαν
τὸ μὴ εἰδέναι μὲν πρῶτον ἐκλύει κάκης·
ἔπειτα δ' ἡ θανοῦσ' ἀνάλωσεν γυνὴ
λόγων ἐλέγχους ὥστε σὴν πεῖσαι φρένα.
μάλιστα μέν νυν σοὶ τάδ' ἔρρωγεν κακὰ,
λύπη δὲ κἀμοί· τοὺς γὰρ εὐσεβεῖς θεοὶ
θνήσκοντας οὐ χαίρουσι· τούς γε μὴν κακοὺς
αὐτοῖς τέκνοισι καὶ δόμοις ἐξόλλυμεν.

ΧΟΡΟΣ.

καὶ μὴν ὁ τάλας ὅδε δὴ στείχει,
σάρκας νεαρὰς
ξανθόν τε κάρα διαλυμανθείς.
ὦ πόνος οἴκων, οἷον ἐκράνθη
δίδυμον μελάθροις
πένθος θεόθεν καταληπτόν.

ΙΠΠΟΛΥΤΟΣ.

αἰαῖ αἰαῖ,
δύστανος ἐγὼ, πατρὸς ἐξ ἀδίκου
χρησμοῖς ἀδίκοις διελυμάνθην.
ἀπόλωλα τάλας, οἴμοι μοι.
διά μου κεφαλᾶς ᾄσσουσ' ὀδύναι,
κατὰ δ' ἐγκέφαλον πηδᾷ σφάκελος.
σχὲς, ἀπειρηκὸς σῶμ' ἀναπαύσω.
ἒ ἔ.
ὦ στυγνὸν ὄχημ' ἵππειον, ἐμῆς
βόσκημα χερὸς,
διά μ' ἔφθειρας, κατὰ δ' ἔκτεινας.
φεῦ φεῦ· πρὸς θεῶν, ἀτρέμας, δμῶες,
χροὸς ἑλκώδους ἅπτεσθε χεροῖν.
τίς ἐφέστηκ' ἐνδέξια πλευροῖς;
πρόσφορά μ' αἴρετε, σύντονα δ' ἕλκετε
τὸν κακοδαίμονα καὶ κατάρατον
πατρὸς ἀμπλακίαις. Ζεῦ Ζεῦ, τάδ' ὁρᾷς;
ὅδ' ὁ σεμνὸς ἐγὼ καὶ θεοσέπτωρ,
ὅδ' ὁ σωφροσύνῃ πάντας ὑπερσχὼν
προὖπτον ἐς Ἅιδαν στείχω κατὰ γᾶς,
ὀλέσας βίοτον·
μόχθους δ' ἄλλως τῆς εὐσεβίας
εἰς ἀνθρώπους ἐπόνησα·
αἰαῖ αἰαῖ·
καὶ νῦν ὀδύνα μ' ὀδύνα βαίνει.
μέθετέ με τὸν τάλανα·
καί μοι θάνατος παιὰν ἔλθοι.
προσαπόλλυτέ μ' ὄλλυτε τὸν δυσδαί-
μονά μ'· ἀμφιτόμου λόγχας ἔραμαι
διαμοιρᾶσαι,
διά τ' εὐνᾶσαι τὸν ἐμὸν βίοτον.
ὦ πατρὸς ἐμοῦ δύστανος ἀρὰ,
μιαιφόνων τε συγγόνων,
παλαιῶν προγεννητόρων
ἐξορίζεται κακὸν, οὐδὲ μέλλει,
ἔμολέ τ' ἐπ' ἐμὲ τί ποτε τὸν οὐδὲν ὄντ' ἐπαί-
τιον κακῶν;
ἰώ μοί μοι, τί φῶ;
πῶς ἀπαλλάξω βιοτὰν
ἐμὰν τοῦδ' ἀναλγήτου πάθους;
εἴθε με κοιμίσειε τὸν δυσδαίμονα
Ἅιδου μέλαινα νύκτερός τ' ἀνάγκα.

ΑΡΤΕΜΙΣ.

ὦ τλῆμον, οἵᾳ ξυμφορᾷ ξυνεζύγης·
τὸ δ' εὐγενές σε τῶν φρενῶν διώλεσεν.

ΙΠΠΟΛΥΤΟΣ.

ἔα.
ὦ θεῖον ὀδμῆς πνεῦμα· καὶ γὰρ ἐν κακοῖς
ὢν ᾐσθόμην σου κἀνεκουφίσθην δέμας·
ἔστ' ἐν τόποισι τοισίδ' Ἄρτεμις θεά.

ΑΡΤΕΜΙΣ.

ὦ τλῆμον, ἔστι, σοί γε φιλτάτη θεῶν.

ΙΠΠΟΛΥΤΟΣ.

ὁρᾷς με, δέσποιν', ὡς ἔχω, τὸν ἄθλιον;

ΑΡΤΕΜΙΣ.

ὁρῶ· κατ' ὄσσων δ' οὐ θέμις βαλεῖν δάκρυ.

ΙΠΠΟΛΥΤΟΣ.

οὐκ ἔστι σοι κυναγὸς οὐδ' ὑπηρέτης.

ΑΡΤΕΜΙΣ.

οὐ δῆτ'· ἀτάρ μοι προσφιλὴς ἀπόλλυσαι.

ΙΠΠΟΛΥΤΟΣ.

οὐδ' ἱππονώμας οὐδ' ἀγαλμάτων φύλαξ.

ΑΡΤΕΜΙΣ.
Κύπρις γὰρ ἡ πανοῦργος ὧδ' ἐμήσατο.
ΙΠΠΟΛΥΤΟΣ.
ὤμοι. φρονῶ δὴ δαίμον' ἥ μ' ἀπώλεσε.
ΑΡΤΕΜΙΣ.
τιμῆς ἐμέμφθη, σωφρονοῦντι δ' ἤχθετο.
ΙΠΠΟΛΥΤΟΣ.
τρεῖς ὄντας ἡμᾶς ὤλεσ', ᾔσθημαι, μία.
ΑΡΤΕΜΙΣ.
πατέρα τε καὶ σὲ καὶ τρίτην ξυνάορον.
ΙΠΠΟΛΥΤΟΣ.
ᾤμωξα τοίνυν καὶ πατρὸς δυσπραξίας.
ΑΡΤΕΜΙΣ.
ἐξηπατήθη δαίμονος βουλεύμασιν.
ΙΠΠΟΛΥΤΟΣ.
ὦ δυστάλας σὺ τῆσδε συμφορᾶς, πάτερ.
ΘΗΣΕΥΣ.
ὄλωλα, τέκνον, οὐδέ μοι χάρις βίου.
ΙΠΠΟΛΥΤΟΣ.
στένω σὲ μᾶλλον ἢ 'μὲ τῆς ἁμαρτίας.
ΘΗΣΕΥΣ.
εἰ γὰρ γενοίμην, τέκνον, ἀντὶ σοῦ νεκρός.
ΙΠΠΟΛΥΤΟΣ.
ὦ δῶρα πατρὸς σοῦ Ποσειδῶνος πικρά.
ΘΗΣΕΥΣ.
ὡς μήποτ' ἐλθεῖν ὤφελ' ἐς τοὐμὸν στόμα.
ΙΠΠΟΛΥΤΟΣ.
τί δ'; ἔκτανές τἄν μ', ὡς τότ' ἦσθ' ὠργισμένος.
ΘΗΣΕΥΣ.
δόξης γὰρ ἦμεν πρὸς θεῶν ἐσφαλμένοι.
ΙΠΠΟΛΥΤΟΣ.
φεῦ.
εἴθ' ἦν ἀραῖον δαίμοσιν βροτῶν γένος.
ΑΡΤΕΜΙΣ.
ἔασον· οὐ γὰρ οὐδὲ γῆς ὑπὸ ζόφον
θεᾶς ἄτιμοι Κύπριδος ἐκ προθυμίας
ὀργαὶ κατασκήψουσιν ἐς τὸ σὸν δέμας,
σῆς εὐσεβείας κἀγαθῆς φρενὸς χάριν.
ἐγὼ γὰρ αὐτῆς ἄλλον ἐξ ἐμῆς χερὸς
ὃς ἂν μάλιστα φίλτατος κυρῇ βροτῶν
τόξοις ἀφύκτοις τοῖσδε τιμωρήσομαι.
σοὶ δ', ὦ ταλαίπωρ', ἀντὶ τῶνδε τῶν κακῶν
τιμὰς μεγίστας ἐν πόλει Τροιζηνίᾳ
δώσω· κόραι γὰρ ἄζυγες γάμων πάρος
κόμας κεροῦνταί σοι, δι' αἰῶνος μακροῦ
πένθη μέγιστα δακρύων καρπουμένῳ.
ἀεὶ δὲ μουσοποιὸς ἐς σὲ παρθένων
ἔσται μέριμνα, κοὐκ ἀνώνυμος πεσὼν
ἔρως ὁ Φαίδρας ἐς σὲ σιγηθήσεται.
σὺ δ', ὦ γεραιοῦ τέκνον Αἰγέως, λαβὲ
σὸν παῖδ' ἐν ἀγκάλαισι καὶ προσέλκυσαι·
ἄκων γὰρ ὤλεσάς νιν· ἀνθρώποισι δὲ
θεῶν διδόντων εἰκὸς ἐξαμαρτάνειν.
καὶ σοὶ παραινῶ πατέρα μὴ στυγεῖν σέθεν,
Ἱππόλυτ'· ἔχεις γὰρ μοῖραν ᾗ διεφθάρης.
καὶ χαῖρ'· ἐμοὶ γὰρ οὐ θέμις φθιτοὺς ὁρᾶν,
οὐδ' ὄμμα χραίνειν θανασίμοισιν ἐκπνοαῖς·
ὁρῶ δέ σ' ἤδη τοῦδε πλησίον κακοῦ.
ΙΠΠΟΛΥΤΟΣ.
χαίρουσα καὶ σὺ στεῖχε, παρθέν' ὀλβία·
μακρὰν δὲ λείποις ῥᾳδίως ὁμιλίαν.
λύω δὲ νεῖκος πατρὶ χρῃζούσης σέθεν·
καὶ γὰρ πάροιθε σοῖς ἐπειθόμην λόγοις.
αἰαῖ· κατ' ὄσσων κιγχάνει μ' ἤδη σκότος.
λαβοῦ, πάτερ, μου, καὶ κατόρθωσον δέμας.
ΘΗΣΕΥΣ.
ὤμοι, τέκνον, τί δρᾷς με τὸν δυσδαίμονα;
ΙΠΠΟΛΥΤΟΣ.
ὄλωλα, καὶ δὴ νερτέρων ὁρῶ πύλας.
ΘΗΣΕΥΣ.
ἦ τὴν ἐμὴν ἄναγνον ἐκλιπὼν φρένα;
ΙΠΠΟΛΥΤΟΣ.
οὐ δῆτ', ἐπεί σε τοῦδ' ἐλευθερῶ φόνου.
ΘΗΣΕΥΣ.
τί φής; ἀφίης αἵματός μ' ἐλεύθερον;
ΙΠΠΟΛΥΤΟΣ.
τὴν τοξόδαμνον Ἄρτεμιν μαρτύρομαι.
ΘΗΣΕΥΣ.
ὦ φίλταθ', ὡς γενναῖος ἐκφαίνει πατρί.
ΙΠΠΟΛΥΤΟΣ.
ὦ χαῖρε καὶ σὺ, χαῖρε πολλά μοι, πάτερ.
ΘΗΣΕΥΣ.
ὤμοι φρενὸς σῆς εὐσεβοῦς τε κἀγαθῆς.
ΙΠΠΟΛΥΤΟΣ.
τοιῶνδε παίδων γνησίων εὔχου τυχεῖν.
ΘΗΣΕΥΣ.
μή νυν προδῷς με, τέκνον, ἀλλὰ καρτέρει.
ΙΠΠΟΛΥΤΟΣ.
κεκαρτέρηται τἄμ'· ὄλωλα γὰρ, πάτερ·
κρύψον δέ μου πρόσωπον ὡς τάχος πέπλοις.
ΘΗΣΕΥΣ.
ὦ κλείν' Ἀθηνῶν Παλλάδος θ' ὁρίσματα,
οἵου στερήσεσθ' ἀνδρός. ὦ τλήμων ἐγώ.
ὡς πολλὰ, Κύπρι, σῶν κακῶν μεμνήσομαι.
ΧΟΡΟΣ.
κοινὸν τόδ' ἄχος πᾶσι πολίταις
ἦλθεν ἀέλπτως.
πολλῶν δακρύων ἔσται πίτυλος·
τῶν γὰρ μεγάλων ἀξιοπενθεῖς
φῆμαι μᾶλλον κατέχουσιν.

# ΕΥΡΙΠΙΔΟΥ ΑΛΚΗΣΤΙΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΑΠΟΛΛΩΝ.*
*ΘΑΝΑΤΟΣ.*
*ΧΟΡΟΣ ΠΡΕΣΒΥΤΩΝ ΦΕΡΑΙΩΝ.*
*ΘΕΡΑΠΑΙΝΑ.*
*ΑΛΚΗΣΤΙΣ.*
*ΘΕΡΑΠΩΝ.*
*ΑΔΜΗΤΟΣ.*
*ΕΥΜΗΛΟΣ.*
*ΗΡΑΚΛΗΣ.*
*ΦΕΡΗΣ.*

## ΥΠΟΘΕΣΙΣ.

*Ἀπόλλων ᾐτήσατο παρὰ τῶν Μοιρῶν ὅπως ὁ Ἄδμητος τελευτᾶν μέλλων παράσχῃ τινὰ τὸν ὑπὲρ ἑαυ ἑκόντα τεθνηξόμενον, ἵνα ἴσον τῷ προτέρῳ χρόνον ζήσῃ. καὶ δὴ Ἄλκηστις ἡ γυνὴ τοῦ Ἀδμήτου ἐπέδω ἑαυτὴν, οὐδετέρου τῶν γονέων θελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ' οὐ πολὺ δὲ ταύτης τῆς συ φορᾶς γενομένης Ἡρακλῆς παραγενόμενος καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν Ἄλκηστ ἐπορεύθη ἐπὶ τὸν τάφον, καὶ τὸν Θάνατον ἀποστῆναι ποιήσας ἐσθῆτι καλύπτει τὴν γυναῖκα. τὸν Ἄδμητον ἠξίου λαβόντα αὐτὴν τηρεῖν· εἰληφέναι γὰρ αὐτὴν πάλης ἆθλον ἔλεγε. μὴ βουλομένου δὲ ἐκεῖν ἀποκαλύψας ἔδειξεν ἣν ἐπένθει.*

*Ἄλκηστις ἡ Πελίου θυγάτηρ ὑπομείνασα ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς τελευτῆσαι Ἡρακλέους ἐπιδημήσ τος ἐν τῇ Θετταλίᾳ διασώζεται, βιασαμένου τοὺς χθονίους θεοὺς καὶ ἀφελομένου τὴν γυναῖκα. παρ' οὐ τέρῳ κεῖται ἡ μυθοποιία. ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Φεραῖς μιᾷ πόλει τῆς Θετταλίας· ὁ χορὸς συνέστηκεν ἔκ τινων πρεσβυτῶν ἐντοπίων, οἳ καὶ παραγίνονται συμπαθήσοντες ταῖς Ἀλκήστι συμφοραῖς. προλογίζει δὲ Ἀπόλλων. τὸ δὲ δρᾶμά ἐστι σατυρικώτερον, ὅτι εἰς χαρὰν καὶ ἡδονὴν κα στρέφει. παρὰ τοῖς τραγικοῖς ἐκβάλλεται ὡς ἀνοίκεια τῆς τραγικῆς ποιήσεως ὅ τε Ὀρέστης καὶ ἡ Ἄλκηστ ὡς ἐκ συμφορᾶς μὲν ἀρχόμενα, εἰς εὐδαιμονίαν δὲ καὶ χαρὰν καταλήξαντα. ἔστι δὲ μᾶλλον κωμ ἐχόμενα.*

# Α Λ Κ Η Σ Τ Ι Σ.

ΑΠΟΛΛΩΝ.

Ὦ δώματ' Ἀδμήτει', ἐν οἷς ἔτλην ἐγὼ
θῆσσαν τράπεζαν αἰνέσαι, θεός περ ὤν.
Ζεὺς γὰρ κατακτὰς παῖδα τὸν ἐμὸν αἴτιος
Ἀσκληπιὸν, στέρνοισιν ἐμβαλὼν φλόγα·
οὗ δὴ χολωθεὶς τέκτονας δίου πυρὸς
κτείνω Κύκλωπας· καί με θητεύειν πατὴρ
θνητῷ παρ' ἀνδρὶ τῶνδ' ἄποιν' ἠνάγκασεν.
ἐλθὼν δὲ γαῖαν τήνδ' ἐβουφόρβουν ξένῳ,
καὶ τόνδ' ἔσωζον οἶκον ἐς τόδ' ἡμέρας.
ὁσίου γὰρ ἀνδρὸς ὅσιος ὢν ἐτύγχανον,
παιδὸς Φέρητος, ὃν θανεῖν ἐρρυσάμην,
Μοίρας δολώσας· ἤνεσαν δέ μοι θεαὶ
Ἄδμητον Ἅιδην τὸν παραυτίκ' ἐκφυγεῖν,
ἄλλον διαλλάξαντα τοῖς κάτω νεκρόν.
πάντας δ' ἐλέγξας καὶ διεξελθὼν φίλους,
πατέρα γεραιάν θ' ἥ σφ' ἔτικτε μητέρα,
οὐχ εὗρε πλὴν γυναικὸς ἥτις ἤθελε
θανεῖν πρὸ κείνου μηδ' ἔτ' εἰσορᾶν φάος,
ἣ νῦν κατ' οἴκους ἐν χεροῖν βαστάζεται
ψυχορραγοῦσα· τῇδε γάρ σφ' ἐν ἡμέρᾳ
θανεῖν πέπρωται καὶ μεταστῆναι βίου.
ἐγὼ δὲ, μὴ μίασμά μ' ἐν δόμοις κίχῃ,
λείπω μελάθρων τῶνδε φιλτάτην στέγην.
ἤδη δὲ τόνδε Θάνατον εἰσορῶ πέλας,
ἱερῆ θανόντων, ὅς νιν εἰς Ἅιδου δόμους
μέλλει κατάξειν· συμμέτρως δ' ἀφίκετο
φρουρῶν τόδ' ἦμαρ, ᾧ θανεῖν αὐτὴν χρεών.

ΘΑΝΑΤΟΣ.

ἆ ἆ ἆ ἆ.
τί σὺ πρὸς μελάθροις; τί σὺ τῇδε πολεῖς,
Φοῖβ'; ἀδικεῖς αὖ τιμὰς ἐνέρων
ἀφοριζόμενος καὶ καταπαύων.
οὐκ ἤρκεσέ σοι μόρον Ἀδμήτου
διακωλῦσαι, Μοίρας δολίῳ
σφήλαντι τέχνῃ; νῦν δ' ἐπὶ τῇδ' αὖ
χέρα τοξήρη φρουρεῖς ὁπλίσας,
ἣ τόδ' ὑπέστη πόσιν ἐκλύσασ'
αὐτὴ προθανεῖν Πελίου παῖς.

ΑΠΟΛΛΩΝ.

θάρσει· δίκην τοι καὶ λόγους κεδνοὺς ἔχω.

ΘΑΝΑΤΟΣ.

τί δῆτα τόξων ἔργον, εἰ δίκην ἔχεις;

ΑΠΟΛΛΩΝ.

σύνηθες ἀεὶ ταῦτα βαστάζειν ἐμοί.

ΘΑΝΑΤΟΣ.

καὶ τοῖσδέ γ' οἴκοις ἐκδίκως προσωφελεῖν.

ΑΠΟΛΛΩΝ.

φίλου γὰρ ἀνδρὸς συμφοραῖς βαρύνομαι.

ΘΑΝΑΤΟΣ.

καὶ νοσφιεῖς με τοῦδε δευτέρου νεκροῦ;

ΑΠΟΛΛΩΝ.

ἀλλ' οὐδ' ἐκεῖνον πρὸς βίαν σ' ἀφειλόμην.

ΘΑΝΑΤΟΣ.

πῶς οὖν ὑπὲρ γῆς ἐστι κοὐ χθονὸς κάτω;

ΑΠΟΛΛΩΝ.

δάμαρτ' ἀμείψας, ἣν σὺ νῦν ἥκεις μέτα.

ΘΑΝΑΤΟΣ.

κἀπάξομαί γε νερτέραν ὑπὸ χθόνα.

ΑΠΟΛΛΩΝ.

λαβὼν ἴθ'· οὐ γὰρ οἶδ' ἂν εἰ πείσαιμί σε.

ΘΑΝΑΤΟΣ.

κτείνειν ὃν ἂν χρῇ; τοῦτο γὰρ τετάγμεθα.

ΑΠΟΛΛΩΝ.

οὔκ, ἀλλὰ τοῖς μέλλουσι θάνατον ἐμβαλεῖν.

ΘΑΝΑΤΟΣ.

ἔχω λόγον δὴ καὶ προθυμίαν σέθεν.

ΑΠΟΛΛΩΝ.

ἔστ' οὖν ὅπως Ἄλκηστις ἐς γῆρας μόλοι;

ΘΑΝΑΤΟΣ.

οὐκ ἔστι· τιμαῖς κἀμὲ τέρπεσθαι δόκει.

ΑΠΟΛΛΩΝ.

οὔτοι πλέον γ' ἂν ἢ μίαν ψυχὴν λάβοις.

ΘΑΝΑΤΟΣ.

νέων φθινόντων μεῖζον ἄρνυμαι γέρας.

ΑΠΟΛΛΩΝ.

κἂν γραῦς ὄληται, πλουσίως ταφήσεται.

ΘΑΝΑΤΟΣ.

πρὸς τῶν ἐχόντων, Φοῖβε, τὸν νόμον τίθης.

ΑΠΟΛΛΩΝ.

πῶς εἶπας; ἀλλ' ἦ καὶ σοφὸς λέληθας ὤν;

ΘΑΝΑΤΟΣ.

ὠνοῖντ' ἂν οἷς πάρεστι γηραιοὺς θανεῖν.

ΑΠΟΛΛΩΝ.

οὔκουν δοκεῖ σοι τήνδε μοι δοῦναι χάριν;

ΘΑΝΑΤΟΣ.

οὐ δῆτ'· ἐπίστασαι δὲ τοὺς ἐμοὺς τρόπους.

ΑΠΟΛΛΩΝ.

ἐχθρούς γε θνητοῖς καὶ θεοῖς στυγουμένους.

ΘΑΝΑΤΟΣ.

οὐκ ἂν δύναιο πάντ' ἔχειν ἃ μή σε δεῖ.

ΑΠΟΛΛΩΝ.

ἦ μὴν σὺ παύσει καίπερ ὠμὸς ὢν ἄγαν·
τοῖος Φέρητος εἶσι πρὸς δόμους ἀνὴρ,
Εὐρυσθέως πέμψαντος ἵππειον μέτα
ὄχημα Θρῄκης ἐκ τόπων δυσχειμέρων,
ὃς δὴ ξενωθεὶς τοῖσδ' ἐν Ἀδμήτου δόμοις
βίᾳ γυναῖκα τήνδε σ' ἐξαιρήσεται·
κοὔθ' ἡ παρ' ἡμῶν σοι γενήσεται χάρις
δράσεις θ' ὁμοίως ταῦτ', ἀπεχθήσει δ' ἐμοί.

ΘΑΝΑΤΟΣ.

πόλλ' ἂν σὺ λέξας οὐδὲν ἂν πλέον λάβοις·
ἡ δ' οὖν γυνὴ κάτεισιν εἰς Ἅιδου δόμους.

στείχω δ' ἐπ' αὐτὴν, ὡς κατάρξωμαι ξίφει·
ἱερὸς γὰρ οὗτος τῶν κατὰ χθονὸς θεῶν
ὅτου τόδ' ἔγχος κρατὸς ἁγνίσῃ τρίχα.

ΗΜΙΧΟΡΙΟΝ.

τί ποθ' ἡσυχία πρόσθε μελάθρων;
τί σεσίγηται δόμος Ἀδμήτου;

ΗΜΙΧΟΡΙΟΝ.

ἀλλ' οὐδὲ φίλων τις πέλας οὐδεὶς,
ὅστις ἂν εἴποι πότερον φθιμένην
βασίλειαν χρὴ πενθεῖν, ἢ ζῶσ'
ἔτι φῶς λεύσσει Πελίου παῖς
Ἄλκηστις, ἐμοὶ πᾶσί τ' ἀρίστη
δόξασα γυνὴ
πόσιν εἰς αὐτῆς γεγενῆσθαι.

ΗΜΙΧΟΡΙΟΝ.

κλύει τις ἢ στεναγμὸν ἢ
χερῶν κτύπον κατὰ στέγας
ἢ γόον ὡς πεπραγμένων;
οὐ μὰν οὐδέ τις ἀμφιπόλων
στατίζεται ἀμφὶ πύλας.
εἰ γὰρ μετακύμιος ἄτας,
ὦ Παιὰν, φανείης.

ΗΜΙΧΟΡΙΟΝ.

οὔ τἂν φθιμένας γ' ἐσιώπων.

ΗΜΙΧΟΡΙΟΝ.

οὐ γὰρ δὴ φροῦδός γ' ἐξ οἴκων.

ΗΜΙΧΟΡΙΟΝ.

πόθεν; οὐκ αὐχῶ. τί σε θαρσύνει;

ΗΜΙΧΟΡΙΟΝ.

πῶς ἂν ἔρημον τάφον Ἄδμητος
κεδνῆς ἂν ἔπραξε γυναικός;

ΗΜΙΧΟΡΙΟΝ.

πυλῶν πάροιθε δ' οὐχ ὁρῶ
πηγαῖον ὡς νομίζεται
χέρνιβ' ἐπὶ φθιτῶν πύλαις,
χαίτα τ' οὔτις ἐπὶ προθύροις
τομαῖος, ἃ δὴ νεκύων
πένθει πίτνει, οὐδὲ νολαία
δουπεῖ χεὶρ γυναικῶν.

ΗΜΙΧΟΡΙΟΝ.

καὶ μὴν τόδε κύριον ἦμαρ,

ΗΜΙΧΟΡΙΟΝ.

τί τόδ' αὐδᾷς;

ΗΜΙΧΟΡΙΟΝ.

ᾧ χρῆν σφε μολεῖν κατὰ γαίας.

ΗΜΙΧΟΡΙΟΝ.

ἔθιγες ψυχᾶς, ἔθιγες δὲ φρενῶν.

ΗΜΙΧΟΡΙΟΝ.

χρὴ τῶν ἀγαθῶν διακναιομένων
πενθεῖν ὅστις
χρηστὸς ἀπ' ἀρχῆς νενόμισται.

ΧΟΡΟΣ.

ἀλλ' οὐδὲ ναυκληρίαν
ἔσθ' ὅποι τις αἴας
στείλας ἢ Λυκίας
εἴτ' ἐπὶ τὰς ἀνύδρους
Ἀμμωνίδας ἕδρας
δυστάνου παραλύσαι
ψυχάν· μόρος γὰρ ἀπότομος
πλάθει· θεῶν δ' ἐπ' ἐσχάραις
οὐκ ἔχω ἐπὶ τίνα
μηλοθύταν πορευθῶ.
μόνος δ' ἂν, εἰ φῶς τόδ' ἦν
ὄμμασιν δεδορκὼς
Φοίβου παῖς, προλιποῦσ'
ἦλθεν ἕδρας σκοτίους
Ἅιδα τε πυλῶνας·
δμαθέντας γὰρ ἀνίστη,
πρὶν αὐτὸν εἷλε διόβολον
πλᾶκτρον πυρὸς κεραυνίου.
νῦν δὲ τίν' ἐπὶ βίον
ἐλπίδα προσδέχωμαι;
πάντα γὰρ ἤδη τετέλεσται
βασιλεῦσιν,
πάντων δὲ θεῶν ἐπὶ βωμοῖς
αἱμόρραντοι θυσίαι πλήρεις,
οὐδ' ἔστι κακῶν ἄκος οὐδέν.
ἀλλ' ἥδ' ὀπαδῶν ἐκ δόμων τις ἔρχεται
δακρυρροοῦσα· τίνα τύχην ἀκούσομαι;
πενθεῖν μὲν, εἴ τι δεσπόταισι τυγχάνει,
συγγνωστόν· εἰ δ' ἔτ' ἐστὶν ἔμψυχος γυνὴ
εἴτ' οὖν ὄλωλεν εἰδέναι βουλοίμεθ' ἄν.

86—92. = 98—104.
112—121. = 122—131.

ΘΕΡΑΠΑΙΝΑ.

καὶ ζῶσαν εἰπεῖν καὶ θανοῦσαν ἔστι σοι.

ΧΟΡΟΣ.

καὶ πῶς ἂν αὐτὸς κατθάνοι τε καὶ βλέποι;

ΘΕΡΑΠΑΙΝΑ.

ἤδη προνωπής ἐστι καὶ ψυχορραγεῖ.

ΧΟΡΟΣ.

ὦ τλῆμον, οἵας οἷος ὢν ἁμαρτάνεις.

ΘΕΡΑΠΑΙΝΑ.

οὔπω τόδ' οἶδε δεσπότης, πρὶν ἂν πάθῃ.

ΧΟΡΟΣ.

ἐλπὶς μὲν οὐκέτ' ἐστὶ σώσασθαι βίον;

ΘΕΡΑΠΑΙΝΑ.

πεπρωμένη γὰρ ἡμέρα βιάζεται.

ΧΟΡΟΣ.

οὔκουν ἐπ' αὐτῇ πράσσεται τὰ πρόσφορα;

ΘΕΡΑΠΑΙΝΑ.

κόσμος γ' ἕτοιμος, ᾧ σφε συνθάψει πόσις.

ΧΟΡΟΣ.

ἴστω νυν εὐκλεής γε κατθανουμένη
γυνή τ' ἀρίστη τῶν ὑφ' ἡλίῳ μακρῷ.

ΘΕΡΑΠΑΙΝΑ.

πῶς δ' οὐκ ἀρίστη; τίς δ' ἐναντιώσεται;
τί χρὴ γενέσθαι τὴν ὑπερβεβλημένην
γυναῖκα; πῶς δ' ἂν μᾶλλον ἐνδείξαιτό τις
πόσιν προτιμῶσ' ἢ θέλουσ' ὑπερθανεῖν;
καὶ ταῦτα μὲν δὴ πᾶσ' ἐπίσταται πόλις·
ἃ δ' ἐν δόμοις ἔδρασε θαυμάσει κλύων.
ἐπεὶ γὰρ ᾔσθεθ' ἡμέραν τὴν κυρίαν
ἥκουσαν, ὕδασι ποταμίοις λευκὸν χρόα
ἐλούσατ', ἐκ δ' ἑλοῦσα κεδρίνων δόμων
ἐσθῆτα κόσμον τ' εὐπρεπῶς ἠσκήσατο,
καὶ στᾶσα πρόσθεν ἑστίας κατηύξατο,
δέσποιν', ἐγὼ γὰρ ἔρχομαι κατὰ χθονὸς,
πανύστατόν σε προσπίτνουσ' αἰτήσομαι,
τέκν' ὀρφανεῦσαι τἀμὰ, καὶ τῷ μὲν φίλην

σύζευξον ἄλοχον, τῇ δὲ γενναῖον πόσιν.
μηδ' ὥσπερ αὐτῶν ἡ τεκοῦσ' ἀπόλλυμαι
θανεῖν ἀώρους παῖδας, ἀλλ' εὐδαίμονας
ἐν γῇ πατρῴᾳ τερπνὸν ἐκπλῆσαι βίον.
πάντας δὲ βωμοὺς οἳ κατ' Ἀδμήτου δόμους
προσῆλθε κἀξέστεψε καὶ προσηύξατο,
πτόρθων ἀποσχίζουσα μυρσίνης φόβην,
ἄκλαυστος, ἀστένακτος, οὐδὲ τοὐπιὸν
κακὸν μεθίστη χρωτὸς εὐειδῆ φύσιν.
κἄπειτα θάλαμον ἐσπεσοῦσα καὶ λέχος,
ἐνταῦθα δὴ 'δάκρυσε καὶ λέγει τάδε,
ὦ λέκτρον, ἔνθα παρθένει' ἔλυσ' ἐγὼ
κορεύματ' ἐκ τοῦδ' ἀνδρὸς, οὗ θνήσκω πέρι,
χαῖρ'· οὐ γάρ ἐχθαίρω σ'. ἀπώλεσας δέ με
μόνην· προδοῦναι γάρ σ' ὀκνοῦσα καὶ πόσιν
θνήσκω. σὲ δ' ἄλλη τις γυνὴ κεκτήσεται,
σώφρων μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως.
κυνεῖ δὲ προσπίτνουσα, πᾶν δὲ δέμνιον
ὀφθαλμοτέγκτῳ δεύεται πλημμυρίδι.
ἐπεὶ δὲ πολλῶν δακρύων εἶχεν κόρον,
στείχει προνωπὴς ἐκπεσοῦσα δεμνίων,
καὶ πολλὰ θάλαμον ἐξιοῦσ' ἐπεστράφη,
κἄρριψεν αὑτὴν αὖθις ἐς κοίτην πάλιν.
παῖδες δὲ πέπλων μητρὸς ἐξηρτημένοι
ἔκλαιον· ἡ δὲ λαμβάνουσ' ἐν ἀγκάλαις
ἠσπάζετ' ἄλλοτ' ἄλλον, ὡς θανουμένη.
πάντες δ' ἔκλαιον οἰκέται κατὰ στέγας
δέσποιναν οἰκτείροντες. ἡ δὲ δεξιὰν
προύτειν' ἑκάστῳ, κοὔτις ἦν οὕτω κακὸς
ὃν οὐ προσεῖπε καὶ προσερρήθη πάλιν.
τοιαῦτ' ἐν οἴκοις ἐστὶν Ἀδμήτου κακά.
καὶ κατθανών τ' ἂν ὤλετ', ἐκφυγὼν δ' ἔχει
τοσοῦτον ἄλγος, οὗ ποτ' οὐ λελήσεται.

ΧΟΡΟΣ.

ἦ που στενάζει τοισίδ' Ἄδμητος κακοῖς,
ἐσθλῆς γυναικὸς εἰ στερηθῆναί σφε χρή;

ΘΕΡΑΠΑΙΝΑ.

κλαίει γ', ἄκοιτιν ἐν χεροῖν φίλην ἔχων,
καὶ μὴ προδοῦναι λίσσεται, τἀμήχανα
ζητῶν· φθίνει γὰρ καὶ μαραίνεται νόσῳ
παρειμένη γε, χειρὸς ἄθλιον βάρος.
ὅμως δὲ καίπερ σμικρὸν ἐμπνέουσ' ἔτι
βλέψαι πρὸς αὐγὰς βούλεται τὰς ἡλίου.
ἀλλ' εἶμι καὶ σὴν ἀγγελῶ παρουσίαν·
οὐ γάρ τι πάντες εὖ φρονοῦσι κοιράνοις,
ὥστ' ἐν κακοῖσιν εὐμενεῖς παρεστάναι.
σὺ δ' εἶ παλαιὸς δεσπόταις ἐμοῖς φίλος.

ΗΜΙΧΟΡΙΟΝ.

ἰὼ Ζεῦ, τίς ἂν πᾶ πόρος κακῶν
γένοιτο καὶ λύσις τύχας ἃ πάρεστι κοιράνοις;

ΗΜΙΧΟΡΙΟΝ.

ἔξεισί τις; ἢ τέμω τρίχα,
καὶ μέλανα στολμὸν πέπλων ἀμφιβαλώμεθ' ἤδη;

213—225. == 226—237.

ΗΜΙΧΟΡΙΟΝ.

δῆλα μὲν, φίλοι, δῆλά γ', ἀλλ' ὅμως
θεοῖσιν εὐχώμεσθα· θεῶν δύναμις μεγίστα.

ΗΜΙΧΟΡΙΟΝ.

ὦναξ Παιάν,
ἔξευρε μηχανάν τιν' Ἀδμήτῳ κακῶν,
πόριζε δὴ πόριζε· καὶ πάρος γὰρ
τῷδ' ἐφεῦρες, καὶ νῦν
λυτήριος ἐκ θανάτου γενοῦ,
φόνιόν τ' ἀπόπαυσον Ἅιδαν.

ΗΜΙΧΟΡΙΟΝ.

παπαῖ, φεῦ, παπαῖ, φεῦ. ἰὼ ἰώ.
ὦ παῖ Φέρητος, οἷ' ἔπραξας δάμαρτος σᾶς στερείς.

ΗΜΙΧΟΡΙΟΝ.

ἆρ' ἄξια καὶ σφαγᾶς τάδε,
καὶ πλέον ἢ βρόχῳ δέρην οὐρανίῳ πελάσσαι;

ΗΜΙΧΟΡΙΟΝ.

τὰν γὰρ οὐ φίλαν, ἀλλὰ φιλτάταν
γυναῖκα κατθανοῦσαν ἐν ἤματι τῷδ' ἐπόψει.

ΗΜΙΧΟΡΙΟΝ.

ἰδοὺ ἰδοὺ,
ἥδ' ἐκ δόμων δὴ καὶ πόσις πορεύεται.
βόασον ὦ, στέναξον ὦ Φεραία
χθὼν, τὰν ἀρίσταν
γυναῖκα μαραινομέναν νόσῳ
κατὰ γᾶς, χθόνιον παρ' Ἅιδαν.

ΧΟΡΟΣ.

οὔποτε φήσω γάμον εὐφραίνειν
πλέον ἢ λυπεῖν, τοῖς τε πάροιθεν
τεκμαιρόμενος καὶ τάσδε τύχας
λεύσσων βασιλέως, ὅστις ἀρίστης
ἀπλακὼν ἀλόχου τῆσδ' ἀβίωτον
τὸν ἔπειτα χρόνον βιοτεύσει.

ΑΛΚΗΣΤΙΣ.

Ἅλιε καὶ φάος ἁμέρας,
οὐράνιαί τε δῖναι νεφέλας δρομαίου,

ΑΔΜΗΤΟΣ.

ὁρᾷ σε κἀμὲ, δύο κακῶς πεπραγότας,
οὐδὲν θεοὺς δράσαντας ἀνθ' ὅτου θανεῖ.

ΑΛΚΗΣΤΙΣ.

γαῖά τε καὶ μελάθρων στέγαι
νυμφίδιαί τε κοῖται πατρῴας Ἰωλκοῦ.

ΑΔΜΗΤΟΣ.

ἔπαιρε σαυτὴν, ὦ τάλαινα, μὴ προδῷς·
λίσσου δὲ τοὺς κρατοῦντας οἰκτεῖραι θεούς.

ΑΛΚΗΣΤΙΣ.

ὁρῶ δίκωπον ὁρῶ σκάφος, νεκύων δὲ πορθμεὺς
ἔχων χέρ' ἐπὶ κοντῷ Χάρων μ' ἤδη καλεῖ· τί μέλλεις;
ἐπείγου· σὺ κατείργεις τάδε. τοῖα σπερχόμενος ταχύνει.

ΑΔΜΗΤΟΣ.

οἴμοι· πικράν γε τήνδε μοι ναυκληρίαν
ἔλεξας. ὦ δύσδαιμον, οἷα πάσχομεν.

ΑΛΚΗΣΤΙΣ.

ἄγει μ' ἄγει μέ τις, οὐχ ὁρᾷς; νεκύων ἐς αὐλὰν

243—246. == 247—251.
252—258. == 259—266.

---

Post 206 sequebantur
ὡς οὔποτ' αὖθις, ἀλλὰ νῦν πανύστατον
ἀκτῖνα κύκλον θ' ἡλίου προσόψεται.

ὑπ' ὀφρύσι κυαναυγέσι βλέπων πτερωτὸς Ἅιδας.
τί ῥέξεις; ἄφες. οἵαν ὁδὸν ἁ δειλαιοτάτα προ-
βαίνω.

ΑΔΜΗΤΟΣ.

οἰκτρὰν φίλοισιν, ἐκ δὲ τῶν μάλιστ' ἐμοὶ
καὶ παισὶν, οἷς δὴ πένθος ἐν κοινῷ τόδε.

ΑΛΚΗΣΤΙΣ.

μέθετε μέθετέ μ' ἤδη.
κλίνατ', οὐ σθένω ποσίν·
πλησίον Ἅιδας·
σκοτία δ' ἐπ' ὄσσοισι νὺξ ἐφέρπει.
τέκνα τέκν', οὐκέτι
οὐκέτι δὴ μάτηρ σφῷν ἔστιν.
χαίροντες, ὦ τέκνα, τόδε φάος ὁρῷτον.

ΑΔΜΗΤΟΣ.

οἴμοι· τόδ' ἔπος λυπρὸν ἀκούω
καὶ παντὸς ἐμοὶ θανάτου μεῖζον.
μὴ πρός σε θεῶν τλῇς με προδοῦναι,
μὴ πρὸς παίδων, οὓς ὀρφανιεῖς,
ἀλλ' ἄνα τόλμα·
σοῦ γὰρ φθιμένης οὐκέτ' ἂν εἴην·
ἐν σοὶ δ' ἐσμὲν καὶ ζῆν καὶ μή·
σὴν γὰρ φιλίαν σεβόμεσθα.

ΑΛΚΗΣΤΙΣ.

Ἄδμηθ', ὁρᾷς γὰρ τἀμὰ πράγμαθ' ὡς ἔχει,
λέξαι θέλω σοι πρὶν θανεῖν ἃ βούλομαι.
ἐγώ σε πρεσβεύουσα κἀντὶ τῆς ἐμῆς
ψυχῆς καταστήσασα φῶς τόδ' εἰσορᾶν,
θνήσκω, παρόν μοι μὴ θανεῖν ὑπὲρ σέθεν,
ἀλλ' ἄνδρα τε σχεῖν Θεσσαλῶν ὃν ἤθελον,
καὶ δῶμα ναίειν ὄλβιον τυραννίδι,
οὐκ ἠθέλησα ζῆν ἀποσπασθεῖσά σου
ξὺν παισὶν ὀρφανοῖσιν· οὐδ' ἐφεισάμην,
ἥβης ἔχουσα δῶρ', ἐν οἷς ἐτερπόμην.
καίτοι σ' ὁ φύσας χἡ τεκοῦσα προὔδοσαν,
καλῶς μὲν αὐτοῖς κατθανεῖν ἧκον βίου,
καλῶς δὲ σῶσαι παῖδα κεὐκλεῶς θανεῖν.
μόνος γὰρ αὐτοῖς ἦσθα, κοὔτις ἐλπὶς ἦν
σοῦ κατθανόντος ἄλλα φιτύσειν τέκνα.
κἀγώ τ' ἂν ἔζην καὶ σὺ τὸν λοιπὸν χρόνον,
κοὐκ ἂν μονωθεὶς σῆς δάμαρτος ἔστενες,
καὶ παῖδας ὠρφάνευες. ἀλλὰ ταῦτα μὲν
θεῶν τις ἐξέπραξεν ὥσθ' οὕτως ἔχειν.
εἶεν· σύ νύν μοι τῶνδ' ἀπόμνησαι χάριν·
αἰτήσομαι γάρ σ' ἀξίαν μὲν οὔποτε·
ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον·
δίκαια δ', ὡς φήσεις σύ· τούσδε γὰρ φιλεῖς
οὐχ ἧσσον ἢ 'γὼ παῖδας, εἴπερ εὖ φρονεῖς·
τούτους ἀνάσχου δεσπότας ἐμῶν δόμων,
καὶ μὴ 'πιγήμῃς τοῖσδε μητρυιὰν τέκνοις,
ἥτις κακίων οὖσ' ἐμοῦ γυνὴ φθόνῳ
τοῖς σοῖσι κἀμοῖς παισὶ χεῖρα προσβαλεῖ.
μὴ δῆτα δράσῃς ταῦτά γ', αἰτοῦμαί σ' ἐγώ.
ἐχθρὰ γὰρ ἡ 'πιοῦσα μητρυιὰ τέκνοις
τοῖς πρόσθ', ἐχίδνης οὐδὲν ἠπιωτέρα.
καὶ παῖς μὲν ἄρσην πατέρ' ἔχει πύργον μέγαν,
σὺ δ' ὦ τέκνον μοι πῶς κορευθήσει καλῶς;
ποίας τυχοῦσα συζύγου τῷ σῷ πατρί;
μή σοί τιν' αἰσχρὰν προσβαλοῦσα κληδόνα
ἥβης ἐν ἀκμῇ σοὺς διαφθείρῃ γάμους.
οὐ γάρ σε μήτηρ οὔτε νυμφεύσει ποτὲ
οὔτ' ἐν τόκοισι σοῖσι θαρσυνεῖ, τέκνον,
παροῦσ', ἵν' οὐδὲν μητρὸς εὐμενέστερον.
δεῖ γὰρ θανεῖν με· καὶ τόδ' οὐκ ἐς αὔριον
οὐδ' ἐς τρίτην μοι μηνὸς ἔρχεται κακὸν,
ἀλλ' αὐτίκ' ἐν τοῖς οὐκέτ' οὖσι λέξομαι.
χαίροντες εὐφραίνοισθε· καὶ σοὶ μὲν, πόσι,
γυναῖκ' ἀρίστην ἔστι κομπάσαι λαβεῖν,
ὑμῖν δὲ, παῖδες, μητρὸς ἐκπεφυκέναι.

ΧΟΡΟΣ.

θάρσει· πρὸ τούτου γὰρ λέγειν οὐχ ἅζομαι·
δράσει τάδ', ἤνπερ μὴ φρενῶν ἁμαρτάνῃ.

ΑΔΜΗΤΟΣ.

ἔσται τάδ' ἔσται, μὴ τρέσῃς· ἐπεί σ' ἐγὼ
καὶ ζῶσαν εἶχον καὶ θανοῦσ' ἐμὴ γυνὴ
μόνη κεκλήσει, κοὔτις ἀντὶ σοῦ ποτε
τόνδ' ἄνδρα νύμφη Θεσσαλὶς προσφθέγξεται·
οὐκ ἔστιν οὕτως οὔτε πατρὸς εὐγενοῦς
οὔτ' εἶδος ἄλλως ἐκπρεπεστάτη γυνή.
ἅλις δὲ παίδων τῶνδ' ὄνησιν εὔχομαι
θεοῖς γενέσθαι· σοῦ γὰρ οὐκ ὠνήμεθα.
οἴσω δὲ πένθος οὐκ ἐτήσιον τὸ σὸν,
ἀλλ' ἔς τ' ἂν αἰὼν οὑμὸς ἀντέχῃ, γύναι,
στυγῶν μὲν ἥ μ' ἔτικτεν, ἐχθαίρων δ' ἐμὸν
πατέρα· λόγῳ γὰρ ἦσαν οὐκ ἔργῳ φίλοι.
σὺ δ' ἀντιδοῦσα τῆς ἐμῆς τὰ φίλτατα
ψυχῆς ἔσωσας. ἆρά μοι στένειν πάρα
τοιᾶσδ' ἁμαρτάνοντι συζύγου σέθεν;
παύσω δὲ κώμους ξυμποτῶν θ' ὁμιλίας
στεφάνους τε μοῦσάν θ', ἣ κατεῖχ' ἐμοὺς δόμους.
οὐ γάρ ποτ' οὔτ' ἂν βαρβίτου θίγοιμ' ἔτι
οὔτ' ἂν φρέν' ἐξαίροιμι πρὸς Λίβυν λακεῖν
αὐλόν· σὺ γάρ μου τέρψιν ἐξείλου βίου.
σοφῇ δὲ χειρὶ τεκτόνων δέμας τὸ σὸν
εἰκασθὲν ἐν λέκτροισιν ἐκταθήσεται,
ᾧ προσπεσοῦμαι καὶ περιπτύσσων χέρας
ὄνομα καλῶν σὸν τὴν φίλην ἐν ἀγκάλαις
δόξω γυναῖκα καίπερ οὐκ ἔχων ἔχειν,
ψυχρὰν μὲν, οἶμαι, τέρψιν, ἀλλ' ὅμως βάρος
ψυχῆς ἀπαντλοίην ἄν· ἐν δ' ὀνείρασι
φοιτῶσά μ' εὐφραίνοις ἄν. ἡδὺ γὰρ φίλους
κἀν νυκτὶ λεύσσειν, ὅντιν' ἂν παρῇ χρόνον.
εἰ δ' Ὀρφέως μοι γλῶσσα καὶ μέλος παρῆν,
ὥστ' ἢ κόρην Δήμητρος ἢ κείνης πόσιν
ὕμνοισι κηλήσαντά σ' ἐξ Ἅιδου λαβεῖν,
κατῆλθον ἄν, καί μ' οὔθ' ὁ Πλούτωνος κύων
οὔθ' οὑπὶ κώπῃ ψυχοπομπὸς ἂν Χάρων
ἔσχον, πρὶν ἐς φῶς σὸν καταστῆσαι βίον.
ἀλλ' οὖν ἐκεῖσε προσδόκα μ', ὅταν θάνω,
καὶ δῶμ' ἑτοίμαζ', ὡς συνοικήσουσά μοι.
ἐν ταῖσιν αὐταῖς γάρ μ' ἐπισκήψω κέδροις
σοὶ τούσδε θεῖναι πλευρά τ' ἐκτεῖναι πέλας
πλευροῖσι τοῖς σοῖς· μηδὲ γὰρ θανών ποτε
σοῦ χωρὶς εἴην τῆς μόνης πιστῆς ἐμοί.

ΧΟΡΟΣ.

καὶ μὴν ἐγώ σοι πένθος ὡς φίλος φίλῳ
λυπρὸν συνοίσω τῆσδε· καὶ γὰρ ἀξία.

---

Post 311 sequebatur
ὃν καὶ προσεῖπε καὶ προσερρήθη πάλιν.

*ΑΛΚΗΣΤΙΣ.*
ὦ παῖδες, αὐτοὶ δὴ τάδ' εἰσηκούσατε
πατρὸς λέγοντος μὴ γαμεῖν ἄλλην ποτὲ
γυναῖκ' ἐφ' ὑμῖν, μηδ' ἀτιμάσειν ἐμέ.
*ΑΔΜΗΤΟΣ.*
καὶ νῦν γέ φημι, καὶ τελευτήσω τάδε.
*ΑΛΚΗΣΤΙΣ.*
ἐπὶ τοῖσδε παῖδας χειρὸς ἐξ ἐμῆς δέχου.
*ΑΔΜΗΤΟΣ.*
δέχομαι, φίλον γε δῶρον ἐκ φίλης χερός.
*ΑΛΚΗΣΤΙΣ.*
σὺ νῦν γενοῦ τοῖσδ' ἀντ' ἐμοῦ μήτηρ τέκνοις.
*ΑΔΜΗΤΟΣ.*
πολλή γ' ἀνάγκη σοῦ γ' ἀπεστερημένοις.
*ΑΛΚΗΣΤΙΣ.*
ὦ τέκν', ὅτε ζῆν χρῆν μ', ἀπέρχομαι κάτω.
*ΑΔΜΗΤΟΣ.*
οἴμοι, τί δράσω δῆτα σοῦ μονούμενος;
*ΑΛΚΗΣΤΙΣ.*
χρόνος μαλάξει σ'· οὐδέν ἐσθ' ὁ κατθανών.
*ΑΔΜΗΤΟΣ.*
ἄγου με σὺν σοὶ πρὸς θεῶν ἄγου κάτω.
*ΑΛΚΗΣΤΙΣ.*
ἀρκοῦμεν ἡμεῖς οἱ προθνήσκοντες σέθεν.
*ΑΔΜΗΤΟΣ.*
ὦ δαῖμον, οἵας συζύγου μ' ἀποστερεῖς.
*ΑΛΚΗΣΤΙΣ.*
καὶ μὴν σκοτεινὸν ὄμμα μου βαρύνεται.
*ΑΔΜΗΤΟΣ.*
ἀπωλόμην ἄρ', εἴ με δὴ λείψεις, γύναι.
*ΑΛΚΗΣΤΙΣ.*
ὡς οὐκέτ' οὖσαν οὐδὲν ἂν λέγοις ἐμέ.
*ΑΔΜΗΤΟΣ.*
ὄρθου πρόσωπον, μὴ λίπῃς παῖδας σέθεν.
*ΑΛΚΗΣΤΙΣ.*
οὐ δῆθ' ἑκοῦσά γ', ἀλλὰ χαίρετ', ὦ τέκνα.
*ΑΔΜΗΤΟΣ.*
βλέψον πρὸς αὐτοὺς βλέψον.
*ΑΛΚΗΣΤΙΣ.*
οὐδέν εἰμ' ἔτι.
*ΑΔΜΗΤΟΣ.*
τί δρᾷς; προλείπεις;
*ΑΛΚΗΣΤΙΣ.*
χαῖρ'.
*ΑΔΜΗΤΟΣ.*
ἀπωλόμην τάλας.
*ΧΟΡΟΣ.*
βέβηκεν, οὐκέτ' ἔστιν Ἀδμήτου γυνή.
*ΕΥΜΗΛΟΣ.*
ἰώ μοι τύχας. μαῖα δὴ κάτω
βέβακεν, οὐκέτ' ἔστιν, ὦ
πάτερ, ὑφ' ἁλίῳ.
προλιποῦσα δ' ἀμὸν βίον
ὠρφάνισεν τλάμων.
ἴδε γὰρ ἴδε βλέφαρον
καὶ παρατόνους χέρας.
393—403. == 403—414.

ὑπάκουσον, ἄκουσον, ὦ μᾶτερ, ἀντιάζω σ'.
ἐγώ σ' ἐγὼ, μᾶτερ,
* * καλοῦμαι ὁ
σὸς ποτὶ σοῖσι πίτνων στόμασιν νεοσσός.
*ΑΔΜΗΤΟΣ.*
τὴν γ' οὐ κλύουσαν οὐδ' ὁρῶσαν· ὥστ' ἐγὼ
καὶ σφὼ βαρείᾳ συμφορᾷ πεπλήγμεθα.
*ΕΥΜΗΛΟΣ.*
νέος ἐγὼ, πάτερ, λείπομαι φίλας
μονόστολός τε ματρός· ὦ
σχέτλια δὴ παθὼν
ἐγὼ ἔργα * σύ τε,
σύγκασί μοι κούρα,
* * συνέτλας·
* * ὦ πάτερ,
ἀνόνατ' ἀνόνατ' ἐνύμφευσας, οὐδὲ γήρως
ἔβας τέλος σὺν τᾷδ'·
ἔφθιτο γὰρ πάρος,
οἰχομένας δὲ σοῦ, μᾶτερ, ὄλωλεν οἶκος.
*ΧΟΡΟΣ.*
Ἄδμητ', ἀνάγκη τάσδε συμφορὰς φέρειν·
οὐ γάρ τι πρῶτος οὐδὲ λοίσθιος βροτῶν
γυναικὸς ἐσθλῆς ἤμπλακες· γίγνωσκε δὲ
ὡς πᾶσιν ἡμῖν κατθανεῖν ὀφείλεται.
*ΑΔΜΗΤΟΣ.*
ἐπίσταμαί τε κοὐκ ἄφνω κακὸν τόδε
προσέπτατ'· εἰδὼς δ' αὔτ' ἐτειρόμην πάλαι.
ἀλλ' ἐκφορὰν γὰρ τοῦδε θήσομαι νεκροῦ,
πάρεστε καὶ μένοντες ἀντηχήσατε
παιᾶνα τῷ κάτωθεν ἀσπόνδῳ θεῷ.
πᾶσιν δὲ Θεσσαλοῖσιν ὧν ἐγὼ κρατῶ
πένθος γυναικὸς τῆσδε κοινοῦσθαι λέγω
κουρᾷ ξυρήκει καὶ μελαμπέπλῳ στολῇ·
τέθριππά θ' οἳ ζεύγνυσθε καὶ μονάμπυκας
πώλους, σιδήρῳ τέμνετ' αὐχένων φόβην.
αὐλῶν δὲ μὴ κατ' ἄστυ, μὴ λύρας κτύπος
ἔστω σελήνας δώδεκ' ἐκπληρουμένας·
οὐ γάρ τιν' ἄλλον φίλτερον θάψω νεκρὸν
τοῦδ' οὐδ' ἀμείνον' εἰς ἔμ'· ἀξία δέ μοι
τιμᾶν, ἐπεὶ τέθνηκεν ἀντ' ἐμοῦ μόνη.
*ΧΟΡΟΣ.*
ὦ Πελίου θύγατερ,
χαίρουσά μοι εἰν Ἀΐδα δόμοισιν
τὸν ἀνάλιον οἶκον οἰκετεύοις.
ἴστω δ' Ἀΐδης ὁ μελαγχαίτας θεός, ὅς τ' ἐπὶ κώπᾳ
πηδαλίῳ τε γέρων
νεκροπομπὸς ἵζει,
πολὺ δὴ πολὺ δὴ γυναῖκ' ἀρίσταν
λίμναν Ἀχεροντίαν πορεύσας ἐλάτᾳ δικώπῳ.
πολλά σε μουσοπόλοι
μέλψουσι καθ' ἑπτάτονόν τ' ὀρείαν
χέλυν ἔν τ' ἀλύροις κλέοντες ὕμνοις,
Σπάρτᾳ κυκλὰς ἁνίκα Καρνείου περινίσσεται ὥρα
μηνὸς ἀειρομένας
παννύχου σελάνας,
λιπαραῖσί τ' ἐν ὀλβίαις Ἀθάναις.
τοίαν ἔλιπες θανοῦσα μολπὰν μελέων ἀοιδοῖς.
435—444. == 445—454.

εἴθ᾽ ἐπ᾽ ἐμοὶ μὲν εἴη,
δυναίμαν δέ σε πέμψαι
φάος ἐξ Ἀΐδα τεράμνων
Κωκυτοῦ τε ῥεέθρων
ποταμίᾳ νερτέρᾳ τε κώπᾳ.
σὺ γάρ, ὦ μόνα, ὦ φίλα γυναικῶν,
σὺ τὸν αὐτᾶς
ἔτλας πόσιν ἀντὶ σᾶς ἀμεῖψαι
ψυχᾶς ἐξ Ἅιδα. κοῦφα σοι
χθὼν ἐπάνωθε πέσοι, γύναι. εἰ δέ τι
καινὸν ἕλοιτο πόσις λέχος, ἦ μάλ᾽ ἐμοί τ᾽ ἂν εἴη
στυγηθεὶς τέκνοις τε τοῖς σοῖς.
ματέρος οὐ θελούσας
πρὸ παιδὸς χθονὶ κρύψαι
δέμας, οὐδὲ πατρὸς γεραιοῦ,
*      *      *
ὃν ἔτεκον δ᾽, οὐκ ἔτλαν ῥύεσθαι
σχετλίω, πολιὰν ἔχοντε χαίταν.
σὺ δ᾽ ἐν ἥβᾳ
νέᾳ προθανοῦσα φωτὸς οἴχει.
τοιαύτας εἴη μοι κῦρσαι
συνδυάδος φιλίας ἀλόχου· τὸ γὰρ
ἐν βιότῳ σπάνιον μέρος· ἦ γὰρ ἐμοί γ᾽ ἄλυπος
δι᾽ αἰῶνος ἂν ξυνείη.

ΗΡΑΚΛΗΣ.
ξένοι, Φεραίας τῆσδε κωμῆται χθονός,
Ἄδμητον ἐν δόμοισιν ἆρα κιγχάνω;

ΧΟΡΟΣ.
ἔστ᾽ ἐν δόμοισι παῖς Φέρητος, Ἡράκλεις.
ἀλλ᾽ εἰπὲ χρεία τίς σε Θεσσαλῶν χθόνα
πέμπει, Φεραίων ἄστυ προσβῆναι τόδε.

ΗΡΑΚΛΗΣ.
Τιρυνθίῳ πράσσω τιν᾽ Εὐρυσθεῖ πόνον.

ΧΟΡΟΣ.
καὶ ποῖ πορεύει; τῷ ξυνέζευξαι πλάνῳ;

ΗΡΑΚΛΗΣ.
Θρῃκὸς τέτρωρον ἅρμα Διομήδους μέτα.

ΧΟΡΟΣ.
πῶς οὖν δυνήσει; μῶν ἄπειρος εἶ ξένου;

ΗΡΑΚΛΗΣ.
ἄπειρος· οὔπω Βιστόνων ἦλθον χθόνα.

ΧΟΡΟΣ.
οὐκ ἔστιν ἵππων δεσπόσαι σ᾽ ἄνευ μάχης.

ΗΡΑΚΛΗΣ.
ἀλλ᾽ οὐδ᾽ ἀπειπεῖν τοὺς πόνους οἷόν τέ μοι.

ΧΟΡΟΣ.
κτανὼν ἄρ᾽ ἥξεις ἢ θανὼν αὐτοῦ μενεῖς.

ΗΡΑΚΛΗΣ.
οὐ τόνδ᾽ ἀγῶνα πρῶτον ἂν δράμοιμ᾽ ἐγώ.

ΧΟΡΟΣ.
τί δ᾽ ἂν κρατήσας δεσπότην πλέον λάβοις;

ΗΡΑΚΛΗΣ.
πώλους ἀπάξω κοιράνῳ Τιρυνθίῳ.

ΧΟΡΟΣ.
οὐκ εὐμαρὲς χαλινὸν ἐμβαλεῖν γνάθοις.

ΗΡΑΚΛΗΣ.
εἰ μή γε πῦρ πνέουσι μυκτήρων ἄπο.

ΧΟΡΟΣ.
ἀλλ᾽ ἄνδρας ἀρταμοῦσι λαιψηραῖς γνάθοις.

455—465. === 466—475.

ΗΡΑΚΛΗΣ.
θηρῶν ὀρείων χόρτον, οὐχ ἵππων, λέγεις.

ΧΟΡΟΣ.
φάτνας ἴδοις ἂν αἵμασιν πεφυρμένας.

ΗΡΑΚΛΗΣ.
τίνος δ᾽ ὁ θρέψας παῖς πατρὸς κομπάζεται;

ΧΟΡΟΣ.
Ἄρεος, ζαχρύσου Θρῃκίας πέλτης ἄναξ.

ΗΡΑΚΛΗΣ.
καὶ τόνδε τοὐμοῦ δαίμονος πόνον λέγεις,
σκληρὸς γὰρ ἀεὶ καὶ πρὸς αἶπος ἔρχεται,
εἰ χρή με παισὶν οἷς Ἄρης ἐγείνατο
μάχην ξυνάψαι, πρῶτα μὲν Λυκάονι,
αὖθις δὲ Κύκνῳ, τόνδε δ᾽ ἔρχομαι τρίτον
ἀγῶνα πώλοις δεσπότῃ τε συμβαλῶν.
ἀλλ᾽ οὔτις ἔστιν ὃς τὸν Ἀλκμήνης γόνον
τρέσαντα χεῖρα πολεμίων ποτ᾽ ὄψεται.

ΧΟΡΟΣ.
καὶ μὴν ὅδ᾽ αὐτὸς τῆσδε κοίρανος χθονὸς
Ἄδμητος ἔξω δωμάτων πορεύεται.

ΑΔΜΗΤΟΣ.
χαῖρ᾽, ὦ Διὸς παῖ Περσέως ἀφ᾽ αἵματος.

ΗΡΑΚΛΗΣ.
Ἄδμητε, καὶ σὺ χαῖρε, Θεσσαλῶν ἄναξ.

ΑΔΜΗΤΟΣ.
θέλοιμ᾽ ἄν· εὔνουν δ᾽ ὄντα σ᾽ ἐξεπίσταμαι.

ΗΡΑΚΛΗΣ.
τί χρῆμα κουρᾷ τῇδε πενθίμῳ πρέπεις;

ΑΔΜΗΤΟΣ.
θάπτειν τιν᾽ ἐν τῇδ᾽ ἡμέρᾳ μέλλω νεκρόν.

ΗΡΑΚΛΗΣ.
ἀπ᾽ οὖν τέκνων σῶν πημονὴν εἴργοι θεός.

ΑΔΜΗΤΟΣ.
ζῶσιν κατ᾽ οἴκους παῖδες οὓς ἔφυσ᾽ ἐγώ.

ΗΡΑΚΛΗΣ.
πατήρ γε μὴν ὡραῖος, εἴπερ οἴχεται.

ΑΔΜΗΤΟΣ.
κἀκεῖνος ἔστι χἠ τεκοῦσά μ᾽, Ἡράκλεις.

ΗΡΑΚΛΗΣ.
οὐ μὴν γυνή γ᾽ ὄλωλεν Ἄλκηστις σέθεν;

ΑΔΜΗΤΟΣ.
διπλοῦς ἐπ᾽ αὐτῇ μῦθος ἔστι μοι λέγειν.

ΗΡΑΚΛΗΣ.
πότερα θανούσης εἶπας ἢ ζώσης ἔτι;

ΑΔΜΗΤΟΣ.
ἔστιν τε κοὐκέτ᾽ ἔστιν, ἀλγύνει δέ με.

ΗΡΑΚΛΗΣ.
οὐδέν τι μᾶλλον οἶδ᾽· ἄσημα γὰρ λέγεις.

ΑΔΜΗΤΟΣ.
οὐκ οἶσθα μοίρας ἧς τυχεῖν αὐτὴν χρεών;

ΗΡΑΚΛΗΣ.
οἶδ᾽ ἀντὶ σοῦ γε κατθανεῖν ὑφειμένην.

ΑΔΜΗΤΟΣ.
πῶς οὖν ἔτ᾽ ἔστιν, εἴπερ ᾔνεσεν τάδε;

ΗΡΑΚΛΗΣ.
ἆ, μὴ πρόκλαι᾽ ἄκοιτιν, ἐς τόδ᾽ ἀναβαλοῦ.

ΑΔΜΗΤΟΣ.
τέθνηχ᾽ ὁ μέλλων, κοὐκέτ᾽ ἔσθ᾽ ὁ κατθανών.

ΗΡΑΚΛΗΣ.
χωρὶς τό τ᾽ εἶναι καὶ τὸ μὴ νομίζεται.

ΑΔΜΗΤΟΣ.
σὺ τῇδε κρίνεις, Ἡράκλεις, κείνη δ' ἐγώ.
ΗΡΑΚΛΗΣ.
τί δῆτα κλαίεις; τίς φίλων ὁ κατθανών;
ΑΔΜΗΤΟΣ.
γυνή· γυναικὸς ἀρτίως μεμνήμεθα.
ΗΡΑΚΛΗΣ.
ὀθνεῖος, ἢ σοὶ συγγενὴς γεγῶσά τις;
ΑΔΜΗΤΟΣ.
ὀθνεῖος, ἄλλως δ' ἦν ἀναγκαία δόμοις.
ΗΡΑΚΛΗΣ.
πῶς οὖν ἐν οἴκοις σοῖσιν ὤλεσεν βίον;
ΑΔΜΗΤΟΣ.
πατρὸς θανόντος ἐνθάδ' ὠρφανεύετο.
ΗΡΑΚΛΗΣ.
φεῦ.
εἴθ' εὕρομέν σ', Ἄδμητε, μὴ λυπούμενον.
ΑΔΜΗΤΟΣ.
ὡς δὴ τί δράσων τόνδ' ὑπορράπτεις λόγον;
ΗΡΑΚΛΗΣ.
ξένων πρὸς ἄλλην ἑστίαν πορεύσομαι.
ΑΔΜΗΤΟΣ.
οὐκ ἔστιν, ὦναξ· μὴ τοσόνδ' ἔλθοι κακόν.
ΗΡΑΚΛΗΣ.
λυπουμένοις ὀχληρὸς, εἰ μόλοι, ξένος.
ΑΔΜΗΤΟΣ.
τεθνᾶσιν οἱ θανόντες· ἀλλ' ἴθ' ἐς δόμους.
ΗΡΑΚΛΗΣ.
αἰσχρὸν παρὰ κλαίουσι θοινᾶσθαι φίλοις.
ΑΔΜΗΤΟΣ.
χωρὶς ξενῶνές εἰσιν οἷ σ' ἐσάξομεν.
ΗΡΑΚΛΗΣ.
μέθες με, καί σοι μυρίαν ἕξω χάριν.
ΑΔΜΗΤΟΣ.
οὐκ ἔστιν ἄλλου σ' ἀνδρὸς ἑστίαν μολεῖν,
ἡγοῦ σὺ, τῶνδε δωμάτων ἐξωπίους
ξενῶνας οἴξας, τοῖς τ' ἐφεστῶσιν φράσον
σίτων παρεῖναι πλῆθος· ἐν δὲ κλῄσατε
θύρας μεσαύλους· οὐ πρέπει θοινωμένους
κλύειν στεναγμῶν οὐδὲ λυπεῖσθαι ξένους.
ΧΟΡΟΣ.
τί δρᾷς; τοσαύτης ξυμφορᾶς προκειμένης,
Ἄδμητε, τολμᾷς ξενοδοχεῖν; τί μῶρος εἶ;
ΑΔΜΗΤΟΣ.
ἀλλ' εἰ δόμων σφε καὶ πόλεως ἀπήλασα
ξένον μολόντα, μᾶλλον ἄν μ' ἐπῄνεσας;
οὐ δῆτ', ἐπεί μοι ξυμφορὰ μὲν οὐδὲν ἂν
μείων ἐγίγνετ', ἀξενώτερος δ' ἐγώ.
καὶ πρὸς κακοῖσιν ἄλλο τοῦτ' ἂν ἦν κακὸν,
δόμους καλεῖσθαι τοὺς ἐμοὺς ἐχθροξένους.
αὐτὸς δ' ἀρίστου τοῦδε τυγχάνω ξένου,
ὅταν περ Ἄργους διψίαν ἔλθω χθόνα.
ΧΟΡΟΣ.
πῶς οὖν ἔκρυπτες τὸν παρόντα δαίμονα,
φίλου μολόντος ἀνδρὸς, ὡς αὐτὸς λέγεις;
ΑΔΜΗΤΟΣ.
οὐκ ἄν ποτ' ἠθέλησεν εἰσελθεῖν δόμους,
εἰ τῶν ἐμῶν τι πημάτων ἐγνώρισε.
καὶ τῷ μὲν, οἶμαι, δρῶν τάδ' οὐ φρονεῖν δοκῶ,
οὐδ' αἰνέσει με· τἀμὰ δ' οὐκ ἐπίσταται
μέλαθρ' ἀπωθεῖν οὐδ' ἀτιμάζειν ξένους.
ΧΟΡΟΣ.
ὦ πολύξεινος καὶ ἐλεύθερος ἀνδρὸς ἀεί ποτ' οἶκος,
σέ τοι καὶ ὁ Πύθιος εὐλύρας Ἀπόλλων
ἠξίωσε ναίειν,
ἔτλα δὲ σοῖσι μηλονόμας
ἐν δόμοις γενέσθαι,
δοχμιᾶν διὰ κλιτύων
βοσκήμασι σοῖσι συρίζων
ποιμνίτας ὑμεναίους.
σὺν δ' ἐποιμαίνοντο χαρᾷ μελέων βαλιαί τε λύγκες,
ἔβα δὲ λιποῦσ' Ὄθρυος νάπαν λεόντων
ἁ δαφοινὸς ἴλα·
χόρευσε δ' ἀμφὶ σὰν κιθάραν,
Φοῖβε, ποικιλόθριξ
νεβρὸς ὑψικόμων πέραν
βαίνουσ' ἐλατᾶν σφυρῷ κούφῳ,
χαίρουσ' εὔφρονι μολπᾷ.
τοιγὰρ πολυμηλοτάταν
ἑστίαν οἰκεῖ παρὰ καλλίναον
Βοιβίαν λίμναν· ἀρότοις δὲ γυᾶν
καὶ πεδίων δαπέδοις ὅρον ἀμφὶ μὲν ἀελίου κνεφαίαν
ἱππόστασιν αἰθέρα τὰν Μολοσσῶν τίθεται,
πόντιόν τ' Αἰγαίων' ἐπ' ἀκτὰν
ἀλίμενον Πηλίου κρατύνει.
καὶ νῦν δόμον ἀμπετάσας
δέξεται ξεῖνον νοτερῷ βλεφάρῳ,
τᾶς φίλας κλαίων ἀλόχου νέκυν ἐν
δώμασιν ἀρτιθανῆ· τὸ γὰρ εὐγενὲς ἐκφέρεται
πρὸς αἰδῶ.
ἐν τοῖς ἀγαθοῖσι δὲ πάντ' ἔνεστιν σοφίας.
πρὸς δ' ἐμᾷ ψυχᾷ θάρσος ἧσται
θεοσεβῆ φῶτα κεδνὰ πράξειν.
ΑΔΜΗΤΟΣ.
ἀνδρῶν Φεραίων εὐμενὴς παρουσία,
νέκυν μὲν ἤδη πάντ' ἔχοντα πρόσπολοι
φέρουσιν ἄρδην ἐς τάφον τε καὶ πυράν·
ὑμεῖς δὲ τὴν θανοῦσαν, ὡς νομίζεται,
προσείπατ' ἐξιοῦσαν ὑστάτην ὁδόν.
ΧΟΡΟΣ.
καὶ μὴν ὁρῶ σὸν πατέρα γηραιῷ ποδὶ
στείχοντ', ὀπαδούς τ' ἐν χεροῖν δάμαρτι σῇ
κόσμον φέροντας, νερτέρων ἀγάλματα.
ΦΕΡΗΣ.
ἥκω κακοῖσι σοῖσι συγκάμνων, τέκνον·
ἐσθλῆς γὰρ, οὐδεὶς ἀντερεῖ, καὶ σώφρονος
γυναικὸς ἡμάρτηκας. ἀλλὰ ταῦτα μὲν
φέρειν ἀνάγκη, καίπερ ὄντα δύσφορα.
δέχου δὲ κόσμον τόνδε, καὶ κατὰ χθονὸς
ἴτω· τὸ ταύτης σῶμα τιμᾶσθαι χρεὼν,
ἥτις γε τῆς σῆς προὔθανε ψυχῆς, τέκνον,
καί μ' οὐκ ἄπαιδ' ἔθηκεν, οὐδ' εἴασε σοῦ
στερέντα γήρᾳ πενθ[illegible] καταφθίνειν,
πάσαις δ' ἔθηκεν εὐκλεε[illegible]
γυναιξὶν, ἔργον τλᾶσα γενν[illegible]
ὦ τόνδε μὲν σώσασ', ἀναστήσασα δὲ

569 — 578. = 579 — 587.
588 — 596. = 597 — 605.

ἡμᾶς πίτνοντας, χαῖρε, κἀν Ἅιδου δόμοις
εὖ σοι γένοιτο. φημὶ τοιούτους γάμους
λύειν βροτοῖσιν, ἢ γαμεῖν οὐκ ἄξιον.
ΑΔΜΗΤΟΣ.
οὔτ' ἦλθες ἐς τόνδ' ἐξ ἐμοῦ κληθεὶς τάφον
οὔτ' ἐν φίλοισι σὴν παρουσίαν λέγω.
κόσμον δὲ τὸν σὸν οὔποθ' ἥδ' ἐνδύσεται·
οὐ γάρ τι τῶν σῶν ἐνδεὴς ταφήσεται.
τότε ξυναλγεῖν χρῆν σ' ὅτ' ὠλλύμην ἐγώ.
σὺ δ' ἐκποδὼν στὰς καὶ παρεὶς ἄλλῳ θανεῖν
νέῳ γέρων ὤν, τόνδ' ἀποιμώξει νεκρόν;
οὐκ ἦσθ' ἄρ' ὀρθῶς τοῦδε σώματος πατήρ,
οὐδ' ἡ τεκεῖν φάσκουσα καὶ κεκλημένη
μήτηρ μ' ἔτικτε· δουλίου δ' ἀφ' αἵματος
μαστῷ γυναικὸς σῆς ὑπεβλήθην λάθρα.
ἔδειξας εἰς ἔλεγχον ἐξελθὼν ὃς εἶ,
καί μ' οὐ νομίζω παῖδα σὸν πεφυκέναι.
ἦ τἄρα πάντων διαπρέπεις ἀψυχίᾳ,
ὃς τηλικόσδ' ὢν κἀπὶ τέρμ' ἥκων βίου
οὐκ ἠθέλησας, οὐδ' ἐτόλμησας θανεῖν
τοῦ σοῦ πρὸ παιδός, ἀλλὰ τήνδ' εἰάσατε
γυναῖκ' ὀθνείαν, ἣν ἐγὼ καὶ μητέρα
πατέρα τ' ἂν ἐνδίκως ἂν ἡγοίμην μόνην.
καίτοι καλόν γ' ἂν τόνδ' ἀγῶν' ἠγωνίσω,
τοῦ σοῦ πρὸ παιδὸς κατθανών, βραχὺς δέ σοι
πάντως ὁ λοιπὸς ἦν βιώσιμος χρόνος·
κἀγώ τ' ἂν ἔζην χἥδε τὸν λοιπὸν χρόνον,
κοὐκ ἂν μονωθεὶς ἔστενον κακοῖς ἐμοῖς.
καὶ μὴν ὅσ' ἄνδρα χρὴ παθεῖν εὐδαίμονα
πέπονθας· ἥβησας μὲν ἐν τυραννίδι,
παῖς δ' ἦν ἐγώ σοι τῶνδε διάδοχος δόμων,
ὥστ' οὐκ ἄτεκνος κατθανὼν ἄλλοις δόμον
λείψειν ἔμελλες ὀρφανὸν διαρπάσαι.
οὐ μὴν ἐρεῖς γέ μ' ὡς ἀτιμάζοντα σὸν
γῆρας θανεῖν προὔδωκας, ὅστις αἰδόφρων
πρός σ' ἦν μάλιστα, κἀντὶ τῶνδέ μοι χάριν
τοιάνδε καὶ σὺ χἡ τεκοῦσ' ἠλλαξάτην.
τοιγὰρ φυτεύων παῖδας οὐκέτ' ἂν φθάνοις,
οἳ γηροβοσκήσουσι καὶ θανόντα σε
περιστελοῦσι καὶ προθήσονται νεκρόν.
οὐ γάρ σ' ἔγωγε τῇδ' ἐμῇ θάψω χερί·
τέθνηκα γὰρ δὴ τοὐπὶ σ'· εἰ δ' ἄλλου τυχὼν
σωτῆρος αὐγὰς εἰσορῶ, κείνου λέγω
καὶ παῖδά μ' εἶναι καὶ φίλον γηροτρόφον.
μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν,
γῆρας ψέγοντες καὶ μακρὸν χρόνον βίου.
ἢν δ' ἐγγὺς ἔλθῃ θάνατος, οὐδεὶς βούλεται
θνήσκειν, τὸ γῆρας δ' οὐκέτ' ἔστ' αὐτοῖς βαρύ.
ΧΟΡΟΣ.
παύσασθ'· ἅλις γὰρ ἡ παροῦσα συμφορά,
ὦ παῖ· πατρὸς δὲ μὴ παροξύνῃς φρένα.
ΦΕΡΗΣ.
ὦ παῖ, τίν' αὐχεῖς, πότερα Λυδὸν ἢ Φρύγα
κακοῖς ἐλαύνειν ἀργυρώνητον σέθεν;
οὐκ οἶσθα Θεσσαλόν με κἀπὸ Θεσσαλοῦ
πατρὸς [illegible] γνησίως ἐλεύθερον;
ἄγαν ὑ[illegible], καὶ νεανίας λόγους
ῥίπτων ἐς ἡμᾶς οὐ βαλὼν οὕτως ἄπει.
ἐγὼ δέ σ' οἴκων δεσπότην ἐγεινάμην
κἄθρεψ', ὀφείλω δ' οὐχ ὑπερθνῄσκειν σέθεν·
οὐ γὰρ πατρῷον τόνδ' ἐδεξάμην νόμον,
παίδων προθνῄσκειν πατέρας, οὐδ' Ἑλληνικόν.
σαυτῷ γάρ, εἴτε δυστυχὴς εἴτ' εὐτυχής,
ἔφυς· ἃ δ' ἡμῶν χρῆν σε τυγχάνειν, ἔχεις.
πολλῶν μὲν ἄρχεις, πολυπλέθρους δέ σοι γύας
λείψω· πατρὸς γὰρ ταὔτ' ἐδεξάμην πάρα.
τί δῆτά σ' ἠδίκηκα; τοῦ σ' ἀποστερῶ;
μὴ θνῆσχ' ὑπὲρ τοῦδ' ἀνδρός, οὐδ' ἐγὼ πρὸ σοῦ.
χαίρεις ὁρῶν φῶς, πατέρα δ' οὐ χαίρειν δοκεῖς;
ἦ μὴν πολύν γε τὸν κάτω λογίζομαι
χρόνον, τὸ δὲ ζῆν σμικρόν, ἀλλ' ὅμως γλυκύ.
σὺ γοῦν ἀναιδῶς διεμάχου τὸ μὴ θανεῖν,
καὶ ζῇς παρελθὼν τὴν πεπρωμένην τύχην,
ταύτην κατακτάς· εἶτ' ἐμὴν ἀψυχίαν
λέγεις, γυναικός, ὦ κάκισθ', ἡσσημένος,
ἣ τοῦ καλοῦ σοῦ προὔθανεν νεανίου;
σοφῶς δ' ἐφεῦρες, ὥστε μὴ θανεῖν ποτε,
εἰ τὴν παροῦσαν κατθανεῖν πείσεις ἀεὶ
γυναῖχ' ὑπὲρ σοῦ· κᾆτ' ὀνειδίζεις φίλοις
τοῖς μὴ θέλουσι δρᾶν τάδ', αὐτὸς ὢν κακός;
σίγα· νόμιζε δ', εἰ σὺ τὴν σαυτοῦ φιλεῖς
ψυχήν, φιλεῖν ἅπαντας· εἰ δ' ἡμᾶς κακῶς
ἐρεῖς, ἀκούσει πολλὰ κοὐ ψευδῆ κακά.
ΧΟΡΟΣ.
πλείω λέλεκται νῦν τε καὶ τὰ πρὶν κακά·
παῦσαι δέ, πρέσβυ, παῖδα σὸν κακορροθῶν.
ΑΔΜΗΤΟΣ.
λέγ', ὡς ἐμοῦ λέξαντος· εἰ δ' ἀλγεῖς κλύων
τἀληθές, οὐ χρῆν σ' εἰς ἔμ' ἐξαμαρτάνειν.
ΦΕΡΗΣ.
σοῦ δ' ἂν προθνῄσκων μᾶλλον ἐξημάρτανον.
ΑΔΜΗΤΟΣ.
ταὐτὸν γὰρ ἡβῶντ' ἄνδρα καὶ πρέσβυν θανεῖν;
ΦΕΡΗΣ.
ψυχῇ μιᾷ ζῆν, οὐ δυοῖν, ὀφείλομεν.
ΑΔΜΗΤΟΣ.
καὶ μὴν Διός γε μείζον' ἂν ζῴης χρόνον.
ΦΕΡΗΣ.
ἀρᾷ γονεῦσιν, οὐδὲν ἔκδικον παθών;
ΑΔΜΗΤΟΣ.
μακροῦ βίου γὰρ ᾐσθόμην ἐρῶντά σε.
ΦΕΡΗΣ.
ἀλλ' οὐ σὺ νεκρὸν ἀντὶ σοῦ τόνδ' ἐκφέρεις;
ΑΔΜΗΤΟΣ.
σημεῖα τῆς σῆς, ὦ κάκιστ', ἀψυχίας.
ΦΕΡΗΣ.
οὔτοι πρὸς ἡμῶν γ' ὤλετ'· οὐκ ἐρεῖς τόδε.
ΑΔΜΗΤΟΣ.
φεῦ·
εἴθ' ἀνδρὸς ἔλθοις τοῦδέ γ' ἐς χρείαν ποτέ.
ΦΕΡΗΣ.
μνήστευε πολλάς, ὡς θάνωσι πλείονες.
ΑΔΜΗΤΟΣ.
σοὶ τοῦτ' ὄνειδος· οὐ γὰρ ἤθελες θανεῖν.
ΦΕΡΗΣ.
φίλον τὸ φέγγος τοῦτο τοῦ θεοῦ, φίλον.
ΑΔΜΗΤΟΣ.
κακὸν τὸ λῆμα κοὐκ ἐν ἀνδράσιν τὸ σόν.
ΦΕΡΗΣ.
οὐκ ἐγγελᾷς γέροντα βαστάζων νεκρόν.

ΑΔΜΗΤΟΣ.
θανεῖ γε μέντοι δυσκλεής, ὅταν θάνῃς.

ΦΕΡΗΣ.
κακῶς ἀκούειν οὐ μέλει θανόντι μοι.

ΑΔΜΗΤΟΣ.
φεῦ φεῦ· τὸ γῆρας ὡς ἀναιδείας πλέων.

ΦΕΡΗΣ.
ἥδ' οὐκ ἀναιδής· τήνδ' ἐφεῦρες ἄφρονα.

ΑΔΜΗΤΟΣ.
ἄπελθε, καί με τόνδ' ἔα θάψαι νεκρόν.

ΦΕΡΗΣ.
ἄπειμι· θάψεις δ' αὐτὸς ὢν αὐτῆς φονεύς.
δίκας δὲ δώσεις σοῖσι κηδεσταῖς ἔτι.
ἦ τἄρ' Ἄκαστος οὐκέτ' ἔστ' ἐν ἀνδράσιν,
εἰ μή σ' ἀδελφῆς αἷμα τιμωρήσεται.

ΑΔΜΗΤΟΣ.
ἔρροις νυν αὐτὸς χἡ ξυνοικήσασά σοι,
ἄπαιδε, παιδὸς ὄντος, ὥσπερ ἄξιοι,
γηράσκετ'· οὐ γὰρ τῷδέ γ' ἐς ταυτὸν στέγος
νεῖσθ'· εἰ δ' ἀπειπεῖν χρῆν με κηρύκων ὕπο
τὴν σὴν πατρῴαν ἑστίαν, ἀπεῖπον ἄν.
ἡμεῖς δὲ, τοὐν ποσὶν γὰρ οἰστέον κακὸν,
στείχωμεν, ὡς ἂν ἐν πυρᾷ θῶμεν νεκρόν.

ΧΟΡΟΣ.
ἰὼ ἰώ. σχετλία τόλμης,
ὦ γενναία καὶ μέγ' ἀρίστη,
χαῖρε· πρόφρων σε χθόνιός θ' Ἑρμῆς
Ἅιδης τε δέχοιτ'· εἰ δέ τι κἀκεῖ
πλέον ἔστ' ἀγαθοῖς, τούτων μετέχουσ'
Ἅιδου νύμφᾳ παρεδρεύοις.

ΘΕΡΑΠΩΝ.
πολλοὺς μὲν ἤδη κἀπὸ παντοίας χθονὸς
ξένους μολόντας οἶδ' ἐς Ἀδμήτου δόμους,
οἷς δεῖπνα προὔθηκ'· ἀλλὰ τοῦδ' οὔπω ξένου
κακίον' ἐς τήνδ' ἑστίαν ἐδεξάμην.
ὃς πρῶτα μὲν πενθοῦντα δεσπότην ὁρῶν
ἐσῆλθε κἀτόλμησ' ἀμείψασθαι πύλας.
ἔπειτα δ' οὔτι σωφρόνως ἐδέξατο
τὰ προστυχόντα ξένια, συμφορὰν μαθὼν,
ἀλλ' εἴ τι μὴ φέροιμεν, ὤτρυνεν φέρειν.
ποτῆρα δ' ἐν χείρεσσι κίσσινον λαβὼν
πίνει μελαίνης μητρὸς εὔζωρον μέθυ,
ἕως ἐθέρμηνʼ αὐτὸν ἀμφιβᾶσα φλὸξ
οἴνου· στέφει δὲ κρᾶτα μυρσίνης κλάδοις,
ἄμουσ' ὑλακτῶν, δισσὰ δ' ἦν μέλη κλύειν·
ὁ μὲν γὰρ ᾖδε, τῶν ἐν Ἀδμήτου κακῶν
οὐδὲν προτιμῶν, οἰκέται δ' ἐκλαίομεν
δέσποιναν· ὄμμα δ' οὐκ ἐδείκνυμεν ξένῳ
τέγγοντες· Ἄδμητος γὰρ ὧδ' ἐφίετο.
καὶ νῦν ἐγὼ μὲν ἐν δόμοισιν ἑστιῶ
ξένον, πανοῦργον κλῶπα καὶ λῃστήν τινα,
ἡ δ' ἐκ δόμων βέβηκεν, οὐδ' ἐφεσπόμην,
οὐδ' ἐξέτεινα χεῖρ', ἀποιμώζων ἐμὴν
δέσποιναν, ἣ 'μοὶ πᾶσί τ' οἰκέταισιν ἦν
μήτηρ· κακῶν γὰρ μυρίων ἐρρύετο,
ὀργὰς μαλάσσουσ' ἀνδρός. ἆρα τὸν ξένον
στυγῶ δικαίως, ἐν κακοῖς ἀφιγμένον;

ΗΡΑΚΛΗΣ.
οὗτος, τί σεμνὸν καὶ πεφροντικὸς βλέπεις;
οὐ χρὴ σκυθρωπὸν τοῖς ξένοις τὸν πρόσπολον
εἶναι, δέχεσθαι δ' εὐπροσηγόρῳ φρενί.
σὺ δ' ἄνδρ' ἑταῖρον δεσπότου παρόνθ' ὁρῶν,
στυγνῷ προσώπῳ καὶ συνωφρυωμένῳ
δέχει, θυραίου πήματος σπουδὴν ἔχων.
δεῦρ' ἔλθ', ὅπως ἂν καὶ σοφώτερος γένῃ.
τὰ θνητὰ πράγματ' οἶδας ἣν ἔχει φύσιν;
οἶμαι μὲν οὔ· πόθεν γάρ; ἀλλ' ἄκουέ μου.
βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται,
κοὐκ ἔστι θνητῶν ὅστις ἐξεπίσταται
τὴν αὔριον μέλλουσαν εἰ βιώσεται·
τὸ τῆς τύχης γὰρ ἀφανὲς οἷ προβήσεται,
κἄστ' οὐ διδακτὸν, οὐδ' ἁλίσκεται τέχνῃ.
ταῦτ' οὖν ἀκούσας καὶ μαθὼν ἐμοῦ πάρα,
εὔφραινε σαυτὸν, πῖνε, τὸν καθ' ἡμέραν
βίον λογίζου σὸν, τὰ δ' ἄλλα τῆς τύχης.
τίμα δὲ καὶ τὴν πλεῖστον ἡδίστην θεῶν
Κύπριν βροτοῖσιν· εὐμενὴς γὰρ ἡ θεός.
τὰ δ' ἄλλ' ἔασον ταῦτα, καὶ πείθου λόγοις
ἐμοῖσιν, εἴπερ ὀρθά σοι δοκῶ λέγειν·
οἶμαι μέν. οὔκουν τὴν ἄγαν λύπην ἀφεὶς
πιεῖ μεθ' ἡμῶν τάσδ' ὑπερβαλὼν πύλας,
στεφάνοις πυκασθείς; καὶ σάφ' οἶδ' ὁθούνεκα
τοῦ νῦν σκυθρωποῦ καὶ ξυνεστῶτος φρενῶν
μεθορμιεῖ σε πίτυλος ἐμπεσὼν σκύφου.
ὄντας δὲ θνητοὺς θνητὰ καὶ φρονεῖν χρεών,
ὡς τοῖς γε σεμνοῖς καὶ ξυνωφρυωμένοις
ἅπασίν ἐστιν, ὥς γ' ἐμοὶ χρῆσθαι κριτῇ,
οὐ βίος ἀληθῶς ὁ βίος, ἀλλὰ συμφορά.

ΘΕΡΑΠΩΝ.
ἐπιστάμεσθα ταῦτα· νῦν δὲ πράσσομεν
οὐχ οἷα κώμου καὶ γέλωτος ἄξια.

ΗΡΑΚΛΗΣ.
γυνὴ θυραῖος ἡ θανοῦσα· μὴ λίαν
πένθει· δόμων γὰρ ζῶσι τῶνδε δεσπόται.

ΘΕΡΑΠΩΝ.
τί ζῶσιν; οὐ κάτοισθα τἀν δόμοις κακά.

ΗΡΑΚΛΗΣ.
εἰ μή τι σός με δεσπότης ἐψεύσατο.

ΘΕΡΑΠΩΝ.
ἄγαν ἐκεῖνός ἐστ' ἄγαν φιλόξενος.

ΗΡΑΚΛΗΣ.
οὐ χρῆν μ' ὀθνείου γ' οὕνεκ' εὖ πάσχειν νεκροῦ;

ΘΕΡΑΠΩΝ.
ἦ κάρτα μέντοι καὶ λίαν θυραῖος ἦν.

ΗΡΑΚΛΗΣ.
μῶν ξυμφοράν τιν' οὖσαν οὐκ ἔφραζέ μοι;

ΘΕΡΑΠΩΝ.
χαίρων ἴθ'· ἡμῖν δεσποτῶν μέλει κακά.

ΗΡΑΚΛΗΣ.
ὅδ' οὐ θυραίων πημάτων ἄρχει λόγος.

ΘΕΡΑΠΩΝ.
οὐ γάρ τι κωμάζοντ' ἂν ἠχθόμην σ' ὁρῶν.

ΗΡΑΚΛΗΣ.
ἀλλ' ἦ πέπονθα δείν' ὑπὸ ξένων ἐμῶν;

ΘΕΡΑΠΩΝ.
οὐκ ἦλθες ἐν δέοντι δέξασθαι δόμοις·
πένθος γὰρ ἡμῖν ἐστι· καὶ κουρὰν βλέπεις
μελαμπέπλους στολμούς τε.

ΗΡΑΚΛΗΣ.

τίς δ' ὁ κατθανών;
μῶν ἢ τέκνων τις φροῦδος ἢ πατὴρ γέρων;

ΘΕΡΑΠΩΝ.

γυνὴ μὲν οὖν ὄλωλεν Ἀδμήτου, ξένε.

ΗΡΑΚΛΗΣ.

τί φής; ἔπειτα δῆτά μ' ἐξενίζετε;

ΘΕΡΑΠΩΝ.

ᾐδεῖτο γάρ σε τῶνδ' ἀπώσασθαι δόμων.

ΗΡΑΚΛΗΣ.

ὦ σχέτλι', οἵας ἤμπλακες ξυναόρου.

ΘΕΡΑΠΩΝ.

ἀπωλόμεσθα πάντες, οὐ κείνη μόνη.

ΗΡΑΚΛΗΣ.

ἀλλ' ᾐσθόμην μὲν, ὄμμ' ἰδὼν δακρυρροοῦν
κουράν τε καὶ πρόσωπον· ἀλλ' ἔπειθέ με
λέγων θυραῖον κῆδος ἐς τάφον φέρειν.
βίᾳ δὲ θυμοῦ τάσδ' ὑπερβαλὼν πύλας
ἔπινον ἀνδρὸς ἐν φιλοξένου δόμοις,
πράσσοντος οὕτω. κᾆτα κωμάζω κάρα
στεφάνοις πυκασθείς; ἀλλὰ σοῦ τὸ μὴ φράσαι,
κακοῦ τοσούτου δώμασιν προσκειμένου.
ποῦ καί σφε θάπτει; ποῦ νιν εὑρήσω μολών;

ΘΕΡΑΠΩΝ.

ὀρθὴν παρ' οἶμον, ᾗ 'πὶ Λάρισσαν φέρει,
τύμβον κατόψει ξεστὸν ἐκ προαστίου.

ΗΡΑΚΛΗΣ.

ὦ πολλὰ τλᾶσα καρδία ψυχή τ' ἐμὴ,
νῦν δεῖξον οἷον παῖδά σ' ἡ Τιρυνθία
Ἠλεκτρύονος ἐγείνατ' Ἀλκμήνη Διί.
δεῖ γάρ με σῶσαι τὴν θανοῦσαν ἀρτίως
γυναῖκα κεἰς τόνδ' αὖθις ἱδρῦσαι δόμον
Ἄλκηστιν, Ἀδμήτῳ θ' ὑπουργῆσαι χάριν.
ἐλθὼν δ' ἄνακτα τὸν μελάμπεπλον νεκρῶν
Θάνατον φυλάξω, καί νιν εὑρήσειν δοκῶ,
πίνοντα τύμβου πλησίον προσφαγμάτων.
κἄνπερ λοχήσας αὐτὸν ἐξ ἕδρας συθεὶς
μάρψω, κύκλῳ δὲ περιβαλῶ χεροῖν ἐμαῖν,
οὐκ ἔστιν ὅστις αὐτὸν ἐξαιρήσεται
μογοῦντα πλευρὰ, πρὶν γυναῖκ' ἐμοὶ μεθῇ.
ἢν δ' οὖν ἁμάρτω τῆσδ' ἄγρας, καὶ μὴ μόλῃ
πρὸς αἱματηρὸν πέλανον, εἶμι τῶν κάτω
Κόρης ἄνακτός τ' εἰς ἀνηλίους δόμους,
αἰτήσομαί τε· καὶ πέποιθ' ἄξειν ἄνω
Ἄλκηστιν, ὥστε χερσὶν ἐνθεῖναι ξένου,
ὅς μ' ἐς δόμους ἐδέξατ' οὐδ' ἀπήλασε,
καίπερ βαρείᾳ ξυμφορᾷ πεπληγμένος,
ἔκρυπτε δ', ὢν γενναῖος, αἰδεσθεὶς ἐμέ.
τίς τοῦδε μᾶλλον Θεσσαλῶν φιλόξενος;
τίς Ἑλλάδ' οἰκῶν; τοιγὰρ οὐκ ἐρεῖ κακὸν
εὐεργετῆσαι φῶτα γενναῖος γεγώς.

ΑΔΜΗΤΟΣ.

ἰὼ ἰώ. στυγναὶ πρόσοδοι,
στυγναὶ δ' ὄψεις χήρων μελάθρων.
ἰώ μοί μοι, αἰαῖ αἰαῖ.
ποῖ βῶ; πᾷ στῶ; τί λέγω; τί δὲ μή;
πῶς ἂν ὀλοίμαν.
ἢ βαρυδαίμονα μήτηρ μ' ἔτεκεν.
ζηλῶ φθιμένους, κείνων ἔραμαι,
κεῖν' ἐπιθυμῶ δώματα ναίειν.
οὔτε γὰρ αὐγὰς χαίρω προσορῶν,
οὔτ' ἐπὶ γαίας πόδα πεζεύων·
τοῖον ὅμηρόν μ' ἀποσυλήσας
Ἅιδῃ Θάνατος παρέδωκεν.

ΧΟΡΟΣ.

πρόβα πρόβα· βᾶθι κεῦθος οἴκων;

ΑΔΜΗΤΟΣ.

αἰαῖ.

ΧΟΡΟΣ.

πεπονθὼς ἄξι' αἰαγμάτων.

ΑΔΜΗΤΟΣ.

ἒ ἔ.

ΧΟΡΟΣ.

δι' ὀδύνας ἔβας,
σάφ' οἶδα·

ΑΔΜΗΤΟΣ.

φεῦ φεῦ.

ΧΟΡΟΣ.

τὰν νέρθε δ' οὐδὲν ὠφελ

ΑΔΜΗΤΟΣ.

ἰώ μοί μοι.

ΧΟΡΟΣ.

τὸ μήποτ' εἰσιδεῖν φιλίας ἀλόχου
πρόσωπον * *. ἄντα [λυπρόν].

ΑΔΜΗΤΟΣ.

ἔμνησας ὅ μου φρένας ἥλκωσεν·
τί γὰρ ἀνδρὶ κακὸν μεῖζον ἁμαρτεῖν
πιστῆς ἀλόχου; μή ποτε γήμας
ὤφελον οἰκεῖν μετὰ τῆσδε δόμους.
ζηλῶ δ' ἀγάμους ἀτέκνους τε βροτῶν.
μία γὰρ ψυχή· τῆς ὑπεραλγεῖν
μέτριον ἄχθος·
παίδων δὲ νόσους καὶ νυμφιδίους
εὐνὰς θανάτοις κεραϊζομένας
οὐ τλητὸν ὁρᾶν, ἐξὸν ἀτέκνους
ἀγάμους τ' εἶναι διὰ παντός.

ΧΟΡΟΣ.

τύχα τύχα δυσπάλαιστος ἥκει.

ΑΔΜΗΤΟΣ.

αἰαῖ.

ΧΟΡΟΣ.

πέρας δ' οὐδὲν τίθης ἀλγέων.

ΑΔΜΗΤΟΣ.

ἒ ἔ.

ΧΟΡΟΣ.

βαρέα μὲν φέρειν,
ὅμως δὲ

ΑΔΜΗΤΟΣ.

φεῦ φεῦ.

ΧΟΡΟΣ.

τλᾶθ'· οὐ σὺ πρῶτος ὤ

ΑΔΜΗΤΟΣ.

ἰώ μοί μοι.

ΧΟΡΟΣ.

γυναῖκα· συμφορὰ δ' ἑτέρους ἑτέρα
πιέζει φανεῖσα θνατῶν.

ΑΔΜΗΤΟΣ.

ὦ μακρὰ πένθη λῦπαί τε φίλων
τῶν ὑπὸ γαῖαν.

872—877. = 889—894.

τί μ᾽ ἐκώλυσας ῥῖψαι τύμβου
τάφρον ἐς κοίλην, καὶ μετ᾽ ἐκείνης
τῆς μέγ᾽ ἀρίστης κεῖσθαι φθίμενον;
δύο δ᾽ ἀντὶ μιᾶς Ἅιδης ψυχὰς
τὰς πιστοτάτας σὺν ἂν ἔσχεν, ὁμοῦ
χθονίαν λίμνην διαβάντε.

ΧΟΡΟΣ.

ἐμοί τις ἦν ἐν γένει, ᾧ κόρος ἀξιόθρηνος
ᾤχετ᾽ ἐν δόμοισι
μονόπαις· ἀλλ᾽ ἔμπας
ἔφερε κακὸν ἅλις, ἄτεκνος ὤν,
πολιὰς ἐπὶ χαίτας
ἤδη προπετὴς ὢν
βιότου τε πόρσω.

ΑΔΜΗΤΟΣ.

ὦ σχῆμα δόμων, πῶς εἰσέλθω;
πῶς δ᾽ οἰκήσω, μεταπίπτοντος
δαίμονος; οἴμοι. πολὺ γὰρ τὸ μέσον·
τότε μὲν πεύκαις σὺν Πηλιάσιν,
σύν θ᾽ ὑμεναίοις ἔστειχον ἔσω,
φιλίας ἀλόχου χέρα βαστάζων.
πολυάχητος δ᾽ εἵπετο κῶμος,
τήν τε θανοῦσαν κἄμ᾽ ὀλβίζων,
ὡς εὐπατρίδαι καὶ ἀπ᾽ ἀμφοτέρων
ὄντες ἀριστέων σύζυγες εἶμεν,
νῦν δ᾽ ὑμεναίων γόος ἀντίπαλος,
λευκῶν τε πέπλων μέλανες στολμοὶ
πέμπουσί μ᾽ ἔσω
λέκτρων κοίτας ἐς ἐρήμους.

ΧΟΡΟΣ.

παρ᾽ εὐτυχῆ σοι πότμον ἦλθεν ἀπειροκάκῳ τόδ᾽
ἄλγος· ἀλλ᾽ ἔσωσας
βίοτον καὶ ψυχάν.
ἔθανε δάμαρ, ἔλιπε φιλίαν·
τί νέον τόδε; πολλοῖς
ἤδη παρέλυσεν
θάνατος δάμαρτος.

ΑΔΜΗΤΟΣ.

φίλοι, γυναικὸς δαίμον᾽ εὐτυχέστερον
τοὐμοῦ νομίζω, καίπερ οὐ δοκοῦνθ᾽ ὅμως·
τῆς μὲν γὰρ οὐδὲν ἄλγος ἅψεταί ποτε,
πολλῶν δὲ μόχθων εὐκλεὴς ἐπαύσατο.
ἐγὼ δ᾽, ὃν οὐ χρῆν ζῆν, παρεὶς τὸ μόρσιμον,
λυπρὸν διάξω βίοτον· ἄρτι μανθάνω.
πῶς γὰρ δόμων τῶνδ᾽ εἰσόδους ἀνέξομαι;
τίν᾽ ἂν προσειπών, τοῦ δὲ προσρηθεὶς ὕπο,
τερπνῆς τύχοιμ᾽ ἂν εἰσόδου; ποῖ τρέψομαι;
ἡ μὲν γὰρ ἔνδον ἐξελᾷ μ᾽ ἐρημία,
γυναικὸς εὐνὰς εὖτ᾽ ἂν εἰσίδω κενὰς
θρόνους τ᾽ ἐν οἷσιν ἷζε, καὶ κατὰ στέγας
αὐχμηρὸν οὖδας, τέκνα δ᾽ ἀμφὶ γούνασι
πίπτοντα κλαίῃ μητέρ᾽, οἱ δὲ δεσπότιν
στένωσιν οἵαν ἐκ δόμων ἀπώλεσαν.
τὰ μὲν κατ᾽ οἴκους τοιάδ᾽· ἔξωθεν δέ με
γάμοι τ᾽ ἐλῶσι Θεσσαλῶν καὶ ξύλλογοι
γυναικοπληθεῖς· οὐ γὰρ ἐξανέξομαι
λεύσσων δάμαρτος τῆς ἐμῆς ὁμήλικας.
ἐρεῖ δέ μ᾽ ὅστις ἐχθρὸς ὢν κυρεῖ τάδε·
ἰδοῦ τὸν αἰσχρῶς ζῶνθ᾽, ὃς οὐκ ἔτλη θανεῖν,

903 — 910. = 926 — 934.

ἀλλ᾽ ἣν ἔγημεν ἀντιδοὺς ἀψυχίᾳ
πέφευγεν Ἅιδην· κᾆτ᾽ ἀνὴρ εἶναι δοκεῖ;
στυγεῖ δὲ τοὺς τεκόντας, αὐτὸς οὐ θέλων
θανεῖν. τοιάνδε πρὸς κακοῖσι κληδόνα
ἕξω. τί μοι ζῆν δῆτα κύδιον, φίλοι,
κακῶς κλύοντι καὶ κακῶς πεπραγότι;

ΧΟΡΟΣ.

ἐγὼ καὶ διὰ μούσας
καὶ μετάρσιος ἦξα, καὶ
πλεῖστον ἁψάμενος λόγων
κρεῖσσον οὐδὲν ἀνάγκας
εὗρον, οὐδέ τι φάρμακον
Θρῄσσαις ἐν σανίσιν, τὰς
Ὀρφεία κατέγραψεν
γῆρυς, οὐδ᾽ ὅσα Φοῖβος Ἀσκληπιάδαις ἔδωκε
φάρμακα πολυπόνοις ἀντιτεμὼν βροτοῖσιν.
μόνας δ᾽ οὔτ᾽ ἐπὶ βωμοὺς
ἐλθεῖν οὔτε βρέτας θεᾶς
ἔστιν, οὐ σφαγίων κλύει.
μή μοι, πότνια, μείζων
ἔλθοις ἢ τὸ πρὶν ἐν βίῳ.
καὶ γὰρ Ζεὺς ὅ τι νεύσῃ,
σὺν σοὶ τοῦτο τελευτᾷ.
καὶ τὸν ἐν Χαλύβοις δαμάζεις σὺ βίᾳ σίδαρον,
οὐδέ τις ἀποτόμου λήματός ἐστιν αἰδώς.
καὶ σ᾽ ἐν ἀφύκτοισι χερῶν εἷλε θεὰ δεσμοῖς·
τόλμα δ᾽· οὐ γὰρ ἀνάξεις ποτ᾽ ἔνερθεν
κλαίων τοὺς φθιμένους ἄνω. καὶ θεῶν σκότιοι
φθίνουσι παῖδες ἐν θανάτῳ.
φίλα μὲν ὅτ᾽ ἦν μεθ᾽ ἡμῶν,
φίλα δ᾽ ἔτι καὶ θανοῦσα·
γενναιοτάταν δὲ πασᾶν
ἐζεύξω κλισίαις ἄκοιτιν.
μηδὲ νεκρῶν ὡς φθιμένων χῶμα νομιζέσθω
τύμβος σᾶς ἀλόχου, θεοῖσι δ᾽ ὁμοίως
τιμάσθω, σέβας ἐμπόρων. καί τις δοχμίαν
κέλευθον ἐμβαίνων τόδ᾽ ἐρεῖ·
αὕτα ποτὲ προὔθαν᾽ ἀνδρός,
νῦν δ᾽ ἐστὶ μάκαιρα δαίμων,
χαῖρ᾽, ὦ πότνι᾽, εὖ δὲ δοίης.
τοῖαί νιν προσεροῦσι φῆμαι.
καὶ μὴν ὅδ᾽, ὡς ἔοικεν, Ἀλκμήνης γόνος,
Ἄδμητε, πρὸς σὴν ἑστίαν πορεύεται.

ΗΡΑΚΛΗΣ.

φίλον πρὸς ἄνδρα χρὴ λέγειν ἐλευθέρως,
Ἄδμητε, μομφὰς δ᾽ οὐχ ὑπὸ σπλάγχνοις ἔχειν
σιγῶντ᾽. ἐγὼ δὲ σοῖς κακοῖσιν ἠξίουν
ἐγγὺς παρεστὼς ἐξετάζεσθαι φίλος·
σὺ δ᾽ οὐκ ἔφραζες σῆς προκείμενον νέκυν
γυναικός, ἀλλά μ᾽ ἐξένιζες ἐν δόμοις,
ὡς δὴ θυραίου πήματος σπουδὴν ἔχων.
κἄστεψα κρᾶτα καὶ θεοῖς ἐλειψάμην
σπονδὰς ἐν οἴκοις δυστυχοῦσι τοῖσι σοῖς.
καὶ μέμφομαι μὲν μέμφομαι παθὼν τάδε,
οὐ μήν σε λυπεῖν ἐν κακοῖσι βούλομαι.
ὧν δ᾽ οὕνεχ᾽ ἥκω δεῦρ᾽ ὑποστρέψας πάλιν
λέξω. γυναῖκα τήνδε μοι σῶσον λαβών,
ἕως ἂν ἵππους δεῦρο Θρῃκίας ἄγων

962 — 972. = 973 — 983.
984 — 994. = 995 — 1005.

ἔλθω, τύραννον Βιστόνων κατακτανών.
πράξας δ' ὃ μὴ τύχοιμι, νοστήσαιμι γὰρ,
δίδωμι τήνδε σοῖσι προσπολεῖν δόμοις.
πολλῷ δὲ μόχθῳ χεῖρας ἦλθεν εἰς ἐμάς·
ἀγῶνα γὰρ πάνδημον εὑρίσκω τινὰς
τιθέντας ἀθληταῖσιν, ἄξιον πόνου,
ὅθεν κομίζω τήνδε νικητήρια
λαβών· τὰ μὲν γὰρ κοῦφα τοῖς νικῶσιν ἦν
ἵππους ἄγεσθαι, τοῖσι δ' αὖ τὰ μείζονα
νικῶσι, πυγμὴν καὶ πάλην, βουφόρβια·
γυνὴ δ' ἐπ' αὐτοῖς εἵπετ'· ἐντυχόντι δὲ
αἰσχρὸν παρεῖναι κέρδος ἦν τόδ' εὐκλεές.
ἀλλ', ὥσπερ εἶπον, σοὶ μέλειν γυναῖκα χρή·
οὐ γὰρ κλοπαίαν, ἀλλὰ σὺν πόνῳ λαβὼν
ἥκω· χρόνῳ δὲ καὶ σύ μ' αἰνέσεις ἴσως.

ΑΔΜΗΤΟΣ.

οὔτοι σ' ἀτίζων οὐδ' ἐν ἐχθροῖσιν τιθεὶς
ἔκρυψ' ἐμῆς γυναικὸς ἀθλίους τύχας·
ἀλλ' ἄλγος ἄλγει τοῦτ' ἂν ἦν προσκείμενον,
εἴ του πρὸς ἄλλου δώμαθ' ὡρμήθης ξένου·
ἅλις δὲ κλαίειν τοὐμὸν ἦν ἐμοὶ κακόν.
γυναῖκα δ', εἴ πως ἔστιν, αἰτοῦμαί σ', ἄναξ,
ἄλλον τιν' ὅστις μὴ πέπονθεν οἷ' ἐγὼ
σώζειν ἄνωχθι Θεσσαλῶν· πολλοὶ δέ σοι
ξένοι Φεραίων· μή μ' ἀναμνήσῃς κακῶν.
οὐκ ἂν δυναίμην τήνδ' ὁρῶν ἐν δώμασιν
ἄδακρυς εἶναι· μὴ νοσοῦντί μοι νόσον
προσθῇς· ἅλις γὰρ συμφορᾷ βαρύνομαι.
ποῦ καὶ τρέφοιτ' ἂν δωμάτων νέα γυνή;
νέα γὰρ, ὡς ἐσθῆτι καὶ κόσμῳ πρέπει.
πότερα κατ' ἀνδρῶν δῆτ' ἐνοικήσει στέγην;
καὶ πῶς ἀκραιφνὴς, ἐν νέοις στρωφωμένη,
ἔσται; τὸν ἡβῶνθ', Ἡράκλεις, οὐ ῥάδιον
εἴργειν· ἐγὼ δέ σου προμηθίαν ἔχω.
ἢ τῆς θανούσης θάλαμον εἰσβήσας τρέφω;
καὶ πῶς ἐπεισφρῶ τήνδε τῷ κείνης λέχει;
διπλῆν φοβοῦμαι μέμψιν, ἔκ τε δημοτῶν,
μή τίς μ' ἐλέγξῃ τὴν ἐμὴν εὐεργέτιν
προδόντ' ἐν ἄλλης δεμνίοις πίτνειν νέας,
καὶ τῆς θανούσης, ἀξία δέ μοι σέβειν,
πολλὴν πρόνοιαν δεῖ μ' ἔχειν. σὺ δ', ὦ γύναι,
ἥτις ποτ' εἶ σὺ, ταὔτ' ἔχουσ' Ἀλκήστιδι
μορφῆς μέτρ' ἴσθι, καὶ προσήιξαι δέμας.
οἴμοι. κόμιζε πρὸς θεῶν ἀπ' ὀμμάτων
γυναῖκα τήνδε, μή μ' ἕλῃς ᾑρημένον.
δοκῶ γὰρ αὐτὴν εἰσορῶν γυναῖχ' ὁρᾶν
ἐμήν· θολοῖ δὲ καρδίαν, ἐκ δ' ὀμμάτων
πηγαὶ κατερρώγασιν· ὦ τλήμων ἐγὼ
ὡς ἄρτι πένθους τοῦδε γεύομαι πικροῦ.

ΧΟΡΟΣ.

ἐγὼ μὲν οὐκ ἔχοιμ' ἂν εὖ λέγειν τύχην·
χρὴ δ', ὅστις εἶσι, καρτερεῖν θεοῦ δόσιν.

ΗΡΑΚΛΗΣ.

εἰ γὰρ τοσαύτην δύναμιν εἶχον ὥστε σὴν
ἐς φῶς πορεῦσαι νερτέρων ἐκ δωμάτων
γυναῖκα, καί σοι τήνδε πορσῦναι χάριν.

ΑΔΜΗΤΟΣ.

σάφ' οἶδα βούλεσθαί σ' ἄν. ἀλλὰ ποῦ τόδε;
οὐκ ἔστι τοὺς θανόντας ἐς φάος μολεῖν.

ΗΡΑΚΛΗΣ.

μή νυν ὑπέρβαλ', ἀλλ' ἐναισίμως φέρε.

ΑΔΜΗΤΟΣ.

ῥᾷον παραινεῖν ἢ παθόντα καρτερεῖν.

ΗΡΑΚΛΗΣ.

τί δ' ἂν προκόπτοις, εἰ θέλεις ἀεὶ στένειν;

ΑΔΜΗΤΟΣ.

ἔγνωκα καὐτὸς, ἀλλ' ἔρως τις ἐξάγει.

ΗΡΑΚΛΗΣ.

τὸ γὰρ φιλῆσαι τὸν θανόντ' ἄγει δάκρυ.

ΑΔΜΗΤΟΣ.

ἀπώλεσέν με, κἄτι μᾶλλον ἢ λέγω.

ΗΡΑΚΛΗΣ.

γυναικὸς ἐσθλῆς ἤμπλακες· τίς ἀντερεῖ;

ΑΔΜΗΤΟΣ.

ὥστ' ἄνδρα τόνδε μηκέθ' ἥδεσθαι βίῳ.

ΗΡΑΚΛΗΣ.

χρόνος μαλάξει, νῦν δ' ἔθ' ἡβάσκει κακόν.

ΑΔΜΗΤΟΣ.

χρόνον λέγοις ἂν, εἰ χρόνος τὸ κατθανεῖν.

ΗΡΑΚΛΗΣ.

γυνή σε παύσει καὶ νέου γάμου πόθος.

ΑΔΜΗΤΟΣ.

σίγησον· οἷον εἶπας. οὐκ ἂν ᾠόμην.

ΗΡΑΚΛΗΣ.

τί δ'; οὐ γαμεῖς γὰρ, ἀλλὰ χηρεύσει λέχος;

ΑΔΜΗΤΟΣ.

οὐκ ἔστιν ἥτις τῷδε συγκλιθήσεται.

ΗΡΑΚΛΗΣ.

μῶν τὴν θανοῦσαν ὠφελεῖν τι προσδοκᾷς;

ΑΔΜΗΤΟΣ.

κείνην ὅπουπέρ ἐστι τιμᾶσθαι χρεών.

ΗΡΑΚΛΗΣ.

αἰνῶ μὲν αἰνῶ· μωρίαν δ' ὀφλισκάνεις.

ΑΔΜΗΤΟΣ.

ὡς μήποτ' ἄνδρα τόνδε νυμφίον καλῶν.

ΗΡΑΚΛΗΣ.

ἐπῄνεσ' ἀλόχῳ πιστὸς οὕνεκ' εἶ φίλος.

ΑΔΜΗΤΟΣ.

θάνοιμ' ἐκείνην καίπερ οὐκ οὖσαν προδούς.

ΗΡΑΚΛΗΣ.

δέχου νυν εἴσω τήνδε γενναίων δόμων.

ΑΔΜΗΤΟΣ.

μὴ, πρός σε τοῦ σπείραντος ἄντομαι Διός.

ΗΡΑΚΛΗΣ.

καὶ μὴν ἁμαρτήσει γε μὴ δράσας τάδε.

ΑΔΜΗΤΟΣ.

καὶ δρῶν γε λύπῃ καρδίαν δηχθήσομαι.

ΗΡΑΚΛΗΣ.

πιθοῦ· τάχ' ἂν γὰρ ἐς δέον πέσοι χάρις.

ΑΔΜΗΤΟΣ.

φεῦ.
εἴθ' ἐξ ἀγῶνος τήνδε μὴ 'λαβές ποτε.

ΗΡΑΚΛΗΣ.

νικῶντι μέντοι καὶ σὺ συννικᾷς ἐμοί.

ΑΔΜΗΤΟΣ.

καλῶς ἔλεξας· ἡ γυνὴ δ' ἀπελθέτω.

ΗΡΑΚΛΗΣ.

ἄπεισιν, εἰ χρή· πρῶτα δ' εἰ χρεὼν ἄθρει

ΑΔΜΗΤΟΣ.
χρὴ, σοῦ γε μὴ μέλλοντος ὀργαίνειν ἐμοί.
ΗΡΑΚΛΗΣ.
εἰδὼς τι κἀγὼ τήνδ' ἔχω προθυμίαν.
ΑΔΜΗΤΟΣ.
νίκα νυν. οὐ μὴν ἀνδάνοντά μοι ποιεῖς.
ΗΡΑΚΛΗΣ.
ἀλλ' ἔσθ' ὅθ' ἡμᾶς αἰνέσεις· πιθοῦ μόνον.
ΑΔΜΗΤΟΣ.
κομίζετ', εἰ χρὴ τήνδε δέξασθαι δόμοις.
ΗΡΑΚΛΗΣ.
οὐκ ἂν μεθείην σοῖς γυναῖκα προσπόλοις.
ΑΔΜΗΤΟΣ.
σὺ δ' αὐτὸς αὐτὴν εἴσαγ', εἰ δοκεῖ, δόμοις.
ΗΡΑΚΛΗΣ.
ἐς σὰς μὲν οὖν ἔγωγε θήσομαι χέρας.
ΑΔΜΗΤΟΣ.
οὐκ ἂν θίγοιμι, δῶμα δ' εἰσελθεῖν πάρα.
ΗΡΑΚΛΗΣ.
τῇ σῇ πέποιθα χειρὶ δεξιᾷ μόνῃ.
ΑΔΜΗΤΟΣ.
ἄναξ, βιάζει μ' οὐ θέλοντα δρᾶν τάδε.
ΗΡΑΚΛΗΣ.
τόλμα προτεῖναι χεῖρα καὶ θιγεῖν ξένης.
ΑΔΜΗΤΟΣ.
καὶ δὴ προτείνω, Γοργόν' ὡς καρατόμῳ.
ΗΡΑΚΛΗΣ.
ἔχεις;
ΑΔΜΗΤΟΣ.
ἔχω.
ΗΡΑΚΛΗΣ.
ναὶ, σῷζέ νυν, καὶ τὸν Διὸς
φήσεις ποτ' εἶναι παῖδα γενναῖον ξένον.
βλέψον δ' ἐς αὐτὴν, εἴ τι σῇ δοκεῖ πρέπειν
γυναικί· λύπης δ' εὐτυχῶν μεθίστασο.
ΑΔΜΗΤΟΣ.
ὦ θεοὶ, τί λέξω; θαῦμ' ἀνέλπιστον τόδε·
γυναῖκα λεύσσω τήνδ' ἐμὴν ἐτητύμως,
ἢ κέρτομός με θεοῦ τις ἐκπλήσσει χαρά;
ΗΡΑΚΛΗΣ.
οὐκ ἔστιν, ἀλλὰ τήνδ' ὁρᾷς δάμαρτα σήν.
ΑΔΜΗΤΟΣ.
ὅρα γε μή τι φάσμα νερτέρων τόδ' ᾖ.
ΗΡΑΚΛΗΣ.
οὐ ψυχαγωγὸν τόνδ' ἐποιήσω ξένον.
ΑΔΜΗΤΟΣ.
ἀλλ' ἣν ἔθαπτον εἰσορῶ δάμαρτ' ἐμήν;
ΗΡΑΚΛΗΣ.
σάφ' ἴσθ'. ἀπιστεῖν δ' οὔ σε θαυμάζω τύχην.
ΑΔΜΗΤΟΣ.
θίγω, προσείπω ζῶσαν ὡς δάμαρτ' ἐμήν;
ΗΡΑΚΛΗΣ.
πρόσειπ'. ἔχεις γὰρ πᾶν ὅσονπερ ἤθελες.
ΑΔΜΗΤΟΣ.
ὦ φιλτάτης γυναικὸς ὄμμα καὶ δέμας,
ἔχω σ' ἀέλπτως, οὔποτ' ὄψεσθαι δοκῶν.
ΗΡΑΚΛΗΣ.
ἔχεις· φθόνος δὲ μὴ γένοιτό τις θεῶν.
ΑΔΜΗΤΟΣ.
ὦ τοῦ μεγίστου Ζηνὸς εὐγενὲς τέκνον,
εὐδαιμονοίης, καί σ' ὁ φιτύσας πατὴρ
σώζοι· σὺ γὰρ τἄμ' ἐξανώρθωσας μόνος.
πῶς τήνδ' ἔπεμψας νέρθεν ἐς φάος τόδε;
ΗΡΑΚΛΗΣ.
μάχην ξυνάψας δαιμόνων τῷ κυρίῳ.
ΑΔΜΗΤΟΣ.
ποῦ τόνδε Θανάτῳ φὴς ἀγῶνα συμβαλεῖν;
ΗΡΑΚΛΗΣ.
τύμβον παρ' αὐτὸν ἐκ λόχου μάρψας χεροῖν.
ΑΔΜΗΤΟΣ.
τί γάρ ποθ' ἥδ' ἄναυδος ἕστηκεν γυνή;
ΗΡΑΚΛΗΣ.
οὔπω θέμις σοι τῆσδε προσφωνημάτων
κλύειν, πρὶν ἂν θεοῖσι τοῖσι νερτέροις
ἀφαγνίσηται καὶ τρίτον μόλῃ φάος.
ἀλλ' εἴσαγ' εἴσω τήνδε· καὶ δίκαιος ὢν
τὸ λοιπὸν, Ἄδμητ', εὐσέβει περὶ ξένους.
καὶ χαῖρ'· ἐγὼ δὲ τὸν προκείμενον πόνον
Σθενέλου τυράννῳ παιδὶ πορσυνῶ μολών.
ΑΔΜΗΤΟΣ.
μεῖνον παρ' ἡμῖν καὶ ξυνέστιος γενοῦ.
ΗΡΑΚΛΗΣ.
αὖθις τόδ' ἔσται, νῦν δ' ἐπείγεσθαί με δεῖ.
ΑΔΜΗΤΟΣ.
ἀλλ' εὐτυχοίης, νόστιμον δ' ἔλθοις πόδα.
ἀστοῖς δὲ πάσῃ τ' ἐννέπω τετραρχίᾳ
χοροὺς ἐπ' ἐσθλαῖς συμφοραῖσιν ἱστάναι
βωμούς τε κνισᾶν βουθύτοισι προστροπαῖς.
νῦν γὰρ μεθηρμόσμεσθα βελτίω βίον
τοῦ πρόσθεν· οὐ γὰρ εὐτυχῶν ἀρνήσομαι.
ΧΟΡΟΣ.
πολλαὶ μορφαὶ τῶν δαιμονίων,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

# ΕΥΡΙΠΙΔΟΥ ΗΡΑΚΛΕΙΔΑΙ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΙΟΛΑΟΣ.*
*ΚΟΠΡΕΥΣ.*
*ΧΟΡΟΣ.*
*ΔΗΜΟΦΩΝ.*
*ΜΑΚΑΡΙΑ.*
*ΘΕΡΑΠΩΝ.*
*ΑΛΚΜΗΝΗ.*
*ΑΓΓΕΛΟΣ.*
*ΕΥΡΥΣΘΕΥΣ.*

## ΥΠΟΘΕΣΙΣ.

*Ἰόλαος υἱὸς μὲν ἦν Ἰφικλέους, ἀδελφιδοῦς δὲ Ἡρακλέους· ἐν νεότητι δ' ἐκείνῳ συστρατευσάμενος γήρᾳ τοῖς ἐξ ἐκείνου βοηθὸς εὔνους παρέστη. τῶν γὰρ παίδων ἐξ ἁπάσης ἐλαυνομένων γῆς ὑπ' Ε σθέως, ἔχων αὐτοὺς ἦλθεν εἰς Ἀθήνας, κἀκεῖ προσφυγὼν τοῖς θεοῖς ἔσχε τὴν ἀσφάλειαν, Δημοφῶντος πόλεως κρατοῦντος. Κοπρέως δὲ τοῦ Εὐρυσθέως κήρυκος ἀποσπᾶν θέλοντος τοὺς ἱκέτας, ἐκώλυσεν αὐ ὁ δὲ ἀπῆλθε, πόλεμον ἀπειλήσας προσδέχεσθαι. Δημοφῶν δὲ τούτου μὲν ὠλιγώρει· χρησμῶν δὲ α νικηφόρων γενηθέντων, ἐὰν Δήμητρι τὴν εὐγενεστάτην παρθένων σφάξῃ, τοῖς λόγοις βαρέως ἔσχεν· γὰρ ἰδίαν οὔτε τῶν πολιτῶν τινος θυγατέρα χάριν τῶν ἱκετῶν ἀποκτεῖναι δίκαιον ἡγεῖτο. τὴν μαντεία προγνοῦσα μία τῶν Ἡρακλέους παίδων, Μακαρία, τὸν θάνατον ἑκουσίως ὑπέστη. ταύτην μὲν οὖν ε νῶς ἀποθανοῦσαν ἐτίμησαν· αὐτοὶ δὲ τοὺς πολεμίους ἐπιγνόντες παρόντας, εἰς τὴν μάχην ὥρμησαν.*

# Η Ρ Α Κ Λ Ε Ι Δ Α Ι.

ΙΟΛΑΟΣ.

Πάλαι ποτ' ἐστὶ τοῦτ' ἐμοὶ δεδογμένον,
ὁ μὲν δίκαιος τοῖς πέλας πέφυκ' ἀνὴρ,
ὁ δ' ἐς τὸ κέρδος λῆμ' ἔχων ἀνειμένον
πόλει τ' ἄχρηστος καὶ συναλλάσσειν βαρὺς,
αὑτῷ δ' ἄριστος· οἶδα δ' οὐ λόγῳ μαθών.
ἐγὼ γὰρ αἰδοῖ καὶ τὸ συγγενὲς σέβων,
ἐξὸν κατ' Ἄργος ἡσύχως ναίειν, πόνων
πλείστων μετέσχον εἷς ἀνὴρ Ἡρακλέει,
ὅτ' ἦν μεθ' ἡμῶν· νῦν δ' ἐπεὶ κατ' οὐρανὸν
ναίει, τὰ κείνου τέκν' ἔχων ὑπὸ πτεροῖς
σώζω τάδ', αὐτὸς δεόμενος σωτηρίας.
ἐπεὶ γὰρ αὐτῶν γῆς ἀπηλλάχθη πατὴρ,
πρῶτον μὲν ἡμᾶς ἤθελ' Εὐρυσθεὺς κτανεῖν·
ἀλλ' ἐξέδραμεν. καὶ πόλις μὲν οἴχεται,
ψυχὴ δ' ἐσώθη. φεύγομεν δ' ἀλώμενοι,
ἄλλην ἀπ' ἄλλης ἐξορίζοντες πόλιν.
πρὸς τοῖς γὰρ ἄλλοις καὶ τόδ' Εὐρυσθεὺς κακοῖς
ὕβρισμ' ἐς ἡμᾶς ἠξίωσεν ὑβρίσαι·
πέμπων ὅπη γῆς πυνθάνοιθ' ἱδρυμένους
κήρυκας ἐξαιτεῖ τε κἀξείργει χθονὸς,
πόλιν προτείνων Ἄργος, οὐ σμικρὰν φίλην
ἐχθράν τε θέσθαι, χαὐτὸν εὐτυχοῦνθ' ἅμα.
οἱ δ', ἀσθενῆ μὲν τἀπ' ἐμοῦ δεδορκότες,
σμικροὺς δὲ τούσδε καὶ πατρὸς τητωμένους,
τοὺς κρείσσονας σέβοντες ἐξείργουσι γῆς.
ἐγὼ δὲ σὺν φεύγουσι συμφεύγω τέκνοις,
καὶ σὺν κακῶς πράσσουσι συμπράσσω κακῶς,
ὀκνῶν προδοῦναι, μή τις ὧδ' εἴπῃ βροτῶν·
ἴδεσθ', ἐπειδὴ παισὶν οὐκ ἔστιν πατὴρ,
Ἰόλαος οὐκ ἤμυνε συγγενὴς γεγώς.
πάσης δὲ χώρας Ἑλλάδος τητώμενοι,
Μαραθῶνα καὶ σύγκληρον ἐλθόντες χθόνα
ἱκέται καθεζόμεσθα βώμιοι θεῶν,
προσωφελῆσαι· πεδία γὰρ τῆσδε χθονὸς
δισσοὺς κατοικεῖν Θησέως παῖδας λόγος,
κλήρῳ λαχόντας, ἐκ γένους Πανδίονος,
τοῖσδ' ἐγγὺς ὄντας· ὧν ἕκατι τέρμονας
κλεινῶν Ἀθηνῶν τήνδ' ἀφικόμεσθ' ὁδόν.
δυοῖν γερόντοιν δὲ στρατηγεῖται φυγή·
ἐγὼ μὲν ἀμφὶ τοῖσδε καλχαίνων τέκνοις,
ἡ δ' αὖ τὸ θῆλυ παιδὸς Ἀλκμήνης γένος,
ἔσωθε ναοῦ τοῦδ' ὑπηγκαλισμένη,
σώζει· νέας γὰρ παρθένους αἰδούμεθα
ὄχλῳ πελάζειν κἀπιβωμιοστατεῖν.
Ὕλλος δ' ἀδελφοί θ' οἷσι πρεσβεύει γένος
ζητοῦσ' ὅπη γῆς πύργον οἰκιούμεθα,
ἢν τῆσδ' ἀπωθώμεσθα πρὸς βίαν χθονός.
ὦ τέκνα τέκνα, δεῦρο, λαμβάνεσθ' ἐμῶν
πέπλων· ὁρῶ κήρυκα τόνδ' Εὐρυσθέως
στείχοντ' ἐφ' ἡμᾶς, οὗ διωκόμεσθ' ὕπο,
πάσης ἀλῆται γῆς ἀπεστερημένοι.
ὦ μῖσος, εἴθ' ὄλοιο χὠ πέμψας σ' ἀνήρ.
ὡς πολλὰ δὴ καὶ τῶνδε γενναίῳ πατρὶ
ἐκ τοῦδε ταὐτοῦ στόματος ἤγγειλας κακά.

ΚΟΠΡΕΥΣ.

ἦ που καθῆσθαι τήνδ' ἕδραν καλὴν δοκεῖς
πόλιν τ' ἀφῖχθαι σύμμαχον, κακῶς φρονῶν·
οὐ γάρ τις ἔστιν ὃς πάροιθ' αἱρήσεται
τὴν σὴν ἀχρεῖον δύναμιν ἀντ' Εὐρυσθέως·
χώρει· τί μοχθεῖς ταῦτ'; ἀνίστασθαί σε χρὴ
ἐς Ἄργος, οὗ σε λεύσιμος μένει δίκη.

ΙΟΛΑΟΣ.

οὐ δῆτ'· ἐπεί μοι βωμὸς ἀρκέσει θεοῦ
ἐλευθέρα τε γαῖ', ἐν ᾗ βεβήκαμεν.

ΚΟΠΡΕΥΣ.

βούλει πόνον μοι τῇδε προσθεῖναι χερί;

ΙΟΛΑΟΣ.

οὔτοι βίᾳ γέ μ' οὐδὲ τούσδ' ἄξεις λαβών.

ΚΟΠΡΕΥΣ.

γνώσει σύ· μάντις δ' ἦσθ' ἄρ' οὐ καλὸς τάδε.

ΙΟΛΑΟΣ.

οὐκ ἂν γένοιτο τοῦτ' ἐμοῦ ζῶντός ποτε.

ΚΟΠΡΕΥΣ.

ἄπαιρ'· ἐγὼ δὲ τούσδε, κἂν σὺ μὴ θέλῃς,
ἄξω, νομίζων οὗπέρ εἰσ' Εὐρυσθέως.

ΙΟΛΑΟΣ.

ὦ τὰς Ἀθήνας δαρὸν οἰκοῦντες χρόνον,
ἀμύνεθ'· ἱκέται δ' ὄντες ἀγοραίου Διὸς
βιαζόμεσθα, καὶ στέφη μιαίνεται,
πόλει τ' ὄνειδος καὶ θεῶν ἀτιμία.

ΧΟΡΟΣ.

ἔα ἔα. τίς ἡ βοὴ βωμοῦ πέλας
ἕστηκε; ποίαν συμφορὰν δείξει τάχα;

ΙΟΛΑΟΣ.

ἴδετε τὸν γέροντ'
ἀμαλὸν ἐπὶ πέδῳ χύμενον· ὦ τάλας.

ΧΟΡΟΣ.

πρὸς τοῦ ποτ' ἐν γῇ πτῶμα δύστηνον πίτνεις;
*    *    *    *    *

ΙΟΛΑΟΣ.

ὅδ', ὦ ξένοι, με σοὺς ἀτιμάζων θεοὺς
ἕλκει βιαίως Ζηνὸς ἐκ προβωμίων.

ΧΟΡΟΣ.

ὁδ' ἐκ τίνος γῆς, ὦ γέρον, τετράπτολιν
ξύνοικον ἤλθες
λαόν; ἢ πέραθεν ἁλίῳ πλάτᾳ
κατέχετ' ἐκλιπόντες Εὐβοΐδ' ἀκτάν;

ΙΟΛΑΟΣ.

οὐ νησιώτην, ὦ ξένοι, τρίβω βίον,
ἀλλ' ἐκ Μυκηνῶν σὴν ἀφίγμεθα χθόνα.

73 — 89. = 93 — 110.

ΧΟΡΟΣ.
ὄνομα τί σε, γέρον,
Μυκηναῖος ὠνόμαζεν λεώς;
ΙΟΛΑΟΣ.
τὸν Ἡράκλειον ἴστε που παραστάτην
Ἰόλαον· οὐ γὰρ σῶμ' ἀκήρυκτον τόδε.
ΧΟΡΟΣ.
οἶδ' εἰσακούσας καὶ πρίν· ἀλλὰ τοῦ ποτ' ἐν
χειρὶ σᾷ κομίζεις κόρους νεοτρεφεῖς, φράσον.
ΙΟΛΑΟΣ.
Ἡρακλέους οἵδ' εἰσὶ παῖδες, ὦ ξένοι,
ἱκέται σέθεν τε καὶ πόλεως ἀφιγμένοι.
ΧΟΡΟΣ.
τί χρέος, ἢ λόγων
πόλεος, ἔνεπέ μοι, μελόμενοι τυχεῖν;
ΙΟΛΑΟΣ.
μήτ' ἐκδοθῆναι μήτε πρὸς βίαν θεῶν
τῶν σῶν ἀποσπασθέντες εἰς Ἄργος μολεῖν.
ΚΟΠΡΕΥΣ.
ἀλλ' οὔτι τοῖς σοῖς δεσπόταις τάδ' ἀρκέσει,
οἵ σοῦ κρατοῦντες ἐνθάδ' εὑρίσκουσί σε.
ΧΟΡΟΣ.
εἰκὸς θεῶν ἱκτῆρας αἰδεῖσθαι, ξένε,
καὶ μὴ βιαίῳ
χειρὶ δαιμόνων ἀπολιπεῖν σ' ἕδη·
πότνια γὰρ Δίκα τάδ' οὐ πείσεται.
ΚΟΠΡΕΥΣ.
ἔκπεμπέ νυν γῆς τούσδε τοὺς Εὐρυσθέως,
κοὐδὲν βιαίῳ τῇδε χρήσομαι χερί.
ΧΟΡΟΣ.
ἄθεον ἱκεσίαν
μεθεῖναι πόλει ξένων προστροπάν.
ΚΟΠΡΕΥΣ.
καλὸν δέ γ' ἔξω πραγμάτων ἔχειν πόδα,
εὐβουλίας τυχόντα τῆς ἀμείνονος.
ΧΟΡΟΣ.
οὐκοῦν τυράννῳ τῆσδε γῆς φράσαντά σε
χρῆν ταῦτα τολμᾶν, ἀλλὰ μὴ βίᾳ ξένους
θεῶν ἀφέλκειν, γῆν σέβοντ' ἐλευθέραν.
ΚΟΠΡΕΥΣ.
τίς δ' ἐστὶ χώρας τῆσδε καὶ πόλεως ἄναξ;
ΧΟΡΟΣ.
ἐσθλοῦ πατρὸς παῖς Δημοφῶν ὁ Θησέως.
ΚΟΠΡΕΥΣ.
πρὸς τόνδ' ἀγὼν τις ἆρα τοῦδε τοῦ λόγου
μάλιστ' ἂν εἴη· τἄλλα δ' εἴρηται μάτην.
ΧΟΡΟΣ.
καὶ μὴν ὅδ' αὐτὸς ἔρχεται σπουδὴν ἔχων
Ἀκάμας τ' ἀδελφὸς, τῶνδ' ἐπήκοοι λόγων.
ΔΗΜΟΦΩΝ.
ἐπείπερ ἔφθης πρέσβυς ὢν νεωτέρους
βοηδρομήσας τήνδ' ἐπ' ἐσχάραν Διὸς,
λέξον τίς ὄχλον τόνδ' ἀθροίζεται τύχη.
ΧΟΡΟΣ.
ἱκέται κάθηνται παῖδες οἵδ' Ἡρακλέους,
βωμὸν καταστέψαντες, ὡς ὁρᾷς, ἄναξ,
πατρός τε πιστὸς Ἰόλεως παραστάτης.
ΔΗΜΟΦΩΝ.
τί δῆτ' ἰυγμῶν ἥδ' ἐδεῖτο συμφορά;
ΧΟΡΟΣ.
βίᾳ νιν οὗτος τῆσδ' ἀπ' ἐσχάρας ἄγειν
ζητῶν βοὴν ἔστησε, κἄσφηλεν γόνυ
γέροντος, ὥστε μ' ἐκβαλεῖν οἴκτῳ δάκρυ.
ΔΗΜΟΦΩΝ.
καὶ μὴν στολήν γ' Ἕλληνα καὶ ῥυθμὸν πέπλων
ἔχει· τὰ δ' ἔργα βαρβάρου χερὸς τάδε.
σὸν δὴ τὸ φράζειν ἐστὶ μὴ μέλλειν τ' ἐμοὶ
ποίας ἀφῖξαι δεῦρο γῆς ὅρους λιπών.
ΚΟΠΡΕΥΣ.
Ἀργεῖός εἰμι· τοῦτο γὰρ θέλεις μαθεῖν.
ἐφ' οἷσι δ' ἥκω καὶ παρ' οὗ λέγειν θέλω.
πέμπει Μυκηνῶν δεῦρό μ' Εὐρυσθεὺς ἄναξ,
ἄξοντα τούσδε· πολλὰ δ' ἦλθον, ὦ ξένε,
δίκαι' ὁμαρτῇ δρᾶν τε καὶ λέγειν ἔχων.
Ἀργεῖος ὢν γὰρ αὐτὸς Ἀργείους ἄγω,
ἐκ τῆς ἐμαυτοῦ τούσδε δραπέτας ἔχων,
νόμοισι τοῖς ἐκεῖθεν ἐψηφισμένους
θανεῖν· δίκαιοι δ' ἐσμὲν οἰκοῦντες πόλιν
αὐτοὶ καθ' αὑτῶν κυρίους κραίνειν δίκας.
πολλῶν δὲ κἄλλων ἑστίας ἀφιγμένων,
ἐν τοῖσιν αὐτοῖς τοισίδ' ἕσταμεν λόγοις,
κοὐδεὶς ἐτόλμησ' ἴδια προσθέσθαι κακά.
ἀλλ' ἤ τιν' ἐς σὲ μωρίαν ἐσκεμμένοι
δεῦρ' ἦλθον, ἢ κίνδυνον ἐξ ἀμηχάνων
ῥίπτοντες, εἴτ' οὖν εἴτε μὴ γενήσεται·
οὐ γὰρ φρενήρη γ' ὄντα σ' ἐλπίζουσί που
μόνον τοσαύτης ἣν ἐπῆλθον Ἑλλάδος
τὰς τῶνδ' ἀβούλους ξυμφορὰς κατοικτιεῖν·
φέρ' ἀντίθες γὰρ, τούσδε τ' ἐς γαῖαν παρεὶς
ἡμᾶς τ' ἐάσας ἐξάγειν, τί κερδανεῖς;
τὰ μὲν παρ' ἡμῶν τοιάδ' ἔστι σοι λαβεῖν·
Ἄργους τοσήνδε χεῖρα τήν τ' Εὐρυσθέως
ἰσχὺν ἅπασαν τῇδε προσθέσθαι πόλει.
ἢν δ' ἐς λόγους τε καὶ τὰ τῶνδ' οἰκτίσματα
βλέψας πεπανθῇς, ἐς πάλην καθίσταται
δορὸς τὸ πρᾶγμα· μὴ γὰρ ὡς μεθήσομεν
δόξῃς ἀγῶνα τόνδ' ἄτερ χαλυβδικοῦ.
τί δῆτα φήσεις, ποῖα πεδί' ἀφαιρεθεὶς
Τιρυνθίοις θεὶς πόλεμον Ἀργείοις τ' ἔχειν,
ποίοις δ' ἀμύνων συμμάχοις, τίνος δ' ὕπερ
θάψεις νεκροὺς πεσόντας; ἦ κακὸν λόγον
κτήσει πρὸς ἀστῶν, εἰ γέροντος οὕνεκα
τύμβου, τὸ μηδὲν ὄντος, ὡς εἰπεῖν ἔπος,
παίδων τε τῶνδ' ἐς ἄντλον ἐμβήσει πόδα.
ἐρεῖς, τὸ λῷστον, ἐλπίδ' εὑρήσειν μόνον.
καὶ τοῦτο πολλῷ τοῦ παρόντος ἐνδεές·
κακῶς γὰρ Ἀργείοισιν οἵδ' ὡπλισμένοι
μάχοιντ' ἂν ἡβήσαντες, εἴ τι τοῦτό σε
ψυχὴν ἐπαίρει, χοὐν μέσῳ πολὺς χρόνος,
ἐν ᾧ διεργασθεῖτ' ἄν. ἀλλ' ἐμοὶ πιθοῦ·
δοὺς μηδὲν, ἀλλὰ τἄμ' ἐῶν ἄγειν ἐμὲ
κτῆσαι Μυκήνας, μηδ', ὅπερ φιλεῖτε δρᾶν,
πάθῃς σὺ τοῦτο, τοὺς ἀμείνονας παρὸν
φίλους ἑλέσθαι, τοὺς κακίονας λάβῃς.
ΧΟΡΟΣ.
τίς ἂν δίκην κρίνειεν ἢ γνοίη λόγον,
πρὶν ἂν παρ' ἀμφοῖν μῦθον ἐκμάθῃ σαφῶς;
ΙΟΛΑΟΣ.
ἄναξ, ὑπάρχει μὲν τόδ' ἐν τῇ σῇ χθονί,

εἰπεῖν ἀκοῦσαί τ' ἐν μέρει πάρεστί μοι,
κοὐδείς μ' ἀπώσει πρόσθεν, ὥσπερ ἄλλοθεν.
ἡμῖν δὲ καὶ τῷδ' οὐδέν ἐστιν ἐν μέσῳ·
ἐπεὶ γὰρ Ἄργους οὐδέν ἐσθ' ἡμῖν ἔτι,
ψήφῳ δοκῆσαν, ἀλλὰ φεύγομεν πάτραν,
πῶς ἂν δικαίως ὡς Μυκηναίους ἄγοι
ὅδ' ὄντας ἡμᾶς, οὓς ἀπήλασαν χθονός;
ξένοι γάρ ἐσμεν. ἢ τὸν Ἑλλήνων ὅρον
φεύγειν δικαιοῦθ' ὅστις ἂν τἄργος φύγῃ;
οὔκουν Ἀθήνας γ'· οὐκ ἄρ' Ἀργείων φόβῳ
τοὺς Ἡρακλείους παῖδας ἐξελῶσι γῆς.
οὐ γάρ τι Τραχίς ἐστιν, οὐδ' Ἀχαϊκὸν
πόλισμ', ὅθεν σὺ τούσδε, τῇ δίκῃ μὲν οὔ,
τὸ δ' Ἄργος ὀγκῶν, οἷά περ καὶ νῦν λέγεις,
ἤλαυνες ἱκέτας βωμίους καθημένους.
εἰ γὰρ τόδ' ἔσται καὶ λόγους κρανοῦσι σούς,
οὐκ οἶδ' Ἀθήνας τάσδ' ἐλευθέρας ἔτι.
ἀλλ' οἶδ' ἐγὼ τὸ τῶνδε λῆμα καὶ φύσιν·
θνήσκειν θελήσουσ'· ἡ γὰρ αἰσχύνη πάρος
τοῦ ζῆν παρ' ἐσθλοῖς ἀνδράσιν νομίζεται.
πόλιν μὲν ἀρκεῖ· καὶ γὰρ οὖν ἐπίφθονον
λίαν ἐπαινεῖν ἐστι· πολλάκις δὲ δὴ
καὐτὸς βαρυνθεὶς οἶδ' ἄγαν αἰνούμενος.
σοὶ δ' ὡς ἀνάγκη τούσδε βούλομαι φράσαι
σώζειν, ἐπείπερ τῆσδε προστατεῖς χθονός·
Πιτθεὺς μέν ἐστι Πέλοπος, ἐκ δὲ Πιτθέως
Αἴθρα, πατὴρ δ' ἐκ τῆσδε γεννᾶται σέθεν
Θησεύς. πάλιν δὲ τῶνδ' ἄνειμί σοι γένος.
Ἡρακλέης ἦν Ζηνὸς Ἀλκμήνης τε παῖς,
κείνη δὲ Πέλοπος θυγατρός· αὐτανεψίω
πατὴρ ἂν εἴη σός τε καὶ τούτων γεγώς.
γένους μὲν ἥκεις ὧδε τοῖσδε, Δημοφῶν·
ἃ δ' ἐκτὸς ἤδη τοῦ προσήκοντός σε δεῖ
τῖσαι λέγω σοι παισί· φημὶ γάρ ποτε
σύμπλους γενέσθαι τῶνδ' ὑπασπίζων πατρὶ,
ζωστῆρα Θησεῖ τὸν πολυκτόνον μέτα,
Ἅιδου τ' ἐρεμνῶν ἐξανήγαγεν μυχῶν
πατέρα σόν· Ἑλλὰς πᾶσα τοῦτο μαρτυρεῖ.
ὧν ἀντιδοῦναί σ' οἵδ' ἀπαιτοῦσιν χάριν,
μήτ' ἐκδοθῆναι μήτε πρὸς βίαν θεῶν
τῶν σῶν ἀποσπασθέντες ἐκπεσεῖν χθονός.
σοὶ γὰρ τόδ' αἰσχρὸν, χωρὶς ἐν πόλει κακὸν,
ἱκέτας ἀλήτας συγγενεῖς, οἴμοι κακῶν,
βλέψον πρὸς αὐτοὺς βλέψον, ἕλκεσθαι βίᾳ.
ἀλλ' ἄντομαί σε, καὶ καταστέφω, χεροῖν
καὶ πρὸς γενείου, μηδαμῶς ἀτιμάσῃς
τοὺς Ἡρακλείους παῖδας ἐς χέρας λαβών.
γενοῦ δὲ τοῖσδε συγγενὴς, γενοῦ φίλος,
πατὴρ, ἀδελφὸς, δεσπότης· ἅπαντα γὰρ
ταῦτ' ἐστὶ κρείσσω πλὴν ὑπ' Ἀργείοις πεσεῖν.

*ΧΟΡΟΣ.*

ᾤκτειρ' ἀκούσας τούσδε συμφορᾶς, ἄναξ.
τὴν δ' εὐγένειαν τῆς τύχης νικωμένην
νῦν δὴ μάλιστ' ἐσεῖδον· οἵδε γὰρ πατρὸς
ἐσθλοῦ γεγῶτες δυστυχοῦσ' ἀναξίως.

*ΔΗΜΟΦΩΝ.*

τρισσαί μ' ἀναγκάζουσι συμφορᾶς ὁδοὶ,
Ἰόλαε, τούσδε μὴ παρώσασθαι ξένους·
τὸ μὲν μέγιστον Ζεὺς, ἐφ' οὗ σὺ βώμιος
θακεῖς νεοσσῶν τήνδ' ἔχων πανήγυριν,
τὸ συγγενές τε καὶ τὸ προὐφείλειν καλῶς
πράσσειν παρ' ἡμῶν τούσδε πατρῴαν χάριν,
τό τ' αἰσχρὸν, οὗπερ δεῖ μάλιστα φροντίσαι·
εἰ γὰρ παρήσω τόνδε συλᾶσθαι βίᾳ
ξένου πρὸς ἀνδρὸς βωμὸν, οὐκ ἐλευθέραν
οἰκεῖν δοκήσω γαῖαν, Ἀργείοις δ' ὄκνῳ
ἱκέτας προδοῦναι· καὶ τόδ' ἀγχόνης πέλας.
ἀλλ' ὤφελες μὲν εὐτυχέστερον μολεῖν·
ὅμως δὲ καὶ νῦν μὴ τρέσῃς ὅπως σέ τις
σὺν παισὶ βωμοῦ τοῦδ' ἀποσπάσει βίᾳ.
σὺ δ' Ἄργος ἐλθὼν ταῦτά τ' Εὐρυσθεῖ φράσον,
πρὸς τοῖσδέ τ', εἴ τι τοισίδ' ἐγκαλεῖ ξένοις,
δίκης κυρήσει· τούσδε δ' οὐκ ἄξεις ποτέ.

*ΚΟΠΡΕΥΣ.*

οὐκ, ἢν δίκαιον ᾖ τε καὶ νικῶ λόγῳ;

*ΔΗΜΟΦΩΝ.*

καὶ πῶς δίκαιον τὸν ἱκέτην ἄγειν βίᾳ;

*ΚΟΠΡΕΥΣ.*

οὔκουν ἐμοὶ τόδ' αἰσχρὸν, ἀλλὰ σοὶ βλάβος.

*ΔΗΜΟΦΩΝ.*

ἐμοί γ', ἐάν σοι τούσδ' ἐφέλκεσθαι μεθῶ.

*ΚΟΠΡΕΥΣ.*

σὺ δ' ἐξόριζε, κᾆτ' ἐκεῖθεν ἄξομεν.

*ΔΗΜΟΦΩΝ.*

σκαιὸς πέφυκας, τοῦ θεοῦ πλείω φρονῶν.

*ΚΟΠΡΕΥΣ.*

δεῦρ', ὡς ἔοικε, τοῖς κακοῖσι φευκτέον.

*ΔΗΜΟΦΟΝ.*

ἅπασι κοινὸν ῥῦμα δαιμόνων ἕδρα.

*ΚΟΠΡΕΥΣ.*

ταῦτ' οὐ δοκήσει τοῖς Μυκηναίοις ἴσως.

*ΔΗΜΟΦΩΝ.*

οὔκουν ἐγὼ τῶν ἐνθάδ' εἰμὶ κύριος;

*ΚΟΠΡΕΥΣ.*

βλάπτων ἐκείνους μηδὲν, ἢν σὺ σωφρονῇς.

*ΔΗΜΟΦΩΝ.*

βλάπτεσθ', ἐμοῦ γε μὴ μιαίνοντος θεούς.

*ΚΟΠΡΕΥΣ.*

οὐ βούλομαί σε πόλεμον Ἀργείοις ἔχειν.

*ΔΗΜΟΦΩΝ.*

κἀγὼ τοιοῦτος· τῶνδε δ' οὐ μεθήσομαι.

*ΚΟΠΡΕΥΣ.*

ἄξω γε μέντοι τοὺς ἐμοὺς ἐγὼ λαβών.

*ΔΗΜΟΦΩΝ.*

οὐκ ἄρ' ἐς Ἄργος ῥᾳδίως ἄπει πάλιν.

*ΚΟΠΡΕΥΣ.*

πειρώμενος δὴ τοῦτό γ' αὐτίκ' εἴσομαι.

*ΔΗΜΟΦΩΝ.*

κλαίων ἄρ' ἅψει τῶνδε, κοὐκ ἐς ἀμβολάς.

*ΧΟΡΟΣ.*

μὴ πρὸς θεῶν κήρυκα τολμήσῃς θενεῖν.

*ΔΗΜΟΦΩΝ.*

εἰ μή γ' ὁ κῆρυξ σωφρονεῖν μαθήσεται.

*ΧΟΡΟΣ.*

ἄπελθε· καὶ σὺ τοῦδε μὴ θίγῃς, ἄναξ.

*ΚΟΠΡΕΥΣ.*

στείχω· μιᾶς γὰρ χειρὸς ἀσθενὴς μάχη.
ἥξω δὲ πολλὴν Ἄρεος Ἀργείου λαβὼν
πάγχαλκον αἰχμὴν δεῦρο· μυρίοι δέ με
μένουσιν ἀσπιστῆρες, Εὐρυσθεύς τ' ἄναξ

αὐτὸς στρατηγῶν· Ἀλκάθου δ' ἐπ' ἐσχάτοις
καραδοκῶν τἀνθένδε τέρμασιν μένει.
λαμπρὸς δ' ἀκούσας σὴν ὕβριν φανήσεται,
σοὶ καὶ πολίταις γῇ τε τῇδε καὶ φυτοῖς·
μάτην γὰρ ἥβην ὧδέ γ' ἂν κεκτῴμεθα
πολλὴν ἐν Ἄργει, μή σε τιμωρούμενοι.

ΔΗΜΟΦΩΝ.

φθείρου· τὸ σὸν γὰρ Ἄργος οὐ δέδοικ' ἐγώ.
ἐνθένδε δ' οὐκ ἔμελλες αἰσχύνας ἐμὲ
ἄξειν βίᾳ τούσδ'· οὐ γὰρ Ἀργείων πόλει
ὑπήκοον τήνδ', ἀλλ' ἐλευθέραν ἔχω.

ΧΟΡΟΣ.

ὥρα προνοεῖν, πρὶν ὅροις πελάσαι
στρατὸν Ἀργείων· μάλα δ' ὀξὺς Ἄρης
ὁ Μυκηναίων,
ἐπὶ τοῖσι δὲ δὴ μᾶλλον ἔτ' ἢ πρίν.
πᾶσι γὰρ οὗτος κήρυξι νόμος,
δὶς τόσα πυργοῦν τῶν γιγνομένων.
πόσα νιν λέξειν βασιλεῦσι δοκεῖς,
ὡς δείν' ἔπαθεν καὶ παρὰ μικρὸν
ψυχὴν ἦλθεν διακναῖσαι.

ΙΟΛΑΟΣ.

οὐκ ἔστι τοῦδε παισὶ κάλλιον γέρας,
ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι,
γαμεῖν τ' ἀπ' ἐσθλῶν· ὃς δὲ νικηθεὶς πόθῳ
κακοῖς ἐκοινώνησεν, οὐκ ἐπαινέσω,
τέκνοις ὄνειδος οὕνεχ' ἡδονῆς λιπεῖν.
τὸ δυστυχὲς γὰρ ηὑγένει' ἀμύνεται
τῆς δυσγενείας μᾶλλον· ἡμεῖς γὰρ κακῶν
ἐς τοὔσχατον πεσόντες εὕρομεν φίλους
καὶ ξυγγενεῖς τούσδ', οἳ τοσῆσδ' οἰκουμένης
Ἑλληνίδος γῆς τῶνδε προὔστησαν μόνοι.
δότ', ὦ τέκν', αὐτοῖς χεῖρα δεξιὰν δότε,
ὑμεῖς τε παισὶ, καὶ πέλας προσέλθετε.
ὦ παῖδες, ἐς μὲν πεῖραν ἤλθομεν φίλων,
ἢν δ' οὖν ποθ' ὑμῖν νόστος ἐς πάτραν φανῇ,
καὶ δώματ' οἰκήσητε καὶ τιμὰς πατρὸς,
σωτῆρας ἀεὶ καὶ φίλους νομίζετε,
καὶ μήποτ' ἐς γῆν ἐχθρὸν αἴρεσθαι δόρυ,
μεμνημένοι τῶνδ', ἀλλὰ φιλτάτην πόλιν
πασῶν νομίζετ'. ἄξιόν γ' ὑμῖν σέβειν
οἳ γῆν τοσήνδε καὶ Πελασγικὸν λεὼν
ἡμῶν ἀπηλλάξαντο πολεμίους ἔχειν,
πτωχοὺς ἀλήτας εἰσορῶντες· ἀλλ' ὅμως
οὐκ ἐξέδωκαν, οὐδ' ἀπήλασαν χθονός.
ἐγὼ δὲ καὶ ζῶν καὶ θανὼν, ὅταν θάνω,
πολλῷ σ' ἐπαίνῳ Θησέως, ὦ τᾶν, πέλας
ὑψηλὸν ἀρῶ καὶ λέγων τάδ' εὐφρανῶ,
ὡς εὖ τ' ἐδέξω καὶ τέκνοισιν ἤρκεσας
τοῖς Ἡρακλείοις, εὐγενὴς δ' ἀν' Ἑλλάδα
σώζεις πατρῴαν δόξαν, ἐξ ἐσθλῶν δὲ φὺς
οὐδὲν κακίων τυγχάνεις γεγὼς πατρὸς
παύρων μετ' ἄλλων· ἕνα γὰρ ἐν πολλοῖς ἴσως
εὕροις ἂν ὅστις ἐστὶ μὴ χείρων πατρός.

ΧΟΡΟΣ.

ἀεί ποθ' ἥδε γαῖα τοῖς ἀμηχάνοις
σὺν τῷ δικαίῳ βούλεται προσωφελεῖν.
τοιγὰρ πόνους δὴ μυρίους ὑπὲρ φίλων
ἤνεγκε, καὶ νῦν τόνδ' ἀγῶν' ὁρῶ πέλας.

ΔΗΜΟΦΩΝ.

σοί τ' εὖ λέλεκται, καὶ τὰ τῶνδ' αὐχῶ, γέρον,
τοιαῦτ' ἔσεσθαι· μνημονεύσεται χάρις.
κἀγὼ μὲν ἀστῶν σύλλογον ποιήσομαι,
τάξω θ', ὅπως ἂν τὸν Μυκηναίων στρατὸν
πολλῇ δέχωμαι χειρί. πρῶτα μὲν σκοποὺς
πέμψω πρὸς αὐτὸν, μὴ λάθῃ με προσπεσών·
ταχὺς γὰρ Ἄργει πᾶς ἀνὴρ βοηδρόμος·
μάντεις τ' ἀθροίσας θύσομαι. σὺ δ' ἐς δόμους
σὺν παισὶ χώρει, Ζηνὸς ἐσχάραν λιπών.
εἰσὶν γὰρ οἳ σοῦ, κἂν ἐγὼ θυραῖος ὦ,
μέριμναν ἕξουσ'. ἀλλ' ἴθ' ἐς δόμους, γέρον.

ΙΟΛΑΟΣ.

οὐκ ἂν λίποιμι βωμόν. ἑζόμεσθα δὴ
ἱκέται μένοντες ἐνθάδ' εὖ πρᾶξαι πόλιν·
ὅταν δ' ἀγῶνος τοῦδ' ἀπαλλαχθῇς καλῶς,
ἴμεν πρὸς οἴκους· θεοῖσι δ' οὐ κακίοσι
χρώμεσθα συμμάχοισιν Ἀργείων, ἄναξ·
τῶν μὲν γὰρ Ἥρα προστατεῖ, Διὸς δάμαρ,
ἡμῶν δ' Ἀθάνα. φημὶ δ' εἰς εὐπραξίαν
καὶ τοῦθ' ὑπάρχειν, θεῶν ἀμεινόνων τυχεῖν·
νικωμένη γὰρ Παλλὰς οὐκ ἀνέξεται.

ΧΟΡΟΣ.

εἰ σὺ μέγ' αὐχεῖς, ἕτεροι
σοῦ πλέον οὐ μέλονται,
ὦ ξεῖν', Ἀργόθεν ἐλθών·
μεγαληγορίαισιν δέ γ' ἐμὰς
φρένας οὐ φοβήσεις.
μήπω ταῖς μεγάλαισιν οὕτω
καὶ καλλιχόροις Ἀθάναις
εἴη. σύ τ' ἄφρων ὅ τ' Ἄργει
Σθενέλου τύραννος·
ὃς πόλιν ἐλθὼν ἑτέραν
οὐδὲν ἐλάσσον' Ἄργους,
θεῶν ἱκτῆρας ἀλάτας
καὶ ἐμᾶς χθονὸς ἀντισχομένους
ξένος ὢν βιαίως
ἕλκεις, οὐ βασιλεῦσιν εἴξας,
οὐκ ἄλλο δίκαιον εἰπών.
ποῦ ταῦτα καλῶς ἂν εἴη
παρά γ' εὖ φρονοῦσιν;
εἰρήνα μὲν ἔμοιγ' ἀρέσκει·
σὺ δ', ὦ κακόφρων ἄναξ,
λέγω, εἰ πόλιν ἥξεις,
οὐχ οὕτως ἃ δοκεῖς κυρήσεις.
οὐ σοὶ μόνῳ ἔγχος, οὐδ'
ἰτέα κατάχαλκός [ἐστιν.]
ἀλλ', ὦ πολέμων ἐραστὰ,
μή μοι δορὶ συνταράξῃς
τὰν εὖ χαρίτων ἔχουσαν
πόλιν, ἀλλ' ἀνάσχου.

ΙΟΛΑΟΣ.

ὦ παῖ, τί μοι σύννοιαν ὄμμασιν φέρων
ἥκεις; νέον τι πολεμίων λέγεις πέρι;
μέλλουσιν ἢ πάρεισιν ἢ τί πυνθάνει;
οὐ γάρ τι μὴ ψεύσῃ γε κήρυκος λόγος·
ὁ γὰρ στρατηγὸς εὐτυχὴς τὰ πρόσθεν ὢν
εἶσιν, σάφ' οἶδα, καὶ μάλ' οὐ σμικρὸν φρο-

353—361. == 362—370.
371—373. == 374—376.

ἐς τὰς Ἀθήνας. ἀλλὰ τῶν φρονημάτων
ὁ Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων.

ΔΗΜΟΦΩΝ.

ἥκει στράτευμ' Ἀργεῖον Εὐρυσθεύς τ' ἄναξ·
ἐγώ νιν αὐτὸς εἶδον. ἄνδρα γὰρ χρεὼν,
ὅστις στρατηγεῖν φησ' ἐπίστασθαι καλῶς,
οὐκ ἀγγέλοισι τοὺς ἐναντίους ὁρᾶν.
πεδία μὲν οὖν γῆς ἐς τάδ' οὐκ ἐφῆκέ πω
στρατὸν, λεπαίαν δ' ὀφρύην καθήμενος
σκοπεῖ, δόκησιν δὴ τόδ' ἂν λέγοιμί σοι,
ποίᾳ προσάξει στρατόπεδον τὰ νῦν δορὸς,
ἐν ἀσφαλεῖ τε τῆσδ' ἱδρύσεται χθονός.
καὶ τἀμὰ μέντοι πάντ' ἄραρ' ἤδη καλῶς·
πόλις τ' ἐν ὅπλοις σφάγιά θ' ἡτοιμασμένα
ἕστηκεν οἷς χρὴ ταῦτα τέμνεσθαι θεῶν,
θυηπολεῖται δ' ἄστυ μάντεων ὕπο,
τροπαῖά τ' ἐχθρῶν καὶ πόλει σωτήρια.
χρησμῶν δ' ἀοιδοὺς πάντας εἰς ἓν ἁλίσας
ἤλεγξα καὶ βέβηλα καὶ κεκρυμμένα
λόγια παλαιὰ, τῇδε γῇ σωτήρια.
καὶ τῶν μὲν ἄλλων διάφορ' ἐστὶ θεσφάτων
πόλλ'· ἓν δὲ πάντων γνῶμα ταυτὸν ἐμπρέπει·
σφάξαι κελεύουσίν με παρθένον κόρῃ
Δήμητρος, ἥτις ἐστὶ πατρὸς εὐγενοῦς.
ἐγὼ δ' ἔχω μὲν, ὡς ὁρᾷς, προθυμίαν
τοσήνδ' ἐς ὑμᾶς· παῖδα δ' οὔτ' ἐμὴν κτενῶ
οὔτ' ἄλλον ἀστῶν τῶν ἐμῶν ἀναγκάσω
ἄκονθ'· ἑκὼν δὲ τίς κακῶς οὕτω φρονεῖ,
ὅστις τὰ φίλτατ' ἐκ χερῶν δώσει τέκνα;
καὶ νῦν πικρὰς ἂν συστάσεις ἂν εἰσίδοις,
τῶν μὲν λεγόντων ὡς δίκαιον ἦν ξένοις
ἱκέταις ἀρήγειν, τῶν δὲ μωρίαν ἐμὴν
κατηγορούντων· εἰ δὲ δὴ δράσω τόδε,
οἰκεῖος ἤδη πόλεμος ἐξαρτύεται.
ταῦτ' οὖν ὅρα σὺ καὶ συνεξεύρισχ' ὅπως
αὐτοί τε σωθήσεσθε καὶ πέδον τόδε,
κἀγὼ πολίταις μὴ διαβληθήσομαι.
οὐ γὰρ τυραννίδ' ὥστε βαρβάρων ἔχω·
ἀλλ' ἢν δίκαια δρῶ, δίκαια πείσομαι.

ΧΟΡΟΣ.

ἀλλ' ἦ πρόθυμον οὖσαν οὐκ ἐᾷ θεὸς
ξένοις ἀρήγειν τήνδε χρῄζουσαν πόλιν;

ΙΟΛΑΟΣ.

ὦ τέκν', ἔοιγμεν ναυτίλοισιν, οἵτινες
χειμῶνος ἐκφυγόντες ἄγριον μένος
ἐς χεῖρα γῇ συνῆψαν, εἶτα χερσόθεν
πνοαῖσιν ἠλάθησαν ἐς πόντον πάλιν.
οὕτω δὲ χἠμεῖς τῆσδ' ἀπωθούμεσθα γῆς,
ἤδη πρὸς ἀκταῖς ὄντες, ὡς σεσωσμένοι.
οἴμοι· τί δῆτ' ἔτερψας ὦ τάλαινά με
ἐλπὶς τότ', οὐ μέλλουσα διατελεῖν χάριν;
συγγνωστὰ γάρτοι καὶ τὰ τοῦδ', εἰ μὴ θέλει
κτείνειν πολιτῶν παῖδας. αἰνέσας δ' ἔχω
καὶ τἀνθάδ'· εἰ θεοῖσι δὴ δοκεῖ τάδε
πράσσειν ἔμ', οὔτοι σοί γ' ἀπόλλυται χάρις.
ὦ παῖδες, ὑμῖν δ' οὐκ ἔχω τί χρήσομαι.
ποῖ τρεψόμεσθα; τίς γὰρ ἄστεπτος θεῶν;
ποῖον δὲ γαίας ἕρκος οὐκ ἀφίγμεθα;
ὀλούμεθ', ὦ τέκν', ἐκδοθησόμεσθα δή.
κἀμοῦ μὲν οὐδὲν εἴ με χρὴ θανεῖν μέλει,
πλὴν εἴ τι τέρψω τοὺς ἐμοὺς ἐχθροὺς θανών.
ὑμᾶς δὲ κλαίω καὶ κατοικτείρω, τέκνα,
καὶ τὴν γεραιὰν μητέρ' Ἀλκμήνην πατρός.
ὦ δυστάλαινα τοῦ μακροῦ βίου σέθεν·
τλήμων δὲ κἀγὼ, πολλὰ μοχθήσας μάτην.
χρῆν χρῆν ἄρ' ἡμᾶς ἀνδρὸς εἰς ἐχθροῦ χέρας
πεσόντας αἰσχρῶς καὶ κακῶς λιπεῖν βίον.
ἀλλ' οἶσθ' ὅ μοι σύμπραξον; οὐχ ἅπασα γὰρ
πέφευγεν ἐλπὶς τῶνδέ μοι σωτηρίας.
ἔμ' ἔκδος Ἀργείοισιν ἀντὶ τῶνδ', ἄναξ,
καὶ μήτε κινδύνευε σωθήτω τέ μοι
τέκν'· οὐ φιλεῖν δεῖ τὴν ἐμὴν ψυχήν· ἴτω.
μάλιστα δ' Εὐρυσθεύς με βούλοιτ' ἂν λαβὼν
τὸν Ἡράκλειον σύμμαχον καθυβρίσαι·
σκαιὸς γὰρ ἀνήρ. τοῖς σοφοῖς δ' εὐκτὸν σοφῷ
ἔχθραν συνάπτειν, μὴ 'μαθεῖ φρονήματι·
πολλῆς γὰρ αἰδοῦς κἀτυχής τις ἂν τύχοι.

ΧΟΡΟΣ.

ὦ πρέσβυ, μή νυν τήνδ' ἐπαιτιῶ πόλιν·
τάχ' ἂν γὰρ ἡμῖν κέρδος, ἀλλ' ὅμως κακὸν
γένοιτ' ὄνειδος ὡς ξένους προὐδώκαμεν.

ΔΗΜΟΦΩΝ.

γενναῖα μὲν τάδ' εἶπας, ἀλλ' ἀμήχανα.
οὐ σοῦ χατίζων δεῦρ' ἄναξ στρατηλατεῖ,
τί γὰρ γέροντος ἀνδρὸς Εὐρυσθεῖ πλέον
θανόντος; ἀλλὰ τούσδε βούλεται κτανεῖν.
δεινὸν γὰρ ἐχθροῖς βλαστάνοντες εὐγενεῖς
νεανίαι τε καὶ πατρὸς μεμνημένοι
λύμας· ἃ κεῖνον πάντα προσκοπεῖν χρεών.
ἀλλ' εἴ τιν' ἄλλην οἶσθα καιριωτέραν
βουλὴν, ἑτοίμαζ', ὡς ἔγωγ' ἀμήχανος
χρησμῶν ἀκούσας εἰμὶ καὶ φόβου πλέως.

ΜΑΚΑΡΙΑ.

ξένοι, θράσος μοι μηδὲν ἐξόδοις ἐμαῖς
προσθῆτε· πρῶτον γὰρ τόδ' ἐξαιτήσομαι·
γυναικὶ γὰρ σιγή τε καὶ τὸ σωφρονεῖν
κάλλιστον, εἴσω θ' ἥσυχον μένειν δόμων.
τῶν σῶν δ' ἀκούσασ', Ἰόλεως, στεναγμάτων,
ἐξῆλθον, οὐ ταχθεῖσα πρεσβεύειν γένους.
ἀλλ' εἰμὶ γάρ πως πρόσφορος· μέλει δέ μοι.
μάλιστ' ἀδελφῶν τῶνδε, κἀμαυτῆς πέρι
θέλω πυθέσθαι, μὴ 'πὶ τοῖς πάλαι κακοῖς
προσκείμενόν τι πῆμα σὴν δάκνει φρένα.

ΙΟΛΑΟΣ.

ὦ παῖ, μάλιστα σ' οὐ νεωστὶ δὴ τέκνων
τῶν Ἡρακλείων ἐνδίκως αἰνεῖν ἔχω.
ἡμῖν δὲ δόξας εὖ προχωρῆσαι δόμος
πάλιν μεθέστηκ' αὖθις ἐς τἀμήχανον·
χρησμῶν γὰρ ᾠδούς φησι σημαίνειν ὅδε,
οὐ ταῦρον οὐδὲ μόσχον, ἀλλὰ παρθένον
σφάξαι κελεύειν πατρὸς ἥτις εὐγενοῦς,
εἰ χρὴ μὲν ἡμᾶς, χρὴ δὲ τήνδ' εἶναι πόλιν.
ταῦτ' οὖν ἀμηχανοῦμεν· οὔτε γὰρ τέκνα
σφάζειν ὅδ' αὑτοῦ φησιν οὔτ' ἄλλου τινός.
κἀμοὶ λέγει μὲν οὐ σαφῶς, λέγει δέ πως,
εἰ μή τι τούτων ἐξαμηχανήσομεν,
ἡμᾶς μὲν ἄλλην γαῖαν εὑρίσκειν τινὰ,
αὐτὸς δὲ σῶσαι τήνδε βούλεται χθόνα.

ΜΑΚΑΡΙΑ.

ἐν τῷδε κἀχόμεσθα σωθῆναι λόγῳ;

ΙΟΛΑΟΣ.

ἐν τῷδε, τἄλλα γ' εὐτυχῶς πεπραγότες.

ΜΑΚΑΡΙΑ.

μή νυν τρέσῃς ἔτ' ἐχθρὸν Ἀργεῖον δόρυ·
ἐγὼ γὰρ αὐτὴ πρὶν κελευσθῆναι, γέρον,
θνήσκειν ἑτοίμη καὶ παρίστασθαι σφαγῇ.
τί φήσομεν γὰρ, εἰ πόλις μὲν ἀξιοῖ
κίνδυνον ἡμῶν οὕνεκ' αἴρεσθαι μέγαν,
αὐτοὶ δὲ προστιθέντες ἄλλοισιν πόνους,
παρὸν σεσῶσθαι, φευξόμεσθα μὴ θανεῖν;
οὐ δῆτ', ἐπεί τοι καὶ γέλωτος ἄξια,
στένειν μὲν ἱκέτας δαιμόνων καθημένους,
πατρὸς δ' ἐκείνου φύντας οὗ πεφύκαμεν,
κακοὺς ὁρᾶσθαι· ποῦ τάδ' ἐν χρηστοῖς πρέπει;
κάλλιον, οἶμαι, τῆσδ', ἃ μὴ τύχοι ποτὲ,
πόλεως ἁλούσης χεῖρας εἰς ἐχθρῶν πεσεῖν,
κἄπειτα δεινὰ πατρὸς οὖσαν εὐγενοῦς
παθοῦσαν Ἅιδην μηδὲν ἧσσον εἰσιδεῖν.
ἀλλ' ἐκπεσοῦσα τῆσδ' ἀλητεύσω χθονὸς,
κοὐκ αἰσχυνοῦμαι δῆτ', ἐὰν δή τις λέγῃ,
τί δεῦρ' ἀφίκεσθ' ἱκεσίοισι σὺν κλάδοις,
αὐτοὶ φιλοψυχοῦντες; ἔξιτε χθονός·
κακοὺς γὰρ ἡμεῖς οὐ προσωφελήσομεν.
ἀλλ' οὐδὲ μέντοι, τῶνδε μὲν τεθνηκότων,
αὐτὴ δὲ σωθεῖσ', ἐλπίδ' εὖ πράξειν ἔχω·
πολλοὶ γὰρ ἤδη τῇδε προὔδοσαν φίλους.
τίς γὰρ κόρην ἔρημον ἢ δάμαρτ' ἔχειν
ἢ παιδοποιεῖν ἐξ ἐμοῦ βουλήσεται;
οὐκοῦν θανεῖν ἄμεινον ἢ τούτων τυχεῖν
ἀναξίαν. ἄλλῃ δὲ καὶ πρέπει τινὶ
μᾶλλον τάδ', ἥτις μὴ 'πίσημος ὡς ἐγώ.
ἡγεῖσθ' ὅπου δεῖ σῶμα κατθανεῖν τόδε,
καὶ στεμματοῦτε καὶ κατάρχεσθ', εἰ δοκεῖ·
νικᾶτε δ' ἐχθρούς· ἥδε γὰρ ψυχὴ πάρα
ἑκοῦσα κοὐκ ἄκουσα· κἀξαγγέλλομαι
θνήσκειν ἀδελφῶν τῶνδε κἀμαυτῆς ὕπερ.
εὕρημα γάρτοι μὴ φιλοψυχοῦσ' ἐγὼ
κάλλιστον εὕρηκ', εὐκλεῶς λιπεῖν βίον.

ΧΟΡΟΣ.

φεῦ φεῦ, τί λέξω, παρθένου μέγαν λόγον
κλύων, ἀδελφῶν ἣ πάρος θέλει θανεῖν;
τούτων τίς ἂν λέξειε γενναίους λόγους
μᾶλλον, τίς ἂν δράσειεν ἀνθρώπων ἔτι;

ΙΟΛΑΟΣ.

ὦ τέκνον, οὐκ ἔστ' ἄλλοθεν τὸ σὸν κάρα,
ἀλλ' ἐξ ἐκείνου σπέρμα τῆς θείας φρενὸς
πέφυκας Ἡρακλῆος· οὐδ' αἰσχύνομαι
τοῖς σοῖς λόγοισι, τῇ τύχῃ δ' ἀλγύνομαι.
ἀλλ' ᾗ γένοιτ' ἂν ἐνδικωτέρως φράσω·
πάσας ἀδελφὰς τῆσδε δεῦρο χρὴ καλεῖν,
κᾆθ' ἡ λαχοῦσα θνησκέτω γένους ὕπερ·
σὲ δ' οὐ δίκαιον κατθανεῖν ἄνευ πάλου.

ΜΑΚΑΡΙΑ.

οὐκ ἂν θάνοιμι τῇ τύχῃ λαχοῦσ' ἐγώ·
χάρις γὰρ οὐ πρόσεστι· μὴ λέξῃς, γέρον.
ἀλλ' εἰ μὲν ἐνδέχεσθε, καὶ βούλεσθέ μοι
χρῆσθαι προθύμῳ, τὴν ἐμὴν ψυχὴν ἐγὼ
δίδωμ' ἑκοῦσα τοῖσδ', ἀναγκασθεῖσα δ' οὔ.

ΙΟΛΑΟΣ.

φεῦ.
ὅδ' αὖ λόγος σοι τοῦ πρὶν εὐγενέστερος·
κἀκεῖνος ἦν ἄριστος, ἀλλ' ὑπερφέρεις
τόλμῃ τε τόλμαν καὶ λόγῳ χρηστῷ λόγον.
οὐ μὴν κελεύω γ', οὐδ' ἀπεννέπω, τέκνον,
θνήσκειν σ'· ἀδελφοὺς δ' ὠφελεῖς θανοῦσα σούς.

ΜΑΚΑΡΙΑ.

σοφῶς κελεύεις· μὴ τρέσῃς μιάσματος
τοὐμοῦ μετασχεῖν, ἀλλ' ἐλευθέρως θάνω.
ἕπου δὲ, πρέσβυ· σῇ γὰρ ἐνθανεῖν χερὶ
θέλω· πέπλοις δὲ σῶμ' ἐμὸν κρύψον παρών·
ἐπεὶ σφαγῆς γε πρὸς τὸ δεινὸν εἶμ' ἐγὼ,
εἴπερ πέφυκα πατρὸς οὗπερ εὔχομαι.

ΙΟΛΑΟΣ.

οὐκ ἂν δυναίμην σῷ παρεστάναι μόρῳ.

ΜΑΚΑΡΙΑ.

σὺ δ' ἀλλὰ τοῦδε χρῇζε, μή μ' ἐν ἀρσένων,
ἀλλ' ἐν γυναικῶν χερσὶν ἐκπνεῦσαι βίον.

ΧΟΡΟΣ.

ἔσται τάδ', ὦ τάλαινα παρθένων· ἐπεὶ
κἀμοὶ τόδ' αἰσχρὸν, μή σε κοσμῆσαι καλῶς,
πολλῶν ἕκατι, τῆς τε σῆς εὐψυχίας
καὶ τοῦ δικαίου· τλημονεστάτην δὲ σὲ
πασῶν γυναικῶν εἶδον ὀφθαλμοῖς ἐγώ.
ἀλλ' εἴ τι βούλει τούσδε τὸν γέροντά τε,
χώρει προσειποῦσ' ὕστατον πρόσφθεγμα δή.

ΜΑΚΑΡΙΑ.

ὦ χαῖρε, πρέσβυ, χαῖρε, καὶ δίδασκέ μοι
τοιούσδε τούσδε παῖδας, ἐς τὸ πᾶν σοφοὺς,
ὥσπερ σύ· μηδὲν μᾶλλον· ἀρκέσουσι γάρ.
πειρῶ δὲ σῶσαι μὴ θανεῖν πρόθυμος ὤν·
σοὶ παῖδές ἐσμεν· σαῖν χεροῖν τεθράμμεθα.
ὁρᾷς δὲ κἀμὲ τὴν ἐμὴν ὥραν γάμου
διδοῦσαν ἀντὶ τῶνδε κατθανουμένην.
ὑμεῖς τ', ἀδελφῶν ἡ παροῦσ' ὁμιλία,
εὐδαιμονοῖτε, καὶ γένοιθ' ὑμῖν ὅσων
ἡ 'μὴ πάροιθεν καρδία σφαγήσεται.
καὶ τὸν γέροντα τήν τ' ἔσω γραῖαν δόμων
τιμᾶτε πατρὸς μητέρ' Ἀλκμήνην ἐμοῦ
ξένους τε τούσδε. κἂν ἀπαλλαγὴ πόνων
καὶ νόστος ὑμῖν εὑρεθῇ ποτ' ἐκ θεῶν,
μέμνησθε τὴν σώτειραν ὡς θάψαι χρεών·
κάλλιστά τοι δίκαιον· οὐ γὰρ ἐνδεὴς
ὑμῖν παρέστην, ἀλλὰ προὔθανον γένους.
τάδ' ἀντὶ παίδων ἐστί μοι κειμήλια
καὶ παρθενείας, εἴ τι δὴ κατὰ χθονός·
εἴη γε μέντοι μηδέν. εἰ γὰρ ἕξομεν
κἀκεῖ μερίμνας οἱ θανούμενοι βροτῶν,
οὐκ οἶδ' ὅποι τις τρέψεται· τὸ γὰρ θανεῖν
κακῶν μέγιστον φάρμακον νομίζεται.

ΙΟΛΑΟΣ.

ἀλλ', ὦ μέγιστον ἐκπρέπουσ' εὐψυχίᾳ,
πασῶν γυναικῶν, ἴσθι, τιμιωτάτη
καὶ ζῶσ' ὑφ' ἡμῶν καὶ θανοῦσ' ἔσει πολύ·
καὶ χαῖρε· δυσφημεῖν γὰρ ἅζομαι θεὰν,
ᾗ σὸν κατῆρκται σῶμα, Δήμητρος κόρην.
ὦ παῖδες, οἰχόμεσθα· λύεται μέλη
λύπῃ· λάβεσθε κεἰς ἕδραν μ' ἐρείσατε
αὐτοῦ πέπλοισι τοῖσδε κρύψαντες, τέκνα.

ὡς οὔτε τούτοις ἥδομαι πεπραγμένοις,
χρησμοῦ τε μὴ κρανθέντος οὐ βιώσιμον·
μείζων γὰρ ἄτη· συμφορὰ δὲ καὶ τάδε.

ΧΟΡΟΣ.

οὔτινά φημι θεῶν ἄτερ ὄλβιον, οὐ βαρύποτμον
ἄνδρα γενέσθαι,
οὐδὲ τὸν αὐτὸν ἀεὶ βεβάναι δόμον
εὐτυχίᾳ· παρὰ δ᾽ ἄλλαν ἄλλα
μοῖρα διώκει·
τὸν μὲν ἀφ᾽ ὑψηλῶν βραχὺν ᾤκισε,
τὸν δ᾽ ἀλήταν εὐδαίμονα τεύχει.
μόρσιμα δ᾽ οὔτι φυγεῖν θέμις· οὐ σοφίᾳ τις ἀπώσεται·
ἀλλὰ μάταν ὁ πρόθυμος ἀεὶ πόνον ἕξει.
ἀλλὰ σὺ μὴ προπίτνων τὰ θεῶν φέρε, μηδ᾽ ὑπεράλγει
φροντίδα λύπᾳ·
εὐδόκιμον γὰρ ἔχει θανάτου μέρος
ἁ μελέα πρό τ᾽ ἀδελφῶν καὶ γᾶς,
οὐδ᾽ ἀκλεής νιν
δόξα πρὸς ἀνθρώπων ὑποδέξεται·
ἁ δ᾽ ἀρετὰ βαίνει διὰ μόχθων·
ἄξια μὲν πατρὸς, ἄξια δ᾽ εὐγενίας τάδε γίγνεται.
εἰ δὲ σέβεις θανάτους ἀγαθῶν, μετέχω σοι.

ΘΕΡΑΠΩΝ.

ὦ τέκνα, χαίρετ᾽. Ἰόλεως δὲ ποῦ γέρων
μήτηρ τε πατρὸς τῆσδ᾽ ἕδρας ἀποστατεῖ;

ΙΟΛΑΟΣ.

πάρεσμεν, οἵα δή γ᾽ ἐμοῦ παρουσία.

ΘΕΡΑΠΩΝ.

τί χρῆμα κεῖσαι καὶ κατηφὲς ὄμμ᾽ ἔχεις;

ΙΟΛΑΟΣ.

φροντίς τις ἦλθ᾽ οἰκεῖος, ᾗ συνεσχόμην.

ΘΕΡΑΠΩΝ.

ἔπαιρέ νυν σεαυτὸν, ὄρθωσον κάρα.

ΙΟΛΑΟΣ.

γέροντές ἐσμεν κοὐδαμῶς ἐρρώμεθα.

ΘΕΡΑΠΩΝ.

ἥκω γε μέντοι χάρμα σοι φέρων μέγα.

ΙΟΛΑΟΣ.

τίς δ᾽ εἶ σύ; ποῦ σοι συντυχὼν ἀμνημονῶ;

ΘΕΡΑΠΩΝ.

Ὕλλου πενέστης· οὔ με γιγνώσκεις ὁρῶν;

ΙΟΛΑΟΣ.

ὦ φίλταθ᾽, ἥκεις ἆρα σωτὴρ νῷν βλάβης;

ΘΕΡΑΠΩΝ.

μάλιστα· καὶ πρός γ᾽ εὐτυχεῖς τὰ νῦν τάδε.

ΙΟΛΑΟΣ.

ὦ μῆτερ ἐσθλοῦ παιδὸς, Ἀλκμήνην λέγω,
ἔξελθ᾽, ἄκουσον τούσδε φιλτάτους λόγους.
πάλαι γὰρ ὠδίνουσα τῶν ἀφιγμένων
ψυχὴν ἐτήκου νόστος εἰ γενήσεται.

ΑΛΚΜΗΝΗ.

τί χρῆμ᾽ ἀϋτῆς πᾶν τόδ᾽ ἐπλήσθη στέγος;
Ἰόλαε, μῶν τίς σ᾽ αὖ βιάζεται παρὼν
κῆρυξ ἀπ᾽ Ἄργους; ἀσθενὴς μὲν ἥ γ᾽ ἐμὴ
ῥώμη, τοσόνδε δ᾽ εἰδέναι σ᾽ ἐχρῆν, ξένε,
οὐκ ἔστ᾽ ἄγειν σε τούσδ᾽ ἐμοῦ ζώσης ποτέ.
ἢ τἄρ᾽ ἐκείνου μὴ νομιζοίμην ἐγώ
μήτηρ ἔτ᾽· εἰ δὲ τῶνδε προσθίξεις χερὶ,
δυοῖν γερόντοιν οὐ καλῶς ἀγωνιεῖ.

ΙΟΛΑΟΣ.

θάρσει, γεραιὰ, μὴ τρέσῃς, οὐκ Ἀργόθεν
κῆρυξ ἀφῖκται, πολεμίους λόγους ἔχων.

ΑΛΚΜΗΝΗ.

τί γὰρ βοὴν ἔστησας ἄγγελον φόβου;

ΙΟΛΑΟΣ.

σὲ, πρόσθε ναοῦ τοῦδ᾽ ὅπως βαίης πέλας.

ΑΛΚΜΗΝΗ.

οὐκ ᾖσμεν ἡμεῖς ταῦτα· τίς γάρ ἐσθ᾽ ὅδε;

ΙΟΛΑΟΣ.

ἥκοντα παῖδα παιδὸς ἀγγέλλει σέθεν.

ΑΛΚΜΗΝΗ.

ὦ χαῖρε καὶ σὺ τοῖσδε τοῖς ἀγγέλμασιν.
ἀτὰρ τί χώρᾳ τῇδε προσβαλὼν πόδα
ποῦ νῦν ἄπεστι; τίς νιν εἶργε συμφορὰ
σὺν σοὶ φανέντα δεῦρ᾽ ἐμὴν τέρψαι φρένα;

ΘΕΡΑΠΩΝ.

στρατὸν καθίζει τάσσεταί θ᾽ ὃν ἦλθ᾽ ἔχων.

ΑΛΚΜΗΝΗ.

τοῦδ᾽ οὐκέθ᾽ ἡμῖν τοῦ λόγου μέτεστι δή.

ΙΟΛΑΟΣ.

μέτεστιν· ἡμῶν δ᾽ ἔργον ἱστορεῖν τάδε.

ΘΕΡΑΠΩΝ.

τί δῆτα βούλει τῶν πεπραγμένων μαθεῖν;

ΙΟΛΑΟΣ.

πόσον τι πλῆθος συμμάχων πάρεστ᾽ ἔχων;

ΘΕΡΑΠΩΝ.

πολλούς· ἀριθμὸν δ᾽ ἄλλον οὐκ ἔχω φράσαι.

ΙΟΛΑΟΣ.

ἴσασιν, οἶμαι, ταῦτ᾽ Ἀθηναίων πρόμοι.

ΘΕΡΑΠΩΝ.

ἴσασι· καὶ δὴ λαιὸν ἕστηκεν κέρας.

ΙΟΛΑΟΣ.

ἤδη γὰρ ὡς ἐς ἔργον ὥπλισται στρατός;

ΘΕΡΑΠΩΝ.

καὶ δὴ παρῆκται σφάγια τάξεων ἑκάς.

ΙΟΛΑΟΣ.

πόσον τι δ᾽ ἔστ᾽ ἄπωθεν Ἀργεῖον δόρυ;

ΘΕΡΑΠΩΝ.

ὥστ᾽ ἐξορᾶσθαι τὸν στρατηγὸν ἐμφανῶς.

ΙΟΛΑΟΣ.

τί δρῶντα; μῶν τάσσοντα πολεμίων στίχας;

ΘΕΡΑΠΩΝ.

ᾐκάζομεν ταῦτ᾽· οὐ γὰρ ἐξηκούομεν.
ἀλλ᾽ εἶμ᾽· ἐρήμους δεσπότας τοὐμὸν μέρος
οὐκ ἂν θέλοιμι πολεμίοισι συμβαλεῖν.

ΙΟΛΑΟΣ.

κἄγωγε σὺν σοί· ταὐτὰ γὰρ φροντίζομεν,
φίλοις παρόντες, ὡς ἔοιγμεν, ὠφελεῖν.

ΘΕΡΑΠΩΝ.

ἥκιστα πρὸς σοῦ μῶρον ἦν εἰπεῖν ἔπος.

ΙΟΛΑΟΣ.

καὶ μὴ μετασχεῖν γ᾽ ἀλκίμου μάχης φίλοις;

ΘΕΡΑΠΩΝ.

οὐκ ἔστ᾽ ἐν ὄψει τραῦμα, μὴ δρώσης χερός.

ΙΟΛΑΟΣ.

τί δ᾽; οὐ θένοιμι κἂν ἐγὼ δι᾽ ἀσπίδος;

606—617. == 618—629.

ΘΕΡΑΠΩΝ.
θένοις ἂν, ἀλλὰ πρόσθεν αὐτὸς ἂν πέσοις.
ΙΟΛΑΟΣ.
οὐδεὶς ἔμ' ἐχθρῶν προσβλέπων ἀνέξεται.
ΘΕΡΑΠΩΝ.
οὐκ ἔστιν, ὦ τᾶν, ἥ ποτ' ἦν ῥώμη σέθεν.
ΙΟΛΑΟΣ.
ἀλλ' οὖν μαχοῦμαί γ' ἀριθμὸν οὐκ ἐλάσσοσι.
ΘΕΡΑΠΩΝ.
σμικρὸν τὸ σὸν σήκωμα προστίθης φίλοις.
ΙΟΛΑΟΣ.
μή τοί μ' ἔρυκε δρᾶν παρεσκευασμένον.
ΘΕΡΑΠΩΝ.
δρᾶν μὲν σύ γ' οὐχ οἷός τε, βούλεσθαι δ' ἴσως.
ΙΟΛΑΟΣ.
ὡς μὴ μενοῦντα τἄλλα σοι λέγειν πάρα.
ΘΕΡΑΠΩΝ.
πῶς οὖν ὁπλίταις τευχέων ἄτερ φανεῖ;
ΙΟΛΑΟΣ.
ἔστ' ἐν δόμοισιν ἔνδον αἰχμάλωθ' ὅπλα
τοῖσδ', οἷσι χρησόμεσθα κἀποδώσομεν
ζῶντες· θανόντας δ' οὐκ ἀπαιτήσει θεός.
ἀλλ' εἴσιθ' εἴσω κἀπὸ πασσάλων ἑλὼν
ἔνεγχ' ὁπλίτην κόσμον ὡς τάχιστά μοι.
αἰσχρὸν γὰρ οἰκούρημα γίγνεται τόδε,
τοὺς μὲν μάχεσθαι, τοὺς δὲ δειλίᾳ μένειν.
ΧΟΡΟΣ.
λῆμα μὲν οὔπω στόρνυσι χρόνος
τὸ σὸν, ἀλλ' ἡβᾷ· σῶμα δὲ φροῦδον.
τί πονεῖς ἄλλως; ἃ σὲ μὲν βλάψει,
σμικρὰ δ' ὀνήσει πόλιν ἡμετέραν.
χρὴ γνωσιμαχεῖν σὴν ἡλικίαν,
τὰ δ' ἀμήχαν' ἐᾶν. οὐκ ἔστιν ὅπως
ἥβην κτήσει πάλιν αὖθις.
ΑΛΚΜΗΝΗ.
τί χρῆμα μέλλεις σῶν φρενῶν οὐκ ἔνδον ὢν
λιπεῖν μ' ἔρημον σὺν τέκνοισι τοῖς ἐμοῖς;
ΙΟΛΑΟΣ.
ἀνδρῶν γὰρ ἀλκή· σοὶ δὲ χρὴ τούτων μέλειν.
ΑΛΚΜΗΝΗ.
τί δ', ἢν θάνῃς σὺ, πῶς ἐγὼ σωθήσομαι;
ΙΟΛΑΟΣ.
παιδὸς μελήσει παισὶ τοῖς λελειμμένοις.
ΑΛΚΜΗΝΗ.
ἢν δ' οὖν, ὃ μὴ γένοιτο, χρήσωνται τύχῃ;
ΙΟΛΑΟΣ.
οἵδ' οὐ προδώσουσίν σε, μὴ τρέσῃς, ξένοι.
ΑΛΚΜΗΝΗ.
τοσόνδε γάρτοι θάρσος, οὐδὲν ἄλλ' ἔχω.
ΙΟΛΑΟΣ.
καὶ Ζηνὶ τῶν σῶν, οἶδ' ἐγὼ, μέλει πόνων.
ΑΛΚΜΗΝΗ.
φεῦ·
Ζεὺς ἐξ ἐμοῦ μὲν οὐκ ἀκούσεται κακῶς·
εἰ δ' ἐστὶν ὅσιος αὐτὸς οἶδεν εἰς ἐμέ.
ΘΕΡΑΠΩΝ.
ὅπλων μὲν ἤδη τήνδ' ὁρᾷς παντευχίαν,
φθάνοις δ' ἂν οὐκ ἂν τοῖσδε συγκρύπτων δέμας.
ὡς ἐγγὺς ἀγὼν, καὶ μάλιστ' Ἄρης στυγεῖ
μέλλοντας· εἰ δὲ τευχέων φοβεῖ βάρος,
νῦν μὲν πορεύου γυμνὸς, ἐν δὲ τάξεσιν
κόσμῳ πυκάζου τῷδ'· ἐγὼ δ' οἴσω τέως.
ΙΟΛΑΟΣ.
καλῶς ἔλεξας· ἀλλ' ἐμοὶ πρόχειρ' ἔχων
τεύχη κόμιζε, χειρὶ δ' ἔνθες ὀξύην,
λαιόν τ' ἔπαιρε πῆχυν, εὐθύνων πόδα.
ΘΕΡΑΠΩΝ.
ἦ παιδαγωγεῖν γὰρ τὸν ὁπλίτην χρεών;
ΙΟΛΑΟΣ.
ὄρνιθος οὕνεκ' ἀσφαλῶς πορευτέον.
ΘΕΡΑΠΩΝ.
εἴθ' ἦσθα δυνατὸς δρᾶν ὅσον πρόθυμος εἶ.
ΙΟΛΑΟΣ.
ἔπειγε· λειφθεὶς δεινὰ πείσομαι μάχης.
ΘΕΡΑΠΩΝ.
σύ τοι βραδύνεις κοὐκ ἐγὼ δοκῶν τι δρᾶν.
ΙΟΛΑΟΣ.
οὔκουν ὁρᾷς μου κῶλον ὡς ἐπείγεται;
ΘΕΡΑΠΩΝ.
ὁρῶ δοκοῦντα μᾶλλον ἢ σπεύδοντά σε.
ΙΟΛΑΟΣ.
οὐ ταὐτὰ λέξεις, ἡνίκ' ἂν λεύσσῃς μ' ἐκεῖ.
ΘΕΡΑΠΩΝ.
τί δρῶντα; βουλοίμην δ' ἂν εὐτυχοῦντά γε.
ΙΟΛΑΟΣ.
δι' ἀσπίδος θείνοντα πολεμίων τινά.
ΘΕΡΑΠΩΝ.
εἰ δήποθ' ἥξομέν γε. τοῦτο γὰρ φόβος.
ΙΟΛΑΟΣ.
φεῦ·
εἴθ', ὦ βραχίων, οἷον ἡβήσαντά σε
μεμνήμεθ' ἡμεῖς, ἡνίκα ξὺν Ἡρακλεῖ
Σπάρτην ἐπόρθεις, σύμμαχος γένοιό μοι
τοιοῦτος, οἷος ἂν τροπὴν Εὐρυσθέως
θείην· ἐπεί τοι καὶ κακὸς μένειν δόρυ.
ἔστιν δ' ἐν ὄλβῳ καὶ τόδ' οὐκ ὀρθῶς ἔχον,
εὐψυχίας δόκησις· οἰόμεσθα γὰρ
τὸν εὐτυχοῦντα πάντ' ἐπίστασθαι καλῶς.
ΧΟΡΟΣ.
γᾶ καὶ παννύχιος σελάνα
καὶ λαμπρόταται θεοῦ
φαεσίμβροτοι αὐγαὶ,
ἀγγελίαν μοι ἐνέγκατε,
ἰαχήσατε δ' οὐρανῷ
καὶ παρὰ θρόνον ἀρχέταν
γλαυκᾶς ἐν Ἀθάνας.
μέλλω τᾶς πατριώτιδος γᾶς,
μέλλω περὶ τῶν δόμων
ἱκέτας ὑποδεχθεὶς,
κίνδυνον πολιῷ τεμεῖν σιδάρῳ.
δεινὸν μὲν πόλιν ὡς Μυκήνας·
εὐδαίμονα καὶ δορὸς
πολυαίνετον ἀλκᾷ
μῆνιν ἐμᾷ χθονὶ κεύθειν·
κακὸν δ', ὦ πόλις, εἰ ξένους
ἱκτῆρας παραδώσομεν,
κελεύσιμον Ἄργος.
Ζεύς μοι ξύμμαχος, οὐ φοβοῦμαι,
Ζεύς μοι χάριν ἐνδίκως

748—758. = 759—769.

ἔχει· οὔποτε θνατῶν
ἥσσονές περ' ἂν εἶτ' ἐμοῦ φανοῦνται.
ἀλλ', ὦ πότνια, σὸν γὰρ οὖδας
γᾶς σὸν καὶ πόλις, ἇς σὺ μάτηρ
δέσποινά τε καὶ φύλαξ,
πόρευσον ἄλλᾳ τὸν οὐ δικαίως
τᾷδ' ἐπάγοντα δορύσσοντα
στρατὸν Ἀργόθεν· οὐ γὰρ ἐμᾷ γ' ἀρετᾷ
δίκαιός εἰμ' ἐκπεσεῖν μελάθρων.
ἐπεί σοι πολύθυτος ἀεὶ
τιμὰ κραίνεται, οὐδὲ λήθει
μηνῶν φθινὰς ἁμέρα,
νέων τ' ἀοιδαὶ χορῶν τε μολπαί,
ἀνεμόεντι δὲ γᾶς ὄχθῳ
ὀλολύγματα παννυχίοις ὑπὸ παρ-
θένων ἰαχεῖ ποδῶν κρότοισιν.

ΘΕΡΑΠΩΝ.

δέσποινα, μύθους σοί τε συντομωτάτους
κλύειν ἐμοί τε τῷδε καλλίστους, φέρω.
νικῶμεν ἐχθρούς, καὶ τροπαῖ' ἱδρύεται
παντευχίαν ἔχοντα πολεμίων σέθεν.

ΑΛΚΜΗΝΗ.

ὦ φίλταθ', ἥδε σ' ἡμέρα διήλασεν
ἠλευθερῶσθαι τοῖσδε τοῖς ἀγγέλμασιν.
μιᾶς δέ μ' οὔπω συμφορᾶς ἐλευθεροῖς·
φόβος γὰρ εἴ μοι ζῶσιν οὓς ἐγὼ θέλω.

ΘΕΡΑΠΩΝ.

ζῶσιν μέγιστόν γ' εὐκλεεῖς κατὰ στρατόν.

ΑΛΚΜΗΝΗ.

ὁ μὲν γέρων οὐκ ἔστιν Ἰόλεως ὅδε;

ΘΕΡΑΠΩΝ.

μάλιστα, πράξας δ' ἐκ θεῶν κάλλιστα δή.

ΑΛΚΜΗΝΗ.

τί δ' ἔστι; μῶν τι κεδνὸν ἠγωνίζετο;

ΘΕΡΑΠΩΝ.

νέος μεθέστηκ' ἐκ γέροντος αὖθις αὖ.

ΑΛΚΜΗΝΗ.

θαυμάστ' ἔλεξας· ἀλλά σ' εὐτυχῆ φίλων
μάχης ἀγῶνα πρῶτον ἀγγεῖλαι θέλω.

ΘΕΡΑΠΩΝ.

εἷς μου λόγος σοι πάντα σημαίνει τάδε·
ἐπεὶ γὰρ ἀλλήλοισιν ὁπλίτην στρατὸν
κατὰ στόμ' ἐκτείνοντες ἀντετάξαμεν,
ἐκβὰς τεθρίππων Ὕλλος ἁρμάτων πόδα,
ἔστη μέσοισιν ἐν μεταιχμίοις δορός.
κἄπειτ' ἔλεξεν, ὦ στρατήγ', ὃς Ἀργόθεν
ἥκεις, τί τήνδε γαῖαν οὐκ εἰάσαμεν;
καὶ τὰς Μυκήνας οὐδὲν ἐργάσει κακὸν
ἀνδρὸς στερήσας· ἀλλ' ἐμοὶ μόνος μόνῳ
μάχην συνάψας, ἢ κτανὼν ἄγου λαβὼν
τοὺς Ἡρακλείους παῖδας, ἢ θανὼν ἐμοὶ
τιμὰς πατρῴους καὶ δόμους ἔχειν ἄφες.
στρατὸς δ' ἐπήνεσ', ἔς τ' ἀπαλλαγὰς πόνων
καλῶς λελέχθαι μῦθον ἔς τ' εὐψυχίαν.
ὁ δ' οὔτε τοὺς κλύοντας αἰδεσθεὶς λόγων
οὔτ' αὐτὸς αὑτοῦ δειλίαν, στρατηγὸς ὤν,
ἐλθεῖν ἐτόλμησ' ἐγγὺς ἀλκίμου δορός,
ἀλλ' ἦν κάκιστος· εἶτα τοιοῦτος γεγὼς
τοὺς Ἡρακλείους ἦλθε δουλώσων γόνους.

770—776. = 777—783.

Ὕλλος μὲν οὖν ἀπῴχετ' ἐς τάξιν πάλιν·
μάντεις δ', ἐπειδὴ μονομάχου δι' ἀσπίδος
διαλλαγὰς ἔγνωσαν οὐ τελουμένας,
ἔσφαζον, οὐκ ἔμελλον, ἀλλ' ἀφίεσαν
λαιμῶν βροτείων εὐθὺς οὔριον φόνον.
οἱ δ' ἅρματ' εἰσέβαινον, οἱ δ' ὑπ' ἀσπίδων
πλευραῖς ἔκρυπτον πλεύρ'· Ἀθηναίων δ' ἄναξ
στρατῷ παρήγγελλ' οἷα χρὴ τὸν εὐγενῆ,
ὦ ξυμπολῖται, τῇ τε βοσκούσῃ χθονὶ
καὶ τῇ τεκούσῃ νῦν τιν' ἀρκέσαι χρεών.
ὁ δ' αὖ τό τ' Ἄργος μὴ καταισχῦναι θέλειν
καὶ τὰς Μυκήνας συμμάχους ἐλίσσετο.
ἐπεὶ δ' ἐσήμην' ὄρθιον Τυρσηνικῇ
σάλπιγγι, καὶ συνῆψαν ἀλλήλοις μάχην,
πόσον τιν' αὐχεῖς πάταγον ἀσπίδων βρέμειν,
πόσον τινὰ στεναγμὸν οἰμωγήν θ' ὁμοῦ;
τὰ πρῶτα μέν νυν πίτυλος Ἀργείου δορὸς
ἐρρήξαθ' ἡμᾶς· εἶτ' ἐχώρησαν πάλιν.
τὸ δεύτερον δὲ πούς ἐπαλλαχθεὶς ποδί,
ἀνὴρ δ' ἐπ' ἀνδρὶ στὰς, ἐκαρτέρει μάχῃ·
πολλοὶ δ' ἔπιπτον. ἦν δὲ δύο κελεύσματα,
ὦ τὰς Ἀθήνας, ὦ τὸν Ἀργείων γύην
σπείροντες, οὐκ ἀρήξετ' αἰσχύνην πόλει;
μόλις δὲ πάντα δρῶντες οὐκ ἄτερ πόνων
ἐτρεψάμεσθ' Ἀργεῖον ἐς φυγὴν δόρυ.
κἀνταῦθ' ὁ πρέσβυς Ὕλλον ἐξορμώμενον
ἰδὼν, ὀρέξας ἱκέτευσε δεξιὰν
Ἰόλαος ἐμβῆσαί νιν ἵππειον δίφρον.
λαβὼν δὲ χερσὶν ἡνίας Εὐρυσθέως
πώλοις ἐπεῖχε. τἀπὸ τοῦδ' ἤδη κλύων
λέγοιμ' ἂν ἄλλων, δεῦρο δ' αὐτὸς εἰσιδών.
Παλληνίδος γὰρ σεμνὸν ἐκπερῶν πάγον
δίας Ἀθάνας, ἅρμ' ἰδὼν Εὐρυσθέως,
ἠράσαθ' Ἥβῃ Ζηνί θ', ἡμέραν μίαν
νέος γενέσθαι κἀποτίσασθαι δίκην
ἐχθρούς· κλύειν δὴ θαύματος πάρεστί σοι.
δισσὼ γὰρ ἀστέρ' ἱππικοῖς ἐπὶ ζυγοῖς
σταθέντ' ἔκρυψαν ἅρμα λυγαίῳ νέφει·
σὸν δὴ λέγουσι παῖδά γ' οἱ σοφώτεροι
Ἥβην θ'· ὁ δ' ὄρφνης ἐκ δυσαιθρίου νέων
βραχιόνων ἔδειξεν ἡβητὴν τύπον.
αἱρεῖ δ' ὁ κλεινὸς Ἰόλεως Εὐρυσθέως
τέτρωρον ἅρμα πρὸς πέτραις Σκειρωνίσι.
δεσμοῖς τε δήσας χεῖρας ἀκροθίνιον
κάλλιστον ἥκει τὸν στρατηλάτην ἄγων,
τὸν ὄλβιον πάροιθε· τῇ δὲ νῦν τύχῃ
βροτοῖς ἅπασι λαμπρὰ κηρύσσει μαθεῖν,
τὸν εὐτυχεῖν δοκοῦντα μὴ ζηλοῦν, πρὶν ἂν
θανόντ' ἴδῃ τις· ὡς ἐφήμεροι τύχαι.

ΧΟΡΟΣ.

ὦ Ζεῦ τροπαῖε, νῦν ἐμοὶ δεινοῦ φόβου
ἐλεύθερον πάρεστιν ἦμαρ εἰσιδεῖν.

ΑΛΚΜΗΝΗ.

ὦ Ζεῦ, χρόνῳ μὲν τἄμ' ἐπεσκέψω κακά·
χάριν δ' ὅμως σοι τῶν πεπραγμένων ἔχω.
καὶ παῖδα τὸν ἐμὸν πρόσθεν οὐ δοκοῦσ' ἐγὼ
θεοῖς ὁμιλεῖν νῦν ἐπίσταμαι σαφῶς.
ὦ τέκνα, νῦν δὴ νῦν ἐλεύθεροι πόνων,
ἐλεύθεροι δὲ τοῦ κακῶς ὀλουμένου
Εὐρυσθέως ἔσεσθε, καὶ πόλιν πατρὸς

ὄψεσθε, κλήρους δ' ἐμβατεύσετε χθονὸς,
καὶ θεοῖς πατρῴοις θύσεθ', ὧν ἀπειργμένοι
ξένοι πλανήτην εἴχετ' ἄθλιον βίον.
ἀτὰρ τί κεύθων Ἰόλεως σοφόν ποτε
Εὐρυσθέως ἐφείσαθ' ὥστε μὴ κτανεῖν
λέξον· παρ' ἡμῖν μὲν γὰρ οὐ σοφὸν τόδε,
ἐχθροὺς λαβόντα μὴ 'ποτίσασθαι δίκην.

ΘΕΡΑΠΩΝ.

τὸ σὸν προτιμῶν, ὥς νιν ὀφθαλμοῖς ἴδοις
κρατοῦντα καὶ σῇ δεσποτούμενον χερί.
οὐ μὴν ἑκόντα γ' αὐτὸν, ἀλλὰ πρὸς βίαν
ἔζευξ' ἀνάγκῃ· καὶ γὰρ οὐκ ἐβούλετο
ζῶν ἐς σὸν ἐλθεῖν ὄμμα καὶ δοῦναι δίκην.
ἀλλ', ὦ γεραιὰ, χαῖρε, καὶ μέμνησό μοι
ὃ πρῶτον εἶπας, ἡνίκ' ἠρχόμην λόγου·
ἐλευθέρωσόν μ'· ἐν δὲ τοῖς τοιοῖσδε χρὴ
ἀψευδὲς εἶναι τοῖσι γενναίοις στόμα.

ΧΟΡΟΣ.

ἐμοὶ χορὸς μὲν ἡδὺς, εἰ λίγεια
λωτοῦ χάρις εἰνὶ δαιτί.
εἴη δ' εὔχαρις Ἀφροδίτα.
τερπνὸν δέ τι καὶ φίλων ἄρ'
εὐτυχίαν ἰδέσθαι
τῶν πάρος οὐ δοκούντων.
πολλὰ γὰρ τίκτει
Μοῖρα τελεσσιδώτειρ'
Αἰών τε Κρόνου παῖς.
ἔχεις ὁδόν τιν', ὦ πόλις, δίκαιον·
οὐ χρή ποτε τόδ' ἀφελέσθαι,
τιμᾶν θεούς· ὁ δὲ μή σε φάσκων
ἐγγὺς μανιῶν ἐλαύνει,
δεικνυμένων ἐλέγχων
τῶνδ'· ἐπίσημα γάρτοι
θεὸς παραγγέλλει,
τῶν ἀδίκων παραιρῶν
φρονήματος ἀεί.
ἔστιν ἐν οὐρανῷ βεβακὼς
τεὸς γόνος, ὦ γεραιὰ,
φεύγει λόγον ὡς τὸν Ἅιδα
δόμον κατέβα, πυρὸς
δεινᾷ φλογὶ σῶμα δαισθεὶς,
Ἥβας τ' ἐρατὸν χροΐζει
λέχος χρυσέαν κατ' αὐλάν.
ὦ Ὑμέναιε, δισσοὺς
παῖδας Διὸς ἠξίωσας.
συμφέρεται τὰ πολλὰ πολλοῖς·
καὶ γὰρ πατρὶ τῶνδ' Ἀθάναν
λέγουσ' ἐπίκουρον εἶναι,
καὶ τούσδε θεᾶς πόλις
καὶ λαὸς ἔσωσε κείνας,
ἔσχεν δ' ὕβριν ἀνδρὸς, ᾧ θυ-
μὸς ἦν πρὸ δίκας βιαίως.
μήποτ' ἐμοὶ φρόνημα
ψυχά τ' ἀκόρεστος εἴη.

ΑΓΓΕΛΟΣ.

δέσποιν', ὁρᾷς μὲν, ἀλλ' ὅμως εἰρήσεται,
Εὐρυσθέα σοι τόνδ' ἄγοντες ἥκομεν,
ἄελπτον ὄψιν, τῷδέ τ' οὐχ ἧσσον τυχεῖν·

892—900. = 901—909.
910—918. = 919—927.

οὐ γάρ ποτ' ηὔχει χεῖρας ἵξεσθαι σέθεν,
ὅτ' ἐκ Μυκηνῶν πολυπόνῳ σὺν ἀσπίδι
ἔστειχε, μείζω τῆς τύχης φρονῶν πολὺ,
πέρσων Ἀθήνας. ἀλλὰ τὴν ἐναντίαν
δαίμων ἔθηκε καὶ μετέστησεν τύχην.
Ὕλλος μὲν οὖν ὅ τ' ἐσθλὸς Ἰόλεως βρέτας
Διὸς τροπαίου καλλίνικον ἵστασαν·
ἐμοὶ δὲ πρὸς σὲ τόνδ' ἐπιστέλλουσ' ἄγειν,
τέρψαι θέλοντες σὴν φρέν'. ἐκ γὰρ εὐτυχοῦς
ἥδιστον ἐχθρὸν ἄνδρα δυστυχοῦνθ' ὁρᾶν.

ΑΛΚΜΗΝΗ.

ὦ μῖσος, ἥκεις; εἷλέ σ' ἡ Δίκη χρόνῳ;
πρῶτον μὲν οὖν μοι δεῦρ' ἐπίστρεψον κάρα,
καὶ τλῆθι τοὺς σοὺς προσβλέπειν ἐναντίον
ἐχθρούς· κρατεῖ γὰρ νῦν γε κοὐ κρατεῖς ἔτι·
ἐκεῖνος εἶ σὺ, βούλομαι γὰρ εἰδέναι,
ὃς πολλὰ μὲν τὸν ὄνθ' ὅπου 'στὶ νῦν ἐμὸν
παῖδ' ἠξίωσας, ὦ πανοῦργ', ἐφυβρίσαι;
τί γὰρ σὺ κεῖνον οὐκ ἔτλης καθυβρίσαι;
ὃς καὶ παρ' Ἅιδην ζῶντά νιν κατήγαγες,
ὕδρας λέοντάς τ' ἐξαπολλύναι λέγων
ἔπεμπες; ἄλλα δ' οἷ' ἐμηχανῶ κακὰ
σιγῶ· μακρὸς γὰρ μῦθος ἂν γένοιτό μοι.
κοὐκ ἤρκεσέν σοι ταῦτα τολμῆσαι μόνον,
ἀλλ' ἐξ ἁπάσης κἀμὲ καὶ τέκν' Ἑλλάδος
ἤλαυνες, ἱκέτας δαιμόνων καθημένους,
τοὺς μὲν γέροντας, τοὺς δὲ νηπίους ἔτι.
ἀλλ' εὗρες ἄνδρας καὶ πόλισμ' ἐλεύθερον,
οἵ σ' οὐκ ἔδεισαν. δεῖ σε κατθανεῖν κακῶς·
καὶ κερδανεῖς ἅπαντα· χρὴ γὰρ οὐχ ἅπαξ
θνήσκειν σὲ, πολλὰ πήματ' ἐξειργασμένον.

ΑΓΓΕΛΟΣ.

οὐκ ἔστ' ἀνυστὸν τόνδε σοι κατακτανεῖν.

ΑΛΚΜΗΝΗ.

ἄλλως ἄρ' αὐτὸν αἰχμάλωτον εἵλομεν.
εἴργει δὲ δὴ τίς τόνδε μὴ θανεῖν νόμος;

ΑΓΓΕΛΟΣ.

τοῖς τῆσδε χώρας προστάταισιν οὐ δοκεῖ.

ΑΛΚΜΗΝΗ.

τί δὴ τόδ'; ἐχθροὺς τοισίδ' οὐ καλὸν κτανεῖν;

ΑΓΓΕΛΟΣ.

οὐχ ὅντιν' ἄν γε ζῶνθ' ἕλωσιν ἐν μάχῃ.

ΑΛΚΜΗΝΗ.

καὶ ταῦτα δόξανθ' Ὕλλος ἐξηνέσχετο;

ΑΓΓΕΛΟΣ.

χρῆν δ' αὐτὸν, οἶμαι, τῇδ' ἀπιστῆσαι χθονί.

ΑΛΚΜΗΝΗ.

χρῆν τόνδε μὴ ζῆν μηδὲ φῶς ὁρᾶν ἔτι.

ΑΓΓΕΛΟΣ.

τότ' ἠδικήθη πρῶτον οὐ θανὼν ὅδε.

ΑΛΚΜΗΝΗ.

οὔκουν ἔτ' ἐστὶν ἐν καλῷ δοῦναι δίκην.

ΑΓΓΕΛΟΣ.

οὐκ ἔστι τοῦτον ὅστις ἂν κατακτάνοι.

ΑΛΚΜΗΝΗ.

ἔγωγε· καίτοι φημὶ κἄμ' εἶναί τινα.

ΑΓΓΕΛΟΣ.

πολλήν ἄρ' ἕξεις μέμψιν, εἰ δράσεις τόδε.

ΑΛΚΜΗΝΗ.

φιλῶ πόλιν τήνδ'· οὐδὲν ἀντιλεκτέον.

τοῦτον δ', ἐπείπερ χεῖρας ἦλθεν εἰς ἐμὰς,
οὐκ ἔστι θνητῶν ὅστις ἐξαιρήσεται.
πρὸς ταῦτα τὴν θρασεῖαν ὅστις ἂν θέλῃ
καὶ τὴν φρονοῦσαν μεῖζον ἢ γυναῖκα χρὴ
λέξει· τὸ δ' ἔργον τοῦτ' ἐμοὶ πεπράξεται.

ΧΟΡΟΣ.

δεινόν τι καὶ συγγνωστὸν, ὦ γύναι, σ' ἔχειν
νεῖκος πρὸς ἄνδρα τόνδε γιγνώσκω καλῶς.

ΕΥΡΥΣΘΕΥΣ.

γύναι, σάφ' ἴσθι μή με θωπεύσοντά σε,
μηδ' ἄλλο μηδὲν τῆς ἐμῆς ψυχῆς πέρι
λέξονθ' ὅθεν χρὴ δειλίαν ὀφλεῖν τινα.
ἐγὼ δὲ νεῖκος οὐχ ἑκὼν τόδ' ἠράμην·
ᾔδη γε σοὶ μὲν αὐτανέψιος γεγὼς,
τῷ σῷ δὲ παιδὶ συγγενὴς Ἡρακλέει.
ἀλλ' εἴτ' ἔχρῃζον εἴτε μὴ, θεὸς γὰρ ἦν,
Ἥρα με κάμνειν τήνδ' ἔθηκε τὴν νόσον.
ἐπεὶ δ' ἐκείνῳ δυσμένειαν ἠράμην
κἄγνων ἀγῶνα τόνδ' ἀγωνιούμενος,
πολλῶν σοφιστὴς πημάτων ἐγιγνόμην,
καὶ πόλλ' ἔτικτον νυκτὶ συνθακῶν ἀεὶ
ὅπως διώσας καὶ κατακτείνας ἐμοὺς
ἐχθροὺς τὸ λοιπὸν μὴ συνοικοίην φόβῳ,
εἰδὼς μὲν οὐκ ἀριθμὸν, ἀλλ' ἐτητύμως
ἄνδρ' ὄντα τὸν σὸν παῖδα· καὶ γὰρ ἐχθρὸς ὢν
ἀκούσεται τά γ' ἐσθλὰ, χρηστὸς ὢν ἀνήρ.
κείνου δ' ἀπαλλαχθέντος οὐκ ἐχρῆν μ' ἄρα,
μισούμενον πρὸς τῶνδε καὶ ξυνειδότα
ἔχθραν πατρῴαν, πάντα κινῆσαι πέτρον,
κτείνοντα κἀκβάλλοντα καὶ τεχνώμενον;
τοιαῦτα δρῶντι τἄμ' ἐγίγνετ' ἀσφαλῆ.
οὐκοῦν σύ γ' ἂν λαβοῦσα τὰς ἐμὰς τύχας
ἐχθροῦ λέοντος δυσμενῆ βλαστήματα
ἤλαυνες ἂν κακοῖσιν, ἀλλὰ σωφρόνως
εἴασας οἰκεῖν Ἄργος· οὔτιν' ἂν πίθοις.
νῦν οὖν ἐπειδή μ' οὐ διώλεσαν τότε
πρόθυμον ὄντα, τοῖσιν Ἑλλήνων νόμοις
οὐχ ἁγνός εἰμι τῷ κτανόντι κατθανών.
πόλις τ' ἀφῆκε σωφρονοῦσα, τὸν θεὸν
μεῖζον τίουσα τῆς ἐμῆς ἔχθρας πολύ.
ἃ γ' εἶπας ἀντήκουσας· ἐντεῦθεν δὲ χρὴ
τὸν προστρόπαιον τόν τε γενναῖον καλεῖν.
οὕτω γε μέντοι τἄμ' ἔχει· θανεῖν μὲν οὐ
χρῄζω, λιπὼν δ' ἂν οὐδὲν ἀχθοίμην βίον.

ΧΟΡΟΣ.

παραινέσαι σοι σμικρὸν, Ἀλκμήνη, θέλω,
τὸν ἄνδρ' ἀφεῖναι τόνδ', ἐπεὶ πόλει δοκεῖ.

ΑΛΚΜΗΝΗ.

τί δ', ἢν θάνῃ τε καὶ πόλει πειθώμεθα;

ΧΟΡΟΣ.

τὰ λῷστ' ἂν εἴη· πῶς τάδ' οὖν γενήσεται;

ΑΛΚΜΗΝΗ.

ἐγὼ διδάξω ῥᾳδίως· κτανοῦσα γὰρ
τόνδ' εἶτα νεκρὸν τοῖς μετελθοῦσιν φίλων
δώσω· τὸ γὰρ σῶμ' οὐκ ἀπιστήσω χθονί·
οὗτος δὲ δώσει τὴν δίκην θανὼν ἐμοί.

ΕΥΡΥΣΘΕΥΣ.

κτεῖν', οὐ παραιτοῦμαί σε· τὴν δὲ δὴ πόλιν,
ἐπεί μ' ἀφῆκε καὶ κατῃδέσθη κτανεῖν,
χρησμῷ παλαιῷ Λοξίου δωρήσομαι,
ὃς ὠφελήσει μεῖζον ἢ δοκεῖν χρόνῳ.
θανόντα γάρ με θάψεθ' οὗ τὸ μόρσιμον,
δίας πάροιθε παρθένου Παλληνίδος.
καὶ σοὶ μὲν εὔνους καὶ πόλει σωτήριος
μέτοικος ἀεὶ κείσομαι κατὰ χθονὸς,
τοῖς τῶνδε δ' ἐκγόνοισι πολεμιώτατος,
ὅταν μόλωσι δεῦρο σὺν πολλῇ χερὶ,
χάριν προδόντες τήνδε· τοιούτων ξένων
προὔστητε. πῶς οὖν ταῦτ' ἐγὼ πεπυσμένος
δεῦρ' ἦλθον, ἀλλ' οὐ χρησμὸν ᾐδούμην θεοῦ;
Ἥραν νομίζων θεσφάτων κρείσσω πολὺ,
κοὐκ ἂν προδοῦναί μ'. ἀλλὰ μήτε μοι χοὰς
μήθ' αἷμ' ἐάσῃς εἰς ἐμὸν στάξαι τάφον.
κακὸν γὰρ αὐτοῖς νόστον ἀντὶ τῶνδ' ἐγὼ
δώσω· διπλοῦν δὲ κέρδος ἕξετ' ἐξ ἐμοῦ,
ὑμᾶς τ' ὀνήσω τούσδε τε βλάψω θανών.

ΑΛΚΜΗΝΗ.

τί δῆτα μέλλετ', εἰ πόλει σωτηρίαν
κατεργάσασθαι τοῖσί τ' ἐξ ὑμῶν χρεὼν,
κτείνειν τὸν ἄνδρα τόνδ', ἀκούοντες τάδε;
δείκνυσι γὰρ κέλευθον ἀσφαλεστάτην.
ἐχθρὸς μὲν ἀνὴρ, ὠφελεῖ δὲ κατθανών.
κομίζετ' αὐτὸν, δμῶες, εἶτα χρὴ κυσὶ
δοῦναι κτανόντας· μὴ γὰρ ἐλπίσῃς ὅπως
αὖθις πατρῴας ζῶν ἔμ' ἐκβαλεῖς χθονός.

ΧΟΡΟΣ.

ταῦτα δοκεῖ μοι. στείχετ', ὀπαδοί.
τὰ γὰρ ἐξ ἡμῶν
καθαρῶς ἔσται βασιλεῦσιν.

# ΕΥΡΙΠΙΔΟΥ ΙΚΕΤΙΔΕΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

| | |
|---|---|
| *ΑΙΘΡΑ.* | *ΑΓΓΕΛΟΣ.* |
| *ΧΟΡΟΣ.* | *ΕΥΑΔΝΗ.* |
| *ΘΗΣΕΥΣ.* | *ΙΦΙΣ.* |
| *ΑΔΡΑΣΤΟΣ.* | *ΠΑΙΔΕΣ.* |
| *ΚΗΡΥΞ.* | *ΑΘΗΝΑ.* |

## *ΥΠΟΘΕΣΙΣ.*

* * * * *

*ἡ μὲν σκηνὴ ἐν Ἐλευσῖνι· ὁ δὲ χορὸς ἐξ Ἀργείων γυναικῶν, αἳ μητέρες ἦσαν τῶν ἐν Θήβαις πεπτωκ[ότων] ἀριστέων. τὸ δὲ δρᾶμα ἐγκώμιον Ἀθηνῶν.*

# Ι Κ Ε Τ Ι Δ Ε Σ.

*ΑΙΘΡΑ.*

*Δήμητερ ἑστιοῦχ' Ἐλευσῖνος χθονὸς*
*τῆσδ', οἵ τε ναοὺς ἔχετε πρόσπολοι θεᾶς,*
*εὐδαιμονεῖν με Θησέα τε παῖδ' ἐμὸν*
*πόλιν τ' Ἀθηνῶν τήν τε Πιτθέως χθόνα,*
*ἐν ᾗ με θρέψας ὀλβίοις ἐν δώμασιν*
*Αἴθραν πατὴρ δίδωσι τῷ Πανδίονος*
*Αἰγεῖ δάμαρτα Λοξίου μαντεύμασιν.*
*ἐς τάσδε γὰρ βλέψασ' ἐπηυξάμην τάδε*
*γραῦς, αἳ λιποῦσαι δώματ' Ἀργείας χθονὸς*
*ἱκτῆρι θαλλῷ προσπίτνουσ' ἐμὸν γόνυ,*
*πάθος παθοῦσαι δεινόν· ἀμφὶ γὰρ πύλας*
*Κάδμου θανόντων ἑπτὰ γενναίων τέκνων*
*ἄπαιδές εἰσιν, οὕς ποτ' Ἀργείων ἄναξ*
*Ἄδραστος ἤγαγ', Οἰδίπου παγκληρίας*
*μέρος κατασχεῖν φυγάδι Πολυνείκει θέλων*
*γαμβρῷ· νεκροὺς δὲ τοὺς ὀλωλότας δορὶ*
*θάψαι θέλουσι τῶνδε μητέρες χθονί·*
*εἴργουσι δ' οἱ κρατοῦντες, οὐδ' ἀναίρεσιν*
*δοῦναι θέλουσι, νόμιμ' ἀτίζοντες θεῶν.*
*κοινὸν δὲ φόρτον ταῖσδ' ἔχων χρείας ἐμῆς*
*Ἄδραστος, ὄμμα δάκρυσιν τέγγων, ὅδε*
*κεῖται, τό τ' ἔγχος τήν τε δυστυχεστάτην*
*στένων στρατείαν ἣν ἔπεμψεν ἐκ δόμων·*
*ὅς μ' ἐξοτρύνει παῖδ' ἐμὸν πεῖσαι λιταῖς*
*νεκρῶν κομιστὴν ἢ λόγοισιν ἢ δορὸς*
*ῥώμῃ γενέσθαι καὶ τάφου μεταίτιον,*
*μόνον τόδ' ἔργον προστιθεὶς ἐμῷ τέκνῳ*
*πόλει τ' Ἀθηνῶν. τυγχάνω δ' ὑπὲρ χθονὸς*
*ἀρότου προθύουσ' ἐκ δόμων ἐλθοῦσ' ἐμῶν*
*πρὸς τόνδε σηκόν, ἔνθα πρῶτα φαίνεται*
*φρίξας ὑπὲρ γῆς τῆσδε κάρπιμος στάχυς.*
*δεσμὸν δ' ἄδεσμον τόνδ' ἔχουσα φυλλάδος*
*μένω πρὸς ἁγναῖς ἐσχάραις δυοῖν θεαῖν,*
*Κόρης τε καὶ Δήμητρος, οἰκτείρουσα μὲν*
*πολιὰς ἄπαιδας τάσδε μητέρας τέκνων,*
*σέβουσα δ' ἱρὰ στέμματ'. οἴχεται δέ μοι*
*κῆρυξ πρὸς ἄστυ δεῦρο Θησέα καλῶν,*
*ὡς ἢ τὸ τούτων λυπρὸν ἐξέλῃ χθονός,*
*ἢ τάσδ' ἀνάγκας ἱκεσίους λύσῃ, θεοὺς*
*ὅσιόν τι δράσας· πάντα γὰρ δι' ἀρσένων*
*γυναιξὶ πράσσειν εἰκός, αἵτινες σοφαί.*

*ΧΟΡΟΣ.*

*ἱκετεύω σε, γεραιά, γεραρῶν ἐκ*
*στομάτων πρὸς γόνυ πίπτουσα τὸ σόν,*
*ἄνα μοι τέκνα λῦσαι φθιμένων*
*νεκύων, οἳ καταλείπουσι μέλη*
*θανάτῳ λυσιμελεῖ θηρσὶν ὀρείοισι βοράν,*
*ἐσιδοῦσ' οἰκτρὰ μὲν ὄσσων δάκρυ' ἀμφὶ*
*βλεφάροις, ῥυσὰ δὲ σαρκῶν πολιῶν*
*καταδρύμματα χειρῶν· τί γάρ; ἃ*
*φθιμένους παῖδας ἐμοὺς οὔτε δόμοις*
*προθέμαν, οὔτε τάφων χώματα γαίας ἐσορῶ.*
*ἔτεκες καὶ σύ ποτ', ὦ πότνια, κοῦρον*
*φίλα ποιησαμένα λέκτρα πόσει σῷ·*
*μέτα νυν δὸς ἐμοὶ σᾶς διανοίας,*
*μετάδος δ', ὅσσον ἐπαλγῶ μελέα τῶν φθιμένων*
*οὓς ἔτεκον·*
*παράπεισον δὲ σόν, ὃν λισσόμεθ', ἐλθεῖν*
*τέκνον Ἰσμηνόν, ἐμὰν τ' εἰς χέρα θεῖναι*
*νεκύων θαλερῶν σῶμα ταλαίνας ἄταφον·*
*ὁσίως οὔχ, ὑπ' ἀνάγκας δὲ προπίπτου-*
*σα προσαιτοῦσ' ἔμολον δεξιπύρους θεῶν*
*θυμέλας· ἔχομεν δ' ἔνδικα· καὶ σοί*
*τι πάρεστι σθένος ὥστ' εὐτεκνίᾳ δυστυχίαν τὰν*
*παρ' ἐμοὶ*
*καθελεῖν· οἰκτρὰ δὲ πάσχουσ' ἱκετεύω*
*τὸν ἐμὸν παῖδα τάλαιν' ἐν χερὶ θεῖναι*
*νέκυν ἀμφιβαλεῖν λυγρὰ μέλη παιδὸς ἐμοῦ.*
*ἀγὼν ὅδ' ἄλλος ἔρχεται γόων γόοις*
*διάδοχος· ἀχοῦσιν προπόλων χέρες.*
*ἴτ' ὦ ξυνῳδοὶ κακοῖς,*
*ἴτ' ὦ ξυναλγηδόνες,*
*χορὸν, τὸν Ἅιδας σέβει,*
*διὰ παρῆδος ὄνυχα λευκὸν*
*αἱματοῦτε χρῶτά τε φόνιον·*
*τὰ γὰρ φθιτῶν τοῖς ὁρῶσι κόσμος.*
*ἄπληστος ἅδε μ' ἐξάγει χάρις γόων*
*πολύπονος, ὡς ἐξ ἀλιβάτου πέτρας*
*ὑγρὰ ῥέουσα σταγὼν,*
*ἄπαυστος ἀεὶ γόων·*
*τὸ γὰρ θανόντων τέκνων*
*ἐπίπονόν τι κατὰ γυναῖκας*
*εἰς γόους πέφυκε πάθος. ἒ ἔ·*
*θανοῦσα τῶνδ' ἀλγέων λαθοίμαν.*

*ΘΗΣΕΥΣ.*

*τίνων γόων ἤκουσα καὶ στέρνων κτύπον*
*νεκρῶν τε θρήνους, τῶνδ' ἀνακτόρων ἄπο*
*ἠχοῦς ἰούσης; ὡς φόβος μ' ἀναπτεροῖ*
*μή μοί τι μήτηρ, ἣν μεταστείχω ποδὶ*
*χρονίαν ἀποῦσαν ἐκ δόμων, ἔχῃ νέον.*
*ἔα.*
*τί χρῆμα; καινὰς ἐσβολὰς ὁρῶ λόγων,*
*μητέρα γεραιὰν βωμίαν ἐφημένην,*
*ξένους θ' ὁμοῦ γυναῖκας, οὐχ ἕνα ῥυθμὸν*
*κακῶν ἐχούσας· ἔκ τε γὰρ γερασμίων*
*ὄσσων ἐλαύνουσ' οἰκτρὸν ἐς γαῖαν δάκρυ,*
*κουραὶ δὲ καὶ πεπλώματ' οὐ θεωρικά.*
*τί ταῦτα, μῆτερ; σὸν τὸ μηνύειν ἐμοί,*
*ἡμῶν δ' ἀκούειν· προσδοκῶ τι γὰρ νέον.*

42—47. == 48—54.
55—62. == 63—70.
71—78. == 79—86.

ΑΙΘΡΑ.
ὦ παῖ, γυναῖκες αἵδε μητέρες τέκνων,
τῶν κατθανόντων ἀμφὶ Καδμείας πύλας
ἑπτὰ στρατηγῶν. ἱκεσίοις δὲ σὺν κλάδοις
φρουροῦσί μ', ὡς δέδορκας, ἐν κύκλῳ, τέκνον.
ΘΗΣΕΥΣ.
τίς δ' ὁ στενάζων οἰκτρὸν ἐν πύλαις ὅδε;
ΑΙΘΡΑ.
Ἄδραστος, ὡς λέγουσιν, Ἀργείων ἄναξ.
ΘΗΣΕΥΣ.
οἱ δ' ἀμφὶ τόνδε παῖδες ἢ τούτου τέκνα;
ΑΙΘΡΑ.
οὔκ, ἀλλὰ νεκρῶν τῶν ὀλωλότων κόροι.
ΘΗΣΕΥΣ.
τί γὰρ πρὸς ἡμᾶς ἦλθον ἱκεσίᾳ χερί;
ΑΙΘΡΑ.
οἶδ'· ἀλλὰ τῶνδε μῦθος οὑντεῦθεν, τέκνον.
ΘΗΣΕΥΣ.
σὲ τὸν κατήρη χλανιδίοις ἀνιστορῶ.
λέγ' ἐκκαλύψας κρᾶτα καὶ πάρες γόον·
πέρας γὰρ οὐδὲν μὴ διὰ γλώσσης ἰόν.
ΑΔΡΑΣΤΟΣ.
ὦ καλλίνικε γῆς Ἀθηναίων ἄναξ,
Θησεῦ, σὸς ἱκέτης καὶ πόλεως ἥκω σέθεν.
ΘΗΣΕΥΣ.
τί χρῆμα θηρῶν, καὶ τίνος χρείαν ἔχων;
ΑΔΡΑΣΤΟΣ.
οἶσθ' ἣν στρατείαν ἐστράτευσ' ὀλεθρίαν;
ΘΗΣΕΥΣ.
οὐ γάρ τι σιγῇ διεπέρασας Ἑλλάδα.
ΑΔΡΑΣΤΟΣ.
ἐνταῦθ' ἀπώλεσ' ἄνδρας Ἀργείων ἄκρους.
ΘΗΣΕΥΣ.
τοιαῦθ' ὁ τλήμων πόλεμος ἐξεργάζεται.
ΑΔΡΑΣΤΟΣ.
τούτους θανόντας ἦλθον ἐξαιτῶν πόλιν.
ΘΗΣΕΥΣ.
κήρυξιν Ἑρμοῦ πίσυνος, ὡς θάψῃς νεκρούς;
ΑΔΡΑΣΤΟΣ.
κἄπειτά γ' οἱ κτανόντες οὐκ ἐῶσί με.
ΘΗΣΕΥΣ.
τί γὰρ λέγουσιν, ὅσια χρῄζοντος σέθεν;
ΑΔΡΑΣΤΟΣ.
τί δ'; εὐτυχοῦντες οὐκ ἐπίστανται φέρειν.
ΘΗΣΕΥΣ.
ξύμβουλον οὖν μ' ἐπῆλθες; ἢ τίνος χάριν;
ΑΔΡΑΣΤΟΣ.
κομίσαι σε, Θησεῦ, παῖδας Ἀργείων θέλων.
ΘΗΣΕΥΣ.
τὸ δ' Ἄργος ὑμῖν ποῦ 'στιν; ἢ κόμποι μάτην;
ΑΔΡΑΣΤΟΣ.
σφαλέντες οἰχόμεσθα. πρὸς σὲ δ' ἥκομεν.
ΘΗΣΕΥΣ.
ἰδίᾳ δοκῆσάν σοι τόδ' ἢ πάσῃ πόλει;
ΑΔΡΑΣΤΟΣ.
πάντες σ' ἱκνοῦνται Δαναΐδαι θάψαι νεκρούς.
ΘΗΣΕΥΣ.
ἐκ τοῦ δ' ἐλαύνεις ἑπτὰ πρὸς Θήβας ὄχους;
ΑΔΡΑΣΤΟΣ.
δισσοῖσι γαμβροῖς τήνδε πορσύνων χάριν.
ΘΗΣΕΥΣ.
τῷ δ' ἐξέδωκας παῖδας Ἀργείων σέθεν;
ΑΔΡΑΣΤΟΣ.
οὐκ ἐγγενῆ ξυνῆψα κηδείαν δόμοις.
ΘΗΣΕΥΣ.
ἀλλὰ ξένοις ἔδωκας Ἀργείας κόρας;
ΑΔΡΑΣΤΟΣ.
Τυδῆι Πολυνείκει τε τῷ Θηβαγενεῖ.
ΘΗΣΕΥΣ.
τίν' εἰς ἔρωτα τῆσδε κηδείας μολών;
ΑΔΡΑΣΤΟΣ.
Φοίβου μ' ὑπῆλθε δυστόπαστ' αἰνίγματα.
ΘΗΣΕΥΣ.
τί δ' εἶπ' Ἀπόλλων, παρθένοις κραίνων γάμον;
ΑΔΡΑΣΤΟΣ.
κάπρῳ με δοῦναι καὶ λέοντι παῖδ' ἐμώ.
ΘΗΣΕΥΣ.
σὺ δ' ἐξελίσσεις πῶς θεοῦ θεσπίσματα;
ΑΔΡΑΣΤΟΣ.
ἐλθόντε φυγάδε νυκτὸς εἰς ἐμὰς πύλας,
ΘΗΣΕΥΣ.
τίς καὶ τίς εἰπέ· δύο γὰρ ἐξαυδᾷς ἅμα.
ΑΔΡΑΣΤΟΣ.
Τυδεὺς μάχην ξυνῆψε Πολυνείκης θ' ἅμα.
ΘΗΣΕΥΣ.
ἦ τοῖσδ' ἔδωκας θηρσὶν ὡς κόρας σέθεν;
ΑΔΡΑΣΤΟΣ.
μάχην γε δισσοῖν κνωδάλοιν ἀπεικάσας.
ΘΗΣΕΥΣ.
ἦλθον δὲ δὴ πῶς πατρίδος ἐκλιπόνθ' ὅρους;
ΑΔΡΑΣΤΟΣ.
Τυδεὺς μὲν αἷμα συγγενὲς φεύγων χθονός.
ΘΗΣΕΥΣ.
ὁ δ' Οἰδίπου παῖς τίνι τρόπῳ Θήβας λιπών;
ΑΔΡΑΣΤΟΣ.
ἀραῖς πατρῴαις, μὴ κασίγνητον κτάνῃ.
ΘΗΣΕΥΣ.
σοφήν γ' ἔλεξας τήν γ' ἑκούσιον φυγήν.
ΑΔΡΑΣΤΟΣ.
ἀλλ' οἱ μένοντες τοὺς ἀπόντας ἠδίκουν.
ΘΗΣΕΥΣ.
ἦ πού σφ' ἀδελφὸς χρημάτων νοσφίζεται;
ΑΔΡΑΣΤΟΣ.
ταῦτ' ἐκδικάζων ἦλθον, εἶτ' ἀπωλόμην.
ΘΗΣΕΥΣ.
μάντεις δ' ἐπῆλθες ἐμπύρων τ' εἶδες φλόγα;
ΑΔΡΑΣΤΟΣ.
οἴμοι· διώκεις μ' ᾗ μάλιστ' ἐγὼ 'σφάλην.
ΘΗΣΕΥΣ.
οὐκ ἦλθες, ὡς ἔοικεν, εὐνοίᾳ θεῶν.
ΑΔΡΑΣΤΟΣ.
τί δὲ πλέον; ἦλθον Ἀμφιάρεώ γε πρὸς βίαν.
ΘΗΣΕΥΣ.
οὕτω τὸ θεῖον ῥᾳδίως ἀπεστράφης;
ΑΔΡΑΣΤΟΣ.
νέων γὰρ ἀνδρῶν θόρυβος ἐξέπλησσέ με.
ΘΗΣΕΥΣ.
εὐψυχίαν ἔσπευσας ἀντ' εὐβουλίας,
ὃ δὴ γε πολλοὺς ὤλεσε στρατηλάτας.

ΑΔΡΑΣΤΟΣ.

ἀλλ' ὦ καθ' Ἑλλάδ' ἀλκιμώτατον κάρα,
ἄναξ Ἀθηνῶν ἐν μὲν αἰσχύναις ἔχω
πίτνων πρὸς οὖδας γόνυ σὸν ἀμπίσχειν χερί,
πολιὸς ἀνὴρ τύραννος εὐδαίμων πάρος·
ὅμως δ' ἀνάγκη συμφοραῖς εἴκειν ἐμαῖς.
σῶσον νεκρούς μοι, τἀμά τ' οἰκτείρας κακὰ
καὶ τῶν θανόντων τάσδε μητέρας τέκνων,
αἷς γῆρας ἥκει πολιὸν εἰς ἀπαιδίαν,
ἐλθεῖν δ' ἔτλησαν δεῦρο καὶ ξένον πόδα
θεῖναι, μόλις γεραιὰ κινοῦσαι μέλη,
πρεσβεύματ' οὐ Δήμητρος ἐς μυστήρια,
ἀλλ' ὡς νεκροὺς θάψωσιν, ὧν αὐτὰς ἐχρῆν
κείνων ταφείσας χερσὶν ὡραίων τυχεῖν.
σοφὸν δὲ πενίαν τ' εἰσορᾶν τὸν ὄλβιον,
πένητά τ' ἐς τοὺς πλουσίους ἀποβλέπειν
ζηλοῦνθ', ἵν' αὐτὸν χρημάτων ἔρως ἔχῃ,
τά τ' οἰκτρὰ τοὺς μὴ δυστυχεῖς δεδορκέναι·
τόν θ' ὑμνοποιὸν αὐτὸς ἂν τίκτῃ μέλη
χαίροντα τίκτειν· ἢν δὲ μὴ πάσχῃ τόδε,
οὔτοι δύναιτ' ἂν οἴκοθέν γ' ἀτώμενος
τέρπειν ἂν ἄλλους· οὐδὲ γὰρ δίκην ἔχει.
τάχ' οὖν ἂν εἴποις, Πελοπίαν παρεὶς χθόνα
πῶς ταῖς Ἀθήναις τόνδε προστάσσεις πόνον;
ἐγὼ δίκαιός εἰμ' ἀφηγεῖσθαι τάδε.
Σπάρτη μὲν ὠμὴ καὶ πεποίκιλται τρόπους·
τὰ δ' ἄλλα μικρὰ κἀσθενῆ. πόλις δὲ σὴ
μόνη δύναιτ' ἂν τόνδ' ὑποστῆναι πόνον·
τά τ' οἰκτρὰ γὰρ δέδορκε καὶ νεανίαν
ἔχει σὲ ποιμέν' ἐσθλόν· οὗ χρείᾳ πόλεις
πολλαὶ διώλοντ' ἐνδεεῖς στρατηλάτου.

ΧΟΡΟΣ.

κἀγὼ τὸν αὐτὸν τῷδέ σοι λόγον λέγω,
Θησεῦ, δι' οἴκτου τὰς ἐμὰς λαβεῖν τύχας.

ΘΗΣΕΥΣ.

ἄλλοισι δὴ 'πόνησ' ἁμιλληθεὶς λόγῳ
τοιῷδ'. ἔλεξε γάρ τις ὡς τὰ χείρονα
πλείω βροτοῖσίν ἐστι τῶν ἀμεινόνων.
ἐγὼ δὲ τούτοις ἀντίαν γνώμην ἔχω,
πλείω τὰ χρηστὰ τῶν κακῶν εἶναι βροτοῖς.
εἰ μὴ γὰρ ἦν τόδ', οὐκ ἂν ἦμεν ἐν φάει.
αἰνῶ δ' ὃς ἡμῖν βίοτον ἐκ πεφυρμένου
καὶ θηριώδους θεῶν διεσταθμήσατο,
πρῶτον μὲν ἐνθεὶς σύνεσιν, εἶτα δ' ἄγγελον
γλῶσσαν λόγων δούς, ὥστε γιγνώσκειν ὄπα,
τροφήν τε καρποῦ, τῇ τροφῇ τ' ἀπ' οὐρανοῦ
σταγόνας ὑδρηλάς, ὡς τά τ' ἐκ γαίας τρέφῃ
ἄρδῃ τε νηδύν· πρὸς δὲ τοῖσι χείματος
προβλήματ', αἶθόν τ' ἐξαμύνασθαι θεοῦ,
πόντου τε ναυστολήμαθ', ὡς διαλλαγὰς
ἔχοιμεν ἀλλήλοισιν ὧν πένοιτο γῆ.
ἃ δ' ἔστ' ἄσημα κοὐ σαφῶς γιγνώσκομεν,
ἐς πῦρ βλέποντες καὶ κατὰ σπλάγχνων πτύχας
μάντεις προσημαίνουσιν οἰωνῶν τ' ἄπο.
ἆρ' οὐ τρυφῶμεν, θεοῦ κατασκευὴν βίῳ
δόντος τοιαύτην, οἷσιν οὐκ ἀρκεῖ τάδε;
ἀλλ' ἡ φρόνησις τοῦ θεοῦ μεῖζον σθένειν
ζητεῖ, τὸ γαῦρον δ' ἐν φρεσὶν κεκτημένοι
δοκοῦμεν εἶναι δαιμόνων σοφώτεροι.
ἧς καὶ σὺ φαίνει δεκάδος, οὐ σοφὸς γεγώς,
ὅστις κόρας μὲν θεσφάτοις Φοίβου ζυγεὶς
ξένοισιν ὧδ' ἔδωκας, ὡς ζώντων θεῶν,
λαμπρὸν δὲ θολερῷ δῶμα συμμίξας τὸ σὸν
ἥλκωσας οἴκους· χρῆν γὰρ οὔτε σώματα
ἄδικα δικαίοις τὸν σοφὸν συμμιγνύναι,
εὐδαιμονοῦντας δ' ἐς δόμους κτᾶσθαι φίλους.
κοινὰς γὰρ ὁ θεὸς τὰς τύχας ἡγούμενος,
τοῖς τοῦ νοσοῦντος πήμασιν διώλεσε
τὸν οὐ νοσοῦντα κοὐδὲν ἠδικηκότα.
ἐς δὲ στρατείαν πάντας Ἀργείους ἄγων,
μάντεων λεγόντων θέσφατ', εἶτ' ἀτιμάσας
βίᾳ παρελθὼν θεοὺς ἀπώλεσας πόλιν,
νέοις παραχθείς, οἵτινες τιμώμενοι
χαίρουσι, πολέμους τ' αὐξάνουσ' ἄνευ δίκης,
φθείροντες ἀστούς, ὁ μὲν ὅπως στρατηλατῇ,
ὁ δ' ὡς ὑβρίζῃ δύναμιν ἐς χεῖρας λαβών,
ἄλλος δὲ κέρδους οὕνεκ', οὐκ ἀποσκοπῶν
τὸ πλῆθος εἴ τι βλάπτεται πάσχον τάδε.
τρεῖς γὰρ πολιτῶν μερίδες· οἱ μὲν ὄλβιοι
ἀνωφελεῖς τε πλειόνων τ' ἐρῶσ' ἀεί·
οἱ δ' οὐκ ἔχοντες καὶ σπανίζοντες βίου,
δεινοί, νέμοντες τῷ φθόνῳ πλεῖον μέρος,
ἐς τοὺς ἔχοντας κέντρ' ἀφιᾶσιν κακά,
γλώσσαις πονηρῶν προστατῶν φηλούμενοι·
τριῶν δὲ μοιρῶν ἡ 'ν μέσῳ σώζει πόλεις,
κόσμον φυλάσσουσ' ὅντιν' ἂν τάξῃ πόλις.
κἄπειτ' ἐγώ σοι ξύμμαχος γενήσομαι;
τί πρὸς πολίτας τοὺς ἐμοὺς λέγων καλόν;
χαίρων ἴθ'. εἰ γὰρ μὴ βεβούλευσαι καλῶς
* * * *
αὐτός, πιέζειν τὴν τύχην ἡμᾶς λίαν.

ΧΟΡΟΣ.

ἥμαρτεν. ἐν νέοισι δ' ἀνθρώπων τόδε
ἔνεστι· συγγνώμην δὲ τῷδ' ἔχειν χρεών.
ἀλλ' ὡς ἰατρὸν τῶνδ', ἄναξ, ἀφίγμεθα.

ΑΔΡΑΣΤΟΣ.

οὔτοι δικαστήν σ' εἱλόμην ἐμῶν κακῶν,
οὐδ', εἴ τι πράξας μὴ καλῶς εὑρίσκομαι,
τούτων κολαστὴν κἀπιτιμητήν, ἄναξ,
ἀλλ' ὡς ὀναίμην. εἰ δὲ μὴ βούλει τάδε,
στέργειν ἀνάγκη τοῖσι σοῖς· τί γὰρ πάθω;
ἄγ', ὦ γεραιαί, στείχετε, γλαυκὴν χλόην
αὐτοῦ λιποῦσαι φυλλάδος καταστεφῆ,
θεούς τε καὶ γῆν τήν τε πυρφόρον θεὰν
Δήμητρα θέμεναι μάρτυρ' ἡλίου τε φῶς,
ὡς οὐδὲν ἡμῖν ἤρκεσαν λιταὶ θεῶν.

ΧΟΡΟΣ.

* * * *
ὃς Πέλοπος ἦν παῖς, Πελοπίας δ' ἡμεῖς χθονὸς
ταυτὸν πατρῷον αἷμα σοὶ κεκτήμεθα.
τί δρᾷς; προδώσεις ταῦτα, κἀκβαλεῖς χθονὸς
γραῦς, οὐ τυχούσας οὐδὲν ὧν αὐτὰς ἐχρῆν;
μὴ δῆτ'· ἔχει γὰρ καταφυγὴν θὴρ μὲν πέτραν,
δοῦλος δὲ βωμοὺς θεῶν, πόλις δὲ πρὸς πόλιν
ἔπτηξε χειμασθεῖσα· τῶν γὰρ ἐν βροτοῖς
οὐκ ἔστιν οὐδὲν διὰ τέλους εὐδαιμονοῦν.
βᾶθι, τάλαιν', ἱερῶν δαπέδων ἄπο Περσεφονείας,
βᾶθι καὶ ἀντίασον γονάτων, ἔπι χεῖρα βαλοῦσα,
τέκνων τεθνεώτων κομίσαι δέμας, ὦ μελέα 'γώ,

271—274. == 282—285.

οὓς ὑπὸ τείχεσι Καδμείοισιν ἀπώλεσα κούρους.
ἰώ μοι· λάβετε, φέρετε, πέμπετ, ἀείρετε
ταλαίνας χερὸς γεραιᾶς.
πρός σε γενειάδος, ὦ φίλος, ὦ δοκιμώτατος
Ἑλλάδι,
ἄντομαι, ἀμφιπίτνουσα τὸ σὸν γόνυ καὶ χέρα
δειλαία·
οἴκτισαι ἀμφὶ τέκνων μ' ἱκέταν,
ἤ τιν' ἀλάταν, οἰκτρὸν ἰήλεμον οἰκτρὸν ἱεῖσαν,
μηδ' ἀτάφους, τέκνον, ἐν χθονὶ Κάδμου χάρ-
ματα θηρῶν
παῖδας ἐν ἡλικίᾳ τᾷ σᾷ κατίδῃς, ἱκετεύω.
βλέψον ἐμῶν βλεφάρων ἔπι δάκρυον, ἃ περὶ
σοῖσι
γούνασιν ὧδε πίτνω, τέκνοις τάφον ἐξανύσασθαι.

ΘΗΣΕΥΣ.

μῆτερ, τί κλαίεις, λέπτ' ἐπ' ὀμμάτων φάρη
βαλοῦσα τῶν σῶν; ἆρα δυστήνους γόους
κλύουσα τῶνδε; κἀμὲ γὰρ διῆλθέ τι.
ἔπαιρε λευκὸν κρᾶτα, μὴ δακρυρρόει,
σεμναῖσι Δηοῦς ἐσχάραις παρημένη.

ΑΙΘΡΑ.

αἰαῖ.

ΘΗΣΕΥΣ.

τὰ τούτων οὐχὶ σοὶ στενακτέον.

ΑΙΘΡΑ.

ὦ τλήμονες γυναῖκες.

ΘΗΣΕΥΣ.

οὐ σὺ τῶνδ' ἔφυς.

ΑΙΘΡΑ.

εἴπω τι, τέκνον, σοί τε καὶ πόλει καλόν;

ΘΗΣΕΥΣ.

ὡς πολλά γ' ἐστὶ κἀπὸ θηλειῶν σοφά.

ΑΙΘΡΑ.

ἀλλ' εἰς ὄκνον μοι μῦθος ὃν κεύθω φέρει.

ΘΗΣΕΥΣ.

αἰσχρόν γ' ἔλεξας, χρήστ' ἐπικρύπτειν φίλους.

ΑΙΘΡΑ.

οὔτοι σιωπῶσ' εἶτα μέμψομαί ποτε
τὴν νῦν σιωπὴν ὡς ἐσιγήθη κακῶς,
οὐδ' ὡς ἀχρεῖον τὰς γυναῖκας εὖ λέγειν
δείσασ' ἀφήσω τῷ φόβῳ τοὐμὸν καλόν.
ἔγωγέ σ', ὦ παῖ, πρῶτα μὲν τὰ τῶν θεῶν
σκοπεῖν κελεύω μὴ σφαλῇς ἀτιμάσας·
σφάλλει γὰρ ἐν τούτῳ μόνῳ, τἄλλ' εὖ φρονῶν.
πρὸς τοῖσδε δ', εἰ μὲν μὴ 'δικουμένοις ἐχρῆν
τολμηρὸν εἶναι, κάρτ' ἂν εἶχον ἡσύχως·
νυνὶ δὲ σοί τε τοῦτο τὴν τιμὴν φέρει,
κἀμοὶ παραινεῖν οὐ φόβον φέρει, τέκνον,
ἄνδρας βιαίους καὶ κατείργοντας νεκροὺς
τάφου τε μοίρας καὶ κτερισμάτων λαχεῖν,
ἐς τήνδ' ἀνάγκην σῇ καταστῆσαι χερὶ,
νόμιμά τε πάσης συγχέοντας Ἑλλάδος
παῦσαι· τὸ γάρ τοι συνέχον ἀνθρώπων πόλεις
τοῦτ' ἔσθ', ὅταν τις τοὺς νόμους σώζῃ καλῶς.
ἐρεῖ δὲ δή τις ὡς ἀνανδρίᾳ χερῶν,
πόλει παρόν σοι στέφανον εὐκλείας λαβεῖν,
δείσας ἀπέστης, καὶ συὸς μὲν ἀγρίου
ἀγῶνος ἥψω, φαῦλον ἀθλήσας πόνον,
οὗ δ' ἐς κράνος βλέψαντα καὶ λόγχης ἀκμὴν
χρῆν ἐκπονῆσαι, δειλὸς ὢν ἐφευρέθης.
μὴ δῆτ' ἐμός γ' ὤν, ὦ τέκνον, δράσῃς τάδε.
ὁρᾷς, ἄβουλος ὡς κεκερτομημένη
τοῖς κερτομοῦσι γοργὸν ὡς ἀναβλέπει
σὴ πατρίς; ἐν γὰρ τοῖς πόνοισιν αὔξεται.
αἱ δ' ἥσυχοι σκοτεινὰ πράσσουσαι πόλεις
σκοτεινὰ καὶ βλέπουσιν εὐλαβούμεναι.
οὐκ εἶ νεκροῖσι καὶ γυναιξὶν ἀθλίαις
προσωφελήσων, ὦ τέκνον, κεχρημέναις;
ὡς οὔτε ταρβῶ σὺν δίκῃ σ' ὁρμώμενον,
Κάδμου θ' ὁρῶσα λαὸν εὖ πεπραγότα,
ἔτ' αὐτὸν ἄλλα βλήματ' ἐν κύβοις βαλεῖν
πέποιθ'· ὁ γὰρ θεὸς πάντ' ἀναστρέφει πάλιν.

ΧΟΡΟΣ.

ὦ φιλτάτη μοι, τῷδέ τ' εἴρηκας καλῶς
κἀμοί· διπλοῦν δὲ χάρμα γίγνεται τόδε.

ΘΗΣΕΥΣ.

ἐμοὶ λόγοι μὲν, μῆτερ, οἱ λελεγμένοι
ὀρθῶς ἔχουσ' ἐς τόνδε, κἀπεφηνάμην
γνώμην ὑφ' οἵων ἐσφάλη βουλευμάτων·
ὁρῶ δὲ κἀγὼ ταῦθ' ἅπερ με νουθετεῖς,
ὡς τοῖς ἐμοῖσιν οὐχὶ πρόσφορον τρόποις
φεύγειν τὰ δεινά. πολλὰ γὰρ δράσας καλὰ,
ἔθος τόδ' εἰς Ἕλληνας ἐξελεξάμην,
ἀεὶ κολαστὴς τῶν κακῶν καθεστάναι.
οὔκουν ἀπαυδᾶν δυνατόν ἐστί μοι πόνους.
τί γάρ μ' ἐροῦσιν οἵ γε δυσμενεῖς βροτῶν,
ὅθ' ἡ τεκοῦσα χὐπερορρωδοῦσ' ἐμοῦ
πρώτη κελεύεις τόνδ' ὑποστῆναι πόνον;
δράσω τάδ' εἶμι, καὶ νεκροὺς ἐκλύσομαι,
λόγοισι πείσας· εἰ δὲ μὴ, βίᾳ δορὸς
ἤδη τόδ' ἔσται, κοὐχὶ σὺν φθόνῳ θεῶν.
δόξαι δὲ χρήζω καὶ πόλει πάσῃ τάδε.
δόξει δ', ἐμοῦ θέλοντος· ἀλλὰ τοῦ λόγου
προσδοὺς ἔχοιμ' ἂν δῆμον εὐμενέστερον.
καὶ γὰρ κατέστησ' αὐτὸν ἐς μοναρχίαν,
ἐλευθερώσας τήνδ' ἰσόψηφον πόλιν.
λαβὼν δ' Ἄδραστον δεῖγμα τῶν ἐμῶν λόγων
ἐς πλῆθος αὐτῶν εἶμι· καὶ πείσας τάδε,
λεκτοὺς ἀθροίσας δεῦρ' Ἀθηναίων κόρους
ἥξω· παρ' ὅπλοις θ' ἥμενος πέμψω λόγους
Κρέοντι, νεκρῶν σώματ' ἐξαιτούμενος.
ἀλλ', ὦ γεραιαὶ, σέμν' ἀφαιρεῖτε στέφη
μητρὸς, πρὸς οἴκους ὡς νιν Αἰγέως ἄγω,
φίλην προσάψας χεῖρα· τοῖς τεκοῦσι γὰρ
δύστηνος, ὅστις μὴ 'ντιδουλεύει τέκνων·
κάλλιστον ἔρανον δοὺς γὰρ ἀντιλάζυται
παίδων παρ' αὐτοῦ τοιάδ', ἂν τοκεῦσι δῷ.

ΧΟΡΟΣ.

ἱππόβοτον Ἄργος, ὦ πάτριον ἐμὸν πέδον,
ἐκλύετε τάδε γ' ἐκλύετ' ἄνακτος
ὅσια περὶ θεοὺς καὶ μεγάλα Πελασγίᾳ καὶ
Ἄργος.
εἰ γὰρ ἔπι τέρμα καὶ τὸ πλέον ἐμῶν κακῶν
ἱκόμενος ἔτι ματέρος ἄγαλμα
φόνιον ἐξέλοι, γᾶν δὲ φίλαν τὰν Ἰνάχου
ὀνήσας.
καλὸν δ' ἄγαλμα πόλεσιν εὐσεβὴς πόνος,

365 — 368. == 369 — 372.
373 — 376. == 377 — 380.

χάριν τ' ἔχει ταν ἐσαεί.
τί μοι πόλις κρανεῖ ποτ'; ἆρα φίλιά μοι
τεμεῖ καὶ τέκνοις ταφὰς ληψόμεσθα;
ἄμυνε ματρὶ, πόλις, ἄμυνε, Παλλάδος,
νόμους βροτῶν μὴ μιαίνειν.
σύ τοι σέβεις δίκαν, τὸ δ' ἧσσον ἀδικίᾳ
νέμεις, τόν τε δυστυχῆ πάντα ῥύει.

ΘΗΣΕΥΣ.

τέχνην μὲν ἀεὶ τήνδ' ἔχων ὑπηρετεῖς
πόλει τε κἀμοὶ, διαφέρων κηρύγματα·
ἐλθὼν δ' ὑπέρ τ' Ἀσωπὸν Ἰσμηνοῦ θ' ὕδωρ
σεμνῷ τυράννῳ φράζε Καδμείων τάδε·
Θησεύς σ' ἀπαιτεῖ πρὸς χάριν θάψαι νεκροὺς,
συγγείτον' οἰκῶν γαῖαν, ἀξιῶν τυχεῖν,
φίλον τε θέσθαι πάντ' Ἐρεχθειδῶν λεών.
κἂν μὲν θέλωσιν αἰνέσαι, παλίσσυτος
στεῖχ', ἢν δ' ἀπιστῶσ', οἵδε δεύτεροι λόγοι,
κῶμον δέχεσθαι τὸν ἐμὸν ἀσπιδηφόρον·
στρατὸς δὲ θάσσει κἀξετάζεται παρὼν
Καλλίχορον ἀμφὶ σεμνὸν εὐτρεπὴς ὅδε.
καὶ μὴν ἑκοῦσά γ' ἀσμένη τ' ἐδέξατο
πόλις πόνον τόνδ', ὡς θέλοντά μ' ᾔσθετο.
ἔα· λόγων τίς ἐμποδὼν ὅδ' ἔρχεται;
Καδμεῖος, ὡς ἔοικεν οὐ σάφ' εἰδότι,
κῆρυξ. ἐπίσχες, ἤν σ' ἀπαλλάξῃ πόνου·
μολὼν δ' ὑπαντᾷ τοῖς ἐμοῖς βουλεύμασιν.

ΚΗΡΥΞ.

τίς γῆς τύραννος; πρὸς τίν' ἀγγεῖλαί με χρὴ
λόγους Κρέοντος, ὃς κρατεῖ Κάδμου χθονὸς,
Ἐτεοκλέους θανόντος ἀμφ' ἑπταστόμους
πύλας ἀδελφοῦ χειρὶ Πολυνείκους ὕπο;

ΘΗΣΕΥΣ.

πρῶτον μὲν ἤρξω τοῦ λόγου ψευδῶς, ξένε,
ζητῶν τύραννον ἐνθάδ'. οὐ γὰρ ἄρχεται
ἑνὸς πρὸς ἀνδρὸς, ἀλλ' ἐλευθέρα πόλις.
δῆμος δ' ἀνάσσει διαδοχαῖσιν ἐν μέρει
ἐνιαυσίαισιν, οὐχὶ τῷ πλούτῳ διδοὺς
τὸ πλεῖστον, ἀλλὰ χὠ πένης ἔχων ἴσον.

ΚΗΡΥΞ.

ἓν μὲν τόδ' ἡμῖν, ὥσπερ ἐν πεσσοῖς, δίδως
κρεῖσσον· πόλις γὰρ ἧς ἐγὼ πάρειμ' ἄπο
ἑνὸς πρὸς ἀνδρὸς, οὐκ ὄχλῳ, κρατύνεται·
οὐδ' ἔστιν αὐτὴν ὅστις ἐκχαυνῶν λόγοις
πρὸς κέρδος ἴδιον ἄλλος ἄλλοσε στρέφει.
ὁ δ' αὐτίχ' ἡδὺς καὶ διδοὺς πολλὴν χάριν
ἐσαῦθις ἔβλαψ', εἶτα διαβολαῖς νέαις
κλέψας τὰ πρόσθε σφάλματ' ἐξέδυ δίκης.
ἄλλως τε πῶς ἂν μὴ διορθεύων λόγους
ὀρθῶς δύναιτ' ἂν δῆμος εὐθύνειν πόλιν;
ὁ γὰρ χρόνος μάθησιν ἀντὶ τοῦ τάχους
κρείσσω δίδωσι. γαπόνος δ' ἀνὴρ πένης,
εἰ καὶ γένοιτο μὴ 'μαθὴς, ἔργων ὕπο
οὐκ ἂν δύναιτο πρὸς τὰ κοίν' ἀποβλέπειν.
ἡ δὴ νοσῶδες τοῦτο τοῖς ἀμείνοσιν,
ὅταν πονηρὸς ἀξίωμ' ἀνὴρ ἔχῃ,
γλώσσῃ κατασχὼν δῆμον οὐδὲν ὢν τὸ πρίν.

ΘΗΣΕΥΣ.

κομψός γ' ὁ κῆρυξ καὶ παρεργάτης λόγων.
ἐπεὶ δ' ἀγῶνα καὶ σὺ τόνδ' ἠγωνίσω,
ἄκου'· ἅμιλλαν γὰρ σὺ προὔθηκας λόγων.
οὐδὲν τυράννου δυσμενέστερον πόλει,
ὅπου τὸ μὲν πρώτιστον οὐκ εἰσὶν νόμοι
κοινοὶ, κρατεῖ δ' εἷς τὸν νόμον κεκτημένος
αὐτὸς παρ' αὑτῷ, καὶ τόδ' οὐκέτ' ἔστ' ἴσον.
γεγραμμένων δὲ τῶν νόμων ὅ τ' ἀσθενὴς
ὁ πλούσιός τε τὴν δίκην ἴσην ἔχει,
ἔστιν δ' ἐνισπεῖν τοῖσιν ἀσθενεστέροις
τὸν εὐτυχοῦντα ταὔθ', ὅταν κλύῃ κακῶς,
νικᾷ δ' ὁ μείων τὸν μέγαν δίκαι' ἔχων.
τοὐλεύθερον δ' ἐκεῖνο· τίς θέλει πόλει
χρηστόν τι βούλευμ' ἐς μέσον φέρειν ἔχων;
καὶ ταῦθ' ὁ χρῄζων λαμπρός ἐσθ', ὁ μὴ θέλων
σιγᾷ, τί τούτων ἔστ' ἰσαίτερον πόλει;
καὶ μὴν ὅπου γε δῆμος αὐθέντης χθονὸς,
ὑποῦσιν ἀστοῖς ἥδεται νεανίαις.
ἀνὴρ δὲ βασιλεὺς ἐχθρὸν ἡγεῖται τόδε,
καὶ τοὺς ἀρίστους, οὓς ἂν ἡγῆται φρονεῖν,
κτείνει, δεδοικὼς τῆς τυραννίδος πέρι.
πῶς οὖν ἔτ' ἂν γένοιτ' ἂν ἰσχυρὰ πόλις,
ὅταν τις ὡς λειμῶνος ἠρινοῦ στάχυν
τόλμας ἀφαιρῇ κἀπολωτίζῃ νέους;
κτᾶσθαι δὲ πλοῦτον καὶ βίον τί δεῖ τέκνοις,
ὡς τῷ τυράννῳ πλείον' ἐκμοχθῇ βίον;
ἢ παρθενεύειν παῖδας ἐν δόμοις καλῶς,
τερπνὰς τυράννοις ἡδονὰς, ὅταν θέλῃ,
δάκρυα δ' ἑτοιμάζουσι, μὴ ζώην ἔτι,
εἰ τἀμὰ τέκνα πρὸς βίαν νυμφεύσεται.
καὶ ταῦτα μὲν δὴ πρὸς τάδ' ἐξηκόντισα.
ἥκεις δὲ δὴ τί τῆσδε γῆς κεχρημένος;
κλαίων γ' ἂν ἦλθες, εἴ σε μὴ 'πεμψεν πόλις,
περισσὰ φωνῶν· τὸν γὰρ ἄγγελον χρεὼν
λέξανθ' ὅσ' ἂν τάξῃ τις ὡς τάχος πάλιν
χωρεῖν. τὸ λοιπὸν δ' εἰς ἐμὴν πόλιν Κρέων
ἧσσον λάλον σου πεμπέτω τιν' ἄγγελον.

ΧΟΡΟΣ.

φεῦ φεῦ· κακοῖσιν ὡς ὅταν δαίμων διδῷ
καλῶς, ὑβρίζουσ', ὡς ἀεὶ πράξοντες εὖ.

ΚΗΡΥΞ.

λέγοιμ' ἂν ἤδη. τῶν μὲν ἠγωνισμένων
σοὶ μὲν δοκείτω ταῦτ', ἐμοὶ δὲ τἀντία.
ἐγὼ δ' ἀπαυδῶ πᾶς τε Καδμεῖος λεὼς
Ἄδραστον ἐς γῆν τήνδε μὴ παριέναι·
εἰ δ' ἐστὶν ἐν γῇ, πρὶν θεοῦ δῦναι σέλας,
λύσαντα σεμνὰ στεμμάτων μυστήρια
τῆσδ' ἐξελαύνειν, μηδ' ἀναιρεῖσθαι νεκροὺς
βίᾳ, προσήκοντ' οὐδὲν Ἀργείων πόλει.
κἂν μὲν πίθῃ μοι, κυμάτων ἄτερ πόλιν
σὴν ναυστολήσεις· εἰ δὲ μὴ, πολὺς κλύδων
ἡμῖν τε καὶ σοὶ ξυμμάχοις τ' ἔσται δορός.
σκέψαι δὲ, καὶ μὴ τοῖς ἐμοῖς θυμούμενος
λόγοισιν, ὡς δὴ πόλιν ἐλευθέραν ἔχων,
σφριγῶντ' ἀμείψῃ μῦθον ἐκ βραχιόνων.
ἐλπὶς βροτοῖς κάκιστον, ἣ πολλὰς πόλεις
ξυνῆψ', ἄγουσα θυμὸν εἰς ὑπερβολάς.
ὅταν γὰρ ἔλθῃ πόλεμος ἐς ψῆφον πόλεως,
οὐδεὶς ἔθ' αὑτοῦ θάνατον ἐκλογίζεται,
τὸ δυστυχὲς δὲ τοῦτ' ἐς ἄλλον ἐκτρέπει·
εἰ δ' ἦν παρ' ὄμμα θάνατος ἐν ψήφου φορᾷ,
οὐκ ἄν ποθ' Ἑλλὰς δοριμανὴς ἀπώλλυτο.
καίτοι δυοῖν γε πάντες ἄνθρωποι λόγοιν

τὸν κρείσσον' ἴσμεν καὶ τὰ χρηστὰ καὶ κακὰ,
ὅσῳ τε πολέμου κρεῖσσον εἰρήνη βροτοῖς·
ἣ πρῶτα μὲν μούσαισι προσφιλεστάτη,
γόοισι δ' ἐχθρὰ, τέρπεται δ' εὐπαιδίᾳ,
χαίρει δὲ πλούτῳ. ταῦτ' ἀφέντες οἱ κακοὶ
πολέμους ἀναιρούμεσθα, καὶ τὸν ἥσσονα
δουλούμεθ' ἄνδρες ἄνδρα καὶ πόλις πόλιν.
σὺ δ' ἄνδρας ἐχθροὺς καὶ θανόντας ὠφελεῖς,
θάπτων κομίζων θ' οὓς ὕβρεις ἀπώλεσαν.
οὔ τἄρ' ἔτ' ὀρθῶς Καπανέως κεραύνιον
δέμας καπνοῦται κλιμάκων ὀρθοστάτων,
ἃς προσβαλὼν πύλαισιν ὤμοσεν πόλιν
πέρσειν, θεοῦ θέλοντος ἤν τε μὴ θέλῃ,
οὐδ' ἥρπασεν χάρυβδις οἰωνοσκόπον,
τέθριππον ἅρμα περιβαλοῦσα χάσματι,
ἄλλοι τε κεῖνται πρὸς πύλαις λοχαγέται,
πέτροις καταξανθέντες ὀστέων ῥαφάς.
ἢ νυν φρονεῖν ἄμεινον ἐξαύχει Διὸς,
ἢ θεοὺς δικαίως τοὺς κακοὺς ἀπολλύναι.
φιλεῖν μὲν οὖν χρὴ τοὺς σοφοὺς πρῶτον τέκνα,
ἔπειτα τοκέας πατρίδα θ', ἣν αὔξειν χρεὼν
καὶ μὴ κατᾶξαι. σφαλερὸν ἡγεμὼν θρασὺς
νεώς τε ναύτης· ἥσυχος καιρῷ σοφός.
καὶ τοῦτό τοι τἀνδρεῖον, ἡ προμηθία.

ΧΟΡΟΣ.

ἐξαρκέσας ἦν Ζεὺς ὁ τιμωρούμενος,
ἡμᾶς δ' ὑβρίζειν οὐκ ἐχρῆν τοιάνδ' ὕβριν.

ΑΔΡΑΣΤΟΣ.

ὦ παγκάκιστε

ΘΗΣΕΥΣ.

σῖγ', Ἄδραστ', ἔχε στόμα,
καὶ μὴ 'πίπροσθε τῶν ἐμῶν τοὺς σοὺς λόγους
θῇς· οὐ γὰρ ἥκει πρὸς σὲ κηρύσσων ὅδε,
ἀλλ' ὡς ἔμ'· ἡμᾶς κἀποκρίνασθαι χρεών.
καὶ πρῶτα μέν σε πρὸς τὰ πρῶτ' ἀμείψομαι·
οὐκ οἶδ' ἐγὼ Κρέοντα δεσπόζοντ' ἐμοῦ,
οὐδὲ σθένοντα μεῖζον, ὥστ' ἀναγκάσαι
δρᾶν τὰς Ἀθήνας ταῦτ'· ἄνω γὰρ ἂν ῥέοι
τὰ πράγμαθ' οὕτως, εἰ 'πιταξόμεσθα δή.
πόλεμον δὲ τοῦτον οὐκ ἐγὼ καθίσταμαι,
ὃς οὐδὲ σὺν τοῖσδ' ἦλθον ἐς Κάδμου χθόνα.
νεκροὺς δὲ τοὺς θανόντας, οὐ βλάπτων πόλιν,
οὐδ' ἀνδροκμῆτας προσφέρων ἀγωνίας,
θάψαι δικαιῶ, τὸν Πανελλήνων νόμον
σώζων. τί τούτων ἐστὶν οὐ καλῶς ἔχον;
εἰ γάρ τι καὶ πεπόνθατ' Ἀργείων ὕπο,
τεθνᾶσιν, ἠμύνασθε πολεμίους καλῶς,
αἰσχρῶς δ' ἐκείνοις, χὴ δίκη διοίχεται.
ἐάσατ' ἤδη γῇ καλυφθῆναι νεκρούς.
ὅθεν δ' ἕκαστον ἐς τὸ σῶμ' ἀφίκετο,
ἐνταῦθ' ἀπῆλθε, πνεῦμα μὲν πρὸς αἰθέρα,
τὸ σῶμα δ' ἐς γῆν· οὔτι γὰρ κεκτήμεθα
ἡμέτερον αὐτὸ, πλὴν ἐνοικῆσαι βίον,
κἄπειτα τὴν θρέψασαν αὐτὸ δεῖ λαβεῖν.
δοκεῖς κακουργεῖν Ἄργος οὐ θάπτων νεκρούς;
ἥκιστα· πάσης Ἑλλάδος κοινὸν τόδε,
εἰ τοὺς θανόντας νοσφίσας ὧν χρῆν λαχεῖν
ἀτάφους τις ἕξει· δειλίαν γὰρ ἐσφέρει
τοῖς ἀλκίμοισιν, οὗτος ἢν τεθῇ νόμος.
κἀμοὶ μὲν ἦλθες δεῖν' ἀπειλήσων ἔπη,
νεκροὺς δὲ ταρβεῖτ' εἰ κρυβήσονται χθονί;
τί μὴ γένηται; μὴ κατασκάψωσι γῆν
ταφέντες ὑμῶν; ἢ τέκν' ἐν μυχῷ χθονὸς
φύσωσιν, ἐξ ὧν εἶσί τις τιμωρία;
σκαιόν γε τἀνάλωμα τῆς γλώσσης τόδε,
φόβους πονηροὺς καὶ κενοὺς δεδοικέναι.
ἀλλ', ὦ μάταιοι, γνῶτε τἀνθρώπων κακά·
παλαίσμαθ' ἡμῶν ὁ βίος, εὐτυχοῦσι δὲ
οἱ μὲν τάχ', οἱ δ' ἐσαῦθις, οἱ δ' ἤδη βροτῶν.
τρυφᾷ δ' ὁ δαίμων· πρός τε γὰρ τοῦ δυστυχοῦ[s]
ὡς εὐτυχήσῃ, τίμιος γεραίρεται,
ὅ τ' ὄλβιός νιν πνεῦμα δειμαίνων λιπεῖν
ὑψηλὸν αἴρει. γνόντας οὖν χρεὼν τάδε
ἀδικουμένους τε μέτρια μὴ θυμῷ φέρειν,
ἀδικεῖν τε τοιαῦθ' οἷα μὴ βλάψαι πόλιν.
πῶς οὖν ἂν εἴη; τοὺς ὀλωλότας νεκροὺς
θάψαι δὸς ἡμῖν τοῖς θέλουσιν εὐσεβεῖν.
ἢ δῆλα τἀνθένδ'· εἶμι καὶ θάψω βίᾳ.
οὐ γάρ ποτ' εἰς Ἕλληνας ἐξοισθήσεται,
ὡς εἰς ἔμ' ἐλθὼν καὶ πόλιν Πανδίονος
νόμος παλαιὸς δαιμόνων διεφθάρη.

ΧΟΡΟΣ.

θάρσει· τὸ γάρτοι τῆς δίκης σώζων φάος,
πολλοὺς ὑπεκφύγοις ἂν ἀνθρώπων λόγους.

ΚΗΡΥΞ.

βούλει συνάψω μῦθον ἐν βραχεῖ σέθεν;

ΘΗΣΕΥΣ.

λέγ', εἴ τι βούλει· καὶ γὰρ οὐ σιγηλὸς εἶ.

ΚΗΡΥΞ.

οὐκ ἄν ποτ' ἐκ γῆς παῖδας Ἀργείων λάβοις.

ΘΗΣΕΥΣ.

κἀμοῦ νυν ἀντάκουσον, εἰ βούλει, πάλιν.

ΚΗΡΥΞ.

κλύοιμ' ἄν· οὐ γὰρ ἀλλὰ δεῖ δοῦναι μέρος.

ΘΗΣΕΥΣ.

θάψω νεκροὺς γῆς ἐξελὼν Ἀσωπίας.

ΚΗΡΥΞ.

ἐν ἀσπίσιν σοι πρῶτα κινδυνευτέον.

ΘΗΣΕΥΣ.

πολλοὺς ἔτλην δὴ χἀτέρους ἄλλους πόνους.

ΚΗΡΥΞ.

ἦ πᾶσιν οὖν σ' ἔφυσεν ἐξαρκεῖν πατήρ;

ΘΗΣΕΥΣ.

ὅσοι γ' ὑβρισταί· χρηστὰ δ' οὐ κολάζομεν.

ΚΗΡΥΞ.

πράσσειν σὺ πόλλ' εἴωθας ἥ τε σὴ πόλις.

ΘΗΣΕΥΣ.

τοιγὰρ πονοῦσα πολλὰ πόλλ' εὐδαιμονεῖ.

ΚΗΡΥΞ.

ἔλθ', ὥς σε λόγχη σπαρτὸς ἐν πόλει λάβῃ.

ΘΗΣΕΥΣ.

τίς δ' ἐκ δράκοντος θοῦρος ἂν γένοιτ' Ἄρη[ς]

ΚΗΡΥΞ.

γνώσει σὺ πάσχων. νῦν δ' ἔτ' εἶ νεανίας.

ΘΗΣΕΥΣ.

οὔτοι μ' ἐπαίρεις ὥστε θυμῶσαι φρένας
τοῖς σοῖσι κόμποις. ἀλλ' ἀποστέλλου χθονὸς
λόγους ματαίους οὕσπερ ἠνέγκω λαβών.
περαίνομεν γὰρ οὐδέν. ὁρμᾶσθαι χρεὼν
πάντ' ἄνδρ' ὁπλίτην ἁρμάτων τ' ἐπεμβάτη[ν]

μοναμπύκων τε φάλαρα κινεῖσθαι στόμα
ἀφρῷ καταστάζοντα, Καδμείαν χθόνα.
χωρήσομαι γὰρ ἑπτὰ πρὸς Κάδμου πύλας
αὐτὸς σίδηρον ὀξὺν ἐν χεροῖν ἔχων
αὐτός τε κῆρυξ. σοὶ δὲ προστάσσω μένειν,
Ἄδραστε, κἀμοὶ μὴ 'ναμίγνυσθαι τύχας
τὰς σάς· ἐγὼ γὰρ δαίμονος τοὐμοῦ μέτα
στρατηλατήσω κλεινὸς ἐν κλεινῷ δορί.
ἓν δεῖ μόνον μοι, τοὺς θεοὺς ἔχειν, ὅσοι
δίκην σέβονται· ταῦτα γὰρ ξυνόνθ' ὁμοῦ
νίκην δίδωσιν. ἀρετὴ δ' οὐδὲν φέρει
βροτοῖσιν, ἢν μὴ τὸν θεὸν χρῄζοντ' ἔχῃ.

ΗΜΙΧΟΡΙΟΝ.

ὦ μέλεαι μελέων ματέρες λοχαγῶν,
ὥς μοι ὑφ' ἥπατι δεῖμα χλοερὸν ταράσσει.

ΗΜΙΧΟΡΙΟΝ.

τίν' αὐδὰν τάνδε προσφέρεις νέαν;

ΗΜΙΧΟΡΙΟΝ.

στράτευμα πᾷ Παλλάδος κριθήσεται;

ΗΜΙΧΟΡΙΟΝ.

διὰ δορὸς εἶπας, ἢ λόγων ξυναλλαγαῖς;

ΗΜΙΧΟΡΙΟΝ.

γένοιτ' ἂν κέρδος· εἰ δ' ἀρείφατοι
φόνοι, μάχαι στερνοτυπεῖς τ' ἀνὰ τόπον
πάλιν φανήσονται κτύποι,
τάλαινα, τίνα λόγον
τίν' ἂν τῶνδ' αἰτία λάβοιμι;

ΗΜΙΧΟΡΙΟΝ.

ἀλλὰ τὸν εὐτυχίᾳ λαμπρὸν ἄν τις αἱροῖ
μοῖρα πάλιν· τόδε μοι τὸ θράσος ἀμφιβαίνει.

ΗΜΙΧΟΡΙΟΝ.

δικαίους δαίμονας σύ γ' ἐννέπεις.

ΗΜΙΧΟΡΙΟΝ.

τίνες γὰρ ἄλλοι νέμουσι συμφοράς;

ΗΜΙΧΟΡΙΟΝ.

διάφορα πολλὰ θεῶν βροτοῖσιν εἰσορῶ.

ΗΜΙΧΟΡΙΟΝ.

φόβῳ γὰρ τῷ πάρος διόλλυσαι·
δίκα δίκαν ἐξεκάλεσε καὶ φόνος
φόνον, κακῶν δ' ἀναψυχὰς
θεοὶ βροτοῖς νέμουσ',
ἁπάντων τέρμ' ἔχοντες αὐτοί.

ΗΜΙΧΟΡΙΟΝ.

τὰ καλλίπυργα πεδία πῶς ἱκοίμεθ' ἄν,
Καλλίχορον θεᾶς ὕδωρ λιποῦσαι.

ΗΜΙΧΟΡΙΟΝ.

ποτανὰν εἴ μέ τις θεῶν κτίσαι,
διπόταμον ἵνα πόλιν μόλω.

ΗΜΙΧΟΡΙΟΝ.

εἰδείης ἂν φίλων
εἰδείης ἂν τύχας.

ΗΜΙΧΟΡΙΟΝ.

τίς ποτ' αἶσα, τίς ἄρα πότμος
ἐπιμένει τὸν ἄλκιμον
τᾶσδε γᾶς ἄνακτα;

ΗΜΙΧΟΡΙΟΝ.

κεκλημένους μὲν ἀνακαλούμεθ' αὖ θεούς·
ἀλλὰ φόβων πίστις ἅδε πρώτα.

598—607. == 608—618.
619—625. == 626—633.

ΗΜΙΧΟΡΙΟΝ.

ἰὼ Ζεῦ, τᾶς παλαιομάτορος
παιδογόνε πόριος Ἰνάχου.

ΗΜΙΧΟΡΙΟΝ.

πόλει μοι ξύμμαχος
γενοῦ τᾷδ' εὐμενής.

ΗΜΙΧΟΡΙΟΝ.

τὸ σὸν ἄγαλμα, τὸ σὸν ἵδρυμα
πόλεος ἐκκομίζομαι
πρὸς πυρὰν ὑβρισθέν.

ΑΓΓΕΛΟΣ.

γυναῖκες, ἥκω πόλλ' ἔχων λέγειν φίλα,
αὐτός τε σωθείς, ᾑρέθην γὰρ ἐν μάχῃ,
ἣν οἱ θανόντων ἑπτὰ δεσποτῶν λόχοι
ἠγωνίσαντο, ῥεῦμα Διρκαῖον πάρα,
νίκην τε Θησέως ἀγγελῶν. λόγου δέ σε
μακροῦ 'ποπαύσω· Καπανέως γὰρ ἦν λάτρις,
ὃν Ζεὺς κεραυνῷ πυρπόλῳ καταιθαλοῖ.

ΧΟΡΟΣ.

ὦ φίλτατ', εὖ μὲν νόστον ἀγγέλλεις σέθεν,
τήν τ' ἀμφὶ Θησέως βάξιν· εἰ δὲ καὶ στρατὸς
σῶς ἔστ' Ἀθηνῶν, πάντ' ἂν ἀγγέλλοις φίλα.

ΑΓΓΕΛΟΣ.

σῶς, καὶ πεπραγμέν' ὡς Ἄδραστος ὤφελε
πρᾶξαι ξὺν Ἀργείοισιν, οὓς ἀπ' Ἰνάχου
στείλας ἐπεστράτευσε Καδμείων πόλιν.

ΧΟΡΟΣ.

πῶς γὰρ τροπαῖα Ζηνὸς Αἰγέως τόκος
ἔστησεν οἵ τε συμμετασχόντες δορός;
λέξον· παρὼν γὰρ τοὺς ἀπόντας εὐφρανεῖς.

ΑΓΓΕΛΟΣ.

λαμπρὰ μὲν ἀκτὶς ἡλίου, κανὼν σαφής,
ἔβαλλε γαῖαν· ἀμφὶ δ' Ἠλέκτρας πύλας
ἔστην θεατής, πύργον εὐαγῆ λαβών.
ὁρῶ δὲ φῦλα τρία τριῶν στρατευμάτων,
τευχεσφόρον μὲν λαὸν ἐκτείνοντ' ἄνω
Ἰσμήνιον πρὸς ὄχθον, ὡς μὲν ἦν λόγος,
αὐτόν τ' ἄνακτα, παῖδα κλεινὸν Αἰγέως,
καὶ τοὺς ξὺν αὐτῷ δεξιὸν τεταγμένους
κέρας παλαιᾶς Κεκροπίας οἰκήτορας·
λαιὸν δὲ Πάραλον, ἐστολισμένον δορί,
κρήνην παρ' αὐτὴν Ἄρεος, ἱππότην τ' ὄχλον
πρὸς κρασπέδοισι στρατοπέδου τεταγμένον
ἴσους ἀριθμόν· ἁρμάτων δ' ὀχήματα
ἔνερθε σεμνῶν μνημάτων Ἀμφίονος.
Κάδμου δὲ λαὸς ἧστο πρόσθε τειχέων,
νεκροὺς ὄπισθε θέμενος, ὧν ἔκειτ' ἀγών.
ἱππεῦσι δ' ἱππῆς ἦσαν ἀνθωπλισμένοι,
τετραόροισί τ' ἀντί' ἅρμαθ' ἅρμασιν.
κῆρυξ δὲ Θησέως εἶπεν ἐς πάντας τάδε·
σιγᾶτε, λαοί, σῖγα, Καδμείων στίχες,
ἀκούσαθ'· ἡμεῖς ἥκομεν νεκροὺς μέτα,
θάψαι θέλοντες, τὸν Πανελλήνων νόμον
σῴζοντες, οὐδὲν δεόμενοι τεῖναι φόνον.
κοὐδὲν Κρέων τοισδ' ἀντεκήρυξεν λόγοις,
ἀλλ' ἧστ' ἐφ' ὅπλοις σῖγα. ποιμένες δ' ὄχων
τετραόρων κατῆρχον ἐντεῦθεν μάχης·
πέραν δὲ διελάσαντες ἀλλήλων ὄχους,
παραιβάτας ἔστησαν ἐς τάξιν δορός.
χοἱ μὲν σιδήρῳ διεμάχονθ', οἱ δ' ἔστρεφον

πώλους ἐς ἀλκὴν αὖθις ἐς παραιβάτας.
ἰδὼν δὲ Φόρβας, ὃς μοναμπύκων ἄναξ
ἦν τοῖς Ἐρεχθείδαισιν, ἁρμάτων ὄχλον,
οἵ τ' αὖ τὸ Κάδμου διεφύλασσον ἱππικὸν,
συνῆψαν ἀλκὴν, κἀκράτουν ἡσσῶντό τε.
λεύσσων δὲ ταῦτα κοὐ κλύων, ἐκεῖ γὰρ ἦν
ἔνθ' ἅρματ' ἠγωνίζεθ' οἵ τ' ἐπεμβάται,
τἀκεῖ παρόντα πολλὰ πήματ', οὐκ ἔχω
τί πρῶτον εἴπω, πότερα τὴν ἐς οὐρανὸν
κόνιν προσαντέλλουσαν, ὡς πολλὴ παρῆν,
ἢ τοὺς ἄνω τε καὶ κάτω φορουμένους
ἱμᾶσιν, αἵματός τε φοινίου ῥοὰς,
τῶν μὲν πιτνόντων, τῶν δὲ θραυσθέντων δίφρων
ἐς κρᾶτα πρὸς γῆν ἐκκυβιστώντων βίᾳ,
πρὸς ἁρμάτων τ' ἀγαῖσι λειπόντων βίον.
νικῶντα δ' ἵπποις ὡς ὑπείδετο στρατὸν
Κρέων τὸν ἐνθένδ', ἰτέαν λαβὼν χερὶ
χωρεῖ, πρὶν ἐλθεῖν ξυμμάχοις δυσθυμίαν.
καὶ τὴν τὰ Θησέως γ' οὐκ ὄκνῳ διεφθάρη,
ἀλλ' ἵετ' εὐθὺς λάμπρ' ἀναρπάσας ὅπλα·
καὶ συμπατάξαντες μέσον πάντα στρατὸν
ἔκτεινον, ἐκτείνοντο, καὶ παρηγγύων
κελευσμὸν ἀλλήλοισι σὺν πολλῇ βοῇ,
θεῖν', ἀντέρειδε τοῖς Ἐρεχθείδαις δόρυ.
λόχος δ' ὀδόντων ὄφεος ἐξηνδρωμένος
δεινὸς παλαιστὴς ἦν· ἔκλινε γὰρ κέρας
τὸ λαιὸν ἡμῶν· δεξιοῦ δ' ἡσσώμενον
φεύγει τὸ κείνων, ἦν δ' ἀγὼν ἰσόρροπος.
κἀν τῷδε τὸν στρατηγὸν αἰνέσαι παρῆν·
οὐ γὰρ τὸ νικᾶν τοῦτ' ἐκέρδαινεν μόνον,
ἀλλ' ᾤχετ' ἐς τὸ κάμνον οἰκείου στρατοῦ.
ἔρρηξε δ' αὐδὴν, ὥσθ' ὑπηχῆσαι χθόνα,
ὦ παῖδες, εἰ μὴ σχήσετε στερρὸν δόρυ
σπαρτῶν τόδ' ἀνδρῶν, οἴχεται τὰ Παλλάδος.
θάρσος δ' ἐνῶρσε παντὶ Δαναϊδῶν στρατῷ.
αὐτός θ' ὅπλισμα τοὐπιδαύριον λαβὼν
δεινῆς κορύνης διαφέρων ἐσφενδόνα,
ὁμοῦ τραχήλους κἀπικείμενον κάρα
κυνέας θερίζων κἀποκαυλίζων ξύλῳ.
μόλις δέ πως ἔτρεψαν ἐς φυγὴν πόδα.
ἐγὼ δ' ἀνηλάλαξα κἀνωρχησάμην
κἄκρουσα χεῖρας. οἱ δ' ἔτεινον ἐς πύλας.
βοὴ δὲ καὶ κωκυτὸς ἦν ἀνὰ πτόλιν
νέων, γερόντων, ἱρά τ' ἐξεπίμπλασαν
φόβῳ. παρὸν δὲ τειχέων εἴσω μολεῖν,
Θησεὺς ἐπέσχεν· οὐ γὰρ ὡς πέρσων πόλιν
μολεῖν ἔφασκεν, ἀλλ' ἀπαιτήσων νεκρούς.
τοιόνδε τὸν στρατηγὸν αἱρεῖσθαι χρεὼν,
ὃς ἔν τε τοῖς δεινοῖσίν ἐστιν ἄλκιμος,
μισεῖ θ' ὑβριστὴν λαὸν, ὃς πράσσων καλῶς
ἐς ἄκρα βῆναι κλιμάκων ἐνήλατα
ζητῶν ἀπώλεσ' ὄλβον, ᾧ χρῆσθαι παρῆν.

ΧΟΡΟΣ.

νῦν τήνδ' ἄελπτον ἡμέραν ἰδοῦσ' ἐγὼ
θεοὺς νομίζω, καὶ δοκῶ τῆς συμφορᾶς
ἔχειν ἔλασσον, τῶνδε τισάντων δίκην.

ΑΔΡΑΣΤΟΣ.

ὦ Ζεῦ, τί δῆτα τοὺς ταλαιπώρους βροτοὺς
φρονεῖν λέγουσι; σοῦ γὰρ ἐξηρτήμεθα,
δρῶμέν τε τοιαῦθ' ἂν σὺ τυγχάνῃς θέλων.
ἡμῖν γὰρ ἦν τό τ' Ἄργος οὐχ ὑποστατὸν,
αὐτοί τε πολλοὶ καὶ νέοι βραχίοσιν,
Ἐτεοκλέους τε σύμβασιν ποιουμένου,
μέτρια θέλοντος οὐκ ἐχρῄζομεν λαβεῖν,
κἄπειτ' ἀπωλόμεσθ'. ὁ δ' αὖ τότ' εὐτυχὴς
λαβὼν πένης ὣς ἀρτίπλουτα χρήματα,
ὕβριζ', ὑβρίζων τ' αὖθις ἀνταπώλετο
Κάδμου κακόφρων λαός. ὦ κενοὶ βροτῶν,
οἳ τόξον ἐντείνοντες ὡς καιροῦ πέρα,
καὶ πρὸς δίκης γε πολλὰ πάσχοντες κακὰ,
φίλοις μὲν οὐ πείθεσθε, τοῖς δὲ πράγμασι,
πόλεις τ', ἔχουσαι διὰ λόγου κάμψαι κακὰ,
φόνῳ καθαιρεῖσθ', οὐ λόγῳ, τὰ πράγματα.
ἀτὰρ τί ταῦτα; κεῖνο βούλομαι μαθεῖν,
πῶς ἐξεσώθης· εἶτα τἄλλ' ἐρήσομαι.

ΑΓΓΕΛΟΣ.

ἐπεὶ ταραγμὸς πόλιν ἐκίνησεν δορὶ,
πύλας διῆλθον, ᾗπερ εἰσῄει στρατός.

ΑΔΡΑΣΤΟΣ.

ὧν δ' οὕνεχ' ἀγὼν ἦν, νεκροὺς κομίζετε;

ΑΓΓΕΛΟΣ.

ὅσοι γε κλεινοῖς ἑπτ' ἐφέστασαν λόχοις.

ΑΔΡΑΣΤΟΣ.

πῶς φῄς; ὁ δ' ἄλλος ποῦ κεκμηκότων ὄχλος;

ΑΓΓΕΛΟΣ.

τάφῳ δέδονται πρὸς Κιθαιρῶνος πτυχαῖς.

ΑΔΡΑΣΤΟΣ.

τοὐκεῖθεν ἢ τοὐνθένδε; τίς δ' ἔθαψέ νιν;

ΑΓΓΕΛΟΣ.

Θησεὺς, σκιώδης ἔνθ' Ἐλευθερὶς πέτρα.

ΑΔΡΑΣΤΟΣ.

οὓς δ' οὐκ ἔθαψε πῆ νεκροὺς ἥκεις λιπών;

ΑΓΓΕΛΟΣ.

ἐγγύς· πέλας γὰρ πᾶν ὅ τι σπουδάζεται.

ΑΔΡΑΣΤΟΣ.

ἦ που πικρῶς νιν θέραπες ἦγον ἐκ φόνου.

ΑΓΓΕΛΟΣ.

οὐδεὶς ἐπέστη τῷδε δοῦλος ὢν πόνῳ.

ΑΔΡΑΣΤΟΣ.

* * * *

ΑΓΓΕΛΟΣ.

φαίης ἂν, εἰ παρῆσθ' ὅτ' ἠγάπα νεκρούς.

ΑΔΡΑΣΤΟΣ.

ἔνιψεν αὐτὸς τῶν ταλαιπώρων σφαγάς;

ΑΓΓΕΛΟΣ.

κἄστρωσέ γ' εὐνὰς κἀκάλυψε σώματα.

ΑΔΡΑΣΤΟΣ.

δεινὸν μὲν οὖν βάσταγμα κᾀσχύνην ἔχον.

ΑΓΓΕΛΟΣ.

τί δ' αἰσχρὸν ἀνθρώποισι τἀλλήλων κακά;

ΑΔΡΑΣΤΟΣ.

οἴμοι· πόσῳ σφιν συνθανεῖν ἂν ἤθελον.

ΑΓΓΕΛΟΣ.

ἄκραντ' ὀδύρει ταῖσδέ τ' ἐξάγεις δάκρυ.

ΑΔΡΑΣΤΟΣ.

δοκῶ μὲν, αὗταί γ' εἰσὶν αἱ διδάσκαλοι.
ἀλλ' εἶεν, ἀρῶ χεῖρ' ἀπαντήσας νεκροῖς,
Ἅιδου τε μολπὰς ἐκχέω δακρυρρόους,
φίλους προσαυδῶν, ὧν λελειμμένος τάλας
ἔρημα κλαίω· τοῦτο γὰρ μόνον βροτοῖς

οὐκ ἔστι τἀνάλωμ' ἀναλωθὲν λαβεῖν,
ψυχὴν βροτείαν· χρημάτων δ' εἰσὶν πόροι.

ΧΟΡΟΣ.

τὰ μὲν εὖ, τὰ δὲ δυστυχῆ·
πόλει μὲν εὐδοξία
καὶ στρατηλάταις δορὸς
διπλάζεται τιμά.
ἐμοὶ δ' ἐμῶν παίδων μὲν εἰσιδεῖν μέλη
πικρὸν, καλὸν θέαμα δ', εἴπερ ὄψομαι
τὰν ἄελπτον ἁμέραν,
ἰδοῦσα πάντων μέγιστον ἄλγος.
ἄγαμόν μ' ἔτι δεῦρ' ἀεὶ
χρόνος παλαιὸς πατὴρ
ὤφελ' ἁμερᾶν κτίσαι.
τί γάρ μ' ἔδει παίδων;
τὸ μὲν γὰρ οὐκ ἤλπιζον ἂν πεπονθέναι
πάθος περισσὸν, εἰ γάμων ἀπεζύγην.
νῦν δ' ὁρῶ σαφέστατον
κακὸν, τέκνων φιλτάτων στερεῖσα.
ἀλλὰ τάδ' ἤδη σώματα λεύσσω
τῶν οἰχομένων παίδων· μελέα
πῶς ἂν ὀλοίμαν σὺν τοῖσδε τέκνοις
κοινὸν ἐς Ἅιδην καταβᾶσα.

ΑΔΡΑΣΤΟΣ.

στεναγμὸν, ὦ ματέρες,
τῶν κατὰ χθονὸς νεκρῶν
ἀΰσατ', ἀπύσατ' ἀντίφων' ἐμῶν
στεναγμάτων κλύουσαι.

ΧΟΡΟΣ.

ὦ παῖδες, ὦ πικρὸν φίλων
προσηγόρημα ματέρων
προσαυδῶ σε τὸν θανόντα.

ΑΔΡΑΣΤΟΣ.

ἰὼ ἰώ

ΧΟΡΟΣ.

τῶν γ' ἐμῶν κακῶν ἐγώ.

ΑΔΡΑΣΤΟΣ.

αἰαῖ.

ΧΟΡΟΣ.

* * *

ΑΔΡΑΣΤΟΣ.

ἐπάθομεν ὦ

ΧΟΡΟΣ.

τὰ κύντατ' ἄλγη κακῶν.

ΑΔΡΑΣΤΟΣ.

ὦ πόλις Ἀργεία, τὸν ἐμὸν πότμον οὐκ ἐσορᾶτε;

ΧΟΡΟΣ.

ὁρῶσι δῆτα κἀμὲ τὴν
τάλαιναν, τέκνων ἄπαιδα.

ΑΔΡΑΣΤΟΣ.

προσάγετε τῶν δυσπότμων
σώμαθ' αἱματοσταγῆ,
σφαγέντα τ' οὐκ ἄξι', οὐδ' ὑπ' ἀξίων,
ἐν οἷς ἀγὼν ἐκράνθη.

ΧΟΡΟΣ.

δόθ', ὡς περιπτυχαῖσι δὴ
χέρας προσαρμόσασ' ἐμοῖς
ἐν ἀγκῶσι τέκνα θῶμαι.

778—786. = 787—793.
798—810. = 811—823.

ΑΔΡΑΣΤΟΣ.

ἔχεις ἔχεις

ΧΟΡΟΣ.

πημάτων γ' ἅλις βάρος.

ΑΔΡΑΣΤΟΣ.

αἰαῖ.

ΧΟΡΟΣ.

τοῖς τεκοῦσι δ' οὐ λέγεις.

ΑΔΡΑΣΤΟΣ.

ἀΐετέ μου.

ΧΟΡΟΣ.

στένεις ἐπ' ἀμφοῖν ἄχη.

ΑΔΡΑΣΤΟΣ.

εἴθε με Καδμείων ἔναρον στίχες ἐν κονίαισιν.

ΧΟΡΟΣ.

ἐμὸν δὲ μήποτ' ἐζύγη
δέμας γ' εἴς τιν' ἀνδρὸς εὐνάν.

ΑΔΡΑΣΤΟΣ.

ἴδετε κακῶν πέλαγος, ὦ
ματέρες τάλαιναι τέκνων.

ΧΟΡΟΣ.

κατὰ μὲν ὄνυξιν ἠλοκίσμεθ', ἀμφὶ δὲ
σποδὸν κάρα κεχύμεθα.

ΑΔΡΑΣΤΟΣ.

ἰὼ ἰώ μοί μοι.
κατά με πέδον γᾶς ἕλοι,
διὰ δὲ θύελλα σπάσαι,
πυρός τε φλογμὸς ὁ Διὸς ἐν κάρᾳ πέσοι.

ΧΟΡΟΣ.

πικροὺς ἐσεῖδες γάμους,
πικρὰν δὲ Φοίβου φάτιν·
ἐρημά σ' ἁ πολύστονος Οἰδιπόδα
δώματα λιποῦσ' ἦλθ' Ἐρινύς.

ΘΗΣΕΥΣ.

μέλλων σ' ἐρωτᾶν, ἡνίκ' ἐξήντλεις στρατῷ
γόους, ἀφήσω, τοὺς ἐκεῖ μὲν ἐκλιπὼν
ἐς τὰ σά γε μύθους· νῦν δ' Ἄδραστον ἱστορῶ·
πόθεν ποθ' οἵδε διαπρεπεῖς εὐψυχίᾳ
θνητῶν ἔφυσαν; εἰπέ γ', ὡς σοφώτερος,
νέοισιν ἀστῶν τῶνδ'· ἐπιστήμων γὰρ εἶ.
εἶδον γὰρ αὐτῶν κρείσσον' ἢ λέξαι λόγῳ
τολμήμαθ', οἷς ἤλπιζον αἱρήσειν πόλιν.
ἓν δ' οὐκ ἐρήσομαί σε, μὴ γέλωτ' ὄφλω,
ὅτῳ ξυνέστη τῶνδ' ἕκαστος ἐν μάχῃ,
ἢ τραῦμα λόγχης πολεμίων ἐδέξατο.
κενοὶ γὰρ οὗτοι τῶν τ' ἀκουόντων λόγοι
καὶ τοῦ λέγοντος, ὅστις ἐν μάχῃ βεβὼς
λόγχης ἰούσης πρόσθεν ὀμμάτων πυκνῆς
σαφῶς ἀπήγγειλ' ὅστις ἐστὶν ἀγαθός.
οὐκ ἂν δυναίμην οὔτ' ἐρωτῆσαι τάδε
οὔτ' ἂν πιθέσθαι τοῖσι τολμῶσιν λέγειν·
μόλις γὰρ ἄν τις αὐτὰ τἀναγκαῖ' ὁρᾶν
δύναιτ' ἂν ἑστὼς πολεμίοις ἐναντίος.

ΑΔΡΑΣΤΟΣ.

ἄκουε δή νυν. καὶ γὰρ οὐκ ἄκοντί μοι
δίδως ἔπαινον ὧν ἔγωγε βούλομαι
φίλων ἀληθῆ καὶ δίκαι' εἰπεῖν πέρι.
ὁρᾷς τὸ Δῖον οὗ βέλος διέπτατο;
Καπανεὺς ὅδ' ἐστίν· ᾧ βίος μὲν ἦν πολύς,
ἥκιστα δ' ὄλβῳ γαῦρος ἦν· φρόνημα δὲ

οὐδέν τι μεῖζον εἶχεν ἢ πένης ἀνήρ,
φεύγων τραπέζαις ὅστις ἐξογκοῖτ' ἄγαν
τἀρκοῦντ' ἀτίζων· οὐ γὰρ ἐν γαστρὸς βορᾷ
τὸ χρηστὸν εἶναι, μέτρια δ' ἐξαρκεῖν ἔφη.
φίλοις τ' ἀληθὴς ἦν φίλος παροῦσί τε
καὶ μὴ παροῦσιν· ὧν ἀριθμὸς οὐ πολύς.
ἀψευδὲς ἦθος, εὐπροσήγορον στόμα,
ἄκραντον οὐδὲν οὔτ' ἐς οἰκέτας ἔχων
οὔτ' ἐς πολίτας. τὸν δὲ δεύτερον λέγω,
Ἐτέοκλον, ἄλλην χρηστότητ' ἠσκηκότα·
νεανίας ἦν, τῷ βίῳ μὲν ἐνδεής,
πλείστας δὲ τιμὰς ἔσχεν Ἀργείᾳ χθονί.
φίλων δὲ χρυσὸν πολλάκις δωρουμένων,
οὐκ εἰσεδέξατ' οἶκον, ὥστε τοὺς τρόπους
δούλους παρασχεῖν χρημάτων ζευχθεὶς ὕπο.
τούς τ' ἐξαμαρτάνοντας, οὐχὶ τὴν πόλιν,
ἤχθαιρ'· ἐπεί τοι κοὐδὲν αἰτία πόλις,
κακῶς κλύουσα διὰ κυβερνήτην κακόν.
ὁ δ' αὖ τρίτος τῶνδ' Ἱππομέδων τοιόσδ' ἔφυ·
παῖς ὢν ἐτόλμησ' εὐθὺς οὐ πρὸς ἡδονὰς
μουσῶν τραπέσθαι, πρὸς τὸ μαλθακὸν βίου,
ἀγροὺς δὲ ναίων, σκληρὰ τῇ φύσει διδοὺς
ἔχαιρε πρὸς τἀνδρεῖον, ἔς τ' ἄγρας ἰὼν
ἵπποις τε χαίρων τόξα τ' ἐντείνων χεροῖν,
πόλει παρασχεῖν σῶμα χρήσιμον θέλων.
ὁ τῆς κυναγοῦ δ' ἄλλος Ἀταλάντης γόνος,
Παρθενοπαῖος, εἶδος ἐξοχώτατος,
Ἀρκὰς μὲν ἦν, ἐλθὼν δ' ἐπ' Ἰνάχου ῥοὰς
παιδεύεται κατ' Ἄργος. ἐκτραφεὶς δ' ἐκεῖ,
πρῶτον μέν, ὡς χρὴ τοὺς μετοικοῦντας ξένους,
λυπηρὸς οὐκ ἦν, οὐδ' ἐπίφθονος πόλει,
οὐδ' ἐξεριστὴς τῶν λόγων, ὅθεν βαρὺς
μάλιστ' ἂν εἴη δημότης τε καὶ ξένος·
λόχοις δ' ἐνεστὼς ὥσπερ Ἀργεῖος γεγὼς
ἤμυνε χώρᾳ, χὠπότ' εὖ πράσσοι πόλις,
ἔχαιρε, λυπρῶς δ' ἔφερεν, εἴ τι δυστυχοῖ.
πολλοὺς δ' ἐραστὰς κἀπὸ θηλειῶν ὅσας
ἔχων, ἐφρούρει μηδὲν ἐξαμαρτάνειν.
Τυδέως δ' ἔπαινον ἐν βραχεῖ θήσω μέγαν·
οὐκ ἐν λόγοις ἦν λαμπρός, ἀλλ' ἐν ἀσπίδι
δεινὸς σοφιστὴς πολλά τ' ἐξευρεῖν σοφά.
γνώμῃ δ' ἀδελφοῦ Μελεάγρου λελειμμένος,
ἴσον παρέσχεν ὄνομα διὰ τέχνης δορός,
εὑρὼν ἀκριβῆ μουσικὴν ἐν ἀσπίδι·
φιλότιμον ἦθος, πλούσιον φρόνημα δὲ
ἐν τοῖσιν ἔργοις, οὐχὶ τοῖς λόγοις ἴσον.
ἐκ τῶνδε μὴ θαύμαζε τῶν εἰρημένων,
Θησεῦ, πρὸ πύργων τούσδε τολμῆσαι θανεῖν·
τὸ γὰρ τραφῆναι μὴ κακῶς αἰδῶ φέρει·
αἰσχύνεται δὲ τἀγάθ' ἀσκήσας ἀνὴρ
κακὸς γενέσθαι πᾶς τις. ἡ δ' εὐανδρία
διδακτόν, εἴπερ καὶ βρέφος διδάσκεται
λέγειν ἀκούειν θ' ὧν μάθησιν οὐκ ἔχει.
ἃ δ' ἂν μάθῃ τις, ταῦτα σώζεσθαι φιλεῖ
πρὸς γῆρας. οὕτω παῖδας εὖ παιδεύετε.

ΧΟΡΟΣ.

ἰὼ τέκνον, δυστυχῆ σ'
ἔτρεφον, ἔφερον ὑφ' ἥπατος
πόνους ἐνεγκοῦσ' ἐν ὠδῖσι· καὶ νῦν
Ἅιδας τὸν ἐμὸν ἔχει
μόχθον ἀθλίας, ἐγὼ δὲ
γηροβοσκὸν οὐκ ἔχω
τεκοῦσ' ἁ τάλαινα παῖδα.

ΘΗΣΕΥΣ.

καὶ μὴν τὸν Οἰκλέους γε γενναῖον τόκον
θεοὶ ζῶντ' ἀναρπάσαντες ἐς μυχοὺς χθονὸς
αὐτοῖς τεθρίπποις εὐλογοῦσιν ἐμφανῶς·
τὸν Οἰδίπου δὲ παῖδα, Πολυνείκην λέγω,
ἡμεῖς ἐπαινέσαντες οὐ ψευδοίμεθ' ἄν.
ξένος γὰρ ἦν μοι, πρὶν λιπὼν Κάδμου πόλιν
φυγῇ πρὸς Ἄργος διαβαλεῖν αὐθαίρετος.
ἀλλ' οἶσθ' ὃ δρᾶν σε βούλομαι τούτων πέρι;

ΑΔΡΑΣΤΟΣ.

οὐκ οἶδα πλὴν ἕν, σοῖσι πείθεσθαι λόγοις.

ΘΗΣΕΥΣ.

τὸν μὲν Διὸς πληγέντα Καπανέα πυρὶ

ΑΔΡΑΣΤΟΣ.

ἦ χωρὶς ἱρὸν ὡς νεκρὸν θάψαι θέλεις;

ΘΗΣΕΥΣ.

ναί· τοὺς δέ γ' ἄλλους πάντας ἐν μιᾷ πυρᾷ.

ΑΔΡΑΣΤΟΣ.

ποῦ δῆτα θήσεις μνῆμα τῷδε χωρίσας;

ΘΗΣΕΥΣ.

αὐτοῦ παρ' οἴκους τούσδε συμπήξας τάφον.

ΑΔΡΑΣΤΟΣ.

οὗτος μὲν ἤδη δμωσὶν ἂν μέλοι πόνος.

ΘΗΣΕΥΣ.

ἡμῖν δέ γ' οἵδε· στειχέτω δ' ἄχθη νεκρῶν.

ΑΔΡΑΣΤΟΣ.

ἴτ', ὦ τάλαιναι μητέρες, τέκνων πέλας.

ΘΗΣΕΥΣ.

ἥκιστ', Ἄδραστε, τοῦτο πρόσφορον λέγεις.

ΑΔΡΑΣΤΟΣ.

πῶς τὰς τεκούσας οὐ χρεὼν ψαῦσαι τέκνων;

ΘΗΣΕΥΣ.

ὄλοιντ' ἰδοῦσαι τούσδ' ἂν ἠλλοιωμένους·
πικραὶ γὰρ ὄψεις χἄμα τῷ τέλει νεκρῶν.
τί δῆτα λύπην ταῖσδε προσθεῖναι θέλεις;

ΑΔΡΑΣΤΟΣ.

νικᾷς. μένειν χρὴ τλημόνως· λέγει γὰρ εὖ
Θησεύς. ὅταν δὲ τούσδε προσθῶμεν πυρί,
ὀστᾶ προσάξεσθ'. ὦ ταλαίπωροι βροτῶν,
τί κτᾶσθε λόγχας καὶ κατ' ἀλλήλων φόνους
τίθεσθε; παύσασθ'. ἀλλὰ λήξαντες πόνων
ἄστη φυλάσσεθ' ἥσυχοι μεθ' ἡσύχων.
σμικρὸν τὸ χρῆμα τοῦ βίου· τοῦτον δὲ χρὴ
ὡς ῥᾷστα καὶ μὴ σὺν πόνοις διεκπερᾶν.

ΧΟΡΟΣ.

οὐκέτ' εὔτεκνος, οὐκέτ' εὔπαις,
οὐδ' εὐτυχίας μέτεστίν μοι
κουροτόκοις ἐν Ἀργείαις·
οὐδ' Ἄρτεμις λοχία
προσφθέγξαιτ' ἂν τὰς ἀτέκνους.
δυσαίων δ' ὁ βίος,
πλαγκτὰ δ' ὡσεί τις νεφέλα,
πνευμάτων ὑπὸ δυσχίμων ἀΐσσω.
ἑπτὰ ματέρες ἑπτὰ κούρους
ἐγεινάμεθ' αἱ ταλαίπωροι
κλεινοτάτους ἐν Ἀργείοις·

955—962. == 963—970.

καὶ νῦν ἄπαις, ἄτεκνος
γηράσκω δυστηνοτάτως,
οὔτ' ἐν τοῖς φθιμένοις
οὔτ' ἐν ζῶσιν κρινομένη,
χωρὶς δή τινα τῶνδ' ἔχουσα μοῖραν.
ὑπολελειμμένα μοι δάκρυα·
μέλεα παιδὸς ἐν οἴκοις
κεῖται μνήματα, πένθιμοι
κουραὶ καὶ στέφανοι κόμας,
λοιβαί τε νεκύων φθιμένων,
ἀοιδαὶ, τὰς χρυσοκόμας
Ἀπόλλων οὐκ ἐνδέχεται·
γόοισιν δ' ὀρθρευομένα
δάκρυσι νοτερὸν ἀεὶ πέπλων
πρὸς στέρνῳ πτύχα τέγξω.
καὶ μὴν θαλάμας τάσδ' ἐσορῶ δὴ
Καπανέως ἤδη τύμβον θ' ἱερὸν,
μελάθρων τ' ἐκτὸς
Θησέως ἀναθήματα νεκροῖς,
κλεινήν τ' ἄλοχον τοῦ καπφθιμένου
τοῦδε κεραυνῷ πέλας Εὐάδνην,
ἣν Ἶφις ἄναξ παῖδα φυτεύει.
τί ποτ' αἰθερίαν ἕστηκε πέτραν,
ἣ τῶνδε δόμων ὑπερακρίζει,
τήνδ' ἐμβαίνουσα κέλευθον;

ΕΥΑΔΝΗ.

τί φέγγος, τίν' αἴγλαν
ἐδίφρευε τόθ' ἅλιος
σελάνα τε κατ' αἰθέρα,
λαμπάδ' ἵν' ὠκυθόαι νύμφαι
ἱππεύουσι δι' ὄρφνας,
* * ἁνίκα γάμων
τῶν ἐμῶν πόλις Ἄργους
ἀοιδὰς εὐδαιμονίας
ἐπύργωσε καὶ γαμέτα
χαλκεοτευχοῦς Καπανέως.
προσέβαν δρομὰς ἐξ ἐμῶν
οἴκων ἐκβακχευσαμένα,
πυρὸς φῶς τάφον τε
ματεύουσα τὸν αὐτὸν,
ἐς Ἅιδαν καταλύσουσ'
ἔμμοχθον
βίοτον αἰῶνός τε πόνους·
ἥδιστος γάρ τοι θάνατος
συνθνήσκειν θνήσκουσι φίλοις,
εἰ δαίμων τάδε δὴ κραίνοι.

ΧΟΡΟΣ.

καὶ μὴν ὁρᾷς τήνδ', ἧς ἐφέστηκας πέλας
πυρὰν, Διὸς θησαυρὸν, ἔνθ' ἔνεστι σὸς
πόσις, δαμασθεὶς λαμπάσιν κεραυνίοις.

ΕΥΑΔΝΗ.

ὁρῶ δὴ τελευτὰν,
ἵν' ἕστακα· τύχα δέ μοι
ξυνάπτει ποδός· ἀλλὰ τῆς
εὐκλείας χάριν ἔνθεν ὁρ-
μάσω τᾶσδ' ἀπὸ πέτρας,
πηδήσασα πυρὸς ἔσω,
σῶμά τ' αἴθοπι φλογμῷ
πόσει συμμίξασα φίλον,
χρῶτα χρωτὶ πέλας θεμένα
Περσεφονείας [ἥξω] θαλάμους,
σὲ τὸν θανόντ' οὔποτ' ἐμᾷ
προδοῦσα ψυχᾷ κατὰ γᾶς.
ἴτω φῶς γάμοι τε.
εἴθε τινὲς εὐναὶ
δικαίων ὑμεναίων
ἐν Ἄργει
φανῶσιν τέκνοισιν, ὅσιος δ'
* εὐναῖος γαμέτας
συντηχθεὶς αὔραις ἀδόλοις
γενναίας ἀλόχῳ ψυχᾶς.

ΧΟΡΟΣ.

καὶ μὴν ὅδ' αὐτὸς σὸς πατὴρ βαίνει πέλας
γεραιὸς Ἶφις ἐς νεωτέρους λόγους,
οὓς οὐ κατειδὼς πρόσθεν ἀλγήσει κλύων.

ΙΦΙΣ.

ὦ δυστάλαινα, δυστάλας δ' ἐγὼ γέρων,
ἥκω, διπλοῦν πένθημα δωμάτων ἔχων,
τὸν μὲν θανόντα παῖδα Καδμείων δορὶ
Ἐτέοκλον ἐς γῆν πατρίδα ναυσθλώσων νεκρὸν,
ζητῶν τ' ἐμὴν παῖδ', ἣ δόμων ἐξώπιος
βέβηκε πηδήσασα, Καπανέως δάμαρ,
θανεῖν ἐρῶσα σὺν πόσει. χρόνον μὲν οὖν
τὸν πρόσθ' ἐφρουρεῖτ' ἐν δόμοις· ἐπεὶ δ' ἐγὼ
φυλακὰς ἀνῆκα τοῖς παρεστῶσιν κακοῖς,
βέβηκεν. ἀλλὰ τῇδέ νιν δοξάζομεν
μάλιστ' ἂν εἶναι· φράζετ' εἰ κατείδετε.

ΕΥΑΔΝΗ.

τί τάσδ' ἐρωτᾷς; ἥδ' ἐγὼ πέτρας ἔπι,
ὄρνις τις ὡσεὶ, Καπανέως ὑπὲρ πυρᾶς
δύστηνον αἰώρημα κουφίζω, πάτερ.

ΙΦΙΣ.

τέκνον, τίς αὔρα; τίς στόλος; τίνος χάριν
δόμων ὑπερβᾶσ' ἦλθες ἐς τήνδε χθόνα;

ΕΥΑΔΝΗ.

ὀργὴν λάβοις ἂν τῶν ἐμῶν βουλευμάτων
κλύων. ἀκοῦσαι δ' οὔ σε βούλομαι, πάτερ.

ΙΦΙΣ.

τί δ'; οὐ δίκαιον πατέρα τὸν σὸν εἰδέναι;

ΕΥΑΔΝΗ.

κριτὴς ἂν εἴης οὐ σοφὸς γνώμης ἐμῆς.

ΙΦΙΣ.

σκευῇ δὲ τῇδε τοῦ χάριν κοσμεῖς δέμας;

ΕΥΑΔΝΗ.

θέλει τι καινὸν οὗτος ὁ στολμὸς, πάτερ.

ΙΦΙΣ.

ὡς οὐκ ἐπ' ἀνδρὶ πένθιμος πρέπεις ὁρᾶν.

ΕΥΑΔΝΗ.

ἐς γάρ τι πρᾶγμα νεοχμὸν ἐσκευάσμεθα.

ΙΦΙΣ.

κἄπειτα τύμβῳ καὶ πυρᾷ φαίνει πέλας;

ΕΥΑΔΝΗ.

ἐνταῦθα γὰρ δὴ καλλίνικος ἔρχομαι.

ΙΦΙΣ.

νικῶσα νίκην τίνα; μαθεῖν χρῄζω σέθεν.

ΕΥΑΔΝΗ.

πάσας γυναῖκας ἃς δέδορκεν ἥλιος.

ΙΦΙΣ.

ἔργοις Ἀθάνας ἢ φρενῶν εὐβουλίᾳ;

990—1008. = 1012—1030.

ASHMOLEAN OXFORD

ΕΥΑΔΝΗ.
ἀρετῇ· πόσει γὰρ συνθανοῦσα κείσομαι.
ΙΦΙΣ.
τί φῄς; τί τοῦτ' αἴνιγμα σημαίνεις σαθρόν;
ΕΥΑΔΝΗ.
ᾄσσω θανόντος Καπανέως τήνδ' ἐς πυράν.
ΙΦΙΣ.
ὦ θύγατερ, οὐ μὴ μῦθον ἐπὶ πολλοὺς ἐρεῖς;
ΕΥΑΔΝΗ.
τοῦτ' αὐτὸ χρῄζω, πάντας Ἀργείους μαθεῖν.
ΙΦΙΣ.
ἀλλ' οὐδέ τοί σοι πείσομαι δρώσῃ τάδε.
ΕΥΑΔΝΗ.
ὅμοιον· οὐ γὰρ μὴ κίχῃς μ' ἑλὼν χερί.
καὶ δὴ παρεῖται σῶμα, σοὶ μὲν οὐ φίλον,
ἡμῖν δὲ καὶ τῷ συμπυρουμένῳ πόσει.
ΧΟΡΟΣ.
ἰὼ γύναι, δεινὸν ἔργον ἐξειργάσω.
ΙΦΙΣ.
ἀπωλόμην δύστηνος, Ἀργείων κόραι.
ΧΟΡΟΣ.
ἒ ἔ, σχέτλια τάδε παθών,
τὸ πάντολμον ἔργον ὄψει τάλας.
ΙΦΙΣ.
οὐκ ἄν τιν' εὕροιτ' ἄλλον ἀθλιώτερον.
ΧΟΡΟΣ.
ἰὼ τάλας·
μετέλαχες τύχας Οἰδιπόδα, γέρον,
μέρος καὶ σὺ καὶ πόλις ἐμὰ τλάμων.
ΙΦΙΣ.
οἴμοι· τί δὴ βροτοῖσιν οὐκ ἔστιν τόδε,
νέους δὶς εἶναι καὶ γέροντας αὖ πάλιν;
ἀλλ' ἐν δόμοις μὲν ἤν τι μὴ καλῶς ἔχῃ,
γνώμαισιν ὑστέραισιν ἐξορθούμεθα,
αἰῶνα δ' οὐκ ἔξεστιν. εἰ δ' ἦμεν νέοι
δὶς καὶ γέροντες, εἴ τις ἐξημάρτανε,
διπλοῦ βίου λαχόντες ἐξωρθούμεθ' ἄν.
ἐγὼ γὰρ ἄλλους εἰσορῶν τεκνουμένους,
παίδων τ' ἐραστὴς ἦν πόθῳ τ' ἀπωλλύμην.
εἰ δ' ἐς τόδ' ἦλθον κἀξεπειράθην τεκὼν
οἷον στέρεσθαι πατέρα γίγνεται τέκνων,
οὐκ ἄν ποτ' ἐς τόδ' ἦλθον εἰς ὃ νῦν κακόν·
ὅστις φυτεύσας καὶ νεανίαν τεκὼν
ἄριστον, εἶτα τοῦδε νῦν στερίσκομαι.
εἶεν. τί δὴ χρὴ τὸν ταλαίπωρόν με δρᾶν;
στείχειν πρὸς οἴκους; κᾆτ' ἐρημίαν ἴδω
πολλὴν μελάθρων ἀπορίαν τ' ἐμῷ βίῳ;
ἢ πρὸς μέλαθρα τοῦδε Καπανέως μόλω;
ἥδιστα πρίν γε δῆθ', ὅτ' ἦν παῖς ἥδε μοι.
ἀλλ' οὐκέτ' ἔστιν· ἥ γ' ἐμὴν γενειάδα
προσήγετ' ἀεὶ στόματι, καὶ κάρα τόδε
κατεῖχε χειρί· πατρὶ δ' οὐδὲν ἥδιον
γέροντι θυγατρός· ἀρσένων δὲ μείζονες
ψυχαί, γλυκεῖαι δ' ἧσσον ἐς θωπεύματα.
οὐχ ὡς τάχιστα δῆτά μ' ἄξετ' ἐς δόμους,
σκότῳ δὲ δώσετ', ἔνθ' ἀσιτίαις ἐμὸν
δέμας γεραιὸν συντακεὶς ἀποφθερῶ;
τί μ' ὠφελήσει παιδὸς ὀστέων θιγεῖν;
ὦ δυσπάλαιστον γῆρας, ὡς μισῶ σ' ἔχων.
μισῶ δ' ὅσοι χρῄζουσιν ἐκτείνειν βίον,
βρωτοῖσι καὶ ποτοῖσι καὶ μαγεύμασι
παρεκτρέποντες ὀχετὸν ὥστε μὴ θανεῖν·
οὓς χρῆν, ἐπειδὰν μηδὲν ὠφελῶσι γῆν,
θανόντας ἔρρειν κἀκποδὼν εἶναι νέοις.
ΧΟΡΟΣ.
ἰὼ ἰώ.
τάδε δὴ παίδων καὶ δὴ φθιμένων
ὀστᾶ φέρεται· λάβετ', ἀμφίπολοι
γραίας ἀμενοῦς, οὐ γὰρ ἔνεστιν
ῥώμη παίδων ὑπὸ πένθους,
πολλοῦ δὲ χρόνου ζώσας μέτα δή,
καταλειβομένας τ' ἄλγεσι πολλοῖς.
τί γὰρ ἂν μεῖζον τοῦδ' ἔτι θνατοῖς
πάθος ἐξεύροις,
ἢ τέκνα θανόντ' ἐσιδέσθαι;
ΠΑΙΣ.
φέρω φέρω,
τάλαινα μᾶτερ, ἐκ πυρὸς πατρὸς μέλ
βάρος μὲν οὐκ ἀβριθὲς ἀλγέων ὕπερ,
ἐν δ' ὀλίγῳ τἀμὰ πάντα συνθείς.
ΧΟΡΟΣ.
ἰὼ ἰώ.
πᾶ δάκρυα φέρεις φίλᾳ
ματρὶ τῶν ὀλωλότων,
σποδοῦ τε πλῆθος ὀλίγον ἀντὶ σωμάτων
εὐδοκίμων δήποτ' ἐν Μυκήναις;
ΠΑΙΣ.
παπαῖ παπαῖ.
ἐγὼ δ' ἔρημος ἀθλίου πατρὸς τάλας
ἔρημον οἶκον ὀρφανεύσομαι λαβὼν
οὐ πατρὸς ἐν χερσὶ τοῦ τεκόντος.
ΧΟΡΟΣ.
ἰὼ ἰώ.
ποῦ δὲ πόνος ἐμῶν τέκνων,
ποῦ νυχευμάτων χάρις,
τροφαί τε ματρὸς, ἄϋπνά τ' ὀμμάτων τέλη
καὶ φίλιαι προσβολαὶ προσώπων;
ΠΑΙΣ.
βεβᾶσιν, οὐκέτ' εἰσί σοι, μᾶτερ, τέκνα,
βεβᾶσιν· αἰθὴρ ἔχει νιν ἤδη
πυρὸς τετακότας σποδῷ·
ποτανοὶ δ' ἤνυσαν τὸν Ἅιδαν.
ΠΑΙΣ.
πάτερ, [σὺ μὲν] τῶν σῶν κλύεις τέκνων γόους;
ἆρ' ἀσπιδοῦχος ἔτι ποτ' ἀντιτάσσομαι
σὸν φόνον;
ΧΟΡΟΣ.
εἰ γὰρ γένοιτο, τέκνον.
ΠΑΙΣ.
ἔτ' ἂν θεοῦ θέλοντος ἔλθοι μοι δίκα
πατρῷος· οὔπω κακὸν τόδ' εὕδει.
ΧΟΡΟΣ.
αἰαῖ. γόων ἅλις τύχας,
ἅλις δ' ἀλγέων ἐμοὶ πάρεστιν.
ΠΑΙΣ.
ἔτ' Ἀσωποῦ με δέξεται γάνος
χαλκέοις ὅπλοισι Δαναϊδῶν στρατηλάταν,
τοῦ φθιμένου πατρὸς ἐκδικαστάν;

1123—1131. = 1132—1138.
1139—1145. = 1146—1153.

ΠΑΙΣ.
ἔτ' εἰσορᾶν σε, πάτερ, ἐπ' ὀμμάτων δοκῶ
ΧΟΡΟΣ.
φίλον φίλημα παρὰ γένυν τιθέντα σόν.
ΠΑΙΣ.
λόγων δὲ παρακέλευσμα σῶν
ΧΟΡΟΣ.
ἀέρι φερόμενον οἴχεται.
ΠΑΙΣ.
δυοῖν δ' ἄχη, ματέρι τ' ἔλιπε,
ΧΟΡΟΣ.
σέ τ' οὔποτ' ἄλγη πατρῷα λείψει.
ἔχω τοσόνδε βάρος ὅσον μ' ἀπώλεσεν.
φέρ', ἀμφὶ μαστὸν ὑποβάλω σποδόν *
ΠΑΙΣ.
ἔκλαυσα, τόδε κλύων ἔπος
στυγνότατον· ἔθιγέ μου φρενῶν.
ΧΟΡΟΣ.
ὦ τέκνον, ἔβας· οὐκέτι φίλον
φίλας ἄγαλμ' ὄψομαί σε ματρός.
ΘΗΣΕΥΣ.
Ἄδραστε, καὶ γυναῖκες Ἀργεῖαι γένος,
ὁρᾶτε παῖδας τούσδ' ἔχοντας ἐν χεροῖν
πατέρων ἀρίστων σώμαθ' ὧν ἀνειλόμην·
τούτοις ἐγώ σε καὶ πόλις δωρούμεθα.
ὑμᾶς δὲ τῶνδε χρὴ χάριν μεμνημένους
σώζειν, ὁρῶντας ὧν ἐκύρσατ' ἐξ ἐμοῦ.
παισίν θ' ὑπεῖπον τοῖσδε τοὺς αὐτοὺς λόγους,
τιμᾶν πόλιν τήνδ', ἐκ τέκνων ἀεὶ τέκνοις
μνήμην παραγγέλλοντας ὧν ἐκύρσατε.
Ζεὺς δὲ ξυνίστωρ οἵ τ' ἐν οὐρανῷ θεοὶ
οἵων ὑφ' ἡμῶν στείχετ' ἠξιωμένοι.
ΑΔΡΑΣΤΟΣ.
Θησεῦ, ξύνισμεν πάνθ' ὅσ' Ἀργείων χθόνα
δέδρακας ἐσθλὰ δεομένην εὐεργετῶν,
χάριν τ' ἀγήρων ἕξομεν· γενναῖα γὰρ
παθόντες ὑμᾶς ἀντιδρᾶν ὀφείλομεν.
ΘΗΣΕΥΣ.
τί δῆ ποθ' ὑμῖν ἄλλ' ὑπουργῆσαί με χρή;
ΑΔΡΑΣΤΟΣ.
χαῖρ'. ἄξιος γὰρ καὶ σὺ καὶ πόλις σέθεν.
ΘΗΣΕΥΣ.
ἔσται τάδ'. ἀλλὰ καὶ σὺ τῶν αὐτῶν τύχοις.
ΑΘΗΝΑ.
ἄκουε, Θησεῦ, τούσδ' Ἀθηναίας λόγους,
ἃ χρή σε δρᾶσαι, δρῶντα δ' ὠφελεῖν τάδε.
μὴ δῷς τάδ' ὀστᾶ τοῖσδ' ἐς Ἀργείαν χθόνα
παισὶν κομίζειν, ῥᾳδίως οὕτω μεθείς,
ἀλλ' ἀντὶ τῶν σῶν καὶ πόλεως μοχθημάτων
πρῶτον λάβ' ὅρκον. τόνδε δ' ὀμνύναι χρεὼν
Ἄδραστον· οὗτος κύριος, τύραννος ὤν,
πάσης ὑπὲρ γῆς Δαναϊδῶν ὁρκωμοτεῖν.
ὁ δ' ὅρκος ἔσται, μήποτ' Ἀργείους χθόνα
ἐς τήνδ' ἐποίσειν πολέμιον παντευχίαν,
ἄλλων τ' ἰόντων ἐμποδὼν θήσειν δόρυ.
ἢν δ' ὅρκον ἐκλιπόντες ἔλθωσιν πόλιν,
κακῶς ὀλέσθαι πρόστρεπ' Ἀργείων χθόνα.
ἐν ᾧ δὲ τέμνειν χρὴ σφάγιά σ' ἄκουέ μου·
ἔστιν τρίπους σοι χαλκόπους εἴσω δόμων,
ὃν Ἰλίου ποτ' ἐξαναστήσας βάθρα
σπουδὴν ἐπ' ἄλλην Ἡρακλῆς ὁρμώμενος
στῆσαί σ' ἐφεῖτο Πυθικὴν πρὸς ἐσχάραν.
ἐν τῷδε λαιμοὺς τρεῖς τριῶν μήλων τεμὼν
ἔγγραψον ὅρκους τρίποδος ἐν κοίλῳ κύτει,
κἄπειτα σώζειν θεῷ δὸς ᾧ Δελφῶν μέλει,
μνημεῖά θ' ὅρκων μαρτύρημά θ' Ἑλλάδι.
ᾗ δ' ἂν διοίξῃς σφάγια καὶ τρώσῃς φόνον,
ὀξύστομον μάχαιραν ἐς γαίας μυχοὺς
κρύψον παρ' αὐτὰς ἑπτὰ πυρκαιὰς νεκρῶν·
φόβον γὰρ αὐτοῖς, ἤν ποτ' ἔλθωσιν πόλιν,
δειχθεῖσα θήσει καὶ κακὸν νόστον πάλιν.
δράσας δὲ ταῦτα πέμπε γῆς ἔξω νεκρούς.
τεμένη δ', ἵν' αὐτῶν σώμαθ' ἡγνίσθη πυρί,
μέθες παρ' αὐτὴν τρίοδον Ἰσθμίαν θεῷ.
σοὶ μὲν τάδ' εἶπον· παισὶ δ' Ἀργείων λέγω·
πορθήσεθ' ἡβήσαντες Ἰσμηνοῦ πόλιν,
πατέρων θανόντων ἐκδικάζοντες φόνον,
σύ τ' ἀντὶ πατρὸς, Αἰγιαλεῦ, στρατηλάτης
νέος καταστὰς, παῖς τ' ἀπ' Αἰτωλῶν μολὼν
Τυδέως, ὃν ὠνόμαζε Διομήδην πατήρ.
ἀλλ' οὐ φθάνειν χρὴ συσκιάζοντας γένυν,
καὶ χαλκοπληθῆ Δαναϊδῶν ὁρμᾶν στρατὸν
ἑπτάστομον πύργωμα Καδμείων ἔπι.
πικροὶ γὰρ αὐτοῖς ἥξετ', ἐκτεθραμμένοι
σκύμνοι λεόντων, πόλεος ἐκπορθήτορες.
κοὐκ ἔστιν ἄλλως· Ἐπίγονοι δ' ἀν' Ἑλλάδα
κληθέντες ᾠδὰς ὑστέροισι θήσετε·
τοῖον στράτευμα σὺν θεῷ πορεύσετε.
ΘΗΣΕΥΣ.
δέσποιν' Ἀθάνα, πείσομαι λόγοισι σοῖς·
σὺ γάρ μ' ἀνορθοῖς, ὥστε μὴ 'ξαμαρτάνειν.
καὶ τόνδ' ἐν ὅρκοις ζεύξομαι· μόνον σύ με
ἐς ὀρθὸν ἵστη. σοῦ γὰρ εὐμενοῦς πόλει
οὔσης τὸ λοιπὸν ἀσφαλῶς οἰκήσομεν.
ΧΟΡΟΣ.
στείχωμεν, Ἄδρασθ', ὅρκια δῶμεν
τῷδ' ἀνδρὶ πόλει τ'. ἄξια δ' ἡμῖν
προμεμοχθήκασι σέβεσθαι.

1154—1158. = 1159—1164.

# ΕΥΡΙΠΙΔΟΥ ΤΡΩΙΑΔΕΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΠΟΣΕΙΔΩΝ.*
*ΑΘΗΝΑ.*
*ΕΚΑΒΗ.*
*ΧΟΡΟΣ ΑΙΧΜΑΛΩΤΙΔΩΝ ΤΡΩΙΑΔΩΝ.*
*ΤΑΛΘΥΒΙΟΣ.*
*ΚΑΣΑΝΔΡΑ.*
*ΑΝΔΡΟΜΑΧΗ.*
*ΜΕΝΕΛΑΟΣ.*
*ΕΛΕΝΗ.*

## *ΥΠΟΘΕΣΙΣ.*

*Μετὰ τὴν Ἰλίου πόρθησιν ἔδοξεν Ἀθηνᾶ τε καὶ Ποσειδῶνι τὸ τῶν Ἀχαιῶν στράτευμα διαφθεῖραι, τ μὲν εὐνοοῦντος τῇ πόλει διὰ τὴν κτίσιν, τῆς δὲ μισησάσης τοὺς Ἕλληνας διὰ τὴν Αἴαντος εἰς Κασάνδ ὕβριν. οἱ δὲ Ἕλληνες ἐκληρώσαντο τὰς αἰχμαλωτίδας τῶν γυναικῶν· τοῖς γὰρ ἐν ἀξιώμασιν ἔδωκ Ἀγαμέμνονι μὲν Κασάνδραν, Ἀνδρομάχην δὲ Νεοπτολέμῳ, Πολυξένην δὲ τῷ Ἀχιλλεῖ. ταύτην μὲν ἐπὶ τοῦ τάφου αὐτοῦ ἔσφαξαν· Ἀστυάνακτα δὲ τὸν Ἕκτορος ἀπὸ τῶν τειχῶν ἔρριψαν, Ἑλένην δὲ ἀποκτενῶν Μενέλεως ἤγαγεν, Ἀγαμέμνων δὲ τὴν χρησμῳδὸν ἐνυμφαγώγησεν, Ἑκάβη δὲ, τῆς μὲν Ἑλέ κατηγορήσασα, τοὺς ἀναιρεθέντας δὲ κατοδυραμένη τε καὶ θρηνήσασα καὶ κηδεύσασα, πρὸς τὰς τοῦ Ὀδυ σέως ἤχθη σκηνὰς, τούτῳ λατρεύειν δοθεῖσα.*

# ΤΡΩΙΑΔΕΣ.

ΠΟΣΕΙΔΩΝ.

Ἥκω λιπὼν Αἰγαῖον ἁλμυρὸν βάθος
πόντου Ποσειδῶν, ἔνθα Νηρήδων χοροὶ
κάλλιστον ἴχνος ἐξελίσσουσιν ποδός·
ἐξ οὗ γὰρ ἀμφὶ τήνδε Τρωικὴν χθόνα
Φοῖβός τε κἀγὼ λαΐνους πύργους πέριξ
ὀρθοῖσιν ἔθεμεν κανόσιν, οὔποτ' ἐκ φρενῶν
εὔνοι' ἀπέστη τῶν ἐμῶν Φρυγῶν πόλει,
ἣ νῦν καπνοῦται καὶ πρὸς Ἀργείου δορὸς
ὄλωλε πορθηθεῖσ'. ὁ γὰρ Παρνάσιος
Φωκεὺς Ἐπειὸς μηχαναῖσι Παλλάδος
ἐγκύμον' ἵππον τευχέων ξυναρμόσας
πύργων ἔπεμψεν ἐντὸς, ὀλέθριον βάρος·
ὅθεν πρὸς ἀνδρῶν ὑστέρων κεκλήσεται
δούρειος ἵππος, κρυπτὸν ἀμπισχὼν δόρυ.
ἔρημα δ' ἄλση καὶ θεῶν ἀνάκτορα
φόνῳ καταρρεῖ· πρὸς δὲ κρηπίδων βάθροις
πέπτωκε Πρίαμος Ζηνὸς ἑρκείου θανών.
πολὺς δὲ χρυσὸς Φρύγιά τε σκυλεύματα
πρὸς ναῦς Ἀχαιῶν πέμπεται· μένουσι δὲ
πρύμνηθεν οὖρον, ὡς δεκασπόρῳ χρόνῳ
ἀλόχους τε καὶ τέκν' εἰσίδωσιν ἄσμενοι,
οἳ τήνδ' ἐπεστράτευσαν Ἕλληνες πόλιν.
ἐγὼ δὲ, νικῶμαι γὰρ Ἀργείας θεοῦ
Ἥρας Ἀθάνας θ', αἳ συνεξεῖλον Φρύγας,
λείπω τὸ κλεινὸν Ἴλιον βωμούς τ' ἐμούς·
ἐρημία γὰρ πόλιν ὅταν λάβῃ κακὴ,
νοσεῖ τὰ τῶν θεῶν οὐδὲ τιμᾶσθαι θέλει.
πολλοῖς δὲ κωκυτοῖσιν αἰχμαλωτίδων
βοᾷ Σκάμανδρος δεσπότας κληρουμένων.
καὶ τὰς μὲν Ἀρκὰς, τὰς δὲ Θεσσαλὸς λεὼς
εἴληχ' Ἀθηναίων τε Θησεῖδαι πρόμοι.
ὅσαι δ' ἄκληροι Τρῳάδων, ὑπὸ στέγαις
ταῖσδ' εἰσὶ, τοῖς πρώτοισιν ἐξῃρημέναι
στρατοῦ, σὺν αὐταῖς δ' ἡ Λάκαινα Τυνδαρὶς
Ἑλένη, νομισθεῖσ' αἰχμάλωτος ἐνδίκως.
τὴν δ' ἀθλίαν τήνδ' εἴ τις εἰσορᾶν θέλει,
πάρεστιν, Ἑκάβην κειμένην πυλῶν πάρος,
δάκρυα χέουσαν πολλὰ καὶ πολλῶν ὕπερ·
ᾗ παῖς μὲν ἀμφὶ μνῆμ' Ἀχιλλείου τάφου
λάθρα τέθνηκε τλημόνως Πολυξένη,
φροῦδος δὲ Πρίαμος καὶ τέκν'· ἣν δὲ παρθένον
μεθῆκ' Ἀπόλλων δρομάδα Κασάνδραν ἄναξ,
τὸ τοῦ θεοῦ τε παραλιπὼν τό τ' εὐσεβὲς
γαμεῖ βιαίως σκότιον Ἀγαμέμνων λέχος.
ἀλλ', ὦ ποτ' εὐτυχοῦσα, χαῖρέ μοι, πόλις,
ξεστόν τε πύργωμ'· εἴ σε μὴ διώλεσε
Παλλὰς Διὸς παῖς, ἦσθ' ἂν ἐν βάθροις ἔτι.

ΑΘΗΝΑ.

ἔξεστι τὸν γένει μὲν ἄγχιστον πατρὸς,
μέγαν τε δαίμον' ἐν θεοῖς τε τίμιον,
λύσασαν ἔχθραν τὴν πάρος, προσεννέπειν;

ΠΟΣΕΙΔΩΝ.

ἔξεστιν· αἱ γὰρ συγγενεῖς ὁμιλίαι,
ἄνασσ' Ἀθάνα, φίλτρον οὐ σμικρὸν φρενῶν.

ΑΘΗΝΑ.

ἐπῄνεσ' ὀργὰς ἠπίους· φέρω δὲ σοὶ
κοινοὺς ἐμαυτῇ τ' ἐς μέσον λόγους, ἄναξ.

ΠΟΣΕΙΔΩΝ.

μῶν ἐκ θεῶν του καινὸν ἀγγελεῖς ἔπος,
ἢ Ζηνὸς, ἢ καὶ δαιμόνων τινὸς πάρα;

ΑΘΗΝΑ.

οὔκ, ἀλλὰ Τροίας οὕνεκ', ἔνθα βαίνομεν,
πρὸς σὴν ἀφῖγμαι δύναμιν, ὡς κοινὴν λάβω.

ΠΟΣΕΙΔΩΝ.

ἦ πού νιν ἔχθραν τὴν πρὶν ἐκβαλοῦσα νῦν
ἐς οἶκτον ἦλθες πυρὶ κατηθαλωμένης;

ΑΘΗΝΑ.

ἐκεῖσε πρῶτ' ἄνελθε· κοινώσει λόγους
καὶ συνθελήσεις ἂν ἐγὼ πρᾶξαι θέλω;

ΠΟΣΕΙΔΩΝ.

μάλιστ'· ἀτὰρ δὴ καὶ τὸ σὸν θέλω μαθεῖν,
πότερον Ἀχαιῶν οὕνεκ' ἦλθες ἢ Φρυγῶν.

ΑΘΗΝΑ.

τοὺς μὲν πρὶν ἐχθροὺς Τρῶας εὐφρᾶναι θέλω,
στρατῷ δ' Ἀχαιῶν νόστον ἐμβαλεῖν πικρόν.

ΠΟΣΕΙΔΩΝ.

τί δ' ὧδε πηδᾷς ἄλλοτ' εἰς ἄλλους τρόπους,
μισεῖς τε λίαν καὶ φιλεῖς ὃν ἂν τύχῃ;

ΑΘΗΝΑ.

οὐκ οἶσθ' ὑβρισθεῖσάν με καὶ ναοὺς ἐμούς;

ΠΟΣΕΙΔΩΝ.

οἶδ', ἡνίκ' Αἴας εἷλκε Κασάνδραν βίᾳ.

ΑΘΗΝΑ.

κοὐδέν γ' Ἀχαιῶν ἔπαθεν οὐδ' ἤκουσ' ὕπο.

ΠΟΣΕΙΔΩΝ.

καὶ μὴν ἔπερσάν γ' Ἴλιον τῷ σῷ σθένει.

ΑΘΗΝΑ.

τοιγάρ σφε σὺν σοὶ βούλομαι δρᾶσαι κακῶς.

ΠΟΣΕΙΔΩΝ.

ἕτοιμ' ἃ βούλει τἀπ' ἐμοῦ. δράσεις δὲ τί;

ΑΘΗΝΑ.

δύσνοστον αὐτοῖς νόστον ἐμβαλεῖν θέλω.

ΠΟΣΕΙΔΩΝ.

ἐν γῇ μενόντων ἢ καθ' ἁλμυρὰν ἅλα;

ΑΘΗΝΑ.

ὅταν πρὸς οἴκους ναυστολῶσ' ἀπ' Ἰλίου.
καὶ Ζεὺς μὲν ὄμβρον καὶ χάλαζαν ἄσπετον
πέμψει γνοφώδη τ' αἰθέρος φυσήματα,
ἐμοὶ δὲ δώσειν φησὶ πῦρ κεραύνιον,
βάλλειν Ἀχαιοὺς ναῦς τε πιμπράναι πυρί.
σὺ δ' αὖ τὸ σὸν παράσχες Αἴγαιον πόρον
τρικυμίαις βρέμοντα καὶ δίναις ἁλὸς,
πλῆσον δὲ νεκρῶν κοῖλον Εὐβοίας μυχὸν,

ὡς ἂν τὸ λοιπὸν τἄμ᾽ ἀνάκτορ᾽ εὐσεβεῖν
εἰδῶσ᾽ Ἀχαιοὶ θεούς τε τοὺς ἄλλους σέβειν.

ΠΟΣΕΙΔΩΝ.

ἔσται τάδ᾽· ἡ χάρις γὰρ οὐ μακρῶν λόγων
δεῖται· ταράξω πέλαγος Αἰγαίας ἁλός.
ἀκταὶ δὲ Μυκόνου Δήλιοί τε χοιράδες
Σκῦρός τε Λῆμνός θ᾽ αἱ Καφήρειοί τ᾽ ἄκραι
πολλῶν θανόντων σώμαθ᾽ ἕξουσιν νεκρῶν.
ἀλλ᾽ ἕρπ᾽ Ὄλυμπον, καὶ κεραυνίους βολὰς
λαβοῦσα πατρὸς ἐκ χερῶν καραδόκει,
ὅταν στράτευμ᾽ Ἀργεῖον ἐξίῃ κάλως.
μῶρος δὲ θνητῶν ὅστις ἐκπορθεῖ πόλεις,
ναούς τε τύμβους θ᾽, ἱρὰ τῶν κεκμηκότων,
ἐρημίᾳ δοὺς αὐτὸς ὤλεθ᾽ ὕστερον.

ΕΚΑΒΗ.

ἄνα, δυσδαίμων, πεδόθεν κεφαλὴν,
ἐπάειρε δέρην· οὐκέτι Τροία
τάδε καὶ βασιλεῖς ἐσμεν Τροίας.
μεταβαλλομένου δαίμονος ἀνέχου.
πλεῖ κατὰ πορθμὸν, πλεῖ κατὰ δαίμονα,
μηδὲ προσίστη πρῷραν βιότου
πρὸς κῦμα, πλέουσα τύχαισιν.
αἰαῖ αἰαῖ.
τί γὰρ οὐ πάρα μοι μελέᾳ στενάχειν,
ᾗ πατρὶς ἔρρει καὶ τέκνα καὶ πόσις;
ὦ πολὺς ὄγκος συστελλόμενος
προγόνων, ὡς οὐδὲν ἄρ᾽ ἦσθα.
τί με χρὴ σιγᾶν,
τί δὲ μὴ σιγᾶν; τί δὲ θρηνῆσαι;
δύστηνος ἐγὼ τῆς βαρυδαίμονος
ἄρθρων κλίσεως, ὡς διάκειμαι,
νῶτ᾽ ἐν στερροῖς λέκτροισι ταθεῖσ᾽.
οἴμοι κεφαλῆς, οἴμοι κροτάφων
πλευρῶν θ᾽, ὥς μοι πόθος εἱλίξαι,
καὶ διαδοῦναι νῶτον ἄκανθάν τ᾽
εἰς ἀμφοτέρους τοίχους μελέων,
ἐπὶ τοὺς ἀεὶ δακρύων ἐλέγους.
μοῦσα δὲ χαὔτη τοῖς δυστήνοις,
ἄτας κελαδεῖν ἀχορεύτους.
πρῷραι ναῶν ὠκεῖαι,
Ἴλιον ἱερὰν αἳ κώπαισιν
δι᾽ ἅλα τε πορφυροειδέα λιμένας θ᾽
Ἑλλάδος εὐόρμους
αὐλῶν παιᾶνι στυγνῷ
συρίγγων τ᾽ εὐφθόγγῳ φωνᾷ
πλεκτὰν Αἰγύπτου παιδείαν
ἐξηρτήσασθ᾽,
αἰαῖ, Τροίας ἐν κόλποισιν,
τὰν Μενελάου μετανισσόμεναι
στυγνὰν ἄλοχον, Κάστορι λώβαν,
τῷ τ᾽ Εὐρώτᾳ δύσκλειαν,
ἃ σφάζει μὲν
τὸν πεντήκοντ᾽ ἀροτῆρα τέκνων
Πρίαμον, ἐμέ τε τὰν μελέαν Ἑκάβην
ἐς τάνδ᾽ ἐξώκειλ᾽ ἄταν.
ὤμοι θάκους οὓς θάσσω
σκηναῖσιν ἐφεδρος Ἀγαμεμνονίαις.
δούλα δ᾽ ἄγομαι γραῦς ἐξ οἴκων,
κουρᾷ πενθήρει

122—137. == 138—152.

κρᾶτ᾽ ἐκπορθηθεῖσ᾽ οἰκτρῶς.
ἀλλ᾽ ὦ τῶν χαλκεγχέων Τρώων
ἄλοχοι μέλεαι, μέλεαι κοῦραι
καὶ δύσνυμφοι,
τύφεται Ἴλιον, αἰάζωμεν·
μάτηρ δ᾽ ὥς τις πτανοῖς κλαγγὰν
ὄρνισιν ὅπως ἐξάρξω ᾽γὼ
μολπὰν οὐ * τὰν αὐτὰν
οἵαν ποτὲ δὴ
σκήπτρῳ Πριάμου διερειδομένα
ποδὸς ἀρχεχόρου πλαγαῖς Φρυγίας
εὐκόμποις ἐξῆρχον θεούς.

ΗΜΙΧΟΡΙΟΝ.

Ἑκάβη, τί θροεῖς; τί δὲ θωΰσσεις;
ποῖ λόγος ἥκει; διὰ γὰρ μελάθρων
ἄϊον οἴκτους οὓς οἰκτίζει,
διὰ δὲ στέρνων φόβος ἀΐσσει
Τρῳάσιν; αἳ τῶνδ᾽ οἴκων εἴσω
δουλείαν αἰάζουσιν.

ΕΚΑΒΗ.

ὦ τέκν᾽, Ἀργείων πρὸς ναῦς δὴ
κινεῖται κωπήρης χείρ.

ΗΜΙΧΟΡΙΟΝ.

οἳ ᾽γὼ τλάμων.
τί θέλουσ᾽; ἦ που δή με τάλαιναν
ναυσθλώσουσιν πατρῴας ἀπὸ γᾶς;

ΕΚΑΒΗ.

οὐκ οἶδ᾽, εἰκάζω δ᾽ ἄταν.

ΗΜΙΧΟΡΙΟΝ.

ἰὼ ἰώ.
μέλεαι μόχθων ἐπακουσόμεναι
Τρῳάδες, ἔξω κομίσασθ᾽ οἴκων·
στέλλουσ᾽ Ἀργεῖοι νόστον.

ΕΚΑΒΗ.

ἓ ἕ.
μή νύν μοι τὰν βακχεύουσαν
Κασάνδραν πέμψασθ᾽ ἔξω,
αἰσχύναν Ἀργείοισιν,
μαινάδ᾽, ἐπ᾽ ἄλγεσι δ᾽ ἀλγυνθῶ,
ἰὼ Τροία δύσταν᾽, ἔρρεις,
δύστανοι δ᾽ οἵ σ᾽ ἐκλείποντες
καὶ ζῶντες καὶ δμαθέντες.

ΗΜΙΧΟΡΙΟΝ.

οἴμοι. τρομερὰ σκηνὰς ἔλιπον
τάσδ᾽ Ἀγαμέμνονος ἐπακουσομένα,
βασίλεια, σέθεν, μή με κτείνειν
δόξ᾽ Ἀργείων κεῖται μελέαν,
ἢ κατὰ πρύμνας ἤδη ναῦται
στέλλονται κινεῖν κώπας.

ΕΚΑΒΗ.

ὦ τέκνον, ὀρθρεύουσαν ψυχὰν
ἐκπληχθεῖσ᾽ ἦλθον φρίκᾳ.

ΗΜΙΧΟΡΙΟΝ.

* *
ἤδη τις ἔβα Δαναῶν κῆρυξ;
τῷ πρόσκειμαι δούλα τλάμων;

ΕΚΑΒΗ.

ἐγγύς που κεῖσαι κλήρου.

153—175. == 176—196.

*ΗΜΙΧΟΡΙΟΝ.*

*ἰὼ ἰώ.*
*τίς μ' Ἀργείων ἢ Φθιωτᾶν*
*ἢ νησαίαν ἄξει χώραν*
*δύστανον πόρρω Τροίας;*

*ΕΚΑΒΗ.*

*φεῦ φεῦ.*
*τῷ δ' ἁ τλάμων ποῦ ποῦ γαίας*
*δουλεύσω γραῦς, ὡς κηφὴν,*
*δειλαία νεκροῦ μορφὰ,*
*νεκύων ἀμενηνὸν ἄγαλμ', ἢ*
*τὰν παρὰ προθύροις φυλακὰν κατέχουσ',*
*ἢ παίδων θρέπτειρ', ἃ Τροίας*
*ἀρχαγοὺς εἶχον τιμάς;*

*ΧΟΡΟΣ.*

*αἰαῖ αἰαῖ. ποίοις δ' οἴκτοις*
*τὰν σὰν λύμαν ἐξαιάζεις;*
*οὐκ Ἰδαίοις ἱστοῖς κερκίδα*
*δινεύουσ' ἐξαλλάξω.*
*νέατον τεκέων σώματα λεύσσω,*
*νέατον· μόχθους ἕξω κρείσσους,*
*ἢ λέκτροις πλαθεῖσ' Ἑλλάνων·*
*ἔρροι νὺξ αὕτα καὶ δαίμων·*
*ἢ Πειρήνας ὑδρευσομένα*
*πρόσπολος οἰκτρὰ σεμνῶν ὑδάτων.*
*τὰν κλεινὰν εἴθ' ἔλθοιμεν*
*Θησέως εὐδαίμονα χώραν.*
*μὴ γὰρ δὴ δίναν γ' Εὐρώτα,*
*τὰν ἐχθίσταν θεράπναν Ἑλένας,*
*ἔνθ' ἀντάσω Μενέλᾳ δούλα,*
*τῷ τᾶς Τροίας πορθητᾷ.*
*τὰν Πηνειοῦ σεμνὰν χώραν,*
*κρηπῖδ' Οὐλύμπου καλλίσταν,*
*ὄλβῳ βρίθειν φάμαν ἤκουσ'*
*εὐθαλεῖ τ' εὐκαρπείᾳ·*
*τάδε δεύτερά μοι μετὰ τὰν ἱερὰν*
*Θησέως ζαθέαν ἐλθεῖν χώραν.*
*καὶ τὰν Αἰτναίαν Ἡφαίστου*
*Φοινίκας ἀντήρη χώραν,*
*Σικελῶν ὀρέων ματέρ', ἀκούω*
*καρύσσεσθαι στεφάνοις ἀρετᾶς.*
*τάν τ' ἀγχιστεύουσαν γᾶν*
*Ἰονίῳ ναύταις πόντῳ,*
*ἂν ὑγραίνει καλλιστεύων*
*ὁ ξανθὰν χαίταν πυρσαίνων*
*Κρᾶθις, ζαθέαις παγαῖσι τρέφων*
*εὔανδρόν τ' ὀλβίζων γᾶν.*
*καὶ μὴν Δαναῶν ὅδ' ἀπὸ στρατιᾶς*
*κῆρυξ, νεοχμῶν μύθων ταμίας,*
*στείχει ταχύπουν ἴχνος ἐξανύων.*
*τί φέρει; τί λέγει; δοῦλαι γὰρ δὴ*
*Δωρίδος ἐσμὲν χθονὸς ἤδη.*

*ΤΑΛΘΥΒΙΟΣ.*

*Ἑκάβη, πυκνὰς γὰρ οἶσθά μ' ἐς Τροίαν ὁδοὺς*
*ἐλθόντα κήρυκ' ἐξ Ἀχαϊκοῦ στρατοῦ,*
*ἐγνωσμένος δὲ καὶ πάροιθέ σοι, γύναι,*
*Ταλθύβιος ἥκω, καινὸν ἀγγελῶν λόγον.*

*ΕΚΑΒΗ.*

*τόδε τόδε, φίλαι γυναῖκες,*
*ὃ φόβος ἦν μοι πάλαι.*

*ΤΑΛΘΥΒΙΟΣ.*

*ἤδη κεκλήρωσθ', εἰ τόδ' ἦν ὑμῖν φόβος.*

*ΕΚΑΒΗ.*

*αἰαῖ. τίνα γ' ἢ Θεσσαλίας πόλιν ἢ*
*Φθιάδος εἶπας ἢ Καδμείας χθονός;*

*ΤΑΛΘΥΒΙΟΣ.*

*κατ' ἄνδρ' ἑκάστη κοὐχ ὁμοῦ λελόγχατε.*

*ΕΚΑΒΗ.*

*τίν' ἄρα τίς ἔλαχε; τίνα πότμος εὐτυχὴς*
*Ἰλιάδων μένει;*

*ΤΑΛΘΥΒΙΟΣ.*

*οἶδ'· ἀλλ' ἕκαστα πυνθάνου, μὴ πάνθ' ὁμοῦ.*

*ΕΚΑΒΗ.*

*τοὐμὸν δὲ τίς ἄρ' ἔλαχε τέκος, ἔννεπε,*
*τλάμονα Κασάνδραν;*

*ΤΑΛΘΥΒΙΟΣ.*

*ἐξαίρετόν νιν ἔλαβεν Ἀγαμέμνων ἄναξ.*

*ΕΚΑΒΗ.*

*ἦ τᾷ Λακεδαιμονίᾳ νύμφᾳ*
*δούλαν; ὤμοι μοι.*

*ΤΑΛΘΥΒΙΟΣ.*

*οὔκ, ἀλλὰ λέκτρων σκότια νυμφευτήρια.*

*ΕΚΑΒΗ.*

*ἦ τὰν Φοίβου παρθένον, ᾇ γέρας ὁ*
*χρυσοκόμας ἔδωκ' ἄλεκτρον ζόαν;*

*ΤΑΛΘΥΒΙΟΣ.*

*ἔρως ἐτόξευσ' αὐτὸν ἐνθέου κόρης.*

*ΕΚΑΒΗ.*

*ῥῖπτε, τέκνον, ζαθέους*
*κλῇδας καὶ ἀπὸ χροὸς ἐν-*
*δυτῶν στεφέων ἱεροὺς στολμούς.*

*ΤΑΛΘΥΒΙΟΣ.*

*οὐ γὰρ μέγ' αὐτῇ βασιλικῶν λέκτρων τυχεῖν;*

*ΕΚΑΒΗ.*

*τί δ', ὃ νεοχμὸν ἀπ' ἐμέθεν ἐλάβετε τέκος, ποῦ μοι;*

*ΤΑΛΘΥΒΙΟΣ.*

*Πολυξένην ἔλεξας, ἢ τίν' ἱστορεῖς;*

*ΕΚΑΒΗ.*

*ταύταν τῷ πάλος ἔζευξεν;*

*ΤΑΛΘΥΒΙΟΣ.*

*τύμβῳ τέτακται προσπολεῖν Ἀχιλλέως.*

*ΕΚΑΒΗ.*

*ὤμοι ἐγώ. τάφῳ πρόσπολον ἐτεκόμαν.*
*ἀτὰρ τίς ὅδ' ἦν νόμος ἢ*
*τί θέσμιον, ὦ φίλος, Ἑλλάνων;*

*ΤΑΛΘΥΒΙΟΣ.*

*εὐδαιμόνιζε παῖδα σήν· ἔχει καλῶς.*

*ΕΚΑΒΗ.*

*τί τόδ' ἔλακες; ἆρά μοι ἀέλιον λεύσσει;*

*ΤΑΛΘΥΒΙΟΣ.*

*ἔχει πότμος νιν, ὥστ' ἀπηλλάχθαι πόνων.*

*ΕΚΑΒΗ.*

*τί δ', ἡ τοῦ χαλκεομίτορος Ἕκτορος δάμαρ,*
*Ἀνδρομάχη τάλαινα, τίν' ἔχει τύχαν;*

*ΤΑΛΘΥΒΙΟΣ.*

*καὶ τήνδ' Ἀχιλλέως ἔλαβε παῖς ἐξαίρετον.*

*ΕΚΑΒΗ.*

*ἐγὼ δὲ τῷ πρόσπολος, ἁ τριτοβάμονος χερὶ*
*δευομένα βάκτρου γεραιῷ κάρᾳ;*

197—213. = 214—229.

ΤΑΛΘΥΒΙΟΣ.

Ἰθάκης Ὀδυσσεὺς ἔλαχ' ἄναξ δούλην σ' ἔχειν.

ΕΚΑΒΗ.

ἒ ἔ.
ἄρασσε κρᾶτα κούριμον,
ἕλκ' ὀνύχεσσι δίπτυχον παρειάν.
ἰώ μοί μοι.
μυσαρῷ δολίῳ τε λέλογχα φωτὶ δουλεύειν
πολεμίῳ δίκας, παρανόμῳ δάκει,
ὃς πάντα τἀκεῖθεν ἐνθάδ'
ἀντίπαλ' αὖθις ἐκεῖσε διπτύχῳ γλώσσᾳ
φίλα τὰ πρότερ' ἄφιλα τιθέμενος πάντων.
γοᾶσθ', ὦ Τρῳάδες, με.
βέβακα δύσποτμος, οἴχομαι
ἁ τάλαιν', ἃ δυστυχεστάτῳ
προσέπεσον κλήρῳ.

ΧΟΡΟΣ.

τὸ μὲν σὸν οἶσθα, πότνα, τὰς δ' ἐμὰς τύχας
τίς ἆρ' Ἀχαιῶν ἢ τίς Ἑλλήνων ἔχει;

ΤΑΛΘΥΒΙΟΣ.

ἴτ', ἐκκομίζειν δεῦρο Κασάνδραν χρεὼν
ὅσον τάχιστα, δμῶες, ὡς στρατηλάτῃ
ἐς χεῖρα δούς νιν εἶτα τὰς εἰληγμένας
καὶ τοῖσιν ἄλλοις αἰχμαλωτίδων ἄγω.
ἔα, τί πεύκης ἔνδον αἴθεται σέλας;
πιμπρᾶσιν ἢ τί δρῶσι Τρῳάδες μυχούς,
ὡς ἐξάγεσθαι τῆσδε μέλλουσαι χθονὸς
πρὸς Ἄργος, αὐτῶν τ' ἐκπυροῦσι σώματα,
θανεῖν θέλουσαι; κάρτα τοι τοὐλεύθερον
ἐν τοῖς τοιούτοις δυσλόφως φέρει κακά.
ἄνοιγ' ἄνοιγε, μὴ τὸ ταῖσδε πρόσφορον,
ἐχθρὸν δ' Ἀχαιοῖς, εἰς ἔμ' αἰτίαν βάλῃ.

ΕΚΑΒΗ.

οὐκ ἔστιν, οὐ πιμπρᾶσιν, ἀλλὰ παῖς ἐμὴ
μαινὰς θοάζει δεῦρο Κασάνδρα δρόμῳ.

ΚΑΣΑΝΔΡΑ.

ἄνεχε, πάρεχε, φῶς φέρε· σέβω, φλέγω,
ἰδοὺ ἰδού,
λαμπάσι τόδ' ἱερόν.
Ὑμὴν, ὦ Ὑμέναι' ἄναξ,
μακάριος ὁ γαμέτας,
μακαρία δ' ἐγὼ βασιλικοῖς λέκτροις
κατ' Ἄργος ἁ γαμουμένα.
Ὑμὴν, ὦ Ὑμέναι' ἄναξ.
ἐπεὶ σὺ, μᾶτερ, ἐπὶ δάκρυσι καὶ
γόοισι τὸν θανόντα πατέρα πατρίδα τε
φίλαν καταστένουσ' ἔχεις,
ἐγὼ τόδ' ἐπὶ γάμοις ἐμοῖς
ἀναφλέγω πυρὸς φῶς
ἐς αὐγὰν, ἐς αἴγλαν,
Ὑμὴν, ὦ Ὑμέναιε, σοί.
δίδου δ', ὦ Ἑκάτα, φάος,
παρθένων ἐπὶ λέκτροις, ἃ νόμος ἔχει.
πάλλε πόδ' αἰθέριον, ἄναγε χορὸν, *
εὐὰν εὐοῖ,
ὡς ἐπὶ πατρὸς ἐμοῦ
μακαριωτάταις τύχαις.
ὁ χορὸς ὅσιος, *

308—324. = 325—341.

ἄγε σὺ Φοῖβέ νιν· κατὰ σὸν ἐν δάφναις
ἀνάκτορον θυηπολῶ,
Ὑμὴν, ὦ Ὑμέναι', Ὑμήν.
χόρευε, μᾶτερ, ἄναγε, πόδα σὸν
ἕλισσε τᾷδ' ἐκεῖσε μετ' ἐμέθεν ποδῶν
φέρουσα φιλτάταν βάσιν.
βοάσατ' εὖ τὸν Ὑμέναιον, ὤ,
μακαρίαις ἀοιδαῖς
ἰαχαῖς τε νύμφαν.
ἴτ', ὦ καλλίπεπλοι Φρυγῶν
κόραι, μέλπετ' ἐμὸν γάμον
τὸν πεπρωμένον εὐνᾷ πόσιν ἐμέθεν.

ΧΟΡΟΣ.

βασίλεια, βακχεύουσαν οὐ λήψει κόρην,
μὴ κοῦφον αἴρῃ βῆμ' ἐς Ἀργείων στρατόν;

ΕΚΑΒΗ.

Ἥφαιστε, δᾳδουχεῖς μὲν ἐν γάμοις βροτῶν,
ἀτὰρ λυγράν γε τήνδ' ἀναιθύσσεις φλόγα,
ἔξω τε μεγάλων ἐλπίδων. οἴμοι, τέκνον,
ὡς σ' οὐχ ὑπ' αἰχμῆς οὐδ' ὑπ' Ἀργείου δορὸς
γάμους γαμεῖσθαι τούσδ' ἐδόξαζόν ποτε.
παράδος ἐμοὶ φῶς· οὐ γὰρ ὀρθὰ πυρφορεῖς
μαινὰς θοάζουσ', οὐδὲ σαὶ τύχαι, τέκνον,
σεσωφρονήκασ', ἀλλ' ἔτ' ἐν ταὐτῷ μένεις.
ἐσφέρετε πεύκας, δάκρυά τ' ἀνταλλάσσετε
τοῖς τῆσδε μέλεσι, Τρῳάδες, γαμηλίοις.

ΚΑΣΑΝΔΡΑ.

μῆτερ, πύκαζε κρᾶτ' ἐμὸν νικηφόρον,
καὶ χαῖρε τοῖς ἐμοῖσι βασιλικοῖς γάμοις,
καὶ πέμπε, κἂν μὴ τἀμά σοι πρόθυμά γ' ᾖ,
ὤθει βιαίως· εἰ γὰρ ἔστι Λοξίας,
Ἑλένης γαμεῖ με δυστυχέστερον γάμον
ὁ τῶν Ἀχαιῶν κλεινὸς Ἀγαμέμνων ἄναξ.
κτενῶ γὰρ αὐτὸν κἀντιπορθήσω δόμους
ποινὰς ἀδελφῶν καὶ πατρὸς λαβοῦσ' ἐμοῦ·
ἀλλ' αὔτ' ἐάσω· πέλεκυν οὐχ ὑμνήσομεν,
ὃς ἐς τράχηλον τὸν ἐμὸν εἶσι χἀτέρων,
μητροκτόνους τ' ἀγῶνας, οὓς οὑμοὶ γάμοι
θήσουσιν, οἴκων τ' Ἀτρέως ἀνάστασιν·
πόλιν δὲ δείξω τήνδε μακαριωτέραν
ἢ τοὺς Ἀχαιοὺς, ἔνθεος μὲν, ἀλλ' ὅμως
τοσόνδε γ' ἔξω στήσομαι βακχευμάτων,
οἳ διὰ μίαν γυναῖκα καὶ μίαν Κύπριν
θηρῶντες Ἑλένην μυρίους ἀπώλεσαν.
ὁ δὲ στρατηγὸς ὁ σοφὸς ἐχθίστων ὕπερ
τὰ φίλτατ' ὤλεσ', ἡδονὰς τὰς οἴκοθεν
τέκνων ἀδελφῷ δοὺς γυναικὸς οὕνεκα,
καὶ ταῦθ' ἑκούσης κοὐ βίᾳ λελῃσμένης.
ἐπεὶ δ' ἐπ' ἀκτὰς ἤλυθον Σκαμανδρίους,
ἔθνῃσκον, οὐ γῆς ὅρι' ἀποστερούμενοι,
οὐδ' ὑψιπύργου πατρίδος· οὓς δ' Ἄρης ἕλοι,
οὐ παῖδας εἶδον, οὐ δάμαρτος ἐν χεροῖν
πέπλοις συνεστάλησαν, ἐν ξένῃ δὲ γῇ
κεῖνται. τὰ δ' οἴκοι τοῖσδ' ὅμοι' ἐγίγνετο·
χῆραί τ' ἔθνῃσκον, οἱ δ' ἄπαιδες ἐν δόμοις
ἄλλοις τέκν' ἐκθρέψαντες, οὐδὲ πρὸς τάφοις
ἔσθ' ὅστις αὐτοῖς αἷμα γῇ δωρήσεται.
ἦ τοῦδ' ἐπαίνου τὸ στράτευμ' ἐπάξιον.
σιγᾶν ἄμεινον τᾀσχρὰ, μηδὲ μοῦσά μοι

γένοιτ' ἀοιδὸς ἥτις ὑμνήσει κακά.
Τρῶες δὲ πρῶτον μὲν, τὸ κάλλιστον κλέος,
ὑπὲρ πάτρας ἔθνησκον· οὓς δ' ἕλοι δόρυ,
νεκροί γ' ἐς οἴκους φερόμενοι φίλων ὕπο
ἐν γῇ πατρῴᾳ περιβολὰς εἶχον χθονὸς,
χερσὶν περισταλέντες ὧν ἐχρῆν ὕπο.
ὅσοι δὲ μὴ θάνοιεν ἐν μάχῃ Φρυγῶν,
ἀεὶ κατ' ἦμαρ σὺν δάμαρτι καὶ τέκνοις
ᾤκουν, Ἀχαιοῖς ὧν ἀπῆσαν ἡδοναί.
τὰ δ' Ἕκτορός σοι λύπρ' ἄκουσον ὡς ἔχει·
δόξας ἀνὴρ ἄριστος οἴχεται θανών.
καὶ τοῦτ' Ἀχαιῶν ἵξις ἐξεργάζεται·
εἰ δ' ἦσαν οἴκοι, χρηστὸς ἔλαθεν ἂν γεγώς.
Πάρις δ' ἔγημε τὴν Διὸς, γήμας δὲ μὴ,
σιγώμενον τὸ κῆδος εἶχεν ἐν δόμοις.
φεύγειν μὲν οὖν χρὴ πόλεμον, ὅστις εὖ φρονεῖ·
εἰ δ' ἐς τόδ' ἔλθοι, στέφανος οὐκ αἰσχρὸς πόλει
καλῶς ὀλέσθαι, μὴ καλῶς δὲ δυσκλεές.
ὧν οὕνεκ' οὐ χρὴ, μῆτερ, οἰκτείρειν σε γῆν
ἢ τἀμὰ λέκτρα· τοὺς γὰρ ἐχθίστους ἐμοὶ
καὶ σοὶ γάμοισι τοῖς ἐμοῖς διαφθερῶ.

ΧΟΡΟΣ.

ὡς ἡδέως κακοῖσιν οἰκείοις γελᾷς,
μέλπεις θ' ἃ μέλπουσ' οὐ σαφῆ δείξεις ἴσως.

ΤΑΛΘΥΒΙΟΣ.

εἰ μή σ' Ἀπόλλων ἐξεβάκχευσεν φρένας,
οὐκ ἂν ἀμισθὶ τοὺς ἐμοὺς στρατηλάτας
τοιαῖσδε φήμαις ἐξέπεμπες ἂν χθονός.
ἀτὰρ τὰ σεμνὰ καὶ δοκήμασιν σοφὰ
οὐδέν τι κρείσσω τῶν τὸ μηδὲν ἦν ἄρα.
ὁ γὰρ μέγιστος τῶν Πανελλήνων ἄναξ,
Ἀτρέως φίλος παῖς, τῆσδ' ἔρωτ' ἐξαίρετον
Μαινάδος ὑπέστη· καὶ πένης μέν εἰμ' ἐγὼ,
ἀτὰρ λέχος γε τῆσδ' ἂν οὐκ ἐκτησάμην.
καὶ σοὶ μὲν, οὐ γὰρ ἀρτίας ἔχεις φρένας,
Ἀργεῖ' ὀνείδη καὶ Φρυγῶν ἐπαινέσεις
ἀνέμοις φέρεσθαι παραδίδωμ'. ἕπου δέ μοι
πρὸς ναῦς, καλὸν νύμφευμα τῷ στρατηλάτῃ.
σὺ δ', ἡνίκ' ἄν σε Λαρτίου χρῄζῃ τόκος
ἄγειν, ἕπεσθαι· σώφρονος δ' ἔσει λάτρις
γυναικὸς, ὥς φασ' οἱ μολόντες Ἴλιον.

ΚΑΣΑΝΔΡΑ.

ἦ δεινὸς ὁ λάτρις· τί ποτ' ἔχουσι τοὔνομα
κήρυκες; ἓν ἀπέχθημα πάγκοινον βροτοῖς
οἱ περὶ τυράννους καὶ πόλεις ὑπηρέται.
σὺ τὴν ἐμὴν φῂς μητέρ' εἰς Ὀδυσσέως
ἥξειν μέλαθρα; ποῦ δ' Ἀπόλλωνος λόγοι,
οἵ φασιν αὐτὴν εἰς ἔμ' ἡρμηνευμένοι
αὐτοῦ θανεῖσθαι; τἄλλα δ' οὐκ ὀνειδιῶ.
δύστηνος, οὐκ οἶδ' οἷά νιν μένει παθεῖν·
ὡς χρυσὸς αὐτῷ τἀμὰ καὶ Φρυγῶν κακὰ
δόξει ποτ' εἶναι. δέκα γὰρ ἀντλήσας ἔτη
πρὸς τοῖσιν ἐνθάδ', ἵξεται μόνος πάτραν,
οὗ δὴ στενὸν δίαυλον ᾤκισται πέτρας
δεινὴ Χάρυβδις, ὠμοβρώς τ' ὀρειβάτης
Κύκλωψ, Λιγυστίς θ' ἡ συῶν μορφώτρια
Κίρκη, θαλάσσης θ' ἁλμυρᾶς ναυάγια,
λωτοῦ τ' ἔρωτες, ἡλίου θ' ἁγναὶ βόες,
αἳ σάρκα φωνήεσσαν ἥσουσίν ποτε,
πικρὰν Ὀδυσσεῖ γῆρυν. ὡς δὲ συντέμω,
ζῶν εἶσ' ἐς Ἅιδην, κἀκφυγὼν λίμνης ὕδωρ,
κάκ' ἐν δόμοισι μυρί' εὑρήσει μολών.
ἀλλὰ γὰρ τί τοὺς Ὀδυσσέως ἐξακοντίζω πόνους;
στεῖχ', ὅπως τάχιστ' ἐς Ἅιδου νυμφίῳ γημώμεθα.
ἦ κακὸς κακῶς ταφήσει νυκτὸς, οὐκ ἐν ἡμέρᾳ,
ὦ δοκῶν σεμνόν τι πράσσειν, Δαναϊδῶν ἀρχηγέτα.
κἀμέ τοι νεκρὸν φάραγγες γυμνάδ' ἐκβεβλημένην
ὕδατι χειμάρρῳ ῥέουσαι νυμφίου πέλας τάφου
θηρσὶ δώσουσιν δάσασθαι, τὴν Ἀπόλλωνος λάτριν.
ὦ στέφη τοῦ φιλτάτου μοι θεῶν, ἀγάλματ' εὔια,
χαίρετ'· ἐκλέλοιφ' ἑορτὰς, αἷς πάροιθ' ἠγαλλόμην.
ἴτ' ἀπ' ἐμοῦ χρωτὸς σπαραγμοῖς· ὡς ἔτ' οὖσ' ἁγνὴ χρόα
δῶ θοαῖς αὔραις φέρεσθαί σοι τάδ', ὦ μαντεῖ' ἄναξ.
ποῦ σκάφος τὸ τοῦ στρατηγοῦ; ποῖ ποτ' ἐμβαίνειν με χρή;
οὐκέτ' ἂν φθάνοις ἂν αὔραν ἱστίοις καραδοκῶν,
ὡς μίαν τριῶν Ἐρινὺν τῆσδέ μ' ἐξάξων χθονός.
χαῖρέ μοι, μῆτερ, δακρύσῃς μηδὲν, ὦ φίλη πατρίς·
οἵ τε γῆς ἔνερθ' ἀδελφοὶ χὠ τεκὼν ἡμᾶς πατὴρ,
οὐ μακρὰν δέξεσθέ μ'· ἥξω δ' ἐς νεκροὺς νικηφόρος
καὶ δόμους πέρσασ' Ἀτρειδῶν, ὧν ἀπωλόμεσθ' ὕπο.

ΧΟΡΟΣ.

Ἑκάβης γεραιᾶς φύλακες, οὐ δεδόρκατε
δέσποιναν ὡς ἄναυδος ἐς πέδον πίτνει;
οὐκ ἀντιλήψεσθ'; ἢ μεθήσετ', ὦ κακαί;
γραῖαν πεσοῦσαν αἴρετ' εἰς ὀρθὸν πάλιν.

ΕΚΑΒΗ.

ἐᾶτέ μ'· οὔτοι φίλα τὰ μὴ φίλ', ὦ κόραι,
κεῖσθαι πεσοῦσαν· πτωμάτων γὰρ ἄξια
πάσχω τε καὶ πέπονθα κἄτι πείσομαι.
ὦ θεοί· κακοὺς μὲν ἀνακαλῶ τοὺς συμμάχους,
ὅμως δ' ἔχει τι σχῆμα κικλήσκειν θεοὺς,
ὅταν τις ἡμῶν δυστυχῆ λάβῃ τύχην.
πρῶτον μὲν οὖν μοι τἀγάθ' ἐξᾷσαι φίλον·
τοῖς γὰρ κακοῖσι πλείον' οἶκτον ἐμβαλῶ.
ἦ μὲν τύραννος κεἰς τύραννν' ἐγημάμην,
κἀνταῦθ' ἀριστεύοντ' ἐγεινάμην τέκνα,
οὐκ ἀριθμὸν ἄλλως, ἀλλ' ὑπερτάτους Φρυγῶν,
οὓς Τρῳὰς οὐδ' Ἑλληνὶς οὐδὲ βάρβαρος
γυνὴ τεκοῦσα κομπάσειεν ἄν ποτε.
κἀκεῖνά τ' εἶδον δορὶ πεσόνθ' Ἑλληνικῷ,
τρίχας τ' ἐτμήθην τάσδε πρὸς τύμβον νεκρῶν,
καὶ τὸν φυτουργὸν Πρίαμον οὐκ ἄλλων πάρα
κλύουσ' ἔκλαυσα, τοῖσδε δ' εἶδον ὄμμασιν
αὐτὴ κατασφαγέντ' ἐφ' ἑρκείῳ πυρᾷ,
πόλιν θ' ἁλοῦσαν. ἃς δ' ἔθρεψα παρθένους
ἐς ἀξίωμα νυμφίων ἐξαίρετον,
ἄλλοισι θρέψασ' ἐκ χερῶν ἀφῃρέθην.
κοὔτ' ἐξ ἐκείνων ἐλπὶς ὡς ὀφθήσομαι,
αὐτή τ' ἐκείνας οὐκέτ' ὄψομαί ποτε.
τὸ λοίσθιον δὲ θριγκὸς ἀθλίων κακῶν,
δούλη γυνὴ γραῦς Ἑλλάδ' εἰσαφίξομαι.
ἃ δ' ἐστὶ γήρᾳ τῷδ' ἀσυμφορώτατα,
τούτοις με προσθήσουσιν, ἢ θυρῶν λάτριν
κλῇδας φυλάσσειν, τὴν τεκοῦσαν Ἕκτορα,

ἢ σιτοποιεῖν, κἀν πέδῳ κοίτας ἔχειν
ῥυσοῖσι νώτοις βασιλικῶν ἐκ δεμνίων,
τρυχηρὰ περὶ τρυχηρὸν εἱμένην χρόα
πέπλων λακίσματ', ἀδόκιμ' ὀλβίοις ἔχειν.
οἲ 'γὼ τάλαινα, διὰ γάμον μιᾶς ἕνα
γυναικὸς οἵων ἔτυχον, ὧν τε τεύξομαι.
ὦ τέκνον, ὦ σύμβακχε Κασάνδρα θεοῖς,
οἵαις ἔλυσας συμφοραῖς ἄγνευμα σόν.
σύ τ', ὦ τάλαινα, ποῦ ποτ' εἶ, Πολυξένη;
ὡς οὔτε μ' ἄρσην οὔτε θήλεια σπορὰ
πολλῶν γενομένων τὴν τάλαιναν ὠφελεῖ.
τί δῆτά μ' ὀρθοῦτ'; ἐλπίδων ποίων ὕπο;
ἄγετε τὸν ἁβρὸν δήποτ' ἐν Τροίᾳ πόδα,
νῦν δ' ὄντα δοῦλον, στιβάδα πρὸς χαμαιπετῆ
πέτρινά τε κρήδεμν', ὡς πεσοῦσ' ἀποφθαρῶ,
δακρύοις καταξανθεῖσα. τῶν δ' εὐδαιμόνων
μηδένα νομίζετ' εὐτυχεῖν πρὶν ἂν θάνῃ.

ΧΟΡΟΣ.

ἀμφί μοι Ἴλιον, ὦ
Μοῦσα, καινῶν ὕμνων
ἄεισον ἐν δακρύοις
ᾠδὰν ἐπικήδειον·
νῦν γὰρ μέλος ἐς Τροίαν
ἰαχήσω,
τετραβάμονος ὡς ὑπ' ἀπήνας
Ἀργείων ὀλόμαν τάλαινα δοριάλωτος,
ὅτ' ἔλιπον ἵππον, οὐράνια
βρέμοντα, χρυσοφάλαρον, ἔνοπλον
ἐν πύλαις Ἀχαιοί·
ἀνὰ δ' ἐβόασεν λεὼς
Τρῳάδος ἀπὸ πέτρας σταθείς,
ἴτ', ὦ πεπαυμένοι πόνων,
τόδ' ἱερὸν ἀνάγετε ξόανον
Ἰλιάδι διογενεῖ κόρᾳ.
τίς οὐκ ἔβα νεανίδων,
τίς οὐ γεραιὸς ἐκ δόμων;
κεχαρμένοι δ' ἀοιδαῖς
δόλιον ἔσχον ἄταν.
πᾶσα δὲ γέννα Φρυγῶν
πρὸς πύλας ὡρμάθη,
πεύκᾳ ἐν οὐρείᾳ
ξεστὸν λόχον Ἀργείων
καὶ Δαρδανίας ἄταν
θεᾷ δώσων
χάριν ἄζυγος, ἀμβροτοπώλου·
κλωστοῦ δ' ἀμφιβόλοις λίνοισι, ναὸς ὡσεὶ
σκάφος κελαινὸν εἰς ἕδρανα
λάϊνα δάπεδά τε φόνια πατρίδι
Παλλάδος θέσαν θεᾶς.
ἐν δὲ πόνῳ καὶ χαρᾷ
νύχιον ἐπὶ κνέφας παρῆν,
Λίβυς τε λωτὸς ἐκτύπει
Φρύγιά τε μέλεα, παρθένοι δ'
ἀέριον ἀνὰ κρότον ποδῶν
βοὰν τ' ἔμελπον εὔφρον'· ἐν
δόμοις δὲ παμφαὲς σέλας
πυρὸς μέλαιναν αἴγλαν
ἔδωκεν παρ' ὕπνῳ.
ἐγὼ δὲ τὰν ὀρεστέραν

511—530. == 531—550.

τότ' ἀμφὶ μέλαθρα παρθένον,
Διὸς κόραν [Ἄρτεμιν] ἐμελπόμαν
χοροῖσι· φοινία δ' ἀνὰ
πτόλιν βοὰ κατεῖχε Περ-
γάμων ἕδρας· βρέφη δὲ φίλι-
α περὶ πέπλους ἔβαλλε μα-
τρὶ χεῖρας ἐπτοημένας·
λόχου δ' ἐξέβαιν' Ἄρης,
κόρας ἔργα Παλλάδος.
σφαγαὶ δ' ἀμφιβώμιοι
Φρυγῶν, ἔν τε δεμνίοις
καράτομος ἐρημία
νεανίδων στέφανον ἔφερεν
Ἑλλάδι κουροτρόφῳ,
Φρυγῶν δὲ πατρίδι πένθη.
Ἑκάβη, λεύσσεις τήνδ' Ἀνδρομάχην
ξενικοῖς ἐπ' ὄχοις πορθμευομένην;
παρὰ δ' εἰρεσίᾳ μαστῶν ἕπεται
φίλος Ἀστυάναξ, Ἕκτορος ἶνις.

ΕΚΑΒΗ.

ποῖ ποτ' ἀπήνης νώτοισι φέρει,
δύστανε γύναι, πάρεδρος χαλκέοις
Ἕκτορος ὅπλοις σκύλοις τε Φρυγῶν
δοριθηράτοις,
οἶσιν Ἀχιλλέως παῖς Φθιώτας
στέψει ναοὺς ἀπὸ Τροίας;

ΑΝΔΡΟΜΑΧΗ.

Ἀχαιοὶ δεσπόται μ' ἄγουσιν.

ΕΚΑΒΗ.

ὤμοι.

ΑΝΔΡΟΜΑΧΗ.

τί παιᾶν' ἐμὸν στενάζεις;

ΕΚΑΒΗ.

αἰαῖ.

ΑΝΔΡΟΜΑΧΗ.

τῶνδ' ἀλγέων

ΕΚΑΒΗ.

ὦ Ζεῦ.

ΑΝΔΡΟΜΑΧΗ.

καὶ συμφορᾶς

ΕΚΑΒΗ.

τέκεα.

ΑΝΔΡΟΜΑΧΗ.

πρίν ποτ' ἦμεν.

ΕΚΑΒΗ.

βέβακ' ὄλβος, βέβακε Τροία

ΑΝΔΡΟΜΑΧΗ.

τλάμων.

ΕΚΑΒΗ.

ἐμῶν τ' εὐγένεια παίδων.

ΑΝΔΡΟΜΑΧΗ.

φεῦ φεῦ.

ΕΚΑΒΗ.

φεῦ δῆτ' ἐμῶν

ΑΝΔΡΟΜΑΧΗ.

κακῶν.

ΕΚΑΒΗ.

οἰκτρὰ τύχα

577—581. == 582—585.

ΑΝΔΡΟΜΑΧΗ.
πάλεος,
ΕΚΑΒΗ.
ἃ καπνοῦται.
ΑΝΔΡΟΜΑΧΗ.
μόλοις, ὦ πόσις, μοι
ΕΚΑΒΗ.
βοᾷς τὸν παρ' Ἅιδᾳ
παῖδ' ἐμὸν, ὦ μελέα.
ΑΝΔΡΟΜΑΧΗ.
σᾶς δάμαρτος ἄλκαρ.
ΕΚΑΒΗ.
σύ τοι, λῦμ' Ἀχαιῶν,
τέκνων δήποθ' ἁμῶν
πρεσβυγενὲς, Πριάμῳ
κοίμισαί μ' ἐς Ἅιδου.
ΑΝΔΡΟΜΑΧΗ.
οἵδε πόθοι μεγάλοι, σχετλία, τάδε πάσχομεν ἄλγη,
οἰχομένας πόλεως, ἐπὶ δ' ἄλγεσιν ἄλγεα κεῖται,
δυσφροσύναισι θεῶν, ὅτε σὸς γόνος ἔκφυγεν Ἅιδαν,
ὃς λεχέων στυγερῶν χάριν ὤλεσε Πέργαμα Τροίας.
αἱματόεντα δὲ θεᾷ παρὰ Παλλάδι σώματα νε-
κρῶν
γυψὶ φέρειν τέταται· ζυγὰ δ' ἤνυσε δούλια
Τροία.
ΕΚΑΒΗ.
ὦ πατρὶς, ὦ μελέα, καταλειπομέναν σε δακρύω,
νῦν τέλος οἰκτρὸν ὁρᾷς, καὶ ἐμὸν δόμον, ἔνθ'
ἐλοχεύθην.
ὦ τέκν', ἐρημόπολις μάτηρ ἀπολείπεται ὑμῶν.
οἷος ἰάλεμος, οἷά τε πένθη
δάκρυά τ' ἐκ δακρύων καταλείβεται
ἁμετέροισι δόμοις. ὁ θανὼν δ' ἐπιλάθεται
ἀλγέων ἀδάκρυτος.
ΧΟΡΟΣ.
ὡς ἡδὺ δάκρυα τοῖς κακῶς πεπραγόσι
θρήνων τ' ὀδυρμοὶ μοῦσά θ', ἣ λύπας ἔχει.
ΑΝΔΡΟΜΑΧΗ.
ὦ μῆτερ ἀνδρὸς, ὅς ποτ' Ἀργείων δορὶ
πλείστους διώλεσ', Ἕκτορος, τάδ' εἰσορᾷς;
ΕΚΑΒΗ.
ὁρῶ τὰ τῶν θεῶν, ὡς τὰ μὲν πυργοῦσ' ἄνω
τὸ μηδὲν ὄντα, τὰ δὲ δοκοῦντ' ἀπώλεσαν.
ΑΝΔΡΟΜΑΧΗ.
ἀγόμεθα λεία σὺν τέκνῳ, τὸ δ' εὐγενὲς
ἐς δοῦλον ἥκει, μεταβολὰς τοσάσδ' ἔχον.
ΕΚΑΒΗ.
τὸ τῆς ἀνάγκης δεινόν· ἄρτι κἀπ' ἐμοῦ
βέβηκ' ἀποσπασθεῖσα Κασάνδρα βίᾳ.
ΑΝΔΡΟΜΑΧΗ.
φεῦ φεῦ.
ἄλλος τις Αἴας, ὡς ἔοικε, δεύτερος
παιδὸς πέφηνε σῆς· νοσεῖς δὲ χἄτερα.
ΕΚΑΒΗ.
ὧν γ' οὔτε μέτρον οὔτ' ἀριθμός ἐστί μοι·
κακῷ κακὸν γὰρ εἰς ἅμιλλαν ἔρχεται.
ΑΝΔΡΟΜΑΧΗ.
τέθνηκέ σοι παῖς πρὸς τάφῳ Πολυξένη
σφαγεῖσ' Ἀχιλλέως, δῶρον ἀψύχῳ νεκρῷ.
586. 587. == 588. 589.

ΕΚΑΒΗ.
οἲ 'γὼ τάλαινα. τοῦτ' ἐκεῖνό μοι πάλαι
Ταλθύβιος αἴνιγμ' οὐ σαφῶς εἶπεν σαφές.
ΑΝΔΡΟΜΑΧΗ.
εἶδόν νιν αὐτὴ, κἀποβᾶσα τῶνδ' ὄχων
ἔκρυψα πέπλοις κἀπεκοψάμην νεκρόν.
ΕΚΑΒΗ.
αἰαῖ, τέκνον, σῶν ἀνοσίων προσφαγμάτων.
αἰαῖ μάλ' αὖθις, ὡς κακῶς διόλλυσαι.
ΑΝΔΡΟΜΑΧΗ.
ὄλωλεν ὡς ὄλωλεν, ἀλλ' ὅμως ἐμοῦ
ζώσης γ' ὄλωλεν εὐτυχεστέρῳ πότμῳ.
ΕΚΑΒΗ.
οὐ ταυτὸν, ὦ παῖ, τῷ βλέπειν τὸ κατθανεῖν·
τὸ μὲν γὰρ οὐδὲν, τῷ δ' ἔνεισιν ἐλπίδες.
ΑΝΔΡΟΜΑΧΗ.
ὦ μῆτερ, ὦ τεκοῦσα, κάλλιστον λόγον
ἄκουσον, ὥς σοι τέρψιν ἐμβάλω φρενί.
τὸ μὴ γενέσθαι τῷ θανεῖν ἴσον λέγω,
τοῦ ζῆν δὲ λυπρῶς κρεῖσσόν ἐστι κατθανεῖν.
ἀλγεῖ γὰρ οὐδὲν τῶν κακῶν ᾐσθημένος·
ὁ δ' εὐτυχήσας ἐς τὸ δυστυχὲς πεσὼν
ψυχὴν ἀλᾶται τῆς πάροιθ' εὐπραξίας.
κείνη δ' ὁμοίως ὥσπερ οὐκ ἰδοῦσα φῶς
τέθνηκε, κοὐδὲν οἶδε τῶν αὑτῆς κακῶν.
ἐγὼ δὲ τοξεύσασα, τῆς τ' εὐδοξίας
λαχοῦσα πλεῖον, τῆς τύχης ἡμάρτανον.
ἃ γὰρ γυναιξὶ σώφρον' ἔσθ' εὑρημένα,
ταῦτ' ἐξεμόχθουν Ἕκτορος κατὰ στέγας.
πρῶτον μὲν, ἔνθα κἂν προσῇ κἂν μὴ προσῇ
ψόγος γυναιξὶν, αὐτὸ τοῦτ' ἐφέλκεται
κακῶς ἀκούειν, ἥτις οὐκ ἔνδον μένει,
τούτου πόθον παρεῖσ' ἔμιμνον ἐν δόμοις,
εἴσω τε μελάθρων κομψὰ θηλειῶν ἔπη
οὐκ εἰσεφρούμην· τὸν δὲ νοῦν διδάσκαλον
οἴκοθεν ἔχουσα χρηστὸν ἐξήρκουν ἐμοί.
γλώσσης τε σιγὴν ὄμμα θ' ἥσυχον πόσει
παρεῖχον· ᾔδειν δ' ἁμὲ χρῆν νικᾶν πόσιν,
κείνῳ τε νίκην ὧν μ' ἐχρῆν παριέναι.
καὶ τῶνδε κληδὼν ἐς στράτευμ' Ἀχαϊκὸν
ἐλθοῦσ' ἀπώλεσέν μ'· ἐπεὶ γὰρ ᾑρέθην,
Ἀχιλλέως με παῖς ἐβουλήθη λαβεῖν
δάμαρτα· δουλεύσω δ' ἐν αὐθεντῶν δόμοις.
κεἰ μὲν παρώσασ' Ἕκτορος φίλον κάρα
πρὸς τὸν παρόντα πόσιν ἀναπτύξω φρένα,
κακὴ φανοῦμαι τῷ θανόντι· τόνδε δ' αὖ
στυγοῦσ', ἐμαυτῆς δεσπόταις μισήσομαι.
καίτοι λέγουσιν ὡς μί' εὐφρόνη χαλᾷ
τὸ δυσμενὲς γυναικὸς εἰς ἀνδρὸς λέχος·
ἀπέπτυσ' αὐτὴν, ἥτις ἄνδρα τὸν πάρος
καινοῖσι λέκτροις ἀποβαλοῦσ' ἄλλον φιλεῖ.
ἀλλ' οὐδὲ πῶλος ἥτις ἂν διαζυγῇ
τῆς συντραφείσης ῥᾳδίως ἕλκει ζυγόν.
καίτοι τὸ θηριῶδες ἄφθογγόν τ' ἔφυ
ξυνέσει τ' ἄχρηστον τῇ φύσει τε λείπεται.
σὲ δ', ὦ φίλ' Ἕκτορ, εἶχον ἄνδρ' ἀρκοῦντά μοι
ξυνέσει, γένει, πλούτῳ τε κἀνδρείᾳ μέγαν·
ἀκήρατον δέ μ' ἐκ πατρὸς λαβὼν δόμων,
πρῶτος τὸ παρθένειον ἐζεύξω λέχος.
καὶ νῦν ὄλωλας μὲν σὺ, ναυσθλοῦμαι δ' ἐγὼ

πρὸς Ἑλλάδ' αἰχμάλωτος ἐς δοῦλον ζυγόν.
ἆρ' οὐκ ἐλάσσω τῶν ἐμῶν ἔχει κακῶν
Πολυξένης ὄλεθρος, ἣν καταστένεις;
ἐμοὶ γὰρ οὐδ', ὃ πᾶσι λείπεται βροτοῖς,
ξύνεστιν ἐλπὶς, οὐδὲ κλέπτομαι φρένας
πράξειν τι κεδνόν· ἡδὺ δ' ἐστὶ καὶ δοκεῖν.

ΧΟΡΟΣ.

ἐς ταυτὸν ἥκεις συμφορᾶς· θρηνοῦσα δὲ
τὸ σὸν διδάσκεις μ' ἔνθα πημάτων κυρῶ.

ΕΚΑΒΗ.

αὐτὴ μὲν οὔπω ναὸς εἰσέβην σκάφος,
γραφῇ δ' ἰδοῦσα καὶ κλύουσ' ἐπίσταμαι.
ναύταις γὰρ ἢν μὲν μέτριος ᾖ χειμὼν φέρειν,
προθυμίαν ἔχουσι σωθῆναι πόνων,
ὁ μὲν παρ' οἴαχ', ὁ δ' ἐπὶ λαίφεσιν βεβὼς,
ὁ δ' ἄντλον εἴργων ναός· ἢν δ' ὑπερβάλῃ
πολὺς ταραχθεὶς πόντος, ἐνδόντες τύχῃ
παρεῖσαν αὑτοὺς κυμάτων δρομήμασιν.
οὕτω δὲ κἀγὼ, πόλλ' ἔχουσα πήματα,
ἄφθογγός εἰμι καὶ παρεῖσ' ἐῶ στόμα·
νικᾷ γὰρ οὑκ θεῶν με δύστηνος κλύδων.
ἀλλ', ὦ φίλη παῖ, τὰς μὲν Ἕκτορος τύχας
ἔασον· οὐ μὴ δάκρυά νιν σώσῃ τὰ σά·
τίμα δὲ τὸν παρόντα δεσπότην σέθεν,
φίλον διδοῦσα δέλεαρ ἀνδρὶ σῶν τρόπων.
κἂν δρᾷς τάδ', ἐς τὸ κοινὸν εὐφρανεῖς φίλους,
καὶ παῖδα τόνδε παιδὸς ἐκθρέψειας ἂν
Τροίᾳ μέγιστον ὠφέλημ', ἵν' οἵ ποτε
ἐκ σοῦ γενόμενοι παῖδες Ἴλιον πάλιν
κατοικίσειαν, καὶ πόλις γένοιτ' ἔτι.
ἀλλ', ἐκ λόγου γὰρ ἄλλος ἐκβαίνει λόγος,
τίν' αὖ δέδορκα τόνδ' Ἀχαϊκὸν λάτριν
στείχοντα, καινῶν ἄγγελον βουλευμάτων;

ΤΑΛΘΥΒΙΟΣ.

Φρυγῶν ἀρίστου πρίν ποθ' Ἕκτορος δάμαρ,
μή με στυγήσῃς· οὐχ ἑκὼν γὰρ ἀγγελῶ
Δαναῶν τε κοινὰ Πελοπιδῶν τ' ἀγγέλματα.

ΑΝΔΡΟΜΑΧΗ.

τί δ' ἔστιν; ὥς μοι φροιμίων ἄρχει κακῶν.

ΤΑΛΘΥΒΙΟΣ.

ἔδοξε τῶνδε παῖδα, πῶς εἴπω λόγον;

ΑΝΔΡΟΜΑΧΗ.

μῶν οὐ τὸν αὐτὸν δεσπότην ἡμῖν ἔχειν;

ΤΑΛΘΥΒΙΟΣ.

οὐδεὶς Ἀχαιῶν τοῦδε δεσπόσει ποτέ.

ΑΝΔΡΟΜΑΧΗ.

ἀλλ' ἐνθάδ' αὐτὸν λείψανον Φρυγῶν λιπεῖν;

ΤΑΛΘΥΒΙΟΣ.

οὐκ οἶδ' ὅπως σοι ῥᾳδίως εἴπω κακά.

ΑΝΔΡΟΜΑΧΗ.

ἐπῄνεσ' αἰδῶ, πλὴν ἐὰν λέγῃς καλά.

ΤΑΛΘΥΒΙΟΣ.

κτενοῦσι σὸν παῖδ', ὡς πύθῃ κακὸν μέγα.

ΑΝΔΡΟΜΑΧΗ.

οἴμοι, γάμων τόδ' ὡς κλύω μεῖζον κακόν.

ΤΑΛΘΥΒΙΟΣ.

νικᾷ δ' Ὀδυσσεὺς ἐν Πανέλλησιν λέγων.

ΑΝΔΡΟΜΑΧΗ.

αἰαῖ μάλ', οὐ γὰρ μέτρια πάσχομεν κακά.

ΤΑΛΘΥΒΙΟΣ.

λέξας ἀρίστου παῖδα μὴ τρέφειν πατρός.

ΑΝΔΡΟΜΑΧΗ.

τοιαῦτα νικήσειε τῶν αὑτοῦ πέρι.

ΤΑΛΘΥΒΙΟΣ.

ῥῖψαι δὲ πύργων δεῖ σφε Τρωικῶν ἄπο.
ἀλλ' ὣς γενέσθω, καὶ σοφωτέρα φανεῖ,
μήτ' ἀντέχου τοῦδ', εὐγενῶς δ' ἄλγει κακοῖς,
μήτε σθένουσα μηδὲν ἰσχύειν δόκει.
ἔχεις γὰρ ἀλκὴν οὐδαμῇ· σκοπεῖν δὲ χρή·
πόλις τ' ὄλωλε καὶ πόσις, κρατεῖ δὲ σὺ,
ἡμεῖς τε πρὸς γυναῖκα μάρνασθαι μίαν
οἷοί τε· τούτων οὕνεκ' οὐ μάχης ἐρᾶν,
οὐδ' αἰσχρὸν οὐδὲν οὐδ' ἐπίφθονόν σε δρᾶν,
οὔτ' αὖ σ' Ἀχαιοῖς βούλομαι ῥίπτειν ἀράς.
εἰ γάρ τι λέξεις ᾧ χολώσεται στρατὸς,
οὔτ' ἂν ταφείη παῖς ὅδ' οὔτ' οἴκτου τύχοι.
σιγῶσα δ' εὖ τε τὰς τύχας κεκτημένη,
τὸν τοῦδε νεκρὸν οὐκ ἄθαπτον ἂν λίποις,
αὐτή τ' Ἀχαιῶν πρευμενεστέρων τύχοις.

ΑΝΔΡΟΜΑΧΗ.

ὦ φίλτατ', ὦ περισσὰ τιμηθεὶς τέκνον,
θανεῖ πρὸς ἐχθρῶν, μητέρ' ἀθλίαν λιπών.
ἡ τοῦ πατρὸς δέ σ' εὐγένει' ἀπώλεσεν,
ἣ τοῖσιν ἄλλοις γίγνεται σωτηρία,
τὸ δ' ἐσθλὸν οὐκ ἐς καιρὸν ἦλθε σοὶ πατρός.
ὦ λέκτρα τἀμὰ δυστυχῆ τε καὶ γάμοι,
οἷς ἦλθον ἐς μέλαθρον Ἕκτορός ποτε,
οὐχ ὡς σφαγεῖον Δαναΐδαις τέξουσ' ἐμὸν,
ἀλλ' ὡς τύραννον Ἀσιάδος πολυσπόρου.
ὦ παῖ, δακρύεις; αἰσθάνει κακῶν σέθεν;
τί μου δέδραξαι χερσὶ κἀντέχει πέπλων,
νεοσσὸς ὡσεὶ πτέρυγας εἰσπίτνων ἐμάς;
οὐκ εἶσιν Ἕκτωρ, κλεινὸν ἁρπάσας δόρυ,
γῆς ἐξανελθὼν, σοὶ φέρων σωτηρίαν,
οὐ συγγένεια πατρὸς, οὐκ ἰσχὺς Φρυγῶν·
λυγρὸν δὲ πήδημ' ἐς τράχηλον ὑψόθεν
πεσὼν ἀνοίκτως, πνεῦμ' ἀπορρήξεις σέθεν.
ὦ νέον ὑπαγκάλισμα μητρὶ φίλτατον,
ὦ χρωτὸς ἡδὺ πνεῦμα· διὰ κενῆς ἄρα
ἐν σπαργάνοις σε μαστὸς ἐξέθρεψ' ὅδε,
μάτην δ' ἐμόχθουν καὶ κατεξάνθην πόνοις.
νῦν, οὔποτ' αὖθις, μητέρ' ἀσπάζου σέθεν,
πρόσπιτνε τὴν τεκοῦσαν, ἀμφὶ δ' ὠλένας
ἕλισσ' ἐμοῖς νώτοισι καὶ στόμ' ἅρμοσον.
ὦ βάρβαρ' ἐξευρόντες Ἕλληνες κακὰ,
τί τόνδε παῖδα κτείνετ' οὐδὲν αἴτιον;
ὦ Τυνδάρειον ἔρνος, οὔποτ' εἶ Διός,
πολλῶν δὲ πατέρων φημί σ' ἐκπεφυκέναι,
Ἀλάστορος μὲν πρῶτον, εἶτα δὲ Φθόνου,
Φόνου τε Θανάτου θ', ὅσα τε γῆ τρέφει κ
οὐ γάρ ποτ' αὐχῶ Ζῆνά γ' ἐκφῦσαί σ' ἐ
πολλοῖσι κῆρα βαρβάροις Ἕλλησί τε.
ὄλοιο· καλλίστων γὰρ ὀμμάτων ἄπο
αἰσχρῶς τὰ κλεινὰ πεδί' ἀπώλεσας Φρυγῶ
ἄγετε, φέρετε, καὶ ῥίπτετ', εἰ ῥίπτειν δο
δαίνυσθε τοῦδε σάρκας. ἔκ τε γὰρ θεῶν
διολλύμεσθα, παιδί τ' οὐ δυναίμεθ' ἂν
θάνατον ἀρῆξαι. κρύπτετ'. ἄθλιον δέμας,

καὶ ῥίπτετ' ἐς ναῦν· ἐπὶ καλὸν γὰρ ἔρχομαι
ὑμέναιον, ἀπολέσασα τοὐμαυτῆς τέκνον.

ΧΟΡΟΣ.

τάλαινα Τροία, μυρίους ἀπώλεσας
μιᾶς γυναικὸς καὶ λέχους στυγνοῦ χάριν.

ΤΑΛΘΥΒΙΟΣ.

ἄγε, παῖ, φίλιον πρόσπτυγμα μεθεὶς
μητρὸς μογερᾶς βαῖνε πατρῴων
πύργων ἐπ' ἄκρας στεφάνας, ὅθι σοι
πνεῦμα μεθεῖναι ψῆφος ἐκράνθη.
λαμβάνετ' αὐτόν. τὰ δὲ τοιάδε χρὴ
κηρυκεύειν, ὅστις ἄνοικτος
καὶ ἀναιδείᾳ τῆς ἡμετέρας
γνώμης μᾶλλον φίλος ἐστίν.

ΕΚΑΒΗ.

ὦ τέκνον, ὦ παῖ παιδὸς μογεροῦ,
συλώμεθα σὴν ψυχὴν ἀδίκως
μήτηρ κἀγώ. τί πάθω; τί σ' ἐγὼ,
δύσμορε, δράσω; τάδε σοι δίδομεν
πλήγματα κρατὸς στέρνων τε κόπους·
τῶνδε γὰρ ἄρχομεν· οἲ 'γὼ πόλεως,
οἴμοι δὲ σέθεν· τί γὰρ οὐκ ἔχομεν,
τίνος ἐνδέομεν μὴ οὐ πανσυδίᾳ
χωρεῖν ὀλέθρου διὰ παντός;

ΧΟΡΟΣ.

μελισσοτρόφου Σαλαμῖνος ὦ βασιλεῦ Τελαμὼν,
νάσου περικύμονος οἰκήσας ἕδραν,
τᾶς ἐπικεκλιμένας ὄχθοις ἱεροῖς, ἵν' ἐλαίας
πρῶτον ἔδειξε κλάδον γλαυκᾶς Ἀθάνα,
οὐράνιον στέφανον, λιπαραῖς * κόσμον Ἀθήναις,
ἔβας τῷ τοξοφόρῳ συναριστεύσων ἅμ' Ἀλκμήνας γόνῳ,
Ἴλιον Ἴλιον ἐκπέρσων, πόλιν
ἁμετέραν, τὸ πάροιθ' ὅτ' ἔβας [ἀφ' Ἑλλάδος],
ὅθ' Ἑλλάδος ἄγαγε πρῶτον ἄνθος, ἀτυζόμενος
πώλων, Σιμόεντι δ' ἐπ' εὐρείτᾳ πλάταν
ἔσχασε ποντοπόρον καὶ ναύδετ' ἀνήψατο πρυμνᾶν,
καὶ χερὸς εὐστοχίαν ἐξεῖλε ναῶν,
Λαομέδοντι φόνον· κανόνων δὲ τυκίσματα Φοίβου
πυρὸς φοίνικι πνοᾷ καθελὼν Τροίας ἐπόρθησεν χθόνα,
δὶς δὲ δυοῖν πιτύλοιν τείχη περὶ
Δαρδανίας φονία κατέλυσεν αἰχμά.
μάταν ἄρ', ὦ χρυσέαις ἐν οἰνοχόαις ἁβρὰ βαίνων,
Λαομεδόντιε παῖ,
Ζηνὸς ἔχεις κυλίκων
πλήρωμα, καλλίσταν λατρείαν·
ἁ δέ σε γειναμένα πυρὶ δαίεται.
ἠιόνες δ' ἅλιαι
ἴαχουσ'· οἷον δ' ὑπὲρ
οἰωνὸς τεκέων βοᾷ,
αἳ μὲν εὐνὰς, αἱ δὲ παῖδας,
αἱ δὲ ματέρας γεραιάς.
τὰ δὲ σὰ δροσόεντα λουτρὰ
γυμνασίων τε δρόμοι

795—806. == 807—819.
820—839. == 840—859.

βεβᾶσι· σὺ δὲ πρόσωπα νεα-
ρὰ χάρισι παρὰ Διὸς θρόνοις
καλλιγάλανα τρέφεις· Πριάμοιο δὲ γαῖαν
Ἑλλὰς ὤλεσ' αἰχμά.
Ἔρως Ἔρως, ὃς τὰ Δαρδάνεια μέλαθρά ποτ' ἦλθες
Οὐρανίδαισι μέλων·
ὡς τότε μὲν μεγάλως
Τροίαν ἐπύργωσας, θεοῖσιν
κῆδος ἀναψάμενος. τὸ μὲν οὖν Διὸς
οὐκέτ' ὄνειδος ἐρῶ·
τὸ δὲ τᾶς λευκοπτέρου
ἁμέρας φίλιον βροτοῖς
φέγγος ὀλοὸν εἶδε γαῖαν,
εἶδε περγάμων ὄλεθρον,
τεκνοποιὸν ἔχουσα τᾶσδε
γᾶς πόσιν ἐν θαλάμοις,
ὃν ἀστέρων τέθριππος ἔλα-
βε χρύσεος ὄχος ἀναρπάσας,
ἐλπίδα γᾷ πατρίᾳ μεγάλαν· τὰ θεῶν δὲ
φίλτρα φροῦδα Τροίᾳ.

ΜΕΝΕΛΑΟΣ.

ὦ καλλιφεγγὲς ἡλίου σέλας τόδε,
ἐν ᾧ δάμαρτα τὴν ἐμὴν χειρώσομαι
Ἑλένην· ὁ γὰρ δὴ πολλὰ μοχθήσας ἐγὼ
Μενέλαός εἰμι, καὶ στράτευμ' Ἀχαϊκόν.
ἦλθον δὲ Τροίαν οὐχ ὅσον δοκοῦσί με
γυναικὸς οὕνεκ', ἀλλ' ἐπ' ἄνδρ' ὃς ἐξ ἐμῶν
δόμων δάμαρτα ξεναπάτης ἐλῄσατο.
κεῖνος μὲν οὖν δέδωκε σὺν θεοῖς δίκην,
αὐτός τε καὶ γῆ δορὶ πεσοῦσ' Ἑλληνικῷ.
ἥκω δὲ τὴν Λάκαιναν, οὐ γὰρ ἡδέως
ὄνομα δάμαρτος ἥ ποτ' ἦν ἐμὴν λέγω,
ἄξων· δόμοις γὰρ τοῖσδ' ἐν αἰχμαλωτικοῖς
κατηρίθμηται Τρῳάδων ἄλλων μέτα.
οἵπερ γὰρ αὐτὴν ἐξεμόχθησαν δορὶ,
κτανεῖν ἐμοί νιν ἔδοσαν, εἴτε μὴ κτανὼν
θέλοιμ' ἄγεσθαι πάλιν ἐς Ἀργείαν χθόνα.
ἐμοὶ δ' ἔδοξε τὸν μὲν ἐν Τροίᾳ μόρον
Ἑλένης ἐᾶσαι, ναυπόρῳ δ' ἄγειν πλάτῃ
Ἑλληνίδ' ἐς γῆν, κἆτ' ἐκεῖ δοῦναι κτανεῖν,
ποινὰς ὅσων τεθνᾶσ' ἐν Ἰλίῳ φίλοι.
ἀλλ' εἶα χωρεῖτ' ἐς δόμους, ὀπάονες,
κομίζετ' αὐτὴν, τῆς μιαιφονωτάτης
κόμης ἐπισπάσαντες· οὔριοι δ' ὅταν
πνοαὶ μόλωσι, πέμψομέν νιν Ἑλλάδα.

ΕΚΑΒΗ.

ὦ γῆς ὄχημα κἀπὶ γῆς ἔχων ἕδραν,
ὅστις ποτ' εἶ σὺ, δυστόπαστος εἰδέναι,
Ζεὺς, εἴτ' ἀνάγκη φύσεος εἴτε νοῦς βροτῶν,
προσηυξάμην σε· πάντα γὰρ δι' ἀψόφου
βαίνων κελεύθου κατὰ δίκην τὰ θνήτ' ἄγεις.

ΜΕΝΕΛΑΟΣ.

τί δ' ἔστιν; εὐχὰς ὡς ἐκαίνισας θεῶν.

ΕΚΑΒΗ.

αἰνῶ σε, Μενέλα', εἰ κτενεῖς δάμαρτα σήν.
ὁρῶν δὲ τήνδε, φεῦγε, μή σ' ἕλῃ πόθῳ.
αἱρεῖ γὰρ ἀνδρῶν ὄμματ', ἐξαιρεῖ πόλεις,
πίμπρησι δ' οἴκους· ὧδ' ἔχει κηλήματα.
ἐγώ νιν οἶδα καὶ σὺ χοἰ πεπονθότες.

*ΕΛΕΝΗ.*

Μενέλαε, φροίμιον μὲν ἄξιον φόβου
τόδ' ἐστίν· ἐν γὰρ χερσὶ προσπόλων σέθεν
βίᾳ πρὸ τῶνδε δωμάτων ἐκπέμπομαι.
ἀτὰρ σχεδὸν μὲν οἶδά σοι στυγουμένη,
ὅμως δ' ἐρέσθαι βούλομαι γνῶμαι τίνες
Ἕλλησι καὶ σοὶ τῆς ἐμῆς ψυχῆς πέρι.

*ΜΕΝΕΛΑΟΣ.*

οὐκ εἰς ἀκριβὲς ἦλθες, ἀλλ' ἅπας στρατὸς
κτανεῖν ἐμοί σ' ἔδωκεν, ὅνπερ ἠδίκεις.

*ΕΛΕΝΗ.*

ἔξεστιν οὖν πρὸς ταῦτ' ἀμείψασθαι λόγῳ,
ὡς οὐ δικαίως, ἢν θάνω, θανούμεθα;

*ΜΕΝΕΛΑΟΣ.*

οὐκ ἐς λόγους ἐλήλυθ', ἀλλά σε κτενῶν.

*ΕΚΑΒΗ.*

ἄκουσον αὐτῆς, μὴ θάνῃ τοῦδ' ἐνδεὴς,
Μενέλαε, καὶ δὸς τοὺς ἐναντίους λόγους
ἡμῖν κατ' αὐτῆς· τῶν γὰρ ἐν Τροίᾳ κακῶν
οὐδὲν κάτοισθα. συντεθεὶς δ' ὁ πᾶς λόγος
κτενεῖ νιν οὕτως ὥστε μηδαμῶς φυγεῖν.

*ΜΕΝΕΛΑΟΣ.*

σχολῆς τὸ δῶρον· εἰ δὲ βούλεται λέγειν,
ἔξεστι. τῶν σῶν δ' οὕνεχ', ὡς μάθῃ, λόγων,
δώσω τόδ' αὐτῇ, τῇσδε δ' οὐ δώσω χάριν.

*ΕΛΕΝΗ.*

ἴσως με, κἂν εὖ κἂν κακῶς δόξω λέγειν,
οὐκ ἀνταμείψει, πολεμίαν ἡγούμενος.
ἐγὼ δ', ἅ σ' οἶμαι διὰ λόγων ἰόντ' ἐμοῦ
κατηγορήσειν ἀντιθεῖσ' ἀμείψομαι
τοῖς σοῖσι, τἀμὰ καὶ τὰ σ' αἰτιάματα.
πρῶτον μὲν ἀρχὰς ἔτεκεν ἥδε τῶν κακῶν
Πάριν τεκοῦσα· δεύτερον δ' ἀπώλεσε
Τροίαν τε κἄμ' ὁ πρέσβυς, οὐ κτανὼν βρέφος,
δαλοῦ πικρὸν μίμημ', Ἀλέξανδρόν ποτε.
ἐνθένδε τἀπίλοιπ' ἄκουσον ὡς ἔχει·
ἔκρινε τρισσὸν ζεῦγος ὅδε τρισσῶν θεῶν.
καὶ Παλλάδος μὲν ἦν Ἀλεξάνδρῳ δόσις
Φρυξὶ στρατηγοῦνθ' Ἑλλάδ' ἐξανιστάναι,
Ἥρα δ' ὑπέσχετ' Ἀσιάδ' Εὐρώπης θ' ὅρους
τυραννίδ' ἕξειν, εἴ σφε κρίνειεν Πάρις,
Κύπρις δὲ τοὐμὸν εἶδος ἐκπαγλουμένη
δώσειν ὑπέσχετ', εἰ θεὰς ὑπερδράμοι
κάλλει· τὸν ἐνθένδ' ὡς ἔχει σκέψαι λόγον·
νικᾷ Κύπρις θεὰς, καὶ τοσόνδ' οὑμοὶ γάμοι
ὤνησαν Ἑλλάδ', οὐ κρατεῖσθ' ἐκ βαρβάρων,
οὔτ' ἐς δόρυ σταθέντες, οὐ τυραννίδι.
ἃ δ' εὐτύχησεν Ἑλλὰς, ὠλόμην ἐγὼ
εὐμορφίᾳ πραθεῖσα, κὠνειδίζομαι
ἐξ ὧν ἐχρῆν με στέφανον ἐπὶ κάρᾳ λαβεῖν.
οὔπω με φήσεις αὐτὰ τἀν ποσὶν λέγειν,
ὅπως ἀφώρμησ' ἐκ δόμων τῶν σῶν λάθρα.
ἦλθ' οὐχὶ μικρὰν θεὸν ἔχων αὑτοῦ μέτα
ὁ τῆσδ' ἀλάστωρ, εἴτ' Ἀλέξανδρον θέλεις
ὀνόματι προσφωνεῖν νιν εἴτε καὶ Πάριν·
ὅν, ὦ κάκιστε, σοῖσιν ἐν δόμοις λιπὼν
Σπάρτης ἀπῆρας νηὶ Κρησίαν χθόνα.
εἶεν.
οὐ σ', ἀλλ' ἐμαυτὴν τοὐπὶ τῷδ' ἐρήσομαι
τί δὴ φρονοῦσ' ἐκ δωμάτων ἅμ' ἑσπόμην
ξένῳ, προδοῦσα πατρίδα καὶ δόμους ἐμούς.
τὴν θεὸν κόλαζε, καὶ Διὸς κρείσσων γενοῦ,
ὃς τῶν μὲν ἄλλων δαιμόνων ἔχει κράτος,
κείνης δὲ δοῦλός ἐστι· συγγνώμη δ' ἐμοί.
ἔνθεν δ' ἔχοις ἂν εἰς ἔμ' εὐπρεπῆ λόγον,
ἐπεὶ θανὼν γῆς ἦλθ' Ἀλέξανδρος μυχοὺς,
χρῆν μ', ἡνίκ' οὐκ ἦν θεοπόνητά μου λέχη,
λιποῦσαν οἴκους ναῦς ἐπ' Ἀργείων μολεῖν.
ἔσπευδον αὐτὸ τοῦτο· μάρτυρες δέ μοι
πύργων πυλωροὶ κἀπὸ τειχέων σκοποὶ,
οἳ πολλάκις μ' ἐφεῦρον ἐξ ἐπάλξεων
πλεκταῖσιν ἐς γῆν σῶμα κλέπτουσαν τόδε.
βίᾳ δ' ὁ καινός μ' οὗτος ἁρπάσας πόσις
Δηίφοβος ἄλοχον εἶχεν ἀκόντων Φρυγῶν.
πῶς οὖν ἔτ' ἂν θνήσκοιμ' ἂν ἐνδίκως, πόσι,
πρὸς σοῦ δικαίως, ἣν ὁ μὲν βίᾳ γαμεῖ,
τὰ δ' οἴκοθεν κεῖν' ἀντὶ νικητηρίων
πικρῶς ἐδούλευσ'; εἰ δὲ τῶν θεῶν κρατεῖν
βούλει, τὸ χρῄζειν ἀμαθές ἐστί σοι τόδε.

*ΧΟΡΟΣ.*

βασίλει', ἄμυνον σοῖς τέκνοισι καὶ πάτρᾳ,
πειθὼ διαφθείρουσα τῆσδ', ἐπεὶ λέγει
καλῶς, κακοῦργος οὖσα· δεινὸν οὖν τόδε.

*ΕΚΑΒΗ.*

ταῖς θεαῖσι πρῶτα σύμμαχος γενήσομαι,
καὶ τήνδε δείξω μὴ λέγουσαν ἔνδικα.
ἐγὼ γὰρ Ἥραν παρθένον τε Παλλάδα
οὐκ ἐς τοσοῦτον ἀμαθίας ἐλθεῖν δοκῶ
ὥσθ' ἡ μὲν Ἄργος βαρβάροις ἀπημπόλα,
Παλλὰς δ' Ἀθήνας Φρυξὶ δουλεύειν ποτὲ,
αἳ παιδιαῖσι καὶ χλιδῇ μορφῆς πέρι
ἦλθον πρὸς Ἴδην. τοῦ γὰρ οὕνεκ' ἂν θεὰ
Ἥρα τοσοῦτον ἔσχ' ἔρωτα καλλονῆς;
πότερον ἀμείνον' ὡς λάβοι Διὸς πόσιν,
ἢ γάμον Ἀθάνα θεῶν τινος θηρωμένη,
ἣ παρθενείαν πατρὸς ἐξῃτήσατο,
φεύγουσα λέκτρα; μὴ 'μαθεῖς ποίει θεὰς
τὸ σὸν κακὸν κοσμοῦσα· μὴ οὐ πείσῃς σοφ
Κύπριν δ' ἔλεξας, ταῦτα γὰρ γέλως πολὺς,
ἐλθεῖν ἐμῷ ξὺν παιδὶ Μενέλεω δόμους.
οὐκ ἂν μένουσ' ἂν ἥσυχός σ' ἐν οὐρανῷ
αὐταῖς Ἀμύκλαις ἤγαγεν πρὸς Ἴλιον;
ἦν οὑμὸς υἱὸς κάλλος ἐκπρεπέστατος,
ὁ σὸς δ' ἰδών νιν νοῦς ἐποιήθη Κύπρις·
τὰ μῶρα γὰρ πάντ' ἐστὶν Ἀφροδίτη βροτοῖς
καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει θεᾶς·
ὃν γ' εἰσιδοῦσα βαρβάροις ἐσθήμασι
χρυσῷ τε λαμπρὸν ἐξεμαργώθης φρένας.
ἐν μὲν γὰρ Ἄργει μίκρ' ἔχουσ' ἀνεστρέφου,
Σπάρτης δ' ἀπαλλαχθεῖσα τὴν Φρυγῶν πόλ
χρυσῷ ῥέουσαν ἤλπισας κατακλύσειν
δαπάναισιν· οὐδ' ἦν ἱκανά σοι τὰ Μενέλεω
μέλαθρα ταῖς σαῖς ἐγκαθυβρίζειν τρυφαῖς.
εἶεν, βίᾳ γὰρ παῖδα φὴς σ' ἄγειν ἐμόν·
τίς Σπαρτιατῶν ᾔσθετ', ἢ ποίαν βοὴν

ἀνωλόλυξας, Κάστορος νεανίου
τοῦ συζύγου τ' ἔτ' ὄντος, οὐ κατ' ἄστρα πω.
ἐπεὶ δὲ Τροίαν ἦλθες Ἀργεῖοί τέ σου
κατ' ἴχνος, ἦν δὲ δοριπετὴς ἀγωνία,
εἰ μὲν τὰ τοῦδε κρείσσον' ἀγγέλλοιτό σοι,
Μενέλαον ᾔνεις, παῖς ὅπως λυποῖτ' ἐμὸς,
ἔχων ἔρωτος ἀνταγωνιστὴν μέγαν·
εἰ δ' εὐτυχοῖεν Τρῶες, οὐδὲν ἦν ὅδε.
ἐς τὴν τύχην δ' ὁρῶσα, τοῦτ' ἤσκεις ὅπως
ἕποι' ἅμ' αὐτῇ, τἀρετῇ δ' οὐκ ἤθελες.
κἄπειτα πλεκταῖς σῶμα σὸν κλέπτειν λέγεις
πύργων καθιεῖσ', ὡς μένουσ' ἀκουσίως;
ποῦ δῆτ' ἐλήφθης ἢ βρόχους ἀρτωμένη,
ἢ φάσγανον θήγουσ', ἃ γενναία γυνὴ
δράσειεν ἂν ποθοῦσα τὸν πάρος πόσιν;
καίτοι γ' ἐνουθέτουν σε πολλὰ πολλάκις,
ὦ θύγατερ, ἔξελθ', οἱ δ' ἐμοὶ παῖδες γάμους
ἄλλους γαμοῦσι, σὲ δ' ἐπὶ ναῦς Ἀχαϊκὰς
πέμψω συνεκκλέψασα, καὶ παῦσον μάχης
Ἕλληνας ἡμᾶς τ'. ἀλλὰ σοὶ τόδ' ἦν πικρόν.
ἐν τοῖς Ἀλεξάνδρου γὰρ ὕβριζες δόμοις,
καὶ προσκυνεῖσθαι βαρβάρων ὕπ' ἤθελες.
μεγάλα γὰρ ἦν σοι· κἀπὶ τοῖσδε σὸν δέμας
ἐξῆλθες ἀσκήσασα, κἄβλεψας πόσει
τὸν αὐτὸν αἰθέρ', ὦ κατάπτυστον κάρα·
ἣν χρῆν ταπεινὴν ἐν πέπλων ἐρειπίοις
φρίκῃ τρέμουσαν κρᾶτ' ἀπεσκυθισμένην
ἐλθεῖν, τὸ σῶφρον τῆς ἀναιδείας πλέον
ἔχουσαν, ἐπὶ τοῖς πρόσθεν ἡμαρτημένοις.
Μενέλα', ἵν' εἰδῇς οἷ τελευτήσω λόγον,
στεφάνωσον Ἑλλάδ', ἀξίως τήνδε κτανὼν
σαυτοῦ, νόμον δὲ τόνδε ταῖς ἄλλαισι θὲς
γυναιξὶ, θνήσκειν ἥτις ἂν προδῷ πόσιν.

ΧΟΡΟΣ.

Μενέλαε, προγόνων ἀξίως δόμων τε σῶν
τῖσαι δάμαρτα, κἀφελοῦ πρὸς Ἑλλάδος
ψόγον τὸ θῆλύ τ', εὐγενὴς ἐχθροῖς φανείς.

ΜΕΝΕΛΑΟΣ.

ἐμοὶ σὺ συμπέπτωκας ἐς ταυτὸν λόγου,
ἑκουσίως τήνδ' ἐκ δόμων ἐλθεῖν ἐμῶν
ξένας ἐς εὐνὰς, χἠ Κύπρις κόμπου χάριν
λόγοις ἐνεῖται. βαῖνε λευστήρων πέλας,
πόνους τ' Ἀχαιῶν ἀπόδος ἐν μικρῷ μακροὺς
θανοῦσ', ἵν' εἰδῇς μὴ καταισχύνειν ἐμέ.

ΕΛΕΝΗ.

μή, πρός σε γονάτων, τὴν νόσον τὴν τῶν θεῶν
προσθεὶς ἐμοὶ κτάνῃς με, συγγίγνωσκε δέ.

ΕΚΑΒΗ.

μηδ' οὓς ἀπέκτειν' ἥδε συμμάχους προδῷς·
ἐγὼ πρὸ κείνων καὶ τέκνων σε λίσσομαι.

ΜΕΝΕΛΑΟΣ.

παῦσαι, γεραιά· τῆσδε δ' οὐκ ἐφρόντισα.
λέγω δὲ προσπόλοισι πρὸς πρύμνας νεῶν
τήνδ' ἐκκομίζειν, ἔνθα ναυστολήσεται.

ΕΚΑΒΗ.

μή νυν νεὼς σοὶ ταυτὸν ἐσβήτω σκάφος.

ΜΕΝΕΛΑΟΣ.

τί δ' ἔστι; μεῖζον βρῖθος ἢ πάροιθ' ἔχει;

ΕΚΑΒΗ.

οὐκ ἔστ' ἐραστὴς ὅστις οὐκ ἀεὶ φιλεῖ.

ΜΕΝΕΛΑΟΣ.

ὅπως ἂν ἐκβῇ τῶν ἐρωμένων ὁ νοῦς.
ἔσται δ' ἃ βούλει· ναῦν γὰρ οὐκ ἐσβήσεται
ἐς ἥνπερ ἡμεῖς· καὶ γὰρ οὐ κακῶς λέγεις·
ἐλθοῦσα δ' Ἄργος ὥσπερ ἀξία κακῶς
κακὴ θανεῖται, καὶ γυναιξὶ σωφρονεῖν
πάσαισι θήσει. ῥᾴδιον μὲν οὐ τόδε·
ὅμως δ' ὁ τῆσδ' ὄλεθρος ἐς φόβον βαλεῖ
τὸ μῶρον αὐτῶν, κἂν ἔτ' ὦσ' ἐχθίονες.

ΧΟΡΟΣ.

οὕτω δὴ τὸν ἐν Ἰλίῳ
ναὸν καὶ θυόεντα βω-
μὸν προὔδωκας Ἀχαιοῖς,
ὦ Ζεῦ, καὶ πελάνων φλόγα,
σμύρνης αἰθερίας τε κα-
πνὸν καὶ Πέργαμον ἱρὰν,
Ἰδαῖά τ' Ἰδαῖα κισσοφόρα νάπη
χιόνι κατάρυτα ποταμίᾳ
τέρμονά τε πρωτόβολον ἁλίῳ
τὰν καταλαμπομέναν ζαθέαν θεράπναν.
φροῦδαί σοι θυσίαι χορῶν τ'
εὔφημοι κέλαδοι κατ' ὄρ-
φναν τε παννυχίδες θεῶν,
χρυσέων τε ξοάνων τύποι,
Φρυγῶν τε ζάθεοι σελᾶ-
ναι συνδώδεκα πλήθει.
μέλει μέλει μοι τάδ' εἰ φρονεῖς, ἄναξ,
οὐράνιον ἕδρανον ἐπιβεβὼς
αἰθέρα τ', ἐμᾶς πόλεος ὀλομένας,
ἂν πυρὸς αἰθομένα κατέλυσεν ὁρμά.
ὦ φίλος ὦ πόσι μοι,
σὺ μὲν φθίμενος ἀλαίνεις
ἄθαπτος, ἄνυδρος, ἐμὲ δὲ πόντιον σκάφος
ἀΐσσον πτεροῖσι πορεύσει
ἱππόβοτον Ἄργος, ἵνα τε τείχη
λάϊνα Κυκλώπι' οὐράνια νέμονται.
τέκνων δὲ πλῆθος ἐν πύλαις
δάκρυσι κατᾴορα στένει, βοᾷ βοᾷ,
μᾶτερ, ὤμοι, μόναν δή μ' Ἀχαιοὶ κομίζουσι
σέθεν ἀπ' ὀμμάτων
κυανέαν ἐπὶ ναῦν
εἰναλίαισι πλάταις
ἢ Σαλαμῖν' ἱερὰν,
ἢ δίπορον κορυφὰν
Ἴσθμιον, ἔνθα πύλας
Πέλοπος ἔχουσιν ἕδραι.
εἴθ' ἀκάτου Μενέλα
μέσον πέλαγος ἰούσας,
δίπαλτον ἱερὸν ἀνὰ μέσον πλαταῖν πέσοι
Αἰγαίου κεραυνοφαὲς πῦρ,
Ἰλιόθεν ὅτι με πολυδάκρυτον
Ἑλλάδι λάτρευμα γᾶθεν ἐξορίζει·

1060—1070. = 1071—1080.
1081—1099. = 1100—1117.

χρύσεα δ' ἔνοπτρα, παρθένων
χάριτας, ἔχουσα τυγχάνει Διὸς κόρα·
μηδὲ γαῖάν ποτ' ἔλθοι Λάκαιναν πατρῷόν τε
θάλαμον ἑστίας,
μηδὲ πόλιν Πιτάνας,
χαλκόπυλόν τε θεὰν,
δύσγαμον αἶσχος ἑλὼν
Ἑλλάδι τᾷ μεγάλᾳ,
ταῖς Σιμοεντίσι τ' αὖ
μέλεα πάθεα ῥοαῖσιν.
ἰὼ ἰὼ,
καιναὶ καινῶν μεταβάλλουσαι
χθονὶ συντυχίαι. λεύσσετε Τρώων
τόνδ' Ἀστυάνακτ' ἄλοχοι μέλεαι
νεκρὸν, ὃν πύργων δίσκημα πικρὸν
Δαναοὶ κτείναντες ἔχουσιν.

ΤΑΛΘΥΒΙΟΣ.

Ἑκάβη, νεὼς μὲν πίτυλος εἷς λελειμμένος
λάφυρα τἀπίλοιπ' Ἀχιλλείου τόκου
μέλλει πρὸς ἀκτὰς ναυστολεῖν Φθιώτιδας·
αὐτὸς δ' ἀνῆκται Νεοπτόλεμος, καινάς τινας
Πηλέως ἀκούσας συμφορὰς, ὥς νιν χθονὸς
Ἄκαστος ἐκβέβληκεν ὁ Πελίου γόνος.
οὗ θᾶσσον οὕνεκ' ἢ χάριν μονῆς ἔχων
φροῦδος, μετ' αὐτοῦ δ' Ἀνδρομάχη, πολλῶν
ἐμοὶ
δακρύων ἀγωγὸς, ἡνίκ' ἐξώρμα χθονὸς
πάτραν τ' ἀναστένουσα καὶ τὸν Ἕκτορος
τύμβον προσεννέπουσα. καί σφ' ᾐτήσατο
θάψαι νεκρὸν τόνδ', ὃς πεσὼν ἐκ τειχέων
ψυχὴν ἀφῆκεν Ἕκτορος τοῦ σοῦ γόνος,
φόβον τ' Ἀχαιῶν, χαλκόνωτον ἀσπίδα
τήνδ', ἣν πατὴρ τοῦδ' ἀμφὶ πλεύρ' ἐβάλλετο,
μή νιν πορεῦσαι Πηλέως ἐφ' ἑστίαν,
μηδ' ἐς τὸν αὐτὸν θάλαμον, οὗ νυμφεύσεται
μήτηρ νεκροῦ τοῦδ' Ἀνδρομάχη, λύπας ὁρᾶν,
ἀλλ' ἀντὶ κέδρου περιβόλων τε λαΐνων
ἐν τῇδε θάψαι παῖδα· σὰς δ' ἐς ὠλένας
δοῦναι, πέπλοισιν ὡς περιστείλῃς νεκρὸν
στεφάνοις θ', ὅση σοι δύναμις, ὡς ἔχει τὰ σά,
ἐπεὶ βέβηκε καὶ τὸ δεσπότου τάχος
ἀφείλετ' αὐτὴν παῖδα μὴ δοῦναι τάφῳ.
ἡμεῖς μὲν οὖν, ὅταν σὺ κοσμήσῃς νέκυν,
γῆν τῷδ' ἐπαμπισχόντες ἀροῦμεν δόρυ·
σὺ δ' ὡς τάχιστα πρᾶσσε τἀπεσταλμένα.
ἑνὸς μὲν οὖν μόχθου σ' ἀπαλλάξας ἔχω·
Σκαμανδρίους γὰρ τάσδε διαπερῶν ῥοὰς
ἔλουσα νεκρὸν κἀπένιψα τραύματα.
ἀλλ' εἶμ' ὀρυκτὸν τῷδ' ἀναρρήξων τάφον,
ὡς σύντομ' ἡμῖν τἀπ' ἐμοῦ τε κἀπὸ σοῦ
ἐς ἓν ξυνελθόντ' οἴκαδ' ὁρμίσῃ πλάτην.

ΕΚΑΒΗ.

θέσθ' ἀμφίτορνον ἀσπίδ' Ἕκτορος πέδῳ,
λυπρὸν θέαμα κοὐ φίλον λεύσσειν ἐμοί.
ὦ μείζον' ὄγκον δορὸς ἔχοντες ἢ φρενῶν,
τί τόνδ', Ἀχαιοὶ, παῖδα δείσαντες φόνον
καινὸν διειργάσασθε; μὴ Τροίαν ποτὲ
πεσοῦσαν ὀρθώσειεν; οὐδὲν ἦτ' ἄρα,
ὅθ' Ἕκτορος μὲν εὐτυχοῦντος ἐς δόρυ
διωλλύμεσθα μυρίας τ' ἄλλης χερὸς,
πόλεως δ' ἁλούσης καὶ Φρυγῶν ἐφθαρμένων
βρέφος τοσόνδ' ἐδείσατ'. οὐκ αἰνῶ φόβον,
ὅστις φοβεῖται μὴ διεξελθὼν λόγῳ.
ὦ φίλταθ', ὥς σοι θάνατος ἦλθε δυστυχής.
εἰ μὲν γὰρ ἔθανες πρὸ πόλεως, ἥβης τυχὼν
γάμων τε καὶ τῆς ἰσοθέου τυραννίδος,
μακάριος ἦσθ' ἂν, εἴ τι τῶνδε μακάριον.
νῦν αὔτ' ἰδὼν μὲν γνούς τε σῇ ψυχῇ, τέκνον,
οὐκ οἶσθ', ἐχρήσω δ' οὐδὲν ἐν δόμοις ἔχων.
δύστηνε, κρατὸς ὥς σ' ἔκειρεν ἀθλίως
τείχη πατρῷα, Λοξίου πυργώματα,
ὃν πόλλ' ἐκήπευσ' ἡ τεκοῦσα βόστρυχον
φιλήμασίν τ' ἔδωκεν, ἔνθεν ἐκγελᾷ
ὀστέων ῥαγέντων φόνος, ἵν' αἰσχρὰ μὴ λέγω.
ὦ χεῖρες, ὡς εἰκοὺς μὲν ἡδείας πατρὸς
κέκτησθ', ἐν ἄρθροις δ' ἔκλυτοι πρόκεισθέ μοι.
ὦ πολλὰ κόμπους ἐκβαλὸν φίλον στόμα,
ὄλωλας, ἐψεύσω μ', ὅτ' ἐσπίπτων πέπλους,
ὦ μῆτερ, ηὔδας, ἦ πολύν σοι βοστρύχων
πλόκαμον κεροῦμαι, πρὸς τάφον θ' ὁμήλικας
κώμους ἀπάξω, φίλα διδοὺς προσφθέγματα.
σὺ δ' οὐκ ἔμ', ἀλλ' ἐγὼ σὲ τὸν νεώτερον,
γραῦς, ἄπολις, ἄτεκνος, ἄθλιον θάπτω νεκρόν.
οἴμοι, τὰ πόλλ' ἀσπάσμαθ' αἵ τ' ἐμαὶ τροφαί
ὕπνοι τ' ἐκεῖνοι φροῦδά μοι. τί καί ποτε
γράψειεν ἄν σε μουσοποιὸς ἐν τάφῳ;
τὸν παῖδα τόνδ' ἔκτειναν Ἀργεῖοί ποτε
δείσαντες; αἰσχρὸν τοὐπίγραμμά γ' Ἑλλάδι.
ἀλλ', ὦ πατρῴων οὐ λαχὼν, ἕξεις ὅμως
ἐν ᾗ ταφήσει χαλκόνωτον ἰτέαν.
ὦ καλλίπηχυν Ἕκτορος βραχίονα
σώζουσ', ἄριστον φύλακ' ἀπώλεσας σέθεν.
ὡς ἡδὺς ἐν πόρπακι σὸς κεῖται τύπος,
ἴτυός τ' ἐν εὐτόρνοισι περιδρόμοις ἱδρὼς,
ὃν ἐκ μετώπου πολλάκις πόνους ἔχων
ἔσταζεν Ἕκτωρ, προστιθεὶς γενειάδι.
φέρετε, κομίζετ' ἀθλίῳ κόσμον νεκρῷ
ἐκ τῶν παρόντων· οὐ γὰρ ἐς κάλλος τύχας
δαίμων δίδωσιν· ὧν δ' ἔχω, λήψει τάδε.
θνητῶν δὲ μῶρος ὅστις εὖ πράσσειν δοκῶν
βέβαια χαίρει· τοῖς τρόποις γὰρ αἱ τύχαι,
ἔμπληκτος ὡς ἄνθρωπος, ἄλλοτ' ἄλλοσε
πηδῶσι, κοὐδεὶς αὐτὸς εὐτυχεῖ ποτε.

ΧΟΡΟΣ.

καὶ μὴν πρὸ χειρῶν αἵδε σοι σκυλευμάτων
Φρυγίων φέρουσι κόσμον ἐξάπτειν νεκρῷ.

ΕΚΑΒΗ.

ὦ τέκνον, οὐχ ἵπποισι νικήσαντά σε
οὐδ' ἥλικας τόξοισιν, οὓς Φρύγες νόμους
τιμῶσιν, οὐκ ἐς πλησμονὰς θηρώμενοι,
μήτηρ πατρός σοι προστίθησ' ἀγάλματα
τῶν σῶν ποτ' ὄντων, νῦν δέ σ' ἡ θεοστυγὴς
ἀφείλεθ' Ἑλένη, πρὸς δὲ καὶ ψυχὴν σέθεν
ἔκτεινε, καὶ πάντ' οἶκον ἐξαπώλεσεν.

ΧΟΡΟΣ.

ἓ ἕ, φρενῶν ἔθιγες, ἔθιγες· ὦ
μέγας ἐμοί ποτ' ὢν ἀνάκτωρ πόλεως.

ΕΚΑΒΗ.

ἃ δ' ἐν γάμοις ἐχρῆν σε προσθέσθαι χροΐ,

Ἀσιατίδων γήμαντα τὴν ὑπερτάτην,
Φρύγια πέπλων ἀγάλματ' ἐξάπτω χροός.
σύ τ', ὦ ποτ' οὖσα καλλίνικε μυρίων
μῆτερ τροπαίων, Ἕκτορος φίλον σάκος,
στεφανοῦ· θανεῖ γὰρ οὐ θανοῦσα σὺν νεκρῷ·
ἐπεὶ σὲ πολλῷ μᾶλλον ἢ τὰ τοῦ σοφοῦ
κακοῦ τ' Ὀδυσσέως ἄξιον τιμᾶν ὅπλα.

ΧΟΡΟΣ.

αἰαῖ αἰαῖ,
πικρὸν ὄδυρμα γαῖά σ', ὦ
τέκνον, δέξεται. στέναξον, μᾶτερ

ΕΚΑΒΗ.

αἰαῖ.

ΧΟΡΟΣ.

νεκρῶν ἴακχον.

ΕΚΑΒΗ.

οἴμοι μοι.

ΧΟΡΟΣ.

οἴμοι δῆτα σῶν ἀλάστων κακῶν.

ΕΚΑΒΗ.

τελαμῶσιν ἕλκη τὰ μὲν ἐγώ σ' ἰάσομαι
τλήμων ἰατρὸς ὄνομ' ἔχουσα, τἄργα δ' οὔ·
τὰ δ' ἐν νεκροῖσι φροντιεῖ πατήρ σέθεν.

ΧΟΡΟΣ.

ἄρασσ' ἄρασσε χειρὶ κρᾶ-
τα πιτύλους διδοῦσα χειρὸς, ἰώ μοι [μοι].

ΕΚΑΒΗ.

ὦ φίλταται γυναῖκες.

ΧΟΡΟΣ.

[Ἑκάβη] *σας ἔνεπε τίνα θροεῖς αὐδάν.

ΕΚΑΒΗ.

οὐκ ἦν ἄρ' ἐν θεοῖσι πλὴν οὑμοὶ πόνοι,
Τροία τε πόλεων ἔκκριτον μισουμένη,
μάτην δ' ἐβουθυτοῦμεν. εἰ δὲ μὴ θεὸς
ἔστρεψ' ἄνωθεν περιβαλὼν κάτω χθονὸς,
ἀφανεῖς ἂν ὄντες οὐκ ἂν ὑμνηθεῖμεν ἂν
μούσαις, ἀοιδὰς δόντες ὑστέροις βροτῶν.
χωρεῖτε, θάπτετ' ἀθλίῳ τύμβῳ νεκρόν·
ἔχει γὰρ οἷα δεῖ γε νερτέρων στέφη.
δοκῶ δὲ τοῖς θανοῦσι διαφέρειν βραχὺ,
εἰ πλουσίων τις τεύξεται κτερισμάτων.
κενὸν δὲ γαύρωμ' ἐστὶ τῶν ζώντων τόδε.

ΧΟΡΟΣ.

ἰὼ ἰώ·
μελέα μάτηρ, ἣ τὰς μεγάλας
ἐλπίδας ἐπὶ σοὶ κατέκαμψε βίου.
μέγα δ' ὀλβισθεὶς ὡς ἐκ πατέρων
ἀγαθῶν ἐγένου,
δεινῷ θανάτῳ διόλωλας.

ΕΚΑΒΗ.

ἔα ἔα·
τίνας Ἰλιάσιν ταῖσδ' ἐν κορυφαῖς
λεύσσω φλογέας δαλοῖσι χέρας
διερέσσοντας; μέλλει Τροίᾳ
καινόν τι κακὸν προσέσεσθαι.

ΤΑΛΘΥΒΙΟΣ.

αὐδῶ λοχαγοῖς, οἳ τέταχθε πιμπράναι
Πριάμου τόδ' ἄστυ, μηκέτ' ἀργοῦσαν φλόγα
ἐν χειρὶ σώζειν, ἀλλὰ πῦρ ἐνιέναι,
ὡς ἂν κατασκάψαντες Ἰλίου πόλιν
στελλώμεθ' οἴκαδ' ἄσμενοι Τροίας ἄπο.
ὑμεῖς δ', ἵν' αὑτὸς λόγος ἔχῃ μορφὰς δύο,
χωρεῖτε, Τρώων παῖδες, ὀρθίαν ὅταν
σάλπιγγος ἠχὼ δῶσιν ἀρχηγοὶ στρατοῦ,
πρὸς ναῦς Ἀχαιῶν, ὡς ἀποστέλλησθε γῆς.
σύ τ', ὦ γεραιὰ δυστυχεστάτη γύναι,
ἕπου. μεθήκουσίν σ' Ὀδυσσέως πάρα
οἵδ', ᾧ σε δούλην κλῆρος ἐκπέμπει χθονός.

ΕΚΑΒΗ.

οἲ 'γὼ τάλαινα· τοῦτο δὴ τὸ λοίσθιον
καὶ τέρμα πάντων τῶν ἐμῶν ἤδη κακῶν·
ἔξειμι πατρίδος, πόλις ὑφάπτεται πυρί.
ἀλλ', ὦ γεραιὲ πούς, ἐπίσπευσον μόλις,
ὡς ἀσπάσωμαι τὴν ταλαίπωρον πόλιν.
ὦ μεγάλα δήποτ' ἐμπνέουσ' ἐν βαρβάροις
Τροία, τὸ κλεινὸν ὄνομ' ἀφαιρήσει τάχα.
πιμπρᾶσί σ', ἡμᾶς δ' ἐξάγουσ' ἤδη χθονὸς
δούλας· ἰὼ θεοί. καὶ τί τοὺς θεοὺς καλῶ;
καὶ πρὶν γὰρ οὐκ ἤκουσαν ἀνακαλούμενοι.
φέρ' ἐς πυρὰν δράμωμεν, ὡς κάλλιστά μοι
σὺν τῇδε πατρίδι κατθανεῖν πυρουμένῃ.

ΤΑΛΘΥΒΙΟΣ.

ἐνθουσιᾷς, δύστηνε, τοῖς σαυτῆς κακοῖς·
ἀλλ' ἄγετε, μὴ φείδεσθ'· Ὀδυσσέως δὲ χρὴ
ἐς χεῖρα δοῦναι τήνδε καὶ πέμπειν γέρας.

ΕΚΑΒΗ.

ὀτοτοτοτοτοτοῖ.
Κρόνιε, πρύτανι Φρύγιε, γενέτα
πάτερ, ἀνάξια τᾶς Δαρδάνου
γονᾶς τάδ' οἷα πάσχομεν δέδορκας;

ΧΟΡΟΣ.

δέδορκεν, ἁ δὲ μεγαλόπολις
ἄπολις ὄλωλεν οὐδ' ἔτ' ἔστι Τροία.

ΕΚΑΒΗ.

ὀτοτοτοτοτοτοῖ.
λέλαμπεν Ἴλιος,
Περγάμων τε πυρὶ καταίθεται τέρεμνα
καὶ πόλις ἄκρα τε τειχέων.

ΧΟΡΟΣ.

πτέρυγι δὲ καπνὸς ὥς τις οὐ-
ράνια πεσοῦσα δορὶ καταφθίνει γᾶ.
μαλερὰ μέλαθρα πυρὶ κατάδρομα
δαΐῳ τε λόγχᾳ.

ΕΚΑΒΗ.

ἰὼ γᾶ τρόφιμε τῶν ἐμῶν τέκνων.

ΧΟΡΟΣ.

ἒ ἔ.

ΕΚΑΒΗ.

ὦ τέκνα, κλύετε, μάθετε ματρὸς αὐδάν.

1302—1313. == 1314—1332.

ΧΟΡΟΣ.

ἰαλέμῳ τοὺς θανόντας ἀπύεις.

ΕΚΑΒΗ.

γεραιά τ' εἰς πέδον τιθεῖσα μέλεα,
καὶ χερσὶ γαῖαν κροτοῦσα δισσαῖς.

ΧΟΡΟΣ.

διάδοχά σοι γόνυ τίθημι γαίᾳ,
τοὺς ἐμοὺς καλοῦσα νέρθεν
ἀθλίους ἀκοίτας.

ΕΚΑΒΗ.

ἀγόμεθα, φερόμεθ'

ΧΟΡΟΣ.

ἄλγος ἄλγος βοᾷς.

ΕΚΑΒΗ.

δούλειον ὑπὸ μέλαθρον ἐκ πάτρας γ' ἐμᾶς.
ἰώ.
Πρίαμε Πρίαμε, σὺ μὲν ὀλόμενος
ἄταφος, ἄφιλος, ἄτας ἐμᾶς ἄϊστος εἶ.

ΧΟΡΟΣ.

μέλας γὰρ ὄσσε κατεκάλυψε
θάνατος ὅσιον ἀνοσίαις σφαγαῖσιν.

ΕΚΑΒΗ.

ἰὼ θεῶν μέλαθρα καὶ πόλις φίλα.

ΧΟΡΟΣ.

ἒ ἔ.

ΕΚΑΒΗ.

τὰν φόνιον ἔχετε φλόγα δορός τε λόγχαν.

ΧΟΡΟΣ.

τάχ' εἰς φίλαν γᾶν πεσεῖσθ' ἀνώνυμοι.

ΕΚΑΒΗ.

κόνις δ' ἴσα καπνῷ πτέρυγι πρὸς αἰθέρ'
ἄϊστον οἴκων ἐμῶν με θήσει.

ΧΟΡΟΣ.

ὄνομα δὲ γᾶς ἀφανὲς εἶσιν· ἄλλᾳ δ'
ἄλλο φροῦδον, οὐδ' ἔτ' ἔστιν
ἁ τάλαινα Τροία.

ΕΚΑΒΗ.

ἐμάθετ', ἐκλύετε;

ΧΟΡΟΣ.

Περγάμων γε κτύπον.

ΕΚΑΒΗ.

ἔνοσις ἅπασαν ἔνοσις ἐπικλύσει πόλιν.
ἰώ.
τρομερὰ τρομερὰ μέλεα, φέρετ' ἐ-
μὸν ἴχνος. ἴτ' ἐπὶ δούλειον ἁμέραν βίου.

ΧΟΡΟΣ.

ἰὼ τάλαινα πόλις· ὅμως δὲ
πρόφερε πόδα σὸν ἐπὶ πλάτας Ἀχαιῶν.

# ΕΥΡΙΠΙΔΟΥ ΙΩΝ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΕΡΜΗΣ.*
*ΙΩΝ.*
*ΧΟΡΟΣ ΘΕΡΑΠΑΙΝΙΔΩΝ ΚΡΕΟΥΣΗΣ.*
*ΚΡΕΟΥΣΑ.*
*ΞΟΥΘΟΣ.*
*ΠΡΕΣΒΥΤΗΣ ἢ ΠΑΙΔΑΓΩΓΟΣ.*
*ΘΕΡΑΠΩΝ ΚΡΕΟΥΣΗΣ.*
*ΠΥΘΙΑ ἤτοι ΠΡΟΦΗΤΙΣ.*
*ΑΘΗΝΑ.*

## ΥΠΟΘΕΣΙΣ.

Κρέουσαν τὴν Ἐρεχθέως Ἀπόλλων φθείρας ἔγκυον ἐποίησεν ἐν Ἀθήναις· ἡ δὲ τὸ γεννηθὲν ὑπὸ τὴν ἀκρόπολιν ἐξέθηκε, τὸν αὐτὸν τόπον καὶ τοῦ ἀδικήματος καὶ τῆς λοχείας μάρτυρα λαβοῦσα. τὸ μὲν οὖν βρέφος Ἑρμῆς ἀνελόμενος εἰς Δελφοὺς ἤνεγκεν· εὑροῦσα δ' ἡ προφῆτις ἀνέθρεψε· τὴν Κρέουσαν δὲ Ξοῦθος ἔγημε· συμμαχήσας γὰρ Ἀθηναίοις τὴν βασιλείαν καὶ τὸν τῆς προειρημένης γάμον ἔλαβε δῶρον. τούτῳ μὲν οὖν ἄλλος παῖς οὐκ ἐγένετο· τὸν δ' ἐκτραφέντα ὑπὸ τῆς προφήτιδος οἱ Δελφοὶ νεωκόρον ἐποίησαν. ὁ δ' ἀγνοῶν ἐδούλευσε τῷ πατρί.

Ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Δελφοῖς.

# Ι Ω Ν.

ΕΡΜΗΣ.

Ἄτλας, ὁ χαλκέοισι νώτοις οὐρανὸν,
θεῶν παλαιὸν οἶκον, ἐκτρίβων, θεῶν
μιᾶς ἔφυσε Μαῖαν, ἥ 'μ' ἐγείνατο
Ἑρμῆν, μεγίστῳ Ζηνὶ δαιμόνων λάτριν.
ἥκω δὲ Δελφῶν τήνδε γῆν, ἵν' ὀμφαλὸν
μέσον καθίζων Φοῖβος ὑμνῳδεῖ βροτοῖς,
τά τ' ὄντα καὶ μέλλοντα θεσπίζων ἀεί.
ἔστιν γὰρ οὐκ ἄσημος Ἑλλήνων πόλις,
τῆς χρυσολόγχου Παλλάδος κεκλημένη,
οὗ παῖδ' Ἐρεχθέως Φοῖβος ἔζευξεν γάμοις
βίᾳ Κρέουσαν, ἔνθα προσβόρρους πέτρας
Παλλάδος ὑπ' ὄχθῳ τῆς Ἀθηναίων χθονὸς
Μακρὰς καλοῦσι γῆς ἄνακτες Ἀτθίδος.
ἀγνὼς δὲ πατρὶ, τῷ θεῷ γὰρ ἦν φίλον,
γαστρὸς διήνεγκ' ὄγκον· ὡς δ' ἦλθεν χρόνος,
τεκοῦσ' ἐν οἴκοις παῖδ' ἀπήνεγκεν βρέφος
ἐς ταυτὸν ἄντρον οὗπερ ηὐνάσθη θεῷ
Κρέουσα, κἀκτίθησιν ὡς θανούμενον
κοίλης ἐν ἀντίπηγος εὐτρόχῳ κύκλῳ,
προγόνων νόμον σώζουσα τοῦ τε γηγενοῦς
Ἐριχθονίου· κείνῳ γὰρ ἡ Διὸς κόρη
φρουρὼ παραζεύξασα φύλακε σώματος
δισσὼ δράκοντε, παρθένοις Ἀγραυλίσι
δίδωσι σώζειν. ὅθεν Ἐρεχθείδαις ἐκεῖ
νόμος τίς ἐστιν ὄφεσιν ἐν χρυσηλάτοις
τρέφειν τέκν'. ἀλλ' ἣν εἶχε παρθένος χλιδὴν
τέκνῳ προσάψασ' ἔλιπεν, ὡς θανουμένῳ.
καί μ' ὢν ἀδελφὸς Φοῖβος αἰτεῖται τάδε·
ὦ σύγγον', ἐλθὼν λαὸν εἰς αὐτόχθονα
κλεινῶν Ἀθηνῶν, οἶσθα γὰρ θεᾶς πόλιν,
λαβὼν βρέφος νεογνὸν ἐκ κοίλης πέτρας
αὐτῷ σὺν ἄγγει σπαργάνοισί θ' οἷς ἔχει
ἔνεγκ' ἀδελφῷ τἀμὰ πρὸς χρηστήρια,
καὶ θὲς πρὸς αὐταῖς εἰσόδοις δόμων ἐμῶν.
τὰ δ' ἄλλ', ἐμὸς γάρ ἐστιν, ὡς εἰδῇς, ὁ παῖς,
ἡμῖν μελήσει. Λοξίᾳ δ' ἐγὼ χάριν
πράσσων ἀδελφῷ πλεκτὸν ἐξάρας κύτος
ἤνεγκα, καὶ τὸν παῖδα κρηπίδων ἔπι
τίθημι ναοῦ τοῦδ', ἀναπτύξας κύτος
ἑλικτὸν ἀντίπηγος, ὡς ὁρῷθ' ὁ παῖς.
κυρεῖ δ' ἅμ' ἱππεύοντος ἡλίου κύκλῳ
προφῆτις ἐσβαίνουσα μαντεῖον θεοῦ·
ὄψιν δὲ προσβαλοῦσα παιδὶ νηπίῳ
ἐθαύμασ' εἴ τις Δελφίδων τλαίη κόρη
λαθραῖον ὠδῖν' ἐς θεοῦ ῥῖψαι δόμον,
ὑπὲρ δὲ θυμέλας διορίσαι πρόθυμος ἦν,
οἴκτῳ δ' ἀφῆκεν ὠμότητα, καὶ θεὸς
σύνεργος ἦν τῷ παιδὶ μὴ 'κπεσεῖν δόμων.
τρέφει δέ νιν λαβοῦσα· τὸν σπείραντα δὲ
οὐκ οἶδε Φοῖβον, οὐδὲ μητέρ' ἧς ἔφυ,
ὁ παῖς τε τοὺς τεκόντας οὐκ ἐπίσταται.
νέος μὲν οὖν ὢν ἀμφὶ βωμίους τροφὰς
ἠλᾶτ' ἀθύρων· ὡς δ' ἀπηνδρώθη δέμας,
Δελφοί σφ' ἔθεντο χρυσοφύλακα τοῦ θεοῦ
ταμίαν τε πάντων πιστὸν, ἐν δ' ἀνακτόροις
θεοῦ καταζῇ δεῦρ' ἀεὶ σεμνὸν βίον.
Κρέουσα δ' ἡ τεκοῦσα τὸν νεανίαν
Ξούθῳ γαμεῖται συμφορᾶς τοιᾶσδ' ὕπο·
ἦν ταῖς Ἀθήναις τοῖς τε Χαλκωδοντίδαις,
οἳ γῆν ἔχουσ' Εὐβοΐδα, πολέμιος κλύδων·
ὃν συμπονήσας καὶ ξυνεξελὼν δορὶ
γάμων Κρεούσης ἀξίωμ' ἐδέξατο,
οὐκ ἐγγενὴς ὢν, Αἰόλου δὲ τοῦ Διὸς
γεγὼς Ἀχαιός· χρόνια δὲ σπείρας λέχη,
ἄτεκνός ἐστι, καὶ Κρέουσ'· ὧν οὕνεκα
ἥκουσι πρὸς μαντεῖ' Ἀπόλλωνος τάδε,
ἔρωτι παίδων. Λοξίας δὲ τὴν τύχην
ἐς τοῦτ' ἐλαύνει, κοὐ λέληθεν, ὡς δοκεῖ.
δώσει γὰρ εἰσελθόντι μαντεῖον τόδε
Ξούθῳ τὸν αὑτοῦ παῖδα, καὶ πεφυκέναι
κείνου σφε φήσει, μητρὸς ὡς ἐλθὼν δόμους
γνωσθῇ Κρεούσῃ, καὶ γάμοι τε Λοξίου
κρυπτοὶ γένωνται παῖς τ' ἔχῃ τὰ πρόσφορα·
Ἴωνα δ' αὐτὸν, κτίστορ' Ἀσιάδος χθονὸς,
ὄνομα κεκλῆσθαι θήσεται καθ' Ἑλλάδα.
ἀλλ' ἐς δαφνώδη γύαλα βήσομαι τάδε,
τὸ κρανθὲν ὡς ἂν ἐκμάθω παιδὸς πέρι.
ὁρῶ γὰρ ἐκβαίνοντα Λοξίου γόνον
τόνδ', ὡς πρὸ ναοῦ λαμπρὰ θῇ πυλώματα
δάφνης κλάδοισιν. ὄνομα δ', οὗ μέλλει τυχεῖν,
Ἴων' ἐγώ σφε πρῶτος ὀνομάζω θεῶν.

ΙΩΝ.

ἅρματα μὲν τάδε λαμπρὰ τεθρίππων,
ἥλιος ἤδη λάμπει κατὰ γῆν,
ἄστρα δὲ φεύγει πυρὶ τῷδ' αἰθέρος
ἐς νύχθ' ἱερὰν,
Παρνησιάδες δ' ἄβατοι κορυφαὶ
καταλαμπόμεναι τὴν ἡμέραν
ἀψῖδα βροτοῖσι δέχονται.
σμύρνης δ' ἐνύδρου καπνὸς εἰς ὀρόφους
Φοίβου πέτεται.
θάσσει δὲ γυνὴ τρίποδα ζάθεον
Δελφὶς, ἀείδουσ' Ἕλλησι βοὰς,
ἃς ἂν Ἀπόλλων κελαδήσῃ.
ἀλλ', ὦ Φοίβου Δελφοὶ θέραπες,
τὰς Κασταλίας ἀργυροειδεῖς
βαίνετε δίνας, καθαραῖς δὲ δρόσοις
ἀφυδρανάμενοι στείχετε ναούς·
στόμα τ' εὔφημον φρουρεῖν ἀγαθὸν,
φήμας τ' ἀγαθὰς τοῖς ἐθέλουσιν
μαντεύεσθαι
γλώσσης ἰδίας ἀποφαίνειν.

ἡμεῖς δὲ, πόνους οὓς ἐκ παιδὸς
μοχθοῦμεν ἀεὶ, πτόρθοισι δάφνης
στέφεσίν θ' ἱεροῖς ἐσόδους Φοίβου
καθαρὰς θήσομεν ὑγραῖς τε πέδον
ῥανίσιν νοτερὸν, πτηνῶν τ' ἀγέλας,
αἳ βλάπτουσιν
σέμν' ἀναθήματα, τόξοισιν ἐμοῖς
φυγάδας θήσομεν· ὡς γὰρ ἀμήτωρ
ἀπάτωρ τε γεγὼς τοὺς θρέψαντας
Φοίβου ναοὺς θεραπεύω.
ἄγ' ὦ νεηθαλὲς ὦ
καλλίστας προπόλευμα δάφνας,
ἃ τὰν Φοίβου θυμέλαν
σαίρεις ὑπὸ ναοῖς
κήπων ἐξ ἀθανάτων,
ἵνα δρόσοι τέγγουσ' ἱεραὶ
* τὰν ἀέναον παγὰν
ἐκπροϊεῖσαι,
μυρσίνας ἱερὰν φόβαν,
ᾇ σαίρω δάπεδον θεοῦ
παναμέριος ἅμ' ἀελίου πτέρυγι θοῇ
λατρεύων τὸ κατ' ἦμαρ.
ὦ Παιὰν ὦ Παιὰν,
εὐαίων εὐαίων
εἴης, ὦ Λατοῦς παῖ.
καλόν γε τὸν πόνον, ὦ
Φοῖβε, σοὶ πρὸ δόμων λατρεύω,
τιμῶν μαντεῖον ἕδραν·
κλεινὸς δ' ὁ πόνος μοι,
θεοῖσιν δούλαν χέρ' ἔχειν,
οὐ θνατοῖς, ἀλλ' ἀθανάτοις·
εὐφάμοις δὲ πόνοις μοχθεῖν
οὐκ ἀποκάμνω.
Φοῖβός μοι γενέτωρ πατήρ·
τὸν βόσκοντα γὰρ εὐλογῶ.
τὸ δ' ὠφέλιμον ἐμοὶ πατέρος ὄνομα λέγω
Φοίβου τοῦ κατὰ ναόν.
ὦ Παιὰν ὦ Παιὰν,
εὐαίων εὐαίων
εἴης, ὦ Λατοῦς παῖ.
ἀλλ' ἐκπαύσω γὰρ μόχθους
δάφνας ὁλκοῖς·
χρυσέων δ' ἐκ τευχέων ῥίψω
γαίας παγὰν,
ἃν ἀποχεύονται
Κασταλίας δῖναι,
νοτερὸν ὕδωρ βάλλων,
ὅσιος ἀπ' εὐνᾶς ὤν.
εἴθ' οὕτως ἀεὶ Φοίβῳ
λατρεύων μὴ παυσαίμαν, ἢ
παυσαίμαν ἀγαθᾷ μοίρᾳ.
ἔα ἔα.
φοιτῶσ' ἤδη λείπουσίν τε
πτανοὶ Παρνασοῦ κοίτας·
αὐδῶ μὴ χρίμπτειν θριγκοῖς
μηδ' εἰς χρυσήρεις οἴκους.
μάρψω σ' αὖ τόξοις, ὦ Ζηνὸς
κῆρυξ, ὀρνίθων γαμφηλαῖς
ἰσχὺν νικῶν.

112 — 127. = 128 — 143.

ὅδε πρὸς θυμέλας ἄλλος ἐρέσσει
κύκνος· οὐκ ἄλλᾳ
φοινικοφαῆ πόδα κινήσεις;
οὐδέν σ' ἁ φόρμιγξ ἁ Φοίβου
σύμμολπος τόξων ῥύσαιτ' ἄν·
πάραγε πτέρυγας·
λίμνας ἐπίβα τᾶς Δηλιάδος·
αἱμάξεις, εἰ μὴ πείσει,
τὰς καλλιφθόγγους ᾠδάς.
ἔα ἔα.
τίς ὅδ' ὀρνίθων καινὸς προσέβα;
μῶν ὑπὸ θριγκοὺς εὐναίας
καρφηρὰς θήσων τέκνοις;
ψαλμοί σ' εἴρξουσιν τόξων.
οὐ πείσει; χωρῶν ἐν δίναις
ταῖς Ἀλφειοῦ παιδούργει
ἢ νάπος Ἴσθμιον,
ὡς ἀναθήματα μὴ βλάπτηται
ναοί θ' οἱ Φοίβου *;
κτείνειν δ' ὑμᾶς αἰδοῦμαι
τοὺς θεῶν ἀγγέλλοντας φήμας
θνατοῖς· οἷς δ' ἔγκειμαι μόχθοις,
Φοίβῳ δουλεύσω, κοὐ λήξω
τοὺς βόσκοντας θεραπεύων.

ΗΜΙΧΟΡΙΟΝ.

οὐκ ἐν ταῖς ζαθέαις Ἀθά-
ναις εὐκίονες ἦσαν αὐ-
λαὶ θεῶν μόνον, οὐδ' ἀγυι-
άτιδες θεραπεῖαι·
ἀλλὰ καὶ παρὰ Λοξίᾳ
τῷ Λατοῦς διδύμων προσώ-
πων καλλιβλέφαρον φῶς.
ἰδοὺ τάνδ' ἄθρησον,
Λερναῖον ὕδραν ἐναίρει
χρυσέαις ἅρπαις ὁ Διὸς παῖς·
φίλα, πρόσιδ' ὄσσοις.

ΗΜΙΧΟΡΙΟΝ.

ὁρῶ. καὶ πέλας ἄλλος αὐ-
τοῦ πανὸν πυρίφλεκτον αἴ-
ρει· τίς; ἆρ' ὃς ἐμαῖσι μυ-
θεύεται παρὰ πήναις
ἀσπιστὰς Ἰόλαος, ὃς
κοινοὺς αἰρόμενος πόνους
δίῳ παιδὶ συναντλεῖ;

ΗΜΙΧΟΡΙΟΝ.

καὶ μὰν τόνδ' ἄθρησον
πτεροῦντος ἐφεδρον ἵππου·
τὰν πυρπνέουσαν ἐναίρει
τρισώματον ἀλκάν.

ΗΜΙΧΟΡΙΟΝ.

παντᾷ τοι βλέφαρον διώκω.

ΗΜΙΧΟΡΙΟΝ.

σκέψαι κλόνον ἐν τείχεσι
λαΐνοισι Γιγάντων.

ΗΜΙΧΟΡΙΟΝ.

ὧδε δερκόμεθ', ὦ φίλαι, * *

184 — 193. = 194 — 204.
205 — 218. = 219 — 221. 222. 223. 225.
230. 231. 233. 235. 236.

ΗΜΙΧΟΡΙΟΝ.
λεύσσεις οὖν ἐπ' Ἐγκελάδῳ
γοργωπὸν πάλλουσαν ἴτυν;
ΗΜΙΧΟΡΙΟΝ.
λεύσσω Παλλάδ' ἐμὰν θεόν.
ΗΜΙΧΟΡΙΟΝ.
τί γάρ; κεραυνὸν
ἀμφίπυρον ὄμβριμον ἐν Διὸς
ἑκηβόλοισι χερσίν;
ΗΜΙΧΟΡΙΟΝ.
ὁρῶ, τὸν δάϊον
Μίμαντα πυρὶ καταιθαλοῖ.
καὶ Βρόμιος ἄλλον
ἀπολέμοισι κισσίνοισι βάκτροις
ἐναίρει Γᾶς τέκνων ὁ Βακχεύς.
ΧΟΡΟΣ.
σέ τοι τὸν παρὰ ναὸν αὐδῶ,
θέμις γυάλων ὑπερβῆ-
ναι λευκῷ ποδί γ' *;
ΙΩΝ.
οὐ θέμις, ὦ ξέναι.
ΧΟΡΟΣ.
οὐδ' ἂν ἐκ σέθεν ἂν πυθοίμαν αὐδάν;
ΙΩΝ.
τίνα δῆτα θέλεις;
ΧΟΡΟΣ.
ἆρ' ὄντως μέσον ὀμφαλὸν
γᾶς Φοίβου κατέχει δόμος;
ΙΩΝ.
στέμμασί γ' ἐνδυτὸν, ἀμφὶ δὲ Γοργόνες.
ΧΟΡΟΣ.
οὕτω καὶ φάτις αὐδᾷ.
ΙΩΝ.
εἰ μὲν ἐθύσατε πέλανον πρὸ δόμων
καί τι πυθέσθαι χρῄζετε Φοίβου,
πάριτ' εἰς θυμέλας, ἐπὶ δ' ἀσφάκτοις
μήλοισι δόμων μὴ πάριτ' εἰς μυχόν.
ΧΟΡΟΣ.
ἔχω μαθοῦσα·
θεοῦ δὲ νόμον οὐ παραβαίνομεν·
ἃ δ' ἐκτὸς, ὄμμα τέρψει.
ΙΩΝ.
πάντα θεᾶσθ', ὅ τι καὶ θέμις, ὄμμασι.
ΧΟΡΟΣ.
μεθεῖσαν δεσπόται
με θεοῦ γύαλα τάδ' εἰσιδεῖν.
ΙΩΝ.
δμωαὶ δὲ τίνων κλῄζεσθε δόμων;
ΧΟΡΟΣ.
Παλλάδος ἔνοικα
τρόφιμα μέλαθρα τῶν ἐμῶν τυράννων.
παρούσας δ' ἀμφὶ τᾶσδ' ἐρωτᾷς.
ΙΩΝ.
γενναιότης σοι, καὶ τρόπων τεκμήριον
τὸ σχῆμ' ἔχεις τόδ', ἥτις εἶ ποτ', ὦ γύναι.
γνοίη δ' ἂν ὡς τὰ πολλά γ' ἀνθρώπου πέρι
τὸ σχῆμ' ἰδών τις εἰ πέφυκεν εὐγενής.
ἔα·
ἀλλ' ἐξέπληξάς μ' ὄμμα συγκλήσασα σὸν
δακρύοις θ' ὑγράνασ' εὐγενῆ παρηίδα,
ὡς εἶδες ἁγνὰ Λοξίου χρηστήρια.
τί ποτε μερίμνης ἐς τόδ' ἦλθες, ὦ γύναι;
οὗ πάντες ἄλλοι γύαλα λεύσσοντες θεοῦ
χαίρουσιν, ἐνταῦθ' ὄμμα σὸν δακρυρροεῖ.
ΚΡΕΟΥΣΑ.
ὦ ξένε, τὸ μὲν σὸν οὐκ ἀπαιδεύτως ἔχει
ἐς θαύματ' ἐλθεῖν δακρύων ἐμῶν πέρι·
ἐγὼ δ' ἰδοῦσα τούσδ' Ἀπόλλωνος δόμους
μνήμην παλαιὰν ἀνεμετρησάμην τινά·
οἴκοι δὲ τὸν νοῦν ἔχομεν ἐνθάδ' οὖσά που.
ὦ τλήμονες γυναῖκες· ὦ τολμήματα
θεῶν. τί δῆτα; ποῖ δίκην ἀνοίσομεν,
εἰ τῶν κρατούντων ἀδικίαις ὀλούμεθα;
ΙΩΝ.
τί χρῆμα δ' ἀνερεύνητα δυσθυμεῖ, γύναι;
ΚΡΕΟΥΣΑ.
οὐδέν· μεθῆκα τόξα· τἀπὶ τῷδε δὲ
ἐγώ τε σιγῶ καὶ σὺ μὴ φρόντιζ' ἔτι.
ΙΩΝ.
τίς δ' εἶ; πόθεν γῆς ἦλθες; ἐκ ποίας πάτρας
πέφυκας; ὄνομά τί σε καλεῖν ἡμᾶς χρεών;
ΚΡΕΟΥΣΑ.
Κρέουσα μέν μοι τοὔνομ', ἐκ δ' Ἐρεχθέως
πέφυκα, πατρὶς γῆ δ' Ἀθηναίων πόλις.
ΙΩΝ.
ὦ κλεινὸν οἰκοῦσ' ἄστυ, γενναίων τ' ἄπο
τραφεῖσα πατέρων, ὥς σε θαυμάζω, γύναι.
ΚΡΕΟΥΣΑ.
τοσαῦτα κεὐτυχοῦμεν, ὦ ξέν', οὐ πέρα.
ΙΩΝ.
πρὸς θεῶν ἀληθῶς, ὡς μεμύθευται βροτοῖς,
ΚΡΕΟΥΣΑ.
τί χρῆμ' ἐρωτᾷς, ὦ ξέν', ἐκμαθεῖν θέλω.
ΙΩΝ.
ἐκ γῆς πατρός σου πρόγονος ἔβλαστεν πατήρ;
ΚΡΕΟΥΣΑ.
Ἐριχθόνιός γε· τὸ δὲ γένος μ' οὐκ ὠφελεῖ.
ΙΩΝ.
ἦ καί σφ' Ἀθάνα γῆθεν ἐξανείλετο;
ΚΡΕΟΥΣΑ.
ἐς παρθένους γε χεῖρας, οὐ τεκοῦσά νιν.
ΙΩΝ.
δίδωσι δ', ὥσπερ ἐν γραφῇ νομίζεται;
ΚΡΕΟΥΣΑ.
Κέκροπός γε σώζειν παισὶν οὐχ ὁρώμενον.
ΙΩΝ.
ἤκουσα, λῦσαι παρθένους τεῦχος θεᾶς.
ΚΡΕΟΥΣΑ.
τοιγὰρ θανοῦσαι σκόπελον ᾕμαξαν πέτρας.
ΙΩΝ.
φεῦ·
τί δαὶ τόδ'; ἆρ' ἀληθὲς ἢ μάτην λόγος;
ΚΡΕΟΥΣΑ.
τί χρῆμ' ἐρωτᾷς; καὶ γὰρ οὐ κάμνω σχολῇ.
ΙΩΝ.
πατὴρ Ἐρεχθεὺς σὰς ἔθυσε συγγόνους;
ΚΡΕΟΥΣΑ.
ἔτλη πρὸ γαίας σφάγια παρθένους κτανεῖν.
ΙΩΝ.
σὺ δ' ἐξεσώθης πῶς κασιγνήτων μόνη;

ΚΡΕΟΥΣΑ.
βρέφος νεογνὸν μητρὸς ἦν ἐν ἀγκάλαις.
ΙΩΝ.
πατέρα δ' ἀληθῶς χάσμα σὸν κρύπτει χθονός;
ΚΡΕΟΥΣΑ.
πληγαὶ τριαίνης ποντίου σφ' ἀπώλεσαν.
ΙΩΝ.
Μακραὶ δὲ χῶρός ἐστ' ἐκεῖ κεκλημένος;
ΚΡΕΟΥΣΑ.
τί δ' ἱστορεῖς τόδ'; ὥς μ' ἀνέμνησάς τινος.
ΙΩΝ.
τιμᾷ σφε Πύθιος ἀστραπαί τε Πύθιαι;
ΚΡΕΟΥΣΑ.
τιμᾷ γ' ἄτιμ'· ὡς μήποτ' ὤφελόν σφ' ἰδεῖν.
ΙΩΝ.
τί δέ; στυγεῖς σὺ τοῦ θεοῦ τὰ φίλτατα;
ΚΡΕΟΥΣΑ.
οὐδέν· ξύνοιδ' ἄντροισιν αἰσχύνην τινά.
ΙΩΝ.
πόσις δὲ τίς σ' ἔγημ' Ἀθηναίων, γύναι;
ΚΡΕΟΥΣΑ.
οὐκ ἀστὸς, ἀλλ' ἐπακτὸς ἐξ ἄλλης χθονός.
ΙΩΝ.
τίς; εὐγενῆ νιν δεῖ πεφυκέναι τινά.
ΚΡΕΟΥΣΑ.
Ξοῦθος, πεφυκὼς Αἰόλου Διός τ' ἄπο.
ΙΩΝ.
καὶ πῶς ξένος σ' ὢν ἔσχεν οὖσαν ἐγγενῆ;
ΚΡΕΟΥΣΑ.
Εὔβοι' Ἀθήναις ἔστι τις γείτων πόλις.
ΙΩΝ.
ὅροις ὑγροῖσιν, ὡς λέγουσ', ὡρισμένη.
ΚΡΕΟΥΣΑ.
ταύτην ἔπερσε Κεκροπίδαις κοινῷ δορί.
ΙΩΝ.
ἐπίκουρος ἐλθὼν, κᾆτα σὸν γαμεῖ λέχος;
ΚΡΕΟΥΣΑ.
φερνάς γε πολέμου καὶ δορὸς λαβὼν γέρας.
ΙΩΝ.
σὺν ἀνδρὶ δ' ἥκεις ἢ μόνη χρηστήρια;
ΚΡΕΟΥΣΑ.
σὺν ἀνδρί. σηκοὺς δ' ἐνστρέφει Τροφωνίου.
ΙΩΝ.
πότερα θεατὴς, ἢ χάριν μαντευμάτων;
ΚΡΕΟΥΣΑ.
κείνου τε Φοίβου θ' ἓν θέλων μαθεῖν ἔπος.
ΙΩΝ.
καρποῦ δ' ὑπὲρ γῆς ἥκετ', ἢ παίδων πέρι;
ΚΡΕΟΥΣΑ.
ἄπαιδές ἐσμεν, χρόνι' ἔχοντ' εὐνήματα.
ΙΩΝ.
οὐδ' ἔτεκες οὐδὲν πώποτ', ἀλλ' ἄτεκνος εἶ;
ΚΡΕΟΥΣΑ.
ὁ Φοῖβος οἶδε τὴν ἐμὴν ἀπαιδίαν.
ΙΩΝ.
ὦ τλῆμον, ὡς τἄλλ' εὐτυχοῦσ' οὐκ εὐτυχεῖς.
ΚΡΕΟΥΣΑ.
σὺ δ' εἶ τίς; ὥς σου τὴν τεκοῦσαν ὤλβισα.
ΙΩΝ.
τοῦ θεοῦ καλοῦμαι δοῦλος εἰμί τ', ὦ γύναι.
ΚΡΕΟΥΣΑ.
ἀνάθημα πόλεως, ἤ τινος πραθεὶς ὕπο;
ΙΩΝ.
οὐκ οἶδα, πλὴν ἕν, Λοξίου κεκλήμεθα.
ΚΡΕΟΥΣΑ.
ἡμεῖς σ' ἄρ' αὖθις, ὦ ξέν', ἀντοικτείρομεν.
ΙΩΝ.
ὡς μὴ εἰδόθ' ἥτις μ' ἔτεκεν ἐξ ὅτου τ' ἔφυν.
ΚΡΕΟΥΣΑ.
ναοῖσι δ' οἰκεῖς τοισίδ', ἢ κατὰ στέγας;
ΙΩΝ.
ἅπαν θεοῦ μοι δῶμ', ἵν' ἂν λάβῃ μ' ὕπνος.
ΚΡΕΟΥΣΑ.
παῖς δ' ὢν ἀφίκου ναὸν, ἢ νεανίας;
ΙΩΝ.
βρέφος λέγουσιν οἱ δοκοῦντες εἰδέναι.
ΚΡΕΟΥΣΑ.
καί τις γάλακτί σ' ἐξέθρεψε Δελφίδων;
ΙΩΝ.
οὐπώποτ' ἔγνων μαστόν· ἡ δ' ἔθρεψέ με
ΚΡΕΟΥΣΑ.
τίς, ὦ ταλαίπωρ'; ὡς νοσοῦσ' εὗρον νόσους.
ΙΩΝ.
Φοίβου προφῆτις, μητέρ' ὣς νομίζομεν.
ΚΡΕΟΥΣΑ.
ἐς δ' ἄνδρ' ἀφίκου τίνα τροφὴν κεκτημένος;
ΙΩΝ.
βωμοί μ' ἔφερβον οὑπιών τ' ἀεὶ ξένος.
ΚΡΕΟΥΣΑ.
τάλαιν' ἄρ' ἡ τεκοῦσά σ', ἥτις ἦν ποτε.
ΙΩΝ.
ἀδίκημά του γυναικὸς ἐγενόμην ἴσως.
ΚΡΕΟΥΣΑ.
ἔχεις δὲ βίοτον; εὖ γὰρ ἤσκησαι πέπλοις.
ΙΩΝ.
τοῖς τοῦ θεοῦ κοσμούμεθ', ᾧ δουλεύομεν.
ΚΡΕΟΥΣΑ.
οὐδ' ᾖξας εἰς ἔρευναν ἐξευρεῖν γονάς;
ΙΩΝ.
ἔχω γὰρ οὐδὲν, ὦ γύναι, τεκμήριον.
ΚΡΕΟΥΣΑ.
φεῦ.
πέπονθέ τις σῇ μητρὶ ταὔτ' ἄλλη γυνή.
ΙΩΝ.
τίς; εἰ πόνου μοι ξυλλάβοι, χαίροιμεν ἄν.
ΚΡΕΟΥΣΑ.
ἧς οὕνεκ' ἦλθον δεῦρο πρὶν πόσιν μολεῖν.
ΙΩΝ.
ποῖόν τι χρῄζουσ'; ὡς ὑπουργήσω, γύναι.
ΚΡΕΟΥΣΑ.
μάντευμα κρυπτὸν δεομένη Φοίβου μαθεῖν.
ΙΩΝ.
λέγοις ἄν· ἡμεῖς τἄλλα προξενήσομεν.
ΚΡΕΟΥΣΑ.
ἄκουε δὴ τὸν μῦθον. ἀλλ' αἰδούμεθα.
ΙΩΝ.
οὔ τἄρα πράξεις οὐδέν· ἀργὸς ἡ θεός.
ΚΡΕΟΥΣΑ.
Φοίβῳ μιγῆναί φησί τις φίλων ἐμῶν.

ΙΩΝ.
Φοίβῳ γυνὴ γεγῶσα; μὴ λέγ', ὦ ξένη.
ΚΡΕΟΥΣΑ.
καὶ παῖδά γ' ἔτεκε τῷ θεῷ λάθρα πατρός.
ΙΩΝ.
οὐκ ἔστιν· ἀνδρὸς ἀδικίαν αἰσχύνεται.
ΚΡΕΟΥΣΑ.
ὅ φησιν αὐτή· καὶ πέπονθεν ἄθλια.
ΙΩΝ.
τί χρῆμα δράσασ', εἰ θεῷ συνεζύγη;
ΚΡΕΟΥΣΑ.
τὸν παῖδ' ὃν ἔτεκεν ἐξέθηκε δωμάτων.
ΙΩΝ.
ὁ δ' ἐκτεθεὶς παῖς ποῦ 'στιν; εἰσορᾷ φάος;
ΚΡΕΟΥΣΑ.
οὐκ οἶδεν οὐδείς. ταῦτα καὶ μαντεύομαι.
ΙΩΝ.
εἰ δ' οὐκέτ' ἔστι, τίνι τρόπῳ διεφθάρη;
ΚΡΕΟΥΣΑ.
θῆράς σφε τὸν δύστηνον ἐλπίζει κτανεῖν.
ΙΩΝ.
ποίῳ τόδ' ἔγνω χρωμένη τεκμηρίῳ;
ΚΡΕΟΥΣΑ.
ἐλθοῦσ' ἵν' αὐτὸν ἐξέθηκ' οὐχ εὗρ' ἔτι.
ΙΩΝ.
ἦν δὲ σταλαγμὸς ἐν στίβῳ τις αἵματος;
ΚΡΕΟΥΣΑ.
οὔ φησι· καίτοι πόλλ' ἐπεστράφη πέδον.
ΙΩΝ.
χρόνος δὲ τίς τῷ παιδὶ διαπεπραγμένῳ;
ΚΡΕΟΥΣΑ.
σοὶ ταυτὸν ἥβης, εἴπερ ἦν, εἶχ' ἂν μέτρον.
ΙΩΝ.
ἀδικεῖ νιν ὁ θεός· ἡ τεκοῦσα δ' ἀθλία.
ΚΡΕΟΥΣΑ.
οὔκουν ἔτ' ἄλλον ὕστερον τίκτει γόνον.
ΙΩΝ.
τί δ'; εἰ λάθρα νιν Φοῖβος ἐκτρέφει λαβών;
ΚΡΕΟΥΣΑ.
τὰ κοινὰ χαίρων οὐ δίκαια δρᾷ μόνος.
ΙΩΝ.
οἴμοι· προσῳδὸς ἡ τύχη τὠμῷ πάθει.
ΚΡΕΟΥΣΑ.
καὶ σ', ὦ ξέν', οἶμαι μητέρ' ἀθλίαν ποθεῖν.
ΙΩΝ.
καὶ μή γ' ἐπ' οἶκτόν μ' ἔξαγ' οὗ λελήσμεθα.
ΚΡΕΟΥΣΑ.
σιγῶ· πέραινε δ' ὧν σ' ἀνιστορῶ πέρι.
ΙΩΝ.
οἶσθ' οὖν ὃ κάμνει τοῦ λόγου μάλιστά σοι;
ΚΡΕΟΥΣΑ.
τί δ' οὐκ ἐκείνῃ τῇ ταλαιπώρῳ νοσεῖ;
ΙΩΝ.
πῶς ὁ θεὸς ὃ λαθεῖν βούλεται μαντεύσεται;
ΚΡΕΟΥΣΑ.
εἴπερ καθίζει τρίποδα κοινὸν Ἑλλάδος.
ΙΩΝ.
αἰσχύνεται τὸ πρᾶγμα· μὴ 'ξέλεγχέ νιν.
ΚΡΕΟΥΣΑ.
ἀλγύνεται δέ γ' ἡ παθοῦσα τῇ τύχῃ.
ΙΩΝ.
οὐκ ἔστιν ὅστις σοι προφητεύσει τάδε.
ἐν τοῖς γὰρ αὐτοῦ δώμασιν κακὸς φανεὶς
Φοῖβος δικαίως τὸν θεμιστεύοντά σοι
δράσειεν ἄν τι πῆμ'· ἀπαλλάσσου, γύναι·
τῷ γὰρ θεῷ τἀναντί' οὐ μαντευτέον.
ἐς γὰρ τοσοῦτον ἀμαθίας ἔλθοιμεν ἄν,
εἰ τοὺς θεοὺς ἄκοντας ἐκπονήσομεν
φράζειν ἃ μὴ θέλουσιν ἢ προβωμίοις
σφαγαῖσι μήλων ἢ δι' οἰωνῶν πτεροῖς.
ἂν γὰρ βίᾳ σπεύδωμεν ἀκόντων θεῶν,
οὐκ ὄντα κεκτήμεσθα τἀγάθ', ὦ γύναι·
ἃ δ' ἂν διδῶσ' ἑκόντες, ὠφελούμεθα.
ΧΟΡΟΣ.
πολλαί γε πολλοῖς εἰσι συμφοραὶ βροτῶν,
μορφαὶ δὲ διαφέρουσιν. ἓν δ' ἂν εὐτυχὲς
μόλις ποτ' ἐξεύροι τις ἀνθρώπων βίῳ.
ΚΡΕΟΥΣΑ.
ὦ Φοῖβε, κἀκεῖ κἀνθάδ' οὐ δίκαιος εἶ
ἐς τὴν ἀποῦσαν, ἧς πάρεισιν οἱ λόγοι.
σύ τ' οὐκ ἔσωσας τὸν σὸν, ὃν σῶσαί σ' ἐχρῆν
οὔθ' ἱστορούσῃ μητρὶ μάντις ὢν ἐρεῖς,
ὡς, εἰ μὲν οὐκέτ' ἔστιν, ὀγκωθῇ τάφῳ,
εἰ δ' ἔστιν, ἔλθῃ μητρὸς εἰς ὄψιν ποτέ.
ἀλλ' ἐᾶν χρὴ τάδ', εἰ πρὸς τοῦ θεοῦ
κωλυόμεσθα μὴ μαθεῖν ἃ βούλομαι.
ἀλλ', ὦ ξέν', εἰσορῶ γὰρ εὐγενῆ πόσιν
Ξοῦθον πέλας δὴ τόνδε, τὰς Τροφωνίου
λιπόντα θαλάμας, τοὺς λελεγμένους λόγους
σίγα πρὸς ἄνδρα, μή τιν' αἰσχύνην λάβω
διακονοῦσα κρυπτὰ, καὶ προβῇ λόγος
οὐχ ᾗπερ ἡμεῖς αὐτὸν ἐξειλίσσομεν.
τὰ γὰρ γυναικῶν δυσχερῆ πρὸς ἄρσενας,
κἂν ταῖς κακαῖσιν ἀγαθαὶ μεμιγμέναι
μισούμεθ'· οὕτω δυστυχεῖς πεφύκαμεν.
ΞΟΥΘΟΣ.
πρῶτον μὲν ὁ θεὸς τῶν ἐμῶν προσφθεγμάτων
λαβὼν ἀπαρχὰς χαιρέτω, σύ τ', ὦ γύναι.
μῶν χρόνιος ἐλθών σ' ἐξέπληξ' ὀρρωδίᾳ;
ΚΡΕΟΥΣΑ.
οὐδέν γ'· ἀφίκου δ' ἐς μέριμναν. ἀλλά μοι
λέξον τί θέσπισμ' ἐκ Τροφωνίου φέρεις,
παίδων ὅπως νῷν σπέρμα συγκραθήσεται.
ΞΟΥΘΟΣ.
οὐκ ἠξίωσε τοῦ θεοῦ προλαμβάνειν
μαντεύμαθ'· ἓν δ' οὖν εἶπεν, οὐκ ἄπαιδά με
πρὸς οἶκον ἥξειν οὐδὲ σ' ἐκ χρηστηρίων.
ΚΡΕΟΥΣΑ.
ὦ πότνια Φοίβου μῆτερ, εἰ γὰρ αἰσίως
ἔλθοιμεν, ἅ τε νῷν συμβόλαια πρόσθεν ἦν
ἐς παῖδα τὸν σὸν, μεταπέσοι βελτίονα.
ΞΟΥΘΟΣ.
ἔσται τάδ'· ἀλλὰ τίς προφητεύει θεοῦ;
ΙΩΝ.
ἡμεῖς τά γ' ἔξω, τῶν ἔσω δ' ἄλλοις μέλει,
οἳ πλησίον θάσσουσι τρίποδος, ὦ ξένε,
Δελφῶν ἀριστῆς, οὓς ἐκλήρωσεν πάλος.
ΞΟΥΘΟΣ.
καλῶς· ἔχω δὴ πάνθ' ὅσων ἐχρῄζομεν.
στείχοιμ' ἂν εἴσω· καὶ γὰρ, ὡς ἐγὼ κλύω,

χρηστήριον πέπτωκε τοῖς ἐπήλυσι
κοινὸν πρὸ ναοῦ· βούλομαι δ' ἐν ἡμέρᾳ
τῇδ', αἰσία γάρ, θεοῦ λαβεῖν μαντεύματα.
σὺ δ' ἀμφὶ βωμούς, ὦ γύναι, δαφνηφόρους
λαβοῦσα κλῶνας εὐτέκνους εὔχου θεοῖς
χρησμούς μ' ἐνεγκεῖν ἐξ Ἀπόλλωνος δόμων.

ΚΡΕΟΥΣΑ.

ἔσται τάδ' ἔσται. Λοξίας δ' ἐὰν θέλῃ
νῦν ἀλλὰ τὰς πρὶν ἀναλαβεῖν ἁμαρτίας,
ἅπας μὲν οὐ γένοιτ' ἂν εἰς ἡμᾶς φίλος,
ὅσον δὲ χρῄζει, θεὸς γάρ ἐστι, δέξομαι.

ΙΩΝ.

τί ποτε λόγοισιν ἡ ξένη πρὸς τὸν θεὸν
κρυπτοῖσιν ἀεὶ λοιδοροῦσ' αἰνίσσεται
ἤτοι φιλοῦσά γ' ἧς ὕπερ μαντεύεται,
ἢ καί τι σιγῶσ' ὧν σιωπᾶσθαι χρεών;
ἀτὰρ θυγατρὸς τῆς Ἐρεχθέως τί μοι
μέλει προσῆκον οὐδέν; ἀλλὰ χρυσέαις
πρόχοισιν ἐλθὼν εἰς ἀπορραντήρια
δρόσον καθήσω. νουθετητέος δέ μοι
Φοῖβος, τί πάσχων παρθένους βίᾳ γαμῶν
προδίδωσι, παῖδάς τ' ἐκτεκνούμενος λάθρα
θνήσκοντας ἀμελεῖ. μὴ σύ γ'· ἀλλ' ἐπεὶ κρατεῖς,
ἀρετὰς δίωκε. καὶ γὰρ ὅστις ἂν βροτῶν
κακὸς πεφύκῃ, ζημιοῦσιν οἱ θεοί.
πῶς οὖν δίκαιον τοὺς νόμους ὑμᾶς βροτοῖς
γράψαντας αὐτοὺς ἀνομίαν ὀφλισκάνειν;
εἰ δ', οὐ γὰρ ἔσται, τῷ λόγῳ δὲ χρήσομαι,
δίκας βιαίων δώσετ' ἀνθρώποις γάμων,
σὺ καὶ Ποσειδῶν Ζεύς θ' ὃς οὐρανοῦ κρατεῖ,
ναοὺς τίνοντες ἀδικίας κενώσετε.
τὰς ἡδονὰς γὰρ τῆς προμηθίας πάρος
σπεύδοντες ἀδικεῖτ'. οὐκέτ' ἀνθρώπους κακοὺς
λέγειν δίκαιον, εἰ τὰ τῶν θεῶν κακὰ
μιμούμεθ', ἀλλὰ τοὺς διδάσκοντας τάδε.

ΧΟΡΟΣ.

σὲ τὰν ὠδίνων λοχιᾶν
ἀνειλείθυιαν, ἐμὰν
Ἀθάναν ἱκετεύω,
Προμηθεῖ Τιτᾶνι λοχευ-
θεῖσαν κατ' ἀκροτάτας
κορυφᾶς Διός· ὦ πότνα Νίκα,
μόλε Πύθιον οἶκον,
Ὀλύμπου χρυσέων θαλάμων
πταμένα πρὸς ἀγυιάς,
Φοιβήιος ἔνθα γᾶς
μεσόμφαλος ἑστία
παρὰ χορευομένῳ τρίποδι
μαντεύματα κραίνει,
σὺ καὶ παῖς ἁ Λατογενής,
δύο θεαὶ δύο παρθένοι,
κασίγνηται σεμναὶ τοῦ Φοίβου.
ἱκετεύσατε δ', ὦ κόραι,
τὸ παλαιὸν Ἐρεχθέως
γένος εὐτεκνίας χρονίου καθαροῖς
μαντεύμασι κῦρσαι.
ὑπερβαλλούσας γὰρ ἔχει
θνατοῖς εὐδαιμονίας
ἀκίνητον ἀφορμάν,

442—471. = 472—491.

τέκνων οἷς ἂν καρποτρόφοι
λάμπωσιν ἐν θαλάμοις
πατρίοισι νεάνιδες ἧβαι,
διαδέκτορα πλοῦτον
ὡς ἕξοντές γ' ἐκ πατέρων
ἑτέροις ἐπὶ τέκνοις·
ἀλκά τε γὰρ ἐν κακοῖς
σύν τ' εὐτυχίαις φίλον,
δορί τε γᾷ πατρίᾳ φέρει
σωτήριον ἀλκάν.
ἐμοὶ μὲν πλούτου τε πάρος
βασιλικῶν θαλάμων τ' εἶεν
τροφαὶ κήδειοι κεδνῶν τέκνων.
τὸν ἄπαιδα δ' ἀποστυγῶ
βίον, ᾧ τε δοκεῖ, ψέγω·
μετὰ δὲ κτεάνων μετρίων βιοτᾶς
εὔπαιδος ἐχοίμαν.
ὦ Πανὸς θακήματα καὶ
παραυλίζουσα πέτρα
μυχώδεσι Μακραῖς,
ἵνα χοροὺς στείβουσι ποδοῖν
Ἀγραύλου κόραι τρίγονοι
στάδια χλοερὰ πρὸ Παλλάδος
ναῶν, συρίγγων
ὑπ' αἰόλας ἰαχᾶς
ὕμνων, ὅταν αὐλίοις
συρίζῃς, ὦ Πάν,
τοῖσι σοῖς ἐν ἄντροις,
ἵνα τεκοῦσά τις παρθένος, ὦ μελέα,
βρέφος Φοίβῳ πτανοῖς ἐξώριζεν θοίναν
θηρσί τε φοινίαν δαῖτα, πικρῶν γάμων
ὕβριν. οὔτ' ἐπὶ κερκίσιν οὔτε λόγοις
φάτιν ἄιον εὐτυχίας μετέχειν
θεόθεν τέκνα θνατοῖς.

ΙΩΝ.

πρόσπολοι γυναῖκες, αἳ τῶνδ' ἀμφὶ κρηπῖδας δόμων
θυοδόκων φρούρημ' ἔχουσαι δεσπότην φυλάσσετε,
ἐκλέλοιπ' ἤδη τὸν ἱρὸν τρίποδα καὶ χρηστήριον
Ξοῦθος, ἢ μίμνει κατ' οἶκον ἱστορῶν ἀπαιδίαν;

ΧΟΡΟΣ.

ἐν δόμοις ἔστ', ὦ ξέν'· οὔπω δῶμ' ὑπερβαίνει τόδε.
ὡς δ' ἐπ' ἐξόδοισιν ὄντος τῶνδ' ἀκούομεν πυλῶν
δοῦπον, ἐξιόντα τ' ἤδη δεσπότην ὁρᾶν πάρα.

ΞΟΥΘΟΣ.

ὦ τέκνον, χαῖρ'· ἡ γὰρ ἀρχὴ τοῦ λόγου πρέπουσά μοι.

ΙΩΝ.

χαίρομεν· σὺ δ' εὖ φρόνει γε, καὶ δύ' ὄντ' εὖ πράξομεν.

ΞΟΥΘΟΣ.

δὸς χερὸς φίλημά μοι σῆς σώματός τ' ἀμφιπτυχάς.

ΙΩΝ.

εὖ φρονεῖς μέν, ἤ σ' ἔμηνε θεοῦ τις, ὦ ξένε, βλάβη;

ΞΟΥΘΟΣ.

σωφρονῶ, τὰ φίλταθ' εὑρὼν εἰ φιλεῖν ἐφίεμαι.

ΙΩΝ.

παῦε, μὴ ψαύσας τὰ τοῦ θεοῦ στέμματα ῥήξῃς χερί.

ΞΟΥΘΟΣ.
ἅψομαι· ποῦ ῥυσιάζω, τἀμὰ δ' εὑρίσκω φίλα.
ΙΩΝ.
οὐκ ἀπαλλάξει, πρὶν εἴσω τόξα πνευμόνων λαβεῖν;
ΞΟΥΘΟΣ.
ὡς τί δὴ φεύγεις με, σαυτοῦ γνωρίσας τὰ φίλτατα;
ΙΩΝ.
οὐ φιλῶ φρενοῦν ἀμούσους καὶ μεμηνότας ξένους.
ΞΟΥΘΟΣ.
κτεῖνε καὶ πίμπρη· πατρὸς γάρ, ἢν κτάνῃς, ἔσει φονεύς.
ΙΩΝ.
ποῦ δέ μοι πατὴρ σύ; ταῦτ' οὖν οὐ γέλως κλύειν ἐμοί;
ΞΟΥΘΟΣ.
οὔ· τρέχων ὁ μῦθος ἄν σοι τἀμὰ σημήνειεν ἄν.
ΙΩΝ.
καὶ τί μοι λέξεις;
ΞΟΥΘΟΣ.
πατὴρ σός εἰμι καὶ σὺ παῖς ἐμός.
ΙΩΝ.
τίς λέγει τάδ';
ΞΟΥΘΟΣ.
ὅς σ' ἔθρεψεν ὄντα Λοξίας ἐμόν.
ΙΩΝ.
μαρτυρεῖς σαυτῷ.
ΞΟΥΘΟΣ.
τὰ τοῦ θεοῦ γ' ἐκμαθὼν χρηστήρια.
ΙΩΝ.
ἐσφάλης αἴνιγμ' ἀκούσας.
ΞΟΥΘΟΣ.
οὐκ ἄρ' ὄρθ' ἀκούομεν;
ΙΩΝ.
ὁ δὲ λόγος τίς ἐστι Φοίβου;
ΞΟΥΘΟΣ.
τὸν συναντήσαντά μοι
ΙΩΝ.
τίνα συνάντησιν;
ΞΟΥΘΟΣ.
δόμων τῶνδ' ἐξιόντι τοῦ θεοῦ
ΙΩΝ.
συμφορᾶς τίνος κυρῆσαι;
ΞΟΥΘΟΣ.
παῖδ' ἐμὸν πεφυκέναι.
ΙΩΝ.
σὸν γεγῶτ', ἢ δῶρον ἄλλως;
ΞΟΥΘΟΣ.
δῶρον, ὄντα δ' ἐξ ἐμοῦ.
ΙΩΝ.
πρῶτα δῆτ' ἐμοὶ ξυνάπτεις πόδα σόν;
ΞΟΥΘΟΣ.
οὐκ ἄλλῳ, τέκνον.
ΙΩΝ.
ἡ τύχη πόθεν ποθ' ἥκει;
ΞΟΥΘΟΣ.
δύο μίαν θαυμάζομεν.
ΙΩΝ.
ἔα· τίνος δέ σοι πέφυκα μητρός;
ΞΟΥΘΟΣ.
οὐκ ἔχω φράσαι.
ΙΩΝ.
οὐδὲ Φοῖβος εἶπε;
ΞΟΥΘΟΣ.
τερφθεὶς τοῦτο, κεῖν' οὐκ ἠρόμην.
ΙΩΝ.
γῆς ἄρ' ἐκπέφυκα μητρός.
ΞΟΥΘΟΣ.
οὐ πέδον τίκτει τέκνα.
ΙΩΝ.
πῶς ἂν οὖν εἴην σός;
ΞΟΥΘΟΣ.
οὐκ οἶδ', ἀναφέρω δ' ἐς τὸν θεόν.
ΙΩΝ.
φέρε λόγων ἀψώμεθ' ἄλλων.
ΞΟΥΘΟΣ.
ταῦτ' ἄμεινον, ὦ τέκνον.
ΙΩΝ.
ἦλθες ἐς νόθον τι λέκτρον;
ΞΟΥΘΟΣ.
μωρίᾳ γε τοῦ νέου.
ΙΩΝ.
πρὶν κόρην λαβεῖν Ἐρεχθέως;
ΞΟΥΘΟΣ.
οὐ γὰρ ὕστερόν γέ πω.
ΙΩΝ.
ἆρα δῆτ' ἐκεῖ μ' ἔφυσας;
ΞΟΥΘΟΣ.
τῷ χρόνῳ γε συντρέχει.
ΙΩΝ.
κᾆτα πῶς ἀφικόμεσθα δεῦρο;
ΞΟΥΘΟΣ.
ταῦτ' ἀμηχανῶ.
ΙΩΝ.
διὰ μακρᾶς ἐλθὼν κελεύθου;
ΞΟΥΘΟΣ.
τοῦτο κἄμ' ἀπαιολᾷ.
ΙΩΝ.
Πυθίαν δ' ἦλθες πέτραν πρίν;
ΞΟΥΘΟΣ.
ἐς φανάς γε Βακχίου.
ΙΩΝ.
προξένων δ' ἔν τῳ κατέσχες;
ΞΟΥΘΟΣ.
ὅς με Δελφίσιν κόραις
ΙΩΝ.
ἐθιάσευσ', ἢ πῶς τάδ' αὐδᾷς;
ΞΟΥΘΟΣ.
Μαινάσιν γε Βακχίου.
ΙΩΝ.
ἔμφρον', ἢ κάτοινον ὄντα;
ΞΟΥΘΟΣ.
Βακχίου πρὸς ἡδοναῖς.
ΙΩΝ.
τοῦτ' ἐκεῖν' ἵν' ἐσπάρημεν.
ΞΟΥΘΥΣ.
ὁ πότμος ἐξεῦρεν, τέκνον.
ΙΩΝ.
πῶς δ' ἀφικόμεσθα ναούς;
ΞΟΥΘΟΣ.
ἔκβολον κόρης ἴσως.

ΙΩΝ.
ἐκπεφεύγαμεν τὸ δοῦλον.
ΞΟΥΘΟΣ.
πατέρα νυν δέχου, τέκνον.
ΙΩΝ.
τῷ θεῷ γοῦν οὐκ ἀπιστεῖν εἰκός.
ΞΟΥΘΟΣ.
εὖ φρονεῖς ἄρα.
ΙΩΝ.
καὶ τί βουλόμεσθά γ' ἄλλο
ΞΟΥΘΟΣ.
νῦν ὁρᾷς ἃ χρή σ' ὁρᾷν.
ΙΩΝ.
ἢ Διὸς παιδὸς γενέσθαι παῖς
ΞΟΥΘΟΣ.
ὃ σοί γε γίγνεται.
ΙΩΝ.
ἦ θίγω δῆθ' οἵ μ' ἔφυσαν;
ΞΟΥΘΟΣ.
πιθόμενός γε τῷ θεῷ.
ΙΩΝ.
χαῖρέ μοι, πάτερ,
ΞΟΥΘΟΣ.
φίλον γε φθέγμ' ἐδεξάμην τόδε.
ΙΩΝ.
ἡμέρα θ' ἡ νῦν παροῦσα.
ΞΟΥΘΟΣ.
μακάριόν γ' ἔθηκέ με.
ΙΩΝ.
ὦ φίλη μῆτερ, πότ' ἆρα καὶ σὸν ὄψομαι δέμας;
νῦν ποθῶ σε μᾶλλον ἢ πρὶν, ἥτις εἶ ποτ', εἰσιδεῖν.
ἀλλ' ἴσως τέθνηκας, ἡμεῖς δ' οὐδὲν ἂν δυναίμεθα.
ΧΟΡΟΣ.
κοιναὶ μὲν ἡμῖν δωμάτων εὐπραξίαι·
ὅμως δὲ καὶ δέσποιναν ἐς τέκν' εὐτυχεῖν
ἐβουλόμην ἂν τούς τ' Ἐρεχθέως δόμους.
ΞΟΥΘΟΣ.
ὦ τέκνον, ἐς μὲν σὴν ἀνεύρεσιν θεὸς
ὀρθῶς ἔκρανε, καὶ συνῆψ' ἐμοί τε σὲ,
σύ τ' αὖ τὰ φίλταθ' εὗρες, οὐκ εἰδὼς πάρος.
ὃ δ' ᾖξας ὀρθῶς, τοῦτο κἄμ' ἔχει πόθος,
ὅπως σύ τ', ὦ παῖ, μητέρ' εὑρήσεις σέθεν,
ἐγώ θ' ὁποίας μοι γυναικὸς ἐξέφυς.
χρόνῳ δὲ δόντες ταῦτ' ἴσως εὕροιμεν ἄν.
ἀλλ' ἐκλιπὼν θεοῦ δάπεδ' ἀλητείαν τε σὴν
ἐς τὰς Ἀθήνας στεῖχε κοινόφρων πατρὶ,
οὗ σ' ὄλβιον μὲν σκῆπτρον ἀναμένει πατρὸς,
πολὺς δὲ πλοῦτος· οὐδὲ θάτερον νοσῶν
δυοῖν κεκλήσει δυσγενὴς πένης θ' ἅμα,
ἀλλ' εὐγενής τε καὶ πολυκτήμων βίου.
σιγᾷς; τί πρὸς γῆν ὄμμα σὸν βαλὼν ἔχεις,
ἐς φροντίδας δ' ἀπῆλθες, ἐκ δὲ χαρμονῆς
πάλιν μεταστὰς δεῖμα προσβάλλεις πατρί;
ΙΩΝ.
οὐ ταυτὸν εἶδος φαίνεται τῶν πραγμάτων
πρόσωθεν ὄντων ἐγγύθεν θ' ὁρωμένων.
ἐγὼ δὲ τὴν μὲν συμφορὰν ἀσπάζομαι,
πατέρα σ' ἀνευρών· ὧν δὲ γιγνώσκω πέρι
ἄκουσον. εἶναί φασι τὰς αὐτόχθονας
κλεινὰς Ἀθήνας οὐκ ἐπείσακτον γένος,
ἵν' ἐσπεσοῦμαι δύο νόσω κεκτημένος,
πατρός τ' ἐπακτοῦ καὐτὸς ὢν νοθαγενής.
καὶ τοῦτ' ἔχων τοὔνειδος, ἀσθενὴς μὲν ὢν,
ὁ μηδὲν ὢν κἀξ οὐδένων κεκλήσομαι·
ἢν δ' ἐς τὸ πρῶτον πόλεος ὁρμηθεὶς ζυγὸν
ζητῶ τις εἶναι, τῶν μὲν ἀδυνάτων ὕπο
μισησόμεσθα· λυπρὰ γὰρ τὰ κρείσσονα·
ὅσοι δὲ χρηστοὶ δυνάμενοί τ' εἶναι σοφοὶ
σιγῶσι κοὐ σπεύδουσιν ἐς τὰ πράγματα,
γέλωτ' ἐν αὐτοῖς μωρίαν τε λήψομαι
οὐχ ἡσυχάζων ἐν πόλει ψόφου πλέᾳ.
τῶν δ' αὖ λογίων τε χρωμένων τε τῇ πόλει
ἐς ἀξίωμα βὰς, πλέον φρουρήσομαι
ψήφοισιν. οὕτω γὰρ τάδ', ὦ πάτερ, φιλεῖ·
οἱ τὰς πόλεις ἔχοντες ἀξίωμά τε
τοῖς ἀνθαμίλλοις εἰσὶ πολεμιώτατοι.
ἐλθὼν δ' ἐς οἶκον ἀλλότριον ἔπηλυς ὢν,
γυναῖκά θ' ὡς ἄτεκνον, ἣ κοινουμένη
τὰς συμφοράς σοι πρόσθεν, ἀπολαχοῦσα νῦν
αὐτὴ καθ' αὑτὴν τὴν τύχην οἴσει πικρῶς,
πῶς οὐχ ὑπ' αὐτῆς εἰκότως μισήσομαι,
ὅταν παραστῶ σοὶ μὲν ἐγγύθεν ποδὸς,
ἡ δ' οὖσ' ἄτεκνος τὰ σὰ φίλ' εἰσορᾷ πικρῶς,
κᾆτ' ἢ προδοὺς σύ μ' ἐς δάμαρτα σὴν βλέπῃς,
ἢ τἀμὰ τιμῶν δῶμα συγχέας ἔχῃς;
ὅσας σφαγὰς δὴ φαρμάκων τε θανασίμων
γυναῖκες εὗρον ἀνδράσιν διαφθοράς.
ἄλλως τε τὴν σὴν ἄλοχον οἰκτείρω, πάτερ,
ἄπαιδα γηράσκουσαν· οὐ γὰρ ἀξία
πατέρων ἀπ' ἐσθλῶν οὖσ' ἀπαιδίᾳ νοσεῖν.
τυραννίδος δὲ τῆς μάτην αἰνουμένης
τὸ μὲν πρόσωπον ἡδὺ, τἀν δόμοισι δὲ
λυπηρά· τίς γὰρ μακάριος, τίς εὐτυχὴς,
ὅστις δεδοικὼς καὶ περιβλέπων βίαν
αἰῶνα τείνει; δημότης δ' ἂν εὐτυχὴς
ζῆν ἂν θέλοιμι μᾶλλον ἢ τύραννος ὢν,
ᾧ τοὺς πονηροὺς ἡδονὴ φίλους ἔχειν,
ἐσθλοὺς δὲ μισεῖ κατθανεῖν φοβούμενος.
εἴποις ἂν ὡς ὁ χρυσὸς ἐκνικᾷ τάδε,
πλουτεῖν τε τερπνόν· οὐ φιλῶ ψόγους κλύειν
ἐν χερσὶ σώζων ὄλβον οὐδ' ἔχειν πόνους.
εἴη δ' ἔμοιγε μέτρια μὴ λυπουμένῳ.
ἃ δ' ἐνθάδ' εἶχον ἀγάθ' ἄκουσόν μου, πάτερ·
τὴν φιλτάτην μὲν πρῶτον ἀνθρώποις σχολὴν
ὄχλον τε μέτριον· οὐδέ μ' ἐξέπληξ' ὁδοῦ
πονηρὸς οὐδεὶς, κεῖνο δ' οὐκ ἀνασχετὸν
εἴκειν ὁδοῦ χαλῶντα τοῖς κακίοσιν.
θεῶν δ' ἐν εὐχαῖς ἢ λόγοισιν ἦ βροτῶν,
ὑπηρετῶν χαίρουσιν, οὐ γοωμένοις.
καὶ τοὺς μὲν ἐξέπεμπον, οἱ δ' ἧκον ξένοι,
ὥσθ' ἡδὺς ἀεὶ καινὸς ὢν καινοῖσιν ἦν.
ὃ δ' εὐκτὸν ἀνθρώποισι, κἂν ἄκουσιν ᾖ,
δίκαιον εἶναί μ' ὁ νόμος ἡ φύσις θ' ἅμα
παρεῖχε τῷ θεῷ. ταῦτα συννοούμενος
κρείσσω νομίζω τἀνθάδ' ἢ τἀκεῖ, πάτερ.
ἔα δ' ἐμαυτῷ ζῆν· ἴση γὰρ ἡ χάρις,
μεγάλοισι χαίρειν σμικρά θ' ἡδέως ἔχειν.
ΧΟΡΟΣ.
καλῶς ἔλεξας, εἴπερ οὓς ἐγὼ φιλῶ
ἐν τοῖσι σοῖσιν εὐτυχήσουσιν λόγοις.

ΞΟΥΘΟΣ.

παῦσαι λόγων τῶνδ', εὐτυχεῖν δ' ἐπίστασο·
θέλω γὰρ οὗπέρ σ' εὗρον ἄρξασθαι, τέκνον,
κοινῆς τραπέζης δαῖτα πρὸς κοινὴν πεσὼν,
θῦσαί θ' ἃ σου πρὶν γενέθλι' οὐκ ἐθύσαμεν.
καὶ νῦν μὲν ὡς δὴ ξένον ἄγων σ' ἐφέστιον
δείπνοισι τέρψω· τῆς δ' Ἀθηναίων χθονὸς
ἄξω θεατὴν δῆθεν, ὡς οὐκ ὄντ' ἐμόν.
καὶ γὰρ γυναῖκα τὴν ἐμὴν οὐ βούλομαι
λυπεῖν ἄτεκνον οὖσαν αὐτὸς εὐτυχῶν.
χρόνῳ δὲ καιρὸν λαμβάνων προσάξομαι
δάμαρτ' ἐᾶν σε σκῆπτρα τἄμ' ἔχειν χθονός.
Ἴωνα δ' ὀνομάζω σε, τῇ τύχῃ πρέπον,
ὁθούνεκ' ἀδύτων ἐξιόντι μοι θεοῦ
ἴχνος συνῆψας πρῶτος. ἀλλὰ τῶν φίλων
πλήρωμ' ἀθροίσας βουθύτῳ σὺν ἡδονῇ
πρόσειπε, μέλλων Δελφίδ' ἐκλιπεῖν πόλιν.
ὑμῖν δὲ σιγᾶν, δμωίδες, λέγω τάδε,
ἢ θάνατον εἰπούσαισι πρὸς δάμαρτ' ἐμήν.

ΙΩΝ.

στείχοιμ' ἄν· ἓν δὲ τῆς τύχης ἄπεστί μοι·
εἰ μὴ γὰρ ἥτις μ' ἔτεκεν εὑρήσω, πάτερ,
ἀβίωτον ἡμῖν· εἰ δ' ἐπεύξασθαι χρεὼν,
ἐκ τῶν Ἀθηνῶν μ' ἡ τεκοῦσ' εἴη γυνὴ,
ὥς μοι γένηται μητρόθεν παρρησία.
καθαρὰν γὰρ ἤν τις ἐς πόλιν πέσῃ ξένος,
κἂν τοῖς λόγοισιν ἀστὸς ᾖ, τό γε στόμα
δοῦλον πέπαται κοὐκ ἔχει παρρησίαν.

ΧΟΡΟΣ.

ὁρῶ δάκρυα καὶ πενθίμους
ἄλλας γε στεναγμάτων εἰσβολὰς,
ὅταν ἐμὰ τύραννος εὐπαιδίαν
πόσιν ἔχοντ' ἴδῃ,
αὐτὴ δ' ἄπαις ᾖ καὶ λελειμμένη τέκνων.
τίν', ὦ παῖ πρόμαντι Λατοῦς ἔχρησας ὑμνῳδίαν;
πόθεν ὁ παῖς ὅδ' ἀμφὶ ναοὺς σέθεν
τρόφιμος ἐξέβα, γυναικῶν τίνος;
οὐ γάρ με σαίνει θέσφατα,
μή τιν' ἔχῃ δόλον.
δειμαίνω συμφορὰν
ἐφ' ὅ ποτε βάσεται.
ἄτοπος ἄτοπα γὰρ παραδίδωσί μοι,
τῳδί ποτ' εὔφημα.
ἔχει δόλον τύχαν θ' ὁ παῖς
ἄλλων τραφεὶς ἀφ' αἱμάτων.
τίς οὐ τάδε ξυνοίσεται;
φίλαι, πότερ' ἐμᾷ δεσποίνᾳ
τάδε τορῶς ἐς οὖς γεγωνήσομεν,
πόσιν, ἐν ᾧ τὰ πάντ' ἔχουσ' ἐλπίδων
μέτοχος ἦν τλάμων;
νῦν δ' ἡ μὲν ἔρρει συμφοραῖς, ὁ δ' εὐτυχεῖ,
πολιὸν εἰσπεσοῦσα γῆρας, πόσις δ' ἀτίετος φίλων.
μέλεος, ὃς θυραῖος ἐλθὼν δόμους
μέγαν ἐς ὄλβον οὐκ ἔσωσεν τύχας.
ὄλοιτ' ὄλοιθ' ὁ πότνιαν
ἐξαπαφὼν ἐμάν·
καὶ θεοῖσιν μὴ τύχοι
καλλίφλογα πέλανον ἐπὶ
πυρὶ καθαγνίσας· τὸ δ' ἐμὸν εἴσεται

676 — 694. = 695 — 713.

* * *
* * τυραννίδος φίλα.
ἤδη πέλας δείπνων κυρεῖ
παῖς καὶ πατὴρ νέος νέων,
ἵνα τε δειράδες Παρνασοῦ πέτρας
ἔχουσαι σκόπελον οὐράνιόν θ' ἕδραν,
ἵνα Βάκχιος, ἀμφιπύρους ἀνέχων πεύκας
λαιψηρὰ πηδᾷ νυκτιπόλοις ἅμα σὺν Βάκχαις.
μή τί ποτ' εἰς ἐμὰν πόλιν ἵκοιθ' ὁ παῖς,
νέαν δ' ἁμέραν ἀπολιπὼν θάνοι.
στενομένα γὰρ ἂν πόλις ἔχοι σκῆψιν
ξενικὸν εἰσβολάν.
ἁλίας ἁλίας ὁ πάρος ἀρχαγὸς ὢν
Ἐρεχθεὺς ἄναξ.

ΚΡΕΟΥΣΑ.

ὦ πρέσβυ παιδαγώγ' Ἐρεχθέως πατρὸς
τοὐμοῦ ποτ' ὄντος, ἡνίκ' ἦν ἔτ' ἐν φάει,
ἔπαιρε σαυτὸν πρὸς θεοῦ χρηστήρια,
ὥς μοι συνησθῇς, εἴ τι Λοξίας ἄναξ
θέσπισμα παίδων ἐς γονὰς ἐφθέγξατο·
σὺν τοῖς φίλοις γὰρ ἡδὺ μὲν πράσσειν καλῶς,
ὃ μὴ γένοιτο δ', εἴ τι τυγχάνοι κακὸν,
ἐς ὄμματ' εὔνου φωτὸς ἐμβλέψαι γλυκύ.
ἐγὼ δέ σ', ὥσπερ καὶ σὺ πατέρ' ἐμόν ποτε,
δέσποιν' ὅμως οὖσ' ἀντικηδεύω πατρός.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὦ θύγατερ, ἄξι' ἀξίων γεννητόρων
ἤθη φυλάσσεις κοὐ καταισχύνασ' ἔχεις
τοὺς σοὺς παλαιοὺς ἐκγόνους αὐτόχθονας.
ἕλχ' ἕλκε πρὸς μέλαθρα καὶ κόμιζέ με.
αἰπεινά τοι μαντεῖα· τοῦ γήρως δέ μοι
συνεκπονοῦσα κῶλον ἰατρὸς γενοῦ.

ΚΡΕΟΥΣΑ.

ἕπου νυν· ἴχνος δ' ἐκφύλασσ' ὅπου τίθης.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἰδού.
τὸ τοῦ ποδὸς μὲν βραδὺ, τὸ τοῦ δὲ νοῦ ταχύ.

ΚΡΕΟΥΣΑ.

βάκτρῳ δ' ἐρείδου περιφερῆ στίβον χθονός.

ΠΑΙΔΑΓΩΓΟΣ.

καὶ τοῦτο τυφλὸν, ὅταν ἐγὼ βλέπω βραχύ.

ΚΡΕΟΥΣΑ.

ὀρθῶς ἔλεξας· ἀλλὰ μὴ πάρες κόπῳ.

ΠΑΙΔΑΓΩΓΟΣ.

οὔκουν ἑκών γε, τοῦ δ' ἀπόντος οὐ κρατῶ.

ΚΡΕΟΥΣΑ.

γυναῖκες, ἱστῶν τῶν ἐμῶν καὶ κερκίδος
δούλευμα πιστὸν, τίνα τύχην λαβὼν πόσις
βέβηκε παίδων ὧνπερ οὕνεχ' ἥκομεν
σημήνατ'· εἰ γὰρ ἀγαθά μοι μηνύσετε,
οὐκ εἰς ἀπίστους δεσπότας βαλεῖς χαράν.

ΧΟΡΟΣ.

ἰὼ δαῖμον.

ΠΑΙΔΑΓΩΓΟΣ.

τὸ φροίμιον μὲν τῶν λόγων οὐκ εὐτυχές.

ΧΟΡΟΣ.

ἰὼ τλᾶμον.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἀλλ' ἦ τι θεσφάτοισι δεσποτῶν νοσῶ;

ΧΟΡΟΣ.

εἶεν· τί δρῶμεν; θάνατος ὧν κεῖται πέρι;

ΚΡΕΟΥΣΑ.

τίς ἥδε μοῦσα, χὠ φόβος τίνων πέρι;

ΧΟΡΟΣ.

εἴπωμεν ἢ σιγῶμεν ἢ τί δράσομεν;

ΚΡΕΟΥΣΑ.

εἴφ'· ὡς ἔχεις γε συμφοράν τιν' εἰς ἐμέ.

ΧΟΡΟΣ.

εἰρήσεταί τοι, κεἰ θανεῖν μέλλω διπλῇ.
οὐκ ἔστι σοι, δέσποιν', ἐπ' ἀγκάλαις λαβεῖν
τέκν', οὐδὲ μαστῷ σῷ προσαρμόσαι ποτέ.

ΚΡΕΟΥΣΑ.

ὤμοι θάνοιμι.

ΠΑΙΔΑΓΩΓΟΣ.

θύγατερ.

ΚΡΕΟΥΣΑ.

ὦ τάλαιν' ἐγώ.
συμφορὰς ἔλαβον, ἔπαθον ἄχος ἄβιον, ὦ φίλαι.

ΠΑΙΔΑΓΩΓΟΣ.

διοιχόμεσθα, τέκνον.

ΚΡΕΟΥΣΑ.

αἰαῖ αἰαῖ.
διανταῖος ἔτυπεν ὀδύνα με πνευμόνων τῶνδ'
ἔσω.

ΠΑΙΔΑΓΩΓΟΣ.

μήπω στενάξῃς,

ΚΡΕΟΥΣΑ.

ἀλλὰ πάρεισι γόοι.

ΠΑΙΔΑΓΩΓΟΣ.

πρὶν ἂν μάθωμεν

ΚΡΕΟΥΣΑ.

ἀγγελίαν τίνα μοι;

ΠΑΙΔΑΓΩΓΟΣ.

εἰ ταὐτὰ πράσσων δεσπότης τῆς συμφορᾶς
κοινωνός ἐστιν, ἢ μόνη σὺ δυστυχεῖς.

ΧΟΡΟΣ.

κείνῳ μὲν, ὦ γεραιὲ, παῖδα Λοξίας
ἔδωκεν, ἰδίᾳ δ' εὐτυχεῖ ταύτης δίχα.

ΚΡΕΟΥΣΑ.

τόδ' ἐπὶ τῷδε κακὸν ἄκρον ἔλακες ἔλακες ἄχος
ἐμοὶ στένειν.

ΠΑΙΔΑΓΩΓΟΣ.

πότερα δὲ φῦναι δεῖ γυναικὸς ἔκ τινος
τὸν παῖδ' ὃν εἶπας, ἢ γεγῶτ' ἐθέσπισεν;

ΧΟΡΟΣ.

ἤδη πεφυκότ' ἐκτελῆ νεανίαν
δίδωσιν αὐτῷ Λοξίας· παρῆν δ' ἐγώ.

ΚΡΕΟΥΣΑ.

πῶς φῄς; ἄφατον ἄφατον * ἀναύδητον λόγον
ἐμοὶ θροεῖς.

ΠΑΙΔΑΓΩΓΟΣ.

κἄμοιγε. πῶς δ' ὁ χρησμὸς ἐκπεραίνεται
σαφέστερόν μοι φράζε, χὤστις ἔσθ' ὁ παῖς.

ΧΟΡΟΣ.

ὅτῳ ξυναντήσειεν ἐκ θεοῦ συθεὶς
πρώτῳ πόσις σὸς, παῖδ' ἔδωκ' αὐτῷ θεός.

ΚΡΕΟΥΣΑ.

ὀτοτοτοῖ. τὸ δ' ἐμὸν
ἄτεκνον ἄτεκνον ἔλαβεν ἔλαβεν ἄρα βίοτον, ἐν
ἐρημίᾳ δ'
ὀρφανοὺς δόμους οἰκήσω.

ΠΑΙΔΑΓΩΓΟΣ.

τίς οὖν ἐχρήσθη; τῷ συνῆψ' ἴχνος ποδὸς
πόσις ταλαίνης; πῶς δὲ ποῦ νιν εἰσιδών;

ΧΟΡΟΣ.

οἶσθ', ὦ φίλη δέσποινα, τὸν νεανίαν
ὃς τόνδ' ἔσαιρε ναόν; οὗτός ἐσθ' ὁ παῖς.

ΚΡΕΟΥΣΑ.

ἀν' ὑγρὸν ἀμπταίην
αἰθέρα πόρσω γαίας Ἑλλανίας, ἀστέρας ἑσπέ-
ρους,
οἷον οἷον ἄλγος ἔπαθον.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὄνομα δὲ ποῖον αὐτὸν ὀνομάζει πατὴρ
οἶσθ', ἢ σιωπῇ τοῦτ' ἀκύρωτον μένει;

ΧΟΡΟΣ.

Ἴων', ἐπείπερ πρῶτος ἤντησεν πατρί.

ΠΑΙΔΑΓΩΓΟΣ.

μητρὸς δὲ ποίας ἐστίν;

ΧΟΡΟΣ.

οὐκ ἔχω φράσαι.
φροῦδος δ', ἵν' εἰδῇς πάντα τἀπ' ἐμοῦ, γέρον,
παιδὸς προθύσων ξένια καὶ γενέθλια,
σκηνὰς ἐς ἱρὰς τῆσδε λαθραίως πόσις,
κοινῇ ξυνάψων δαῖτα παιδὶ τῷ νέῳ.

ΠΑΙΔΑΓΩΓΟΣ.

δέσποινα, προδεδόμεσθα, σὺν γάρ σοι νοσῶ,
τοῦ σοῦ πρὸς ἀνδρὸς, καὶ μεμηχανημένως
ὑβριζόμεσθα, δωμάτων τ' Ἐρεχθέως
ἐκβαλλόμεσθα. καὶ σὸν οὐ στυγῶν πόσιν
λέγω, σὲ μέντοι μᾶλλον ἢ κεῖνον φιλῶν,
ὅστις σε γήμας ξένος ἐπεισελθὼν πόλιν
καὶ δῶμα, καὶ σὴν παραλαβὼν παγκληρίαν,
ἄλλης γυναικὸς παῖδας ἐκκαρπούμενος
λάθρα πέφηνεν· ὡς λάθρα δ', ἐγὼ φράσω·
ἐπεί σ' ἄτεκνον ᾔσθετ', οὐκ ἔστεργέ σοι
ὅμοιος εἶναι τῆς τύχης τ' ἴσον φέρειν,
λαβὼν δὲ δοῦλα λέκτρα νυμφεύσας λάθρα
τὸν παῖδ' ἔφυσεν, ἐξενωμένον δέ τῳ
Δελφῶν δίδωσιν ἐκτρέφειν· ὁ δ' ἐν θεοῦ
δόμοισιν ἄφετος, ὡς λάθοι, παιδεύεται.
νεανίαν δ' ὡς ᾔσθετ' ἐκτεθραμμένον,
ἐλθεῖν σ' ἔπεισε δεῦρ' ἀπαιδίας χάριν.
κᾆθ' ὁ θεὸς οὐκ ἐψεύσαθ', ὅδε δ' ἐψεύσατο,
πάλαι τρέφων τὸν παῖδα, κἄπλεκεν πλοκὰς
τοιάσδ'· ἁλοὺς μὲν ἀνέφερ' ἐς τὸν δαίμονα,
ἐλθὼν δὲ καὶ τὸν χρόνον ἀμύνεσθαι θέλων,
τυραννίδ' αὐτῷ περιβαλεῖν ἔμελλε γῆς.
καινὸν δὲ τοὔνομ' ἀνὰ χρόνον πεπλασμένον,
Ἴων, ἰόντι δῆθεν ὅτι συνήντετο.
οἴμοι, κακούργους ἄνδρας ὡς ἀεὶ στυγῶ,
οἳ συντιθέντες τἄδικ' εἶτα μηχαναῖς
κοσμοῦσι. φαῦλον χρηστὸν ἂν λαβεῖν φίλον
θέλοιμι μᾶλλον ἢ κακὸν σοφώτερον.
καὶ τῶνδ' ἁπάντων ἔσχατον πείσει κακὸν,
ἀμήτορ', ἀναρίθμητον, ἐκ δούλης τινὸς
γυναικὸς, ἐς σὸν δῶμα δεσπότην ἄγειν.
ἁπλοῦν ἂν ἦν γὰρ τὸ κακὸν, εἰ παρ' εὐγενοῦς

μητρός, πιθών σε, σὴν λέγων ἀπαιδίαν,
ἐσῴκισ' οἴκους· εἰ δὲ σοὶ τόδ' ἦν πικρόν,
τῶν Αἰόλου νιν χρῆν ὀρεχθῆναι γάμων.
ἐκ τῶνδε δεῖ σε δὴ γυναικεῖόν τι δρᾶν·
ἢ γὰρ ξίφος λαβοῦσαν ἢ δόλῳ τινὶ
ἢ φαρμάκοισι σὸν κατακτεῖναι πόσιν
καὶ παῖδα, πρὶν σοὶ θάνατον ἐκ κείνων μολεῖν,
δεῖ σ'· εἰ δ' ὑφήσεις τοῦδ', ἀπαλλάξει βίου·
δυοῖν γὰρ ἐχθροῖν εἰς ἓν ἐλθόντοιν στέγος,
ἢ θάτερον δεῖ δυστυχεῖν ἢ θάτερον.
ἐγὼ μὲν οὖν σοι καὶ συνεκπονεῖν θέλω,
καὶ συμφονεύειν παῖδ' ἐπεισελθὼν δόμοις
οὗ δαῖθ' ὁπλίζει, καὶ τροφεῖα δεσπόταις
ἀποδοὺς θανεῖν τε ζῶν τε φέγγος εἰσορᾶν.
ἓν γάρ τι τοῖς δούλοισιν αἰσχύνην φέρει,
τοὔνομα· τὰ δ' ἄλλα πάντα τῶν ἐλευθέρων
οὐδεὶς κακίων δοῦλος, ὅστις ἐσθλὸς ᾖ.

ΧΟΡΟΣ.

κἀγώ, φίλη δέσποινα, συμφορὰν θέλω
κοινουμένη τήνδ' ἢ θανεῖν ἢ ζῆν καλῶς.

ΚΡΕΟΥΣΑ.

ὦ ψυχά, πῶς σιγάσω;
πῶς δὲ σκοτίας ἀναφήνω
εὐνάς, αἰδοῦς δ' ἀπολειφθῶ;
τί γὰρ ἐμπόδιον κώλυμ' ἔτι μοι;
πρὸς τίν' ἀγῶνας τιθέμεσθ' ἀρετῆς;
οὐ πόσις ἡμῶν προδότης γέγονεν;
στέρομαι δ' οἴκων, στέρομαι παίδων,
φροῦδαι δ' ἐλπίδες, ἃς διαθέσθαι
χρῄζουσα καλῶς οὐκ ἐδυνάσθην,
σιγῶσα γάμους,
σιγῶσα τόκους πολυκλαύτους.
ἀλλ' οὐ τὸ Διὸς πολύαστρον ἕδος
καὶ τὴν ἐπ' ἐμοῖς σκοπέλοισι θεὰν
λίμνης τ' ἐνύδρου Τριτωνιάδος
πότνιαν ἀκτάν,
οὐκέτι κρύψω λέχος, ὡς στέρνων
ἀπονησαμένη ῥᾴων ἔσομαι.
στάζουσι κόραι δακρύοισιν ἐμαί,
ψυχὰ δ' ἀλγεῖ, κακοβουλευθεῖσ'
ἔκ τ' ἀνθρώπων ἔκ τ' ἀθανάτων,
οὓς ἀποδείξω
λέκτρων προδότας ἀχαρίστους.
ὦ τᾶς ἑπταφθόγγου μέλπων
κιθάρας ἐνοπάν, ἅτ' ἀγραύλοις
κέρασιν ἐν ἀψύχοις ἀχεῖ
μουσᾶν ὕμνους εὐαχήτους,
σοὶ μομφάν, ὦ Λατοῦς παῖ,
πρὸς τάνδ' αὐγὰν αὐδάσω.
ἦλθές μοι χρυσῷ χαίταν
μαρμαίρων, εὖτ' εἰς κόλπους
κρόκεα πέταλα φάρεσιν ἔδρεπον
ἀνθίζειν χρυσανταυγῆ·
λευκοῖς δ' ἐμφὺς καρποῖσιν
χειρῶν εἰς ἄντρου κοίτας
κραυγὰν ὦ μᾶτέρ μ' αὐδῶσαν
θεὸς ὁμευνέτας ἄγες ἀναιδείᾳ
Κύπριδι χάριν πράσσων.
τίκτω δ' ἁ δύστανός σοι
κοῦρον, τὸν φρίκᾳ ματρὸς
εἰς εὐνὰν βάλλω τὰν σάν,
ἵνα με λέχεσι μέλεα μελέος
ἐζεύξω τὰν δύστανον·
οἴμοι μοι· καὶ νῦν ἔρρει
πτανοῖς ἁρπασθεὶς
θοίνα παῖς μοι καὶ σός
τλάμων, σὺ δὲ κιθάρᾳ
κλάζεις παιᾶνας μέλπων.
ὠή, τὸν Λατοῦς αὐδῶ,
ὅς γ' ὀμφὰν κληροῖς
πρὸς χρυσέους θάκους
καὶ γαίας μεσσήρεις ἕδρας,
εἰς οὖς αὐδὰν καρύξω·
ἰώ,
κακὸς εὐνάτωρ,
ὃς τῷ μὲν ἐμῷ νυμφεύτᾳ
χάριν οὐ προλαβὼν
παῖδ' εἰς οἴκους οἰκίζεις·
ὁ δ' ἐμὸς γενέτας καὶ σός γ' ἀμαθὴς
οἰωνοῖς ἔρρει
συλαθεὶς οἰκεῖα
σπάργανα ματέρος ἐξαλλάξας.
μισεῖ σ' ἁ Δᾶλος καὶ δάφνας
ἔρνεα φοίνικα παρ' ἁβροκόμαν,
ἔνθα λοχεύματα σέμν' ἐλοχεύσατο
Λατὼ Δίοισί σε καρποῖς.

ΧΟΡΟΣ.

οἴμοι, μέγας θησαυρὸς ὡς ἀνοίγνυται
κακῶν, ἐφ' οἷσι πᾶς ἂν ἐκβάλοι δάκρυ.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὦ θύγατερ, οὔτοι σὸν βλέπων ἐμπίμπλαμαι
πρόσωπον, ἔξω δ' ἐγενόμην γνώμης ἐμῆς.
κακῶν γὰρ ἄρτι κῦμ' ὑπεξαντλῶν φρενί,
πρύμνηθεν αἴρει μ' ἄλλο σῶν λόγων ὕπο,
οὓς ἐκβαλοῦσα τῶν παρεστώτων κακῶν
μετῆλθες ἄλλων πημάτων καινὰς ὁδούς.
τί φῄς; τίνα λόγον Λοξίου κατηγορεῖς;
ποῖον τεκεῖν φῂς παῖδα; ποῦ θεῖναι πόλεως
θηρσὶν φίλον τύμβευμ'; ἄνελθέ μοι πάλιν.

ΚΡΕΟΥΣΑ.

αἰσχύνομαι μέν σ', ὦ γέρον, λέξω δ' ὅμως.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὡς συστενάζειν γ' οἶδα γενναίως φίλοις.

ΚΡΕΟΥΣΑ.

ἄκουε τοίνυν· οἶσθα Κεκροπίας πέτρας
πρόσβορρον ἄντρον, ἃς Μακρὰς κικλήσκομεν;

ΠΑΙΔΑΓΩΓΟΣ.

οἶδ', ἔνθα Πανὸς ἄδυτα καὶ βωμοὶ πέλας.

ΚΡΕΟΥΣΑ.

ἐνταῦθ' ἀγῶνα δεινὸν ἠγωνίσμεθα.

ΠΑΙΔΑΓΩΓΟΣ.

τίν'; ὡς ἀπαντᾷ δάκρυά μοι τοῖς σοῖς λόγοις.

ΚΡΕΟΥΣΑ.

Φοίβῳ ξυνῆψ' ἄκουσα δύστηνον γάμον.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὦ θύγατερ, ἆρ' ἦν ταῦθ' ἅ γ' ᾐσθόμην ἐγώ;

ΚΡΕΟΥΣΑ.

οὐκ οἶδ'· ἀληθῆ δ' εἰ λέγεις φαίημεν ἄν.

ΠΑΙΔΑΓΩΓΟΣ.

νόσον κρυφαίαν ἡνίκ' ἔστενες λάθρα;

ΚΡΕΟΥΣΑ.
τότ' ἦν ἃ νῦν σοι φανερὰ σημαίνω κακά.
ΠΑΙΔΑΓΩΓΟΣ.
κᾆτ' ἐξέκλεψας πῶς Ἀπόλλωνος γάμους;
ΚΡΕΟΥΣΑ.
ἔτεκον· ἀνάσχου ταῦτ' ἐμοῦ κλύων, γέρον.
ΠΑΙΔΑΓΩΓΟΣ.
ποῦ τίς λοχεύει σ'; ἢ μόνη μοχθεῖς τάδε;
ΚΡΕΟΥΣΑ.
μόνη κατ' ἄντρον οὗπερ ἐζεύχθην γάμοις.
ΠΑΙΔΑΓΩΓΟΣ.
ὁ παῖς δὲ ποῦ 'στιν; ἵνα σὺ μηκέτ' ἦς ἄπαις.
ΚΡΕΟΥΣΑ.
τέθνηκεν, ὦ γεραιέ, θηρσὶν ἐκτεθείς.
ΠΑΙΔΑΓΩΓΟΣ.
τέθνηκ'; Ἀπόλλων δ' ὁ κακὸς οὐδὲν ἤρκεσεν;
ΚΡΕΟΥΣΑ.
οὐκ ἤρκεσ', Ἅιδου δ' ἐν δόμοις παιδεύεται.
ΠΑΙΔΑΓΩΓΟΣ.
τίς γάρ νιν ἐξέθηκεν; οὐ γὰρ δὴ σύ γε.
ΚΡΕΟΥΣΑ.
ἡμεῖς, ἐν ὄρφνῃ σπαργανώσαντες πέπλοις.
ΠΑΙΔΑΓΩΓΟΣ.
οὐδὲ ξυνῄδει σοί τις ἔκθεσιν τέκνου;
ΚΡΕΟΥΣΑ.
αἱ ξυμφοραί γε καὶ τὸ λανθάνειν μόνον.
ΠΑΙΔΑΓΩΓΟΣ.
καὶ πῶς ἐν ἄντρῳ παῖδα σὸν λιπεῖν ἔτλης;
ΚΡΕΟΥΣΑ.
πῶς δ'; οἰκτρὰ πολλὰ στόματος ἐκβαλοῦσ' ἔπη.
ΠΑΙΔΑΓΩΓΟΣ.
φεῦ·
τλήμων σὺ τόλμης, ὁ δὲ θεὸς μᾶλλον σέθεν.
ΚΡΕΟΥΣΑ.
εἰ παῖδά γ' εἶδες χεῖρας ἐκτείνοντά μοι.
ΠΑΙΔΑΓΩΓΟΣ.
μαστὸν διώκοντ' ἢ πρὸς ἀγκάλαις πεσεῖν;
ΚΡΕΟΥΣΑ.
ἐνταῦθ' ἵν' οὐκ ὢν ἄδικ' ἔπασχεν ἐξ ἐμοῦ.
ΠΑΙΔΑΓΩΓΟΣ.
σοὶ δ' ἐς τί δόξης ἦλθεν ἐκβαλεῖν τέκνον;
ΚΡΕΟΥΣΑ.
ὡς τὸν θεὸν σώσοντα τόν γ' αὑτοῦ γόνον.
ΠΑΙΔΑΓΩΓΟΣ.
οἴμοι, δόμων σῶν ὄλβος ὡς χειμάζεται.
ΚΡΕΟΥΣΑ.
τί κρᾶτα κρύψας, ὦ γέρον, δακρυρροεῖς;
ΠΑΙΔΑΓΩΓΟΣ.
σὲ καὶ πατέρα σὸν δυστυχοῦντας εἰσορῶν.
ΚΡΕΟΥΣΑ.
τὰ θνητὰ τοιαῦτ'· οὐδὲν ἐν ταὐτῷ μένει.
ΠΑΙΔΑΓΩΓΟΣ.
μή νυν ἔτ' οἴκτων, θύγατερ, ἀντεχώμεθα.
ΚΡΕΟΥΣΑ.
τί γάρ με χρὴ δρᾶν; ἀπορία τὸ δυστυχεῖν.
ΠΑΙΔΑΓΩΓΟΣ.
τὸν πρῶτον ἀδικήσαντά σ' ἀποτίνου θεόν.
ΚΡΕΟΥΣΑ.
καὶ πῶς τὰ κρείσσω θνητὸς οὖσ' ὑπερδράμω;
ΠΑΙΔΑΓΩΓΟΣ.
πίμπρη τὰ σεμνὰ Λοξίου χρηστήρια.
ΚΡΕΟΥΣΑ.
δέδοικα· καὶ νῦν πημάτων ἅδην ἔχω.
ΠΑΙΔΑΓΩΓΟΣ.
τὰ δυνατά νυν τόλμησον, ἄνδρα σὸν κτανεῖν.
ΚΡΕΟΥΣΑ.
αἰδούμεθ' εὐνὰς τὰς τόθ' ἡνίκ' ἐσθλὸς ἦν.
ΠΑΙΔΑΓΩΓΟΣ.
νῦν δ' ἀλλὰ παῖδα τὸν ἐπὶ σοὶ πεφηνότα.
ΚΡΕΟΥΣΑ.
πῶς; εἰ γὰρ εἴη δυνατόν. ὡς θέλοιμί γ' ἄν.
ΠΑΙΔΑΓΩΓΟΣ.
ξιφηφόρους σοὺς ὁπλίσασ' ὀπάονας.
ΚΡΕΟΥΣΑ.
στείχοιμ' ἄν· ἀλλὰ ποῦ γενήσεται τόδε;
ΠΑΙΔΑΓΩΓΟΣ.
ἱραῖσιν ἐν σκηναῖσιν, οὗ θοινᾷ φίλους.
ΚΡΕΟΥΣΑ.
ἐπίσημον ὁ φόνος, καὶ τὸ δοῦλον ἀσθενές.
ΠΑΙΔΑΓΩΓΟΣ.
οἴμοι, κακίζει. φέρε, σύ νυν βούλευέ τι.
ΚΡΕΟΥΣΑ.
καὶ μὴν ἔχω γε δόλια καὶ δραστήρια.
ΠΑΙΔΑΓΩΓΟΣ.
ἀμφοῖν ἂν εἴην τοῖνδ' ὑπηρέτης ἐγώ.
ΚΡΕΟΥΣΑ.
ἄκουε τοίνυν· οἶσθα γηγενῆ μάχην;
ΠΑΙΔΑΓΩΓΟΣ.
οἶδ', ἣν Φλέγρᾳ Γίγαντες ἔστησαν θεοῖς.
ΚΡΕΟΥΣΑ.
ἐνταῦθα Γοργόν' ἔτεκε Γῆ, δεινὸν τέρας.
ΠΑΙΔΑΓΩΓΟΣ.
ἦ παισὶν αὑτῆς σύμμαχον, θεῶν πόνον;
ΚΡΕΟΥΣΑ.
ναί· καί νιν ἔκτειν' ἡ Διὸς Παλλὰς θεά.
ΠΑΙΔΑΓΩΓΟΣ.
ποῖόν τι μορφῆς σχῆμ' ἔχουσαν ἀγρίας;
ΚΡΕΟΥΣΑ.
θώρακ' ἐχίδνης περιβόλοις ὡπλισμένον.
ΠΑΙΔΑΓΩΓΟΣ.
ἆρ' οὗτός ἐσθ' ὁ μῦθος ὃν κλύω πάλαι;
ΚΡΕΟΥΣΑ.
ταύτης Ἀθάναν δέρος ἐπὶ στέρνοις ἔχειν.
ΠΑΙΔΑΓΩΓΟΣ.
ἣν αἰγίδ' ὀνομάζουσι, Παλλάδος στολήν;
ΚΡΕΟΥΣΑ.
τόδ' ἔσχεν ὄνομα θεῶν ὅτ' ἦλθεν ἐς δόρυ.
ΠΑΙΔΑΓΩΓΟΣ.
τί δῆτα, θύγατερ, τοῦτο σοῖς ἐχθροῖς βλάβος;

*ΚΡΕΟΥΣΑ.*
Ἐριχθόνιον οἶσθας, τί δ' οὐ μέλλεις, γέρον;
*ΠΑΙΔΑΓΩΓΟΣ.*
ὃν πρῶτον ὑμῶν πρόγονον ἐξανῆκε γῆ;
*ΚΡΕΟΥΣΑ.*
τούτῳ δίδωσι Παλλὰς ὄντι νεογόνῳ
*ΠΑΙΔΑΓΩΓΟΣ.*
τί χρῆμα; μέλλον γάρ τι προσφέρεις ἔπος.
*ΚΡΕΟΥΣΑ.*
δισσοὺς σταλαγμοὺς αἵματος Γοργοῦς ἄπο.
*ΠΑΙΔΑΓΩΓΟΣ.*
ἰσχὺν ἔχοντας τίνα πρὸς ἀνθρώπου φύσιν;
*ΚΡΕΟΥΣΑ.*
τὸν μὲν θανάσιμον, τὸν δ' ἀκεσφόρον νόσων.
*ΠΑΙΔΑΓΩΓΟΣ.*
ἐν τῷ καθάψασ' ἀμφὶ παιδὶ σώματος;
*ΚΡΕΟΥΣΑ.*
χρυσοῖσι δεσμοῖς· ὁ δὲ δίδωσ' ἐμῷ πατρί.
*ΠΑΙΔΑΓΩΓΟΣ.*
κείνου δὲ κατθανόντος ἐς σ' ἀφίκετο;
*ΚΡΕΟΥΣΑ.*
ναί· κἀπὶ καρπῷ γ' αὔτ' ἐγὼ χερὸς φέρω.
*ΠΑΙΔΑΓΩΓΟΣ.*
πῶς οὖν κέκρανται δίπτυχον δῶρον θεᾶς;
*ΚΡΕΟΥΣΑ.*
κοίλης μὲν ὅστις φλεβὸς ἀπέσταξεν φόνου
*ΠΑΙΔΑΓΩΓΟΣ.*
τί τῷδε χρῆσθαι; δύνασιν ἐκφέρει τίνα;
*ΚΡΕΟΥΣΑ.*
νόσους ἀπείργει καὶ τροφὰς ἔχει βίου.
*ΠΑΙΔΑΓΩΓΟΣ.*
ὁ δεύτερος δ' ἀριθμὸς ὃν λέγεις τί δρᾷ;
*ΚΡΕΟΥΣΑ.*
κτείνει, δρακόντων ἰὸς ὢν τῶν Γοργόνων.
*ΠΑΙΔΑΓΩΓΟΣ.*
εἰς ἓν δὲ κραθέντ' αὐτὸν ἢ χωρὶς φορεῖς;
*ΚΡΕΟΥΣΑ.*
χωρίς· κακῷ γὰρ ἐσθλὸν οὐ συμμίγνυται.
*ΠΑΙΔΑΓΩΓΟΣ.*
ὦ φιλτάτη παῖ, πάντ' ἔχεις ὅσων σε δεῖ.
*ΚΡΕΟΥΣΑ.*
τούτῳ θανεῖται παῖς· σὺ δ' ὁ κτείνων ἔσει.
*ΠΑΙΔΑΓΩΓΟΣ.*
ποῦ καὶ τί δράσας; σὸν λέγειν, τολμᾶν δ' ἐμόν.
*ΚΡΕΟΥΣΑ.*
ἐν ταῖς Ἀθήναις, δῶμ' ὅταν τοὐμὸν μόλῃ.
*ΠΑΙΔΑΓΩΓΟΣ.*
οὐκ εὖ τόδ' εἶπας· καὶ σὺ γὰρ τοὐμὸν ψέγεις.
*ΚΡΕΟΥΣΑ.*
πῶς; ἆρ' ὑπείδου τοῦθ' ὃ κἄμ' εἰσέρχεται;
*ΠΑΙΔΑΓΩΓΟΣ.*
σὺ παῖδα δόξεις διολέσαι, κεἰ μὴ κτενεῖς.
*ΚΡΕΟΥΣΑ.*
ὀρθῶς· φθονεῖν γάρ φασι μητρυιὰς τέκνοις.
*ΠΑΙΔΑΓΩΓΟΣ.*
αὐτοῦ νυν αὐτὸν κτεῖν', ἵν' ἀρνήσῃ φόνους.
*ΚΡΕΟΥΣΑ.*
προλάζυμαι γοῦν τῷ χρόνῳ τῆς ἡδονῆς.
*ΠΑΙΔΑΓΩΓΟΣ.*
καὶ σόν γε λήσεις πόσιν ἅ σε σπεύδει λαθεῖν.
*ΚΡΕΟΥΣΑ.*
οἶσθ' οὖν ὃ δρᾶσον; χειρὸς ἐξ ἐμῆς λαβὼν
χρύσωμ' Ἀθάνας τόδε, παλαιὸν ὄργανον,
ἐλθὼν ἵν' ἡμῖν βουθυτεῖ λάθρα πόσις,
δείπνων ὅταν λήγωσι καὶ σπονδὰς θεοῖς
μέλλωσι λείβειν, ἐν πέπλοις ἔχων τόδε,
κάθες βαλὼν ἐς πῶμα τῷ νεανίᾳ,
ἰδίᾳ δὲ, μή τι πᾶσι, χωρίσας ποτὸν
τῷ τῶν ἐμῶν μέλλοντι δεσπόζειν δόμων.
κἄνπερ διέλθῃ λαιμὸν, οὔποθ' ἵξεται
κλεινὰς Ἀθήνας, κατθανὼν δ' αὐτοῦ μενεῖ.
*ΠΑΙΔΑΓΩΓΟΣ.*
σὺ μέν νυν εἴσω προξένων μέθες πόδα·
ἡμεῖς δ' ἐφ' ᾧ τετάγμεθ' ἐκπονήσομεν.
ἄγ', ὦ γεραιὲ πούς, νεανίας γενοῦ
ἔργοισι, κεἰ μὴ τῷ χρόνῳ πάρεστί σοι.
ἐχθρὸν δ' ἐπ' ἄνδρα στεῖχε δεσποτῶν μέτα,
καὶ συμφόνευε καὶ συνεξαίρει δόμων.
τὴν δ' εὐσέβειαν εὐτυχοῦσι μὲν καλὸν
τιμᾶν, ὅταν δὲ πολεμίους δρᾶσαι κακῶς
θέλῃ τις, οὐδεὶς ἐμποδὼν κεῖται νόμος.
*ΧΟΡΟΣ.*
Εἰνοδία θύγατερ Δάματρος, ἃ τῶν
νυκτιπόλων ἐφόδων ἀνάσσεις,
καὶ μεθαμερίων ὁδωσον δυσθανάτων
κρατήρων πληρώματ', ἐφ' οἷσι πέμπει
πότνια πότνι' ἐμὰ χθονίας
Γοργοῦς λαιμοτόμων ἀπὸ σταλαγμῶν
τῷ τῶν Ἐρεχθεϊδᾶν
δόμων ἐφαπτομένῳ·
μηδέ ποτ' ἄλλος ἄλλων ἀπ' οἴκων πόλεως
ἀνάσσοι
πλὴν τῶν εὐγενετᾶν Ἐρεχθειδᾶν.
εἰ δ' ἀτελὴς θάνατος σπουδαί τε δεσποί-
νας, ὅ τε καιρὸς ἄπεισι τόλμας,
ᾇ τε νῦν φέρετ' ἐλπὶς, ἢ θηκτὸν ξίφος ἢ
λαιμῶν ἐξάψει βρόχον ἀμφὶ δειρὴν,
πάθεσι πάθεα δ' ἐξανύτουσ'
εἰς ἄλλας βιότου κάτεισι μορφάς.
οὐ γὰρ δόμων γ' ἑτέρους
ἄρχοντας ἀλλοδαποὺς
ζῶσά ποτ' ὀμμάτων ἐν φαενναῖς ἀνέχοιτ'
αὐγαῖς
ἁ τῶν εὐπατριδᾶν γεγῶσ' οἴκων.
αἰσχύνομαι τὸν πολύυμνον
θεὸν, εἰ περὶ Καλλιχόροισι παγαῖς
λαμπάδα θεωρὸν εἰκάδων
ὄψεται ἐννύχιος ἄϋπνος ὤν,
ὅτε καὶ Διὸς ἀστερωπὸς
ἀνεχόρευσεν αἰθὴρ,
χορεύει δὲ Σελάνα
καὶ πεντήκοντα κόραι

1048 — 1060. = 1061 — 1073.
1074 — 1089. = 1090 — 1105.

Νηρέος, αἱ κατὰ πόντον
ἀενάων τε ποταμῶν
δίνας χορευόμεναι
τὰν χρυσοστέφανον κόραν
καὶ ματέρα σεμνάν·
ἵν' ἐλπίζει βασιλεύσειν,
ἄλλων πόνον εἰσπεσὼν,
ὁ Φοίβειος ἀλάτας.
ὁρᾶθ' ὅσοι δυσκελάδοισιν
κατὰ μοῦσαν ἰόντες ἀείδεθ' ὕμνοις
ἁμέτερα λέχεα καὶ γάμους
Κύπριδος ἀθέμιτας ἀνοσίους
ὅσον εὐσεβίᾳ κρατοῦμεν
ἄδικον ἄροτρον ἀνδρῶν.
παλίμφαμος ἀοιδὰ
καὶ μοῦσ' εἰς ἄνδρας ἴτω
δυσκέλαδος ἀμφὶ λέκτρων.
δείκνυσι γὰρ ὁ Διὸς ἐκ
παίδων ἀμνημοσύναν,
οὐ κοινὰν τεκέων τύχαν
οἴκοισι φυτεύσας
δεσποίνᾳ· πρὸς δ' Ἀφροδίταν
ἄλλαν θέμενος χάριν
νόθου παιδὸς ἔκυρσεν.

ΘΕΡΑΠΩΝ.

κλειναὶ γυναῖκες, ποῦ κόρην Ἐρεχθέως
δέσποιναν εὕρω; πανταχῆ γὰρ ἄστεως
ζητῶν νιν ἐξέπλησα, κοὐκ ἔχω λαβεῖν.

ΧΟΡΟΣ.

τί δ' ἔστιν, ὦ ξύνδουλε; τίς προθυμία
ποδῶν ἔχει σε, καὶ λόγους τίνας φέρεις;

ΘΕΡΑΠΩΝ.

θηρώμεθ'· ἀρχαὶ δ' ἀπιχώριοι χθονὸς
ζητοῦσιν αὐτὴν, ὡς θάνῃ πετρουμένη.

ΧΟΡΟΣ.

οἴμοι, τί λέξεις; οὔ τί που λελήμμεθα
κρυφαῖον ἐς παῖδ' ἐκπορίζουσαι φόνον;

ΘΕΡΑΠΩΝ.

ἔγνως· μεθέξεις οὐκ ἐν ὑστάτοις κακοῦ.

ΧΟΡΟΣ.

ὤφθη δὲ πῶς τὰ κρυπτὰ μηχανήματα;

ΘΕΡΑΠΩΝ.

τὸ μὴ δίκαιον τῆς δίκης ἡσσώμενον
ἐξεῦρεν ὁ θεὸς, οὐ μιανθῆναι θέλων.

ΧΟΡΟΣ.

πῶς; ἀντιάζω σ' ἱκέτις ἐξειπεῖν τάδε.
πεπυσμέναι γὰρ εἰ θανεῖν ἡμᾶς χρεὼν,
ἥδιον ἂν θάνοιμεν, εἴθ' ὁρᾶν φάος.

ΘΕΡΑΠΩΝ.

ἐπεὶ θεοῦ μαντεῖον ᾤχετ' ἐκλιπὼν
πόσις Κρεούσης, παῖδα τὸν καινὸν λαβὼν,
πρὸς δεῖπνα θυσίας θ' ἃς θεοῖς ὡπλίζετο,
Ξοῦθος μὲν ᾤχετ' ἔνθα πῦρ πηδᾷ θεοῦ
βακχεῖον, ὡς σφαγαῖσι Διονύσου πέτρας
δεύσειε δισσὰς παιδὸς ἀντ' ὀπτηρίων,
λέξας, σὺ μέν νυν, τέκνον, ἀμφήρεις μένων
σκηνὰς ἀνίστη τεκτόνων μοχθήμασιν.
θύσας δὲ γενέταις θεοῖσιν ἢν μακρὸν χρόνον
μένω, παροῦσι δαῖτες ἔστωσαν φίλοις.
λαβὼν δὲ μόσχους ᾤχεθ'. ὁ δὲ νεανίας
σεμνῶς ἀτοίχους περιβολὰς σκηνωμάτων
ὀρθοστάταις ἱδρύεθ' ἡλίου φλογὸς,
καλῶς φυλάξας, οὔτε πρὸς μέσας βολὰς,
ἀκτῖνας οὔτ' αὖ πρὸς τελευτώσας βίον,
πλέθρου σταθμήσας μῆκος εἰς εὐγώνιον,
μέτρημ' ἔχουσαν τοὐν μέσῳ γε μυρίων
ποδῶν ἀριθμὸν, ὡς λέγουσιν οἱ σοφοὶ,
ὡς πάντα Δελφῶν λαὸν ἐς θοίνην καλῶν.
λαβὼν δ' ὑφάσμαθ' ἱρὰ θησαυρῶν πάρα
κατεσκίαζε, θαύματ' ἀνθρώποις ὁρᾶν.
πρῶτον μὲν ὀρόφῳ πτέρυγα περιβάλλει πέπλων,
ἀνάθημα Δίου παιδὸς, οὓς Ἡρακλέης
Ἀμαζόνων σκυλεύματ' ἤνεγκεν θεῷ.
ἐνῆν δ' ὑφανταὶ γράμμασιν τοιαίδ' ὑφαί·
Οὐρανὸς ἀθροίζων ἄστρ' ἐν αἰθέρος κύκλῳ·
ἵππους μὲν ἤλαυν' ἐς τελευταίαν φλόγα
Ἥλιος, ἐφέλκων λαμπρὸν Ἑσπέρου φάος.
μελάμπεπλος δὲ Νὺξ ἀσείρωτον ζυγοῖς
ὄχημ' ἔπαλλεν· ἄστρα δ' ὡμάρτει θεᾷ.
Πλειὰς μὲν ᾔει μεσοπόρου δι' αἰθέρος,
ὅ τε ξιφήρης Ὠρίων· ὕπερθε δὲ
Ἄρκτος στρέφουσ' οὐραῖα χρυσήρει πόλῳ.
κύκλος δὲ πανσέληνος ἠκόντιζ' ἄνω
μηνὸς διχήρης, Ὑάδες τε ναυτίλοις
σαφέστατον σημεῖον, ἥ τε φωσφόρος
Ἕως διώκουσ' ἄστρα. τοίχοισιν δ' ἔπι
ἤμπισχεν ἄλλα βαρβάρων ὑφάσματα,
εὐηρέτμους ναῦς ἀντίας Ἑλληνίσιν,
καὶ μιξόθηρας φῶτας ἱππείας τ' ἄγρας,
ἐλάφων λεόντων τ' ἀγρίων θηράματα.
κατ' εἰσόδους δὲ Κέκροπα θυγατέρων πέλας
σπείραισιν εἱλίσσοντ', Ἀθηναίων τινὸς
ἀνάθημα, χρυσέους τ' ἐν μέσῳ συσσιτίῳ
κρατῆρας ἔστησ'· ἐν δ' ἄκροισι βὰς ποσὶ
κήρυξ ἀνεῖπε τὸν θέλοντ' ἐγχώριον
ἐς δαῖτα χωρεῖν. ὡς δ' ἐπληρώθη στέγη,
στεφάνοισι κοσμηθέντες, εὐόχθου βορᾶς
ψυχὴν ἐπλήρουν. ὡς δ' ἀνεῖσαν ἡδονὴν,
* * παρελθὼν πρέσβυς ἐς μέσον πέδον
ἔστη, γέλων δ' ἔθηκε συνδείπνοις πολὺν,
πρόθυμα πράσσων· ἔκ τε γὰρ κρωσσῶν ὕδωρ
χεροῖν ἔπεμπε νίπτρα, κἀξεθυμία
σμύρνης ἱδρῶτα, χρυσέων τ' ἐκπωμάτων
ἦρχ', αὐτὸς αὑτῷ τόνδε προστάξας πόνον.
ἐπεὶ δ' ἐς αὐλοὺς ἧκεν ἐς κρατῆρά τε
κοινὸν, γέρων ἔλεξ', ἀφαρπάζειν χρεὼν
οἰνηρὰ τεύχη σμικρὰ, μεγάλα δ' ἐσφέρειν,
ὡς θᾶσσον ἔλθωσ' οἵδ' ἐς ἡδονὰς φρενῶν.
ἦν δὴ φερόντων μόχθος ἀργυρηλάτους
χρυσέας τε φιάλας· ὁ δὲ λαβὼν ἐξαίρετον,
ὡς τῷ νέῳ δὴ δεσπότῃ χάριν φέρων,
ἔδωκε πλῆρες τεῦχος, εἰς οἶνον βαλὼν
ὅ φασι δοῦναι φάρμακον δραστήριον
δέσποιναν, ὡς παῖς ὁ νέος ἐκλίποι φάος·
κοὐδεὶς τάδ' ᾔδειν· ἐν χεροῖν ἔχοντι δὲ
σπονδὰς μετ' ἄλλων παιδὶ τῷ πεφηνότι
βλασφημίαν τις οἰκετῶν ἐφθέγξατο·
ὁ δ', ὡς ἐν ἱρῷ μάντεσίν τ' ἐσθλοῖς τραφεὶς,

οἰωνὸν ἔθετο, κἀκέλευσ' ἄλλον νέον
κρατῆρα πληροῦν· τὰς δὲ πρὶν σπονδὰς θεοῦ
δίδωσι γαίᾳ, πᾶσί τ' ἐκσπένδειν λέγει.
σιγὴ δ' ὑπῆλθεν. ἐκ δ' ἐπίμπλαμεν δρόσου
κρατῆρας ἱροὺς Βυβλίνου τε πώματος.
κἀν τῷδε μόχθῳ πτηνὸς ἐσπίπτει δόμοις
κῶμος πελειῶν· Λοξίου γὰρ ἐν δόμοις
ἄτρεστα ναίουσ'. ὡς δ' ἀπέσπεισαν μέθυ,
* * *
κεἰς αὐτὸ χείλη πώματος κεχρημέναι
καθῆκαν, εἷλκον δ' εὐπτέρους ἐς αὐχένας.
καὶ ταῖς μὲν ἄλλαις ἄνοσος ἦν λοιβὴ θεοῦ·
ἣ δ' ἕζετ' ἔνθ' ὁ καινὸς ἔσπεισεν γόνος,
ποτοῦ τ' ἐγεύσατ', εὐθὺς εὔπτερον δέμας
ἔσεισε κἀβάκχευσεν, ἐκ δ' ἔκλαγξ' ὄπα
ἀξύνετον αἰάζουσ'· ἐθάμβησεν δὲ πᾶς
θοινατόρων ὅμιλος ὄρνιθος πόνους·
θνήσκει δ' ἀπασπαίρουσα, φοινικοσκελεῖς
χηλὰς παρεῖσα. γυμνὰ δ' ἐκ πέπλων μέλη
ὑπὲρ τραπέζης ἦχ' ὁ μαντευτὸς γόνος,
βοᾷ δὲ, τίς μ' ἔμελλεν ἀνθρώπων κτανεῖν,
σήμαινε, πρέσβυ· σὴ γὰρ ἡ προθυμία,
καὶ πῶμα χειρὸς σῆς ἐδεξάμην πάρα.
εὐθὺς δ' ἐρευνᾷ γραῖαν ὠλένην λαβὼν,
ἐπ' αὐτοφώρῳ πρέσβυν ὡς ἔχονθ' ἕλοι.
ὤφθη δὲ καὶ κατεῖπ' ἀναγκασθεὶς μόγις
τόλμας Κρεούσης πώματός τε μηχανάς.
θεῖ δ' εὐθὺς ἔξω συλλαβὼν θοινάτορας
ὁ πυθόχρηστος Λοξίου νεανίας,
κἀν κοιράνοισι Πυθικοῖς σταθεὶς λέγει,
ὦ γαῖα σεμνὴ, τῆς Ἐρεχθέως ὕπο
ξένης γυναικὸς φαρμάκοισι θνήσκομεν.
Δελφῶν δ' ἄνακτες ὥρισαν πετρορριφῆ
θανεῖν ἐμὴν δέσποιναν οὐ ψήφῳ μιᾷ,
τὸν ἱρὸν ὡς κτείνουσαν ἔν τ' ἀνακτόροις
φόνον τιθεῖσαν. πᾶσα δὲ ζητεῖ πόλις
τὴν ἀθλίως σπεύσασαν ἀθλίαν ὁδόν·
παίδων γὰρ ἐλθοῦσ' εἰς ἔρον Φοίβου πάρα,
τὸ σῶμα κοινῇ τοῖς τέκνοις ἀπώλεσεν.

ΧΟΡΟΣ.

οὐκ ἔστ' οὐκ ἔστιν θανάτου
παρατροπὰ μελέᾳ μοι·
φανερὰ γὰρ φανερὰ τάδ' ἤδη
σπονδᾶς ἐκ Διονύσου βοτρύων θοᾶς
ἐχίδνας σταγόσιν μιγνυμένας φόνῳ,
φανερὰ θύματα νερτέρων,
συμφοραὶ μὲν ἐμῷ βίῳ,
λεύσιμοι δὲ καταφθοραὶ
δεσποίνᾳ. τίνα φυγὰν πτερόεσσαν ἢ
χθονὸς ὑπὸ σκοτίων μυχῶν πορευθῶ
θανάτου λεύσιμον ἄταν
ἀποφεύγουσα, τεθρίππων
ὠκίσταν χαλὰν ἐπιβᾶσ',
ἢ πρύμνας ἐπὶ ναῶν;
οὐκ ἔστι λαθεῖν, ὅτε μὴ χρήζων
θεὸς ἐκκλέπτει.
τί ποτ', ὦ μελέα δέσποινα, μένει
ψυχῇ σε παθεῖν; ἆρα θέλουσαι
δρᾶσαί τι κακὸν τοὺς πέλας αὐταὶ
πεισόμεθ', ὥσπερ τὸ δίκαιον;

ΚΡΕΟΥΣΑ.

πρόσπολοι, διωκόμεσθα θανασίμους ἐπὶ σφαγὰς,
Πυθίᾳ ψήφῳ κρατηθεῖσ', ἔκδοτος δὲ γίγνομαι.

ΧΟΡΟΣ.

ἴσμεν, ὦ τάλαινα, τὰς σὰς συμφορὰς, ἵν' ἐ
τύχης.

ΚΡΕΟΥΣΑ.

ποῖ φύγω δῆτ'; ἐκ γὰρ οἴκων προὔλαβον μόγις
πόδα,
μὴ θανεῖν· κλοπῇ δ' ἀφῖγμαι διαφυγοῦσα πο-
λεμίους.

ΧΟΡΟΣ.

ποῖ δ' ἂν ἄλλοσ' ἢ 'πὶ βωμόν;

ΚΡΕΟΥΣΑ.

καὶ τί μοι πλέον τόδε;

ΧΟΡΟΣ.

ἱκέτιν οὐ θέμις φονεύειν.

ΚΡΕΟΥΣΑ.

τῷ νόμῳ δέ γ' ὄλλυμαι.

ΧΟΡΟΣ.

χειρία γ' ἁλοῦσα.

ΚΡΕΟΥΣΑ.

καὶ μὴν οἵδ' ἀγωνισταὶ πικρο
δεῦρ' ἐπείγονται ξιφήρεις.

ΧΟΡΟΣ.

ἵζε νυν πυρᾶς ἔπι.
κἂν θάνῃς γὰρ ἐνθάδ' οὖσα, τοῖς ἀποκτείνασί σ
προστρόπαιον αἷμα θήσεις· οἰστέον δὲ τὴν τύχη

ΙΩΝ.

ὦ ταυρόμορφον ὄμμα Κηφισοῦ πατρὸς,
οἵαν ἔχιδναν τήνδ' ἔφυσας, ἢ πυρὸς
δράκοντ' ἀναβλέποντα φοινίαν φλόγα,
ᾗ τόλμα πᾶσ' ἔνεστιν, οὐδ' ἥσσων ἔφυ
Γοργοῦς σταλαγμῶν, οἷς ἔμελλέ με κτανεῖν.
λάζυσθ', ἵν' αὐτῆς τοὺς ἀκηράτους πλόκους
κόμης καταξήνωσι Παρνασοῦ πλάκες,
ὅθεν πετραῖον ἅλμα δισκευθήσεται.
ἐσθλοῦ δ' ἔκυρσα δαίμονος, πρὶν ἐς πόλιν
μολεῖν Ἀθηνῶν χὐπὸ μητρυιὰν πεσεῖν.
ἐν συμμάχοις γὰρ ἀνεμετρησάμην φρένας
τὰς σὰς, ὅσον μοι πῆμα δυσμενής τ' ἔφυς·
εἴσω γὰρ ἄν με περιβαλοῦσα δωμάτων
ἄρδην ἂν ἐξέπεμψας εἰς Ἅιδου δόμους.
ἀλλ' οὔτε βωμὸς οὔτ' Ἀπόλλωνος δόμος
σώσει σ', ὁ δ' οἶκτος ὁ σὸς ἐμοὶ κρείσσων πά
καὶ μητρὶ τἠμῇ· καὶ γὰρ εἰ τὸ σῶμά μοι
ἄπεστιν αὐτῆς, τοὔνομ' οὐκ ἄπεστί πω.
ἴδεσθε τὴν πανοῦργον, ἐκ τέχνης τέχνην
οἵαν ἔπλεξ'· οὐ βωμὸν ἔπτηξεν θεοῦ,
ὡς οὐ δίκην δώσουσα τῶν εἰργασμένων;

ΚΡΕΟΥΣΑ.

ἀπεννέπω σε μὴ κατακτείνειν ἐμὲ
ὑπέρ τ' ἐμαυτῆς τοῦ θεοῦ θ', ἵν' ἕσταμεν.

ΙΩΝ.

τί δ' ἐστὶ Φοίβῳ σοί τε κοινὸν ἐν μέσῳ;

ΚΡΕΟΥΣΑ.

ἱρὸν τὸ σῶμα τῷ θεῷ δίδωμ' ἔχειν.

ΙΩΝ.
κἄπειτ' ἔκαινες φαρμάκοις τὸν τοῦ θεοῦ;
ΚΡΕΟΥΣΑ.
ἀλλ' οὐκέτ' ἦσθα Λοξίου, πατρὸς δὲ σοῦ.
ΙΩΝ.
ἀλλ' ἐγενόμεσθα, πατρὸς οὐσίαν λέγω.
ΚΡΕΟΥΣΑ.
οὐκοῦν τότ' ἦσθα· νῦν δ' ἐγώ, σὺ δ' οὐκέτ' εἶ.
ΙΩΝ.
οὐκ εὐσεβής γε, τἀμὰ δ' εὐσεβῆ τότ' ἦν.
ΚΡΕΟΥΣΑ.
ἔκτεινά σ' ὄντα πολέμιον δόμοις ἐμοῖς.
ΙΩΝ.
οὔτοι σὺν ὅπλοις ἦλθον ἐς τὴν σὴν χθόνα.
ΚΡΕΟΥΣΑ.
μάλιστα· κἀπίμπρας γ' Ἐρεχθέως δόμους.
ΙΩΝ.
ποίοισι πανοῖς ἢ πυρὸς ποίᾳ φλογί;
ΚΡΕΟΥΣΑ.
ἔμελλες οἰκεῖν τἄμ', ἐμοῦ βίᾳ λαβών.
ΙΩΝ.
πατρός γε γῆν διδόντος ἣν ἐκτήσατο.
ΚΡΕΟΥΣΑ.
τοῖς Αἰόλου δὲ πῶς μετῆν τῆς Παλλάδος;
ΙΩΝ.
ὅπλοισιν αὐτὴν οὐ λόγοις ἐρρύσατο.
ΚΡΕΟΥΣΑ.
ἐπίκουρος οἰκήτωρ γ' ἂν οὐκ εἴη χθονός.
ΙΩΝ.
κἄπειτα τοῦ μέλλειν μ' ἀπέκτεινες φόβῳ;
ΚΡΕΟΥΣΑ.
ὡς μη θάνοιμί γ', εἰ σὺ μὴ μέλλων τύχοις.
ΙΩΝ.
φθονεῖς, ἄπαις οὖσ', εἰ πατὴρ ἐξεῦρέ με;
ΚΡΕΟΥΣΑ.
σὺ τῶν ἀτέκνων δῆτ' ἀναρπάσεις δόμους;
ΙΩΝ.
ἡμῖν δέ γ' ἀλλὰ πατρικῆς οὐκ ἦν μέρος;
ΚΡΕΟΥΣΑ.
ὅσ' ἀσπὶς ἔγχος θ'· ἥδε σοι παμπησία.
ΙΩΝ.
ἔκλειπε βωμὸν καὶ θεηλάτους ἕδρας.
ΚΡΕΟΥΣΑ.
τὴν σὴν ὅπου σοι μητέρ' ἐστὶ νουθέτει.
ΙΩΝ.
σὺ δ' οὐχ ὑφέξεις ζημίαν, κτείνουσ' ἐμέ;
ΚΡΕΟΥΣΑ.
ἤν γ' ἐντὸς ἀδύτων τῶνδέ με σφάξαι θέλῃς.
ΙΩΝ.
τίς ἡδονή σοι θεοῦ θανεῖν ἐν στέμμασι;
ΚΡΕΟΥΣΑ.
λυπήσομέν τιν' ὧν λελυπήμεσθ' ὕπο.
ΙΩΝ.
φεῦ.
δεινόν γε, θνητοῖς τοὺς νόμους ὡς οὐ καλῶς
ἔθηκεν ὁ θεὸς οὐδ' ἀπὸ γνώμης σοφῆς·
τοὺς μὲν γὰρ ἀδίκους βωμὸν οὐχ ἵζειν ἐχρῆν,
ἀλλ' ἐξελαύνειν· οὐδὲ γὰρ ψαύειν καλὸν
θεῶν πονηρὰν χεῖρα, τοῖσι δ' ἐνδίκοις
ἱερὰ καθίζειν, ὅστις ἠδικεῖτ', ἐχρῆν,
καὶ μὴ 'πὶ ταὐτὸ τοῦτ' ἰόντ' ἔχειν ἴσον
τόν τ' ἐσθλὸν ὄντα τόν τε μὴ θεῶν πάρα.
ΠΥΘΙΑ.
ἐπίσχες, ὦ παῖ· τρίποδα γὰρ χρηστήριον
λιποῦσα θριγκοῦ τοῦδ' ὑπερβάλλω ποδὶ
Φοίβου προφῆτις, τρίποδος ἀρχαῖον νόμον
σώζουσα, πασῶν Δελφίδων ἐξαίρετος.
ΙΩΝ.
χαῖρ', ὦ φίλη μοι μῆτερ, οὐ τεκοῦσά περ.
ΠΥΘΙΑ.
ἀλλ' οὖν λεγόμεθά γ'· ἡ φάτις δ' οὔ μοι πικρά.
ΙΩΝ.
ἤκουσας ὥς μ' ἔκτεινεν ἥδε μηχαναῖς;
ΠΥΘΙΑ.
ἤκουσα· καὶ σύ γ' ὠμὸς ὢν ἁμαρτάνεις.
ΙΩΝ.
οὐ χρή με τοὺς κτείνοντας ἀνταπολλύναι;
ΠΥΘΙΑ.
προγόνοις δάμαρτες δυσμενεῖς ἀεί ποτε.
ΙΩΝ.
ἡμεῖς δὲ μητρυιαῖς γε πάσχοντες κακῶς.
ΠΥΘΙΑ.
μὴ ταῦτα· λείπων ἱρὰ καὶ στείχων πάτραν.
ΙΩΝ.
τί δή με δρᾶσαι νουθετούμενον χρεών;
ΠΥΘΙΑ.
καθαρὸς Ἀθήνας ἔλθ' ὑπ' οἰωνῶν καλῶν.
ΙΩΝ.
καθαρὸς ἅπας τοι πολεμίους ὃς ἂν κτάνῃ.
ΠΥΘΙΑ.
μὴ σύ γε· παρ' ἡμῶν δ' ἔκλαβ' οὓς ἔχω λόγους.
ΙΩΝ.
λέγοις ἄν· εὔνους δ' οὖσ' ἐρεῖς ὅσ' αν λέγῃς.
ΠΥΘΙΑ.
ὁρᾷς τόδ' ἄγγος χερὸς ὑπ' ἀγκάλαις ἐμαῖς;
ΙΩΝ.
ὁρῶ παλαιὰν ἀντίπηγ' ἐν στέμμασιν.
ΠΥΘΙΑ.
ἐν τῇδέ σ' ἔλαβον νεόγονον βρέφος ποτέ.
ΙΩΝ.
τί φής; ὁ μῦθος εἰσενήνεκται νέος.
ΠΥΘΙΑ.
σιγῇ γὰρ εἶχον αὐτά, νῦν δὲ δείκνυμεν.
ΙΩΝ.
πῶς οὖν ἔκρυπτες τότε λαβοῦσ' ἡμᾶς πάλαι;
ΠΥΘΙΑ.
ὁ θεός σ' ἐβούλετ' ἐν δόμοις ἔχειν λάτριν.
ΙΩΝ.
νῦν δ' οὐχὶ χρῄζει; τῷ τόδε γνῶναί με χρή;

ΠΥΘΙΑ.
πατέρα κατειπὼν τῇσδέ σ' ἐκπέμπει χθονός.
ΙΩΝ.
σὺ δ' ἐκ κελευσμῶν, ἢ πόθεν, σώζεις τάδε;
ΠΥΘΙΑ.
ἐνθύμιόν μοι τόδε τίθησι Λοξίας.
ΙΩΝ.
τί χρῆμα δρᾶσαι, λέγε, πέραινε σοὺς λόγους.
ΠΥΘΙΑ.
σῶσαι τόδ' εὕρημ' ἐς τὸν ὄντα νῦν χρόνον.
ΙΩΝ.
ἔχει δέ μοι τί κέρδος ἢ τίνα βλάβην;
ΠΥΘΙΑ.
ἐνθάδε κέκρυπται σπάργαν' οἷς ἐνῆσθα σύ.
ΙΩΝ.
μητρὸς τάδ' ἡμῖν ἐκφέρεις ζητήματα.
ΠΥΘΙΑ.
ἐπεί γ' ὁ δαίμων βούλεται, πάροιθε δ' οὔ.
ΙΩΝ.
ὦ μακαρίων μοι φασμάτων ἥδ' ἡμέρα.
ΠΥΘΙΑ.
λαβὼν νυν αὐτὰ τὴν τεκοῦσαν ἐκπόνει.
πᾶσαν δ' ἐπελθὼν Ἀσιάδ' Εὐρώπης θ' ὅρους
γνώσει τάδ' αὐτός. τοῦ θεοῦ δ' ἕκατί σε
ἔθρεψά τ', ὦ παῖ, καὶ τάδ' ἀποδίδωμί σοι,
ἃ κεῖνος ἀκέλευστόν μ' ἐβουλήθη λαβεῖν
σῶσαί θ'· ὅτου δ' ἐβούλετ' οὐκ ἔχω λέγειν.
ᾔδει δὲ θνητῶν οὔτις ἀνθρώπων τάδε
ἔχοντας ἡμᾶς, οὐδ' ἵν' ἦν κεκρυμμένα.
καὶ χαῖρ'· ἴσον γάρ σ' ὡς τεκοῦσ' ἀσπάζομαι.
ἄρξαι δ', ὅθεν σὴν μητέρα ζητεῖν σε χρή·
πρῶτον μὲν εἴ τις Δελφίδων τεκοῦσά σε
ἐς τούσδε ναοὺς ἐξέθηκε παρθένος,
ἔπειτα δ' εἴ τις Ἑλλάς· ἐξ ἡμῶν δ' ἔχεις
ἅπαντα Φοίβου θ', ὃς μετέσχε τῆς τύχης.
ΙΩΝ.
φεῦ φεῦ· κατ' ὄσσων ὡς ὑγρὸν βάλλω δάκρυ,
ἐκεῖσε τὸν νοῦν δοὺς ὅθ' ἡ τεκοῦσά με,
κρυφαῖα νυμφευθεῖσ' ἀπημπόλα λάθρα,
καὶ μαστὸν οὐχ ὑπέσχεν· ἀλλ' ἀνώνυμος
ἐν θεοῦ μελάθροις εἶχον οἰκέτην βίον.
τὰ τοῦ θεοῦ μὲν χρηστά, τοῦ δὲ δαίμονος
βαρέα· χρόνον γὰρ ὅν μ' ἐχρῆν ἐν ἀγκάλαις
μητρὸς τρυφῆσαι καί τι τερφθῆναι βίου,
ἀπεστερήθην φιλτάτης μητρὸς τροφῆς.
τλήμων δὲ χἠ τεκοῦσά μ', ὡς ταυτὸν πάθος
πέπονθε, παιδὸς ἀπολέσασα χαρμονάς.
καὶ νῦν λαβὼν τήνδ' ἀντίπηγ' οἴσω θεῷ
ἀνάθημ', ἵν' εὕρω μηδὲν ὧν οὐ βούλομαι.
εἰ γάρ με δούλη τυγχάνει τεκοῦσά τις,
εὑρεῖν κάκιον μητέρ' ἢ σιγῶντ' ἐᾶν.
ὦ Φοῖβε, ναοῖς ἀνατίθημι τήνδε σοῖς.
καίτοι τί πάσχω, τοῦ θεοῦ προθυμίᾳ
πολεμῶ, τὰ μητρὸς σύμβολ' ὅς γ' ἔσωσέ μοι.
ἀνοικτέον τάδ' ἐστὶ καὶ τολμητέον.
τὰ γὰρ πεπρωμέν' οὐδ' ὑπερβαίην ποτ' ἄν.
ὦ στέμμαθ' ἱρά, τί ποτέ μοι κεκεύθατε,
καὶ σύνδεθ', οἷσι τἄμ' ἐφρουρήθη φίλα;
ἰδοὺ περίπτυγμ' ἀντίπηγος εὐκύκλου
ὡς οὐ γεγήρακ' ἔκ τινος θεηλάτου,
εὐρώς τ' ἄπεστι πλεγμάτων· ὁ δ' ἐν μέσῳ
χρόνος πολὺς δὴ τοῖσδε θησαυρίσμασιν.
ΚΡΕΟΥΣΑ.
τί δῆτα φάσμα τῶν ἀνελπίστων ὁρῶ;
ΙΩΝ.
σιγᾶν σὺ πολλὰ καὶ πάροιθεν οἶσθά μοι.
ΚΡΕΟΥΣΑ.
οὐκ ἐν σιωπῇ τἀμά· μή με νουθέτει.
ὁρῶ γὰρ ἄχθος οὗ 'ξέθηκ' ἐγώ ποτε
σέ γ' ὦ τέκνον μοι βρέφος ἔτ' ὄντα νήπιον
Κέκροπος ἐς ἄντρα καὶ Μακρὰς πετρηρεφεῖς.
λείψω δὲ βωμὸν τόνδε, κεἰ θανεῖν με χρή.
ΙΩΝ.
λάζυσθε τήνδε· θεομανὴς γὰρ ἥλατο
βωμοῦ λιποῦσα ξόανα· δεῖτε δ' ὠλένας.
ΚΡΕΟΥΣΑ.
σφάζοντες οὐ λήγοιτ' ἄν· ὡς ἀνθέξομαι
καὶ τῆσδε καὶ σοῦ τῶν τ' ἔσω κεκρυμμένων.
ΙΩΝ.
τάδ' οὐχὶ δεινά; ῥυσιάζομαι λόγῳ.
ΚΡΕΟΥΣΑ.
οὔκ, ἀλλὰ σοῖς φίλοισιν εὑρίσκει φίλος.
ΙΩΝ.
ἐγὼ φίλος σός; κᾆτά μ' ἔκτεινες λάθρα;
ΚΡΕΟΥΣΑ.
παῖς γ', εἰ τόδ' ἐστὶ τοῖς τεκοῦσι φίλτατον.
ΙΩΝ.
παῦσαι πλέκουσα· λήψομαί σ' ἐγὼ καλῶς.
ΚΡΕΟΥΣΑ.
ἐς τοῦθ' ἱκοίμην, τοῦδε τοξεύω, τέκνον.
ΙΩΝ.
κενὸν τόδ' ἄγγος, ἢ στέγει πλήρωμά τι;
ΚΡΕΟΥΣΑ.
σά γ' ἔνδυθ', οἷσί σ' ἐξέθηκ' ἐγώ ποτε.
ΙΩΝ.
καὶ τοὔνομ' αὐτῶν ἐξερεῖς, πρὶν εἰσιδεῖν;
ΚΡΕΟΥΣΑ.
κἂν μὴ φράσω γε, κατθανεῖν ὑφίσταμαι.
ΙΩΝ.
λέγ'. ὡς ἔχει τι δεινὸν ἡ τόλμη γέ σου.
ΚΡΕΟΥΣΑ.
σκέψασθ' ὃ παῖς ποτ' οὖσ' ὕφασμ' ὕφην' ἐγώ.
ΙΩΝ.
ποῖόν τι; πολλὰ παρθένων ὑφάσματα.
ΚΡΕΟΥΣΑ.
οὐ τέλεον, οἷον δ' ἐκδίδαγμα κερκίδος.
ΙΩΝ.
μορφὴν ἔχον τίν'; ὥς με μὴ ταύτῃ λάβῃς.
ΚΡΕΟΥΣΑ.
Γοργὼν μὲν ἐν μέσοισιν ἠτρίοις πέπλων.
ΙΩΝ.
ὦ Ζεῦ, τίς ἡμᾶς ἐκκυνηγετεῖ πότμος;

ΚΡΕΟΥΣΑ.
κεκρασπέδωται δ' ὄφεσιν αἰγίδος τρόπον.
ΙΩΝ.
ἰδού.
τόδ' ἔσθ' ὕφασμα δεσμά θ', ὡς ευρίσκομεν.
ΚΡΕΟΥΣΑ.
ὦ χρόνιον ἱστῶν παρθένευμα τῶν ἐμῶν.
ΙΩΝ.
ἔστιν τι πρὸς τῷδ', ἢ μόνῳ τῷδ' εὐτυχεῖς;
ΚΡΕΟΥΣΑ.
δράκοντε μαρμαίροντε παγχρύσῳ γένυι.
ΙΩΝ.
δώρημ' Ἀθάνας, ἣ τέκν' ἐντρέφειν λέγει;
ΚΡΕΟΥΣΑ.
Ἐριχθονίου γε τοῦ πάλαι μιμήματα.
ΙΩΝ.
τί δρᾶν, τί χρῆσθαι, φράζε μοι, χρυσώμασι.
ΚΡΕΟΥΣΑ.
δέραια παιδὶ νεογόνῳ φέρειν, τέκνον.
ΙΩΝ.
ἔνεισιν οἵδε· τὸ δὲ τρίτον ποθῶ μαθεῖν.
ΚΡΕΟΥΣΑ.
στέφανον ἐλαίας ἀμφέθηκά σοι τότε,
ἣν πρῶτ' Ἀθάνα σκόπελον εἰσηνέγκατο.
ὃς, εἴπερ ἔστιν, οὔποτ' ἐκλείπει χλόην,
θάλλει δ' ἐλαίας ἐξ ἀκηράτου γεγώς.
ΙΩΝ.
ὦ φιλτάτη μοι μῆτερ, ἄσμενός σ' ἰδὼν
πρὸς ἀσμένας πέπτωκα σὰς παρηίδας.
ΚΡΕΟΥΣΑ.
ὦ τέκνον, ὦ φῶς μητρὶ κρεῖσσον ἡλίου,
συγγνώσεται γὰρ ὁ θεὸς, ἐν χεροῖν σ' ἔχω,
ἄελπτον εὕρημ', ὃν κατὰ γᾶς ἐνέρων
χθόνιον μετὰ Περσεφόνας τ' ἐδόκουν ναίειν.
ΙΩΝ.
ἀλλ', ὦ φίλη μοι μῆτερ, ἐν χεροῖν σέθεν
ὁ κατθανών τε καὶ θανὼν φαντάζομαι.
ΚΡΕΟΥΣΑ.
ἰὼ ἰὼ λαμπρᾶς αἰθέρος ἀμπτυχαὶ,
τίν' αὐδὰν ἀΰσω, βοάσω; πόθεν μοι
συνέκυρσ' ἀδόκητος ἡδονά; πόθεν
ἐλάβομεν χαράν;
ΙΩΝ.
ἐμοὶ γενέσθαι πάντα μᾶλλον ἄν ποτε,
μῆτερ, παρέστη τῶνδ' ὅπως σός εἰμ' ἐγώ.
ΚΡΕΟΥΣΑ.
ἔτι φόβῳ τρέμω.
ΙΩΝ.
μῶν οὐκ ἔχειν μ' ἔχουσα;
ΚΡΕΟΥΣΑ.
τὰς γὰρ ἐλπίδας
ἀπέβαλον πρόσω.
ἰὼ γύναι, πόθεν πόθεν ἔλαβες ἐμὸν
βρέφος * ἀγκαλῶν;
τίν' ἀνὰ χέρα δόμους ἔβα Λοξίου;
ΙΩΝ.
θεῖον τόδ'· ἀλλὰ τἀπίλοιπα τῆς τύχης
εὐδαιμονοῖμεν, ὡς τὰ πρόσθε δυστυχῆ.
ΚΡΕΟΥΣΑ.
τέκνον, οὐκ ἀδάκρυτος ἐκλοχεύει,
γόοις δὲ ματρὸς ἐκ χερῶν ὁρίζει·
νῦν δὲ γενειάσιν παρὰ σέθεν πνέω,
μακαριωτάτας τυχοῦσ' ἡδονᾶς.
ΙΩΝ.
τοὐμὸν λέγουσα καὶ τὸ σὸν κοινῶς λέγεις.
ΚΡΕΟΥΣΑ.
ἄπαιδες οὐκέτ' ἐσμὲν οὐδ' ἄτεκνοι·
δῶμ' ἑστιοῦται, τάδε δ' ἔχει τυράννους·
ἀνηβᾷ δ' Ἐρεχθεὺς,
ὅ τε γηγενέτας δόμος οὐκέτι νύκτας δέρκεται,
ἀελίου δ' ἀναβλέπει λαμπάσιν.
ΙΩΝ.
μῆτερ, παρών μοι καὶ πατὴρ μετασχέτω
τῆς ἡδονῆς τῆσδ' ἧς ἔδωχ' ὑμῖν ἐγώ.
ΚΡΕΟΥΣΑ.
ὦ τέκνον, τί φής; οἷον οἷον ἀνελέγχομαι.
ΙΩΝ.
πῶς εἶπας;
ΚΡΕΟΥΣΑ.
ἄλλοθεν γέγονας γὰρ ἄλλοθεν.
ΙΩΝ.
ὤμοι· νόθον με παρθένευμ' ἔτικτε σόν;
ΚΡΕΟΥΣΑ.
οὐχ ὑπὸ λαμπάδων οὐδὲ χορευμάτων
ὑμέναιος ἐμὸς,
τέκνον, ἔτικτε σὸν κάρα.
ΙΩΝ.
αἰαῖ· πέφυκα δυσγενὴς, μῆτερ, πόθεν;
ΚΡΕΟΥΣΑ.
ἴστω Γοργοφόνα,
ΙΩΝ.
τί τοῦτ' ἔλεξας;
ΚΡΕΟΥΣΑ.
ἃ σκοπέλοις ἐπ' ἐμοῖς
τὸν ἐλαιοφυῆ πάγον θάσσει.
ΙΩΝ.
λέγεις λέγεις μοι δόλια κοὐ σαφῆ τάδε.
ΚΡΕΟΥΣΑ.
παρ' ἀηδόνιον πέτραν Φοίβῳ
ΙΩΝ.
τί Φοῖβον αὐδᾷς;
ΚΡΕΟΥΣΑ.
κρυπτόμενον λέχος ηὐνάσθην.
ΙΩΝ.
λέγ'· ὡς ἐρεῖς τι κεδνὸν εὐτυχές τέ μοι.
ΚΡΕΟΥΣΑ.
δεκάτῳ δέ σε μηνὸς ἐν κύκλῳ
κρύφιον ὠδῖν' ἔτεκον Φοίβῳ.
ΙΩΝ.
ὦ φίλτατ' εἰποῦσ', εἰ λέγεις ἐτήτυμα.

ΚΡΕΟΥΣΑ.

παρθένια δ' ἐμᾶς ματέρος
σπάργαν' ἀμφίβολά σοι τάδ' ἀν-
ῆψα, κερκίδος ἐμᾶς πλάνους.
γάλακτι δ' οὐκ ἐπέσχον, οὐδὲ μαστῷ
τροφεῖα ματρὸς, οὐδὲ λουτρὰ χειροῖν,
ἀνὰ δ' ἄντρον ἔρημον οἰωνῶν
γαμφηλαῖς φόνευμα θοίναμά τ' εἰς
Ἅιδαν ἐκβάλλει.

ΙΩΝ.

ὦ δεινὰ τλᾶσα μῆτερ.

ΚΡΕΟΥΣΑ.

ἐν φόβῳ καταδεθεῖσα σὰν
ψυχὰν ἀπέβαλον, τέκνον·
ἔκτεινά σ' ἄκουσ'.

ΙΩΝ.

ἐξ ἐμοῦ τ' οὐχ ὅσι' ἔθνησκες.

ΚΡΕΟΥΣΑ.

ἰὼ δεινὰ μὲν αἱ τότε τύχαι,
δεῖλαια δὲ καὶ τάδ'· ἑλισσόμεσθ' ἐκεῖθεν
ἐνθάδε δυστυχίαισιν
εὐτυχίαις τε πάλιν,
μεθίσταται δὲ πνεύματα.
μενέτω· τὰ πάροιθεν ἅλις κακά· νῦν δ'
ἐγένετό τις οὖρος ἐκ κακῶν, ὦ παῖ.

ΧΟΡΟΣ.

μηδεὶς δοκείτω μηδὲν ἀνθρώπων ποτὲ
ἄελπτον εἶναι πρὸς τὰ τυγχάνοντα νῦν.

ΙΩΝ.

ὦ μεταβαλοῦσα μυρίους ἤδη βροτῶν
καὶ δυστυχῆσαι καὖθις αὖ πρᾶξαι καλῶς,
Τύχη, παρ' οἵαν ἤλθομεν στάθμην βίου,
μητέρα φονεῦσαι καὶ παθεῖν ἀνάξια.
φεῦ·
ἆρ' ἐν φαενναῖς ἡλίου περιπτυχαῖς
ἔνεστι πάντα τάδε καθ' ἡμέραν μαθεῖν;
φίλον μὲν οὖν σ' εὕρημα, μῆτερ, εὕρομεν,
καὶ τὸ γένος οὐδὲν μεμπτὸν ὡς ἡμῖν τόδε·
τὰ δ' ἄλλα πρὸς σὲ βούλομαι μόνην φράσαι.
δεῦρ' ἔλθ'· ἐς οὖς γὰρ τοὺς λόγους εἰπεῖν θέλω,
καὶ περικαλύψαι τοῖσι πράγμασι σκότον.
ὅρα σὺ, μῆτερ, μὴ σφαλεῖσ' ἃ παρθένοις
ἐγγίγνεται νοσήματ' ἐς κρυπτοὺς γάμους,
ἔπειτα τῷ θεῷ προστίθης τὴν αἰτίαν,
καὶ τοὐμὸν αἰσχρὸν ἀποφυγεῖν πειρωμένη,
Φοίβῳ τεκεῖν με φῂς, τεκοῦσ' οὐκ ἐκ θεοῦ.

ΚΡΕΟΥΣΑ.

μὰ τὴν παρασπίζουσαν ἅρμασίν ποτε
Νίκην Ἀθάναν Ζηνὶ γηγενεῖς ἔπι,
οὐκ ἔστιν ὅστις σοι πατὴρ θνητῶν, τέκνον,
ἀλλ' ὅσπερ ἐξέθρεψε Λοξίας ἄναξ.

ΙΩΝ.

πῶς οὖν τὸν αὐτοῦ παῖδ' ἔδωκ' ἄλλῳ πατρὶ,
Ξούθου τέ φησι παῖδά μ' ἐκπεφυκέναι;

ΚΡΕΟΥΣΑ.

πεφυκέναι μὲν οὐχὶ, δωρεῖται δέ σε
αὐτοῦ γεγῶτα· καὶ γὰρ ἂν φίλος φίλῳ
δοίη τὸν αὐτοῦ παῖδα δεσπότην δόμων.

ΙΩΝ.

ὁ θεὸς ἀληθὴς, ἢ μάτην μαντεύεται,
ἐμοῦ ταράσσει, μῆτερ, εἰκότως φρένα.

ΚΡΕΟΥΣΑ.

ἄκουε δή νυν ἅμ' ἐσῆλθεν, ὦ τέκνον·
εὐεργετῶν σε Λοξίας ἐς εὐγενῆ
δόμον καθίζει· τοῦ θεοῦ δὲ λεγόμενος
οὐκ ἔσχες ἂν ποτ' οὔτε παγκλήρους δόμους
οὔτ' ὄνομα πατρός. πῶς γὰρ, οὗ γ' ἐγὼ γάμους
ἔκρυπτον αὐτὴ καί σ' ἀπέκτεινον λάθρα;
ὁ δ' ὠφελῶν σε προστίθησ' ἄλλῳ πατρί.

ΙΩΝ.

οὐχ ὧδε φαύλως αὔτ' ἐγὼ μετέρχομαι,
ἀλλ' ἱστορήσω Φοῖβον εἰσελθὼν δόμους
εἴτ' εἰμὶ θνητοῦ πατρὸς εἴτε Λοξίου.
ἔα· τίς οἴκων θυοδόκων ὑπερτελὴς
ἀντήλιον πρόσωπον ἐκφαίνει θεῶν;
φεύγωμεν, ὦ τεκοῦσα, μὴ τὰ δαιμόνων
ὁρῶμεν, εἰ μὴ καιρός ἐσθ' ἡμᾶς ὁρᾶν.

ΑΘΗΝΑ.

μὴ φεύγετ'· οὐ γὰρ πολεμίαν με φεύγετε,
ἀλλ' ἔν τ' Ἀθήναις κἀνθάδ' οὖσαν εὐμενῆ.
ἐπώνυμος δὲ σῆς ἀφικόμην χθονὸς,
Παλλὰς, δρόμῳ σπεύσασ' Ἀπόλλωνος πάρα,
ὃς ἐς μὲν ὄψιν σφῷν μολεῖν οὐκ ἠξίου,
μὴ τῶν πάροιθε μέμψις ἐς μέσον μόλῃ,
ἡμᾶς δὲ πέμπει τοὺς λόγους ὑμῖν φράσαι,
ὡς ἥδε τίκτει σ' ἐξ Ἀπόλλωνος πατρὸς,
δίδωσι δ' οἷς ἔδωκεν, οὐ φύσασί σε,
ἀλλ' ὡς κομίζῃ σ' οἶκον εὐγενέστατον.
ἐπεὶ δ' ἀνεῴχθη πρᾶγμα μηνυθὲν τόδε,
θανεῖν σε δείσας μητρὸς ἐκ βουλευμάτων
καὶ τήνδε πρὸς σοῦ, μηχαναῖς ἐρρύσατο.
ἔμελλε δ', αὐτὰ διασιωπήσας ἄναξ,
ἐν ταῖς Ἀθήναις γνωριεῖν ταύτην τε σὴν
σέ θ', ὡς πέφυκας τῆσδε καὶ Φοίβου πατρός.
ἀλλ' ὡς περαίνω πρᾶγμα καὶ χρησμοὺς θεῷ,
ἐφ' οἷσιν ἔζευξ' ἅρματ', εἰσακούσατον.
λαβοῦσα τόνδε παῖδα Κεκροπίαν χθόνα
χώρει, Κρέουσα, κεἰς θρόνους τυραννικοὺς
ἵδρυσον· ἐκ γὰρ τῶν Ἐρεχθέως γεγὼς
δίκαιος ἄρχειν τῆς γ' ἐμῆς ὅδε χθονός.
ἔσται δ' ἀν' Ἑλλάδ' εὐκλεής· οἱ τοῦδε γὰρ
παῖδες γενόμενοι τέσσαρες ῥίζης μιᾶς,
ἐπώνυμοι γῆς κἀπιφυλλίου χθονὸς
λαῶν ἔσονται, σκόπελον οἳ ναίουσ' ἐμόν.
Τελέων μὲν ἔσται πρῶτος· εἶτα δεύτερον
Ὅπλητες Ἀργαδῆς τ', ἐμῆς τ' ἀπ' αἰγίδος
ἓν φῦλον ἕξουσ' Αἰγικορῆς. οἱ τῶνδε δ' αὖ
παῖδες γενόμενοι σὺν χρόνῳ πεπρωμένῳ
Κυκλάδας ἐνοικήσουσι νησαίας πόλεις
χέρσους τε παράλους, ὃ σθένος τἠμῇ χθονὶ
δίδωσιν· ἀντίπορθμα δ' ἠπείροιν δυοῖν
πεδία κατοικήσουσιν, Ἀσιάδος τε γῆς
Εὐρωπίας τε· τοῦδε δ' ὀνόματος χάριν

Ἴωνες ὀνομασθέντες ἕξουσιν κλέος.
Ξούθῳ δὲ καὶ σοὶ γίγνεται κοινὸν γένος,
Δῶρος μὲν, ἔνθεν Δωρὶς ὑμνηθήσεται
πόλις κατ' αἶαν Πελοπίαν δ' ὁ δεύτερος
Ἀχαιὸς, ὃς γῆς παραλίας Ῥίου πέλας
τύραννος ἔσται, κἀπισημανθήσεται
κείνου κεκλῆσθαι λαὸς ὄνομ' ἐπώνυμος.
καλῶς δ' Ἀπόλλων πάντ' ἔπραξε· πρῶτα μὲν
ἄνοσον λοχεύει σ', ὥστε μὴ γνῶναι φίλους·
ἐπεὶ δ' ἔτικτες τόνδε παῖδα κἀπέθου
ἐν σπαργάνοισιν, ἁρπάσαντ' ἐς ἀγκάλας
Ἑρμῆν κελεύει δεῦρο πορθμεῦσαι βρέφος,
ἔθρεψέ τ' οὐδ' εἴασεν ἐκπνεῦσαι βίον.
νῦν οὖν σιώπα παῖς ὅδ' ὡς πέφυκε σὸς,
ἵν' ἡ δόκησις Ξοῦθον ἡδέως ἔχῃ,
σύ τ' αὖ τὰ σαυτῆς ἀγάθ' ἔχουσ' ἴῃς, γύναι.
καὶ χαίρετ'· ἐκ γὰρ τῆσδ' ἀναψυχῆς πόνων
εὐδαίμον' ὑμῖν πότμον ἐξαγγέλλομαι.

ΙΩΝ.

ὦ Διὸς Παλλὰς μεγίστου θύγατερ, οὐκ ἀπιστίᾳ
σοὺς λόγους ἐνδεξόμεσθα· πείθομαι δ' εἶναι πατρὸς
Λοξίου καὶ τῆσδε· καὶ πρὶν τοῦτο δ' οὐκ ἄπιστον ἦν.

ΚΡΕΟΥΣΑ.

τἀμά νυν ἄκουσον· αἰνῶ Φοῖβον οὐκ αἰνοῦσα πρὶν,
οὕνεχ' οὗ ποτ' ἠμέλησε παιδὸς ἀποδίδωσί μοι.
αἵδε δ' εὐωποὶ πύλαι μοι καὶ θεοῦ χρηστήρια,
δυσμενῆ πάροιθεν ὄντα. νῦν δὲ καὶ ῥόπτρων χέρας
ἡδέως ἐκκρημνάμεσθα καὶ προσεννέπω πύλας.

ΑΘΗΝΑ.

ᾔνεσ' οὕνεκ' εὐλογεῖς θεὸν μεταβαλοῦσ'· ἀεί ποτε
χρόνια μὲν τὰ τῶν θεῶν πως, ἐς τέλος δ' οὐκ ἀσθενῆ.

ΚΡΕΟΥΣΑ.

ὦ τέκνον, στείχωμεν οἴκους.

ΑΘΗΝΑ.

στείχεθ', ἕψομαι δ' ἐγώ.

ΙΩΝ.

ἀξία γ' ἡμῶν ὁδουρός.

ΚΡΕΟΥΣΑ.

καὶ φιλοῦσά γε πτόλιν.

ΑΘΗΝΑ.

ἐς θρόνους δ' ἵζου παλαιούς.

ΙΩΝ.

ἄξιον τὸ κτῆμά μοι.

ΧΟΡΟΣ.

ὦ Διὸς Λητοῦς τ' Ἄπολλον, χαῖρ'· ὅτῳ δ' ἐλαύνεται
συμφοραῖς οἶκος, σέβοντα δαίμονας θαρσεῖν χρεών·
ἐς τέλος γὰρ οἱ μὲν ἐσθλοὶ τυγχάνουσιν ἀξίων,
οἱ κακοὶ δ', ὥσπερ πεφύκασ', οὔποτ' εὖ πράξειαν ἄν.

# ΕΥΡΙΠΙΔΟΥ ΕΛΕΝΗ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

| | |
|---|---|
| *ΕΛΕΝΗ.* | *ΑΓΓΕΛΟΣ.* |
| *ΤΕΥΚΡΟΣ.* | *ΘΕΟΝΟΗ.* |
| *ΧΟΡΟΣ.* | *ΘΕΟΚΛΥΜΕΝΟΣ.* |
| *ΜΕΝΕΛΑΟΣ.* | *[ΕΤΕΡΟΣ ΑΓΓΕΛΟΣ.]* |
| *ΓΡΑΥΣ.* | *ΔΙΟΣΚΟΡΟΙ.* |

## *ΥΠΟΘΕΣΙΣ.*

*Ἡρόδοτος ἱστορεῖ περὶ Ἑλένης καί φησιν ἐλθεῖν μὲν αὐτὴν εἰς Αἴγυπτον, καὶ τοῦτο φάσκειν καὶ τ
Ὅμηρον, ποιοῦντα τὴν Ἑλένην παρέχειν τῷ Τηλεμάχῳ ἐν Ὀδυσσείᾳ τὸ λαθικηδὲς φάρμακον, τό οἱ πό
Πολυδάμνα Θῶνος παράκοιτις, οὐ μὴν δὲ οὕτως, ὡς Εὐριπίδης φησίν. οἱ μὲν γὰρ πλανωμένην φα
αὐτὴν μετὰ τοῦ Μενελάου μετὰ τὴν τῆς Ἰλίου πόρθησιν καὶ εἰς Αἴγυπτον παραγενέσθαι, κἀκεῖθεν πε
ρίσθαι τὰ φάρμακα· ὁ δὲ τὴν μὲν ἀληθῶς Ἑλένην φησὶ μηδ' ὁπωσοῦν ἐλθεῖν εἰς Τροίαν, τὸ εἴδωλ
δὲ αὐτῆς. κλέψας γὰρ αὐτὴν ὁ Ἑρμῆς Ἥρας βουλῇ Πρωτεῖ τῷ βασιλεῖ τῆς Αἰγύπτου φυλάττειν παρέδω
τούτου δὲ θανόντος ὁ υἱὸς αὐτοῦ Θεοκλύμενος ἐπειρᾶτο γαμεῖν αὐτήν. ἡ δὲ ἱκέτις παρεκάθητο τῷ
Πρωτέως μνημείῳ, ὅθεν αὐτῇ ἐπιφαίνεται Μενέλεως, τὰς μὲν ναῦς ἐν τῇ θαλάσσῃ ἀπολέσας, ὀλίγους
τινας τῶν ἑταίρων ἐν ἄντρῳ καθειργμένους σώζων. εἰς λόγους δὲ ἐλθόντες καὶ μηχανορραφήσαντες ἀ
τῶσι μὲν τὸν Θεοκλύμενον, αὐτοὶ δὲ νηὶ ἐμβάντες, ὡς δὴ τῷ Μενέλεῳ θανόντι κατὰ θάλατταν θύσον
εἰς τὴν ἰδίαν διασώζονται.*

# Ε Λ Ε Ν Η.

*ΕΛΕΝΗ.*

Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαί,
ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέδον
λευκῆς τακείσης χιόνος ὑγραίνει γύας.
Πρωτεὺς δ', ὅτ' ἔζη, τῆσδε γῆς τύραννος ἦν,
Φάρον μὲν οἰκῶν νῆσον, Αἰγύπτου δ' ἄναξ,
ὃς τῶν κατ' οἶδμα παρθένων μίαν γαμεῖ,
Ψαμάθην, ἐπειδὴ λέκτρ' ἀφῆκεν Αἰακοῦ.
τίκτει δὲ τέκνα δισσὰ τοῖσδε δώμασι,
Θεοκλύμενον ἄρσεν', ὅτι δὴ θεοὺς σέβων
βίον διήνεγκ', εὐγενῆ τε παρθένον
εἶδος τὸ μητρὸς ἀγλάϊσμ', ὅτ' ἦν βρέφος,
ἐπεὶ δ' ἐς ἥβην ἦλθεν ὡραίαν γάμων,
καλοῦσιν αὐτὴν Θεονόην· τὰ θεῖα γάρ,
τά τ' ὄντα καὶ μέλλοντα πάντ' ἠπίστατο,
προγόνου λαβοῦσα Νηρέως τιμὰς πάρα.
ἡμῖν δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος
Σπάρτη, πατὴρ δὲ Τυνδάρεως· ἔστιν δὲ δὴ
λόγος τις ὡς Ζεὺς μητέρ' ἔπτατ' εἰς ἐμὴν
Λήδαν, κύκνου μορφώματ' ὄρνιθος λαβών,
ὃς δόλιον εὐνὴν ἐξέπραξ' ὑπ' αἰετοῦ
δίωγμα φεύγων, εἰ σαφὴς οὗτος λόγος.
Ἑλένη δ' ἐκλήθην· ἃ δὲ πεπόνθαμεν κακὰ
λέγοιμ' ἄν. ἦλθον τρεῖς θεαὶ κάλλους πέρι
Ἰδαῖον ἐς κευθμῶν' Ἀλέξανδρον πάρα,
Ἥρα Κύπρις τε διογενής τε παρθένος,
μορφῆς θέλουσαι διαπεράνασθαι κρίσιν.
τοὐμὸν δὲ κάλλος, εἰ καλὸν τὸ δυστυχές,
Κύπρις προτείνασ' ὡς Ἀλέξανδρος γαμεῖ,
νικᾷ· λιπὼν δὲ βούσταθμ' Ἰδαῖος Πάρις
Σπάρτην ἀφίκεθ', ὡς ἐμὸν σχήσων λέχος.
Ἥρα δὲ μεμφθεῖσ' οὕνεκ' οὐ νικᾷ θεάς,
ἐξηνέμωσε τἄμ' Ἀλεξάνδρῳ λέχη,
δίδωσι δ' οὐκ ἔμ', ἀλλ' ὁμοιώσασ' ἐμοὶ
εἴδωλον ἔμπνουν οὐρανοῦ ξυνθεῖσ' ὕπο,
Πριάμου τυράννου παιδί· καὶ δοκεῖ μ' ἔχειν,
κενὴν δόκησιν, οὐκ ἔχων. τὰ δ' αὖ Διὸς
βουλεύματ' ἄλλα τοῖσδε συμβαίνει κακοῖς·
πόλεμον γὰρ εἰσήνεγκεν Ἑλλήνων χθονὶ
καὶ Φρυξὶ δυστήνοισιν, ὡς ὄχλου βροτῶν
πλήθους τε κουφίσειε μητέρα χθόνα,
γνωτόν τε θείη τὸν κράτιστον Ἑλλάδος.
Φρυγῶν δ' ἐς ἀλκὴν προὐτέθην, ἐγὼ μὲν οὔ,
τὸ δ' ὄνομα τοὐμόν, ἆθλον Ἕλλησιν δορός.
λαβὼν δέ μ' Ἑρμῆς ἐν πτυχαῖσιν αἰθέρος
νεφέλῃ καλύψας, οὐ γὰρ ἠμέλησέ μου
Ζεύς, τόνδ' ἐς οἶκον Πρωτέως ἱδρύσατο,
πάντων προκρίνας σωφρονέστατον βροτῶν,
ἀκέραιον ὡς σώσαιμι Μενέλεῳ λέχος.
κἀγὼ μὲν ἐνθάδ' εἴμ', ὁ δ' ἄθλιος πόσις
στράτευμ' ἀθροίσας τὰς ἐμὰς ἀναρπαγὰς
θηρᾷ, πορευθεὶς Ἰλίου πυργώματα.
ψυχαὶ δὲ πολλαὶ δι' ἔμ' ἐπὶ Σκαμανδρίοις
ῥοαῖσιν ἔθανον· ἡ δὲ πάντα τλᾶσ' ἐγὼ
κατάρατός εἰμι, καὶ δοκῶ προδοῦσ' ἐμὸν
πόσιν συνάψαι πόλεμον Ἕλλησιν μέγαν.
τί δῆτ' ἔτι ζῶ; θεοῦ τόδ' εἰσήκουσ' ἔπος
Ἑρμοῦ, τὸ κλεινὸν ἔτι κατοικήσειν πέδον
Σπάρτης σὺν ἀνδρί, γνόντος ὡς ἐς Ἴλιον
οὐκ ἦλθον, ἵνα μὴ λέκτρ' ὑποστρώσω τινί.
ἕως μὲν οὖν φῶς ἡλίου τόδ' ἔβλεπε
Πρωτεύς, ἄσυλος ἦν γάμων· ἐπεὶ δὲ γῆς
σκότῳ κέκρυπται, παῖς ὁ τοῦ τεθνηκότος
θηρᾷ γαμεῖν με. τὸν πάλαι δ' ἐμὸν πόσιν
τιμῶσα, Πρωτέως μνῆμα προσπίτνω τόδε
ἱκέτις, ἵν' ἀνδρὶ τἀμὰ διασώσῃ λέχη,
ὡς, εἰ καθ' Ἑλλάδ' ὄνομα δυσκλεὲς φέρω,
μή μοι τὸ σῶμά γ' ἐνθάδ' αἰσχύνην ὄφλῃ.

*ΤΕΥΚΡΟΣ.*

τίς τῶνδ' ἐρυμνῶν δωμάτων ἔχει κράτος;
Πλούτου γὰρ οἶκος ἄξιος προσεικάσαι,
βασίλειά τ' ἀμφιβλήματ' εὔθριγκοί θ' ἕδραι.
ἔα.
ὦ θεοί, τίν' εἶδον ὄψιν; ἐχθίστην ὁρῶ
γυναικὸς εἰκὼ φόνιον, ἥ μ' ἀπώλεσε
πάντας τ' Ἀχαιούς. θεοί σ', ὅσον μίμημ' ἔχεις
Ἑλένης, ἀποπτύσαιεν. εἰ δὲ μὴ 'ν ξένῃ
γαίᾳ πόδ' εἶχον, τῷδ' ἂν εὐστόχῳ πέτρῳ
ἀπόλαυσιν εἰκοῦς ἔθανες ἂν Διὸς κόρης.

*ΕΛΕΝΗ.*

τί δ', ὦ ταλαίπωρ', ὅστις ὤν μ' ἀπεστράφης,
καὶ ταῖς ἐκείνης συμφοραῖς ἐμὲ στυγεῖς;

*ΤΕΥΚΡΟΣ.*

ἥμαρτον· ὀργῇ δ' εἶξα μᾶλλον ἤ μ' ἐχρῆν·
μισεῖ γὰρ Ἑλλὰς πᾶσα τὴν Διὸς κόρην.
σύγγνωθι δ' ἡμῖν τοῖς λελεγμένοις, γύναι.

*ΕΛΕΝΗ.*

τίς δ' εἶ, πόθεν γῆς τῆσδ' ἐπεστράφης πέδον;

*ΤΕΥΚΡΟΣ.*

εἷς τῶν Ἀχαιῶν, ὦ γύναι, τῶν ἀθλίων.

*ΕΛΕΝΗ.*

οὔ τἄρα σ' Ἑλένην εἰ στυγεῖς θαυμαστέον.
ἀτὰρ τίς εἶ, πόθεν, τίνος, ἐξαυδᾶν σε χρή.

*ΤΕΥΚΡΟΣ.*

ὄνομα μὲν ἡμῖν Τεῦκρος, ὁ δὲ φύσας πατὴρ
Τελαμών, Σαλαμὶς δὲ πατρὶς ἡ θρέψασά με.

*ΕΛΕΝΗ.*

τί δῆτα Νείλου τάσδ' ἐπιστρέφει γύας;

*ΤΕΥΚΡΟΣ.*

φυγὰς πατρῴας ἐξελήλαμαι χθονός.

*ΕΛΕΝΗ.*

τλήμων ἂν εἴης· τίς δέ σ' ἐκβάλλει πάτρας;

ΤΕΥΚΡΟΣ.
Τελαμὼν ὁ φύσας. τίν' ἂν ἔχοις μᾶλλον φίλον;
ΕΛΕΝΗ.
ἐκ τοῦ; τὸ γάρ τοι πρᾶγμα συμφορὰν ἔχει.
ΤΕΥΚΡΟΣ.
Αἴας μ' ἀδελφὸς ὤλεσ' ἐν Τροίᾳ θανών.
ΕΛΕΝΗ.
πῶς; οὔ τί που σῷ φασγάνῳ βίον στερείς;
ΤΕΥΚΡΟΣ.
οἰκεῖον αὑτὸν ὤλεσ' ἅλμ' ἐπὶ ξίφος.
ΕΛΕΝΗ.
μανέντ'; ἐπεὶ τίς σωφρονῶν τλαίη τάδ' ἄν;
ΤΕΥΚΡΟΣ.
τὸν Πηλέως τιν' οἶσθ' Ἀχιλλέα γόνον;
ΕΛΕΝΗ.
μνηστὴρ ποθ' Ἑλένης ἦλθεν, ὡς ἀκούομεν.
ΤΕΥΚΡΟΣ.
θανὼν ὅδ' ὅπλων ἔριν ἔθηκε συμμάχοις.
ΕΛΕΝΗ.
καὶ δὴ τί τοῦτ' Αἴαντι γίγνεται κακόν;
ΤΕΥΚΡΟΣ.
ἄλλου λαβόντος ὅπλ' ἀπηλλάχθη βίου.
ΕΛΕΝΗ.
σὺ τοῖς ἐκείνου δῆτα πήμασιν νοσεῖς;
ΤΕΥΚΡΟΣ.
ὁθούνεκ' αὐτῷ γ' οὐ ξυνωλόμην ὁμοῦ.
ΕΛΕΝΗ.
ἦλθες γάρ, ὦ ξέν', Ἰλίου κλεινὴν πόλιν;
ΤΕΥΚΡΟΣ.
καὶ ξύν γε πέρσας αὐτὸς ἀνταπωλόμην.
ΕΛΕΝΗ.
ἤδη γὰρ ἧπται καὶ κατείργασται πυρί;
ΤΕΥΚΡΟΣ.
ὥστ' οὐδ' ἴχνος γε τειχέων εἶναι σαφές.
ΕΛΕΝΗ.
ὦ τλῆμον Ἑλένη, διὰ σ' ἀπόλλυνται Φρύγες.
ΤΕΥΚΡΟΣ.
καὶ πρός γ' Ἀχαιοί· μεγάλα δ' εἴργασται κακά.
ΕΛΕΝΗ.
πόσον χρόνον γὰρ διαπεπόρθηται πόλις;
ΤΕΥΚΡΟΣ.
ἑπτὰ σχεδόν τι καρπίμους ἐτῶν κύκλους.
ΕΛΕΝΗ.
χρόνον δ' ἐμείνατ' ἄλλον ἐν Τροίᾳ πόσον;
ΤΕΥΚΡΟΣ.
πολλὰς σελήνας, δέκα διελθούσας ἔτη.
ΕΛΕΝΗ.
ἦ καὶ γυναῖκα Σπαρτιᾶτιν εἵλετε;
ΤΕΥΚΡΟΣ.
Μενέλαος αὐτὴν ἦγ' ἐπισπάσας κόμης.
ΕΛΕΝΗ.
εἶδες σὺ τὴν δύστηνον; ἢ κλύων λέγεις;
ΤΕΥΚΡΟΣ.
ὥσπερ σέ γ', οὐδὲν ἧσσον, ὀφθαλμοῖς ὁρῶ.
ΕΛΕΝΗ.
σκοπεῖτε μὴ δόκησιν εἴχετ' ἐκ θεῶν.
ΤΕΥΚΡΟΣ.
ἄλλου λόγου μέμνησο, μὴ κείνης ἔτι.
ΕΛΕΝΗ.
οὕτω δοκεῖτε τὴν δόκησιν ἀσφαλῆ;
ΤΕΥΚΡΟΣ.
αὐτὸς γὰρ ὄσσοις εἰδόμην καὶ νοῦς ὁρᾷ.
ΕΛΕΝΗ.
ἤδη δ' ἐν οἴκοις σὺν δάμαρτι Μενέλεως;
ΤΕΥΚΡΟΣ.
οὔκουν ἐν Ἄργει, οὐδ' ἐπ' Εὐρώτα ῥοαῖς.
ΕΛΕΝΗ.
αἰαῖ. κακὸν τόδ' εἶπας οἷς κακὸν λέγεις.
ΤΕΥΚΡΟΣ.
ὡς κεῖνος ἀφανὴς σὺν δάμαρτι κλῄζεται.
ΕΛΕΝΗ.
οὐ πᾶσι πορθμὸς αὑτὸς Ἀργείοισιν ἦν;
ΤΕΥΚΡΟΣ.
ἦν, ἀλλὰ χειμὼν ἄλλοσ' ἄλλον ὥρισεν.
ΕΛΕΝΗ.
ποίοισιν ἐν νώτοισι ποντίας ἁλός;
ΤΕΥΚΡΟΣ.
μέσον περῶσι πέλαγος Αἰγαίου πόρου.
ΕΛΕΝΗ.
κἀκ τοῦδε Μενέλεων οὔτις οἶδ' ἀφιγμένον;
ΤΕΥΚΡΟΣ.
οὐδείς· θανὼν δὲ κλῄζεται καθ' Ἑλλάδα.
ΕΛΕΝΗ.
ἀπωλόμεσθα· Θεστιὰς δ' ἔστιν κόρη;
ΤΕΥΚΡΟΣ.
Λήδαν ἔλεξας; οἴχεται θανοῦσα δή.
ΕΛΕΝΗ.
ἦ πού νιν Ἑλένης αἰσχρὸν ὤλεσεν κλέος;
ΤΕΥΚΡΟΣ.
φασίν, βρόχῳ γ' ἅψασαν εὐγενῆ δέρην.
ΕΛΕΝΗ.
οἱ Τυνδάρειοι δ' εἰσὶν ἢ οὐκ εἰσὶν κόροι;
ΤΕΥΚΡΟΣ.
τεθνᾶσι κοὐ τεθνᾶσι· δύο δ' ἐστὸν λόγω.
ΕΛΕΝΗ.
πότερος ὁ κρείσσων; ὦ τάλαιν' ἐγὼ κακῶν.
ΤΕΥΚΡΟΣ.
ἄστροις σφ' ὁμοιωθέντε φάσ' εἶναι θεώ.
ΕΛΕΝΗ.
καλῶς ἔλεξας τοῦτο· θάτερον δὲ τί;
ΤΕΥΚΡΟΣ.
σφαγαῖς ἀδελφῆς οὕνεκ' ἐκπνεῦσαι βίον.
ἅλις δὲ μύθων· οὐ διπλᾶ χρῄζω στένειν.
ὧν δ' οὕνεκ' ἦλθον τούσδε βασιλείους δόμους,
τὴν θεσπιῳδὸν Θεονόην χρῄζων ἰδεῖν,
συμπροξένησον, ὡς τύχω μαντευμάτων
ὅπῃ νεὼς στείλαιμ' ἂν οὔριον πτερὸν
ἐς γῆν ἐναλίαν Κύπρον, οὗ μ' ἐθέσπισεν
οἰκεῖν Ἀπόλλων, ὄνομα νησιωτικὸν
Σαλαμῖνα θέμενον τῆς ἐκεῖ χάριν πάτρας.
ΕΛΕΝΗ.
πλοῦς, ὦ ξέν', αὐτὸς σημανεῖ· σὺ δ' ἐκλιπὼν
γῆν τήνδε φεῦγε, πρίν σε παῖδα Πρωτέως
ἰδεῖν, ὃς ἄρχει τῆσδε γῆς· ἄπεστι δὲ
κυσὶν πεποιθὼς ἐν φοναῖς θηροκτόνοις·
κτείνει γὰρ Ἕλλην' ὄντιν' ἂν λάβῃ ξένον.
ὅτου δ' ἕκατι, μήτε σὺ ζήτει μαθεῖν
ἐγώ τε σιγῶ· τί γὰρ ἂν ὠφελοῖμί σε;
ΤΕΥΚΡΟΣ.
καλῶς ἔλεξας, ὦ γύναι. θεοὶ δέ σοι

ἐσθλῶν ἀμοιβὰς ἀντιδωρησαίατο.
Ἑλένη δ' ὅμοιον σῶμ' ἔχουσ' οὐ τὰς φρένας
ἔχεις ὁμοίας, ἀλλὰ διαφόρους πολύ.
κακῶς δ' ὄλοιτο, μηδ' ἐπ' Εὐρώτα ῥοὰς
ἔλθοι· σὺ δ' εἴης εὐτυχὴς ἀεὶ, γύναι.

ΕΛΕΝΗ.

ὦ μεγάλων ἀχέων καταβαλλομένα μέγαν οἶκτον,
ποῖον ἁμιλλαθῶ γόον; ἢ τίνα μοῦσαν ἐπέλθω,
δάκρυσιν, ἢ θρήνοις, ἢ πένθεσιν;
ἒ ἔ.
πτεροφόροι νεάνιδες,
παρθένοι, Χθονὸς κόραι,
Σειρῆνες, εἴθ' ἐμοῖς γόοις
μόλοιτ' ἔχουσαι τὸν Λίβυν
λωτὸν ἢ σύριγγας, αἰλίνοις κακοῖς
τοῖς ἐμοῖσι σύνοχα δάκρυα,
πάθεσι πάθεα, μέλεσι μέλεα,
μουσεῖά τε θρηνήμασι ξυνῳδὰ
πέμψειε Φερσέφασσα
φόνια φόνια, χάριτας ἵν' ἐπὶ δάκρυσι
παρ' ἐμέθεν ὑπὸ μέλαθρα νύχια
νέκυσιν ὀλομένοις λάβῃ.

ΧΟΡΟΣ.

κυανοειδὲς ἀμφ' ὕδωρ
ἔτυχον ἕλικά τ' ἀνὰ χλόαν
φοίνικας ἁλίου πέπλους
αὐγαῖσιν ἐν ταῖς χρυσέαις
ἀμφιθάλπουσ' ἔν τε δόνακος ἔρνεσιν·
ἔνθεν οἰκτρὸν ἀνεβόασεν,
ὅμαδον ἔκλυον, ἄλυρον ἔλεγον,
ὅ τι ποτ' ἔλακεν αἰάγμασι στένουσα,
Νύμφα τις οἷα Ναῒς
ὄρεσι φυγάδα νόμον ἱεῖσα γοερὸν,
ὑπὸ δὲ πέτρινα μύχατα γύαλα
Πανὸς ἀναβοᾷ γάμους.

ΕΛΕΝΗ.

ἰὼ ἰώ.
θήραμα βαρβάρου πλάτας,
Ἑλλανίδες κόραι,
ναύτας Ἀχαιῶν τις ἔμολεν ἔμολε,
δάκρυα δάκρυσί μοι φέρων,
Ἰλίου κατασκαφὰν
πυρὶ μέλουσαν δαΐῳ
δι' ἐμὲ τὰν πολυκτόνον,
δι' ἐμὸν ὄνομα πολύπονον.
Λήδα δ' ἐν ἀγχόναις
θάνατον ἔλαβεν
αἰσχύνας ἐμᾶς ὑπ' ἀλγέων.
ὁ δ' ἐμὸς ἐν ἁλὶ πολυπλανὴς
πόσις ὀλόμενος οἴχεται,
Κάστορός τε συγγόνου τε
διδυμογενὲς ἄγαλμα πατρίδος
ἀφανὲς ἀφανὲς ἱππόκροτα λέλοιπε δάπεδα
γυμνάσιά τε δονακόεντος
Εὐρώτα, νεανίαν πόνον.

ΧΟΡΟΣ.

αἰαῖ αἰαῖ.
ὦ δαίμονος πολυστόνου
μοίρας τε σᾶς, γύναι.
αἰὼν δυσαίων τις ἔλαχεν ἔλαχεν,
ὅτε σε τέκετο ματρόθεν
Ζεὺς πρέπων δι' αἰθέρος
χιονόχρως κύκνου πτερῷ·
τί γὰρ ἄπεστί σοι κακῶν;
τίνα δὲ βίοτον οὐκ ἔτλας;
μάτηρ μὲν οἴχεται,
δίδυμά τε Διὸς
οὐκ εὐδαιμονεῖ τέκεα φίλα,
χθόνα δὲ πάτριον οὐχ ὁρᾷς,
διὰ δὲ πόλεας ἔρχεται
βάξις, ἅ σε βαρβάροισι
λέχεσι, πότνια, παραδίδωσιν,
ὁ δὲ σὸς ἐν ἁλὶ κύμασί τε λέλοιπε βίοτον,
οὐδέ ποτ' ἔτι πάτρια μέλαθρα
καὶ τὰν Χαλκίοικον ὀλβιεῖς.

ΕΛΕΝΗ.

φεῦ φεῦ, τίς ἦν Φρυγῶν;
ἢ τίς Ἑλλανίας ἀπὸ χθονὸς
ἔτεμε τὰν δακρυόεσσαν Ἰλίῳ
πεύκαν; ἔνθεν ὀλόμενον
σκάφος συναρμόσας
ὁ Πριαμίδας ἔπλευσε βαρβάρῳ πλάτᾳ
τὰν ἐμὰν ἐφ' ἑστίαν,
ἐπὶ τὸ δυστυχὲς
κάλλος, ὡς ἕλοι γάμον ἐμόν.
ἁ δὲ δόλιος ἁ πολυκτόνος Κύπρις
Δαναΐδαις ἄγουσα θάνατον Πριαμίδαις τε.
ὦ τάλαινα συμφορᾶς.
ἡ δὲ χρυσέοις θρόνοις
Διὸς ὑπαγκάλισμα σεμνὸν [Ἥρα]
τὸν ὠκύπουν ἔπεμψε Μαιάδος γόνον,
ὅς με χλοερὰ δρεπομέναν ἔσω πέπλων
ῥόδεα πέταλα, χαλκίοικον ὡς Ἀθάναν
μόλοιμ', ἀναρπάσας δι' αἰθέρος
τάνδε γαῖαν εἰς ἄνολβον
ἔριν ἔριν τάλαιναν ἔθετο
Πριαμίδαισιν Ἑλλάδος.
τὸ δ' ἐμὸν ὄνομα παρὰ Σιμουντίοις ῥοαῖσι
ματάδιον ἔχει φάτιν.

ΧΟΡΟΣ.

ἔχεις μὲν ἀλγείν', οἶδα· συμφέρον δέ σοι
ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν.

ΕΛΕΝΗ.

φίλαι γυναῖκες, τίνι πότμῳ συνεζύγην;
ἆρ' ἡ τεκοῦσά μ' ἔτεκεν ἀνθρώποις τέρας;
γυνὴ γὰρ οὔθ' Ἑλληνὶς οὔτε βάρβαρος
τεῦχος νεοσσῶν λευκὸν ἐκλοχεύεται,
ἐν ᾧ με Λήδαν φασὶν ἐκ Διὸς τεκεῖν.
τέρας γὰρ ὁ βίος καὶ τὰ πράγματ' ἐστί μοι,
τὰ μὲν δι' Ἥραν, τὰ δὲ τὸ κάλλος αἴτιον.
εἴθ' ἐξαλειφθεῖσ', ὡς ἄγαλμ', αὖθις πάλιν
αἴσχιον εἶδος ἔλαβον ἀντὶ τοῦ καλοῦ,
καὶ τὰς τύχας μὲν τὰς κακὰς, ἃς νῦν ἔχω,
Ἕλληνες ἐπελάθοντο, τὰς δὲ μὴ κακὰς
ἔσωζον ὥσπερ τὰς κακὰς σώζουσί μου.
ὅστις μὲν οὖν ἐς μίαν ἀποβλέπων τύχην
πρὸς θεῶν κακοῦται, βαρὺ μὲν, οἰστέον δ' ὅμως·
ἡμεῖς δὲ πολλαῖς συμφοραῖς ἐγκείμεθα.

167—178. = 179—190.
191—209. = 210—228.

πρῶτον μὲν οὐκ οὖσ' ἄδικός εἰμι δυσκλεής,
καὶ τοῦτο μεῖζον τῆς ἀληθείας κακὸν,
ὅστις τὰ μὴ προσόντα κέκτηται κακά.
ἔπειτα πατρίδος θεοί μ' ἀφιδρύσαντο γῆς
ἐς βάρβαρ' ἤθη, καὶ φίλων τητωμένη
δούλη καθέστηκ', οὖσ' ἐλευθέρων ἄπο·
τὰ βαρβάρων γὰρ δοῦλα πάντα πλὴν ἑνός.
ἄγκυρα δή μου τὰς τύχας ὀχεῖ μόνη,
πόσιν ποθ' ἥξειν καί μ' ἀπαλλάξειν κακῶν·
οὗτος τέθνηκεν, οὗτος οὐκέτ' ἔστι δή.
μήτηρ δ' ὄλωλε, καὶ φονεὺς αὐτῆς ἐγὼ
ἀδίκως μὲν, ἀλλὰ τἄδικον τοῦτ' ἔστ' ἐμόν·
ὃ δ' ἀγλάϊσμα δωμάτων ἐμοῦ τ' ἔφυ,
θυγάτηρ ἄνανδρος πολιὰ παρθενεύεται·
τὼ τοῦ Διὸς δὲ λεγομένω Διοσκόρω
οὐκ ἐστόν. ἀλλὰ πάντ' ἔχουσα δυστυχῆ
τοῖς πράγμασιν τέθνηκα, τοῖς δ' ἔργοισιν οὔ.
τὸ δ' ἔσχατον τοῦτ', εἰ μόλοιμεν ἐς πάτραν,
κλήθροις ἂν εἰργοίμεσθα, τὴν ὑπ' Ἰλίῳ
δοκοῦντες Ἑλένην Μενέλεώ μ' ἐλθεῖν μέτα.
εἰ μὲν γὰρ ἔζη πόσις, ἀνεγνώσθημεν ἂν
ἐς ξύμβολ' ἐλθόντες, ἃ φανερὰ μόνοις ἂν ἦν.
νῦν δ' οὔτε τοῦτ' ἔστ' οὔτε μὴ σωθῇ ποτε.
τί δῆτ' ἔτι ζῶ; τίν' ὑπολείπομαι τύχην;
γάμους ἑλομένη τῶν κακῶν ἀπαλλαγὰς,
μετ' ἀνδρὸς οἰκεῖν βαρβάρου, πρὸς πλουσίαν
τράπεζαν ἵζουσ'; ἀλλ' ὅταν πόσις πικρὸς
ξυνῇ γυναικὶ, καὶ τὸ σώζεσθαι πικρόν.
θανεῖν κράτιστον· πῶς θάνοιμ' ἂν οὖν καλῶς;
ἀσχήμονες μὲν ἀγχόναι μετάρσιοι,
κἀν τοῖσι δούλοις δυσπρεπὲς νομίζεται,
σφαγαὶ δ' ἔχουσιν εὐγενές τι καὶ καλὸν,
σμικρὸν δ' ὁ καιρὸς κάρτ' ἀπαλλάξαι βίου.
ἐς γὰρ τοσοῦτον ἤλθομεν βάθος κακῶν·
αἱ μὲν γὰρ ἄλλαι διὰ τὸ κάλλος εὐτυχεῖς
γυναῖκες, ἡμᾶς δ' αὐτὸ τοῦτ' ἀπώλεσεν.

ΧΟΡΟΣ.

Ἑλένη, τὸν ἐλθόνθ', ὅστις ἐστὶν ὁ ξένος,
μὴ πάντ' ἀληθῆ δοξάσῃς εἰρηκέναι.

ΕΛΕΝΗ.

καὶ μὴν σαφῶς γ' ἔλεξ' ὀλωλέναι πόσιν.

ΧΟΡΟΣ.

πόλλ' ἂν γένοιτο καὶ διὰ ψευδῶν ἔπη.

ΕΛΕΝΗ.

καὶ τἄμπαλίν γε τῶνδ' ἀληθείας σαφῆ.

ΧΟΡΟΣ.

ἐς συμφορὰν γὰρ ἀντὶ τἀγαθοῦ φέρει.

ΕΛΕΝΗ.

φόβος γὰρ ἐς τὸ δεῖμα περιβαλών μ' ἄγει.

ΧΟΡΟΣ.

πῶς δ' εὐμενείας τοισίδ' ἐν δόμοις ἔχεις;

ΕΛΕΝΗ.

πάντες φίλοι μοι πλὴν ὁ θηρεύων γάμους.

ΧΟΡΟΣ.

οἶσθ' οὖν ὃ δρᾶσον; μνήματος λιποῦσ' ἕδραν,

ΕΛΕΝΗ.

ἐς ποῖον ἕρπεις μῦθον ἢ παραίνεσιν;

ΧΟΡΟΣ.

ἐλθοῦσ' ἐς οἴκους, ἣ τὰ πάντ' ἐπίσταται,
τῆς ποντίας Νηρῇδος ἐκγόνου κόρης,
πυθοῦ πόσιν σὸν Θεονόης εἴτ' ἔστ' ἔτι
εἴτ' ἐκλέλοιπε φέγγος· ἐκμαθοῦσα δ' εὖ,
πρὸς τὰς τύχας τὸ χάρμα τοὺς γόους τ' ἔχε.
πρὶν δ' οὐδὲν ὀρθῶς εἰδέναι, τί σοι πλέον
λυπουμένῃ γένοιτ' ἄν; ἀλλ' ἐμοὶ πιθοῦ·
τάφον λιποῦσα τόνδε σύμμιξον κόρῃ,
ὅθενπερ εἴσει πάντα. τἀληθῆ φράσαι
ἔχουσ' ἐν οἴκοις τοῖσδε, τί βλέπεις πρόσω;
θέλω δὲ κἀγὼ σοὶ συνεισελθεῖν δόμους,
καὶ συμπυθέσθαι παρθένου θεσπίσματα·
γυναῖκα γὰρ δὴ συμπονεῖν γυναικὶ χρή.

ΕΛΕΝΗ.

φίλαι, λόγους ἐδεξάμαν.
βᾶτε βᾶτε δ' εἰς δόμους,
ἀγῶνας ἐντὸς οἴκων
ὡς πύθησθε τοὺς ἐμούς.

ΧΟΡΟΣ.

θέλουσαν οὐ μόλις καλεῖς.

ΕΛΕΝΗ.

ἰὼ μέλεος ἁμέρα.
τίν' ἄρα τάλαινα τίνα δακρυό-
εντα λόγον ἀκούσομαι;

ΧΟΡΟΣ.

μὴ πρόμαντις ἀλγέων
προλάμβαν', ὦ φίλα, γόους.

ΕΛΕΝΗ.

τί μοι πόσις μέλεος ἔτλα;
πότερα δέρκεται φάος
τέθριππά τ' ἀελίου
ἐς κέλευθά τ' ἀστέρων,
ἢ 'ν νέκυσι κατὰ χθονὸς
τὰν χθόνιον ἔχει τύχαν;

ΧΟΡΟΣ.

εἰς τὸ φέρτερον τίθει
τὸ μέλλον, ὅ τι γενήσεται.

ΕΛΕΝΗ.

σὲ γὰρ ἐκάλεσα, σὲ δὲ κατόμοσα,
τὸν ὑδρόεντα δόνακι χλωρὸν
Εὐρώταν, θανόντος εἰ βάξις
ἔτυμος ἀνδρὸς ἅδε μοι.

ΧΟΡΟΣ.

τί τάδ' ἀσύνετα;

ΕΛΕΝΗ.

φόνιον αἰώρημα
διὰ δέρης ὀρέξομαι,
ἢ ξιφοκτόνον δίωγμα
λαιμορύτου σφαγᾶς
αὐτοσίδαρον ἔσω πελάσω διὰ σαρκὸς ἅμιλλαν,
θῦμα τριζύγοις θεαῖσι
τῷ τε σύριγγ' ἀν' Ἴδᾳ σεβί-
ζοντι Πριαμίδᾳ ποτ' ἀμφὶ βουστάθμους.

ΧΟΡΟΣ.

ἄλλοσ' ἀποτροπὰ κακῶν
γένοιτο, τὸ δὲ σὸν εὐτυχές.

ΕΛΕΝΗ.

ἰὼ Τροία τάλαινα
δι' ἔργ' ἄνεργ' ὄλλυσαι, μέλεά τ' ἔτλας·
τὰ δ' ἐμὰ δῶρα Κύπρις ἔτεκε
πολὺ μὲν αἷμα, πολὺ δὲ δάκρυον, ἄχεά τ' ἄχ

δάκρυα δάκρυσιν ἔλαβε πάθεα,
ματέρες τε παῖδας ὤλεσαν,
ἀπὸ δὲ παρθένοι κόμας
ἔθεντο σύγγονοι νεκρῶν, Σκαμάνδριον
ἀμφὶ Φρύγιον οἶδμα.
βοὰν βοὰν δ' Ἑλλὰς
κελάδησε κἀνωτότυξεν,
ἐπὶ δὲ κρατὶ χέρας ἔθηκεν,
ὄνυχι δ' ἁπαλόχροα γένυν
ἔδευσε φονίαισι πλαγαῖς.
ὦ μάκαρ Ἀρκαδίᾳ ποτὲ παρθένε Καλλιστοῖ, Διὸς
ἃ λεχέων ἐπέβας τετραβάμοσι γυίοις,
ὡς πολὺ ματρὸς ἐμᾶς ἔλαχες πλέον,
ἃ μορφᾷ θηρῶν λαχνογυίων
ὄμματι λάβρῳ σχῆμα λεαίνης
ἐξαλλάξασ' ἄχεα λύπης·
ἅν τέ ποτ' Ἄρτεμις ἐξεχορεύσατο,
χρυσοκέρατ' ἔλαφον, Μέροπος Τιτανίδα κούραν
καλλοσύνας ἕνεκεν· τὸ δ' ἐμὸν δέμας
ὤλεσεν ὤλεσε Πέργαμα Δαρδανίας
ὀλομένους τ' Ἀχαιούς.

ΜΕΝΕΛΑΟΣ.

ὦ τὰς τεθρίππους Οἰνομάῳ Πῖσαν κάτα
Πέλοψ ἁμίλλας ἐξαμιλληθείς ποτε,
εἴθ' ὤφελες τόθ', ἡνίκ' ἔρανον ἐς θεοὺς
πεισθεὶς ἐποίεις, ἐν θεοῖς λιπεῖν βίον,
πρὶν τὸν ἐμὸν Ἀτρέα πατέρα γεννῆσαί ποτε,
ὃς ἐξέφυσεν Ἀερόπης λέκτρων ἄπο
Ἀγαμέμνον' ἐμέ τε Μενέλεων, κλεινὸν ζυγόν·
πλεῖστον γὰρ οἶμαι, καὶ τόδ' οὐ κόμπῳ λέγω,
στράτευμα κώπῃ διορίσαι Τροίαν ἔπι
τύραννος, οὐδὲν πρὸς βίαν στρατηλατῶν,
ἑκοῦσι δ' ἄρξας Ἑλλάδος νεανίαις.
καὶ τοὺς μὲν οὐκέτ' ὄντας ἀριθμῆσαι πάρα,
τοὺς δ' ἐκ θαλάσσης ἀσμένως πεφευγότας,
νεκρῶν φέροντας ὀνόματ' εἰς οἴκους πάλιν.
ἐγὼ δ' ἐπ' οἶδμα πόντιον γλαυκῆς ἁλὸς
τλήμων ἀλῶμαι χρόνον ὅσονπερ Ἰλίου
πύργους ἔπερσα, κεἰς πάτραν χρῄζων μολεῖν,
οὐκ ἀξιοῦμαι τοῦδε πρὸς θεῶν τυχεῖν.
Λιβύης τ' ἐρήμους ἀξένους τ' ἐπιδρομὰς
πέπλευκα πάσας· χὤταν ἐγγὺς ὦ πάτρας,
πάλιν μ' ἀπωθεῖ πνεῦμα, κοὔποτ' οὔριον
εἰσῆλθε λαῖφος, ὥστε μ' ἐς πάτραν μολεῖν.
καὶ νῦν τάλας ναυαγὸς, ἀπολέσας φίλους,
ἐξέπεσον ἐς γῆν τήνδε· ναῦς δὲ πρὸς πέτρας
πολλοὺς ἀριθμοὺς ἄγνυται ναυαγίων.
τρόπις δ' ἐλείφθη ποικίλων ἁρμοσμάτων,
ἐφ' ἧς ἐσώθην μόλις ἀνελπίστῳ τύχῃ
Ἑλένη τε, Τροίας ἣν ἀποσπάσας ἔχω.
ὄνομα δὲ χώρας, ἥτις ἥδε καὶ λεὼς,
οὐκ οἶδ'· ὄχλον γὰρ ἐσπεσεῖν ᾐσχυνόμην,
ὥσθ' ἱστορῆσαι τὰς ἐμὰς δυσχλαινίας,
κρύπτων ὑπ' αἰδοῦς τὰς τύχας. ὅταν δ' ἀνὴρ
πράξῃ καλῶς ὑψηλὸς, εἰς ἀηθίαν
πίπτει κακίω τοῦ πάλαι δυσδαίμονος.
χρεία δὲ τείρει μ'· οὔτε γὰρ σῖτος πάρα
οὔτ' ἀμφὶ χρῶτ' ἐσθῆτες· αὐτὰ δ' εἰκάσαι
πάρεστι· ναὸς ἐκβόλοις ἀμπίσχομαι.
πέπλους δὲ τοὺς πρὶν λαμπρά τ' ἀμφιβλήματα
χλιδάς τε πόντος ἥρπασ'· ἐν δ' ἄντρου μυχοῖς
κρύψας γυναῖκα τὴν κακῶν πάντων ἐμοὶ
ἄρξασαν ἥκω, τούς γε περιλελειμμένους
φίλων φυλάσσειν τἄμ' ἀναγκάσας λέχη.
μόνος δὲ νοστῶ, τοῖς ἐκεῖ ζητῶν φίλοις
τὰ πρόσφορ' ἤν πως ἐξερευνήσας λάβω.
ἰδὼν δὲ δῶμα περιφερὲς θριγκοῖς τόδε
πύλας τε σεμνὰς ἀνδρὸς ὀλβίου τινὸς,
προσῆλθον· ἐλπὶς δ' ἔκ γε πλουσίων δόμων
λαβεῖν τι ναύταις, ἐκ δὲ μὴ 'χόντων βίον,
οὐδ' εἰ θέλοιεν, ὠφελεῖν ἔχοιεν ἄν.
ὠή· τίς ἂν πυλωρὸς ἐκ δόμων μόλοι,
ὅστις διαγγείλειε τἄμ' εἴσω κακά;

ΓΡΑΥΣ.

τίς πρὸς πύλαισιν; οὐκ ἀπαλλάξει δόμων,
καὶ μὴ πρὸς αὐλείοισιν ἑστηκὼς πύλαις
ὄχλον παρέξεις δεσπόταις; ἢ κατθανεῖ
Ἕλλην πεφυκὼς, οἷσιν οὐκ ἐπιστροφαί.

ΜΕΝΕΛΑΟΣ.

ὦ γραῖα, ταῦτα πάντ' ἔπη καλῶς λέγεις.
ἔξεστι· πείσομαι γάρ· ἀλλ' ἄνες λόγον.

ΓΡΑΥΣ.

ἄπελθ'· ἐμοὶ γὰρ τοῦτο πρόσκειται, ξένε,
μηδένα πελάζειν τοισίδ' Ἑλλήνων δόμοις.

ΜΕΝΕΛΑΟΣ.

ἆ, μὴ πρόσειε χεῖρα, μηδ' ὤθει βίᾳ.

ΓΡΑΥΣ.

πείθει γὰρ οὐδὲν ὧν λέγω· σὺ δ' αἴτιος.

ΜΕΝΕΛΑΟΣ.

ἄγγειλον εἴσω δεσπόταισι τοῖσι σοῖς.

ΓΡΑΥΣ.

πικρῶς ἂν οἶμαί γ' ἀγγελεῖν τοὺς σοὺς λόγους.

ΜΕΝΕΛΑΟΣ.

ναυαγὸς ἥκω, ξένος, ἀσύλητον γένος.

ΓΡΑΥΣ.

οἶκον πρὸς ἄλλον νύν τιν' ἀντὶ τοῦδ' ἴθι.

ΜΕΝΕΛΑΟΣ.

οὐκ, ἀλλ' ἔσω πάρειμι· καὶ σύ μοι πιθοῦ.

ΓΡΑΥΣ.

ὀχληρὸς ἴσθ' ὤν· καὶ τάχ' ὠσθήσει βίᾳ.

ΜΕΝΕΛΑΟΣ.

αἰαῖ· τὰ κλεινὰ ποῦ 'στί μοι στρατεύματα;

ΓΡΑΥΣ.

οὐκοῦν ἐκεῖ που σεμνὸς ἦσθ', οὐκ ἐνθάδε.

ΜΕΝΕΛΑΟΣ.

ὦ δαῖμον, ὡς ἀνάξι' ἠτιμώμεθα.

ΓΡΑΥΣ.

τί βλέφαρα τέγγεις δάκρυσι; πρὸς τίν' οἰκτρὸς εἶ;

ΜΕΝΕΛΑΟΣ.

πρὸς τὰς πάροιθε συμφορὰς εὐδαίμονας.

ΓΡΑΥΣ.

οὔκουν ἀπελθὼν δάκρυα σοῖς δώσεις φίλοις;

ΜΕΝΕΛΑΟΣ.

τίς δ' ἥδε χώρα; τοῦ δὲ βασίλειοι δόμοι;

ΓΡΑΥΣ.

Πρωτεὺς τάδ' οἰκεῖ δώματ', Αἴγυπτος δὲ γῆ.

ΜΕΝΕΛΑΟΣ.

Αἴγυπτος; ὦ δύστηνος, οἷ πέπλευκ' ἄρα.

ΓΡΑΥΣ.

τί δὴ τὸ Νείλου μεμπτόν ἐστί σοι γένος;

ΜΕΝΕΛΑΟΣ.
οὐ τοῦτ' ἐμέμφθην· τὰς ἐμὰς στένω τύχας.
ΓΡΑΥΣ.
πολλοὶ κακῶς πράσσουσιν, οὐ σὺ δὴ μόνος.
ΜΕΝΕΛΑΟΣ.
ἔστ' οὖν ἐν οἴκοις ὅντιν' ὀνομάζεις ἄναξ;
ΓΡΑΥΣ.
τόδ' ἔστιν αὐτοῦ μνῆμα, παῖς δ' ἄρχει χθονός.
ΜΕΝΕΛΑΟΣ.
ποῦ δῆτ' ἂν εἴη; πότερον ἐκτὸς ἢ 'ν δόμοις;
ΓΡΑΥΣ.
οὐκ ἔνδον· Ἕλλησιν δὲ πολεμιώτατος.
ΜΕΝΕΛΑΟΣ.
τίν' αἰτίαν σχὼν ἧς ἐπηυρόμην ἐγώ;
ΓΡΑΥΣ.
Ἑλένη κατ' οἴκους ἐστὶ τούσδ' ἡ τοῦ Διός.
ΜΕΝΕΛΑΟΣ.
πῶς φῄς; τίν' εἶπας μῦθον; αὖθίς μοι φράσον.
ΓΡΑΥΣ.
ἡ Τυνδαρὶς παῖς, ἣ κατὰ Σπάρτην ποτ' ἦν.
ΜΕΝΕΛΑΟΣ.
πόθεν μολοῦσα; τίνα τὸ πρᾶγμ' ἔχει λόγον;
ΓΡΑΥΣ.
Λακεδαίμονος γῆς δεῦρο νοστήσασ' ἄπο.
ΜΕΝΕΛΑΟΣ.
πότ'; οὔ τί που λελήσμεθ' ἐξ ἄντρων λέχος;
ΓΡΑΥΣ.
πρὶν τοὺς Ἀχαιοὺς, ὦ ξέν', ἐς Τροίαν μολεῖν.
ἀλλ' ἕρπ' ἀπ' οἴκων· ἔστι γάρ τις ἐν δόμοις
τύχη, τύραννος ᾗ ταράσσεται δόμος.
καιρὸν γὰρ οὐδέν' ἦλθες· ἢν δὲ δεσπότης
λάβῃ σε, θάνατος ξένιά σοι γενήσεται.
εὔνους γάρ εἰμ' Ἕλλησιν, οὐχ ὅσον πικροὺς
λόγους ἔδωκα δεσπότην φοβουμένη.
ΜΕΝΕΛΑΟΣ.
τί φῶ; τί λέξω; συμφορὰς γὰρ ἀθλίας
ἐκ τῶν πάροιθε τὰς παρεστώσας κλύω,
εἰ τὴν μὲν αἱρεθεῖσαν ἐκ Τροίας ἄγων
ἥκω δάμαρτα καὶ κατ' ἄντρα σώζεται,
ὄνομα δὲ ταυτὸν τῆς ἐμῆς ἔχουσά τις
δάμαρτος ἄλλη τοισίδ' ἐνναίει δόμοις.
Διός γ' ἔλεξε παῖδά νιν πεφυκέναι.
ἀλλ' ἦ τίς ἐστι Ζηνὸς ὄνομ' ἔχων ἀνὴρ
Νείλου παρ' ὄχθας; εἷς γὰρ ὅ γε κατ' οὐρανόν.
Σπάρτη δὲ ποῦ γῆς ἐστι πλὴν ἵνα ῥοαὶ
τοῦ καλλιδόνακός εἰσιν Εὐρώτα μόνον;
ἁπλοῦν δὲ Τυνδάρειον ὄνομα κλῄζεται.
Λακεδαίμονος δὲ γαῖά τις ξυνώνυμος
Τροίας τ'; ἐγὼ μὲν οὐκ ἔχω τί χρὴ λέγειν.
πολλοὶ γὰρ, ὡς εἴξασιν, ἐν πολλῇ χθονὶ
ὀνόματα ταὔτ' ἔχουσι, καὶ πόλις πόλει
γυνὴ γυναικί τ'· οὐδὲν οὖν θαυμαστέον,
οὐδ' αὖ τὸ δεινὸν προσπόλου φευξούμεθα.
ἀνὴρ γὰρ οὐδεὶς ὧδε βάρβαρος φρένας,
ὃς ὄνομ' ἀκούσας τοὐμὸν οὐ δώσει βοράν.
κλεινὸν τὸ Τροίας πῦρ ἐγώ θ', ὃς ἧψά νιν,
Μενέλαος, οὐκ ἄγνωστος ἐν πάσῃ χθονί.
δόμων ἄνακτα προσμενῶ· ἔχει δέ μοι
δισσὰς φυλάξεις· ἢν μὲν ὠμόφρων τις ᾖ,
κρύψας ἐμαυτὸν εἶμι πρὸς ναυάγια,
ἢν δ' ἐνδιδῷ τι μαλθακὸν, τὰ πρόσφορα
τῆς νῦν παρούσης συμφορᾶς αἰτήσομαι.
κακῶν δέ γ' ἡμῖν ἔσχατον τοῖς ἀθλίοις,
ἄλλους τυράννους αὐτὸν ὄντα βασιλέα
βίον προσαιτεῖν· ἀλλ' ἀναγκαίως ἔχει.
λόγος γάρ ἐστιν οὐκ ἐμὸς, σοφῶν δ' ἔπος,
δεινῆς ἀνάγκης οὐδὲν ἰσχύειν πλέον.
ΧΟΡΟΣ.
ἤκουσα τᾶς θεσπιῳδοῦ κόρας,
ἃ χρῄζουσ' ἐφάνη τυράννοις
δόμοις, ὡς Μενέλαος οὔπω
μελαμφαὲς οἴχεται
δι' ἔρεβος, χθονὶ κρυφθεὶς,
ἀλλ' ἔτι κατ' οἶδμ' ἅλιον
τρυχόμενος οὔπω λιμένων
ψαύσειεν πατρίας γᾶς,
ἀλατείᾳ βιότου
ταλαίφρων, ἄφιλος φίλων,
παντοδαπᾶς ἐπὶ γᾶς
πόδα χριμπτόμενος εἰναλίῳ
κώπᾳ Τρῳάδος ἐκ γᾶς.
ΕΛΕΝΗ.
ἥδ' αὖ τάφου τοῦδ' εἰς ἕδρας ἐγὼ πάλιν
στείχω, μαθοῦσα Θεονόης φίλους λόγους,
ἣ πάντ' ἀληθῶς οἶδε· φησὶ δ' ἐν φάει
πόσιν τὸν ἁμὸν ζῶντα φέγγος εἰσορᾶν,
πορθμοὺς δ' ἀλᾶσθαι μυρίους πεπλευκότα
ἐκεῖσε κἀκεῖσ' οὐδ' ἀγύμναστον πλάνοις
ἥξειν, ὅταν δὴ πημάτων λάβῃ τέλος.
ἓν δ' οὐκ ἔλεξεν, εἰ μολὼν σωθήσεται.
ἐγὼ δ' ἀπέστην τοῦτ' ἐρωτῆσαι σαφῶς,
ἡσθεῖσ', ἐπεί νιν εἶπέ μοι σεσωσμένον.
ἐγγὺς δέ νίν που τῆσδ' ἔφασκ' εἶναι χθονὸς,
ναυαγὸν ἐκπεσόντα σὺν παύροις φίλοις.
ὤς μοι πόθ' ἥξεις; ὡς ποθεινὸς ἂν μόλοις.
ἔα, τίς οὗτος; οὔ τί που κρυπτεύομαι
Πρωτέως ἀσέπτου παιδὸς ἐκ βουλευμάτων;
οὐχ ὡς δρομαία πῶλος ἢ βάκχη θεοῦ
τάφῳ ξυνάψω κῶλον; ἄγριος δέ τις
μορφὴν ὅδ' ἐστὶν, ὅς με θηρᾶται λαβεῖν.
ΜΕΝΕΛΑΟΣ.
σὲ τὴν ὄρεγμα δεινὸν ἡμιλλημένην
τύμβου 'πὶ κρηπῖδ' ἐμπύρους τ' ὀρθοστάτας
μεῖνον· τί φεύγεις; ὡς δέμας δείξασα σὸν
ἔκπληξιν ἡμῖν ἀφασίαν τε προστίθης.
ΕΛΕΝΗ.
ἀδικούμεθ', ὦ γυναῖκες· εἰργόμεσθα γὰρ
τάφου πρὸς ἀνδρὸς τοῦδε, καί μ' ἑλὼν θέλ[ει]
δοῦναι τυράννοις, ὧν ἐφεύγομεν γάμους.
ΜΕΝΕΛΑΟΣ.
οὐ κλῶπές ἐσμεν, οὐχ ὑπηρέται κακῶν.
ΕΛΕΝΗ.
καὶ μὴν στολήν γ' ἄμορφον ἀμφὶ σῶμ' ἔχ[εις]
ΜΕΝΕΛΑΟΣ.
στῆσον, φόβου μεθεῖσα, λαιψηρὸν πόδα.
ΕΛΕΝΗ.
ἵστημ', ἐπεί γε τοῦδ' ἐφάπτομαι τόπου.
ΜΕΝΕΛΑΟΣ.
τίς εἶ; τίν' ὄψιν σὴν, γύναι, προσδέρκομα[ι]

ΕΛΕΝΗ.
σὺ δ' εἶ τίς; αὐτὸς γὰρ σὲ χἄμ' ἔχει λόγος.
ΜΕΝΕΛΑΟΣ.
οὐπώποτ' εἶδον προσφερεστέραν δέμας.
ΕΛΕΝΗ.
ὦ θεοί. θεὸς γὰρ καὶ τὸ γιγνώσκειν φίλους.
ΜΕΝΕΛΑΟΣ.
Ἑλληνὶς εἶ τις ἢ 'πιχωρία γυνή;
ΕΛΕΝΗ.
Ἑλληνίς· ἀλλὰ καὶ τὸ σὸν θέλω μαθεῖν.
ΜΕΝΕΛΑΟΣ.
Ἑλένῃ σ' ὁμοίαν δὴ μάλιστ' εἶδον, γύναι.
ΕΛΕΝΗ.
ἐγὼ δὲ Μενέλεῳ γε σ'· οὐδ' ἔχω τί φῶ.
ΜΕΝΕΛΑΟΣ.
ἔγνως γὰρ ὀρθῶς ἄνδρα δυστυχέστατον.
ΕΛΕΝΗ.
ὦ χρόνιος ἐλθὼν σῆς δάμαρτος ἐς χέρας.
ΜΕΝΕΛΑΟΣ.
ποίας δάμαρτος; μὴ θίγῃς ἐμῶν πέπλων.
ΕΛΕΝΗ.
ἥν σοι δίδωσι Τυνδάρεως, ἐμὸς πατήρ.
ΜΕΝΕΛΑΟΣ.
ὦ φωσφόρ' Ἑκάτη, πέμπε φάσματ' εὐμενῆ.
ΕΛΕΝΗ.
οὐ νυκτίφαντον πρόπολον Ἐνοδίας μ' ὁρᾷς.
ΜΕΝΕΛΑΟΣ.
οὐ μὴν γυναικῶν γ' εἷς δυοῖν ἔφυν πόσις.
ΕΛΕΝΗ.
ποίων δὲ λέκτρων δεσπότης ἄλλων ἔφυς;
ΜΕΝΕΛΑΟΣ.
ἣν ἄντρα κεύθει κἀκ Φρυγῶν κομίζομαι.
ΕΛΕΝΗ.
οὐκ ἔστιν ἄλλη σή τις ἀντ' ἐμοῦ γυνή.
ΜΕΝΕΛΑΟΣ.
ἦ που φρονῶ μὲν εὖ, τὸ δ' ὄμμα μου νοσεῖ;
ΕΛΕΝΗ.
οὐ γάρ με λεύσσων σὴν δάμαρθ' ὁρᾶν δοκεῖς;
ΜΕΝΕΛΑΟΣ.
τὸ σῶμ' ὅμοιον, τὸ δὲ σαφές μ' ἀποστερεῖ.
ΕΛΕΝΗ.
σκέψαι· τὸ δ' οὐδείς ἐστι σοῦ σοφώτερος;
ΜΕΝΕΛΑΟΣ.
ἔοικας· οὔτοι τοῦτό γ' ἐξαρνήσομαι.
ΕΛΕΝΗ.
τίς οὖν διδάξει σ' ἄλλος ἢ τὰ σ' ὄμματα;
ΜΕΝΕΛΑΟΣ.
ἐκεῖ νοσοῦμεν, ὅτι δάμαρτ' ἄλλην ἔχω.
ΕΛΕΝΗ.
οὐκ ἦλθον ἐς γῆν Τρῳάδ', ἀλλ' εἴδωλον ἦν.
ΜΕΝΕΛΑΟΣ.
καὶ τίς βλέποντα σώματ' ἐξεργάζεται;
ΕΛΕΝΗ.
αἰθήρ, ὅθεν σὺ θεοπόνητ' ἔχεις λέχη.
ΜΕΝΕΛΑΟΣ.
τίνος πλάσαντος θεῶν; ἄελπτα γὰρ λέγεις.
ΕΛΕΝΗ.
Ἥρας διάλλαγμ', ὡς Πάρις με μὴ λάβοι.
ΜΕΝΕΛΑΟΣ.
πῶς οὖν ἂν ἐνθάδ' ἦσθά τ' ἐν Τροίᾳ θ' ἅμα;
ΕΛΕΝΗ.
τοὔνομα γένοιτ' ἂν πολλαχοῦ, τὸ σῶμα δ' οὔ.
ΜΕΝΕΛΑΟΣ.
μέθες με, λύπας ἅλις ἔχων ἐλήλυθα.
ΕΛΕΝΗ.
λείψεις γὰρ ἡμᾶς, τὰ δὲ κέν' ἐξάξεις λέχη;
ΜΕΝΕΛΑΟΣ.
καὶ χαῖρέ γ' Ἑλένῃ προσφερὴς ὁθούνεκ' εἶ.
ΕΛΕΝΗ.
ἀπωλόμην· λαβοῦσά σ' οὐχ ἕξω πόσιν.
ΜΕΝΕΛΑΟΣ.
τοὐκεῖ με μέγεθος τῶν πόνων πείθει, σὺ δ' οὔ.
ΕΛΕΝΗ.
οἲ 'γώ· τίς ἡμῶν ἐγένετ' ἀθλιωτέρα;
οἱ φίλτατοι λείπουσιν· οὐδ' ἀφίξομαι
Ἕλληνας οὐδὲ πατρίδα τὴν ἐμήν ποτε.
ΑΓΓΕΛΟΣ.
Μενέλαε, μαστεύων σε κιγχάνω μόλις,
πᾶσαν πλανηθεὶς τήνδε βάρβαρον χθόνα,
πεμφθεὶς ἑταίρων τῶν λελειμμένων ὕπο.
ΜΕΝΕΛΑΟΣ.
τί δ' ἔστιν; ἦ που βαρβάρων συλᾶσθ' ὕπο;
ΑΓΓΕΛΟΣ.
θαυμάστ', ἔλασσον τοὔνομ' ἢ τὸ πρᾶγμ', ἔχων.
ΜΕΝΕΛΑΟΣ.
λέγ', ὡς φέρεις τι τῇδε τῇ σπουδῇ νέον.
ΑΓΓΕΛΟΣ.
λέγω πόνους σε μυρίους τλῆναι μάτην.
ΜΕΝΕΛΑΟΣ.
παλαιὰ θρηνεῖς πήματ'· ἀγγέλλεις δὲ τί;
ΑΓΓΕΛΟΣ.
βέβηκεν ἄλοχος σὴ πρὸς αἰθέρος πτύχας
ἀρθεῖσ' ἄφαντος· οὐρανῷ δὲ κρύπτεται,
λιποῦσα σεμνὸν ἄντρον οὗ σφ' ἐσώζομεν,
τοσόνδε λέξασ'· ὦ ταλαίπωροι Φρύγες
πάντες τ' Ἀχαιοί, δι' ἔμ' ἐπὶ Σκαμανδρίοις
ἀκταῖσιν Ἥρας μηχαναῖς ἐθνήσκετε,
δοκοῦντες Ἑλένην οὐκ ἔχοντ' ἔχειν Πάριν.
ἐγὼ δ' ἐπειδὴ χρόνον ἔμειν' ὅσον μ' ἐχρῆν,
τὸ μόρσιμον σώσασα, πατέρ' ἐς οὐρανὸν
ἄπειμι· φήμας δ' ἡ τάλαινα Τυνδαρὶς
ἄλλως κακὰς ἤκουσεν οὐδὲν αἰτία.
ὦ χαῖρε, Λήδας θύγατερ, ἐνθάδ' ἦσθ' ἄρα;
ἐγὼ δέ σ' ἄστρων ὡς βεβηκυῖαν μυχοὺς
ἤγγελλον, εἰδὼς οὐδὲν ὡς ὑπόπτερον
δέμας φοροίης. οὐκ ἐῶ σε κερτομεῖν
ἡμᾶς τόδ' αὖθις, ὡς μάτην ἐν Ἰλίῳ
πόνους παρεῖχες σῷ πόσει καὶ συμμάχοις.
ΜΕΝΕΛΑΟΣ.
τοῦτ' ἔστ' ἐκεῖνο· ξυμβεβᾶσιν οἱ λόγοι
οἱ τῆσδ' ἀληθεῖς· ὦ ποθεινὸς ἡμέρα,
ἥ σ' εἰς ἐμὰς ἔδωκεν ὠλένας λαβεῖν.
ΕΛΕΝΗ.
ὦ φίλτατ' ἀνδρῶν Μενέλεως, ὁ μὲν χρόνος
παλαιός, ἡ δὲ τέρψις ἀρτίως πάρα.
ἔλαβον ἀσμένα πόσιν ἐμόν, φίλαι,
περιπετάσασα χέρα
φίλιον ἐν μακρᾷ φλογὶ φαεσφόρῳ.

ΜΕΝΕΛΑΟΣ.
κἀγὼ σέ· πολλοὺς δ' ἐν μέσῳ λόγους ἔχων.
οὐκ οἶδ' ὁποίου πρῶτον ἄρξομαι τὰ νῦν.
ΕΛΕΝΗ.
γέγηθα, κρατὶ δ' ὀρθίους ἐθείρας
ἀνεπτέρωκα, καὶ δάκρυ σταλάσσω,
περὶ δὲ γυῖα χεῖρας ἔβαλον *
ἡδονὰν ὡς λάβω.
ὦ πόσις, ὦ φιλτάτη πρόσοψις.
ΜΕΝΕΛΑΟΣ.
οὐκ ἐμέμφθην· ἔχω
τὰ τοῦ Διὸς λέκτρα Λήδας θ',
ἅν ὑπὸ λαμπάδων
κόροι λεύκιπποι ξυνομαίμονες ὤλβισαν ὤλβισαν
τὸ πρόσθ', ἐκ δόμων δ' ἐνόσφισαν θεοί σ' ἐμοῦ.
ΕΛΕΝΗ.
πρὸς ἄλλαν δ' ἐλαύνει θεὸς συμφορὰν τᾶσδε
κρείσσω·
τὸ κακὸν δ' ἀγαθὸν σέ τε κἀμὲ συνάγαγε, πόσι,
χρόνιον, ἀλλ' ὅμως ὀναίμαν τύχας.
ΜΕΝΕΛΑΟΣ.
ὄναιο δῆτα. ταὐτὰ δὴ ξυνεύχομαι·
δυοῖν γὰρ ὄντοιν οὐχ ὁ μὲν τλήμων, ὁ δ' οὔ.
ΕΛΕΝΗ.
φίλαι φίλαι, τὰ πάρος
οὐκέτι στένομεν, οὐδ' ἀλγῶ.
πόσιν ἐμὸν ἐμὸν ἔχομεν ἔχομεν, ὃν ἔμενον
ἔμενον ἐκ Τροίας πολυετῆ μολεῖν.
ΜΕΝΕΛΑΟΣ.
ἔχεις μ' ἔχω τέ σ'· ἡλίους δὲ μυρίους
μόγις διελθὼν ᾐσθόμην τὰ τῆς θεοῦ.
ἐμὰ δὲ δάκρυα χαρμονὰ πλέον ἔχει
χάριτος ἢ λύπας.
ΕΛΕΝΗ.
τί φῶ; τίς ἂν τόδ' ἤλπισεν βροτῶν ποτε;
ἀδόκητον ἔχω σε πρὸς στέρνοις.
ΜΕΝΕΛΑΟΣ.
κἀγὼ σὲ τὴν δοκοῦσαν Ἰδαίαν πόλιν
μολεῖν Ἰλίου τε μελέους πύργους.
πρὸς θεῶν, δόμων πῶς τῶν ἐμῶν ἀπεστάλης;
ΕΛΕΝΗ.
ἒ ἔ. πικρὰς ἐς ἀρχὰς βαίνεις·
ἒ ἔ. πικρὰν δ' ἐρευνᾷς φάτιν.
ΜΕΝΕΛΑΟΣ.
λέγ', ὡς ἀκουστὰ πάντα δῶρα δαιμόνων.
ΕΛΕΝΗ.
ἀπέπτυσα μὲν λόγον, οἷον οἷον ἐσοίσομαι.
ΜΕΝΕΛΑΟΣ.
ὅπως δὲ λέξον· ἡδύ τοι μόχθων κλύειν.
ΕΛΕΝΗ.
οὐκ ἐπὶ λέκτρα βαρβάρου νεανία,
πετομένας κώπας,
πετομένου δ' ἔρωτος ἀδίκων γάμων.
ΜΕΝΕΛΑΟΣ.
τίς γάρ σε δαίμων ἢ πότμος συλᾷ πάτρας;
ΕΛΕΝΗ.
ὁ Διὸς ὁ Διὸς, ὦ πόσι, παῖς μ'
ἐπέλασεν Νείλῳ.
ΜΕΝΕΛΑΟΣ.
θαυμαστὰ τοῦ πέμψαντος· ὦ δεινοὶ λόγοι.
ΕΛΕΝΗ.
κατεδάκρυσα καὶ βλέφαρον ὑγραίνω
δάκρυσιν· ἁ Διός μ' ἄλοχος ὤλεσεν.
ΜΕΝΕΛΑΟΣ.
Ἥρα; τίνων χρῄζουσα προσθεῖναι κακῶν;
ΕΛΕΝΗ.
ὤμοι ἐμῶν δεινῶν, λουτρῶν καὶ κρηνῶν,
ἵνα θεαὶ μορφὰν
ἐφαίδρυναν ἔνθεν ἔμολεν κρίσις.
ΜΕΝΕΛΑΟΣ.
τάδ' εἰς κρίσιν σοι τῶνδ' ἔθηχ' Ἥρα κακῶν;
ΕΛΕΝΗ.
Κύπριν ὡς ἀφέλοιτο.
ΜΕΝΕΛΑΟΣ.
πῶς, αὔδα.
ΕΛΕΝΗ.
Πάριν, ᾧ μ' ἐπένευσεν.
ΜΕΝΕΛΑΟΣ.
ὦ τλᾶμον.
ΕΛΕΝΗ.
τλάμων τλάμων. ὧδ' ἐπέλασ' Αἰγύπτῳ.
ΜΕΝΕΛΑΟΣ.
εἶτ' ἀντέδωκ' εἴδωλον, ὡς σέθεν κλύω.
ΕΛΕΝΗ.
τὰ δὲ κατὰ μέλαθρα πάθεα πάθεα, μᾶ-
τερ, οἲ 'γώ.
ΜΕΝΕΛΑΟΣ.
τί φῄς;
ΕΛΕΝΗ.
οὐκ ἔστιν μάτηρ· ἀγχόνιον βρόχον
δι' ἐμὲ κατεδήσατο, δύσγαμον αἰσχύναν.
ΜΕΝΕΛΑΟΣ.
ὤμοι· θυγατρὸς δ' Ἑρμιόνης ἔστιν βίος;
ΕΛΕΝΗ.
ἄγαμος, ἄτεκνος, ὦ πόσι, καταστένει
γάμον ἄγαμον αἰσχύνᾳ.
ΜΕΝΕΛΑΟΣ.
ὦ πᾶν κατ' ἄκρας δῶμ' ἐμὸν πέρσας Πάρις,
τάδε καὶ σὲ διώλεσε μυριάδας τε
χαλκεόπλων Δαναῶν.
ΕΛΕΝΗ.
ἐμὲ δὲ πατρίδος ἄπο κακόποτμον ἀραίαν
ἔβαλε θεὸς ἀπό τε πόλεος ἀπό τε σέθεν,
ὅτι μέλαθρα λέχεά τ' ἔλιπον οὐ λιποῦσ'
ἐπ' αἰσχροῖς γάμοις.
ΧΟΡΟΣ.
εἰ καὶ τὰ λοιπὰ τῆς τύχης εὐδαίμονος
τύχοιτε, πρὸς τὰ πρόσθεν ἀρκέσειεν ἄν.
ΑΓΓΕΛΟΣ.
Μενέλαε, κἀμοὶ πρόσδοτέ τι τῆς ἡδονῆς,
ἣν μανθάνω μὲν καὐτὸς, οὐ σαφῶς δ' ἔχω.
ΜΕΝΕΛΑΟΣ.
ἀλλ', ὦ γεραιὲ, καὶ σὺ κοινώνει λόγων.
ΑΓΓΕΛΟΣ.
οὐχ ἥδε μόχθων τῶν ἐν Ἰλίῳ βραβεύς;
ΜΕΝΕΛΑΟΣ.
οὐχ ἥδε, πρὸς θεῶν δ' ἦμεν ἠπατημένοι,
νεφέλης ἄγαλμ' ἔχοντες ἐν χεροῖν λυγρόν.

### ΑΓΓΕΛΟΣ.

τί φῄς;
νεφέλης ἄρ' ἄλλως εἴχομεν πόνους πέρι;

### ΜΕΝΕΛΑΟΣ.

Ἥρας τάδ' ἔργα καὶ θεῶν τρισσῶν ἔρις.

### ΑΓΓΕΛΟΣ.

ἡ δ' οὖσ' ἀληθῶς ἐστιν ἥδε σὴ δάμαρ;

### ΜΕΝΕΛΑΟΣ.

αὕτη· λόγοις δ' ἐμοῖσι πίστευσον τάδε.

### ΑΓΓΕΛΟΣ.

ὦ θύγατερ, ὁ θεὸς ὡς ἔφυ τι ποικίλον
καὶ δυστέκμαρτον. εὖ δέ πως ἀναστρέφει,
ἐκεῖσε κἀκεῖσ' ἀναφέρων· ὁ μὲν πονεῖ,
ὁ δ' οὐ πονήσας αὖθις ὄλλυται κακῶς,
βέβαιον οὐδὲν τῆς ἀεὶ τύχης ἔχων.
σὺ γὰρ πόσις τε σὸς πόνων μετέσχετε,
σὺ μὲν λόγοισιν, ὁ δὲ δορὸς προθυμίᾳ.
σπεύδων δ', ὅτ' ἔσπευδ', οὐδὲν εἶχε· νῦν δ' ἔχει
αὐτόματα πράξας τἀγάθ' εὐτυχέστατα.
οὐκ ἄρα γέροντα πατέρα καὶ Διοσκόρω
ᾔσχυνας, οὐδ' ἔδρασας οἷα κλῄζεται.
νῦν ἀνανεοῦμαι τὸν σὸν ὑμέναιον πάλιν,
καὶ λαμπάδων μεμνήμεθ', ἃς τετραόροις
ἵπποις τροχάζων παρέφερον· σὺ δ' ἐν δίφροις
σὺν τῷδε νύμφη δῶμ' ἔλειπες ὄλβιον.
κακὸς γὰρ ὅστις μὴ σέβει τὰ δεσποτῶν
καὶ ξυγγέγηθε καὶ ξυνωδίνει κακοῖς.
ἐγὼ μὲν εἴην, κεἰ πέφυχ' ὅμως λάτρις,
ἐν τοῖσι γενναίοισιν ἠριθμημένος
δούλοισι, τοὔνομ' οὐκ ἔχων ἐλεύθερον,
τὸν νοῦν δέ. κρεῖσσον γὰρ τόδ' ἢ δυοῖν κακοῖν
ἕν' ὄντα χρῆσθαι, τὰς φρένας τ' ἔχειν κακὰς
ἄλλων τ' ἀκούειν δοῦλον ὄντα τῶν πέλας.

### ΜΕΝΕΛΑΟΣ.

ἄγ', ὦ γεραιὲ, πολλὰ μὲν παρ' ἀσπίδα
μοχθήματ' ἐξέπλησας ἐκπονῶν ἐμοὶ,
καὶ νῦν μετασχὼν τῆς ἐμῆς εὐπραξίας
ἄγγελον ἐλθὼν τοῖς λελειμμένοις φίλοις
τάδ' ὡς ἔχονθ' εὕρηκας οἵ τ' ἐσμὲν τύχης,
μένειν τ' ἐπ' ἀκταῖς τούς τ' ἐμοὺς καραδοκεῖν
ἀγῶνας, οἳ μένουσί μ', ὡς ἐλπίζομεν,
κεἰ τήνδε πως δυναίμεθ' ἐκκλέψαι χθονὸς,
φρουρεῖν ὅπως ἂν εἰς ἓν ἐλθόντες τύχης
ἐκ βαρβάρων σωθῶμεν, ἢν δυνώμεθα.

### ΑΓΓΕΛΟΣ.

ἔσται τάδ', ὦναξ. ἀλλά τοι τὰ μάντεων
ἐσεῖδον ὡς φαῦλ' ἐστὶ καὶ ψευδῶν πλέα.
οὐδ' ἦν ἄρ' ὑγιὲς οὐδὲν ἐμπύρου φλογὸς
οὔτε πτερωτῶν φθέγματ'· εὔηθες δέ τοι
τὸ καὶ δοκεῖν ὄρνιθας ὠφελεῖν βροτούς.
Κάλχας γὰρ οὐκ εἶπ' οὐδ' ἐσήμηνε στρατῷ,
νεφέλης ὕπερ θνήσκοντας εἰσορῶν φίλους,
οὐδ' Ἕλενος, ἀλλὰ πόλις ἀνηρπάσθη μάτην.
εἴποις ἂν, οὕνεχ' ὁ θεὸς οὐκ ἠβούλετο·
τί δῆτα μαντευόμεθα; τοῖς θεοῖσι χρὴ
θύοντας αἰτεῖν ἀγαθὰ, μαντείας δ' ἐᾶν·
βίου γὰρ ἄλλως δέλεαρ εὑρέθη τόδε,
κοὐδεὶς ἐπλούτησ' ἐμπύροισιν, ἀργὸς ὤν.
γνώμη δ' ἀρίστη μάντις ἥ τ' εὐβουλία.

### ΧΟΡΟΣ.

ἐς ταὐτὸ κἀμοὶ δόξα μάντεων πέρι
χωρεῖ γέροντι· τοὺς θεοὺς ἔχων τις ἂν
φίλους ἀρίστην μαντικὴν ἔχοι δόμοις.

### ΕΛΕΝΗ.

εἶεν· τὰ μὲν δὴ δεῦρ' ἀεὶ καλῶς ἔχει.
ὅπως δ' ἐσώθης, ὦ τάλας, Τροίας ἄπο,
κέρδος μὲν οὐδὲν εἰδέναι, πόθος δέ τις
τὰ τῶν φίλων φίλοισιν αἰσθέσθαι κακά.

### ΜΕΝΕΛΑΟΣ.

ἦ πόλλ' ἀνήρου μ' ἐνὶ λόγῳ μιᾷ θ' ὁδῷ.
τί σοι λέγοιμ' ἂν τὰς ἐν Αἰγαίῳ φθορὰς,
τὰ Ναυπλίου τ' Εὐβοϊκὰ πυρπολήματα,
Κρήτην τε Λιβύην θ', ἃς ἐπεστράφην πόλεις,
σκοπιάς τε Περσέως; οὔτ' ἂν ἐμπλήσαιμί σε
μύθων, λέγων τ' ἄν σοι κάκ' ἀλγοίην ἔτι,
πάσχων τ' ἔκαμνον· δὶς δὲ λυπηθεῖμεν ἄν.

### ΕΛΕΝΗ.

κάλλιον εἶπας ἢ σ' ἀνηρόμην ἐγώ.
ἓν δ' εἰπὲ πάντα παραλιπὼν, πόσον χρόνον
πόντου 'πὶ νώτοις ἅλιον ἐφθείρου πλάνον.

### ΜΕΝΕΛΑΟΣ.

ἐνιαύσιον πρὸς τοῖσιν ἐν Τροίᾳ δέκα
ἔτεσι· διῆλθον δ' ἑπτὰ περιδρομὰς ἐτῶν.

### ΕΛΕΝΗ.

φεῦ φεῦ· μακρόν γ' ἔλεξας, ὦ τάλας, χρόνον.
σωθεὶς δ' ἐκεῖθεν ἐνθάδ' ἦλθες ἐς σφαγάς.

### ΜΕΝΕΛΑΟΣ.

πῶς φῄς; τί λέξεις; ὥς μ' ἀπώλεσας, γύναι.

### ΕΛΕΝΗ.

θανεῖ πρὸς ἀνδρὸς οὗ τάδ' ἐστὶ δώματα.

### ΜΕΝΕΛΑΟΣ.

τί χρῆμα δράσας ἄξιον τῆς συμφορᾶς;

### ΕΛΕΝΗ.

ἥκεις ἄελπτος ἐμποδὼν τ' ἐμοῖς γάμοις.

### ΜΕΝΕΛΑΟΣ.

ἦ γὰρ γαμεῖν τις τἄμ' ἐβουλήθη λέχη;

### ΕΛΕΝΗ.

ὕβριν θ' ὑβρίζειν εἰς ἔμ' ἣν ἔτλην ἐγώ.

### ΜΕΝΕΛΑΟΣ.

ἰδίᾳ σθένων τις ἢ τυραννεύων χθονός;

### ΕΛΕΝΗ.

ὃς γῆς ἀνάσσει τῆσδε Πρωτέως γόνος.

### ΜΕΝΕΛΑΟΣ.

τόδ' ἔστ' ἐκεῖν' αἴνιγμ' ὃ προσπόλου κλύω.

### ΕΛΕΝΗ.

ποίοις ἐπιστὰς βαρβάροις πυλώμασιν;

### ΜΕΝΕΛΑΟΣ.

τοῖσδ', ἔνθεν ὥσπερ πτωχὸς ἐξηλαυνόμην.

### ΕΛΕΝΗ.

ἦ που προσῄτεις βίοτον; ὢ τάλαιν' ἐγώ.

### ΜΕΝΕΛΑΟΣ.

τοὔργον μὲν ἦν τοῦτ', ὄνομα δ' οὐκ εἶχον τόδε.

### ΕΛΕΝΗ.

πάντ' οἶσθ' ἄρ', ὡς ἔοικας, ἀμφ' ἐμῶν γάμων.

---

**Post 779 sequebatur**

φεῦγ' ὡς τάχιστα τῆσδ' ἀπαλλαχθεὶς χθονός.

ΜΕΝΕΛΑΟΣ.
οἶδ'· εἰ δὲ λέκτρα διέφυγες τἀδ' οὐκ ἔχω.
ΕΛΕΝΗ.
ἄθικτον εὐνήν ἴσθι σοι σεσωσμένην.
ΜΕΝΕΛΑΟΣ.
τίς τοῦδε πειθώ; φίλα γὰρ, εἰ σαφῆ, λέγεις.
ΕΛΕΝΗ.
ὁρᾷς τάφου τοῦδ' ἀθλίους ἕδρας ἐμάς;
ΜΕΝΕΛΑΟΣ.
ὁρῶ, τάλαινα, στιβάδας, ὧν τί σοὶ μέτα;
ΕΛΕΝΗ.
ἐνταῦθα λέκτρων ἱκετεύομεν φυγάς.
ΜΕΝΕΛΑΟΣ.
βωμοῦ σπανίζουσ', ἢ νόμοισι βαρβάροις;
ΕΛΕΝΗ.
ἐρρύεθ' ἡμᾶς τοῦτ' ἴσον ναοῖς θεῶν.
ΜΕΝΕΛΑΟΣ.
οὐδ' ἆρα πρὸς οἴκους ναυστολεῖν σ' ἔξεστί μοι;
ΕΛΕΝΗ.
ξίφος μένει σε μᾶλλον ἢ τοὐμὸν λέχος.
ΜΕΝΕΛΑΟΣ.
οὕτως ἂν εἴην ἀθλιώτατος βροτῶν.
ΕΛΕΝΗ.
μή νυν καταιδοῦ· φεῦγε δ' ἐκ τῆσδε χθονός.
ΜΕΝΕΛΑΟΣ.
λιπών σε; Τροίαν ἐξέπερσα σὴν χάριν.
ΕΛΕΝΗ.
κρεῖσσον γὰρ ἤ σε τἄμ' ἀποκτεῖναι λέχη.
ΜΕΝΕΛΑΟΣ.
ἄνανδρ' ἄρ' εἶπας Ἰλίου τ' οὐκ ἄξια.
ΕΛΕΝΗ.
οὐκ ἂν κτάνοις τύραννον, ὃν σπεύδεις ἴσως.
ΜΕΝΕΛΑΟΣ.
οὕτω σιδήρῳ τρωτὸν οὐκ ἔχει δέμας;
ΕΛΕΝΗ.
εἴσει. τὸ τολμᾶν δ' ἀδύνατ' ἀνδρὸς οὐ σοφοῦ.
ΜΕΝΕΛΑΟΣ.
σιγῇ παράσχω δῆτ' ἐμὰς δῆσαι χέρας;
ΕΛΕΝΗ.
ἐς ἄπορον ἥκεις· δεῖ δὲ μηχανῆς τινος.
ΜΕΝΕΛΑΟΣ.
δρῶντας γὰρ ἢ μὴ δρῶντας ἥδιον θανεῖν.
ΕΛΕΝΗ.
μί' ἐστὶν ἐλπὶς, ᾗ μόνῃ σωθεῖμεν ἄν.
ΜΕΝΕΛΑΟΣ.
ὠνητὸς ἢ τολμητὸς ἢ λόγων ὕπο;
ΕΛΕΝΗ.
εἰ μὴ τύραννός σ' ἐκπύθοιτ' ἀφιγμένον.
ΜΕΝΕΛΑΟΣ.
ἐρεῖ δὲ τίς μ'; οὐ γνώσεταί γ' ὃς εἴμ' ἐγώ.
ΕΛΕΝΗ.
ἔστ' ἔνδον αὐτῷ ξύμμαχος θεοῖς ἴση.
ΜΕΝΕΛΑΟΣ.
φήμη τις οἴκων ἐν μυχοῖς ἱδρυμένη;
ΕΛΕΝΗ.
οὔκ, ἀλλ' ἀδελφή· Θεονόην καλοῦσί νιν.
ΜΕΝΕΛΑΟΣ.
χρηστήριον μὲν τοὔνομ'· ὅ τι δὲ δρᾷ φράσον.
ΕΛΕΝΗ.
πάντ' οἶδ', ἐρεῖ τε συγγόνῳ παρόντα σέ.
ΜΕΝΕΛΑΟΣ.
θνήσκοιμεν ἄν· λαθεῖν γὰρ οὐχ οἷόν τέ μοι.
ΕΛΕΝΗ.
εἴ πως ἂν ἀναπείσαιμεν ἱκετεύοντέ νιν.
ΜΕΝΕΛΑΟΣ.
τί χρῆμα δρᾶσαι; τίν' ὑπάγεις μ' ἐς ἐλπίδα;
ΕΛΕΝΗ.
παρόντα γαίᾳ μὴ φράσαι σε συγγόνῳ.
ΜΕΝΕΛΑΟΣ.
πείσαντε δ' ἐκ γῆς διορίσαιμεν ἂν πόδα;
ΕΛΕΝΗ.
κοινῇ γ' ἐκείνῃ ῥᾳδίως, λάθρα δ' ἂν οὔ.
ΜΕΝΕΛΑΟΣ.
σὸν ἔργον, ὡς γυναικὶ πρόσφορον γυνή.
ΕΛΕΝΗ.
ὡς οὐκ ἄχρωστα γόνατ' ἐμῶν ἕξει χερῶν.
ΜΕΝΕΛΑΟΣ.
φέρ', ἢν δὲ δὴ νῷν μὴ 'ποδέξηται λόγους;
ΕΛΕΝΗ.
θανεῖ· γαμοῦμαι δ' ἡ τάλαιν' ἐγὼ βίᾳ.
ΜΕΝΕΛΑΟΣ.
προδότις ἂν εἴης· τὴν βίαν σκήψασ' ἔχεις.
ΕΛΕΝΗ.
ἀλλ' ἁγνὸν ὅρκον σὸν κάρα κατώμοσα.
ΜΕΝΕΛΑΟΣ.
τί φής; θανεῖσθαι κοὔποτ' ἀλλάξειν λέχη;
ΕΛΕΝΗ.
ταὐτῷ ξίφει γε· κείσομαι δὲ σοῦ πέλας.
ΜΕΝΕΛΑΟΣ.
ἐπὶ τοῖσδε τοίνυν δεξιᾶς ἐμῆς θίγε.
ΕΛΕΝΗ.
ψαύω, θανόντος σοῦ τόδ' ἐκλείψειν φάος.
ΜΕΝΕΛΑΟΣ.
κἀγὼ στερηθεὶς σοῦ τελευτήσω βίον.
ΕΛΕΝΗ.
πῶς οὖν θανούμεθ' ὥστε καὶ δόξαν λαβεῖν;
ΜΕΝΕΛΑΟΣ.
τύμβου 'πὶ νώτῳ σὲ κτανὼν ἐμὲ κτενῶ.
πρῶτον δ' ἀγῶνα μέγαν ἀγωνιούμεθα
λέκτρων ὑπὲρ σῶν· ὁ δὲ θέλων ἴτω πέλας·
τὸ Τρωικὸν γὰρ οὐ καταισχυνῶ κλέος,
οὐδ' Ἑλλάδ' ἐλθὼν λήψομαι πολὺν ψόγον,
ὅστις Θέτιν μὲν ἐστέρησ' Ἀχιλλέως,
Τελαμωνίου δ' Αἴαντος εἰσεῖδον σφαγὰς,
τὸν Θησέως τε παῖδα· διὰ δὲ τὴν ἐμὴν
οὐκ ἀξιώσω κατθανεῖν δάμαρτ' ἐγώ;
μάλιστά γ'· εἰ γάρ εἰσιν οἱ θεοὶ σοφοὶ,
εὔψυχον ἄνδρα πολεμίων θανόνθ' ὕπο
κούφῃ καταμπίσχουσιν ἐν τύμβῳ χθονὶ,
κακοὺς δ' ὑφ' ἕρμα στερεὸν ἐκβάλλουσι γῆς.
ΧΟΡΟΣ.
ὦ θεοὶ, γενέσθω δήποτ' εὐτυχὲς γένος
τὸ Ταντάλειον καὶ μεταστήτω κακῶν.
ΕΛΕΝΗ.
οἳ 'γὼ τάλαινα. τῆς τύχης γὰρ ὧδ' ἔχω·
Μενέλαε, διαπεπράγμεθ'· ἐκβαίνει δόμων
ἡ θεσπιῳδὸς Θεονόη. κτυπεῖ δόμος
κλῄθρων λυθέντων· φεῦγ'· ἀτὰρ τί φευκτέον;
ἀποῦσα γάρ σε καὶ παροῦσ' ἀφιγμένον
δεῦρ' οἶδεν· ὦ δύστηνος, ὡς ἀπωλόμην.

*Τροίας δὲ σωθεὶς κἀπὸ βαρβάρου χθονὸς*
*ἐς βάρβαρ' ἐλθὼν φάσγαν' αὖθις ἐμπεσεῖ.*

ΘΕΟΝΟΗ.

*ἡγοῦ σὺ μὲν φέρουσα λαμπτήρων σέλας,*
*θεῖον δὲ σέμνου θεσμὸν αἰθέρος μυχῶν,*
*ὡς πνεῦμα καθαρὸν οὐρανοῦ δεξώμεθα·*
*σὺ δ' αὖ κέλευθον, εἴ τις ἔβλαψεν ποδὶ*
*στείβων ἀνοσίῳ, δὸς καθαρσίῳ φλογὶ,*
*κροῦσον δὲ πεύκην, ἵνα διεξέλθω, πυρός.*
*νόμον δὲ τὸν ἐμὸν θεοῖσιν ἀποδοῦσαι, πάλιν*
*ἐφέστιον φλόγ' ἐς δόμους κομίζετε.*
*Ἑλένη, τί τἀμὰ πῶς ἔχει θεσπίσματα;*
*ἥκει πόσις σοι Μενέλεως ὅδ' ἐμφανὴς,*
*νεῶν στερηθεὶς τοῦ τε σοῦ μιμήματος.*
*ὦ τλῆμον, οἵους διαφυγὼν ἦλθες πόνους,*
*οὐδ' οἶσθα νόστον οἴκαδ', εἴτ' αὐτοῦ μενεῖς·*
*ἔρις γὰρ ἐν θεοῖς, σύλλογός τε σοῦ πέρι*
*ἔσται πάρεδρος Ζηνὶ τῷδ' ἐν ἤματι.*
*Ἥρα μὲν, ἣ σοι δυσμενὴς πάροιθεν ἦν,*
*νῦν ἐστιν εὔνους, κεἰς πάτραν σῶσαι θέλει*
*ξὺν τῇδ', ἵν' Ἑλλὰς τοὺς Ἀλεξάνδρου γάμους,*
*δώρημα Κύπριδος, ψευδονυμφεύτους μάθῃ·*
*Κύπρις δὲ νόστον σὸν διαφθεῖραι θέλει,*
*ὡς μήτ' ἐλεγχθῇ μηδὲ πριαμένη φανῇ*
*τὸ κάλλος Ἑλένης οὕνεκ' ἀνονήτοις γάμοις.*
*τέλος δ' ἐφ' ἡμῖν, εἴθ', ἃ βούλεται Κίπρις,*
*λέξασ' ἀδελφῷ σ' ἐνθάδ' ὄντα διολέσω*
*εἴτ' αὖ μεθ' Ἥρας στᾶσα σὸν σώσω βίον,*
*κρύψασ' ὅμαιμον, ὅς με προστάσσει τάδε*
*εἰπεῖν, ὅταν γῆν τήνδε νοστήσας τύχῃς.*
*τίς εἶσ' ἀδελφῷ τόνδε σημανῶν ἐμῷ*
*παρόνθ', ὅπως ἂν τοὐμὸν ἀσφαλῶς ἔχῃ;*

ΕΛΕΝΗ.

*ὦ παρθέν', ἱκέτις ἀμφὶ σὸν πίτνω γόνυ,*
*καὶ προσκαθίζω θᾶκον οὐκ εὐδαίμονα*
*ὑπέρ τ' ἐμαυτῆς τοῦδέ θ', ὃν μόλις ποτὲ*
*λαβοῦσ' ἐπ' ἀκμῆς εἰμὶ κατθανόντ' ἰδεῖν:*
*μή μου κατείπῃς σῷ κασιγνήτῳ πόσιν*
*τόνδ' εἰς ἐμὰς ἥκοντα φιλτάτας χέρας·*
*σῶσον δὲ, λίσσομαί σε· συγγόνῳ δὲ σῷ*
*τὴν εὐσέβειαν μὴ προδῷς τὴν σήν ποτε,*
*χάριτας πονηρὰς κἀδίκους ὠνουμένη.*
*μισεῖ γὰρ ὁ θεὸς τὴν βίαν, τὰ κτητὰ δὲ*
*κτᾶσθαι κελεύει πάντας, οὐκ ἐς ἁρπαγάς.*
*κοινὸς γάρ ἐστιν οὐρανὸς πᾶσιν βροτοῖς*
*καὶ γαῖ', ἐν ᾗ χρὴ δώματ' ἀναπληρουμένους*
*τἀλλότρια μὴ 'χειν μηδ' ἀφαιρεῖσθαι βίᾳ.*
*ἡμᾶς δὲ μακαρίως μὲν, ἀθλίως δ' ἐμοί,*
*Ἑρμῆς ἔδωκε πατρὶ σῷ σώζειν πόσει*
*τῷδ', ὃς πάρεστι κἀπολάζυσθαι θέλει.*
*πῶς οὖν θανὼν ἂν ἀπολάβοι; κεῖνος δὲ πῶς*
*τὰ ζῶντα τοῖς θανοῦσιν ἀποδοίη ποτ' ἄν;*
*ἤδη τὰ τοῦ θεοῦ καὶ τὰ τοῦ πατρὸς σκόπει,*
*πότερον ὁ δαίμων χὠ θανὼν τὰ τῶν πέλας*
*βούλοιντ' ἂν ἢ οὐ βούλοιντ' ἂν ἀποδοῦναι πάλιν.*
*δοκῶ μέν. οὔκουν χρή σε συγγόνῳ πλέον*
*νέμειν ματαίῳ μᾶλλον ἢ χρηστῷ πατρί.*
*εἰ δ', οὖσα μάντις καὶ τὰ θεῖ' ἡγουμένη,*
*τὸ μὲν δίκαιον τοῦ πατρὸς διαφθερεῖς,*
*τῷ δ' οὐ δικαίῳ συγγόνῳ δώσεις χάριν,*
*αἰσχρὸν τὰ μέν σε θεῖα πάντ' ἐξειδέναι,*
*τά τ' ὄντα καὶ μὴ, τὰ δὲ δίκαια μὴ εἰδέναι.*
*τὴν δ' ἀθλίαν ἔμ', οἷσιν ἔγκειμαι κακοῖς,*
*ῥῦσαι, πάρεργον δοῦσα τοῦτο τῆς τύχης·*
*Ἑλένην γὰρ οὐδεὶς ὅστις οὐ στυγεῖ βροτῶν·*
*ἣ κλῄζομαι καθ' Ἑλλάδ' ὡς προδοῦσ' ἐμὸν*
*πόσιν Φρυγῶν ᾤκησα πολυχρύσους δόμους.*
*ἢν δ' Ἑλλάδ' ἔλθω κἀπιβῶ Σπάρτης πάλιν,*
*κλύοντες, εἰσιδόντες, ὡς τέχναις θεῶν*
*ὤλοντ', ἐγὼ δὲ προδότις οὐκ ἤμην φίλων,*
*πάλιν μ' ἀνάξουσ' ἐς τὸ σῶφρον αὖθις αὖ,*
*ἐδνάσομαί τε θυγατέρ', ἣν οὐδεὶς γαμεῖ,*
*τὴν δ' ἐνθάδ' ἐκλιποῦσ' ἀλητείαν πικρὰν,*
*ὄντων ἐν οἴκοις χρημάτων ὀνήσομαι.*
*κεἰ μὲν θανὼν ὅδ' ἐν πυρᾷ κατεσφάγη,*
*πρόσω σφ' ἀπόντα δακρύοις ἂν ἠγάπων,*
*νῦν δ' ὄντα καὶ σωθέντ' ἀφαιρεθήσομαι;*
*μὴ δῆτα, παρθέν', ἀλλά σ' ἱκετεύω τόδε·*
*δὸς τὴν χάριν μοι τήνδε, καὶ μιμοῦ τρόπους*
*πατρὸς δικαίου· παισὶ γὰρ κλέος τόδε*
*κάλλιστον, ὅστις ἐκ πατρὸς χρηστοῦ γεγὼς*
*ἐς ταὐτὸν ἦλθε τοῖς τεκοῦσι τοὺς τρόπους.*

ΧΟΡΟΣ.

*οἰκτρὸν μὲν οἱ παρόντες ἐν μέσῳ λόγοι,*
*οἰκτρὰ δὲ καὶ σύ. τοῦ δὲ Μενέλεω ποθῶ*
*λόγους ἀκοῦσαι τίνας ἐρεῖ ψυχῆς πέρι.*

ΜΕΝΕΛΑΟΣ.

*ἐγὼ σὸν οὔτ' ἂν προσπεσεῖν τλαίην γόνυ*
*οὔτ' ἂν δακρῦσαι βλέφαρα· τὴν Τροίαν γὰρ ἂν*
*δειλοὶ γενόμενοι πλεῖστον αἰσχύνοιμεν ἄν.*
*καίτοι λέγουσιν ὡς πρὸς ἀνδρὸς εὐγενοῦς*
*ἐν ξυμφοραῖσι δάκρυ' ἀπ' ὀφθαλμῶν βαλεῖν.*
*ἀλλ' οὐχὶ τοῦτο τὸ καλὸν, εἰ καλὸν τόδε,*
*αἱρήσομαι τὸ πρόσθε τῆς εὐψυχίας.*
*ἀλλ' εἰ μὲν ἄνδρα σοι δοκεῖ σῶσαι ξένον,*
*ζητοῦντά γ' ὀρθῶς ἀπολαβεῖν δάμαρτ' ἐμὴν,*
*ἀπόδος τε καὶ πρὸς σῶσον· εἰ δὲ μὴ δοκεῖ,*
*ἐγὼ μὲν οὐ νῦν πρῶτον, ἀλλὰ πολλάκις,*
*ἄθλιος ἂν εἴην, σὺ δὲ γυνὴ κακὴ φανεῖ.*
*ἃ δ' ἄξι' ἡμῶν καὶ δίκαι' ἡγούμεθα*
*καὶ σῆς μάλιστα καρδίας ἀνθάψεται,*
*λέξω τόδ' ἀμφὶ μνῆμα σοῦ πατρὸς πόθῳ·*
*ὦ γέρον, ὃς οἰκεῖς τόνδε λάϊνον τάφον,*
*ἀπόδος, ἀπαιτῶ τὴν ἐμὴν δάμαρτά σε,*
*ἣν Ζεὺς ἔπεμψε δεῦρό σοι σώζειν ἐμοί.*
*οἶδ' οὕνεχ' ἡμῖν οὔποτ' ἀποδώσεις θανών·*
*ἀλλ' ἥδε πατέρα νέρθεν ἀνακαλούμενον*
*οὐκ ἀξιώσει τὸν πρὶν εὐκλεέστατον*
*κακῶς ἀκοῦσαι· κυρία γάρ ἐστι νῦν.*
*ὦ νέρτερ' Ἅιδη, καὶ σὲ σύμμαχον καλῶ,*
*ὃς πόλλ' ἐδέξω τῆσδ' ἕκατι σώματα,*
*πεσόντα τὠμῷ φασγάνῳ, μισθὸν δ' ἔχεις·*
*ἢ νυν ἐκείνους ἀπόδος ἐμψύχους πάλιν,*
*ἢ τήνδ' ἀνάγκασόν γε δυσσεβοῦς πατρὸς*
*κρείσσω φανεῖσαν τἀμά γ' ἀποδοῦναι λέχη.*
*εἰ δέ με γυναῖκα τὴν ἐμὴν συλήσετε,*
*ἅ σοι παρέλιπεν ἥδε τῶν λόγων, φράσω.*

Post 904. sequebatur
*ἰατέος δ' ὁ πλοῦτος, ἄδικός τις ὤν.*

ὅρκοις κεκλήμεθ᾽, ὡς μάθῃς, ὦ παρθένε,
πρῶτον μὲν ἐλθεῖν διὰ μάχης σῷ συγγόνῳ·
κἀκεῖνον ἢ ᾽μὲ δεῖ θανεῖν· ἁπλοῦς λόγος.
ἢν δ᾽ ἐς μὲν ἀλκὴν μὴ πόδ᾽ ἀντιθῇ ποδὶ,
λιμῷ δὲ θηρᾷ τύμβον ἱκετεύοντε νῷ,
κτανεῖν δέδοκται τήνδ᾽ ἐμοὶ, κἄπειτ᾽ ἐμὸν
πρὸς ἧπαρ ὦσαι δίστομον ξίφος τόδε,
τύμβου ᾽πὶ νώτοις τοῦδ᾽, ἵν᾽ αἵματος ῥοαὶ
τάφου καταστάζωσι· κεισόμεσθα δὲ
νεκρὼ δύ᾽ ἑξῆς τῷδ᾽ ἐπὶ ξεστῷ τάφῳ,
ἀθάνατον ἄλγος σοὶ, ψόγος δὲ σῷ πατρί.
οὐ γὰρ γαμεῖ τήνδ᾽ οὔτε σύγγονος σέθεν
οὔτ᾽ ἄλλος οὐδείς· ἀλλ᾽ ἐγώ σφ᾽ ἀπάξομαι,
εἰ μὴ πρὸς οἴκους δυνάμεθ᾽, ἀλλὰ πρὸς νεκρούς.
τί ταῦτα; δακρύοις ἐς τὸ θῆλυ τρεπόμενος
ἐλεινὸς ἦν ἂν μᾶλλον ἢ δραστήριος.
κτεῖν᾽, εἰ δοκεῖ σοι· δυσκλεῶς γὰρ οὐ κτενεῖς
μᾶλλόν γε μέντοι τοῖς ἐμοῖς πείθου λόγοις,
ἵν᾽ ἧς δικαία καὶ δάμαρτ᾽ ἐγὼ λάβω.

ΧΟΡΟΣ.

ἐν σοὶ βραβεύειν, ὦ νεᾶνι, τοὺς λόγους.
οὕτω δὲ κρῖνον ὡς ἅπασιν ἀνδάνῃς.

ΘΕΟΝΟΗ.

ἐγὼ πέφυκά τ᾽ εὐσεβεῖν καὶ βούλομαι·
φιλῶ τ᾽ ἐμαυτὴν, καὶ κλέος τοὐμοῦ πατρὸς
οὐκ ἂν μιάναιμ᾽, οὐδὲ συγγόνῳ χάριν
δοίην ἂν, ἐξ ἧς δυσκλεὴς φανήσομαι.
ἔνεστι δ᾽ ἱρὸν τῆς δίκης ἐμοὶ μέγα
ἐν τῇ φύσει· καὶ τοῦτο Νηρέως πάρα
ἔχουσα σώζειν Μενέλεων πειράσομαι·
Ἥρα δ᾽ ἐπείπερ βούλεταί σ᾽ εὐεργετεῖν,
ἐς ταυτὸν οἴσω ψῆφον· ἡ Κύπρις δέ μοι
ἵλεως μὲν εἴη, συμβέβηκε δ᾽ οὐδαμοῦ·
πειράσομαι δὲ παρθένος μένειν ἀεί.
ἃ δ᾽ ἀμφὶ τύμβῳ τῷδ᾽ ὀνειδίζεις πατρὶ
ἡμῖν ὅδ᾽ αὐτὸς μῦθος. ἀδικοίημεν ἂν,
εἰ μὴ ᾽ποδώσω· καὶ γὰρ ἂν κεῖνος βλέπων
ἀπέδωκεν ἂν σοὶ τήνδ᾽ ἔχειν, ταύτῃ δὲ σέ.
καὶ γὰρ τίσις τῶνδ᾽ ἐστὶ τοῖς τε νερτέροις
καὶ τοῖς ἄνωθεν πᾶσιν ἀνθρώποις. ὁ νοῦς
τῶν κατθανόντων ζῇ μὲν οὔ, γνώμην δ᾽ ἔχει
ἀθάνατον, εἰς ἀθάνατον αἰθέρ᾽ ἐμπεσών.
ὡς οὖν περαίνω μὴ μακρὰν, σιγήσομαι
ἅ μου καθικετεύσατ᾽, οὐδὲ μωρίᾳ
ξύμβουλος ἔσομαι τοῦ κασιγνήτου ποτέ.
εὐεργετῶ γὰρ κεῖνον οὐ δοκοῦσ᾽ ὅμως,
ἐκ δυσσεβείας ὅσιον εἰ τίθημί νιν.
αὐτοὶ μὲν οὖν τὴν ἔξοδόν γ᾽ εὑρίσκετε,
ἐγὼ δ᾽ ἀποστᾶσ᾽ ἐκποδὼν σιγήσομαι.
ἐκ τῶν θεῶν δ᾽ ἄρχεσθε, χἰκετεύετε
τὴν μέν σ᾽ ἐᾶσαι πατρίδα νοστῆσαι Κύπριν,
Ἥρας δὲ τὴν ἔννοιαν ἐν ταὐτῷ μένειν,
ἣν ἐς σὲ καὶ σὸν πόσιν ἔχει σωτηρίας.
σὺ δ᾽, ὦ θανών μοι πάτερ, ὅσον γ᾽ ἐγὼ σθένω,
οὔποτε κεκλήσει δυσσεβὴς ἀντ᾽ εὐσεβοῦς.

ΧΟΡΟΣ.

οὐδείς ποτ᾽ εὐτύχησεν ἔκδικος γεγώς,
ἐν τῷ δικαίῳ δ᾽ ἐλπίδες σωτηρίας.

ΕΛΕΝΗ.

Μενέλεε, πρὸς μὲν παρθένου σεσώσμεθα.
τοὐνθένδε δὴ σὲ τοὺς λόγους φέροντα χρὴ
κοινὴν ξυνάπτειν μηχανὴν σωτηρίας.

ΜΕΝΕΛΑΟΣ.

ἄκουε δή νυν· χρόνιος εἶ κατὰ στέγας,
καὶ συντέθραψαι προσπόλοισι βασιλέως.

ΕΛΕΝΗ.

τί τοῦτ᾽ ἔλεξας· εἰσφέρεις γὰρ ἐλπίδας,
ὡς δή τι δράσων χρηστὸν ἐς κοινόν γε νῷν.

ΜΕΝΕΛΑΟΣ.

πείσειας ἄν τιν᾽ οἵτινες τετραζύγων
ὄχων ἀνάσσουσ᾽ ὥστε νῷν δοῦναι δίφρους;

ΕΛΕΝΗ.

πείσαιμ᾽ ἄν· ἀλλὰ τίνα φυγὴν φευξούμεθα,
πεδίων ἄπειροι βαρβάρου τ᾽ ὄντες χθονός;

ΜΕΝΕΛΑΟΣ.

ἀδύνατον εἶπας. φέρε, τί δ᾽, εἰ κρυφθεὶς δόμοις
κτάνοιμ᾽ ἄνακτα τῷδε διστόμῳ ξίφει;

ΕΛΕΝΗ.

οὐκ ἂν ἀνάσχοιτ᾽ οὐδὲ σιγήσειεν ἂν
μέλλοντ᾽ ἀδελφὴ σύγγονον κατακτανεῖν.

ΜΕΝΕΛΑΟΣ.

ἀλλ᾽ οὐδὲ μὴν ναῦς ἔστιν ᾗ σωθεῖμεν ἂν
φεύγοντες· ἣν γὰρ εἴχομεν θάλασσ᾽ ἔχει.

ΕΛΕΝΗ.

ἄκουσον, ἤν τι καὶ γυνὴ λέξῃ σοφόν.
βούλει λέγεσθαι μὴ θανὼν λόγῳ θανεῖν;

ΜΕΝΕΛΑΟΣ.

κακὸς μὲν ὄρνις· εἰ δὲ κερδανῶ λέγων,
ἕτοιμός εἰμι μὴ θανὼν λόγῳ θανεῖν.

ΕΛΕΝΗ.

καὶ μὴν γυναικείοις ἂν οἰκτισαίμεθα
κουραῖσι καὶ θρήνοισι πρὸς τὸν ἀνόσιον.

ΜΕΝΕΛΑΟΣ.

σωτηρίας δὲ τοῦτ᾽ ἔχει τί νῷν ἄκος;
παλαιότης γὰρ τῷ λόγῳ γ᾽ ἔνεστί τις.

ΕΛΕΝΗ.

ὡς δὴ θανόντα σ᾽ ἐνάλιον κενῷ τάφῳ
θάψαι τύραννον τῆσδε γῆς αἰτήσομαι.

ΜΕΝΕΛΑΟΣ.

καὶ δὴ παρεῖκεν· εἶτα πῶς ἄνευ νεὼς
σωθησόμεσθα κενοταφοῦντ᾽ ἐμὸν δέμας;

ΕΛΕΝΗ.

δοῦναι κελεύσω πορθμίδ᾽, ᾗ καθήσομεν
κόσμον τάφῳ σῷ πελαγίας ἐς ἀγκάλας.

ΜΕΝΕΛΑΟΣ.

ὡς εὖ τόδ᾽ εἶπας, πλὴν ἕν· εἰ χέρσῳ ταφὰς
θεῖναι κελεύσει σ᾽, οὐδὲν ἡ σκῆψις φέρει.

ΕΛΕΝΗ.

ἀλλ᾽ οὐ νομίζειν φήσομεν καθ᾽ Ἑλλάδα
χέρσῳ καλύπτειν τοὺς θανόντας ἐναλίους.

ΜΕΝΕΛΑΟΣ.

τοῦτ᾽ αὖ κατορθοῖς· εἶτ᾽ ἐγὼ συμπλεύσομαι
καὶ συγκαθήσω κόσμον ἐν ταὐτῷ σκάφει;

ΕΛΕΝΗ.

σὲ καὶ παρεῖναι δεῖ μάλιστα τούς τε σοὺς
πλωτῆρας, οἵπερ ἔφυγον ἐκ ναυαγίας.

ΜΕΝΕΛΑΟΣ.

καὶ μὴν ἐάνπερ ναῦν ἐπ᾽ ἀγκύρας λάβω,
ἀνὴρ παρ᾽ ἄνδρα στήσεται ξιφηφόρος.

ΕΛΕΝΗ.

σὲ χρὴ βραβεύειν πάντα· πόμπιμοι μόνον
λαίψει πνοαὶ γένοιντο καὶ νεὼς δρόμος.

ΜΕΝΕΛΑΟΣ.

ἔσται· πόνους γὰρ δαίμονες παύσουσί μου.
ἀτὰρ θανόντα τοῦ μ' ἐρεῖς πεπυσμένη;

ΕΛΕΝΗ.

σοῦ· καὶ μόνος γε φάσκε διαφυγεῖν μόρον
Ἀτρέως πλέων σὺν παισὶ, καὶ θανόνθ' ὁρᾶν.

ΜΕΝΕΛΑΟΣ.

καὶ μὴν τάδ' ἀμφίβληστρα σώματος ῥάκη
ξυμμαρτυρήσει ναυτικῶν ἐρειπίων.

ΕΛΕΝΗ.

ἐς καιρὸν ἦλθε, τότε δ' ἄκαιρ' ἀπώλλυτο.
τὸ δ' ἄθλιον κεῖν' εὐτυχὲς τάχ' ἂν πέσοι.

ΜΕΝΕΛΑΟΣ.

πότερα δ' ἐς οἴκους σοὶ συνεισελθεῖν με χρὴ,
ἢ πρὸς τάφῳ τῷδ' ἥσυχοι καθώμεθα;

ΕΛΕΝΗ.

αὐτοῦ μέν'· ἢν γὰρ καί τι πλημμελές σε δρᾷ,
τάφος σ' ὅδ' ἂν ῥύσαιτο φάσγανόν τε σόν.
ἐγὼ δ' ἐς οἴκους βᾶσα βοστρύχους τεμῶ,
πέπλων τε λευκῶν μέλανας ἀνταλλάξομαι,
παρῇδί τ' ὄνυχα φόνιον ἐμβαλῶ χροός.
μέγας γὰρ ἀγὼν, καὶ βλέπω δύο ῥοπάς·
ἢ γὰρ θανεῖν δεῖ μ', ἢν ἁλῶ τεχνωμένη,
ἢ πατρίδα τ' ἐλθεῖν καὶ σὸν ἐκσῶσαι δέμας.
ὦ πότνι', ἣ δίοισιν ἐν λέκτροις πίτνεις,
Ἥρα, δύ' οἰκτρὼ φῶτ' ἀνάψυξον πόνων,
αἰτούμεθ', ὀρθὰς ὠλένας πρὸς οὐρανὸν
ῥίπτονθ', ἵν' οἰκεῖς ἀστέρων ποικίλματα.
σύ θ', ἣ 'πὶ τὠμῷ κάλλος ἐκτήσω γάμῳ,
κούρη Διώνης Κύπρι, μή μ' ἐξεργάσῃ.
ἅλις δὲ λύμης, ἥν μ' ἐλυμήνω πάρος,
τοὔνομα παρασχοῦσ', οὐ τὸ σῶμ', ἐν βαρβάροις.
θανεῖν δ' ἔασόν μ', εἰ κατακτεῖναι θέλεις,
ἐν γῇ πατρῴᾳ. τί ποτ' ἄπληστος εἶ κακῶν,
ἔρωτας, ἀπάτας δόλιά τ' ἐξευρήματα
ἀσκοῦσα φίλτρα θ' αἱματηρὰ δωμάτων;
εἰ δ' ἦσθα μετρία, τἄλλα γ' ἡδίστη θεῶν
πέφυκας ἀνθρώποισιν· οὐκ ἄλλως λέγω.

ΧΟΡΟΣ.

σὲ τὰν ἐναυλείοις ὑπὸ δενδροκόμοις
μουσεῖα καὶ θάκους ἐνίζουσαν ἀναβοάσω,
σὲ τὰν ἀοιδοτάταν ὄρνιθα μελῳδὸν
ἀηδόνα δακρυόεσσαν,
ἔλθ' ὦ διὰ ξουθᾶν γενύων ἐλελιζομένα,
θρήνοις ἐμοῖς ξύνεργος,
Ἑλένας μελέας πόνους,
τὸν Ἰλιάδων τ' ἀεί-
δουσα δακρυόεντα πόνον
Ἀχαιῶν ὑπὸ λόγχαις,
ὅς ἔμολεν ἔμολε πεδία βαρβάρῳ πλάτᾳ,
ὅς ἔδραμε ῥόθια μέλεα Πριαμίδαις ἄγων
Λακεδαίμονος ἄπο λέχεα
σέθεν ὡς εἷλεν Πάρις αἰνόγαμος
πομπαῖσιν Ἀφροδίτας.
πολλοὶ δ' Ἀχαιῶν ἐν δορὶ καὶ πετρίναις
ῥιπαῖσιν ἐκπνεύσαντες Ἅιδαν μέλεον ἔχουσιν,

**1107—1121. = 1122—1136.**

τάλαιναν ὧν ἀλόχων κείραντες ἔθειραν·
ἄνυμφα δὲ μέλαθρα κεῖται·
πολλοὺς δὲ πυρσεύσας φλογερὸν σέλας ἀμφὶ ῥυτὰν
Εὔβοιαν εἷλ' Ἀχαιῶν
μονόκωπος ἀνὴρ, πέτραις
Καφηρίσιν ἐμβαλὼν
Αἰγαίαις τ' ἐνάλοις ἀκταῖς,
δόλιον ἀστέρα λάμψας
ἀλίμεν' ἀν' ὄρεα μέλεα βαρβάρου στολᾶς,
ὅτε σύτο πατρίδος ἀποπρὸ χειμάτων πνοᾷ
τέρας, οὐ τέρας, ἀλλ' ἔριν
Δαναῶν νεφέλαν ἐπὶ ναυσὶν ἄγων,
εἴδωλον ἱρὸν Ἥρας.
ὅ τι θεὸς, ἢ μὴ θεὸς, ἢ τὸ μέσον,
τίς φησιν ἐρευνήσας
βροτῶν μακρότατον πέρας εὑ-
ρεῖν, ὃς τὰ θεῶν ἐσορᾷ
δεῦρο καὶ αὖθις ἐκεῖσε
καὶ πάλιν ἀντιλόγοις
πηδῶντ' ἀνελπίστοις τύχαις.
σὺ Διὸς ἔφυς, ὦ Ἑλένα, θυγάτηρ·
πτανὸς γὰρ ἐν κόλποις σε Λή-
δας ἐτέκνωσε πατήρ.
καὶ ἰαχὴ σὴ καθ' Ἑλλανίαν
ἄδικος, προδότις, ἄπιστος, ἄθεος· οὐδ' ἔχω
τί τὸ σαφὲς, ὅ τι ποτ' ἐν βροτοῖς.
τὸ θεῶν ἔπος ἀλαθὲς εὗρον.
ἄφρονες, ὅσοι τὰς ἀρετὰς πολέμῳ
κτᾶσθ', ἐν δορὸς ἀλκαίου
λόγχαισιν καταπαυόμενοι
πόνους θνατῶν ἀμαθῶς.
εἰ γὰρ ἅμιλλα κρινεῖ νιν
αἵματος, οὔποτ' ἔρις
λείψει κατ' ἀνθρώπων πόλεις·
αἳ Πριαμίδος γᾶς ἔλιπον θαλάμους,
ἐξὸν διορθῶσαι λόγοις
σὰν ἔριν, ὦ Ἑλένα.
νῦν δ' οἱ μὲν Ἅιδᾳ μέλονται κάτω,
τείχεα δὲ, φλογμὸς ὥστε Διὸς, ἐπέσυτο φλὸξ,
ἐπὶ πάθεα πάθεσιν φέρουσ'
ἀθλίοις ἐν συμφοραῖς Ἰλίοις.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ὦ χαῖρε, πατρὸς μνῆμ'· ἐπ' ἐξόδοισι γὰρ
ἔθαψα, Πρωτεῦ, σ' ἕνεκ' ἐμῆς προσρήσεως·
ἀεὶ δέ σ' ἐξιών τε κεἰσιὼν δόμους
Θεοκλύμενος παῖς ὅδε προσεννέπει, πάτερ.
ὑμεῖς μὲν οὖν κύνας τε καὶ θηρῶν βρόχους,
δμῶες, κομίζετ' ἐς δόμους τυραννικούς·
ἐγὼ δ' ἐμαυτὸν πόλλ' ἐλοιδόρησα δή·
οὐ γάρ τι θανάτῳ τοὺς κακοὺς κολάζομεν.
καὶ νῦν πέπυσμαι φανερὸν Ἑλλήνων τινὰ
ἐς γῆν ἀφῖχθαι καὶ λεληθέναι σκοποὺς,
ἤτοι κατόπτην ἢ κλοπαῖς θηρώμενον
Ἑλένην· θανεῖται δ', ἤν γε δὴ ληφθῇ μόνον.
ἔα·
ἀλλ', ὡς ἔοικε, πάντα διαπεπραγμένα
εὕρηκα· τύμβου γὰρ κενὰς λιποῦσ' ἕδρας
ἡ Τυνδαρὶς παῖς ἐκπεπόρθμευται χθονός.
ὠὴ, χαλᾶτε κλῇθρα, λύεθ' ἱππικὰς

**1137—1150. = 1151—1164.**

φάτνας, ὀπαδοὶ, κἀκκομίζεσθ' ἅρματα,
ὡς ἂν πόνου γ' ἕκατι μὴ λάθῃ με γῆς
τῆσδ' ἐκκομισθεῖσ' ἄλοχος, ἧς ἐφίεμαι.
ἐπίσχετ'· εἰσορῶ γὰρ οὓς διώκομεν
παρόντας ἐν δόμοισι κοὐ πεφευγότας.
αὕτη, τί πέπλους μέλανας ἐξῆψω χροὸς
λευκῶν ἀμείψασ', ἔκ τε κρατὸς εὐγενοῦς
κόμας σίδηρον ἐμβαλοῦσ' ἀπέθρισας,
χλωροῖς τε τέγγεις δάκρυσι σὴν παρηΐδα
κλαίουσα; πότερον ἐννύχοις πεπεισμένη
στένεις ὀνείροις, ἢ φάτιν τιν' οἴκοθεν
κλύουσα λύπῃ σὰς διέφθαρσαι φρένας;

ΕΛΕΝΗ.

ὦ δέσποτ', ἤδη γὰρ τόδ' ὀνομάζω σ' ἔπος,
ὄλωλα· φροῦδα τἀμὰ κοὐδέν εἰμ' ἔτι.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἐν τῷ δὲ κεῖσαι συμφορᾶς; τίς ἡ τύχη;

ΕΛΕΝΗ.

Μενέλαος, οἴμοι, πῶς φράσω; τέθνηκέ μοι.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

οὐδέν τι χαίρω σοῖς λόγοις, τὰ δ' εὐτυχῶ.
πῶς οἶσθα; μῶν σοι Θεονόη λέγει τάδε;

ΕΛΕΝΗ.

κείνη τέ φησιν ὅ τε παρὼν, ὅτ' ὤλλυτο.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἥκει γὰρ ὅστις καὶ τάδ' ἀγγέλλει σαφῆ;

ΕΛΕΝΗ.

ἥκει· μόλοι γὰρ, ὡς ἐγὼ χρῄζω μολεῖν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τίς ἐστί; ποῦ 'στιν; ἵνα σαφέστερον μάθω.

ΕΛΕΝΗ.

ὅδ', ὃς κάθηται τῷδ' ὑποπτήξας τάφῳ.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

Ἄπολλον, ὡς ἐσθῆτι δυσμόρφῳ πρέπει.

ΕΛΕΝΗ.

οἴμοι δοκῶ μὲν κἀμὸν ὧδ' ἔχειν πόσιν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ποδαπὸς δ' ὅδ' ἀνὴρ καὶ πόθεν κατέσχε γῆν;

ΕΛΕΝΗ.

Ἕλλην, Ἀχαιῶν εἷς, ἐμῷ σύμπλους πόσει.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

θανάτῳ δὲ ποίῳ φησὶ Μενέλεων θανεῖν;

ΕΛΕΝΗ.

οἰκτρότατον ὑγροῖς ἐν κλυδωνίοις ἁλός.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ποῦ βαρβάροισι πελάγεσιν ναυσθλούμενον;

ΕΛΕΝΗ.

Λιβύης ἀλιμένοις ἐκπεσόντα πρὸς πέτραις.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

καὶ πῶς ὅδ' οὐκ ὄλωλε κοινωνῶν πλάτης;

ΕΛΕΝΗ.

ἐσθλῶν κακίους ἐνίοτ' εὐτυχέστεροι.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

λιπὼν δὲ ναὸς ποῦ πάρεστιν ἔκβολα;

ΕΛΕΝΗ.

ὅπου κακῶς ὄλοιτο, Μενέλεως δὲ μή.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ὄλωλ' ἐκεῖνος· ἦλθε δ' ἐν ποίῳ σκάφει;

ΕΛΕΝΗ.

ναῦταί σφ' ἀνεῖλον ἐντυχόντες, ὡς λέγει.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ποῦ δὴ τὸ πεμφθὲν ἀντὶ σοῦ Τροίᾳ κακόν;

ΕΛΕΝΗ.

νεφέλης λέγεις ἄγαλμ'; ἐς αἰθέρ' οἴχεται.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ὦ Πρίαμε καὶ γῆ Τρῳὰς, ὡς ἔρρεις μάτην.

ΕΛΕΝΗ.

κἀγὼ μετέσχον Πριαμίδαις δυσπραξίας.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

πόσιν δ' ἄθαπτον ἔλιπεν ἢ κρύπτει χθονί;

ΕΛΕΝΗ.

ἄθαπτον; οἳ 'γὼ τῶν ἐμῶν τλήμων κακῶν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τῶνδ' οὕνεκ' ἔταμες βοστρύχους ξανθῆς κόμης;

ΕΛΕΝΗ.

φίλος γάρ ἐστιν, ὅς ποτ' ἐστὶν, ἐνθάδ' ὤν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ὀρθῶς μὲν ἥδε συμφορὰ δακρύεται;

ΕΛΕΝΗ.

ἐν εὐμαρεῖ γοῦν σὴν κασιγνήτην θανεῖν;

ΘΕΟΚΛΥΜΕΝΟΣ.

οὐ δῆτα. πῶς οὖν; τόνδ' ἔτ' οἰκήσεις τάφον;

ΕΛΕΝΗ.

τί κερτομεῖς με, τὸν θανόντα δ' οὐκ ἐᾷς;

ΘΕΟΚΛΥΜΕΝΟΣ.

πιστὴ γὰρ εἶ σὺ σῷ πόσει φεύγουσά με.

ΕΛΕΝΗ.

ἀλλ' οὐκέτ'· ἤδη δ' ἄρχε τῶν ἐμῶν γάμων.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

χρόνια μὲν ἦλθες, ἀλλ' ὅμως αἰνῶ τάδε.

ΕΛΕΝΗ.

οἶσθ' οὖν ὃ δρᾶσον; τῶν πάρος λαθώμεθα.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἐπὶ τῷ; χάρις γὰρ ἀντὶ χάριτος ἐλθέτω.

ΕΛΕΝΗ.

σπονδὰς τέμωμεν καὶ διαλλάχθητί μοι.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

μεθίημι νεῖκος τὸ σὸν, ἴτω δ' ὑπόπτερον.

ΕΛΕΝΗ.

πρός νύν σε γονάτων τῶνδ', ἐπείπερ εἶ φίλ

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τί χρῆμα θηρῶσ' ἱκέτις ὠρέχθης ἐμοῦ;

ΕΛΕΝΗ.

τὸν κατθανόντα πόσιν ἐμὸν θάψαι θέλω.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τίς δ' ἔστ' ἀπόντων τύμβος; ἢ θάψεις σκιά

ΕΛΕΝΗ.

Ἕλλησίν ἐστι νόμος, ὃς ἂν πόντῳ θάνῃ,

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τί δρᾶν; σοφοί τοι Πελοπίδαι τὰ τοιάδε.

ΕΛΕΝΗ.

κενοῖσι θάπτειν ἐν πέπλων ὑφάσμασιν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

κτέριζ'· ἀνίστη τύμβον οὗ χρῄζεις χθονός.

ΕΛΕΝΗ.

οὐχ ὧδε ναύτας ὀλομένους τυμβεύομεν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

πῶς δαί; λέλειμμαι τῶν ἐν Ἕλλησιν νόμων.

ΕΛΕΝΗ.

ἐς πόντον ὅσα χρὴ νέκυσιν ἐξορμίζομεν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.
τί σοι παράσχω δῆτα τῷ τεθνηκότι;
ΕΛΕΝΗ.
οὐκ οἶδ᾽· ἐγὼ δ᾽ ἄπειρος, εὐτυχοῦσα πρίν.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
ὦ ξένε, λόγων μὲν κληδόν᾽ ἤνεγκας φίλην.
ΜΕΝΕΛΑΟΣ.
οὔκουν ἐμαυτῷ γ᾽ οὐδὲ τῷ τεθνηκότι.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
πῶς τοὺς θανόντας θάπτετ᾽ ἐν πόντῳ νεκρούς;
ΜΕΝΕΛΑΟΣ.
ὡς ἂν παρούσης οὐσίας ἕκαστος ᾖ.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
πλούτου λέγ᾽ οὕνεχ᾽, ὅ τι θέλεις ταύτης χάριν.
ΜΕΝΕΛΑΟΣ.
προσσφάζεται μὲν αἷμα πρῶτα νερτέροις.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
τίνος; σύ μοι σήμαινε, πείσομαι δ᾽ ἐγώ.
ΜΕΝΕΛΑΟΣ.
αὐτὸς σὺ γίγνωσκ᾽· ἀρκέσει γὰρ ἂν διδῷς.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
ἐν βαρβάροις μὲν ἵππον ἢ ταῦρον νόμος.
ΜΕΝΕΛΑΟΣ.
διδούς γε μὲν δή, δυσγενὲς μηδὲν δίδου.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
οὐ τῶνδ᾽ ἐν ἀγέλαις ὀλβίαις σπανίζομεν.
ΜΕΝΕΛΑΟΣ.
καὶ στρωτὰ φέρεται λέκτρα σώματος κενά.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
ἔσται· τί δ᾽ ἄλλο προσφέρειν νομίζεται;
ΜΕΝΕΛΑΟΣ.
χαλκήλαθ᾽ ὅπλα· καὶ γὰρ ἦν φίλος δορί.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
ἄξια τάδ᾽ ἔσται Πελοπιδῶν ἃ δώσομεν.
ΜΕΝΕΛΑΟΣ.
καὶ τἄλλ᾽ ὅσα χθὼν καλὰ φέρει βλαστήματα.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
πῶς οὖν; ἐς οἶδμα τίνι τρόπῳ καθίετε;
ΜΕΝΕΛΑΟΣ.
ναῦν δεῖ παρεῖναι κἀρετμῶν ἐπιστάτας.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
πόσον δ᾽ ἀπείργει μῆκος ἐκ γαίας δόρυ;
ΜΕΝΕΛΑΟΣ.
ὥστ᾽ ἐξορᾶσθαι ῥόθια χερσόθεν μόλις.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
τί δὴ τόδ᾽ Ἑλλὰς νόμιμον ἐκ τίνος σέβει;
ΜΕΝΕΛΑΟΣ.
ὡς μὴ πάλιν γῇ λύματ᾽ ἐκβάλλῃ κλύδων.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
Φοίνισσα κώπη ταχύπορος γενήσεται.
ΜΕΝΕΛΑΟΣ.
καλῶς ἂν εἴη, Μενέλεῴ γε πρὸς χάριν.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
οὔκουν σὺ χωρὶς τῆσδε δρῶν ἀρκεῖς τάδε;
ΜΕΝΕΛΑΟΣ.
μητρὸς τόδ᾽ ἔργον ἢ γυναικὸς ἢ τέκνων.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
ταύτης ὁ μόχθος, ὡς λέγεις, θάπτειν πόσιν.
ΜΕΝΕΛΑΟΣ.
ἐν εὐσεβεῖ γοῦν νόμιμα μὴ κλέπτειν νεκρῶν.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
ἴτω· πρὸς ἡμῶν ἄλοχον εὐσεβῆ τρέφειν.
ἐλθὼν δ᾽ ἐς οἴκους ἐξελῶ κόσμον νεκρῷ,
καί σ᾽ οὐ κεναῖσι χερσὶ γῆς ἀποστελῶ,
δράσαντα τῇδε πρὸς χάριν. φήμας δέ μοι
ἐσθλὰς ἐνεγκών γ᾽; ἀντὶ τῆς ἀχλαινίας
ἐσθῆτα λήψει σῖτά θ᾽, ὥστε σ᾽ ἐς πάτραν
ἐλθεῖν, ἐπεὶ νῦν γ᾽ ἀθλίως ἔχονθ᾽ ὁρῶ.
σὺ δ᾽, ὦ τάλαινα, μὴ ᾽πὶ τοῖς ἀνηνύτοις
*  *  *  *  *
τρύχουσα σαυτήν· Μενέλεως δ᾽ ἔχει πότμον,
κοὐκ ἂν δύναιτο ζῆν ὁ κατθανὼν πόσις.
ΜΕΝΕΛΑΟΣ.
σὸν ἔργον, ὦ νεᾶνι· τὸν παρόντα μὲν
στέργειν πόσιν χρή, τὸν δὲ μηκέτ᾽ ὄντ᾽ ἐᾶν·
ἄριστα γάρ σοι ταῦτα πρὸς τὸ τυγχάνον.
ἢν δ᾽ Ἑλλάδ᾽ ἔλθω καὶ τύχω σωτηρίας,
παύσω ψόγου σε τοῦ πρίν, ἢν γυνὴ γένῃ
οἵαν γενέσθαι χρή σε σῷ ξυνευνέτῃ.
ΕΛΕΝΗ.
ἔσται τάδ᾽· οὐδὲ μέμψεται πόσις ποτὲ
ἡμῖν· σὺ δ᾽ αὐτὸς ἐγγὺς ὢν εἴσει τάδε.
ἀλλ᾽, ὦ τάλας, εἴσελθε καὶ λουτρῶν τύχε
ἐσθῆτά τ᾽ ἐξάλλαξον. οὐκ ἐς ἀμβολὰς
εὐεργετήσω σ᾽. εὐμενέστερον γὰρ ἂν
τῷ φιλτάτῳ μοι Μενέλεῳ τὰ πρόσφορα
δρῴης ἄν, ἡμῶν τυγχάνων οἵων σε χρή.
ΧΟΡΟΣ.
ὀρεία ποτὲ δρομάδι κώλῳ
μάτηρ θεῶν ἐσύθη
ἀν᾽ ὑλᾶντα νάπη
ποτάμιόν τε χεῦμ᾽ ὑδάτων
βαρύβρομόν τε κῦμ᾽ ἅλιον
πόθῳ τᾶς ἀποιχομένας
ἀρρήτου κούρας·
κρόταλα δὲ Βρόμια διαπρύσιον
ἱέντα κέλαδον ἀνεβόα,
θηρῶν ὅτε ζυγίους
ζεύξασα θεὰ σατίνας,
τὰν ἁρπασθεῖσαν κυκλίων
χορῶν ἔξω παρθενίων·
μετὰ κοῦραι ἀελλόποδες
ἁ μὲν τόξοις Ἄρτεμις, ἁ δ᾽
ἐν ἔγχει Γοργὼ πάνοπλος·
αὐγάζων δ᾽ ἐξ οὐρανίων
*  *  *
ἄλλαν μοῖραν ἔκραινε.
δρομαίων δ᾽ ὅτε πολυπλανήτων
μάτηρ ἔπαυσε πόνων,
μαστεύουσα πόρους
θυγατρὸς ἁρπαγᾶς δολίους,
χιονοθρέμμονάς γ᾽ ἐπέρασ᾽
Ἰδαιᾶν Νυμφᾶν σκοπιάς·
ῥίπτει δ᾽ ἐν πένθει
πέτρινα κατὰ δρία πολυνιφέα·
βροτοῖσι δ᾽ ἄχλοα πεδία γᾶς
οὐ καρπίζουσ᾽ ἀρότοις
λαῶν φθείρει γενεάν·
ποίμναις δ᾽ οὐχ ἵει θαλερὰς

1301 — 1318. == 1319 — 1336.

βοσκὰς εὐφύλλων ἑλίκων·
πολέων δ' ἀπέλειπε βίος,
οὐδ' ἦσαν θεῶν θυσίαι,
βωμοῖς τ' ἄφλεκτοι πέλανοι·
πηγάς τ' ἀμπαύει δροσερὰς
λευκῶν ἐκβαλεῖν ὑδάτων
πένθει παιδὸς ἀλάστωρ.
ἐπεὶ δ' ἔπαυσ' εἰλαπίνας
θεοῖς βροτείῳ τε γένει,
Ζεὺς μειλίσσων στυγίους
ματρὸς ὀργὰς ἐνέπει,
βᾶτε, σεμναὶ Χάριτες,
ἴτε, τᾷ περὶ παρθένῳ
Δηοῖ θυμωσαμένᾳ
λύπαν ἀλλάξαιτ' ὀλαλᾷ,
Μοῦσαί θ' ὕμνοισι χορῶν·
χαλκοῦ τ' αὐδὰν χθονίαν,
τύμπανα λάβετε βυρσοτενῆ.
καλλίστα τότε πρῶτα μακάρων
Κύπρις γέλασέ τε θεὰ
δέξατό τ' εἰς χέρας
βαρύβρομον αὐλὸν
τερφθεῖσ' ἀλαλαγμῷ.
ὧν οὐ θέμις οὔθ' ὁσία,
ἐπύρωσας ἐν θαλάμοις,
μῆνιν δ' ἔχεις μεγάλας
ματρὸς, ὦ παῖ, θυσίας
οὐ σεβίζουσα θεοῖς.
μέγα τοι δύναται νεβρῶν
παμποίκιλοι στολίδες,
κισσοῦ τε στεφθεῖσα χλόα
νάρθηκας εἰς ἱερούς,
ῥόμβου θ' εἱλισσομένα
κύκλιος ἔνοσις αἰθερία,
βακχεύουσά τ' ἔθειρα Βρομίῳ
καὶ παννυχίδες θεᾶς.
εὖ δέ νιν ἄμασιν
ὑπέρβαλε σελάνα.
μορφᾷ μόνον ηὔχεις.

ΕΛΕΝΗ.

τὰ μὲν κατ' οἴκους εὐτυχοῦμεν, ὦ φίλαι·
ἡ γὰρ συνεκκλέπτουσα Πρωτέως κόρη,
πόσιν παρόντα τὸν ἐμὸν ἱστορουμένη,
οὐκ εἶπ' ἀδελφῷ· κατθανόντα δ' ἐν χθονὶ
οὔ φησιν αὐγὰς εἰσορᾶν ἐμὴν χάριν.
κάλλιστα δῆτ' ἀνήρπασεν τεύχη πόσις·
ἃ γὰρ καθήσειν ὅπλ' ἔμελλεν εἰς ἅλα,
ταῦτ' ἐμβαλὼν πόρπακι γενναίαν χέρα
αὐτὸς κομίζει, δόρυ τε δεξιᾷ λαβὼν,
ὡς τῷ θανόντι χάριτα δὴ συνεκπονῶν.
προὔργου δ' ἐς ἀλκὴν σῶμ' ὅπλοις ἠσκήσατο,
ὡς βαρβάρων τροπαῖα μυρίων χερὶ
θήσων, ὅταν κωπῆρες εἰσβῶμεν σκάφος.
πέπλους δ' ἀμείψασ' ἀντὶ ναυφθόρου στολῆς
ἐγώ νιν ἐξήσκησα, καὶ λουτροῖς χρόα
ἔδωκα, χρόνια νίπτρα ποταμίας δρόσου.
ἀλλ' ἐκπερᾷ γὰρ δωμάτων ὁ τοὺς ἐμοὺς
γάμους ἑτοίμους ἐν χεροῖν ἔχειν δοκῶν,
σιγητέον μοι· καὶ σὲ προσποιούμεθα

1337—1352. == 1353—1368.

εὔνουν, κρατοῦντα στόματος, ἢν δυνώμεθα,
σωθέντες αὐτοὶ καὶ σὲ συσσῶσαί ποτε.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

χωρεῖτ' ἐφεξῆς, ὡς ἔταξεν ὁ ξένος,
δμῶες, φέροντες ἐνάλια κτερίσματα.
Ἑλένη, σὺ δ', ἤν σοι μὴ κακῶς δόξω λέγειν,
πείθου, μέν' αὐτοῦ· ταὐτὰ γὰρ παροῦσά τι
πράξεις τὸν ἄνδρα τὸν σὸν ἤν τε μὴ παρῇς.
δέδοικα γάρ σε μή τις ἐμπεσὼν πόθος
πείσῃ μεθεῖναι σῶμ' ἐς οἶδμα πόντιον,
τοῦ πρόσθεν ἀνδρὸς χάρισιν ἐκπεπληγμένην·
ἄγαν γὰρ αὐτὸν οὐ παρόνθ' ὅμως στένεις.

ΕΛΕΝΗ.

ὦ καινὸς ἡμῖν πόσις, ἀναγκαίως ἔχει,
τὰ πρῶτα λέκτρα νυμφικάς θ' ὁμιλίας
τιμᾶν· ἐγὼ δὲ διὰ τὸ μὲν στέργειν πόσιν
καὶ ξυνθάνοιμ' ἄν· ἀλλὰ τίς κείνῳ χάρις
ξὺν κατθανόντι κατθανεῖν; ἔα δέ με
αὐτὴν μολοῦσαν ἐντάφια δοῦναι νεκρῷ.
θεοὶ δὲ σοί τε δοῖεν οἷ' ἐγὼ θέλω
καὶ τῷ ξένῳ τῷδ', ὅτι συνεκπονεῖ τάδε.
ἕξεις δέ μ' οἵαν χρή σ' ἔχειν ἐν δώμασι
γυναῖκ', ἐπειδὴ Μενέλεων εὐεργετεῖς
κἀμ'· ἔρχεται γὰρ δή τιν' ἐς τύχην τάδε·
ὅστις δὲ δώσει ναῦν, ἐν ᾗ τάδ' ἄξομεν,
πρόσταξον, ὡς ἂν τὴν χάριν πλήρη λάβω.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

χώρει σὺ, καὶ ναῦν τοῖσδε πεντηκόντορον
Σιδωνίαν δὸς κἀρετμῶν ἐπιστάτας.

ΕΛΕΝΗ.

οὔκουν ὅδ' ἄρξει ναὸς ὃς κοσμεῖ τάφον;

ΘΕΟΚΛΥΜΕΝΟΣ.

μάλιστ' ἀκούειν τοῦδε χρὴ ναύτας ἐμούς.

ΕΛΕΝΗ.

αὖθις κέλευσον, ἵνα σαφῶς μάθωσί σου.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

αὖθις κελεύω, καὶ τρίτον γ', εἴ σοι φίλον.

ΕΛΕΝΗ.

ὄναιο, κἀγὼ τῶν ἐμῶν βουλευμάτων.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

μή νυν ἄγαν σὸν δάκρυσιν ἐκτήξῃς χρόα.

ΕΛΕΝΗ.

ἥδ' ἡμέρα σοι τὴν ἐμὴν δείξει χάριν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τὰ τῶν θανόντων οὐδὲν, ἀλλ' ἄλλως πόνος.

ΕΛΕΝΗ.

ἔστιν τι κἀκεῖ κἀνθάδ' ὧν ἐγὼ λέγω.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

οὐδὲν κακίω Μενέλεώ μ' ἕξεις πόσιν.

ΕΛΕΝΗ.

οὐδὲν σὺ μεμπτός· τῆς τύχης μέλει μόνον.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἐν σοὶ τόδ', ἢν σὴν εἰς ἔμ' εὔνοιαν διδῷς.

ΕΛΕΝΗ.

οὐ νῦν διδαξόμεσθα τοὺς φίλους φιλεῖν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

βούλει ξυνεργῶν αὐτὸς ἐκπέμψω στόλον;

ΕΛΕΝΗ.

ἥκιστα· μὴ δούλευε σοῖς δούλοις, ἄναξ.

ΘΕΟΚΛΥΜΕΝΟΣ.
ἀλλ' εἶα· τοὺς μὲν Πελοπιδῶν ἐῶ νόμους.
καθαρὰ γὰρ ἡμῖν δώματ'· οὐ γὰρ ἐνθάδε
ψυχὴν ἀφῆκε Μενέλεως· ἴτω δέ τις
φράσων ὑπάρχοις τοῖς ἐμοῖς φέρειν γάμων
ἀγάλματ' οἴκους εἰς ἐμούς· πᾶσαν δὲ χρὴ
γαῖαν βοᾶσθαι μακαρίαις ὑμνῳδίαις
ὑμέναιον Ἑλένης κἀμὸν, ὡς ζηλωτὸς ᾖ.
σὺ δ', ὦ ξέν', ἐλθὼν, πελαγίους ἐς ἀγκάλας
τῷ τῆσδε πρίν ποτ' ὄντι δοὺς πόσει τάδε,
πάλιν πρὸς οἴκους σπεῦδ', ἐμὴν δάμαρτ' ἔχων,
ὡς τοὺς γάμους τοὺς τῆσδε συνδαίσας ἐμοὶ
στέλλῃ πρὸς οἴκους, ἢ μένων εὐδαιμονῇς.
ΜΕΝΕΛΑΟΣ.
ὦ Ζεῦ, πατήρ τε καὶ σοφὸς κλῄζει θεός·
βλέψον πρὸς ἡμᾶς καὶ μετάστησον κακῶν.
ἕλκουσι δ' ἡμῖν πρὸς λέπας τὰς συμφορὰς
σπουδῇ σύναψαι· κἂν ἄκρᾳ θίγῃς χερὶ,
ἥξομεν ἵν' ἐλθεῖν βουλόμεσθα τῆς τύχης.
ἅλις δὲ μόχθων οὓς ἐμοχθοῦμεν πάρος.
κέκλησθέ μοι, θεοὶ, πολλὰ χρήστ' ἐμοῦ κλύειν
καὶ λύπρ'. ὀφείλω δ' οὐκ ἀεὶ πράσσειν κακῶς,
ὀρθῷ δὲ βῆναι ποδί. μίαν δ' ἐμοὶ χάριν
δόντες τὸ λοιπὸν εὐτυχῆ με θήσετε.
ΧΟΡΟΣ.
Φοίνισσα Σιδωνιὰς ὦ
ταχεῖα κώπα, ῥοθίοισι μάτηρ,
εἰρεσία φίλα,
χοραγὲ τῶν καλλιχόρων
δελφίνων, ὅταν αὔραις
πέλαγος νήνεμον ᾖ,
γλαυκὰ δὲ Πόντου θυγάτηρ
Γαλάνεια τάδ' εἴπῃ·
κατὰ μὲν ἱστία πετάσατ' αὔραις
λιπόντες ἐναλίαις,
λάβετε δ' εἰλατίνας πλάτας,
ὦ ναῦται, ἰὼ ναῦται,
πέμποντες εὐλιμένους
Περσείων οἴκων Ἑλέναν ἐπ' ἀκτάς.
ἦ που κόρας ἂν ποταμοῦ
παρ' οἶδμα Λευκιππίδας, ἢ πρὸ ναοῦ
Παλλάδος ἂν λάβοις
χρόνῳ ξυνελθοῦσα χοροῖς
ἢ κώμοις Ὑακίνθου,
νυχίαν εὐφροσύναν,
ὃν ἐξαμιλλησάμενος
τρόχῳ τέρμονα δίσκου
ἔκανε Φοῖβος, τᾷ Λακαίνᾳ γᾷ
δὲ βούθυτον ἁμέραν
ὁ Διὸς εἶπε σέβειν γόνος,
μόσχον θ', ἃν λίποιτ' οἴκοις
* * *
ἇς οὔπω πεῦκαι πρὸ γάμων ἔλαμψαν.
δι' ἀέρος εἰ ποτανοὶ
γενοίμεσθα Λίβυες
οἰωνοὶ στολάδες
ὄμβρον λιποῦσαι χειμέριον
νίσσονται πρεσβυτάτᾳ
σύριγγι πειθόμεναι
ποιμένος, ὃς τ' ἄβροχα
πεδία καρποφόρα τε γᾶς
ἐπιπετόμενος ἰαχεῖ.
ὦ πταναὶ δολιχαύχενες,
σύννομοι νεφέων δρόμου,
βᾶτε Πλειάδας ὑπὸ μέσας
Ὠρίωνά τ' ἐννύχιον,
καρύξατ' ἀγγελίαν,
Εὐρώταν ἐφεζόμεναι,
Μενέλαος ὅτι Δαρδάνου
πόλιν ἑλὼν δόμον ἥξει.
μόλοιτέ ποθ' ἵππειον ἅρμα
δι' αἰθέρος ἱέμενοι
παῖδες Τυνδαρίδαι,
λαμπρῶν ἄστρων ὑπ' ἀέλλαισιν
οἳ ναίετ' οὐράνιοι,
σωτῆρες τᾶς Ἑλένας
γλαυκὸν ἐπ' οἶδμ' ἅλιον
κυανόχροά τε κυμάτων
ῥόθια πολιὰ θαλάσσας,
ναύταις εὐαεῖς ἀνέμων
πέμποντες Διόθεν πνοάς·
δύσκλειαν δ' ἀπὸ συγγόνου
βάλετε βαρβάρων λεχέων,
ἃν Ἰδαίων ἐρίδων
ποναθεῖσ' ἐκτήσατο, τὰν
οὐκ ἐλθοῦσαν Ἰλίου
Φοιβείους ἐπὶ πύργους.

1451—1464. == 1465—1477.

1478—1494. == 1495—1511.

ΑΓΓΕΛΟΣ.
ἄναξ, κάκιστα τἀν δόμοις εὑρήκαμεν·
ὡς καίν' ἀκούσει πήματ' ἐξ ἐμοῦ τάχα.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
τί δ' ἔστιν;
ΑΓΓΕΛΟΣ.
ἄλλης ἐκπόνει μνηστεύματα
γυναικός· Ἑλένη γὰρ βέβηκ' ἔξω χθονός.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
πτεροῖσιν ἀρθεῖσ' ἢ πεδοστιβεῖ ποδί;
ΑΓΓΕΛΟΣ.
Μενέλαος αὐτὴν ἐκπεπόρθμευται χθονὸς,
ὃς αὐτὸς αὑτὸν ἦλθεν ἀγγέλλων θανεῖν.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
ὢ δεινὰ λέξας· τίς δέ νιν ναυκληρία
ἐκ τῆσδ' ἀπῆρε χθονός; ἄπιστα γὰρ λέγεις.
ΑΓΓΕΛΟΣ.
ἥν γε ξένῳ δίδως σὺ, τούς τε σοὺς ἔχων
ναύτας βέβηκεν, ὡς ἂν ἐν βραχεῖ μάθῃς.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
πῶς, εἰδέναι πρόθυμος· οὐ γὰρ ἐλπίδων
εἴσω βέβηκα μίαν ὑπερδραμεῖν χέρα
τοσούσδε ναύτας, ὧν ἀπεστάλης μέτα.
ΑΓΓΕΛΟΣ.
ἐπεὶ λιποῦσα τούσδε βασιλείους δόμους
ἡ τοῦ Διὸς παῖς πρὸς θάλασσαν ἐστάλη,
σοφώταθ' ἁβρὸν πόδα τιθεῖσ', ἀνέστενε
πόσιν πέλας παρόντα κοὐ τεθνηκότα.
ὡς δ' ἤλθομεν σῶν περίβολον νεωρίων,
Σιδωνίαν ναῦν πρωτόπλουν καθείλκομεν,
ζυγῶν τε πεντήκοντα, κἀρετμῶν μέτρα

ἔχουσαν· ἔργου δ' ἔργον ἐξημείβετο·
ὁ μὲν γὰρ ἱστὸν, ὁ δὲ πλάτην καθίστατο
ταρσόν τε χειρὶ, λευκά θ' ἱστί' εἰς ἓν ἦν,
πηδάλιά τε ζεύγλαισι παρακαθίετο.
κἂν τῷδε μόχθῳ τοῦτ' ἄρα σκοπούμενοι
Ἕλληνες ἄνδρες Μενέλεῳ ξυνέμποροι
προσῆλθον ἀκταῖς, ναυφθόροις ἠσθημένοι
πέπλοισιν, εὐειδεῖς μὲν, αὐχμηροὶ δ' ὁρᾶν.
ἰδὼν δέ νιν παρόντας Ἀτρέως γόνος,
προσεῖπε, δόλιον οἶκτον ἐς μέσον φέρων,
ὦ τλήμονες, πῶς ἐκ τίνος νεὼς ποτε
Ἀχαΐδος θραύσαντες ἥκετε σκάφος;
ἆρ' Ἀτρέως παῖδ' ὀλόμενον συνθάπτετε,
ὃν Τυνδαρὶς παῖς ἥδ' ἀπόντα κενοταφεῖ;
οἱ δ' ἐκβαλόντες δάκρυα ποιητῷ τρόπῳ
ἐς ναῦν ἐχώρουν, Μενέλεῳ ποντίσματα
φέροντες. ἡμῖν δ' ἦν μὲν ἥδ' ὑποψία
λόγος τ' ἐν ἀλλήλοισι, τῶν ἐπεισβατῶν
ὡς πλῆθος εἴη· διεσιωπῶμεν δ' ὅμως,
τοὺς σοὺς λόγους σώζοντες· ἄρχειν γὰρ νεὼς
ξένον κελεύσας πάντα συνέχεας τάδε.
καὶ τἄλλα μὲν δὴ ῥᾳδίως εἴσω νεὼς
ἐθέμεθα κουφίζοντα· ταύρειος δὲποὺς
οὐκ ἤθελ' ὀρθὸς σανίδα προσβῆναι κάτα,
ἀλλ' ἐξεβρυχᾶτ' ὄμμ' ἀναστρέφων κύκλῳ,
κυρτῶν τε νῶτα κεἰς κέρας παρεμβλέπων
μὴ θιγγάνειν ἀπεῖργεν. ὁ δ' Ἑλένης πόσις
ἐκάλεσεν, ὦ πέρσαντες Ἰλίου πόλιν,
οὐκ εἶ' ἀναρπάσαντες Ἑλλήνων νόμῳ
νεανίαις ὤμοισι ταύρειον δέμας
ἐς πρῷραν ἐμβαλεῖτε, φάσγανόν θ' ἅμα
πρόχειρον ὤσει σφάγια τῷ τεθνηκότι;
οἱ δ' ἐς κέλευσμ' ἐλθόντες ἐξανήρπασαν
ταῦρον φέροντές τ' εἰσέθεντο σέλματα.
μονάμπυκον δὲ Μενέλεως ψήχων δέρην
μέτωπά τ' ἐξέπεισεν ἐσβῆναι δόρυ.
τέλος δ' ἐπειδὴ ναῦς τὰ πάντ' ἐδέξατο,
πλήσασα κλιμακτῆρας εὐσφύρου ποδὸς
Ἑλένη, καθέζετ' ἐν μέσοις ἑδωλίοις,
ὅ τ' οὐκέτ' ὢν λόγοισι Μενέλεως πέλας·
ἄλλοι δὲ τοίχους δεξιοὺς λαιούς τ' ἴσοι
ἀνὴρ παρ' ἄνδρ' ἕζονθ', ὑφ' εἵμασι ξίφη
λαθραῖ' ἔχοντες, ῥόθιά τ' ἐξεπίμπλατο
βοῆς, κελευστοῦ φθέγμαθ' ὡς ἠκούσαμεν.
ἐπεὶ δὲ γαίας ἦμεν οὔτ' ἄγαν πρόσω
οὔτ' ἐγγὺς, οὕτως ἤρετ' οἰάκων φύλαξ·
ἔτ', ὦ ξέν', ἐς τὸ πρόσθεν, ἢ καλῶς ἔχει,
πλεύσωμεν; ἀρχαὶ γὰρ νεὼς μέλουσί σοι.
ὁ δ' εἶφ', ἅλις μοι· δεξιᾷ δ' ἑλὼν ξίφος
ἐς πρῷραν εἷρπε, κἀπὶ ταυρείῳ σφαγῇ
σταθεὶς νεκρῶν μὲν οὐδενὸς μνήμην ἔχων,
τέμνων δὲ λαιμὸν ηὔχετ', ὦ ναίων ἅλα
πόντιε Πόσειδον Νηρέως θ' ἁγναὶ κόραι,
σώσατέ μ' ἐπ' ἀκτὰς Ναυπλίας δάμαρτά τε
ἄσυλον ἐκ γῆς. αἵματος δ' ἀπορροαὶ
ἐς οἶδμ' ἐσηκόντιζον οὔρια ξένῳ.
καί τις τόδ' εἶπε, δόλιος ἡ ναυκληρία·
πάλιν πλέωμεν Ναξίαν· κέλευε σύ·
σὺ δὲ στρέφ' οἴακ'. ἐκ δὲ ταυρείου φόνου
Ἀτρέως σταθεὶς παῖς ἀνεβόησε συμμάχους,
τί μέλλετ', ὦ γῆς Ἑλλάδος λωπίσματα,
σφάζειν, φονεύειν βαρβάρους, νεώς τ' ἄπο
ῥίπτειν ἐς οἶδμα; ναυβάταις δὲ τοῖσι σοῖς
βοᾷ κελευστὴς τὴν ἐναντίαν ὄπα,
οὐκ εἶ' ὁ μέν τις λοῖσθον ἀρεῖται δόρυ,
ὁ δὲ ζύγ' ἄξας, ὁ δ' ἀφελὼν σκαλμοῦ πλάτην
καθαιματώσει κρᾶτα πολεμίων ξένων;
ὀρθοὶ δ' ἀνῇξαν πάντες, οἱ μὲν ἐν χεροῖν
κορμοὺς ἔχοντες ναυτικοὺς, οἱ δὲ ξίφη.
φόνῳ δὲ ναῦς ἐρρεῖτο· παρακέλευσμα δ' ἦν
πρύμνηθεν Ἑλένης, ποῦ τὸ Τρωικὸν κλέος;
δείξατε πρὸς ἄνδρας βαρβάρους· σπουδῆς δ' ὕπ
ἔπιπτον, οἱ δ' ὠρθοῦντο, τοὺς δὲ κειμένους
νεκροὺς ἂν εἶδες. Μενέλεως δ' ἔχων ὅπλα,
ὅπῃ νοσοῖεν ξύμμαχοι κατασκοπῶν,
ταύτῃ προσῆγε χειρὶ δεξιᾷ ξίφος,
ὥστ' ἐκκολυμβᾶν ναός· ἠρήμωσε δὲ
σῶν ναυβατῶν ἐρέτμ'. ἐπ' οἰάκων δὲ βὰς
ἄναξ ἐς Ἑλλάδ' εἶπεν εὐθύνειν δόρυ.
οἱ δ' ἱστὸν ἦρον, οὔριαι δ' ἧκον πνοαὶ,
βεβᾶσι δ' ἐκ γῆς· διαφυγὼν δ' ἐγὼ φόνον
καθῆκ' ἐμαυτὸν εἰς ἅλ' ἄγκυραν πάρα.
ἤδη δὲ κάμνονθ' ὁρμιὰν τείνων μέ τις
ἀνείλετ', ἐς δὲ γαῖαν ἐξέβησέ σοι
τάδ' ἀγγελοῦντα. σώφρονος δ' ἀπιστίας
οὐκ ἔστιν οὐδὲν χρησιμώτερον βροτοῖς.

ΧΟΡΟΣ.

οὐκ ἄν ποτ' ηὔχουν οὔτε σ' οὔθ' ἡμᾶς λαθεῖν
Μενέλαον, ὦναξ, ὡς ἐλάνθανεν παρών.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ὦ γυναικείαις τέχναισιν αἱρεθεὶς ἐγὼ τάλας.
ἐκπεφεύγασιν γάμοι με. κεἰ μὲν ἦν ἁλώσιμος
ναῦς διώγμασιν, πονήσας εἷλον ἂν τάχα ξένους
νῦν δὲ τὴν προδοῦσαν ἡμᾶς τισόμεσθα σύγγονον
ἥτις ἐν δόμοις ὁρῶσα Μενέλεων οὐκ εἶπέ μοι.
τοιγὰρ οὔποτ' ἄλλον ἄνδρα ψεύσεται μαντεύμασιν

ΧΟΡΟΣ.

οὗτος ὦ, ποῖ σὸν πόδ' αἴρεις, δέσποτ', ἐς ποῖο
φόνον;

ΘΕΟΚΛΥΜΕΝΟΣ.

οἷπερ ἡ δίκη κελεύει μ'. ἀλλ' ἀφίστασ' ἐκποδών

ΧΟΡΟΣ.

οὐκ ἀφήσομαι πέπλων σῶν, μεγάλα γὰρ σπεύ
δεις κακά.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἀλλὰ δεσποτῶν κρατήσεις δοῦλος ὤν;

ΧΟΡΟΣ.

φρονῶ γὰρ εὖ

ΘΕΟΚΛΥΜΕΝΟΣ.

οὐκ ἔμοιγ', εἰ μή μ' ἐάσεις

ΧΟΡΟΣ.

οὐ μὲν οὖν σ' ἐάσομεν

ΘΕΟΚΛΥΜΕΝΟΣ.

σύγγονον κτανεῖν κακίστην.

ΧΟΡΟΣ.

εὐσεβεστάτην μὲν οὖν

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἥ με προὔδωκεν;

ΧΟΡΟΣ.

καλήν γε προδοσίαν δίκαια δρᾶν

ΘΕΟΚΛΥΜΕΝΟΣ.
τἀμὰ λέκτρ' ἄλλῳ διδοῦσα;
ΧΟΡΟΣ.
τοῖς γε κυριωτέροις.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
κύριος δὲ τῶν ἐμῶν τίς;
ΧΟΡΟΣ.
ὃς ἔλαβεν πατρὸς πάρα.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
ἀλλ' ἔδωκεν ἡ τύχη μοι.
ΧΟΡΟΣ.
τὸ δὲ χρεὼν ἀφείλετο.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
οὐ σὲ τἀμὰ χρὴ δικάζειν.
ΧΟΡΟΣ.
ἤν γε βελτίω λέγω.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
ἀρχόμεσθ' ἄρ', οὐ κρατοῦμεν.
ΧΟΡΟΣ.
ὅσια δρᾶν, τὰ δ' ἔκδικ' οὔ.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
κατθανεῖν ἐρᾶν ἔοικας.
ΧΟΡΟΣ.
κτεῖνε· σύγγονον δὲ σὴν
οὐ κτενεῖς ἡμῶν ἑκόντων, ἀλλ' ἔμ', ὡς προ δεσποτῶν
τοῖσι γενναίοισι δούλοις εὐκλεέστατον θανεῖν.
ΔΙΟΣΚΟΡΟΙ.
ἐπίσχες ὀργὰς, αἷσιν οὐκ ὀρθῶς φέρει,
Θεοκλύμενε, γῆς τῆσδ' ἄναξ· δισσοὶ δέ σε
Διόσκοροι καλοῦμεν, οὓς Λήδα ποτὲ
ἔτικτεν, Ἑλένην θ', ἣ πέφευγε σοὺς δόμους·
οὐ γὰρ πεπρωμένοισιν ὀργίζει γάμοις,
οὐδ' ἡ θεᾶς Νηρῇδος ἔκγονος κόρη
ἀδικεῖ σ', ἀδελφὴ Θεονόη, τὰ τῶν θεῶν
τιμῶσα πατρός τ' ἐνδίκους ἐπιστολάς.
ἐς μὲν γὰρ ἀεὶ τὸν παρόντα νῦν χρόνον
κείνην κατοικεῖν σοῖσιν ἐν δόμοις ἐχρῆν·
ἐπεὶ δὲ Τροίας ἐξανεστάθη βάθρα,
καὶ τοῖς θεοῖς παρέσχε τοὔνομ', οὐκέτι
ἐν τοῖσιν αὐτοῖς δεῖ νιν ἐζεῦχθαι γάμοις,
ἐλθεῖν δ' ἐς οἴκους καὶ συνοικῆσαι πόσει.
ἀλλ' ἴσχε μὲν σῆς συγγόνου μέλαν ξίφος,
νόμιζε δ' αὐτὴν σωφρόνως πράσσειν τάδε.
πάλαι δ' ἀδελφὴν καὶ πρὶν ἐξεσώσαμεν,
ἐπείπερ ἡμᾶς Ζεὺς ἐποίησεν θεούς·
ἀλλ' ἥσσον' ἦμεν τοῦ πεπρωμένου θ' ἅμα
καὶ τῶν θεῶν, οἷς ταῦτ' ἔδοξεν ὧδ' ἔχειν.
σοὶ μὲν τάδ' αὐδῶ· συγγόνῳ δ' ἐμῇ λέγω
πλεῖν ξὺν πόσει σῷ. πνεῦμα δ' ἕξετ' οὔριον·
σωτῆρε δ' ἡμεῖς σὼ κασιγνήτω διπλῶ
πόντον παριππεύοντε πέμψομεν πάτραν.
ὅταν δὲ κάμψῃς καὶ τελευτήσῃς βίον,
θεὸς κεκλήσει, καὶ Διοσκόρων μέτα
σπονδῶν μεθέξεις· ξένιά τ' ἀνθρώπων πάρα
ἕξεις μεθ' ἡμῶν· Ζεὺς γὰρ ὧδε βούλεται.
οὗ δ' ὥρισέν σε πρῶτα Μαιάδος τόκος
Σπάρτης ἀπάρας, τῶν κατ' οὐρανὸν δόμων
κλέψας δέμας σὸν, μὴ Πάρις γήμειέ σε
φρουρὰ παρ' Ἀκτὴν τεταμένη, νῆσον λέγω,
Ἑλένη τὸ λοιπὸν ἐν βροτοῖς κεκλήσεται,
ἐπεὶ κλοπὰς σὰς ἐκ δόμων ἐδέξατο.
καὶ τῷ πλανήτῃ Μενέλεῳ θεῶν πάρα
μακάρων κατοικεῖν νῆσόν ἐστι μόρσιμον·
τοὺς εὐγενεῖς γὰρ οὐ στυγοῦσι δαίμονες,
τῶν δ' ἀναριθμήτων μᾶλλόν εἰσιν οἱ πόνοι.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
ὦ παῖδε Λήδας καὶ Διὸς, τὰ μὲν πάρος
νείκη μεθήσω σφῷν κασιγνήτης πέρι.
ἐγὼ δ' ἀδελφὴν οὐκέτ' ἂν κτάνοιμ' ἐμήν.
κείνη δ' ἴτω πρὸς οἶκον, εἰ θεοῖς δοκεῖ.
ἴστον δ' ἀρίστης σωφρονεστάτης θ' ἅμα
γεγῶτ' ἀδελφῆς μονογενοῦς ἀφ' αἵματος,
καὶ χαίρεθ', Ἑλένης οὕνεκ' εὐγενεστάτης
γνώμης, ὃ πολλαῖς ἐν γυναιξὶν οὐκ ἔνι.
ΧΟΡΟΣ.
πολλαὶ μορφαὶ τῶν δαιμονίων,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοὶ,
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

# ΕΥΡΙΠΙΔΟΥ ΑΝΔΡΟΜΑΧΗ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

| | |
|---|---|
| *ΑΝΔΡΟΜΑΧΗ.* | *ΠΗΛΕΥΣ.* |
| *ΘΕΡΑΠΑΙΝΑ.* | *ΤΡΟΦΟΣ.* |
| *ΧΟΡΟΣ.* | *ΟΡΕΣΤΗΣ.* |
| *ΕΡΜΙΟΝΗ.* | *ΑΓΓΕΛΟΣ.* |
| *ΜΕΝΕΛΑΟΣ.* | *ΘΕΤΙΣ.* |
| *ΜΟΛΟΣΣΟΣ.* | |

## ΥΠΟΘΕΣΙΣ.

*Νεοπτόλεμος ἐν Τροίᾳ γέρας λαβὼν Ἀνδρομάχην τὴν Ἕκτορος γυναῖκα, παῖδα ἔτεκεν ἐξ αὐτῆς τὸν Μολοττόν· ὕστερον δὲ ἐπέγημεν Ἑρμιόνην τὴν Μενελάου θυγατέρα. δίκας δὲ πρότερον ᾐτηκὼς τῆς Ἀχιλλέως ἀναιρέσεως τὸν ἐν Δελφοῖς Ἀπόλλωνα, πάλιν ἀπῆλθεν ἐπὶ τὸ χρηστήριον, μετανοήσας, ἵνα τὸν θεὸν ἐξιλάσηται. ζηλοτύπως δ' ἔχουσα πρὸς τὴν Ἀνδρομάχην ἡ βασιλὶς ἐβουλεύετο κατ' αὐτῆς θάνατον, μεταπεμψαμένη τὸν Μενέλαον· ἡ δὲ τὸ παιδίον μὲν ὑπεξέθηκεν, αὐτὴ δὲ κατέφυγεν ἐπὶ τὸ ἱερὸν τῆς Θέτιδος. οἱ δὲ περὶ τὸν Μενέλαον καὶ τὸ παιδίον ἀνεῦρον, καὶ ἐκείνην ἀπατήσαντες ἀνήγειραν· καὶ σφάττειν μέλλοντες ἀμφοτέρους ἐκωλύθησαν, Πηλέως ἐπιφανέντος. Μενέλαος μὲν οὖν ἀπῆλθεν εἰς Σπάρτην· Ἑρμιόνη δὲ μετενόησεν, εὐλαβηθεῖσα τὴν παρουσίαν τοῦ Νεοπτολέμου. παραγενόμενος δὲ ὁ Ὀρέστης ταύτην μὲν ἀπήγαγε πείσας, Νεοπτολέμῳ δὲ ἐπεβούλευσεν· ὃν καὶ φονευθέντα παρῆσαν οἱ φέροντες. Πηλεῖ δὲ μέλλοντι τὸν νεκρὸν θρηνεῖν Θέτις ἐπιφανεῖσα τοῦτον μὲν ἐν Δελφοῖς ἐπέταξε θάψαι, τὴν δὲ Ἀνδρομάχην εἰς Μολοσσοὺς ἀποστεῖλαι μετὰ τοῦ παιδὸς, αὐτὸν δὲ ἀθανασίαν προσδέχεσθαι· τυχὼν δὲ ταύτης εἰς Μακάρων νήσους ᾤκισεν.*

*Ἡ μὲν σκηνὴ τοῦ δράματος ἐν Φθίᾳ κεῖται· ὁ δὲ χορὸς συνέστηκεν ἐκ Φθιωτίδων γυναικῶν· προλογίζει δὲ Ἀνδρομάχη. τὸ δὲ δρᾶμα τῶν δευτέρων· ὁ πρόλογος σαφῶς καὶ εὐλόγως εἰρημένος. ἔστι δὲ καὶ τὰ ἐλεγεῖα τὰ ἐν τῷ θρήνῳ τῆς Ἀνδρομάχης ἐν τῷ δευτέρῳ μέρει· ῥῆσις Ἑρμιόνης τὸ βασιλικὸν ἐμφαίνουσα· καὶ ὁ πρὸς Ἀνδρομάχην λόγος καλῶς ἔχων· εὖ δὲ καὶ ὁ Πηλεὺς, ὁ τὴν Ἀνδρομάχην ἀφελόμενος.*

# ΑΝΔΡΟΜΑΧΗ.

ΑΝΔΡΟΜΑΧΗ.

Ἀσιάτιδος γῆς σχῆμα, Θηβαία πόλις,
ὅθεν ποθ' ἕδνων σὺν πολυχρύσῳ χλιδῇ
Πριάμου τύραννον ἑστίαν ἀφικόμην,
δάμαρ δοθεῖσα παιδοποιὸς Ἕκτορι,
ζηλωτὸς ἔν γε τῷ πρὶν Ἀνδρομάχη χρόνῳ,
νῦν δ', εἴ τις ἄλλη, δυστυχεστάτη γυνή·
ἥτις πόσιν μὲν Ἕκτορ' ἐξ Ἀχιλλέως
θανόντ' ἐσεῖδον, παῖδά θ' ὃν τίκτω πόσει
ῥιφθέντα πύργων Ἀστυάνακτ' ἀπ' ὀρθίων,
ἐπεὶ τὸ Τροίας εἷλον Ἕλληνες πέδον,
αὐτὴ δὲ δούλη, τῶν ἐλευθερωτάτων
οἴκων νομισθεῖσ', Ἑλλάδ' εἰσαφικόμην,
τῷ νησιώτῃ Νεοπτολέμῳ δορὸς γέρας
δοθεῖσα λείας Τρωικῆς ἐξαίρετον.
Φθίας δὲ τῆσδε καὶ πόλεως Φαρσαλίας
ξύγχορτα ναίω πεδί', ἵν' ἡ θαλασσία
Πηλεῖ ξυνῴκει χωρὶς ἀνθρώπων Θέτις
φεύγουσ' ὅμιλον· Θεσσαλὸς δέ νιν λεὼς
Θετίδειον αὐδᾷ θεᾶς χάριν νυμφευμάτων.
ἔνθ' οἶκον ἔσχε τόνδε παῖς Ἀχιλλέως,
Πηλέα δ' ἀνάσσειν γῆς ἐᾷ Φαρσαλίας,
ζῶντος γέροντος σκῆπτρον οὐ θέλων λαβεῖν.
κἀγὼ δόμοις τοῖσδ' ἄρσεν' ἐντίκτω κόρον,
πλαθεῖσ' Ἀχιλλέως παιδὶ, δεσπότῃ δ' ἐμῷ.
καὶ πρὶν μὲν ἐν κακοῖσι κειμένην ὅμως
ἐλπίς μ' ἀεὶ προσῆγε σωθέντος τέκνου
ἀλκήν τιν' εὑρεῖν κἀπικούρησιν κακῶν·
ἐπεὶ δὲ τὴν Λάκαιναν Ἑρμιόνην γαμεῖ
τοὐμὸν παρώσας δεσπότης δοῦλον λέχος,
κακοῖς πρὸς αὐτῆς σχετλίοις ἐλαύνομαι·
λέγει γὰρ ὥς νιν φαρμάκοις κεκρυμμένοις
τίθημ' ἄπαιδα καὶ πόσει μισουμένην,
αὐτὴ δὲ ναίειν οἶκον ἀντ' αὐτῆς θέλω
τόνδ', ἐκβαλοῦσα λέκτρα τἀκείνης βίᾳ·
ἁγὼ τὸ πρῶτον οὐχ ἑκοῦσ' ἐδεξάμην,
νῦν δ' ἐκλέλοιπα· Ζεὺς τάδ' εἰδείη μέγας,
ὡς οὐχ ἑκοῦσα τῷδ' ἐκοινώθην λέχει.
ἀλλ' οὔ σφε πείθω, βούλεται δέ με κτανεῖν,
πατήρ τε θυγατρὶ Μενέλεως συνδρᾷ τάδε.
καὶ νῦν κατ' οἴκους ἔστ', ἀπὸ Σπάρτης μολὼν
ἐπ' αὐτὸ τοῦτο· δειματουμένη δ' ἐγὼ
δόμων πάροικον Θέτιδος εἰς ἀνάκτορον
θάσσω τόδ' ἐλθοῦσ', ἤν με κωλύσῃ θανεῖν·
Πηλεύς τε γάρ νιν ἔκγονοί τε Πηλέως
σέβουσιν, ἑρμήνευμα Νηρῇδος γάμων.
ὃς δ' ἔστι παῖς μοι μόνος, ὑπεκπέμπω λάθρα
ἄλλους ἐς οἴκους, μὴ θάνῃ φοβουμένη.
ὁ γὰρ φυτεύσας αὐτὸν οὔτ' ἐμοὶ πάρα
προσωφελῆσαι παιδί τ' οὐδέν ἐστ', ἄπων
Δελφῶν κατ' αἶαν, ἔνθα Λοξίᾳ δίκην
δίδωσι μανίας, ἥν ποτ' ἐς Πυθὼ μολὼν
ᾔτησε Φοῖβον πατρός· οὗ 'κτίνει δίκην,
εἴ πως τὰ πρόσθε σφάλματ' ἐξαιτούμενος
θεὸν παράσχοιτ' ἐς τὸ λοιπὸν εὐμενῆ.

ΘΕΡΑΠΑΙΝΑ.

δέσποιν', ἐγώ τοι τοὔνομ' οὐ φεύγω τόδε
καλεῖν σ', ἐπείπερ καὶ κατ' οἶκον ἠξίουν
τὸν σὸν, τὸ Τροίας ἡνίκ' ᾠκοῦμεν πέδον·
εὔνους δὲ καὶ σοὶ ζῶντί τ' ἦν τῷ σῷ πόσει,
καὶ νῦν φέρουσά σοι νέους ἥκω λόγους,
φόβῳ μὲν, εἴ τις δεσποτῶν αἰσθήσεται,
οἴκτῳ δὲ τῷ σῷ· δεινὰ γὰρ βουλεύεται
Μενέλαος ἐς σὲ παῖς θ', ἅ σοι φυλακτέα.

ΑΝΔΡΟΜΑΧΗ.

ὦ φιλτάτη σύνδουλε, σύνδουλος γὰρ εἶ
τῇ πρόσθ' ἀνάσσῃ τῇδε, νῦν δὲ δυστυχεῖ,
τί δρῶσι; ποίας μηχανὰς πλέκουσιν αὖ,
κτεῖναι θέλοντες τὴν πανάθλιαν ἐμέ;

ΘΕΡΑΠΑΙΝΑ.

τὸν παῖδά σου μέλλουσιν, ὦ δύστηνε σὺ,
κτείνειν, ὃν ἔξω δωμάτων ὑπεξέθου.

ΑΝΔΡΟΜΑΧΗ.

οἴμοι· πέπυσται τὸν ἐμὸν ἔκθετον γόνον
πόθεν ποτ'; ὦ δύστηνος, ὡς ἀπωλόμην.

ΘΕΡΑΠΑΙΝΑ.

οὐκ οἶδ', ἐκείνων δ' ᾐσθόμην ἐγὼ τάδε·
φροῦδος δ' ἐπ' αὐτὸν Μενέλεως δόμων ἄπο.

ΑΝΔΡΟΜΑΧΗ.

ἀπωλόμην ἄρ'· ὦ τέκνον, κτενοῦσί σε
δισσοὶ λαβόντες γῦπες. ὁ δὲ κεκλημένος
πατὴρ ἔτ' ἐν Δελφοῖσι τυγχάνει μένων.

ΘΕΡΑΠΑΙΝΑ.

δοκῶ γὰρ οὐκ ἂν ὧδέ σ' ἂν πράσσειν κακῶς,
κείνου παρόντος· νῦν δ' ἔρημος εἶ φίλων.

ΑΝΔΡΟΜΑΧΗ.

οὐδ' ἀμφὶ Πηλέως ἦλθεν, ὡς ἥξοι, φάτις;

ΘΕΡΑΠΑΙΝΑ.

γέρων γ' ἐκεῖνος ὥστε σ' ὠφελεῖν παρών.

ΑΝΔΡΟΜΑΧΗ.

καὶ μὴν ἔπεμψ' ἐπ' αὐτὸν οὐχ ἅπαξ μόνον.

ΘΕΡΑΠΑΙΝΑ.

μῶν οὖν δοκεῖς σοῦ φροντίσαι τιν' ἀγγέλων;

ΑΝΔΡΟΜΑΧΗ.

πόθεν; θέλεις οὖν ἄγγελος σύ μοι μολεῖν;

ΘΕΡΑΠΑΙΝΑ.

τί δῆτα φήσω χρόνιος οὖσ' ἐκ δωμάτων;

ΑΝΔΡΟΜΑΧΗ.

πολλὰς ἂν εὕροις μηχανάς· γυνὴ γὰρ εἶ.

---

Post 6. sequebatur
ἐμοῦ πέφυκεν ἢ γενήσεταί ποτε.

ΘΕΡΑΠΑΙΝΑ.

κίνδυνος· Ἑρμιόνη γὰρ οὐ σμικρὰ φύλαξ.

ΑΝΔΡΟΜΑΧΗ.

ὁρᾷς; ἀπαυδᾷς ἐν κακοῖς φίλοισι σοῖς.

ΘΕΡΑΠΑΙΝΑ.

οὐ δῆτα· μηδὲν τοῦτ' ὀνειδίσῃς ἐμοί.
ἀλλ' εἶμ', ἐπεί τοι κοὐ περίβλεπτος βίος
δούλης γυναικός, ἤν τι καὶ πάθω κακόν.

ΑΝΔΡΟΜΑΧΗ.

χώρει νυν· ἡμεῖς δ', οἷσπερ ἐγκείμεσθ' ἀεὶ
θρήνοισι καὶ γόοισι καὶ δακρύμασι,
πρὸς αἰθέρ' ἐκτενοῦμεν· ἐμπέφυκε γὰρ
γυναιξὶ τέρψις τῶν παρεστώτων κακῶν
ἀνὰ στόμ' ἀεὶ καὶ διὰ γλώσσης ἔχειν.
πάρεστι δ' οὐχ ἓν, ἀλλὰ πολλά μοι στένειν,
πόλιν πατρῴαν, τὸν θανόντα θ' Ἕκτορα,
στερρόν τε τὸν ἐμὸν δαίμον', ᾧ ξυνεζύγην,
δούλειον ἦμαρ ἐσπεσοῦσ' ἀναξίως.
χρὴ δ' οὔποτ' εἰπεῖν οὐδέν' ὄλβιον βροτῶν,
πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς
ὅπως περάσας ἡμέραν ἥξει κάτω.
Ἰλίῳ αἰπεινᾷ Πάρις οὐ γάμον, ἀλλά τιν' ἄταν
ἠγάγετ' εὐναίαν εἰς θαλάμους Ἑλέναν.
ἇς ἕνεκ', ὦ Τροία, δορὶ καὶ πυρὶ δηιάλωτον
εἷλέ σ' ὁ χιλιόναυς Ἑλλάδος ὠκὺς Ἄρης,
καὶ τὸν ἐμὸν μελέας πόσιν Ἕκτορα, τὸν περὶ τείχη
εἵλκυσε διφρεύων παῖς ἁλίας Θέτιδος·
αὐτὰ δ' ἐκ θαλάμων ἀγόμαν ἐπὶ θῖνα θαλάσσας,
δουλοσύναν στυγερὰν ἀμφιβαλοῦσα κάρᾳ.
πολλὰ δὲ δάκρυά μοι κατέβα χροὸς, ἁνίκ' ἔλειπον
ἄστυ τε καὶ θαλάμους καὶ πόσιν ἐν κονίαις·
ὤμοι ἐγὼ μελέα, τί μ' ἐχρῆν ἔτι φέγγος ὁρᾶσθαι,
Ἑρμιόνας δούλαν; ἇς ὕπο τειρομένα
πρὸς τόδ' ἄγαλμα θεᾶς ἱκέτις περὶ χεῖρε βαλοῦσα
τάκομαι, ὡς πετρίνα πιδακόεσσα λιβάς.

ΧΟΡΟΣ.

ὦ γύναι, ἃ Θέτιδος δάπεδον καὶ ἀνάκτορα θάσσεις
δαρὸν, οὐδὲ λείπεις,
Φθιὰς ὅμως ἔμολον ποτὶ σὰν Ἀσιήτιδα γένναν,
εἴ τί σοι δυναίμαν
ἄκος τῶν δυσλύτων πόνων τεμεῖν,
οἵ σὲ καὶ Ἑρμιόναν ἔριδι στυγερᾷ συνέκλῃσαν,
τλᾶμον, ἀμφὶ λέκτρων
διδύμων ἐπίκοινον
ἐοῦσαν ἀμφὶ παῖδ' Ἀχιλλέως·
γνῶθι τύχαν, λόγισαι τὸ παρὸν κακὸν, εἰς ὅπερ ἥκεις.
δεσπόταις ἁμιλλᾷ,
Ἰλιὰς οὖσα κόρα, Λακεδαίμονος ἐκγενέταισι;
λεῖπε δεξίμηλον
δόμον τᾶς ποντίας θεοῦ. τί σοι
καιρὸς ἀτυζομένᾳ δέμας αἰκέλιον καταλείβειν
δεσποτῶν ἀνάγκαις;
τὸ κρατοῦν δέ σε πείσει.
τί μόχθον οὐδὲν οὖσα μοχθεῖς;
ἀλλ' ἴθι λεῖπε θεᾶς Νηρηίδος ἀγλαὸν ἕδραν,
γνῶθι δ' οὖσ' ἐπὶ ξένας
δμωὶς, ἐπ' ἀλλοτρίας πόλεος,

117—125. = 126—134.
135—140. = 141—146.

ἔνθ' οὐ φίλων τιν' εἰσορᾷς
σῶν, ὦ δυστυχεστάτα,
ὦ παντάλαινα νύμφα.
οἰκτροτάτα γὰρ ἔμοιγ' ἔμολες, γύναι Ἰλιάς, οἴκους·
δεσποτῶν δ' ἐμῶν φόβῳ
ἡσυχίαν ἄγομεν, τὸ δὲ σὸν
οἴκτῳ φέρουσα τυγχάνω,
μὴ παῖς τᾶς Διὸς κόρας
σοί μ' εὖ φρονοῦσαν εἰδῇ.

ΕΡΜΙΟΝΗ.

κόσμον μὲν ἀμφὶ κρατὶ χρυσέας χλιδῆς
στολμόν τε χρωτὸς τόνδε ποικίλων πέπλων,
οὐ τῶν Ἀχιλλέως οὐδὲ Πηλέως ἄπο
δόμων ἀπαρχὰς δεῦρ' ἔχουσ' ἀφικόμην,
ἀλλ' ἐκ Λακαίνης Σπαρτιάτιδος χθονὸς
Μενέλαος ἡμῖν ταῦτα δωρεῖται πατὴρ
πολλοῖς σὺν ἕδνοις, ὥστ' ἐλευθεροστομεῖν.
ὑμᾶς μὲν οὖν τοῖσδ' ἀνταμείβομαι λόγοις·
σὺ δ' οὖσα δούλη καὶ δορίκτητος γυνὴ
δόμους κατασχεῖν ἐκβαλοῦσ' ἡμᾶς θέλεις
τούσδε, στυγοῦμαι δ' ἀνδρὶ φαρμάκοισι σοῖς,
νηδὺς δ' ἀκύμων διὰ σέ μοι διόλλυται·
δεινὴ γὰρ Ἠπειρῶτις ἐς τὰ τοιάδε
ψυχὴ γυναικῶν· ὧν ἐπισχήσω σ' ἐγὼ,
κοὐδέν σ' ὀνήσει δῶμα Νηρῇδος τόδε,
οὐ βωμὸς οὐδὲ ναὸς, ἀλλὰ κατθανεῖ.
ἢν δ' οὖν βροτῶν τίς σ' ἢ θεῶν σῶσαι θέλῃ,
δεῖ σ' ἀντὶ τῶν πρὶν ὀλβίων φρονημάτων
πτῆξαι ταπεινὴν, προσπεσεῖν τ' ἐμὸν γόνυ,
σαίρειν τε δῶμα τοὐμὸν, ἐκ χρυσηλάτων
τευχέων χερὶ σπείρουσαν Ἀχελῴου δρόσον,
γνῶναί θ' ἵν' εἶ γῆς. οὐ γάρ ἐσθ' Ἕκτωρ τάδε,
οὐ Πρίαμος, οὐδὲ χρυσὸς, ἀλλ' Ἑλλὰς πόλις.
ἐς τοῦτο δ' ἥκεις ἀμαθίας, δύστηνε σὺ,
ἣ παιδὶ πατρὸς, ὃς σὸν ὤλεσεν πόσιν,
τολμᾷς ξυνεύδειν καὶ τέκν' αὐθέντου πάρα
τίκτειν. τοιοῦτον πᾶν τὸ βάρβαρον γένος·
πατήρ τε θυγατρὶ παῖς τε μητρὶ μίγνυται
κόρη τ' ἀδελφῷ, διὰ φόνου δ' οἱ φίλτατοι
χωροῦσι, καὶ τῶνδ' οὐδὲν ἐξείργει νόμος.
ἃ μὴ παρ' ἡμᾶς ἔσφερ'· οὐδὲ γὰρ καλὸν
δυοῖν γυναικοῖν ἄνδρ' ἕν' ἡνίας ἔχειν,
ἀλλ' ἐς μίαν βλέποντες εὐναίαν Κύπριν
στέργουσιν, ὅστις μὴ κακῶς οἰκεῖν θέλει.

ΧΟΡΟΣ.

ἐπίφθονόν τι χρῆμα θηλειῶν ἔφυ,
καὶ ξυγγάμοισι δυσμενὲς μάλιστ' ἀεί.

ΑΝΔΡΟΜΑΧΗ.

φεῦ φεῦ.
κακόν γε θνητοῖς τὸ νέον, ἔν τε τῷ νέῳ
τὸ μὴ δίκαιον ὅστις ἀνθρώπων ἔχει.
ἐγὼ δὲ ταρβῶ μὴ τὸ δουλεύειν μέ σοι
λόγων ἀπώσῃ, πόλλ' ἔχουσαν ἔνδικα,
ἢν δ' αὖ κρατήσω, μὴ 'πὶ τῷδ' ὄφλω βλάβην·
οἱ γὰρ πνέοντες μεγάλα τοὺς κρείσσους λόγους
πικρῶς φέρουσι τῶν ἐλασσόνων ὕπο·
ὅμως δ' ἐμαυτὴν οὐ προδοῦσ' ἁλώσομαι.
εἰπ', ὦ νεᾶνι, τῷ σ' ἐχεγγύῳ λόγῳ
πεισθεῖσ' ἀπωθῶ γνησίων νυμφευμάτων;
ὡς ἡ Λάκαινα τῶν Φρυγῶν μείων πόλις,

τύχῃ θ' ὑπερθεῖ, καί μ' ἐλευθέραν ὁρᾷς;
ἢ τῷ νέῳ τε καὶ σφριγῶντι σώματι
πόλεώς τε μεγέθει καὶ φίλοις ἐπηρμένη
οἶκον κατασχεῖν τὸν σὸν ἀντὶ σοῦ θέλω;
πότερον ἵν' αὐτὴ παῖδας ἀντὶ σοῦ τέκω
δούλους, ἐμαυτῇ τ' ἀθλίαν ἐφολκίδα;
ἢ τοὺς ἐμούς τις παῖδας ἐξανέξεται
Φθίας τυράννους ὄντας, ἢν σὺ μὴ τέκῃς;
φιλοῦσι γάρ μ' Ἕλληνες Ἕκτορός τ' ἄπο,
αὐτή τ' ἀμαυρὰ κοὐ τύραννος ἦν Φρυγῶν.
οὐκ ἐξ ἐμῶν σε φαρμάκων στυγεῖ πόσις,
ἀλλ' εἰ ξυνεῖναι μὴ 'πιτηδεία κυρεῖς.
φίλτρον δὲ καὶ τόδ'· οὐ τὸ κάλλος, ὦ γύναι,
ἀλλ' ἀρεταὶ τέρπουσι τοὺς ξυνευνέτας.
σὺ δ' ἤν τι κνισθῇς, ἡ Λάκαινα μὲν πόλις
μέγ' ἐστὶ, τὴν δὲ Σκῦρον οὐδαμοῦ τίθης,
πλουτεῖς δ' ἐν οὐ πλουτοῦσι, Μενέλεως δέ σοι
μείζων Ἀχιλλέως. ταῦτά τοί σ' ἔχθει πόσις.
χρὴ γὰρ γυναῖκα, κἂν κακῷ δοθῇ πόσει,
στέργειν, ἅμιλλάν τ' οὐκ ἔχειν φρονήματος.
εἰ δ' ἀμφὶ Θρῄκην χιόνι τὴν κατάρρυτον
τύραννον ἔσχες ἄνδρ', ἵν' ἐν μέρει λέχος
δίδωσι πολλαῖς εἷς ἀνὴρ κοινούμενος,
ἔκτεινας ἂν τάσδ'; εἶτ' ἀπληστίαν λέχους
πάσαις γυναιξὶ προστιθεῖσ' ἂν εὑρέθης.
αἰσχρόν γε. καίτοι χεῖρον' ἀρσένων νόσον
ταύτην νοσοῦμεν, ἀλλὰ προὔστημεν καλῶς.
ὦ φίλταθ' Ἕκτορ, ἀλλ' ἐγὼ τὴν σὴν χάριν
σοὶ καὶ ξυνήρων, εἴ τί σε σφάλλοι Κύπρις,
καὶ μαστὸν ἤδη πολλάκις νόθοισι σοῖς
ἐπέσχον, ἵνα σοι μηδὲν ἐνδοίην πικρόν.
καὶ ταῦτα δρῶσα τἀρετῇ προσηγόμην
πόσιν· σὺ δ' οὐδὲ ῥανίδ' ὑπαιθρίας δρόσου
τῷ σῷ προσίζειν ἀνδρὶ δειμαίνουσ' ἐᾷς.
μὴ τὴν τεκοῦσαν τῇ φιλανδρίᾳ, γύναι,
ζήτει παρελθεῖν· τῶν κακῶν γὰρ μητέρων
φεύγειν τρόπους χρὴ τέκν', ὅσοις ἔνεστι νοῦς.

ΧΟΡΟΣ.

δέσποιν', ὅσον σοι ῥᾳδίως παρίσταται,
τοσόνδε πείθου τῇδε συμβῆναι λόγοις.

ΕΡΜΙΟΝΗ.

τί σεμνομυθεῖς κεἰς ἀγῶν' ἔρχει λόγων,
ὡς δὴ σὺ σώφρων, τἀμὰ δ' οὐχὶ σώφρονα;

ΑΝΔΡΟΜΑΧΗ.

οὔκουν ἐφ' οἷς γε νῦν καθέστηκας λόγοις.

ΕΡΜΙΟΝΗ.

ὁ νοῦς ὁ σός μοι μὴ ξυνοικοίη, γύναι.

ΑΝΔΡΟΜΑΧΗ.

νέα πέφυκας καὶ λέγεις αἰσχρῶν πέρι.

ΕΡΜΙΟΝΗ.

σὺ δ' οὐ λέγεις γε, δρᾷς δέ μ' εἰς ὅσον δύνῃ.

ΑΝΔΡΟΜΑΧΗ.

οὐκ αὖ σιωπῇ Κύπριδος ἀλγήσεις πέρι;

ΕΡΜΙΟΝΗ.

τί δ'; οὐ γυναιξὶ ταῦτα πρῶτα πανταχοῦ;

ΑΝΔΡΟΜΑΧΗ.

ναί·
καλῶς γε χρωμέναισιν· εἰ δὲ μή, οὐ καλά.

ΕΡΜΙΟΝΗ.

οὐ βαρβάρων νόμοισιν οἰκοῦμεν πόλιν.

ΑΝΔΡΟΜΑΧΗ.

κἀκεῖ τά γ' αἰσχρὰ κἀνθάδ' αἰσχύνην ἔχει.

ΕΡΜΙΟΝΗ.

σοφὴ σοφὴ σύ· κατθανεῖν δ' ὅμως σε δεῖ.

ΑΝΔΡΟΜΑΧΗ.

ὁρᾷς ἄγαλμα Θέτιδος ἔς σ' ἀποβλέπον;

ΕΡΜΙΟΝΗ.

μισοῦν γε πατρίδα σὴν Ἀχιλλέως φόνῳ.

ΑΝΔΡΟΜΑΧΗ.

Ἑλένη νιν ὤλεσ', οὐκ ἐγώ, μήτηρ δὲ σή.

ΕΡΜΙΟΝΗ.

ἦ καὶ πρόσω γὰρ τῶν ἐμῶν ψαύσεις κακῶν;

ΑΝΔΡΟΜΑΧΗ.

ἰδοὺ σιωπῶ κἀπιλάζυμαι στόμα.

ΕΡΜΙΟΝΗ.

ἐκεῖνο λέξον, οὗπερ οὕνεκ' ἐστάλην.

ΑΝΔΡΟΜΑΧΗ.

λέγω σ' ἐγὼ νοῦν οὐκ ἔχειν ὅσον σε δεῖ.

ΕΡΜΙΟΝΗ.

λείψεις τόδ' ἁγνὸν τέμενος ἐναλίας θεοῦ;

ΑΝΔΡΟΜΑΧΗ.

εἰ μὴ θανοῦμαί γ'· εἰ δὲ μή, οὐ λείψω ποτέ.

ΕΡΜΙΟΝΗ.

ὡς τοῦτ' ἄραρε, κοὐ μενῶ πόσιν μολεῖν.

ΑΝΔΡΟΜΑΧΗ.

ἀλλ' οὐδ' ἐγὼ μὴν πρόσθεν ἐκδώσω μέ σοι.

ΕΡΜΙΟΝΗ.

πῦρ σοι προσοίσω, κοὐ τὸ σὸν προσκέψομαι,

ΑΝΔΡΟΜΑΧΗ.

σὺ δ' οὖν κάταιθε, θεοὶ γὰρ εἴσονται τάδε.

ΕΡΜΙΟΝΗ.

καὶ χρωτὶ δεινῶν τραυμάτων ἀλγηδόνας.

ΑΝΔΡΟΜΑΧΗ.

σφάζ', αἱμάτου θεᾶς βωμόν, ἣ μέτεισί σε.

ΕΡΜΙΟΝΗ.

ὦ βάρβαρον σὺ θρέμμα καὶ σκληρὸν θράσος,
ἐγκαρτερεῖς δὴ θάνατον; ἀλλ' ἐγώ σ' ἕδρας
ἐκ τῆσδ' ἑκοῦσαν ἐξαναστήσω τάχα·
τοιόνδ' ἔχω σου δέλεαρ. ἀλλὰ γὰρ λόγους
κρύψω, τὸ δ' ἔργον αὐτὸ σημανεῖ τάχα.
κάθησ' ἑδραία· καὶ γὰρ εἰ πέριξ σ' ἔχει
τηκτὸς μόλυβδος, ἐξαναστήσω σ' ἐγώ,
πρὶν ᾧ πέποιθας παῖδ' Ἀχιλλέως μολεῖν.

ΑΝΔΡΟΜΑΧΗ.

πέποιθα· δεινὸν δ' ἑρπετῶν μὲν ἀγρίων
ἄκη βροτοῖσι θεῶν καταστῆσαί τινα,
ἃ δ' ἔστ' ἐχίδνης καὶ πυρὸς περαιτέρω,
οὐδεὶς γυναικὸς φάρμακ' ἐξεύρηκέ πω
κακῆς· τοσοῦτόν ἐσμεν ἀνθρώποις κακόν.

ΧΟΡΟΣ.

ἦ μεγάλων ἀχέων ἄρ' ὑπῆρξεν, ὅτ'
Ἰδαίαν ἐς νάπαν
ἦλθ' ὁ Μαίας τε καὶ Διὸς τόκος,
τρίπωλον ἅρμα δαιμόνων
ἄγων τὸ καλλιζυγές,
ἔριδι στυγερᾷ κεκορυθμένον εὐμορφίας
σταθμοὺς ἔπι βούτα
βοτῆρά τ' ἀμφὶ μονότροπον νεανίαν
ἐρημόν θ' ἑστιοῦχον αὐλάν.

274—283. = 284—293.

ταὶ δ' ἐπεὶ ὑλόκομον νάπος ἤλυθον
οὐρειᾶν πιδάκων
νίψαν αἰγλᾶντα σώματα ῥοαῖς·
ἔβαν δὲ Πριαμίδαν ὑπερ-
βολαῖς λόγων δυσφρόνων
παραβαλλόμεναι. Κύπρις εἷλε λόγοις δολίοις,
τερπνοῖς μὲν ἀκοῦσαι,
πικρὰν δὲ σύγχυσιν βίου Φρυγῶν πόλει
ταλαίνᾳ περγάμοις τε Τροίας.
εἴθε δ' ὑπὲρ κεφαλὰν ἔβαλεν κακὸν
ἅτις τέκεν ποτὲ Πάριν,
πρὶν Ἰδαῖον κατοικίσαι λέπας,
ὅτε νιν παρὰ θεσπεσίῳ δάφνᾳ
βόασε Κάσανδρα κτανεῖν,
μεγάλαν Πριάμου πόλεως λώβαν.
τίν' οὐκ ἐπῆλθε, ποῖον οὐκ ἐλίσσετο
δαμογερόντων βρέφος φονεύειν;
οὔτ' ἂν ἐπ' Ἰλιάσι ζυγὸν ἤλυθε
δούλειον οὔτε σὺ, γύναι,
τυράννων ἔσχες ἂν δόμων ἕδρας·
παρέλυσε δ' ἂν Ἑλλάδος ἀλγεινοὺς
πόνους, οὓς ἀμφὶ Τροίαν
δεκέτεις ἀλάληντο νέοι λόγχαις·
λέχη τ' ἔρημ' ἂν οὔποτ' ἐξελείπετο,
καὶ τεκέων ὀρφανοὶ γέροντες.

ΜΕΝΕΛΑΟΣ.

ἥκω λαβὼν σὸν παῖδ', ὃν εἰς ἄλλους δόμους
λάθρα θυγατρὸς τῆς ἐμῆς ὑπεξέθου.
σὲ μὲν γὰρ ηὔχεις θεᾶς βρέτας σῶσαι τόδε,
τοῦτον δὲ τοὺς κρύψαντας· ἀλλ' ἐφευρέθης
ἧσσον φρονοῦσα τοῦδε Μενέλεω, γύναι.
κεἰ μὴ τόδ' ἐκλιποῦσ' ἐρημώσεις πέδον,
ὅδ' ἀντὶ τοῦ σοῦ σώματος σφαγήσεται.
ταῦτ' οὖν λογίζου, πότερα κατθανεῖν θέλεις,
ἢ τόνδ' ὀλέσθαι σῆς ἁμαρτίας ὕπερ,
ἣν εἰς ἔμ' ἔς τε παῖδ' ἐμὴν ἁμαρτάνεις.

ΑΝΔΡΟΜΑΧΗ.

ὦ δόξα δόξα, μυρίοισι δὴ βροτῶν
οὐδὲν γεγῶσι βίοτον ὤγκωσας μέγαν.
εὔκλεια δ' οἷς μέν ἐστ' ἀληθείας ὕπο,
εὐδαιμονίζω· τοὺς δ' ὑπὸ ψευδῶν ἔχειν
οὐκ ἀξιώσω πλὴν τύχῃ φρονεῖν δοκεῖν.
σὺ δὴ στρατηγῶν λογάσιν Ἑλλήνων ποτὲ
Τροίαν ἀφείλου Πρίαμον, ὧδε φαῦλος ὤν;
ὅστις θυγατρὸς ἀντίπαιδος ἐκ λόγων
τοσόνδ' ἔπνευσας, καὶ γυναικὶ δυστυχεῖ
δούλῃ κατέστης εἰς ἀγῶν'· οὐκ ἀξιῶ
οὔτ' οὖν σὲ Τροίας οὔτε σοῦ Τροίαν ἔτι.
ἔξωθέν εἰσιν οἱ δοκοῦντες εὖ φρονεῖν
λαμπροὶ, τὰ δ' ἔνδον πᾶσιν ἀνθρώποις ἴσοι,
πλὴν εἴ τι πλούτῳ· τοῦτο δ' ἰσχύει μέγα.
Μενέλαε, φέρε δὴ διαπεράνωμεν λόγους·
τέθνηκα τῇ σῇ θυγατρὶ καί μ' ἀπώλεσε·
μιαιφόνον μὲν οὐκέτ' ἂν φύγοι μύσος.
ἐν τοῖς δὲ πολλοῖς καὶ σὺ τόνδ' ἀγωνιεῖ
φόνον· τὸ συνορῶν γάρ σ' ἀναγκάσει χρέος.
ἢν δ' οὖν ἐγὼ μὲν μὴ θανεῖν ὑπεκδράμω,
τὸν παῖδά μου κτενεῖτε; κᾆτα πῶς πατὴρ
τέκνου θανόντος ῥᾳδίως ἀνέξεται;

294—301. = 302—308.

οὐχ ὧδ' ἄνανδρον αὐτὸν ἡ Τροία καλεῖ·
ἀλλ' εἶσιν οἷ χρή· Πηλέως γὰρ ἄξια
πατρός τ' Ἀχιλλέως ἔργα δρῶν φανήσεται.
ὤσει δὲ σὴν παῖδ' ἐκ δόμων· σὺ δ' ἐκδιδοὺς
ἄλλῳ τί λέξεις; πότερον ὡς κακὸν πόσιν
φεύγει τὸ ταύτης σῶφρον; ἀλλὰ ψεύσεται.
γαμεῖ δὲ τίς νιν; ἤ σφ' ἄνανδρον ἐν δόμοις
χήραν καθέξεις πολιόν; ὦ τλήμων ἀνερ,
κακῶν τοσούτων οὐχ ὁρᾷς ἐπιῤῥοάς;
πόσας δ' ἂν εὐνὰς θυγατέρ' ἠδικημένην
βούλοι' ἂν εὑρεῖν ἢ παθεῖν ἁγὼ λέγω;
οὐ χρὴ 'πὶ μικροῖς μεγάλα πορσύνειν κακὰ,
οὐδ', εἰ γυναῖκές ἐσμεν ἀτηρὸν κακὸν,
ἄνδρας γυναιξὶν ἐξομοιοῦσθαι φύσιν.
ἡμεῖς γὰρ εἰ σὴν παῖδα φαρμακεύομεν
καὶ νηδὺν ἐξαμβλοῦμεν, ὡς αὐτὴ λέγει,
ἑκόντες οὐκ ἄκοντες, οὐδὲ βώμιοι
πίτνοντες, αὐτοὶ τὴν δίκην ὑφέξομεν
ἐν σοῖσι γαμβροῖς, οἷσιν οὐκ ἐλάσσονα
βλάβην ὀφείλω, προστιθεῖσ' ἀπαιδίαν.
ἡμεῖς μὲν οὖν τοιοίδε· τῆς δὲ σῆς φρενὸς
ἕν σου δέδοικα· διὰ γυναικείαν ἔριν
καὶ τὴν τάλαιναν ὤλεσας Φρυγῶν πόλιν.

ΧΟΡΟΣ.

ἄγαν ἔλεξας, ὡς γυνὴ πρὸς ἄρσενας,
καί σου τὸ σῶφρον ἐξετόξευσεν φρενός.

ΜΕΝΕΛΑΟΣ.

γύναι, τάδ' ἐστὶ σμικρὰ καὶ μοναρχίας
οὐκ ἄξι', ὡς φῂς, τῆς ἐμῆς, οὐδ' Ἑλλάδος.
εὖ δ' ἴσθ', ὅτου τις τυγχάνει χρείαν ἔχων,
τοῦτ' ἔσθ' ἑκάστῳ μεῖζον ἢ Τροίαν ἑλεῖν.
κἀγὼ θυγατρὶ, μεγάλα γὰρ κρίνω τάδε,
λέχους στέρεσθαι, σύμμαχος καθίσταμαι·
τὰ μὲν γὰρ ἄλλα δεύτερ' ἂν πάσχοι γυνή·
ἀνδρὸς δ' ἁμαρτάνουσ' ἁμαρτάνει βίου.
δούλων δ' ἐκεῖνον τῶν ἐμῶν ἄρχειν χρεὼν,
καὶ τῶν ἐκείνου τοὺς ἐμοὺς ἡμᾶς τε πρός·
φίλων γὰρ οὐδὲν ἴδιον, οἵτινες φίλοι
ὀρθῶς πεφύκασ', ἀλλὰ κοινὰ χρήματα.
μένων δὲ τοὺς ἀπόντας, εἰ μὴ θήσομαι
τἄμ' ὡς ἄριστα, φαῦλός εἰμι κοὐ σοφός.
ἀλλ' ἐξανίστω τῶνδ' ἀνακτόρων θεᾶς·
ὡς, ἢν θάνῃς σὺ, παῖς ὅδ' ἐκφεύγει μόρον.
σοῦ δ' οὐ θελούσης κατθανεῖν, τόνδε κτενῶ.
δυοῖν δ' ἀνάγκη θατέρῳ λιπεῖν βίον.

ΑΝΔΡΟΜΑΧΗ.

οἴμοι, πικρὰν κλήρωσιν αἵρεσίν τέ μοι
βίου καθίστης, καὶ λαχοῦσά τ' ἀθλία
καὶ μὴ λαχοῦσα δυστυχὴς καθίσταμαι.
ὦ μεγάλα πράσσων αἰτίας μικρᾶς πέρι,
πιθοῦ· τί καίνεις μ'; ἀντὶ τοῦ; ποίαν πόλιν
προὔδωκα; τίνα σῶν ἔκτανον παίδων ἐγώ;
ποῖον δ' ἔπρησα δῶμ'; ἐκοιμήθην βίᾳ
ξὺν δεσπόταισι· κᾆτ' ἔμ', οὐ κεῖνον, κτενεῖς,
τὸν αἴτιον τῶνδ', ἀλλὰ τὴν ἀρχὴν ἀφεὶς
πρὸς τὴν τελευτὴν ὑστέραν οὖσαν φέρει;
οἴμοι κακῶν τῶνδ'· ὦ τάλαιν' ἐμὴ πατρὶς,
ὡς δεινὰ πάσχω· τί δέ με καὶ τεκεῖν ἐχρῆν,
ἄχθος τ' ἐπ' ἄχθει τῷδε προσθέσθαι διπλοῦν;
ἀτὰρ τί ταῦτ' ὀδύρομαι, τὰ δ' ἐν ποσὶν

οὐκ ἐξικμάζω καὶ λογίζομαι κακά;
ἥτις σφαγὰς μὲν Ἕκτορος τροχηλάτους
κατεῖδον οἰκτρῶς τ' Ἴλιον πυρούμενον,
αὐτὴ δὲ δούλη ναῦς ἐπ' Ἀργείων ἔβην,
κόμης ἐπισπασθεῖσ'· ἐπεὶ δ' ἀφικόμην
Φθίαν, φονεῦσιν Ἕκτορος νυμφεύομαι.
τί δῆτ' ἐμοὶ ζῆν ἡδύ; πρὸς τί χρὴ βλέπειν;
πρὸς τὰς παρούσας ἢ παρελθούσας τύχας;
εἷς παῖς ὅδ' ἦν μοι λοιπὸς ὀφθαλμὸς βίου·
τοῦτον κτενεῖν μέλλουσιν οἷς δοκεῖ τάδε.
οὐ δῆτα τοὐμοῦ γ' οὕνεκ' ἀθλίου βίου·
ἐν τῷδε μὲν γὰρ ἐλπὶς, εἰ σωθήσεται·
ἐμοὶ δ' ὄνειδος μὴ θανεῖν ὑπὲρ τέκνου.
ἰδοὺ προλείπω βωμὸν ἥδε χειρία
σφάζειν, φονεύειν, δεῖν, ἀπαρτῆσαι δέρην.
ὦ τέκνον, ἡ τεκοῦσά σ', ὡς σὺ μὴ θάνῃς,
στείχω πρὸς Ἅιδην· ἢν δ' ὑπεκδράμῃς μόρον,
μέμνησο μητρὸς, οἷα τλᾶσ' ἀπωλόμην,
καὶ πατρὶ τῷ σῷ, διὰ φιλημάτων ἰὼν
δάκρυά τε λείβων καὶ περιπτύσσων χέρας,
λέγ' οἷ' ἔπραξα. πᾶσι δ' ἀνθρώποις ἄρ' ἦν
ψυχὴ τέκν'· ὅστις δ' αὔτ' ἄπειρος ὢν ψέγει,
ἧσσον μὲν ἀλγεῖ, δυστυχῶν δ' εὐδαιμονεῖ.

ΧΟΡΟΣ.

ᾤκτειρ' ἀκούσασ'· οἰκτρὰ γὰρ τὰ δυστυχῆ
βροτοῖς ἅπασι, κἂν θυραῖος ὢν κυρῇ.
ἐς ξύμβασιν δὲ χρῆν σε σήν τε παῖδ' ἄγειν,
Μενέλαε, καὶ τήνδ', ὡς ἀπαλλαχθῇ πόνων.

ΜΕΝΕΛΑΟΣ.

λάβεσθέ μοι τῆσδ', ἀμφελίξαντες χέρας,
δμῶες· λόγους γὰρ οὐ φίλους ἀκούσεται.
ἔγωγ'; ἵν' ἁγνὸν βωμὸν ἐκλίποις θεᾶς,
προὔτεινα παιδὸς θάνατον, ᾧ σ' ὑπήγαγον
ἐς χεῖρας ἐλθεῖν τὰς ἐμὰς ἐπὶ σφαγήν.
καὶ τἀμφὶ σοῦ μὲν ὧδ' ἔχοντ' ἐπίστασο·
τὰ δ' ἀμφὶ παιδὸς τοῦδε παῖς ἐμὴ κρινεῖ,
ἤν τε κτανεῖν νιν ἤν τε μὴ κτανεῖν θέλῃ.
ἀλλ' ἕρπ' ἐς οἴκους τούσδ', ἵν' εἰς ἐλευθέρους
δούλη γεγῶσα μήποθ' ὑβρίζειν μάθῃς.

ΑΝΔΡΟΜΑΧΗ.

οἴμοι· δόλῳ μ' ὑπῆλθες, ἠπατήμεθα.

ΜΕΝΕΛΑΟΣ.

κήρυσσ' ἅπασιν· οὐ γὰρ ἐξαρνούμεθα.

ΑΝΔΡΟΜΑΧΗ.

ἦ ταῦτ' ἐν ὑμῖν τοῖς παρ' Εὐρώτᾳ σοφά;

ΜΕΝΕΛΑΟΣ.

καὶ τοῖς γε Τροίᾳ, τοὺς παθόντας ἀντιδρᾶν.

ΑΝΔΡΟΜΑΧΗ.

τὰ θεῖα δ' οὐ θεῖ', οὐδ' ἔχειν ἡγεῖ δίκην;

ΜΕΝΕΛΑΟΣ.

ὅταν τάδ' ᾖ, τότ' οἴσομεν. σὲ δὲ κτενῶ.

ΑΝΔΡΟΜΑΧΗ.

ἦ καὶ νεοσσὸν τόνδ', ὑπὸ πτερῶν σπάσας;

ΜΕΝΕΛΑΟΣ.

οὐ δῆτα· θυγατρὶ δ', ἢν θέλῃ, δώσω κτανεῖν.

ΑΝΔΡΟΜΑΧΗ.

οἴμοι· τί δῆτα σοῦ καταστένω, τέκνον;

ΜΕΝΕΛΑΟΣ.

οὔκουν θρασεῖά γ' αὐτὸν ἐλπὶς ἀναμένει.

ΑΝΔΡΟΜΑΧΗ.

ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτῶν,
Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια,
ψευδῶν ἄνακτες, μηχανορράφοι κακῶν,
ἑλικτὰ κοὐδὲν ὑγιὲς, ἀλλὰ πᾶν πέριξ
φρονοῦντες, ἀδίκως εὐτυχεῖτ' ἀν' Ἑλλάδα.
τί δ' οὐκ ἐν ὑμῖν ἐστιν; οὐ πλεῖστοι φόνοι;
οὐκ αἰσχροκερδεῖς; οὐ λέγοντες ἄλλα μὲν
γλώσσῃ, φρονοῦντες δ' ἄλλ' ἐφευρίσκεσθ' ἀεί;
ὄλοισθ'· ἐμοὶ δὲ θάνατος οὐχ οὕτω βαρὺς
ὡς σοὶ δέδοκται. κεῖνα γάρ μ' ἀπώλεσεν,
ὅθ' ἡ τάλαινα πόλις ἀναλώθη Φρυγῶν
πόσις θ' ὁ κλεινὸς, ὅς σε πολλάκις δορὶ
ναύτην ἔθηκεν ἀντὶ χερσαίου κακόν.
νῦν δ' ἐς γυναῖκα γοργὸς ὁπλίτης φανεὶς
κτείνεις μ'. ἀπόκτειν'· ὡς ἀθώπευτόν γέ σε
γλώσσης ἀφήσω τῆς ἐμῆς καὶ παῖδα σήν.
ἐπεὶ σὺ μὲν πέφυκας ἐν Σπάρτῃ μέγας,
ἡμεῖς δὲ Τροίᾳ γ'. εἰ δ' ἐγὼ πράσσω κακῶς,
μηδὲν τόδ' αὔχει· καὶ σὺ γὰρ πράξειας ἄν.

ΧΟΡΟΣ.

οὐδέποτε δίδυμα λέκτρ' ἐπαινέσω βροτῶν
οὐδ' ἀμφιμάτορας κόρους,
ἔριν μὲν οἴκων, δυσμενεῖς τε λύπας.
τὴν μίαν μοι στεργέτω πόσις
γάμοις ἀκοινώνητον ἀνδρὸς εὐνάν.
οὐδ' ἐνὶ πόλεσι γὰρ δίπτυχοι τυραννίδες
μιᾶς ἀμείνονες φέρειν,
ἄχθος τ' ἐπ' ἄχθει καὶ στάσις πολίταις.
τεκτόνοιν θ' ὕμνου συνεργάταιν
δυοῖν ἔριν Μοῦσαι φιλοῦσι κραίνειν·
πνοαὶ δ' ὅταν φέρωσι ναυτίλους θοαὶ,
κατὰ πηδαλίων διδύμα πραπίδων γνώμα
σοφῶν τε πλῆθος ἀθρόον ἀσθενέστερον
φαυλοτέρας φρενὸς αὐτοκρατοῦς
ἑνὸς, ἃ δύνασις ἀνά τε μέλαθρα κατά τε πόλιας
ὁπόταν εὑρεῖν θέλωσι καιρόν,
ἔδειξεν ἡ Λάκαινα τοῦ στρατηλάτα
Μενέλα· διὰ γὰρ πυρὸς ἦλθ' ἑτέρῳ λέχει,
κτείνει δὲ τὴν τάλαιναν Ἰλιάδα κόραν
παῖδά τε δύσφρονος ἔριδος ὕπερ.
ἄθεος, ἄνομος, ἄχαρις ὁ φόνος. ἔτι σε, πότνια,
μετατροπὰ τῶνδ' ἔπεισιν ἔργων.
καὶ μὴν ἐσορῶ τόδε σύγκρατον
ζεῦγος πρὸ δόμων,
ψήφῳ θανάτου κατακεκριμένον.
δύστανε γύναι, τλῆμον δὲ σὺ, παῖ,
μητρὸς λεχέων ὃς ὑπερθνήσκεις,
οὐδὲν μετέχων,
οὐδ' αἴτιος ὢν βασιλεῦσιν.

ΑΝΔΡΟΜΑΧΗ.

ἅδ' ἐγὼ χέρας αἱματη-
ρὰς βρόχοισι κεκλῃμένα
πέμπομαι κατὰ γαίας.

ΜΟΛΟΤΤΟΣ.

μᾶτερ μᾶτερ, ἐγὼ δὲ σᾷ
πτέρυγι συγκαταβαίνω.

464—470. = 471—478.
479—485. = 486—493.
502—522. = 523—544.

ΑΝΔΡΟΜΑΧΗ.
θῦμα δάϊον, ὦ χθονὸς
Φθίας κράντορες.
ΜΟΛΟΤΤΟΣ.
ὦ πάτερ,
μόλε φίλοις ἐπίκουρος.
ΑΝΔΡΟΜΑΧΗ.
κείσει δὴ, τέκνον, ὦ φίλος,
μαστοῖς ματέρος ἀμφὶ σᾶς
νεκρὸς ὑπὸ χθονὶ σὺν νεκρῷ τ'.
ΜΟΛΟΤΤΟΣ.
ὤμοι μοι, τί πάθω τάλας
δῆτ' ἐγὼ σύ τε, μᾶτερ;
ΜΕΝΕΛΑΟΣ.
ἴθ' ὑποχθόνιοι· καὶ γὰρ ἀπ' ἐχθρῶν
ἥκετε πύργων· δύο δ' ἐκ δισσαῖν
θνήσκετ' ἀνάγκαιν· σὲ μὲν ἡμετέρα
ψῆφος ἀναιρεῖ, παῖδα δ' ἐμὴ παῖς
τόνδ' Ἑρμιόνη· καὶ γὰρ ἀνοία
μεγάλη λείπειν ἐχθροὺς ἐχθρῶν,
ἐξὸν κτείνειν
καὶ φόβον οἴκων ἀφελέσθαι.
ΑΝΔΡΟΜΑΧΗ.
ὦ πόσις πόσις, εἴθε σὰν
χεῖρα καὶ δόρυ σύμμαχον
κτησαίμαν, Πριάμου παῖ.
ΜΟΛΟΤΤΟΣ.
δύστανος, τί δ' ἐγὼ μόρου
παράτροπον μέλος εὕρω;
ΑΝΔΡΟΜΑΧΗ.
λίσσου, γούνασι δεσπότου
χρίμπτων, ὦ τέκνον.
ΜΟΛΟΤΤΟΣ.
ὦ φίλος,
φίλος, ἄνες θάνατόν μοι.
ΑΝΔΡΟΜΑΧΗ.
λείβομαι δακρύοις κόρας,
στάζω, λισσάδος ὡς πέτρας
λιβὰς ἀνήλιος ἁ τάλαιν'.
ΜΟΛΟΤΤΟΣ.
ὤμοι μοι. τί δ' ἐγὼ κακῶν
μῆχος ἐξανύσωμαι;
ΜΕΝΕΛΑΟΣ.
τί με προσπίτνεις ἁλίαν πέτραν
ἢ κῦμα λιταῖς ὣς ἱκετεύων;
τοῖς γὰρ ἐμοῖσιν γέγον' ὠφελία,
σοὶ δ' οὐδὲν ἔχω φίλτρον, ἐπεί τοι
μέγ' ἀναλώσας ψυχῆς μόριον
Τροίαν εἷλον καὶ μητέρα σήν·
ἧς ἀπολαύων
Ἅιδην χθόνιον καταβήσει.
ΧΟΡΟΣ.
καὶ μὴν δέδορκα τόνδε Πηλέα πέλας,
σπουδῇ τιθέντα δεῦρο γηραιὸν πόδα.
ΠΗΛΕΥΣ.
ὑμᾶς ἐρωτῶ τόν τ' ἐφεστῶτα σφαγῇ,
τί ταῦτα; πῶς τε κὰκ τίνος λόγου νοσεῖ
δόμος; τί πράσσετ' ἄκριτα μηχανώμενοι;
Μενέλα', ἐπίσχες· μὴ τάχυν' ἄνευ δίκης.
ἡγοῦ σὺ θᾶσσον· οὐ γὰρ, ὡς ἔοικέ μοι,
σχολῆς τόδ' ἔργον, ἀλλ' ἀνηβητηρίαν
ῥώμην μ' ἐπαινῶ λαμβάνειν, εἴπερ ποτέ.
πρῶτον μὲν οὖν κατ' οὖρον, ὥσπερ ἱστίοις,
ἐμπνεύσομαι τῇδ'· εἰπὲ, τίνι δίκῃ χέρας
βρόχοισιν ἐκδήσαντες οἵδ' ἄγουσί σε
καὶ παῖδ'· ὕπαρνος γάρ τις ὣς ἀπόλλυσαι,
ἡμῶν ἀπόντων τοῦ τε κυρίου σέθεν.
ΑΝΔΡΟΜΑΧΗ.
οἵδ', ὦ γεραιὲ, σὺν τέκνῳ θανουμένην
ἄγουσί μ' οὕτως ὡς ὁρᾷς. τί σοι λέγω;
οὐ γὰρ μιᾶς σε κληδόνος προθυμίᾳ
μετῆλθον, ἀλλὰ μυρίων ὑπ' ἀγγέλων.
ἔριν δὲ τὴν κατ' οἶκον οἶσθά που κλύων
τῆς τοῦδε θυγατρὸς, ὧν τ' ἀπόλλυμαι χάριν.
καὶ νῦν με βωμοῦ Θέτιδος, ἣ τὸν εὐγενῆ
ἔτικτέ σοι παῖδ', ἣν σὺ θαυμαστὴν σέβεις,
ἄγουσ' ἀποσπάσαντες, οὔτε τῳ δίκῃ
κρίναντες οὔτε τοὺς ἀπόντας ἐκ δόμων
μείναντες, ἀλλὰ τὴν ἐμὴν ἐρημίαν
γνόντες τέκνου τε τοῦδ', ὃν οὐδὲν αἴτιον
μέλλουσι σὺν ἐμοὶ τῇ ταλαιπώρῳ κτενεῖν.
ἀλλ' ἀντιάζω σ', ὦ γέρον, τῶν σῶν πάρος
πίτνουσα γονάτων, χειρὶ δ' οὐκ ἔξεστί μοι
τῆς σῆς λαβέσθαι φιλτάτης γενειάδος,
ῥῦσαί με πρὸς θεῶν· εἰ δὲ μὴ, θανούμεθα,
αἰσχρῶς μὲν ὑμῖν, δυστυχῶς δ' ἐμοὶ, γέρον.
ΠΗΛΕΥΣ.
χαλᾶν κελεύω δεσμὰ πρὶν κλαίειν τινὰ,
καὶ τῆσδε χεῖρας διπτύχους ἀνιέναι.
ΜΕΝΕΛΑΟΣ.
ἐγὼ δ' ἀπαυδῶ γ' ἄλλος οὐχ ἥσσων σέθεν,
καὶ τῆσδε πολλῷ κυριώτερος γεγώς.
ΠΗΛΕΥΣ.
πῶς; ἦ τὸν ἀμὸν οἶκον οἰκήσεις μολὼν
δεῦρ'; οὐχ ἅλις σοι τῶν κατὰ Σπάρτην κρατεῖ
ΜΕΝΕΛΑΟΣ.
εἷλόν νιν αἰχμάλωτον ἐκ Τροίας ἐγώ.
ΠΗΛΕΥΣ.
οὑμὸς δέ γ' αὐτὴν ἔλαβε παῖς παιδὸς γέρας.
ΜΕΝΕΛΑΟΣ.
οὔκουν ἐκείνου τἀμὰ τἀκείνου τ' ἐμά;
ΠΗΛΕΥΣ.
ναί·
δρᾶν εὖ, κακῶς δ' οὔ, μηδ' ἀποκτείνειν βίᾳ
ΜΕΝΕΛΑΟΣ.
ὡς τήνδ' ἀπάξεις οὔποτ' ἐξ ἐμῆς χερός.
ΠΗΛΕΥΣ.
σκήπτρῳ δὲ τῷδε σὸν καθαιμάξω κάρα.
ΜΕΝΕΛΑΟΣ.
ψαῦσόν γ', ἵν' εἰδῇς, καὶ πέλας πρόσελθέ μοι
ΠΗΛΕΥΣ.
σὺ γὰρ μετ' ἀνδρῶν, ὦ κάκιστε κὰκ κακῶν;
σοί που μέτεστιν ὡς ἐν ἀνδράσιν λόγου;
ὅστις πρὸς ἀνδρὸς Φρυγὸς ἀπηλλάγης λέχους,
ἄκληστ', ἄδουλα δώμαθ' ἑστίας λιπὼν,
ὡς δὴ γυναῖκα σώφρον' ἐν δόμοις ἔχων,
πασῶν κακίστην. οὐδ' ἂν εἰ βούλοιτό τις
σώφρων γένοιτο Σπαρτιατίδων κόρη,
αἳ ξὺν νέοισιν ἐξερημοῦσαι δόμους
γυμνοῖσι μηροῖς καὶ πέπλοις ἀνειμένοις

δρόμους παλαίστρας τ' οὐκ ἀνασχετοὺς ἐμοὶ
κοινὰς ἔχουσι. κᾆτα θαυμάζειν χρεὼν
εἰ μὴ γυναῖκας σώφρονας παιδεύετε;
Ἑλένην ἐρέσθαι χρῆν τάδ', ἥτις ἐκ δόμων
τὸν σὸν λιποῦσα φίλιον ἐξεκώμασε
νεανίου μετ' ἀνδρὸς εἰς ἄλλην χθόνα.
κἄπειτ' ἐκείνης οὕνεχ' Ἑλλήνων ὄχλον
τοσόνδ' ἀθροίσας ἤγαγες πρὸς Ἴλιον·
ἣν χρῆν σ' ἀποπτύσαντα μὴ κινεῖν δόρυ,
κακὴν ἐφευρόντ', ἀλλ' ἐᾶν αὐτοῦ μένειν,
μισθόν τε δόντα μήποτ' εἰς οἴκους λαβεῖν.
ἀλλ' οὔ τι ταύτῃ σὸν φρόνημ' ἐπούρισας·
ψυχὰς δὲ πολλὰς κἀγαθὰς ἀπώλεσας,
παίδων τ' ἄπαιδας γραῦς ἔθηκας ἐν δόμοις,
πολιούς τ' ἀφείλου πατέρας εὐγενῆ τέκνα.
ὧν εἷς ἐγὼ δύστηνος, αὐθέντην δὲ σὲ,
μιάστορ' ὥς τιν', ἐσδέδορκ' Ἀχιλλέως.
ὃς οὐδὲ τρωθεὶς ἦλθες ἐκ Τροίας μόνος,
κάλλιστα τεύχη δ' ἐν καλοῖσι σάγμασιν
ὅμοι' ἐκεῖσε δεῦρό τ' ἤγαγες πάλιν·
κἀγὼ μὲν ηὔδων τῷ γαμοῦντι μήτε σοὶ
κῆδος ξυνάψαι μήτε δώμασιν λαβεῖν
κακῆς γυναικὸς πῶλον· ἐκφέρουσι γὰρ
μητρῷ' ὀνείδη. τοῦτο καὶ σκοπεῖτέ μοι,
μνηστῆρες, ἐσθλῆς θυγατέρ' ἐκ μητρὸς λαβεῖν.
πρὸς τοῖσδε δ' εἰς ἀδελφὸν οἷ' ἐφύβρισας,
σφάξαι κελεύσας θυγατέρ' εὐηθέστατα.
οὕτως ἔδεισας μὴ οὐ κακὴν δάμαρτ' ἔχῃς.
ἑλὼν δὲ Τροίαν, εἶμι γὰρ κἀνταῦθά σοι,
οὐκ ἔκτανες γυναῖκα χειρίαν λαβών·
ἀλλ' ὡς ἐσεῖδες μαστὸν, ἐκβαλὼν ξίφος
φίλημ' ἐδέξω, προδότιν αἰκάλλων κύνα,
ἥσσων πεφυκὼς Κύπριδος, ὦ κάκιστε σύ.
κἄπειτ' ἐς οἴκους τῶν ἐμῶν ἐλθὼν τέκνων
πορθεῖς ἀπόντων, καὶ γυναῖκα δυστυχῆ
κτείνεις ἀτίμως παῖδά θ', ὃς κλαίοντά σε
καὶ τὴν ἐν οἴκοις σὴν καταστήσει κόρην,
κεἰ τρὶς νόθος πέφυκε. πολλάκις δέ τοι
ξηρὰ βαθεῖαν γῆν ἐνίκησε σπορὰ,
νόθοι τε πολλοὶ γνησίων ἀμείνονες.
ἀλλ' ἐκκομίζου παῖδα. κύδιον βροτοῖς
πένητα χρηστὸν ἢ κακὸν καὶ πλούσιον
γαμβρὸν πεπᾶσθαι καὶ φίλον· σὺ δ' οὐδὲν εἶ.

ΧΟΡΟΣ.

σμικρᾶς ἀπ' ἀρχῆς νεῖκος ἀνθρώποις μέγα
γλῶσσ' ἐκπορίζει· τοῦτο δ' οἱ σοφοὶ βροτῶν
ἐξευλαβοῦνται, μὴ φίλοις τεύχειν ἔριν.

ΜΕΝΕΛΑΟΣ.

τί δῆτ' ἂν εἴποις τοὺς γέροντας ὡς σοφοὶ,
καὶ τοὺς φρονεῖν δοκοῦντας Ἕλλησίν ποτε;
ὅτ' ὢν σὺ Πηλεὺς, καὶ πατρὸς κλεινοῦ γεγὼς,
* * * *
κῆδος ξυνάψας, αἰσχρὰ μὲν σαυτῷ λέγεις,
ἡμῖν δ' ὀνείδη διὰ γυναῖκα βάρβαρον,
ἣν χρῆν σ' ἐλαύνειν τήνδ' ὑπὲρ Νείλου ῥοὰς
ὑπέρ τε Φᾶσιν, κἀμὲ παρακαλεῖν ἀεὶ,
οὖσαν μὲν Ἠπειρῶτιν, οὗ πεσήματα
πλεῖσθ' Ἑλλάδος πέπτωκε δοριπετῆ νεκρῶν,
τοῦ σοῦ δὲ παιδὸς αἵματος κοινουμένην·
Πάρις γὰρ, ὃς σὸν παῖδ' ἔπεφν' Ἀχιλλέα,
Ἕκτορος ἀδελφὸς ἦν, δάμαρ δ' ἥδ' Ἕκτορος.
καὶ τῇδέ γ' εἰσέρχει σὺ ταυτὸν ἐς στέγος,
καὶ ξυντράπεζον ἀξιοῖς ἔχειν βίον,
τίκτειν δ' ἐν οἴκοις παῖδας ἐχθίστους ἐᾷς;
ἁγὼ προνοίᾳ τῇ τε σῇ κἀμῇ, γέρον,
κτανεῖν θέλων τήνδ', ἐκ χερῶν ἁρπάζομαι.
καίτοι φέρ', ἅψασθαι γὰρ οὐκ αἰσχρὸν λόγου,
ἢν παῖς μὲν ἡμὴ μὴ τέκῃ, ταύτης δ' ἄπο
βλάστωσι παῖδες, τῆσδε γῆς Φθιώτιδος
στήσεις τυράννους, βάρβαροι δ' ὄντες γένος
Ἕλλησιν ἄρξουσ'; εἶτ' ἐγὼ μὲν οὐ φρονῶ,
μισῶν τὰ μὴ δίκαια, σοὶ δ' ἔνεστι νοῦς;
κἀκεῖνό νυν ἄθρησον· εἰ σὺ παῖδα σὴν
δούς τῳ πολιτῶν, εἶτ' ἔπασχε τοιάδε,
σιγῇ κάθησ' ἄν; οὐ δοκῶ· ξένης δ' ὕπερ
τοιαῦτα λάσκεις τοὺς ἀναγκαίους φίλους;
καὶ μὴν ἴσον γ' ἀνήρ τε καὶ γυνὴ σθένει
ἀδικουμένη πρὸς ἀνδρός· ὡς δ' αὕτως ἀνὴρ
γυναῖκα μωραίνουσαν ἐν δόμοις ἔχων.
καὶ τῷ μέν ἐστιν ἐν χεροῖν μέγα σθένος,
τῇ δ' ἐν γονεῦσι καὶ φίλοις τὰ πράγματα.
οὔκουν δίκαιον τοῖς γ' ἐμοῖς μ' ἐπωφελεῖν;
γέρων γέρων εἶ· τὴν δ' ἐμὴν στρατηγίαν
λέγων ἔμ' ὠφελοῖς ἂν ἢ σιγῶν πλέον.
Ἑλένη δ' ἐμόχθησ' οὐχ ἑκοῦσ', ἀλλ' ἐκ θεῶν,
καὶ τοῦτο πλεῖστον ὠφέλησεν Ἑλλάδα·
ὅπλων γὰρ ὄντες καὶ μάχης ἀΐστορες,
ἔβησαν ἐς τἀνδρεῖον· ἡ δ' ὁμιλία
πάντων βροτοῖσι γίγνεται διδάσκαλος.
εἰ δ' ἐς πρόσοψιν τῆς ἐμῆς ἐλθὼν ἐγὼ
γυναικὸς ἔσχον μὴ κτανεῖν, ἐσωφρόνουν.
οὐδ' ἄν σε Φῶκον ἤθελον κατακτανεῖν.
ταῦτ' εὖ φρονῶν σ' ἐπῆλθον, οὐκ ὀργῆς χάριν·
ἢν δ' ὀξυθυμῇς, σοὶ μὲν ἡ γλωσσαλγία
μείζων, ἐμοὶ δὲ κέρδος ἡ προμηθία.

ΧΟΡΟΣ.

παύσασθον ἤδη, λῷστα γὰρ μακρῷ τάδε,
λόγων ματαίων, μὴ δύο σφαλῆθ' ἅμα.

ΠΗΛΕΥΣ.

οἴμοι, καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται.
ὅταν τροπαῖα πολεμίων στήσῃ στρατὸς,
οὐ τῶν πονούντων τοὔργον ἡγοῦνται τόδε,
ἀλλ' ὁ στρατηγὸς τὴν δόκησιν ἄρνυται,
ὃς εἷς μετ' ἄλλων μυρίων πάλλων δόρυ
οὐδὲν πλέον δρῶν ἑνὸς ἔχει πλείω λόγον.
σεμνοὶ δ' ἐν ἀρχαῖς ἥμενοι κατὰ πτόλιν
φρονοῦσι δήμου μεῖζον, ὄντες οὐδένες·
οἳ δ' εἰσὶν αὐτῶν μυρίῳ σοφώτεροι,
εἰ τόλμα προσγένοιτο βούλησίς θ' ἅμα.
ὡς καὶ σὺ σός τ' ἀδελφὸς ἐξωγκωμένοι
Τροίᾳ κάθησθε τῇ τ' ἐκεῖ στρατηγίᾳ,
μόχθοισιν ἄλλων καὶ πόνοις ἐπηρμένοι.
δείξω δ' ἐγώ σοι μὴ τὸν Ἰδαῖον Πάριν
ἥσσω νομίζειν Πηλέως ἐχθρόν ποτε,
εἰ μὴ φθερεῖ τῆσδ' ὡς τάχιστ' ἀπὸ στέγης
καὶ παῖς ἄτεκνος, ἣν ὅδ' ἐξ ἡμῶν γεγὼς
ἐλᾷ δι' οἴκων τῶνδ' ἐπισπάσας κόμης,
ἣ στεῖρος οὖσα μόσχος οὐκ ἀνέξεται
τίκτοντας ἄλλους, οὐκ ἔχουσ' αὐτὴ τέκνα.
ἀλλ' εἰ τὸ κείνης δυστυχεῖ παίδων πέρι,

ἄπαιδας ἡμᾶς δεῖ καταστῆναι τέκνων;
φθείρεσθε τῆσδε, δμῶες, ὡς ἂν ἐκμάθω
εἴ τίς με λύειν τῆσδε κωλύσει χέρας.
ἔπαιρε σαυτήν· ὡς ἐγὼ, καίπερ τρέμων,
πλεκτὰς ἱμάντων στροφίδας ἐξανήσομαι.
ὧδ᾽, ὦ κάκιστε, τῆσδ᾽ ἐλυμήνω χέρας;
βοῦν ἢ λέοντ᾽ ἤλπιζες ἐντείνειν βρόχοις;
ἢ μὴ ξίφος λαβοῦσ᾽ ἀμυνάθοιτό σε
ἔδεισας; ἕρπε δεῦρ᾽ ὑπ᾽ ἀγκάλας, βρέφος,
ξύλλυε δεσμὰ μητρός· ἐν Φθίᾳ σ᾽ ἐγὼ
θρέψω μέγαν τοῖσδ᾽ ἐχθρόν. εἰ δ᾽ ἀπῆν δορὸς
τοῖς Σπαρτιάταις δόξα καὶ μάχης ἀγὼν,
τἄλλ᾽ ὄντες ἴστε μηδενὸς βελτίονες.

ΧΟΡΟΣ.

ἀνειμένον τι χρῆμα πρεσβυτῶν ἔφυ
καὶ δυσφύλακτον ὀξυθυμίας ὕπο.

ΜΕΝΕΛΑΟΣ.

ἄγαν προνωπὴς ἐς τὸ λοιδορεῖν φέρει·
ἐγὼ δὲ πρὸς βίαν μὲν, ἐς Φθίαν μολὼν,
οὔτ᾽ οὖν τι δράσω φλαῦρον οὔτε πείσομαι.
καὶ νῦν μὲν, οὐ γὰρ ἄφθονον σχολὴν ἔχω,
ἄπειμ᾽ ἐς οἴκους· ἔστι γάρ τις οὐ πρόσω
Σπάρτης πόλις τις, ἣ πρὸ τοῦ μὲν ἦν φίλη,
νῦν δ᾽ ἐχθρὰ ποιεῖ· τήνδ᾽ ἐπελθεῖν οὖν θέλω
στρατηλατήσας, ὥστε χειρίαν λαβεῖν.
ὅταν δὲ τἀκεῖ θῶ κατὰ γνώμην ἐμὴν,
ἥξω. παρὼν δὲ πρὸς παρόντας ἐμφανῶς
γαμβροὺς διδάξω καὶ διδάξομαι λόγους.
κἂν μὲν κολάζῃ τήνδε, καὶ τὸ λοιπὸν ᾖ
σώφρων καθ᾽ ἡμᾶς, σώφρον᾽ ἀντιλήψεται.
θυμούμενος δὲ τεύξεται θυμουμένων,
ἔργοισι δ᾽ ἔργα διάδοχ᾽ ἀντιλήψεται.
τοὺς σοὺς δὲ μύθους ῥᾳδίως ἐγὼ φέρω·
σκιὰ γὰρ ἀντίστοιχος ὣς φωνὴν ἔχεις,
ἀδύνατος οὐδὲν ἄλλο πλὴν λέγειν μόνον.

ΠΗΛΕΥΣ.

ἡγοῦ, τέκνον, μοι δεῦρ᾽ ὑπ᾽ ἀγκάλαις σταθεὶς,
σύ τ᾽, ὦ τάλαινα· χείματος γὰρ ἀγρίου
τυχοῦσα λιμένας ἦλθες εἰς εὐηνέμους.

ΑΝΔΡΟΜΑΧΗ.

ὦ πρέσβυ, θεοί σοι δοῖεν εὖ καὶ τοῖσι σοῖς,
σώσαντι παῖδα κἀμὲ τὴν δυσδαίμονα.
ὅρα δὲ μὴ νῷν εἰς ἐρημίαν ὁδοῦ
πτήξαντες οἵδε πρὸς βίαν ἄγωσί με,
γέροντα μὲν σ᾽ ὁρῶντες, ἀσθενῆ δ᾽ ἐμὲ,
καὶ παῖδα τόνδε νήπιον· σκόπει τάδε,
μὴ νῦν φυγόντες εἶθ᾽ ἁλῶμεν ὕστερον.

ΠΗΛΕΥΣ.

οὐ μὴ γυναικῶν δειλὸν εἰσοίσεις λόγον;
χώρει, τίς ὑμῶν ἅψεται; κλαίων ἄρα
ψαύσει. θεῶν γὰρ οὕνεχ᾽ ἱππικοῦ τ᾽ ὄχλου
πολλῶν θ᾽ ὁπλιτῶν ἄρχομεν Φθίαν κάτα·
ἡμεῖς δ᾽ ἔτ᾽ ὀρθοὶ, κοὐ γέροντες, ὡς δοκεῖς,
ἀλλ᾽ ἔς γε τοιόνδ᾽ ἄνδρ᾽ ἀποβλέψας μόνον,
τροπαῖον αὐτοῦ στήσομαι, πρέσβυς περ ὤν.
πολλῶν νέων γὰρ κἂν γέρων εὔψυχος ᾖ
κρείσσων· τί γὰρ δεῖ δειλὸν ὄντ᾽ εὐσωματεῖν;

ΧΟΡΟΣ.

ἢ μὴ γενοίμαν, ἢ πατέρων ἀγαθῶν εἴην πολυ-
κτήτων τε δόμων μέτοχος·
εἴ τι γὰρ πάσχοι τις ἀμήχανον, ἀλκᾶς
οὐ σπάνις εὐγενέταις·
κηρυσσομένοισι δ᾽ ἀπ᾽ ἐσθλῶν δωμάτων
τιμὰν καὶ κλέος οὔτοι
λείψανα τῶν ἀγαθῶν
ἀνδρῶν ἀφαιρεῖται χρόνος· ἁ δ᾽ ἀρετὰ
καὶ θανοῦσι λάμπει.
κρεῖσσον δὲ νίκαν μὴ κακόδοξον ἔχειν ἢ ξὺν
φθόνῳ σφάλλειν δυνάμει τε δίκαν
ἡδὺ μὲν γὰρ αὐτίκα τοῦτο βροτοῖσιν,
ἐν δὲ χρόνῳ τελέθει
ξηρὸν καὶ ὀνείδεσιν ἔγκειται δόμων.
ταύταν ἤνεσα, ταύταν
καὶ φέρομαι βιοτὰν,
μηδὲν δίκας ἔξω κράτος ἐν θαλάμοις
καὶ πόλει δύνασθαι.
ὦ γέρον Αἰακίδα,
πείθομαι καὶ σὺν Λαπίθαισί σε Κενταύρων ὁμι-
λῆσαι δορὶ κλεινοτάτῳ,
καὶ ἐπ᾽ Ἀργῴου δορὸς Ἄξενον ὑγρὰν
ἐκπερᾶσαι ποντίαν Ξυμπληγάδα κλεινὰν ἐπὶ
ναυστολίαν,
Ἰλιάδα τε πόλιν ὅτε πάρος
εὐδόκιμος Διὸς ἶνις
ἀμφέβαλεν φόνῳ,
κοινὰν τὰν εὔκλειαν ἔχοντ᾽
Εὐρώπαν ἀφικέσθαι.

ΤΡΟΦΟΣ.

ὦ φίλταται γυναῖκες, ὡς κακὸν κακῷ
διάδοχον ἐν τῇδ᾽ ἡμέρᾳ πορσύνεται.
δέσποινα γὰρ κατ᾽ οἶκον, Ἑρμιόνην λέγω,
πατρός τ᾽ ἐρημωθεῖσα συννοίᾳ θ᾽ ἅμα
οἷον δέδρακεν ἔργον, Ἀνδρομάχην κτανεῖν
καὶ παῖδα βουλεύσασα, κατθανεῖν θέλει,
πόσιν τρέμουσα, μὴ ᾽ντὶ τῶν δεδραμένων
ἐκ τῶνδ᾽ ἀτίμως δωμάτων ἀποσταλῇ,
ἢ κατθάνῃ, κτείνασα τοὺς οὐ χρῆν κτανεῖν.
μόλις δέ νιν θέλουσαν ἀρτῆσαι δέρην
εἴργουσι φύλακες δμῶες, ἔκ τε δεξιᾶς
ξίφη καθαρπάζουσιν ἐξαιρούμενοι.
οὕτω μέγ᾽ ἀλγεῖ, καὶ τὰ πρὶν δεδραμένα
ἔγνωκε πράξασ᾽ οὐ καλῶς. ἐγὼ μὲν οὖν
δέσποιναν εἴργουσ᾽ ἀγχόνης κάμνω, φίλαι·
ὑμεῖς δὲ βᾶσαι τῶνδε δωμάτων ἔσω
θανάτου νιν ἐκλύσασθε· τῶν γὰρ ἠθάδων
φίλων νέοι μολόντες εὐπειθέστεροι.

ΧΟΡΟΣ.

καὶ μὴν ἐν οἴκοις προσπόλων ἀκούομεν
βοὴν ἐφ᾽ οἷσιν ἦλθες ἀγγέλλουσα σύ.
δείξειν δ᾽ ἔοικεν ἡ τάλαιν᾽ ὅσον στένει
πράξασα δεινά· δωμάτων γὰρ ἐκπερᾷ
φεύγουσα χεῖρας προσπόλων, πόθῳ θανεῖν.

ΕΡΜΙΟΝΗ.

ἰώ μοί μοι.
σπάραγμα κόμας ὀνύχων τε δαΐ᾽ ἀ-
μύγματα θήσομαι.

766 — 777. == 778 — 789.

ΤΡΟΦΟΣ.
ὦ παῖ, τί δράσεις; σῶμα σὸν καταικιεῖ;
ΕΡΜΙΟΝΗ.
αἰαῖ αἰαῖ.
ἔῤῥ' αἰθέριον πλοκάμων ἐμῶν ἄπο,
λεπτόμιτον φάρος.
ΤΡΟΦΟΣ.
τέκνον, κάλυπτε στέρνα, σύνδησαι πέπλοις.
ΕΡΜΙΟΝΗ.
τί δέ με δεῖ καλύπτειν πέπλοις στέρνα; δῆλα καὶ
ἀμφιφανῆ καὶ ἄκρυπτα δεδράκαμεν πόσιν.
ΤΡΟΦΟΣ.
ἀλγεῖς, φόνον ῥάψασα συγγάμῳ σέθεν;
ΕΡΜΙΟΝΗ.
κατὰ μὲν οὖν στένω δαΐαν τόλμαν ἂν ἔρεξ'
ἁ κατάρατος ἐγὼ κατάρατος ἀνδράσιν.
ΤΡΟΦΟΣ.
συγγνώσεταί σοι τήνδ' ἁμαρτίαν πόσις.
ΕΡΜΙΟΝΗ.
τί μοι ξίφος ἐκ χερὸς ἠγρεύσω;
ἀπόδος, ὦ φίλος, ἀπόδος, ἵν' ἀνταίαν
ἐρείσω πλαγάν· τί με βρόχων εἴργεις;
ΤΡΟΦΟΣ.
ἀλλ' εἴ σ' ἀφείην μὴ φρονοῦσαν, ὡς θάνοις.
ΕΡΜΙΟΝΗ.
οἴμοι πότμου. ποῦ μοι πυρὸς φίλα φλόξ;
ποῦ δ' εἰς πέτρας ἀερθῶ
ἢ κατὰ πόντον ἢ καθ' ὕλαν ὀρέων,
ἵνα θανοῦσα νερτέροισιν μέλω;
ΤΡΟΦΟΣ.
τί ταῦτα μοχθεῖς; συμφοραὶ θεήλατοι
πᾶσιν βροτοῖσιν ἢ τότ' ἦλθον ἢ τότε.
ΕΡΜΙΟΝΗ.
ἔλιπες ἔλιπες, ὦ πάτερ, μ' ἐπακτίαν
ὡσεὶ μονάδ' ἔρημον οὖσαν
ἐναλίου κώπας.
ὀλεῖ μ' ὀλεῖ με [δηλαδὴ πόσις.]
οὐκέτι τᾷδ' ἐνοικήσω
νυμφιδίῳ στέγᾳ.
τίνος ἀγαλμάτων ἱκέτις ὁρμαθῶ,
ἢ δούλα δούλας γούνασι προσπέσω;
Φθιάδος ἐκ γᾶς
κυανόπτερος ὄρνις εἴθ' εἴην,
ἢ πευκᾶεν σκάφος, ἃ
διὰ Κυανέας ἐπέρασεν ἀκτὰς
πρωτόπλοος πλάτα.
ΤΡΟΦΟΣ.
ὦ παῖ, τὸ λίαν οὔτ' ἐκεῖν' ἐπῄνεσα,
ὅτ' ἐς γυναῖκα Τρῳάδ' ἐξημάρτανες,
οὔτ' αὖ τὸ νῦν σου δεῖμ' ὃ δειμαίνεις ἄγαν.
οὐχ ὧδε κῆδος σὸν διώσεται πόσις,
φαύλοις γυναικὸς βαρβάρου πεισθεὶς λόγοις.
οὐ γάρ τί σ' αἰχμάλωτον ἐκ Τροίας ἔχει,
ἀλλ' ἀνδρὸς ἐσθλοῦ παῖδα, σὺν πολλοῖς λαβὼν
ἕδνοισι, πόλεώς τ' οὐ μέσως εὐδαίμονος.
πατὴρ δέ σ' οὐχ ὧδ', ὡς σὺ δειμαίνεις, τέκνον,
προδοὺς ἐάσει δωμάτων τῶνδ' ἐκπεσεῖν.
ἀλλ' εἴσιθ' εἴσω, μηδὲ φαντάζου δόμων
πάροιθε τῶνδε, μή τιν' αἰσχύνην λάβῃς
πρόσθεν μελάθρων τῶνδ' ὁρωμένη, τέκνον.

ΧΟΡΟΣ.
καὶ μὴν ὅδ' ἀλλόχρως τις ἔκδημος ξένος
σπουδῇ πρὸς ἡμᾶς βημάτων πορεύεται.
ΟΡΕΣΤΗΣ.
ξέναι γυναῖκες, ἦ τάδ' ἔστ' Ἀχιλλέως
παιδὸς μέλαθρα καὶ τυραννικαὶ στέγαι;
ΧΟΡΟΣ.
ἔγνως· ἀτὰρ δὴ πυνθάνει τίς ὢν τάδε;
ΟΡΕΣΤΗΣ.
Ἀγαμέμνονός γε καὶ Κλυταιμνήστρας τόκος·
ὄνομα δ' Ὀρέστης· ἔρχομαι δὲ πρὸς Διὸς
μαντεῖα Δωδωναῖ'. ἐπεὶ δ' ἀφικόμην
Φθίαν, δοκεῖ μοι ξυγγενοῦς μαθεῖν πέρι
γυναικὸς, εἰ ζῇ κεὐτυχοῦσα τυγχάνει
ἡ Σπαρτιᾶτις Ἑρμιόνη· τηλουρὰ γὰρ
ναίουσ' ἀφ' ἡμῶν πεδί' ὅμως ἐστὶν φίλη.
ΕΡΜΙΟΝΗ.
ὦ ναυτίλοισι χείματος λιμὴν φανεὶς,
Ἀγαμέμνονος παῖ, πρός σε τῶνδε γουνάτων,
οἴκτειρον ἡμᾶς, ὧν ἐπισκοπεῖς τύχας,
πράσσοντας οὐκ εὖ. στεμμάτων δ' οὐχ ἥσσονας
σοῖς προστίθημι γόνασιν ὠλένας ἐμάς.
ΟΡΕΣΤΗΣ.
ἔα·
τί χρῆμα; μῶν ἐσφάλμεθ' ἢ σαφῶς ὁρῶ
δόμων ἄνασσαν τήνδε Μενέλεω κόρην;
ΕΡΜΙΟΝΗ.
ἥνπερ μόνην γε Τυνδαρὶς τίκτει κόρη
Ἑλένη κατ' οἴκους πατρί· μηδὲν ἀγνόει.
ΟΡΕΣΤΗΣ.
ὦ Φοῖβ' ἀκέστορ, πημάτων δοίης λύσιν.
τί χρῆμα; πρὸς θεῶν ἢ βροτῶν πάσχεις κακά;
ΕΡΜΙΟΝΗ.
τὰ μὲν πρὸς ἡμῶν, τὰ δὲ πρὸς ἀνδρὸς, ὅς μ' ἔχει,
τὰ δ' ἐκ θεῶν του. πανταχῇ δ' ὀλώλαμεν.
ΟΡΕΣΤΗΣ.
τίς οὖν ἂν εἴη μὴ πεφυκότων γέ πω
παίδων γυναικὶ συμφορὰ πλὴν ἐς λέχος;
ΕΡΜΙΟΝΗ.
τοῦτ' αὐτὸ καὶ νοσοῦμεν· εὖ μ' ὑπηγάγου.
ΟΡΕΣΤΗΣ.
ἄλλην τίν' εὐνὴν ἀντὶ σοῦ στέργει πόσις;
ΕΡΜΙΟΝΗ.
τὴν αἰχμάλωτον Ἕκτορος ξυνευνέτιν.
ΟΡΕΣΤΗΣ.
κακόν γ' ἔλεξας, ἄνδρα δίσσ' ἔχειν λέχη.
ΕΡΜΙΟΝΗ.
τοιαῦτα ταῦτα. κᾆτ' ἔγωγ' ἠμυνάμην.
ΟΡΕΣΤΗΣ.
μῶν ἐς γυναῖκ' ἔρραψας οἷα δὴ γυνή;
ΕΡΜΙΟΝΗ.
φόνον γ' ἐκείνῃ καὶ τέκνῳ νοθαγενεῖ.
ΟΡΕΣΤΗΣ.
κἄκτεινας, ἤ τις συμφορά σ' ἀφείλετο;
ΕΡΜΙΟΝΗ.
γέρων γε Πηλεὺς, τοὺς κακίονας σέβων.
ΟΡΕΣΤΗΣ.
σοὶ δ' ἦν τις ὅστις τοῦδ' ἐκοινώνει φόνου;

ΕΡΜΙΟΝΗ.

πατήρ γ' ἐπ' αὐτὸ τοῦτ' ἀπὸ Σπάρτης μολών.

ΟΡΕΣΤΗΣ.

κἄπειτα τοῦ γέροντος ἡσσήθη χερί;

ΕΡΜΙΟΝΗ.

αἰδοῖ γε· καί μ' ἔρημον οἴχεται λιπών.

ΟΡΕΣΤΗΣ.

ξυνῆκα· ταρβεῖς τοῖς δεδραμένοις πόσιν.

ΕΡΜΙΟΝΗ.

ἔγνως· ὀλεῖ γάρ μ' ἐνδίκως. τί δεῖ λέγειν;
ἀλλ' ἄντομαί σε Δία καλοῦσ' ὁμόγνιον
πέμψον με χώρας τῆσδ' ὅποι προσωτάτω,
ἢ πρὸς πατρῷον μέλαθρον· ὡς δοκοῦσί γε
δόμοι τ' ἐλαύνειν φθέγμ' ἔχοντες οἵδε με,
μισεῖ τε γαῖα Φθιάς· εἰ δ' ἥξει πάρος
Φοίβου λιπὼν μαντεῖον ἐς δόμους πόσις,
κτενεῖ μ' ἐπ' αἰσχίστοισιν, ἢ δουλεύσομεν
νόθοισι λέκτροις, ὧν ἐδέσποζον πρὸ τοῦ.

ΟΡΕΣΤΗΣ.

πῶς οὖν τάδ' ὡς εἴποι τις, ἐξημάρτανες;

ΕΡΜΙΟΝΗ.

κακῶν γυναικῶν εἴσοδοί μ' ἀπώλεσαν,
αἵ μοι λέγουσαι τούσδ' ἐχαύνωσαν λόγους·
σὺ τὴν κακίστην αἰχμάλωτον ἐν δόμοις
δούλην ἀνέξει σοὶ λέχους κοινουμένην;
μὰ τὴν ἄνασσαν, οὐκ ἂν ἔν γ' ἐμοῖς δόμοις
βλέπουσ' ἂν αὐγὰς τἄμ' ἐκαρποῦτ' ἂν λέχη.
κἀγὼ κλύουσα τούσδε Σειρήνων λόγους,
σοφῶν, πανούργων, ποικίλων λαλημάτων,
ἐξηνεμώθην μωρίᾳ. τί γάρ μ' ἐχρῆν
πόσιν φυλάσσειν, ᾗ παρῆν ὅσων ἔδει,
πολὺς μὲν ὄλβος, δωμάτων δ' ἠνάσσομεν,
παῖδας δ' ἐγὼ μὲν γνησίους ἔτικτον ἄν,
ἡ δ' ἡμιδούλους τοῖς ἐμοῖς νοθαγενεῖς.
ἀλλ' οὔποτ' οὔποτ', οὐ γὰρ εἰσάπαξ ἐρῶ,
χρὴ τούς γε νοῦν ἔχοντας, οἷς ἔστιν γυνή,
πρὸς τὴν ἐν οἴκοις ἄλοχον ἐσφοιτᾶν ἐᾶν
γυναῖκας· αὗται γὰρ διδάσκαλοι κακῶν·
ἡ μέν τι κερδαίνουσα συμφθείρει λέχος,
ἡ δ' ἀμπλακοῦσα συννοσεῖν αὑτῇ θέλει,
πολλαὶ δὲ μαργότητι. κἀντεῦθεν δόμοι
νοσοῦσιν ἀνδρῶν. πρὸς τάδ' εὖ φυλάσσετε
κλῄθροισι καὶ μοχλοῖσι δωμάτων πύλας·
ὑγιὲς γὰρ οὐδὲν αἱ θύραθεν εἴσοδοι
δρῶσιν γυναικῶν, ἀλλὰ πολλὰ καὶ κακά.

ΧΟΡΟΣ.

ἄγαν ἐφῆκας γλῶσσαν ἐς τὸ σύμφυτον.
ξυγγνωστὰ μέν νύν σοι τάδ', ἀλλ' ὅμως χρεὼν
κοσμεῖν γυναῖκας τὰς γυναικείους φύσεις.

ΟΡΕΣΤΗΣ.

σοφόν τι χρῆμα τοῦ διδάξαντος βροτοὺς
λόγους ἀκούειν τῶν ἐναντίων πάρα·
ἐγὼ γὰρ εἰδὼς τῶνδε σύγχυσιν δόμων
ἔριν τε τὴν σὴν καὶ γυναικὸς Ἕκτορος,
φυλακὰς ἔχων ἔμιμνον, εἴτ' αὐτοῦ μενεῖς
εἴτ' ἐκφοβηθεῖσ' αἰχμαλωτίδος φόβῳ
γυναικὸς οἴκων τῶνδ' ἀπηλλάχθαι θέλεις.
ἦλθον δὲ σὰς μὲν οὐ σέβων ἐπιστολάς,
εἰ δ' ἐνδιδοίης, ὥσπερ ἐνδίδως, λόγον,
πέμψων σ' ἀπ' οἴκων τῶνδ'. ἐμὴ γὰρ οὖσα πρὶν
σὺν τῷδε ναίεις ἀνδρὶ σοῦ πατρὸς κάκῃ,
ὃς πρὶν τὰ Τροίας ἐσβαλεῖν ὁρίσματα,
γυναῖκ' ἐμοί σε δοὺς ὑπέσχεθ' ὕστερον
τῷ νῦν σ' ἔχοντι, Τρῳάδ' εἰ πέρσοι πόλιν.
ἐπεὶ δ' Ἀχιλλέως δεῦρ' ἐνόστησεν γόνος,
σῷ μὲν συνέγνων πατρί, τὸν δ' ἐλισσόμην
γάμους ἀφεῖναι σούς, ἐμὰς λέγων τύχας
καὶ τὸν παρόντα δαίμον', ὡς φίλων μὲν ἂν
γήμαιμ' ἀπ' ἀνδρῶν, ἔκτοθεν δ' οὐ ῥᾳδίως,
φεύγων ἀπ' οἴκων ἃς ἐγὼ φεύγω φυγάς.
ὁ δ' ἦν ὑβριστὴς ἔς τ' ἐμῆς μητρὸς φόνον
τάς θ' αἱματωποὺς θεὰς ὀνειδίζων ἐμοί.
κἀγὼ ταπεινὸς ὢν τύχαις ταῖς οἴκοθεν
ἤλγουν μὲν ἤλγουν, ξυμφορὰς δ' ἠνειχόμην,
σῶν δὲ στερηθεὶς ᾠχόμην ἄκων γάμων.
νῦν οὖν, ἐπειδὴ περιπετεῖς ἔχεις τύχας,
καὶ ξυμφορὰν τήνδ' ἐσπεσοῦσ' ἀμηχανεῖς,
ἄξω σ' ἀπ' οἴκων καὶ πατρὸς δώσω χερί.
τὸ συγγενὲς γὰρ δεινόν, ἔν τε τοῖς κακοῖς
οὐκ ἔστιν οὐδὲν κρεῖσσον οἰκείου φίλου.

ΕΡΜΙΟΝΗ.

νυμφευμάτων μὲν τῶν ἐμῶν πατὴρ ἐμὸς
μέριμναν ἕξει, κοὐκ ἐμὸν κρίνειν τάδε.
ἀλλ' ὡς τάχιστα τῶνδέ μ' ἔκπεμψον δόμων,
μὴ φθῇ με προσβὰς δῶμα καὶ μολὼν πόσις,
ἢ παιδὸς οἴκους μ' ἐξερημοῦσαν μαθὼν
Πηλεὺς μετέλθῃ πωλικοῖς διώγμασιν.

ΟΡΕΣΤΗΣ.

θάρσει γέροντος χεῖρα· τὸν δ' Ἀχιλλέως
μηδὲν φοβηθῇς παῖδ', ὅσ' εἰς ἔμ' ὕβρισε.
τοία γὰρ αὐτῷ μηχανὴ πεπλεγμένη
βρόχοις ἀκινήτοισιν ἕστηκεν φόνου
πρὸς τῆσδε χειρός, ἣν πάρος μὲν οὐκ ἐρῶ,
τελουμένων δὲ Δελφὶς εἴσεται πέτρα.
ὁ μητροφόντης δ', ἢν δορυξένων ἐμῶν
μείνωσιν ὅρκοι Πυθικὴν ἀνὰ χθόνα,
δείξει γαμεῖν σφε μηδέν' ὧν ἐχρῆν ἐμέ.
πικρῶς δὲ πατρὸς φόνιον αἰτήσει δίκην
ἄνακτα Φοῖβον· οὐδέ νιν μετάστασις
γνώμης ὀνήσει, θεῷ διδόντα νῦν δίκας.
ἀλλ' ἔκ τ' ἐκείνου διαβολαῖς τε ταῖς ἐμαῖς
κακῶς ὀλεῖται· γνώσεται δ' ἔχθραν ἐμήν.
ἐχθρῶν γὰρ ἀνδρῶν μοῖραν εἰς ἀναστροφὴν
δαίμων δίδωσι, κοὐκ ἐᾷ φρονεῖν μέγα.

ΧΟΡΟΣ.

ὦ Φοῖβ' ὁ πυργώσας τὸν ἐν Ἰλίῳ εὐτειχῆ πά-
γον, καὶ Πόντιε, κυανέαις
ἵπποις διφρεύων ἅλιον πέλαγος,
τίνος οὕνεκ' ἄτιμον ὀργάναν χέρα τεκτοσύνας
Ἐνυαλίῳ δοριμήστορι προσθέντες τάλαιναν
τάλαιναν μεθεῖτε Τροίαν;
πλείστους δ' ἐπ' ἀκταῖσιν Σιμοεντίσιν εὐίππους
ὄχους ἐζεύξατε καὶ φονίους
ἀνδρῶν ἁμίλλας ἔθετ' ἀστεφάνους·
ἀπὸ δὲ φθίμενοι βεβᾶσιν Ἰλιάδαι βασιλῆς,
οὐδ' ἔτι πῦρ ἐπιβώμιον ἐν Τροίᾳ θεοῖσιν
λέλαμπεν καπνῷ θυώδει.
βέβακε δ' Ἀτρείδας ἀλόχου παλάμαις·

1010 — 1017. = 1018 — 1025.
1026 — 1036. = 1037 — 1047.

αὐτά τ' ἐναλλάξασα φόνον θανάτῳ
πρὸς τέκνων ἀπηύρα·
θεοῦ θεοῦ νιν κέλευσμ' ἐπεστράφη
μαντόσυνον ὅτε νιν
Ἀργόθεν πορευθεὶς
Ἀγαμεμνόνιος κέλωρ
ἀδύτων ἐπιβὰς κτάνεν, ματρὸς φονεύς,
ὦ δαῖμον, ὦ Φοῖβε, πῶς πείθομαι;
πολλαὶ δ' ἀν' Ἑλλάνων ἀγόρους στοναχὰς
μέλποντο δυστάνων τεκέων ἄλοχοι·
ἐκ δ' ἔλειπον οἴκους
πρὸς ἄλλον εὐνάτορ'· οὐχὶ σοὶ μόνᾳ
δύσφρονες ἐπέπεσον,
οὐ φίλοισι, λῦπαι·
νόσον Ἑλλὰς ἔτλα νόσον·
διέβα δὲ Φρυγῶν πρὸς εὐκάρπους γύας
σκηπτὸς σταλάσσων τὸν Ἅιδα φόνον.

ΠΗΛΕΥΣ.

Φθιώτιδες γυναῖκες, ἱστοροῦντί μοι
σημήνατ'· ᾐσθόμην γὰρ οὐ σαφῆ λόγον
ὡς δώματ' ἐκλιποῦσα Μενέλεω κόρη
φρούδη τάδ'· ἥκω δ' ἐκμαθεῖν σπουδὴν ἔχων
εἰ ταῦτ' ἀληθῆ· τῶν γὰρ ἐκδήμων φίλων
δεῖ τοὺς κατ' οἶκον ὄντας ἐκπονεῖν τύχας.

ΧΟΡΟΣ.

Πηλεῦ, σαφῶς ἤκουσας· οὐδ' ἐμοὶ καλὸν
κρύπτειν ἐν οἷσπερ οὖσα τυγχάνω κακοῖς·
βασίλεια γὰρ τῶνδ' οἴχεται φυγὰς δόμων.

ΠΗΛΕΥΣ.

τίνος φόβου τυχοῦσα, διαπέραινέ μοι.

ΧΟΡΟΣ.

πόσιν τρέμουσα, μὴ δόμων νιν ἐκβάλῃ.

ΠΗΛΕΥΣ.

μῶν ἀντὶ παιδὸς θανασίμων βουλευμάτων;

ΧΟΡΟΣ.

ναί, καὶ γυναικὸς αἰχμαλωτίδος φόβῳ.

ΠΗΛΕΥΣ.

ξὺν πατρὶ δ' οἴκους, ἢ τίνος λείπει μέτα;

ΧΟΡΟΣ.

Ἀγαμέμνονός νιν παῖς βέβηκ' ἄγων χθονός.

ΠΗΛΕΥΣ.

ποίαν περαίνων ἐλπίδ'; ἢ γῆμαι θέλων;

ΧΟΡΟΣ.

καὶ σοῦ γε παιδὸς παιδὶ πορσύνων μόρον.

ΠΗΛΕΥΣ.

κρυπτὸς καταστάς, ἢ κατ' ὄμμ' ἐλθὼν μάχῃ;

ΧΟΡΟΣ.

ἁγνοῖς ἐν ἱροῖς Λοξίου Δελφῶν μέτα.

ΠΗΛΕΥΣ.

οἴμοι· τόδ' ἤδη δεινόν. οὐχ ὅσον τάχος
χωρήσεταί τις Πυθικὴν πρὸς ἑστίαν,
καὶ τἀνθάδ' ὄντα τοῖς ἐκεῖ λέξει φίλοις,
πρὶν παῖδ' Ἀχιλλέως κατθανεῖν ἐχθρῶν ὕπο;

ΑΓΓΕΛΟΣ.

ὤμοι μοι.
οἵας ὁ τλήμων ἀγγελῶν ἥκω τύχας
σοί τ', ὦ γεραιέ, καὶ φίλοισι δεσπότου.

ΠΗΛΕΥΣ.

αἰαῖ· πρόμαντις θυμὸς ὥς τι προσδοκᾷ.

ΑΓΓΕΛΟΣ.

οὐκ ἔστι σοι παῖς παιδός, ὡς μάθῃς, γέρον
Πηλεῦ· τοιάσδε φασγάνων πληγὰς ἔχει
Δελφῶν ὑπ' ἀνδρῶν καὶ Μυκηναίου ξένου.

ΧΟΡΟΣ.

ἃ ἄ, τί δράσεις, ὦ γεραιέ; μὴ πέσῃς·
ἔπαιρε σαυτόν.

ΠΗΛΕΥΣ.

οὐδέν εἰμ'· ἀπωλόμην.
φρούδη μὲν αὐδή, φροῦδα δ' ἄρθρα μου κάτω.

ΑΓΓΕΛΟΣ.

ἄκουσον, εἰ καὶ σοῖς φίλοις ἀμυναθεῖν
χρῄζεις, τὸ πραχθὲν, σὸν κατορθώσας δέμας.

ΠΗΛΕΥΣ.

ὦ μοῖρα, γήρως ἐσχάτοις πρὸς τέρμασιν
οἵα με τὸν δύστηνον ἀμφιβᾶσ' ἔχεις.
πῶς δ' οἴχεταί μοι παῖς μόνου παιδὸς μόνος,
σήμαιν'· ἀκοῦσαι δ' οὐκ ἀκούσθ' ὅμως θέλω.

ΑΓΓΕΛΟΣ.

ἐπεὶ τὸ κλεινὸν ἤλθομεν Φοίβου πέδον,
τρεῖς μὲν φαεννὰς ἡλίου διεξόδους
θέᾳ διδόντες ὄμματ' ἐξεπίμπλαμεν.
καὶ τοῦθ' ὕποπτον ἦν ἄρ'· ἐς δὲ συστάσεις
κύκλους τ' ἐχώρει λαὸς οἰκήτωρ θεοῦ.
Ἀγαμέμνονος δὲ παῖς διαστείχων πόλιν
ἐς οὖς ἑκάστῳ δυσμενεῖς ηὔδα λόγους,
ὁρᾶτε τοῦτον, ὃς διαστείχει θεοῦ
χρυσοῦ γέμοντα γύαλα, θησαυροὺς βροτῶν,
τὸ δεύτερον παρόντ' ἐφ' οἷσι καὶ πάρος
δεῦρ' ἦλθε, Φοίβου ναὸν ἐκπέρσαι θέλων;
κἀκ τοῦδ' ἐχώρει ῥόθιον ἐν πόλει κακόν,
ἀρχαί τ' ἐπληροῦντ' ἔς τε βουλευτήρια
ἰδίᾳ θ', ὅσοι θεοῦ χρημάτων ἐφέστασαν,
φρουρὰν ἐτάξαντ' ἐν περιστύλοις δόμοις.
ἡμεῖς δὲ μῆλα, φυλλάδος Παρνησίας
παιδεύματ', οὐδὲν τῶνδέ πω πεπυσμένοι,
λαβόντες ἦμεν, ἐσχάραις τ' ἐφέσταμεν,
ξὺν προξένοισι μάντεσίν τε Πυθικοῖς.
καί τις τόδ' εἶπεν· ὦ νεανία, τί σοι
θεῷ κατευξόμεσθα; τίνος ἥκεις χάριν;
ὁ δ' εἶπε, Φοίβῳ τῆς πάροιθ' ἁμαρτίας
δίκας παρασχεῖν βουλόμεσθ'· ᾔτησα γὰρ
πατρός ποτ' αὐτὸν αἵματος δοῦναι δίκην.
κἀνταῦθ' Ὀρέστου μῦθος ἰσχύων μέγα
ἐφαίνεθ' ὡς ψεύδοιτο δεσπότης ἐμός,
ἥκων ἐπ' αἰσχροῖς. ἔρχεται δ' ἀνακτόρων
κρηπῖδος ἐντός, ὡς πάρος χρηστηρίων
εὔξαιτο Φοίβῳ, τυγχάνει δ' ἐν ἐμπύροις·
τῷ δὲ ξιφήρης ἄρ' ὑφειστήκει λόχος
δάφνῃ πυκασθεὶς· ὧν Κλυταιμνήστρας τόκος
εἷς ἦν ἁπάντων τῶνδε μηχανορράφος.
χὼ μὲν κατ' ὄμμα στὰς προσεύχεται θεῷ·
οἱ δ' ὀξυθήκτοις φασγάνοις ὡπλισμένοι
κεντοῦσ' ἀτευχῆ παῖδ' Ἀχιλλέως λάθρα.
χωρεῖ δὲ πρύμναν· οὐ γὰρ ἐς καιρὸν τυπεὶς
ἐτύγχαν', ἐξέλκει δὲ, καὶ παραστάδος
κρεμαστὰ τεύχη πασσάλων καθαρπάσας,
ἔστη 'πὶ βωμοῦ, γοργὸς ὁπλίτης ἰδεῖν,
βοᾷ δὲ Δελφῶν παῖδας, ἱστορῶν τάδε·
τίνος μ' ἕκατι κτείνετ', εὐσεβεῖς ὁδοὺς

ἥκοντα; ποίας ὄλλυμαι πρὸς αἰτίας;
τῶν δ' οὐδὲν οὐδεὶς μυρίων ὄντων πέλας
ἐφθέγξατ', ἀλλ' ἔβαλλον ἐκ χειρῶν πέτροις.
πυκνῇ δὲ νιφάδι πάντοθεν σποδούμενος,
προὔτεινε τεύχη κἀφυλάσσετ' ἐμβολὰς,
ἐκεῖσε κἀκεῖσ' ἀσπίδ' ἐκτείνων χερί.
ἀλλ' οὐδὲν ἦνεν· ἀλλὰ πόλλ' ὁμοῦ βέλη,
οἰστοὶ, μεσάγκυλ' ἔκλυτοί τ' ἀμφώβολοι,
σφαγῆς ἐχώρουν βουπόροι ποδῶν πάρος·
δεινὰς δ' ἂν εἶδες πυρρίχας φρουρουμένου
βέλεμνα παιδός. ὡς δέ νιν περισταδὸν
κύκλῳ κατεῖχον, οὐ διδόντες ἀμπνοὰς,
βωμοῦ κενώσας δεξίμηλον ἐσχάραν,
τὸ Τρωικὸν πήδημα πηδήσας ποδοῖν
χωρεῖ πρὸς αὐτούς· οἱ δ' ὅπως πελειάδες
ἱέρακ' ἰδοῦσαι πρὸς φυγὴν ἐνώτισαν.
πολλοὶ δ' ἔπιπτον μιγάδες ἔκ τε τραυμάτων
αὐτοί θ' ὑπ' αὐτῶν στενοπόρους κατ' ἐξόδους,
κραυγὴ δ' ἐν εὐφήμοισι δύσφημος δόμοις
πέτραισιν ἀντέκλαγξεν· εὐδία δ' ὅπως
ἔστη φαεννοῖς δεσπότης στίλβων ὅπλοις,
πρὶν δή τις ἀδύτων ἐκ μέσων ἐφθέγξατο
δεινόν τε καὶ φρικῶδες, ὦρσε δὲ στρατὸν
στρέψας πρὸς ἀλκήν. ἔνθ' Ἀχιλλέως πίτνει
παῖς ὀξυθήκτῳ πλευρὰ φασγάνῳ τυπεὶς
Δελφοῦ πρὸς ἀνδρὸς, ὅσπερ αὐτὸν ὤλεσε
πολλῶν μετ' ἄλλων· ὡς δὲ πρὸς γαῖαν πίτνει,
τίς οὐ σίδηρον προσφέρει; τίς οὐ πέτρον,
βάλλων, ἀράσσων; πᾶν δ' ἀνάλωται δέμας
τὸ καλλίμορφον τραυμάτων ὑπ' ἀγρίων.
νεκρὸν δὲ δή νιν, κείμενον βωμοῦ πέλας,
ἐξέβαλον ἐκτὸς θυοδόκων ἀνακτόρων.
ἡμεῖς δ' ἀναρπάσαντες ὡς τάχος χεροῖν
κομίζομέν νίν σοι κατοιμῶξαι γόοις
κλαῦσαί τε, πρέσβυ, γῆς τε κοσμῆσαι τάφῳ.
τοιαῦθ' ὁ τοῖς ἄλλοισι θεσπίζων ἄναξ,
ὁ τῶν δικαίων πᾶσιν ἀνθρώποις κριτὴς,
δίκας διδόντα παῖδ' ἔδρασ' Ἀχιλλέως,
ἐμνημόνευσε δ', ὥσπερ ἄνθρωπος κακὸς,
παλαιὰ νείκη. πῶς ἂν οὖν εἴη σοφός;

ΧΟΡΟΣ.

καὶ μὴν ὅδ' ἄναξ ἤδη φοράδην
Δελφίδος ἐκ γῆς δῶμα πελάζει.
τλήμων ὁ παθὼν, τλήμων δὲ, γέρον,
καὶ σύ· δέχει γὰρ τὸν Ἀχίλλειον
σκύμνον ἐς οἴκους, οὐχ ὡς σὺ θέλεις·
αὐτός τε κακοῖς πήμασι κύρσας
εἰς ἓν μοίρας συνέκυρσας.

ΠΗΛΕΥΣ.

ὤμοι ἐγὼ, κακὸν οἷον ὁρῶ τόδε,
καὶ δέχομαι χερὶ δώμασιν ἁμοῖς.
ἰώ μοί μοι, αἰαῖ, ὦ πόλι
Θεσσαλία, διολώλαμεν, οἰχόμεθ'·
οὐκέτι μοι γένος, οὐκέτι μοι τέκνα
λείπετ' ἐν οἴκοις.
ὦ σχέτλιος παθέων ἐγώ. εἰς τίνα
δὴ φίλον αὐγὰς βάλλων τέρψομαι;
ὦ φίλιον στόμα καὶ γένυ καὶ χέρες.
εἴθε σ' ὑπ' Ἰλίῳ ἤναρε δαίμων
Σιμοεντίδα παρ' ἀκτάν.

ΧΟΡΟΣ.

οὗτός τ' ἂν ὡς ἐκ τῶνδ' ἐτιμᾶτ' ἄν, γέρον,
θανὼν, τὸ σόν τ' ἦν ὧδ' ἂν εὐτυχέστερον.

ΠΗΛΕΥΣ.

* * * ὦ γάμος ὦ γάμος,
ὃς τάδε δώματα καὶ πόλιν ἁμὰν
ὤλεσας, αἰαῖ αἰαῖ. ὦ παῖ,
μήποτε τῶν λεχέων τὸ δυσώνυμον
ὤφελ' ἐμὸν γένος εἰς τέκνα καὶ δόμον
ἀμφιβαλέσθαι
Ἑρμιόνας Ἀΐδαν ἐπὶ σοὶ, τέκνον,
ἀλλὰ κεραυνῷ πρόσθεν ὀλέσθαι,
μηδ' ἐπὶ τοξοσύνᾳ φονίῳ πατρὸς
αἷμα τὸ διογενές ποτε Φοῖβον
βροτὸς εἰς θεὸν ἀνάψαι.

ΧΟΡΟΣ.

ὀτοτοῖ ὀτοτοῖ.
θανόντα δεσπόταν γόοις
νόμῳ τῷ νερτέρων κατάρξω.

ΠΗΛΕΥΣ.

ὀτοτοῖ ὀτοτοῖ.
διάδοχα δ' ὦ τάλας ἐγὼ
γέρων καὶ δυστυχὴς δακρύω.

ΧΟΡΟΣ.

θεοῦ γὰρ αἶσα, θεὸς ἔκρανε συμφοράν.

ΠΗΛΕΥΣ.

ὦ φίλος, δόμον ἔλιπες ἔρημον,
γέροντ' ἄπαιδα νοσφίσας.

ΧΟΡΟΣ.

θανεῖν θανεῖν σε, πρέσβυ, χρῆν πάρος τέκνων

ΠΗΛΕΥΣ.

οὐ σπαράξομαι κόμαν,
οὐκ ἐπιθήσομαι δ' ἐμῷ
κάρᾳ κτύπημα χειρὸς ὀλοόν; ὦ πόλι,
διπλῶν τέκνων μ' ἐστέρησε Φοῖβος.

ΧΟΡΟΣ.

ὦ κακὰ παθὼν ἰδών τε δυστυχὴς γέρον,
τίν' αἰῶν' εἰς τὸ λοιπὸν ἕξεις;

ΠΗΛΕΥΣ.

ἄτεκνος, ἔρημος, οὐκ ἔχων πέρας κακῶν
διαντλήσω πόνους ἐς Ἅιδαν.

ΧΟΡΟΣ.

μάτην δέ σ' ἐν γάμοισιν ὤλβισαν θεοί.

ΠΗΛΕΥΣ.

ἀμπτάμενα φροῦδα πάντα κεῖται
κόμπων μεταρσίων πρόσω.

ΧΟΡΟΣ.

μόνος μόνοισιν ἐν δόμοις ἀναστρέφει.

ΠΗΛΕΥΣ.

οὔτε μοι πόλις πόλις,
σκῆπτρα τάδ' ἐρρέτω 'πὶ γᾶν,
σύ τ', ὦ κατ' ἄντρα νύχια Νηρέως κόρη,
πανώλεθρόν μ' ὄψεαι πίτνοντα.

ΧΟΡΟΣ.

ἰὼ ἰώ.

1173 — 1183. == 1186 — 1196.

1197 — 1199. == 1200 — 1202.
1203 — 1213. == 1218 — 1225.
1214. 1215. == 1216. 1217.

τί κεκίνηται; τίνος αἰσθάνομαι
θείου; κοῦραι, λεύσσετ', ἀθρήσατε·
δαίμων ὅδε τις, λευκὴν αἰθέρα
πορθμευόμενος, τῶν ἱπποβότων
Φθίας πεδίων ἐπιβαίνει.

ΘΕΤΙΣ.

Πηλεῦ, χάριν σῶν τῶν πάρος νυμφευμάτων
ἥκω Θέτις λιποῦσα Νηρέως δόμους.
καὶ πρῶτα μέν σοι τοῖς παρεστῶσιν κακοῖς
μηδέν τι λίαν δυσφορεῖν παρῄνεσα·
κἀγὼ γὰρ, ἣν ἄκλαυστ' ἐχρῆν τίκτειν τέκνα,
ἀπώλεσ' ἐκ σοῦ παῖδα τὸν ταχὺν πόδας
Ἀχιλλέα τεκοῦσα, πρῶτον Ἑλλάδος.
ὧν δ' οὕνεκ' ἦλθον, σημανῶ, σὺ δ' ἐνδέχου.
τὸν μὲν θανόντα τόνδ' Ἀχιλλέως γόνον
θάψον, πορεύσας Πυθικὴν πρὸς ἐσχάραν,
Δελφοῖς ὄνειδος, ὡς ἀπαγγέλλῃ τάφος
φόνον βίαιον τῆς Ὀρεστείας χερός·
γυναῖκα δ' αἰχμάλωτον, Ἀνδρομάχην λέγω,
Μολοσσίαν γῆν χρὴ κατοικῆσαι, γέρον,
Ἑλένῳ ξυναλλαχθεῖσαν εὐναίοις γάμοις,
καὶ παῖδα τόνδε, τῶν ἀπ' Αἰακοῦ μόνον
λελειμμένον δή· βασιλέα δ' ἐκ τοῦδε χρὴ
ἄλλον δι' ἄλλου διαπερᾶν Μολοσσίαν,
εὐδαιμονοῦντας· οὐ γὰρ ὧδ' ἀνάστατον
γένος γενέσθαι δεῖ τὸ σὸν κἀμὸν, γέρον,
Τροίας τε· καὶ γὰρ θεοῖσι κἀκείνης μέλει,
καίπερ πεσούσης Παλλάδος προθυμίᾳ.
σὲ δ', ὡς ἂν εἰδῇς τῆς ἐμῆς εὐνῆς χάριν,
θεὰ γεγῶσα καὶ θεοῦ πατρὸς τέκος,
κακῶν ἀπαλλάξασα τῶν βροτησίων,
ἀθάνατον ἄφθιτόν τε ποιήσω θεόν.
κἄπειτα Νηρέως ἐν δόμοις ἐμοῦ μέτα
τὸ λοιπὸν ἤδη θεὸς συνοικήσεις θεᾷ·
ἔνθεν κομίζων ξηρὸν ἐκ πόντου πόδα
τὸν φίλτατον σοὶ παῖδ' ἐμοί τ' Ἀχιλλέα
ὄψει δόμους ναίοντα νησιωτικοὺς
Λευκὴν κατ' ἀκτὴν ἐντὸς Εὐξείνου πόρου.
ἀλλ' ἕρπε Δελφῶν ἐς θεόδμητον πόλιν,
νεκρὸν κομίζων τόνδε, καὶ κρύψας χθονὶ,
ἐλθὼν παλαιᾶς χοιράδος κοῖλον μυχὸν
Σηπιάδος ἵζου· μίμνε δ', ἐς τ' ἂν ἐξ ἁλὸς
λαβοῦσα πεντήκοντα Νηρῄδων χορὸν
ἔλθω κομιστήν σου· τὸ γὰρ πεπρωμένον
δεῖ σ' ἐκκομίζειν· Ζηνὶ γὰρ δοκεῖ τάδε.
παῦσαι δὲ λύπης τῶν τεθνηκότων ὕπερ·
πᾶσιν γὰρ ἀνθρώποισιν ἥδε πρὸς θεῶν
ψῆφος κέκρανται, κατθανεῖν ὀφείλεται.

ΠΗΛΕΥΣ.

ὦ πότνι', ὦ γενναῖα συγκοιμήματα,
Νηρέως γένεθλον, χαῖρε· ταῦτα δ' ἀξίως
σαυτῆς τε ποιεῖς καὶ τέκνων τῶν ἐκ σέθεν.
παύσω δὲ λύπην, σοῦ κελευούσης, θεὰ,
καὶ τόνδε θάψας εἶμι Πηλίου πτύχας,
οὗπερ σὸν εἷλον χερσὶ κάλλιστον δέμας.
κᾆτ' οὐ γαμεῖν δῆτ' ἔκ τε γενναίων χρεὼν,
δοῦναί τ' ἐς ἐσθλοὺς, ὅστις εὖ βουλεύεται;
κακῶν δὲ λέκτρων μὴ 'πιθυμίαν ἔχειν,
μηδ' εἰ ζαπλούτους οἴσεται φερνὰς δόμοις.
οὐ γάρ ποτ' ἂν πράξειαν ἐκ θεῶν κακῶς.

ΧΟΡΟΣ.

πολλαὶ μορφαὶ τῶν δαιμονίων,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοὶ,
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

# ΕΥΡΙΠΙΔΟΥ ΗΛΕΚΤΡΑ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΑΥΤΟΥΡΓΟΣ ΜΥΚΗΝΑΙΟΣ.*
*ΗΛΕΚΤΡΑ.*
*ΟΡΕΣΤΗΣ.*
*ΠΥΛΑΔΗΣ.* κωφὸν πρόσωπον.
*ΧΟΡΟΣ.*
*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*
*ΠΡΕΣΒΥΣ.*
*ΑΓΓΕΛΟΣ.*
*ΔΙΟΣΚΟΡΟΙ.*

## ΥΠΟΘΕΣΙΣ.

* * * *

ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν ὁρίοις τῆς Ἀργείας γῆς· ὁ δὲ χορὸς συνέστηκεν ἐξ ἐπιχωρίων γυναικῶν.

# Η Λ Ε Κ Τ Ρ Α.

ΑΥΤΟΥΡΓΟΣ.

Ὦ γῆς παλαιὸν Ἄργος, Ἰνάχου ῥοαί,
ὅθεν ποτ' ἄρας ναυσὶ χιλίαις Ἄρη
ἐς γῆν ἔπλευσε Τρῳάδ' Ἀγαμέμνων ἄναξ.
κτείνας δὲ τὸν κρατοῦντ' ἐν Ἰλιάδι χθονὶ
Πρίαμον, ἑλών τε Δαρδάνου κλεινὴν πόλιν,
ἀφίκετ' εἰς τόδ' Ἄργος, ὑψηλῶν δ' ἐπὶ
ναῶν τέθεικε σκῦλα πλεῖστα βαρβάρων.
κἀκεῖ μὲν εὐτύχησεν· ἐν δὲ δώμασι
θνήσκει γυναικὸς πρὸς Κλυταιμνήστρας δόλῳ
καὶ τοῦ Θυέστου παιδὸς Αἰγίσθου χερί.
χὠ μὲν παλαιὰ σκῆπτρα Ταντάλου λιπὼν
ὄλωλεν, Αἴγισθος δὲ βασιλεύει χθονὸς,
ἄλοχον ἐκείνου Τυνδαρίδα κόρην ἔχων.
οὓς δ' ἐν δόμοισιν ἔλιφ', ὅτ' ἐς Τροίαν ἔπλει,
ἄρσενά τ' Ὀρέστην θῆλύ τ' Ἠλέκτρας θάλος,
τὸν μὲν πατρὸς γεραιὸς ἐκκλέπτει τροφεὺς
μέλλοντ' Ὀρέστην χερὸς ὕπ' Αἰγίσθου θανεῖν,
Στροφίῳ τ' ἔδωκε Φωκέων ἐς γῆν τρέφειν·
ἣ δ' ἐν δόμοις ἔμεινεν Ἠλέκτρα πατρὸς,
ταύτην ἐπειδὴ θαλερὸς εἶχ' ἥβης χρόνος,
μνηστῆρες ᾔτουν Ἑλλάδος πρῶτοι χθονός.
δείσας δὲ μή τῳ παῖδ' ἀριστέων τέκοι,
Ἀγαμέμνονος ποινάτορ', εἶχεν ἐν δόμοις
Αἴγισθος, οὐδ' ἥρμοζε νυμφίῳ τινί.
ἐπεὶ δὲ καὶ τοῦτ' ἦν φόβου πολλοῦ πλέων,
μή τῳ λαθραίως τέκνα γενναίῳ τέκοι,
κτανεῖν σφε βουλεύσαντος ὠμόφρων ὅμως
μήτηρ νιν ἐξέσωσεν Αἰγίσθου χερός.
ἐς μὲν γὰρ ἄνδρα σκῆψιν εἶχ' ὀλωλότα,
παίδων δ' ἔδεισε μὴ φθονηθείη φόνῳ.
ἐκ τῶνδε δὴ τοιόνδ' ἐμηχανήσατο
Αἴγισθος· ὃς μὲν γῆς ἀπηλλάχθη φυγὰς
Ἀγαμέμνονος παῖς, χρυσὸν εἶφ' ὃς ἂν κτάνῃ,
ἡμῖν δὲ δὴ δίδωσιν Ἠλέκτραν ἔχειν
δάμαρτα, πατέρων μὲν Μυκηναίων ἄπο
γεγῶσιν· οὐ δὴ τοῦτό γ' ἐξελέγχομαι·
λαμπροὶ γὰρ ἐς γένος γε, χρημάτων δὲ δὴ
πένητες, ἔνθεν ηὑγένει' ἀπόλλυται,
ὡς ἀσθενεῖ δοὺς ἀσθενῆ λάβοι φόβον.
εἰ γάρ νιν ἔσχεν ἀξίωμ' ἔχων ἀνὴρ,
εὕδοντ' ἂν ἐξήγειρε τὸν Ἀγαμέμνονος
φόνον, δίκη τ' ἂν ἦλθεν Αἰγίσθῳ τότε.
ἣν οὔποθ' ἁνὴρ ὅδε, σύνοιδέ μοι Κύπρις,
ᾔσχυνεν εὐνῇ· παρθένος δ' ἔτ' ἐστὶ δή.
αἰσχύνομαι γὰρ ὀλβίων ἀνδρῶν τέκνα
λαβὼν ὑβρίζειν, οὐ κατάξιος γεγώς.
στένω δὲ τὸν λόγοισι κηδεύοντ' ἐμοὶ
ἄθλιον Ὀρέστην, εἴ ποτ' εἰς Ἄργος μολὼν
γάμους ἀδελφῆς δυστυχεῖς ἐσόψεται.
ὅστις δέ μ' εἶναί φησι μῶρον, εἰ λαβὼν
νέαν ἐς οἴκους παρθένον μὴ θιγγάνω,
γνώμης πονηροῖς κανόσιν ἀναμετρούμενος
τὸ σῶφρον ἴστω, καὐτὸς αὖ τοιοῦτος ὤν.

ΗΛΕΚΤΡΑ.

ὦ νὺξ μέλαινα, χρυσέων ἄστρων τροφὲ,
ἐν ᾗ τόδ' ἄγγος τῷδ' ἐφεδρεῦον κάρᾳ
φέρουσα πηγὰς ποταμίας μετέρχομαι,
οὐ δή τι χρείας ἐς τοσόνδ' ἀφιγμένη,
ἀλλ' ὡς ὕβριν δείξωμεν Αἰγίσθου θεοῖς,
γόους τ' ἀφείην αἰθέρ' ἐς μέγαν πατρί.
ἡ γὰρ πανώλης Τυνδαρὶς, μήτηρ ἐμὴ,
ἐξέβαλέ μ' οἴκων, χάριτα τιθεμένη πόσει·
τεκοῦσα δ' ἄλλους παῖδας Αἰγίσθῳ πάρα
πάρεργ' Ὀρέστην κἀμὲ ποιεῖται δόμων.

ΑΥΤΟΥΡΓΟΣ.

τί γὰρ τάδ', ὦ δύστην', ἐμὴν μοχθεῖς χάριν,
πόνους ἔχουσα, πρόσθεν εὖ τεθραμμένη,
καὶ ταῦτ' ἐμοῦ λέγοντος οὐκ ἀφίστασαι;

ΗΛΕΚΤΡΑ.

ἐγώ σ' ἴσον θεοῖσιν ἡγοῦμαι φίλον·
ἐν τοῖς ἐμοῖς γὰρ οὐκ ἐνύβρισας κακοῖς.
μεγάλη δὲ θνητοῖς μοῖρα συμφορᾶς κακῆς
ἰατρὸν εὑρεῖν, ὡς ἐγὼ σὲ λαμβάνω.
δεῖ δή με κἀκέλευστον εἰς ὅσον σθένω
μόχθου 'πικουφίζουσαν, ὡς ῥᾷον φέρῃς,
συνεκκομίζειν σοὶ πόνους. ἅλις δ' ἔχεις
τἄξωθεν ἔργα· τἀν δόμοις δ' ἡμᾶς χρεὼν
ἐξευτρεπίζειν. εἰσιόντι δ' ἐργάτῃ
θύραθεν ἡδὺ τἄνδον εὑρίσκειν καλῶς.

ΑΥΤΟΥΡΓΟΣ.

εἴ τοι δοκεῖ σοι, στεῖχε· καὶ γὰρ οὐ πρόσω
πηγαὶ μελάθρων τῶνδ'. ἐγὼ δ' ἅμ' ἡμέρᾳ
βοῦς εἰς ἀρούρας ἐσβαλὼν σπερῶ γύας.
ἀργὸς γὰρ οὐδεὶς θεοὺς ἔχων ἀνὰ στόμα
βίον δύναιτ' ἂν ξυλλέγειν ἄνευ πόνου.

ΟΡΕΣΤΗΣ.

Πυλάδη, σὲ γὰρ δὴ πρῶτον ἀνθρώπων ἐγὼ
πιστὸν νομίζω καὶ φίλον ξένον τ' ἐμοί·
μόνος δ' Ὀρέστην τόνδ' ἐθαύμαζες φίλων,
πράσσονθ' ἃ πράσσω δείν' ὑπ' Αἰγίσθου παθὼν,
ὅς μου κατέκτα πατέρα χἠ πανώλεθρος
μήτηρ. ἀφῖγμαι δ' ἐκ θεοῦ μυστηρίων
Ἀργεῖον οὖδας, οὐδενὸς ξυνειδότος,
φόνον φονεῦσι πατρὸς ἀλλάξων ἐμοῦ.
νυκτὸς δὲ τῆσδε πρὸς τάφον μολὼν πατρὸς
δάκρυά τ' ἔδωκα καὶ κόμης ἀπηρξάμην
πυρᾷ τ' ἐπέσφαξ' αἷμα μηλείου φόνου,
λαθὼν τυράννους οἳ κρατοῦσι τῆσδε γῆς.
καὶ τειχέων μὲν ἐντὸς οὐ βαίνω πόδα,
δυοῖν δ' ἅμιλλαν ξυντιθεὶς ἀφικόμην
πρὸς τέρμονας γῆς τῆσδ', ἵν' ἐκβάλω ποδὶ
ἄλλην ἐπ' αἶαν, εἴ μέ τις γνοίη σκοπῶν

ζητοῦντ' ἀδελφὴν, φασὶ γάρ νιν ἐν γάμοις
ζευχθεῖσαν οἰκεῖν, οὐδὲ παρθένον μένειν,
ὡς συγγένωμαι καὶ φόνου συνεργάτιν
λαβὼν τά γ' εἴσω τειχέων σαφῶς μάθω.
νῦν οὖν, Ἕως γὰρ λευκὸν ὄμμ' ἀναίρεται,
ἔξω τρίβου τοῦδ' ἴχνος ἀλλαξώμεθα.
ἢ γάρ τις ἀροτὴρ ἤ τις οἰκέτις γυνὴ
φανήσεται νῷν, ἥντιν' ἱστορήσομεν
εἰ τούσδε ναίει σύγγονος τόπους ἐμή.
ἀλλ' εἰσορῶ γὰρ τήνδε προσπόλων τινὰ,
πηγαῖον ἄχθος ἐγκεκαρμένῳ κάρᾳ
φέρουσαν· ἑζώμεσθα κἀκπυθώμεθα
δούλης γυναικὸς, ἤν τι δεξώμεσθ' ἔπος
ἐφ' οἷσι, Πυλάδη, τήνδ' ἀφίγμεθα χθόνα.

ΗΛΕΚΤΡΑ.

σύντειν', ὥρα, ποδὸς ὁρμάν·
ὢ ἔμβα ἔμβα κατακλαίουσα.
ἰώ μοί μοι.
ἐγενόμαν Ἀγαμέμνονος
καί μ' ἔτικτε Κλυταιμνήστρα,
στυγνὰ Τυνδαρέου κόρα·
κικλήσκουσι δέ μ' ἀθλίαν
Ἠλέκτραν πολιῆται.
φεῦ φεῦ τῶν σχετλίων πόνων
καὶ στυγερᾶς ζόας.
ὦ πάτερ, σὺ δ' ἐν Ἅιδᾳ δὴ
κεῖσαι, σᾶς ἀλόχου σφαγεὶς
Αἰγίσθου τ', Ἀγάμεμνον.
ἴθι τὸν αὐτὸν ἔγειρε γόον,
ἄναγε πολύδακρυν ἁδονάν.
σύντειν', ὥρα, ποδὸς ὁρμάν·
ὢ ἔμβα ἔμβα κατακλαίουσα.
ἰώ μοί μοι.
τίνα πόλιν, τίνα δ' οἶκον, ὦ
τλᾶμον σύγγονε, λατρεύεις
οἰκτρὰν ἐν θαλάμοις λιπὼν
πατρῴοις ἐπὶ συμφοραῖς
ἀλγίσταισιν ἀδελφεάν;
ἔλθοις τῶνδε πόνων ἐμοὶ
τᾷ μελέᾳ λυτήρ,
ὦ Ζεῦ Ζεῦ, πατρί θ' αἱμάτων
ἐχθίστων ἐπίκουρος, Ἄρ-
γει κέλσας πόδ' ἀλάταν.
θὲς τόδε τεῦχος, ἐμῆς ἀπὸ κρατὸς ἑ-
λοῦσ', ἵνα πατρὶ γόους νυχίους
ἐπορθοβοάσω,
ἰαχὰν μέλος Ἀΐδα
Ἀΐδα, πάτερ,
σοὶ κατὰ γᾶς ἐνέπω γόους,
οἷς ἀεὶ τὸ κατ' ἦμαρ
διέπομαι, κατὰ μὲν φίλαν
ὄνυχι τεμνομένα δέραν,
χέρα τε κρᾶτ' ἐπὶ κούριμον
τιθεμένα θανάτῳ σῷ.
ἓ ἕ, δρύπτε κάρα·
οἷα δέ τις κύκνος ἀχέτας
ποταμίοις παρὰ χεύμασιν
πατέρα φίλτατον καλεῖ,

112—124. == 127—139.
140—149. == 157—166.

ὀλόμενον δολίοις βρόχων
ἕρκεσιν, ὣς σὲ τὸν ἄθλιον
πατέρ' ἐγὼ κατακλαίομαι,
λουτρὰ πανύσταθ' ὑδρανάμενον χροΐ,
κοίτᾳ ἐν οἰκτροτάτᾳ θανάτου.
ἰώ μοί μοι
πικρᾶς μὲν πελέκεως τομᾶς
σᾶς, πάτερ, πικρᾶς δ'
ἐκ Τροΐας ὁδίου βουλᾶς.
οὐ μίτραισι γυνή σε
δέξατ' οὐδ' ἐπὶ στεφάνοις,
ξίφεσι δ' ἀμφιτόμοις λυγρὰν
Αἰγίσθου λώβαν θεμένα
δόλιον ἔσχεν ἀκοίταν.

ΧΟΡΟΣ.

Ἀγαμέμνονος ὦ κόρα,
ἤλυθον, Ἠλέκτρα, ποτὶ σὰν ἀγρότειραν αὐλάν.
ἔμολέ τις ἔμολεν γαλακτοπότας ἀνὴρ
Μυκηναῖος οὐριβάτας·
ἀγγέλλει δ', ὅτι νῦν τριταί-
αν καρύσσουσιν θυσίαν
Ἀργεῖοι, πᾶσαι δὲ παρ' Ἥ-
ραν μέλλουσι παρθενικαὶ στείχειν.

ΗΛΕΚΤΡΑ.

οὐκ ἐπ' ἀγλαΐαις, φίλαι,
θυμὸν, οὐδ' ἐπὶ χρυσέοις
ὅρμοις ἐκπεπόταμαι
τάλαιν', οὐδὲ στᾶσα χοροῖς
Ἀργείαις ἅμα νύμφαις
ἑλικτὸν κρούσω πόδ' ἐμόν.
δάκρυσι χορεύω, δακρύων δέ μοι μέλει
δειλαίᾳ τὸ κατ' ἦμαρ.
σκέψαι μου πιναρὰν κόμαν
καὶ τρύχη τάδ' ἐμῶν πέπλων,
εἰ πρέποντ' Ἀγαμέμνονος
κούρᾳ τᾷ βασιληΐᾳ
Τροίᾳ θ', ἃ τοὐμοῦ πατέρος
μέμναταί ποθ' ἁλοῦσα.

ΧΟΡΟΣ.

μεγάλα θεός· ἀλλ' ἴθι,
καὶ παρ' ἐμοῦ χρῆσαι πολύπηνά τε φάρεα δῦναι
χρύσεά τε χάρισιν προσθήματ' ἀγλαΐας.
δοκεῖς τοῖς σοῖσιν δακρύοις,
μὴ τιμῶσα θεοὺς, κρατή-
σειν ἐχθρῶν; οὔτοι στοναχαῖς,
ἀλλ' εὐχαῖσι θεοὺς σεβί-
ζουσ' ἕξεις εὐαμερίαν, ὦ παῖ.

ΗΛΕΚΤΡΑ.

οὐδεὶς θεῶν ἐνοπᾶς κλύει
τᾶς δυσδαίμονος, οὐ παλαι-
ῶν πατρὸς σφαγιασμῶν.
οἴμοι τοῦ τε καπφθιμένου
τοῦ τε ζῶντος ἀλάτα,
ὅς που γᾶν ἄλλαν κατέχει
μέλεος ἀλαίνων ποτὶ θῆσσαν ἑστίαν,
τοῦ κλεινοῦ πατρὸς ἐκφύς.
αὐτὰ δ' ἐν χέρνησι δόμοις
ναίω ψυχὰν τακομένα
δωμάτων πατρῴων φυγάς,

167—188. == 189—212.

οὐρείας ναίουσ' ἐρίπνας.
μάτηρ δ' ἐν λέκτροις φονίοις
ἄλλῳ σύγγαμος οἰκεῖ.

ΧΟΡΟΣ.
πολλῶν κακῶν Ἕλλησιν αἰτίαν ἔχει
σῆς μητρὸς Ἑλένη σύγγονος δόμοις τε σοῖς.

ΗΛΕΚΤΡΑ.
οἴμοι, γυναῖκες· ἐξέβην θρηνημάτων·
ξένοι τινὲς παρ' οἶκον οἵδ' ἐφεστίους
εὐνὰς ἔχοντες ἐξανίστανται λόχου·
φυγῇ, σὺ μὲν κατ' οἶμον, ἐς δόμους δ' ἐγώ,
φῶτας κακούργους ἐξαλύξωμεν ποδί.

ΟΡΕΣΤΗΣ.
μέν', ὦ τάλαινα· μὴ τρέσῃς ἐμὴν χέρα.

ΗΛΕΚΤΡΑ.
ὦ Φοῖβ' Ἄπολλον, προσπίτνω σε μὴ θανεῖν.

ΟΡΕΣΤΗΣ.
ἄλλους κτάνοιμι μᾶλλον ἐχθίους σέθεν.

ΗΛΕΚΤΡΑ.
ἄπελθε, μὴ ψαῦ' ὧν σε μὴ ψαύειν χρεών.

ΟΡΕΣΤΗΣ.
οὐκ ἔσθ' ὅτου θίγοιμ' ἂν ἐνδικώτερον.

ΗΛΕΚΤΡΑ.
καὶ πῶς ξιφήρης πρὸς δόμοις λοχᾷς ἐμοί;

ΟΡΕΣΤΗΣ.
μείνασ' ἄκουσον, καὶ τάχ' οὐκ ἄλλως ἐρεῖς.

ΗΛΕΚΤΡΑ.
ἕστηκα· πάντως δ' εἰμὶ σή· κρείσσων γὰρ εἶ.

ΟΡΕΣΤΗΣ.
ἥκω φέρων σοι σοῦ κασιγνήτου λόγους.

ΗΛΕΚΤΡΑ.
ὦ φίλτατ', ἆρα ζῶντος, ἢ τεθνηκότος;

ΟΡΕΣΤΗΣ.
ζῇ· πρῶτα γάρ σοι τἀγάθ' ἀγγέλλειν θέλω.

ΗΛΕΚΤΡΑ.
εὐδαιμονοίης, μισθὸν ἡδίστων λόγων.

ΟΡΕΣΤΗΣ.
κοινῇ δίδωμι τοῦτο νῷν ἀμφοῖν ἔχειν.

ΗΛΕΚΤΡΑ.
ποῦ γῆς ὁ τλήμων τλήμονας φυγὰς ἔχων;

ΟΡΕΣΤΗΣ.
οὐχ ἕνα νομίζων φθείρεται πόλεως νόμον.

ΗΛΕΚΤΡΑ.
ἦ που σπανίζων τοῦ καθ' ἡμέραν βίου;

ΟΡΕΣΤΗΣ.
ἔχει μέν, ἀσθενὴς δὲ δὴ φεύγων ἀνήρ.

ΗΛΕΚΤΡΑ.
λόγον δὲ δὴ τίν' ἦλθες ἐκ κείνου φέρων;

ΟΡΕΣΤΗΣ.
εἰ ζῇς, ὅπως τε ζῶσα συμφορᾶς ἔχεις.

ΗΛΕΚΤΡΑ.
οὐκοῦν ὁρᾷς μου πρῶτον ὡς ξηρὸν δέμας.

ΟΡΕΣΤΗΣ.
λύπαις γε συντετηκός, ὥστε με στένειν.

ΗΛΕΚΤΡΑ.
καὶ κρᾶτα πλόκαμόν τ' ἐσκυθισμένον ξυρῷ.

ΟΡΕΣΤΗΣ.
δάκνει σ' ἀδελφὸς ὅ τε θανὼν ἴσως πατήρ;

ΗΛΕΚΤΡΑ.
οἴμοι, τί γάρ μοι τῶνδέ γ' ἐστὶ φίλτερον;

ΟΡΕΣΤΗΣ.
φεῦ φεῦ· τί δαὶ σὺ σῷ κασιγνήτῳ δοκεῖς;

ΗΛΕΚΤΡΑ.
ἀπὼν ἐκεῖνος, οὐ παρὼν ἡμῖν φίλος.

ΟΡΕΣΤΗΣ.
ἐκ τοῦ δὲ ναίεις ἐνθάδ' ἄστεως ἑκάς;

ΗΛΕΚΤΡΑ.
ἐγημάμεσθ', ὦ ξεῖνε, θανάσιμον γάμον.

ΟΡΕΣΤΗΣ.
ᾤμωξ' ἀδελφὸν σόν. Μυκηναίων τινί;

ΗΛΕΚΤΡΑ.
οὐχ ᾧ πατήρ μ' ἤλπιζεν ἐκδώσειν ποτέ.

ΟΡΕΣΤΗΣ.
εἴφ', ὡς ἀκούσας σῷ κασιγνήτῳ λέγω.

ΗΛΕΚΤΡΑ.
ἐν τοῖσδ' ἐκείνου τηλορὸς ναίω δόμοις.

ΟΡΕΣΤΗΣ.
σκαφεύς τις ἢ βουφορβὸς ἄξιος δόμων.

ΗΛΕΚΤΡΑ.
πένης ἀνὴρ γενναῖος ἔς τέ μ' εὐσεβής.

ΟΡΕΣΤΗΣ.
ἡ δ' εὐσέβεια τίς πρόσεστι σῷ πόσει;

ΗΛΕΚΤΡΑ.
οὐπώποτ' εὐνῆς τῆς ἐμῆς ἔτλη θιγεῖν.

ΟΡΕΣΤΗΣ.
ἅγνευμ' ἔχων τι θεῖον, ἤ σ' ἀπαξιῶν;

ΗΛΕΚΤΡΑ.
γονέας ὑβρίζειν τοὺς ἐμοὺς οὐκ ἠξίου.

ΟΡΕΣΤΗΣ.
καὶ πῶς γάμον τοιοῦτον οὐχ ἥσθη λαβών;

ΗΛΕΚΤΡΑ.
οὐ κύριον τὸν δόντα μ' ἡγεῖται, ξένε.

ΟΡΕΣΤΗΣ.
ξυνῆκ'· Ὀρέστῃ μή ποτ' ἐκτίσῃ δίκην.

ΗΛΕΚΤΡΑ.
τοῦτ' αὐτὸ ταρβῶν, πρὸς δὲ καὶ σώφρων ἔφυ.

ΟΡΕΣΤΗΣ.
φεῦ·
γενναῖον ἄνδρ' ἔλεξας, εὖ τε δραστέον.

ΗΛΕΚΤΡΑ.
εἰ δήποθ' ἥξει γ' ἐς δόμους ὁ νῦν ἀπών.

ΟΡΕΣΤΗΣ.
μήτηρ δέ σ' ἡ τεκοῦσα ταῦτ' ἠνέσχετο;

ΗΛΕΚΤΡΑ.
γυναῖκες ἀνδρῶν, ὦ ξέν', οὐ παίδων, φίλαι.

ΟΡΕΣΤΗΣ.
τίνος δέ σ' οὕνεχ' ὕβρισ' Αἴγισθος τάδε;

ΗΛΕΚΤΡΑ.
τεκεῖν μ' ἐβούλετ' ἀσθενῆ, τοιῷδε δούς.

ΟΡΕΣΤΗΣ.
ὡς δῆθε παῖδας μὴ τέκοις ποινάτορας;

ΗΛΕΚΤΡΑ.
τοιαῦτ' ἐβούλευσ', ὧν ἐμοὶ δοίη δίκην.

ΟΡΕΣΤΗΣ.
οἶδεν δέ σ' οὖσαν παρθένον μητρὸς πόσις;

ΗΛΕΚΤΡΑ.
οὐκ οἶδε· σιγῇ τοῦθ' ὑφαιρούμεσθά νιν.

ΟΡΕΣΤΗΣ.
αἵδ' οὖν φίλαι σοι τούσδ' ἀκούουσιν λόγους;

ΗΛΕΚΤΡΑ.

ὥστε στέγειν γε τἀμὰ καὶ σ' ἔπη καλῶς.

ΟΡΕΣΤΗΣ.

τί δῆτ'; Ὀρέστης, πρὸς τόδ' Ἄργος ἢν μόλῃ;

ΗΛΕΚΤΡΑ.

ἤρου τόδ'; αἰσχρόν γ' εἶπας· οὐ γὰρ νῦν ἀκμή;

ΟΡΕΣΤΗΣ.

ἐλθὼν δὲ δὴ πῶς φονέας ἂν κτάνοι πατρός;

ΗΛΕΚΤΡΑ.

τολμῶν ὑπ' ἐχθρῶν οἷ' ἐτολμήθη πατήρ.

ΟΡΕΣΤΗΣ.

ἦ καὶ μετ' αὐτοῦ μητέρ' ἂν τλαίης κτανεῖν;

ΗΛΕΚΤΡΑ.

ταὐτῷ γε πελέκει τῷ πατὴρ ἀπώλετο.

ΟΡΕΣΤΗΣ.

λέγω τάδ' αὐτῷ, καὶ βέβαια τἀπὸ σοῦ;

ΗΛΕΚΤΡΑ.

θάνοιμι μητρὸς αἷμ' ἐπισφάξασ' ἐμῆς.

ΟΡΕΣΤΗΣ.

φεῦ·
εἴθ' ἦν Ὀρέστης πλησίον κλύων τάδε.

ΗΛΕΚΤΡΑ.

ἀλλ', ὦ ξέν', οὐ γνοίην ἂν εἰσιδοῦσά νιν.

ΟΡΕΣΤΗΣ.

νέα γάρ, οὐδὲν θαῦμ', ἀπεζεύχθης νέου.

ΗΛΕΚΤΡΑ.

εἷς ἂν μόνος νιν τῶν ἐμῶν γνοίη φίλων.

ΟΡΕΣΤΗΣ.

ἆρ' ὃν λέγουσιν αὐτὸν ἐκκλέψαι φόνου;

ΗΛΕΚΤΡΑ.

πατρός γε παιδαγωγὸς ἀρχαῖος γέρων.

ΟΡΕΣΤΗΣ.

ὁ κατθανὼν δὲ σὸς πατὴρ τύμβου κυρεῖ;

ΗΛΕΚΤΡΑ.

ἔκυρσεν ὡς ἔκυρσεν, ἐκβληθεὶς δόμων.

ΟΡΕΣΤΗΣ.

οἴμοι, τόδ' οἷον εἶπας. αἴσθησις γὰρ οὖν
κἀκ τῶν θυραίων πημάτων δάκνει βροτούς.
λέξον δ', ἵν' εἰδὼς σῷ κασιγνήτῳ φέρω
λόγους ἀτερπεῖς, ἀλλ' ἀναγκαίους κλύειν.
ἔνεστι δ' οἶκτος, ἀμαθίᾳ μὲν οὐδαμοῦ,
σοφοῖσι δ' ἀνδρῶν· οὐ γὰρ οὐδ' ἀζήμιον
γνώμην ἐνεῖναι τοῖς σοφοῖς λίαν σοφήν.

ΧΟΡΟΣ.

κἀγὼ τὸν αὐτὸν τῷδ' ἔρον ψυχῆς ἔχω.
πρόσω γὰρ ἄστεως οὖσα τἀν πόλει κακὰ
οὐκ οἶδα, νῦν δὲ βούλομαι κἀγὼ μαθεῖν.

ΗΛΕΚΤΡΑ.

λέγοιμ' ἄν, εἰ χρή. χρὴ δὲ πρὸς φίλον λέγειν
τύχας βαρείας τὰς ἐμὰς κἀμοῦ πατρός.
ἐπεὶ δὲ κινεῖς μῦθον, ἱκετεύω, ξένε,
ἄγγελλ' Ὀρέστῃ τἀμὰ κἀκείνου κακά,
πρῶτον μὲν οἵοις ἐν πέπλοις αὐλίζομαι,
πίνῳ θ' ὅσῳ βέβριθ', ὑπὸ στέγαισί τε
οἵαισι ναίω βασιλικῶν ἐκ δωμάτων,
αὐτὴ μὲν ἐκμοχθοῦσα κερκίσιν πέπλους,
ἢ γυμνὸν ἕξω σῶμα καὶ στερήσομαι,
αὐτὴ δὲ πηγὰς ποταμίους φορουμένη,
ἀνέορτος ἱρῶν καὶ χορῶν τητωμένη,
ἀναίνομαι γυναῖκας, οὖσα παρθένος,
ἀναίνομαι δὲ Κάστορ', ᾧ, πρὶν ἐς θεοὺς
ἐλθεῖν, ἔμ' ἐμνήστευον, οὖσαν ἐγγενῆ.
μήτηρ δ' ἐμὴ Φρυγίοισιν ἐν σκυλεύμασι
θρόνῳ κάθηται, πρὸς δ' ἕδρας Ἀσιήτιδες
δμωαὶ στατίζουσ', ἃς ἔπερσ' ἐμὸς πατήρ,
Ἰδαῖα φάρη χρυσέαις ἐζευγμέναι
πόρπαισιν. αἷμα δ' ἔτι πατρὸς κατὰ στέγας
μέλαν σέσηπεν· ὃς δ' ἐκεῖνον ἔκτανεν,
ἐς ταὐτὰ βαίνων ἅρματ' ἐκφοιτᾷ πατρί,
καὶ σκῆπτρ', ἐν οἷς Ἕλλησιν ἐστρατηλάτει,
μιαιφόνοισι χερσὶ γαυροῦται λαβών.
Ἀγαμέμνονος δὲ τύμβος ἠτιμασμένος,
οὔπω ποτὲ χοὰς οὐδὲ κλῶνα μυρσίνης
ἔλαβε, πυρὰ δὲ χέρσος ἀγλαϊσμάτων.
μέθῃ δὲ βρεχθεὶς τῆς ἐμῆς μητρὸς πόσις
ὁ κλεινός, ὡς λέγουσιν, ἐνθρῴσκει τάφῳ,
πέτροις τε λεύει μνῆμα λάϊνον πατρός,
καὶ τοῦτο τολμᾷ τοὔπος εἰς ἡμᾶς λέγειν·
ποῦ παῖς Ὀρέστης; ἆρά σοι τύμβῳ καλῶς
παρὼν ἀμύνει; ταῦτ' ἀπὼν ὑβρίζεται.
ἀλλ', ὦ ξέν', ἱκετεύω σ', ἀπάγγειλον τάδε.
πολλοὶ δ' ἐπιστέλλουσιν, ἑρμηνεὺς δ' ἐγώ,
αἱ χεῖρες, ἡ γλῶσσ' ἡ ταλαίπωρός τε φρὴν
κάρα τ' ἐμὸν ξυρῆκες ὅ τ' ἐκείνου τεκών.
αἰσχρὸν γάρ, εἰ πατὴρ μὲν ἐξεῖλεν Φρύγας,
ὁ δ' ἄνδρ' ἕν' εἷς ὢν οὐ δυνήσεται κτανεῖν,
νέος πεφυκὼς κἀξ ἀμείνονος πατρός.

ΧΟΡΟΣ.

καὶ μὴν δέδορκα τόνδε, σὸν λέγω πόσιν,
λήξαντα μόχθου πρὸς δόμους ὡρμημένον.

ΑΥΤΟΥΡΓΟΣ.

ἔα· τίνας τούσδ' ἐν πύλαις ὁρῶ ξένους;
τίνος δ' ἕκατι τάσδ' ἐπ' ἀγραύλους πύλας
προσῆλθον; ἦ 'μοῦ δεόμενοι; γυναικί τοι
αἰσχρὸν μετ' ἀνδρῶν ἑστάναι νεανιῶν.

ΗΛΕΚΤΡΑ.

ὦ φίλτατ', εἰς ὕποπτα μὴ μόλῃς ἐμοί.
τὸν ὄντα δ' εἴσει μῦθον· οἵδε γὰρ ξένοι
ἥκουσ' Ὀρέστου πρός με κήρυκες λόγων.
ἀλλ', ὦ ξένοι, σύγγνωτε τοῖς εἰρημένοις.

ΑΥΤΟΥΡΓΟΣ.

τί φασίν; ἀνὴρ ἔστι καὶ λεύσσει φάος;

ΗΛΕΚΤΡΑ.

ἔστιν λόγῳ γοῦν· φασὶ δ' οὐκ ἄπιστ' ἐμοί.

ΑΥΤΟΥΡΓΟΣ.

ἦ καί τι πατρὸς σῶν τε μέμνηται κακῶν;

ΗΛΕΚΤΡΑ.

ἐν ἐλπίσιν ταῦτ'· ἀσθενὴς φεύγων ἀνήρ.

ΑΥΤΟΥΡΓΟΣ.

ἦλθον δ' Ὀρέστου τίν' ἀγορεύοντες λόγον;

ΗΛΕΚΤΡΑ.

σκοποὺς ἔπεμψε τούσδε τῶν ἐμῶν κακῶν·

ΑΥΤΟΥΡΓΟΣ.

οὐκοῦν τὰ μὲν λεύσσουσι, τὰ δὲ σύ που λ

ΗΛΕΚΤΡΑ.

ἴσασιν, οὐδὲν τῶνδ' ἔχουσιν ἐνδεές.

ΑΥΤΟΥΡΓΟΣ.

οὐκοῦν πάλαι χρῆν τοῖσδ' ἀνεπτύχθαι πύλ
χωρεῖτ' ἐς οἴκους· ἀντὶ γὰρ χρηστῶν λόγω
ξενίων κυρήσεθ', οἷ' ἐμὸς κεύθει δόμος.

αἴρεσθ', ὀπαδοὶ, τῶνδ' ἔσω τεύχη δόμων·
καὶ μηδὲν ἀντείπητε, παρὰ φίλου φίλοι
μολόντες ἀνδρός· καὶ γὰρ εἰ πένης ἔφυν,
οὔτοι τό γ' ἦθος δυσγενὲς παρέξομαι.

ΟΡΕΣΤΗΣ.

πρὸς θεῶν, ὅδ' ἀνὴρ, ὃς συνεκκλέπτει γάμους
τοὺς σοὺς, Ὀρέστην οὐ καταισχύνειν θέλων;

ΗΛΕΚΤΡΑ.

οὗτος κέκληται πόσις ἐμὸς τῆς ἀθλίας.

ΟΡΕΣΤΗΣ.

φεῦ·
οὐκ ἔστ' ἀκριβὲς οὐδὲν εἰς εὐανδρίαν·
ἔχουσι γὰρ ταραγμὸν αἱ φύσεις βροτῶν.
ἤδη γὰρ εἶδον ἄνδρα γενναίου πατρὸς
τὸ μηδὲν ὄντα, χρηστά τ' ἐκ κακῶν τέκνα,
λιμόν τ' ἐν ἀνδρὸς πλουσίου φρονήματι,
γνώμην τε μεγάλην ἐν πένητι σώματι.
πῶς οὖν τις αὐτὰ διαλαβὼν ὀρθῶς κρινεῖ;
πλούτῳ; πονηρῷ τἆρα χρήσεται κριτῇ·
ἢ τοῖς ἔχουσι μηδέν; ἀλλ' ἔχει νόσον
πενία, διδάσκει δ' ἄνδρα τῇ χρείᾳ κακόν.
ἀλλ' εἰς ὅπλ' ἔλθω; τίς δὲ πρὸς λόγχην βλέπων
μάρτυς γένοιτ' ἂν ὅστις ἐστὶν ἀγαθός;
κράτιστον εἰκῆ ταῦτ' ἐᾶν ἀφειμένα.
οὗτος γὰρ ἀνὴρ οὔτ' ἐν Ἀργείοις μέγας
οὔτ' αὖ δοκήσει δωμάτων ὠγκωμένος,
ἐν τοῖς τε πολλοῖς ὢν, ἄριστος εὑρέθη.
οὐ μὴ φρονήσεθ', οἳ κενῶν δοξασμάτων
πλήρεις πλανᾶσθε, τῇ δ' ὁμιλίᾳ βροτοὺς
κρινεῖτε καὶ τοῖς ἤθεσιν τοὺς εὐγενεῖς.
οἱ γὰρ τοιοῦτοι τὰς πόλεις οἰκοῦσιν εὖ
καὶ δώμαθ', αἱ δὲ σάρκες αἱ κεναὶ φρενῶν
ἀγάλματ' ἀγορᾶς εἰσιν. οὐδὲ γὰρ δόρυ
μᾶλλον βραχίων σθεναρὸς ἀσθενοῦς μένει·
ἐν τῇ φύσει δὲ τοῦτο κἀν εὐψυχίᾳ.
ἀλλ' ἄξιος γὰρ ὅ τε παρὼν ὅ τ' οὐ παρὼν
Ἀγαμέμνονος παῖς, οὗπερ οὕνεχ' ἥκομεν,
δεξώμεθ' οἴκων καταλύσεις· χωρεῖν χρεὼν,
δμῶες, δόμων τῶνδ' ἐντός. ὡς ἐμοὶ πένης
εἴη πρόθυμος πλουσίου μᾶλλον ξένος.
αἰνῶ μὲν οὖν τοῦδ' ἀνδρὸς ἐσδοχὰς δόμων·
ἐβουλόμην δ' ἂν, εἰ κασίγνητός με σὸς
ἐς εὐτυχοῦντας ἦγεν εὐτυχῶν δόμους.
ἴσως δ' ἂν ἔλθοι· Λοξίου γὰρ ἔμπεδοι
χρησμοὶ, βροτῶν δὲ μαντικὴν χαίρειν ἐῶ.

ΧΟΡΟΣ.

νῦν ἢ πάροιθεν μᾶλλον, Ἠλέκτρα, χαρᾷ
θερμαινόμεσθα καρδίαν· ἴσως γὰρ ἂν
μόλις προβαίνουσ' ἡ τύχη σταίη καλῶς.

ΗΛΕΚΤΡΑ.

ὦ τλῆμον, εἰδὼς δωμάτων χρείαν σέθεν,
τί τούσδ' ἐδέξω μείζονας σαυτοῦ ξένους;

ΑΥΤΟΥΡΓΟΣ.

τί δ'; εἴπερ εἰσὶν, ὡς δοκοῦσιν, εὐγενεῖς,
οὐκ ἔν τε μικροῖς ἔν τε μὴ στέρξουσ' ὁμῶς;

ΗΛΕΚΤΡΑ.

ἐπεί νυν ἐξήμαρτες ἐν σμικροῖσιν ὢν,
ἔλθ' ὡς παλαιὸν τροφὸν ἐμοῦ φίλου πατρός·
ὃς ἀμφὶ ποταμὸν Ταναὸν Ἀργείας ὅρους
τέμνοντα γαίας Σπαρτιάτιδός τε γῆς
ποίμναις ὁμαρτεῖ, πόλεος ἐκβεβλημένος·
κέλευε δ' αὐτὸν ἐς δόμους ἀφιγμένον
ἐλθεῖν ξένων τ' ἐς δαῖτα πορσῦναί τινα.
ἡσθήσεταί τοι καὶ προσεύξεται θεοῖς,
ζῶντ' εἰσακούσας παῖδ', ὃν ἐκσώζει ποτέ.
οὐ γὰρ πατρῴων ἐκ δόμων μητρὸς πάρα
λάβοιμεν ἄν τι· πικρὰ δ' ἀγγείλαιμεν ἂν,
εἰ ζῶντ' Ὀρέστην ἡ τάλαιν' αἴσθοιτ' ἔτι.

ΑΥΤΟΥΡΓΟΣ.

ἀλλ', εἰ δοκεῖ σοι, τούσδ' ἀπαγγελῶ λόγους
γέροντι· χώρει δ' ἐς δόμους ὅσον τάχος,
καὶ τἄνδον ἐξάρτυε. πολλά τοι γυνὴ
χρῄζουσ' ἂν εὕροι δαιτὶ προσφορήματα.
ἔστιν δὲ δὴ τοσαῦτα τἀν δόμοις ἔτι,
ὥσθ' ἕν γ' ἐπ' ἦμαρ τούσδε πληρῶσαι βορᾶς.
ἐν τοῖς τοιούτοις δ' ἡνίκ' ἂν γνώμη πέσῃ,
σκοπῶ τὰ χρήμαθ' ὡς ἔχει μέγα σθένος,
ξένοις τε δοῦναι, σῶμά τ' ἐς νόσον πεσὸν
δαπάναισι σῶσαι· τῆς δ' ἐφ' ἡμέραν βορᾶς
ἐς σμικρὸν ἥκει· πᾶς γὰρ ἐμπλησθεὶς ἀνὴρ
ὁ πλούσιός τε χὠ πένης ἴσον φέρει.

ΧΟΡΟΣ.

κλειναὶ νᾶες, αἵ ποτ' ἔμβατε Τροίαν
τοῖς ἀμετρήτοις ἐρετμοῖς,
πέμπουσαι χοροὺς μετὰ Νηρήδων,
ἵν' ὁ φίλαυλος ἔπαλλε δελ-
φὶς πρῴραις κυανεμβόλοι-
σιν εἱλισσόμενος,
πορεύων τὸν τᾶς Θέτιδος
κοῦφον ἅλμα ποδῶν Ἀχιλῆ
σὺν Ἀγαμέμνονι Τρωικὰς
ἐπὶ Σιμουντίδας ἀκτάς.
Νηρῇδες δ' Εὐβοΐδας ἀκτὰς λιποῦσαι
Ἡφαίστου χρυσέων ἀκμόνων
μόχθους ἀσπιστὰς ἔφερον τευχέων,
ἀνά τε Πήλιον ἀνά τε πρύ-
μνας Ὄσσας ἱερὰς νάπας,
Νυμφαίας σκοπιὰς,
κόρας μάτευσ', ἔνθα πατὴρ
ἱππότας τρέφεν Ἑλλάδι φῶς,
Θέτιδος εἰνάλιον γόνον,
ταχύπορον πόδ' Ἀτρείδαις.
Ἰλιόθεν δ' ἔκλυόν τινος ἐν λιμέσιν
Ναυπλίοισι βεβῶτος
τᾶς σᾶς, ὦ Θέτιδος παῖ,
κλεινᾶς ἀσπίδος ἐν κύκλῳ
τοιάδε σήματα, δείματα
Φρύγια τετύχθαι·
περιδρόμῳ μὲν ἴτυος ἕδρᾳ
Περσέα λαιμοτόμον ὑπὲρ
ἁλὸς ποτανοῖσι πεδίλοισι φυὰν
Γοργόνος ἴσχειν, Διὸς ἀγγέλῳ σὺν Ἑρμᾷ,
τῷ Μαίας ἀγροτῆρι κούρῳ·
ἐν δὲ μέσῳ κατέλαμπε σάκει φαέθων
κύκλος ἀελίοιο
ἵπποις ἂμ πτεροέσσαις,
ἄστρων τ' αἰθέριοι χοροὶ,
Πλειάδες, Ὑάδες, Ἕκτορος

432—441. == 442—451.
452—463. == 464—475.

ὄμμασι τροπαῖοι·
ἐπὶ δὲ χρυσοτύπῳ κράνει
Σφίγγες ὄνυξιν ἀοίδιμον
ἄγραν φέρουσαι· περιπλεύρῳ δὲ κύτει
πύρπνοος ἔσπευδε δρόμῳ λέαινα χαλαῖς
Πειρηναῖον ὁρῶσα πῶλον.
ἐν δὲ δόρει φονίῳ τετραβάμονες ἵπποι ἔπαλλον,
κελαινὰ δ' ἀμφὶ νῶθ' ἵετο κόνις.
τοιῶνδ' ἄνακτα δοριπόνων
ἔκανες ἀνδρῶν, Τυνδαρὶ,
σὰ λέχεα, κακόφρων κόρα.
τοιγάρ σέ ποτ' οὐρανίδαι
πέμψουσιν θανάτοισι· σὰν δ'
ἔτ' ἔτι φόνιον ὑπὸ δέραν
ὄψομ' αἷμα χυθὲν σιδάρῳ.

ΠΡΕΣΒΥΣ.

ποῦ ποῦ νεᾶνις πότνι' ἐμὴ δέσποινά τε,
Ἀγαμέμνονος παῖς, ἥν ποτ' ἐξέθρεψ' ἐγώ;
ὡς πρόσβασιν τῶνδ' ὀρθίαν οἴκων ἔχει
ῥυσῷ γέροντι τῷδε προσβῆναι ποδί.
ὅμως δὲ πρός γε τοὺς φίλους ἐξελκτέον
διπλῆν ἄκανθαν καὶ παλίρροπον γόνυ.
ὦ θύγατερ, ἄρτι γάρ σε πρὸς δόμοις ὁρῶ,
ἥκω φέρων σοι τῶν ἐμῶν βοσκημάτων
ποίμνης νεογνὸν θρέμμ' ὑποσπάσας τόδε,
πελάνους τε, τευχέων τ' ἐξελὼν τυρεύματα,
παλαιόν τε θησαύρισμα Διονύσου τόδε
ὀσμῇ κατῆρες, σμικρὸν, ἀλλ' ἐπεισβαλεῖν
ἡδὺ σκύφον τοῦδ' ἀσθενεστέρῳ ποτῷ.
ἴτω φέρων τις τοῖς ξένοις τάδ' ἐς δόμους·
ἐγὼ δὲ τρύχει τῷδ' ἐμῶν πέπλων κόρας
δακρύοισι τέγξας ἐξομόρξασθαι θέλω.

ΗΛΕΚΤΡΑ.

τί δ', ὦ γεραιὲ, διάβροχον τόδ' ὄμμ' ἔχεις;
μῶν τἀμὰ διὰ χρόνου σ' ἀνέμνησαν κακά;
ἢ τὰς Ὀρέστου τλήμονας φυγὰς στένεις
καὶ πατέρα τὸν ἐμὸν, ὅν ποτ' ἐν χεροῖν ἔχων
ἀνόνητ' ἔθρεψας σοί τε καὶ τοῖς σοῖς φίλοις;

ΠΡΕΣΒΥΣ.

ἀνόνηθ'· ὅμως δ' οὖν τοῦτό γ' οὐκ ἠνεσχόμην.
ἦλθον γὰρ αὐτοῦ πρὸς τάφον, πάρεργ' ὁδοῦ,
καὶ προσπεσὼν ἔκλαυσ', ἐρημίας τυχὼν,
σπονδάς τε, λύσας ἀσκὸν ὃν φέρω ξένοις,
ἔσπεισα, τύμβῳ δ' ἀμφέθηκα μυρσίνας.
πυρᾶς δ' ἐπ' αὐτῆς οἶν μελάγχιμον πόκῳ]
σφάγιον ἐσεῖδον αἷμά τ' οὐ πάλαι χυθὲν
ξανθῆς τε χαίτης βοστρύχους κεκαρμένους.
κἀθαύμασ', ὦ παῖ, τίς ποτ' ἀνθρώπων ἔτλη
πρὸς τύμβον ἐλθεῖν· οὐ γὰρ Ἀργείων γέ τις.
ἀλλ' ἦλθ' ἴσως που σὸς κασίγνητος λάθρα,
μολὼν δ' ἐθαύμασ' ἄθλιον τύμβον πατρός.
σκέψαι δὲ χαίτην, προστιθεῖσα σῇ κόμῃ,
εἰ χρῶμα ταὐτὸ κουρίμης ἔσται τριχός.
φιλεῖ γὰρ, αἷμα ταυτὸν οἷς ἂν ᾗ πατρὸς,
τὰ πόλλ' ὅμοια σώματος πεφυκέναι.

ΗΛΕΚΤΡΑ.

οὐκ ἄξι' ἀνδρὸς, ὦ γέρον, σοφοῦ λέγεις,
εἰ κρυπτὸν ἐς γῆν τήνδ' ἂν Αἰγίσθου φόβῳ
δοκεῖς ἀδελφὸν τὸν ἐμὸν εὐθαρσῆ μολεῖν.
ἔπειτα χαίτης πῶς συνοίσεται πλόκος;
ὁ μὲν παλαίστραις ἀνδρὸς εὐγενοῦς τραφεὶς,
ὁ δὲ κτενισμοῖς θῆλυς· ἀλλ' ἀμήχανον.
πολλοῖς δ' ἂν εὕροις βοστρύχους ὁμοπτέρους
καὶ μὴ γεγῶσιν αἵματος ταὐτοῦ, γέρον.

ΠΡΕΣΒΥΣ.

σὺ δ' εἰς ἴχνος βᾶσ' ἀρβύλης σκέψαι βάσιν,
εἰ σύμμετρος σῷ ποδὶ γενήσεται, τέκνον.

ΗΛΕΚΤΡΑ.

πῶς δ' ἂν γένοιτ' ἂν ἐν κραταιλέῳ πέδῳ
γαίας ποδῶν ἔκμακτρον; εἰ δ' ἔστιν τόδε,
δυοῖν ἀδελφοῖν ποὺς ἂν οὐ γένοιτ' ἴσος
ἀνδρός τε καὶ γυναικὸς, ἀλλ' ἄρσην κρατεῖ.

ΠΡΕΣΒΥΣ.

οὐκ ἔστιν, εἰ καὶ γῆν κασίγνητος μολὼν,
κερκίδος ὅτῳ γνοίης ἂν ἐξύφασμα σῆς,
ἐν ᾧ ποτ' αὐτὸν ἐξέκλεψα μὴ θανεῖν;

ΗΛΕΚΤΡΑ.

οὐκ οἶσθ', Ὀρέστης ἡνίκ' ἐκπίπτει χθονὸς,
νέαν μ' ἔτ' οὖσαν; εἰ δὲ κἄκρεκον πέπλους,
πῶς ἂν τότ' ὢν παῖς, ταὐτὰ νῦν ἔχοι φάρη,
εἰ μὴ ξυναύξοινθ' οἱ πέπλοι τῷ σώματι;
ἀλλ' ἤ τις αὐτοῦ τάφον ἐποικτείρας ξένος
ἐκείρατ', ἢ τῆσδε σκότος λαβὼν χθονός.

ΠΡΕΣΒΥΣ.

οἱ δὲ ξένοι ποῦ; βούλομαι γὰρ εἰσιδὼν
αὐτοὺς ἐρέσθαι σοῦ κασιγνήτου πέρι.

ΗΛΕΚΤΡΑ.

οἵδ' ἐκ δόμων βαίνουσι λαιψηρῷ ποδί.

ΠΡΕΣΒΥΣ.

ἀλλ' εὐγενεῖς μὲν, ἐν δὲ κιβδήλῳ τόδε.
πολλοὶ γὰρ ὄντες εὐγενεῖς εἰσιν κακοί·
ὅμως δὲ χαίρειν τοὺς ξένους προσεννέπω.

ΟΡΕΣΤΗΣ.

χαῖρ', ὦ γεραιέ. τοῦ ποτ', Ἠλέκτρα, τόδε
παλαιὸν ἀνδρὸς λείψανον φίλων κυρεῖ;

ΗΛΕΚΤΡΑ.

οὗτος τὸν ἀμὸν πατέρ' ἔθρεψεν, ὦ ξένε.

ΟΡΕΣΤΗΣ.

τί φής; ὅδ' ὃς σὸν ἐξέκλεψε σύγγονον;

ΗΛΕΚΤΡΑ.

ὅδ' ἔσθ' ὁ σώσας κεῖνον, εἴπερ ἔστ' ἔτι.

ΟΡΕΣΤΠΣ.

ἔα·
τί μ' εἰσδέδορκεν, ὥσπερ ἀργύρου σκοπῶν
λαμπρὸν χαρακτῆρ'; ἢ προσεικάζει μέ τῳ;

ΗΛΕΚΤΡΑ.

ἴσως Ὀρέστου σ' ἥλιχ' ἥδεται βλέπων.

ΟΡΕΣΤΗΣ.

φίλου γε φωτός· τί δὲ κυκλεῖ πέριξ πόδα;

ΗΛΕΚΤΡΑ.

καὐτὴ τόδ' εἰσορῶσα θαυμάζω, ξένε.

ΠΡΕΣΒΥΣ.

ὦ πότνι', εὔχου, θύγατερ Ἠλέκτρα, θεοῖς

ΗΛΕΚΤΡΑ.

τί τῶν ἀπόντων ἢ τί τῶν ὄντων πέρι;

ΠΡΕΣΒΥΣ.

λαβεῖν φίλον θησαυρὸν, ὃν φαίνει θεός.

ΗΛΕΚΤΡΑ.

ἰδοὺ, καλῶ θεούς. ἢ τί δὴ λέγεις, γέρον;

ΠΡΕΣΒΥΣ.
βλέψον νυν ἐς τόνδ', ὦ τέκνον, τὸν φίλτατον.
ΗΛΕΚΤΡΑ.
πάλαι δέδοικα, μὴ σύ γ' οὐκέτ' εὖ φρονῇς.
ΠΡΕΣΒΥΣ.
οὐκ εὖ φρονῶ 'γὼ σὸν κασίγνητον βλέπων;
ΗΛΕΚΤΡΑ.
πῶς εἶπας, ὦ γεραί', ἀνέλπιστον λόγον;
ΠΡΕΣΒΥΣ.
ὁρᾶν Ὀρέστην τόνδε τὸν Ἀγαμέμνονος.
ΗΛΕΚΤΡΑ.
ποῖον χαρακτῆρ' εἰσιδών, ᾧ πείσομαι;
ΠΡΕΣΒΥΣ.
οὐλὴν παρ' ὀφρύν, ἥν ποτ' ἐν πατρὸς δόμοις
νεβρὸν διώκων σοῦ μέθ' ἡμάχθη πεσών.
ΗΛΕΚΤΡΑ.
πῶς φῄς; ὁρῶ μὲν πτώματος τεκμήριον.
ΠΡΕΣΒΥΣ.
ἔπειτα μέλλεις προσπίτνειν τοῖς φιλτάτοις;
ΗΛΕΚΤΡΑ.
ἀλλ' οὐκέτ', ὦ γεραιέ· συμβόλοισι γὰρ
τοῖς σοῖς πέπεισμαι θυμόν. ὦ χρόνῳ φανείς,
ἔχω σ' ἀέλπτως.
ΟΡΕΣΤΗΣ.
κἀξ ἐμοῦ γ' ἔχει χρόνῳ.
ΗΛΕΚΤΡΑ.
οὐδέποτε δόξασ'.
ΟΡΕΣΤΗΣ.
οὐδ' ἐγὼ γὰρ ἤλπισα.
ΗΛΕΚΤΡΑ.
ἐκεῖνος εἶ σύ;
ΟΡΕΣΤΗΣ.
σύμμαχός γέ σοι μόνος,
ἢν ἐκσπάσωμαί γ' ὃν μετέρχομαι βόλον.
πέποιθα δ'. ἢ χρὴ μηκέθ' ἡγεῖσθαι θεούς,
εἰ τἄδικ' ἔσται τῆς δίκης ὑπέρτερα.
ΧΟΡΟΣ.
ἔμολες ἔμολες, ὦ χρόνιος ἁμέρα,
κατέλαμψας, ἔδειξας ἐμφανῆ
πόλει πυρσόν, ὃς παλαιᾷ φυγᾷ
πατρῴων ἀπὸ δωμάτων
τάλας ἀλαίνων ἔβα.
θεὸς αὖ θεὸς ἁμετέραν τις ἄγει
νίκαν, ὦ φίλα:
ἄνεχε χέρας, ἄνεχε λόγον,
ἵει λιτὰς εἰς θεοὺς
τύχᾳ σοι τύχᾳ κασίγνητον ἐμβατεῦσαι πόλιν.
ΟΡΕΣΤΗΣ.
εἶεν· φίλας μὲν ἡδονὰς ἀσπασμάτων
ἔχω, χρόνῳ δὲ καὖθις αὐτὰ δώσομεν.
σὺ δ', ὦ γεραιέ, καίριος γὰρ ἤλυθες,
λέξον, τί δρῶν ἂν φονέα τισαίμην πατρὸς
μητέρα τε τὴν κοινωνὸν ἀνοσίων γάμων.
ἔστιν τί μοι κατ' Ἄργος εὐμενὲς φίλων;
ἢ πάντ' ἀνεσκευάσμεθ', ὥσπερ αἱ τύχαι;
τῷ συγγένωμαι; νύχιος, ἢ καθ' ἡμέραν;
ποίαν ὁδὸν τραπώμεθ' εἰς ἐχθροὺς ἐμούς;
ΠΡΕΣΒΥΣ.
ὦ τέκνον, ουδεὶς δυστυχοῦντί σοι φίλος.
εὕρημα γὰρ τὸ χρῆμα γίγνεται τόδε,
κοινῇ μετασχεῖν τἀγαθοῦ καὶ τοῦ κακοῦ.
σὺ δ', ἐκ βάθρων γὰρ πᾶς ἀνῄρησαι φίλοις,
οὐδ' ἐλλέλοιπας ἐλπίδ', ἴσθι μου κλύων,
ἐν χειρὶ τῇ σῇ πάντ' ἔχεις καὶ τῇ τύχῃ
πατρῷον οἶκον καὶ πόλιν λαβεῖν σέθεν.
ΟΡΕΣΤΗΣ.
τί δῆτα δρῶντες τοῦδ' ἂν ἐξικοίμεθα;
ΠΡΕΣΒΥΣ.
κτανὼν Θυέστου παῖδα σήν τε μητέρα.
ΟΡΕΣΤΗΣ.
ἥκω 'πὶ τόνδε στέφανον, ἀλλὰ πῶς λάβω;
ΠΡΕΣΒΥΣ.
τειχέων μὲν ἐλθὼν ἐντὸς οὐδ' ἂν εἰ θέλοις.
ΟΡΕΣΤΗΣ.
φρουραῖς κέκασται δεξιαῖς τε δορυφόρων;
ΠΡΕΣΒΥΣ.
ἔγνως· φοβεῖται γάρ σε κοὐχ εὕδει σαφῶς.
ΟΡΕΣΤΗΣ.
εἶεν· σὺ δὴ τοὐνθένδε βούλευσον, γέρον.
ΠΡΕΣΒΥΣ.
κἀμοῦ γ' ἄκουσον· ἄρτι γάρ μ' ἐσῆλθέ τι.
ΟΡΕΣΤΗΣ.
ἐσθλόν τι μηνύσειας, αἰσθοίμην δ' ἐγώ.
ΠΡΕΣΒΥΣ.
Αἴγισθον εἶδον, ἡνίχ' εἷρπον ἐνθάδε.
ΟΡΕΣΤΗΣ.
προσηκάμην τὸ ῥηθέν. ἐν ποίοις τόποις;
ΠΡΕΣΒΥΣ.
ἀγρῶν πέλας τῶνδ' ἱπποφορβίων ἔπι.
ΟΡΕΣΤΗΣ.
τί δρῶνθ'; ὁρῶ γὰρ ἐλπίδ' ἐξ ἀμηχάνων.
ΠΡΕΣΒΥΣ.
Νύμφαις ἐπόρσυν' ἔροτιν, ὡς ἔδοξέ μοι.
ΟΡΕΣΤΗΣ.
τροφεῖα παίδων, ἢ πρὸ μέλλοντος τόκου;
ΠΡΕΣΒΥΣ.
οὐκ οἶδα πλὴν ἕν, βουσφαγεῖν ὡπλίζετο.
ΟΡΕΣΤΗΣ.
πόσων μετ' ἀνδρῶν; ἢ μόνος δμώων μέτα;
ΠΡΕΣΒΥΣ.
οὐδεὶς παρῆν Ἀργεῖος, οἰκεία δὲ χείρ.
ΟΡΕΣΤΗΣ.
ἢ πού τις ὅστις γνωριεῖ μ' ἰδών, γέρον;
ΠΡΕΣΒΥΣ.
δμῶές μέν εἰσιν, οἵ σέ γ' οὐκ εἶδόν ποτε.
ΟΡΕΣΤΗΣ.
ἡμῖν δ' ἂν εἶεν, εἰ κρατοῖμεν, εὐμενεῖς;
ΠΡΕΣΒΥΣ.
δμώων γὰρ ἴδιον τοῦτο, σοὶ δὲ σύμφορον.
ΟΡΕΣΤΗΣ.
πῶς οὖν ἂν αὐτῷ πλησιασθείην ποτέ;
ΠΡΕΣΒΥΣ.
στείχων ὅθεν σε βουθυτῶν ἐσόψεται.
ΟΡΕΣΤΗΣ.
ὁδὸν παρ' αὐτήν, ὡς ἔοικ', ἀγροὺς ἔχει.
ΠΡΕΣΒΥΣ.
ὅθεν γ' ἰδών σε δαιτὶ κοινωνὸν καλεῖ.
ΟΡΕΣΤΗΣ.
πικρόν γε συνθοινάτορ', ἢν θεὸς θέλῃ.

ΠΡΕΣΒΥΣ.
τοὐνθένδε πρὸς τὸ πῖπτον αὐτὸς ἐννόει.
ΟΡΕΣΤΗΣ.
καλῶς ἔλεξας. ἡ τεκοῦσα δ' ἐστὶ ποῦ;
ΠΡΕΣΒΥΣ.
Ἄργει· παρέσται δ' ἐν πόσει θοίνην ἔπι.
ΟΡΕΣΤΗΣ.
τί δ' οὐχ ἅμ' ἐξωρμᾶτ' ἐμὴ μήτηρ πόσει;
ΠΡΕΣΒΥΣ.
ψόγον τρέμουσα δημοτῶν ἐλείπετο.
ΟΡΕΣΤΗΣ.
ξυνῆχ'· ὕποπτος οὖσα γιγνώσκει πόλει.
ΠΡΕΣΒΥΣ.
τοιαῦτα· μισεῖται γὰρ ἀνόσιος γυνή.
ΟΡΕΣΤΗΣ.
πῶς οὖν ἐκείνην τόνδε τ' ἐν ταὐτῷ κτενῶ;
ΗΛΕΚΤΡΑ.
ἐγὼ φόνον γε μητρὸς ἐξαρτύσομαι.
ΟΡΕΣΤΗΣ.
καὶ μὴν ἐκεῖνά γ' ἡ τύχη θήσει καλῶς.
ΗΛΕΚΤΡΑ.
ὑπηρετείτω μὲν δυοῖν ὄντοιν ὅδε.
ΠΡΕΣΒΥΣ.
ἔσται τάδ'· εὑρίσκεις δὲ μητρὶ πῶς φόνον;
ΗΛΕΚΤΡΑ.
[λέγ', ὦ γεραιέ, τάδε Κλυταιμνήστρᾳ μολών·]
λεχώ μ' ἀπάγγελλ' οὖσαν ἄρσενος τόκῳ.
ΠΡΕΣΒΥΣ.
πότερα πάλαι τεκοῦσαν, ἢ νεωστὶ δή;
ΗΛΕΚΤΡΑ.
δέχ' ἡλίους, ἐν οἷσιν ἁγνεύει λεχώ.
ΠΡΕΣΒΥΣ.
καὶ δὴ τί τοῦτο μητρὶ προσβάλλει φόνον;
ΗΛΕΚΤΡΑ.
ἥξει κλύουσα λόχι' ἐμοῦ νοσήματα.
ΠΡΕΣΒΥΣ.
πόθεν; τί δ' αὐτῇ σοῦ μέλειν δοκεῖς, τέκνον;
ΗΛΕΚΤΡΑ.
ναί· καὶ δακρύσει γ' ἀξίωμ' ἐμῶν τόκων.
ΠΡΕΣΒΥΣ.
ἴσως· πάλιν τοι μῦθον ἐς καμπὴν ἄγε.
ΗΛΕΚΤΡΑ.
ἐλθοῦσα μέντοι δῆλον ὡς ἀπόλλυται.
ΠΡΕΣΒΥΣ.
καὶ μὴν ἐπ' αὐτάς γ' εἰσίτω δόμων πύλας.
ΗΛΕΚΤΡΑ.
οὐκοῦν τραπέσθαι σμικρὸν εἰς Ἅιδου τόδε;
ΠΡΕΣΒΥΣ.
εἰ γὰρ θάνοιμι τοῦτ' ἰδὼν ἐγώ ποτε.
ΗΛΕΚΤΡΑ.
πρώτιστα μέν νυν τῷδ' ὑφήγησαι, γέρον.
ΠΡΕΣΒΥΣ.
Αἴγισθος ἔνθα νῦν θυηπολεῖ θεοῖς;
ΗΛΕΚΤΡΑ.
ἔπειτ' ἀπαντῶν μητρὶ τἀπ' ἐμοῦ φράσον.
ΠΡΕΣΒΥΣ.
ὥστ' αὐτά γ' ἐκ σοῦ στόματος εἰρῆσθαι δοκεῖν.
ΗΛΕΚΤΡΑ.
σὸν ἔργον ἤδη· πρόσθεν εἴληχας φόνου.
ΟΡΕΣΤΗΣ.
στείχοιμ' ἄν, εἴ τις ἡγεμὼν γίγνοιθ' ὁδοῦ.
ΠΡΕΣΒΥΣ.
καὶ μὴν ἐγὼ πέμποιμ' ἂν οὐκ ἀκουσίως.
ΟΡΕΣΤΗΣ.
ὦ Ζεῦ πατρῷε καὶ τροπαῖ' ἐχθρῶν ἐμῶν,
οἴκτειρέ θ' ἡμᾶς, οἰκτρὰ γὰρ πεπόνθαμεν,
ΗΛΕΚΤΡΑ.
οἴκτειρε δῆτα σοῦ γε φύντας ἐκγόνους.
ΟΡΕΣΤΗΣ.
Ἥρα τε, βωμῶν ἣ Μυκηναίων κρατεῖς,
νίκην δὸς ἡμῖν, εἰ δίκαι' αἰτούμεθα.
ΗΛΕΚΤΡΑ.
δὸς δῆτα πατρὸς τοῖσδε τιμωρὸν δίκην.
ΟΡΕΣΤΗΣ.
σύ τ', ὦ κάτω γῆς ἀνοσίως οἰκῶν, πάτερ,
[καὶ Γῆ τ' ἄνασσα, χεῖρας ᾗ δίδωμ' ἐμάς]
ἄμυν' ἄμυνε τοῖσδε φιλτάτοις τέκνοις.
νῦν πάντα νεκρὸν ἐλθὲ σύμμαχον λαβών,
οἵπερ γε σὺν σοὶ Φρύγας ἀνάλωσαν δορί,
χὤσοι στυγοῦσιν ἀνοσίους μιάστορας.
ἤκουσας, ὦ δείν' ἐξ ἐμῆς μητρὸς παθών;
ΗΛΕΚΤΡΑ.
πάντ', οἶδ', ἀκούει τάδε πατήρ· στείχειν δ' ἀκμή.
καί σοι προφωνῶ πρὸς τάδ' Αἴγισθον θανεῖν·
ὡς, εἰ παλαισθεὶς πτῶμα θανάσιμον πεσεῖ,
τέθνηκα κἀγώ, μηδέ με ζῶσαν λέγε·
παίσω κάρα γὰρ τοὐμὸν ἀμφήκει ξίφει.
δόμων δ' ἔσω βᾶσ' εὐτρεπὲς ποιήσομαι.
ὡς, ἣν μὲν ἔλθῃ πύστις εὐτυχὴς σέθεν,
ὀλολύξεται πᾶν δῶμα, θνήσκοντος δέ σου
τἀναντί' ἔσται τῶνδε· ταῦτά σοι λέγω.
ΟΡΕΣΤΗΣ.
πάντ' οἶδα.
ΗΛΕΚΤΡΑ.
πρὸς τάδ' ἄνδρα γίγνεσθαί σε χρή.
ὑμεῖς δέ μοι, γυναῖκες, εὖ πυρσεύετε
κραυγὴν ἀγῶνος τοῦδε. φρουρήσω δ' ἐγώ,
πρόχειρον ἔγχος χειρὶ βαστάζουσ' ἐμῇ·
οὐ γάρ ποτ' ἐχθροῖς τοῖς ἐμοῖς νικωμένη
δίκην ὑφέξω σῶμ' ἐμὸν καθυβρίσαι.
ΧΟΡΟΣ.
ἀταλᾶς ὑπὸ ματέρος,
Ἀργείων ὀρέων ποτὲ κληδὼν
ἐν πολιαῖσι μένει φήμαις
εὐαρμόστοις ἐν καλάμοις
Πᾶνα μοῦσαν ἡδύθροον
πνέοντ', ἀγρῶν ταμίαν,
χρυσέαν ἄρνα καλλιπλόκαμον πορεῦσαι·
πετρίνοις τ' ἐπιστὰς
κᾶρυξ ἰάχει βάθροις,
ἀγορὰν ἀγορὰν, Μυκηναῖοι,
στείχετε μακαρίων ὀψόμενοι τυράννων
φάσματα, δείματα.
χοροὶ δ' Ἀτρειδᾶν ἐγέραιρον οἴκους·
θυμέλαι δ' ἐπίτναντο χρυ–
σήλατοι, σελαγεῖτο δ' ἀν' ἄστυ
πῦρ ἐπιβώμιον Ἀργείων·
λωτὸς δὲ φθόγγον κελάδει

699—712. = 713—725.

κάλλιστον, Μουσᾶν θεράπων·
μολπαὶ δ' ηὔξοντ' ἐραταὶ
χρυσέας ἀρνὸς, ὡς ἐπίλογοι Θυέστου·
κρυφίαις γὰρ εὐναῖς
πείσας ἄλοχον φίλαν
Ἀτρέως, τέρας ἐκκομίζει πρὸς
δώματα· νεόμενος δ' εἰς ἀγόρους ἀϋτεῖ
τὰν κερόεσσαν ἔ-
χειν χρυσόμαλλον κατὰ δῶμα ποίμναν.
τότε δὴ τότε φαεν-
νὰς ἄστρων μετέβασ' ὁδοὺς
Ζεὺς καὶ φέγγος ἀελίου
λευκόν τε πρόσωπον ἀ-
οῦς, τὰ δ' ἕσπερα νῶτ' ἐλαύ-
νει θερμᾷ φλογὶ θεοπύρῳ,
νεφέλαι δ' ἔνυδροι πρὸς ἄρ-
κτον ξηραί τ' Ἀμμωνίδες ἕ-
δραι φθίνουσ' ἀπειρόδροσοι,
καλλίστων ὄμβρων διόθεν στερεῖσαι.
λέγεται, τὰν δὲ πί-
στιν σμικρὰν παρ' ἔμοιγ' ἔχει,
στρέψαι θερμὰν ἀέλιον
χρυσωπὸν ἕδραν ἀλλά-
ξαντα δυστυχίᾳ βροτεί-
ῳ θνατᾶς ἕνεκεν δίκας.
φοβεροὶ δὲ βροτοῖσι μῦ-
θοι κέρδος πρὸς θεῶν θεραπεί-
ας· ὧν οὐ μνασθεῖσα πόσιν
κτείνεις, κλεινῶν συγγενέτειρ' ἀδελφῶν.
ἔα ἔα·
φίλαι, βοῆς ἠκούσατ', ἢ δοκὼ κενὴ
ὑπῆλθέ μ', ὥστε νερτέρα βροντὴ Διός;
ἰδοὺ τάδ' οὐκ ἄσημα πνεύματ' αἴρεται·
δέσποιν', ἄμειψον δώματ', Ἠλέκτρα, τάδε.

ΗΛΕΚΤΡΑ.

φίλαι, τί χρῆμα; πῶς ἀγῶνος ἥκομεν;

ΧΟΡΟΣ.

οὐκ οἶδα πλὴν ἕν, φόνιον οἰμωγὴν κλύω.

ΗΛΕΚΤΡΑ.

ἤκουσα κἀγὼ, τηλόθεν μὲν, ἀλλ' ὅμως.

ΧΟΡΟΣ.

μακρὰν γὰρ ἕρπει γῆρυς, ἐμφανής γε μήν.

ΗΛΕΚΤΡΑ.

Ἀργεῖος ὁ στεναγμὸς, ἢ φίλων ἐμῶν;

ΧΟΡΟΣ.

οὐκ οἶδα· πᾶν γὰρ μίγνυται μέλος βοῆς.

ΗΛΕΚΤΡΑ.

σφαγὴν ἀϋτεῖς τήνδε μοι· τί μέλλομεν;

ΧΟΡΟΣ.

ἔπισχε, τρανῶς ὡς μάθῃς τύχας σέθεν.

ΗΛΕΚΤΡΑ.

οὐκ ἔστι· νικώμεσθα· ποῦ γὰρ ἄγγελοι;

ΧΟΡΟΣ.

ἥξουσιν· οὔτοι βασιλέα φαῦλον κτανεῖν.

ΑΓΓΕΛΟΣ.

ὦ καλλίνικοι παρθένοι Μυκηνίδες,
νικῶντ' Ὀρέστην πᾶσιν ἀγγέλλω φίλοις,
Ἀγαμέμνονος δὲ φονέα κείμενον πέδῳ
Αἴγισθον· ἀλλὰ θεοῖσιν εὔχεσθαι χρεών.

ΗΛΕΚΤΡΑ.

τίς δ' εἶ σύ; πῶς μοι πιστὰ σημαίνεις τάδε;

ΑΓΓΕΛΟΣ.

οὐκ οἶσθ' ἀδελφοῦ μ' εἰσορῶσα πρόσπολον;

ΗΛΕΚΤΡΑ.

ὦ φίλτατ', ἔκ τοι δείματος δυσγνωσίαν
εἶχον προσώπου· νῦν δὲ γιγνώσκω σε δή.
τί φῄς; τέθνηκε πατρὸς ἐμοῦ στυγνὸς φονεύς;

ΑΓΓΕΛΟΣ.

τέθνηκε· δίς σοι ταῦθ', ἅ γ' οὖν βούλει, λέγω.

ΧΟΡΟΣ.

ὦ θεοὶ, Δίκη τε πάνθ' ὁρῶσ', ἦλθές ποτε.

ΗΛΕΚΤΡΑ.

ποίῳ τρόπῳ δὲ καὶ τίνι ῥυθμῷ φόνου
κτείνει Θυέστου παῖδα βούλομαι μαθεῖν.

ΑΓΓΕΛΟΣ.

ἐπεὶ μελάθρων τῶνδ' ἀπήραμεν πόδα,
εἰσβάντες ἦμεν δίκροτον εἰς ἁμαξιτὸν
ἔνθ' ἦν ὁ κλεινὸς τῶν Μυκηναίων ἄναξ.
κυρεῖ δὲ κήποις ἐν καταρρύτοις βεβὼς,
δρέπων τερείνης μυρσίνης κάρᾳ πλόκους·
ἰδών τ' ἀϋτεῖ, χαίρετ', ὦ ξένοι· τίνες;
πόθεν πορεύεσθ' ἔστε τ' ἐκ ποίας χθονός;
ὁ δ' εἶπ' Ὀρέστης, Θεσσαλοί· πρὸς δ' Ἀλφειὸν
θύσοντες ἐρχόμεσθ' Ὀλυμπίῳ Διί.
κλύων δὲ ταῦτ' Αἴγισθος ἐννέπει τάδε·
νῦν μὲν παρ' ἡμῖν χρὴ συνεστίους ἐμοὶ
θοίνῃ γενέσθαι· τυγχάνω δὲ βουθυτῶν
Νύμφαις· ἑῷοι δ' ἐξαναστάντες λέχους
ἐς ταυτὸν ἥξετ'. ἀλλ' ἴωμεν ἐς δόμους,
καὶ ταῦθ' ἅμ' ἠγόρευε καὶ χερὸς λαβὼν
παρῆγεν ἡμᾶς, οὐδ' ἀπαρνεῖσθαι χρεών.
ἐπεὶ δ' ἐν οἴκοις ἦμεν, ἐννέπει τάδε·
λούτρ' ὡς τάχιστα τοῖς ξένοις τις αἰρέτω,
ὡς ἀμφὶ βωμὸν στῶσι χερνίβων πέλας.
ἀλλ' εἶπ' Ὀρέστης, ἀρτίως ἡγνίσμεθα
λουτροῖσι καθαροῖς ποταμίων ῥείθρων ἄπο.
εἰ δὲ ξένους ἀστοῖσι συνθύειν χρεὼν,
Αἴγισθ', ἕτοιμοι, κοὐκ ἀπαρνούμεσθ', ἄναξ.
τοῦτον μὲν οὖν μεθεῖσαν ἐκ μέσου λόγον·
λόγχας δὲ θέντες, δεσπότου φρουρήματα,
δμῶες, πρὸς ἔργον πάντες ἵεσαν χέρας.
οἱ μὲν σφαγεῖον ἔφερον, οἱ δ' ἦρον κανᾶ,
ἄλλοι δὲ πῦρ ἀνῆπτον ἀμφί τ' ἐσχάρας
λέβητας ὤρθουν· πᾶσα δ' ἐκτύπει στέγη.
λαβὼν δὲ προχύτας μητρὸς εὐνέτης σέθεν
ἔβαλλε βωμοὺς, τοιάδ' ἐννέπων ἔπη·
Νύμφαι πετραῖαι, πολλάκις με βουθυτεῖν
καὶ τὴν κατ' οἴκους Τυνδαρίδα δάμαρτ' ἐμὴν,
πράσσοντας ὡς νῦν, τοὺς δ' ἐμοὺς ἐχθροὺς κακῶς·
λέγων Ὀρέστην καὶ σέ. δεσπότης δ' ἐμὸς
τἀναντί' ηὔχετ', οὐ γεγωνίσκων λόγους,
λαβεῖν πατρῷα δώματ'. ἐκ κανοῦ δ' ἑλὼν
Αἴγισθος ὀρθὴν σφαγίδα, μοσχίαν τρίχα
τεμὼν, ἐφ' ἁγνὸν πῦρ ἔθηκε δεξιᾷ,
κἄσφαξ' ἐπ' ὤμων μόσχον, ὡς ἦραν χεροῖν
δμῶες· λέγει δὲ σῷ κασιγνήτῳ τάδε·
ἐκ τῶν καλῶν κομποῦσι τοῖσι Θεσσαλοῖς
εἶναι τόδ', ὅστις ταῦρον ἀρταμεῖ καλῶς
ἵππους τ' ὀχμάζει. λαβὲ σίδηρον, ὦ ξένε,

δεῖξόν τε φήμην ἔτυμον ἀμφὶ Θεσσαλῶν.
ὁ δ' εὐκρότητον Δωρίδ' ἁρπάσας χεροῖν,
ῥίψας ἀπ' ὤμων εὐπρεπῆ πορπάματα,
Πυλάδην μὲν εἷλετ' ἐν πόνοις ὑπηρέτην,
δμῶας δ' ἀπωθεῖ· καὶ λαβὼν μόσχου πόδα,
λευκὰς ἐγύμνου σάρκας, ἐκτείνων χέρα·
θᾶσσον δὲ βύρσαν ἐξέδειρεν ἢ δρομεὺς
δισσοὺς διαύλους ἵππιος διήνυσε,
κἀνεῖτο λαγόνας. ἱρὰ δ' ἐς χεῖρας λαβὼν
Αἴγισθος ἤθρει. καὶ λοβὸς μὲν οὐ προσῆν
σπλάγχνοις, πύλαι δὲ καὶ δοχαὶ χολῆς πέλας
κακὰς ἔφαινον τῷ σκοποῦντι προσβολάς.
χὠ μὲν σκυθράζει, δεσπότης δ' ἀνιστορεῖ,
τί χρῆμ' ἀθυμεῖς, ὦ ξέν'; ὀρρωδῶ τινα
δόλον θυραῖον. ἔστι δ' ἔχθιστος βροτῶν
Ἀγαμέμνονος παῖς πολέμιός τ' ἐμοῖς δόμοις.
ὁ δ' εἶπε, φυγάδος δῆτα δειμαίνεις δόλον,
πόλεως ἀνάσσων; οὐχ, ὅπως πευστηρίαν
θοινασόμεσθα, Φθιάδ' ἀντὶ Δωρικῆς
οἴσει τις ἡμῖν κοπίδ'; ἀπορρήξω χέλυν.
λαβὼν δὲ κόπτει. σπλάγχνα δ' Αἴγισθος λαβὼν
ἤθρει διαιρῶν. τοῦ δὲ νεύοντος κάτω,
ὄνυχας ἐπ' ἄκρους στὰς κασίγνητος σέθεν
ἐς σφονδύλους ἔπαισε, νωτιαῖα δὲ
ἔρρηξεν ἄρθρα. πᾶν δὲ σῶμ' ἄνω κάτω
ἤσπαιρεν, ἠλάλαζε δυσθνῆσκον φόνῳ.
δμῶες δ' ἰδόντες εὐθὺς ᾖξαν ἐς δόρυ,
πολλοὶ μάχεσθαι πρὸς δύ'. ἀνδρείας δ' ὕπο
ἔστησαν ἀντίπρῳρα σείοντες βέλη
Πυλάδης Ὀρέστης τ'. εἶπε δ', οὐχὶ δυσμενὴς
ἥκω πόλει τῇδ', οὐδ' ἐμοῖς ὀπάοσι,
φονέα δὲ πατρὸς ἀντετιμωρησάμην
τλήμων Ὀρέστης. ἀλλὰ μή με κτείνετε,
πατρὸς παλαιοὶ δμῶες. οἱ δ', ἐπεὶ λόγων
ἤκουσαν, ἔσχον κάμακας· ἐγνώσθη δ' ὑπὸ
γέροντος ἐν δόμοισιν ἀρχαίου τινός.
στέφουσι δ' εὐθὺς σοῦ κασιγνήτου κάρα
χαίροντες, ἀλαλάζοντες. ἔρχεται δὲ σοὶ
κάρα 'πιδείξων, οὐχὶ Γοργόνος φέρων,
ἀλλ' ὃν στυγεῖς Αἴγισθον· αἷμα δ' αἵματος
πικρὸς δανεισμὸς ἦλθε τῷ θανόντι νῦν.

ΧΟΡΟΣ.

θὲς εἰς χορὸν, ὦ φίλα, ἴχνος,
ὡς νεβρὸς, οὐράνιον
πήδημα κουφίζουσα σὺν ἀγλαΐᾳ.
νίκας στεφανηφορίαν
κρείσσω παρ' Ἀλφειοῦ ῥεέθροις τελέσας
κασίγνητος σέθεν· ἀλλ' ἐπάειδε
καλλίνικον ᾠδὰν ἐμῷ χορῷ.

ΗΛΕΚΤΡΑ.

ὦ φέγγος, ὦ τέθριππον ἡλίου σέλας,
ὦ γαῖα καὶ νὺξ, ἣν ἐδερκόμην πάρος,
νῦν ὄμμα τοὐμὸν ἀμπτυχαί τ' ἐλεύθεροι,
ἐπεὶ πατρὸς πέπτωκεν Αἴγισθος φονεύς.
φέρ', οἷα δὴ 'γὼ καὶ δόμοι κεύθουσί μου
κόμης ἀγάλματ' ἐξενέγκωμαι, φίλαι,
στέψω τ' ἀδελφοῦ κρᾶτα τοῦ νικηφόρου.

ΧΟΡΟΣ.

σὺ μέν νυν ἀγάλματ' ἄειρε
κρατί· τὸ δ' ἀμέτερον
χωρήσεται Μούσαισι χόρευμα φίλον.
νῦν οἱ πάρος ἁμέτεροι
γαίας τυραννεύσουσι φίλοι βασιλῆς,
δικαίως τοὺς ἀδίκους καθελόντες.
ἀλλ' ἴτω ξύναυλος βοὰ χαρᾷ.

ΗΛΕΚΤΡΑ.

ὦ καλλίνικε, πατρὸς ἐκ νικηφόρου
γεγὼς, Ὀρέστα, τῆς ὑπ' Ἰλίῳ μάχης,
δέξαι κόμης σῆς βοστρύχων ἀνδήματα.
ἥκεις γὰρ οὐκ ἀχρεῖον ἔκπλεθρον δραμὼν
ἀγῶν' ἐς οἴκους, ἀλλὰ πολέμιον κτανὼν
Αἴγισθον, ὃς σὸν πατέρα κἀμὸν ὤλεσε.
σύ τ', ὦ παρασπίστ', ἀνδρὸς εὐσεβεστάτου
παίδευμα, Πυλάδη, στέφανον ἐξ ἐμῆς χερὸς
δέχου· φέρει γὰρ καὶ σὺ τῷδ' ἴσον μέρος
ἀγῶνος· ἀεὶ δ' εὐτυχεῖς φαίνοισθέ μοι.

ΟΡΕΣΤΗΣ.

θεοὺς μὲν ἡγοῦ πρῶτον, Ἠλέκτρα, τύχης
ἀρχηγέτας τῆσδ', εἶτα κἄμ' ἐπαίνεσον,
τὸν τῶν θεῶν τε τῆς τύχης θ' ὑπηρέτην.
ἥκω γὰρ οὐ λόγοισιν, ἀλλ' ἔργοις κτανὼν
Αἴγισθον· ὡς δέ τῳ σάφ' εἰδέναι τάδε
προσθῶμεν, αὐτὸν τὸν θανόντα σοι φέρω,
ὃν, εἴτε χρῄζεις, θηρσὶν ἁρπαγὴν πρόθες,
ἢ σκῦλον οἰωνοῖσιν, αἰθέρος τέκνοις,
πήξασ' ἔρεισον σκόλοπι· σὸς γάρ ἐστι νῦν
δοῦλος, πάροιθε δεσπότης κεκλημένος.

ΗΛΕΚΤΡΑ.

αἰσχύνομαι μὲν, βούλομαι δ' εἰπεῖν ὅμως.

ΟΡΕΣΤΗΣ.

τί χρῆμα, λέξον, ὡς φόβου γ' ἔξωθεν εἶ.

ΗΛΕΚΤΡΑ.

νεκροὺς ὑβρίζειν, μή μέ τις φθόνῳ βάλῃ.

ΟΡΕΣΤΗΣ.

οὐκ ἔστιν οὐδεὶς ὅστις ἂν μέμψαιτό σοι.

ΗΛΕΚΤΡΑ.

δυσάρεστος ἡμῶν καὶ φιλόψογος πόλις.

ΟΡΕΣΤΗΣ.

λέγ', εἴ τι χρῄζεις, σύγγον'· ἀσπόνδοισι γὰ
νόμοισιν ἔχθραν τῷδε συμβεβλήκαμεν.

ΗΛΕΚΤΡΑ.

εἶεν· τίν' ἀρχήν πρῶτά σ' ἐξείπω κακῶν;
ποίας τελευτάς; τίνα μέσον τάξω λόγον;
καὶ μὴν δι' ὄρθρων γ' οὔποτ' ἐξελίμπανον
θρυλοῦσ', ἅ γ' εἰπεῖν ἤθελον κατ' ὄμμα σὸ
εἰ δὴ γενοίμην δειμάτων ἐλευθέρα
τῶν πρόσθε· νῦν οὖν ἐσμεν· ἀποδώσω δέ
ἐκεῖν' ἅ σε ζῶντ' ἤθελον λέξαι κακά.
ἀπώλεσάς με κὠρφανὴν φίλου πατρὸς
καὶ τόνδ' ἔθηκας, οὐδὲν ἠδικημένος,
κἄγημας αἰσχρῶς μητέρ', ἄνδρα τ' ἔκτανες
στρατηλατοῦνθ' Ἕλλησιν, οὐκ ἐλθὼν Φρύγ
ἐς τοῦτο δ' ἦλθες ἀμαθίας ὥστ' ἤλπισας
ὡς ἐς σὲ μὲν δὴ μητέρ' οὐχ ἕξεις κακὴν
γήμας, ἐμοῦ δὲ πατρὸς ἠδίκεις λέχη.
ἴστω δ', ὅταν τις διολέσας δάμαρτά του
κρυπταῖσιν εὐναῖς εἶτ' ἀναγκασθῇ λαβεῖν,
δύστηνός ἐστιν, εἰ δοκεῖ τὸ σωφρονεῖν
ἐκεῖ μὲν αὐτὴν οὐκ ἔχειν, παρ' οἷ δ' ἔχειν

859—865. = 873—879.

ἄλγιστα δ' ᾤκεις, οὐ δοκῶν οἰκεῖν κακῶς·
ᾔδησθα γὰρ δῆτ' ἀνόσιον γήμας γάμον,
μήτηρ δὲ σ' ἄνδρα δυσσεβῆ κεκτημένη.
ἄμφω πονηρὼ δ' ὄντ' ἀφαιρεῖσθον τύχην,
κείνη τε τὴν σὴν καὶ σὺ τοὐκείνης κακόν.
πᾶσιν δ' ἐν Ἀργείοισιν ἤκουες τάδε·
ὁ τῆς γυναικὸς, οὐχὶ τἀνδρὸς ἡ γυνή.
καίτοι τόδ' αἰσχρὸν, προστατεῖν γε δωμάτων
γυναῖκα, μὴ τὸν ἄνδρα· κἀκείνους στυγῶ
τοὺς παῖδας, ὅστις τοῦ μὲν ἄρσενος πατρὸς
οὐκ ὠνόμασται, τῆς δὲ μητρὸς ἐν πόλει.
ἐπίσημα γὰρ γήμαντι καὶ μείζω λέχη,
τἀνδρὸς μὲν οὐδεὶς, τῶν δὲ θηλειῶν λόγος.
ὃ δ' ἠπάτα σε πλεῖστον οὐκ ἐγνωκότα,
ηὔχεις τις εἶναι, τοῖσι χρήμασι σθένων·
τὰ δ' οὐδὲν εἰ μὴ βραχὺν ὁμιλῆσαι χρόνον.
ἡ γὰρ φύσις βέβαιος, οὐ τὰ χρήματα.
ἣ μὲν γὰρ ἀεὶ παραμένουσ' αἴρει κάρα·
ὁ δ' ὄλβος ἄδικος καὶ μετὰ σκαιῶν ξυνὼν,
ἐξέπτατ' οἴκων, σμικρὸν ἀνθήσας χρόνον.
ἃ δ' ἐς γυναῖκας, παρθένῳ γὰρ οὐ καλὸν
λέγειν, σιωπῶ, γνωρίμως δ' αἰνίξομαι.
ὕβριζες, ὡς δὴ βασιλικοὺς ἔχων δόμους,
κάλλει τ' ἀραρώς. ἀλλ' ἔμοιγ' εἴη πόσις
μὴ παρθενωπὸς, ἀλλὰ τἀνδρείου τρόπου.
τὰ γὰρ τέκν' αὐτῶν Ἄρεος ἐκκρεμόννυται,
τὰ δ' εὐπρεπῆ δὴ κόσμος ἐν χοροῖς μόνον.
ἔρρ', οὐδὲν εἰδὼς ὧν ἐφευρεθεὶς χρόνῳ
δίκην δέδωκας, ὧδέ τις κακοῦργος ὤν.
μή μοι, τὸ πρῶτον βῆμ' ἐὰν δράμῃ καλῶς,
νικᾶν δοκείτω τὴν δίκην, πρὶν ἂν πέλας
γραμμῆς ἵκηται, καὶ τέλος κάμψῃ βίου.

ΧΟΡΟΣ.

ἔπραξε δεινά· δεινὰ δ' ἀντέδωκε σοὶ
καὶ τῷδ'. ἔχει γὰρ ἡ Δίκη μέγα σθένος.

ΟΡΕΣΤΗΣ.

εἶεν· κομίζειν τοῦδε σῶμ' ἔσω χρεὼν
σκότῳ τε δοῦναι, δμῶες, ὡς ὅταν μόλῃ
μήτηρ, σφαγῆς πάροιθε μὴ εἰσίδῃ νεκρόν.

ΗΛΕΚΤΡΑ.

ἐπίσχες· ἐμβάλωμεν εἰς ἄλλον λόγον.

ΟΡΕΣΤΗΣ.

τί δ'; ἐκ Μυκηνῶν μῶν βοηδρόμους ὁρᾷς;

ΗΛΕΚΤΡΑ.

οὐκ, ἀλλὰ τὴν τεκοῦσαν, ἥ μ' ἐγείνατο.

ΟΡΕΣΤΗΣ.

καλῶς ἄρ' ἄρκυν ἐς μέσην πορεύεται.

ΗΛΕΚΤΡΑ.

καὶ μὴν ὄχοις γε καὶ στολῇ λαμπρύνεται.

ΟΡΕΣΤΗΣ.

τί δῆτα δρῶμεν; μητέρ' ἦ φονεύσομεν;

ΗΛΕΚΤΡΑ.

μῶν σ' οἶκτος εἷλε, μητρὸς ὡς εἶδες δέμας;

ΟΡΕΣΤΗΣ.

φεῦ.
πῶς γὰρ κτάνω νιν, ἥ μ' ἔθρεψε κἄτεκεν;

ΗΛΕΚΤΡΑ.

ὥσπερ πατέρα σὸν ἥδε κἀμὸν ὤλεσεν.

ΟΡΕΣΤΗΣ.

ὦ Φοῖβε, πολλήν γ' ἀμαθίαν ἐθέσπισας,

ΗΛΕΚΤΡΑ.

ὅπου δ' Ἀπόλλων σκαιὸς ᾖ, τίνες σοφοί;

ΟΡΕΣΤΗΣ.

ὅστις μ' ἔχρησας μητέρ', ἣν οὐ χρῆν, κτανεῖν.

ΗΛΕΚΤΡΑ.

βλάπτει δὲ δὴ τί πατρὶ τιμωρῶν σέθεν;

ΟΡΕΣΤΗΣ.

μητροκτόνος νῦν φεύξομαι, τόθ' ἁγνὸς ὤν.

ΗΛΕΚΤΡΑ.

καὶ μή γ' ἀμύνων πατρὶ δυσσεβὴς ἔσει.

ΟΡΕΣΤΗΣ.

ἐγὼ δὲ μητρὶ τοῦ φόνου δώσω δίκας.

ΗΛΕΚΤΡΑ.

τῷ δ' αὖ πατρῴαν διαμεθεὶς τιμωρίαν;

ΟΡΕΣΤΗΣ.

ἆρ' αὔτ' ἀλάστωρ εἶπ' ἀπεικασθεὶς θεῷ;

ΗΛΕΚΤΡΑ.

ἱρὸν καθίζων τρίποδ'; ἐγὼ μὲν οὐ δοκῶ.

ΟΡΕΣΤΗΣ.

οὐδ' ἂν πιθοίμην εὖ μεμαντεῦσθαι τάδε.

ΗΛΕΚΤΡΑ.

οὐ μὴ κακισθεὶς εἰς ἀνανδρίαν πέσῃς.

ΟΡΕΣΤΗΣ.

ἀλλ' ἦ τὸν αὐτὸν τῇδ' ὑποστήσω δόλον;

ΗΛΕΚΤΡΑ.

ᾧ καὶ πόσιν καθεῖλες Αἴγισθον κτανών.

ΟΡΕΣΤΗΣ.

εἴσειμι· δεινοῦ δ' ἄρχομαι προβλήματος.
καὶ δεινὰ δράσω γ'· εἰ θεοῖς δοκεῖ τάδε,
ἔστω· πικρὸν δὲ χἠδὺ τἀγώνισμά μοι.

ΧΟΡΟΣ.

ἰώ,
βασίλεια γύναι χθονὸς Ἀργείας,
παῖ Τυνδαρέου,
καὶ τοῖν ἀγαθοῖν ξύγγονε κούροιν
Διὸς, οἳ φλογερὰν αἰθέρ' ἐν ἄστροις
ναίουσι, βροτῶν ἐν ἁλὸς ῥοθίοις
τιμὰς σωτῆρας ἔχοντες·
χαῖρε, σεβίζω σ' ἶσα καὶ μάκαρας
πλούτου μεγάλης τ' εὐδαιμονίας.
τὰς σὰς δὲ τύχας θεραπεύεσθαι
καιρὸς *, ὦ βασίλεια.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἔκβητ' ἀπήνης, Τρῳάδες, χειρὸς δ' ἐμῆς
λάβεσθ', ἵν' ἔξω τοῦδ' ὄχου στήσω πόδα.
σκύλοισι μὲν γὰρ θεῶν κεκόσμηνται δόμοι
Φρυγίοις, ἐγὼ δὲ τάσδε, Τρῳάδος χθονὸς
ἐξαίρετ', ἀντὶ παιδὸς ἣν ἀπώλεσα,
σμικρὸν γέρας, καλὸν δὲ κέκτημαι δόμοις.

ΗΛΕΚΤΡΑ.

οὔκουν ἐγὼ, δούλη γὰρ ἐκβεβλημένη
δόμων πατρῴων δυστυχεῖς οἰκῶ δόμους,
μῆτερ, λάβωμαι μακαρίας τῆς σῆς χερός;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

δοῦλαι πάρεισιν αἵδε, μὴ σύ μοι πόνει.

ΗΛΕΚΤΡΑ.

τί δ'; αἰχμάλωτόν τοί μ' ἀπῴκισας δόμων,
ᾑρημένων δὲ δωμάτων ᾑρήμεθα,
ὡς αἵδε, πατρὸς ὀρφανοὶ λελειμμέναι.

*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*

τοιαῦτα μέντοι σὸς πατὴρ βουλεύματα
ἐς οὓς ἐχρῆν ἥκιστ' ἐβούλευσεν φίλων.
λέξω δὲ, καίτοι δόξ' ὅταν λάβῃ κακὴ
γυναῖκα, γλώσσῃ πικρότης ἔνεστί τις,
ὡς μὲν παρ' ἡμῖν, οὐ καλῶς, τὸ πρᾶγμα δὲ
μαθόντας, ἢν μὲν ἀξίως μισεῖν ἔχῃ,
στυγεῖν δίκαιον· εἰ δὲ μὴ, τί δεῖ στυγεῖν;
ἡμᾶς δ' ἔδωκε Τυνδάρεως τῷ σῷ πατρὶ,
οὐχ ὥστε θνήσκειν, οὐδ' ἃ γειναίμην ἐγώ.
κεῖνος δὲ παῖδα τὴν ἐμὴν, Ἀχιλλέως
λέκτροισι πείσας, ᾤχετ' ἐκ δόμων ἄγων
πρυμνοῦχον Αὖλιν· ἔνθ' ὑπερτείνας πυρᾶς
λευκὴν διήμησ' Ἰφιγόνης παρηίδα.
κεἰ μὲν πόλεως ἅλωσιν ἐξιώμενος,
ἢ δῶμ' ὀνήσων τἄλλα τ' ἐκσώζων τέκνα
ἔκτεινε πολλῶν μίαν ὕπερ, συγγνώστ' ἂν ἦν·
νῦν δ', οὕνεχ' Ἑλένη μάργος ἦν, ὅ τ' αὖ λαβὼν
ἄλοχον κολάζειν προδότιν οὐκ ἠπίστατο,
τούτων ἕκατι παῖδ' ἐμὴν διώλεσεν.
ἐπὶ τοῖσδε τοίνυν, καίπερ ἠδικημένη,
οὐκ ἠγριούμην, οὐδ' ἂν ἔκτανον πόσιν·
ἀλλ' ἦλθ' ἔχων μοι μαινάδ' ἔνθεον κόρην,
λέκτροις τ' ἐπεισέφρησε, καὶ νύμφα δύο
ἐν τοῖσιν αὐτοῖς δώμασιν κατεῖχ' ὁμοῦ.
μῶρον μὲν οὖν γυναῖκες, οὐκ ἄλλως λέγω·
ὅταν δ', ὑπόντος τοῦδ', ἁμαρτάνῃ πόσις,
τἄνδον παρώσας λέκτρα, μιμεῖσθαι θέλει
γυνὴ τὸν ἄνδρα χἄτερον κτᾶσθαι φίλον.
κἄπειτ' ἐν ἡμῖν ὁ ψόγος λαμπρύνεται,
οἱ δ' αἴτιοι τῶνδ' οὐ κλύουσ' ἄνδρες κακῶς.
εἰ δ' ἐκ δόμων ἥρπαστο Μενέλεως λάθρα,
κτανεῖν μ' Ὀρέστην χρῆν, κασιγνήτης πόσιν
Μενέλαον ὡς σώσαιμι; σὸς δὲ πῶς πατὴρ
ἠνέσχετ' ἂν ταῦτ', εἶτα τὸν μὲν οὐ θανεῖν
κτείνοντα χρῆν τἄμ', ἐμὲ δὲ πρὸς κείνου παθεῖν;
ἔκτειν', ἐτρέφθην ἥνπερ ἦν πορεύσιμον
πρὸς τοὺς ἐκείνῳ πολεμίους. φίλων γὰρ ἂν
τίς ἂν πατρὸς σοῦ φόνον ἐκοινώνησέ μοι;
λέγ', εἴ τι χρήζεις, κἀντίθες παρρησίᾳ,
ὅπως τέθνηκε σὸς πατὴρ οὐκ ἐνδίκως.

*ΗΛΕΚΤΡΑ.*

δίκαι' ἔλεξας· ἡ δίκη δ' αἰσχρῶς ἔχει·
γυναῖκα γὰρ χρῆν πάντα συγχωρεῖν πόσει,
ἥτις φρενήρης. εἰ δὲ μὴ δοκεῖ τάδε,
οὐδ' εἰς ἀριθμὸν τῶν ἐμῶν ἥκει λόγων.
μέμνησο, μῆτερ, οὓς ἔλεξας ὑστάτους
λόγους, διδοῦσα πρὸς σέ μοι παρρησίαν.

*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*

καὶ νῦν γέ φημι, κοὐκ ἀπαρνοῦμαι, τέκνον.

*ΗΛΕΚΤΡΑ.*

ἆρα κλύουσα, μῆτερ, εἶτ' ἔρξεις κακῶς;

*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*

οὐκ ἔστι, τῇ σῇ δ' ἡδὺ προσθήσω φρενί.

*ΗΛΕΚΤΡΑ.*

λέγοιμ' ἄν· ἀρχὴ δ' ἥδε μοι προοιμίου.
εἴθ' εἶχες, ὦ τεκοῦσα, βελτίους φρένας.
τὸ μὲν γὰρ εἶδος αἶνον ἄξιον φέρει
Ἑλένης τε καὶ σοῦ, δύο δ' ἔφυτε συγγόνω,
ἄμφω ματαίω Κάστορός τ' οὐκ ἀξίω.
ἡ μὲν γὰρ ἁρπασθεῖσ' ἑκοῦσ' ἀπῴχετο,
σὺ δ' ἄνδρ' ἄριστον Ἑλλάδος διώλεσας,
σκῆψιν προτείνουσ', ὡς ὑπὲρ τέκνου πόσιν
ἔκτεινας· οὐ γὰρ, ὡς ἔγωγ', ἴσασιν εὖ,
ἥτις, θυγατρὸς πρὶν κεκυρῶσθαι σφαγὰς,
νέον τ' ἀπ' οἴκων ἀνδρὸς ἐξωρμημένου,
ξανθὸν κατόπτρῳ πλόκαμον ἐξήσκεις κόμης.
γυνὴ δ' ἀπόντος ἀνδρὸς ἥτις ἐκ δόμων
ἐς κάλλος ἀσκεῖ, διάγραφ' ὡς οὖσαν κακήν.
οὐδὲν γὰρ αὐτὴν δεῖ θύρασιν εὐπρεπὲς
φαίνειν πρόσωπον, ἤν τι μὴ ζητῇ κακόν.
μόνην δὲ πασῶν οἶδ' ἐγὼ σ' Ἑλληνίδων,
εἰ μὲν τὰ Τρώων εὐτυχοῖ, κεχαρμένην,
εἰ δ' ἥσσον' εἴη, συννεφοῦσαν ὄμματα,
Ἀγαμέμνον' οὐ χρήζουσαν ἐκ Τροίας μολεῖν.
καίτοι καλῶς γε σωφρονεῖν παρεῖχέ σοι·
ἄνδρ' εἶχες οὐ κακίον' Αἰγίσθου πόσιν,
ὃν Ἑλλὰς αὐτῆς εἵλετο στρατηλάτην·
Ἑλένης δ' ἀδελφῆς τοιάδ' ἐξειργασμένης,
ἐξῆν κλέος σοι μέγα λαβεῖν· τὰ γὰρ κακὰ
παράδειγμα τοῖς ἐσθλοῖσιν εἴσοψίν τ' ἔχει.
εἰ δ', ὡς λέγεις, σὴν θυγατέρ' ἔκτεινεν πατὴρ,
ἐγὼ τί σ' ἠδίκησ' ἐμός τε σύγγονος;
πῶς οὐ πόσιν κτείνασα πατρῴους δόμους
ἡμῖν προσῆψας, ἀλλ' ἀπηνέγκω λέχη
τἀλλότρια, μισθοῦ τοὺς γάμους ὠνουμένη,
κοὔτ' ἀντιφεύγει παιδὸς ἀντὶ σοῦ πόσις
οὔτ' ἀντ' ἐμοῦ τέθνηκε, δὶς τόσως ἐμὲ
κτείνας ἀδελφῆς ζῶσαν· εἰ δ' ἀμείψεται
φόνον δικάζων φόνος, ἀποκτενῶ σ' ἐγὼ
καὶ παῖς Ὀρέστης, πατρὶ τιμωρούμενοι·
εἰ γὰρ δίκαι' ἐκεῖνα, καὶ τάδ' ἔνδικα.
ὅστις δὲ πλοῦτον ἢ εὐγένειαν εἰσιδὼν
γαμεῖ πονηρὰν, μῶρός ἐστι· μικρὰ γὰρ
μεγάλων ἀμείνω σώφρον' ἐν δόμοις λέχη.

*ΧΟΡΟΣ.*

τύχη γυναικῶν ἐς γάμους· τὰ μὲν γὰρ εὖ,
τὰ δ' οὐ καλῶς πίπτοντα δέρκομαι βροτῶν.

*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*

ὦ παῖ, πέφυκας πατέρα σὸν στέργειν ἀεί.
ἔστιν δὲ καὶ τόδ'· οἱ μέν εἰσιν ἀρσένων,
οἱ δ' αὖ φιλοῦσι μητέρας μᾶλλον πατρός.
συγγνώσομαί σοι· καὶ γὰρ οὐχ οὕτως ἄγαν
χαίρω τι, τέκνον, τοῖς δεδραμένοις ἐμοί.
σὺ δ' ὧδ' ἄλουτος καὶ δυσείματος χρόα
λεχὼ νεογνῶν ἐκ τόκων πεπαυμένη;
οἴμοι τάλαινα τῶν ἐμῶν βουλευμάτων·
ὡς μᾶλλον ἢ χρῆν ἤλασ' εἰς ὀργὴν πόσιν.

*ΗΛΕΚΤΡΑ.*

ὀψὲ στενάζεις, ἡνίκ' οὐκ ἔχεις ἄκη·
πατὴρ μὲν οὖν τέθνηκε· τὸν δ' ἔξω χθονὸς
πῶς οὐ κομίζει παῖδ' ἀλητεύοντα σόν;

*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*

δέδοικα· τοὐμὸν δ', οὐχὶ τοὐκείνου, σκοπῶ.
πατρὸς γὰρ, ὡς λέγουσι, θυμοῦται φόνῳ.

*ΗΛΕΚΤΡΑ.*

τί δαὶ πόσιν σὸν ἄγριον εἰς ἡμᾶς ἔχεις;

*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*

τρόποι τοιοῦτοι· καὶ σὺ δ' αὐθάδης ἔφυς.

ΗΛΕΚΤΡΑ.
ἀλγῶ γάρ· ἀλλὰ παύσομαι θυμουμένη.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
καὶ μὴν ἐκεῖνος οὐκέτ' ἔσται σοι βαρύς.
ΗΛΕΚΤΡΑ.
φρονεῖ μέγ'· ἐν γὰρ τοῖς ἐμοῖς ναίει δόμοις.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ὁρᾷς; ἂν' αὖ σὺ ζωπυρεῖς νείκη νέα.
ΗΛΕΚΤΡΑ.
σιγῶ· δέδοικα γάρ νιν, ὡς δέδοικ', ἐγώ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
παῦσαι λόγων τῶνδ'· ἀλλὰ τί μ' ἐκάλεις, τέκνον;
ΗΛΕΚΤΡΑ.
ἤκουσας, οἶμαι, τῶν ἐμῶν λοχευμάτων·
τούτων ὕπερ μοι θῦσον, οὐ γὰρ οἶδ' ἐγώ,
δεκάτῃ σελήνῃ παιδὸς ὡς νομίζεται·
τρίβων γὰρ οὐκ εἰμ', ἄτοκος οὖσ' ἐν τῷ πάρος.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἄλλης τόδ' ἔργον, ἥ σ' ἔλυσεν ἐκ τόκων.
ΗΛΕΚΤΡΑ.
αὐτὴ 'λόχευον κἄτεκον μόνη βρέφος.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
οὕτως ἀγείτον' οἶκον ἵδρυσαι φίλων;
ΗΛΕΚΤΡΑ.
πένητας οὐδεὶς βούλεται κτᾶσθαι φίλους.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἀλλ' εἶμι, παιδὸς ἀριθμὸν ὡς τελεσφόρον
θύσω θεοῖσι· σοὶ δ' ὅταν πράξω χάριν
τήνδ', εἶμ' ἐπ' ἀγρὸν, οὗ πόσις θυηπολεῖ
Νύμφαισιν. ἀλλὰ τούσδ' ὄχους, ὀπάονες,
φάτναις ἄγοντες πρόσθεθ'. ἡνίκ' ἂν δέ με
δοκῆτε θυσίας τῆσδ' ἀπηλλάχθαι θεοῖς,
πάρεστε· δεῖ γὰρ καὶ πόσει δοῦναι χάριν.
ΗΛΕΚΤΡΑ.
χώρει πένητας ἐς δόμους· φρούρει δέ μοι
μή σ' αἰθαλώσῃ πολύκαπνον στέγος πέπλους·
θύσεις γὰρ οἷα χρή σε δαίμοσιν θύειν.
κανοῦν δ' ἐνῆρκται, καὶ τεθηγμένη σφαγὶς,
ἥπερ καθεῖλε ταῦρον, οὗ πέλας πεσεῖ
πληγεῖσα· νυμφεύσει δὲ κἀν Ἅιδου δόμοις,
ᾧπερ ξυνηῦδες ἐν φάει· τοσήνδ' ἐγὼ
δώσω χάριν σοι, σὺ δέ γ' ἐμοὶ δίκην πατρός.
ΧΟΡΟΣ.
ἀμοιβαὶ κακῶν· μετάτροποι πνέου-
σιν αὖραι δόμων. τότε μὲν ἐν λουτροῖς
ἔπεσεν ἐμὸς ἐμὸς ἀρχέτας,
ἰάχησε δὲ στέγα, λάϊνοί
τε θριγκοὶ δόμων, τάδ' ἐνέποντος· ὦ
σχέτλια, τί με, γύναι, φονεύεις, φίλαν
πατρίδα δεκέτεσιν σποραῖσιν ἐλθόντ' ἐμάν;
παλίρρους δὲ τάνδ' ὑπάγεται δίκα
διαδρόμου λέχους, μέλεον ἃ πόσιν
χρόνιον ἱκόμενον εἰς οἴκους
Κυκλώπειά τ' οὐράνια τείχε' ὀ-
ξυθήκτῳ βέλει κατέκαν' αὐτόχειρ,
πέλεκυν ἐν χεροῖν λαβοῦσα. τλάμων
πόσις, ὅτι ποτὲ τὰν τάλαιναν ἔσχεν κακόν.
ὀρεία τις ὡς λέαιν' ὀργάδων
δρύοχα νεμομένα, τάδε κατήνυσεν.
1147—1154. = 1155—1162.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ὦ τέκνα, πρὸς θεῶν μὴ κτάνητε μητέρα.
ΧΟΡΟΣ.
κλύεις ὑπώροφον βοάν;
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἰώ μοί μοι.
ΧΟΡΟΣ.
ᾤμωξα κἀγὼ πρὸς τέκνων χειρουμένης.
νέμει τοι δίκαν θεὸς, ὅταν τύχῃ·
σχέτλια μὲν ἔπαθες, ἀνόσια δ' εἰργάσω,
τάλαιν', εὐνέταν.
ἀλλ' οἵδε μητρὸς νεοφόνοις ἐν αἵμασι
πεφυρμένοι βαίνουσιν ἐξ οἴκων πόδα,
τροπαῖα δείγματ' ἀθλίων προσφθεγμάτων.
οὐκ ἔστιν οὐδεὶς οἶκος ἀθλιώτερος
τῶν Ταντάλείων οὐδ' ἔφυ ποτ' ἐκγόνων.
ΟΡΕΣΤΗΣ.
ἰὼ Γᾶ καὶ Ζεῦ, πανδερκέτα
βροτῶν, ἴδετε τάδ' ἔργα φόνι-
α μυσαρὰ, δίγονα σώματ' ἐν
χθονὶ κείμενα, πλαγᾷ
χερὸς ὑπ' ἐμᾶς, ἄποιν' ἐμῶν πημάτων.
* * *
* * *
ΗΛΕΚΤΡΑ.
δακρύτ' ἄγαν, ὦ σύγγον', αἰτία δ' ἐγώ.
διὰ πυρὸς ἔμολον ἁ τάλαι-
να ματρὶ τᾷδ', ἅ μ' ἔτικτε κούραν.
ἰὼ τύχας, τᾶς σᾶς τύχας, μᾶτερ τεκοῦσ',
ἄλαστα, μέλεα καὶ πέρα
παθοῦσα σῶν τέκνων ὑπαί.
πατρὸς δ' ἔτισας φόνον δικαίως.
ΟΡΕΣΤΗΣ.
ἰὼ Φοῖβ' ἀνύμνησας δίκαν,
ἄφαντα φανερὰ δ' ἐξέπρα-
ξας ἄχεα, φόνια δ' ὤπασας
λέχε' ἀπὸ γᾶς Ἑλλανίδος.
τίνα δ' ἑτέραν μόλω πόλιν; τίς ξένος,
τίς εὐσεβὴς ἐμὸν κάρα
προσόψεται ματέρα κτανόντος;
ΗΛΕΚΤΡΑ.
ἰὼ ἰώ μοι. ποῖ δ' ἐγὼ, τίν' ἐς χορὸν,
τίνα γάμον εἶμι; τίς πόσις
με δέξεται νυμφικὰς ἐς εὐνάς;
ΟΡΕΣΤΗΣ.
πάλιν πάλιν φρόνημα σὸν μετεστάθη [πρὸς αὔραν]·
φρονεῖς γὰρ ὅσια νῦν, τότ' οὐ
φρονοῦσα, δεινὰ δ' εἰργάσω,
φίλα, κασίγνητον οὐ θέλοντα.
κατεῖδες, οἷον ἁ τάλαιν' ἔξω πέπλων
ἔβαλεν, ἔδειξε μαστὸν ἐν φοναῖσιν,
ἰώ μοι, πρὸς πέδῳ
τιθεῖσα γόνιμα μέλεα; τακόμαν δ' ἐγώ.
ΗΛΕΚΤΡΑ.
σάφ' οἶδα, δι' ὀδύνας ἔβας, ἰήιον
κλύων γόον ματρὸς, ἅ σ' ἔτικτεν.
1177—1189. = 1190—1205.
1206—1212. = 1213—1220.

ΟΡΕΣΤΗΣ.

βοὰν δ' ἔλασκε τάνδε, πρὸς γένυν ἐμὰν
τιθεῖσα χεῖρα· τέκος ἐμὸν, λιταίνω·
παρήδων τ' ἐξ ἐμᾶν
ἐκρήμναθ', ὥστε χέρας ἐμὰς λιπεῖν βέλος.

ΗΛΕΚΤΡΑ.

τάλαινα. πῶς ἔτλας φόνον δι' ὀμμάτων
ἰδεῖν σέθεν ματρὸς ἐκπνεούσας;

ΟΡΕΣΤΗΣ.

ἐγὼ μὲν ἐπιβαλὼν φάρη κόραις ἐμαῖ-
σι φασγάνῳ κατηρξάμαν
ματέρος ἔσω δέρας μεθείς.

ΗΛΕΚΤΡΑ.

ἐγὼ δέ γ' ἐπεκέλευσά σοι,
ξίφους τ' ἐφηψάμαν ἅμα.
δεινότατον παθέων ἔρεξας.

ΟΡΕΣΤΗΣ.

λαβοῦ λαβοῦ, κάλυπτε μέλεα ματέρος
πέπλοις, καθάρμοσον σφαγάς·
φονέας ἔτικτες ἆρά σοι.

ΗΛΕΚΤΡΑ.

ἰδού, φίλαν τε κοὐ φίλαν
φάρεα σέ γ' ἀμφιβάλλομεν,
τέρμα κακῶν μεγάλων δόμοισιν.

ΧΟΡΟΣ.

ἀλλ' οἵδε δόμων ὑπὲρ ἀκροτάτων
φαίνουσι τινὲς δαίμονες, ἢ θεῶν
τῶν οὐρανίων· οὐ γὰρ θνητῶν γ'
ἥδε κέλευθος· τί ποτ' εἰς φανερὰν
ὄψιν βαίνουσι βροτοῖσιν;

ΔΙΟΣΚΟΡΟΙ.

Ἀγαμέμνονος παῖ, κλῦθι· δίπτυχοι δέ σε
καλοῦσι μητρὸς σύγγονοι Διόσκοροι,
Κάστωρ κασίγνητός τε Πολυδεύκης ὅδε.
δεινὸν δὲ ναὸς ἀρτίως πόντου σάλον
παύσαντ' ἀφίγμεθ' Ἄργος, ὡς ἐσείδομεν
σφαγὰς ἀδελφῆς τῆσδε, μητέρος δὲ σῆς.
δίκαια μέν νυν ἥδ' ἔχει· σὺ δ' οὐχὶ δρᾷς,
Φοῖβός τε Φοῖβος, ἀλλ' ἄναξ γάρ ἐστ' ἐμὸς,
σιγῶ· σοφὸς δ' ὢν οὐκ ἔχρησέ σοι σοφά.
αἰνεῖν δ' ἀνάγκη ταῦτα. τἀντεῦθεν δὲ χρὴ
πράσσειν ἃ μοῖρα Ζεύς τ' ἔκρανε σοῦ πέρι.
Πυλάδῃ μὲν Ἠλέκτραν δὸς ἄλοχον ἐς δόμους,
σὺ δ' Ἄργος ἔκλιπ'· οὐ γὰρ ἔστι σοι πόλιν
τήνδ' ἐμβατεύειν, μητέρα κτείναντα σήν.
δειναὶ δὲ Κῆρές σ' αἱ κυνώπιδες θεαὶ
τροχηλατήσουσ' ἐμμανῆ πλανώμενον.
ἐλθὼν δ' Ἀθήνας, Παλλάδος σεμνὸν βρέτας
πρόσπτυξον· εἵρξει γάρ νιν ἐπτοημένας
δεινοῖς δράκουσιν, ὥστε μὴ ψαύειν σέθεν,
γοργῶφ' ὑπερτείνουσά σου κάρᾳ κύκλον.
ἔστιν δ' Ἄρεώς τις ὄχθος, οὗ πρῶτον θεοὶ
ἕζοντ' ἐπὶ ψήφοισιν αἵματος πέρι,
Ἁλιρρόθιον ὅτ' ἔκταν' ὠμόφρων Ἄρης,
μῆνιν θυγατρὸς ἀνοσίων νυμφευμάτων,
πόντου κρέοντος παῖδ', ἵν' εὐσεβεστάτη
ψῆφος βεβαία τ' ἐστὶν ἔκ γε τοῦ θεοῖς.
ἐνταῦθα καὶ σὲ δεῖ δραμεῖν φόνου πέρι.
ἴσαι δέ σ' ἐκσῴζουσι μὴ θανεῖν δίκῃ
ψῆφοι τεθεῖσαι· Λοξίας γὰρ αἰτίαν
ἐς αὑτὸν οἴσει, μητέρος χρήσας φόνον.
καὶ τοῖσι λοιποῖς ὅδε νόμος τεθήσεται,
νικᾶν ἴσαις ψήφοισι τὸν φεύγοντ' ἀεί.
δειναὶ μὲν οὖν θεαὶ τῷδ' ἄχει πεπληγμέναι
πάγον παρ' αὐτὸν χάσμα δύσονται χθονὸς,
σεμνὸν βροτοῖσιν εὐσεβὲς χρηστήριον.
σὲ δ' Ἀρκάδων χρὴ πόλιν ἐπ' Ἀλφειοῦ ῥοαῖς
οἰκεῖν Λυκαίου πλησίον σηκώματος·
ἐπώνυμος δὲ σοῦ πόλις κεκλήσεται.
σοὶ μὲν τάδ' εἶπον· τόνδε δ' Αἰγίσθου νέκυν
Ἄργους πολῖται γῆς καλύψουσιν τάφῳ.
μητέρα δὲ τὴν σὴν ἄρτι Ναυπλίαν παρὼν
Μενέλαος, ἐξ οὗ Τρωικὴν εἷλε χθόνα,
Ἑλένη τε θάψει· Πρωτέως γὰρ ἐκ δόμων
ἥκει λιποῦσ' Αἴγυπτον, οὐδ' ἦλθεν Φρύγας.
Ζεὺς δ', ὡς ἔρις γένοιτο καὶ φόνος βροτῶν,
εἴδωλον Ἑλένης ἐξέπεμψ' εἰς Ἴλιον.
Πυλάδης μὲν οὖν κόρην τε καὶ δάμαρτ' ἔχων
Ἀχαΐδος γῆς οἴκαδ' ἐσπορευέτω,
καὶ τὸν λόγῳ σὸν πενθερὸν κομιζέτω
Φωκέων ἐς αἶαν, καὶ δότω πλούτου βάρος.
σὺ δ' Ἰσθμίας γῆς αὐχέν' ἐμβαίνων ποδὶ
χώρει πρὸς οἶκον Κεκροπίας εὐδαίμονα.
πεπρωμένην γὰρ μοῖραν ἐκπλήσας φόνου,
εὐδαιμονήσεις τῶνδ' ἀπαλλαχθεὶς πόνων.

ΧΟΡΟΣ.

ὦ παῖδε Διὸς, θέμις ἐς φθογγὰς
τὰς ὑμετέρας ἡμῖν πελάθειν;

ΔΙΟΣΚΟΡΟΙ.

θέμις, οὐ μυσαροῖς τοῖσδε σφαγίοις.

ΟΡΕΣΤΗΣ.

κἀμοὶ μύθου μέτα, Τυνδαρίδαι;

ΔΙΟΣΚΟΡΟΙ.

καὶ σοί· Φοίβῳ τήνδ' ἀναθήσω
πρᾶξιν φονίαν.

ΧΟΡΟΣ.

πῶς ὄντε θεὼ τῆσδέ τ' ἀδελφὼ
τῆς καπφθιμένης
οὐκ ἠρκέσατον κῆρας μελάθροις;

ΔΙΟΣΚΟΡΟΙ.

μοῖραν ἀνάγκης ἦγεν τὸ χρεὼν,
Φοίβου τ' ἄσοφοι γλώσσης ἐνοπαί.

ΗΛΕΚΤΡΑ.

τίς δ' ἔμ' Ἀπόλλων, ποῖοι χρησμοὶ
φονίαν ἔδοσαν μητρὶ γενέσθαι;

ΔΙΟΣΚΟΡΟΙ.

κοιναὶ πράξεις, κοινοὶ δὲ πότμοι,
μία δ' ἀμφοτέρους
ἄτη πατέρων διέκναισεν.

ΟΡΕΣΤΗΣ.

ὦ σύγγονέ μοι, χρονίαν σ' ἐσιδὼν,
τῶν σῶν εὐθὺς φίλτρων στέρομαι,
καὶ σ' ἀπολείψω σοῦ λειπόμενος.

ΔΙΟΣΚΟΡΟΙ.

πόσις ἔστ' αὐτῇ καὶ δόμος· οὐχ ἥδ'
οἰκτρὰ πέπονθεν, πλὴν ὅτι λείπει
πόλιν Ἀργείων.

ΟΡΕΣΤΗΣ.

καὶ τίνες ἄλλαι στοναχαὶ μείζους

1221—1226. == 1227—1232.

ἢ γῆς πατρίας ὅρον ἐκλείπειν;
ἀλλ' ἐγὼ οἴκων ἔξειμι πατρός,
καὶ ἐπ' ἀλλοτρίαις ψήφοισι φόνον
μητρὸς ὑφέξω.

ΔΙΟΣΚΟΡΟΙ.

θάρσει· Παλλάδος
ὁσίαν ἥξεις πόλιν· ἀλλ' ἀνέχου.

ΗΛΕΚΤΡΑ.

περί μοι στέρνοις στέρνα πρόσαψον,
σύγγονε φίλτατε·
διὰ γὰρ ζευγνῦσ' ἡμᾶς πατρῴων
μελάθρων μητρὸς φόνιοι κατάραι.

ΟΡΕΣΤΗΣ.

βάλε, πρόσπτυξον σῶμα· θανόντος δ'
ὡς ἐπὶ τύμβῳ καταθρήνησον.

ΔΙΟΣΚΟΡΟΙ.

φεῦ φεῦ· δεινὸν τόδ' ἐγηρύσω
καὶ θεοῖσι κλύειν.
ἔνι γὰρ κἀμοὶ τοῖς τ' οὐρανίδαις
οἶκτοι θνητῶν πολυμόχθων.

ΟΡΕΣΤΗΣ.

οὐκέτι σ' ὄψομαι.

ΗΛΕΚΤΡΑ.

οὐδ' ἐγὼ εἰς σὸν βλέφαρον πελάσω.

ΟΡΕΣΤΗΣ.

τάδε λοίσθιά μοι προσφθέγματά σου.

ΗΛΕΚΤΡΑ.

ὦ χαῖρε, πόλις,
χαίρετε δ' ὑμεῖς πολλά, πολίτιδες.

ΟΡΕΣΤΗΣ.

ὦ πιστοτάτη, στείχεις ἤδη;

ΗΛΕΚΤΡΑ.

στείχω, βλέφαρον τέγγουσ' ἁπαλόν.

ΟΡΕΣΤΗΣ.

Πυλάδη, χαίρων ἴθι, νυμφεύου
δέμας Ἠλέκτρας.

ΔΙΟΣΚΟΡΟΙ.

τοῖσδε μελήσει γάμος· ἀλλὰ κύνας
τάσδ' ὑποφεύγων στεῖχ' ἐπ' Ἀθηνῶν·
δεινὸν γὰρ ἴχνος βάλλουσ' ἐπὶ σοὶ
χειροδράκοντες, χρῶτα κελαιναί,
δεινῶν ὀδυνῶν καρπὸν ἔχουσαι·
νὼ δ' ἐπὶ πόντον Σικελὸν σπουδῇ
σώσοντε νεῶν πρῴρας ἐνάλους.
διὰ δ' αἰθερίας στείχοντε πλακὸς,
τοῖς μὲν μυσαροῖς οὐκ ἐπαρήγομεν,
οἷσιν δ' ὅσιον καὶ τὸ δίκαιον
φίλον ἐν βιότῳ, τούτους χαλεπῶν
ἐκλύοντες μόχθων σώζομεν.
οὕτως ἀδικεῖν μηδεὶς θελέτω,
μηδ' ἐπιόρκων μέτα συμπλείτω·
θεὸς ὢν θνητοῖς ἀγορεύω.

ΧΟΡΟΣ.

χαίρετε· χαίρειν δ' ὅστις δύναται
καὶ ξυντυχίᾳ μή τινι κάμνει
θνητῶν, εὐδαίμονα πράσσει.

# ΕΥΡΙΠΙΔΟΥ ΗΡΑΚΛΗΣ ΜΑΙΝΟΜΕΝΟΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΑΜΦΙΤΡΥΩΝ.*
*ΜΕΓΑΡΑ.*
*ΛΥΚΟΣ.*
*ΙΡΙΣ.*
*ΛΥΤΤΑ.*
*ΑΓΓΕΛΟΣ.*
*ΗΡΑΚΛΗΣ.*
*ΘΗΣΕΥΣ.*
*ΧΟΡΟΣ ΘΗΒΑΙΩΝ ΓΕΡΟΝΤΩΝ.*

## *ΥΠΟΘΕΣΙΣ.*

*Ἡρακλῆς γήμας Μεγάραν τὴν Κρέοντος παῖδας ἐξ αὐτῆς ἐγέννησε· καταλιπὼν δὲ τούτους ἐν ταῖς Θή αὐτὸς εἰς Ἄργος ἦλθεν, Εὐρυσθεῖ τοὺς ἄθλους ἐκπονήσων. πάντων δὲ περιγενόμενος ἐπὶ πᾶσιν εἰς Ἅ κατῆλθε. καὶ πολὺν ἐκεῖ διατρίψας χρόνον δόξαν ἀπέλιπε παρὰ τοῖς ζῶσιν ὡς εἴη τεθνηκώς· στασιάσ δὲ οἱ Θηβαῖοι πρὸς τὸν δυνάστην Κρέοντα, Λύκον ἐκ τῆς Εὐβοίας κατήγαγον * * **

# ΗΡΑΚΛΗΣ ΜΑΙΝΟΜΕΝΟΣ.

*ΑΜΦΙΤΡΥΩΝ.*

Τίς τὸν Διὸς σύλλεκτρον οὐκ οἶδεν βροτῶν,
Ἀργεῖον Ἀμφιτρύων᾽, ὃν Ἀλκαῖός ποτε
ἔτικτ᾽ ὁ Περσέως, πατέρα τόνδ᾽ Ἡρακλέους;
ὃς τάσδε Θήβας ἔσχεν, ἔνθ᾽ ὁ γηγενὴς
σπαρτῶν στάχυς ἔβλαστεν, ὧν γένους Ἄρης
ἔσωσ᾽ ἀριθμὸν ὀλίγον, οἳ Κάδμου πόλιν
τεκνοῦσι παίδων παισίν. ἔνθεν ἐξέφυ
Κρέων, Μενοικέως παῖς, ἄναξ τῆσδε χθονός.
Κρέων δὲ Μεγάρας τῆσδε γίγνεται πατὴρ,
ἣν πάντες ὑμεναίοισι Καδμεῖοί ποτε
λωτῷ συνηλάλαξαν, ἡνίκ᾽ εἰς ἐμοὺς
δόμους ὁ κλεινὸς Ἡρακλῆς νιν ἤγετο.
λιπὼν δὲ Θήβας, οὗ κατῳκίσθην ἐγὼ,
Μεγάραν τε τήνδε πενθερούς τε παῖς ἐμὸς,
Ἀργεῖα τείχη καὶ Κυκλωπείαν πόλιν
ὠρέξατ᾽ οἰκεῖν, ἣν ἐγὼ φεύγω, κτανὼν
Ἠλεκτρύωνα· συμφορὰς δὲ τὰς ἐμὰς
ἐξευμαρίζων καὶ πάτραν οἰκεῖν θέλων,
καθόδου δίδωσι μισθὸν Εὐρυσθεῖ μέγαν
ἐξημερῶσαι γαῖαν, εἴθ᾽ Ἥρας ὕπο
κέντροις δαμασθεὶς εἴτε τοῦ χρεὼν μέτα.
καὶ τοὺς μὲν ἄλλους ἐξεμόχθησεν πόνους,
τὸ λοίσθιον δὲ Ταινάρου διὰ στόμα
βέβηκ᾽ ἐς Ἅιδου, τὸν τρισώματον κύνα
ἐς φῶς ἀνάξων, ἔνθεν οὐχ ἥκει πάλιν.
γέρων δὲ δή τίς ἐστι Καδμείων λόγος
ὡς ἦν πάρος Δίρκης τις εὐνήτωρ Λύκος,
τὴν ἑπτάπυργον τήνδε δεσπόζων πόλιν,
τὼ λευκοπώλω πρὶν τυραννῆσαι χθονὸς
Ἀμφίον᾽ ἠδὲ Ζῆθον, ἐκγόνω Διός.
οὑ ταυτὸν ὄνομα παῖς πατρὸς κεκλημένος,
Καδμεῖος οὐκ ὢν, ἀλλ᾽ ἀπ᾽ Εὐβοίας μολὼν,
κτείνει Κρέοντα, καὶ κτανὼν ἄρχει χθονὸς,
στάσει νοσοῦσαν τήνδ᾽ ἐπεσπεσὼν πόλιν.
ἡμῖν δὲ κῆδος ἐς Κρέοντ᾽ ἀνημμένον
κακὸν μέγιστον, ὡς ἔοικε, γίγνεται.
τοὐμοῦ γὰρ ὄντος παιδὸς ἐν μυχοῖς χθονὸς,
ὁ κλεινὸς οὗτος τῆσδε γῆς ἄρχων Λύκος
τοὺς Ἡρακλείους παῖδας ἐξελεῖν θέλει
κτανὼν δάμαρτά θ᾽, ὡς φόνῳ σβέσῃ φόνον,
κἄμ᾽, εἴ τι δὴ χρὴ κἄμ᾽ ἐν ἀνδράσιν λέγειν,
γέροντ᾽ ἀχρεῖον, μή ποθ᾽ οἵδ᾽ ἠνδρωμένοι
μήτρωσιν ἐκπράξωσιν αἵματος δίκην.
ἐγὼ δὲ, λείπει γάρ με τοῖσδ᾽ ἐν δώμασι
τροφὸν τέκνων οἰκουρὸν, ἡνίκα χθονὸς
μέλαιναν ὄρφνην εἰσέβαινε παῖς ἐμὸς,
σὺν μητρὶ, τέκνα μὴ θάνωσ᾽ Ἡρακλέους,
βωμὸν καθίζω τόνδε σωτῆρος Διὸς,
ὃν καλλινίκου δορὸς ἄγαλμ᾽ ἱδρύσατο
Μινύας κρατήσας οὑμὸς εὐγενὴς τόκος.
πάντων δὲ χρεῖοι τάσδ᾽ ἕδρας φυλάσσομεν,
σίτων, ποτῶν, ἐσθῆτος, ἀστρώτῳ πέδῳ
πλευρὰς τιθέντες· ἐκ γὰρ ἐσφραγισμένοι
δόμων καθήμεθ᾽ ἀπορίᾳ σωτηρίας.
φίλων δὲ τοὺς μὲν οὐ σαφεῖς ὁρῶ φίλους,
οἱ δ᾽ ὄντες ὀρθῶς ἀδύνατοι προσωφελεῖν.
τοιοῦτον ἀνθρώποισιν ἡ δυσπραξία,
ἧς μήποθ᾽, ὅστις καὶ μέσως εὔνους ἐμοὶ,
τύχοι, φίλων ἔλεγχον ἀψευδέστατον.

*ΜΕΓΑΡΑ.*

ὦ πρέσβυ, Ταφίων ὅς ποτ᾽ ἐξεῖλες πόλιν,
στρατηλατήσας κλεινὰ Καδμείων δορὸς,
ὡς οὐδὲν ἀνθρώποισι τῶν θεῶν σαφές.
ἐγὼ γὰρ οὔτ᾽ ἐς πατέρ᾽ ἀπηλάθην τύχης,
ὃς οὕνεκ᾽ ὄλβου μέγας ἐκομπάσθη ποτὲ,
ἔχων τυραννίδ᾽, ἧς μακραὶ λόγχαι πέρι
πηδῶσ᾽ ἔρωτι σώματ᾽ εἰς εὐδαίμονα,
ἔχων δὲ τέκνα· κἄμ᾽ ἔδωκε παιδὶ σῷ,
ἐπίσημον εὐνὴν Ἡρακλεῖ συνοικίσας.
καὶ νῦν ἐκεῖνα μὲν θανόντ᾽ ἀνέπτατο·
ἐγὼ δὲ καὶ σὺ μέλλομεν θνήσκειν, γέρον,
οἵ θ᾽ Ἡράκλειοι παῖδες, οὓς ὑπὸ πτεροῖς
σώζω νεοσσοὺς ὄρνις ὣς ὑφειμένη.
οἱ δ᾽ εἰς ἔλεγχον ἄλλος ἄλλοθεν πίτνων,
ὦ μῆτερ, αὐδᾷ, ποῦ πατὴρ ἄπεστι γῆς;
τί δρᾷ; πόθ᾽ ἥξει; τῷ νέῳ δ᾽ ἐσφαλμένοι
ζητοῦσι τὸν τεκόντ᾽· ἐγὼ δὲ διαφέρω
λόγοισι μυθεύουσα. θαυμάζω δ᾽, ὅταν
πύλαι ψοφῶσι, πᾶς τ᾽ ἀνίστησιν πόδα,
ὡς πρὸς πατρῷον προσπεσούμενοι γόνυ.
νῦν οὖν τίν᾽ ἐλπίδ᾽ ἢ πόρον σωτηρίας
ἐξευμαρίζει, πρέσβυ; πρὸς σὲ γὰρ βλέπω.
ὡς οὔτε γαίας ὅρι᾽ ἂν ἐκβαῖμεν λάθρα·
φυλακαὶ γὰρ ἡμῶν κρείσσονες κατ᾽ ἐξόδους·
οὔτ᾽ ἐν φίλοισιν ἐλπίδες σωτηρίας
ἔτ᾽ εἰσὶν ἡμῖν. ἥντιν᾽ οὖν γνώμην ἔχεις
λέγ᾽ ἐς τὸ κοινὸν, μὴ θανεῖν ἕτοιμον ᾖ,
χρόνον δὲ μηκύνωμεν ὄντες ἀσθενεῖς.

*ΑΜΦΙΤΡΥΩΝ.*

ὦ θύγατερ, οὔτοι ῥᾴδιον τὰ τοιάδε
φαύλως παραινεῖν σπουδάσαντ᾽ ἄνευ πόνου.

*ΜΕΓΑΡΑ.*

λύπης τι προσδεῖς ἢ φιλεῖς οὕτω φάος;

*ΑΜΦΙΤΡΥΩΝ.*

καὶ τῷδε χαίρω καὶ φιλῶ τὰς ἐλπίδας.

*ΜΕΓΑΡΑ.*

κἀγώ· δοκεῖν δὲ τἀδόκητ᾽ οὐ χρὴ, γέρον.

*ΑΜΦΙΤΡΥΩΝ.*

ἐν ταῖς ἀναβολαῖς τῶν κακῶν ἔνεστ᾽ ἄκη.

*ΜΕΓΑΡΑ.*

ὁ δ᾽ ἐν μέσῳ με λυπρὸς ὢν δάκνει χρόνος.

ΑΜΦΙΤΡΥΩΝ.

γένοιτό τἂν, ὦ θύγατερ, οὔριος δρόμος
ἐκ τῶν παρόντων τῶνδ' ἐμοὶ καὶ σοὶ κακῶν,
ἔλθοι τ' ἔτ' ἂν παῖς οὑμὸς, εὐνήτωρ δὲ σός.
ἀλλ' ἡσύχαζε καὶ δακρυρρόους τέκνων
πηγὰς ἀφαίρει καὶ παρευκήλει λόγοις,
κλέπτουσα μύθοις ἀθλίους κλοπὰς ὅμως.
κάμνουσι γάρτοι καὶ βροτῶν αἱ συμφοραὶ,
καὶ πνεύματ' ἀνέμων οὐκ ἀεὶ ῥώμην ἔχει,
οἵ τ' εὐτυχοῦντες διὰ τέλους οὐκ εὐτυχεῖς·
ἐξίσταται γὰρ πάντ' ἀπ' ἀλλήλων δίχα.
οὗτος δ' ἀνὴρ ἄριστος ὅστις ἐλπίσι
πέποιθεν ἀεί· τὸ δ' ἀπορεῖν ἀνδρὸς κακοῦ.

ΧΟΡΟΣ.

ὑπώροφα μέλαθρα
καὶ γεραιὰ δέμνι', ἀμφὶ βάκτροις
ἔρεισμα θέμενος, ἐστάλην ἰηλέμων
γόων ἀοιδὸς, ὥστε πολιὸς ὄρνις,
ἔπεα μόνον καὶ δόκημα νυκτερωπὸν
ἐννύχων ὀνείρων,
τρομερὰ μὲν, ἀλλ' ὅμως πρόθυμα
ὦ τέκεα πατρὸς ἀπάτορ', ὦ
γεραιὲ, σύ τε, τάλαινα μᾶ-
τερ, ἃ τὸν Ἀΐδα δόμοις
πόσιν ἀναστενάζεις.
μὴ προκάμητε πόδα
βαρύ τε κῶλον, ὥστε προς πετραῖον
λέπας ζυγηφόρον πῶλον ἀνέντες· ὡς
βάρος φέρων τροχηλάτοιο κώλου,
λαβοῦ χερῶν καὶ πέπλων, ὅτου λέλοιπε
ποδὸς ἀμαυρὸν ἴχνος·
γέρων γέροντα παρακόμιζε,
τὸ πάρος ἐν ἡλίκων πόνοις
ᾧ ξύνοπλα δόρατα νέα νέῳ
ξυνῆν ποτ', εὐκλεεστάτας
πατρίδος οὐκ ὀνείδη.
ἴδετε, πατρὸς ὡς
γοργῶπες αἵδε προσφερεῖς
ὀμμάτων αὐγαί.
τὸ δὲ δὴ κακοτυχὲς οὐ λέλοιπεν ἐκ τέκνων,
οὐδ' ἀποίχεται χάρις.
Ἑλλὰς ὦ ξυμμάχους
οἵους οἵους ὀλέσασα
τούσδ' ἀποστερήσει.
ἀλλ' εἰσορῶ γὰρ τῆσδε κοίρανον χθονὸς
Λύκον περῶντα τῶνδε δωμάτων πέλας.

ΛΥΚΟΣ.

τὸν Ἡράκλειον πατέρα καὶ ξυνάορον,
εἰ χρή μ', ἐρωτῶ· χρὴ δ', ἐπεί γε δεσπότης
ὑμῶν καθέστηχ', ἱστορεῖν ἃ βούλομαι.
τίν' ἐς χρόνον ζητεῖτε μηκῦναι βίον;
τίν' ἐλπίδ' ἀλκήν τ' εἰσορᾶτε μὴ θανεῖν;
ἢ τὸν παρ' Ἅιδῃ πατέρα τῶνδε κείμενον
πιστεύεθ' ἥξειν; ὡς ὑπὲρ τὴν ἀξίαν
τὸ πένθος αἴρεσθ', εἰ θανεῖν ὑμᾶς χρεὼν,
σὺ μὲν καθ' Ἑλλάδ' ἐκβαλὼν κόμπους κενοὺς
ὡς σύγγαμός σοι Ζεὺς τέκοι νέον θεὸν,
σὺ δ' ὡς ἀρίστου φωτὸς ἐκλήθης δάμαρ.
τί δὴ τὸ σεμνὸν σῷ κατείργασται πόσει,

107 — 118. = 119 — 130.

ὕδραν ἕλειον εἰ διώλεσε κτανὼν
ἢ τὸν Νέμειον θῆρ'; ὃν ἐν βρόχοις ἑλὼν
βραχίονός φησ' ἀγχόναισιν ἐξελεῖν.
τοῖσδ' ἐξαγωνίζεσθε; τῶνδ' ἄρ' οὕνεκεν
τοὺς Ἡρακλείους παῖδας οὐ θνήσκειν χρεών;
ὃς ἔσχε δόξαν οὐδὲν ὢν εὐψυχίας,
θηρῶν ἐν αἰχμῇ, τἄλλα δ' οὐδὲν ἄλκιμος,
ὃς οὔποτ' ἀσπίδ' ἔσχε πρὸς λαιᾷ χερὶ,
οὐδ' ἦλθε λόγχης ἐγγὺς, ἀλλὰ τόξ' ἔχων,
κάκιστον ὅπλον, τῇ φυγῇ πρόχειρος ἦν.
ἀνδρὸς δ' ἔλεγχος οὐχὶ τόξ' εὐψυχίας,
ἀλλ' ὃς μένων βλέπει τε κἀντιδέρκεται
δορὸς ταχεῖαν ἄλοκα τάξιν ἐμβεβώς.
ἔχει δὲ τοὐμὸν οὐκ ἀναίδειαν, γέρον,
ἀλλ' εὐλάβειαν· οἶδα γὰρ κατακτανὼν
Κρέοντα, πατέρα τῆσδε, καὶ θρόνους ἔχων.
οὔκουν τραφέντων τῶνδε τιμωροὺς ἐμοὺς
χρῄζω λιπέσθαι τῶν δεδραμένων δίκην.

ΑΜΦΙΤΡΥΩΝ.

τῷ τοῦ Διὸς μὲν Ζεὺς ἀμυνέτω μέρει
παιδός· τὸ δ' εἰς ἔμ', Ἡράκλεις, ἐμοὶ μέλει
λόγοισι τὴν τοῦδ' ἀμαθίαν ὑπὲρ σέθεν
δεῖξαι· κακῶς γάρ σ' οὐκ ἐατέον κλύειν.
πρῶτον μὲν οὖν τἄρρητ', ἐν ἀρρήτοισι γὰρ
τὴν σὴν νομίζω δειλίαν, Ἡράκλεες,
σὺν μάρτυσιν θεοῖς δεῖ μ' ἀπαλλάξαι σέθεν.
Διὸς κεραυνὸν δ' ἠρόμην τέθριππά τε,
ἐν οἷς βεβηκὼς τοῖσι γῆς βλαστήμασι
Γίγασι πλευροῖς πτήν' ἐναρμόσας βέλη,
τὸν καλλίνικον μετὰ θεῶν ἐκώμασε·
τετρασκελές θ' ὕβρισμα Κενταύρων γένος,
Φολόην ἐπελθὼν, ὦ κάκιστε βασιλέων,
ἐροῦ τίν' ἄνδρ' ἄριστον ἐγκρίναιεν ἂν,
ἢ οὐ παῖδα τὸν ἐμὸν, ὃν σὺ φῂς εἶναι δοκεῖν
Δίρφυν δ' ἐρωτῶν, ἥ σ' ἔθρεψ', Ἀβαντίδα,
οὐκ ἂν ἐπαινέσειεν· οὐ γὰρ ἔσθ' ὅπου
ἐσθλόν τι δράσας μάρτυρ' ἂν λάβοις πάτραν.
τὸ πάνσοφον δ' εὕρημα, τοξήρη σάγην,
μέμφει· κλύων νῦν τἀπ' ἐμοῦ σοφὸς γενοῦ.
ἀνὴρ ὁπλίτης δοῦλός ἐστι τῶν ὅπλων,
καὶ τοῖσι συνταχθεῖσιν οὖσι μὴ 'γαθοῖς
αὐτὸς τέθνηκε δειλίᾳ τῇ τῶν πέλας,
θραύσας τε λόγχην οὐκ ἔχει τῷ σώματι
θάνατον ἀμῦναι, μίαν ἔχων ἀλκὴν μόνον·
ὅσοι δὲ τόξοις χεῖρ' ἔχουσιν εὔστοχον,
ἓν μὲν τὸ λῷστον, μυρίους οἰστοὺς ἀφεὶς
ἄλλοις τὸ σῶμα ῥύεται μὴ κατθανεῖν,
ἑκὰς δ' ἀφεστὼς πολεμίους ἀμύνεται,
τυφλοῖς ὁρῶντας οὐτάσας τοξεύμασι,
τὸ σῶμά τ' οὐ δίδωσι τοῖς ἐναντίοις,
ἐν εὐφυλάκτῳ δ' ἐστί· τοῦτο δ' ἐν μάχῃ
σοφὸν μάλιστα, δρῶντα πολεμίους κακῶς
σώζειν τὸ σῶμα, μὴ 'κ τύχης ὡρμισμένους.
λόγοι μὲν οἵδε τοῖσι σοῖς ἐναντίαν
γνώμην ἔχουσι τῶν καθεστώτων πέρι.
παῖδας δὲ δὴ τί τούσδ' ἀποκτεῖναι θέλεις;
τί σ' οἵδ' ἔδρασαν; ἕν τί σ' ἡγοῦμαι σοφὸν
εἰ τῶν ἀρίστων τἄκγον' αὐτὸς ὢν κακὸς
δέδοικας. ἀλλὰ τοῦθ' ὅμως ἡμῖν βαρὺ,
εἰ δειλίας σῆς κατθανούμεθ' οὕνεκα.

ὃ χρῆν σ' ὑφ' ἡμῶν τῶν ἀμεινόνων παθεῖν,
εἰ Ζεὺς δικαίας εἶχεν εἰς ἡμᾶς φρένας.
εἰ δ' οὖν ἔχειν γῆς σκῆπτρα τῆσδ' αὐτὸς θέλεις,
ἔασον ἡμᾶς φυγάδας ἐξελθεῖν χθονός·
βίᾳ δὲ δράσῃς μηδὲν, ἢ πείσει βίαν,
ὅταν θεός σοι πνεῦμα μεταβαλὼν τύχῃ.
φεῦ·
ὦ γαῖα Κάδμου, καὶ γὰρ ἐς σ' ἀφίξομαι
λόγους ὀνειδιστῆρας ἐνδατούμενος,
τοιαῦτ' ἀμύνεθ' Ἡρακλεῖ τέκνοισί τε;
ὃς εἷς Μινύαισι πᾶσι διὰ μάχης μολὼν
Θήβαις ἔθηκεν ὄμμ' ἐλεύθερον βλέπειν.
οὐδ' Ἑλλάδ' ᾔνεσ', οὐδ' ἀνέξομαί ποτε
σιγῶν, κακίστην λαμβάνων ἐς παῖδ' ἐμὸν,
ἣν χρῆν νεοσσοῖς τοῖσδε πῦρ, λόγχας, ὅπλα
φέρουσαν ἐλθεῖν, ποντίων καθαρμάτων
χέρσου τ' ἀμοιβὰς, ὧν ἐμόχθησεν χάριν.
τὰ δ' οὐ, τέκν', ὑμῖν οὔτε Θηβαίων πόλις
οὔθ' Ἑλλὰς ἀρκεῖ· πρὸς δ' ἔμ' ἀσθενῆ φίλον
δεδόρκατ', οὐδὲν ὄντα πλὴν γλώσσης ψόφον.
ῥώμη γὰρ ἐκλέλοιπεν ἣν πρὶν εἴχομεν·
γήρᾳ δὲ τρομερὰ γυῖα κἀμαυρὸν σθένος.
εἰ δ' ἦν νέος τε κἄτι σώματος κρατῶν,
λαβὼν ἂν ἔγχος τοῦδε τοὺς ξανθοὺς πλόκους
καθῃμάτωσ' ἂν, ὥστ' Ἀτλαντικῶν πέρα
φεύγειν ὅρων ἂν δειλίᾳ τοὐμὸν δόρυ.

ΧΟΡΟΣ.

ἆρ' οὐκ ἀφορμὰς τοῖς λόγοισιν ἀγαθοὶ
θνητῶν ἔχουσι, κἂν βραδύς τις ᾖ λέγειν;

ΛΥΚΟΣ.

σὺ μὲν λέγ' ἡμᾶς οἷς πεπύργωσαι λόγοις,
ἐγὼ δὲ δράσω σ' ἀντὶ τῶν λόγων κακῶς.
ἄγ', οἱ μὲν Ἑλικῶν', οἱ δὲ Παρνασοῦ πτύχας
τέμνειν ἄνωχθ' ἐλθόντας ὑλουργοὺς δρυὸς
κορμούς· ἐπειδὰν δ' ἐσκομισθῶσιν πόλει,
βωμὸν πέριξ νήσαντες ἀμφήρη ξύλα
ἐμπίμπρατ' αὐτῶν καὶ πυροῦτε σώματα
πάντων, ἵν' εἰδῶσ' οὕνεκ' οὐχ ὁ κατθανὼν
κρατεῖ χθονὸς τῆσδ', ἀλλ' ἐγὼ τὰ νῦν τάδε.
ὑμεῖς δὲ πρέσβεις ταῖς ἐμαῖς ἐναντίοι
γνώμαισιν ὄντες, οὐ μόνον στενάξετε
τοὺς Ἡρακλείους παῖδας, ἀλλὰ καὶ δόμου
τύχας, ὅταν πάσχῃ τι, μεμνήσεσθε δὲ
δοῦλοι γεγῶτες τῆς ἐμῆς τυραννίδος.

ΧΟΡΟΣ.

ὦ γῆς λοχεύμαθ', οὓς Ἄρης σπείρει ποτὲ
λάβρον δράκοντος ἐξερημώσας γένυν,
οὐ σκῆπτρα, χειρὸς δεξιᾶς ἐρείσματα,
ἀρεῖτε, καὶ τοῦδ' ἀνδρὸς ἀνόσιον κάρα
καθαιματώσεθ'; ὅστις οὐ Καδμεῖος ὢν
ἄρχει κάκιστος τῶν νέων ἔπηλυς ὤν;
ἀλλ' οὐκ ἐμοῦ γε δεσπόσεις χαίρων ποτὲ,
οὐδ' ἁπόνησα πόλλ' ἐγὼ καμὼν χερὶ
ἕξεις, ἀπέρρων δ' ἔνθεν ἦλθες ἐνθάδε,
ὕβριζ'· ἐμοῦ γὰρ ζῶντος οὐ κτενεῖς ποτε
τοὺς Ἡρακλείους παῖδας· οὐ τοσόνδε γῆς
ἔνερθ' ἐκεῖνος κρύπτεται λιπὼν τέκνα.
ἐπεὶ σὺ μὲν γῆν τήνδε διολέσας ἔχεις,
ὁ δ' ὠφελήσας ἀξίων οὐ τυγχάνει·
κἄπειτα πράσσω πόλλ' ἐγὼ, φίλους ἐμοὺς
θανόντας εὖ δρῶν οὗ φίλων μάλιστα δεῖ;
ὦ δεξιὰ χεὶρ, ὡς ποθεῖς λαβεῖν δόρυ,
ἐν δ' ἀσθενείᾳ τὸν πόθον διώλεσας.
ἐπεί σ' ἔπαυσ' ἂν δοῦλον ἐννέποντά με,
καὶ τάσδε Θήβας εὐκλεῶς ᾠκήσαμεν,
ἐν αἷς σὺ χαίρεις. οὐ γὰρ εὖ φρονεῖ πόλις
στάσει νοσοῦσα καὶ κακοῖς βουλεύμασιν·
οὐ γάρ ποτ' ἂν σὲ δεσπότην ἐκτήσατο.

ΜΕΓΑΡΑ.

γέροντες, αἰνῶ· τῶν φίλων γὰρ οὕνεκα
ὀργὰς δικαίας τοὺς φίλους ἔχειν χρεών·
ἡμῶν δ' ἕκατι δεσπόταις θυμούμενοι
πάθητε μηδέν. τῆς δ' ἐμῆς, Ἀμφιτρύων,
γνώμης ἄκουσον, ἤν τί σοι δοκῶ λέγειν.
ἐγὼ φιλῶ μὲν τέκνα· πῶς γὰρ οὐ φιλῶ
ἅτικτον, ἁμόχθησα; καὶ τὸ κατθανεῖν
δεινὸν νομίζω· τῷ δ' ἀναγκαίῳ τρόπῳ
ὃς ἀντιτείνει, σκαιὸν ἡγοῦμαι βροτόν.
ἡμᾶς δ' ἐπειδὴ δεῖ θανεῖν, θνήσκειν χρεὼν
μὴ πυρὶ καταξανθέντας, ἐχθροῖσιν γέλων
διδόντας, οὑμοὶ τοῦ θανεῖν μεῖζον κακόν·
ὀφείλομεν γὰρ πολλὰ δώμασιν καλά.
σὲ μὲν δόκησις ἔλαβεν εὐκλεὴς δορὸς,
ὥστ' οὐκ ἀνεκτὸν δειλίας θανεῖν σ' ὕπο,
ὁὑμὸς δ' ἀμαρτύρητος εὐκλεὴς πόσις,
ὡς τούσδε παῖδας οὐκ ἂν ἐκσῶσαι θέλοι
δόξαν κακὴν λαβόντας· οἱ γὰρ εὐγενεῖς
κάμνουσι τοῖς αἰσχροῖσι τῶν τέκνων ὕπερ,
ἐμοί τε μίμημ' ἀνδρὸς οὐκ ἀπωστέον.
σκέψαι δὲ τὴν σὴν ἐλπίδ', ᾗ λογίζομαι.
ἥξειν νομίζεις παῖδα σὸν γαίας ὕπο·
καὶ τίς θανόντων ἦλθεν ἐξ Ἅιδου πάλιν;
ἀλλ' ὡς λόγοισι τόνδε μαλθάξαιμεν ἄν·
ἥκιστα· φεύγειν σκαιὸν ἄνδρ' ἐχθρὸν χρεὼν,
σοφοῖσι δ' εἴκειν καὶ τεθραμμένοις καλῶς·
ῥᾷον γὰρ αἰδοῦς ὑποβαλὼν φίλ' ἂν τύχοις.
ἤδη δ' ἐσῆλθέ μ' εἰ παραιτησαίμεθα
φυγὰς τέκνων τῶνδ'· ἀλλὰ καὶ τόδ' ἄθλιον,
πενίᾳ σὺν οἰκτρᾷ περιβαλεῖν σωτηρίαν·
ὡς τὰ ξένων πρόσωπα φεύγουσιν φίλοις
ἓν ἦμαρ ἡδὺ βλέμμ' ἔχειν φασὶν μόνον.
τόλμα μεθ' ἡμῶν θάνατον, ὃς μένει σ' ὅμως.
προκαλούμεθ' εὐγένειαν, ὦ γέρον, σέθεν·
τὰς τῶν θεῶν γὰρ ὅστις ἐκμοχθεῖν τύχας
πρόθυμός ἐστιν, ἡ προθυμία δ' ἄφρων·
ὃ χρὴ γὰρ οὐδεὶς μὴ χρεὼν θήσει ποτέ.

ΧΟΡΟΣ.

εἰ μὲν σθενόντων τῶν ἐμῶν βραχιόνων
ἦν τίς σ' ὑβρίζων, ῥᾳδίως ἐπαύσατ' ἄν·
νῦν δ' οὐδέν ἐσμεν· σὸν δὲ τοὐντεῦθεν σκοπεῖν
ὅπως διώσει τὰς τύχας, Ἀμφιτρύων.

ΑΜΦΙΤΡΥΩΝ.

οὔτοι τὸ δειλὸν οὐδὲ τοῦ βίου πόθος
θανεῖν ἐρύκει μ', ἀλλὰ παιδὶ βούλομαι
σῶσαι τέκν'· ἄλλως δ' ἀδυνάτων ἔοικ' ἐρᾶν.
ἰδοὺ πάρεστιν ἥδε φασγάνῳ δέρη
κεντεῖν, φονεύειν, ἱέναι πέτρας ἄπο·
μίαν δὲ νῷν δὸς χάριν, ἄναξ, ἱκνούμεθα.
κτεῖνόν με καὶ τήνδ' ἀθλίαν παίδων πάρος,
ὡς μὴ τέκν' εἰσίδωμεν, ἀνόσιον θέαν,

ψυχορραγοῦντα καὶ καλοῦντα μητέρα
πατρός τε πατέρα· τἄλλα δ' ἢ πρόθυμος εἶ
πρᾶσσ'· οὐ γὰρ ἀλκὴν ἔχομεν ὥστε μὴ θανεῖν.

ΜΕΓΑΡΑ.

κἀγώ σ' ἱκνοῦμαι χάριτι προσθεῖναι χάριν,
ἡμῖν ἵν' ἀμφοῖν εἷς ὑπουργήσῃς διπλᾶ·
κόσμον πάρες μοι παισὶ προσθεῖναι νεκρῶν,
δόμους ἀνοίξας· νῦν γὰρ ἐκκεκλήμεθα·
ὡς ἀλλὰ ταῦτά γ' ἀπολάχωσ' οἴκων πατρός.

ΛΥΚΟΣ.

ἔσται τάδ'· οἴγειν κλῇθρα προσπόλοις λέγω.
κοσμεῖσθ' ἔσω μολόντες· οὐ φθονῶ πέπλων.
ὅταν δὲ κόσμον περιβάλησθε σώμασιν,
ἥξω πρὸς ὑμᾶς νερτέρᾳ δώσων χθονί.

ΜΕΓΑΡΑ.

ὦ τέκν', ὁμαρτεῖτ' ἀθλίῳ μητρὸς ποδὶ
πατρῷον ἐς μέλαθρον, οὗ τῆς οὐσίας
ἄλλοι κρατοῦσι, τὸ δ' ὄνομ' ἔσθ' ἡμῶν ἔτι.

ΑΜΦΙΤΡΥΩΝ.

ὦ Ζεῦ, μάτην ἄρ' ὁμόγαμόν σ' ἐκτησάμην,
μάτην δὲ παιδός τοι νεὼν ἐκλῄζομεν.
σὺ δ' ἦσθ' ἄρ' ἥσσων ἢ 'δόκεις εἶναι φίλος.
ἀρετῇ σε νικῶ θνητὸς ὢν θεὸν μέγαν.
παῖδας γὰρ οὐ προὔδωκα τοὺς Ἡρακλέους.
σὺ δ' ἐς μὲν εὐνὰς κρύφιος ἠπίστω μολεῖν,
τἀλλότρια λέκτρα δόντος οὐδενὸς λαβών,
σώζειν δὲ τοὺς σοὺς οὐκ ἐπίστασαι φίλους.
ἀμαθής τις εἶ θεός, ἢ δίκαιος οὐκ ἔφυς.

ΧΟΡΟΣ.

αἴλινον μὲν ἐπ' εὐτυχεῖ
μολπᾷ Φοῖβος ἰαχεῖ,
τὰν καλλίφθογγον κιθάραν
ἐλαύνων πλήκτρῳ χρυσέῳ·
ἐγὼ δὲ τὸν γᾶς ἐνέρων τ' ἐς ὄρφναν
μολόντα, παῖδ' εἴτε Διός νιν εἴπω
εἴτ' Ἀμφιτρύωνος ἶνιν,
ὑμνῆσαι, στεφάνωμα μό-
χθων, δι' εὐλογίας θέλω.
γενναίων δ' ἀρεταὶ πόνων
τοῖς θανοῦσιν ἄγαλμα.
πρῶτον μὲν Διὸς ἄλσος
ἠρήμωσε λέοντος,
πυρσοῦ δ' ἀμφεκαλύφθη
ξανθὸν κρᾶτ' ἐπινωτίσας
δεινῷ χάσματι θηρός·
τάν τ' ὀρεινόμον ἀγρίων
Κενταύρων ποτὲ γένναν
ἔτρωσεν τόξοις φονίοις,
ἐναίρων πτανοῖς βέλεσιν.
ξύνοιδε Πηνειὸς ὁ καλλιδίνας
μακραί τ' ἄρουραι πεδίων ἄκαρποι
καὶ Πηλιάδες θεράπναι
σύγχορτοί θ' Ὁμόλας ἔναυ-
λοι, πεύκαισιν ὅθεν χέρας
πληροῦντες χθόνα Θεσσαλῶν
ἱππείαις ἐδάμαζον·
τάν τε χρυσοκάρανον
δόρκαν ποικιλόνωτον,
συλήτειραν ἀγρωστᾶν

348—363. == 364—379.

κτείνας, θηροφόνον θεὰν
Οἰνωᾶτιν ἀγάλλει·
τεθρίππων τ' ἐπέβα
καὶ ψαλίοις ἐδάμασε πώλους
Διομήδεος, οἳ φονίαισι φάτναις ἀχάλιν' ἐθόαζον
κάθαιμα σῖτα γένυσι, χαρ-
μοναῖσιν ἀνδροβρῶσι δυστράπεζοι·
πέραν δ' ἀργυρορρύταν Ἕβρον
ἐκπέρασεν ὄχθαν,
Μυκηναίῳ πονῶν τυράννῳ,
τάν τε Πηλιάδ' ἀκτὰν
Ἀναύρου παρὰ πηγάς·
Κύκνον τε ξεινοδαίκταν
τόξοις ὤλεσεν, Ἀμφαναί-
ας οἰκήτορ' ἄμικτον·
ὑμνῳδούς τε κόρας
ἤλυθεν ἑσπέριον ἐς αὐλάν,
χρυσέων πετάλων ἄπο μηλοφόρον χερὶ καρπὸν
ἀμέρξων,
δράκοντα πυρσόνωτον, ὅς
ἄπλατον ἀμφελικτὸς ἕλικ' ἐφρούρει,
κτανών· ποντίας θ' ἁλὸς μυχοὺς
εἰσέβαινε, θνατοῖς
γαλανείας τιθεὶς ἐρετμοῖς·
οὐρανοῦ θ' ὑπὸ μέσσαν
ἐλαύνει χέρας ἕδραν,
Ἄτλαντος δόμον ἐλθών·
ἀστρωπούς τε κατέσχεν οἴ-
κους εὐανορίᾳ θεῶν·
τὸν ἱππευτάν τ' Ἀμαζόνων στρατὸν
Μαιῶτιν ἀμφὶ πολυπόταμον
ἔβα δι' Εὔξεινον οἶδμα λίμνας,
τίν' οὐκ ἀφ' Ἑλλανίας
ἄγορον ἁλίσας φίλων,
κόρας Ἀρείας πέπλων
χρυσεόστολον φάρος,
ζωστῆρος ὀλεθρίους ἄγρας.
τὰ κλεινὰ δ' Ἑλλὰς ἔλαβε βαρβάρου κόρας
λάφυρα, καὶ σώζετ' ἐν Μυκήναις.
τάν τε μυριόκρανον
πολύφονον κύνα Λέρνας
ὕδραν ἐξεπύρωσεν
βέλεσί τ' ἀμφέβαλλε,
τὸν τρισώματον οἷσιν ἔ-
κτα βοτῆρ' Ἐρυθείας.
δρόμων τ' ἄλλων ἀγάλματ' εὐτυχῆ
διῆλθε· τὸν πολυδάκρυον
ἔπλευσ' ἐς Ἅιδαν, πόνων τελευτάν,
ἵν' ἐκπεραίνει τάλας
βίοτον οὐδ' ἔβα πάλιν.
στέγαι δ' ἔρημοι φίλων,
τὰν δ' ἀνόστιμον τέκνων
Χάρωνος ἐπιμένει πλάτα
βίου κέλευθον ἄθεον, ἄδικον· εἰς δὲ σὰς
χέρας βλέπει δώματ' οὐ παρόντος.
εἰ δ' ἐγὼ σθένος ἥβων
δόρυ τ' ἔπαλλον ἐν αἰχμᾷ,
Καδμείων τε σύνηβοι,

380—393. == 394—407.
408—424. == 425—441.

τέκεσιν ἂν παρέσταν
ἀλκᾷ· νῦν δ' ἀπολείπομαι
τᾶς εὐδαίμονος ἥβας.
ἀλλ' ἐσορῶ γὰρ τούσδε φθιμένων
ἐνδύτ' ἔχοντας, τοὺς τοῦ μεγάλου
δήποτε παῖδας τὸ πρὶν Ἡρακλέους,
ἄλοχόν τε φίλην ὑπὸ σειραίοις
ποσὶν ἕλκουσαν τέκνα, καὶ γεραιὸν
πατέρ' Ἡρακλέους. δύστηνος ἐγὼ,
δακρύων ὡς οὐ δύναμαι κατέχειν
γραίας ὄσσων ἔτι πηγάς.

*ΜΕΓΑΡΑ.*

εἶεν· τίς ἱρεὺς, τίς σφαγεὺς τῶν δυσπότμων,
ἢ τῆς ταλαίνης τῆσδ' ἐμῆς ψυχῆς φονεύς;
ἕτοιμ' ἄγειν τὰ θύματ' εἰς Ἅιδου τάδε.
ὦ τέκν', ἀγόμεθα ζεῦγος οὐ καλὸν νεκρῶν,
ὁμοῦ γέροντες καὶ νέοι καὶ μητέρες.
ὦ μοῖρα δυστάλαιν' ἐμοῦ τε καὶ τέκνων
τῶνδ', οὓς πανύστατ' ὄμμασιν προσδέρκομαι.
ἔτεκον μὲν ὑμᾶς, πολεμίοις δ' ἐθρεψάμην
ὕβρισμα κἀπίχαρμα καὶ διαφθοράν.
φεῦ·
ἦ πολύ με δόξης ἐξέπαισαν ἐλπίδες,
ἣν πατρὸς ὑμῶν ἐκ λόγων ποτ' ἤλπισα.
σοὶ μὲν γὰρ Ἄργος ἔνεμ'. ὁ κατθανὼν πατὴρ,
Εὐρυσθέως δ' ἔμελλες οἰκήσειν δόμους,
τῆς καλλικάρπου κράτος ἔχων Πελασγίας,
στολήν τε θηρὸς ἀμφέβαλλε σῷ κάρᾳ
λέοντος, ἥπερ αὐτὸς ἐξωπλίζετο·
σὺ δ' ἦσθα Θηβῶν τῶν φιλαρμάτων ἄναξ,
ἔγκληρα πεδία τἀμὰ γῆς κεκτημένος,
ὡς ἐξέπειθες τὸν κατασπείραντά σε·
ἐς δεξιὰν δὲ σὴν ἀλεξητήριον
ξύλον καθίει, Δαιδάλου ψευδῆ δόσιν.
σοὶ δ' ἣν ἔπερσε τοῖς ἑκηβόλοις ποτὲ
τόξοισι δώσειν Οἰχαλίαν ὑπέσχετο.
τρεῖς δ' ὄντας ὑμᾶς τριπτύχοις τυραννίσι
πατὴρ ἐπύργου, μέγα φρονῶν εὐανδρίᾳ,
ἐγὼ δὲ νύμφας ἠκροθινιαζόμην,
κήδη συνάψουσ', ἔκ τ' Ἀθηναίων χθονὸς
Σπάρτης τε Θηβῶν θ' ὡς ἀνημμένοι κάλως
πρυμνησίοισι βίον ἔχοιτ' εὐδαίμονα.
καὶ ταῦτα φροῦδα· μεταβαλοῦσα δ' ἡ τύχη
νύμφας μὲν ὑμῖν Κῆρας ἀντέδωκ' ἔχειν,
ἐμοὶ δὲ δάκρυα λουτρά· δύστηνος φρενῶν.
πατὴρ δὲ πατρὸς ἑστιᾷ γάμους ὅδε,
Ἅιδην νομίζων πενθερὸν, κῆδος πικρόν.
ὤμοι, τίν' ὑμῶν πρῶτον ἢ τίν' ὕστατον
πρὸς στέρνα θῶμαι; τῷ προσαρμόσω στόμα;
τίνος λάβωμαι; πῶς ἂν ὡς ξουθόπτερος
μέλισσα συνενέγκαιμ' ἂν ἐκ πάντων γόους,
εἰς ἓν δ' ἐνεγκοῦσ' ἀθρόον ἀποδοίην δάκρυ.
ὦ φίλτατ', εἴ τις φθόγγον εἰσακούσεται
θνητῶν παρ' Ἅιδη, σοὶ τάδ', Ἡράκλεις, λέγω,
θνήσκει πατὴρ σὸς καὶ τέκν', ὄλλυμαι δ' ἐγὼ,
ἣ πρὶν μακαρία διὰ σ' ἐκληζόμην βροτοῖς.
ἄρηξον, ἐλθὲ, καὶ σκιὰ φάνηθί μοι·
ἅλις γὰρ ἐλθὼν ἱκανὸς ἂν γένοιο σύ·
κακοὶ γὰρ ἐς σέ γ', οἳ τέκνα κτείνουσι σά.

*ΑΜΦΙΤΡΥΩΝ.*

σὺ μὲν τὰ νέρθεν εὐτρεπῆ ποιοῦ, γύναι·
ἐγὼ δὲ σ', ὦ Ζεῦ, χεῖρ' ἐς οὐρανὸν δικὼν,
αὐδῶ, τέκνοισιν εἴ τι τοισίδ' ὠφελεῖν
μέλλεις, ἀμύνειν, ὡς τάχ' οὐδὲν ἀρκέσεις.
καίτοι κέκλησαι πολλάκις· μάτην πονῶ·
θανεῖν γὰρ, ὡς ἔοικ', ἀναγκαίως ἔχει.
ἀλλ', ὦ γέροντες, μικρὰ μὲν τὰ τοῦ βίου·
τοῦτον δ' ὅπως ἥδιστα διαπεράσετε,
ἐξ ἡμέρας ἐς νύκτα μὴ λυπούμενοι.
ὡς ἐλπίδας μὲν ὁ χρόνος οὐκ ἐπίσταται
σώζειν, τὸ δ' αὑτοῦ σπουδάσας διέπτατο.
ὁρᾶτέ μ', ὅσπερ ἦν περίβλεπτος βροτοῖς,
ὀνομαστὰ πράσσων, καί μ' ἀφείλεθ' ἡ τύχη
ὥσπερ πτερὸν πρὸς αἰθέρ' ἡμέρᾳ μιᾷ.
ὁ δ' ὄλβος ὁ μέγας ἥ τε δόξ' οὐκ οἶδ' ὅτῳ
βέβαιός ἐστι· χαίρετ'· ἄνδρα γὰρ φίλον
πανύστατον νῦν, ἥλικες, δεδόρκατε.

*ΜΕΓΑΡΑ.*

ἔα.
ὦ πρέσβυ, λεύσσω τἀμὰ φίλτατ'; ἢ τί φῶ;

*ΑΜΦΙΤΡΥΩΝ.*

οὐκ οἶδα, θύγατερ· ἀφασία δὲ κἄμ' ἔχει.

*ΜΕΓΑΡΑ.*

ὅδ' ἐστὶν ὃν γῆς νέρθεν εἰσηκούομεν,
εἰ μή γ' ὄνειρον ἐν φάει τι λεύσσομεν.
τί φημί; ποῖ' ὄνειρα κηραίνουσ' ὁρῶ;
οὐκ ἔσθ' ὅδ' ἄλλος ἀντὶ σοῦ παιδὸς, γέρον.
δεῦρ', ὦ τέκν', ἐκκρήμνασθε πατρῴων πέπλων,
ἴτ' ἐγκονεῖτε, μὴ μεθῆτ', ἐπεὶ Διὸς
σωτῆρος ὑμῖν οὐδέν ἐσθ' ὅδ' ὕστερος.

*ΗΡΑΚΛΗΣ.*

ὦ χαῖρε, μέλαθρον πρόπυλά θ' ἑστίας ἐμῆς,
ὡς ἄσμενός σ' ἐσεῖδον ἐς φάος μολών.
ἔα· τί χρῆμα; τέκν' ὁρῶ πρὸ δωμάτων
στολμοῖσι νεκρῶν κρᾶτας ἐξεστεμμένα,
ὄχλῳ τ' ἐν ἀνδρῶν τὴν ἐμὴν ξυνάορον
πατέρα τε δακρύοντα συμφορᾶς τινος.
φέρ' ἐκπύθωμαι τῶνδε πλησίον σταθεὶς
τί καινὸν ἦλθε τοῖσδε δώμασιν χρέος.

*ΑΜΦΙΤΡΥΩΝ.*

ὦ φίλτατ' ἀνδρῶν, ὦ φάος μολὼν πατρὶ,
ἥκεις, ἐσώθης εἰς ἀκμὴν ἐλθὼν φίλοις;

*ΗΡΑΚΛΗΣ.*

τί φής; τίν' ἐς ταραγμὸν ἥκομεν, πάτερ;

*ΜΕΓΑΡΑ.*

διολλύμεσθα· σὺ δὲ, γέρον, σύγγνωθί μοι,
εἰ πρόσθεν ἥρπασ' ἃ σὲ λέγειν πρὸς τόνδ' ἐχρῆν·
τὸ θῆλυ γάρ πως μᾶλλον οἰκτρὸν ἀρσένων,
καὶ τἄμ' ἔθνησκε τέκν', ἀπωλλύμην δ' ἐγώ.

*ΗΡΑΚΛΗΣ.*

Ἄπολλον, οἵοις φροιμίοις ἄρχει λόγου.

*ΜΕΓΑΡΑ.*

τεθνᾶσ' ἀδελφοὶ καὶ πατὴρ οὑμὸς γέρων.

*ΗΡΑΚΛΗΣ.*

πῶς φής; τί δράσας ἢ δορὸς ποίου τυχών;

*ΜΕΓΑΡΑ.*

Λύκος σφ' ὁ κλεινὸς γῆς ἄναξ διώλεσεν.

*ΗΡΑΚΛΗΣ.*

ὅπλοις ἀπαντῶν ἢ νοσησάσης χθονός;

ΜΕΓΑΡΑ.
στάσει τὸ Κάδμου γ' ἑπτάπυλον ἔχει κράτος.
ΗΡΑΚΛΗΣ.
τί δῆτα πρὸς σὲ καὶ γέροντ' ἦλθεν φόβος;
ΜΕΓΑΡΑ.
κτείνειν ἔμελλε πατέρα κἀμὲ καὶ τέκνα.
ΗΡΑΚΛΗΣ.
τί φῄς; τί ταρβῶν ὀρφάνευμ' ἐμῶν τέκνων;
ΜΕΓΑΡΑ.
μή ποτε Κρέοντος θάνατον ἐκτισαίατο.
ΗΡΑΚΛΗΣ.
κόσμος δὲ πέπλων τίς ὅδε νερτέροις πρέπων;
ΜΕΓΑΡΑ.
θανάτου τάδ' ἤδη περιβόλαι' ἀνήμμεθα.
ΗΡΑΚΛΗΣ.
καὶ πρὸς βίαν ἐθνήσκετ'; ὢ τλήμων ἐγώ.
ΜΕΓΑΡΑ.
φίλων ἔρημοι, σὲ δὲ θανόντ' ἠκούομεν.
ΗΡΑΚΛΗΣ.
πόθεν δ' ἐς ὑμᾶς ἥδ' ἐσῆλθ' ἀθυμία;
ΜΕΓΑΡΑ.
Εὐρυσθέως κήρυκες ἤγγελλον τάδε.
ΗΡΑΚΛΗΣ.
τί δ' ἐξελείπετ' οἶκον ἑστίαν τ' ἐμήν;
ΜΕΓΑΡΑ.
βίᾳ πατὴρ μὲν ἐκπεσὼν στρωτοῦ λέχους.
ΗΡΑΚΛΗΣ.
κοὐκ ἔσχεν αἰδῶ τὸν γέροντ' ἀτιμάσαι;
ΜΕΓΑΡΑ.
αἰδώς γ' ἀποικεῖ τῆσδε τῆς θεοῦ πρόσω.
ΗΡΑΚΛΗΣ.
οὕτω δ' ἀπόντες ἐσπανίζομεν φίλων;
ΜΕΓΑΡΑ.
φίλοι γάρ εἰσιν ἀνδρὶ δυστυχεῖ τίνες;
ΗΡΑΚΛΗΣ.
μάχας δὲ Μινυῶν, ἃς ἔτλην, ἀπέπτυσαν;
ΜΕΓΑΡΑ.
ἄφιλον, ἵν' αὖθίς σοι λέγω, τὸ δυστυχές.
ΗΡΑΚΛΗΣ.
οὐ ῥίψεθ' Ἅιδου τάσδε περιβολὰς κόμης,
καὶ φῶς ἀναβλέψεσθε, τοῦ κάτω σκότους
φίλας ἀμοιβὰς ὄμμασιν δεδορκότες;
ἐγὼ δὲ, νῦν γὰρ τῆς ἐμῆς ἔργον χερὸς,
πρῶτον μὲν εἶμι καὶ κατασκάψω δόμους
καινῶν τυράννων, κρᾶτα δ' ἀνόσιον τεμὼν
ῥίψω κυνῶν ἕλκημα· Καδμείων δ' ὅσους
κακοὺς ἐφεῦρον εὖ παθόντας ἐξ ἐμοῦ,
τῷ καλλινίκῳ τῷδ' ὅπλῳ χειρώσομαι,
τοὺς δὲ πτερωτοῖς διαφορῶν τοξεύμασι,
νεκρῶν ἅπαντ' Ἰσμηνὸν ἐμπλήσω φόνου,
Δίρκης τε νᾶμα λευκὸν αἱμαχθήσεται.
τῷ γάρ μ' ἀμύνειν μᾶλλον ἢ δάμαρτι χρὴ
καὶ παισὶ καὶ γέροντι; χαιρόντων πόνοι·
μάτην γὰρ αὐτοὺς τῶνδε μᾶλλον ἤνυσα.
καὶ δεῖ μ' ὑπὲρ τῶνδ', εἴπερ οἵδ' ὑπὲρ πατρὸς,
θνήσκειν ἀμύνοντ'· ἢ τί φήσομεν καλὸν
ὕδρᾳ μὲν ἐλθεῖν ἐς μάχην λέοντί τε
Εὐρυσθέως πομπαῖσι, τῶν δ' ἐμῶν τέκνων
οὐκ ἐκπονήσω θάνατον; οὐκ ἄρ' Ἡρακλῆς
ὁ καλλίνικος, ὡς πάροιθε, λέξομαι.

ΧΟΡΟΣ.
δίκαια τοὺς τεκόντας ὠφελεῖν τέκνα
πατέρα τε πρέσβυν τήν τε κοινωνὸν γάμων.
ΑΜΦΙΤΡΥΩΝ.
πρὸς σοῦ μὲν, ὦ παῖ, τοῖς φίλοις εἶναι φίλον
τά τ' ἐχθρὰ μισεῖν· ἀλλὰ μὴ 'πείγου λίαν.
ΗΡΑΚΛΗΣ.
τί δ' ἐστὶ τῶνδε θᾶσσον ἢ χρεὼν, πάτερ;
ΑΜΦΙΤΡΥΩΝ.
πολλοὺς πένητας, ὀλβίους δὲ τῷ λόγῳ
δοκοῦντας εἶναι, συμμάχους ἄναξ ἔχει,
οἳ στάσιν ἔθηκαν καὶ διώλεσαν πόλιν
ἐφ' ἁρπαγαῖσι τῶν πέλας, τὰ δ' ἐν δόμοις
δαπάναισι φροῦδα διαφυγόνθ' ὑπ' ἀργίας.
ὤφθης ἐπελθὼν πόλιν· ἐπεὶ δ' ὤφθης, ὅρα
ἐχθροὺς ἀθροίσας μὴ παρὰ γνώμην πέσῃς.
ΗΡΑΚΛΗΣ.
μέλει μὲν οὐδὲν εἴ με πᾶσ' εἶδεν πόλις·
ὄρνιν δ' ἰδών τιν' οὐκ ἐν αἰσίοις ἕδραις,
ἔγνων πόνον τιν' ἐς δόμους πεπτωκότα·
ὥστ' ἐκ προνοίας κρύφιος εἰσῆλθον χθόνα.
ΑΜΦΙΤΡΥΩΝ.
καλῶς προσελθὼν νῦν πρόσειπέ θ' ἑστίαν
καὶ δὸς πατρῴοις δώμασιν σὸν ὄμμ' ἰδεῖν.
ἥξει γὰρ αὐτὸς σὴν δάμαρτα καὶ τέκνα
ἕλξων, φονεύσων, κἄμ' ἐπισφάξων, ἄναξ.
μένοντι δ' αὐτοῦ πάντα σοι γενήσεται,
τῇ τ' ἀσφαλείᾳ κερδανεῖς· πόλιν τε σὴν
μὴ πρὶν ταράξῃς πρὶν τόδ' εὖ θέσθαι, τέκνον.
ΗΡΑΚΛΗΣ.
δράσω τάδ'· εὖ γὰρ εἶπας· εἶμ' εἴσω δόμων.
χρόνῳ δ' ἀνελθὼν ἐξ ἀνηλίων μυχῶν
Ἅιδου Κόρης τ' ἔνερθεν οὐκ ἀτιμάσω
θεοὺς προσειπεῖν πρῶτα τοὺς κατὰ στέγας.
ΑΜΦΙΤΡΥΩΝ.
ἦλθες γὰρ ὄντως δώματ' εἰς Ἅιδου, τέκνον;
ΗΡΑΚΛΗΣ.
καὶ θῆρά γ' ἐς φῶς τὸν τρίκρανον ἤγαγον.
ΑΜΦΙΤΡΥΩΝ.
μάχῃ κρατήσας ἢ θεᾶς δωρήμασιν;
ΗΡΑΚΛΗΣ.
μάχῃ· τὰ μυστῶν δ' ὄργι' εὐτύχησ' ἰδών.
ΑΜΦΙΤΡΥΩΝ.
ἦ καὶ κατ' οἴκους ἐστὶν Εὐρυσθέως ὁ θήρ;
ΗΡΑΚΛΗΣ.
Χθονίας νιν ἄλσος Ἑρμιών τ' ἔχει πόλις.
ΑΜΦΙΤΡΥΩΝ.
οὐδ' οἶδεν Εὐρυσθεύς σε γῆς ἥκοντ' ἄνω;
ΗΡΑΚΛΗΣ.
οὐκ οἶδ'· ἵν' ἐλθὼν τἀνθάδ' εἰδείην πάρος.
ΑΜΦΙΤΡΥΩΝ.
χρόνον δὲ πῶς τοσοῦτον ἦσθ' ὑπὸ χθονί;
ΗΡΑΚΛΗΣ.
Θησέα κομίζων ἐχρόνισ' ἐξ Ἅιδου, πάτερ.
ΑΜΦΙΤΡΥΩΝ.
καὶ ποῦ 'στιν; ἦ γῆς πατρίδος οἴχεται πέδον;
ΗΡΑΚΛΗΣ.
βέβηκ' Ἀθήνας, νέρθεν ἄσμενος φυγών.
ἀλλ' εἶ', ὁμαρτεῖτ', ὦ τέκν', ἐς δόμους πατρί.
καλλίονές τἄρ' εἴσοδοι τῶν ἐξόδων

πάρεισιν ὑμῖν. ἀλλὰ θάρσος ἴσχετε,
καὶ νάματ' ὄσσων μηκέτ' ἐξανίετε,
σύ τ', ὦ γύναι μοι, σύλλογον ψυχῆς λαβὲ
τρόμου τε παῦσαι, καὶ μέθεσθ' ἐμῶν πέπλων·
οὐ γὰρ πτερωτὸς, οὐδὲ φευξείω φίλους.
ἆ,
αἵδ' οὐκ ἀφιᾶσ', ἀλλ' ἀνάπτονται πέπλων
τοσῷδε μᾶλλον· ὧδ' ἔβητ' ἐπὶ ξυροῦ;
ἄξω λαβών γε τούσδ' ἐφολκίδας χεροῖν,
ναῦς δ' ὣς ἐφέλξω· καὶ γὰρ οὐκ ἀναίνομαι
θεράπευμα τέκνων. πάντα τἀνθρώπων ἴσα.
φιλοῦσι παῖδας οἵ τ' ἀμείνονες βροτῶν
οἵ τ' οὐδὲν ὄντες. χρήμασιν δὲ διάφοροι·
ἔχουσιν, οἱ δ' οὔ· πᾶν δὲ φιλότεκνον γένος.

ΧΟΡΟΣ.

ἁ νεότας μοι φίλον· ἄχθος δὲ τὸ γῆρας ἀεὶ
βαρύτερον Αἴτνας σκοπέλων
ἐπὶ κρατὶ κεῖται,
βλεφάρων σκοτεινὸν
φάρος ἐπικαλύψαν.
μή μοι μήτ' Ἀσιήτιδος
τυραννίδος ὄλβος εἴη,
μὴ χρυσοῦ δώματα πλήρη
τᾶς ἥβας ἀντιλαβεῖν,
ἃ καλλίστα μὲν ἐν ὄλβῳ,
καλλίστα δ' ἐν πενίᾳ.
τὸ δὲ λυγρὸν φόνιόν τε γῆ-
ρας μισῶ· κατὰ κυμάτων δ'
ἔρροι, μηδέ ποτ' ὤφελεν
θνατῶν δώματα καὶ πόλεις
ἐλθεῖν, ἀλλὰ κατ' αἰθέρ' ἀ-
εὶ πτεροῖσι φορείσθω.
εἰ δὲ θεοῖς ἦν ξύνεσις καὶ σοφία, κατ' ἄνδρα;
δίδυμον ἂν ἥβαν ἔφερον,
φανερὸν χαρακτῆρ'
ἀρετᾶς, ὅσοισιν
μέτα, καὶ θανόντες
εἰς αὐγὰς πάλιν ἁλίου
δισσοὺς ἂν ἔβαν διαύλους,
ἁ δυσγένεια δ' ἁπλᾶν ἂν
εἶχε ζόας βιοτὰν,
καὶ τῷδ' ἦν τούς τε κακοὺς ἂν
γνῶναι καὶ τοὺς ἀγαθοὺς,
ἴσον ἅτ' ἐν νεφέλαισιν ἄ-
στρων ναύταις ἀριθμὸς πέλει.
νῦν δ' οὐδεὶς ὅρος ἐκ θεῶν
χρηστοῖς οὐδὲ κακοῖς σαφὴς,
ἀλλ' εἱλισσόμενός τις αἰ-
ὼν πλοῦτον μόνον αὔξει.
οὐ παύσομαι τὰς Χάριτας
Μούσαις συγκαταμιγνὺς,
ἡδίσταν συζυγίαν.
μὴ ζῴην μετ' ἀμουσίας,
αἰεὶ δ' ἐν στεφάνοισιν εἴην.
ἔτι τοι γέρων ἀοιδὸς
κελαδεῖ Μναμοσύναν·
ἔτι τὰν Ἡρακλέους
καλλίνικον ἀείσω
παρά τε Βρόμιον οἰνοδόταν
παρά τε χέλυος ἑπτατόνου
μολπὰν καὶ Λίβυν αὐλόν·
οὔπω καταπαύσομεν
Μούσας, αἵ μ' ἐχόρευσαν.
παιᾶνα μὲν Δηλιάδες
ὑμνοῦσ', ἀμφὶ πύλας τὸν
Λατοῦς εὔπαιδα γόνον
εἱλίσσουσαι καλλίχορον·
παιᾶνας δ' ἐπὶ σοῖς μελάθροις
κύκνος ὣς γέρων ἀοιδὸς
πολιᾶν ἐκ γενύων
κελαδήσω· τὸ γὰρ εὖ
τοῖς ὕμνοισιν ὑπάρχει
Διὸς ὁ παῖς· τᾶς δ' εὐγενίας
πλέον ὑπερβάλλων *
μοχθήσας τὸν ἄκυμον
θῆκεν βίοτον βροτοῖς
πέρσας δείματα θηρῶν.

637—654. == 655—672.
673—686. == 687—700.

ΛΥΚΟΣ.

ἐς καιρὸν οἴκων, Ἀμφιτρύων, ἔξω περᾷς·
χρόνος γὰρ ἤδη δαρὸς ἐξ ὅτου πέπλοις
κοσμεῖσθε σῶμα καὶ νεκρῶν ἀγάλμασιν.
ἀλλ' εἶα, παῖδας καὶ δάμαρθ' Ἡρακλέους
ἔξω κέλευε τῶνδε φαίνεσθαι δόμων,
ἐφ' οἷς ὑπέστητ' αὐτεπάγγελτοι θανεῖν.

ΑΜΦΙΤΡΥΩΝ.

ἄναξ, διώκεις μ' ἀθλίως πεπραγότα,
ὕβριν θ' ὑβρίζεις ἐπὶ θανοῦσι τοῖς ἐμοῖς·
ἃ χρῆν σε μετρίως, κεἰ κρατεῖς, σπουδὴν ἔχειν.
ἐπεὶ δ' ἀνάγκην προστίθης ἡμῖν θανεῖν,
στέργειν ἀνάγκη, δραστέον δ' ἅ σοι δοκεῖ.

ΛΥΚΟΣ.

ποῦ δῆτα Μεγάρα; ποῦ τέκν' Ἀλκμήνης γόνου;

ΑΜΦΙΤΡΥΩΝ.

δοκῶ μὲν αὐτὴν, ὡς θύραθεν εἰκάσαι,

ΛΥΚΟΣ.

τί χρῆμα δόξης τῆσδ' ἔχεις τεκμήριον;

ΑΜΦΙΤΡΥΩΝ.

ἱκέτιν πρὸς ἁγνοῖς ἑστίας θάσσειν βάθροις.

ΛΥΚΟΣ.

ἀνόνητά γ' ἱκετεύουσαν ἐκσῶσαι βίον.

ΑΜΦΙΤΡΥΩΝ.

καὶ τὸν θανόντα γ' ἀνακαλεῖ μάτην πόσιν.

ΛΥΚΟΣ.

ὅδ' οὐ πάρεστιν, οὐδὲ μὴ μόλῃ ποτέ.

ΑΜΦΙΤΡΥΩΝ.

οὐκ, εἴ γε μή τις θεῶν ἀναστήσειέ νιν.

ΛΥΚΟΣ.

χώρει πρὸς αὐτὴν καὶ κόμιζ' ἐκ δωμάτων.

ΑΜΦΙΤΡΥΩΝ.

μέτοχος ἂν εἴην τοῦ φόνου δράσας τόδε.

ΛΥΚΟΣ.

ἡμεῖς, ἐπειδὴ σοὶ τόδ' ἔστ' ἐνθύμιον,
οἱ δειμάτων ἔξωθεν, ἐκπορεύσομεν
σὺν μητρὶ παῖδας. δεῦρ' ἕπεσθε, πρόσπολοι,
ὡς ἂν σχολὴν λύσωμεν ἄσμενοι πόνων.

ΑΜΦΙΤΡΥΩΝ.

σὺ δ' οὖν ἴθ', ἔρχει δ' οἷ χρεών· τὰ δ' ἄλλ' ἴσως
ἄλλῳ μελήσει. προσδόκα δὲ δρῶν κακῶς

κακόν τι πράξειν. ὦ γέροντες, ἐς καλὸν
στείχει, βρόχοισι δ᾽ ἀρκύων γενήσεται
ξιφηφόροισι, τοὺς πέλας δοκῶν κτενεῖν,
ὁ παγκάκιστος. εἶμι δ᾽, ὡς ἴδω νεκρὸν
πίπτοντ᾽· ἔχει γὰρ ἡδονὰς θνήσκων ἀνὴρ
ἐχθρὸς τίνων τε τῶν δεδραμένων δίκην.

ΧΟΡΟΣ.

μεταβολὰ κακῶν· μέγας ὁ πρόσθ᾽ ἄναξ
πάλιν ὑποστρέφει βίοτον εἰς Ἅιδαν.
ἰὼ δίκα καὶ θεῶν παλίρρους πότμος.
ἦλθες χρόνῳ μὲν οὗ δίκην δώσεις θανών,
ὕβρεις ὑβρίζων εἰς ἀμείνονας σέθεν.
χαρμοναὶ δακρύων ἔδοσαν ἐκβολάς·
πάλιν ἔμολεν ἃ πάρος οὔποτε διὰ φρενὸς
ἤλπισεν παθεῖν γᾶς ἄναξ.
ἀλλ᾽, ὦ γεραιέ, καὶ τὰ δωμάτων ἔσω
σκοπῶμεν, εἰ πράσσει τις ὡς ἐγὼ θέλω.

ΛΥΚΟΣ.

ἰώ μοί μοι.

ΧΟΡΟΣ.

τόδε κατάρχεται μέλος ἐμοὶ κλύειν
φίλιον ἐν δόμοις· θάνατος οὐ πρόσω.
βοᾷ φόνου φροίμιον στενάζων ἄναξ.

ΛΥΚΟΣ.

ὦ πᾶσα Κάδμου γαῖ᾽, ἀπόλλυμαι δόλῳ.

ΧΟΡΟΣ.

καὶ γὰρ διώλλυς· ἀντίποινα δ᾽ ἐκτίνων
τόλμα, διδούς γε τῶν δεδραμένων δίκην.
τίς ὁ θεοὺς ἀνομίᾳ χραίνων, θνητὸς ὤν,
ἄφρονα λόγον οὐρανίων μακάρων κατέβαλ᾽,
ὡς ἄρ᾽ οὐ σθένουσιν θεοί;
γέροντες, οὐκέτ᾽ ἔστι δυσσεβὴς ἀνήρ.
σιγᾷ μέλαθρα· πρὸς χοροὺς τραπώμεθα·
φίλοι γὰρ εὐτυχοῦσιν οὓς ἐγὼ θέλω.
χοροὶ χοροὶ καὶ θαλίαι μέλουσι Θήβας ἱερὸν
κατ᾽ ἄστυ.
μεταλλαγαὶ γὰρ δακρύων,
μεταλλαγαὶ συντυχίας
ἔτεκον ἀοιδάς.
βέβακ᾽ ἄναξ ὁ καινός,
ὁ δὲ παλαίτερος
κρατεῖ, λιμένα λιπών γε τὸν Ἀχερόντιον·
δοκημάτων δ᾽ ἐκτὸς ἦλθεν ἐλπίς.
θεοὶ θεοὶ τῶν ἀδίκων μέλουσι καὶ τῶν ὁσίων
ἐπάειν.
ὁ χρυσὸς ἅ τ᾽ εὐτυχία
φρενῶν βροτοὺς ἐξάγεται,
δύνασιν [ἄδικον] ἐφέλκων.
χρόνου γὰρ οὔτις ἔτλα
τὸ πάλιν εἰσορᾶν,
νόμον παρέμενος, ἀνομίᾳ χάριν διδούς·
ἔθραυσε δ᾽ ὄλβου κελαινὸν ἅρμα.
Ἰσμήν᾽ ὦ στεφανηφόρει,
ξεσταί θ᾽ ἑπταπύλου πόλεως
ἀναχορεύσατ᾽ ἀγυιαί,
Δίρκα θ᾽ ἁ καλλιρρέεθρος,
σύν τ᾽ Ἀσωπιάδες κόραι,
πατρὸς ὕδωρ βᾶτε λιποῦ-
σαι * συναοιδοὶ
νύμφαι τὸν Ἡρακλέους
καλλίνικον ἀγῶν᾽· ὦ
Πυθίου δενδρῶτι πέτρα
Μουσῶν θ᾽ Ἑλικωνίδων δώματα,
ἥξετ᾽ εὐγαθεῖ κελάδῳ
ἐμὸν πόλιν, ἐμὰ τείχη,
Σπαρτῶν ἵνα γένος ἐφάνη,
χαλκασπίδων λόχος, ὃς γᾶν
τέκνων τέκνοις μεταμείβει,
Θήβαις ἱερὸν φῶς.
ὦ λέκτρων δύο συγγενεῖς
εὐναί, θνατογενοῦς τε καὶ
Διός, ὃς ἦλθεν ἐς εὐνὰς
Νύμφας τᾶς Περσηίδος· ὡς
πιστόν μοι τὸ παλαιὸν ἤ-
δη λέχος, ὦ Ζεῦ, τὸ σὸν οὐκ
ἐπ᾽ ἐλπίδι φάνθη,
λαμπρὰν δ᾽ ἔδειξ᾽ ὁ χρόνος
τὰν Ἡρακλέος ἀλκάν·
ὃς γᾶς ἐξέβα θαλάμων,
Πλούτωνος δῶμα λιπὼν νέρτερον.
κρείσσων μοι τύραννος ἔφυς
ἢ δυσγένει᾽ ἀνάκτων.
ἃ νῦν ἐσορᾶν φαίνει
ξιφηφόρων ἐς ἀγώνων
ἅμιλλαν, εἰ τὸ δίκαιον
θεοῖς ἔτ᾽ ἀρέσκει.
ἔα ἔα.
ἆρ᾽ ἐς τὸν αὐτὸν πίτυλον ἥκομεν φόβου,
γέροντες, οἷον φάσμ᾽ ὑπὲρ δόμων ὁρῶ;
φυγῇ φυγῇ
νωθὲς πέδαιρε κῶλον, ἐκποδὼν ἔλα.
ὦναξ Παιάν,
ἀπότροπος γένοιό μοι τῶν πημάτων.

ΙΡΙΣ.

θαρσεῖτε, Νυκτὸς τήνδ᾽ ὁρῶντες ἔκγονον
Λύσσαν, γέροντες, κἀμὲ τὴν θεῶν λάτριν,
Ἶριν· πόλει γὰρ οὐδὲν ἥκομεν βλάβος,
ἑνὸς δ᾽ ἐπ᾽ ἀνδρὸς δώματα στρατεύομεν,
ὅν φασιν εἶναι Ζηνὸς Ἀλκμήνης τ᾽ ἄπο.
πρὶν μὲν γὰρ ἄθλους ἐκτελευτῆσαι πικρούς,
τὸ χρεών νιν ἐξέσωζεν, οὐδ᾽ εἴα πατὴρ
Ζεύς νιν κακῶς δρᾶν οὔτ᾽ ἔμ᾽ οὔθ᾽ Ἥραν ποτέ.
ἐπεὶ δὲ μόχθους διεπέρασ᾽ Εὐρυσθέως,
Ἥρα προσάψαι καινὸν αἷμ᾽ αὐτῷ θέλει,
παῖδας κατακτείναντι, συνθέλω δ᾽ ἐγώ.
ἀλλ᾽ εἶ᾽, ἄτεγκτον συλλαβοῦσα καρδίαν,
Νυκτὸς κελαινῆς ἀνυμέναιε παρθένε,
μανίας τ᾽ ἐπ᾽ ἀνδρὶ τῷδε καὶ παιδοκτόνους
φρενῶν ταραγμοὺς καὶ ποδῶν σκιρτήματα
ἔλαυνε, κίνει, φόνιον ἐξίει κάλων,
ὡς ἂν πορεύσας δι᾽ Ἀχερούσιον πόρον
τὸν καλλίπαιδα στέφανον αὐθέντῃ φόνῳ
γνῷ μὲν τὸν Ἥρας οἷός ἐστ᾽ αὐτῷ χόλος,

735—739. = 750—753.
740. 741. = 747. 748.
743—746. = 757—759.
754—756. = 760—762.
763—771. = 772—780.
781—797. = 798—814.

μάθῃ δὲ τὸν ἐμόν· ἢ θεοὶ μὲν οὐδαμοῦ,
τὰ θνητὰ δ' ἔσται μεγάλα, μὴ δόντος δίκην.

ΛΥΤΤΑ.

ἐξ εὐγενοῦς μὲν πατρὸς ἔκ τε μητέρος
πέφυκα, Νυκτὸς Οὐρανοῦ τ' ἀφ' αἵματος·
τιμὰς δ' ἔχω τάσδ', οὐκ ἀγασθῆναι φίλοις,
οὐδ' ἥδομαι φοιτῶσ' ἐπ' ἀνθρώπων φίλους·
παραινέσαι δὲ, πρὶν σφαλεῖσαν εἰσιδεῖν,
Ἥρᾳ θέλω σοί τ', ἢν πίθησθ' ἐμοῖς λόγοις.
ἀνὴρ ὅδ' οὐκ ἄσημος οὔτ' ἐπὶ χθονὶ
οὔτ' ἐν θεοῖσιν, οὗ γέ μ' εἰσπέμπεις δόμους·
ἄβατον δὲ χώραν καὶ θάλασσαν ἀγρίαν
ἐξημερώσας, θεῶν ἀνέστησεν μόνος
τιμὰς πιτνούσας ἀνοσίων ἀνδρῶν ὕπο·
ὥστ' οὐ παραινῶ μεγάλα βούλεσθαι κακά.

ΙΡΙΣ.

μὴ σὺ νουθέτει τά θ' Ἥρας κἀμὰ μηχανήματα.

ΛΥΤΤΑ.

ἐς τὸ λῷστον ἐμβιβάζω σ' ἴχνος ἀντὶ τοῦ κακοῦ.

ΙΡΙΣ.

οὐχὶ σωφρονεῖν γ' ἔπεμψε δεῦρό σ' ἡ Διὸς δάμαρ.

ΛΥΤΤΑ.

Ἥλιον μαρτυρόμεσθα δρῶσ' ἃ δρᾶν οὐ βούλομαι.
εἰ δὲ δή μ' Ἥρᾳ θ' ὑπουργεῖν σοί τ' ἀναγκαίως ἔχει
τάχος ἐπιρροίβδην θ' ὁμαρτεῖν ὡς κυνηγέτῃ κύνας,
εἶμί γ'· οὔτε πόντος οὕτω κύμασι στένων λάβρος,
οὔτε γῆς σεισμὸς κεραυνοῦ τ' οἶστρος ὠδῖνας πνέων,
οἷ' ἐγὼ σταδιοδραμοῦμαι στέρνον εἰς Ἡρακλέους,
καὶ καταρρήξω μέλαθρα καὶ δόμους ἐπεμβαλῶ,
τέκν' ἀποκτείνασα πρῶτον· ὁ δὲ κανὼν οὐκ εἴσεται
παῖδας οὓς ἔτικτ' ἐναίρων, πρὶν ἂν ἐμῆς λύσσης ὑφῇ.
ἤν' ἰδοὺ καὶ δὴ τινάσσει κρᾶτα βαλβίδων ἄπο,
καὶ διαστρόφους ἑλίσσει σῖγα γοργωποὺς κόρας.
ἀμπνοὰς δ' οὐ σωφρονίζει, ταῦρος ὣς ἐς ἐμβολὴν,
δεινὰ μυκᾶται δὲ Κῆρας ἀνακαλῶν τὰς Ταρτάρου.
τάχα σ' ἐγὼ μᾶλλον χορεύσω καὶ καταυλήσω φόβῳ.
στεῖχ' ἐς Οὔλυμπον πεδαίρουσ', Ἶρι, γενναῖον πόδα·
ἐς δόμους δ' ἡμεῖς ἄφαντοι δυσόμεσθ' Ἡρακλέους.

ΧΟΡΟΣ.

ὀτοτοτοῖ, στέναξον· ἀποκείρεται
σὸν ἄνθος, πόλις, ὁ Διὸς ἔκγονος.
μέλεος Ἑλλὰς, ἃ τὸν εὐεργέταν
ἀποβαλεῖς, ὀλεῖς μανίαισιν Λύσσας
χορευθέντ' ἀναύλοις.
βέβακεν ἐν δίφροισιν ἁ πολύστονος,
ἅρμασι δ' ἐνδίδωσι κέντρον ὡς ἐπὶ λώβᾳ
Νυκτὸς Γοργὼν ἑκατογκεφάλοις
ὄφεων ἰαχήμασι, Λύσσα μαρμαρωπός.
ταχὺ τὸν εὐτυχῆ μετέβαλεν δαίμων,
ταχὺ δὲ πρὸς πατρὸς τέκν' ἐκπνεύσεται.
ἰώ μοι μέλεος, ἰὼ Ζεῦ, τὸ σὸν
γένος ἄγονον αὐτίκα λυσσάδες ὠμοβρῶτες ἀποινόδικοι δίκαι κακοῖσιν ἐκπατάσσουσιν.
ἰὼ στέγαι,
κατάρχεται χορεύματ' ἄτερ τυπάνων,
οὐ βρομίῳ κεχαρισμένα θύρσῳ,
ἰὼ δόμοι,
πρὸς αἵματ', οὐχὶ τᾶς Διονυσιάδος
βοτρύων ἐπὶ χεύμασι λοιβᾶς.
φυγῇ, τέκν', ἐξορμᾶτε· δάϊον τόδε
δάϊον μέλος ἐπαυλεῖται.
κυναγετεῖ [τε] τέκνων διωγμόν·
οὔποτ' οὔποτ' ἄκραντα δόμοισι Λύσσα βακχεύσει.
αἰαῖ κακῶν
αἰαῖ. δῆτα τὸν γεραιὸν ὡς στένω
πατέρα τάν τε παιδοτρόφον, ᾇ μάταν
τέκεα γεννᾶται.
ἰδοὺ ἰδοὺ,
θύελλα σείει δῶμα, συμπίπτει στέγη·
ἢ ἤ, τί δρᾷς, ὦ παῖ Διός;
μελάθρῳ τάραγμα ταρτάρειον,
ὡς ἐπ' Ἐγκελάδῳ ποτὲ Παλλὰς, ἐς δόμους πέμπεις.

ΑΓΓΕΛΟΣ.

ὦ λευκὰ γήρᾳ σώματ'

ΧΟΡΟΣ.

ἀνακαλεῖς τίνα με τίνα βοάν;

ΑΓΓΕΛΟΣ.

ἄλαστα τὰν δόμοισι.

ΧΟΡΟΣ.

μάντιν οὐχ ἕτερον ἄξομαι.

ΑΓΓΕΛΟΣ.

τεθνᾶσι παῖδες· αἰαῖ·
στενάζεθ', ὡς στενακτά· δάϊοι φόνοι,
δάϊοι δὲ τοκέων χεῖρες.
οὐκ ἄν τις εἴποι μᾶλλον ἢ πεπόνθαμεν.

ΧΟΡΟΣ.

πῶς παισὶ στενακτὰν ἄταν ἄταν
πατέρος ἀμφαίνεις;
λέγε λέγε τίνα τρόπον ἔσυτο θεόθεν ἐπὶ
μέλαθρα κακὰ τάδε
τλήμονάς τε παίδων τύχας.

ΑΓΓΕΛΟΣ.

ἱερὰ μὲν ἦν πάροιθεν ἐσχάρας Διὸς
καθάρσι' οἴκων, γῆς ἄνακτ' ἐπεὶ κτανὼν
ἐξέβαλε τῶνδε δωμάτων Ἡρακλέης·
χορὸς δὲ καλλίμορφος εἱστήκει τέκνων,
πατήρ τε Μεγάρα τ'· ἐν κύκλῳ δ' ἤδη κανοῦν
εἵλικτο βωμοῦ, φθέγμα δ' ὅσιον εἴχομεν.
μέλλων δὲ δαλὸν χειρὶ δεξιᾷ φέρειν,
ἐς χέρνιβ' ὡς βάψειεν, Ἀλκμήνης τόκος,
ἔστη σιωπῇ. καὶ χρονίζοντος πατρὸς,
παῖδες προσέσχον ὄμμ'· ὁ δ' οὐκέθ' αὐτὸς ἦν,
ἀλλ' ἐν στροφαῖσιν ὀμμάτων ἐφθαρμένος,
ῥίζας τ' ἐν ὄσσοις αἱματῶπας ἐκβαλὼν,
ἀφρὸν κατέσταζ' εὐτρίχου γενειάδος.
ἔλεξε δ' ἅμα γέλωτι παραπεπληγμένῳ,
πάτερ, τί θύω πρὶν κτανεῖν Εὐρυσθέα
καθάρσιον πῦρ καὶ πόνους διπλοῦς ἔχω,
ἐξὸν μιᾶς μοι χειρὸς εὖ θέσθαι τάδε;
ὅταν δ' ἐνέγκω δεῦρο κρᾶτ' Εὐρυσθέως,

ἐπὶ τοῖσι νῦν θανοῦσιν ἁγνιῶ χέρας.
ἐκχεῖτε πηγὰς, ῥίπτετ' ἐκ χειρῶν κανᾶ.
τίς μοι δίδωσι τόξα; τίς δ' ὅπλον χερός;
πρὸς τὰς Μυκήνας εἶμι· λάζυσθαι χρεὼν
μοχλοὺς δικέλλας θ', ὡς τὰ Κυκλώπων βάθρα
φοίνικι κανόνι καὶ τύκοις ἡρμοσμένα
στρεπτῷ σιδήρῳ συντριαινώσω πόλιν.
ἐκ τοῦδε βαίνων, ἅρματ' οὐκ ἔχων ἔχειν
ἔφασκε, δίφρου τ' εἰσέβαινεν ἄντυγα,
κἄθεινε, κέντρον δῆθεν ὡς ἔχων χερί.
διπλοῦς δ' ὀπαδοῖς ἦν γέλως φόβος θ' ὁμοῦ.
καί τις τόδ' εἶπεν, ἄλλος εἰς ἄλλον δρακών·
παίζει πρὸς ἡμᾶς δεσπότης, ἢ μαίνεται;
ὁ δ' εἷρπ' ἄνω τε καὶ κάτω κατὰ στέγας,
μέσον δ' ἐς ἀνδρῶν' ἐσπεσὼν Νίσου πόλιν
ἥκειν ἔφασκε, δωμάτων εἴσω βεβώς.
κλιθεὶς δ' ἐς οὖδας, ὡς ἐκεῖ, σκευάζεται
θοίνην. διελθὼν δ' ἐς βραχὺν χρόνον μονῆς,
Ἰσθμοῦ ναπαίας ἔλεγε προσβαίνειν πλάκας.
κἀνταῦθα γυμνὸν σῶμα θεὶς πορπαμάτων
πρὸς οὐδέν' ἡμιλλᾶτο, κἀκηρύσσετο
αὐτὸς πρὸς αὑτοῦ καλλίνικος, οὐδενὸς
ἀκοὴν ὑπειπών. δεινὰ δ' Εὐρυσθεῖ βρέμων,
ἦν ἐν Μυκήναις τῷ λόγῳ. πατὴρ δέ νιν
θιγὼν κραταιᾶς χειρὸς ἐννέπει τάδε·
ὦ παῖ, τί πάσχεις; τίς ὁ τρόπος ξενώσεως
τῆσδ'; οὔ τί που φόνος σ' ἐβάκχευσεν νεκρῶν,
οὓς ἄρτι καίνεις; ὁ δέ νιν Εὐρυσθέως δοκῶν
πατέρα προταρβοῦνθ' ἱκέσιον ψαύειν χερὸς,
ὠθεῖ, φαρέτραν δ' εὐτρεπῆ σκευάζεται
καὶ τόξ' ἑαυτοῦ παισὶ, τοὺς Εὐρυσθέως
δοκῶν φονεύειν. οἱ δὲ ταρβοῦντες φόβῳ
ὤρουον ἄλλος ἄλλοσ', ἐς πέπλους ὁ μὲν
μητρὸς ταλαίνης, ὁ δ' ὑπὸ κίονος σκιὰν,
ἄλλος δὲ βωμὸν ὄρνις ὣς ἔπτηξ' ὕπο.
βοᾷ δὲ μήτηρ, ὦ τεκὼν, τί δρᾷς; τέκνα
κτείνεις; βοᾷ δὲ πρέσβυς οἰκετῶν τ' ὄχλος.
ὁ δ' ἐξελίσσων παῖδα κίονος κύκλῳ,
τόρευμα δεινὸν ποδὸς, ἐναντίον σταθεὶς,
βάλλει πρὸς ἧπαρ· ὕπτιος δὲ λαΐνους
ὀρθοστάτας ἔδευσεν ἐκπνέων βίον.
ὁ δ' ἠλάλαξε κἀπεκόμπασεν τάδε·
εἷς μὲν νεοσσὸς ὅδε θανὼν Εὐρυσθέως
ἔχθραν πατρῴαν ἐκτίνων πέπτωκέ μοι.
ἄλλῳ δ' ἐπεῖχε τόξ', ὃς ἀμφὶ βωμίαν
ἔπτηξε κρηπῖδ', ὡς λεληθέναι δοκῶν.
φθάνει δ' ὁ τλήμων γόνασι προσπεσὼν πατρὸς
καὶ πρὸς γένειον χεῖρα καὶ δέρην βαλὼν,
ὦ φίλτατ', αὐδᾷ, μή μ' ἀποκτείνῃς, πάτερ·
σός εἰμι σὸς παῖς· οὐ τὸν Εὐρυσθέως ὀλεῖς.
ὁ δ' ἀγριωπὸν ὄμμα Γοργόνος στρέφων,
ὡς ἐντὸς ἔστη παῖς λυγροῦ τοξεύματος,
μυδροκτύπον μίμημ', ὑπὲρ κάρα βαλὼν
ξύλον καθῆκε παιδὸς ἐς ξανθὸν κάρα,
ἔρρηξε δ' ὀστᾶ. δεύτερον δὲ παῖδ' ἑλὼν,
χωρεῖ τρίτον θῦμ' ὡς ἐπισφάξων δυοῖν.
ἀλλὰ φθάνει νιν ἡ τάλαιν' εἴσω δόμων
μήτηρ ὑπεκλαβοῦσα, καὶ κλῄει πύλας.
ὁ δ' ὡς ἐπ' αὐτοῖς δὴ Κυκλωπείοισιν ὢν
σκάπτει, μοχλεύει θύρετρα, κἀκβαλὼν σταθμὰ
δάμαρτα καὶ παῖδ' ἑνὶ κατέστρωσεν βέλει.
κἀνθένδε πρὸς γέροντος ἱππεύει φόνον·
ἀλλ' ἦλθεν εἰκὼν, ὡς ὁρᾶν ἐφαίνετο,
Παλλὰς κραδαίνουσ' ἔγχος ἐπὶ λόφῳ κέαρ,
κἄρριψε πέτρον στέρνον εἰς Ἡρακλέους,
ὅς νιν φόνου μαργῶντος ἔσχε κεἰς ὕπνον
καθῆκε· πίτνει δ' ἐς πέδον, πρὸς κίονα
νῶτον πατάξας, ὃς πεσήμασι στέγης
διχορραγὴς ἔκειτο κρηπίδων ἔπι.
ἡμεῖς δ' ἐλευθεροῦντες ἐκ δρασμῶν πόδα
σὺν τῷ γέροντι δεσμὰ σειραίων βρόχων
ἀνήπτομεν πρὸς κίον', ὡς λήξας ὕπνου
μηδὲν προσεργάσαιτο τοῖς δεδραμένοις.
εὕδει δ' ὁ τλήμων ὕπνον οὐκ εὐδαίμονα,
παῖδας φονεύσας καὶ δάμαρτ'. ἐγὼ μὲν οὖν
οὐκ οἶδα θνητῶν ὅστις ἀθλιώτερος.

ΧΟΡΟΣ.

ὁ φόνος ἦν ὃν Ἀργολὶς ἔχει πέτρα
τότε μὲν περισαμότατος καὶ ἄριστος
Ἑλλάδι τῶν Δαναοῦ παίδων·
τὰ δ' ὑπερέβαλε, παρέδραμε τὰ τότε κακά.
τάλανι διογενεῖ κόρῳ μονοτέκνου Πρόκνης
φόνον ἔχω λέξαι θυόμενον μούσαις·
σὺ δὲ τέκνα τρίγονα τεκόμενος, ὦ δάϊε,
λυσσάδι συγκατειργάσω μοίρᾳ.
ἐς τίνα στεναγμὸν
ἢ γόον ἢ φθιτῶν ᾠδὰν ἢ τὸν Ἅιδα χορὸν ἀχήσω;
φεῦ φεῦ·
ἴδεσθε, διάνδιχα κλῇθρα
κλίνεται ὑψιπύλων δόμων.
ὤμοι.
ἴδεσθε τὰ τέκνα πρὸ πατρὸς
ἄθλια κείμενα δυστάνου,
εὕδοντος ὕπνον δεινὸν ἐκ παίδων φόνου.
περὶ δὲ δεσμὰ καὶ πολύβροχ' ἁμμάτων
ἐρείσμαθ' Ἡράκλειον
ἀμφὶ δέμας τάδε λαΐνοις
ἀνημμέν' ἀμφὶ κίοσιν οἴκων.
ὁ δ', ὥς τις ὄρνις ἄπτερον καταστένων
ὠδῖνα τέκνων, πρέσβυς ὑστέρῳ ποδὶ,
πικρὰν διώκων ἤλυσιν, πάρεσθ' ὅδε.

ΑΜΦΙΤΡΥΩΝ.

Καδμεῖοι γέροντες, οὐ σῖγα σῖ-
γα τὸν ὕπνῳ παρειμένον ἐάσετ' ἐκ-
λαθέσθαι κακῶν;

ΧΟΡΟΣ.

καὶ σέ γε δακρύοις στένω, πρέσβυ, καὶ
τέκεα καὶ τὸ καλλίνικον κάρα.

ΑΜΦΙΤΡΥΩΝ.

ἑκαστέρω πρόβατε, μὴ κτυπεῖτε, μὴ
βοᾶτε, μὴ τὸν εὖ ἰαύοντα ὑπνώδεά τ'
εὐνᾶς ἐγείρετε.

ΧΟΡΟΣ.

οἴμοι.
φόνος ὅσος ὅδ'

ΑΜΦΙΤΡΥΩΝ.

ἆ ἆ, διά μ' ὀλεῖτε.

ΧΟΡΟΣ.

κεχυ-
μένος ἐπαντέλλει.

ΑΜΦΙΤΡΥΩΝ.
οὐκ ἀτρεμαῖα θρῆνον αἰάξετ', ὦ γέροντες;
μὴ δέσμ' ἀνεγειρόμενος χαλάσας ἀπολεῖ πόλιν,
ἀπὸ δὲ πατέρα μέλαθρά τε καταρρήξῃ.
ΧΟΡΟΣ.
ἀδύνατ' ἀδύνατά μοι.
ΑΜΦΙΤΡΥΩΝ.
σῖγα, πνοὰς μάθω· φέρε πρὸς οὖς βάλω.
ΧΟΡΟΣ.
εὕδει;
ΑΜΦΙΤΡΥΩΝ.
ναὶ, εὕδει ὕπνον ὀλόμενον, ὃς ἔ-
καν' ἄλοχον, ἔκανε δὲ τέκεα, τοξήρει
ψαλμῷ τοξεύσας.
ΧΟΡΟΣ.
στέναζέ νυν
ΑΜΦΙΤΡΥΩΝ.
στενάζω.
ΧΟΡΟΣ.
τέκνων ὄλεθρον
ΑΜΦΙΤΡΥΩΝ.
ἰώ μοι.
ΧΟΡΟΣ.
σέθεν τε παιδός.
ΑΜΦΙΤΡΥΩΝ.
αἰαῖ.
ΧΟΡΟΣ.
ὦ πρέσβυ
ΑΜΦΙΤΡΥΩΝ.
σῖγα σῖγα·
παλίντροπος ἐξεγειρόμενος στρέφεται· φέρε
ἀπόκρυφον δέμας ὑπὸ μέλαθρον κρύψω.
ΧΟΡΟΣ.
θάρσει· νὺξ ἔχει βλέφαρα παιδὶ σῷ.
ΑΜΦΙΤΡΥΩΝ.
ὁρᾶθ' ὁρᾶτε.
τὸ [μὲν] φάος ἐκλιπεῖν ἐπὶ κακοῖσιν οὐ
φεύγω τάλας· ἀλλ' εἴ με κανεῖ πατέρ' ὄντα,
πρὸς δὲ κακοῖς κακὰ μήσεται,
πρὸς Ἐρινύσι θ' αἷμα σύγγονον ἕξει.
ΧΟΡΟΣ.
τότε θανεῖν σ' ἐχρῆν, ὅτε δάμαρτι σᾷ
φόνον ὁμοσπόρων
ἔμελλες ἐκπράξειν Ταφίων περίκλυστον ἄστυ
πέρσας.
ΑΜΦΙΤΡΥΩΝ.
φυγᾷ φυγᾷ, γέροντες, ἀποπρὸ δωμάτων
διώκετε, φεύγετε μάρ-
γον ἄνδρ' ἐπεγειρόμενον.
τάχα φόνον ἕτερον ἐπὶ φόνῳ βαλὼν
ἀναβακχεύσει Καδμείων πόλιν.
ΧΟΡΟΣ.
ὦ Ζεῦ, τί παῖδ' ἤχθηρας ὧδ' ὑπερκότως
τὸν σὸν, κακῶν δὲ πέλαγος ἐς τόδ' ἤγαγες;
ΗΡΑΚΛΗΣ.
ἔα.
ἔμπνους μέν εἰμι καὶ δέδορχ' ἅπερ με δεῖ,
αἰθέρα τε καὶ γῆν τόξα θ' ἡλίου τάδε·
ὡς δ' ἐν κλύδωνι καὶ φρενῶν ταράγματι
πέπτωκα δεινῷ, καὶ πνοὰς θερμὰς πνέω,
μετάρσι', οὐ βέβαια, πνευμόνων ἄπο.
ἰδοὺ τί δεσμοῖς ναῦς ὅπως ὡρμισμένος
νεανίαν θώρακα καὶ βραχίονα,
πρὸς ἡμιθραύστῳ λαΐνῳ τειχίσματι
ἧμαι νεκροῖσι γείτονας θάκους ἔχων,
πτερωτά τ' ἔγχη τόξα τ' ἔσπαρται πέδῳ,
ἃ πρὶν παρασπίζοντ' ἐμοῖς βραχίοσιν
ἔσωζε πλευρὰς, ἐξ ἐμοῦ τ' ἐσώζετο.
ἤ που κατῆλθον αὖθις εἰς Ἅιδου πάλιν
Εὐρυσθέως δίαυλον εἰς Ἅιδου μολών;
ἀλλ' οὔτι Σισύφειον εἰσορῶ πέτρον
Πλούτωνά τ', οὐδὲ σκῆπτρα Δήμητρος κόρης.
ἔκ τοι πέπληγμαι· ποῦ ποτ' ὢν ἀμηχανῶ;
ὠή, τίς ἐγγὺς ἢ πρόσω φίλων ἐμῶν,
δύσγνοιαν ὅστις τὴν ἐμὴν ἰάσεται;
σαφῶς γὰρ οὐδὲν οἶδα τῶν εἰωθότων.
ΑΜΦΙΤΡΥΩΝ.
γέροντες, ἔλθω τῶν ἐμῶν κακῶν πέλας;
ΧΟΡΟΣ.
κἄγωγε σὺν σοί, μὴ προδοὺς τὰς συμφοράς.
ΗΡΑΚΛΗΣ.
πάτερ, τί κλαίεις καὶ συναμπίσχει κόρας,
τοῦ φιλτάτου σοι τηλόθεν παιδὸς βεβώς;
ΑΜΦΙΤΡΥΩΝ.
ὦ τέκνον· εἶ γὰρ καὶ κακῶς πράσσων ἐμός.
ΗΡΑΚΛΗΣ.
πράσσω δ' ἐγὼ τί λυπρὸν, οὗ δακρυρροεῖς;
ΑΜΦΙΤΡΥΩΝ.
ἃ κἂν θεῶν τις, εἰ πάθοι, καταστένοι.
ΗΡΑΚΛΗΣ.
μέγας γ' ὁ κόμπος, τὴν τύχην δ' οὔπω λέγεις.
ΑΜΦΙΤΡΥΩΝ.
ὁρᾷς γὰρ αὐτὸς, εἰ φρονῶν ἤδη κυρεῖς.
ΗΡΑΚΛΗΣ.
εἴπ' εἴ τι καινὸν ὑπογράφει τὠμῷ βίῳ.
ΑΜΦΙΤΡΥΩΝ.
εἰ μηκέθ' Ἅιδου βάκχος, ἐκφράσαιμεν ἄν.
ΗΡΑΚΛΗΣ.
παπαῖ, τόδ' ὡς ὕποπτον ἠνίξω πάλιν.
ΑΜΦΙΤΡΥΩΝ.
καί σ', εἰ βεβαίως εὖ φρονεῖς, ἤδη σκοπῶ.
ΗΡΑΚΛΗΣ.
οὐ γάρ τι βακχεύσας γε μέμνημαι φρένας.
ΑΜΦΙΤΡΥΩΝ.
λύσω, γέροντες, δεσμὰ παιδὸς, ἢ τί δρῶ;
ΗΡΑΚΛΗΣ.
καὶ τόν γε δήσαντ' εἴπ'· ἀναινόμεσθα γάρ.
ΑΜΦΙΤΡΥΩΝ.
τοσοῦτον ἴσθι τῶν κακῶν· τὰ δ' ἄλλ' ἔα.
ΗΡΑΚΛΗΣ.
ἀρκεῖ σιωπὴ γὰρ μαθεῖν ὃ βούλομαι;
ΑΜΦΙΤΡΥΩΝ.
ὦ Ζεῦ, παρ' Ἥρας ἆρ' ὁρᾷς θρόνων τάδε;
ΗΡΑΚΛΗΣ.
ἀλλ' ἤ τι κεῖθεν πολέμιον πεπόνθαμεν;
ΑΜΦΙΤΡΥΩΝ.
τὴν θεὸν ἐάσας τὰ σὰ περιστέλλου κακά.
ΗΡΑΚΛΗΣ.
ἀπωλόμεσθα· συμφορὰν λέξεις τίνα;

ASHMOLEAN OXFORD

ΑΜΦΙΤΡΥΩΝ.
ἰδοὺ θέασαι τάδε τέκνων πεσήματα.
ΗΡΑΚΛΗΣ.
οἴμοι· τίν' ὄψιν τήνδε δέρκομαι τάλας;
ΑΜΦΙΤΡΥΩΝ.
ἀπόλεμον, ὦ παῖ, πόλεμον ἔσπευσας τέκνοις.
ΗΡΑΚΛΗΣ.
τί πόλεμον εἶπας; τούσδε τίς διώλεσεν;
ΑΜΦΙΤΡΥΩΝ.
σὺ καὶ σὰ τόξα καὶ θεῶν ὃς αἴτιος.
ΗΡΑΚΛΗΣ.
τί φῄς; τί δράσας; ὦ κάκ' ἀγγέλλων πάτερ.
ΑΜΦΙΤΡΥΩΝ.
μανείς· ἐρωτᾷς δ' ἄθλι' ἑρμηνεύματα.
ΗΡΑΚΛΗΣ.
ἦ καὶ δάμαρτός εἰμ' ἐγὼ φονεὺς ἐμῆς;
ΑΜΦΙΤΡΥΩΝ.
μιᾶς ἅπαντα χειρὸς ἔργα σῆς τάδε.
ΗΡΑΚΛΗΣ.
αἰαῖ· στεναγμῶν γάρ με περιβάλλει νέφος.
ΑΜΦΙΤΡΥΩΝ.
τούτων ἕκατι σὰς καταστένω τύχας.
ΗΡΑΚΛΗΣ.
ἦ γὰρ συνήραξ' οἶκον, ἢ 'βάκχευσ', ἐμόν;
ΑΜΦΙΤΡΥΩΝ.
οὐκ οἶδα πλὴν ἕν, πάντα δυστυχῆ τὰ σά.
ΗΡΑΚΛΗΣ.
ποῦ δ' οἶστρος ἡμᾶς ἔλαβε; ποῦ διώλεσεν;
ΑΜΦΙΤΡΥΩΝ
ὅτ' ἀμφὶ βωμὸν χεῖρας ἡγνίζου πυρί.
ΗΡΑΚΛΗΣ.
οἴμοι· τί δῆτα φείδομαι ψυχῆς ἐμῆς,
τῶν φιλτάτων μοι γενόμενος παίδων φονεύς,
κοὐκ εἶμι πέτρας λισσάδος πρὸς ἅλματα,
ἢ φάσγανον πρὸς ἧπαρ ἐξακοντίσας
τέκνοις δικαστὴς αἵματος γενήσομαι,
ἢ σάρκα τὴν ἐμὴν κατεμπρήσας πυρὶ,
δύσκλειαν, ἣ μένει μ', ἀπώσομαι βίου;
ἀλλ' ἐμποδών μοι θανασίμων βουλευμάτων
Θησεὺς ὅδ' ἕρπει, συγγενὴς φίλος τ' ἐμός.
ὀφθησόμεσθα, καὶ τεκνοκτόνον μύσος
ἐς ὄμμαθ' ἥξει φιλτάτων ξένων ἐμῶν.
οἴμοι· τί δράσω; ποῖ κακῶν ἐρημίαν
εὕρω, πτερωτὸς ἢ κατὰ χθονὸς μολών;
φέρ', ἐν πέπλοισι κρατὶ περιβάλω σκότος.
αἰσχύνομαι γὰρ τοῖς δεδραμένοις κακοῖς,
καὶ τῷδε προστρόπαιον αἷμα προσβαλὼν,
οὐδὲν κακῶσαι τοὺς ἀναιτίους θέλω.
ΘΗΣΕΥΣ.
ἥκω σὺν ἄλλοις οἳ παρ' Ἀσωποῦ ῥοὰς
μένουσιν ἔνοπλοι γῆς Ἀθηναίων κόροι,
σῷ παιδὶ, πρέσβυ, σύμμαχον φέρων δόρυ.
κληδὼν γὰρ ἦλθεν εἰς Ἐρεχθειδῶν πόλιν
ὡς σκῆπτρα χώρας τῆσδ' ἀναρπάσας Λύκος
ἐς πόλεμον ὑμῖν καὶ μάχην καθίσταται.
τίνων δ' ἀμοιβὰς ὧν ὑπῆρξεν Ἡρακλῆς
σώσας με νέρθεν, ἦλθον, εἴ τι δεῖ, γέρον,
ἢ χειρὸς ὑμᾶς τῆς ἐμῆς ἢ συμμάχων.
ἔα· τί νεκρῶν τῶνδε πληθύει πέδον;
ἦ που λέλειμμαι καὶ νεωτέρων κακῶν
ὕστερος ἀφῖγμαι; τίς τάδ' ἔκτεινεν τέκνα;
τίνος γεγῶσαν τήνδ' ὁρῶ συνάορον;
οὐ γὰρ δορός γε παῖδες ἵστανται πέλας,
ἀλλ' ἄλλο τοί που καινὸν εὑρίσκω κακόν.
ΑΜΦΙΤΡΥΩΝ.
ὦ τὸν ἐλαιοφόρον ὄχθον ἔχων.
ΘΗΣΕΥΣ.
τί χρῆμά μ' οἰκτροῖς ἐκάλεσας προοιμίοις;
ΑΜΦΙΤΡΥΩΝ.
ἐπάθομεν πάθεα μέλεα πρὸς θεῶν.
ΘΗΣΕΥΣ.
οἱ παῖδες οἵδε τίνες, ἐφ' οἷς δακρυρροεῖς;
ΑΜΦΙΤΡΥΩΝ.
ἔτεκε μὲν ουμὸς ἶνις τάλας,
τεκόμενος δ' ἔκανε, φόνιον αἷμα τλάς.
ΘΗΣΕΥΣ.
εὔφημα φώνει.
ΑΜΦΙΤΡΥΩΝ.
βουλομένοισιν ἐπαγγέλλει.
ΘΗΣΕΥΣ.
ὦ δεινὰ λέξας.
ΑΜΦΙΤΡΥΩΝ.
οἰχόμεθ' οἰχόμεθα πτανοί.
ΘΗΣΕΥΣ.
τί φῄς; τί δράσας;
ΑΜΦΙΤΡΥΩΝ.
μαινομένῳ πιτύλῳ πλαγχθεὶς
ἑκατογκεφάλου βαφαῖς ὕδρας.
ΘΗΣΕΥΣ.
Ἥρας ὅδ' ἀγών· τίς δ' ὅδ' οὖν νεκροῖς, γέρο
ΑΜΦΙΤΡΥΩΝ.
ἐμὸς ἐμὸς ὅδε γόνος ὁ πολύπονος, ὃς ἐπὶ
δόρυ γιγαντοφόνον ἦλθεν σὺν θεοῖ-
σι Φλεγραῖον εἰς πεδίον ἀσπιστάς.
ΘΗΣΕΥΣ.
φεῦ φεῦ· τίς ἀνδρῶν ὧδε δυσδαίμων ἔφυ;
ΑΜΦΙΤΡΥΩΝ.
οὐκ ἂν ἴδοις ἕτερον
πολυμοχθότερον πολυπλαγκτότερόν τε θνατῶ
ΘΗΣΕΥΣ.
τί γὰρ πέπλοισιν ἄθλιον κρύπτει κάρα;
ΑΜΦΙΤΡΥΩΝ.
αἰδόμενος τὸ σὸν ὄμμα καὶ
φιλίαν ὁμόφυλον
αἷμά τε παιδοφόνον.
ΘΗΣΕΥΣ.
ἀλλ' ὡς συναλγῶν γ' ἦλθον· ἐκκάλυπτέ νιν.
ΑΜΦΙΤΡΥΩΝ.
ὦ τέκνον, πάρες ἀπ' ὀμμάτων
πέπλον, ἀπόδικε, ῥέθος ἀελίῳ δεῖξον·
βάρος ἀντίπαλον δακρύοις συναμιλλᾶται.
ἱκετεύομεν ἀμφὶ σὰν
γενειάδα καὶ γόνυ καὶ χέρα προσπίτνων,
πολιόν τε δάκρυον ἐκβαλών.
ἰὼ παῖ, κατάσχεθε λέοντος ἀγρίου θυμὸν, ὁ
βρόμον ἐπὶ φόνιον, ἀνόσιον ἐξάγει,
κακὰ θέλων κακοῖς συνάψαι, τέκνον.
ΘΗΣΕΥΣ.
εἶεν· σὲ τὸν θάσσοντα δυστήνους ἕδρας

αὐδῶ, φίλοισιν ὄμμα δεικνύναι τὸ σόν.
οὐδεὶς σκότος γὰρ ὧδ' ἔχει μέλαν νέφος,
ὅστις κακῶν σῶν συμφορὰν κρύψειεν ἄν.
τί μοι προσείων χεῖρα σημαίνεις φόνον;
ὡς μὴ μύσος με σῶν βάλῃ προσφθεγμάτων;
οὐδὲν μέλει μοι σύν γε σοὶ πράσσειν κακῶς·
καὶ γάρ ποτ' εὐτύχησ'· ἐκεῖσ' ἀνοιστέον,
ὅτ' ἐξέσωσάς μ' ἐς φάος νεκρῶν πάρα.
χάριν δὲ γηράσκουσαν ἐχθαίρω φίλων,
καὶ τῶν καλῶν μὲν ὅστις ἀπολαύειν θέλει,
συμπλεῖν δὲ τοῖς φίλοισι δυστυχοῦσιν οὔ.
ἀνίστασ', ἐκκάλυψον ἄθλιον κάρα,
βλέψον πρὸς ἡμᾶς. ὅστις εὐγενὴς βροτῶν,
φέρει τὰ θεῶν γε πτώματ', οὐδ' ἀναίνεται.

ΗΡΑΚΛΗΣ.

Θησεῦ, δέδορκας τόνδ' ἀγῶν' ἐμῶν τέκνων;

ΘΗΣΕΥΣ.

ἤκουσα, καὶ βλέποντι σημαίνεις κακά.

ΗΡΑΚΛΗΣ.

τί δῆτά μου κρᾶτ' ἀνεκάλυψας ἡλίῳ;

ΘΗΣΕΥΣ.

τί δ' οὔ; μιαίνεις θνητὸς ὢν τὰ τῶν θεῶν;

ΗΡΑΚΛΗΣ.

φεῦγ', ὦ ταλαίπωρ', ἀνόσιον μίασμ' ἐμόν.

ΘΗΣΕΥΣ.

οὐδεὶς ἀλάστωρ τοῖς φίλοις ἐκ τῶν φίλων.

ΗΡΑΚΛΗΣ.

ἐπῄνεσ'. εὖ δράσας δέ σ' οὐκ ἀναίνομαι.

ΘΗΣΕΥΣ.

ἐγὼ δὲ πάσχων εὖ τότ' οἰκτείρω σε νῦν.

ΗΡΑΚΛΗΣ.

οἰκτρὸς γάρ εἰμι, τἄμ' ἀποκτείνας τέκνα.

ΘΗΣΕΥΣ.

κλαίω χάριν σὴν ἐφ' ἑτέραισι συμφοραῖς.

ΗΡΑΚΛΗΣ.

εὗρες δέ γ' ἄλλους ἐν κακοῖσι μείζοσιν;

ΘΗΣΕΥΣ.

ἅπτει κάτωθεν οὐρανοῦ δυσπραξίᾳ.

ΗΡΑΚΛΗΣ.

τοιγὰρ παρεσκευάσμεθ' ὥστε κατθανεῖν.

ΘΗΣΕΥΣ.

δοκεῖς ἀπειλῶν σῶν μέλειν τι δαίμοσιν;

ΗΡΑΚΛΗΣ.

αὔθαδες ὁ θεός· πρὸς δὲ τοὺς θεοὺς ἐγώ.

ΘΗΣΕΥΣ.

ἴσχε στόμ', ὡς μὴ μέγα λέγων μεῖζον πάθῃς.

ΗΡΑΚΛΗΣ.

γέμω κακῶν δή, κοὐκέτ' ἔσθ' ὅπου τεθῇ.

ΘΗΣΕΥΣ.

δράσεις δὲ δὴ τί; ποῖ φέρει θυμούμενος;

ΗΡΑΚΛΗΣ.

θανὼν, ὅθενπερ ἦλθον, εἶμι γῆς ὕπο.

ΘΗΣΕΥΣ.

εἴρηκας ἐπιτυχόντος ἀνθρώπου λόγους.

ΗΡΑΚΛΗΣ.

σὺ δ' ἐκτὸς ὢν γε συμφορᾶς με νουθετεῖς.

ΘΗΣΕΥΣ.

ὁ πολλὰ δὴ τλὰς Ἡρακλῆς λέγει τάδε;

ΗΡΑΚΛΗΣ.

οὔκουν τοσαῦτά γ', εἰ μέτρῳ μοχθητέον.

ΘΗΣΕΥΣ.

εὐεργέτης βροτοῖσι καὶ μέγας φίλος;

ΗΡΑΚΛΗΣ.

οἵδ' οὐδὲν ὠφελοῦσί μ', ἀλλ' Ἥρα κρατεῖ.

ΘΗΣΕΥΣ.

οὐκ ἄν ἀνάσχοιθ' Ἑλλὰς ἀμαθίᾳ θανεῖν.

ΗΡΑΚΛΗΣ.

ἄκουε δή νυν, ὡς ἁμιλληθῶ λόγοις
πρὸς νουθετήσεις σάς· ἀναπτύξω δέ σοι
ἀβίωτον ἡμῖν νῦν τε καὶ πάροιθεν ὄν.
πρῶτον μὲν ἐκ τοῦδ' ἐγενόμην ὅστις κτανὼν
μητρὸς γεραιὸν πατέρα, προστρόπαιος ὤν,
ἔγημε τὴν τεκοῦσαν Ἀλκμήνην ἐμέ.
ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους
ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους.
Ζεὺς δ', ὅστις ὁ Ζεύς, πολέμιόν μ' ἐγείνατο
Ἥρᾳ· σὺ μέντοι μηδὲν ἀχθεσθῇς, γέρον·
πατέρα γὰρ ἀντὶ Ζηνὸς ἡγοῦμαί σ' ἐγώ.
ἔτ' ἐν γάλακτί τ' ὄντι γοργωποὺς ὄφεις
ἐπεισέφρησε σπαργάνοισι τοῖς ἐμοῖς
ἡ τοῦ Διὸς σύλλεκτρος, ὡς ὀλοίμεθα.
ἐπεὶ δὲ σαρκὸς περιβόλαι' ἐκτησάμην
ἡβῶντα, μόχθους οὓς ἔτλην τί δεῖ λέγειν;
ποίους ποτ' ἢ λέοντας ἢ τρισωμάτους
Τυφῶνας ἢ Γίγαντας ἢ τετρασκελῆ
κενταυροπληθῆ πόλεμον οὐκ ἐξήνυσα;
τήν τ' ἀμφίκρανον καὶ παλιμβλαστῆ κύνα
ὕδραν φονεύσας, μυρίων τ' ἄλλων πόνων
διῆλθον ἀγέλας, κεἰς νεκροὺς ἀφικόμην,
Ἅιδου πυλωρὸν κύνα τρίκρανον ἐς φάος
ὅπως πορεύσαιμ' ἐντολαῖς Εὐρυσθέως.
τὸν λοίσθιον δὲ τόνδ' ἔτλην τάλας πόνον,
παιδοκτονήσας δῶμα θριγκῶσαι κακοῖς.
ἥκω δ' ἀνάγκης ἐς τόδ'· οὔτ' ἐμαῖς φίλαις
Θήβαις ἐνοικεῖν ὅσιον· ἢν δὲ καὶ μένω,
ἐς ποῖον ἱρὸν ἢ πανήγυριν φίλων
εἶμ'; οὐ γὰρ ἄτας εὐπροσηγόρους ἔχω.
ἀλλ' Ἄργος ἔλθω; πῶς, ἐπεὶ φεύγω πάτραν;
φέρ' ἀλλ' ἐς ἄλλην δή τιν' ὁρμήσω πόλιν·
κἄπειθ' ὑποβλεπώμεθ' ὡς ἐγνωσμένοι,
γλώσσης πικροῖς κέντροισι κληδουχούμενοι,
οὐχ οὗτος ὁ Διός, ὃς τέκν' ἔκτεινέν ποτε
δάμαρτά τ'; οὐ γῆς τῆσδ' ἀποφθαρήσεται;
κεκλημένῳ δὲ φωτὶ μακαρίῳ ποτὲ
αἱ μεταβολαὶ λυπηρόν· ᾧ δ' ἀεὶ κακῶς
ἔστ', οὐδὲν ἀλγεῖ, συγγενῶς δύστηνος ὤν.
ἐς τοῦτο δ' ἥξειν συμφορᾶς οἶμαί ποτε·
φωνὴν γὰρ ἥσει χθὼν ἀπεννέπουσά με
μὴ θιγγάνειν γῆς, καὶ θάλασσα μὴ περᾶν,
πηγαί τε ποταμῶν, καὶ τὸν ἁρματήλατον
Ἰξίον' ἐν δεσμοῖσιν ἐκμιμήσομαι.
καὶ ταῦτ' ἄριστα, μηδέν' Ἑλλήνων μ' ὁρᾶν,
ἐν οἷσιν εὐτυχοῦντες ἦμεν ὄλβιοι.
τί δῆτά με ζῆν δεῖ; τί κέρδος ἕξομεν.
βίον γ' ἀχρεῖον ἀνόσιον κεκτημένοι;
χορευέτω δὲ Ζηνὸς ἡ κλεινὴ δάμαρ,
κρούουσ' Ὀλυμπίου Ζηνὸς ἀρβύλῃ πόδα·
ἔπραξε γὰρ βούλησιν ἣν ἐβούλετο,
ἄνδρ' Ἑλλάδος τὸν πρῶτον αὐτοῖσιν βάθροις
ἄνω κάτω στρέψασα. τοιαύτῃ θεῷ

τίς ἂν προσεύχοιθ᾽; ἣ γυναικὸς οὕνεκα,
λέκτρων φθονοῦσα Ζηνὶ, τοὺς εὐεργέτας
Ἑλλάδος ἀπώλεσ᾽ οὐδὲν ὄντας αἰτίους.

ΘΗΣΕΥΣ.

οὐκ ἔστιν ἄλλου δαιμόνων ἀγὼν ὅδε
ἢ τῆς Διὸς δάμαρτος· εὖ τόδ᾽ αἰσθάνει.
* * * *
παραινέσαιμ᾽ ἂν μᾶλλον ἢ πάσχειν κακῶς.
οὐδεὶς δὲ θνητῶν ταῖς τύχαις ἀκήρατος,
οὐ θεῶν, ἀοιδῶν εἴπερ οὐ ψευδεῖς λόγοι.
οὐ λέκτρα τ᾽ ἀλλήλοισιν, ὧν οὐδεὶς νόμος,
συνῆψαν; οὐ δεσμοῖσι διὰ τυραννίδας
πατέρας ἐκηλίδωσαν; ἀλλ᾽ οἰκοῦσ᾽ ὅμως
Ὄλυμπον ἠνέσχοντό θ᾽ ἡμαρτηκότες.
καίτοι τί φήσεις, εἰ σὺ μὲν θνητὸς γεγὼς
φέρεις ὑπέρφευ τὰς τύχας, θεοὶ δὲ μή;
Θήβας μὲν οὖν ἔκλειπε τοῦ νόμου χάριν,
ἕπου δ᾽ ἅμ᾽ ἡμῖν πρὸς πόλισμα Παλλάδος.
ἐκεῖ χέρας σὰς ἁγνίσας μιάσματος,
δόμους τε δώσω χρημάτων τ᾽ ἐμῶν μέρος.
ἃ δ᾽ ἐκ πολιτῶν δῶρ᾽ ἔχω σώσας κόρους
δὶς ἑπτὰ, ταῦρον Κνώσιον κατακτανὼν,
σοὶ ταῦτα δώσω· πανταχοῦ δέ μοι χθονὸς
τεμένη δέδασται. ταῦτ᾽ ἐπωνομασμένα
σέθεν τὸ λοιπὸν ἐκ βροτῶν κεκλήσεται
ζῶντος· θανόντος δ᾽, εὖτ᾽ ἂν εἰς Ἅιδου μόλῃς,
θυσίαισι λαΐνοισί τ᾽ ἐξογκώμασιν
τίμιον ἀνάξει πᾶσ᾽ Ἀθηναίων πόλις.
καλὸς γὰρ ἀστοῖς στέφανος Ἑλλήνων ὕπο
ἄνδρ᾽ ἐσθλὸν ὠφελοῦντας εὐκλείας τυχεῖν.
κἀγὼ χάριν σοι τῆς ἐμῆς σωτηρίας
τήνδ᾽ ἀντιδώσω· νῦν γὰρ εἶ χρεῖος φίλων.
θεοὶ δ᾽ ὅταν τιμῶσιν, οὐδὲν δεῖ φίλων.
ἅλις γὰρ ὁ θεὸς ὠφελῶν, ὅταν θέλῃ.

ΗΡΑΚΛΗΣ.

οἴμοι· πάρεργά τοι τάδ᾽ ἔστ᾽ ἐμῶν κακῶν.
ἐγὼ δὲ τοὺς θεοὺς οὔτε λέκτρ᾽ ἃ μὴ θέμις
στέργειν νομίζω, δεσμά τ᾽ ἐξάπτειν χεροῖν
οὔτ᾽ ἠξίωσα πώποτ᾽ οὔτε πείσομαι,
οὐδ᾽ ἄλλον ἄλλου δεσπότην πεφυκέναι.
δεῖται γὰρ ὁ θεὸς, εἴπερ ἔστ᾽ ὄντως θεὸς,
οὐδενός· ἀοιδῶν οἵδε δύστηνοι λόγοι.
ἐσκεψάμην δὲ, καίπερ ἐν κακοῖσιν ὢν,
μὴ δειλίαν ὄφλω τιν᾽ ἐκλιπὼν φάος.
τὰς συμφορὰς γὰρ ὅστις οὐκ ἐπίσταται
θνητὸς πεφυκὼς ὃν τρόπον χρεὼν φέρειν,
οὐδ᾽ ἀνδρὸς ἂν δύναιθ᾽ ὑποστῆναι βέλος.
ἐγκαρτερήσω θάνατον· εἶμι δ᾽ ἐς πόλιν
τὴν σὴν, χάριν τε μυρίαν δώρων ἔχω.
ἀτὰρ πόνων δὴ μυρίων ἐγευσάμην·
ὧν οὔτ᾽ ἀπεῖπον οὐδὲν οὔτ᾽ ἀπ᾽ ὀμμάτων
ἔσταξα πηγὰς, οὐδ᾽ ἂν ᾠόμην ποτὲ
ἐς τοῦθ᾽ ἱκέσθαι, δάκρυ᾽ ἀπ᾽ ὀμμάτων βαλεῖν.
νῦν δ᾽, ὡς ἔοικε, τῇ τύχῃ δουλευτέον.
εἶεν· γεραιὲ, τὰς ἐμὰς φυγὰς ὁρᾷς,
ὁρᾷς δὲ παίδων ὄντα μ᾽ αὐθέντην ἐμῶν.
δὸς τούσδε τύμβῳ καὶ περίστειλον νεκροὺς
δακρύοισι τιμῶν, ἐμὲ γὰρ οὐκ ἐᾷ νόμος·
πρὸς στέρν᾽ ἐρείσας μητρὶ δούς τ᾽ ἐς ἀγκάλας,
κοινωνίαν δύστηνον, ἣν ἐγὼ τάλας
διώλεσ᾽ ἄκων. γῇ δ᾽ ἐπὴν κρύψῃς νεκροὺς,
οἴκει πόλιν τήνδ᾽, ἀθλίως μὲν, ἀλλ᾽ ὅμως
ψυχὴν βιάζου τἀμὰ συμφέρειν κακά.
ὦ τέκν᾽, ὁ φύσας χὠ τεκὼν ὑμᾶς πατὴρ
ἀπώλεσ᾽, οὐδ᾽ ὤνασθε τῶν ἐμῶν καλῶν,
ἁγὼ παρεσκεύαζον, ἐκμοχθῶν βίᾳ
εὔκλειαν ὑμῖν, πατρὸς ἀπόλαυσιν καλήν.
σέ τ᾽ οὐχ ὁμοίως, ὦ τάλαιν᾽, ἀπώλεσα,
ὥσπερ σὺ τἀμὰ λέκτρ᾽ ἔσωζες ἀσφαλῶς,
μακρὰς διαντλοῦσ᾽ ἐν δόμοις οἰκουρίας.
οἴμοι δάμαρτος καὶ τέκνων, οἴμοι δ᾽ ἐμοῦ.
ὡς ἀθλίως πέπραγα, κἀποζεύγνυμαι
τέκνων γυναικός τ᾽. ὦ λυγραὶ φιλημάτων
τέρψεις, λυγραὶ δὲ τῶνδ᾽ ὅπλων κοινωνίαι.
ἀμηχανῶ γὰρ πότερ᾽ ἔχω τάδ᾽ ἢ μεθῶ,
ἃ πλευρὰ τἀμὰ προσπίτνοντ᾽ ἐρεῖ τάδε·
ἡμῖν τέκν᾽ εἷλες καὶ δάμαρθ᾽· ἡμᾶς ἔχεις
παιδοκτόνους σούς. εἶτ᾽ ἐγὼ τάδ᾽ ὠλέναις
οἴσω; τί φάσκων; ἀλλὰ γυμνωθεὶς ὅπλων,
ξὺν οἷς τὰ κάλλιστ᾽ ἐξέπραξ᾽ ἐν Ἑλλάδι,
ἐχθροῖς ἐμαυτὸν ὑποβαλὼν αἰσχρῶς θάνω;
οὐ λειπτέον τάδ᾽, ἀθλίως δὲ σωστέον.
ἕν μοί τι, Θησεῦ, σύγκαμ᾽ ἀθλίῳ· κυνὸς
κόμιστρ᾽ ἐς Ἄργος συγκατάστησον μολὼν,
λύπῃ τι παίδων μὴ πάθω μονούμενος.
ὦ γαῖα Κάδμου πᾶς τε Θηβαῖος λεὼς,
κείρασθε, συμπενθήσατ᾽, ἔλθετ᾽ ἐς τάφον
παίδων, ἅπαντας δ᾽ ἑνὶ λόγῳ πενθήσατε
νεκρούς τε κἀμέ· πάντες ἐξολώλαμεν
Ἥρας μιᾷ πληγέντες ἀθλίῳ τύχῃ.

ΘΗΣΕΥΣ.

ἀνίστασ᾽, ὦ δύστηνε· δακρύων δ᾽ ἅλις.

ΗΡΑΚΛΗΣ.

οὐκ ἂν δυναίμην· ἄρθρα γὰρ πέπηγέ μοι.

ΘΗΣΕΥΣ.

καὶ τοὺς σθένοντας γὰρ καθαιροῦσιν τύχαι.

ΗΡΑΚΛΗΣ.

φεῦ.
αὐτοῦ γενοίμην πέτρος ἀμνήμων κακῶν.

ΘΗΣΕΥΣ.

παῦσαι· δίδου δὲ χεῖρ᾽ ὑπηρέτῃ φίλῳ.

ΗΡΑΚΛΗΣ.

ἀλλ᾽ αἷμα μὴ σοῖς ἐξομόρξωμαι πέπλοις.

ΘΗΣΕΥΣ.

ἔκμασσε, φείδου μηδέν· οὐκ ἀναίνομαι.

ΗΡΑΚΛΗΣ.

παίδων στερηθεὶς παῖδ᾽ ὅπως ἔχω σ᾽ ἐμόν.

ΘΗΣΕΥΣ.

δίδου δέρῃ σὴν χεῖρ᾽, ὁδηγήσω δ᾽ ἐγώ.

ΗΡΑΚΛΗΣ.

ζεῦγός γε φίλιον· ἅτερος δὲ δυστυχής.
ὦ πρέσβυ; τοιόνδ᾽ ἄνδρα χρὴ κτᾶσθαι φίλον.

ΑΜΦΙΤΡΥΩΝ.

ἡ γὰρ τεκοῦσα τόνδε πατρὶς εὔτεκνος.

ΗΡΑΚΛΗΣ.

Θησεῦ, πάλιν με στρέψον, ὡς ἴδω τέκνα.

ΘΗΣΕΥΣ.

ὡς δὴ τί φίλτρον τοῦτ᾽ ἔχων ῥᾴων ἔσει;

ΗΡΑΚΛΗΣ.

ποθῶ, πατρός τε στέρνα προσθέσθαι θέλω.

ΑΜΦΙΤΡΥΩΝ.

ἰδοὺ τάδ', ὦ παῖ· τἀμὰ γὰρ σπεύδεις φίλα.

ΘΗΣΕΥΣ.

οὕτω πόνων σῶν οὐκέτι μνήμην ἔχεις;

ΗΡΑΚΛΗΣ.

ἅπαντ' ἐλάσσω κεῖνα τῶνδ' ἔτλην κακά.

ΘΗΣΕΥΣ.

εἴ σ' ὄψεταί τις θῆλυν ὄντ', οὐκ αἰνέσει.

ΗΡΑΚΛΗΣ.

ζῶ σοὶ ταπεινός; ἀλλὰ πρόσθεν οὐ δοκῶ.

ΘΗΣΕΥΣ.

ἄγαν γ'· ὁ κλεινὸς Ἡρακλῆς ποῦ κεῖνος ὤν;

ΗΡΑΚΛΗΣ.

σὺ ποῖος ἦσθα, νέρθεν ἐν κακοῖσιν ὤν;

ΘΗΣΕΥΣ.

ὡς ἐς τὸ λῆμα, παντὸς ἦν ἥσσων ἀνήρ.

ΗΡΑΚΛΗΣ.

πῶς οὖν ἔτ' εἴπῃς ὅτι συνέσταλμαι κακοῖς;

ΘΗΣΕΥΣ.

πρόβαινε.

ΗΡΑΚΛΗΣ.

χαῖρ', ὦ πρέσβυ.

ΑΜΦΙΤΡΥΩΝ.

καὶ σύ μοι, τέκνον.

ΗΡΑΚΛΗΣ.

θάφθ' ὥσπερ εἶπον παῖδας.

ΑΜΦΙΤΡΥΩΝ.

ἐμὲ δὲ τίς, τέκνον;

ΗΡΑΚΛΗΣ.

ἐγώ.

ΑΜΦΙΤΡΥΩΝ.

πότ' ἐλθών;

ΗΡΑΚΛΗΣ.

ἡνίκ' ἂν θάψῃς τέκνα.

ΑΜΦΙΤΡΥΩΝ.

πῶς;

ΗΡΑΚΛΗΣ.

εἰς Ἀθήνας πέμψομαι Θηβῶν ἄπο.
ἀλλ' ἐσκόμιζε τέκνα δυσκόμιστα γῇ.
ἡμεῖς δ' ἀναλώσαντες αἰσχύναις δόμον,
Θησεῖ πανώλεις ἑψόμεσθ' ἐφολκίδες.
ὅστις δὲ πλοῦτον ἢ σθένος μᾶλλον φίλων
ἀγαθῶν πεπᾶσθαι βούλεται, κακῶς φρονεῖ.

ΧΟΡΟΣ.

στείχομεν οἰκτροὶ καὶ πολύκλαυτοι,
τὰ μέγιστα φίλων ὀλέσαντες.

# ΕΥΡΙΠΙΔΟΥ ΒΑΚΧΑΙ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΔΙΟΝΥΣΟΣ.
ΧΟΡΟΣ ΒΑΚΧΩΝ.
ΤΕΙΡΕΣΙΑΣ.
ΚΑΔΜΟΣ.
ΠΕΝΘΕΥΣ.
ΘΕΡΑΠΩΝ.
ΑΓΓΕΛΟΣ.
ΕΤΕΡΟΣ ΑΓΓΕΛΟΣ.
ΑΓΑΥΗ.

## ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ ΥΠΟΘΕΣΙΣ.

*Διόνυσος ἀποθεωθεὶς, μὴ βουλομένου Πενθέως τὰ ὄργια αὐτοῦ ἀναλαμβάνειν, εἰς μανίαν ἀγαγὼν τ*
*τῆς μητρὸς ἀδελφὰς, ἠνάγκασε Πενθέα διασπάσαι. ἡ μυθοποιία κεῖται παρ᾽ Αἰσχύλῳ ἐν Πενθεῖ.*

## Α Λ Λ Ω Σ.

*Διόνυσον οἱ προσήκοντες οὐκ ἔφασαν εἶναι θεόν. ὁ δὲ αὐτοῖς τιμωρίαν ἐπέστησε τὴν πρέπουσαν.*
*μανεῖς γὰρ ἐποίησε τὰς τῶν Θηβαίων γυναῖκας. ὧν αἱ τοῦ Κάδμου θυγατέρες ἀφηγούμεναι τοὺς θιάσ*
*εἰσῆγον ἐπὶ τὸν Κιθαιρῶνα. Πενθεὺς δὲ ὁ τῆς Ἀγαύης παῖς παραλαβὼν τὴν βασιλείαν ἐδυσφόρει*
*γενομένοις. καί τινας μὲν τῶν Βακχῶν συλλαβὼν ἔδησεν, ἐπ᾽ αὐτὸν δὲ τὸν θεὸν ἀγγέλους ἀπέστει*
*οἱ δὲ ἑκόντος αὐτοῦ κυριεύσαντες ἦγον πρὸς τὸν Πενθέα, κἀκεῖνος ἐκέλευσε δήσαντας αὐτὸν ἔνδον*
*λάττειν, οὐ λέγων μόνον ὅτι θεὸς οὐκ ἔστι Διόνυσος, ἀλλὰ καὶ πράττειν πάντα ὡς κατ᾽ ἀνθρώπου*
*μῶν. ὁ δὲ σεισμὸν ποιήσας κατέστρεψε τὰ βασίλεια. ἀγαγὼν δὲ εἰς Κιθαιρῶνα ἔπεισε τὸν Πενθέα*
*τόπτην γενέσθαι τῶν γυναικῶν, λαμβάνοντα γυναικὸς ἐσθῆτα. αἱ δ᾽ αὐτὸν διέσπασαν, τῆς μητρὸς Ἀγ*
*καταρξαμένης. Κάδμος δὲ τὸ γεγονὸς καταισθόμενος τὰ διασπασθέντα μέλη συναγαγὼν τελευταῖον*
*πρόσωπον ἐν ταῖς τῆς τεκούσης ἐφώρασε χερσίν. Διόνυσος δὲ ἐπιφανεὶς τὰ μὲν πᾶσι παρήγγειλεν,*
*στῳ δὲ ἃ συμβήσεται διεσάφησεν, ἵνα μὴ ἔργοις ἢ λόγοις ὑπό τινος τῶν ἐκτὸς ὡς ἄνθρωπος καταφρον*

# Β Α Κ Χ Α Ι.

### ΔΙΟΝΥΣΟΣ.

Ἥκω Διὸς παῖς τήνδε Θηβαίων χθόνα
Διόνυσος, ὃν τίκτει ποθ᾽ ἡ Κάδμου κόρη,
Σεμέλη, λοχευθεῖσ᾽ ἀστραπηφόρῳ πυρί·
μορφὴν δ᾽ ἀμείψας ἐκ θεοῦ βροτησίαν
πάρειμι Δίρκης νάματ᾽ Ἰσμηνοῦ θ᾽ ὕδωρ.
ὁρῶ δὲ μητρὸς μνῆμα τῆς κεραυνίας
τόδ᾽ ἐγγὺς οἴκων, καὶ δόμων ἐρείπια
τυφόμενα δίου τ᾽ ἔτι πυρὸς ζῶσαν φλόγα,
ἀθάνατον Ἥρας μητέρ᾽ εἰς ἐμὴν ὕβριν.
αἰνῶ δὲ Κάδμον, ἄβατον ὃς πέδον τόδε
τίθησι, θυγατρὸς σηκόν· ἀμπέλου δέ νιν
πέριξ ἐγὼ ᾽κάλυψα βοτρυώδει χλόῃ.
λιπὼν δὲ Λυδῶν τοὺς πολυχρύσους γύας
Φρυγῶν τε, Περσῶν θ᾽ ἡλιοβλήτους πλάκας
Βάκτριά τε τείχη τήν τε δύσχιμον χθόνα
Μήδων ἐπελθὼν Ἀραβίαν τ᾽ εὐδαίμονα
Ἀσίαν τε πᾶσαν, ἣ παρ᾽ ἁλμυρὰν ἅλα
κεῖται, μιγάσιν Ἕλλησι βαρβάροις θ᾽ ὁμοῦ
πλήρεις ἔχουσα καλλιπυργώτους πόλεις,
ἐς τήνδε πρῶτον ἦλθον Ἑλλήνων πόλιν,
κἀκεῖ χορεύσας καὶ καταστήσας ἐμὰς
τελετὰς, ἵν᾽ εἴην ἐμφανὴς δαίμων βροτοῖς.
πρώτας δὲ Θήβας τῆσδε γῆς Ἑλληνίδος
ἀνωλόλυξα, νεβρίδ᾽ ἐξάψας χροὸς,
θύρσον τε δοὺς ἐς χεῖρα, κίσσινον βέλος,
ἐπεί μ᾽ ἀδελφαὶ μητρὸς, ἃς ἥκιστ᾽ ἐχρῆν,
Διόνυσον οὐκ ἔφασκον ἐκφῦναι Διὸς,
Σεμέλην δὲ νυμφευθεῖσαν ἐκ θνητοῦ τινος
ἐς Ζῆν᾽ ἀναφέρειν τὴν ἁμαρτίαν λέχους,
Κάδμου σοφίσμαθ᾽, ὧν νιν οὕνεκα κτανεῖν
Ζῆν᾽ ἐξεκαυχῶνθ᾽, ὅτι γάμους ἐψεύσατο.
τοιγάρ νιν αὐτὰς ἐκ δόμων οἴστρησ᾽ ἐγὼ
μανίαις· ὄρος δ᾽ οἰκοῦσι, παράκοποι φρενῶν·
σκευήν τ᾽ ἔχειν ἠνάγκασ᾽ ὀργίων ἐμῶν,
καὶ πᾶν τὸ θῆλυ σπέρμα Καδμείων, ὅσαι
γυναῖκες ἦσαν, ἐξέμηνα δωμάτων·
ὁμοῦ δὲ Κάδμου παισὶν ἀναμεμιγμέναι
χλωραῖς ὑπ᾽ ἐλάταις ἀνορόφοις ἧνται πέτραις.
δεῖ γὰρ πόλιν τήνδ᾽ ἐκμαθεῖν, κεἰ μὴ θέλει,
ἀτέλεστον οὖσαν τῶν ἐμῶν βακχευμάτων,
Σεμέλης τε μητρὸς ἀπολογήσασθαί μ᾽ ὕπερ,
φανέντα θνητοῖς δαίμον᾽, ὃν τίκτει Διί.
Κάδμος μὲν οὖν γέρας τε καὶ τυραννίδα
Πενθεῖ δίδωσι, θυγατρὸς ἐκπεφυκότι,
ὃς θεομαχεῖ τὰ κατ᾽ ἐμὲ καὶ σπονδῶν ἄπο
ὠθεῖ μ᾽, ἐν εὐχαῖς τ᾽ οὐδαμοῦ μνείαν ἔχει.
ὧν οὕνεκ᾽ αὐτῷ θεὸς γεγὼς ἐνδείξομαι
πᾶσίν τε Θηβαίοισιν. ἐς δ᾽ ἄλλην χθόνα,
τἀνθένδε θέμενος εὖ, μεταστήσω πόδα,
δεικνὺς ἐμαυτόν· ἢν δὲ Θηβαίων πόλις
ὀργῇ σὺν ὅπλοις ἐξ ὄρους βάκχας ἄγειν
ζητῇ, ξυνάψω μαινάσι στρατηλατῶν.
ὧν οὕνεκ᾽ εἶδος θνητὸν ἀλλάξας ἔχω,
μορφήν τ᾽ ἐμὴν μετέβαλον εἰς ἀνδρὸς φύσιν.
ἀλλ᾽, ὦ λιποῦσαι Τμῶλον, ἔρυμα Λυδίας,
θίασος ἐμὸς, γυναῖκες, ἃς ἐκ βαρβάρων
ἐκόμισα παρέδρους καὶ ξυνεμπόρους ἐμοὶ,
αἴρεσθε τἀπιχώρι᾽ ἐν πόλει Φρυγῶν
τύμπανα, Ῥέας τε μητρὸς ἐμά θ᾽ εὑρήματα,
βασίλειά τ᾽ ἀμφὶ δώματ᾽ ἐλθοῦσαι τάδε
κτυπεῖτε Πενθέως, ὡς ὁρᾷ Κάδμου πόλις.
ἐγὼ δὲ βάκχαις, ἐς Κιθαιρῶνος πτύχας
ἐλθὼν, ἵν᾽ εἰσὶ, συμμετασχήσω χορῶν.

### ΧΟΡΟΣ.

Ἀσίας ἀπὸ γαίας
ἱερὸν Τμῶλον ἀμείψασα θοάζω Βρομίῳ πόνον
ἡδὺν
κάματόν τ᾽ εὐκάματον, Βάκχιον εὐαζομένα θεόν.
τίς ὁδῷ τίς ὁδῷ; τίς
μελάθροις; ἔκτοπος ἔστω, στόμα τ᾽ εὔφημον ἅπας
ὁσιούσθω·
τὰ νομισθέντα γὰρ ἀεὶ Διόνυσον ὑμνήσω.
ὦ μάκαρ, ὅστις εὐδαί-
μων τελετὰς θεῶν
εἰδὼς βιοτὰν ἁγιστεύει
καὶ θιασεύεται ψυ-
χὰν, ἐν ὄρεσσι βακχεύ-
ων ὁσίοις καθαρμοῖσιν·
τά τε ματρὸς μεγάλας ὄργια Κυβέλας θεμιτεύων,
ἀνὰ θύρσον τε τινάσσων κισσῷ τε στεφανωθεὶς
Διόνυσον θεραπεύει.
ἴτε βάκχαι, ἴτε βάκχαι, Βρόμιον παῖδα θεὸν
θεοῦ
Διόνυσον κατάγουσαι Φρυγίων ἐξ ὀρέων
Ἑλλάδος εἰς εὐρυχόρους ἀγυιὰς τὸν Βρόμιον·
ὄν ποτ᾽ ἔχουσ᾽ ἐν ὠδί-
νων λοχίαις ἀνάγκαι-
σι πταμένας Διὸς βροντᾶς
νηδύος ἔκβολον μά-
τηρ ἔτεκεν, λιποῦσ᾽ αἰ-
ῶνα κεραυνίῳ πλαγᾷ·
λοχίοις δ᾽ αὐτίκα νιν δέξατο θαλάμοις Κρονίδας
Ζεύς·
κατὰ μηρῷ δὲ καλύψας χρυσέαισιν συνερείδει
περόναις κρυπτὸν ἀφ᾽ Ἥρας.
ἔτεκεν δ᾽, ἁνίκα Μοῖραι τέλεσαν ταυρόκερων θεὸν,

64—67. = 68—71.
72—87. = 88—104.

*στεφάνωσέν τε δρακόντων στεφάνοις, ἔνθεν ἄγραν*
*θυρσοφόροι μαινάδες ἀμφιβάλλονται πλοκάμοις.*
*ὦ Σεμέλας τροφοὶ Θῆ-*
*βαι στεφανοῦσθε κισσῷ·*
*βρύετε βρύετε χλοήρει*
*μίλακι καλλικάρπῳ,*
*καὶ καταβακχιοῦσθε δρυὸς*
*ἢ ἐλάτας κλάδοισι,*
*στικτῶν τ' ἐνδυτὰ νεβρίδων*
*στέφετε λευκοτρίχων πλοκάμων*
*μαλλοῖς· ἀμφὶ δὲ νάρθηκας ὑβρι-*
*στὰς ὁσιοῦσθ'· αὐτίκα γᾶ πᾶσα χορεύσει,*
*Βρόμιος ὅταν ἀγάγῃ θιάσους*
*εἰς ὄρος εἰς ὄρος, ἔνθα μένει*
*θηλυγενὴς ὄχλος*
*ἀφ' ἱστῶν παρὰ κερκίδων τ'*
*οἰστρηθεὶς Διονύσῳ.*
*ὦ θαλάμευμα Κουρή-*
*των ζάθεοί τε Κρῆτες*
*Διογενέτορες ἔναυλοι,*
*ἔνθα τρικόρυθες ἄντροις*
*βυρσότονον κύκλωμα τόδε*
*μοι Κορύβαντες εὗρον·*
*ἀνὰ δὲ βάκχια συντόνῳ*
*κέρασαν ἡδυβόᾳ Φρυγίων*
*αὐλῶν πνεύματι, ματρός τε Ῥέας*
*εἰς χέρα θῆκαν, κτύπον εὐάσμασι βακχᾶν·*
*παρὰ δὲ μαινόμενοι σάτυροι*
*ματέρος ἐξανύσαντο θεᾶς,*
*εἰς δὲ χορεύματα*
*συνῆψαν τριετηρίδων,*
*αἷς χαίρει Διόνυσος,*
*ἡδὺς ἐν οὔρεσιν, ὅταν*
*ἐκ θιάσων δρομαίων*
*πέσῃ πεδόσε, νεβρίδος ἔχων*
*ἱερὸν ἐνδυτὸν, ἀγρεύων*
*αἷμα τραγοκτόνον, ὠμοφάγον χάριν,*
*ἱέμενος εἰς ὄρεα Φρύγια, Λύδια.*
*ὁ δ' ἔξαρχος Βρόμιος, εὐοῖ.*
*ῥεῖ δὲ γάλακτι πέδον, ῥεῖ δ' οἴνῳ, ῥεῖ δὲ μελισσᾶν*
*νέκταρι, Συρίας δ' ὡς λιβάνου καπνός.*
*ὁ Βακχεὺς δ' ἔχων*
*πυρσώδη φλόγα πεύκας*
*ἐκ νάρθηκος ἀΐσσει,*
*δρόμῳ, χοροὺς ἐρεθίζων πλανάτας,*
*ἰαχαῖς τ' ἀναπάλλων,*
*τρυφερὸν πλόκαμον εἰς αἰθέρα ῥίπτων.*
*ἅμα δ' ἐπ' εὐάσμασιν ἐπιβρέμει*
*τοιάδ'· ὦ ἴτε βάκχαι,*
*ὦ ἴτε βάκχαι,*
*Τμώλου χρυσορόου χλιδὰ,*
*μέλπετε τὸν Διόνυσον*
*βαρυβρόμων ὑπὸ τυμπάνων,*
*εὔια τὸν εὔιον ἀγαλλόμεναι θεὸν*
*ἐν Φρυγίαισι βοαῖς ἐνοπαῖσί τε,*
*λωτὸς ὅταν εὐκέλαδος ἱερὸς ἱερὰ*
*παίγματα βρέμῃ, σύνοχα φοιτάσιν*

105 — 119. == 120 — 134.

*εἰς ὄρος εἰς ὄρος· ἡδομένα δ' ἄρα*
*πῶλος ὅπως ἅμα ματέρι φορβάδι*
*κῶλον ἄγει ταχύπουν σκιρτήμασι βάκχα.*

ΤΕΙΡΕΣΙΑΣ.

*τίς ἐν πύλαισι Κάδμον ἐκκαλεῖ δόμων,*
*Ἀγήνορος παῖδ', ὃς πόλιν Σιδωνίαν*
*λιπὼν ἐπύργωσ' ἄστυ Θηβαίων τόδε;*
*ἴτω τις, εἰσάγγελλε Τειρεσίας ὅτι*
*ζητεῖ νιν· οἶδε δ' αὐτὸς ὧν ἥκω πέρι,*
*ἅ τε ξυνεθέμην πρέσβυς ὢν γεραιτέρῳ,*
*θύρσους ἀνάπτειν καὶ νεβρῶν δορὰς ἔχειν,*
*στεφανοῦν τε κρᾶτα κισσίνοις βλαστήμασιν.*

ΚΑΔΜΟΣ.

*ὦ φίλταθ', ὡς σὴν γῆρυν ᾐσθόμην κλύων,*
*σοφὴν σοφοῦ παρ' ἀνδρὸς, ἐν δόμοισιν ὤν.*
*ἥκω δ' ἕτοιμος, τήνδ' ἔχων σκευὴν θεοῦ.*
*δεῖ γάρ νιν ὄντα παῖδα θυγατρὸς ἐξ ἐμῆς,*
*Διόνυσον, ὃς πέφηνεν ἀνθρώποις θεὸς,*
*ὅσον καθ' ἡμᾶς δυνατὸν αὔξεσθαι μέγαν.*
*ποῖ δεῖ χορεύειν, ποῖ καθιστάναι πόδα,*
*καὶ κρᾶτα σεῖσαι πολιόν; ἐξηγοῦ σύ μοι*
*γέρων γέροντι, Τειρεσία· σὺ γὰρ σοφός.*
*ὡς οὐ κάμοιμ' ἂν οὔτε νύκτ' οὔθ' ἡμέραν*
*θύρσῳ κροτῶν γῆν· ἐπιλελήσμεθ' ἡδέως*
*γέροντες ὄντες.*

ΤΕΙΡΕΣΙΑΣ.

*ταὔτ' ἐμοὶ πάσχεις ἄρα.*
*κἀγὼ γὰρ ἡβῶ κἀπιχειρήσω χοροῖς.*

ΚΑΔΜΟΣ.

*οὐκοῦν ὄχοισιν εἰς ὄρος περάσομεν.*

ΤΕΙΡΕΣΙΑΣ.

*ἀλλ' οὐχ ὁμοίως ἂν ὁ θεὸς τιμὴν ἔχοι.*

ΚΑΔΜΟΣ.

*γέρων γέροντα παιδαγωγήσω σ' ἐγώ.*

ΤΕΙΡΕΣΙΑΣ.

*ὁ θεὸς ἀμοχθὶ κεῖσε νῷν ἡγήσεται.*

ΚΑΔΜΟΣ.

*μόνοι δὲ πόλεως Βακχίῳ χορεύσομεν;*

ΤΕΙΡΕΣΙΑΣ.

*μόνοι γὰρ εὖ φρονοῦμεν, οἱ δ' ἄλλοι κακῶς.*

ΚΑΔΜΟΣ.

*μακρὸν τὸ μέλλειν· ἀλλ' ἐμῆς ἔχου χερός.*

ΤΕΙΡΕΣΙΑΣ.

*ἰδοὺ, ξύναπτε καὶ ξυνωρίζου χέρα.*

ΚΑΔΜΟΣ.

*οὐ καταφρονῶ 'γὼ τῶν θεῶν, θνητὸς γεγώς.*

ΤΕΙΡΕΣΙΑΣ.

*οὐδὲν σοφιζόμεσθα τοῖσι δαίμοσι.*
*πατρίους παραδοχὰς, ἅς θ' ὁμήλικας χρόνῳ*
*κεκτήμεθ', οὐδεὶς αὐτὰ καταβαλεῖ λόγος,*
*οὐδ' εἰ δι' ἄκρων τὸ σοφὸν εὕρηται φρενί.*
*ἐρεῖ τις ὡς τὸ γῆρας οὐκ αἰσχύνομαι,*
*μέλλων χορεύειν, κρᾶτα κισσώσας ἐμόν.*
*οὐ γὰρ διῄρηχ' ὁ θεὸς εἴτε τὸν νέον*
*ἐχρῆν χορεύειν εἴτε τὸν γεραίτερον,*
*ἀλλ' ἐξ ἁπάντων βούλεται τιμὰς ἔχειν*
*κοινὰς, δι' ἀριθμῶν δ' οὐδὲν αὔξεσθαι θέλει.*

ΚΑΔΜΟΣ.

*ἐπεὶ σὺ φέγγος, Τειρεσία, τόδ' οὐχ ὁρᾷς,*
*ἐγὼ προφήτης σοι λόγων γενήσομαι.*

Πενθεὺς πρὸς οἴκους ὅδε διὰ σπουδῆς περᾷ,
Ἐχίονος παῖς, ᾧ κράτος δίδωμι γῆς.
ὡς ἐπτόηται· τί ποτ' ἐρεῖ νεώτερον;

ΠΕΝΘΕΥΣ.

ἔκδημος ὢν μὲν τῆσδ' ἐτύγχανον χθονὸς,
κλύω δὲ νεοχμὰ τήνδ' ἀνὰ πτόλιν κακὰ,
γυναῖκας ἡμῖν δώματ' ἐκλελοιπέναι,
πλασταῖσι βακχείαισιν, ἐν δὲ δασκίοις
ὄρεσι θοάζειν, τὸν νεωστὶ δαίμονα
Διόνυσον, ὅστις ἐστὶ, τιμώσας χοροῖς·
πλήρεις δὲ θιάσοις ἐν μέσοισιν ἑστάναι
κρατῆρας, ἄλλην δ' ἄλλοσ' εἰς ἐρημίαν
πτώσσουσαν εὐναῖς ἀρσένων ὑπηρετεῖν,
πρόφασιν μὲν ὡς δὴ μαινάδας θυοσκόους,
τὴν δ' Ἀφροδίτην πρόσθ' ἄγειν τοῦ Βακχίου.
ὅσας μὲν οὖν εἴληφα, δεσμίους χέρας
σώζουσι πανδήμοισι πρόσπολοι στέγαις·
ὅσαι δ' ἄπεισιν, ἐξ ὄρους θηράσομαι,
Ἰνώ τ' Ἀγαύην θ', ἥ μ' ἔτικτ' Ἐχίονι,
Ἀκταίονός τε μητέρ', Αὐτονόην λέγω.
καὶ σφᾶς σιδηραῖς ἁρμόσας ἐν ἄρκυσι
παύσω κακούργου τῆσδε βακχείας τάχα.
λέγουσι δ' ὥς τις εἰσελήλυθε ξένος
γόης, ἐπῳδὸς Λυδίας ἀπὸ χθονὸς,
ξανθοῖσι βοστρύχοισιν εὔκοσμος κόμην,
οἰνωπὸς, ὄσσοις χάριτας Ἀφροδίτης ἔχων,
ὃς ἡμέρας τε κεὐφρόνας συγγίγνεται,
τελετὰς προτείνων εὐίους νεάνισιν.
εἰ δ' αὐτὸν εἴσω τῆσδε λήψομαι στέγης,
παύσω κτυποῦντα θύρσον ἀνασείοντά τε
κόμας, τράχηλον σώματος χωρὶς τεμών.
ἐκεῖνος εἶναί φησι Διόνυσον θεὸν,
ἐκεῖνος ἐν μηρῷ ποτ' ἐρράφη Διὸς,
ὃς ἐκπυροῦται λαμπάσιν κεραυνίαις
σὺν μητρὶ, δίους ὅτι γάμους ἐψεύσατο.
ταῦτ' οὐχὶ δεινῆς ἀγχόνης ἐπάξια,
ὕβρεις ὑβρίζειν, ὅστις ἐστὶν ὁ ξένος;
ἀτὰρ τόδ' ἄλλο θαῦμα, τὸν τερασκόπον
ἐν ποικίλαισι νεβρίσι Τειρεσίαν ὁρῶ,
πατέρα τε μητρὸς τῆς ἐμῆς, πολὺν γέλων,
νάρθηκι βακχεύοντ'· ἀναίνομαι, πάτερ,
τὸ γῆρας ὑμῶν εἰσορῶν νοῦν οὐκ ἔχον.
οὐκ ἀποτινάξεις κισσόν; οὐκ ἐλευθέραν
θύρσου μεθήσεις χεῖρ', ἐμῆς μητρὸς πάτερ;
σὺ ταῦτ' ἔπεισας, Τειρεσία; τόνδ' αὖ θέλεις
τὸν δαίμον' ἀνθρώποισιν εἰσφέρων νέον,
σκοπεῖν πτερωτοὺς κἀμπύρων μισθοὺς φέρειν;
εἰ μή σε γῆρας πολιὸν ἐξερρύετο,
καθῆσ' ἂν ἐν βάκχαισι δέσμιος μέσαις,
τελετὰς πονηρὰς εἰσάγων· γυναιξὶ γὰρ
ὅπου βότρυος ἐν δαιτὶ γίγνεται γάνος,
οὐχ ὑγιὲς οὐδὲν ἔτι λέγω τῶν ὀργίων.

ΧΟΡΟΣ.

τῆς δυσσεβείας. ὦ ξέν', οὐκ αἰδεῖ θεοὺς
Κάδμον τε, τὸν σπείραντα γηγενῆ στάχυν;
Ἐχίονος δ' ὢν παῖς καταισχύνεις γένος.

ΤΕΙΡΕΣΙΑΣ.

ὅταν λάβῃ τις τῶν λόγων ἀνὴρ σοφὸς
καλὰς ἀφορμὰς, οὐ μέγ' ἔργον εὖ λέγειν·
σὺ δ' εὔτροχον μὲν γλῶσσαν ὡς φρονῶν ἔχεις,
ἐν τοῖς λόγοισι δ' οὐκ ἔνεισί σοι φρένες.
θρασὺς δὲ, δυνατὸς καὶ λέγειν οἷός τ' ἀνὴρ,
κακὸς πολίτης γίγνεται, νοῦν οὐκ ἔχων.
οὗτος δ' ὁ δαίμων ὁ νέος, ὃν σὺ διαγελᾷς,
οὐκ ἂν δυναίμην μέγεθος ἐξειπεῖν ὅσος
καθ' Ἑλλάδ' ἔσται· δύο γὰρ, ὦ νεανία,
τὰ πρῶτ' ἐν ἀνθρώποισι, Δημήτηρ θεὰ,
Γῆ δ' ἐστίν· ὄνομα δ' ὁπότερον βούλει κάλει·
αὕτη μὲν ἐν ξηροῖσιν ἐκτρέφει βροτούς·
ὁ δ' ἦλθεν ἐπὶ τἀντίπαλον ὁ Σεμέλης γόνος,
βότρυος ὑγρὸν πῶμ' εὗρε κεἰσηνέγκατο
θνητοῖς, ὃ παύει τοὺς ταλαιπώρους βροτοὺς
λύπης, ὅταν πλησθῶσιν ἀμπέλου ῥοῆς,
ὕπνον τε, λήθην τῶν καθ' ἡμέραν κακῶν,
δίδωσιν, οὐδ' ἔστ' ἄλλο φάρμακον πόνων.
οὗτος θεοῖσι σπένδεται θεὸς γεγὼς,
ὥστε διὰ τοῦτον τἀγάθ' ἀνθρώπους ἔχειν.
καὶ καταγελᾷς νιν, ὡς ἐνερράφη Διὸς
μηρῷ. διδάξω σ' ὡς καλῶς ἔχει τόδε.
ἐπεί νιν ἥρπασ' ἐκ πυρὸς κεραυνίου
Ζεὺς, ἐς δ' Ὄλυμπον βρέφος ἀνήγαγεν νέον,
Ἥρα νιν ἤθελ' ἐκβαλεῖν ἀπ' οὐρανοῦ·
Ζεὺς δ' ἀντεμηχανήσαθ', οἷα δὴ θεός.
ῥήξας μέρος τι τοῦ χθόν' ἐγκυκλουμένου
αἰθέρος, ἔθηκε τόνδ' ὅμηρον ἐκδιδοὺς
Διόνυσον Ἥρας νεικέων· χρόνῳ δέ νιν
βροτοὶ τραφῆναί φασιν ἐν μηρῷ Διὸς,
ὄνομα μεταστήσαντες, ὅτι θεᾷ θεὸς
Ἥρᾳ ποθ' ὡμήρευσε, συνθέντες λόγον.
μάντις δ' ὁ δαίμων ὅδε· τὸ γὰρ βακχεύσιμον
καὶ τὸ μανιῶδες μαντικὴν πολλὴν ἔχει·
ὅταν γὰρ ὁ θεὸς ἐς τὸ σῶμ' ἔλθῃ πολὺς,
λέγειν τὸ μέλλον τοὺς μεμηνότας ποιεῖ.
Ἄρεώς τε μοῖραν μεταλαβὼν ἔχει τινά·
στρατὸν γὰρ ἐν ὅπλοις ὄντα κἀπὶ τάξεσι
φόβος διεπτόησε, πρὶν λόγχης θιγεῖν·
μανία δὲ καὶ τοῦτ' ἐστὶ Διονύσου πάρα.
ἔτ' αὐτὸν ὄψει κἀπὶ Δελφίσιν πέτραις
πηδῶντα σὺν πεύκαισι δικόρυφον πλάκα,
πάλλοντα καὶ σείοντα βακχεῖον κλάδον,
μέγαν τ' ἀν' Ἑλλάδ'. ἀλλ' ἐμοὶ, Πενθεῦ, πιθοῦ,
μὴ τὸ κράτος αὔχει δύναμιν ἀνθρώποις ἔχειν,
μηδ', ἢν δοκῇς μὲν, ἡ δὲ δόξα σου νοσεῖ,
φρονεῖν δόκει τι· τὸν θεὸν δ' ἐς γῆν δέχου,
καὶ σπένδε καὶ βάκχευε καὶ στέφου κάρα.
οὐχ ὁ Διόνυσος σωφρονεῖν ἀναγκάσει
γυναῖκας ἐς τὴν Κύπριν, ἀλλ' ἐν τῇ φύσει
τὸ σωφρονεῖν ἔνεστιν ἐς τὰ πάντ' ἀεί.
τοῦτο σκοπεῖν χρή· καὶ γὰρ ἐν βακχεύμασιν
οὖσ' ἥ γε σώφρων οὐ διαφθαρήσεται.
ὁρᾷς; σὺ χαίρεις, ὅταν ἐφεστῶσιν πύλαις
πολλοὶ, τὸ Πενθέως δ' ὄνομα μεγαλύνῃ πόλις·
κἀκεῖνος, οἶμαι, τέρπεται τιμώμενος.
ἐγὼ μὲν οὖν καὶ Κάδμος, ὃν σὺ διαγελᾷς,
κισσῷ τ' ἐρεψόμεσθα καὶ χορεύσομεν,
πολιὰ ξυνωρὶς, ἀλλ' ὅμως χορευτέον,
κοὐ θεομαχήσω, σῶν λόγων πεισθεὶς ὕπο.
μαίνει γὰρ ὡς ἄλγιστα, κοὔτε φαρμάκοις
ἄκη λάβοις ἂν οὔτ' ἄνευ τούτων νοσεῖς.

ΧΟΡΟΣ.

ὦ πρέσβυ, Φοῖβόν τ' οὐ καταισχύνεις λόγοις
τιμῶν τε Βρόμιον σωφρονεῖς, μέγαν θεόν.

ΚΑΔΜΟΣ.

ὦ παῖ, καλῶς σοι Τειρεσίας παρῄνεσεν·
οἴκει μεθ' ἡμῶν, μὴ θύραζε τῶν νόμων.
νῦν γὰρ πέτει τε καὶ φρονῶν οὐδὲν φρονεῖς.
κεἰ μὴ γὰρ ἔστιν ὁ θεὸς οὗτος, ὡς σὺ φῄς,
παρὰ σοὶ λεγέσθω· καὶ καταψεύδου καλῶς
ὡς ἔστι, Σεμέλη θ' ἵνα δοκῇ θεὸν τεκεῖν,
ἡμῖν τε τιμὴ παντὶ τῷ γένει προσῇ.
ὁρᾷς τὸν Ἀκτέωνος ἄθλιον μόρον;
ὃν ὠμόσιτοι σκύλακες ἃς ἐθρέψατο
διεσπάσαντο, κρείσσον' ἐν κυναγίαις
Ἀρτέμιδος εἶναι κομπάσαντ', ἐν ὀργάσιν.
ὃ μὴ πάθῃς σύ· δεῦρό σου στέψω κάρα
κισσῷ· μεθ' ἡμῶν τῷ θεῷ τιμὴν δίδου.

ΠΕΝΘΕΥΣ.

οὐ μὴ προσοίσεις χεῖρα, βακχεύσεις δ' ἰών,
μηδ' ἐξομόρξει μωρίαν τὴν σὴν ἐμοί;
τῆς σῆς δ' ἀνοίας τόνδε τὸν διδάσκαλον
δίκην μέτειμι. στειχέτω τις ὡς τάχος,
ἐλθὼν δὲ θάκους τοῦδ', ἵν' οἰωνοσκοπεῖ,
μοχλοῖς τριαίνου κἀνάτρεψον ἔμπαλιν,
ἄνω κάτω τὰ πάντα συγχέας ὁμοῦ,
καὶ στέμματ' ἀνέμοις καὶ θυέλλαισιν μέθες.
μάλιστα γάρ νιν δήξομαι δράσας τάδε.
οἱ δ' ἀνὰ πόλιν στείχοντες ἐξιχνεύσατε
τὸν θηλύμορφον ξένον, ὃς εἰσφέρει νόσον
καινὴν γυναιξὶ καὶ λέχη λυμαίνεται.
κἄνπερ λάβητε, δέσμιον πορεύσατε
δεῦρ' αὐτὸν, ὡς ἂν λευσίμου δίκης τυχὼν
θάνῃ, πικρὰν βάκχευσιν ἐν Θήβαις ἰδών.

ΤΕΙΡΕΣΙΑΣ.

ὦ σχέτλι', ὡς οὐκ οἶσθα ποῦ ποτ' εἶ λόγων.
μέμηνας ἤδη, καὶ πρὶν ἐξέστης φρενῶν.
στείχωμεν ἡμεῖς, Κάδμε, κἀξαιτώμεθα
ὑπέρ τε τούτου, καίπερ ὄντος ἀγρίου,
ὑπέρ τε πόλεως, τὸν θεὸν μηδὲν νέον
δρᾶν. ἀλλ' ἕπου μοι κισσίνου βάκτρου μέτα·
πειρῶ δ' ἀνορθοῦν σῶμ' ἐμὸν, κἀγὼ τὸ σόν·
γέροντε δ' αἰσχρὸν δύο πεσεῖν· ἴτω δ' ὅμως.
τῷ Βακχίῳ γὰρ τῷ Διὸς δουλευτέον.
Πενθεὺς δ' ὅπως μὴ πένθος εἰσοίσει δόμοις
τοῖς σοῖσι, Κάδμε· μαντικῇ μὲν οὐ λέγω,
τοῖς πράγμασιν δέ· μῶρα γὰρ μῶρος λέγει.

ΧΟΡΟΣ.

ὁσία, πότνα θεῶν,
ὁσία δ', ἃ κατὰ γᾶν
χρυσέαν πτέρυγα φέρεις,
τάδε Πενθέως ἀΐεις,
ἀΐεις οὐχ ὁσίαν
ὕβριν ἐς τὸν Βρόμιον,
τὸν Σεμέλας τὸν παρὰ καλλιστεφάνοις
εὐφροσύναις δαίμονα πρῶτον μακάρων; ὃς τάδ'
ἔχει,
θιασεύειν τε χοροῖς,
μετά τ' αὐλοῦ γελάσαι
ἀποπαῦσαί τε μερίμνας, ὁπόταν βότρυος ἔλθῃ
γάνος ἐν δαιτὶ θεῶν,
κισσοφόροις δ' ἐν θαλίαις ἀνδράσι κρατὴρ ὕπ-
νον ἀμφιβάλλῃ.

370—384. == 385—399.

ἀχαλίνων στομάτων
ἀνόμου τ' ἀφροσύνας
τὸ τέλος δυστυχία·
ὁ δὲ τᾶς ἡσυχίας
βίοτος καὶ τὸ φρονεῖν
ἀσάλευτόν τε μένει
καὶ συνέχει δώματα· πόρσω γὰρ ὅμως
αἰθέρα ναίοντες ὁρῶσιν τὰ βροτῶν οὐρανίδαι.
τὸ σοφὸν δ' οὐ σοφία,
τό τε μὴ θνητὰ φρονεῖν.
βραχὺς αἰών· ἐπὶ τούτῳ δέ τις ἂν μεγάλα διώ-
κων τὰ παρόντ' οὐχὶ φέροι.
μαινομένων οἵδε τρόποι καὶ κακοβούλων πα-
ρ' ἔμοιγε φωτῶν.
ἱκοίμαν ποτὶ Κύπρον,
νᾶσον τᾶς Ἀφροδίτας,
ἵν' οἱ θελξίφρονες νέμον-
ται θνατοῖσιν Ἔρωτες,
Πάφον θ', ἃν ἑκατόστομοι
βαρβάρου ποταμοῦ ῥοαὶ
καρπίζουσιν ἄνομβροι.
ὅπου καλλιστευομένα
Πιερία μούσειος ἕδρα,
σεμνὰ κλιτὺς Ὀλύμπου,
ἐκεῖσ' ἄγε με, Βρόμιε Βρόμιε,
προβακχήιε δαῖμον
ἐκεῖ χάριτες, ἐκεῖ δὲ πόθος·
ἐκεῖ δὲ βάκχαισι θέμις ὀργιάζειν.
ὁ δαίμων ὁ Διὸς παῖς
χαίρει μὲν θαλίαισιν,
φιλεῖ δ' ὀλβοδότειραν Εἰ-
ρήναν, κουροτρόφον θεάν.
ἴσαν δ' εἴς τε τὸν ὄλβιον
τόν τε χείρονα δῶκ' ἔχειν
οἴνου τέρψιν ἄλυπον·
μισεῖ δ' ᾧ μὴ ταῦτα μέλει,
κατὰ φάος νύκτας τε φίλας
εὐαίωνα διαζῆν·
σοφὰν δ' ἀπέχειν πραπίδα φρένα τε
περισσῶν παρὰ φωτῶν.
τὸ πλῆθος ὅ τι τὸ φαυλότερον
ἐνόμισε χρῆταί τε, τόδε τοι λέγοιμ' ἄν.

ΘΕΡΑΠΩΝ.

Πενθεῦ, πάρεσμεν, τήνδ' ἄγραν ἠγρευκότες
ἐφ' ἣν ἔπεμψας, οὐδ' ἄκρανθ' ὡρμήσαμεν.
ὁ θὴρ δ' ὅδ' ἡμῖν πρᾷος, οὐδ' ὑπέσπασε
φυγῇ πόδ', ἀλλ' ἔδωκεν οὐκ ἄκων χέρας,
οὐδ' ὠχρὸς, οὐδ' ἤλλαξεν οἰνωπὸν γένυν,
γελῶν δὲ καὶ δεῖν κἀπάγειν ἐφίετο,
ἔμενέ τε, τοὐμὸν εὐτρεπὲς ποιούμενος.
κἀγὼ δι' αἰδοῦς εἶπον, ὦ ξέν', οὐχ ἑκὼν
ἄγω σε, Πενθέως δ', ὅς μ' ἔπεμψ', ἐπιστολαῖς.
ἃς δ' αὖ σὺ βάκχας εἷρξας, ἃς συνήρπασας
κἄδησας ἐν δεσμοῖσι πανδήμου στέγης,
φροῦδαί γ' ἐκεῖναι λελυμέναι πρὸς ὀργάδας

400—415. == 416—433.

σκιρτῶσι, Βρόμιον ἀνακαλούμεναι θεόν.
αὐτόματα δ' αὐταῖς δεσμὰ διελύθη ποδῶν,
κλῇδές τ' ἀνῆκαν θύρετρ' ἄνευ θνητῆς χερός.
πολλῶν δ' ὅδ' ἀνὴρ θαυμάτων ἥκει πλέως
ἐς τάσδε Θήβας· σοὶ δὲ τἄλλα χρὴ μέλειν.

ΠΕΝΘΕΥΣ.

μέθεσθε χειρῶν τοῦδ'· ἐν ἄρκυσιν γὰρ ὢν
οὐκ ἔστιν οὕτως ὠκὺς ὥστε μ' ἐκφυγεῖν.
ἀτὰρ τὸ μὲν σῶμ' οὐκ ἄμορφος εἶ, ξένε,
ὡς ἐς γυναῖκας, ἐφ' ὅπερ ἐς Θήβας πάρει·
πλόκαμός τε γάρ σου ταναὸς, οὐ πάλης ὕπο,
γένυν παρ' αὐτὴν κεχυμένος, πόθου πλέως·
λευκὴν δὲ χροιὰν ἐς παρασκευὴν ἔχεις,
οὐχ ἡλίου βολαῖσιν, ἀλλ' ὑπὸ σκιᾶς,
τὴν Ἀφροδίτην καλλονῇ θηρώμενος.
πρῶτον μὲν οὖν μοι λέξον ὅστις εἶ γένος.

ΔΙΟΝΥΣΟΣ.

οὐ κόμπος οὐδείς· ῥᾴδιον δ' εἰπεῖν τόδε·
τὸν ἀνθεμώδη Τμῶλον οἶσθά που κλύων.

ΠΕΝΘΕΥΣ.

οἶδ', ὃς τὸ Σάρδεων ἄστυ περιβάλλει κύκλῳ.

ΔΙΟΝΥΣΟΣ.

ἐντεῦθέν εἰμι, Λυδία δέ μοι πατρίς.

ΠΕΝΘΕΥΣ.

πόθεν δὲ τελετὰς τάσδ' ἄγεις ἐς Ἑλλάδα;

ΔΙΟΝΥΣΟΣ.

Διόνυσος ἡμᾶς εἰσέβησ' ὁ τοῦ Διός.

ΠΕΝΘΕΥΣ.

Ζεὺς δ' ἔστ' ἐκεῖ τις, ὃς νέους τίκτει θεούς;

ΔΙΟΝΥΣΟΣ.

οὐκ, ἀλλ' ὁ Σεμέλην ἐνθάδε ζεύξας γάμοις.

ΠΕΝΘΕΥΣ.

πότερα δὲ νύκτωρ σ' ἢ κατ' ὄμμ' ἠνάγκασεν;

ΔΙΟΝΥΣΟΣ.

ὁρῶν ὁρῶντα, καὶ δίδωσιν ὄργια.

ΠΕΝΘΕΥΣ.

τὰ δ' ὄργι' ἐστὶ τίν' ἰδέαν ἔχοντά σοι;

ΔΙΟΝΥΣΟΣ.

ἄρρητ' ἀβακχεύτοισιν εἰδέναι βροτῶν.

ΠΕΝΘΕΥΣ.

ἔχει δ' ὄνησιν τοῖσι θύουσιν τίνα;

ΔΙΟΝΥΣΟΣ.

οὐ θέμις ἀκοῦσαί σ', ἔστι δ' ἄξι' εἰδέναι.

ΠΕΝΘΕΥΣ.

εὖ τοῦτ' ἐκιβδήλευσας, ἵν' ἀκοῦσαι θέλω.

ΔΙΟΝΥΣΟΣ.

ἀσέβειαν ἀσκοῦντ' ὄργι' ἐχθαίρει θεοῦ.

ΠΕΝΘΕΥΣ.

τὸν θεὸν ὁρᾶν γὰρ φὴς σαφῶς, ποῖός τις ἦν;

ΔΙΟΝΥΣΟΣ.

ὁποῖος ἤθελ'· οὐκ ἐγὼ 'τασσον τόδε.

ΠΕΝΘΕΥΣ.

τοῦτ' αὖ παρωχέτευσας εὖ, κοὐδὲν λέγων.

ΔΙΟΝΥΣΟΣ.

δόξει τις ἀμαθεῖ σοφὰ λέγων οὐκ εὖ φρονεῖν.

ΠΕΝΘΕΥΣ.

ἦλθες δὲ πρῶτα δεῦρ' ἄγων τὸν δαίμονα;

ΔΙΟΝΥΣΟΣ.

πᾶς ἀναχορεύει βαρβάρων τάδ' ὄργια.

ΠΕΝΘΕΥΣ.

φρονοῦσι γὰρ κάκιον Ἑλλήνων πολύ.

ΔΙΟΝΥΣΟΣ.

τάδ' εὖ γε μᾶλλον· οἱ νόμοι δὲ διάφοροι.

ΠΕΝΘΕΥΣ.

τὰ δ' ἱρὰ νύκτωρ ἢ μεθ' ἡμέραν τελεῖς;

ΔΙΟΝΥΣΟΣ.

νύκτωρ τὰ πολλά· σεμνότητ' ἔχει σκότος.

ΠΕΝΘΕΥΣ.

τοῦτ' ἐς γυναῖκας δόλιόν ἐστι καὶ σαθρόν.

ΔΙΟΝΥΣΟΣ.

κἀν ἡμέρᾳ τό γ' αἰσχρὸν ἐξεύροι τις ἄν.

ΠΕΝΘΕΥΣ.

δίκην σε δοῦναι δεῖ σοφισμάτων κακῶν.

ΔΙΟΝΥΣΟΣ.

σὲ δ' ἀμαθίας γε κἀσεβοῦντ' ἐς τὸν θεόν.

ΠΕΝΘΕΥΣ.

ὡς θρασὺς ὁ βάκχος κοὐκ ἀγύμναστος λόγων.

ΔΙΟΝΥΣΟΣ.

εἴφ' ὅ τι παθεῖν δεῖ· τί με τὸ δεινὸν ἐργάσει;

ΠΕΝΘΕΥΣ.

πρῶτον μὲν ἁβρὸν βόστρυχον τεμῶ σέθεν.

ΔΙΟΝΥΣΟΣ.

ἱερὸς ὁ πλόκαμος· τῷ θεῷ δ' αὐτὸν τρέφω.

ΠΕΝΘΕΥΣ.

ἔπειτα θύρσον τόνδε παράδος ἐκ χεροῖν.

ΔΙΟΝΥΣΟΣ.

αὐτός μ' ἀφαιροῦ· τόνδε Διονύσου φορῶ.

ΠΕΝΘΕΥΣ.

εἱρκταῖσί τ' ἔνδον σῶμα σὸν φυλάξομεν.

ΔΙΟΝΥΣΟΣ.

λύσει μ' ὁ δαίμων αὐτὸς, ὅταν ἐγὼ θέλω.

ΠΕΝΘΕΥΣ.

ὅταν γε καλέσῃς αὐτὸν, ἐν βάκχαις σταθείς;

ΔΙΟΝΥΣΟΣ.

καὶ νῦν ἃ πάσχω πλησίον παρὼν ὁρᾷ.

ΠΕΝΘΕΥΣ.

καὶ ποῦ 'στιν; οὐ γὰρ φανερὸς ὄμμασίν γ' ἐμοῖς.

ΔΙΟΝΥΣΟΣ.

παρ' ἐμοί· σὺ δ' ἀσεβὴς αὐτὸς ὢν οὐκ εἰσορᾷς.

ΠΕΝΘΕΥΣ.

λάζυσθε, καταφρονεῖ με καὶ Θήβας ὅδε.

ΔΙΟΝΥΣΟΣ.

αὐδῶ με μὴ δεῖν σωφρονῶν οὐ σώφροσιν.

ΠΕΝΘΕΥΣ.

ἐγὼ δὲ δεῖν γε κυριώτερος σέθεν.

ΔΙΟΝΥΣΟΣ.

οὐκ οἶσθ' ὅ τι ζῇς, οὐδ' ὃ δρᾷς, οὐθ' ὅστις εἶ.

ΠΕΝΘΕΥΣ.

Πενθεὺς, Ἀγαύης παῖς, πατρὸς δ' Ἐχίονος.

ΔΙΟΝΥΣΟΣ.

ἐνδυστυχῆσαι τοὔνομ' ἐπιτήδειος εἶ.

ΠΕΝΘΕΥΣ.

χώρει· καθείρξατ' αὐτὸν ἱππικαῖς πέλας
φάτναισιν, ὡς ἂν σκότιον εἰσορᾷ κνέφας.
ἐκεῖ χόρευε· τάσδε δ' ἃς ἄγων πάρει
κακῶν ξυνεργοὺς ἢ διεμπολήσομεν
ἢ χεῖρα δούπου τοῦδε καὶ βύρσης κτύπου

παύσας, ἐφ' ἱστοῖς δμωΐδας κεκτήσομαι.

ΔΙΟΝΥΣΟΣ.

στείχοιμ' ἄν· ὅ τι γὰρ μὴ χρεὼν, οὔτοι χρεὼν
παθεῖν· ἀτάρ τοι τῶνδ' ἄποιν' ὑβρισμάτων
μέτεισι Διόνυσός σ', ὅν οὐκ εἶναι λέγεις·
ἡμᾶς γὰρ ἀδικῶν, κεῖνον ἐς δεσμοὺς ἄγεις.

ΧΟΡΟΣ.

* * * Ἀχελῴου θύγατερ,
πότνι', εὐπάρθενε Δίρκα, σὺ γὰρ ἐν σαῖς
ποτε παγαῖς τὸ Διὸς βρέφος ἔλαβες,
ὅτε μηρῷ πυρὸς ἐξ ἀθανάτου Ζεὺς
ὁ τεκὼν ἥρπασέ νιν, τάδ' ἀμβοάσας·
ἴθι, Διθύραμβ', ἐμὰν ἄρσενα τάνδε βᾶθι νηδύν·
ἀναφανῶ σε τόδ', ὦ Βάκχιε, Θήβαις ὀνομάζειν.
σὺ δέ μ', ὦ μάκαιρα Δίρκα, στεφανηφόρους ἀπωθεῖ
θιάσους ἔχουσαν ἐν σοί. τί μ' ἀναίνει; τί με φεύγεις;
ἔτι ναὶ τὰν βοτρυώδη Διονύσου χάριν οἴνας ἔτι σοι
τοῦ Βρομίου μελήσει.
οἵαν οἵαν ὀργὰν ἀναφαίνει χθόνιον
γένος ἐκφύς τε δράκοντός ποτε Πενθεὺς,
ὃν Ἐχίων ἐφύτευσε χθόνιος,
ἀγριωπὸν τέρας, οὐ φῶτα βρότειον,
φόνιον δ' ὥστε γίγαντ' ἀντίπαλον θεοῖς,
ὃς ἔμ' ἐν βρόχοισι τὰν τοῦ Βρομίου τάχα ξυνάψει,
τὸν ἐμὸν δ' ἐντὸς ἔχει δώματος ἤδη θιασώταν
σκοτίαις κρυπτὸν ἐν εἱρκταῖς. ἐσορᾷς τάδ', ὦ Διὸς παῖ
Διόνυσε, σοὺς προφήτας ἐν ἁμίλλαισιν ἀνάγκας;
μόλε χρυσῶπα τινάσσων ἀνὰ θύρσον κατ' Ὄλυμπον· φονίου δ'
ἀνδρὸς ὕβριν κατάσχες.
πόθι Νύσας ἄρα τᾶς θηροτρόφου θυρσοφορεῖς
θιάσους, ὦ Διόνυσ', ἢ κορυφαῖς Κωρυκίαις;
τάχα δ' ἐν ταῖς πολυδένδρεσσιν Ὀλύμπου
θαλάμοις, ἔνθα ποτ' Ὀρφεὺς κιθαρίζων
σύναγεν δένδρεα Μούσαις, σύναγεν θῆρας ἀγρώτας.
μάκαρ ὦ Πιερία,
σέβεταί σ' Εὔιος, ἥξει τε χορεύσων
ἅμα βακχεύμασι, τόν τ' ὠκυρόαν
διαβὰς Ἄξιον εἱλισσομένας μαινάδας ἄξει,
Λυδίαν τε, τὸν εὐδαιμονίας
βροτοῖς ὀλβοδόταν,
πατέρα τε, τὸν ἔκλυον
εὔιππον χώραν ὕδασιν
καλλίστοισι λιπαίνειν.

ΔΙΟΝΥΣΟΣ.

ἰώ,
κλύετ' ἐμᾶς κλύετ' αὐδᾶς,
ὦ βάκχαι, ἰὼ βάκχαι.

ΧΟΡΟΣ.

τίς ὅδε, τίς, πόθεν ὁ κέλαδος ἀνά μ' ἐκάλεσεν Εὐίου;

ΔΙΟΝΥΣΟΣ.

ἰὼ ἰὼ, πάλιν αὐδῶ,
ὁ Σεμέλας, ὁ Διὸς παῖς.

519—537. = 538—555.

ΧΟΡΟΣ.

ἰὼ ἰὼ δέσποτα δέσποτα,
μόλε νυν ἡμέτερον εἰς θίασον, ὦ
Βρόμιε Βρόμιε. πέδον χθονὸς,
ἔνοσι πότνια.
ἃ ἆ·
τάχα τὰ Πενθέως
μέλαθρα διατινάξεται πεσήμασιν.
ὁ Διόνυσος ἀνὰ μέλαθρα· σέβετέ νιν.
σέβομεν ὤ. ἴδετε λάϊνα
κίοσιν ἔμβολα
διάδρομα τάδε·
ὁ Βρόμιος ἀλαλάξεται στέγας ἔσω.

ΔΙΟΝΥΣΟΣ.

ἅπτε κεραύνιον αἴθοπα λαμπάδα·
σύμφλεγε σύμφλεγε δώματα Πενθέως.

ΗΜΙΧΟΡΙΟΝ.

ἃ ἆ·
πῦρ οὐ λεύσσεις οὐδ' αὐγάζει
Σεμέλας ἱερὸν ἀμφὶ τάφον, ἅν
ποτε κεραυνοβόλος ἔλιπε φλόγα
δίου βροντᾶς;

ΗΜΙΧΟΡΙΟΝ.

δίκετε πεδόσε δίκετε τρομερὰ
σώματα, μαινάδες·
ὁ γὰρ ἄναξ ἄνω κάτω τιθεὶς ἔπεισι
μέλαθρα τάδε Διὸς γόνος.

ΔΙΟΝΥΣΟΣ.

βάρβαροι γυναῖκες, οὕτως ἐκπεπληγμέναι φ[…]
πρὸς πέδῳ πεπτώκατ'; ᾔσθησθ', ὡς ἔοικε, Β[…]χίου
διατινάξαντος τὰ Πενθέως δώματ'· ἀλλ' ἀνίσ[…]
σῶμα, καὶ θαρσεῖτε, σαρκὸς ἐξαμείψασαι τρό[…]

ΧΟΡΟΣ.

ὦ φάος μέγιστον ἡμῖν εὐίου βακχεύματος,
ὡς ἐσεῖδον ἀσμένη σε, μονάδ' ἔχουσ' ἐρ[…]

ΔΙΟΝΥΣΟΣ.

εἰς ἀθυμίαν ἀφίκεσθ', ἡνίκ' εἰσεπεμπόμην,
Πενθέως ὡς ἐς σκοτεινὰς ὀρκάνας πεσούμεν[…]

ΧΟΡΟΣ.

πῶς γὰρ οὔ; τίς μοι φύλαξ ἦν, εἰ σὺ συ[…]ρᾶς τύχοις;
ἀλλὰ πῶς ἠλευθερώθης, ἀνδρὸς ἀνοσίου τ[…]

ΔΙΟΝΥΣΟΣ.

αὐτὸς ἐξέσωσ' ἐμαυτὸν ῥᾳδίως ἄνευ πόνου.

ΧΟΡΟΣ.

οὐδέ σου ξυνῆψε χεῖρα δεσμίοισιν ἐν βρό[…]

ΔΙΟΝΥΣΟΣ.

ταῦτα καὶ καθύβρισ' αὐτὸν, ὅτι με δεσ[…]δοκῶν
οὔτ' ἔθιγεν οὔθ' ἥψαθ' ἡμῶν, ἐλπίσιν δ[…]σκετο.
πρὸς φάτναις δὲ ταῦρον εὑρὼν, οὗ κ[…]ἡμᾶς ἄγων,
τῷδε περὶ βρόχους ἔβαλλε γόνασι καὶ [...] ποδῶν,
θυμὸν ἐκπνέων, ἱδρῶτα σώματος στάζων[…]
χείλεσιν διδοὺς ὀδόντας· πλησίον δ' ἐγὼ […]
ἥσυχος θάσσων ἔλευσσον. ἐν δὲ τῷδε τῷ […]

ἀνετίναξ' ἐλθὼν ὁ βάκχος δῶμα καὶ μητρὸς τάφῳ
πῦρ ἀνῆψ'· ὁ δ', ὡς ἐσεῖδε, δώματ' αἴθεσθαι δοκῶν,
ᾖσσ' ἐκεῖσε κᾆτ' ἐκεῖσε, δμωσὶν Ἀχελῷον φέρειν
ἐννέπων, ἅπας δ' ἐν ἔργῳ δοῦλος ἦν μάτην πονῶν.
διαμεθεὶς δὲ τόνδε μόχθον, ὡς ἐμοῦ πεφευγότος,
ἵεται ξίφος κελαινὸν ἁρπάσας δόμων ἔσω.
κᾆθ' ὁ Βρόμιος, ὡς ἔμοιγε φαίνεται, δόξαν λέγω,
φάσμ' ἐποίησεν κατ' αὐλήν· ὁ δ' ἐπὶ τοῦθ' ὡρμημένος
ᾖσσε κἀκέντει φαεννὸν αἰθέρ', ὡς σφάζων ἐμέ.
πρὸς δὲ τοῖσδ' αὐτῷ τάδ' ἄλλα Βάκχιος λυμαίνεται·
δώματ' ἔρρηξεν χαμᾶζε· συντεθράνωται δ' ἅπαν
πικροτάτους ἰδόντι δεσμοὺς τοὺς ἐμούς· κόπου δ' ὕπο,
διαμεθεὶς ξίφος παρεῖται. πρὸς θεὸν γὰρ ὢν ἀνὴρ
ἐς μάχην ἐλθεῖν ἐτόλμησ'· ἥσυχος δ' ἐκβὰς ἐγὼ
δωμάτων ἥκω πρὸς ὑμᾶς, Πενθέως οὐ φροντίσας.
ὡς δέ μοι δοκεῖ, ψοφεῖ γοῦν ἀρβύλη δόμων ἔσω,
ἐς προνώπι' αὐτίχ' ἥξει. τί ποτ' ἄρ' ἐκ τούτων ἐρεῖ;
ῥᾳδίως γὰρ αὐτὸν οἴσω, κἂν πνέων ἔλθῃ μέγα·
πρὸς σοφοῦ γὰρ ἀνδρὸς ἀσκεῖν σώφρον' εὐοργησίαν.

ΠΕΝΘΕΥΣ.

πέπονθα δεινά· διαπέφευγέ μ' ὁ ξένος,
ὃς ἄρτι δεσμοῖς ἦν κατηναγκασμένος.
ἔα ἔα.
ὅδ' ἐστὶν ἀνήρ· τί τάδε; πῶς προνώπιος
φαίνει πρὸς οἴκοις τοῖς ἐμοῖς, ἔξω βεβώς;

ΔΙΟΝΥΣΟΣ.

στῆσον πόδ', ὀργῇ δ' ὑπόθες ἥσυχον πόδα.

ΠΕΝΘΕΥΣ.

πόθεν σὺ δεσμὰ διαφυγὼν ἔξω περᾷς;

ΔΙΟΝΥΣΟΣ.

οὐκ εἶπον ἢ οὐκ ἤκουσας ὅτι λύσει μέ τις;

ΠΕΝΘΕΥΣ.

τίς; τοὺς λόγους γὰρ ἐσφέρεις καινοὺς ἀεί.

ΔΙΟΝΥΣΟΣ.

ὃς τὴν πολύβοτρυν ἄμπελον φύει βροτοῖς.

ΠΕΝΘΕΥΣ.

ὠνείδισας δὴ τοῦτο Διονύσῳ καλόν.
κλῄειν κελεύω πάντα πύργον ἐν κύκλῳ.

ΔΙΟΝΥΣΟΣ.

τί δ'; οὐχ ὑπερβαίνουσι καὶ τείχη θεοί;

ΠΕΝΘΕΥΣ.

σοφὸς σοφὸς σὺ, πλὴν ἃ δεῖ σ' εἶναι σοφόν.

ΔΙΟΝΥΣΟΣ.

ἃ δεῖ μάλιστα, ταῦτ' ἔγωγ' ἔφυν σοφός.
κείνου δ' ἀκούσας πρῶτα τοὺς λόγους μάθε,
ὃς ἐξ ὄρους πάρεστιν ἀγγελῶν τί σοι·
ἡμεῖς δέ σοι μενοῦμεν, οὐ φευξούμεθα.

ΑΓΓΕΛΟΣ.

Πενθεῦ, κρατύνων τῆσδε Θηβαίας χθονὸς,
ἥκω, Κιθαιρῶν' ἐκλιπὼν, ἵν' οὔποτε
λευκῆς χιόνος ἀνεῖσαν εὐαγεῖς βολαί.

ΠΕΝΘΕΥΣ.

ἥκεις δὲ ποίαν προστιθεὶς σπουδὴν λόγου;

ΑΓΓΕΛΟΣ.

βάκχας ποτνιάδας εἰσιδὼν, αἳ τῆσδε γῆς
οἴστροισι λευκὸν κῶλον ἐξηκόντισαν,
ἥκω, φράσαι σοὶ καὶ πόλει χρῄζων, ἄναξ,
ὡς δεινὰ δρῶσι θαυμάτων τε κρείσσονα.
θέλω δ' ἀκοῦσαι, πότερά σοι παρρησίᾳ
φράσω τὰ κεῖθεν, ἢ λόγον στειλώμεθα.
τὸ γὰρ τάχος σου τῶν φρενῶν δέδοικ', ἄναξ,
καὶ τοὐξύθυμον καὶ τὸ βασιλικὸν λίαν.

ΠΕΝΘΕΥΣ.

λέγ', ὡς ἀθῷος ἐξ ἐμοῦ πάντως ἔσει·
τοῖς γὰρ δικαίοις οὐχὶ θυμοῦσθαι χρεών.
ὅσῳ δ' ἂν εἴπῃς δεινότερα βακχῶν πέρι,
τοσῷδε μᾶλλον τὸν ὑποθέντα τὰς τέχνας
γυναιξὶ τόνδε τῇ δίκῃ προσθήσομεν.

ΑΓΓΕΛΟΣ.

ἀγελαῖα μὲν βοσκήματ' ἄρτι πρὸς λέπας
μόσχων ὑπεξήκριζον, ἡνίχ' ἥλιος
ἀκτῖνας ἐξίησι θερμαίνων χθόνα.
ὁρῶ δὲ θιάσους τρεῖς γυναικείων χορῶν,
ὧν ἦρχ' ἑνὸς μὲν Αὐτονόη, τοῦ δευτέρου
μήτηρ Ἀγαύη σὴ, τρίτου δ' Ἰνὼ χοροῦ.
εὗδον δὲ πᾶσαι σώμασιν παρειμέναι,
αἱ μὲν πρὸς ἐλάτης νῶτ' ἐρείσασαι φόβην,
αἱ δ' ἐν δρυὸς φύλλοισι πρὸς πέδῳ κάρα
εἰκῇ βαλοῦσαι σωφρόνως, οὐχ ὡς σὺ φῂς
οἰνωμένας κρατῆρι καὶ λωτοῦ ψόφῳ
θηρᾶν καθ' ὕλην Κύπριν ἠρημωμένας.
ἡ σὴ δὲ μήτηρ ὠλόλυξεν ἐν μέσαις
σταθεῖσα βάκχαις, ἐξ ὕπνου κινεῖν δέμας,
μυκήμαθ' ὡς ἤκουσε κεροφόρων βοῶν.
αἱ δ' ἀποβαλοῦσαι θαλερὸν ὀμμάτων ὕπνον
ἀνῇξαν ὀρθαὶ, θαῦμ' ἰδεῖν εὐκοσμίας,
νέαι, παλαιαὶ, παρθένοι τ' ἔτ' ἄζυγες.
καὶ πρῶτα μὲν καθεῖσαν εἰς ὤμους κόμας,
νεβρίδας τ' ἀνεστείλανθ', ὅσαισιν ἁμμάτων
σύνδεσμ' ἐλέλυτο, καὶ καταστίκτους δορὰς
ὄφεσι κατεζώσαντο λιχμῶσιν γένυν.
αἱ δ' ἀγκάλαισι δορκάδ' ἢ σκύμνους λύκων
ἀγρίους ἔχουσαι, λευκὸν ἐδίδοσαν γάλα,
ὅσαις νεοτόκοις μαστὸς ἦν σπαργῶν ἔτι,
βρέφη λιπούσαις· ἐπὶ δ' ἔθεντο κισσίνους
στεφάνους δρυός τε μίλακός τ' ἀνθεσφόρου.
θύρσον δέ τις λαβοῦσ' ἔπαισεν ἐς πέτραν,
ὅθεν δροσώδης ὕδατος ἐκπηδᾷ νοτίς·
ἄλλη δὲ νάρθηκ' ἐς πέδον καθῆκε γῆς,
καὶ τῇδε κρήνην ἐξανῆκ' οἴνου θεός·
ὅσαις δὲ λευκοῦ πώματος πόθος παρῆν,
ἄκροισι δακτύλοισι διαμῶσαι χθόνα
γάλακτος ἑσμοὺς εἶχον· ἐκ δὲ κισσίνων
θύρσων γλυκεῖαι μέλιτος ἔσταζον ῥοαί.
ὥστ', εἰ παρῆσθα, τὸν θεὸν, τὸν νῦν ψέγεις,
εὐχαῖσιν ἂν μετῆλθες, εἰσιδὼν τάδε.
ξυνήλθομεν δὲ βουκόλοι καὶ ποιμένες,
κοινῶν λόγων δώσοντες ἀλλήλοις ἔριν,
ὡς δεινὰ δρῶσι θαυμάτων τ' ἐπάξια·
καί τις πλάνης κατ' ἄστυ καὶ τρίβων λόγων
ἔλεξεν εἰς ἅπαντας, ὦ σεμνὰς πλάκας
ναίοντες ὀρέων, θέλετε θηρασώμεθα
Πενθέως Ἀγαύην μητέρ' ἐκ βακχευμάτων,

χάριν τ' ἄνακτι θῶμεν; εὖ δ' ἡμῖν λέγειν
ἔδοξε, θάμνων δ' ἐλλοχίζομεν φόβαις
κρύψαντες αὐτούς· αἱ δὲ τὴν τεταγμένην
ὥραν ἐκίνουν θύρσον ἐς βακχεύματα,
Ἴακχον ἀθρόῳ στόματι, τὸν Διὸς γόνον,
Βρόμιον καλοῦσαι· πᾶν δὲ συνεβάκχευσ' ὄρος
καὶ θῆρες, οὐδὲν δ' ἦν ἀκίνητον δρόμῳ.
κυρεῖ δ' Ἀγαύη πλησίον θρώσκουσά μου·
κἀγὼ 'ξεπήδησ', ὡς συναρπάσαι θέλων,
λόχμην κενώσας, ἔνθ' ἐκρυπτόμην δέμας.
ἡ δ' ἀνεβόησεν, ὦ δρομάδες ἐμαὶ κύνες,
θηρώμεθ' ἀνδρῶν τῶνδ' ὕπ'· ἀλλ' ἕπεσθέ μοι,
ἕπεσθε, θύρσοις διὰ χερῶν ὡπλισμέναι.
ἡμεῖς μὲν οὖν φεύγοντες ἐξηλύξαμεν
βακχῶν σπαραγμὸν, αἱ δὲ νεμομέναις χλόην
μόσχοις ἐπῆλθον χειρὸς ἀσιδήρου μέτα.
καὶ τὴν μὲν ἂν προσεῖδες εὔθηλον πόριν
μυκωμένην ἔχουσαν ἐν χεροῖν δίχα,
ἄλλαι δὲ δαμάλας διεφόρουν σπαράγμασιν.
εἶδες δ' ἂν ἢ πλεύρ' ἢ δίχηλον ἔμβασιν,
ῥιπτόμεν' ἄνω τε καὶ κάτω· κρεμαστὰ δὲ
ἔσταζ' ὑπ' ἐλάταις ἀναπεφυρμέν' αἵματι.
ταῦροι δ' ὑβρισταὶ κεἰς κέρας θυμούμενοι
τὸ πρόσθεν ἐσφάλλοντο πρὸς γαῖαν δέμας,
μυριάσι χειρῶν ἀγόμενοι νεανίδων.
θᾶσσον δὲ διεφοροῦντο σαρκὸς ἐνδυτὰ
ἢ σε ξυνάψαι βλέφαρα βασιλείοις κόραις.
χωροῦσι δ' ὥστ' ὄρνιθες ἀρθεῖσαι δρόμῳ,
πεδίων ὑποτάσεις, αἳ παρ' Ἀσωποῦ ῥοαῖς
εὔκαρπον ἐκβάλλουσι Θηβαίων στάχυν,
Ὑσίας τ' Ἐρυθράς θ', αἳ Κιθαιρῶνος λέπας
νέρθεν κατῳκήκασιν, ὥστε πολέμιοι,
ἐπεσπεσοῦσαι πάντ' ἄνω τε καὶ κάτω
διέφερον· ἥρπαζον μὲν ἐκ δόμων τέκνα,
ὁπόσα δ' ἐπ' ὤμοις ἔθεσαν, οὐ δεσμῶν ὕπο
προσείχετ', οὐδ' ἔπιπτεν ἐς μέλαν πέδον,
οὐ χαλκὸς, οὐ σίδηρος· ἐπὶ δὲ βοστρύχοις
πῦρ ἔφερον, οὐδ' ἔκαιεν, οἱ δ' ὀργῆς ὕπο
ἐς ὅπλ' ἐχώρουν, φερόμενοι βακχῶν ὕπο·
οὗπερ τὸ δεινὸν ἦν θέαμ' ἰδεῖν, ἄναξ.
τῶν μὲν γὰρ οὐχ ᾕμασσε λογχωτὸν βέλος,
κεῖναι δὲ θύρσους ἐξανιεῖσαι χερῶν
ἐτραυμάτιζον κἀπενώτιζον φυγῇ
γυναῖκες ἄνδρας, οὐκ ἄνευ θεῶν τινος.
πάλιν δ' ἐχώρουν ὅθεν ἐκίνησαν πόδα,
κρήνας ἐπ' αὐτὰς, ἃς ἀνῆκ' αὐταῖς θεός.
νίψαντο δ' αἷμα, σταγόνα δ' ἐκ παρηίδων
γλώσσῃ δράκοντες ἐξεφαίδρυνον χροός.
τὸν δαίμον' οὖν τόνδ', ὅστις ἔστ', ὦ δέσποτα,
δέχου πόλει τῇδ', ὡς τά τ' ἄλλ' ἐστὶν μέγας
κἀκεῖνό φασιν αὐτὸν, ὡς ἐγὼ κλύω,
τὴν παυσίλυπον ἄμπελον δοῦναι βροτοῖς.
οἴνου δὲ μηκέτ' ὄντος οὐκ ἔστιν Κύπρις,
οὐδ' ἄλλο τερπνὸν οὐδὲν ἀνθρώποις ἔτι.

ΧΟΡΟΣ.

ταρβῶ μὲν εἰπεῖν τοὺς λόγους ἐλευθέρους
ἐς τὸν τύραννον, ἀλλ' ὅμως εἰρήσεται·
Διόνυσος ἥσσων οὐδενὸς θεῶν ἔφυ.

ΠΕΝΘΕΥΣ.

ἤδη τόδ' ἐγγὺς, ὥστε πῦρ, ἐφάπτεται
ὕβρισμα βακχῶν, ψόγος ἐς Ἕλληνας μέγας.
ἀλλ' οὐκ ὀκνεῖν δεῖ· στεῖχ' ἐπ' Ἠλέκτρας ἰὼν
πύλας· κέλευε πάντας ἀσπιδηφόρους
ἵππων τ' ἀπαντᾶν ταχυπόδων ἐπεμβάτας,
πέλτας θ' ὅσοι πάλλουσι, καὶ τόξων χερὶ
ψάλλουσι νευρὰς, ὡς ἐπιστρατεύσομεν
βάκχαισιν. οὐ γὰρ ἀλλ' ὑπερβάλλει τάδε,
εἰ πρὸς γυναικῶν πεισόμεσθ' ἃ πάσχομεν.

ΔΙΟΝΥΣΟΣ.

πείθει μὲν οὐδὲν, τῶν ἐμῶν λόγων κλύων,
Πενθεῦ· κακῶς δὲ πρὸς σέθεν πάσχων ὅμως
οὔ φημι χρῆναί σ' ὅπλ' ἐπαίρεσθαι θεῷ,
ἀλλ' ἡσυχάζειν· Βρόμιος οὐκ ἀνέξεται
κινοῦντα βάκχας εὐίων ὀρῶν ἄπο.

ΠΕΝΘΕΥΣ.

οὐ μὴ φρενώσεις μ', ἀλλὰ δέσμιος φυγὼν
σώσει τόδ'; ἢ σοι πάλιν ἀναστρέψω δίκην.

ΔΙΟΝΥΣΟΣ.

θύοιμ' ἂν αὐτῷ μᾶλλον ἢ θυμούμενος
πρὸς κέντρα λακτίζοιμι, θνητὸς ὢν θεῷ.

ΠΕΝΘΕΥΣ.

θύσω, φόνον γε θῆλυν, ὥσπερ ἄξιαι,
πολὺν ταράξας ἐν Κιθαιρῶνος πτυχαῖς.

ΔΙΟΝΥΣΟΣ.

φευξεῖσθε πάντες, καὶ τόδ' αἰσχρὸν, ἀσπίδας
θύρσοισι βακχῶν ἐκτρέπειν χαλκηλάτους.

ΠΕΝΘΕΥΣ.

ἀπόρῳ γε τῷδε συμπεπλέγμεθα ξένῳ,
ὡς οὔτε πάσχων οὔτε δρῶν σιγήσεται.

ΔΙΟΝΥΣΟΣ.

ὦ τᾶν, ἔτ' ἔστιν εὖ καταστῆσαι τάδε.

ΠΕΝΘΕΥΣ.

τί δρῶντα; δουλεύοντα δουλείαις ἐμαῖς;

ΔΙΟΝΥΣΟΣ.

ἐγὼ γυναῖκας δεῦρ' ὅπλων ἄξω δίχα.

ΠΕΝΘΕΥΣ.

οἴμοι· τόδ' ἤδη δόλιον ἔς με μηχανᾷ.

ΔΙΟΝΥΣΟΣ.

ποῖόν τι, σῶσαί σ' εἰ θέλω τέχναις ἐμαῖς;

ΠΕΝΘΕΥΣ.

ξυνέθεσθε κοινῇ τάδ', ἵνα βακχεύητ' ἀεί.

ΔΙΟΝΥΣΟΣ.

καὶ μὴν ξυνεθέμην, τοῦτό γ' ἴσθι, τῷ θεῷ.

ΠΕΝΘΕΥΣ.

ἐκφέρετέ μοι δεῦρ' ὅπλα· σὺ δὲ παῦσαι λ

ΔΙΟΝΥΣΟΣ.

ἆ·
βούλει σφ' ἐν ὄρεσι συγκαθημένας ἰδεῖν;

ΠΕΝΘΕΥΣ.

μάλιστα, μυρίον γε δοὺς χρυσοῦ σταθμόν.

ΔΙΟΝΥΣΟΣ.

τί δ' εἰς ἔρωτα τοῦδε πέπτωκας μέγαν;

ΠΕΝΘΕΥΣ.

λυπρῶς νιν εἰσίδοιμ' ἂν ἐξοινωμένας.

ΔΙΟΝΥΣΟΣ.

ὅμως δ' ἴδοις ἂν ἡδέως ἅ σοι πικρά;

ΠΕΝΘΕΥΣ.

σάφ' ἴσθι, σιγῇ γ' ὑπ' ἐλάταις καθήμενος.

ΔΙΟΝΥΣΟΣ.

ἀλλ' ἐξιχνεύσουσίν σε, κἂν ἔλθῃς λάθρα.

ΠΕΝΘΕΥΣ.
ἀλλ' ἐμφανῶς· καλῶς γὰρ ἐξεῖπας τάδε.
ΔΙΟΝΥΣΟΣ.
ἄγω μὲν οὖν σε, κἀπιχειρήσεις ὁδῷ;
ΠΕΝΘΕΥΣ.
ἄγ' ὡς τάχιστα, τοῦ χρόνου δέ σ' οὐ φθονῶ.
ΔΙΟΝΥΣΟΣ.
στεῖλαί νυν ἀμφὶ χρωτὶ βυσσίνους πέπλους.
ΠΕΝΘΕΥΣ.
τί δὴ τόδ' ἐς γυναῖκας ἐξ ἀνδρὸς τελῶ;
ΔΙΟΝΥΣΟΣ.
μή σε κτάνωσιν, ἢν ἀνὴρ ὀφθῇς ἐκεῖ.
ΠΕΝΘΕΥΣ.
εὖ γ' εἶπας αὐτὸ, καί τις εἶ πάλαι σοφός.
ΔΙΟΝΥΣΟΣ.
Διόνυσος ἡμᾶς ἐξεμούσωσεν τάδε.
ΠΕΝΘΕΥΣ.
πῶς οὖν γένοιτ' ἂν ἃ σύ με νουθετεῖς καλῶς;
ΔΙΟΝΥΣΟΣ.
ἐγὼ στελῶ σε, δωμάτων ἔσω μολών.
ΠΕΝΘΕΥΣ.
τίνα στολήν; ἦ θῆλυν; ἀλλ' αἰδώς μ' ἔχει.
ΔΙΟΝΥΣΟΣ.
οὐκέτι θεατὴς μαινάδων πρόθυμος εἶ.
ΠΕΝΘΕΥΣ.
στολὴν δὲ τίνα φῂς ἀμφὶ χρῶτ' ἐμὸν βαλεῖν;
ΔΙΟΝΥΣΟΣ.
κόμην μὲν ἐπὶ σῷ κρατὶ ταναὸν ἐκτενῶ.
ΠΕΝΘΕΥΣ.
τὸ δεύτερον δὲ σχῆμα τοῦ κόσμου τί μοι;
ΔΙΟΝΥΣΟΣ.
πέπλοι ποδήρεις· ἐπὶ κάρᾳ δ' ἔσται μίτρα.
ΠΕΝΘΕΥΣ.
ἦ καί τι πρὸς τοῖσδ' ἄλλο προσθήσεις ἐμοί;
ΔΙΟΝΥΣΟΣ.
θύρσον γε χειρὶ καὶ νεβροῦ στικτὸν δέρας.
ΠΕΝΘΕΥΣ.
οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν.
ΔΙΟΝΥΣΟΣ.
ἀλλ' αἷμα θήσεις, ξυμβαλὼν βάκχαις μάχην.
ΠΕΝΘΕΥΣ.
ὀρθῶς· μολεῖν χρὴ πρῶτον ἐς κατασκοπήν.
ΔΙΟΝΥΣΟΣ.
σοφώτερον γοῦν ἢ κακοῖς θηρᾶν κακά.
ΠΕΝΘΕΥΣ.
καὶ πῶς δι' ἄστεως εἶμι Καδμείους λαθών;
ΔΙΟΝΥΣΟΣ.
ὁδοὺς ἐρήμους ἴμεν·. ἐγὼ δ' ἡγήσομαι.
ΠΕΝΘΕΥΣ.
πᾶν κρεῖσσον ὥστε μὴ 'γγελᾶν βάκχας ἐμοί.
ΔΙΟΝΥΣΟΣ.
ἐλθόντ' ἐς οἴκους ἂν δοκῇ βουλεύσομεν.
ΠΕΝΘΕΥΣ.
ἔξεστι· πάντῃ τό γ' ἐμὸν εὐτρεπὲς πάρα.
στείχοιμ' ἄν· ἢ γὰρ ὅπλ' ἔχων πορεύσομαι,
ἢ τοῖσι σοῖσι πείσομαι βουλεύμασιν.
ΔΙΟΝΥΣΟΣ.
γυναῖκες, ἀνὴρ ἐς βόλον καθίσταται·
ἥξει δὲ βάκχας, οὗ θανὼν δώσει δίκην.
Διόνυσε, νῦν σὸν ἔργον, οὐ γὰρ εἶ πρόσω,
τισώμεθ' αὐτόν. πρῶτα δ' ἔκστησον φρενῶν,
ἐνεὶς ἐλαφρὰν λύσσαν· ὡς φρονῶν μὲν εὖ
οὐ μὴ θελήσει θῆλυν ἐνδῦναι στολὴν,
ἔξω δ' ἐλαύνων τοῦ φρονεῖν ἐνδύσεται.
χρῄζω δέ νιν γέλωτα Θηβαίοις ὀφλεῖν
γυναικόμορφον ἀγόμενον δι' ἄστεως
ἐκ τῶν ἀπειλῶν τῶν πρὶν, αἷσι δεινὸς ἦν.
ἀλλ' εἶμι κόσμον ὅνπερ εἰς Ἅιδου λαβὼν
ἄπεισι, μητρὸς ἐκ χεροῖν κατασφαγεὶς,
Πενθεῖ προσάψων· γνώσεται δὲ τὸν Διὸς
Διόνυσον ὃς πέφυκεν, ἐν τέλει θεὸς
δεινότατος, ἀνθρώποισι δ' ἠπιώτατος.
ΧΟΡΟΣ.
ἆρ' ἐν παννυχίοις χοροῖς
θήσω ποτὲ λευκὸν
πόδ' ἀναβακχεύουσα δέρην
εἰς αἰθέρα δροσερὸν
ῥίπτουσ', ὡς νεβρὸς χλοεραῖς
ἐμπαίζουσα λείμακος ἡδοναῖς
ἡνίκ' ἂν φοβερὸν φύγῃ
θήραμ' ἔξω φυλακᾶς
εὐπλέκτων ὑπὲρ ἀρκύων,
θωΰσσων δὲ κυναγέτας
συντείνῃ δρόμημα κυνῶν,
μόχθοις τ' ὠκυδρόμοις τ' ἀέλ-
λαις θρώσκῃ πεδίον
παραποτάμιον, ἡδομένα
βροτῶν ἐρημίαις,
σκιαροκόμου τ' ἐν ἔρνεσιν ὕλας.
τί τὸ σοφὸν ἢ τί τὸ κάλλιον
παρὰ θεῶν γέρας ἐν βροτοῖς
ἢ χεῖρ' ὑπὲρ κορυφᾶς
τῶν ἐχθρῶν κρείσσω κατέχειν;
ὅ τι καλὸν φίλον ἀεί.
ὁρμᾶται μόλις, ἀλλ' ὅμως
πιστόν τό γε θεῖον
σθένος· ἀπευθύνει δὲ βροτῶν
τούς τ' ἀγνωμοσύναν
τιμῶντας καὶ μὴ τὰ θεῶν
αὔξοντας σὺν μαινομένᾳ δόξᾳ.
κρυπτεύουσι δὲ ποικίλως
δαρὸν χρόνου πόδα καὶ
θηρῶσιν τὸν ἄσεπτον. οὐ
γὰρ κρεῖσσόν ποτε τῶν νόμων
γιγνώσκειν χρὴ καὶ μελετᾶν.
κούφα γὰρ δαπάνα νομί-
ζειν ἰσχὺν τόδ' ἔχειν,
ὅ τι ποτ' ἄρα τὸ δαιμόνιον,
τό τ' ἐν χρόνῳ μακρῷ
νόμιμον ἀεὶ φύσει τε πεφυκός.
τί τὸ σοφὸν ἢ τί τὸ κάλλιον
παρὰ θεῶν γέρας ἐν βροτοῖς
ἢ χεῖρ' ὑπὲρ κορυφᾶς
τῶν ἐχθρῶν κρείσσω κατέχειν;
ὅ τι καλὸν φίλον ἀεί.
εὐδαίμων μὲν ὃς ἐκ θαλάσσας
ἔφυγε κῦμα, λιμένα δ' ἔκιχεν·
εὐδαίμων δ' ὃς ὕπερθε μόχθων

862—880. = 881—901.

ἐγένεθ'· ἕτερα δ' ἕτερος ἕτερον
ὄλβῳ καὶ δυνάμει παρῆλθεν.
μυρίαι μυρίοισιν
ἔτ' εἴσ' ἐλπίδες· αἱ μὲν
τελευτῶσιν ἐν ὄλβῳ
βροτοῖς, αἱ δ' ἀπέβησαν·
τὸ δὲ κατ' ἦμαρ ὅτῳ βίοτος
εὐδαίμων, μακαρίζω.

ΔΙΟΝΥΣΟΣ.

σὲ τὸν πρόθυμον ὄνθ' ἃ μὴ χρεὼν ὁρᾶν
σπεύδοντά τ' ἀσπούδαστα, Πενθέα λέγω,
ἔξιθι πάροιθε δωμάτων, ὄφθητί μοι,
σκευὴν γυναικὸς μαινάδος βάκχης ἔχων,
μητρός τε τῆς σῆς καὶ λόχου κατάσκοπος·
πρέπεις δὲ Κάδμου θυγατέρων μορφῇ μιᾷ.

ΠΕΝΘΕΥΣ.

καὶ μὴν ὁρᾶν μοι δύο μὲν ἡλίους δοκῶ,
δισσὰς δὲ Θήβας καὶ πόλισμ' ἑπτάστομον·
καὶ ταῦρος ἡμῖν πρόσθεν ἡγεῖσθαι δοκεῖς,
καὶ σῷ κέρατε κρατὶ προσπεφυκέναι.
ἀλλ' ἦ ποτ' ἦσθα θήρ; τεταύρωσαι γὰρ οὖν.

ΔΙΟΝΥΣΟΣ.

ὁ θεὸς ὁμαρτεῖ, πρόσθεν ὢν οὐκ εὐμενής,
ἔνσπονδος ἡμῖν· νῦν δ' ὁρᾷς ἃ χρή σ' ὁρᾶν.

ΠΕΝΘΕΥΣ.

τί φαίνομαι δῆτ'; οὐχὶ τὴν Ἰνοῦς στάσιν,
ἢ τὴν Ἀγαύης ἑστάναι, μητρός γ' ἐμῆς;

ΔΙΟΝΥΣΟΣ.

αὐτὰς ἐκείνας εἰσορᾶν δοκῶ σ' ὁρῶν.
ἀλλ' ἐξ ἕδρας σοι πλόκαμος ἐξέστηχ' ὅδε,
οὐχ ὡς ἐγώ νιν ὑπὸ μίτρᾳ καθήρμοσα.

ΠΕΝΘΕΥΣ.

ἔνδον προσείων αὐτὸν ἀνασείων τ' ἐγὼ
καὶ βακχιάζων ἐξ ἕδρας μεθώρμισα.

ΔΙΟΝΥΣΟΣ.

ἀλλ' αὐτὸν ἡμεῖς, οἷς σε θεραπεύειν μέλει,
πάλιν καταστελοῦμεν· ἀλλ' ὄρθου κάρα.

ΠΕΝΘΕΥΣ.

ἰδού, σὺ κόσμει· σοὶ γὰρ ἀνακείμεσθα δή.

ΔΙΟΝΥΣΟΣ.

ζῶναί τέ σοι χαλῶσι, κοὐχ ἑξῆς πέπλων
στολίδες ὑπὸ σφυροῖσι τείνουσιν σέθεν.

ΠΕΝΘΕΥΣ.

κἀμοὶ δοκοῦσι παρά γε δεξιὸν πόδα·
τἀνθένδε δ' ὀρθῶς παρὰ τένοντ' ἔχει πέπλος.

ΔΙΟΝΥΣΟΣ.

ἦ πού με τῶν σῶν πρῶτον ἡγήσει φίλων,
ὅταν παράλογον σώφρονας βάκχας ἴδῃς;

ΠΕΝΘΕΥΣ.

πότερα δὲ θύρσον δεξιᾷ λαβὼν χερί,
ἢ τῇδε, βάκχῃ μᾶλλον εἰκασθήσομαι;

ΔΙΟΝΥΣΟΣ.

ἐν δεξιᾷ χρὴ χἅμα δεξιῷ ποδὶ
αἴρειν νιν· αἰνῶ δ' ὅτι μεθέστηκας φρενῶν.

ΠΕΝΘΕΥΣ.

ἆρ' ἂν δυναίμην τὰς Κιθαιρῶνος πτύχας
αὐταῖσι βάκχαις τοῖς ἐμοῖς ὤμοις φέρειν;

ΔΙΟΝΥΣΟΣ.

δύναι' ἄν, εἰ βούλοιο· τὰς δὲ πρὶν φρένας
οὐκ εἶχες ὑγιεῖς, νῦν δ' ἔχεις οἵας σε δεῖ.

ΠΕΝΘΕΥΣ.

μοχλοὺς φέρωμεν, ἢ χεροῖν ἀνασπάσω,
κορυφαῖς ὑποβαλὼν ὦμον ἢ βραχίονα;

ΔΙΟΝΥΣΟΣ.

μὴ σύ γε τὰ Νυμφῶν διολέσῃς ἱδρύματα
καὶ Πανὸς ἕδρας, ἔνθ' ἔχει συρίγματα.

ΠΕΝΘΕΥΣ.

καλῶς ἔλεξας. οὐ σθένει νικητέον
γυναῖκας, ἐλάταισιν δ' ἐμὸν κρύψω δέμας.

ΔΙΟΝΥΣΟΣ.

κρύψει σὺ κρύψιν ἥν σε κρυφθῆναι χρεών,
ἐλθόντα δόλιον μαινάδων κατάσκοπον.

ΠΕΝΘΕΥΣ.

καὶ μὴν δοκῶ σφᾶς ἐν λόχμαις ὄρνιθας ὣς
λέκτρων ἔχεσθαι φιλτάτοις ἐν ἕρκεσιν.

ΔΙΟΝΥΣΟΣ.

οὐκοῦν ἐπ' αὐτὸ τοῦτ' ἀποστέλλει φύλαξ·
λήψει δ' ἴσως σφᾶς, ἢν σὺ μὴ ληφθῇς πάρος.

ΠΕΝΘΕΥΣ.

κόμιζε διὰ μέσης με Θηβαίας χθονός·
μόνος γάρ εἰμ' αὐτῶν ἀνὴρ τολμῶν τόδε.

ΔΙΟΝΥΣΟΣ.

μόνος σὺ πόλεως τῆσδ' ὑπερκάμνεις, μόνος·
τοιγάρ σ' ἀγῶνες ἀναμένουσιν, οὓς ἐχρῆν.
ἕπου δέ· πομπὸς δ' εἶμ' ἐγὼ σωτήριος.
κεῖθεν δ' ἀπάξει σ' ἄλλος.

ΠΕΝΘΕΥΣ.

ἡ τεκοῦσά γε.

ΔΙΟΝΥΣΟΣ.

ἐπίσημον ὄντα πᾶσιν.

ΠΕΝΘΕΥΣ.

ἐπὶ τόδ' ἔρχομαι.

ΔΙΟΝΥΣΟΣ.

φερόμενος ἥξεις

ΠΕΝΘΕΥΣ.

ἁβρότητ' ἐμὴν λέγεις.

ΔΙΟΝΥΣΟΣ.

ἐν χερσὶ μητρός.

ΠΕΝΘΕΥΣ.

καὶ τρυφᾶν μ' ἀναγκάσεις.

ΔΙΟΝΥΣΟΣ.

τρυφάς γε τοιάσδ'.

ΠΕΝΘΕΥΣ.

ἀξίων μὲν ἅπτομαι.

ΔΙΟΝΥΣΟΣ.

δεινὸς σὺ δεινὸς κἀπὶ δείν' ἔρχει πάθη,
ὥστ' οὐρανῷ στηρίζον εὑρήσεις κλέος.
ἔκτειν', Ἀγαύη, χεῖρας, αἵ θ' ὁμόσποροι
Κάδμου θυγατέρες· τὸν νεανίαν ἄγω
τόνδ' εἰς ἀγῶνα μέγαν· ὁ νικήσων δ' ἐγὼ
καὶ Βρόμιος ἔσται· τἄλλα δ' αὐτὸ σημανεῖ.

ΧΟΡΟΣ.

ἴτε θοαὶ λύσσης κύνες ἴτ' εἰς ὄρος,
θίασον ἔνθ' ἔχουσι Κάδμου κόραι,
ἀνοιστρήσατέ νιν
ἐπὶ τὸν ἐν γυναικομίμῳ στολᾷ
μαινάδων κατάσκοπον λυσσώδη.
μάτηρ πρῶτά νιν λευρᾶς ἀπὸ πέτρας ἢ
σκόλοπος ὄψεται

977—996. == 997—1016.

θοκεύοντα· μαινάσιν δ' ἀπύσει,
τίς ὅδε Καδμείων
μαστὴρ οὔριον δρόμον ἐς ὄρος ἐς ὄρος
ἔμολεν, ὦ βάκχαι; τίς ἄρα νιν ἔτεκεν;
οὐ γὰρ ἐξ αἵματος γυναικῶν ἔφυ,
λεαίνας δέ γέ τινος ἢ Γοργόνων Λιβυσσᾶν γένος.
ἴτω δίκα φανερὸς, ἴτω ξιφηφόρος,
φονεύουσα λαιμῶν διαμπὰξ
τὸν ἄθεον, ἄνομον, ἄδικον Ἐχίονος
γόνον γηγενῆ,
ὃς ἀδίκῳ γνώμᾳ παρανόμῳ τ' ὀργᾷ
περὶ σὰ, Βάκχι', ὄργια ματρός τε σᾶς
μανείσᾳ πραπίδι
παρακόπῳ τε λήματι στέλλεται,
τὰν ἀνίκατον ὡς κρατήσων βίᾳ.
γνώμαν σώφρον' ἀθάνατος ἀπροφάσιστος
εἰς τὰ θεῶν ἔφυ
βροτείῳ τ' ἔχειν ἄλυπος βίῳ.
τὸ σοφὸν οὐ φθόνῳ
χαίρω θηρεύουσα, τὰ δ' ἕτερα μεγάλα
φανερὰ τῶν ἀεὶ ἐπὶ τὰ καλὰ βίον
ἦμαρ εἰς νύκτα τ' εὖ ἄγοντ' εὐσεβεῖν·
τὰ δ' ἔξω νόμιμα δίκας ἐκβαλόντα τιμᾶν θεούς.
ἴτω δίκα φανερὸς, ἴτω ξιφηφόρος,
φονεύουσα λαιμῶν διαμπὰξ
τὸν ἄθεον, ἄνομον, ἄδικον Ἐχίονος
τόκον γηγενῆ.
φάνηθι ταῦρος ἢ πολύκρανος ἰδεῖν
δράκων ἢ πυριφλέγων ὁρᾶσθαι λέων.
ἴθ', ὦ βάκχε, θηραγρέταν βακχᾶν
γελῶντι προσώπῳ περίβαλε βρόχον ἐπὶ θανάσιμον ἀγέλαν πεσόντα τὰν μαινάδων.

ΑΓΓΕΛΟΣ.

ὦ δῶμ', ὃ πρίν ποτ' εὐτύχεις ἀν' Ἑλλάδα,
Σιδωνίου γέροντος, ὃς τὸ γηγενὲς
δράκοντος ἔσπειρ' ὄφεος ἐν γαίᾳ θέρος,
ὥς σε στενάζω, δοῦλος ὢν μὲν, ἀλλ' ὅμως
χρηστοῖσι δούλοις συμφορὰ τὰ δεσποτῶν.

ΧΟΡΟΣ.

τί δ' ἔστιν; ἐκ βακχῶν τι μηνύεις νέον;

ΑΓΓΕΛΟΣ.

Πενθεὺς ὄλωλε, παῖς Ἐχίονος πατρός.

ΧΟΡΟΣ.

ὦναξ Βρόμιε· θεὸς φαίνει μέγας.

ΑΓΓΕΛΟΣ.

πῶς φῄς; τί τοῦτ' ἔλεξας; ἦ 'πὶ τοῖς ἐμοῖς
χαίρεις κακῶς πράσσουσι δεσπόταις, γύναι;

ΧΟΡΟΣ.

εὐάζω ξένα μέλεσι βαρβάροις·
οὐκέτι γὰρ δεσμῶν ὑπὸ φόβῳ πτήσσω.

ΑΓΓΕΛΟΣ.

Θήβας δ' ἀνάνδρους ὧδ' ἄγεις * *

ΧΟΡΟΣ.

ὁ Διόνυσος ὁ Διόνυσος, οὐ Θῆβαι
κράτος ἔχουσ' ἐμόν.

ΑΓΓΕΛΟΣ.

ξυγγνωστὰ μέν σοι, πλὴν ἐπ' ἐξειργασμένοις
κακοῖσι χαίρειν, ὦ γυναῖκες, οὐ καλόν.

ΧΟΡΟΣ.

ἔνεπέ μοι, φράσον, τίνι μόρῳ θνήσκει
ἄδικος ἄδικά τ' ἐκπορίζων ἀνήρ.

ΑΓΓΕΛΟΣ.

ἐπεὶ θεράπνας τῆσδε Θηβαίας χθονὸς
λιπόντες ἐξέβημεν Ἀσωποῦ ῥοὰς,
λέπας Κιθαιρώνειον εἰσεβάλλομεν
Πενθεύς τε κἀγὼ, δεσπότῃ γὰρ εἱπόμην,
ξένος θ', ὃς ἡμῖν πομπὸς ἦν θεωρίας.
πρῶτον μὲν οὖν ποιηρὸν ἵζομεν νάπος,
τά τ' ἐκ ποδῶν σιγηλὰ καὶ γλώσσης ἄπο
σώζοντες, ὡς ὁρῷμεν οὐχ ὁρώμενοι.
ἦν δ' ἄγκος ἀμφίκρημνον, ὕδασι διάβροχον,
πεύκαισι συσκιάζον, ἔνθα μαινάδες
κάθηντ', ἔχουσαι χεῖρας ἐν τερπνοῖς πόνοις.
αἱ μὲν γὰρ αὐτῶν θύρσον ἐκλελοιπότα
κισσῷ κομήτην αὖθις ἐξανέστεφον,
αἱ δ' ἐκλιποῦσαι ποικίλ' ὡς πῶλοι ζυγὰ
βακχεῖον ἀντέκλαζον ἀλλήλαις μέλος.
Πενθεὺς δ' ὁ τλήμων, θῆλυν οὐχ ὁρῶν ὄχλον,
ἔλεξε τοιάδ'· ὦ ξέν', οὗ μὲν ἕσταμεν,
οὐκ ἐξικνοῦμαι μαινάδων ὄποι μόθων·
ὄχθον δ' ἐπεμβὰς ἢ 'λάτην ὑψαύχενα
ἴδοιμ' ἂν ὀρθῶς μαινάδων αἰσχρουργίαν.
τοὐντεῦθεν ἤδη τοῦ ξένου τι θαῦμ' ὁρῶ·
λαβὼν γὰρ ἐλάτης οὐράνιον ἄκρον κλάδον
κατῆγεν, ἦγεν, ἦγεν ἐς μέλαν πέδον·
κυκλοῦτο δ' ὥστε τόξον ἢ κυρτὸς τροχὸς
τόρνῳ γραφόμενος περιφορὰν ἕλκει δρόμον·
ὣς κλῶν' ὄρειον ὁ ξένος χεροῖν ἄγων
ἔκαμπτεν ἐς γῆν, ἔργματ' οὐχὶ θνητὰ δρῶν.
Πενθέα δ' ἱδρύσας ἐλατίνων ὄζων ἔπι
ὀρθὸν μεθίει διὰ χερῶν βλάστημ' ἄνω
ἀτρέμα, φυλάσσων μὴ 'ναχαιτίσειέ νιν.
ὀρθὴ δ' ἐς ὀρθὸν αἰθέρ' ἐστηρίζετο,
ἔχουσα νώτοις δεσπότην ἐφήμενον.
ὤφθη δὲ μᾶλλον ἢ κατεῖδε μαινάδας·
ὅσον γὰρ οὔπω δῆλος ἦν θάσσων ἄνω,
καὶ τὸν ξένον μὲν οὐκέτ' εἰσορᾶν παρῆν,
ἐκ δ' αἰθέρος φωνή τις, ὡς μὲν εἰκάσαι,
Διόνυσος ἀνεβόησεν, ὦ νεάνιδες,
ἄγω τὸν ὑμᾶς κἀμὲ τἀμά τ' ὄργια
γέλων τιθέμενον· ἀλλὰ τιμωρεῖσθέ νιν.
καὶ ταῦθ' ἅμ' ἠγόρευε, καὶ πρὸς οὐρανὸν
καὶ γαῖαν ἐστήριξε φῶς σεμνοῦ πυρός.
σίγησε δ' αἰθὴρ, σῖγα δ' εὔλειμος νάπη
φύλλ' εἶχε, θηρῶν δ' οὐκ ἂν ἤκουσας βοήν.
αἱ δ' ὠσὶν ἠχὴν οὐ σαφῶς δεδεγμέναι
ἔστησαν ὀρθαὶ καὶ διήνεγκαν κόρας.
ὁ δ' αὖθις ἐπεκέλευσεν· ὡς δ' ἐγνώρισαν
σαφῆ κελευσμὸν Βακχίου Κάδμου κόραι,
ἦξαν πελείας ὠκύτητ' οὐχ ἥσσονες
ποδῶν ἔχουσαι συντόνοις δρομήμασι
μήτηρ Ἀγαύη ξύγγονοί θ' ὁμόσποροι
πᾶσαί τε βάκχαι· διὰ δὲ χειμάρρου νάπης
ἀγμῶν τ' ἐπήδων θεοῦ πνοαῖσιν ἐμμανεῖς.
ὡς δ' εἶδον ἐλάτῃ δεσπότην ἐφήμενον,
πρῶτον μὲν αὐτοῦ χερμάδας κραταιβόλους
ἔρριπτον, ἀντίπυργον ἐπιβᾶσαι πέτραν,
ὄζοισί τ' ἐλατίνοισιν ἠκοντίζετο·

ἄλλαι δὲ θύρσους ἵεσαν δι' αἰθέρος
Πενθέως, στόχον δύστηνον· ἀλλ' οὐκ ἤνυτον.
κρεῖσσον γὰρ ὕψος τῆς προθυμίας ἔχων
καθῆστο τλήμων, ἀπορίᾳ λελημμένος.
τέλος δὲ δρυΐνους συγκεραυνοῦσαι κλάδους
ῥίζας ἀνεσπάρασσον ἀσιδήροις μοχλοῖς.
ἐπεὶ δὲ μόχθων τέρματ' οὐκ ἐξήνυτον,
ἔλεξ' Ἀγαύη, φέρε περιστᾶσαι κύκλῳ
πτόρθου λάβεσθε, μαινάδες, τὸν ἀμβάτην
θῆρ' ὡς ἕλωμεν, μηδ' ἀπαγγείλῃ θεοῦ
χορούς κρυφαίους. αἱ δὲ μυρίαν χέρα
προσέθεσαν ἐλάτῃ κἀξανέσπασαν χθονός·
ὑψοῦ δὲ θάσσων ὑψόθεν χαμαιπετὴς
πίπτει πρὸς οὖδας μυρίοις οἰμώγμασι
Πενθεύς· κακοῦ γὰρ ἐγγὺς ὢν ἐμάνθανε.
πρώτη δὲ μήτηρ ἦρξεν ἱερία φόνου,
καὶ προσπίτνει νιν· ὁ δὲ μίτραν κόμης ἄπο
ἔρριψεν, ὥς νιν γνωρίσασα μὴ κτάνῃ
τλήμων Ἀγαύη, καὶ λέγει, παρηΐδος
ψαύων, ἐγώ τοι, μῆτερ, εἰμὶ παῖς σέθεν
Πενθεύς, ὃν ἔτεκες ἐν δόμοις Ἐχίονος·
οἴκτειρε δ' ὦ μῆτέρ με, μηδὲ ταῖς ἐμαῖς
ἁμαρτίαισι παῖδα σὸν κατακτάνῃς·
ἡ δ' ἀφρὸν ἐξιεῖσα καὶ διαστρόφους
κόρας ἑλίσσουσ', οὐ φρονοῦσ' ἃ χρῆν φρονεῖν,
ἐκ Βακχίου κατείχετ', οὐδ' ἔπειθέ νιν.
λαβοῦσα δ' ὠλέναις ἀριστερὰν χέρα,
πλευραῖσιν ἀντιβᾶσα τοῦ δυσδαίμονος,
ἀπεσπάραξεν ὦμον, οὐχ ὑπὸ σθένους,
ἀλλ' ὁ θεὸς εὐμάρειαν ἐπεδίδου χεροῖν.
Ἰνὼ δὲ τἀπὶ θάτερ' ἐξειργάζετο,
ῥηγνῦσα σάρκας, Αὐτονόη τ' ὄχλος τε πᾶς
ἐπεῖχε βακχῶν· ἦν δὲ πᾶσ' ὁμοῦ βοή,
ὁ μὲν στενάζων, ὅσον ἐτύγχανεν πνέων,
αἱ δ' ἠλάλαζον. ἔφερε δ' ἡ μὲν ὠλένην,
ἡ δ' ἴχνος αὐταῖς ἀρβύλαις· γυμνοῦντο δὲ
πλευραὶ σπαραγμοῖς· πᾶσα δ' ἡματωμένη
χεῖρας διεσφαίριζε σάρκα Πενθέως.
κεῖται δὲ χωρὶς σῶμα, τὸ μὲν ὑπὸ στύφλοις
πέτραις, τὸ δ' ὕλης ἐν βαθυξύλῳ φόβῃ,
οὐ ῥᾴδιον ζήτημα· κρᾶτα δ' ἄθλιον,
ὅπερ λαβοῦσα τυγχάνει μήτηρ χεροῖν,
πήξασ' ἐπ' ἄκρον θύρσον ὡς ὀρεστέρου
φέρει λέοντος διὰ Κιθαιρῶνος μέσου,
λιποῦσ' ἀδελφὰς ἐν χοροῖσι μαινάδων.
χωρεῖ δὲ θήρᾳ δυσπότμῳ γαυρουμένη
τειχέων ἔσω τῶνδ', ἀνακαλοῦσα Βάκχιον,
τὸν ξυγκύναγον, τὸν ξυνεργάτην ἄγρας
τὸν καλλίνικον, ᾧ δάκρυα νικηφορεῖ.
ἐγὼ μὲν οὖν τῇδ' ἐκποδὼν τῇ ξυμφορᾷ
ἄπειμ'; Ἀγαύην πρὶν μολεῖν πρὸς δώματα.
τὸ σωφρονεῖν δὲ καὶ σέβειν τὰ τῶν θεῶν
κάλλιστον οἶμαι ταὐτὸ καὶ σοφώτατον
θνητοῖσιν εἶναι χρῆμα τοῖσι χρωμένοις.

ΧΟΡΟΣ.

ἀναχορεύσωμεν Βάκχιον,
ἀναβοάσωμεν ξυμφορὰν
τὰν τοῦ δράκοντος ἐκγενέτα Πενθέως,
ὃς τὰν θηλυγενῆ στολὰν
νάρθηκά τε, πιστὸν Ἅιδαν,
ἔλαβεν εὔθυρσον,
ταῦρον προηγητῆρα συμφορᾶς ἔχων.
βάκχαι Καδμεῖαι,
τὸν καλλίνικον κλεινὸν ἐξεπράξατε
εἰς γόον, εἰς δάκρυα.
καλὸς ἀγών, ἐν αἵματι στάζουσαν
χέρα περιβαλεῖν τέκνου.
ἀλλ' εἰσορῶ γὰρ ἐς δόμους ὁρμωμένην
Πενθέως Ἀγαύην μητέρ' ἐν διαστρόφοις
ὄσσοις, δέχεσθε κῶμον εὐίου θεοῦ.

ΑΓΑΥΗ.

Ἀσιάδες βάκχαι.

ΧΟΡΟΣ.

τί μ' ὀροθύνεις ὦ;

ΑΓΑΥΗ.

φέρομεν ἐξ ὀρέων
ἕλικα νεότομον ἐπὶ μέλαθρα,
μακαρίαν θήραν.

ΧΟΡΟΣ.

ὁρῶ τε καί σε δέξομαι σύγκωμον ὦ.

ΑΓΑΥΗ.

ἔμαρψα τόνδ' ἄνευ βρόχων *
* * νέον λῖν,
ὡς ὁρᾶν πάρα.

ΧΟΡΟΣ.

πόθεν ἐρημίας;

ΑΓΑΥΗ.

Κιθαιρὼν

ΧΟΡΟΣ.

τί Κιθαιρών;

ΑΓΑΥΗ.

κατεφόνευσέ νιν.

ΧΟΡΟΣ.

τίς ἁ βαλοῦσα πρῶτα;

ΑΓΑΥΗ.

ἐμὸν τὸ γέρας.
μάκαιρ' Ἀγαύη. κληζόμεθ' ἐν θιάσοις.

ΧΟΡΟΣ.

τίς ἄλλα;

ΑΓΑΥΗ.

τὰ Κάδμου

ΧΟΡΟΣ.

τί Κάδμου;

ΑΓΑΥΗ.

γένεθλα
μετ' ἐμὲ μετ' ἐμὲ τοῦδ'
ἔθιγε θηρός.

ΧΟΡΟΣ.

εὐτυχεῖς τᾷδ' ἄγρᾳ.

ΑΓΑΥΗ.

μέτεχέ νυν θοίνας.

ΧΟΡΟΣ.

τί μετέχω τλάμων;

ΑΓΑΥΗ.

νέος ὁ μόσχος ἄρ-
τι γένυν, ἄπο κόρυθ' ἁπαλότριχα
κατάκομον βάλλει.

ΧΟΡΟΣ.

πρέπει γὰρ ὥστε θηρὸς ἀγραύλου φόβη.

1169—1187. == 1188—1199.

ΑΓΑΥΗ.
ὁ Βάκχιος κυναγέτας σοφὸς σοφῶς
ἀνέπηλεν ἐπὶ θῆρα
τούσδε μαινάδας.
ΧΟΡΟΣ.
ὁ γὰρ ἄναξ ἀγρεύς.
ΑΓΑΥΗ.
ἐπαινεῖς;
ΧΟΡΟΣ.
τί δ'; ἐπαινῶ.
ΑΓΑΥΗ.
τάχα δὲ Καδμεῖοι
ΧΟΡΟΣ.
καὶ παῖς γε Πενθεὺς ματέρ'
ΑΓΑΥΗ.
ἐπαινέσεται,
λαβοῦσαν ἄγραν τάνδε λεοντοφυῆ
ΧΟΡΟΣ.
περισσάν
ΑΓΑΥΗ.
περισσῶς.
ΧΟΡΟΣ.
ἀγάλλει;
ΑΓΑΥΗ.
γέγηθα
μεγάλα μεγάλα καὶ
φανερὰ τᾷδε γᾷ κατειργασμένα.
ΧΟΡΟΣ.
δεῖξόν νυν, ὦ τάλαινα, σὴν νικηφόρον
ἀστοῖσιν ἄγραν, ἣν φέρουσ' ἐλήλυθας.
ΑΓΑΥΗ.
ὦ καλλίπυργον ἄστυ Θηβαίας χθονὸς
ναίοντες, ἔλθεθ', ὡς ἴδητε τήνδ' ἄγραν,
Κάδμου θυγατέρες θηρὸς ἣν ἠγρεύσαμεν,
οὐκ ἀγκυλωτοῖς Θεσσαλῶν στοχάσμασιν,
οὐ δικτύοισιν, ἀλλὰ λευκοπήχεσιν
χειρῶν ἀκμαῖσι. κᾆτα κομπάζειν χρεὼν
καὶ λογχοποιῶν ὄργανα κτᾶσθαι μάτην;
ἡμεῖς δὲ ταύτῃ χειρὶ τόνδε θ' εἵλομεν
χωρίς τε θηρὸς ἄρθρα διεφορήσαμεν.
ποῦ μοι πατὴρ ὁ πρέσβυς; ἐλθέτω πέλας.
Πενθεύς τ' ἐμὸς παῖς ποῦ 'στιν; αἰρέσθω λαβὼν
πηκτῶν πρὸς οἴκους κλιμάκων προσαμβάσεις,
ὡς πασσαλεύσῃ κρᾶτα τριγλύφοις τόδε
λέοντος, ὃν πάρειμι θηράσασ' ἐγώ.
ΚΑΔΜΟΣ.
ἕπεσθέ μοι φέροντες ἄθλιον βάρος
Πενθέως, ἕπεσθε, πρόσπολοι, δόμων πάρος,
οὗ σῶμα μοχθῶν μυρίοις ζητήμασι
φέρω τόδ' εὑρὼν ἐν Κιθαιρῶνος πτυχαῖς
διασπαρακτὸν, κοὐδὲν ἐν ταὐτῷ πέδῳ
λαβὼν, ἐν ὕλῃ κείμενον δυσευρέτῳ.
ἤκουσα γάρ του θυγατέρων τολμήματα,
ἤδη κατ' ἄστυ τειχέων ἔσω βεβὼς
σὺν τῷ γέροντι Τειρεσίᾳ, βακχῶν πέρι·
πάλιν δὲ κάμψας εἰς ὄρος κομίζομαι
τὸν κατθανόντα παῖδα μαινάδων ὕπο.
καὶ τὴν μὲν Ἀκτέων' Ἀριστέᾳ ποτὲ
τεκοῦσαν εἶδον Αὐτονόην Ἰνώ θ' ἅμα
ἔτ' ἀμφὶ δρυμοῖς οἰστροπλῆγας ἀθλίας,
τὴν δ' εἶπέ τίς μοι δεῦρο βακχείῳ ποδὶ
στείχειν Ἀγαύην, οὐδ' ἄκραντ' ἠκούσαμεν·
λεύσσω γὰρ αὐτῆς ὄψιν οὐκ εὐδαίμονα.
ΑΓΑΥΗ.
πάτερ, μέγιστον κομπάσαι πάρεστί σοι,
πάντων ἀρίστας θυγατέρας σπεῖραι μακρῷ
θνητῶν· ἁπάσας εἶπον, ἐξόχως δ' ἐμὲ,
ἣ τὰς παρ' ἱστοῖς ἐκλιποῦσα κερκίδας
ἐς μεῖζον' ἥκω, θῆρας ἀγρεύειν χεροῖν.
φέρω δ' ἐν ὠλέναισιν, ὡς ὁρᾷς, τάδε
λαβοῦσα τἀριστεῖα, σοῖσι πρὸς δόμοις
ὡς ἂν κρεμασθῇ· σὺ δὲ, πάτερ, δέξαι χεροῖν·
γαυρούμενος δὲ τοῖς ἐμοῖς ἀγρεύμασι
κάλει φίλους ἐς δαῖτα· μακάριος γὰρ εἶ,
μακάριος, ἡμῶν τοιάδ' ἐξειργασμένων.
ΚΑΔΜΟΣ.
ὦ πένθος οὐ μετρητὸν, οὐδ' οἷόν τ' ἰδεῖν,
φόνον ταλαίνας χερσὶν ἐξειργασμένων.
καλὸν τὸ θῦμα καταβαλοῦσα δαίμοσιν,
ἐπὶ δαῖτα Θήβας τάσδε κἀμὲ παρακαλεῖς.
οἴμοι κακῶν μὲν πρῶτα σῶν, ἔπειτ' ἐμῶν.
ὡς ὁ θεὸς ἡμᾶς ἐνδίκως μὲν, ἀλλ' ἄγαν,
Βρόμιος ἄναξ ἀπώλεσ' οἰκεῖος γεγώς.
ΑΓΑΥΗ.
ὡς δύσκολον τὸ γῆρας ἀνθρώποις ἔφυ
ἔν τ' ὄμμασι σκυθρωπόν. εἴθε παῖς ἐμὸς
εὔθηρος εἴη, μητρὸς εἰκασθεὶς τρόποις
ὅτ' ἐν νεανίαισι Θηβαίοις ἅμα
θηρῶν ὀριγνῷτ'. ἀλλὰ θεομαχεῖν μόνον
οἷός τ' ἐκεῖνος. νουθετητέος, πάτερ,
σοί τ' ἐστὶ κἀμοὶ μὴ σοφοῖς χαίρειν κακοῖς.
ποῦ 'στιν; τίς αὐτὸν δεῦρ' ἂν ὄψιν εἰς ἐμὴν
καλέσειεν, ὡς ἴδῃ με τὴν εὐδαίμονα;
ΚΑΔΜΟΣ.
φεῦ φεῦ· φρονήσασαι μὲν οἷ' ἐδράσατε
ἀλγήσετ' ἄλγος δεινόν· εἰ δὲ διὰ τέλους
ἐν τῷδ' ἀεὶ μενεῖτ', ἐν ᾧ καθέστατε,
οὐκ εὐτυχοῦσαι δόξετ' οὐχὶ δυστυχεῖν.
ΑΓΑΥΗ.
τί δ' οὐ καλῶς τῶνδ', ἢ τί λυπηρῶς ἔχει;
ΚΑΔΜΟΣ.
πρῶτον μὲν ἐς τόνδ' αἰθέρ' ὄμμα σὸν μέθες.
ΑΓΑΥΗ.
ἰδού· τί μοι τόνδ' ἐξυπεῖπας εἰσορᾶν;
ΚΑΔΜΟΣ.
ἔθ' αὑτὸς, ἤ σοι μεταβολὰς ἔχειν δοκεῖ;
ΑΓΑΥΗ.
λαμπρότερος ἢ πρὶν καὶ διιπετέστερος.
ΚΑΔΜΟΣ.
τὸ δὲ πτοηθὲν τόδ' ἔτι σῇ ψυχῇ πάρα;
ΑΓΑΥΗ.
οὐκ οἶδα τοὔπος τοῦτο, γίγνομαι δέ πως
ἔννους, μετασταθεῖσα τῶν πάρος φρενῶν.
ΚΑΔΜΟΣ.
κλύοις ἂν οὖν τι, κἀποκρίναι' ἂν σαφῶς;
ΑΓΑΥΗ.
ὡς ἐκλέλησμαί γ' ἃ πάρος εἴπομεν, πάτερ.
ΚΑΔΜΟΣ.
ἐς ποῖον ἦλθες οἶκον ὑμεναίων μέτα;

*ΑΓΑΥΗ.*
σπαρτῷ μ' ἔδωκας, ὡς λέγουσ', Ἐχίονι.
*ΚΑΔΜΟΣ.*
τίς οὖν ἐν οἴκοις παῖς ἐγένετο σῷ πόσει;
*ΑΓΑΥΗ.*
Πενθεὺς, ἐμῇ τε καὶ πατρὸς κοινωνίᾳ.
*ΚΑΔΜΟΣ.*
τίνος πρόσωπον δῆτ' ἐν ἀγκάλαις ἔχεις;
*ΑΓΑΥΗ.*
λέοντος, ὥς γ' ἔφασκον αἱ θηρώμεναι.
*ΚΑΔΜΟΣ.*
σκέψαι νυν ὀρθῶς, βραχὺς ὁ μόχθος εἰσιδεῖν.
*ΑΓΑΥΗ.*
ἔα, τί λεύσσω; τί φέρομαι τόδ' ἐν χεροῖν;
*ΚΑΔΜΟΣ.*
ἄθρησον αὐτὸ καὶ σαφέστερον μάθε.
*ΑΓΑΥΗ.*
ὁρῶ μέγιστον ἄλγος ἡ τάλαιν' ἐγώ.
*ΚΑΔΜΟΣ.*
μῶν σοι λέοντι φαίνεται προσεικέναι;
*ΑΓΑΥΗ.*
οὔκ, ἀλλὰ Πενθέως ἡ τάλαιν' ἔχω κάρα.
*ΚΑΔΜΟΣ.*
οἰμωγμένον γε πρόσθεν ἢ σὲ γνωρίσαι.
*ΑΓΑΥΗ.*
τίς ἔκτανέν νιν; πῶς ἐμὰς ἦλθ' ἐς χέρας;
*ΚΑΔΜΟΣ.*
δύστην' ἀλήθει', ὡς ἐν οὐ καιρῷ πάρει.
*ΑΓΑΥΗ.*
λέγ', ὡς τὸ μέλλον καρδία πήδημ' ἔχει.
*ΚΑΔΜΟΣ.*
σύ νιν κατέκτας καὶ κασίγνηται σέθεν.
*ΑΓΑΥΗ.*
ποῦ δ' ὤλετ'; ἦ κατ' οἶκον, ἢ ποίοις τόποις;
*ΚΑΔΜΟΣ.*
οὗπερ πρὶν Ἀκτέωνα διέλαχον κύνες.
*ΑΓΑΥΗ.*
τί δ' ἐς Κιθαιρῶν' ἦλθε δυσδαίμων ὅδε;
*ΚΑΔΜΟΣ.*
ἐκερτόμει θεὸν σάς τε βακχείας μολών.
*ΑΓΑΥΗ.*
ἡμεῖς δ' ἐκεῖσε τίνι τρόπῳ κατήραμεν;
*ΚΑΔΜΟΣ.*
ἐμάνητε, πᾶσά τ' ἐξεβακχεύθη πόλις.
*ΑΓΑΥΗ.*
Διόνυσος ἡμᾶς ὤλεσ'· ἄρτι μανθάνω.
*ΚΑΔΜΟΣ.*
ὕβριν γ' ὑβρισθείς. θεὸν γὰρ οὐχ ἡγεῖσθέ νιν.
*ΑΓΑΥΗ.*
τὸ φίλτατον δὲ σῶμα ποῦ παιδὸς, πάτερ;
*ΚΑΔΜΟΣ.*
ἐγὼ μόλις τόδ' ἐξερευνήσας φέρω.
*ΑΓΑΥΗ.*
ἦ πᾶν ἐν ἄρθροις συγκεκλῃμένον καλῶς;

* * * *

*ΑΓΑΥΗ.*
Πενθεῖ δὲ τί μέρος ἀφροσύνης προσῆκ' ἐμῆς;
*ΚΑΔΜΟΣ.*
ὑμῖν ἐγένεθ' ὅμοιος, οὐ σέβων θεόν.
τοιγὰρ ξυνῆψε πάντας ἐς μίαν βλάβην,
ὑμᾶς τε τόνδε θ', ὥστε διολέσαι δόμους
κἄμ', ὅστις ἄτεκνος ἀρσένων παίδων γεγὼς,
τῆς σῆς τόδ' ἔρνος, ὦ τάλαινα, νηδύος
αἴσχιστα καὶ κάκιστα κατθανόνθ' ὁρῶ,
ᾧ δῶμ' ἀνέβλεφ', ὃς συνεῖχες, ὦ τέκνον,
τοὐμὸν μέλαθρον, παιδὸς ἐξ ἐμῆς γεγὼς,
πόλει τε τάρβος ἦσθα· τὸν γέροντα δὲ
οὐδεὶς ὑβρίζειν ἤθελ', εἰσορῶν τὸ σὸν
κάρα· δίκην γὰρ ἀξίαν ἐλάμβανεν.
νῦν δ' ἐκ δόμων ἄτιμος ἐκβεβλήσομαι
ὁ Κάδμος ὁ μέγας, ὃς τὸ Θηβαίων γένος
ἔσπειρα, κἀξήμησα κάλλιστον θέρος.
ὦ φίλτατ' ἀνδρῶν, καὶ γὰρ οὐκέτ' ὢν ὅμι[...]
τῶν φιλτάτων ἔμοιγ' ἀριθμήσει τέκνων,
οὐκέτι γενείου τοῦδε θιγγάνων χερὶ,
τὸν μητρὸς αὐδῶν πατέρα προσπτύξει, τέκ[...]
λέγων, τίς ἀδικεῖ, τίς σ' ἀτιμάζει, γέρον,
τίς σὴν ταράσσει καρδίαν λυπηρὸς ὤν;
λέγ', ὡς κολάζω τὸν ἀδικοῦντά σ', ὦ πάτερ.
νῦν δ' ἄθλιος μέν εἰμ' ἐγὼ, τλήμων δὲ σύ,
οἰκτρὰ δὲ μήτηρ, τλήμονες δὲ σύγγονοι.
εἰ δ' ἔστιν ὅστις δαιμόνων ὑπερφρονεῖ,
ἐς τοῦδ' ἀθρήσας θάνατον ἡγείσθω θεούς.
*ΧΟΡΟΣ.*
τὸ σὸν μὲν ἀλγῶ, Κάδμε· σὸς δ' ἔχει δίκην
παῖς παιδὸς ἀξίαν μὲν, ἀλγεινὴν δὲ σοί.
*ΑΓΑΥΗ.*
ὦ πάτερ, ὁρᾷς γὰρ τἄμ' ὅσῳ μετεστράφη,

*

*ΔΙΟΝΥΣΟΣ.*

*

δράκων γενήσει μεταβαλὼν, δάμαρ τε σὴ
ἐκθηριωθεῖσ' ὄφεος ἀλλάξει τύπον,
ἣν Ἄρεος ἔσχες Ἁρμονίαν, θνητὸς γεγώς.
ὄχον δὲ μόσχων, χρησμὸς ὡς λέγει Διὸς,
ἐλᾷς μετ' ἀλόχου, βαρβάρων ἡγούμενος.
πολλὰς δὲ πέρσεις ἀναρίθμῳ στρατεύματι
πόλεις· ὅταν δὲ Λοξίου χρηστήριον
διαρπάσωσι, νόστον ἄθλιον πάλιν
σχήσουσι· σὲ δ' Ἄρης Ἁρμονίαν τε ῥύσεται,
μακάρων τ' ἐς αἶαν σὸν καθιδρύσει βίον.
ταῦτ' οὐχὶ θνητοῦ πατρὸς ἐκγεγὼς λέγω
Διόνυσος, ἀλλὰ Ζηνός· εἰ δὲ σωφρονεῖν
ἔγνωθ', ὅτ' οὐκ ἠθέλετε, τὸν Διὸς γόνον
εὐδαιμονοῖτ' ἂν σύμμαχον κεκτημένοι.
*ΑΓΑΥΗ.*
Διόνυσε, λισσόμεσθά σ', ἠδικήκαμεν.
*ΔΙΟΝΥΣΟΣ.*
ὄψ' ἐμάθεθ' ἡμᾶς, ὅτε δ' ἐχρῆν, οὐκ ᾔδε[...]
*ΑΓΑΥΗ.*
ἐγνώκαμεν ταῦτ'· ἀλλ' ἐπεξέρχει λίαν.
*ΔΙΟΝΥΣΟΣ.*
καὶ γὰρ πρὸς ὑμῶν, θεὸς γεγὼς, ὑβριζόμ[...]
*ΑΓΑΥΗ.*
ὀργὰς πρέπει θεοὺς οὐχ ὁμοιοῦσθαι βροτοῖς.
*ΔΙΟΝΥΣΟΣ.*
πάλαι τάδε Ζεὺς οὑμὸς ἐπένευσεν πατήρ.
*ΑΓΑΥΗ.*
αἰαῖ, δέδοκται, πρέσβυ, τλήμονες φυγαί.

ΔΙΟΝΥΣΟΣ.

τί δῆτα μέλλεθ' ἅπερ ἀναγκαίως ἔχει;

ΚΑΔΜΟΣ.

ὦ τέκνον, ὡς ἐς δεινὸν ἤλθομεν κακὸν,
σύ θ' ἡ τάλαινα σύγγονοί τε σαὶ *
ἐγώ θ' ὁ τλήμων βαρβάρους ἀφίξομαι
γέρων μέτοικος· ἔτι δέ μοι τὸ θέσφατον
ἐς Ἑλλάδ' ἀγαγεῖν μιγάδα βάρβαρον στρατόν.
καὶ τὴν Ἄρεως παῖδ' Ἁρμονίαν, δάμαρτ' ἐμὴν,
δράκων δρακαίνης φύσιν ἔχουσαν ἀγρίαν,
ἄξω 'πὶ βωμοὺς καὶ τάφους Ἑλληνικοὺς,
ἡγούμενος λόγχαισιν, οὐδὲ παύσομαι
κακῶν ὁ τλήμων, οὐδὲ τὸν καταιβάτην
Ἀχέροντα πλεύσας ἥσυχος γενήσομαι.

ΑΓΑΥΗ.

ὦ πάτερ, ἐγὼ δὲ σοῦ στερεῖσα φεύξομαι.

ΚΑΔΜΟΣ.

τί μ' ἀμφιβάλλεις χερσὶν, ὦ τάλαινα παῖ,
ὄρνις δπως κηφῆνα πολιόχρως κύκνος;

ΑΓΑΥΗ.

ποῖ γὰρ τράπωμαι, πατρίδος ἐκβεβλημένη;

ΚΑΔΜΟΣ.

οὐκ οἶδα, τέκνον· σμικρὸς ἐπίκουρος πατήρ.

ΑΓΑΥΗ.

χαῖρ', ὦ μέλαθρον, χαῖρ', ὦ πατρῴα
πόλις· ἐκλείπω σ' ἐπὶ δυστυχίᾳ
φυγὰς ἐκ θαλάμων.

ΚΑΔΜΟΣ.

στεῖχέ νυν, ὦ παῖ, τὸν Ἀρισταίου
*　　*　　*

ΑΓΑΥΗ.

στένομαί σε, πάτερ.

ΚΑΔΜΟΣ.

κἀγὼ σὲ, τέκνον,
καὶ σὰς ἐδάκρυσα κασιγνήτας.

ΑΓΑΥΗ.

δεινῶς γάρτοι τάνδ' αἰκίαν
Διόνυσος ἄναξ τοὺς σοὺς * εἰς
οἴκους ἔφερεν.

ΚΑΔΜΟΣ.

καὶ γὰρ ἔπασχεν δεινὰ πρὸς ὑμῶν,
ἀγέραστον ἔχων ὄνομ' ἐν Θήβαις.

ΑΓΑΥΗ.

χαῖρε, πάτερ, μοι.

ΚΑΔΜΟΣ.

χαῖρ', ὦ μελέα
θύγατερ. χαλεπῶς δ' εἰς τόδ' ἂν ἥκοις.

ΑΓΑΥΗ.

ἄγετ' ὦ πομποί με, κασιγνήτας
ἵνα συμφυγάδας ληψόμεθ' οἰκτράς.
ἔλθοιμι δ' ὅπου
μήτε Κιθαιρὼν μιαρός μ' ἐσίδοι
μήτε Κιθαιρῶν' ὄσσοισιν ἐγὼ,
μήθ' ὅθι θύρσου μνῆμ' ἀνάκειται·
βάκχαις δ' ἄλλαισι μέλοιεν.

ΧΟΡΟΣ.

πολλαὶ μορφαὶ τῶν δαιμονίων,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοὶ,
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

# ΕΥΡΙΠΙΔΟΥ ΕΚΑΒΗ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΠΟΛΥΔΩΡΟΥ ΕΙΔΩΛΟΝ.*
*ΕΚΑΒΗ.*
*ΧΟΡΟΣ ΑΙΧΜΑΛΩΤΙΔΩΝ ΓΥΝΑΙΚΩΝ.*
*ΠΟΛΥΞΕΝΗ.*
*ΟΔΥΣΣΕΥΣ.*
*ΤΑΛΘΥΒΙΟΣ.*
*ΘΕΡΑΠΑΙΝΑ.*
*ΑΓΑΜΕΜΝΩΝ.*
*ΠΟΛΥΜΗΣΤΩΡ ΚΑΙ ΟΙ ΠΑΙΔΕΣ ΑΥΤΟΥ.*

## ΥΠΟΘΕΣΙΣ.

*Μετὰ τὴν Τροίας ἅλωσιν ἄραντες οἱ Ἕλληνες καθωρμίσθησαν ἐν τῇ ἀντιπέραν Χερρονήσῳ τῆς Θρᾴ
ἧς Πολυμήστωρ ἦρχεν· οὗ δὴ καὶ κενοτάφιον ἔχωσαν Ἀχιλλεῖ, ἐν Τροίᾳ ταφέντι. διατρίψαντες δὲ
ἡμέρας δή τινας, ἐφ' ᾧ τὰ αὐτῶν εὖ διαθήσονται, ἐπεὶ ἀναχθήσεσθαι ἔμελλον, φανὲν τὸ τοῦ Ἀχι
εἴδωλον ἐπὶ τοῦ τάφου ἐπέσχε τοὺς Ἀχαιοὺς τῆς ἀναγωγῆς, αἰτοῦν γέρας αὐτῷ δοθῆναι τὸν παῖδα Π
μου Πολυξένην, τὴν καὶ πρότερον κατεγγυηθεῖσαν αὐτῷ ὑπὸ τοῦ πατρὸς, δι' ἣν καὶ ὑπὸ Πάριδος
Δηιφόβου τοξευθεὶς ὤλωλεν, ὅτε τὰς ἐγγύας πρὸς τοῦτον πληροῦν ἔμελλε Πρίαμος. Ἕλληνες μὲν οὖν,
εὖ ἔπαθον ὑπ' αὐτοῦ μεμνημένοι καὶ τιμῶντες τὴν ἀρετὴν τοῦ ἀνδρὸς, ἐψηφίσαντο σφάξαι τὴν Πολυξ
ἐπὶ τῷ τάφῳ τοῦ ἥρωος. ἔπεμψαν δὲ τὸν Λαέρτου Ὀδυσσέα πρὸς τὴν μητέρα αὐτῆς Ἑκάβην, ὡς ἄν
τε παρθένον λάβῃ καὶ τῷ ποικίλῳ τῶν λόγων, τοιοῦτος γὰρ ἦν ὁ ἀνὴρ, πείσῃ Ἑκάβην μὴ δυσχερῶς
ἐπὶ τῇ τῆς παιδὸς ἀφαιρέσει. ἐλθὼν οὖν Ὀδυσσεὺς τήν τε κόρην συναιρομένην εὗρεν αὐτῷ τῆς σπο
καὶ πείθουσαν τὴν μητέρα, ὡς τεθνήξεσθαι μᾶλλον αὐτῇ προσῆκον ἢ τὸ ζῆν παρ' ἀξίαν. σφαγείσ
τῆς παρθένου, Ἑκάβη θεράπαιναν αὐτῆς ἔπεμψε παρὰ τὰς ἀκτὰς, ἐφ' ᾧ ὕδωρ ἐκεῖθεν κομίσαι
λουτρὸν Πολυξένης. εὗρε δὲ Πολύδωρον ἐκεῖ κείμενον· ἁλοῦσαν γὰρ ὡς ἔγνω τὴν Τροίαν Πολυμή
σφάξας αὐτὸν ἔρριψεν εἰς τὴν θάλασσαν, ὡς ἂν αὐτὸς ἔχῃ τὸν χρυσὸν ὃν πρὸς αὐτὸν μετὰ τοῦ πα
Πολυδώρου πρῴην Πρίαμος ἔπεμψε λάθρα, ἐπειδὴ ἑώρα τὸ Ἴλιον πρὸς κίνδυνον ἤδη χωροῦν. ἦν
χρυσὸς οὗτος πολὺς ἄγαν καὶ ἱκανὸς ὀρθῶσαι καὶ αὖθις τὸ γένος τοῦ Πριάμου. ὡς οὖν τοῦτον εἶ
δούλη κείμενον ἐπ' ἀκταῖς, ἀνελομένη καὶ τῷ πέπλῳ εἱλίξασα κομίζει πρὸς τὴν Ἑκάβην. καὶ ἣ τὸν
Πολυξένης νεκρὸν, πρὶν ἐκκεκαλύφθαι τοῦτον, εἶναι νομίσασα, ἐπειδὴ ἔγνω Πολύδωρον, ἀθλίως τι
καὶ ὅπως ἀμυνεῖται Πολυμήστορα μηχανᾶται τοιόνδε· κοινωσαμένη πρότερον τὴν περὶ τούτου γν
Ἀγαμέμνονι, πέμπει τὴν αὑτῆς δούλην ὡς Πολυμήστορα, αὐτόν τε καὶ τὰ τέκνα πρὸς ἑαυτὴν μετακα
μένη περί τινος ἀναγκαίου πρὸς αὐτὸν κοινώσασθαι. οὗτος μὲν οὖν ἀγνοῶν ὅτι Πολύδωρος εὕρηται
τὰς ἀκτὰς, καὶ ἅμα καί τισιν ὑποκλαπεὶς μετὰ τῶν παίδων πρὸς αὐτὴν ἀφικνεῖται. Ἑκάβη δὲ πρὸς α
τούτου χάριν ἔφη κεκληκέναι, ἵνα χρυσοῦ θησαυροὺς κεκρυμμένους ὑπ' αὐτῆς ἐν Ἰλίῳ μηνύσῃ. εἰσάγ*

καὶ τῆς σκηνῆς ἔνδον εἰποῦσα ὡς ἂν καὶ ἕτερ᾽ ἄττα αὐτῷ δώσει χρήματα, μεθ᾽ ὧν ἐξῆλθε τῆς Τροίας. ἐκέκριπτο δὲ εἴσω πλεῖστος γυναικῶν ὄχλος· σὺν αἷς τοῦτον εἰσελθόντα Ἑκάβη ὀφθαλμῶν τε στερεῖ καὶ τὰ τέκνα αὐτοῦ ἀποσφάττει. δικάσαντος δὲ αὐτοὺς τοῦ Ἀγαμέμνονος ὕστερον, καὶ τοῦ Πολυμήστορος πολλὰ περὶ τῆς σφαγῆς Πολυδώρου διαπλασαμένου, Ἑκάβη περιεγένετο ἐλέγξασα αὐτὸν ὡς τοῦ χρυσοῦ ἐρῶν καὶ οὐχ ὧν προὔτεινε τὸν παῖδα ἀνεῖλε, σύμψηφον σχοῦσα καὶ Ἀγαμέμνονα.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῇ ἀντιπέραν τῆς Θρᾴκης Χερρονήσῳ· ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν αἰχμαλωτίδων Τρῳάδων συμμαχησουσῶν τῇ Ἑκάβῃ.

---

## Α Λ Λ Ω Σ.

Μετὰ τὴν Ἰλίου πολιορκίαν οἱ μὲν Ἕλληνες εἰς τὴν ἀντιπέραν Τρῳάδος Χερρόνησον καθωρμίσθησαν· Ἀχιλλεὺς δὲ νυκτὸς ὁραθεὶς σφαγῆναι ἠξίου μίαν τῶν Πριάμου θυγατέρων. οἱ μὲν οὖν Ἕλληνες τι-ώντες τὸν ἥρωα Πολυξένην ἀποσπάσαντες Ἑκάβης ἐσφαγίασαν· Πολυμήστωρ δὲ ὁ τῶν Θρᾳκῶν βασιλεὺς ε τῶν Πριαμιδῶν Πολύδωρον κατέσφαξεν. εἰλήφει δὲ τοῦτον παρὰ τοῦ Πριάμου ὁ Πολυμήστωρ εἰς παρακαταθήκην μετὰ χρημάτων. ἁλούσης δὲ τῆς πόλεως, κατασχεῖν αὐτοῦ βουλόμενος τὸν πλοῦτον φο-νεύειν ὥρμησε, καὶ φιλίας δυστυχοῦς ὠλιγώρησεν. ἐκριφέντος δὲ τοῦ σώματος εἰς τὴν θάλασσαν, τὸ κλύδωνιον πρὸς τὰς τῶν αἰχμαλωτίδων σκηνὰς αὐτὸν ἐξέβαλεν. Ἑκάβη δὲ τὸν νεκρὸν θεασαμένη ἐπέγνω· κοινωσαμένη δὲ τὴν γνώμην Ἀγαμέμνονι, Πολυμήστορα σὺν τοῖς παισὶν αὐτοῦ ὡς ἑαυτὴν μετεπέμψατο, ...πτουσα τὸ γεγονὸς, ὡς θησαυροὺς ἐν Ἰλίῳ μηνύσῃ αὐτῷ· παραγενομένου δὲ τοὺς μὲν υἱοὺς κατέσφαξεν, τὸν δὲ τῶν ὀφθαλμῶν ἐστέρησεν. ἐπὶ δὲ τῶν Ἑλλήνων λέγουσα τὸν κατήγορον ἐνίκησεν. ἐκρίθη γὰρ ε ἄρχειν ὠμότητος, ἀλλ᾽ ἀμύνασθαι τὸν κατάρξαντα.

# Ε Κ Α Β Η.

### ΠΟΛΥΔΩΡΟΥ ΕΙΔΩΛΟΝ.

Ἥκω, νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
λιπὼν, ἵν' Ἅιδης χωρὶς ᾤκισται θεῶν,
Πολύδωρος, Ἑκάβης παῖς γεγὼς τῆς Κισσέως,
Πριάμου τε πατρὸς, ὅς μ', ἐπεὶ Φρυγῶν πόλιν
κίνδυνος ἔσχε δορὶ πεσεῖν Ἑλληνικῷ,
δείσας ὑπεξέπεμψε Τρωικῆς χθονὸς
Πολυμήστορος πρὸς δῶμα, Θρῃκίου ξένου,
ὃς τὴν ἀρίστην Χερσονησίαν πλάκα
σπείρει, φίλιππον λαὸν εὐθύνων δορί.
πολὺν δὲ σὺν ἐμοὶ χρυσὸν ἐκπέμπει λάθρα
πατὴρ, ἵν', εἴ ποτ' Ἰλίου τείχη πέσοι,
τοῖς ζῶσιν εἴη παισὶ μὴ σπάνις βίου.
νεώτατος δ' ἦν Πριαμιδῶν· ὃ καί με γῆς
ὑπεξέπεμψεν· οὔτε γὰρ φέρειν ὅπλα
οὔτ' ἔγχος οἷός τ' ἦν νέῳ βραχίονι.
ἕως μὲν οὖν γῆς ὄρθ' ἔκειθ' ὁρίσματα,
πύργοι τ' ἄθραυστοι Τρωικῆς ἦσαν χθονὸς,
Ἕκτωρ τ' ἀδελφὸς οὑμὸς εὐτύχει δορὶ,
καλῶς παρ' ἀνδρὶ Θρῃκὶ, πατρῴῳ ξένῳ,
τροφαῖσιν, ὥς τις πτόρθος, ηὐξόμην τάλας.
ἐπεὶ δὲ Τροία θ' Ἕκτορός τ' ἀπόλλυται
ψυχὴ, πατρῴα θ' ἑστία κατεσκάφη,
αὐτὸς δὲ βωμῷ πρὸς θεοδμήτῳ πίτνει,
σφαγεὶς Ἀχιλλέως παιδὸς ἐκ μιαιφόνου,
κτείνει με χρυσοῦ τὸν ταλαίπωρον χάριν
ξένος πατρῷος, καὶ κτανὼν ἐς οἶδμ' ἁλὸς
μεθῆχ', ἵν' αὐτὸς χρυσὸν ἐν δόμοις ἔχῃ.
κεῖμαι δ' ἐπ' ἀκταῖς, ἄλλοτ' ἐν πόντου σάλῳ,
πολλοῖς διαύλοις κυμάτων φορούμενος,
ἄκλαυστος, ἄταφος· νῦν δ' ὑπὲρ μητρὸς φίλης
Ἑκάβης ἀΐσσω, σῶμ' ἐρημώσας ἐμὸν,
τριταῖον ἤδη φέγγος αἰωρούμενος,
ὅσονπερ ἐν γῇ τῇδε Χερσονησίᾳ
μήτηρ ἐμὴ δύστηνος ἐκ Τροίας πάρα.
πάντες δ' Ἀχαιοὶ ναῦς ἔχοντες ἥσυχοι
θάσσουσ' ἐπ' ἀκταῖς τῆσδε Θρῃκίας χθονός·
ὁ Πηλέως γὰρ παῖς ὑπὲρ τύμβου φανεὶς
κατέσχ' Ἀχιλλεὺς πᾶν στράτευμ' Ἑλληνικὸν,
πρὸς οἶκον εὐθύνοντας ἐναλίαν πλάτην·
αἰτεῖ δ' ἀδελφὴν τὴν ἐμὴν Πολυξένην
τύμβῳ φίλον πρόσφαγμα καὶ γέρας λαβεῖν.
καὶ τεύξεται τοῦδ', οὐδ' ἀδώρητος φίλων
ἔσται πρὸς ἀνδρῶν· ἡ πεπρωμένη δ' ἄγει
θανεῖν ἀδελφὴν τῷδ' ἐμὴν ἐν ἤματι.
δυοῖν δὲ παίδοιν δύο νεκρὼ κατόψεται
μήτηρ, ἐμοῦ τε τῆς τε δυστήνου κόρης.
φανήσομαι γὰρ, ὡς τάφου τλήμων τύχω,
δούλης ποδῶν πάροιθεν ἐν κλυδωνίῳ.
τοὺς γὰρ κάτω σθένοντας ἐξῃτησάμην
τύμβου κυρῆσαι, κεἰς χέρας μητρὸς πεσεῖν.
τοὐμὸν μὲν οὖν ὅσονπερ ἤθελον τυχεῖν
ἔσται· γεραιᾷ δ' ἐκποδὼν χωρήσομαι
Ἑκάβῃ· περᾷ γὰρ ἥδ' ὑπὸ σκηνῆς πόδα
Ἀγαμέμνονος, φάντασμα δειμαίνουσ' ἐμόν.
φεῦ·
ὦ μῆτερ, ἥτις ἐκ τυραννικῶν δόμων
δούλειον ἦμαρ εἶδες, ὡς πράσσεις κακῶς,
ὅσονπερ εὖ ποτ'. ἀντισηκώσας δέ σε
φθείρει θεῶν τις τῆς πάροιθ' εὐπραξίας.

### ΕΚΑΒΗ.

ἄγετ', ὦ παῖδες, τὴν γραῦν πρὸ δόμων,
ἄγετ', ὀρθοῦσαι τὴν ὁμόδουλον,
Τρῳάδες, ὑμῖν, πρόσθε δ' ἄνασσαν.
λάβετε, φέρετε, πέμπετ', ἀείρετέ μου
γεραιᾶς χειρὸς προσλαζύμεναι·
κἀγὼ σκολιῷ σκίπωνι χερὸς
διερειδομένα, σπεύσω βραδύπουν
ἤλυσιν ἄρθρων προτιθεῖσα.
ὦ στεροπὰ Διὸς, ὦ σκοτία νὺξ,
τί ποτ' αἴρομαι ἔννυχος οὕτω
δείμασι, φάσμασιν; ὦ πότνια χθὼν,
μελανοπτερύγων μᾶτερ ὀνείρων,
ἀποπέμπομαι ἔννυχον ὄψιν,
ἂν περὶ παιδὸς ἐμοῦ τοῦ σωζομένου κατὰ Θρῄ
ἀμφὶ Πολυξείνης τε φίλης θυγατρὸς δι' ὀνείρ
φοβερὰν ὄψιν ἔμαθον, ἐδάην.
ὦ χθόνιοι θεοὶ, σώσατε παῖδ' ἐμὸν,
ὃς μόνος, οἴκων ἄγκυρά τ' ἐμῶν,
τὴν χιονώδη Θρῄκην κατέχει,
ξείνου πατρῴου φυλακαῖσιν.
ἔσται τι νέον,
ἥξει τι μέλος γοερὸν γοεραῖς.
οὔποτ' ἐμὰ φρὴν ὧδ' ἀλίαστος
φρίσσει, ταρβεῖ.
ποῦ ποτε θείαν Ἑλένου ψυχὰν
ἢ Κασάνδραν ἐσίδω, Τρῳάδες,
ὥς μοι κρίνωσιν ὀνείρους;
εἶδον γὰρ βαλιὰν ἔλαφον λύκου αἵμονι χαλᾷ
σφαζομέναν, ἀπ' ἐμῶν γονάτων σπασθεῖ
ἀνάγκᾳ
οἰκτρῶς. καὶ τόδε μοι δεῖμα.
ἦλθ' ὑπὲρ ἄκρας τύμβου κορυφᾶς
φάντασμ' Ἀχιλέως·
ᾔτει δὲ γέρας τῶν πολυμόχθων
τινὰ Τρωιάδων.
ἀπ' ἐμᾶς οὖν, ἀπ' ἐμᾶς τόδε παιδὸς
πέμψατε, δαίμονες, ἱκετεύω.

### ΧΟΡΟΣ.

Ἑκάβη, σπουδῇ πρός σ' ἐλιάσθην,
τὰς δεσποσύνους σκηνὰς προλιποῦσ',
ἵν' ἐκληρώθην καὶ προσετάχθην
δούλη, πόλεως ἀπελαυνομένη
τῆς Ἰλιάδος, λόγχης αἰχμῇ

δοριθήρατος πρὸς Ἀχαιῶν,
οὐδὲν παθέων ἀποκουφίζουσ',
ἀλλ' ἀγγελίας βάρος ἀραμένη
μέγα, σοί τε, γύναι, κῆρυξ ἀχέων.
ἐν γὰρ Ἀχαιῶν πλήρει ξυνόδῳ
λέγεται δόξαι σὴν παῖδ' Ἀχιλεῖ
σφάγιον θέσθαι· τύμβου δ' ἐπιβὰς
οἶσθ' ὅτε χρυσέοις ἐφάνη σὺν ὅπλοις,
τὰς ποντοπόρους δ' ἔσχε σχεδίας,
λαίφη προτόνοις ἐπερειδομένας,
τάδε θωΰσσων,
ποῖ δή, Δαναοί, τὸν ἐμὸν τύμβον
στέλλεσθ' ἀγέραστον ἀφέντες;
πολλῆς δ' ἔριδος ξυνέπαισε κλύδων,
δόξα δ' ἐχώρει δίχ' ἀν' Ἑλλήνων
στρατὸν αἰχμητήν, τοῖς μὲν διδόναι
τύμβῳ σφάγιον, τοῖς δ' οὐχὶ δοκοῦν.
ἦν δὲ τὸ μὲν σὸν σπεύδων ἀγαθὸν
τῆς μαντιπόλου βάκχης ἀνέχων
λέκτρ' Ἀγαμέμνων·
τὼ Θησείδα δ', ὄζω Ἀθηνῶν,
δισσῶν μύθων ῥήτορες ἦσαν·
γνώμῃ δὲ μιᾷ ξυνεχωρείτην,
τὸν Ἀχίλλειον τύμβον στεφανοῦν
αἵματι χλωρῷ, τὰ δὲ Κασάνδρας
λέκτρ' οὐκ ἐφάτην τᾶς Ἀχιλείας
πρόσθεν θήσειν ποτὲ λόγχης.
σπουδαὶ δὲ λόγων κατατεινομένων
ἦσαν ἴσαι πως, πρὶν ὁ ποικιλόφρων,
κόπις, ἡδυλόγος, δημοχαριστὴς
Λαερτιάδης πείθει στρατιὰν
μὴ τὸν ἄριστον Δαναῶν πάντων
δούλων σφαγίων οὕνεκ' ἀπωθεῖν,
μηδέ τιν' εἰπεῖν παρὰ Περσεφόνῃ
στάντα φθιμένων
ὡς ἀχάριστοι Δαναοὶ Δαναοῖς
τοῖς οἰχομένοις ὑπὲρ Ἑλλήνων
Τροίας πεδίων ἀπέβησαν.
ἥξει δ' Ὀδυσεὺς ὅσον οὐκ ἤδη,
πῶλον ἀφέλξων σῶν ἀπὸ μαστῶν,
ἔκ τε γεραιᾶς χερὸς ὁρμήσων.
ἀλλ' ἴθι ναούς, ἴθι πρὸς βωμούς,
ἵζ' Ἀγαμέμνονος ἱκέτις γονάτων·
κήρυσσε θεοὺς τούς τ' οὐρανίδας
τούς θ' ὑπὸ γαῖαν.
ἢ γάρ σε λιταὶ διακωλύσουσ'
ὀρφανὸν εἶναι παιδὸς μελέας,
ἢ δεῖ σ' ἐπιδεῖν τύμβου προπετῆ
φοινισσομένην αἵματι παρθένον
ἐκ χρυσοφόρου
δειρῆς νασμῷ μελαναυγεῖ.

ΕΚΑΒΗ.

οἲ 'γὼ μελέα, τί ποτ' ἀπύσω;
ποίαν ἀχώ; ποῖον ὀδυρμόν;
δειλαία δειλαίου γήρως,
δουλείας τᾶς οὐ τλατᾶς,
τᾶς οὐ φερτᾶς· ὤμοι μοι.
τίς ἀμύνει μοι; ποία γέννα,
ποία δὲ πόλις;
φροῦδος πρέσβυς, φροῦδοι παῖδες.
ποίαν, ἢ ταύταν ἢ κείναν,
στείχω; ποῖ δ' ἥσω; ποῦ τις
θεῶν ἢ δαίμων ἐπαρωγός;
ὦ κάκ' ἐνεγκοῦσαι Τρῳάδες, ὦ
κάκ' ἐνεγκοῦσαι
πήματ', ἀπωλέσατ', ὠλέσατ'· οὐκέτι μοι βίος
ἀγαστὸς ἐν φάει.
ὦ τλάμων, ἄγησαί μοι, πούς,
ἄγησαι τᾷ γραίᾳ
πρὸς τάνδ' αὐλάν· ὦ τέκνον, ὦ παῖ
δυστανοτάτας ματέρος, ἔξελθ'
ἔξελθ' οἴκων· ἄιε ματέρος
αὐδάν, ὦ τέκνον, ὡς εἰδῇς
οἵαν οἵαν ἀΐω φάμαν
περὶ σᾶς ψυχᾶς.

ΠΟΛΥΞΕΝΗ.

ἰώ,
μᾶτερ μᾶτερ, τί βοᾷς; τί νέον
καρύξασ' οἴκων μ', ὥστ' ὄρνιν,
θάμβει τῷδ' ἐξέπταξας;

ΕΚΑΒΗ.

ἰώ μοι, τέκνον.

ΠΟΛΥΞΕΝΗ.

τί με δυσφημεῖς; φροίμιά μοι κακά.

ΕΚΑΒΗ.

αἰαῖ, σᾶς ψυχᾶς.

ΠΟΛΥΞΕΝΗ.

ἐξαύδα, μὴ κρύψῃς δαρόν.
δειμαίνω δειμαίνω, μᾶτερ,
τί ποτ' ἀναστένεις;

ΕΚΑΒΗ.

ὦ τέκνον τέκνον μελέας ματρός.

ΠΟΛΥΞΕΝΗ.

τί τόδ' ἀγγέλλεις;

ΕΚΑΒΗ.

σφάξαι σ' Ἀργείων κοινὰ
ξυντείνει πρὸς τύμβον γνώμα
Πηλείδα γέννᾳ.

ΠΟΛΥΞΕΝΗ.

οἴμοι, μᾶτερ, πῶς φθέγγει
ἀμέγαρτα κακῶν; μάνυσόν μοι
μάνυσον, μᾶτερ.

ΕΚΑΒΗ.

αὐδῶ, παῖ, δυσφήμους φάμας·
ἀγγέλλουσ' Ἀργείων δόξαι
ψήφῳ τᾶς σᾶς περί μοι ψυχᾶς.

ΠΟΛΥΞΕΝΗ.

ὦ δεινὰ παθοῦσ', ὦ παντλάμων,
ὦ δυστάνου μᾶτερ βιοτᾶς,
οἵαν οἵαν αὖ σοι λώβαν
ἐχθίσταν ἀρρήταν τ'
ὦρσέν τις δαίμων.
οὐκέτι σοι παῖς ἅδ' οὐκέτι δὴ
γήρᾳ δειλαία δειλαίῳ
ξυνδουλεύσω.
σκύμνον γάρ μ' ὥστ' οὐριθρέπταν,
μόσχον δειλαία δειλαίαν
εἰσόψει χειρὸς ἀναρπαστὰν
σᾶς ἄπο, λαιμότομόν θ' Ἅιδᾳ
γᾶς ὑποπεμπομέναν σκότον, ἔνθα νεκρῶν μέτα

τάλαινα κείσομαι.
σὲ μὲν, ὦ μᾶτερ δύστανε βίου,
κλαίω πανδύρτοις θρήνοις·
τὸν ἐμὸν δὲ βίον, λώβαν λύμαν τ᾽,
οὐ μετακλαίομαι. ἀλλὰ θανεῖν μοι
ξυντυχία κρείσσων ἐκύρησεν.

ΧΟΡΟΣ.

καὶ μὴν Ὀδυσσεὺς ἔρχεται σπουδῇ ποδὸς,
Ἑκάβη, νέον τι πρὸς σὲ σημανῶν ἔπος.

ΟΔΥΣΣΕΥΣ.

γύναι, δοκῶ μέν σ᾽ εἰδέναι γνώμην στρατοῦ
ψῆφόν τε τὴν κρανθεῖσαν, ἀλλ᾽ ὅμως φράσω.
ἔδοξ᾽ Ἀχαιοῖς παῖδα σὴν Πολυξένην
σφάξαι πρὸς ὀρθὸν χῶμ᾽ Ἀχιλλείου τάφου.
ἡμᾶς δὲ πομποὺς καὶ κομιστῆρας κόρης
τάσσουσιν εἶναι· θύματος δ᾽ ἐπιστάτης
ἱερεύς τ᾽ ἐπέστη τοῦδε παῖς Ἀχιλλέως.
οἶσθ᾽ οὖν ὃ δρᾶσον; μήτ᾽ ἀποσπασθῇς βίᾳ
μήτ᾽ ἐς χερῶν ἅμιλλαν ἐξέλθῃς ἐμοί·
γίγνωσκε δ᾽ ἀλκὴν καὶ παρουσίαν κακῶν
τῶν σῶν. σοφόν τοι κἀν κακοῖς ἃ δεῖ φρονεῖν.

ΕΚΑΒΗ.

αἰαῖ· παρέστηχ᾽, ὡς ἔοικ᾽, ἀγὼν μέγας,
πλήρης στεναγμῶν οὐδὲ δακρύων κενός.
κἄγωγ᾽ ἄρ᾽ οὐκ ἔθνησκον οὗ μ᾽ ἐχρῆν θανεῖν,
οὐδ᾽ ὤλεσέν με Ζεὺς, τρέφει δ᾽, ὅπως ὁρῶ
κακῶν κάκ᾽ ἄλλα μείζον᾽ ἡ τάλαιν᾽ ἐγώ.
εἰ δ᾽ ἔστι τοῖς δούλοισι τοὺς ἐλευθέρους
μὴ λυπρὰ μηδὲ καρδίας δηκτήρια
ἐξιστορῆσαι, σοὶ μὲν εἰρῆσθαι χρεὼν,
ἡμᾶς δ᾽ ἀκοῦσαι τοὺς ἐρωτῶντας τάδε.

ΟΔΥΣΣΕΥΣ.

ἔξεστ᾽, ἐρώτα· τοῦ χρόνου γὰρ οὐ φθονῶ.

ΕΚΑΒΗ.

οἶσθ᾽ ἡνίκ᾽ ἦλθες Ἰλίου κατάσκοπος,
δυσχλαινίᾳ τ᾽ ἄμορφος, ὀμμάτων τ᾽ ἄπο
φόνου σταλαγμοὶ σὴν κατέσταζον γένυν;

ΟΔΥΣΣΕΥΣ.

οἶδ᾽· οὐ γὰρ ἄκρας καρδίας ἔψαυσέ μου.

ΕΚΑΒΗ.

ἔγνω δέ σ᾽ Ἑλένη, καὶ μόνη κατεῖπ᾽ ἐμοί;

ΟΔΥΣΣΕΥΣ.

μεμνήμεθ᾽ ἐς κίνδυνον ἐλθόντες μέγαν.

ΕΚΑΒΗ.

ἥψω δὲ γονάτων τῶν ἐμῶν ταπεινὸς ὤν;

ΟΔΥΣΣΕΥΣ.

ὥστ᾽ ἐνθανεῖν γε σοῖς πέπλοισι χεῖρ᾽ ἐμήν.

ΕΚΑΒΗ.

τί δῆτ᾽ ἔλεξας, δοῦλος ὢν ἐμὸς τότε;

ΟΔΥΣΣΕΥΣ.

πολλῶν λόγων εὑρήμαθ᾽, ὥστε μὴ θανεῖν.

ΕΚΑΒΗ.

ἔσωσα δῆτά σ᾽, ἐξέπεμψά τε χθονός;

ΟΔΥΣΣΕΥΣ.

ὥστ᾽ εἰσορᾶν γε φέγγος ἡλίου τόδε.

ΕΚΑΒΗ.

οὔκουν κακύνει τοῖσδε τοῖς βουλεύμασιν,
ὃς ἐξ ἐμοῦ μὲν ἔπαθες οἷα φῂς παθεῖν,
δρᾷς δ᾽ οὐδὲν ἡμᾶς εὖ, κακῶς δ᾽ ὅσον δύνῃ;
ἀχάριστον ὑμῶν σπέρμ᾽, ὅσοι δημηγόρους
ζηλοῦτε τιμάς· μηδὲ γιγνώσκοισθέ μοι,
οἳ τοὺς φίλους βλάπτοντες οὐ φροντίζετε,
ἢν τοῖσι πολλοῖς πρὸς χάριν λέγητέ τι.
ἀτὰρ τί δὴ σόφισμα τοῦθ᾽ ἡγούμενοι
ἐς τήνδε παῖδα ψῆφον ὥρισαν φόνου;
πότερα τὸ χρῆν σφ᾽ ἐπήγαγ᾽ ἀνθρωποσφαγεῖν
πρὸς τύμβον, ἔνθα βουθυτεῖν μᾶλλον πρέπει;
ἢ τοὺς κτανόντας ἀνταποκτεῖναι θέλων
ἐς τήνδ᾽ Ἀχιλλεὺς ἐνδίκως τείνει φόνον;
ἀλλ᾽ οὐδὲν αὐτὸν ἥδε γ᾽ εἴργασται κακόν.
Ἑλένην νιν αἰτεῖν χρῆν τάφῳ προσφάγματα·
κείνη γὰρ ὤλεσέν νιν ἐς Τροίαν τ᾽ ἄγει.
εἰ δ᾽ αἰχμάλωτον χρή τιν᾽ ἔκκριτον θανεῖν
κάλλει θ᾽ ὑπερφέρουσαν, οὐχ ἡμῶν τόδε·
ἡ Τυνδαρὶς γὰρ εἶδος εὐπρεπεστάτη,
ἀδικοῦσά θ᾽ ἡμῶν οὐδὲν ἧσσον εὑρέθη.
τῷ μὲν δικαίῳ τόνδ᾽ ἁμιλλῶμαι λόγον·
ἃ δ᾽ ἀντιδοῦναι δεῖ σ᾽, ἀπαιτούσης ἐμοῦ,
ἄκουσον. ἥψω τῆς ἐμῆς, ὡς φῂς, χερὸς
καὶ τῆς γεραιᾶς προσπίτνων παρηΐδος·
ἀνθάπτομαί σου τῶνδε τῶν αὐτῶν ἐγὼ,
χάριν τ᾽ ἀπαιτῶ τὴν τόθ᾽, ἱκετεύω τέ σε,
μή μου τὸ τέκνον ἐκ χερῶν ἀποσπάσῃς,
μηδὲ κτάνητε. τῶν τεθνηκότων ἅλις·
ταύτῃ γέγηθα κἀπιλήθομαι κακῶν·
ἥδ᾽ ἀντὶ πολλῶν ἐστί μοι παραψυχὴ,
πόλις, τιθήνη, βάκτρον, ἡγεμὼν ὁδοῦ.
οὐ τοὺς κρατοῦντας χρὴ κρατεῖν ἃ μὴ χρεὼν,
οὐδ᾽ εὐτυχοῦντας εὖ δοκεῖν πράσσειν ἀεί.
κἀγὼ γὰρ ἦν ποτ᾽, ἀλλὰ νῦν οὐκ εἴμ᾽ ἔτι,
τὸν πάντα δ᾽ ὄλβον ἦμαρ ἕν μ᾽ ἀφείλετο.
ἀλλ᾽, ὦ φίλον γένειον, αἰδέσθητί με,
οἴκτειρον· ἐλθὼν δ᾽ εἰς Ἀχαϊκὸν στρατὸν
παρηγόρησον, ὡς ἀποκτείνειν φθόνος
γυναῖκας, ἃς τὸ πρῶτον οὐκ ἐκτείνατε
βωμῶν ἀποσπάσαντες, ἀλλ᾽ ᾠκτείρατε.
νόμος δ᾽ ἐν ὑμῖν τοῖς τ᾽ ἐλευθέροις ἴσος
καὶ τοῖσι δούλοις αἵματος κεῖται πέρι.
τὸ δ᾽ ἀξίωμα, κἂν κακῶς λέγῃς, τὸ σὸν
πείσει· λόγος γὰρ ἔκ τ᾽ ἀδοξούντων ἰὼν
κἀκ τῶν δοκούντων αὐτὸς οὐ ταυτὸν σθένει.

ΧΟΡΟΣ.

οὐκ ἔστιν οὕτω στερρὸς ἀνθρώπου φύσις,
ἥτις γόων σῶν καὶ μακρῶν ὀδυρμάτων
κλύουσα θρήνους οὐκ ἂν ἐκβάλοι δάκρυ.

ΟΔΥΣΣΕΥΣ.

Ἑκάβη, διδάσκου, μηδὲ τῷ θυμουμένῳ
τὸν εὖ λέγοντα δυσμενῆ ποιοῦ φρενί.
ἐγὼ τὸ μὲν σὸν σῶμ᾽, ὑφ᾽ οὗπερ ηὐτύχουν,
σώζειν ἕτοιμός εἰμι, κοὐκ ἄλλως λέγω·
ἃ δ᾽ εἶπον εἰς ἅπαντας, οὐκ ἀρνήσομαι,
Τροίας ἁλούσης ἀνδρὶ τῷ πρώτῳ στρατοῦ
σὴν παῖδα δοῦναι σφάγιον ἐξαιτουμένῳ.
ἐν τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις,
ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ
μηδὲν φέρηται τῶν κακιόνων πλέον.
ἡμῖν δ᾽ Ἀχιλλεὺς ἄξιος τιμῆς, γύναι,
θανὼν ὑπὲρ γῆς Ἑλλάδος κάλλιστ᾽ ἀνήρ.
οὔκουν τόδ᾽ αἰσχρὸν, εἰ βλέποντι μὲν φίλῳ
χρώμεσθ᾽, ἐπεὶ δ᾽ ἄπεστι, μὴ χρώμεσθ᾽ ἔτι

εἶεν· τί δῆτ' ἐρεῖ τις, ἤν τις αὖ φανῇ
στρατοῦ τ' ἄθροισις πολεμίων τ' ἀγωνία;
πότερα μαχούμεθ', ἢ φιλοψυχήσομεν,
τὸν κατθανόνθ' ὁρῶντες οὐ τιμώμενον;
καὶ μὴν ἔμοιγε ζῶντι μὲν, καθ' ἡμέραν
κεἰ σμίκρ' ἔχοιμι, πάντ' ἂν ἀρκούντως ἔχοι·
τύμβον δὲ βουλοίμην ἂν ἀξιούμενον
τὸν ἐμὸν ὁρᾶσθαι· διὰ μακροῦ γὰρ ἡ χάρις.
εἰ δ' οἰκτρὰ πάσχειν φῄς, τάδ' ἀντάκουέ μου·
εἰσὶν παρ' ἡμῖν οὐδὲν ἧσσον ἄθλιαι
γραῖαι γυναῖκες ἠδὲ πρεσβῦται σέθεν,
νύμφαι τ' ἀρίστων νυμφίων τητώμεναι,
ὧν ἥδε κεύθει σώματ' Ἰδαία κόνις.
τόλμα τάδ'· ἡμεῖς δ', εἰ κακῶς νομίζομεν
τιμᾶν τὸν ἐσθλὸν, ἀμαθίαν ὀφλήσομεν·
οἱ βάρβαροι δὲ μήτε τοὺς φίλους φίλους
ἡγεῖσθε μήτε τοὺς καλῶς τεθνηκότας
θαυμάζεθ', ὡς ἂν ἡ μὲν Ἑλλὰς εὐτυχῇ,
ὑμεῖς δ' ἔχηθ' ὅμοια τοῖς βουλεύμασιν.

ΧΟΡΟΣ.

αἰαῖ· τὸ δοῦλον ὡς κακὸν πεφυκέναι,
τολμᾷ θ' ἃ μὴ χρὴ, τῇ βίᾳ νικώμενον.

ΕΚΑΒΗ.

ὦ θύγατερ, οὑμοὶ μὲν λόγοι πρὸς αἰθέρα
φροῦδοι μάτην ῥιφθέντες ἀμφὶ σοῦ φόνου·
σὺ δ' εἴ τι μείζω δύναμιν ἢ μήτηρ ἔχεις,
σπούδαζε, πάσας ὥστ' ἀηδόνος στόμα
φθογγὰς ἱεῖσα, μὴ στερηθῆναι βίου.
πρόσπιπτε δ' οἰκτρῶς τοῦδ' Ὀδυσσέως γόνυ,
καὶ πεῖθ'. ἔχεις δὲ πρόφασιν· ἔστι γὰρ τέκνα
καὶ τῷδε, τὴν σὴν ὥστ' ἐποικτεῖραι τύχην.

ΠΟΛΥΞΕΝΗ.

ὁρῶ σ', Ὀδυσσεῦ, δεξιὰν ὑφ' εἵματος
κρύπτοντα χεῖρα, καὶ πρόσωπον ἔμπαλιν
στρέφοντα, μή σου προσθίγω γενειάδος.
θάρσει· πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία·
ὡς ἕψομαί γε, τοῦ τ' ἀναγκαίου χάριν
θανεῖν τε χρῄζουσ'· εἰ δὲ μὴ βουλήσομαι,
κακὴ φανοῦμαι καὶ φιλόψυχος γυνή.
τί γάρ με δεῖ ζῆν; ᾗ πατὴρ μὲν ἦν ἄναξ
Φρυγῶν ἁπάντων· τοῦτό μοι πρῶτον βίου·
ἔπειτ' ἐθρέφθην ἐλπίδων καλῶν ὕπο,
βασιλεῦσι νύμφη, ζῆλον οὐ σμικρὸν γάμων
ἔχουσ', ὅτου δῶμ' ἑστίαν τ' ἀφίξομαι·
δέσποινα δ' ἡ δύστηνος Ἰδαίαισιν ἦν
γυναιξὶ, παρθένοις ἀπόβλεπτος μέτα,
ἴση θεοῖσι, πλὴν τὸ κατθανεῖν μόνον·
νῦν δ' εἰμὶ δούλη. πρῶτα μέν με τοὔνομα
θανεῖν ἐρᾶν τίθησιν, οὐκ εἰωθὸς ὄν·
ἔπειτ' ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας
τύχοιμ' ἂν, ὅστις ἀργύρου μ' ὠνήσεται,
τὴν Ἕκτορός τε χἀτέρων πολλῶν κάσιν,
προσθεὶς δ' ἀνάγκην σιτοποιὸν ἐν δόμοις,
σαίρειν τε δῶμα κερκίσιν τ' ἐφεστάναι
λυπρὰν ἄγουσαν ἡμέραν μ' ἀναγκάσει·
λέχη δὲ τἀμὰ δοῦλος ὠνητός ποθεν
χρανεῖ, τυράννων πρόσθεν ἠξιωμένα.
οὐ δῆτ'· ἀφίημ' ὀμμάτων ἐλεύθερον
φέγγος τόδ', Ἅιδη προστιθεῖσ' ἐμὸν δέμας.
ἄγ' οὖν μ', Ὀδυσσεῦ, καὶ διέργασαί μ' ἄγων·
οὔτ' ἐλπίδος γὰρ οὔτε του δόξης ὁρῶ
θάρσος παρ' ἡμῖν ὥς ποτ' εὖ πρᾶξαί με χρή.
μῆτερ, σὺ δ' ἡμῖν μηδὲν ἐμποδὼν γένῃ
λέγουσα μηδὲ δρῶσα· συμβούλου δέ μοι
θανεῖν, πρὶν αἰσχρῶν μὴ κατ' ἀξίαν τυχεῖν.
ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν,
φέρει μὲν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ·
θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος
ἢ ζῶν· τὸ γὰρ ζῆν μὴ καλῶς μέγας πόνος.

ΧΟΡΟΣ.

δεινὸς χαρακτὴρ κἀπίσημος ἐν βροτοῖς
ἐσθλῶν γενέσθαι, κἀπὶ μεῖζον ἔρχεται
τῆς εὐγενείας ὄνομα τοῖσιν ἀξίοις.

ΕΚΑΒΗ.

καλῶς μὲν εἶπας, θύγατερ· ἀλλὰ τῷ καλῷ
λύπη πρόσεστιν. εἰ δὲ δεῖ τῷ Πηλέως
χάριν γενέσθαι παιδὶ, καὶ ψόγον φυγεῖν
ὑμᾶς, Ὀδυσσεῦ, τήνδε μὲν μὴ κτείνετε,
ἡμᾶς δ' ἄγοντες πρὸς πυρὰν Ἀχιλλέως
κεντεῖτε, μὴ φείδεσθ'· ἐγὼ 'τεκον Πάριν,
ὃς παῖδα Θέτιδος ὤλεσεν τόξοις βαλών.

ΟΔΥΣΣΕΥΣ.

οὐ σ', ὦ γεραιὰ, κατθανεῖν Ἀχιλλέως
φάντασμ' Ἀχαιοὺς, ἀλλὰ τήνδ', ᾐτήσατο.

ΕΚΑΒΗ.

ὑμεῖς δέ μ' ἀλλὰ θυγατρὶ συμφονεύσατε,
καὶ δὶς τόσον πῶμ' αἵματος γενήσεται
γαίᾳ νεκρῷ τε τῷ τάδ' ἐξαιτουμένῳ.

ΟΔΥΣΣΕΥΣ.

ἅλις κόρης σῆς θάνατος· οὐ προσοιστέος
ἄλλος πρὸς ἄλλῳ· μηδὲ τόνδ' ὠφείλομεν.

ΕΚΑΒΗ.

πολλή γ' ἀνάγκη θυγατρὶ συνθανεῖν ἐμέ.

ΟΔΥΣΣΕΥΣ.

πῶς; οὐ γὰρ οἶδα δεσπότας κεκτημένος.

ΕΚΑΒΗ.

ὁποῖα κισσὸς δρυὸς ὅπως τῆσδ' ἕξομαι.

ΟΔΥΣΣΕΥΣ.

οὐκ, ἤν γε πείθῃ τοῖσι σοῦ σοφωτέροις.

ΕΚΑΒΗ.

ὡς τῆσδ' ἑκοῦσα παιδὸς οὐ μεθήσομαι.

ΟΔΥΣΣΕΥΣ.

ἀλλ' οὐδ' ἐγὼ μὴν τήνδ' ἄπειμ' αὐτοῦ λιπών.

ΠΟΛΥΞΕΝΗ.

μῆτερ, πιθοῦ μοι· καὶ σὺ, παῖ Λαερτίου,
χάλα τοκεῦσιν εἰκότως θυμουμένοις,
σύ τ', ὦ τάλαινα, τοῖς κρατοῦσι μὴ μάχου.
βούλει πεσεῖν πρὸς οὖδας, ἑλκῶσαί τε σὸν
γέροντα χρῶτα πρὸς βίαν ὠθουμένη,
ἀσχημονῆσαί τ' ἐκ νέου βραχίονος
σπασθεῖσ'; ἃ πείσει· μὴ σύ γ'· οὐ γὰρ ἄξιον.
ἀλλ', ὦ φίλη μοι μῆτερ, ἡδίστην χέρα
δὸς καὶ παρειὰν προσβαλεῖν παρηίδι·
ὡς οὔποτ' αὖθις, ἀλλὰ νῦν πανύστατον
ἀκτῖνα κύκλον θ' ἡλίου προσόψομαι.
τέλος δέχει δὴ τῶν ἐμῶν προσφθεγμάτων.
ὦ μῆτερ, ὦ τεκοῦσ', ἄπειμι δὴ κάτω.

ΕΚΑΒΗ.

ὦ θύγατερ, ἡμεῖς δ' ἐν φάει δουλεύσομεν.

ΠΟΛΥΞΕΝΗ.
ἄνυμφος, ἀνυμέναιος, ὧν μ' ἐχρῆν τυχεῖν.
ΕΚΑΒΗ.
οἰκτρὰ σὺ, τέκνον, ἀθλία δ' ἐγὼ γυνή.
ΠΟΛΥΞΕΝΗ.
ἐκεῖ δ' ἐν Ἅιδου κείσομαι χωρὶς σέθεν.
ΕΚΑΒΗ.
οἴμοι τί δράσω; ποῖ τελευτήσω βίον;
ΠΟΛΥΞΕΝΗ.
δούλη θανοῦμαι, πατρὸς οὖσ' ἐλευθέρου.
ΕΚΑΒΗ.
ἡμεῖς δὲ πεντήκοντά γ' ἄμμοροι τέκνων.
ΠΟΛΥΞΕΝΗ.
τί σοι πρὸς Ἕκτορ' ἢ γέροντ' εἴπω πόσιν;
ΕΚΑΒΗ.
ἄγγελλε πασῶν ἀθλιωτάτην ἐμέ.
ΠΟΛΥΞΕΝΗ.
ὦ στέρνα, μαστοί θ', οἵ μ' ἐθρέψαθ' ἡδέως.
ΕΚΑΒΗ.
ὦ τῆς ἀώρου θύγατερ ἀθλίας τύχης.
ΠΟΛΥΞΕΝΗ.
χαῖρ', ὦ τεκοῦσα, χαῖρε Κασάνδρα τέ μοι
ΕΚΑΒΗ.
χαίρουσιν ἄλλοι, μητρὶ δ' οὐκ ἔστιν τόδε.
ΠΟΛΥΞΕΝΗ.
ὅ τ' ἐν φιλίπποις Θρῃξὶ Πολύδωρος κάσις.
ΕΚΑΒΗ.
εἰ ζῇ γ'· ἀπιστῶ δ'· ὧδε πάντα δυστυχῶ.
ΠΟΛΥΞΕΝΗ.
ζῇ καὶ θανούσης ὄμμα συγκλήσει τὸ σόν.
ΕΚΑΒΗ.
τέθνηκ' ἔγωγε πρὶν θανεῖν κακῶν ὕπο.
ΠΟΛΥΞΕΝΗ.
κόμιζ', Ὀδυσσεῦ, μ' ἀμφιθεὶς κάρα πέπλοις·
ὡς πρὶν σφαγῆναί γ' ἐκτέτηκα καρδίαν
θρήνοισι μητρὸς, τήνδε τ' ἐκτήκω γόοις.
ὦ φῶς· προσειπεῖν γὰρ σὸν ὄνομ' ἔξεστί μοι,
μέτεστι δ' οὐδὲν πλὴν ὅσον χρόνον ξίφους
βαίνω μεταξὺ καὶ πυρᾶς Ἀχιλλέως.
ΕΚΑΒΗ.
οἳ 'γώ· προλείπω· λύεται δέ μου μέλη.
ὦ θύγατερ, ἅψαι μητρὸς, ἔκτεινον χέρα,
δός· μὴ λίπῃς μ' ἄπαιδ'. ἀπωλόμην, φίλαι.
ὣς τὴν Λάκαιναν ξύγγονον Διοσκόροιν
Ἑλένην ἴδοιμι· διὰ καλῶν γὰρ ὀμμάτων
αἴσχιστα Τροίαν εἷλε τὴν εὐδαίμονα.
ΧΟΡΟΣ.
αὔρα, ποντιὰς αὔρα,
ἅτε ποντοπόρους κομίζεις
θοὰς ἀκάτους ἐπ' οἶδμα λίμνας,
ποῖ με τὰν μελέαν πορεύσεις;
τῷ δουλόσυνος πρὸς οἶκον
κτηθεῖσ' ἀφίξομαι;
ἢ Δωρίδος ὅρμον αἴας,
ἢ Φθιάδος, ἔνθα καλλί-
στων ὑδάτων πατέρα
φασὶν Ἀπιδανὸν γύας λιπαίνειν;
ἢ νάσων, ἁλιήρει
κώπᾳ πεμπομέναν τάλαιναν,
444—454. = 455—465.

οἰκτρὰν βιοτὰν ἔχουσαν οἴκοις,
ἔνθα πρωτόγονός τε φοίνιξ
δάφνα θ' ἱεροὺς ἀνέσχε
πτόρθους Λατοῖ φίλᾳ
ὠδῖνος ἄγαλμα δίας;
σὺν Δηλιάσιν τε κούραις
Ἀρτέμιδός τε θεᾶς
χρυσέαν ἄμπυκα τόξα τ' εὐλογήσω;
ἢ Παλλάδος ἐν πόλει
τᾶς καλλιδίφρου Ἀθα-
ναίας ἐν κροκέῳ πέπλῳ
ζεύξομαι ἅρματι πώλους,
ἐν δαιδαλέαισι ποι-
κίλλουσ' ἀνθοκρόκοισι πήναις,
ἢ Τιτάνων γενεὰν,
τὰν Ζεὺς ἀμφιπύρῳ
κοιμίζει φλογμῷ Κρονίδας;
ὤμοι τεκέων ἐμῶν,
ὤμοι πατέρων, χθονός θ',
ἃ καπνῷ κατερείπεται
τυφομένα, δορίληπτος
πρὸς Ἀργείων· ἐγὼ δ'
ἐν ξείνᾳ χθονὶ δὴ κέκλημαι
δούλα, λιποῦσ' Ἀσίαν
Εὐρώπας θεράπναν,
ἀλλάξασ' Ἅιδα θαλάμους.
ΤΑΛΘΥΒΙΟΣ.
ποῦ τὴν ἄνασσαν δήποτ' οὖσαν Ἰλίου
Ἑκάβην ἂν ἐξεύροιμι, Τρῳάδες κόραι;
ΧΟΡΟΣ.
αὕτη πέλας σου, νῶτ' ἔχουσ' ἐπὶ χθονὶ,
Ταλθύβιε, κεῖται, ξυγκεκλῃμένη πέπλοις.
ΤΑΛΘΥΒΙΟΣ.
ὦ Ζεῦ, τί λέξω; πότερά σ' ἀνθρώπους ὁρᾷ
ἢ δόξαν ἄλλως τήνδε κεκτῆσθαι μάτην
ψευδῆ, δοκοῦντας δαιμόνων εἶναι γένος,
τύχην δὲ πάντα τὰν βροτοῖς ἐπισκοπεῖν;
οὐχ ἥδ' ἄνασσα τῶν πολυχρύσων Φρυγῶν;
οὐχ ἥδε Πριάμου τοῦ μέγ' ὀλβίου δάμαρ;
καὶ νῦν πόλις μὲν πᾶσ' ἀνέστηκεν δορὶ,
αὐτὴ δὲ δούλη, γραῦς, ἄπαις, ἐπὶ χθονὶ
κεῖται, κόνει φύρουσα δύστηνον κάρα.
φεῦ φεῦ. γέρων μέν εἰμ'· ὅμως δέ μοι θα-
εἴη, πρὶν αἰσχρᾷ περιπεσεῖν τύχῃ τινί.
ἀνίστασ', ὦ δύστηνε, καὶ μετάρσιον
πλευρὰν ἔπαιρε καὶ τὸ πάλλευκον κάρα.
ΕΚΑΒΗ.
ἔα· τίς οὗτος σῶμα τοὐμὸν οὐκ ἐᾷς
κεῖσθαι; τί κινεῖς μ', ὅστις εἶ, λυπουμένην
ΤΑΛΘΥΒΙΟΣ.
Ταλθύβιος ἥκω, Δαναϊδῶν ὑπηρέτης,
Ἀγαμέμνονος πέμψαντος, ὦ γύναι, μέτα.
ΕΚΑΒΗ.
ὦ φίλτατ', ἆρα κἄμ' ἐπισφάξαι τάφῳ
δοκοῦν Ἀχαιοῖς ἦλθες; ὡς φίλ' ἂν λέγοις.
σπεύδωμεν, ἐγκονῶμεν, ἡγοῦ μοι, γέρον.
ΤΑΛΘΥΒΙΟΣ.
σὴν παῖδα κατθανοῦσαν ὡς θάψῃς, γύναι,
466—474. = 475—483.

ἥκω μεταστείχων σε· πέμπουσιν δέ με
δισσοί τ' Ἀτρεῖδαι καὶ λεὼς Ἀχαϊκός.

ΕΚΑΒΗ.

οἴμοι, τί λέξεις; οὐκ ἄρ' ὡς θανουμένους
μετῆλθες ἡμᾶς, ἀλλὰ σημανῶν κακά;
ὄλωλας, ὦ παῖ, μητρὸς ἁρπασθεῖσ' ἄπο·
ἡμεῖς δ' ἄτεκνοι τοὐπὶ σ'· ὦ τάλαιν' ἐγώ.
πῶς καί νιν ἐξεπράξατ'; ἆρ' αἰδούμενοι;
ἢ πρὸς τὸ δεινὸν ἤλθεθ', ὡς ἐχθράν, γέρον,
κτείνοντες; εἰπὲ, καίπερ οὐ λέξων φίλα.

ΤΑΛΘΥΒΙΟΣ.

διπλᾶ με χρῄζεις δάκρυα κερδᾶναι, γύναι,
σῆς παιδὸς οἴκτῳ· νῦν τε γὰρ λέγων κακὰ
τέγξω τόδ' ὄμμα, πρὸς τάφῳ θ', ὅτ' ὤλλυτο.
παρῆν μὲν ὄχλος πᾶς Ἀχαϊκοῦ στρατοῦ
πλήρης πρὸ τύμβου σῆς κόρης ἐπὶ σφαγάς·
λαβὼν δ' Ἀχιλλέως παῖς Πολυξένην χερὸς
ἔστησ' ἐπ' ἄκρου χώματος, πέλας δ' ἐγώ·
λεκτοί τ' Ἀχαιῶν ἔκκριτοι νεανίαι,
σκίρτημα μόσχου σῆς καθέξοντες χεροῖν,
ἕσποντο· πλῆρες δ' ἐν χεροῖν λαβὼν δέπας
πάγχρυσον, ἔρρει χειρὶ παῖς Ἀχιλλέως
χοὰς θανόντι πατρί· σημαίνει δέ μοι
σιγὴν Ἀχαιῶν παντὶ κηρῦξαι στρατῷ.
κἀγὼ παραστὰς εἶπον ἐν μέσοις τάδε·
σιγᾶτ', Ἀχαιοὶ, σῖγα πᾶς ἔστω λεώς·
σίγα, σιώπα· νήνεμον δ' ἔστησ' ὄχλον.
ὁ δ' εἶπεν, ὦ παῖ Πηλέως, πατὴρ δ' ἐμὸς,
δέξαι χοάς μοι τάσδε κηλητηρίους,
νεκρῶν ἀγωγούς· ἐλθὲ δ', ὡς πίῃς μέλαν
κόρης ἀκραιφνὲς αἷμ', ὅ σοι δωρούμεθα
στρατός τε κἀγώ· πρευμενὴς δ' ἡμῖν γενοῦ,
λῦσαί τε πρύμνας καὶ χαλινωτήρια
νεῶν δὸς ἡμῖν, πρευμενοῦς τ' ἀπ' Ἰλίου
νόστου τυχόντας πάντας ἐς πάτραν μολεῖν.
τοσαῦτ' ἔλεξε, πᾶς δ' ἐπηύξατο στρατός.
εἶτ' ἀμφίχρυσον φάσγανον κώπης λαβὼν
ἐξεῖλκε κολεοῦ, λογάσι δ' Ἀργείων στρατοῦ
νεανίαις ἔνευσε παρθένον λαβεῖν.
ἡ δ', ὡς ἐφράσθη, τόνδ' ἐσήμηνεν λόγον·
ὦ τὴν ἐμὴν πέρσαντες Ἀργεῖοι πόλιν,
ἑκοῦσα θνήσκω· μή τις ἅψηται χροὸς
τοὐμοῦ· παρέξω γὰρ δέρην εὐκαρδίως.
ἐλευθέραν δέ μ', ὡς ἐλευθέρα θάνω,
πρὸς θεῶν μεθέντες κτείνατ'· ἐν νεκροῖσι γὰρ
δούλη κεκλῆσθαι βασιλὶς οὖσ' αἰσχύνομαι.
λαοὶ δ' ἐπερρόθησαν, Ἀγαμέμνων τ' ἄναξ
εἶπεν μεθεῖναι παρθένον νεανίαις.
κἀπεὶ τόδ' εἰσήκουσε δεσποτῶν ἔπος,
λαβοῦσα πέπλους ἐξ ἄκρας ἐπωμίδος
ἔρρηξε λαγόνος ἐς μέσον παρ' ὀμφαλὸν,
μαστούς τ' ἔδειξε στέρνα θ', ὡς ἀγάλματος,
κάλλιστα· καὶ καθεῖσα πρὸς γαῖαν γόνυ
ἔλεξε πάντων τλημονέστατον λόγον·
ἰδοὺ τόδ', εἰ μὲν στέρνον, ὦ νεανία,
παίειν προθυμεῖ, παῖσον, εἰ δ' ὑπ' αὐχένα
χρῄζεις, πάρεστι λαιμὸς εὐτρεπὴς ὅδε.
ὁ δ' οὐ θέλων τε καὶ θέλων, οἴκτῳ κόρης,
τέμνει σιδήρῳ πνεύματος διαρροάς·
κρουνοὶ δ' ἐχώρουν. ἡ δὲ καὶ θνήσκουσ' ὅμως
πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν,
κρύπτουσ' ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.
ἐπεὶ δ' ἀφῆκε πνεῦμα θανασίμῳ σφαγῇ,
οὐδεὶς τὸν αὐτὸν εἶχεν Ἀργείων πόνον,
ἀλλ' οἱ μὲν αὐτῶν τὴν θανοῦσαν ἐκ χερῶν
φύλλοις ἔβαλλον, οἱ δὲ πληροῦσιν πυρὰν,
κορμοὺς φέροντες πευκίνους, ὁ δ' οὐ φέρων
πρὸς τοῦ φέροντος τοιάδ' ἤκουεν κακά·
ἕστηκας, ὦ κάκιστε, τῇ νεάνιδι
οὐ πέπλον, οὐδὲ κόσμον ἐν χεροῖν ἔχων;
οὐκ εἶ τι δώσων τῇ περίσσ' εὐκαρδίῳ
ψυχήν τ' ἀρίστῃ; τοιάδ' ἀμφὶ σῆς λέγω
παιδὸς θανούσης· εὐτεκνωτάτην δέ σε
πασῶν γυναικῶν δυστυχεστάτην θ' ὁρῶ.

ΧΟΡΟΣ.

δεινόν τι πῆμα Πριαμίδαις ἐπέζεσε
πόλει τε τἠμῇ· θεῶν ἀναγκαῖον τόδε.

ΕΚΑΒΗ.

ὦ θύγατερ, οὐκ οἶδ' εἰς ὅ τι βλέψω κακῶν,
πολλῶν παρόντων· ἢν γὰρ ἅψωμαί τινος,
τόδ' οὐκ ἐᾷ με, παρακαλεῖ δ' ἐκεῖθεν αὖ
λύπη τις ἄλλη διάδοχος κακῶν κακοῖς.
καὶ νῦν τὸ μὲν σὸν ὥστε μὴ στένειν πάθος
οὐκ ἂν δυναίμην ἐξαλείψασθαι φρενός·
τὸ δ' αὖ λίαν παρεῖλες, ἀγγελθεῖσά μοι
γενναῖος. οὔκουν δεινὸν, εἰ γῆ μὲν κακὴ
τυχοῦσα καιροῦ θεόθεν εὖ στάχυν φέρει,
χρηστὴ δ' ἁμαρτοῦσ' ὧν χρεὼν αὐτὴν τυχεῖν
κακὸν δίδωσι καρπὸν, ἀνθρώποις δ' ἀεὶ
ὁ μὲν πονηρὸς οὐδὲν ἄλλο πλὴν κακὸς,
ὁ δ' ἐσθλὸς ἐσθλὸς, οὐδὲ συμφορᾶς ὕπο
φύσιν διέφθειρ', ἀλλὰ χρηστός ἐστ' ἀεί.
ἆρ' οἱ τεκόντες διαφέρουσιν, ἢ τροφαί;
ἔχει γε μέντοι καὶ τὸ θρεφθῆναι καλῶς
δίδαξιν ἐσθλοῦ· τοῦτο δ' ἤν τις εὖ μάθῃ,
οἶδεν τό γ' αἰσχρὸν, κανόνι τοῦ καλοῦ μαθών.
καὶ ταῦτα μὲν δὴ νοῦς ἐτόξευσεν μάτην·
σὺ δ' ἐλθὲ καὶ σήμηνον Ἀργείοις τάδε,
μὴ θιγγάνειν μοι μηδέν', ἀλλ' εἴργειν ὄχλον
τῆς παιδός. ἔν τοι μυρίῳ στρατεύματι
ἀκόλαστος ὄχλος ναυτική τ' ἀναρχία
κρείσσων πυρὸς, κακὸς δ' ὁ μή τι δρῶν κακόν.
σὺ δ' αὖ λαβοῦσα τεῦχος, ἀρχαία λάτρι,
βάψασ' ἔνεγκε δεῦρο ποντίας ἁλὸς,
ὡς παῖδα λουτροῖς τοῖς πανυστάτοις ἐμὴν
νύμφην τ' ἄνυμφον παρθένον τ' ἀπάρθενον
λούσω προθῶμαί θ'· ὡς μὲν ἀξία, πόθεν;
οὐκ ἂν δυναίμην· ὡς δ' ἔχω· τί γὰρ πάθω;
κόσμον τ' ἀγείρασ' αἰχμαλωτίδων πάρα,
αἵ μοι πάρεδροι τῶνδ' ἔσω σκηνωμάτων
ναίουσιν, εἴ τις τοὺς νεωστὶ δεσπότας
λαθοῦσ' ἔχει τι κλέμμα τῶν αὑτῆς δόμων.
ὦ σχήματ' οἴκων, ὦ ποτ' εὐτυχεῖς δόμοι,
ὦ πλεῖστ' ἔχων κάλλιστά τ', εὐτεκνώτατε
Πρίαμε, γεραιά θ' ἥδ' ἐγὼ μήτηρ τέκνων,
ὡς ἐς τὸ μηδὲν ἥκομεν, φρονήματος

Post 554. sequebantur
οἱ δ', ὡς τάχιστ' ἤκουσαν ὑστάτην ὄπα,
μεθῆκαν, οὗπερ καὶ μέγιστον ἦν κράτος.

τοῦ πρὶν στερέντες. εἶτα δῆτ' ὀγκούμεθα
ὁ μέν τις ἡμῶν πλουσίοις ἐν δώμασιν,
ὁ δ' ἐν πολίταις τίμιος κεκλημένος.
τὰ δ' οὐδέν· ἄλλως φροντίδων βουλεύματα,
γλώσσης τε κόμποι. κεῖνος ὀλβιώτατος,
ὅτῳ κατ' ἦμαρ τυγχάνει μηδὲν κακόν.

ΧΟΡΟΣ.

ἐμοὶ χρῆν συμφορὰν,
ἐμοὶ χρῆν πημονὰν γενέσθαι,
Ἰδαίαν ὅτε πρῶτον ὕλαν
Ἀλέξανδρος εἰλατίναν
ἐτάμεθ', ἅλιον ἐπ' οἶδμα ναυστολήσων
Ἑλένας ἐπὶ λέκτρα, τὰν
καλλίσταν ὁ χρυσοφαὴς
Ἅλιος αὐγάζει.
πόνοι γὰρ καὶ πόνων
ἀνάγκαι κρείσσονες κυκλοῦνται.
κοινὸν δ' ἐξ ἰδίας ἀνοίας
κακὸν τᾷ Σιμουντίδι γᾷ
ὀλέθριον ἔμολε, συμφορά τ' ἀπ' ἄλλων.
ἐκρίθη δ' ἔρις, ἃν ἐν Ἴ-
δᾳ κρίνει τρισσὰς μακάρων
παῖδας ἀνὴρ βούτας,
ἐπὶ δορὶ καὶ φόνῳ καὶ ἐμῶν μελάθρων λώβᾳ·
στένει δὲ καί τις ἀμφὶ τὸν εὔροον Εὐρώταν
Λάκαινα πολυδάκρυτος ἐν δόμοις κόρα,
πολιόν τ' ἐπὶ κρᾶτα μάτηρ
τέκνων θανόντων τίθεται χέρα,
δρύπτεταί τε παρειὰν,
δίαιμον ὄνυχα τιθεμένα σπαραγμοῖς.

ΘΕΡΑΠΑΙΝΑ.

γυναῖκες, Ἑκάβη ποῦ ποθ' ἡ παναθλία,
ἡ πάντα νικῶσ' ἄνδρα καὶ θῆλυν σπορὰν
κακοῖσιν; οὐδεὶς στέφανον ἀνθαιρήσεται.

ΧΟΡΟΣ.

τί δ', ὦ τάλαινα σῆς κακογλώσσου βοῆς;
ὡς οὔποθ' εὕδει λυπρά σου κηρύγματα.

ΘΕΡΑΠΑΙΝΑ.

Ἑκάβῃ φέρω τόδ' ἄλγος· ἐν κακοῖσι δὲ
οὐ ῥᾴδιον βροτοῖσιν εὐφημεῖν στόμα.

ΧΟΡΟΣ.

καὶ μὴν περῶσα τυγχάνει δόμων ὕπο
ἥδ', ἐς δὲ καιρὸν σοῖσι φαίνεται λόγοις.

ΘΕΡΑΠΑΙΝΑ.

ὦ παντάλαινα, κἄτι μᾶλλον ἢ λέγω,
δέσποιν', ὄλωλας, οὐκέτ' εἶ βλέπουσα φῶς,
ἄπαις, ἄνανδρος, ἄπολις, ἐξεφθαρμένη.

ΕΚΑΒΗ.

οὐ καινὸν εἶπας, εἰδόσιν δ' ὠνείδισας.
ἀτὰρ τί νεκρὸν τόνδε μοι Πολυξένης
ἥκεις κομίζουσ', ἧς ἀπηγγέλθη τάφος
πάντων Ἀχαιῶν διὰ χερὸς σπουδὴν ἔχειν;

ΘΕΡΑΠΑΙΝΑ.

ἥδ' οὐδὲν οἶδεν, ἀλλά μοι Πολυξένην
θρηνεῖ, νέων δὲ πημάτων οὐχ ἅπτεται.

ΕΚΑΒΗ.

οἲ 'γὼ τάλαινα, μῶν τὸ βακχεῖον κάρα
τῆς θεσπιῳδοῦ δεῦρο Κασάνδρας φέρεις;

ΘΕΡΑΠΑΙΝΑ.

ζῶσαν λέλακας, τὸν θανόντα δ' οὐ στένεις
τόνδ'. ἀλλ' ἄθρησον σῶμα γυμνωθὲν νεκροῦ,
εἴ σοι φανεῖται θαῦμα καὶ παρ' ἐλπίδας.

ΕΚΑΒΗ.

οἴμοι, βλέπω δὴ παῖδ' ἐμὸν τεθνηκότα
Πολύδωρον, ὅν μοι Θρὴξ ἔσωζ' οἴκοις ἀνήρ.
ἀπωλόμην δύστηνος, οὐκέτ' εἰμὶ δή.
ὦ τέκνον τέκνον,
αἰαῖ, κατάρχομαι νόμον
βακχεῖον, ἐξ ἀλάστορος
ἀρτιμαθὴς κακῶν.

ΘΕΡΑΠΑΙΝΑ.

ἔγνως γὰρ ἄτην παιδὸς, ὦ δύστηνε σύ;

ΕΚΑΒΗ.

ἄπιστ' ἄπιστα, καινὰ καινὰ δέρκομαι.
ἕτερα δ' ἀφ' ἑτέρων κακὰ κακῶν κυρεῖ·
οὐδέποτ' ἀστένακτος, ἀδάκρυτος ἁμέρα ἐπι-
σχήσει.

ΧΟΡΟΣ.

δείν', ὦ τάλαινα, δεινὰ πάσχομεν κακά.

ΕΚΑΒΗ.

ὦ τέκνον τέκνον ταλαίνας ματρὸς,
τίνι μόρῳ θνήσκεις, τίνι πότμῳ κεῖσαι;
πρὸς τίνος ἀνθρώπων;

ΘΕΡΑΠΑΙΝΑ.

οὐκ οἶδ'· ἐπ' ἀκταῖς νιν κυρῶ θαλασσίαις.

ΕΚΑΒΗ.

ἐν ψαμάθῳ λευρᾷ
ἔκβλητον, ἢ πέσημα φοινίου δορός;

ΘΕΡΑΠΑΙΝΑ.

πόντου νιν ἐξήνεγκε πελάγιος κλύδων.

ΕΚΑΒΗ.

ὤμοι, αἰαῖ, ἔμαθον ἐνύπνιον, ὀμμάτων
ἐμῶν ὄψιν, οὔ με παρέβα φάντα-
σμα μελανόπτερον, ἃν ἐσεῖδον ἀμφὶ σ',
ὦ τέκνον, οὐκέτ' ὄντα Διὸς ἐν φάει.

ΧΟΡΟΣ.

τίς γάρ νιν ἔκταν'; οἶσθ' ὀνειρόφρων φράσαι;

ΕΚΑΒΗ.

ἐμὸς ἐμὸς ξένος, Θρήκιος ἱππότας,
ἵν' ὁ γέρων πατὴρ ἔθετό νιν κρύψας.

ΧΟΡΟΣ.

ὤμοι, τί λέξεις; χρυσὸν ὡς ἔχῃ κτανών;

ΕΚΑΒΗ.

ἄρρητ', ἀνωνόμαστα, θαυμάτων πέρα,
οὐχ ὅσι', οὐδ' ἀνεκτά. ποῦ δίκα ξένων;
ὦ κατάρατ' ἀνδρῶν, ὡς διεμοιράσω
χρόα, σιδαρέῳ τεμὼν φασγάνῳ
μέλεα τοῦδε παιδὸς, οὐδ' ᾤκτισας.

ΧΟΡΟΣ.

ὦ τλῆμον, ὥς σε πολυπονωτάτην βροτῶν
δαίμων ἔθηκεν, ὅστις ἐστί σοι βαρύς.
ἀλλ' εἰσορῶ γὰρ τοῦδε δεσπότου δέμας

629—637. == 638—646.

Ἀγαμέμνονος, τοὐνθένδε σιγῶμεν, φίλαι.
ΑΓΑΜΕΜΝΩΝ.
Ἑκάβη, τί μέλλεις παῖδα σὴν κρύπτειν τάφῳ
ἐλθοῦσ', ἐφ' οἷσπερ Ταλθύβιος ἤγγειλέ μοι
μὴ θιγγάνειν σῆς μηδέν' Ἀργείων κόρης;
ἡμεῖς μὲν οὖν ἐῶμεν, οὐδὲ ψαύομεν·
σὺ δὲ σχολάζεις, ὥστε θαυμάζειν ἐμέ.
ἥκω δ' ἀποστελῶν σε· τἀκεῖθεν γὰρ εὖ
πεπραγμέν' ἐστὶν, εἴ τι τῶνδ' ἐστὶν καλῶς.
ἔα· τίν' ἄνδρα τόνδ' ἐπὶ σκηναῖς ὁρῶ
θανόντα Τρώων; οὐ γὰρ Ἀργείων, πέπλοι
δέμας περιπτύσσοντες ἀγγέλλουσί μοι.
ΕΚΑΒΗ.
δύστην', ἐμαυτὴν γὰρ λέγω, λέγουσα σὲ,
Ἑκάβη, τί δράσω; πότερα προσπέσω γόνυ
Ἀγαμέμνονος τοῦδ', ἢ φέρω σιγῇ κακά;
ΑΓΑΜΕΜΝΩΝ.
τί μοι προσώπῳ νῶτον ἐγκλίνασα σὸν
δύρει, τὸ πραχθὲν δ' οὐ λέγεις, τίς ἔσθ' ὅδε.
ΕΚΑΒΗ.
ἀλλ' εἴ με δούλην πολεμίαν θ' ἡγούμενος
γονάτων ἀπώσαιτ', ἄλγος ἂν προσθείμεθα.
ΑΓΑΜΕΜΝΩΝ.
οὔτοι πέφυκα μάντις, ὥστε μὴ κλύων
ἐξιστορῆσαι σῶν ὁδὸν βουλευμάτων.
ΕΚΑΒΗ.
ἆρ' ἐκλογίζομαί γε πρὸς τὸ δυσμενὲς
μᾶλλον φρένας τοῦδ', ὄντος οὐχὶ δυσμενοῦς;
ΑΓΑΜΕΜΝΩΝ.
εἴ τοί με βούλει τῶνδε μηδὲν εἰδέναι,
ἐς ταυτὸν ἥκεις· καὶ γὰρ οὐδ' ἐγὼ κλύειν.
ΕΚΑΒΗ.
οὐκ ἂν δυναίμην τοῦδε τιμωρεῖν ἄτερ
τέκνοισι τοῖς ἐμοῖσι. τί στρέφω τάδε;
τολμᾶν ἀνάγκη, κἂν τύχω κἂν μὴ τύχω.
Ἀγάμεμνον, ἱκετεύω σε τῶνδε γουνάτων
καὶ σοῦ γενείου δεξιᾶς τ' εὐδαίμονος.
ΑΓΑΜΕΜΝΩΝ.
τί χρῆμα μαστεύουσα; μῶν ἐλεύθερον
αἰῶνα θέσθαι; ῥᾴδιον γάρ ἐστί σοι.
ΕΚΑΒΗ.
οὐ δῆτα· τοὺς κακοὺς δὲ τιμωρουμένη,
αἰῶνα τὸν ξύμπαντα δουλεῦσαι θέλω.
ΑΓΑΜΕΜΝΩΝ.
καὶ δὴ τίν' ἡμᾶς εἰς ἐπάρκεσιν καλεῖς;
ΕΚΑΒΗ.
οὐδέν τι τούτων ὧν σὺ δοξάζεις, ἄναξ.
ὁρᾷς νεκρὸν τόνδ', οὗ καταστάζω δάκρυ;
ΑΓΑΜΕΜΝΩΝ.
ὁρῶ· τὸ μέντοι μέλλον οὐκ ἔχω μαθεῖν.
ΕΚΑΒΗ.
τοῦτόν ποτ' ἔτεκον κἄφερον ζώνης ὕπο.
ΑΓΑΜΕΜΝΩΝ.
ἔστιν δὲ τίς σῶν οὗτος, ὦ τλῆμον, τέκνων;
ΕΚΑΒΗ.
οὐ τῶν θανόντων Πριαμιδῶν ὑπ' Ἰλίῳ.
ΑΓΑΜΕΜΝΩΝ.
ἦ γάρ τιν' ἄλλον ἔτεκες ἢ κείνους, γύναι;
ΕΚΑΒΗ.
ἀνόνητά γ', ὡς ἔοικε, τόνδ' ὃν εἰσορᾷς.
ΑΓΑΜΕΜΝΩΝ.
ποῦ δ' ὢν ἐτύγχαν', ἡνίκ' ὤλλυτο πτόλις;
ΕΚΑΒΗ.
πατήρ νιν ἐξέπεμψεν, ὀρρωδῶν θανεῖν.
ΑΓΑΜΕΜΝΩΝ.
ποῖ τῶν τότ' ὄντων χωρίσας τέκνων μόνον;
ΕΚΑΒΗ.
ἐς τήνδε χώραν, οὗπερ εὑρέθη θανών.
ΑΓΑΜΕΜΝΩΝ.
πρὸς ἄνδρ', ὃς ἄρχει τῆσδε Πολυμήστωρ χθονός;
ΕΚΑΒΗ.
ἐνταῦθ' ἐπέμφθη πικροτάτου χρυσοῦ φύλαξ.
ΑΓΑΜΕΜΝΩΝ.
θνήσκει δὲ πρὸς τοῦ καὶ τίνος πότμου τυχών;
ΕΚΑΒΗ.
τίνος δ' ὑπ' ἄλλου; Θρῄξ νιν ὤλεσε ξένος.
ΑΓΑΜΕΜΝΩΝ.
ὦ τλῆμον, ἦ που χρυσὸν ἠράσθη λαβεῖν;
ΕΚΑΒΗ.
τοιαῦτ', ἐπειδὴ ξυμφορὰν ἔγνω Φρυγῶν.
ΑΓΑΜΕΜΝΩΝ.
εὗρες δὲ ποῦ νιν, ἢ τίς ἤνεγκεν νεκρόν;
ΕΚΑΒΗ.
ἥδ', ἐντυχοῦσα ποντίας ἀκτῆς ἔπι.
ΑΓΑΜΕΜΝΩΝ.
τοῦτον ματεύουσ', ἢ πονοῦσ' ἄλλον πόνον;
ΕΚΑΒΗ.
λουτρ' ᾤχετ' οἴσουσ' ἐξ ἁλὸς Πολυξένῃ.
ΑΓΑΜΕΜΝΩΝ.
κτανών νιν, ὡς ἔοικεν, ἐκβάλλει ξένος.
ΕΚΑΒΗ.
θαλασσόπλαγκτόν γ', ὧδε διατεμὼν χρόα.
ΑΓΑΜΕΜΝΩΝ.
ὦ σχετλία σὺ τῶν ἀμετρήτων πόνων.
ΕΚΑΒΗ.
ὄλωλα, κοὐδὲν λοιπὸν, Ἀγάμεμνον, κακῶν.
ΑΓΑΜΕΜΝΩΝ.
φεῦ φεῦ· τίς οὕτω δυστυχὴς ἔφυ γυνή;
ΕΚΑΒΗ.
οὐκ ἔστιν, εἰ μὴ τὴν τύχην αὐτὴν λέγοις.
ἀλλ' ὧνπερ οὕνεκ' ἀμφὶ σὸν πίπτω γόνυ,
ἄκουσον. εἰ μὲν ὅσιά σοι παθεῖν δοκῶ,
στέργοιμ' ἄν· εἰ δὲ τοὔμπαλιν, σύ μοι γενοῦ
τιμωρὸς ἀνδρὸς ἀνοσιωτάτου ξένου,
ὃς οὔτε τοὺς γῆς νέρθεν οὔτε τοὺς ἄνω
δείσας δέδρακεν ἔργον ἀνοσιώτατον,
κοινῆς τραπέζης πολλάκις τυχὼν ἐμοὶ,
[ξενίας τ' ἀριθμῷ πρῶτα τῶν ἐμῶν φίλων·
τυχὼν δ' ὅσων δεῖ καὶ λαβὼν προμηθίαν,]
ἔκτεινε, τύμβου δ', εἰ κτανεῖν ἐβούλετο,
οὐκ ἠξίωσεν, ἀλλ' ἀφῆκε πόντιον.
ἡμεῖς μὲν οὖν δοῦλοί τε κἀσθενεῖς ἴσως·

ἀλλ' οἱ θεοὶ σθένουσι χὠ κείνων κρατῶν
νόμος· νόμῳ γὰρ τοὺς θεοὺς ἡγούμεθα,
καὶ ζῶμεν ἄδικα καὶ δίκαι' ὡρισμένοι·
ὃς ἐς σ' ἀνελθὼν εἰ διαφθαρήσεται,
καὶ μὴ δίκην δώσουσιν οἵτινες ξένους
κτείνουσιν ἢ θεῶν ἱρὰ τολμῶσιν φέρειν,
οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον.
ταῦτ' οὖν ἐν αἰσχρῷ θέμενος αἰδέσθητί με,
οἴκτειρον ἡμᾶς, ὡς γραφεύς τ' ἀποσταθεὶς
ἰδοῦ με κἀνάθρησον οἷ' ἔχω κακά.
τύραννος ἦν ποτ', ἀλλὰ νῦν δούλη σέθεν,
εὔπαις ποτ' οὖσα, νῦν δὲ γραῦς ἄπαις θ' ἅμα,
ἄπολις, ἔρημος, ἀθλιωτάτη βροτῶν.
οἴμοι τάλαινα, ποῖ μ' ὑπεξάγεις πόδα;
ἔοικα πράξειν οὐδέν· ὦ τάλαιν' ἐγώ.
τί δῆτα θνητοὶ τἄλλα μὲν μαθήματα
μοχθοῦμεν ὡς χρὴ πάντα καὶ μαστεύομεν,
πειθὼ δὲ τὴν τύραννον ἀνθρώποις μόνην,
οὐδέν τι μᾶλλον ἐς τέλος σπουδάζομεν
μισθοὺς διδόντες μανθάνειν, ἵν' ἦν ποτε
πείθειν ἅ τις βούλοιτο, τυγχάνειν θ' ἅμα;
πῶς οὖν ἔτ' ἄν τις ἐλπίσαι πράξειν καλῶς;
οἱ μὲν τοσοῦτοι παῖδες οὐκέτ' εἰσί μοι,
αὐτὴ δ' ἐπ' αἰσχροῖς αἰχμάλωτος οἴχομαι·
καπνὸν δὲ πόλεως τόνδ' ὑπερθρώσκονθ' ὁρῶ.
καὶ μήν, ἴσως μὲν τοῦ λόγου κενὸν τόδε,
Κύπριν προβάλλειν· ἀλλ' ὅμως εἰρήσεται·
πρὸς σοῖσι πλευροῖς παῖς ἐμὴ κοιμίζεται
ἡ φοιβάς, ἣν καλοῦσι Κασάνδραν Φρύγες.
ποῦ τὰς φίλας δῆτ' εὐφρόνας δείξεις, ἄναξ,
ἢ τῶν ἐν εὐνῇ φιλτάτων ἀσπασμάτων
χάριν τίν' ἕξει παῖς ἐμή, κείνης δ' ἐγώ;
ἄκουε δή νυν· τὸν θανόντα τόνδ' ὁρᾷς;
τοῦτον καλῶς δρῶν ὄντα κηδεστὴν σέθεν
δράσεις. ἑνός μοι μῦθος ἐνδεὴς ἔτι.
εἴ μοι γένοιτο φθόγγος ἐν βραχίοσι
καὶ χερσὶ καὶ κόμαισι καὶ ποδῶν βάσει,
ἢ Δαιδάλου τέχναισιν ἢ θεῶν τινος,
ὡς πάνθ' ὁμαρτῇ σῶν ἔχοιτο γουνάτων
κλαίοντ', ἐπισκήπτοντα παντοίους λόγους.
ὦ δέσποτ', ὦ μέγιστον Ἕλλησιν φάος,
πιθοῦ, παράσχες χεῖρα τῇ πρεσβύτιδι
τιμωρόν, εἰ καὶ μηδέν ἐστιν, ἀλλ' ὅμως.
ἐσθλοῦ γὰρ ἀνδρὸς τῇ δίκῃ θ' ὑπηρετεῖν
καὶ τοὺς κακοὺς δρᾶν πανταχοῦ κακῶς ἀεί.

ΧΟΡΟΣ.

δεινόν γε, θνητοῖς ὡς ἅπαντα συμπίτνει,
καὶ τὰς ἀνάγκας οἱ νόμοι διώρισαν,
φίλους τιθέντες τούς τε πολεμιωτάτους,
ἐχθρούς τε τοὺς πρὶν εὐμενεῖς ποιούμενοι.

ΑΓΑΜΕΜΝΩΝ.

ἐγὼ σὲ καὶ σὸν παῖδα καὶ τύχας σέθεν,
Ἑκάβη, δι' οἴκτου χεῖρά θ' ἱκεσίαν ἔχω,
καὶ βούλομαι θεῶν θ' οὕνεκ' ἀνόσιον ξένον
καὶ τοῦ δικαίου τήνδε σοι δοῦναι δίκην,
εἴ πως φανείη γ' ὥστε σοί τ' ἔχειν καλῶς,
στρατῷ τε μὴ δόξαιμι Κασάνδρας χάριν
Θρῄκης ἄνακτι τόνδε βουλεῦσαι φόνον.
ἔστιν γὰρ ᾗ ταραγμὸς ἐμπέπτωκέ μοι·
τὸν ἄνδρα τοῦτον φίλιον ἡγεῖται στρατός,
τὸν κατθανόντα δ' ἐχθρόν· εἰ δὲ σοὶ φίλος
ὅδ' ἐστί, χωρὶς τοῦτο κοὐ κοινὸν στρατῷ.
πρὸς ταῦτα φρόντιζ'· ὡς θέλοντα μέν μ' ἔχεις
σοὶ ξυμπονῆσαι καὶ ταχὺν προσαρκέσαι,
βραδὺν δ', Ἀχαιοῖς εἰ διαβληθήσομαι.

ΕΚΑΒΗ.

φεῦ·
οὐκ ἔστι θνητῶν ὅστις ἔστ' ἐλεύθερος·
ἢ χρημάτων γὰρ δοῦλός ἐστιν ἢ τύχης,
ἢ πλῆθος αὐτὸν πόλεος ἢ νόμων γραφαὶ
εἴργουσι χρῆσθαι μὴ κατὰ γνώμην τρόποις.
ἐπεὶ δὲ ταρβεῖς τῷ τ' ὄχλῳ πλέον νέμεις,
ἐγώ σε θήσω τοῦδ' ἐλεύθερον φόβου.
ξύνισθι μὲν γάρ, ἤν τι βουλεύσω κακὸν
τῷ τόνδ' ἀποκτείναντι, συνδράσῃς δὲ μή.
ἢν δ' ἐξ Ἀχαιῶν θόρυβος ἢ 'πικουρία
πάσχοντος ἀνδρὸς Θρῃκὸς οἷα πείσεται
φανῇ τις, εἶργε μὴ δοκῶν ἐμὴν χάριν.
τὰ δ' ἄλλα θάρσει· πάντ' ἐγὼ θήσω καλῶς.

ΑΓΑΜΕΜΝΩΝ.

πῶς οὖν; τί δράσεις; πότερα φάσγανον χερὶ
λαβοῦσα γραίᾳ φῶτα βάρβαρον κτενεῖς,
ἢ φαρμάκοισιν, ἢ 'πικουρίᾳ τίνι;
τίς σοι ξυνέσται χείρ; πόθεν κτήσει φίλους;

ΕΚΑΒΗ.

στέγαι κεκεύθασ' αἵδε Τρῳάδων ὄχλον.

ΑΓΑΜΕΜΝΩΝ.

τὰς αἰχμαλώτους εἶπας, Ἑλλήνων ἄγραν;

ΕΚΑΒΗ.

ξὺν ταῖσδε τὸν ἐμὸν φονέα τιμωρήσομαι.

ΑΓΑΜΕΜΝΩΝ.

καὶ πῶς γυναιξὶν ἀρσένων ἔσται κράτος;

ΕΚΑΒΗ.

δεινὸν τὸ πλῆθος, ξὺν δόλῳ τε δύσμαχον.

ΑΓΑΜΕΜΝΩΝ.

δεινόν· τὸ μέντοι θῆλυ μέμφομαι γένος.

ΕΚΑΒΗ.

τί δ'; οὐ γυναῖκες εἷλον Αἰγύπτου τέκνα,
καὶ Λῆμνον ἄρδην ἀρσένων ἐξῴκισαν;
ἀλλ' ὣς γενέσθω· τόνδε μὲν μέθες λόγον·
πέμψον δέ μοι τήνδ' ἀσφαλῶς διὰ στρατοῦ
γυναῖκα. καὶ σύ, Θρῃκὶ πλαθεῖσα ξένῳ,
λέξον, καλεῖ σ' ἄνασσα δήποτ' Ἰλίου
Ἑκάβη, σὸν οὐκ ἔλασσον ἢ κείνης χρέος,
καὶ παῖδας· ὡς δεῖ καὶ τέκν' εἰδέναι λόγους
τοὺς ἐξ ἐκείνης. τὸν δὲ τῆς νεοσφαγοῦς
Πολυξένης ἐπίσχες, Ἀγάμεμνον, τάφον,
ὡς τώδ' ἀδελφὼ πλησίον μιᾷ φλογί,
δισσὴ μέριμνα μητρί, κρυφθῆτον χθονί.

ΑΓΑΜΕΜΝΩΝ.

ἔσται τάδ' οὕτως· καὶ γὰρ εἰ μὲν ἦν στρατῷ
πλοῦς, οὐκ ἂν εἶχον τήνδε σοι δοῦναι χάριν·
νῦν δ', οὐ γὰρ ἵησ' οὐρίους πνοὰς θεός,
μένειν ἀνάγκη πλοῦν ὁρῶντας ἥσυχον.

**Post 830. sequebantur**
*ἐκ τοῦ σκότου γὰρ τῶν τε νυκτέρων πάνυ*
*φίλτρων μεγίστη γίγνεται βροτοῖς χάρις.*

γένοιτο δ' εὖ πως· πᾶσι γὰρ κοινὸν τόδε,
ἰδίᾳ θ' ἑκάστῳ καὶ πόλει, τὸν μὲν κακὸν
κακόν τι πάσχειν, τὸν δὲ χρηστὸν εὐτυχεῖν.

ΧΟΡΟΣ.

σὺ μὲν, ὦ πατρὶς Ἰλιὰς,
τῶν ἀπορθήτων πόλις οὐκέτι λέξει·
τοῖον Ἑλλάνων νέφος ἀμφί σε κρύπτει
δορὶ δὴ δορὶ πέρσαν.
ἀπὸ δὲ στεφάναν κέκαρσαι
πύργων, κατὰ δ' αἰθάλου
κηλῖδ' οἰκτροτάταν κέχρωσαι,
τάλαιν', οὐκέτι σ' ἐμβατεύσω.
μεσονύκτιος ὠλλύμαν,
ἦμος ἐκ δείπνων ὕπνος ἡδὺς ἐπ' ὄσσοις
κίδναται, μολπᾶν δ' ἄπο καὶ χοροποιῶν
θυσιᾶν καταπαύσας
πόσις ἐν θαλάμοις ἔκειτο,
ξυστὸν δ' ἐπὶ πασσάλῳ,
ναύταν οὐκέθ' ὁρῶν ὅμιλον
Τροίαν Ἰλιάδ' ἐμβεβῶτα.
ἐγὼ δὲ πλόκαμον ἀναδέτοις
μίτραισιν ἐρρυθμιζόμαν
χρυσέων ἐνόπτρων
λεύσσουσ' ἀτέρμονας εἰς αὐγὰς,
ἐπιδέμνιος ὡς πέσοιμ' ἐς εὐνάν.
ἀνὰ δὲ κέλαδος ἔμολε πόλιν·
κέλευσμα δ' ἦν κατ' ἄστυ Τροίας τόδ'· ὦ
παῖδες Ἑλλάνων, πότε δὴ πότε τὰν
Ἰλιάδα σκοπιὰν πέρσαντες ἥξετ' οἴκους;
λέχη δὲ φίλια μονόπεπλος
λιποῦσα, Δωρὶς ὡς κόρα,
σεμνὰν προσίζουσ'
οὐκ ἤνυσ' Ἄρτεμιν ἁ τλάμων·
ἄγομαι δὲ θανόντ' ἰδοῦσ' ἀκοίταν
τὸν ἐμὸν ἅλιον ἐπὶ πέλαγος,
πόλιν τ' ἀποσκοποῦσ', ἐπεὶ νόστιμον
ναῦς ἐκίνησεν πόδα καί μ' ἀπὸ γᾶς
ὥρισεν Ἰλιάδος· τάλαιν', ἀπεῖπον ἄλγει.
τὰν τοῖν Διοσκόροιν Ἑλέναν κάσιν, Ἰδαῖόν τε
βούταν αἰνόπαριν κατάρᾳ
διδοῦσ', ἐπεί με γᾶς
ἐκ πατρῴας ἀπώλεσεν
ἐξῴκισέν τ' οἴκων γάμος, οὐ γάμος, ἀλλ' ἀλά-
στορός τις οἰζύς·
ἃν μήτε πέλαγος ἅλιον ἀπαγάγοι πάλιν,
μήτε πατρῷον ἵκοιτ' ἐς οἶκον.

ΠΟΛΥΜΗΣΤΩΡ.

ὦ φίλτατ' ἀνδρῶν Πρίαμε, φιλτάτη δὲ σὺ,
Ἑκάβη, δακρύω σ' εἰσορῶν πόλιν τε σὴν,
τήν τ' ἀρτίως θανοῦσαν ἔκγονον σέθεν.
φεῦ·
οὐκ ἔστιν οὐδὲν πιστὸν οὔτ' εὐδοξία
οὔτ' αὖ καλῶς πράσσοντα μὴ πράξειν κακῶς.
φύρουσι δ' αὐτὰ θεοὶ πάλιν τε καὶ πρόσω,
ταραγμὸν ἐντιθέντες, ὡς ἀγνωσίᾳ
σέβωμεν αὐτούς, ἀλλὰ ταῦτα μὲν τί δεῖ
θρηνεῖν, προκόπτοντ' οὐδὲν ἐς πρόσθεν κακῶν;
σὺ δ' εἴ τι μέμφει τῆς ἐμῆς ἀπουσίας,

905—913. == 914—922.
923—932. == 933—942.

σχές· τυγχάνω γὰρ ἐν μέσοις Θρῄκης ὅροις
ἀπὼν, ὅτ' ἦλθες δεῦρ'· ἐπεὶ δ' ἀφικόμην,
ἤδη πόδ' ἔξω δωμάτων αἴροντί μοι
ἐς ταυτὸν ἥδε συμπίτνει δμωὶς σέθεν,
λέγουσα μύθους ὧν κλύων ἀφικόμην.

ΕΚΑΒΗ.

αἰσχύνομαί σε προσβλέπειν ἐναντίον,
Πολυμῆστορ, ἐν τοιοῖσδε κειμένη κακοῖς.
ὅτῳ γὰρ ὤφθην εὐτυχοῦσ', αἰδώς μ' ἔχει,
ἐν τῷδε πότμῳ τυγχάνουσ', ἵν' εἰμὶ νῦν,
κοὐκ ἂν δυναίμην προσβλέπειν σ' ὀρθαῖς κόραις.
ἀλλ' αὐτὸ μὴ δύσνοιαν ἡγήσῃ σέθεν,
Πολυμῆστορ· ἄλλως δ' αἴτιόν τι καὶ νόμος,
γυναῖκας ἀνδρῶν μὴ βλέπειν ἐναντίον.

ΠΟΛΥΜΗΣΤΩΡ.

καὶ θαῦμά γ' οὐδέν. ἀλλὰ τίς χρεία σ' ἐμοῦ;
τί χρῆμ' ἐπέμψω τὸν ἐμὸν ἐκ δόμων πόδα;

ΕΚΑΒΗ.

ἴδιον ἐμαυτῆς δή τι πρὸς σὲ βούλομαι
καὶ παῖδας εἰπεῖν σούς· ὀπάονας δέ μοι
χωρὶς κέλευσον τῶνδ' ἀποστῆναι δόμων.

ΠΟΛΥΜΗΣΤΩΡ.

χωρεῖτ'· ἐν ἀσφαλεῖ γὰρ ἥδ' ἐρημία.
φίλη μὲν εἶ σὺ, προσφιλὲς δέ μοι τόδε
στράτευμ' Ἀχαιῶν. ἀλλὰ σημαίνειν σε χρὴ
τί χρὴ τὸν εὖ πράσσοντα μὴ πράσσουσιν εὖ
φίλοις ἐπαρκεῖν· ὡς ἕτοιμός εἰμ' ἐγώ.

ΕΚΑΒΗ.

πρῶτον μὲν εἰπὲ παῖδ' ὃν ἐξ ἐμῆς χερὸς
Πολύδωρον ἔκ τε πατρὸς ἐν δόμοις ἔχεις,
εἰ ζῇ· τὰ δ' ἄλλα δεύτερόν σ' ἐρήσομαι.

ΠΟΛΥΜΗΣΤΩΡ.

μάλιστα· τοὐκείνου μὲν εὐτυχεῖς μέρος.

ΕΚΑΒΗ.

ὦ φίλταθ', ὡς εὖ κἀξίως σέθεν λέγεις.

ΠΟΛΥΜΗΣΤΩΡ.

τί δῆτα βούλει δεύτερον μαθεῖν ἐμοῦ;

ΕΚΑΒΗ.

εἰ τῆς τεκούσης τῆσδε μέμνηταί τί μου.

ΠΟΛΥΜΗΣΤΩΡ.

καὶ δεῦρό γ' ὡς σὲ κρύφιος ἐζήτει μολεῖν.

ΕΚΑΒΗ.

χρυσὸς δὲ σῶς, ὃν ἦλθεν ἐκ Τροίας ἔχων;

ΠΟΛΥΜΗΣΤΩΡ.

σῶς, ἐν δόμοις γε τοῖς ἐμοῖς φρουρούμενος.

ΕΚΑΒΗ.

σῶσόν νυν αὐτὸν, μηδ' ἔρα τῶν πλησίον.

ΠΟΛΥΜΗΣΤΩΡ.

ἥκιστ'· ὀναίμην τοῦ παρόντος, ὦ γύναι.

ΕΚΑΒΗ.

οἶσθ' οὖν ἃ λέξαι σοί τε καὶ παισὶν θέλω;

ΠΟΛΥΜΗΣΤΩΡ.

οὐκ οἶδα· τῷ σῷ τοῦτο σημανεῖς λόγῳ.

ΕΚΑΒΗ.

ἔστω φιληθεὶς, ὡς σὺ νῦν ἐμοὶ φιλεῖ.

ΠΟΛΥΜΗΣΤΩΡ.

τί χρῆμ', ὃ κἀμὲ καὶ τέκν' εἰδέναι χρεών;

ΕΚΑΒΗ.
χρυσοῦ παλαιαὶ Πριαμιδῶν κατώρυχες.
ΠΟΛΥΜΗΣΤΩΡ.
ταῦτ᾽ ἔσθ᾽ ἃ βούλει παιδὶ σημῆναι σέθεν;
ΕΚΑΒΗ.
μάλιστα, διὰ σοῦ γ᾽· εἶ γὰρ εὐσεβὴς ἀνήρ.
ΠΟΛΥΜΗΣΤΩΡ.
τί δῆτα τέκνων τῶνδε δεῖ παρουσίας;
ΕΚΑΒΗ.
ἄμεινον, ἢν σὺ κατθάνῃς, τούσδ᾽ εἰδέναι.
ΠΟΛΥΜΗΣΤΩΡ.
καλῶς ἔλεξας τῇδε καὶ σοφώτερον.
ΕΚΑΒΗ.
οἶσθ᾽ οὖν Ἀθάνας Ἰλίας ἵνα στέγαι;
ΠΟΛΥΜΗΣΤΩΡ.
ἐνταῦθ᾽ ὁ χρυσός ἐστι; σημεῖον δὲ τί;
ΕΚΑΒΗ.
μέλαινα πέτρα γῆς ὑπερτέλλουσ᾽ ἄνω.
ΠΟΛΥΜΗΣΤΩΡ.
ἔτ᾽ οὖν τι βούλει τῶν ἐκεῖ φράζειν ἐμοί;
ΕΚΑΒΗ.
σῶσαί σε χρήμαθ᾽ οἷς συνεξῆλθον θέλω.
ΠΟΛΥΜΗΣΤΩΡ.
ποῦ δῆτα, πέπλων ἐντὸς ἢ κρύψασ᾽ ἔχεις;
ΕΚΑΒΗ.
σκύλων ἐν ὄχλῳ ταῖσδε σώζεται στέγαις.
ΠΟΛΥΜΗΣΤΩΡ.
ποῦ δ᾽; αἵδ᾽ Ἀχαιῶν ναύλοχοι περιπτυχαί.
ΕΚΑΒΗ.
ἴδιαι γυναικῶν αἰχμαλωτίδων στέγαι.
ΠΟΛΥΜΗΣΤΩΡ.
τἄνδον δὲ πιστὰ, κἀρσένων ἐρημία;
ΕΚΑΒΗ.
οὐδεὶς Ἀχαιῶν ἔνδον, ἀλλ᾽ ἡμεῖς μόναι.
ἀλλ᾽ ἕρπ᾽ ἐς οἴκους· καὶ γὰρ Ἀργεῖοι νεῶν
λῦσαι ποθοῦσιν οἴκαδ᾽ ἐκ Τροίας πόδα·
ὡς πάντα πράξας ὧν σε δεῖ στείχῃς πάλιν
ξὺν παισὶν οὗπερ τὸν ἐμὸν ᾤκισας γόνον.
ΧΟΡΟΣ.
οὔπω δέδωκας, ἀλλ᾽ ἴσως δώσεις δίκην,
ἀλίμενόν τις ὡς ἐς ἄντλον πεσὼν
λέχριος ἐκπέσῃ φίλας καρδίας,
ἀμέρσας βίον. τὸ γὰρ ὑπέγγυον
δίκᾳ καὶ θεοῖσιν οὐ ξυμπίτνει
ὀλέθριον ὀλέθριον κακόν.
ψεύσει σ᾽ ὁδοῦ τῆσδ᾽ ἐλπὶς, ἥ σ᾽ ἐπήγαγε
θανάσιμον πρὸς Ἅιδαν, ἰὼ τάλας·
ἀπολέμῳ δὲ χειρὶ λείψεις βίον.
ΠΟΛΥΜΗΣΤΩΡ.
ᾤμοι, τυφλοῦμαι φέγγος ὀμμάτων τάλας.
ΧΟΡΟΣ.
ἠκούσατ᾽ ἀνδρὸς Θρῃκὸς οἰμωγὴν, φίλαι;
ΠΟΛΥΜΗΣΤΩΡ.
ᾤμοι μάλ᾽ αὖθις, τέκνα, δυστήνου σφαγῆς.
ΧΟΡΟΣ.
φίλαι, πέπρακται καίν᾽ ἔσω δόμων κακά.
ΠΟΛΥΜΗΣΤΩΡ.
ἀλλ᾽ οὔτι μὴ φύγητε λαιψηρῷ ποδί·
βάλλων γὰρ οἴκων τῶνδ᾽ ἀναρρήξω μυχούς.
ΧΟΡΟΣ.
ἰδοὺ, βαρείας χειρὸς ὁρμᾶται βέλος.
βούλεσθ᾽ ἐπεσπέσωμεν; ὡς ἀκμὴ καλεῖ
Ἑκάβῃ παρεῖναι Τρῳάσιν τε συμμάχους.
ΕΚΑΒΗ.
ἄρασσε, φείδου μηδὲν, ἐκβάλλων πύλας·
οὐ γάρ ποτ᾽ ὄμμα λαμπρὸν ἐνθήσεις κόραις,
οὐ παῖδας ὄψει ζῶντας, οὓς ἔκτειν᾽ ἐγώ.
ΧΟΡΟΣ.
ἦ γὰρ καθεῖλες Θρῇκα καὶ κρατεῖς ξένου,
δέσποινα, καὶ δέδρακας οἷάπερ λέγεις;
ΕΚΑΒΗ.
ὄψει νιν αὐτίκ᾽ ὄντα δωμάτων πάρος
τυφλὸν, τυφλῷ στείχοντα παραφόρῳ ποδὶ,
παίδων τε δισσῶν σώμαθ᾽, οὓς ἔκτειν᾽ ἐγὼ
ξὺν ταῖς ἀρίσταις Τρῳάσιν· δίκην δέ μοι
δέδωκε· χωρεῖ δ᾽, ὡς ὁρᾷς, ὅδ᾽ ἐκ δόμων.
ἀλλ᾽ ἐκποδὼν ἄπειμι κἀποστήσομαι
θυμῷ ζέοντι Θρῃκὶ δυσμαχωτάτῳ.
ΠΟΛΥΜΗΣΤΩΡ.
ᾤμοι ἐγὼ,
πᾷ βῶ, πᾷ στῶ, πᾷ κέλσω;
τετράποδος βάσιν θηρὸς ὀρεστέρου
τιθέμενος ἐπὶ χεῖρα κατ᾽ ἴχνος;
ποίαν, ἢ ταύταν, ἢ τάνδ᾽
ἐξαλλάξω,
τὰς ἀνδροφόνους μάρψαι χρῄζων
Ἰλιάδας, αἵ με διώλεσαν;
τάλαιναι κόραι τάλαιναι Φρυγῶν,
ὦ κατάρατοι, ποῖ καί με φυγᾷ
πτώσσουσι μυχῶν;
εἴθε μοι ὀμμάτων αἱματόεν βλέφαρον
ἀκέσαι᾽ ἀκέσαιο τυφλὸν, Ἅλιε,
φέγγος ἀπαλλάξας.
ἂ ἄ. σίγα σίγα, κρυπτὰν
βάσιν αἰσθάνομαι τάνδε γυναικῶν.
πᾷ πόδ᾽ ἐπᾴξας
σαρκῶν ὀστέων τ᾽ ἐμπλησθῶ,
θοίναν ἀγρίων θηρῶν τιθέμενος
ἀρνύμενος λώβαν,
λύμας ἀντίποιν᾽ ἐμᾶς; ὢ τάλας.
ποῖ, πᾷ φέρομαι τέκν᾽ ἔρημα λιπὼν
βάκχαις Ἅιδου διαμοιρᾶσαι,
σφακτὰν κυσί τε φοινίαν δαῖτ᾽, ἀνή-
μερόν τ᾽ οὐρείαν ἐκβολάν;
πᾷ στῶ, πᾷ βῶ, πᾷ κάμψω,
ναῦς ὅπως ποντίοις πείσμασι λινόκροκον
φᾶρος στέλλων,
ἐπὶ τάνδε συθεὶς τέκνων ἐμῶν φύλαξ
ὀλέθριον κοίταν;
ΧΟΡΟΣ.
ὦ τλῆμον, ὥς σοι δύσφορ᾽ εἴργασται κακά·
δράσαντι δ᾽ αἰσχρὰ δεινὰ τἀπιτίμια
δαίμων ἔδωκεν, ὅστις ἐστί σοι βαρύς.
ΠΟΛΥΜΗΣΤΩΡ.
αἰαῖ, ἰὼ Θρῄκης

λογχοφόρον, ἔνοπλον, εὔιππον, Ἄ-
ρει κάτοχον γένος.
ἰὼ Ἀχαιοὶ, ἰὼ Ἀτρεῖδαι.
βοὰν βοὰν ἀϋτῶ, βοάν·
ὦ ἴτε, μόλετε πρὸς θεῶν.
κλύει τις, ἢ οὐδεὶς ἀρκέσει; τί μέλλετε;
γυναῖκες ὤλεσάν με,
γυναῖκες αἰχμαλώτιδες.
δεινὰ δεινὰ πεπόνθαμεν.
ὤμοι ἐμᾶς λώβας.
ποῖ τράπωμαι; ποῖ πορευθῶ;
αἰθέρ' ἀμπτάμενος οὐράνιον ὑ-
ψιπετὲς ἐς μέλαθρον,
Ὠρίων ἢ Σείριος ἔνθα πυρὸς φλογέας ἀφίη-
σιν ὄσσων αὐγὰς, ἢ τὸν ἐς Ἀΐδα
μελανοχρῶτα πορθμὸν ᾄξω τάλας;

ΧΟΡΟΣ.

ξυγγνώσθ', ὅταν τις κρείσσον' ἢ φέρειν κακὰ
πάθη, ταλαίνης ἐξαπαλλάξαι ζόης.

ΑΓΑΜΕΜΝΩΝ.

κραυγῆς ἀκούσας ἦλθον· οὐ γὰρ ἥσυχος
πέτρας ὀρείας παῖς λέλακ' ἀνὰ στρατὸν
Ἠχὼ, διδοῦσα θόρυβον. εἰ δὲ μὴ Φρυγῶν
πύργους πεσόντας ᾔσμεν Ἑλλήνων δορὶ,
φόβον παρέσχεν οὐ μέσως ὅδε κτύπος.

ΠΟΛΥΜΗΣΤΩΡ.

ὦ φίλτατ', ᾐσθόμην γὰρ, Ἀγάμεμνον, σέθεν
φωνῆς ἀκούσας, εἰσορᾷς ἃ πάσχομεν;

ΑΓΑΜΕΜΝΩΝ.

ἔα·
Πολυμῆστορ ὦ δύστηνε, τίς σ' ἀπώλεσε;
τίς ὄμμ' ἔθηκε τυφλὸν, αἱμάξας κόρας,
παῖδάς τε τούσδ' ἔκτεινεν; ἢ μέγαν χόλον
σοὶ καὶ τέκνοισιν εἶχεν, ὅστις ἦν ἄρα.

ΠΟΛΥΜΗΣΤΩΡ.

Ἑκάβη με σὺν γυναιξὶν αἰχμαλωτίσιν
ἀπώλεσ', οὐκ ἀπώλεσ', ἀλλὰ μειζόνως.

ΑΓΑΜΕΜΝΩΝ.

τί φῄς; σὺ τοὔργον εἴργασαι τόδ', ὡς λέγει;
σὺ τόλμαν, Ἑκάβη, τήνδ' ἔτλης ἀμήχανον;

ΠΟΛΥΜΗΣΤΩΡ.

ὤμοι, τί λέξεις; ἦ γὰρ ἐγγύς ἐστί που;
σήμηνον, εἰπὲ ποῦ 'σθ', ἵν' ἁρπάσας χεροῖν
διασπάσωμαι καὶ καθαιμάξω χρόα.

ΑΓΑΜΕΜΝΩΝ.

οὗτος, τί πάσχεις;

ΠΟΛΥΜΗΣΤΩΡ.

πρὸς θεῶν σε λίσσομαι,
μέθες μ' ἐφεῖναι τῇδε μαργῶσαν χέρα.

ΑΓΑΜΕΜΝΩΝ.

ἴσχ'· ἐκβαλὼν δὲ καρδίας τὸ βάρβαρον,
λέγ', ὡς ἀκούσας σοῦ τε τῆσδέ τ' ἐν μέρει
κρίνω δικαίως, ἀνθ' ὅτου πάσχεις τάδε.

ΠΟΛΥΜΗΣΤΩΡ.

λέγοιμ' ἄν. ἦν τις Πριαμιδῶν νεώτατος
Πολύδωρος, Ἑκάβης παῖς, ὃν ἐκ Τροίας ἐμοὶ
πατὴρ δίδωσι Πρίαμος ἐν δόμοις τρέφειν,
ὕποπτος ὢν δὴ Τρωικῆς ἁλώσεως.
τοῦτον κατέκτειν'· ἀνθ' ὅτου δ' ἔκτεινά νιν,
ἄκουσον, ὡς εὖ καὶ σοφῇ προμηθίᾳ.
ἔδεισα μὴ σοὶ πολέμιος λειφθεὶς ὁ παῖς
Τροίαν ἀθροίσῃ καὶ ξυνοικίσῃ πάλιν,
γνόντες δ' Ἀχαιοὶ ζῶντα Πριαμιδῶν τινα
Φρυγῶν ἐς αἶαν αὖθις ἄρειαν στόλον,
κἄπειτα Θρῄκης πεδία τρίβοιεν τάδε
λεηλατοῦντες, γείτοσιν δ' εἴη κακὸν
Τρώων, ἐν ᾧπερ νῦν, ἄναξ, ἐκάμνομεν.
Ἑκάβη δὲ παιδὸς γνοῦσα θανάσιμον μόρον,
λόγῳ με τοιῷδ' ἤγαγ', ὡς κεκρυμμένας
θήκας φράσουσα Πριαμιδῶν ἐν Ἰλίῳ
χρυσοῦ· μόνον δὲ σὺν τέκνοισί μ' εἰσάγει
δόμους, ἵν' ἄλλος μή τις εἰδείη τάδε.
ἵζω δὲ κλίνης ἐν μέσῳ κάμψας γόνυ·
πολλαὶ δὲ χειρὸς αἱ μὲν ἐξ ἀριστερᾶς,
αἱ δ' ἔνθεν, ὡς δὴ παρὰ φίλῳ, Τρώων κόραι
θάκουν, ἔχουσαι κερκίδ' Ἠδωνῆς χερὸς,
ἤνουν θ', ὑπ' αὐγὰς τούσδε λεύσσουσαι πέ-
πλους·
ἄλλαι δὲ κάμακα Θρῃκίαν θεώμεναι
γυμνόν μ' ἔθηκαν διπτύχου στολίσματος.
ὅσαι δὲ τοκάδες ἦσαν, ἐκπαγλούμεναι
τέκν' ἐν χεροῖν ἔπαλλον, ὡς πρόσω πατρὸς
γένοιτο, διαδοχαῖς ἀμείβουσαι χεροῖν.
κᾆτ' ἐκ γαληνῶν πῶς δοκεῖς προσφθεγμάτων
εὐθὺς λαβοῦσαι φάσγαν' ἐκ πέπλων ποθὲν
κεντοῦσι παῖδας, αἱ δὲ πολεμίων δίκην
ξυναρπάσασαι τὰς ἐμὰς εἶχον χέρας
καὶ κῶλα· παισὶ δ' ἀρκέσαι χρῄζων ἐμοῖς,
εἰ μὲν πρόσωπον ἐξανισταίην ἐμὸν,
κόμης κατεῖχον, εἰ δὲ κινοίην χέρας,
πλήθει γυναικῶν οὐδὲν ἤνυον τάλας.
τὸ λοίσθιον δὲ, πῆμα πήματος πλέον,
ἐξειργάσαντο δείν'· ἐμῶν γὰρ ὀμμάτων,
πόρπας λαβοῦσαι τὰς ταλαιπώρους κόρας
κεντοῦσιν, αἱμάσσουσιν· εἶτ' ἀνὰ στέγας
φυγάδες ἔβησαν· ἐκ δὲ πηδήσας ἐγὼ
θὴρ ὣς διώκω τὰς μιαιφόνους κύνας,
ἅπαντ' ἐρευνῶν τοῖχον, ὡς κυνηγέτης,
βάλλων, ἀράσσων. τοιάδε σπεύδων χάριν
πέπονθα τὴν σὴν, πολέμιόν τε σὸν κτανὼν,
Ἀγάμεμνον. ὡς δὲ μὴ μακροὺς τείνω λόγους,
εἴ τις γυναῖκας τῶν πρὶν εἴρηκεν κακῶς,
ἢ νῦν λέγων τίς ἐστιν, ἢ μέλλει λέγειν,
ἅπαντα ταῦτα συντεμὼν ἐγὼ φράσω·
γένος γὰρ οὔτε πόντος οὔτε γῆ τρέφει
τοιόνδ'· ὁ δ' ἀεὶ ξυντυχὼν ἐπίσταται.

ΧΟΡΟΣ.

μηδὲν θρασύνου, μηδὲ τοῖς σαυτοῦ κακοῖς
τὸ θῆλυ συνθεὶς ὧδε πᾶν μέμψῃ γένος·
πολλαὶ γὰρ ἡμῶν αἱ μὲν εἰσ' ἐπίφθονοι,
αἱ δ' εἰς ἀριθμὸν τῶν κακῶν πεφύκαμεν.

ΕΚΑΒΗ.

Ἀγάμεμνον, ἀνθρώποισιν οὐκ ἐχρῆν ποτε
τῶν πραγμάτων τὴν γλῶσσαν ἰσχύειν πλέον.

ἀλλ' εἴτε χρήστ' ἔδρασε, χρήστ' ἔδει λέγειν,
εἴτ' αὖ πονηρὰ, τοὺς λόγους εἶναι σαθροὺς,
καὶ μὴ δύνασθαι τἄδικ' εὖ λέγειν ποτέ.
σοφοὶ μὲν οὖν εἰσ' οἱ τάδ' ἠκριβωκότες,
ἀλλ' οὐ δύναιντ' ἂν διὰ τέλους εἶναι σοφοὶ,
κακῶς δ' ἀπώλοντ'· οὔτις ἐξήλυξέ πω.
καί μοι τὸ μὲν σὸν ὧδε φροιμίοις ἔχει·
πρὸς τόνδε δ' εἶμι, καὶ λόγοις ἀμείψομαι,
ὃς φῂς Ἀχαιῶν πόνον ἀπαλλάσσων διπλοῦν
Ἀγαμέμνονός θ' ἕκατι παῖδ' ἐμὸν κτανεῖν.
ἀλλ', ὦ κάκιστε, πρῶτον οὔποτ' ἂν φίλον
τὸ βάρβαρον γένοιτ' ἂν Ἕλλησιν γένος,
οὔτ' ἂν δύναιτο. τίνα δὲ καὶ σπεύδων χάριν
πρόθυμος ἦσθα; πότερα κηδεύσων τινὰ,
ἢ ξυγγενὴς ὢν, ἢ τίν' αἰτίαν ἔχων;
ἢ σῆς ἔμελλον γῆς τεμεῖν βλαστήματα
πλεύσαντες αὖθις; τίνα δοκεῖς πείσειν τάδε;
ὁ χρυσὸς, εἰ βούλοιο τἀληθῆ λέγειν,
ἔκτεινε τὸν ἐμὸν παῖδα καὶ κέρδη τὰ σά.
ἐπεὶ δίδαξον τοῦτο· πῶς, ὅτ' εὐτύχει
Τροία, πέριξ δὲ πύργος εἶχ' ἔτι πτόλιν,
ἔζη τε Πρίαμος, Ἕκτορός τ' ἤνθει δόρυ,
τί δ' οὐ τότ', εἴπερ τῷδ' ἐβουλήθης χάριν
θέσθαι, τρέφων τὸν παῖδα κἀν δόμοις ἔχων
ἔκτεινας, ἢ ζῶντ' ἦλθες Ἀργείοις ἄγων;
ἀλλ' ἡνίχ' ἡμεῖς οὐκέτ' ἦμεν ἐν φάει,
καπνῷ δ' ἐσήμην' ἄστυ πολεμίων ὕπο,
ξένον κατέκτας σὴν μολόντ' ἐφ' ἑστίαν.
πρὸς τοῖσδέ νυν ἄκουσον ὡς φανεῖ κακός.
χρῆν σ', εἴπερ ἦσθα τοῖς Ἀχαιοῖσιν φίλος,
τὸν χρυσὸν ὃν φῂς οὐ σὸν, ἀλλὰ τοῦδ' ἔχειν,
δοῦναι φέροντα πενομένοις τε καὶ χρόνον
πολὺν πατρῴας γῆς ἀπεξενωμένοις·
σὺ δ' οὐδὲ νῦν πω σῆς ἀπαλλάξαι χερὸς
τολμᾷς, ἔχων δὲ καρτερεῖς ἔτ' ἐν δόμοις.
καὶ μὴν τρέφων μὲν ὥς σε παῖδ' ἐχρῆν τρέφειν
σώσας τε τὸν ἐμὸν εἶχες ἂν καλὸν κλέος·
ἐν τοῖς κακοῖς γὰρ ἀγαθοὶ σαφέστατοι
φίλοι· τὰ χρηστὰ δ' αὔθ' ἕκαστ' ἔχει φίλους.
εἰ δ' ἐσπάνιζες χρημάτων, ὁ δ' εὐτύχει,
θησαυρὸς ἄν σοι παῖς ὑπῆρχ' οὑμὸς μέγας·
νῦν δ' οὔτ' ἐκεῖνον ἄνδρ' ἔχεις σαυτῷ φίλον,
χρυσοῦ τ' ὄνησις οἴχεται παῖδές τέ σοι,
αὐτός τε πράσσεις ὧδε. σοὶ δ' ἐγὼ λέγω,
Ἀγάμεμνον, εἰ τῷδ' ἀρκέσεις, κακὸς φανεῖ·
οὔτ' εὐσεβῆ γὰρ οὔτε πιστὸν οἷς ἐχρῆν,
οὐχ ὅσιον, οὐ δίκαιον εὖ δράσεις ξένον·
αὐτὸν δὲ χαίρειν τοῖς κακοῖς σε φήσομεν
τοιοῦτον ὄντα· δεσπότας δ' οὐ λοιδορῶ.

ΧΟΡΟΣ.

φεῦ φεῦ· βροτοῖσιν ὡς τὰ χρηστὰ πράγματα
χρηστῶν ἀφορμὰς ἐνδίδωσ' ἀεὶ λόγων.

ΑΓΑΜΕΜΝΩΝ.

ἀχθεινὰ μέν μοι τἀλλότρια κρίνειν κακά·
ὅμως δ' ἀνάγκη· καὶ γὰρ αἰσχύνην φέρει
πρᾶγμ' ἐς χέρας λαβόντ' ἀπώσασθαι τόδε.
ἐμοὶ δ', ἵν' εἰδῇς, οὔτ' ἐμὴν δοκεῖς χάριν
οὔτ' οὖν Ἀχαιῶν ἄνδρ' ἀποκτεῖναι ξένον,
ἀλλ' ὡς ἔχῃς τὸν χρυσὸν ἐν δόμοισι σοῖς.
λέγεις δὲ σαυτῷ πρόσφορ', ἐν κακοῖσιν ὤν.
τάχ' οὖν παρ' ὑμῖν ῥᾴδιον ξενοκτονεῖν·
ἡμῖν δέ γ' αἰσχρὸν τοῖσιν Ἕλλησιν τόδε.
πῶς οὖν σε κρίνας μὴ 'δικεῖν φύγω ψόγον;
οὐκ ἂν δυναίμην. ἀλλ' ἐπεὶ τὰ μὴ καλὰ
πράσσειν ἐτόλμας, τλῆθι καὶ τὰ μὴ φίλα.

ΠΟΛΥΜΗΣΤΩΡ.

οἴμοι, γυναικὸς, ὡς ἔοιχ', ἡσσώμενος
δούλης, ὑφέξω τοῖς κακίοσιν δίκην.

ΕΚΑΒΗ.

οὔκουν δικαίως, εἴπερ εἰργάσω κακά.

ΠΟΛΥΜΗΣΤΩΡ.

οἴμοι τέκνων τῶνδ' ὀμμάτων τ' ἐμῶν, τάλας.

ΕΚΑΒΗ.

ἀλγεῖς· τί δ', ἡμᾶς παιδὸς οὐκ ἀλγεῖν δοκεῖς;

ΠΟΛΥΜΗΣΤΩΡ.

χαίρεις ὑβρίζουσ' εἰς ἔμ', ὦ πανοῦργε σύ.

ΕΚΑΒΗ.

οὐ γάρ με χαίρειν χρὴ, σὲ τιμωρουμένην;

ΠΟΛΥΜΗΣΤΩΡ.

ἀλλ' οὐ τάχ', ἡνίκ' ἄν σε ποντία νοτὶς

ΕΚΑΒΗ.

μῶν ναυστολήσῃ γῆς ὅρους Ἑλληνίδος;

ΠΟΛΥΜΗΣΤΩΡ.

κρύψῃ μὲν οὖν πεσοῦσαν ἐκ καρχησίων.

ΕΚΑΒΗ.

πρὸς τοῦ βιαίων τυγχάνουσαν ἁλμάτων;

ΠΟΛΥΜΗΣΤΩΡ.

αὐτὴ πρὸς ἱστὸν ναὸς ἀμβήσει ποδί.

ΕΚΑΒΗ.

ὑποπτέροις νώτοισιν, ἢ ποίῳ τρόπῳ;

ΠΟΛΥΜΗΣΤΩΡ.

κύων γενήσει πύρσ' ἔχουσα δέργματα.

ΕΚΑΒΗ.

πῶς δ' οἶσθα μορφῆς τῆς ἐμῆς μετάστασιν;

ΠΟΛΥΜΗΣΤΩΡ.

ὁ Θρῃξὶ μάντις εἶπε Διόνυσος τάδε.

ΕΚΑΒΗ.

σοὶ δ' οὐκ ἔχρησεν οὐδὲν ὧν ἔχεις κακῶν;

ΠΟΛΥΜΗΣΤΩΡ.

οὐ γάρ ποτ' ἂν σύ μ' εἷλες ὧδε σὺν δόλῳ.

ΕΚΑΒΗ.

θανοῦσα δ' ἢ ζῶσ' ἐνθάδ' ἐκπλήσω βίον;

ΠΟΛΥΜΗΣΤΩΡ.

θανοῦσα· τύμβῳ δ' ὄνομα σῷ κεκλήσεται

ΕΚΑΒΗ.

μορφῆς ἐπῳδὸν, ἢ τί, τῆς ἐμῆς ἐρεῖς;

ΠΟΛΥΜΗΣΤΩΡ.

κυνὸς ταλαίνης σῆμα, ναυτίλοις τέκμαρ.

ΕΚΑΒΗ.

οὐδέν μέλει μοι, σοῦ γέ μοι δόντος δίκην.

ΠΟΛΥΜΗΣΤΩΡ.

καὶ σήν γ' ἀνάγκη παῖδα Κασάνδραν θανεῖν.

ΕΚΑΒΗ.

ἀπέπτυσ'· αὐτῷ ταῦτα σοὶ δίδωμ' ἔχειν.

ΠΟΛΥΜΗΣΤΩΡ.

κτενεῖ νιν ἡ τοῦδ' ἄλοχος, οἰκουρὸς πικρά.

ΕΚΑΒΗ.

μήπω μανείη Τυνδαρὶς τοσόνδε παῖς.

ΠΟΛΥΜΗΣΤΩΡ.

καὐτόν γε τοῦτον, πέλεκυν ἐξάρασ' ἄνω.

ΑΓΑΜΕΜΝΩΝ.

οὗτος σὺ, μαίνει, καὶ κακῶν ἐρᾷς τυχεῖν;

ΠΟΛΥΜΗΣΤΩΡ.

κτεῖν', ὡς ἐν Ἄργει φόνια λουτρά σ' ἀναμένει.

ΑΓΑΜΕΜΝΩΝ.

οὐχ ἕλξετ' αὐτὸν, δμῶες, ἐκποδὼν βίᾳ;

ΠΟΛΥΜΗΣΤΩΡ.

ἀλγεῖς ἀκούων;

ΑΓΑΜΕΜΝΩΝ.

οὐκ ἐφέξετε στόμα;

ΠΟΛΥΜΗΣΤΩΡ.

ἐγκλήετ'· εἴρηται γάρ.

ΑΓΑΜΕΜΝΩΝ.

οὐχ ὅσον τάχος
νήσων ἐρήμων αὐτὸν ἐκβαλεῖτέ ποι,
ἐπείπερ οὕτω καὶ λίαν θρασυστομεῖ;
Ἑκάβη, σὺ δ', ὦ τάλαινα, διπτύχους νεκροὺς
στείχουσα θάπτε· δεσποτῶν δ' ὑμᾶς χρεὼν
σκηναῖς πελάζειν, Τρῳάδες· καὶ γὰρ πνοὰς
πρὸς οἶκον ἤδη τάσδε πομπίμους ὁρῶ.
εὖ δ' ἐς πάτραν πλεύσαιμεν, εὖ δὲ τἀν δόμοις
ἔχοντ' ἴδοιμεν, τῶνδ' ἀφειμένοι πόνων.

ΧΟΡΟΣ.

ἴτε πρὸς λιμένας σκηνάς τε, φίλαι,
τῶν δεσποσύνων πειρασόμεναι
μόχθων· στερρὰ γὰρ ἀνάγκη.

# ΕΥΡΙΠΙΔΟΥ ΦΟΙΝΙΣΣΑΙ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΙΟΚΑΣΤΗ.*
*ΠΑΙΔΑΓΩΓΟΣ.*
*ΑΝΤΙΓΟΝΗ.*
*ΧΟΡΟΣ ΦΟΙΝΙΣΣΩΝ ΓΥΝΑΙΚΩΝ.*
*ΠΟΛΥΝΕΙΚΗΣ.*
*ΕΤΕΟΚΛΗΣ.*
*ΚΡΕΩΝ.*
*ΜΕΝΟΙΚΕΥΣ.*
*ΤΕΙΡΕΣΙΑΣ.*
*ΑΓΓΕΛΟΣ.*
*ΕΤΕΡΟΣ ΑΓΓΕΛΟΣ.*
*ΟΙΔΙΠΟΥΣ.*

## ΥΠΟΘΕΣΙΣ.

Ἐτεοκλῆς παραλαβὼν τὴν τῶν Θηβῶν βασιλείαν ἀποστερεῖ τοῦ μέρους τὸν ἀδελφὸν αὐτοῦ Πολυνε
φυγὰς δ' ἐκεῖνος εἰς Ἄργος παραγενόμενος ἔγημε τὴν θυγατέρα τοῦ βασιλέως Ἀδράστου. κατελθεῖν δὲ
τὴν πατρίδα φιλοτιμούμενος, καὶ πείσας τὸν πενθερὸν, συνήθροισεν ἀξιόχρεων στρατὸν κατὰ τοῦ ἀδελ
καὶ εἰς Θήβας ἐλήλυθεν. ἡ δὲ μήτηρ αὐτοῦ Ἰοκάστη ἔπεισεν αὐτὸν ὑπόσπονδον ἐλθεῖν εἰς τὴν πόλιν,
διαλεχθῆναι πρότερον τῷ ἀδελφῷ περὶ τῆς ἀρχῆς· δεινοπροσωπήσαντος δὲ ὑπὸ τῆς τυραννίδος τοῦ Ἐ
κλέους, ἡ μὲν Ἰοκάστη τὰ τέκνα εἰς φιλίαν συναγαγεῖν οὐκ ἠδύνατο· Πολυνείκης δὲ ὡς πρὸς πολ
παραταξάμενος ἀνεχώρησε τῆς πόλεως. ἔχρησε δὲ ὁ Τειρεσίας νικήσειν τοὺς ἐκ τῆς πόλεως, ἐὰν ὁ
Κρέοντος Μενοικεὺς σφάγιον Ἄρει γένηται. ὁ μὲν οὖν Κρέων ἠρνήσατο ἐπιδοῦναι τῇ πόλει τὸν παῖδα
δὲ νεανίσκος ἐβούλετο, καὶ τοῦ πατρὸς αὐτοῦ φυγὴν μετὰ χρημάτων διδόντος, ἑαυτὸν ἀπέσφαξε. Θη
δὲ τοὺς ἡγεμόνας τῶν Ἀργείων ἔσφαξαν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης μονομαχήσαντες ἀνεῖλον ἀλλή
ἡ μὲν οὖν μήτηρ αὐτῶν εὑροῦσα νεκροὺς τοὺς υἱοὺς κατέσφαξεν ἑαυτήν· ὁ δὲ ταύτης ἀδελφὸς Κρέων
ρέλαβε τὴν δυναστείαν. οἱ δὲ Ἀργεῖοι τῇ μάχῃ ἡττηθέντες ἀνεχώρησαν. Κρέων δὲ δυσχερῶς φέρων.
μὲν ὑπὸ τῇ Καδμείᾳ τῶν πολεμίων πεσόντας οὐκ ἔδωκεν εἰς ταφὴν, Πολυνείκην δὲ ἀκήδευτον ἐρ
Οἰδίπουν δὲ φυγάδα τῆς πατρίδος ἀπέπεμψεν, ἐφ' ὧν μὲν οὐ φυλάξας τὸν ἀνθρώπινον νόμον, ἐφ
δὲ τὴν ὀργὴν λογοποιήσας, οὐδὲ παρὰ τὴν δυστυχίαν ἐλεήσας.

## ΑΛΛΩΣ.

Ἁρπασθείσης Εὐρώπης ὑπὸ Διὸς γενομένου ταύρου, καὶ μετακομισθείσης ἀπὸ Φοινίκης διὰ θ
της εἰς Κρήτην, ὁ μὲν πατὴρ αὐτῆς Ἀγήνωρ ἔπεμψε τὸν υἱὸν Κάδμον ἐπὶ ζήτησιν τῆς κόρης, εἰπὼ
μὴ ταύτην εὑρὼν ἄξοι, μηδ' ἂν αὐτὸν ἐπανελθεῖν οἴκαδε. Κάδμος δὲ οὐκ ἔχων ὅ τι καὶ δράσειε,
ἔγνω τῆς ἀπορίας λύσιν καταφυγεῖν εἰς Ἀπόλλω κἀκ τούτου γνῶναι τί δεῖ ποιεῖν. ἐλθὼν οὖν εἰς Δελ
ἤρετο τοῦτον περὶ τῆς ἀδελφῆς· καὶ ὃς χρᾷ μὲν οὐδὲν αὐτῷ περὶ τῆς Εὐρώπης, λέγει δὲ ὡς ἐξελ

ἐκεῖθεν, ἀκολουθήσαντα βοΐ, οὗ ἂν αὕτη γε πέσῃ, κἀκεῖ κτίζειν πόλιν. ὁ δὲ πεισθεὶς τῷ χρησμῷ τὴν μὲν πρὸς τὴν πατρίδα ἐπάνοδον εἴασε, βοῦν δὲ κατὰ τύχην εὑρὼν ἡγεμόνα τῆς ὁδοῦ ἐποιήσατο. ἐλθούσης δὲ αὐτῆς ἐν ᾧ νῦν ἑστήκασι τόπῳ αἱ Θῆβαι, κἀκεῖ παραχρῆμα πεσούσης, ἔγνω τε οὗτος τὸν χρησμὸν τελεσφόρον, καὶ πόλιν ἑπτάπυλον κτίζει τὰς Θήβας ὁμωνύμους τῶν ἑκατονταπύλων Αἰγυπτίων Θηβῶν, χρησάμενος ἐπιστήμονι τῆς οἰκοδομῆς καὶ ἐργάτῃ Ἀμφίονι τῷ μουσικῷ· τοῦτον γάρ φασιν ἀνακρουόμενον μέλος θέλγειν τε τῷ μέλει τοὺς λίθους, καὶ ἀλλεπαλλήλως αὐτῶν τιθεμένων ἀποδεῖξαι τὰ τείχη· πύλας δὲ ἔχειν τὴν πόλιν ἑπτὰ, ἐπειδὴ καὶ οἱ τῆς λύρας τόνοι ἑπτά εἰσι. καὶ τὸ μὲν μυθῶδες τοιοῦτον· πέπλασται δὲ διὰ τὸ ἄκρως ἡρμόσθαι τὰ τείχη προσάλληλα. ἡ γὰρ ἁρμονία μουσικῆς ἴδιον.

Κάδμος οὖν γήμας τῆς Ἀφροδίτης καὶ Ἄρεως παῖδα Ἁρμονίαν ἐγέννησε Πολύδωρον, ὁ δὲ Λάβδακον, ὁ δὲ Λάϊον. οὗτος ἀφικόμενός ποτε εἰς Ἦλιν καὶ τὸν τοῦ Πέλοπος υἱὸν Χρύσιππον ἰδὼν, ὃς ἦν ἐξ ἄλλης αὐτῷ γυναικὸς καὶ οὐκ ἐκ τῆς θυγατρὸς Οἰνομάου Ἱπποδαμείας, καὶ ἁλοὺς τούτου κατάκρας τῷ ἔρωτι, ἁρπάσας εἰς Θήβας ἤνεγκε. καὶ συνῆν αὐτῷ τὰ ἐρωτικὰ πρῶτος ἐν ἀνθρώποις τὴν ἀρρενοφθορίαν εὑρὼν, καθὼς δὴ καὶ ὁ Ζεὺς ἐν θεοῖς τὸν Γανυμήδην ἁρπάσας. ὁ δὲ Πέλοψ μαθὼν τοῦτο κατηράσατο Λαΐῳ μηδέποτε μὲν παῖδα τεκεῖν, εἰ δ᾽ ἄρα καὶ συμβαίη, ὑπ᾽ αὐτοῦ τοῦτον ἀναιρεθήσεσθαι. διὰ ταῦτα πολὺν ἤδη χρόνον ὁ Λάϊος ἄπαις ὢν παραγίνεται εἰς Πυθίαν καὶ παίδων αἰτεῖ γονήν. καὶ ἀκούει τοιόνδε χρησμόν.

Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς.
τέξεις μὲν φίλον υἱὸν, ἀτὰρ τόδε σοι μόρος ἔσται,
παιδὸς ἑοῦ χείρεσσι λιπεῖν βίον· ὣς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
οὗ φίλον ἥρπασας υἱόν· ὁ δ᾽ ηὔξατό σοι τάδε πάντα.

Τούτων θεσπισμάτων τῇ τῆς γυναικὸς Ἰοκάστης ἐπιθυμίᾳ καὶ ἡδονῇ ὥσπερ ἐκλαθόμενος Λάϊος, ἢ ὥς τινές φασι μιᾷ τῶν ἡμερῶν βαρυνθεὶς τῷ οἴνῳ καὶ συνελθὼν τῇ αὐτοῦ γυναικὶ Οἰδίποδα σπείρει. καὶ μετὰ τὸ τεχθῆναι αὐτὸν ἀναπεμπάσας τοὺς χρησμοὺς καὶ φόβον λαβὼν, διατορήσας τοὺς πόδας αὐτοῦ καὶ χρυσοῦς κρίκους διαπερονησάμενος ῥίπτει διὰ τῶν οἰκείων βουκόλων εἰς τὸ ὄρος τὸν Κιθαιρῶνα, ὡς ὑπὸ θηρίων ἐνταῦθα ἀναιρεθησόμενον. ἔτυχε δὲ κατ᾽ ἐκεῖνο καιροῦ καὶ τοὺς Πολύβου νομέας βασιλέως Κορίνθου ἥκειν ἐκεῖ· οἳ καὶ τὸ βρέφος εὑρόντες καὶ ἀνελόμενοι φέρουσι πρὸς τὴν Πολύβου γυναῖκα Μερόπην. ἦν γὰρ ἀπαιδίᾳ δυστυχοῦσα· καί πως πείθει τὸν ἄνδρα Πόλυβον αὐτὴ τοῦτο τεκεῖν. ἀνδρωθεὶς δὲ ὁ παῖς ἐπί τινι τῶν ἐκεῖ συνελθὼν εἰς ἔριν, οἷα δὴ γίνεται, ὡς οὐκ εἴη Πολύβου παῖς ὄνειδος ἔσχε παρ᾽ αὐτοῦ. ὅθεν ἀναστὰς ἀφικνεῖται πρὸς τὸν Ἀπόλλω πευσόμενος περὶ τούτου. καὶ ὡς ἔσται φονεὺς τοῦ πατρὸς μανθάνει καὶ ὡς τῇ τεκούσῃ συνέσοιτο, ταυτὶ μόνα· τίνες δὲ εἶεν αὐτῷ οἱ γονεῖς σαφῶς οὐ μανθάνει. ἐπανιὼν δὲ ἐκεῖθεν ὑπήντησε Λαΐῳ, ἀφικνουμένῳ καὶ αὐτῷ πρὸς Ἀπόλλω, ἐφ᾽ ᾧ περὶ τοῦ ἐκτεθέντος παιδὸς γνῶναι, εἰ τέθνηκε. καὶ ὁ τοῦ Λαΐου θεράπων αὐτῷ κελεύει μικρὸν ὑποχωρῆσαι τῷ βασιλεῖ. Οἰδίπους δὲ ὑπεροψίᾳ κρατούμενος καὶ τοῦτο μηδὲν ἐνεγκὼν κτείνει τε τὸν θεράποντα καὶ σὺν αὐτῷ τὸν δεσπότην, οὐκ εἰδὼς ὡς πατροκτόνος γέγονεν, ἑνὸς μόνου τῶν συνεπομένων Λαΐῳ διαφυγόντος, ὃς δὴ καὶ τὸν φόνον ὕστερον διεσάφησεν, ὥς φησι Σοφοκλῆς ἐν Οἰδίποδι τυράννῳ. τότε οὖν Οἰδίπους τοὺς τοῦ Λαΐου ἵππους λαβὼν καὶ πάντα τὰ αὐτοῦ, καταλαμβάνει τὴν Κόρινθον, καὶ διδοὺς ταῦτα πάντα Πολύβῳ τροφὰς ἐκεῖθεν ἀναχωρεῖ, τὸν περὶ τῆς πατροκτονίας καὶ τῆς τῇ μητρὶ συνελεύσεως χρησμὸν δεδιώς· ᾤετο γὰρ γονέας αὐτοῦ τῷ ὄντι Πόλυβον καὶ τὴν ἐκείνου γυναῖκα εἶναι. καὶ ἀφικνεῖται πρὸς Θήβας, αἳ δὴ καὶ ὑπὸ τῆς Σφιγγὸς ἐχειμάζοντο τότε, χρησμούς τε ῥαψῳδούσης καὶ ὅντινα βούλοιτο τῶν πολιτῶν ἁρπαζούσης καὶ διαφθειρούσης, διὰ τὸ μὴ συνιέναι σφᾶς τῶν ὑπ᾽ αὐτῆς λεγομένων χρησμῶν. ἐπήγαγε δὲ ταύτην Ἄρης Θηβαίοις, ἀμυνόμενος αὐτοὺς διὰ τὸν τοῦ παιδὸς δράκοντος φόνον, ὃν ὁ Κάδμος ἀνεῖλε καὶ τοὺς ὀδόντας αὐτοῦ ἔσπειρεν, ἐξ ὧν ἀνεφάνησαν οἱ Γίγαντες. ἦν δὲ τέρας ἡ Σφὶγξ πρόσωπον μὲν ἔχουσα παρθένου, στῆθος δὲ καὶ χεῖρας καὶ πόδας καὶ ὄνυχας λέοντος, οὐραίαν δὲ δράκοντος, πτερὰ δὲ ὄρνιθος, δι᾽ ὧν ἵπτατο. ἔτυχε δὲ τοῦτο εἰποῦσα τοιοῦτό τι τοῖς Θηβαίοις τότε αἴνιγμα, ὡς Ἀσκληπιάδης ἀναγράφει,

ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία φωνὴ,
καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ᾽ ἐπὶ γαῖαν
ἑρπετὰ κινεῖται ἀνά τ᾽ αἰθέρα καὶ κατὰ πόντον.
ἀλλ᾽ ὁπόταν πλεόνεσσιν ἐρειδόμενον ποσὶ βαίνῃ,
ἔνθα μένος γυίοισιν ἀφαυρότερον πέλει αὐτοῦ·

οὗπερ ἀγνοουμένου ἐκήρυξε Κρέων ὁ ἀδελφὸς Ἰοκάστης τῆς βασιλίσσης, ὡς, ὅστις εὕροι τὸ αἴνιγμα, τούτῳ συνάψειν τὴν ἀδελφήν. Οἰδίπους δὲ, ὡς ἔφημεν, διάγων ἐκεῖ τότε, ἀκούσας τὰ κηρύγματα λύει τε τὸ αἴνιγμα τῆς Σφιγγὸς καὶ τὴν μητέρα οὐκ εἰδὼς εἰς γυναῖκα λαμβάνει. ἔλυσε δὲ οὕτως, ὥς φασι·

κλῦθι καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων,
φωνῆς ἡμετέρης, σὸν τέλος ἀμπλακίης.
ἄνθρωπον κατέλεξας, ὃς ἡνίκα γαῖαν ἐφέρπει,
πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων·
γηραλέος δὲ πέλων τρίτατον πόδα βάκτρον ἐρείδει,
αὐχένα φορτίζων, γήραϊ καμπτόμενος.

ἀκούσασα δὲ τὴν λύσιν ἡ Σφὶγξ ἑαυτὴν ἀναιρεῖ παραχρῆμα ῥίψασα τοῦ ἀέρος. Οἰδίπους δὲ συνὼν τ μητρὶ καὶ παῖδας ἐξ αὐτῆς φύσας τέσσαρας, ἄῤῥενας μὲν Ἐτεοκλέα καὶ Πολυνείκην, θηλείας δὲ Ἀντιγόν καὶ Ἰσμήνην, ὡς ἔγνω τὸ μίασμα ὕστερον, ἐτύφλωσεν ἑαυτόν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης, θέλοντές π ἀφανίσαι τὸ ὄνειδος, κατακλείουσιν αὐτὸν ἐν οἰκίσκῳ, ἵν' ὑπὸ μηδενὸς θεωρούμενος εἰς λήθην ἥξοι τὸ π ἐκείνου. καὶ ὃς τοῦτο ὑπεραλγήσας ἀρᾶται τούτοις τὴν βασιλείαν σιδήρῳ μερίσαι. οἱ δὲ τὰς τοῦ πατ ἀρὰς δεδιότες μηχανῶνται τοιόνδε· ἔχεσθαι τῆς ἀρχῆς ἕνα παρ' ἕνα καὶ ταύτης παραχωρεῖν θατέρῳ θάτερ ὁ τοίνυν Ἐτεοκλῆς ἅτε πρῶτος ὢν τῶν ἀδελφῶν καὶ πρῶτος τῆς ἀρχῆς ἥψατο, Πολυνείκης δὲ ὑπεχώρ καὶ τελεσθέντος ἐνιαυτοῦ ἀφίκετο πρὸς τὸν ἀδελφὸν, αἰτῶν καὶ αὐτὸς ἄρξειν ἐνιαυτόν. Ἐτεοκλῆς δὲ οὐ ἐξέστη τῆς ἀρχῆς καὶ ἄτιμον τὸν ἀδελφὸν ἀπέπεμψεν. ὃς καὶ πλανώμενες ἦλθεν εἰς Ἄργος, καὶ τὴν τ βασιλέως Ἀδράστου λαβὼν θυγατέρα πείθει τὸν κηδεστὴν συνάρασθαι τούτῳ πρὸς τὴν τῆς βασιλείας ἀνάλ ψιν. καὶ πλείστην ὅσην παραλαβὼν στρατιὰν ἐπιστρατεύει τῷ ἀδελφῷ. ὅπως δὲ ἡ μήτηρ ἐθέλουσα π τῆς συμπλοκῆς διαλλάξαι τοὺς παῖδας οὐδὲν ἴσχυσε, καὶ ὡς ἔχρησε Τειρεσίας, εἰ ὁ Κρέοντος υἱὸς Μενο κεὺς ἀνέλοι ἑαυτὸν ἐπὶ τὸν τοῦ δράκοντος φωλεὸν, κρατήσειν Ἀργείων Θηβαίους, καὶ ὡς γέγονε ταῦτ καὶ οἱ τῶν Ἀργείων ἡγεμόνες πεπτώκασι πάντες πλὴν Ἀδράστου, καὶ ὡς μονομαχήσαντες πρὸς ἀλλήλο Ἐτεοκλῆς καὶ Πολυνείκης ὑπ' ἀλλήλων ἑκάτεροι ἀνῃρέθησαν, καὶ ὡς ἐλθοῦσα πρὸς αὐτοὺς Ἰοκάστη κ τεθνηκότας εὑροῦσα συναπέσφαξεν ἑαυτὴν, καὶ ὡς Κρέων ἁψάμενος τῆς ἀρχῆς Ἐτεοκλῆν μὲν θάπτει, Π λυνείκην δὲ ἄταφον εἴασε, καὶ Οἰδίπουν τῆς πόλεως ἐξήλασε, πάντα ταῦτα Εὐριπίδης ἔνδον κατὰ λεπτ διηγεῖται. ἔστι δὲ τὸ παρὸν δρᾶμα τῶν ἄγαν ἐξαιρέτων, διανοίαις καὶ γνώμαις πολλαῖς καὶ καλαῖς κ ποικίλαις ἀνθοῦν καὶ μεταχειρίσει ἀρίστῃ, καὶ διὰ πάντων ἀκμάζον, εἰ καὶ ἀπίθανον ἔχει τὴν εἰς Θήβ Πολυνείκους εἴσοδον. ἐπιγέγραπται δὲ ἀπὸ τοῦ χοροῦ Εὐριπίδου Φοίνισσαι παρ' ἀντιδιαστολὴν τῶν ἑπ ἐπὶ Θήβας Αἰσχύλου. ταύτῃ γὰρ τῇ ὑποθέσει κἀκεῖνος χρῆται ἐν τῷ δευτέρῳ. αὐτὰς δὲ τὰς παρθέν ἐκ Φοινίκης Ἀγηνορίδαι θυσίαν τῷ Ἀπόλλωνι ἔπεμψαν, αἵτινες καὶ πρὸς Δελφοὺς ἐρχόμεναι παρέβαλ ταῖς Θήβαις διὰ τὸ καὶ τὸν Κάδμον, ὡς ἔφημεν, ἐκ Φοινίκης εἶναι. καὶ καταλαβόντος τοῦ πολέμου ἠνα κάσθησαν μένειν αὐτόθι, μέχρις ἂν ἡ μάχη λωφήσῃ.

# ΦΟΙΝΙΣΣΑΙ.

*ΙΟΚΑΣΤΗ.*

Ὦ τὴν ἐν ἄστροις οὐρανοῦ τέμνων ὁδὸν
καὶ χρυσοκολλήτοισιν ἐμβεβὼς δίφροις
Ἥλιε, θοαῖς ἵπποισιν εἱλίσσων φλόγα,
ὡς δυστυχῆ Θήβαισι τῇ τόθ' ἡμέρᾳ
ἀκτῖν' ἐφῆκας, Κάδμος ἡνίκ' ἦλθε γῆν
τήνδ', ἐκλιπὼν Φοίνισσαν ἐναλίαν χθόνα·
ὃς παῖδα γήμας Κύπριδος Ἁρμονίαν ποτὲ
Πολύδωρον ἐξέφυσε, τοῦ δὲ Λάβδακον
φῦναι λέγουσιν, ἐκ δὲ τοῦδε Λάϊον.
ἐγὼ δὲ παῖς μὲν κλῄζομαι Μενοικέως,
Κρέων τ' ἀδελφὸς μητρὸς ἐκ μιᾶς ἔφυ.
καλοῦσι δ' Ἰοκάστην με, τοῦτο γὰρ πατὴρ
ἔθετο, γαμεῖ δὲ Λάϊός μ'· ἐπεὶ δ' ἄπαις
ἦν, χρόνια λέκτρα τἄμ' ἔχων ἐν δώμασιν,
ἐλθὼν ἐρωτᾷ Φοῖβον, ἐξαιτεῖ θ' ἅμα
παίδων ἐς οἴκους ἀρσένων κοινωνίαν.
ὁ δ' εἶπεν, ὦ Θήβαισιν εὐίπποις ἄναξ,
μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ.
εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φύς,
καὶ πᾶς σὸς οἶκος βήσεται δι' αἵματος.
ὁ δ' ἡδονῇ δοὺς ἔς τε βακχεῖον πεσὼν
ἔσπειρεν ἡμῖν παῖδα, καὶ σπείρας βρέφος,
γνοὺς τἀμπλάκημα τοῦ θεοῦ τε τὴν φάτιν,
λειμῶν' ἐς Ἥρας καὶ Κιθαιρῶνος λέπας
δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος,
σφυρῶν σιδηρᾶ κέντρα διαπείρας μέσον,
ὅθεν νιν Ἑλλὰς ὠνόμαζεν Οἰδίπουν.
Πολύβου δέ νιν λαβόντες ἱπποβουκόλοι
φέρουσ' ἐς οἴκους ἔς τε δεσποίνης χέρας
ἔθηκαν. ἡ δὲ τὸν ἐμὸν ὠδίνων πόνον
μαστοῖς ὑφεῖτο καὶ πόσιν πείθει τεκεῖν.
ἤδη δὲ πυρσαῖς γένυσιν ἐξανδρούμενος
παῖς οὐμὸς ἢ γνοὺς ἤ τινος μαθὼν πάρα
ἔστειχε, τοὺς φύσαντας ἐκμαθεῖν θέλων,
πρὸς δῶμα Φοίβου, Λάϊός θ' οὑμὸς πόσις,
τὸν ἐκτεθέντα παῖδα μαστεύων μαθεῖν,
εἰ μηκέτ' εἴη. καὶ ξυνάπτετον πόδα
ἐς ταυτὸν ἄμφω Φωκίδος σχιστῆς ὁδοῦ.
καί νιν κελεύει Λαΐου τροχηλάτης,
ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο.
ὁ δ' εἷρπ' ἄναυδος, μέγα φρονῶν. πῶλοι δέ νιν
χηλαῖς τένοντας ἐξεφοίνισσον ποδῶν.
ὅθεν, τί τἀκτὸς τῶν κακῶν με δεῖ λέγειν;
παῖς πατέρα καίνει, καὶ λαβὼν ὀχήματα
Πολύβῳ τροφεῖ δίδωσιν. ὡς δ' ἐπεζάρει
Σφὶγξ ἁρπαγαῖσι πόλιν, ἐμός τ' οὐκ ἦν πόσις,
Κρέων ἀδελφὸς τἀμὰ κηρύσσει λέχη,
ὅστις σοφῆς αἴνιγμα παρθένου μάθοι,
τούτῳ ξυνάψειν λέκτρα. τυγχάνει δέ πως
αἴνιγμ' ἐμὸς παῖς Οἰδίπους Σφιγγὸς μαθὼν,
ὅθεν τύραννος τῆσδε γῆς καθίσταται,
καὶ σκῆπτρ' ἔπαθλα τῆσδε λαμβάνει χθονός.
γαμεῖ δὲ τὴν τεκοῦσαν οὐκ εἰδὼς τάλας,
οὐδ' ἡ τεκοῦσα παιδὶ συγκοιμωμένη.
τίκτω δὲ παῖδας παιδὶ δύο μὲν ἄρσενας,
Ἐτεοκλέα κλεινήν τε Πολυνείκους βίαν,
κόρας τε δισσάς· τὴν μὲν Ἰσμήνην πατὴρ
ὠνόμασε, τὴν δὲ πρόσθεν Ἀντιγόνην ἐγώ.
μαθὼν δὲ τἀμὰ λέκτρα μητρῴων γάμων
ὁ πάντ' ἀνατλὰς Οἰδίπους παθήματα
ἐς ὄμμαθ' αὑτοῦ δεινὸν ἐμβάλλει φόνον,
χρυσηλάτοις πόρπαισιν αἱμάξας κόρας.
ἐπεὶ δὲ τέκνων γένυς ἐμῶν σκιάζεται,
κλῄθροις ἔκρυψαν πατέρ', ἵν' ἀμνήμων τύχη
γένοιτο, πολλῶν δεομένη σοφισμάτων.
ζῶν δ' ἔστ' ἐν οἴκοις, πρὸς δὲ τῆς τύχης νοσῶν
ἀρὰς ἀρᾶται παισὶν ἀνοσιωτάτας,
θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τόδε.
τὼ δ' ἐς φόβον πεσόντε μὴ τελεσφόρους
εὐχὰς θεοὶ κραίνωσιν οἰκούντων ὁμοῦ,
ξυμβάντ' ἔταξαν τὸν νεώτερον πάρος
φεύγειν ἑκόντα τήνδε Πολυνείκη χθόνα,
Ἐτεοκλέα δὲ σκῆπτρ' ἔχειν μένοντα γῆς
ἐνιαυτὸν ἀλλάσσοντ'. ἐπεὶ δ' ἐπὶ ζυγοῖς
καθέζετ' ἀρχῆς, οὐ μεθίσταται θρόνων,
φυγάδα δ' ἀπωθεῖ τῆσδε Πολυνείκη χθονός.
ὁ δ' Ἄργος ἐλθὼν, κῆδος Ἀδράστου λαβὼν,
πολλὴν ἀθροίσας ἀσπίδ' Ἀργείων ἄγει·
ἐπ' αὐτὰ δ' ἐλθὼν ἑπτάπυλα τείχη τάδε,
πατρῷ' ἀπαιτεῖ σκῆπτρα καὶ μέρη χθονός.
ἐγὼ δ' ἔριν λύουσ' ὑπόσπονδον μολεῖν
ἔπεισα παιδὶ παῖδα, πρὶν ψαῦσαι δορός.
ἥξειν δ' ὁ πεμφθείς φησιν αὐτὸν ἄγγελος.
ἀλλ' ὦ φαεννὰς οὐρανοῦ ναίων πτύχας
Ζεῦ, σῶσον ἡμᾶς, δὸς δὲ σύμβασιν τέκνοις.
χρὴ δ', εἰ σοφὸς πέφυκας, οὐκ ἐᾶν βροτῶν
τὸν αὐτὸν ἀεὶ δυστυχῆ καθεστάναι.

*ΠΑΙΔΑΓΩΓΟΣ.*

ὦ κλεινὸν οἴκοις Ἀντιγόνη θάλος πατρὶ,
ἐπεί σε μήτηρ παρθενῶνας ἐκλιπεῖν
μεθῆκε μελάθρων ἐς διῆρες ἔσχατον,
στράτευμ' ἰδεῖν Ἀργεῖον, ἱκεσίαισι σαῖς,
ἐπίσχες, ὡς ἂν προὐξερευνήσω στίβον,
μή τις πολιτῶν ἐν τρίβῳ φαντάζεται,
κἀμοὶ μὲν ἔλθῃ φαῦλος, ὡς δούλῳ, ψόγος,
σοὶ δ' ὡς ἀνάσσῃ· πάντα δ' ἐξειδὼς φράσω,
ἅ τ' εἶδον εἰσήκουσά τ' Ἀργείων πάρα,
σπονδὰς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων
ἐνθένδ' ἐκεῖσε δεῦρό τ' αὖ κείνου πάρα.
ἀλλ' οὔτις ἀστῶν τοῖσδε χρίμπτεται δόμοις,
κέδρου παλαιὰν κλίμακ' ἐκπέρα ποδί·

σκόπει δὲ πεδία καὶ παρ' Ἰσμηνοῦ ῥοὰς
Δίρκης τε νᾶμα, πολεμίων στράτευμ' ὅσον.

ΑΝΤΙΓΟΝΗ.

ὄρεγέ νυν ὄρεγε γεραιὰν νέᾳ
χεῖρ' ἀπὸ κλιμάκων, ποδὸς ἴχνος ἐπαντέλλων.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἰδοὺ, ξύναψον, παρθέν'· ἐς καιρὸν δ' ἔβης·
κινούμενον γὰρ τυγχάνει Πελασγικὸν
στράτευμα, χωρίζουσι δ' ἀλλήλων λόχους.

ΑΝΤΙΓΟΝΗ.

ἰὼ πότνια παῖ Λατοῦς
Ἑκάτα, κατάχαλκον ἅπαν
πεδίον ἀστράπτει.

ΠΑΙΔΑΓΩΓΟΣ.

οὐ γάρ τι φαύλως ἦλθε Πολυνείκης χθόνα,
πολλοῖς μὲν ἵπποις, μυρίοις δ' ὅπλοις βρέμων.

ΑΝΤΙΓΟΝΗ.

ἆρα πύλαι κλῄθροις χαλκόδετ' ἔμβολά τε
λαϊνέοισιν Ἀμφίονος ὀργάνοις
τείχεος ηρμοσται;

ΠΑΙΔΑΓΩΓΟΣ.

θάρσει· τά γ' ἔνδον ἀσφαλῶς ἔχει πόλις.
ἀλλ' εἰσόρα τὸν πρῶτον, εἰ βούλει μαθεῖν.

ΑΝΤΙΓΟΝΗ.

τίς οὗτος ὁ λευκολόφας,
πρόπαρ ὃς ἀγεῖται στρατοῦ
πάγχαλκον ἀσπίδ' ἀμφὶ βραχίονα κουφίζων;

ΠΑΙΔΑΓΩΓΟΣ.

λοχαγὸς, ὦ δέσποινα.

ΑΝΤΙΓΟΝΗ.

τίς, πόθεν γεγὼς,
αὔδησον, ὦ γεραιὲ, τίς ὀνομάζεται.

ΠΑΙΔΑΓΩΓΟΣ.

οὗτος Μυκηναῖος μὲν αὐδᾶται γένος,
Λερναῖα δ' οἰκεῖ νάμαθ', Ἱππομέδων ἄναξ.

ΑΝΤΙΓΟΝΗ.

ἒ ἒ, ὡς γαῦρος, ὡς φοβερὸς εἰσιδεῖν,
γίγαντι γηγενέτᾳ προσόμοιος,
ἀστερωπὸς ἐν γραφαῖσιν, οὐχὶ πρόσφορος
ἁμερίῳ γέννᾳ.

ΠΑΙΔΑΓΩΓΟΣ.

τόνδ' ἐξαμείβοντ' οὐχ ὁρᾷς Δίρκης ὕδωρ
λοχαγόν;

ΑΝΤΙΓΟΝΗ.

ἄλλος ἄλλος ὅδε τευχέων τρόπος.
τίς δ' ἐστὶν οὗτος;

ΠΑΙΔΑΓΩΓΟΣ.

παῖς μὲν Οἰνέως ἔφυ
Τυδεὺς, Ἄρη δ' Αἰτωλὸν ἐν στέρνοις ἔχει.

ΑΝΤΙΓΟΝΗ.

οὗτος ὁ τᾶς Πολυνείκεος, ὦ γέρον,
αὐτοκασιγνήτας νύμφας
ὁμόγαμος κυρεῖ;
ὡς ἀλλόχρως ὅπλοισι, μιξοβάρβαρος.

ΠΑΙΔΑΓΩΓΟΣ.

σακεσφόροι γὰρ πάντες Αἰτωλοὶ, τέκνον,
λόγχαις τ' ἀκοντιστῆρες εὐστοχώτατοι.

ΑΝΤΙΓΟΝΗ.

σὺ δ', ὦ γέρον, πῶς αἰσθάνει σαφῶς τάδε;

ΠΑΙΔΑΓΩΓΟΣ.

σημεῖ' ἰδὼν τότ' ἀσπίδων ἐγνώρισα,
σπονδὰς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων·
ἃ προσδεδορκὼς οἶδα τοὺς ὡπλισμένους.

ΑΝΤΙΓΟΝΗ.

τίς δ' οὗτος ἀμφὶ μνῆμα τὸ Ζήθου περᾷ
καταβόστρυχος, ὄμμασι γοργὸς, εἰσ-
ιδεῖν νεανίας;
λοχαγὸς, ὡς ὄχλος νιν ὑστέρῳ ποδὶ
πάνοπλος ἀμφέπει.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὅδ' ἐστὶ Παρθενοπαῖος, Ἀταλάντης γόνος.

ΑΝΤΙΓΟΝΗ.

ἀλλά νιν ἁ κατ' ὄρη μετὰ ματέρος
Ἄρτεμις ἱεμένα τόξοις δαμάσασ' ὀλέσειεν
ὃς ἐπ' ἐμὰν πόλιν ἔβα πέρσων.

ΠΑΙΔΑΓΩΓΟΣ.

εἴη τάδ', ὦ παῖ· σὺν δίκῃ δ' ἥκουσι γῆν·
ὃ καὶ δέδοικα μὴ σκοπῶσ' ὀρθῶς θεοί.

ΑΝΤΙΓΟΝΗ.

ποῦ δ' ὃς ἐμοὶ μιᾶς ἐγένετ' ἐκ ματρὸς
πολυπόνῳ μοίρᾳ;
ὦ φίλτατ', εἰπὲ, ποῦ 'στι Πολυνείκης, γέρον.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἐκεῖνος ἑπτὰ παρθένων τάφου πέλας
Νιόβης Ἀδράστῳ πλησίον παραστατεῖ.
ὁρᾷς;

ΑΝΤΙΓΟΝΗ.

ὁρῶ δῆτ' οὐ σαφῶς, ὁρῶ δέ πως
μορφῆς τύπωμα στέρνα τ' ἐξῃκασμένα.
ἀνεμώκεος εἴθε δρόμον νεφέλας
ποσὶν ἐξανύσαιμι δι' αἰθέρος
πρὸς ἐμὸν ὁμογενέτορα, περὶ δ' ὠλένας
δέρᾳ φιλτάτᾳ βάλοιμι χρόνῳ
φυγάδα μέλεον. ὡς
ὅπλοισι χρυσέοισιν ἐκπρεπὴς, γέρον,
ἑῴοις ὅμοια φλεγέθων βολαῖς ἁλίου.

ΠΑΙΔΑΓΩΓΟΣ.

ἥξει δόμους τούσδ', ὥστε σ' ἐμπλῆσαι χαρᾶς
ἔνσπονδος.

ΑΝΤΙΓΟΝΗ.

οὗτος δ', ὦ γεραιὲ, τίς κυρεῖ,
ὃς ἅρμα λευκὸν ἡνιοστροφεῖ βεβώς;

ΠΑΙΔΑΓΩΓΟΣ.

ὁ μάντις Ἀμφιάραος, ὦ δέσποιν', ὅδε·
σφάγια δ' ἅμ' αὐτῷ, γῆς φιλαιμάτου χοαί.

ΑΝΤΙΓΟΝΗ.

ὦ λιπαροζώνου θύγατερ Ἀλίου
Σεληναία, χρυσεόκυκλον φέγγος,
ὡς ἀτρεμαῖα κέντρα καὶ σώφρονα
πώλοις μεταφέρων ἰθύνει.
ποῦ δ' ὃς τὰ δεινὰ τῇδ' ἐφυβρίζει πόλει
Καπανεύς;

ΠΑΙΔΑΓΩΓΟΣ.

ἐκεῖνος προσβάσεις τεκμαίρεται
πύργων, ἄνω τε καὶ κάτω τείχη μετρῶν.

ΑΝΤΙΓΟΝΗ.

ἰὼ,
Νέμεσι καὶ Διὸς βαρύβρομοι βρονταὶ,
κεραύνιόν τε πῦρ αἰθαλόεν, σύ τοι

μεγαληγορίαν ὑπεράνορα κοιμίζοις·
ὅδ' ἐστὶν, αἰχμαλωτίδας
ὃς δορὶ Θηβαίας Μυκήναισι
Λερναίᾳ τε δώσει τριαίνᾳ,
Ποσειδωνίοις Ἀμυμωνίοις
ὕδασι, δουλείαν περιβαλών;
μήποτε μήποτε τάνδ', ὦ πότνια,
χρυσεοβόστρυχον ὦ Διὸς ἔρνος Ἄρτεμι,
δουλοσύναν τλαίην.

ΠΑΙΔΑΓΩΓΟΣ.

ὦ τέκνον, εἴσβα δῶμα, καὶ κατὰ στέγας
ἐν παρθενῶσι μίμνε σοῖς, ἐπεὶ πόθου
ἐς τέρψιν ἦλθες ὧν ἔχρῃζες εἰσιδεῖν.
ὄχλος γὰρ, ὡς ταραγμὸς εἰσῆλθεν πόλιν,
χωρεῖ γυναικῶν πρὸς δόμους τυραννικούς.
φιλόψογον δὲ χρῆμα θηλειῶν ἔφυ,
σμικράς τ' ἀφορμὰς ἢν λάβωσι τῶν λόγων,
πλείους ἐπεισφέρουσιν· ἡδονὴ δέ τις
γυναιξὶ μηδὲν ὑγιὲς ἀλλήλας λέγειν.

ΧΟΡΟΣ.

Τύριον οἶδμα λιποῦσ' ἔβαν
ἀκροθίνια Λοξίᾳ
Φοινίσσας ἀπὸ νάσου
Φοίβῳ δούλα μελάθρων,
ἵν' ὑπὸ δειράσι νιφοβόλοις
Παρνασοῦ κατενάσθη,
Ἰόνιον κατὰ πόντον ἐλά-
τᾳ πλεύσασα περιρρύτων
ὑπὲρ ἀκαρπίστων πεδίων
Σικελίας Ζεφύρου πνοαῖς
ἱππεύσαντος, ἐν οὐρανῷ
κάλλιστον κελάδημα,
πόλεος ἐκπροκριθεῖσ' ἐμᾶς
καλλιστεύματα Λοξίᾳ·
Καδμείων δ' ἔμολον γᾶν,
κλεινῶν Ἀγηνοριδᾶν,
ὁμογενεῖς ἐπὶ Λαΐου
πεμφθεῖσ' ἐνθάδε πύργους.
ἴσα δ' ἀγάλμασι χρυσοτεύ-
κτοις Φοίβῳ λάτρις γενόμαν.
ἔτι δὲ Κασταλίας ὕδωρ
ἐπιμένει με κόμας ἐμὰς
δεῦσαι, παρθένιον χλιδὰν,
Φοιβείαισι λατρείαις.
ὦ λάμπουσα πέτρα πυρὸς
δικόρυφον σέλας ὑπὲρ ἄκρων
Βακχείων, Διονύσου
οἶνα θ', ἃ καθαμέριον
στάζεις τὸν πολύκαρπον
οἰνάνθας ἱεῖσα βότρυν,
ζάθεά τ' ἄντρα δράκοντος, οὔ-
ρειαί τε σκοπιαὶ θεῶν,
νιφόβολόν τ' ὄρος ἱερὸν, εἱ-
λίσσων ἀθανάτας θεοῦ
χορὸς γενοίμαν ἄφοβος
παρὰ μεσόμφαλα γύαλα Φοί-
βου Δίρκαν προλιποῦσα.
νῦν δέ μοι πρὸ τειχέων
θούριος μολὼν Ἄρης
αἷμα δάϊον φλέγει
τᾷδ', ὃ μὴ τύχοι, πόλει·
κοινὰ γὰρ φίλων ἄχη·
κοινὰ δ', εἴ τι πείσεται
ἑπτάπυργος ἅδε γᾶ,
Φοινίσσᾳ χώρᾳ. φεῦ φεῦ.
κοινὸν αἷμα, κοινὰ τέκεα
τᾶς κερασφόρου πέφυκεν Ἰοῦς·
ὧν μέτεστί μοι πόνων.
ἀμφὶ δὲ πτόλιν νέφος
ἀσπίδων πυκνὸν φλέγει
σχῆμα φοινίου μάχης,
ἂν Ἄρης τάχ' εἴσεται,
παισὶν Οἰδίπου φέρων
πημονὰν Ἐρινύων.
Ἄργος ὦ Πελασγικὸν,
δειμαίνω τὰν σὰν ἀλκὰν
καὶ τὸ θεόθεν· οὐ γὰρ ἄδικον
εἰς ἀγῶνα τόνδ' ἔνοπλος ὁρμᾷ,
ὃς μετέρχεται δόμους.

202—213. = 214—225.
239—249. = 250—260.

ΠΟΛΥΝΕΙΚΗΣ.

τὰ μὲν πυλωρῶν κλῇθρά μ' εἰσεδέξατο
δι' εὐπετείας, τειχέων ἔσω μολεῖν.
ὃ καὶ δέδοικα μή με δικτύων ἔσω
λαβόντες οὐκ ἐκφρῶσ' ἀναίμακτον χρόα.
ὧν οὕνεκ' ὄμμα πανταχῇ διοιστέον,
κἀκεῖσε καὶ τὸ δεῦρο, μὴ δόλος τις ᾖ.
ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ
τὰ πίστ' ἐμαυτῷ τοῦ θράσους παρέξομαι.
ὠὴ τίς οὗτος; ἢ κτύπον φοβούμεθα;
ἅπαντα γὰρ τολμῶσι δεινὰ φαίνεται,
ὅταν δι' ἐχθρᾶς ποὺς ἀμείβηται χθονός.
πέποιθα μέντοι μητρὶ κοὐ πέποιθ' ἅμα,
ἥτις μ' ἔπεισε δεῦρ' ὑπόσπονδον μολεῖν.
ἀλλ' ἐγγὺς ἀλκή· βώμιοι γὰρ ἐσχάραι
πέλας πάρεισι, κοὐκ ἔρημα δώματα.
φέρ' ἐς σκοτεινὰς περιβολὰς μεθῶ ξίφος,
καὶ τάσδ' ἔρωμαι, τίνες ἐφεστᾶσιν δόμοις.
ξέναι γυναῖκες, εἴπατ' ἐκ ποίας πάτρας
Ἑλληνικοῖσι δώμασιν πελάζετε.

ΧΟΡΟΣ.

Φοίνισσα μὲν γῆ πατρὶς ἡ θρέψασά με,
Ἀγήνορος δὲ παῖδες ἐκ παίδων δορὸς
Φοίβῳ μ' ἔπεμψαν ἐνθάδ' ἀκροθίνιον.
μέλλων δὲ πέμπειν μ' Οἰδίπου κλεινὸς γόνος
μαντεῖα σεμνὰ Λοξίου τ' ἐπ' ἐσχάρας,
ἐν τῷδ' ἐπεστράτευσαν Ἀργεῖοι πόλιν.
σὺ δ' ἀντάμειψαί μ', ὅστις ὢν ἐλήλυθας
ἑπτάστομον πύργωμα Θηβαίας χθονός.

ΠΟΛΥΝΕΙΚΗΣ.

πατὴρ μὲν ἡμῖν Οἰδίπους ὁ Λαΐου,
ἔτικτε δ' Ἰοκάστη με, παῖς Μενοικέως·
καλεῖ δὲ Πολυνείκη με Θηβαῖος λεώς.

ΧΟΡΟΣ.

ὦ ξυγγένεια τῶν Ἀγήνορος τέκνων,
ἐμῶν τυράννων, ὧν ἀπεστάλην ὕπο,
γονυπετεῖς ἕδρας προσπίτνω σ',
ἄναξ, τὸν οἴκοθεν νόμον σέβουσα.
ἔβας ὦ χρόνῳ γαῖαν πατρῴαν.

ἰὼ πότνια, μόλε πρόδρομος,
ἀμπέτασον πύλας.
κλύεις, ὦ τεκοῦσα τόνδε μᾶτερ,
τί μέλλεις ὑπώροφα μέλαθρα περᾶν,
θιγεῖν τ' ὠλέναις τέκνου;

ΙΟΚΑΣΤΗ.

Φοίνισσαν, ὦ νεάνιδες,
βοὰν ἔσω δόμων κλύουσα τῶνδε
γήρᾳ τρομερὰν ἕλκω ποδὸς βάσιν.
ἰὼ τέκνον,
χρόνῳ σὸν ὄμμα μυρίαις ἐν ἁμέραις
προσεῖδον· ἀμφίβαλλε μα-
στὸν ὠλέναισι ματέρος,
παρηΐδων τ' ὄρεγμα βο-
στρύχων τε κυανόχρωτα χαί-
τας πλόκαμον, σκιάζων δέραν ἐμάν.
ἰὼ ἰὼ, μόλις φανεὶς
ἄελπτα κἀδόκητα ματρὸς ὠλέναις.
τί φῶ σε; πῶς ἅπαντα
καὶ χερσὶ καὶ λόγοισι
πολυέλικτον ἁδονὰν
ἐκεῖσε καὶ τὸ δεῦρο περι-
χορεύουσα τέρψιν παλαιᾶν λάβω χαρμονᾶν;
ἰὼ τέκος ἐμὸν τέκος,
ἔρημον πατρῷον ἔλιπες δόμον
φυγὰς ἀποσταλεὶς ὁμαίμου λώβᾳ,
ἦ ποθεινὸς φίλοις,
ἦ ποθεινὸς Θήβαις.
ὅθεν ἐμάν γε λευκόχροα κείρομαι
δακρυόεσσ' ἀνεῖσα πενθήρη κόμαν,
ἄπεπλος φαρέων λευκῶν, τέκνον,
δυσόρφναια δ' ἀμφὶ τρύχη τάδε
σκότι' ἀμείβομαι.
ὁ δ' ἐν δόμοισι πρέσβυς ὀμματοστερὴς
ἀπήνας ὁμοπτέρου, τᾶς ἀποζυγείσας δόμων,
πόθον ἀμφιδάκρυτον ἀεὶ κατέχων
ἀνῇξε μὲν ξίφους
ἐπ' αὐτόχειρά τε σφαγὰν,
ὑπὲρ τέρεμνά τ' ἀγχόνας
στενάζων ἀρὰς τέκνοις.
σὺν ἀλαλαῖσι δ' αἰὲν αἰαγμάτων σκότια κρύ-
πτεται.
σὲ δ', ὦ τέκνον, καὶ γάμοισι δὴ κλύω
ζυγέντα παιδοποιὸν ἁδονὰν
ξένοισιν ἐν δόμοις ἔχειν,
ξένον τε κῆδος ἀμφέπειν,
ἄλαστα ματρὶ τᾷδε Λα-
ΐῳ τε τῷ παλαιγενεῖ,
γάμων ἐπακτὸν ἄταν.
ἐγὼ δ' οὔτε σοι πυρὸς ἀνῆψα φῶς
νόμιμον ἐν γάμοις,
ὡς πρέπει ματέρι μακαρίᾳ·
ἀνυμέναια δ' Ἰσμηνὸς ἐκηδεύθη
λουτροφόρου χλιδᾶς· ἀνὰ δὲ Θηβαίαν
πόλιν ἐσιγάθη σᾶς ἔσοδος νύμφας.
ὄλοιτο τάδ', εἴτε σίδαρος
εἴτ' ἔρις εἴτε πατὴρ ὁ σὸς αἴτιος,
εἴτε τὸ δαιμόνιον κατεκώμασε
δώμασιν Οἰδιπόδα·
πρὸς ἐμὲ γὰρ κακῶν ἔμολε τῶνδ' ἄχη.

ΧΟΡΟΣ.

δεινὸν γυναιξὶν αἱ δι' ὠδίνων γοναὶ,
καὶ φιλότεκνόν πως πᾶν γυναικεῖον γένος.

ΠΟΛΥΝΕΙΚΗΣ.

μῆτερ, φρονῶν εὖ κοὐ φρονῶν ἀφικόμην
ἐχθροὺς ἐς ἄνδρας· ἀλλ' ἀναγκαίως ἔχει
πατρίδος ἐρᾶν ἅπαντας· ὃς δ' ἄλλως λέγει,
λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει.
οὕτω δὲ τάρβος ἐς φόβον τ' ἀφικόμην,
μή τις δόλος με πρὸς κασιγνήτου κτάνῃ,
ὥστε ξιφήρη χεῖρ' ἔχων δι' ἄστεως
κυκλῶν πρόσωπον ἦλθον. ἓν δέ μ' ὠφελεῖ,
σπονδαί τε καὶ σὴ πίστις, ἥ μ' εἰσήγαγε
τείχη πατρῷα· πολύδακρυς δ' ἀφικόμην,
χρόνιος ἰδὼν μέλαθρα καὶ βωμοὺς θεῶν
γυμνάσιά θ', οἷσιν ἐνετράφην, Δίρκης θ' ὕδωρ·
ὧν οὐ δικαίως ἀπελαθεὶς ξένην πόλιν
ναίω, δι' ὄσσων νᾶμ' ἔχων δακρυρροοῦν.
ἀλλ' ἐκ γὰρ ἄλγους ἄλγος αὖ σὲ δέρκομαι
κάρα ξυρηκὲς καὶ πέπλους μελαγχίμους
ἔχουσαν, οἴμοι τῶν ἐμῶν ἐγὼ κακῶν.
ὡς δεινὸν ἔχθρα, μῆτερ, οἰκείων φίλων
καὶ δυσλύτους ἔχουσα τὰς διαλλαγάς.
τί γὰρ πατήρ μοι πρέσβυς ἐν δόμοισι δρᾷ,
σκότον δεδορκώς; τί δὲ κασίγνηται δύο;
ἦ που στένουσι τλήμονας φυγὰς ἐμάς.

ΙΟΚΑΣΤΗ.

κακῶς θεῶν τις Οἰδίπου φθείρει γένος.
οὕτω γὰρ ἦρξατ', ἄνομα μὲν τεκεῖν ἐμὲ,
κακῶς δὲ γῆμαι πατέρα σὸν, φῦναί τε σέ.
ἀτὰρ τί ταῦτα; δεῖ φέρειν τὰ τῶν θεῶν.
ὅπως δ' ἔρωμαι, μή τι σὴν δάκω φρένα,
δέδοιχ', ἃ χρῄζω. διὰ πόθου δ' ἐλήλυθα.

ΠΟΛΥΝΕΙΚΗΣ.

ἀλλ' ἐξερώτα, μηδὲν ἐνδεὲς λίπῃς·
ἃ γὰρ σὺ βούλει, ταῦτ' ἐμοὶ, μῆτερ, φίλα.

ΙΟΚΑΣΤΗ.

καὶ δή σ' ἐρωτῶ πρῶτον ὧν χρῄζω τυχεῖν.
τί τὸ στέρεσθαι πατρίδος; ἦ κακὸν μέγα;

ΠΟΛΥΝΕΙΚΗΣ.

μέγιστον· ἔργῳ δ' ἐστὶ μεῖζον ἢ λόγῳ.

ΙΟΚΑΣΤΗ.

τίς ὁ τρόπος αὐτοῦ; τί φυγάσιν τὸ δυσχερές;

ΠΟΛΥΝΕΙΚΗΣ.

ἓν μὲν μέγιστον, οὐκ ἔχει παρρησίαν.

ΙΟΚΑΣΤΗ.

δούλου τόδ' εἶπας, μὴ λέγειν ἅ τις φρονεῖ.

ΠΟΛΥΝΕΙΚΗΣ.

τὰς τῶν κρατούντων ἀμαθίας φέρειν χρεών.

ΙΟΚΑΣΤΗ.

καὶ τοῦτο λυπρὸν, ξυνασοφεῖν τοῖς μὴ σοφοῖς.

ΠΟΛΥΝΕΙΚΗΣ.

ἀλλ' ἐς τὸ κέρδος παρὰ φύσιν δουλευτέον.

ΙΟΚΑΣΤΗ.

αἱ δ' ἐλπίδες βόσκουσι φυγάδας, ὡς λόγος.

ΠΟΛΥΝΕΙΚΗΣ.

καλοῖς βλέπουσί γ' ὄμμασιν, μέλλουσι δέ.

ΙΟΚΑΣΤΗ.

οὐδ' ὁ χρόνος αὐτὰς διεσάφησ' οὔσας κενάς;

ΠΟΛΥΝΕΙΚΗΣ.
ἔχουσιν Ἀφροδίτην τιν' ἡδεῖαν κακῶν.
ΙΟΚΑΣΤΗ.
πόθεν δ' ἐβόσκου, πρὶν γάμοις εὑρεῖν βίον;
ΠΟΛΥΝΕΙΚΗΣ.
ποτὲ μὲν ἐπ' ἦμαρ εἶχον, εἶτ' οὐκ εἶχον ἄν.
ΙΟΚΑΣΤΗ.
φίλοι δὲ πατρὸς καὶ ξένοι σ' οὐκ ὠφέλουν;
ΠΟΛΥΝΕΙΚΗΣ.
εὖ πρᾶσσε· τὰ φίλων δ' οὐδὲν, ἤν τις δυστυχῇ.
ΙΟΚΑΣΤΗ.
οὐδ' ηὑγένειά σ' ἦρεν εἰς ὕψος μέγα;
ΠΟΛΥΝΕΙΚΗΣ.
κακὸν τὸ μὴ 'χειν· τὸ γένος οὐκ ἔβοσκέ με.
ΙΟΚΑΣΤΗ.
ἡ πατρὶς, ὡς ἔοικε, φίλτατον βροτοῖς.
ΠΟΛΥΝΕΙΚΗΣ.
οὐδ' ὀνομάσαι δύναιτ' ἂν ὡς ἐστὶν φίλον.
ΙΟΚΑΣΤΗ.
πῶς δ' ἦλθες Ἄργος; τίν' ἐπίνοιαν ἔσχεθες;
ΠΟΛΥΝΕΙΚΗΣ.
ἔχρησ' Ἀδράστῳ Λοξίας χρησμόν τινα.
ΙΟΚΑΣΤΗ.
ποῖον; τί τοῦτ' ἔλεξας; οὐκ ἔχω μαθεῖν.
ΠΟΛΥΝΕΙΚΗΣ.
κάπρῳ λέοντί θ' ἁρμόσαι παίδων γάμους.
ΙΟΚΑΣΤΗ.
καὶ σοὶ τί θηρῶν ὀνόματος μετῆν, τέκνον;
ΠΟΛΥΝΕΙΚΗΣ.
οὐκ οἶδ'· ὁ δαίμων μ' ἐκάλεσεν πρὸς τὴν τύχην.
ΙΟΚΑΣΤΗ.
σοφὸς γὰρ ὁ θεός· τίνι τρόπῳ δ' ἔσχες λέχος;
ΠΟΛΥΝΕΙΚΗΣ.
νὺξ ἦν, Ἀδράστου δ' ἦλθον ἐς παραστάδας.
ΙΟΚΑΣΤΗ.
κοίτας ματεύων, ἢ φυγὰς πλανώμενος;
ΠΟΛΥΝΕΙΚΗΣ.
ἦν ταῦτα· κἆτά γ' ἦλθεν ἄλλος αὖ φυγάς.
ΙΟΚΑΣΤΗ.
τίς οὗτος; ὡς ἄρ' ἄθλιος κἀκεῖνος ἦν.
ΠΟΛΥΝΕΙΚΗΣ.
Τυδεὺς, ὃν Οἰνέως φασὶν ἐκφῦναι πατρός.
ΙΟΚΑΣΤΗ.
τί θηρσὶν ὑμᾶς δῆτ' Ἄδραστος ἤκασεν;
ΠΟΛΥΝΕΙΚΗΣ.
στρωμνῆς ἐς ἀλκὴν οὕνεκ' ἤλθομεν πέρι.
ΙΟΚΑΣΤΗ.
ἐνταῦθα Ταλαοῦ παῖς ξυνῆκε θέσφατα;
ΠΟΛΥΝΕΙΚΗΣ.
κἄδωκεν ἡμῖν δύο δυοῖν νεάνιδας.
ΙΟΚΑΣΤΗ.
ἆρ' εὐτυχεῖς οὖν σοῖς γάμοις, ἢ δυστυχεῖς;
ΠΟΛΥΝΕΙΚΗΣ.
οὐ μεμπτὸς ἡμῖν ὁ γάμος ἐς τόδ' ἡμέρας.
ΙΟΚΑΣΤΗ.
πῶς δ' ἐξέπεισας δεῦρό σοι σπέσθαι στρατόν;
ΠΟΛΥΝΕΙΚΗΣ.
δισσοῖς Ἄδραστος ὤμοσεν γαμβροῖς τάδε,
ἄμφω κατάξειν ἐς πάτραν, πρόσθεν δ' ἐμέ.
πολλοὶ δὲ Δαναῶν καὶ Μυκηναίων ἄκροι
πάρεισι, λυπρὰν χάριν, ἀναγκαίαν δ', ἐμοὶ
διδόντες· ἐπὶ γὰρ τὴν ἐμὴν στρατεύομαι
πόλιν. θεοὺς δ' ἐπώμοσ' ὡς ἀκουσίως
τοῖς φιλτάτοις τοκεῦσιν ἠράμην δόρυ.
ἀλλ' ἐς σὲ τείνει τῶνδε διάλυσις κακῶν,
μῆτερ, διαλλάξασαν ὁμογενεῖς φίλους
παῦσαι πόνων με καὶ σὲ καὶ πᾶσαν πόλιν.
πάλαι μὲν οὖν ὑμνηθὲν, ἀλλ' ὅμως ἐρῶ·
τὰ χρήματ' ἀνθρώποισι τιμιώτατα,
δύναμίν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχει.
ἁγὼ μεθήκω, δεῦρο μυρίαν ἄγων
λόγχην· πένης γὰρ οὐδὲν εὐγενὴς ἀνήρ.
ΧΟΡΟΣ.
καὶ μὴν Ἐτεοκλῆς ἐς διαλλαγὰς ὅδε
χωρεῖ· σὸν ἔργον, μῆτερ Ἰοκάστη, λέγειν
τοιούσδε μύθους οἷς διαλλάξεις τέκνα.
ΕΤΕΟΚΛΗΣ.
μῆτερ, πάρειμι· τὴν χάριν δὲ σοὶ διδοὺς
ἦλθον. τί χρὴ δρᾶν; ἀρχέτω δή τις λόγου·
ὡς ἀμφὶ τείχη καὶ ξυνωρίδας λόχων
τάσσων ἐπέσχον πόλιν, ὅπως κλύοιμί σου
κοινὰς βραβείας, αἷς ὑπόσπονδον μολεῖν
τόνδ' εἰσεδέξω τειχέων πείσασά με.
ΙΟΚΑΣΤΗ.
ἐπίσχες· οὔτοι τὸ ταχὺ τὴν δίκην ἔχει·
βραδεῖς δὲ μῦθοι πλεῖστον ἀνύουσιν σοφόν.
σχάσον δὲ δεινὸν ὄμμα καὶ θυμοῦ πνοάς·
οὐ γὰρ τὸ λαιμότμητον εἰσορᾷς κάρα
Γοργόνος, ἀδελφὸν δ' εἰσορᾷς ἥκοντα σόν.
σύ τ' αὖ πρόσωπον πρὸς κασίγνητον στρέφε,
Πολύνεικες· ἐς γὰρ ταυτὸν ὄμμασι βλέπων
λέξεις τ' ἄμεινον τοῦδέ τ' ἐνδέξει λόγους.
παραινέσαι δὲ σφῷν τι βούλομαι σοφόν·
ὅταν φίλος τις ἀνδρὶ θυμωθεὶς φίλῳ,
ἐς ἓν ξυνελθὼν, ὄμματ' ὄμμασιν διδῷ,
ἐφ' οἷσιν ἥκει, ταῦτα χρὴ μόνον σκοπεῖν,
κακῶν δὲ τῶν πρὶν μηδενὸς μνείαν ἔχειν.
λόγος μὲν οὖν σὸς πρόσθε, Πολύνεικες τέκνον·
σὺ γὰρ στράτευμα Δαναϊδῶν ἥκεις ἄγων,
ἄδικα πεπονθὼς, ὡς σὺ φής· κριτὴς δέ τις
θεῶν γένοιτο καὶ διαλλακτὴς κακῶν.
ΠΟΛΥΝΕΙΚΗΣ.
ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ,
κοὐ ποικίλων δεῖ τἄνδιχ' ἑρμηνευμάτων·
ἔχει γὰρ αὐτὰ καιρόν· ὁ δ' ἄδικος λόγος
νοσῶν ἐν αὑτῷ φαρμάκων δεῖται σοφῶν.
ἐγὼ δὲ πατρὸς δωμάτων προὐσκεψάμην
τοὐμόν τε καὶ τοῦδ', ἐκφυγεῖν χρῄζων ἀρὰς,
ἃς Οἰδίπους ἐφθέγξατ' εἰς ἡμᾶς ποτε,
ἐξῆλθον ἔξω τῆσδ' ἑκὼν αὐτὸς χθονὸς,
δοὺς τῷδ' ἀνάσσειν πατρίδος ἐνιαυτοῦ κύκλον,
ὥστ' αὐτὸς ἄρχειν αὖθις ἀνὰ μέρος λαβὼν,
καὶ μὴ δι' ἔχθρας τῷδε καὶ φόνου μολὼν
κακόν τι δρᾶσαι καὶ παθεῖν, ἃ γίγνεται.
ὁ δ' αἰνέσας ταῦθ' ὁρκίους τε δοὺς θεοὺς
ἔδρασεν οὐδὲν ὧν ὑπέσχετ', ἀλλ' ἔχει
τυραννίδ' αὐτὸς καὶ δόμων ἐμὸν μέρος.
καὶ νῦν ἕτοιμός εἰμι τἀμαυτοῦ λαβὼν

Post 427 sequebatur
Τυδεῖ τε κἀμοί· σύγγαμος γάρ ἐστ' ἐμός.

στρατὸν μὲν ἔξω τῆσδ' ἀποστεῖλαι χθονὸς,
οἰκεῖν δὲ τὸν ἐμὸν οἶκον ἀνὰ μέρος λαβὼν,
καὶ τῷδ' ἀφεῖναι τὸν ἴσον αὖθις αὖ χρόνον,
καὶ μήτε πορθεῖν πατρίδα μήτε προσφέρειν
πύργοισι πηκτῶν κλιμάκων προσαμβάσεις,
ἃ μὴ κυρήσας τῆς δίκης πειράσομαι
δρᾶν. μάρτυρας δὲ τῶνδε δαίμονας καλῶ,
ὡς πάντα πράσσων σὺν δίκῃ δίκης ἄτερ
ἀποστεροῦμαι πατρίδος ἀνοσιώτατα.
ταῦτ' αὖθ' ἕκαστα, μῆτερ, οὐχὶ περιπλοκὰς
λόγων ἀθροίσας εἶπον, ἀλλὰ καὶ σοφοῖς
καὶ τοῖσι φαύλοις ἔνδιχ', ὡς ἐμοὶ δοκεῖ.

ΧΟΡΟΣ.

ἐμοὶ μὲν, εἰ καὶ μὴ καθ' Ἑλλήνων χθόνα
τεθράμμεθ', ἀλλ' οὖν ξυνετά μοι δοκεῖς λέγειν.

ΕΤΕΟΚΛΗΣ.

εἰ πᾶσι ταυτὸν καλὸν ἔφυ σοφόν θ' ἅμα,
οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις·
νῦν δ' οὐθ' ὅμοιον οὐδὲν οὔτ' ἴσον βροτοῖς,
πλὴν ὀνομάσαι, τὸ δ' ἔργον οὐκ ἔστιν τόδε.
ἐγὼ γὰρ οὐδὲν, μῆτερ, ἀποκρύψας ἐρῶ·
ἄστρων ἂν ἔλθοιμ' αἰθέρος πρὸς ἀντολὰς
καὶ γῆς ἔνερθε, δυνατὸς ὢν δρᾶσαι τάδε,
τὴν θεῶν μεγίστην ὥστ' ἔχειν τυραννίδα.
τοῦτ' οὖν τὸ χρηστὸν, μῆτερ, οὐχὶ βούλομαι
ἄλλῳ παρεῖναι μᾶλλον ἢ σώζειν ἐμοί·
ἀνανδρία γὰρ, τὸ πλέον ὅστις ἀπολέσας
τοὔλασσον ἔλαβε. πρὸς δὲ τοῖσδ' αἰσχύνομαι
ἐλθόντα σὺν ὅπλοις τόνδε καὶ πορθοῦντα γῆν
τυχεῖν ἃ χρήζει· ταῖς γὰρ ἂν Θήβαις τόδε
γένοιτ' ὄνειδος, εἰ Μυκηναίου δορὸς
φόβῳ παρείην σκῆπτρα τἀμὰ τῷδ' ἔχειν.
χρῆν δ' αὐτὸν οὐχ ὅπλοισι τὰς διαλλαγὰς,
μῆτερ, ποιεῖσθαι· πᾶν γὰρ ἐξαιρεῖ λόγος
ὃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν.
ἀλλ' εἰ μὲν ἄλλως τήνδε γῆν οἰκεῖν θέλει,
ἔξεστ'· ἐκείνου δ' οὐχ ἑκὼν μεθήσομαι,
ἄρχειν παρόν μοι, τῷδε δουλεῦσαί ποτε.
πρὸς ταῦτ' ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανα,
ζεύγνυσθε δ' ἵππους, πεδία πίμπλαθ' ἁρμάτων,
ὡς οὐ παρήσω τῷδ' ἐμὴν τυραννίδα.
εἴπερ γὰρ ἀδικεῖν χρὴ, τυραννίδος πέρι
κάλλιστον ἀδικεῖν, τἄλλα δ' εὐσεβεῖν χρεών.

ΧΟΡΟΣ.

οὐκ εὖ λέγειν χρὴ μὴ 'πὶ τοῖς ἔργοις καλοῖς,
οὐ γὰρ καλὸν τόδ', ἀλλὰ τῇ δίκῃ πικρόν.

ΙΟΚΑΣΤΗ.

ὦ τέκνον, οὐχ ἅπαντα τῷ γήρᾳ κακὰ,
Ἐτεόκλεες, πρόσεστιν, ἀλλ' ἡμπειρία
ἔχει τι δεῖξαι τῶν νέων σοφώτερον.
τί τῆς κακίστης δαιμόνων ἐφίεσαι
φιλοτιμίας, παῖ; μὴ σύ γ'· ἄδικος ἡ θεός·
πολλοὺς δ' ἐς οἴκους καὶ πόλεις εὐδαίμονας
ἐσῆλθε κἀξῆλθ' ἐπ' ὀλέθρῳ τῶν χρωμένων·
ἐφ' ᾗ σὺ μαίνει. κεῖνο κάλλιον, τέκνον,
ἰσότητα τιμᾶν, ἣ φίλους ἀεὶ φίλοις
πόλεις τε πόλεσι συμμάχους τε συμμάχοις
ξυνδεῖ· τὸ γὰρ ἴσον νόμιμον ἀνθρώποις ἔφυ,
τῷ πλέονι δ' ἀεὶ πολέμιον καθίσταται
τοὔλασσον, ἐχθρᾶς θ' ἡμέρας κατάρχεται.
καὶ γὰρ μέτρ' ἀνθρώποισι καὶ μέρη σταθμῶν
ἰσότης ἔταξε κἀριθμὸν διώρισε,
νυκτός τ' ἀφεγγὲς βλέφαρον ἡλίου τε φῶς
ἴσον βαδίζει τὸν ἐνιαύσιον κύκλον,
κοὐδέτερον αὐτοῖν φθόνον ἔχει νικώμενον.
εἶθ' ἥλιος μὲν νύξ τε δουλεύει βροτοῖς,
σὺ δ' οὐκ ἀνέξει δωμάτων ἔχων ἴσον,
καὶ τῷδ' ἀπονεμεῖς; κᾆτα ποῦ 'στιν ἡ δίκη;
τί τὴν τυραννίδ', ἀδικίαν εὐδαίμονα,
τιμᾷς ὑπέρφευ, καὶ μέγ' ἥγησαι τόδε,
περιβλέπεσθαι τίμιον; κενὸν μὲν οὖν.
ἢ πολλὰ μοχθεῖν πόλλ' ἔχων ἐν δώμασι
βούλει; τί δ' ἔστι τὸ πλέον; ὄνομ' ἔχει μόνον·
ἐπεὶ τά γ' ἀρκοῦνθ' ἱκανὰ τοῖς γε σώφροσιν.
οὔτοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοὶ,
τὰ τῶν θεῶν δ' ἔχοντες ἐπιμελούμεθα·
ὅταν δὲ χρήζωσ', αὔτ' ἀφαιροῦνται πάλιν.
ἄγ', ἤν σ' ἔρωμαι δύο λόγω προθεῖσ' ἅμα,
πότερα τυραννεῖν, ἢ πόλιν σῶσαι θέλεις;
ἐρεῖς τυραννεῖν; ἢν δὲ νικήσῃ σ' ὅδε,
Ἀργεῖά τ' ἔγχη δόρυ τὸ Καδμείων ἕλῃ,
ὄψει δαμασθὲν ἄστυ Θηβαίων τόδε,
ὄψει δὲ πολλὰς αἰχμαλωτίδας κόρας
βίᾳ πρὸς ἀνδρῶν πολεμίων πορθουμένας.
ὀδυνηρὸς ἆρ' ὁ πλοῦτος, ὃν ζητεῖς ἔχειν,
γενήσεται Θήβαισι, φιλότιμος δὲ σύ.
σοὶ μὲν τάδ' αὐδῶ· σοὶ δὲ, Πολύνεικες, λέγω,
ἀμαθεῖς Ἄδραστος χάριτας ἐς σ' ἀνήψατο·
ἀσύνετα δ' ἦλθες καὶ σὺ πορθήσων πόλιν.
φέρ', ἢν ἕλῃς γῆν τήνδ', ὃ μὴ τύχοι ποτὲ,
πρὸς θεῶν, τροπαῖα πῶς ἄρα στήσεις δορός;
πῶς δ' αὖ κατάρξει θυμάτων, ἑλὼν πάτραν,
κἀν σκῦλα γράψεις πῶς ἐπ' Ἰνάχου ῥοαῖς,
Θήβας πυρώσας τάσδε Πολυνείκης θεοῖς
ἀσπίδας ἔθηκε· μήποτ', ὦ τέκνον, κλέος
τοιόνδε σοι γένοιθ' ὑφ' Ἑλλήνων λαβεῖν.
ἢν δ' αὖ κρατηθῇς καὶ τὰ τοῦδ' ὑπερδράμῃ,
πῶς Ἄργος ἥξεις, μυρίους λιπὼν νεκρούς;
ἐρεῖ δὲ δή τις, ὦ κακὰ μνηστεύματα
Ἄδραστε προσθεὶς, διὰ μιᾶς νύμφης γάμον
ἀπωλόμεσθα. δύο κακὼ σπεύδεις, τέκνον,
κείνων στέρεσθαι, τῶνδέ τ' ἐν μέσῳ πεσεῖν.
μέθετον τὸ λίαν, μέθετον· ἀμαθία δυοῖν,
ἐς ταὔθ' ὅταν μόλητον, αἴσχιστον κακόν.

ΧΟΡΟΣ.

ὦ θεοὶ, γένοισθε τῶνδ' ἀπότροποι κακῶν,
καὶ ξύμβασίν τιν' Οἰδίπου τέκνοις δότε.

ΕΤΕΟΚΛΗΣ.

μῆτερ, οὐ λόγων ἔθ' ἀγὼν, ἀλλ' ἀναλοῦται χρό-
νος μέσῳ μάτην, περαίνει δ' οὐδὲν ἡ προθυμία·
οὐ γὰρ ἂν ξυμβαῖμεν ἄλλως ἢ 'πὶ τοῖς εἰρη-
νοις,
ὥστε με σκήπτρων κρατοῦντα τῆσδ' ἄνακτ' εἶναι
χθονός·
τῶν μακρῶν δ' ἀπαλλαγεῖσα νουθετημάτων μ'
καὶ σὺ τῶνδ' ἔξω κομίζου τειχέων, ἢ κατθα-

---

Post 557. sequebatur
ὁ δ' ὄλβος οὐ βέβαιος, ἀλλ' ἐφήμερος.

ΠΟΛΥΝΕΙΚΗΣ.
πρὸς τίνος; τίς ὧδ' ἄτρωτος, ὅστις εἰς ἡμᾶς ξίφος
φόνιον ἐμβαλὼν τὸν αὐτὸν οὐκ ἀποίσεται μόρον;

ΕΤΕΟΚΛΗΣ.
ἐγγὺς, οὐ πρόσω βεβηκώς· ἐς χέρας λεύσσεις ἐμάς;

ΠΟΛΥΝΕΙΚΗΣ.
εἰσορῶ· δειλὸν δ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν.

ΕΤΕΟΚΛΗΣ.
κᾆτα σὺν πολλοῖσιν ἦλθες πρὸς τὸν οὐδὲν ἐς μάχην;

ΠΟΛΥΝΕΙΚΗΣ.
ἀσφαλὴς γάρ ἐστ' ἀμείνων ἢ θρασὺς στρατηλάτης.

ΕΤΕΟΚΛΗΣ.
κομπὸς εἶ σπονδαῖς πεποιθὼς, αἵ σε σώζουσιν θανεῖν.

ΠΟΛΥΝΕΙΚΗΣ.
καὶ σὲ δεύτερόν γ' ἀπαιτῶ σκῆπτρα καὶ μέρη χθονός.

ΕΤΕΟΚΛΗΣ.
οὐκ ἀπαιτούμεσθ'· ἐγὼ γὰρ τὸν ἐμὸν οἰκήσω δόμον.

ΠΟΛΥΝΕΙΚΗΣ.
τοῦ μέρους ἔχων τὸ πλεῖον;

ΕΤΕΟΚΛΗΣ.
φήμ'· ἀπαλλάσσου δὲ γῆς.

ΠΟΛΥΝΕΙΚΗΣ.
ὦ θεῶν βωμοὶ πατρῴων,

ΕΤΕΟΚΛΗΣ.
οὓς σὺ πορθήσων πάρει.

ΠΟΛΥΝΕΙΚΗΣ.
κλύετέ μου.

ΕΤΕΟΚΛΗΣ.
τίς δ' ἂν κλύοι σου πατρίδ' ἐπεστρατευμένου;

ΠΟΛΥΝΕΙΚΗΣ.
καὶ θεῶν τῶν λευκοπώλων δώμαθ',

ΕΤΕΟΚΛΗΣ.
οἳ στυγοῦσί σε.

ΠΟΛΥΝΕΙΚΗΣ.
ἐξελαυνόμεσθα πατρίδος,

ΕΤΕΟΚΛΗΣ.
καὶ γὰρ ἦλθες ἐξελῶν.

ΠΟΛΥΝΕΙΚΗΣ.
ἀδικίᾳ γ', ὦ θεοί.

ΕΤΕΟΚΛΗΣ.
Μυκήναις, μὴ 'νθάδ' ἀνακάλει θεούς.

ΠΟΛΥΝΕΙΚΗΣ.
ἀνόσιος πέφυκας,

ΕΤΕΟΚΛΗΣ.
ἀλλ' οὐ πατρίδος, ὡς σὺ, πολέμιος.

ΠΟΛΥΝΕΙΚΗΣ.
ὃς μ' ἄμοιρον ἐξελαύνεις.

ΕΤΕΟΚΛΗΣ.
καὶ κατακτενῶ γε πρός.

ΠΟΛΥΝΕΙΚΗΣ.
ὦ πάτερ, κλύεις ἃ πάσχω;

ΕΤΕΟΚΛΗΣ.
καὶ γὰρ οἷα δρᾷς κλύει.

ΠΟΛΥΝΕΙΚΗΣ.
καὶ σὺ, μῆτερ;

ΕΤΕΟΚΛΗΣ.
οὐ θέμις σοι μητρὸς ὀνομάζειν κάρα.

ΠΟΛΥΝΕΙΚΗΣ.
ὦ πόλις.

ΕΤΕΟΚΛΗΣ.
μολὼν ἐς Ἄργος ἀνακάλει Λέρνης ὕδωρ.

ΠΟΛΥΝΕΙΚΗΣ.
εἶμι, μὴ πόνει· σὲ δ' αἰνῶ, μῆτερ.

ΕΤΕΟΚΛΗΣ.
ἔξιθι χθονός.

ΠΟΛΥΝΕΙΚΗΣ.
ἔξιμεν· πατέρα δέ μοι δὸς εἰσιδεῖν.

ΕΤΕΟΚΛΗΣ.
οὐκ ἂν τύχοις.

ΠΟΛΥΝΕΙΚΗΣ.
ἀλλὰ παρθένους ἀδελφάς.

ΕΤΕΟΚΛΗΣ.
οὐδὲ τάσδ' ὄψει ποτέ.

ΠΟΛΥΝΕΙΚΗΣ.
ὦ κασίγνηται.

ΕΤΕΟΚΛΗΣ.
τί ταύτας ἀνακαλεῖς, ἔχθιστος ὤν;

ΠΟΛΥΝΕΙΚΗΣ.
μῆτερ, ἀλλά μοι σὺ χαῖρε.

ΙΟΚΑΣΤΗ.
χαρτὰ γοῦν πάσχω, τέκνον.

ΠΟΛΥΝΕΙΚΗΣ.
οὐκέτ' εἰμὶ παῖς σός.

ΙΟΚΑΣΤΗ.
ἐς πόλλ' ἄθλια πέφυκ' ἐγώ.

ΠΟΛΥΝΕΙΚΗΣ.
ὅδε γὰρ εἰς ἡμᾶς ὑβρίζει.

ΕΤΕΟΚΛΗΣ.
καὶ γὰρ ἀνθυβρίζομαι.

ΠΟΛΥΝΕΙΚΗΣ.
ποῦ ποτε στήσει πρὸ πύργων;

ΕΤΕΟΚΛΗΣ.
ὡς τί μ' ἱστορεῖς τόδε;

ΠΟΛΥΝΕΙΚΗΣ.
ἀντιτάξομαι κτενῶν σε.

ΕΤΕΟΚΛΗΣ.
κἀμὲ τοῦδ' ἔρως ἔχει.

ΙΟΚΑΣΤΗ.
ὦ τάλαιν' ἐγώ. τί δράσετ', ὦ τέκν';

ΠΟΛΥΝΕΙΚΗΣ.
αὐτὸ σημανεῖ.

ΙΟΚΑΣΤΗ.
πατρὸς οὐ φεύξεσθ' Ἐρινῦς;

ΕΤΕΟΚΛΗΣ.
ἐρρέτω πρόπας δόμος.

ΠΟΛΥΝΕΙΚΗΣ.
ὡς τάχ' οὐκέθ' αἱματηρὸν τοὐμὸν ἀργήσει ξίφος.
τὴν δὲ θρέψασάν με γαῖαν καὶ θεοὺς μαρτύρομαι,
ὡς ἄτιμος, οἰκτρὰ πάσχων, ἐξελαύνομαι χθονὸς,
δοῦλος ὥς, ἀλλ' οὐχὶ ταὐτοῦ πατρὸς Οἰδίπου γεγώς.
κἄν τί σοι, πόλις, γένηται, μὴ 'μὲ, τόνδε δ' αἰτιῶ·

οὐχ ἑκὼν γὰρ ἦλθον, ἄκων δ' ἐξελαύνομαι χθονός.
καὶ σὺ, Φοῖβ' ἄναξ Ἀγυιεῦ, καὶ μέλαθρα χαίρετε,
ἥλικές θ' οὑμοὶ θεῶν τε δεξίμηλ' ἀγάλματα.
οὐ γὰρ οἶδ' εἴ μοι προσειπεῖν αὖθις ἔσθ' ὑμᾶς ποτε·
ἐλπίδες δ' οὔπω καθεύδουσ', αἷς πέποιθα σὺν θεοῖς
τόνδ' ἀποκτείνας κρατήσειν τῆσδε Θηβαίας χθονός.

ΕΤΕΟΚΛΗΣ.

ἔξιθ' ἐκ χώρας· ἀληθῶς δ' ὄνομα Πολυνείκη πατὴρ
ἔθετό σοι θείᾳ προνοίᾳ νεικέων ἐπώνυμον.

ΧΟΡΟΣ.

Κάδμος ἔμολε τάνδε γᾶν
Τύριος, ᾧ τετρασκελὴς
μόσχος ἀδάματον πέσημα
δίκε τελεσφόρον διδοῦσα
χρησμὸν, οὗ κατοικίσαι
πεδία μὲν τὸ θέσφατον
χρῆσε πυροφόρ' Ἀόνων,
καλλιπόταμος ὕδατος ἵνα τε
νοτὶς ἐπέρχεται γύας
Δίρκας χλοηφόρους
καὶ βαθυσπόρους·
Βρόμιον ἔνθα τέκετο μάτηρ
* * Διὸς γάμοις,
κισσὸς ὃν περιστεφὴς
ἑλικτὸς εὐθὺς ἔτι βρέφος
χλοηφόροισιν ἔρνεσιν
κατασκίοισιν ὀλβίσας ἐνώτισεν,
Βάκχιον χόρευμα παρθένοισι Θηβαί-
αισι καὶ γυναιξὶν εὐίοις.
ἔνθα φόνιος ἦν δράκων
Ἄρεος, ὠμόφρων φύλαξ,
νάματ' ἔνυδρα καὶ ῥέεθρα
χλοερὰ δεργμάτων κόραισι
πολυπλάνοις ἐπισκοπῶν·
ὃν ἐπὶ χέρνιβας μολὼν
Κάδμος ὤλεσε μαρμάρῳ,
κρᾶτα φόνιον ὀλεσίθηρος
ὠλένας δικὼν βολαῖς,
δίας ἀμάτορος
Παλλάδος φραδαῖς
γαπετεῖς δικὼν ὀδόντας
ἐς βαθυσπόρους γύας·
ἔνθεν ἐξανῆκε γᾶ
πάνοπλον ὄψιν ὑπὲρ ἄκρων
ὅρων χθονός· σιδαρόφρων
δέ νιν φόνος πάλιν ξυνῆψε γᾷ φίλᾳ.
αἵματος δ' ἔδευσε γαῖαν, ἅ νιν εὐεί-
λοισι δεῖξεν αἰθέρος πνοαῖς.
καὶ σὲ, τὸν προμάτορος
Ἰοῦς ποτ' ἔκγονον
Ἔπαφον, ὦ Διὸς γένεθλον,
ἐκάλεσ' ἐκάλεσα βαρβάρῳ βοᾷ,
ἰὼ, βαρβάροις λιταῖς,
βᾶθι βᾶθι τάνδε γᾶν·
σοί νιν ἔκγονοι κτίσαν,
ᾇ διώνυμοι θεαὶ,

638—656. == 657—675.

Περσέφασσα καὶ φίλα
Δαμάτηρ θεὰ,
πάντων ἄνασσα, πάντων δὲ Γᾶ τροφὸς
ἐκτήσαντο· πέμπε πυρφόρους
θεὰς ἀμῦναι τᾷδε γᾷ·
πάντα δ' εὐπετῆ θεοῖς.

ΕΤΕΟΚΛΗΣ.

χώρει σὺ καὶ κόμιζε τὸν Μενοικέως
Κρέοντ', ἀδελφὸν μητρὸς Ἰοκάστης ἐμῆς,
λέγων τάδ', ὡς οἰκεῖα καὶ κοινὰ χθονὸς
θέλω πρὸς αὐτὸν συμβαλεῖν βουλεύματα,
πρὶν ἐς μάχην τε καὶ δορὸς τάξιν μολεῖν.
καίτοι ποδῶν σῶν μόχθον ἐκλύει παρών·
ὁρῶ γὰρ αὐτὸν πρὸς δόμους στείχοντ' ἐμούς.

ΚΡΕΩΝ.

ἦ πόλλ' ἐπῆλθον, εἰσιδεῖν χρῄζων σ', ἄναξ
Ἐτεόκλεες, πέριξ δὲ Καδμείων πύλας
φύλακάς τ' ἐπῆλθον, σὸν δέμας θηρώμενος.

ΕΤΕΟΚΛΗΣ.

καὶ μὴν ἐγώ σ' ἔχρῃζον εἰσιδεῖν, Κρέον·
πολλῷ γὰρ εὗρον ἐνδεεῖς διαλλαγὰς,
ὡς ἐς λόγους ξυνῆψα Πολυνείκει μολών.

ΚΡΕΩΝ.

ἤκουσα μεῖζον αὐτὸν ἢ Θήβας φρονεῖν,
κήδει τ' Ἀδράστου καὶ στρατῷ πεποιθότα.
ἀλλ' ἐς θεοὺς χρὴ ταῦτ' ἀναρτήσαντ' ἔχειν·
ἃ δ' ἐμποδὼν μάλιστα, ταῦθ' ἥκω φράσων.

ΕΤΕΟΚΛΗΣ.

τὰ ποῖα ταῦτα; τὸν λόγον γὰρ ἀγνοῶ.

ΚΡΕΩΝ.

ἥκει τις αἰχμάλωτος Ἀργείων πάρα.

ΕΤΕΟΚΛΗΣ.

λέγει δὲ δὴ τί τῶν ἐκεῖ νεώτερον;

ΚΡΕΩΝ.

μέλλειν πέριξ πύργοισι Καδμείων πόλιν
ὅπλοις ἑλίξειν αὐτίκ' Ἀργείων στρατόν.

ΕΤΕΟΚΛΗΣ.

ἐξοιστέον τἄρ' ὅπλα Καδμείων πόλει.

ΚΡΕΩΝ.

ποῖ; μῶν νεάζων οὐχ ὁρᾷς ἃ χρή σ' ὁρᾶν;

ΕΤΕΟΚΛΗΣ.

ἐκτὸς τάφρων τῶνδ', ὡς μαχουμένους τάχα.

ΚΡΕΩΝ.

σμικρὸν τὸ πλῆθος τῆσδε γῆς, οἱ δ' ἄφθονοι.

ΕΤΕΟΚΛΗΣ.

ἐγῷδα κείνους τοῖς λόγοις ὄντας θρασεῖς.

ΚΡΕΩΝ.

ἔχει τιν' ὄγκον Ἄργος Ἑλλήνων πάρα.

ΕΤΕΟΚΛΗΣ.

θάρσει· τάχ' αὐτῶν πεδίον ἐμπλήσω φόνου.

ΚΡΕΩΝ.

θέλοιμ' ἄν· ἀλλὰ τοῦθ' ὁρῶ πολλοῦ πόνου.

ΕΤΕΟΚΛΗΣ.

ὡς οὐ καθέξω τειχέων ἔσω στρατόν.

ΚΡΕΩΝ.

καὶ μὴν τὸ νικᾶν ἐστι πᾶν εὐβουλία.

ΕΤΕΟΚΛΗΣ.

βούλει τράπωμαι δῆθ' ὁδοὺς ἄλλας τινάς;

ΚΡΕΩΝ.

πάσας γε, πρὶν κίνδυνον εἰς ἅπαξ μολεῖν.

ΕΤΕΟΚΛΗΣ.
εἰ νυκτὸς αὐτοῖς προσβάλοιμεν ἐκ λόχου;
ΚΡΕΩΝ.
εἴπερ σφαλείς γε δεῦρο σωθήσει πάλιν.
ΕΤΕΟΚΛΗΣ.
ἴσον φέρει νὺξ, τοῖς δὲ τολμῶσιν πλέον.
ΚΡΕΩΝ.
ἐνδυστυχῆσαι δεινὸν εὐφρόνης κνέφας.
ΕΤΕΟΚΛΗΣ.
ἀλλ' ἀμφὶ δεῖπνον οὖσι προσβάλω δόρυ;
ΚΡΕΩΝ.
ἔκπληξις ἂν γένοιτο· νικῆσαι δὲ δεῖ.
ΕΤΕΟΚΛΗΣ.
βαθύς γέ τοι Διρκαῖος ἀναχωρεῖν πόρος.
ΚΡΕΩΝ.
ἅπαν κάκιον τοῦ φυλάσσεσθαι καλῶς.
ΕΤΕΟΚΛΗΣ.
τί δ', εἰ καθιππεύσαιμεν Ἀργείων στρατόν;
ΚΡΕΩΝ.
κἀκεῖ πέφρακται λαὸς ἅρμασιν πέριξ.
ΕΤΕΟΚΛΗΣ.
τί δῆτα δράσω; πολεμίοισι δῶ πόλιν;
ΚΡΕΩΝ.
μὴ δῆτα· βουλεύου δ', ἐπείπερ εἶ σοφός.
ΕΤΕΟΚΛΗΣ.
τίς οὖν πρόνοια γίγνεται σοφωτέρα;
ΚΡΕΩΝ.
ἕπτ' ἄνδρας αὐτοῖς φασιν, ὡς ἤκουσ' ἐγώ,
ΕΤΕΟΚΛΗΣ.
τί προστετάχθαι δρᾶν; τὸ γὰρ σθένος βραχύ.
ΚΡΕΩΝ.
λόχων ἄνακτας, ἑπτὰ προσκεῖσθαι πύλαις.
ΕΤΕΟΚΛΗΣ.
τί δῆτα δρῶμεν; ἀπορίαν γὰρ οὐ μενῶ.
ΚΡΕΩΝ.
ἕπτ' ἄνδρας αὐτοῖς καὶ σὺ πρὸς πύλαις ἑλοῦ.
ΕΤΕΟΚΛΗΣ.
λόχων ἀνάσσειν, ἢ μονοστόλου δορός;
ΚΡΕΩΝ.
λόχων, προκρίνας οἵπερ ἀλκιμώτατοι.
ΕΤΕΟΚΛΗΣ.
ξυνῆκ'· ἀμύνειν τειχέων προσαμβάσεις,
ΚΡΕΩΝ.
καὶ ξυστρατηγούς· εἷς δ' ἀνὴρ οὐ πάνθ' ὁρᾷ.
ΕΤΕΟΚΛΗΣ.
θάρσει προκρίνας, ἢ φρενῶν εὐβουλίᾳ;
ΚΡΕΩΝ.
ἀμφότερον· ἀπολειφθὲν γὰρ οὐδὲν θάτερον.
ΕΤΕΟΚΛΗΣ.
ἔσται τάδ'· ἑπτάπυργον ἐς πόλιν μολὼν
τάξω λοχαγοὺς πρὸς πύλαισιν, ὡς λέγεις,
ἴσους ἴσοισι πολεμίοισιν ἀντιθείς.
ὄνομα δ' ἑκάστου διατριβὴ πολλὴ λέγειν,
ἐχθρῶν ὑπ' αὐτοῖς τείχεσιν καθημένων.
ἀλλ' εἶμ', ὅπως ἂν μὴ καταργῶμεν χέρα.
καί μοι γένοιτ' ἀδελφὸν ἀντήρη λαβεῖν,
καὶ ξυσταθέντα διὰ μάχης ἑλεῖν δορί.

---

Post 755 sequebatur
κτανεῖν θ', ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν.

γάμους δ' ἀδελφῆς Ἀντιγόνης παιδός τε σοῦ
Αἵμονος, ἐάν τι τῆς τύχης ἐγὼ σφαλῶ,
σοὶ χρὴ μέλεσθαι· τὴν δόσιν δ' ἐχέγγυον
τὴν πρόσθε ποιῶ νῦν ἐπ' ἐξόδοις ἐμαῖς.
μητρὸς δ' ἀδελφὸς εἶ· τί δεῖ μακρηγορεῖν;
τρέφ' ἀξίως νιν σοῦ τε τήν τ' ἐμὴν χάριν.
πατὴρ δ' ἐς αὐτὸν ἀμαθίαν ὀφλισκάνει,
ὄψιν τυφλώσας· οὐκ ἄγαν σφ' ἐπήνεσα·
ἡμᾶς τ' ἀραῖσιν, ἢν τύχῃ, κατακτενεῖ.
ἓν δ' ἐστὶν ἡμῖν ἀργὸν, εἴ τι θέσφατον
οἰωνόμαντις Τειρεσίας ἔχει φράσαι,
τοῦδ' ἐκπυθέσθαι ταῦτ'· ἐγὼ δὲ παῖδα σὸν
Μενοικέα, σοῦ πατρὸς αὐτεπώνυμον,
λαβόντα πέμψω δεῦρο Τειρεσίαν, Κρέον·
σοὶ μὲν γὰρ ἡδὺς ἐς λόγους ἀφίξεται·
ἐγὼ δὲ τέχνην μαντικὴν ἐμεμψάμην
ἤδη πρὸς αὐτὸν, ὥστε μοι μομφὰς ἔχειν.
πόλει δὲ καὶ σοὶ ταῦτ' ἐπισκήπτω, Κρέον·
ἤνπερ κρατήσῃ τἀμὰ Πολυνείκους νέκυν
μήποτε ταφῆναι τῆδε Θηβαίᾳ χθονί·
θνήσκειν δὲ τὸν θάψαντα, κἂν φίλων τις ᾖ.
σοὶ μὲν τάδ' εἶπον· προσπόλοις δ' ἐμοῖς λέγω,
ἐκφέρετε τεύχη πάνοπλά τ' ἀμφιβλήματα,
ὡς εἰς ἀγῶνα τὸν προκείμενον δορὸς
ὁρμῶμεν ἤδη ξὺν δίκῃ νικηφόρῳ.
τῇ δ' εὐλαβείᾳ, χρησιμωτάτῃ θεῶν,
προσευξόμεσθα τήνδε διασῶσαι πόλιν.
ΧΟΡΟΣ.
ὦ πολύμοχθος Ἄρης,
τί ποθ' αἵματι καὶ θανάτῳ κατέχει,
Βρομίου παράμουσος ἑορταῖς;
οὐκ ἐπὶ καλλιχόροις στεφάνοισι νεάνιδος ὥρας
βόστρυχον ἀμπετάσας λωτοῦ κατὰ πνεύματα μέλπει
μοῦσαν, ἐν ᾇ χάριτες χοροποιοί,
ἀλλὰ σὺν ὁπλοφόροις στρατὸν Ἀργείων ἐπιπνεύσας
αἵματι Θήβας
κῶμον ἀναυλότατον προχορεύεις.
οὐδ' ὑπὸ θυρσομανεῖ νεβρίδων μέτα δινεύεις, ἀλλ'
ἅρμασι καὶ ψαλίοις τετραβάμοσι μώνυχα πῶλον,
Ἰσμηνοῦ τ' ἐπὶ χεύμασι βαίνων
ἱππείοισι θοάζεις,
Ἀργείους ἐπιπνεύσας
Σπαρτῶν γέννᾳ,
ἀσπιδοφέρμονα θίασον, ἔνοπλον,
ἀντίπαλον κατὰ λάϊνα τείχεα.
ἦ δεινά τις Ἔρις θεὸς, ἃ τάδε
μήσατο πήματα γᾶς βασιλεῦσιν,
Λαβδακίδαισιν πολυμόχθοις.
ὦ ζαθέων πετάλων
πολυθηρότατον νάπος, Ἀρτέμιδος
χιονοτρόφον ὄμμα Κιθαιρών,
μήποτε τὸν θανάτῳ προτεθέντα, λόχευμ' Ἰοκάστας,
ὤφελες Οἰδιπόδαν θρέψαι βρέφος ἔκβολον οἴκων,
χρυσοδέτοις περόναις ἐπίσαμον·
μηδὲ τὸ παρθένιον πτερὸν, οὔρειον τέρας, ἐλθεῖν
πένθεα γαίας,

784—800. == 801—817.

Σφιγγὸς, ἀμουσοτάταισι σὺν ᾠδαῖς,
ἅ ποτε Καδμογενῆ τετραβάμοσιν ἐν χαλαῖσιν,
τείχεσι χριμπτομένα, φέρεν αἰθέρος εἰς ἄβατον φῶς
γένναν, τὰν ὁ κατὰ χθονὸς Ἅιδας
Καδμείοις ἐπιπέμπει·
δυσδαίμων δ' ἔρις ἄλλα
θάλλει παίδων
Οἰδιπόδα κατὰ δώματα καὶ πόλιν.
οὐ γὰρ ὃ μὴ καλὸν οὔποτ' ἔφυ καλὸν,
οὐδ' οἱ μὴ νόμιμόν ποτε παῖδες
ματρὶ λόχευμα, μιάσματα πατρός·
ἡ δὲ σύναιμον λέχος ἦλθεν.
ἔτεκες, ὦ γᾶ, ἔτεκές ποτε,
βάρβαρον ὡς ἀκοὰν ἐδάην ἐδάην ποτ' ἐν οἴκοις,
τὰν ἀπὸ θηροτρόφου φοινικολόφοιο δράκοντος
γένναν ὀδοντοφυῆ, Θήβας κάλλιστον ὄνειδος·
Ἁρμονίας δέ ποτ' εἰς ὑμεναίους
ἤλυθον οὐρανίδαι, φόρμιγγί τε τείχεα Θήβας
τᾶς Ἀμφιονίας τε λύρας ὕπο πύργοι ἀνέσταν
διδύμων ποταμῶν πόρον ἀμφὶ μέσον
Δίρκας, χλοεροτρόφον ἃ πεδίον
πρόπαρ Ἰσμηνοῦ καταδεύει·
Ἰώ θ', ἁ κερόεσσα προμάτωρ,
Καδμείων βασιλῆας ἐγείνατο·
μυριάδας δ' ἀγαθῶν
ἑτέρας ἑτέραις μεταμειβομένα
πόλις ἅδ' ἐπ'. ἄκροις
ἕσταχ' Ἄρεως στεφάνοισιν.

ΤΕΙΡΕΣΙΑΣ.

ἡγοῦ πάροιθε, θύγατερ· ὡς τυφλῷ ποδὶ
ὀφθαλμὸς εἶ σὺ, ναυτίλοισιν ἄστρον ὥς·
δεῦρ' ἐς τὸ λευρὸν πέδον ἴχνος τιθεῖσ' ἐμὸν
πρόβαινε, μὴ σφαλῶμεν· ἀσθενὴς πατήρ·
κλήρους τέ μοι φύλασσε παρθένῳ χερὶ,
οὓς ἔλαβον, οἰωνίσματ' ὀρνίθων μαθὼν
θάκοισιν ἐν ἱεροῖσιν, οὗ μαντεύομαι.
τέκνον Μενοικεῦ, παῖ Κρέοντος, εἰπέ μοι
πόση τίς ἡ 'πίλοιπος ἄστεως ὁδὸς
πρὸς πατέρα τὸν σόν· ὡς ἐμὸν κάμνει γόνυ,
πυκνὴν δὲ βαίνων ἤλυσιν μόλις περῶ.

ΚΡΕΩΝ.

θάρσει· πέλας γὰρ, Τειρεσία, φίλοισι σοῖς
ἐξώρμισαι σὸν πόδα· λαβοῦ δ' αὐτοῦ, τέκνον·
ὡς πᾶσ' ἀπήνη πούς τε πρεσβύτου φιλεῖ
χειρὸς θυραίας ἀναμένειν κουφίσματα.

ΤΕΙΡΕΣΙΑΣ.

εἶεν, πάρεσμεν· τί με καλεῖς σπουδῇ, Κρέον;

ΚΡΕΩΝ.

οὔπω λελήσμεθ'· ἀλλὰ σύλλεξαι σθένος
καὶ πνεῦμ' ἄθροισον, ἄπος ἐκβαλὼν ὁδοῦ.

ΤΕΙΡΕΣΙΑΣ.

κόπῳ παρεῖμαι γοῦν Ἐρεχθειδῶν ἄπο
δεῦρ' ἐκκομισθεὶς τῆς πάροιθεν ἡμέρας·
κἀκεῖ γὰρ ἦν τις πόλεμος Εὐμόλπου δορὸς,
οὗ καλλινίκους Κεκροπίδας ἔθηκ' ἐγώ·
καὶ τόνδε χρυσοῦν στέφανον, ὡς ὁρᾷς, ἔχω,
λαβὼν ἀπαρχὰς πολεμίων σκυλευμάτων.

ΚΡΕΩΝ.

οἰωνὸν ἐθέμην καλλίνικα σὰ στέφη·
ἐν γὰρ κλύδωνι κείμεθ', ὥσπερ οἶσθα σὺ,
δορὸς Δαναϊδῶν, καὶ μέγας Θήβαις ἀγών.
βασιλεὺς μὲν οὖν βέβηκε κοσμηθεὶς ὅπλοις
ἤδη πρὸς ἀλκὴν Ἐτεοκλῆς Μυκηνίδα·
ἐμοὶ δ' ἐπέσταλκ' ἐκμαθεῖν σέθεν πάρα
τί δρῶντες ἂν μάλιστα σώσαιμεν πόλιν.

ΤΕΙΡΕΣΙΑΣ.

Ἐτεοκλέους μὲν οὕνεκ' ἂν κλῄσας στόμα
χρησμοὺς ἐπέσχον, σοὶ δ', ἐπεὶ χρῄζεις μαθεῖν
λέξω· νοσεῖ γὰρ ἥδε γῆ πάλαι, Κρέον,
ἐξ οὗ 'τεκνώθη Λάϊος βίᾳ θεῶν,
πόσιν τ' ἔφυσε μητρὶ μέλεον Οἰδίπουν·
αἵ θ' αἱματωποὶ δεργμάτων διαφθοραὶ
θεῶν σόφισμα κἀπίδειξις Ἑλλάδι.
ἃ συγκαλύψαι παῖδες Οἰδίπου χρόνῳ
χρῄζοντες, ὡς δὴ θεοὺς ὑπεκδραμούμενοι,
ἥμαρτον ἀμαθῶς· οὔτε γὰρ γέρα πατρὶ
οὔτ' ἔξοδον διδόντες, ἄνδρα δυστυχῆ
ἐξηγρίωσαν· ἐκ δ' ἔπνευσ' αὐτοῖς ἀρὰς
δεινὰς νοσῶν τε καὶ πρὸς ἠτιμασμένος.
ἁγὼ τί οὐ δρῶν, ποῖα δ' οὐ λέγων ἔπη,
ἐς ἔχθος ἦλθον παισὶ τοῖσιν Οἰδίπου.
ἐγγὺς δὲ θάνατος αὐτόχειρ αὐτοῖς, Κρέον·
πολλοὶ δὲ νεκροὶ περὶ νεκροῖς πεπτωκότες,
Ἀργεῖα καὶ Καδμεῖα μίξαντες βέλη,
πικροὺς γόους δώσουσι Θηβαίᾳ χθονί.
σύ τ' ὦ τάλαινα συγκατασκάπτει πόλις,
εἰ μὴ λόγοις τις τοῖς ἐμοῖσι πείσεται.
ἐκεῖνο μὲν γὰρ πρῶτον ἦν, τῶν Οἰδίπου
μηδένα πολίτην μηδ' ἄνακτ' εἶναι χθονὸς,
ὡς δαιμονῶντας κἀνατρέψοντας πόλιν.
ἐπεὶ δὲ κρεῖσσον τὸ κακόν ἐστι τἀγαθοῦ,
μί' ἔστιν ἄλλη μηχανὴ σωτηρίας.
ἀλλ' οὐ γὰρ εἰπεῖν οὔτ' ἐμοὶ τόδ' ἀσφαλὲς
πικρόν τε τοῖσι τὴν τύχην κεκτημένοις,
πόλει παρασχεῖν φάρμακον σωτηρίας,
ἄπειμι, χαίρεθ'· εἷς γὰρ ὢν πολλῶν μέτα
τὸ μέλλον, εἰ χρὴ, πείσομαι· τί γὰρ πάθω;

ΚΡΕΩΝ.

ἐπίσχες αὐτοῦ, πρέσβυ.

ΤΕΙΡΕΣΙΑΣ.

μὴ 'πιλαμβάνου.

ΚΡΕΩΝ.

μεῖνον, τί φεύγεις μ';

ΤΕΙΡΕΣΙΑΣ.

ἡ τύχη σ', ἀλλ' οὐκ

ΚΡΕΩΝ.

φράσον πολίταις καὶ πόλει σωτηρίαν.

ΤΕΙΡΕΣΙΑΣ.

βούλει σὺ μέντοι, κοὐχὶ βουλήσει τάχα.

ΚΡΕΩΝ.

καὶ πῶς πατρῴαν γαῖαν οὐ σῶσαι θέλω;

ΤΕΙΡΕΣΙΑΣ.

θέλεις ἀκοῦσαι δῆτα καὶ σπουδὴν ἔχεις;

ΚΡΕΩΝ.

ἐς γὰρ τί μ' ἄλλο δεῖ προθυμίαν ἔχειν;

ΤΕΙΡΕΣΙΑΣ.

κλύοις ἂν ἤδη τῶν ἐμῶν θεσπισμάτων.
πρῶτον δ' ἐκεῖνο βούλομαι σαφῶς μαθεῖν,
ποῦ 'στιν Μενοικεὺς, ὅς με δεῦρ' ἐπήγ

ΚΡΕΩΝ.
ὅδ' οὐ μακρὰν ἄπεστι, πλησίον δέ σου.
ΤΕΙΡΕΣΙΑΣ.
ἀπελθέτω νυν θεσφάτων ἐμῶν ἑκάς.
ΚΡΕΩΝ.
ἐμὸς πεφυκὼς παῖς ἃ δεῖ σιγήσεται.
ΤΕΙΡΕΣΙΑΣ.
βούλει παρόντος δῆτά σοι τούτου φράσω;
ΚΡΕΩΝ.
κλύων γὰρ ἂν τέρποιτο τῆς σωτηρίας.
ΤΕΙΡΕΣΙΑΣ.
ἄκουε δή νυν θεσφάτων ἐμῶν ὁδὸν,
ἃ δρῶντες ἂν σώσαιτε Καδμείων πόλιν.
σφάξαι Μενοικέα τόνδε δεῖ σ' ὑπὲρ πάτρας
σὸν παῖδ', ἐπειδὴ τὴν τύχην αὐτὸς καλεῖς.
ΚΡΕΩΝ.
τί φής; τίν' εἶπας τόνδε μῦθον, ὦ γέρον;
ΤΕΙΡΕΣΙΑΣ.
ἅπερ πέφυκε, ταῦτα κἀνάγκη σε δρᾶν.
ΚΡΕΩΝ.
ὦ πολλὰ λέξας ἐν βραχεῖ χρόνῳ κακά.
ΤΕΙΡΕΣΙΑΣ.
σοί γ', ἀλλὰ πατρίδι μεγάλα καὶ σωτήρια.
ΚΡΕΩΝ.
οὐκ ἔκλυον, οὐκ ἤκουσα· χαιρέτω πόλις.
ΤΕΙΡΕΣΙΑΣ.
ἀνὴρ ὅδ' οὐκέθ' αὑτὸς, ἐκνεύει πάλιν.
ΚΡΕΩΝ.
χαίρων ἴθ'· οὐ γὰρ σῶν με δεῖ μαντευμάτων.
ΤΕΙΡΕΣΙΑΣ.
ἀπόλωλεν ἀλήθει', ἐπεὶ σὺ δυστυχεῖς;
ΚΡΕΩΝ.
ὦ πρός σε γονάτων καὶ γερασμίου τριχὸς,
ΤΕΙΡΕΣΙΑΣ.
τί προσπίτνεις με; δυσφύλακτ' αἰτεῖ κακά.
ΚΡΕΩΝ.
σίγα· πόλει δὲ τούσδε μὴ λέξῃς λόγους.
ΤΕΙΡΕΣΙΑΣ.
ἀδικεῖν κελεύεις μ'; οὐ σιωπήσαιμεν ἄν.
ΚΡΕΩΝ.
τί δή με δράσεις; παῖδά μου κατακτενεῖς;
ΤΕΙΡΕΣΙΑΣ.
ἄλλοις μελήσει ταῦτ', ἐμοὶ δ' εἰρήσεται.
ΚΡΕΩΝ.
ἐκ τοῦ δ' ἐμοὶ τόδ' ἦλθε καὶ τέκνῳ κακόν;
ΤΕΙΡΕΣΙΑΣ.
ὀρθῶς μ' ἐρωτᾷς, κεἰς ἀγῶν' ἔρχει λόγων.
δεῖ τόνδε θαλάμαις, οὗ δράκων ὁ γηγενὴς
ἐγένετο Δίρκης ναμάτων ἐπίσκοπος,
σφαγέντα φόνιον αἷμα γῇ δοῦναι χοὰς,
Κάδμου παλαιῶν Ἄρεος ἐκ μηνιμάτων,
ὃς γηγενεῖ δράκοντι τιμωρεῖ φόνον.
καὶ ταῦτα δρῶντες σύμμαχον κτήσεσθ' Ἄρη.
χθὼν δ' ἀντὶ καρποῦ καρπὸν ἀντί θ' αἵματος
αἷμ' ἢν λάβῃ βρότειον, ἕξετ' εὐμενῆ
γῆν, ἥ ποθ' ὑμῖν χρυσοπήληκα στάχυν
σπαρτῶν ἀνῆκεν· ἐκ γένους δὲ δεῖ θανεῖν
τοῦδ', ὃς δράκοντος γένυος ἐκπέφυκε παῖς.
σὺ δ' ἐνθάδ' ἡμῖν λοιπὸς εἶ σπαρτῶν γένους
ἀκέραιος, ἔκ τε μητρὸς ἀρσένων τ' ἄπο,
οἵ σοί τε παῖδες. Αἵμονος μὲν οὖν γάμοι
σφαγὰς ἀπείργουσ'· οὐ γάρ ἐστιν ἤθεος·
οὗτος δὲ πῶλος, τῇδ' ἀνειμένος πόλει,
θανὼν πατρῴαν γαῖαν ἐκσώσειεν ἄν.
πικρὸν δ' Ἀδράστῳ νόστον Ἀργείοισί τε
θήσει, μέλαιναν κῆρ' ἐπ' ὄμμασιν βαλὼν,
κλεινάς τε Θήβας. τοῖνδ' ἑλοῦ δυοῖν πότμοιν
τὸν ἕτερον· ἢ γὰρ παῖδα σῶσον ἢ πόλιν.
τὰ μὲν παρ' ἡμῶν πάντ' ἔχεις· ἡγοῦ, τέκνον,
πρὸς οἶκον. ὅστις δ' ἐμπύρῳ χρῆται τέχνῃ,
μάταιος· ἢν μὲν ἐχθρὰ σημήνας τύχῃ,
πικρὸς καθέστηχ' οἷς ἂν οἰωνοσκοπῇ·
ψευδῆ δ' ὑπ' οἴκτου τοῖσι χρωμένοις λέγων
ἀδικεῖ τὰ τῶν θεῶν. Φοῖβον ἀνθρώποις μόνον
χρῆν θεσπιῳδεῖν, ὃς δέδοικεν οὐδένα.
ΧΟΡΟΣ.
Κρέον, τί σιγᾷς, γῆρυν ἄφθογγον σχάσας;
κἀμοὶ γὰρ οὐδὲν ἧσσον ἔκπληξις πάρα.
ΚΡΕΩΝ.
τί δ' ἄν τις εἴποι; δῆλον οἵ γ' ἐμοὶ λόγοι.
ἐγὼ γὰρ οὔποτ' ἐς τόδ' εἶμι συμφορᾶς,
ὥστε σφαγέντα παῖδα προσθεῖναι πόλει.
πᾶσιν γὰρ ἀνθρώποισι φιλότεκνος βίος,
οὐδ' ἂν τὸν αὑτοῦ παῖδά τις δοίη κτανεῖν.
μή μ' εὐλογείτω τἀμά τις κτείνων τέκνα.
αὐτὸς δ', ἐν ὡραίῳ γὰρ ἕσταμεν βίῳ,
θνήσκειν ἕτοιμος, πατρίδος ἐκλυτήριον.
ἀλλ' εἶα, τέκνον, πρὶν μαθεῖν πᾶσαν πόλιν,
ἀκόλαστ' ἐάσας μάντεων θεσπίσματα,
φεῦγ' ὡς τάχιστα τῆσδ' ἀπαλλαχθεὶς χθονός·
λέξει γὰρ ἀρχαῖς καὶ στρατηλάταις τάδε,
πύλας ἐφ' ἑπτὰ καὶ λοχαγέτας μολών·
κἂν μὲν φθάσωμεν, ἔστι σοι σωτηρία·
ἢν δ' ὑστερήσῃς, οἰχόμεσθα, κατθανεῖ.
ΜΕΝΟΙΚΕΥΣ.
ποῖ δῆτα φεύγω; τίνα πόλιν; τίνα ξένων;
ΚΡΕΩΝ.
ὅπου χθονὸς τῆσδ' ἐκποδὼν μάλιστ' ἔσει.
ΜΕΝΟΙΚΕΥΣ.
οὐκοῦν σὲ φράζειν εἰκὸς, ἐκπονεῖν δ' ἐμέ.
ΚΡΕΩΝ.
Δελφοὺς περάσας
ΜΕΝΟΙΚΕΥΣ.
ποῖ με χρὴ, πάτερ, μολεῖν;
ΚΡΕΩΝ.
Αἰτωλίδ' ἐς γῆν.
ΜΕΝΟΙΚΕΥΣ.
ἐκ δὲ τῆσδε ποῖ περῶ;
ΚΡΕΩΝ.
Θεσπρωτὸν οὖδας.
ΜΕΝΟΙΚΕΥΣ.
σεμνὰ Δωδώνης βάθρα;
ΚΡΕΩΝ.
ἔγνως.
ΜΕΝΟΙΚΕΥΣ.
τί δῆτα ῥῦμά μοι γενήσεται;

---

Post 945. sequebatur
κεἰ μὴ γὰρ εὐνῆς ἥψατ', ἀλλ' ἔχει λέχος.

ΚΡΕΩΝ.

πόμπιμος ὁ δαίμων.

ΜΕΝΟΙΚΕΥΣ.

χρημάτων δὲ τίς πόρος;

ΚΡΕΩΝ.

ἐγὼ πορεύσω χρυσόν.

ΜΕΝΟΙΚΕΥΣ.

εὖ λέγεις, πάτερ.
χώρει νυν· ὡς σὴν πρὸς κασιγνήτην μολὼν,
ἧς πρῶτα μαστὸν εἵλκυσ', Ἰοκάστην λέγω,
μητρὸς στερηθεὶς ὀρφανός τ' ἀποζυγεὶς,
προσηγορήσων εἶμι καὶ σώσω βίον.
ἀλλ' εἶα, χώρει· μὴ τὸ σὸν κωλυέτω.
γυναῖκες, ὡς εὖ πατρὸς ἐξεῖλον φόβον,
κλέψας λόγοισιν, ὥσθ' ἃ βούλομαι τυχεῖν·
ὅς μ' ἐκκομίζει, πόλιν ἀποστερῶν τύχης,
καὶ δειλίᾳ δίδωσι. καὶ συγγνωστὰ μὲν
γέροντι, τοὐμὸν δ' οὐχὶ συγγνώμην ἔχει,
προδότην γενέσθαι πατρίδος, ἥ μ' ἐγείνατο.
ὡς οὖν ἂν εἰδῆτ', εἶμι καὶ σώσω πόλιν,
ψυχήν τε δώσω τῆσδ' ὑπερθανεῖν χθονός.
αἰσχρὸν γὰρ, οἱ μὲν θεσφάτων ἐλεύθεροι,
κοὐκ εἰς ἀνάγκην δαιμόνων ἀφιγμένοι,
στάντες παρ' ἀσπίδ' οὐκ ὀκνήσουσιν θανεῖν,
πύργων πάροιθε μαχόμενοι πάτρας ὕπερ·
ἐγὼ δὲ πατέρα καὶ κασίγνητον προδοὺς
πόλιν τ' ἐμαυτοῦ δειλὸς ὣς ἔξω χθονὸς
ἄπειμ'· ὅπου δ' ἂν ζῶ, κακὸς φανήσομαι.
μὰ τὸν μετ' ἄστρων Ζῆν' Ἄρη τε φοίνιον,
ὃς τοὺς ὑπερτείλαντας ἐκ γαίας ποτὲ
σπαρτοὺς ἄνακτας τῆσδε γῆς ἱδρύσατο.
ἀλλ' εἶμι, καὶ στὰς ἐξ ἐπάλξεων ἄκρων
σφάξας ἐμαυτὸν σηκὸν ἐς μελαμβαθῆ
δράκοντος, ἔνθ' ὁ μάντις ἐξηγήσατο,
ἐλευθερώσω γαῖαν. εἴρηται λόγος.
στείχω δὲ, θανάτῳ δῶρον οὐκ αἰσχρὸν πόλει
δώσων, νόσου δὲ τήνδ' ἀπαλλάξω χθόνα.
εἰ γὰρ λαβὼν ἕκαστος ὅ τι δύναιτό τις
χρηστὸν διέλθοι τοῦτο, κεἰς κοινὸν φέροι
πατρίδι, κακῶν ἂν αἱ πόλεις ἐλασσόνων
πειρώμεναι τὸ λοιπὸν εὐτυχοῖεν ἄν.

ΧΟΡΟΣ.

ἔβας ἔβας, ὦ πτεροῦσσα, γᾶς λόχευμα
νερτέρου τ' Ἐχίδνας,
Καδμείων ἁρπαγὰ,
πολύστονος, πολύφθορος,
μιξοπάρθενον
δάϊον τέρας,
φοιτάσι πτεροῖς
χαλαῖσί τ' ὠμοσίτοις·
Διρκαίων ἅ ποτ' ἐκ
τόπων νέους πεδαίρουσ'
ἄλυρον ἀμφὶ μοῦσαν
ὀλομέναν τ' Ἐρινὺν
ἔφερες ἔφερες ἄχεα πατρίδι
φόνια· φόνιος ἐκ θεῶν
ὃς τάδ' ἦν ὁ πράξας.
ἰάλεμοι δὲ ματέρων,
ἰάλεμοι δὲ παρθένων

1019 — 1042. == 1043 — 1066.

ἐστέναζον οἴκοις·
ἰήιον βοὰν βοὰν,
ἰήιον μέλος μέλος
ἄλλος ἄλλ' ἐπωτότυζε
διαδοχαῖς ἀνὰ πτόλιν.
βροντᾷ δὲ στεναγμὸς
ἀχά τ' ἦν ὅμοιος,
ὁπότε πόλεος ἀφανίσει'
ἁ πτεροῦσσα παρθένος τιν' ἀνδρῶν.
χρόνῳ δ' ἔβα Πυθίαις ἀποστολαῖσιν
Οἰδίπους ὁ τλάμων
Θηβαίαν τάνδε γᾶν
τότ' ἀσμένοις, πάλιν δ' ἄχη·
ματρὶ γὰρ γάμους
δυσγάμους τάλας
καλλίνικος ὢν
αἰνιγμάτων ξυνάπτει,
μιαίνει δὲ πτόλιν·
δι' αἱμάτων δ' ἀμείβει
μυσαρὸν εἰς ἀγῶνα
καταβαλὼν ἀραῖσι
τέκεα μέλεος· ἀγάμεθ' ἀγάμεθ',
ὃς ἐπὶ θάνατον οἴχεται
γᾶς ὑπὲρ πατρῴας,
Κρέοντι μὲν λιπὼν γόους,
τὰ δ' ἑπτάπυργα κλῇθρα γᾶς
καλλίνικα θήσων.
γενοίμεθ' ὧδε ματέρες
γενοίμεθ' εὔτεκνοι, φίλα
Παλλὰς, ἃ δράκοντος αἷμα
λιθόβολον κατειργάσω,
Καδμείαν μέριμναν
ὁρμήσασ' ἐπ' ἔργον,
ὅθεν ἐπέσυτο τάνδε γᾶν
ἁρπαγαῖσι δαιμόνων τις ἄτα.

ΑΓΓΕΛΟΣ.

ὠὴ, τίς ἐν πύλαισι δωμάτων κυρεῖ;
ἀνοίγετ', ἐκπορεύετ' Ἰοκάστην δόμων.
ὠὴ μάλ' αὖθις· διὰ μακροῦ μὲν, ἀλλ' ὅμως
ἔξελθ', ἄκουσον, Οἰδίπου κλεινὴ δάμαρ,
λήξασ' ὀδυρμῶν πενθίμων τε δακρύων.

ΙΟΚΑΣΤΗ.

ὦ φίλτατ', ἤ πού ξυμφορὰν ἥκεις φέρων,
Ἐτεοκλέους θανόντος, οὗ παρ' ἀσπίδα
βέβηκας ἀεὶ, πολεμίων εἴργων βέλη;
τί μοί ποθ' ἥκεις καινὸν ἀγγελῶν ἔπος;
τέθνηκεν ἢ ζῇ παῖς ἐμός; σήμαινέ μοι.

ΑΓΓΕΛΟΣ.

ζῇ, μὴ τρέσῃς τόδ', ὥς σ' ἀπαλλάξω φόβου.

ΙΟΚΑΣΤΗ.

τί δ', ἑπτάπυργοι πῶς ἔχουσι περιβολαί;

ΑΓΓΕΛΟΣ.

ἑστᾶσ' ἄθραυστοι, κοὐκ ἀνήρπασται πόλις.

ΙΟΚΑΣΤΗ.

ἦλθον δὲ πρὸς κίνδυνον Ἀργείου δορός;

ΑΓΓΕΛΟΣ.

ἀκμήν γ' ἐπ' αὐτήν· ἀλλ' ὁ Καδμείων Ἄρης
κρείσσων κατέστη τοῦ Μυκηναίου δορός.

ΙΟΚΑΣΤΗ.
ἓν εἰπὲ πρὸς θεῶν, εἴ τι Πολυνείκους πέρι
οἶσθ'· ὡς μέλει μοι καὶ τόδ', εἰ λεύσσει φάος.
ΑΓΓΕΛΟΣ.
ζῇ σοι ξυνωρὶς ἐς τόδ' ἡμέρας τέκνων.
ΙΟΚΑΣΤΗ.
εὐδαιμονοίης· πῶς γὰρ Ἀργείων δόρυ
πυλῶν ἀπεστήσασθε πυργηρούμενοι;
λέξον, γέροντα τυφλὸν ὡς κατὰ στέγας
ἐλθοῦσα τέρψω, τῆσδε γῆς σεσωσμένης.
ΑΓΓΕΛΟΣ.
ἐπεὶ Κρέοντος παῖς ὁ γῆς ὑπερθανὼν
πύργων ἐπ' ἄκρων στὰς μελάνδετον ξίφος
λαιμῶν διῆκε τῇδε γῇ σωτήριον,
λόχους ἔνειμεν ἑπτὰ καὶ λοχαγέτας
πύλας ἐφ' ἑπτὰ, φύλακας Ἀργείου δορὸς,
σὸς παῖς, ἐφέδρους θ' ἱππότας μὲν ἱππόταις
ἔταξ', ὁπλίτας δ' ἀσπιδηφόροις ἔπι,
ὡς τῷ νοσοῦντι τειχέων εἴη δορὸς
ἀλκὴ δι' ὀλίγου. περγάμων δ' ἀπ' ὀρθίων
λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατὸν
Τευμησὸν ἐκλιπόντα· καὶ τάφρου πέλας
δρόμῳ ξυνῆψεν ἄστυ Καδμείας χθονός.
παιὰν δὲ καὶ σάλπιγγες ἐκελάδουν ὁμοῦ
ἐκεῖθεν ἔκ τε τειχέων ἡμῶν πάρα.
καὶ πρῶτα μὲν προσῆγε Νηΐταις πύλαις
λόχον πυκναῖσιν ἀσπίσιν πεφρικότα
ὁ τῆς κυναγοῦ Παρθενοπαῖος ἔκγονος,
ἐπίσημ' ἔχων οἰκεῖον ἐν μέσῳ σάκει,
ἑκηβόλοις τόξοισιν Ἀταλάντην κάπρον
χειρουμένην Αἰτωλόν. ἐς δὲ Προιτίδας
πύλας ἐχώρει σφάγι' ἔχων ἐφ' ἅρμασιν
ὁ μάντις Ἀμφιάραος οὐ σημεῖ' ἔχων
ὑβρισμέν', ἀλλὰ σωφρόνως ἄσημ' ὅπλα.
Ὠγύγια δ' ἐς πυλώμαθ' Ἱππομέδων ἄναξ
ἔστειχ', ἔχων σημεῖον ἐν μέσῳ σάκει
στικτοῖς πανόπτην ὄμμασιν δεδορκότα,
τὰ μὲν σὺν ἄστρων ἐπιτολαῖσιν ὄμματα
βλέποντα, τὰ δὲ κρύπτοντα δυνόντων μέτα,
ὡς ὕστερον θανόντος εἰσορᾶν παρῆν.
Ὁμολωΐσιν δὲ τάξιν εἶχε πρὸς πύλαις
Τυδεὺς, λέοντος δέρος ἔχων ἐπ' ἀσπίδι
χαίτῃ πεφρικὸς, δεξιᾷ δὲ λαμπάδα
Τιτὰν Προμηθεὺς ἔφερεν ὡς πρήσων πόλιν.
ὁ σὸς δὲ Κρηναίαισι Πολυνείκης πύλαις
Ἄρη προσῆγε· Ποτνιάδες δ' ἐπ' ἀσπίδι
ἐπίσημα πῶλοι δρομάδες ἐσκίρτων φόβῳ,
εὖ πως στρόφιγξιν ἔνδοθεν κυκλούμεναι
πόρπαχ' ὑπ' αὐτὸν, ὥστε μαίνεσθαι δοκεῖν.
ὁ δ' οὐκ ἔλασσον Ἄρεος ἐς μάχην φρονῶν
Καπανεὺς προσῆγε λόχον ἐπ' Ἠλέκτραις πύλαις·
σιδηρονώτοις δ' ἀσπίδος τύποις ἐπῆν
γίγας ἐπ' ὤμοις γηγενὴς ὅλην πόλιν
φέρων μοχλοῖσιν ἐξανασπάσας βάθρων,
ὑπόνοιαν ἡμῖν οἷα πείσεται πόλις.
ταῖς δ' ἑβδόμαις Ἄδραστος ἐν πύλαισιν ἦν,
ἑκατὸν ἐχίδναις ἀσπίδ' ἐκπληρῶν γραφῇ,
ὕδρας ἔχων λαιοῖσιν ἐν βραχίοσιν
Ἀργεῖον αὔχημ'· ἐκ δὲ τειχέων μέσων
δράκοντες ἔφερον τέκνα Καδμείων γνάθοις.
παρῆν δ' ἑκάστου τῶνδ' ἐμοὶ θεάματα
ξύνθημα παραφέροντι ποιμέσιν λόχων.
καὶ πρῶτα μὲν τόξοισι καὶ μεσαγκύλοις
ἐμαρνάμεσθα σφενδόναις θ' ἑκηβόλοις
πετρῶν τ' ἀραγμοῖς· ὡς δ' ἐνικῶμεν μάχῃ,
ἔκλαγξε Τυδεὺς καὶ σὸς ἐξαίφνης γόνος,
ὦ τέκνα Δαναῶν, πρὶν κατεξάνθαι βολαῖς,
τί μέλλετ' ἄρδην πάντες ἐμπίπτειν πύλαις,
γυμνῆτες, ἱππῆς, ἁρμάτων τ' ἐπιστάται;
ἠχῆς δ' ὅπως ἤκουσαν, οὔτις ἀργὸς ἦν·
πολλοὶ δ' ἔπιπτον κρᾶτας αἱματούμενοι,
ἡμῶν τ' ἐς οὖδας εἶδες ἂν πρὸ τειχέων
πυκνοὺς κυβιστητῆρας ἐκνενευκότας,
ξηρὰν δ' ἔδευον γαῖαν αἵματος ῥοαῖς.
ὁ δ' Ἀρκὰς, οὐκ Ἀργεῖος, Ἀταλάντης γόνος,
τυφὼς πύλαισιν ὥς τις ἐμπεσὼν βοᾷ
πῦρ καὶ δικέλλας, ὡς κατασκάψων πόλιν·
ἀλλ' ἔσχε μαργῶντ' αὐτὸν ἐναλίου θεοῦ
Περικλύμενος παῖς, λᾶαν ἐμβαλὼν κάρᾳ
ἁμαξοπληθῆ, γεῖσ' ἐπάλξεων ἄπο·
ξανθὸν δὲ κρᾶτα διεπάλυνε, καὶ ῥαφὰς
ἔρρηξεν ὀστέων, ἄρτι δ' οἰνωπὸν γένυν
καθημάτωσεν· οὐδ' ἀποίσεται βίον
τῇ καλλιτόξῳ μητρὶ Μαινάλου κόρῃ.
ἐπεὶ δὲ τάσδ' ἐσεῖδεν εὐτυχεῖς πύλας,
ἄλλας ἐπήει παῖς σὸς, εἱπόμην δ' ἐγώ.
ὁρῶ δὲ Τυδέα καὶ παρασπιστὰς πυκνοὺς
Αἰτωλίσιν λόγχαισιν εἰς ἄκρον στόμα
πύργων ἀκοντίζοντας, ὥστ' ἐπάλξεων
λιπεῖν ἐρίπνας φυγάδας· ἀλλά νιν πάλιν,
κυναγὸς ὡσεὶ, παῖς σὸς ἐξαθροίζεται,
πύργοις δ' ἐπέστησ' αὖθις. ἐς δ' ἄλλας πύλας
ἠπειγόμεσθα, τοῦτο παύσαντες νοσοῦν.
Καπανεὺς δὲ πῶς εἴποιμ' ἂν ὡς ἐμαίνετο;
μακραύχενος γὰρ κλίμακος προσαμβάσεις
ἔχων ἐχώρει, καὶ τοσόνδ' ἐκόμπασε,
μήδ' ἂν τὸ σεμνὸν πῦρ νιν εἰργαθεῖν Διὸς
τὸ μὴ οὐ κατ' ἄκρων περγάμων ἑλεῖν πόλιν.
καὶ ταῦθ' ἅμ' ἠγόρευε καὶ πετρούμενος
ἀνεῖρφ', ὑπ' αὐτὴν ἀσπίδ' εἱλίξας δέμας,
κλίμακος ἀμείβων ξέστ' ἐνηλάτων βάθρα.
ἤδη δ' ὑπερβαίνοντα γεῖσα τειχέων
βάλλει κεραυνῷ Ζεύς νιν· ἐκτύπησε δὲ
χθὼν, ὥστε δεῖσαι πάντας· ἐκ δὲ κλιμάκων
ἐσφενδονᾶτο χωρὶς ἀλλήλων μέλη,
κόμαι μὲν εἰς Ὄλυμπον, αἷμα δ' ἐς χθόνα,
χεῖρες δὲ καὶ κῶλ' ὡς κύκλωμ' Ἰξίονος
εἱλίσσετ'· ἐς γῆν δ' ἔμπυρος πίπτει νεκρός.
ὡς δ' εἶδ' Ἄδραστος Ζῆνα πολέμιον στρατῷ,
ἔξω τάφρου καθῖσεν Ἀργείων στρατόν.
οἱ δ' αὖ παρ' ἡμῶν δεξιὸν Διὸς τέρας
ἰδόντες ἐξήλαυνον ἁρμάτων ὄχους
ἱππῆς, ὁπλῖται τ' εἰς μέσ' Ἀργείων ὅπλα
ξυνῆψαν ἔγχη, πάντα δ' ἦν ὁμοῦ κακά·
ἔθνησκον, ἐξέπιπτον ἀντύγων ἄπο,
τροχοί τ' ἐπήδων ἄξονές τ' ἐπ' ἄξοσι,
νεκροὶ δὲ νεκροῖς ἐξεσωρεύονθ' ὁμοῦ.
πύργων μὲν οὖν γῆς ἔσχομεν κατασκαφὰς
ἐς τὴν παροῦσαν ἡμέραν· εἰ δ' εὐτυχὴς
ἔσται τὸ λοιπὸν ἥδε γῆ, θεοῖς μέλει.

ΧΟΡΟΣ.

καλὸν τὸ νικᾶν· εἰ δ' ἀμείνον' οἱ θεοὶ
γνώμην ἔχουσιν, εὐτυχὴς εἴην ἐγώ.

ΙΟΚΑΣΤΗ.

καλῶς τὰ τῶν θεῶν καὶ τὰ τῆς τύχης ἔχει·
παῖδές τε γάρ μοι ζῶσι κἀκπέφευγε γῆ.
Κρέων δ' ἔοικε τῶν ἐμῶν νυμφευμάτων
τῶν τ' Οἰδίπου δύστηνος ἀπολαῦσαι κακῶν,
παιδὸς στερηθεὶς, τῇ πόλει μὲν εὐτυχῶς,
ἰδίᾳ δὲ λυπρῶς. ἀλλ' ἄνελθέ μοι πάλιν,
τί τἀπὶ τούτοις παῖδ' ἐμὼ δρασείετον.

ΑΓΓΕΛΟΣ.

ἔα τὰ λοιπά· δεῦρ' ἀεὶ γὰρ εὐτυχεῖς.

ΙΟΚΑΣΤΗ.

τοῦτ' εἰς ὕποπτον εἶπας· οὐκ ἐατέον.

ΑΓΓΕΛΟΣ.

μεῖζόν τι χρῄζεις παῖδας ἢ σεσωσμένους;

ΙΟΚΑΣΤΗ.

καὶ τἀπίλοιπά γ' εἰ καλῶς πράσσω κλύειν.

ΑΓΓΕΛΟΣ.

μέθες μ'· ἔρημος παῖς ὑπασπιστοῦ σέθεν.

ΙΟΚΑΣΤΗ.

κακόν τι κεύθεις καὶ στέγεις ὑπὸ σκότῳ.

ΑΓΓΕΛΟΣ.

κοὐκ ἄν γε λέξαιμ' ἐπ' ἀγαθοῖσι σοῖς κακά.

ΙΟΚΑΣΤΗ.

ἢν μή με φεύγων ἐκφύγῃς πρὸς αἰθέρα.

ΑΓΓΕΛΟΣ.

αἰαῖ· τί μ' οὐκ εἴασας ἐξ εὐαγγέλου
φήμης ἀπελθεῖν, ἀλλὰ μηνῦσαι κακά;
τὼ παῖδε τὼ σὼ μέλλετον, τολμήματα
αἴσχιστα, χωρὶς μονομαχεῖν παντὸς στρατοῦ,
λέξαντες Ἀργείοισι Καδμείοισί τε
ἐς κοινὸν οἷον μήποτ' ὤφελον λόγον.
Ἐτεοκλέης δ' ὑπῆρξ' ἀπ' ὀρθίου σταθεὶς
πύργου, κελεύσας σῖγα κηρῦξαι στρατῷ.
ἔλεξε δ', ὦ γῆς Ἑλλάδος στρατηλάται
Δαναῶν τ' ἀριστῆς, οἵπερ ἤλθετ' ἐνθάδε,
Κάδμου τε λαὸς, μήτε Πολυνείκους χάριν
ψυχὰς ἀπεμπολᾶτε μήθ' ἡμῶν ὕπερ.
ἐγὼ γὰρ αὐτὸς τόνδε κίνδυνον μεθεὶς
μόνος συνάψω συγγόνῳ τὠμῷ μάχην·
κἂν μὲν κτάνω τόνδ', οἶκον οἰκήσω μόνος,
ἡσσώμενος δὲ τῷδε παραδώσω πόλιν.
ὑμεῖς δ' ἀγῶν' ἀφέντες Ἀργείαν χθόνα
νίσσεσθε, βίοτον μὴ λιπόντες ἐνθάδε.
τοσαῦτ' ἔλεξε· σὸς δὲ Πολυνείκης γόνος
ἐκ τάξεων ὤρουσε κἀπῄνει λόγους.
πάντες δ' ἐπερρόθησαν Ἀργεῖοι τάδε
Κάδμου τε λαὸς, ὡς δίκαι' ἡγούμενοι.
ἐπὶ τοῖσδε δ' ἐσπείσαντο, κἀν μεταιχμίοις
ὅρκους συνῆψαν ἐμμενεῖν στρατηλάται.
ἤδη δ' ἔκρυπτον σῶμα παγχάλκοις ὅπλοις
δισσοὶ γέροντος Οἰδίπου νεανίαι·
φίλοι δ' ἐκόσμουν, τῆσδε μὲν πρόμον χθονὸς
σπαρτῶν ἀριστῆς, τὸν δὲ Δαναϊδῶν ἄκροι.
ἔσταν δὲ λαμπρὼ, χρῶμά τ' οὐκ ἠλλαξάτην,
μαργῶντ' ἐπ' ἀλλήλοισιν ἱέναι δόρυ.
παρεξιόντες δ' ἄλλος ἄλλοθεν φίλων,
λόγοισι θαρσύνοντες ἐξηύδων τάδε·
Πολύνεικες, ἐν σοὶ Ζηνὸς ὀρθῶσαι βρέτας
τρόπαιον, Ἄργει τ' εὐκλεᾶ δοῦναι λόγον·
Ἐτεοκλέα δ' αὖ, νῦν πόλεως ὑπερμαχεῖς,
νῦν καλλίνικος γενόμενος σκήπτρων κρατεῖς.
τάδ' ἠγόρευον, παρακαλοῦντες ἐς μάχην.
μάντεις δὲ μῆλ' ἔσφαζον, ἐμπύρους τ' ἀκμὰς
ῥήξεις τ' ἐνώμων, ὑγρότητ' ἐναντίαν,
ἄκραν τε λαμπάδ', ἣ δυοῖν ὅρους ἔχει,
νίκης τε σῆμα καὶ τὰ τῶν ἡσσωμένων.
ἀλλ', εἴ τιν' ἀλκὴν ἢ σοφοὺς ἔχεις λόγους,
ἢ φίλτρ' ἐπῳδῶν, στεῖχ', ἐρήτυσον τέκνα
δεινῆς ἁμίλλης, ὡς ὁ κίνδυνος μέγας,
κἄπαθλα δεινὰ δάκρυά σοι γενήσεται,
δισσοῖν στερείσῃ τῇδ' ἐν ἡμέρᾳ τέκνοιν.

ΙΟΚΑΣΤΗ.

ὦ τέκνον, ἔξελθ' Ἀντιγόνη δόμων πάρος·
οὐκ ἐν χορείαις οὐδὲ παρθενεύμασι
νῦν σοι προχωρεῖ δαιμόνων κατάστασις.
ἀλλ' ἄνδρ' ἀρίστω καὶ κασιγνήτω σέθεν
ἐς θάνατον ἐκνεύοντε κωλῦσαί σε δεῖ
ξὺν μητρὶ τῇ σῇ μὴ πρὸς ἀλλήλοιν θανεῖν.

ΑΝΤΙΓΟΝΗ.

τίν', ὦ τεκοῦσα μῆτερ, ἔκπληξιν νέαν
φίλοις ἀϋτεῖς τῶνδε δωμάτων πάρος;

ΙΟΚΑΣΤΗ.

ὦ θύγατερ, ἔρρει σῶν κασιγνήτων βίος.

ΑΝΤΙΓΟΝΗ.

πῶς εἶπας;

ΙΟΚΑΣΤΗ.

αἰχμὴν ἐς μίαν καθέστατον.

ΑΝΤΙΓΟΝΗ.

οἲ 'γὼ, τί λέξεις, μῆτερ;

ΙΟΚΑΣΤΗ.

οὐ φίλ', ἀλλ' ἴθι.

ΑΝΤΙΓΟΝΗ.

ποῖ, παρθενῶνας ἐκλιποῦσ';

ΙΟΚΑΣΤΗ.

ἀνὰ στρατόν.

ΑΝΤΙΓΟΝΗ.

αἰδούμεθ' ὄχλον.

ΙΟΚΑΣΤΗ.

οὐκ ἐν αἰσχύνῃ τὰ σά.

ΑΝΤΙΓΟΝΗ.

δράσω δὲ δὴ τί;

ΙΟΚΑΣΤΗ.

συγγόνων λύσεις ἔριν.

ΑΝΤΙΓΟΝΗ.

τί δρῶσα, μῆτερ;

ΙΟΚΑΣΤΗ.

προσπίτνουσ' ἐμοῦ μέτα.

ΑΝΤΙΓΟΝΗ.

ἡγοῦ σὺ πρὸς μεταίχμι', οὐ μελλητέον.

---

Post 1198. in aliquot codicibus sequitur
καὶ νῦν γὰρ αὐτὴν δαιμόνων ἔσωσέ τις.
Post 1234. sequebatur
σπαρτῶν τε λαὸς ἅλις, ὅσος κεῖται θανών.

ΙΟΚΑΣΤΗ.

ἔπειγ' ἔπειγε, θύγατερ· ὡς, ἢν μὲν φθάσω
παῖδας πρὸ λόγχης, οὑμὸς ἐν φάει βίος.
θανοῦσι δ' αὐτοῖς συνθανοῦσα κείσομαι.

ΧΟΡΟΣ.

αἰαῖ αἰαῖ·
τρομερὰν φρίκᾳ τρομερὰν φρέν' ἔχω·
διὰ σάρκα δ' ἐμὰν
ἔλεος ἔλεος ἔμολε ματέρος δειλαίας.
δίδυμα τέκεα πότερος ἄρα πότερον αἱμάξει,
ἰώ μοι πόνων,
ἰὼ Ζεῦ, ἰὼ γᾶ,
ὁμογενῆ δέραν, ὁμογενῆ ψυχὰν
δι' ἀσπίδων, δι' αἱμάτων;
τάλαιν' ἐγὼ, τάλαινα,
πότερον ἄρα νέκυν ὀλόμενον ἰαχήσω;
φεῦ δᾶ φεῦ δᾶ,
δίδυμοι θῆρες, φόνιαι ψυχαὶ,
δορὶ παλλόμεναι
πέσεα πέσεα δάϊ' αὐτίχ' αἱμάξετον.
τάλανες, ὅτι ποτὲ μονομάχον ἐπὶ φρέν' ἠλθέτην
βοᾷ βαρβάρῳ
ἰαχὰν στενακτὰν
μελομέναν νεκροῖς δάκρυσι θρηνήσω.
σχεδὸν τύχα πέλας φόνου·
κρινεῖ φάος τὸ μέλλον.
ἄποτμος ἄποτμος ὁ φόνος ἕνεκ' Ἐρινύων.
ἀλλὰ γὰρ Κρέοντα λεύσσω τόνδε δεῦρο συννεφῆ
πρὸς δόμους στείχοντα, παύσω τοὺς παρεστῶτας γόους.

ΚΡΕΩΝ.

οἴμοι, τί δράσω; πότερ' ἐμαυτὸν ἢ πόλιν
στένω δακρύσας, ἣν πέριξ ἔχει νέφος
τοσοῦτον ὥστε δι' Ἀχέροντος ἰέναι;
ἐμός τε γὰρ παῖς γῆς ὄλωλ' ὑπερθανὼν,
τοὔνομα λαβὼν γενναῖον, ἀνιαρὸν δ' ἐμοί·
ὃν ἄρτι κρημνῶν ἐκ δρακοντείων ἑλὼν
αὐτοσφαγῆ δύστηνος ἐκόμισ' ἐν χεροῖν,
βοᾷ δὲ δῶμα πᾶν· ἐγὼ δ' ἥκω μέτα
γέρων ἀδελφὴν γραῖαν Ἰοκάστην, ὅπως
λούσῃ πρόθηταί τ' οὐκέτ' ὄντα παῖδ' ἐμόν.
τοῖς γὰρ θανοῦσι χρὴ τὸν οὐ τεθνηκότα
τιμὰς διδόντα χθόνιον εὖ σέβειν θεόν.

ΧΟΡΟΣ.

βέβηκ' ἀδελφὴ σὴ δόμων ἔξω, Κρέον,
κόρη τε μητρὸς Ἀντιγόνη κοινῷ ποδί.

ΚΡΕΩΝ.

ποῖ κἀπὶ ποίαν συμφορὰν, σήμαινέ μοι.

ΧΟΡΟΣ.

ἤκουσε τέκνα μονομάχῳ μέλλειν δορὶ
ἐς ἀσπίδ' ἥξειν βασιλικῶν δόμων ὕπερ.

ΚΡΕΩΝ.

πῶς φῄς; νέκυν τοι παιδὸς ἀγαπάζων ἐμοῦ
οὐκ ἐς τόδ' ἦλθον ὥστε καὶ τάδ' εἰδέναι.

ΧΟΡΟΣ.

ἀλλ' οἴχεται μὲν σὴ κασιγνήτη πάλαι·
δοκῶ δ' ἀγῶνα τὸν περὶ ψυχῆς, Κρέον,
ἤδη πεπρᾶχθαι παισὶ τοῖσιν Οἰδίπου.

**1284—1295. == 1296—1307.**

ΚΡΕΩΝ.

οἴμοι, τὸ μὲν σημεῖον εἰσορῶ τόδε,
σκυθρωπὸν ὄμμα καὶ πρόσοψιν ἀγγέλου
στείχοντος, ὃς πᾶν ἀγγελεῖ τὸ δρώμενον.

ΑΓΓΕΛΟΣ.

ὦ τάλας ἐγὼ, τίν' εἴπω μῦθον ἢ τίνας λόγους;

ΚΡΕΩΝ.

οἰχόμεσθ'· οὐκ εὐπροσώποις φροιμίοις ἄρχει λόγου.

ΑΓΓΕΛΟΣ.

ὦ τάλας, δισσῶς ἀϋτῶ· μεγάλα γὰρ φέρω κακά.

ΚΡΕΩΝ.

πρὸς πεπραγμένοισιν ἄλλοις πήμασιν; λέγεις δὲ τί;

ΑΓΓΕΛΟΣ.

οὐκέτ' εἰσὶ σῆς ἀδελφῆς παῖδες ἐν φάει, Κρέον.

ΚΡΕΩΝ.

αἰαῖ·
μεγάλα μοι θροεῖς πάθεα καὶ πόλει.

ΑΓΓΕΛΟΣ.

ὦ δώματ' εἰσηκούσατ' Οἰδίπου τάδε,
παίδων ὁμοίαις συμφοραῖς ὀλωλότων;

ΧΟΡΟΣ.

ὥστ' ἐκδακρῦσαί γ', εἰ φρονοῦντ' ἐτύγχανον.

ΚΡΕΩΝ.

οἴμοι ξυμφορᾶς βαρυποτμωτάτας,
οἴμοι κακῶν δύστηνος· ὦ τάλας ἐγώ.

ΑΓΓΕΛΟΣ.

εἰ καὶ τὰ πρὸς τούτοισί γ' εἰδείης κακά.

ΚΡΕΩΝ.

καὶ πῶς γένοιτ' ἂν τῶνδε δυσποτμώτερα;

ΑΓΓΕΛΟΣ.

τέθνηκ' ἀδελφὴ σὴ δυοῖν παίδοιν μέτα.

ΧΟΡΟΣ.

ἀνάγετ' ἀνάγετε κωκυτὸν,
ἐπὶ κάρα τε λευκοπήχεις κτύπους χεροῖν.

ΚΡΕΩΝ.

ὦ τλῆμον, οἷον τέρμον', Ἰοκάστη, βίου
γάμων τε τῶν σῶν Σφιγγὸς αἰνιγμοὺς ἔτλης.
πῶς καὶ πέπρακται διπτύχων παίδων φόνος
ἀρᾶς τ' ἀγώνισμ' Οἰδίπου, σήμαινέ μοι.

ΑΓΓΕΛΟΣ.

τὰ μὲν πρὸ πύργων εὐτυχήματα χθονὸς
οἶσθ'· οὐ μακρὰν γὰρ τειχέων περιπτυχαὶ
ὥστ' οὐχ ἅπαντά σ' εἰδέναι τὰ δρώμενα.
ἐπεὶ δὲ χαλκέοις σῶμ' ἐκοσμήσανθ' ὅπλοις
οἱ τοῦ γέροντος Οἰδίπου νεανίαι,
ἔστησαν ἐλθόντ' ἐς μέσον μεταίχμιον,
ὡς εἰς ἀγῶνα μονομάχου τ' ἀλκὴν δορός.
βλέψας δ' ἐς Ἄργος ἧκε Πολυνείκης ἀράς,
ὦ πότνι' Ἥρα, σὸς γάρ εἰμ', ἐπεὶ γάμοις
ἔζευξ' Ἀδράστου παῖδα καὶ ναίω χθόνα,
δός μοι κτανεῖν ἀδελφὸν, ἀντήρη δ' ἐμὴν
καθαιματῶσαι δεξιὰν νικηφόρον.

---

**Post 1361. sequebatur**
διασὼ στρατηγὼ καὶ διπλῶ στρατηλάτα.
**Post 1368. sequebantur**
αἴσχιστον αἰτῶ στέφανον, ὁμογενῆ κτανεῖν.
πολλοῖς δ' ἐπῄει δάκρυα τῆς τύχης ὅση,
κἄβλεψαν ἀλλήλοισι διαδόντες κόρας.

Ἐτεοκλέης δὲ Παλλάδος χρυσάσπιδος
βλέψας πρὸς οἶκον ηὔξατ', ὦ Διὸς κόρη,
δὸς ἔγχος ἡμῖν καλλίνικον ἐκ χερὸς
ἐς στέρν' ἀδελφοῦ τῆσδ' ἀπ' ὠλένης βαλεῖν,
ἐπεὶ δ' ἀφείθη πυρσὸς ὣς Τυρσηνικῆς
σάλπιγγος ἠχὴ, σῆμα φοινίου μάχης,
ἦξαν δρόμημα δεινὸν ἀλλήλοις ἔπι·
κάπροι δ' ὅπως θήγοντες ἀγρίαν γένυν
ξυνῆψαν, ἀφρῷ διάβροχοι γενειάδας·
ἦσσον δὲ λόγχαις· ἀλλ' ὑφίζανον κύκλοις,
ὅπως σίδηρος ἐξολισθάνοι μάτην.
εἰ δ' ὄμμ' ὑπερσχὸν ἴτυος ἅτερος μάθοι,
λόγχην ἐνώμα στόματι, προφθῆναι θέλων.
ἀλλ' εὖ προσῆγον ἀσπίδων κεγχρώμασιν
ὀφθαλμὸν, ἀργὸν ὥστε γίγνεσθαι δόρυ.
πλείων δὲ τοῖς ὁρῶσιν ἐστάλασσ' ἱδρὼς
ἢ τοῖσι δρῶσι διὰ φίλων ὀρρωδίαν.
Ἐτεοκλέης δὲ ποδὶ μεταψαίρων πέτρον
ἴχνους ὑπόδρομον, κῶλον ἐκτὸς ἀσπίδος
τίθησι· Πολυνείκης δ' ἀπήντησεν δορὶ,
πληγὴν σιδήρῳ παραδοθεῖσαν εἰσιδὼν,
κνήμην τε διεπέρασεν Ἀργεῖον δόρυ·
στρατὸς δ' ἀνηλάλαξε Δαναϊδῶν ἅπας.
κἀν τῷδε μόχθῳ γυμνὸν ὦμον εἰσιδὼν
ὁ πρόσθε τρωθεὶς στέρνα Πολυνείκους βίᾳ
διῆκε λόγχην, κἀπέδωκεν ἡδονὰς
Κάδμου πολίταις, ἀπὸ δ' ἔθραυσ' ἄκρον δόρυ.
ἐς δ' ἄπορον ἥκων δορὸς ἐπὶ σκέλος πάλιν
χωρεῖ, λαβὼν δ' ἀφῆκε μάρμαρον πέτρον,
μέσον τ' ἄκοντ' ἔθραυσεν· ἐξ ἴσου δ' Ἄρης
ἦν, κάμακος ἀμφοῖν χεῖρ' ἀπεστερημένοιν.
ἐνθένδε κώπας ἁρπάσαντε φασγάνων
ἐς ταυτὸν ἧκον, συμβαλόντε δ' ἀσπίδας
πολὺν ταραγμὸν ἀμφιβάντ' εἶχον μάχης.
καί πως νοήσας Ἐτεοκλῆς τὸ Θεσσαλὸν
εἰσήγαγεν σόφισμ' ὁμιλίᾳ χθονός.
ἀπαλλαγεὶς γὰρ τοῦ παρεστῶτος πόνου,
λαιὸν μὲν ἐς τοὔπισθεν ἀμφέρει πόδα,
πρόσω τὰ κοῖλα γαστρὸς εὐλαβούμενος·
προβὰς δὲ κῶλον δεξιὸν δι' ὀμφαλοῦ
καθῆκεν ἔγχος, σφονδύλοις τ' ἐνήρμοσεν.
ὁμοῦ δὲ κάμψας πλευρὰ καὶ νηδὺν τάλας
ξὺν αἱματηραῖς σταγόσι Πολυνείκης πίτνει.
ὁ δ', ὡς κρατῶν δὴ καὶ νενικηκὼς μάχῃ,
ξίφος δικὼν ἐς γαῖαν ἐσκύλευέ νιν,
τὸν νοῦν πρὸς αὑτὸν οὐκ ἔχων, ἐκεῖσε δέ.
ὃ καί νιν ἔσφηλ'· ἔτι γὰρ ἐμπνέων βραχὺ,
σώζων σίδηρον ἐν λυγρῷ πεσήματι,
μόλις μὲν, ἐξέτεινε δ' εἰς ἧπαρ ξίφος
Ἐτεοκλέους ὁ πρόσθε Πολυνείκης πεσών.
γαῖαν δ' ὀδὰξ ἑλόντες ἀλλήλοιν πέλας
πίπτουσιν ἄμφω, κοὐ διώρισαν κράτος.

ΧΟΡΟΣ.

φεῦ φεῦ, κακῶν σῶν, Οἰδίπους, ὅσον στένω·
τὰς σὰς δ' ἀρὰς ἔοικεν ἐκπλῆσαι θεός.

ΑΓΓΕΛΟΣ.

ἄκουε δή νυν καὶ τὰ πρὸς τούτοις κακά.
ὡς γὰρ πεσόντε παῖδ' ἐλειπέτην βίον,
ἐν τῷδε μήτηρ ἡ τάλαινα προσπίτνει,
τετρωμένους δ' ἰδοῦσα καιρίας σφαγὰς
ᾤμωξεν, ὦ τέκν', ὑστέρα βοηδρόμος
πάρειμι. προσπίτνουσα δ' ἐν μέρει τέκνα,
ἔκλαι', ἐθρήνει τὸν πολὺν μαστῶν πόνον
στένουσ', ἀδελφή θ' ἡ παρασπίζουσ' ὁμοῦ,
ὦ γηροβοσκὼ μητρὸς, ὦ γάμους ἐμοὺς
προδόντ' ἀδελφὼ φιλτάτω· στέρνων δ' ἄπο
φύσημ' ἀνεὶς δύστλητον Ἐτεοκλῆς ἄναξ
ἤκουσε μητρὸς, κἀπιθεὶς ὑγρὰν χέρα
φωνὴν μὲν οὐκ ἀφῆκεν, ὀμμάτων δ' ἄπο
προσεῖπε δακρύοις, ὥστε σημῆναι φίλα.
ὁ δ' ἦν ἔτ' ἔμπνους, πρὸς κασιγνήτην δ' ἰδὼ
γραῖάν τε μητέρ' εἶπε Πολυνείκης τάδε·
ἀπωλόμεσθα, μῆτερ· οἰκτείρω δὲ σὲ
καὶ τήνδ' ἀδελφὴν καὶ κασίγνητον νεκρόν.
φίλος γὰρ ἐχθρὸς ἐγένετ', ἀλλ' ὅμως φίλος.
θάψον δέ μ', ὦ τεκοῦσα καὶ σὺ, σύγγονε,
ἐν γῇ πατρῴᾳ, καὶ πόλιν θυμουμένην
παρηγορεῖτον, ὡς τοσόνδε γοῦν τύχω
χθονὸς πατρῴας, κεἰ δόμους ἀπώλεσα.
ξυνάρμοσον δὲ βλέφαρά μου τῇ σῇ χερὶ,
μῆτερ, τίθησι δ' αὐτὸς ὀμμάτων ἔπι,
καὶ χαίρετ'· ἤδη γάρ με περιβάλλει σκότος.
ἄμφω δ' ἅμ' ἐξέπνευσαν ἄθλιον βίον.
μήτηρ δ', ὅπως ἐσεῖδε τήνδε συμφορὰν,
ὑπερπαθήσασ' ἥρπασ' ἐκ νεκροῦ ξίφος,
κἄπραξε δεινά· διὰ μέσου γὰρ αὐχένος
ὠθεῖ σίδηρον, ἐν δὲ τοῖσι φιλτάτοις
θανοῦσα κεῖται, περιβαλοῦσ' ἀμφοῖν χέρας.
ἀνῇξε δ' ὀρθὸς λαὸς εἰς ἔριν λόγων,
ἡμεῖς μὲν ὡς νικῶντα δεσπότην ἐμὸν,
οἱ δ' ὡς ἐκεῖνον. ἦν δ' ἔρις στρατηλάταις,
οἱ μὲν πατάξαι πρόσθε Πολυνείκη δορὶ,
οἱ δ', ὡς θανόντων οὐδαμοῦ νίκη πέλοι.
οἱ δ' εἰς ὅπλ' ἦσσον· εὖ δέ πως προμηθίᾳ
καθῆστο Κάδμου λαὸς ἀσπίδων ἔπι·
κἄφθημεν οὔπω τεύχεσιν πεφραγμένον
Ἀργεῖον ἐσπεσόντες ἐξαίφνης στρατόν.
κοὐδεὶς ὑπέστη, πεδία δ' ἐξεπίμπλασαν
φεύγοντες, ἔρρει δ' αἷμα μυρίον νεκρῶν,
λόγχαις πιτνόντων. ὡς δ' ἐνικῶμεν μάχῃ,
οἱ μὲν Διὸς τρόπαιον ἵστασαν βρέτας,
οἱ δ' ἀσπίδας συλῶντες Ἀργείων νεκρῶν
σκυλεύματ' εἴσω τειχέων ἐπέμπομεν.
ἄλλοι δὲ τοὺς θανόντας Ἀντιγόνης μέτα
νεκροὺς φέρουσιν ἐνθάδ' οἰκτίσαι φίλοις.
πόλει δ' ἀγῶνες οἱ μὲν εὐτυχέστατοι
τῇδ' ἐξέβησαν, οἱ δὲ δυστυχέστατοι.

ΧΟΡΟΣ.

οὐκ εἰς ἀκοὰς ἔτι δυστυχία
δώματος ἥκει· πάρα γὰρ λεύσσειν
πτώματα νεκρῶν τρισσῶν ἤδη

---

Post 1375. sequebatur
κτανεῖν θ', ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν.

Post 1429. sequebatur
σὺν παρθένῳ τε καὶ προθυμίᾳ ποδός.

Post 1464. sequebatur
κἀν τῷδ' ὑπεξῆλθ' Ἀντιγόνη στρατοῦ δίχ

τάδε πρὸς μελάθροις κοινῷ θανάτῳ
σκοτίαν αἰῶνα λαχόντων.

ΑΝΤΙΓΟΝΗ.

οὐ προκαλυπτομένα βοτρυώδεος
ἁβρὰ παρηίδος,
οὐδ' ὑπὸ παρθενίας τὸν ὑπὸ βλεφάροις
φοίνικ', ἐρύθημα προσώπου,
αἰδομένα φέρομαι βάκχα νεκύων,
κράδεμνα δικοῦσα κόμας ἀπ' ἐμᾶς,
στολίδα κροκόεσσαν ἀνεῖσα τρυφᾶς,
ἁγεμόνευμα νεκροῖσι πολύστονον. αἰαῖ, ἰώ μοι.
ὦ Πολύνεικες, ἔφυς ἄρ' ἐπώνυμος, ὤμοι, Θῆβαι,
σὰ δ' ἔρις, οὐκ ἔρις, ἀλλὰ φόνῳ φόνος
Οἰδιπόδα δόμον ὤλεσε κρανθεὶς
αἵματι δεινῷ, αἵματι λυγρῷ.
τίνα δὲ προσῳδὸν
ἢ τίνα μουσοπόλον στοναχὰν ἐπὶ
δάκρυσι δάκρυσιν, ὦ δόμος, ὦ δόμος,
ἀνακαλέσωμαι,
τρισσὰ φέρουσα τάδ' αἵματα σύγγονα,
ματέρα καὶ τέκνα, χάρματ' Ἐρινύος;
ἃ δόμον Οἰδιπόδα πρόπαν ὤλεσε,
τᾶς ἀγρίας ὅτε
δυσξύνετον ξυνετὸς μέλος ἔγνω
Σφιγγὸς ἀοιδοῦ σῶμα φονεύσας.
ἰώ μοι, πάτερ,
τίς Ἑλλὰς ἢ βάρβαρος, ἢ
τῶν προπάροιθ' εὐγενετᾶν
ἕτερος ἔτλα κακῶν τοσῶνδ'
αἵματος ἁμερίου
τοιάδ' ἄχεα φανερά, τάλαιν'
ὡς ἐλελίζω. τίς ἄρ' ὄρ-
νις δρυὸς ἢ ἐλάτας
ἀκροκόμοις ἀμφὶ κλάδοις
ἑζομένα μονομάτορος [ὀδυρμοῖς] ἐμοῖς
ἄχεσι συνῳδός;
αἴλινον αἰάγμασιν ἃ
τοῖσδε προκλαίω μονάδ' αἰ-
ῶνα διάξουσα τὸν ἀ-
εὶ χρόνον ἐν λειβομένοισιν δακρύοισιν.
τίν' ἰαχήσω;
τίν' ἐπὶ πρῶτον ἀπὸ χαίτας
σπαραγμοῖσιν ἀπαρχὰς βάλω;
ματρὸς ἐμᾶς διδύ-
μοισι γάλακτος παρὰ μαστοῖς
ἢ πρὸς ἀδελφῶν
οὐλόμεν' αἰκίσματα δισσῶν;
ὀτοτοῖ, λίπε σοὺς δόμους,
ἀλαὸν ὄμμα φέρων,
πάτερ γεραιέ, δεῖξον,
Οἰδιπόδα, σὸν αἰῶνα μέλεον, ὃς ἐπὶ
δώμασιν ἀέριον σκότον ὄμμασι σοῖσι βαλὼν ἕλ-
κεις μακρόπνουν ζόαν.
κλύεις, ὦ κατ' αὐλὰν ἀλαίνων γεραιὸν
πόδα δύστανον
δεμνίοις ἰαύων;

ΟΙΔΙΠΟΥΣ.

τί μ', ὦ παρθένε, βακτρεύμασι τυ-
φλοῦ ποδὸς ἐξάγαγες εἰς φῶς
λεχήρη σκοτίων ἐκ θαλάμων
οἰκτροτάτοισιν δακρύοισιν,
πολιὸν αἰθέρος ἀφανὲς εἴδωλον, ἢ
νέκυν ἔνερθεν, ἢ
πτανὸν ὄνειρον;

ΑΝΤΙΓΟΝΗ.

δυστυχὲς ἀγγελίας ἔπος οἴσει,
πάτερ, οὐκέτι σοι τέκνα λεύσσει
φάος, οὐδ' ἄλοχος, παρὰ βάκτροις
ἃ πόδα σὸν τυφλόπουν θεραπεύμασιν αἰὲν ἐμόχθει,
ὦ πάτερ, ὤμοι.

ΟΙΔΙΠΟΥΣ.

ὤμοι ἐμῶν παθέων. πάρα γὰρ στενάχειν τάδ' ἀϋτεῖν.
τρισσαὶ ψυχαὶ ποίᾳ μοίρᾳ,
πῶς ἔλιπον φάος, ὦ τέκνον, αὔδα.

ΑΝΤΙΓΟΝΗ.

οὐκ ἐπ' ὀνείδεσιν οὐδ' ἐπιχάρμασιν,
ἀλλ' ὀδύναισι λέγω· σὸς ἀλάστωρ
ξίφεσιν βρίθων
καὶ πυρὶ καὶ σχετλίαισι μάχαις ἐπὶ παῖδας ἔβα σούς,
ὦ πάτερ, ὤμοι.

ΟΙΔΙΠΟΥΣ.

αἰαῖ.

ΑΝΤΙΓΟΝΗ.

τί τάδε καταστένεις;

ΟΙΔΙΠΟΥΣ.

ὦ τέκνα.

ΑΝΤΙΓΟΝΗ.

δι' ὀδύνας ἔβας,
εἰ τὰ τέθριππ' εἰς ἅρματα λεύσσων
ἀελίου τάδε σώματα νεκρῶν
ὄμματος αὐγαῖς σαῖς ἐπενώμας.

ΟΙΔΙΠΟΥΣ.

τῶν μὲν ἐμῶν τεκέων φανερὸν κακόν·
ἁ δὲ τάλαιν' ἄλοχος τίνι μοι, τέκνον, ὤλετο μοίρᾳ;

ΑΝΤΙΓΟΝΗ.

δάκρυα γοερὰ φανερὰ πᾶσι τιθεμένα,
τέκεσι μαστὸν
ἔφερεν ἔφερεν ἱκέτις ἱκέταν ἀρομένα.
εὗρε δ' ἐν Ἠλέκτραισι πύλαις τέκνα
λωτοτρόφον κατὰ λείμακα λόγχαις
κοινὸν ἐνυάλιον
μάτηρ, ὥστε λέοντας ἐναύλους,
μαρναμένους ἐπὶ τραύμασιν αἵματος,
ἤδη ψυχρὰν λοιβὰν, φονίαν,
ἂν ἔλαχ' Ἅιδας, ὤπασε δ' Ἄρης.
χαλκόκροτον δὲ λαβοῦσα νεκρῶν πάρα φάσγανον εἴσω
σαρκὸς ἔβαψεν, ἄχει δὲ τέκνων ἔπεσ' ἀμφὶ τέκνοισιν.
πάντα δ' ἐν ἄματι τῷδε συνάγαγεν,
ὦ πάτερ, ἁμετέροισι δόμοισιν ἄχη θεὸς, ὅστις
τᾶδε τελευτᾷ.

ΧΟΡΟΣ.

πολλῶν ὑπῆρξεν Οἰδίπου κακῶν δόμοις
τόδ' ἦμαρ· εἴη δ' εὐτυχέστερος βίος.

ΚΡΕΩΝ.

οἴκτων μὲν ἤδη λήγεθ', ὡς ὥρα τάφου
μνήμην τίθεσθαι· τῶνδε δ', Οἰδίπου, λόγων
ἄκουσον· ἀρχὰς τῆσδε γῆς ἔδωκέ μοι

Ἐτεοκλέης δὲ Παλλάδος χρυσάσπιδος
βλέψας πρὸς οἶκον ηὔξατ', ὦ Διὸς κόρη,
δὸς ἔγχος ἡμῖν καλλίνικον ἐκ χερὸς
ἐς στέρν' ἀδελφοῦ τῆσδ' ἀπ' ὠλένης βαλεῖν,
ἐπεὶ δ' ἀφείθη πυρσὸς ὣς Τυρσηνικῆς
σάλπιγγος ἠχὴ, σῆμα φοινίου μάχης,
ἦξαν δρόμημα δεινὸν ἀλλήλοις ἔπι·
κάπροι δ' ὅπως θήγοντες ἀγρίαν γένυν
ξυνῆψαν, ἀφρῷ διάβροχοι γενειάδας·
ἦσσον δὲ λόγχαις· ἀλλ' ὑφίζανον κύκλοις,
ὅπως σίδηρος ἐξολισθάνοι μάτην.
εἰ δ' ὄμμ' ὑπερσχὸν ἴτυος ἅτερος μάθοι,
λόγχην ἐνώμα στόματι, προφθῆναι θέλων.
ἀλλ' εὖ προσῆγον ἀσπίδων κεγχρώμασιν
ὀφθαλμὸν, ἀργὸν ὥστε γίγνεσθαι δόρυ.
πλείων δὲ τοῖς ὁρῶσιν ἐστάλασσ' ἱδρὼς
ἢ τοῖσι δρῶσι διὰ φίλων ὀρρωδίαν.
Ἐτεοκλέης δὲ ποδὶ μεταψαίρων πέτρον
ἴχνους ὑπόδρομον, κῶλον ἐκτὸς ἀσπίδος
τίθησι· Πολυνείκης δ' ἀπήντησεν δορὶ,
πληγὴν σιδήρῳ παραδοθεῖσαν εἰσιδὼν,
κνήμην τε διεπέρασεν Ἀργεῖον δόρυ·
στρατὸς δ' ἀνηλάλαξε Δαναϊδῶν ἅπας.
κἀν τῷδε μόχθῳ γυμνὸν ὦμον εἰσιδὼν
ὁ πρόσθε τρωθεὶς στέρνα Πολυνείκους βίᾳ
διῆκε λόγχην, κἀπέδωκεν ἡδονὰς
Κάδμου πολίταις, ἀπὸ δ' ἔθραυσ' ἄκρον δόρυ.
ἐς δ' ἄπορον ἥκων δορὸς ἐπὶ σκέλος πάλιν
χωρεῖ, λαβὼν δ' ἀφῆκε μάρμαρον πέτρον,
μέσον τ' ἄκοντ' ἔθραυσεν· ἐξ ἴσου δ' Ἄρης
ἦν, κάμακος ἀμφοῖν χεῖρ' ἀπεστερημένοιν.
ἐνθένδε κώπας ἁρπάσαντε φασγάνων
ἐς ταυτὸν ἧκον, συμβαλόντε δ' ἀσπίδας
πολὺν ταραγμὸν ἀμφιβάντ' εἶχον μάχης.
καί πως νοήσας Ἐτεοκλῆς τὸ Θεσσαλὸν
εἰσήγαγεν σόφισμ' ὁμιλίᾳ χθονός.
ἀπαλλαγεὶς γὰρ τοῦ παρεστῶτος πόνου,
λαιὸν μὲν ἐς τοὔπισθεν ἀμφέρει πόδα,
πρόσω τὰ κοῖλα γαστρὸς εὐλαβούμενος·
προβὰς δὲ κῶλον δεξιὸν δι' ὀμφαλοῦ
καθῆκεν ἔγχος, σφονδύλοις τ' ἐνήρμοσεν.
ὁμοῦ δὲ κάμψας πλευρὰ καὶ νηδὺν τάλας
ξὺν αἱματηραῖς σταγόσι Πολυνείκης πίτνει.
ὁ δ', ὡς κρατῶν δὴ καὶ νενικηκὼς μάχῃ,
ξίφος δικὼν ἐς γαῖαν ἐσκύλευέ νιν,
τὸν νοῦν πρὸς αὑτὸν οὐκ ἔχων, ἐκεῖσε δέ.
ὃ καί νιν ἔσφηλ'· ἔτι γὰρ ἐμπνέων βραχὺ,
σῴζων σίδηρον ἐν λυγρῷ πεσήματι,
μόλις μὲν, ἐξέτεινε δ' εἰς ἧπαρ ξίφος
Ἐτεοκλέους ὁ πρόσθε Πολυνείκης πεσών.
γαῖαν δ' ὀδὰξ ἑλόντες ἀλλήλοιν πέλας
πίπτουσιν ἄμφω, κοὐ διώρισαν κράτος.

ΧΟΡΟΣ.

φεῦ φεῦ, κακῶν σῶν, Οἰδίπους, ὅσον στένω·
τὰς σὰς δ' ἀρὰς ἔοικεν ἐκπλῆσαι θεός.

ΑΓΓΕΛΟΣ.

ἄκουε δή νυν καὶ τὰ πρὸς τούτοις κακά.
ὡς γὰρ πεσόντε παῖδ' ἐλειπέτην βίον,
ἐν τῷδε μήτηρ ἡ τάλαινα προσπίτνει,
τετρωμένους δ' ἰδοῦσα καιρίας σφαγὰς
ᾤμωξεν, ὦ τέκν', ὑστέρα βοηδρόμος
πάρειμι. προσπίτνουσα δ' ἐν μέρει τέκνα,
ἔκλαι', ἐθρήνει τὸν πολὺν μαστῶν πόνον
στένουσ', ἀδελφή θ' ἡ παρασπίζουσ' ὁμοῦ,
ὦ γηροβοσκὼ μητρὸς, ὦ γάμους ἐμοὺς
προδόντ' ἀδελφὼ φιλτάτω· στέρνων δ' ἄπο
φύσημ' ἀνεὶς δύσπνοον Ἐτεοκλῆς ἄναξ
ἤκουσε μητρὸς, κἀπιθεὶς ὑγρὰν χέρα
φωνὴν μὲν οὐκ ἀφῆκεν, ὀμμάτων δ' ἄπο
προσεῖπε δακρύοις, ὥστε σημῆναι φίλα.
ὁ δ' ἦν ἔτ' ἔμπνους, πρὸς κασιγνήτην δ' ἰδὼν
γραῖάν τε μητέρ' εἶπε Πολυνείκης τάδε·
ἀπωλόμεσθα, μῆτερ· οἰκτείρω δὲ σὲ
καὶ τήνδ' ἀδελφὴν καὶ κασίγνητον νεκρόν.
φίλος γὰρ ἐχθρὸς ἐγένετ', ἀλλ' ὅμως φίλος.
θάψον δέ μ', ὦ τεκοῦσα καὶ σὺ, σύγγονε,
ἐν γῇ πατρῴᾳ, καὶ πόλιν θυμουμένην
παρηγορεῖτον, ὡς τοσόνδε γοῦν τύχω
χθονὸς πατρῴας, κεἰ δόμους ἀπώλεσα.
ξυνάρμοσον δὲ βλέφαρά μου τῇ σῇ χερὶ,
μῆτερ, τίθησι δ' αὐτὸς ὀμμάτων ἔπι,
καὶ χαίρετ'· ἤδη γάρ με περιβάλλει σκότος.
ἄμφω δ' ἅμ' ἐξέπνευσαν ἄθλιον βίον.
μήτηρ δ', ὅπως ἐσεῖδε τήνδε συμφορὰν,
ὑπερπαθήσασ' ἥρπασ' ἐκ νεκροῦ ξίφος,
κἄπραξε δεινά· διὰ μέσου γὰρ αὐχένος
ὠθεῖ σίδηρον, ἐν δὲ τοῖσι φιλτάτοις
θανοῦσα κεῖται, περιβαλοῦσ' ἀμφοῖν χέρας.
ἀνῆξε δ' ὀρθὸς λαὸς εἰς ἔριν λόγων,
ἡμεῖς μὲν ὡς νικῶντα δεσπότην ἐμὸν,
οἱ δ' ὡς ἐκεῖνον. ἦν δ' ἔρις στρατηλάταις,
οἱ μὲν πατάξαι πρόσθε Πολυνείκη δορὶ,
οἱ δ', ὡς θανόντων οὐδαμοῦ νίκη πέλοι.
οἱ δ' εἰς ὅπλ' ἦσσον· εὖ δέ πως προμηθίᾳ
καθῆστο Κάδμου λαὸς ἀσπίδων ἔπι·
κἄφθημεν οὔπω τεύχεσιν πεφραγμένον
Ἀργεῖον ἐσπεσόντες ἐξαίφνης στρατόν.
κοὐδεὶς ὑπέστη, πεδία δ' ἐξεπίμπλασαν
φεύγοντες, ἔρρει δ' αἷμα μυρίον νεκρῶν,
λόγχαις πιτνόντων. ὡς δ' ἐνικῶμεν μάχῃ,
οἱ μὲν Διὸς τρόπαιον ἵστασαν βρέτας,
οἱ δ' ἀσπίδας συλῶντες Ἀργείων νεκρῶν
σκυλεύματ' εἴσω τειχέων ἐπέμπομεν.
ἄλλοι δὲ τοὺς θανόντας Ἀντιγόνης μέτα
νεκροὺς φέρουσιν ἐνθάδ' οἰκτίσαι φίλοις.
πόλει δ' ἀγῶνες οἱ μὲν εὐτυχέστατοι
τῇδ' ἐξέβησαν, οἱ δὲ δυστυχέστατοι.

ΧΟΡΟΣ.

οὐκ εἰς ἀκοὰς ἔτι δυστυχία
δώματος ἥκει· πάρα γὰρ λεύσσειν
πτώματα νεκρῶν τρισσῶν ἤδη

Post 1375. sequebatur
κτανεῖν θ', ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν.

Post 1429. sequebatur
σὺν παρθένῳ τε καὶ προθυμίᾳ ποδός.

Post 1464. sequebatur
κἀν τῷδ' ὑπεξῆλθ' Ἀντιγόνη στρατοῦ δίχα.

τάδε πρὸς μελάθροις κοινῷ θανάτῳ
σκοτίαν αἰῶνα λαχόντων.

ΑΝΤΙΓΟΝΗ.

οὐ προκαλυπτομένα βοτρυώδεος
ἁβρὰ παρηΐδος,
οὐδ' ὑπὸ παρθενίας τὸν ὑπὸ βλεφάροις
φοίνιχ', ἐρύθημα προσώπου,
αἰδομένα φέρομαι βάκχα νεκύων,
κράδεμνα δικοῦσα κόμας ἀπ' ἐμᾶς,
στολίδα κροκόεσσαν ἀνεῖσα τρυφᾶς,
ἁγεμόνευμα νεκροῖσι πολύστονον. αἰαῖ, ἰώ μοι.
ὦ Πολύνεικες, ἔφυς ἄρ' ἐπώνυμος, ὤμοι, Θῆβαι,
σὰ δ' ἔρις, οὐκ ἔρις, ἀλλὰ φόνῳ φόνος
Οἰδιπόδα δόμον ὤλεσε κρανθεὶς
αἵματι δεινῷ, αἵματι λυγρῷ.
τίνα δὲ προσῳδὸν
ἢ τίνα μουσοπόλον στοναχὰν ἐπὶ
δάκρυσι δάκρυσιν, ὦ δόμος, ὦ δόμος,
ἀνακαλέσωμαι,
τρισσὰ φέρουσα τάδ' αἵματα σύγγονα,
ματέρα καὶ τέκνα, χάρματ' Ἐρινύος;
ἃ δόμον Οἰδιπόδα πρόπαν ὤλεσε,
τᾶς ἀγρίας ὅτε
δυσξύνετον ξυνετὸς μέλος ἔγνω
Σφιγγὸς ἀοιδοῦ σῶμα φονεύσας.
ἰώ μοι, πάτερ,
τίς Ἑλλὰς ἢ βάρβαρος, ἢ
τῶν προπάροιθ' εὐγενετᾶν
ἕτερος ἔτλα κακῶν τοσῶνδ'
αἵματος ἁμερίου
τοιάδ' ἄχεα φανερά, τάλαιν'
ὡς ἐλελίζω. τίς ἄρ' ὄρ-
νις δρυὸς ἢ ἐλάτας
ἀκροκόμοις ἀμφὶ κλάδοις
ἑζομένα μονομάτορος [ὀδυρμοῖς] ἐμοῖς
ἄχεσι συνῳδός;
αἴλινον αἰάγμασιν ἃ
τοῖσδε προκλαίω μονάδ' αἰ-
ῶνα διάξουσα τὸν ἀ-
εὶ χρόνον ἐν λειβομένοισιν δακρύοισιν.
τίν' ἰαχήσω;
τίν' ἐπὶ πρῶτον ἀπὸ χαίτας
σπαραγμοῖσιν ἀπαρχὰς βάλω;
ματρὸς ἐμᾶς διδύ-
μοισι γάλακτος παρὰ μαστοῖς
ἢ πρὸς ἀδελφῶν
οὐλόμεν' αἰκίσματα δισσῶν;
ὀτοτοῖ, λίπε σοὺς δόμους,
ἀλαὸν ὄμμα φέρων,
πάτερ γεραιέ, δεῖξον,
Οἰδιπόδα, σὸν αἰῶνα μέλεον, ὃς ἐπὶ
δώμασιν ἀέριον σκότον ὄμμασι σοῖσι βαλὼν ἕλ-
κεις μακρόπνουν ζόαν.
κλύεις, ὦ κατ' αὐλὰν ἀλαίνων γεραιὸν
πόδα δύστανον
δεμνίοις ἰαύων;

ΟΙΔΙΠΟΥΣ.

τί μ', ὦ παρθένε, βακτρεύμασι τυ-
φλοῦ ποδὸς ἐξάγαγες εἰς φῶς
λεχήρη σκοτίων ἐκ θαλάμων
οἰκτροτάτοισιν δακρύοισιν,
πολιὸν αἰθέρος ἀφανὲς εἴδωλον, ἢ
νέκυν ἔνερθεν, ἢ
πτανὸν ὄνειρον;

ΑΝΤΙΓΟΝΗ.

δυστυχὲς ἀγγελίας ἔπος οἴσει,
πάτερ, οὐκέτι σοι τέκνα λεύσσει
φάος, οὐδ' ἄλοχος, παρὰ βάκτροις
ἃ πόδα σὸν τυφλόπουν θεραπεύμασιν αἰὲν ἐμόχθει,
ὦ πάτερ, ὤμοι.

ΟΙΔΙΠΟΥΣ.

ὤμοι ἐμῶν παθέων. πάρα γὰρ στενάχειν τάδ'
ἀϋτεῖν.
τρισσαὶ ψυχαὶ ποίᾳ μοίρᾳ,
πῶς ἔλιπον φάος, ὦ τέκνον, αὔδα.

ΑΝΤΙΓΟΝΗ.

οὐκ ἐπ' ὀνείδεσιν οὐδ' ἐπιχάρμασιν,
ἀλλ' ὀδύναισι λέγω· σὸς ἀλάστωρ
ξίφεσιν βρίθων
καὶ πυρὶ καὶ σχετλίαισι μάχαις ἐπὶ παῖδας ἔβα σούς,
ὦ πάτερ, ὤμοι.

ΟΙΔΙΠΟΥΣ.

αἰαῖ.

ΑΝΤΙΓΟΝΗ.

τί τάδε καταστένεις;

ΟΙΔΙΠΟΥΣ.

ὦ τέκνα.

ΑΝΤΙΓΟΝΗ.

δι' ὀδύνας ἔβας,
εἰ τὰ τέθριππ' εἰς ἅρματα λεύσσων
ἀελίου τάδε σώματα νεκρῶν
ὄμματος αὐγαῖς σαῖς ἐπενώμας.

ΟΙΔΙΠΟΥΣ.

τῶν μὲν ἐμῶν τεκέων φανερὸν κακόν·
ἁ δὲ τάλαιν' ἄλοχος τίνι μοι, τέκνον, ὤλετο μοίρᾳ;

ΑΝΤΙΓΟΝΗ.

δάκρυα γοερὰ φανερὰ πᾶσι τιθεμένα,
τέκεσι μαστὸν
ἔφερεν ἔφερεν ἱκέτις ἱκέταν ἀρομένα.
εὗρε δ' ἐν Ἠλέκτραισι πύλαις τέκνα
λωτοτρόφον κατὰ λείμακα λόγχαις
κοινὸν ἐνυάλιον
μάτηρ, ὥστε λέοντας ἐναύλους,
μαρναμένους ἐπὶ τραύμασιν αἵματος,
ἤδη ψυχρὰν λοιβὰν, φονίαν,
ἂν ἔλαχ' Ἅιδας, ὤπασε δ' Ἄρης.
χαλκόκροτον δὲ λαβοῦσα νεκρῶν πάρα φάσγα-
νον εἴσω
σαρκὸς ἔβαψεν, ἄχει δὲ τέκνων ἔπεσ' ἀμφὶ τέκ-
νοισιν.
πάντα δ' ἐν ἄματι τῷδε συνάγαγεν,
ὦ πάτερ, ἁμετέροισι δόμοισιν ἄχη θεὸς, ὅστις
τάδε τελευτᾷ.

ΧΟΡΟΣ.

πολλῶν ὑπῆρξεν Οἰδίπου κακῶν δόμοις
τόδ' ἦμαρ· εἴη δ' εὐτυχέστερος βίος.

ΚΡΕΩΝ.

οἴκτων μὲν ἤδη λήγεθ', ὡς ὥρα τάφου
μνήμην τίθεσθαι· τῶνδε δ', Οἰδίπου, λόγων
ἄκουσον· ἀρχὰς τῆσδε γῆς ἔδωκέ μοι

Ἐτεοκλέης παῖς σὸς, γάμων φερνὰς διδοὺς
Αἵμονι, κόρης τε λέκτρον Ἀντιγόνης σέθεν.
οὔκουν σ᾽ ἐάσω τήνδε γῆν οἰκεῖν ἔτι·
σαφῶς γὰρ εἶπε Τειρεσίας οὐ μή ποτε
σοῦ τήνδε γῆν οἰκοῦντος εὖ πράξειν πόλιν·
ἀλλ᾽ ἐκκομίζου. καὶ τάδ᾽ οὐχ ὕβρει λέγω,
οὐδ᾽ ἐχθρὸς ὤν σοι, διὰ δὲ τοὺς ἀλάστορας
τοὺς σοὺς δεδοικὼς μή τι γῆ πάθῃ κακόν.

ΟΙΔΙΠΟΥΣ.

ὦ μοῖρ᾽, ἀπ᾽ ἀρχῆς ὥς μ᾽ ἔφυσας ἄθλιον
[καὶ τλήμον᾽, εἴ τις ἄλλος ἀνθρώπων ἔφυ]·
ὃν καὶ πρὶν ἐς φῶς μητρὸς ἐκ γονῆς μολεῖν,
ἄγονον Ἀπόλλων Λαΐῳ μ᾽ ἐθέσπισε
φονέα γενέσθαι πατρός· ὢ τάλας ἐγώ.
ἐπεὶ δ᾽ ἐγενόμην, αὖθις ὁ σπείρας πατὴρ
κτείνει με, νομίσας πολέμιον πεφυκέναι·
χρῆν γὰρ θανεῖν νιν ἐξ ἐμοῦ· πέμπει δέ με
μαστὸν ποθοῦντα θηρσὶν ἄθλιαν βοράν·
οὗ σωζόμεσθα. Ταρτάρου γὰρ ὤφελεν
ἐλθεῖν Κιθαιρὼν εἰς ἄβυσσα χάσματα,
ὅς μ᾽ οὐ διώλεσ᾽, ἀλλὰ δουλεῦσαί τέ με
* Πόλυβον ἐξέδωκεν ἀμφὶ δεσπότην.
κτανών τ᾽ ἐμαυτοῦ πατέρ᾽ ὁ δυσδαίμων ἐγὼ
ἐς μητρὸς ἦλθον τῆς ταλαιπώρου λέχος,
παῖδάς τ᾽ ἀδελφοὺς ἔτεκον οὓς ἀπώλεσα,
ἀρὰς παραλαβὼν Λαΐου καὶ παισὶ δούς.
οὐ γὰρ τοσοῦτον ἀσύνετος πέφυκ᾽ ἐγὼ
ὥστ᾽ εἰς ἔμ᾽ ὄμματ᾽ ἔς τ᾽ ἐμῶν παίδων βίον
ἄνευ θεῶν του ταῦτ᾽ ἐμηχανησάμην.
εἶεν· τί δράσω δῆθ᾽ ὁ δυσδαίμων ἐγώ;
τίς ἡγεμών μοι ποδὸς ὁμαρτήσει τυφλοῦ;
ἥδ᾽ ἡ θανοῦσα; ζῶσά γ᾽ ἂν σάφ᾽ οἶδ᾽ ὅτι.
ἀλλ᾽ εὔτεκνος ξυνωρίς; ἀλλ᾽ οὐκ ἔστι μοι.
ἀλλ᾽ ἔτι νεάζων αὐτὸν εὕροιμ᾽ ἂν βίον;
πόθεν; τί μ᾽ ἄρδην ὧδ᾽ ἀποκτείνεις, Κρέον;
ἀποκτενεῖς γὰρ, εἴ με γῆς ἔξω βαλεῖς.
οὐ μὴν ἑλίξας γ᾽ ἀμφὶ σὸν χεῖρας γόνυ
κακὸς φανοῦμαι· τὸ γὰρ ἐμόν ποτ᾽ εὐγενὲς
οὐκ ἂν προδοίην, οὐδέπερ πράσσων κακῶς.

ΚΡΕΩΝ.

σοί τ᾽ εὖ λέλεκται, γόνατα μὴ χρώζειν ἐμὰ,
ἐγώ τε ναίειν σ᾽ οὐκ ἐάσαιμ᾽ ἂν χθόνα.
νεκρῶν δὲ τῶνδε τὸν μὲν ἐς δόμους χρεὼν
ἤδη κομίζειν, τόνδε δ᾽, ὃς πέρσων πόλιν
πατρίδα σὺν ἄλλοις ἦλθε, Πολυνείκους νέκυν,
ἐκβάλετ᾽ ἄθαπτον τῆσδ᾽ ὅρων ἔξω χθονός.
κηρύξεται δὲ πᾶσι Καδμείοις τάδε,
ὃς ἂν νεκρὸν τόνδ᾽ ἢ καταστέφων ἁλῷ
ἢ γῇ καλύπτων, θάνατον ἀνταλλάξεται.
σὺ δ᾽, ἐκλιποῦσα τριπτύχων θρήνους νεκρῶν,
κόμιζε σαυτὴν, Ἀντιγόνη, δόμων ἔσω,
καὶ παρθενεύου τὴν ἰοῦσαν ἡμέραν
μένουσ᾽, ἐν ᾗ σε λέκτρον Αἵμονος μένει.

ΑΝΤΙΓΟΝΗ.

ὦ πάτερ, ἐν οἵοις κείμεθ᾽ ἀθλίοις κακοῖς.
ὥς σε στενάζω τῶν τεθνηκότων πλέον·
οὐ γὰρ τὸ μέν σοι βαρὺ κακῶν, τὸ δ᾽ οὐ βαρὺ,
ἀλλ᾽ εἰς ἅπαντα δυστυχὴς ἔφυς, πάτερ.
ἀτὰρ σ᾽ ἐρωτῶ τὸν νεωστὶ κοίρανον,
τί θεσμοποιεῖς ἐπὶ ταλαιπώρῳ νεκρῷ;

ΚΡΕΩΝ.

Ἐτεοκλέους βουλεύματ᾽, οὐχ ἡμῶν, τάδε.

ΑΝΤΙΓΟΝΗ.

ἄφρονά γε, καὶ σὺ μῶρος, ὃς ἐπίθου τάδε.

ΚΡΕΩΝ.

πῶς; τἀντεταλμέν᾽ οὐ δίκαιον ἐκπονεῖν;

ΑΝΤΙΓΟΝΗ.

οὐκ, ἢν πονηρά γ᾽ ᾖ κακῶς τ᾽ εἰρημένα.

ΚΡΕΩΝ.

τί δ᾽; οὐ δικαίως ὅδε κυσὶν δοθήσεται;

ΑΝΤΙΓΟΝΗ.

οὐκ ἔννομόν γὰρ τὴν δίκην πράσσεσθέ νιν.

ΚΡΕΩΝ.

εἴπερ γε πόλεως ἐχθρὸς ἦν, οὐκ ἐχθρὸς ὤν.

ΑΝΤΙΓΟΝΗ.

οὐκοῦν ἔδωκε τῇ τύχῃ τὸν δαίμονα.

ΚΡΕΩΝ.

καὶ τῷ τάφῳ νυν τὴν δίκην παρασχέτω.

ΑΝΤΙΓΟΝΗ.

τί πλημμελήσας, τὸ μέρος εἰ μετῆλθε γῆς;

ΚΡΕΩΝ.

ἄταφος ὅδ᾽ ἀνὴρ, ὡς μάθῃς, γενήσεται.

ΑΝΤΙΓΟΝΗ.

ἐγώ σφε θάψω, κἂν ἀπεννέπῃ πόλις.

ΚΡΕΩΝ.

σαυτὴν ἄρ᾽ ἐγγὺς τῷδε συνθάψεις νεκρῷ.

ΑΝΤΙΓΟΝΗ.

ἀλλ᾽ εὐκλεές τοι δύο φίλω κεῖσθαι πέλας.

ΚΡΕΩΝ.

λάζυσθε τήνδε κεἰς δόμους κομίζετε.

ΑΝΤΙΓΟΝΗ.

οὐ δῆτ᾽, ἐπεὶ τοῦδ᾽ οὐ μεθήσομαι νεκροῦ.

ΚΡΕΩΝ.

ἔκριν᾽ ὁ δαίμων, παρθέν᾽, οὐχ ἃ σοὶ δοκεῖ.

ΑΝΤΙΓΟΝΗ.

κἀκεῖνα κέκριται, μὴ ᾽φυβρίζεσθαι νεκρούς.

ΚΡΕΩΝ.

ὡς οὔτις ἀμφὶ τῷδ᾽ ὑγρὰν θήσει κόνιν.

ΑΝΤΙΓΟΝΗ.

ναὶ πρός σε τῆσδε μητρὸς Ἰοκάστης, Κρέον.

ΚΡΕΩΝ.

μάταια μοχθεῖς· οὐ γὰρ ἂν τύχοις τάδε.

ΑΝΤΙΓΟΝΗ.

σὺ δ᾽ ἀλλὰ νεκρῷ λουτρὰ περιβαλεῖν μ᾽ ἔα.

ΚΡΕΩΝ.

ἓν τοῦτ᾽ ἂν εἴη τῶν ἀπορρήτων πόλει.

ΑΝΤΙΓΟΝΗ.

ἀλλ᾽ ἀμφὶ τραύματ᾽ ἄγρια τελαμῶνας βαλεῦ.

ΚΡΕΩΝ.

οὐκ ἔσθ᾽ ὅπως σὺ τόνδε τιμήσεις νέκυν.

ΑΝΤΙΓΟΝΗ.

ὦ φίλτατ᾽, ἀλλὰ στόμα γε σὸν προσπτύξομαι.

ΚΡΕΩΝ.

οὐκ ἐς γάμους σοὺς ξυμφορὰν κτήσει γόοις.

---

Post 1633. sequebatur
ἐᾶν δ᾽ ἄκλαυστον, ἄταφον, οἰωνοῖς βοράν.

Post 1643. sequebatur
τί τόνδ᾽ ὑβρίζεις πατέρ᾽ ἀποστέλλων χθονί

ΑΝΤΙΓΟΝΗ.
ἦ γὰρ γαμοῦμαι ζῶσα παιδὶ σῷ ποτε;
ΚΡΕΩΝ.
πολλή 'στ' ἀνάγκη· ποῖ γὰρ ἐκφεύξει λέχος;
ΑΝΤΙΓΟΝΗ.
νὺξ ἄρ' ἐκείνη Δαναΐδων μ' ἕξει μίαν.
ΚΡΕΩΝ.
εἶδες τὸ τόλμημ' οἷον ἐξωνείδισεν;
ΑΝΤΙΓΟΝΗ.
ἴστω σίδηρος ὅρκιόν τέ μοι ξίφος.
ΚΡΕΩΝ.
τί δ' ἐκπροθυμεῖ τῶνδ' ἀπηλλάχθαι γάμων;
ΑΝΤΙΓΟΝΗ.
ξυμφεύξομαι τῷδ' ἀθλιωτάτῳ πατρί.
ΚΡΕΩΝ.
γενναιότης σοι, μωρία δ' ἔνεστί τις.
ΑΝΤΙΓΟΝΗ.
καὶ ξυνθανοῦμαί γ', ὡς μάθῃς περαιτέρω.
ΚΡΕΩΝ.
ἴθ', οὐ φονεύσεις παῖδ' ἐμόν, λεῖπε χθόνα.
ΟΙΔΙΠΟΥΣ.
ὦ θύγατερ, αἰνῶ μέν σε τῆς προθυμίας.
ΑΝΤΙΓΟΝΗ.
ἀλλ' εἰ γαμοίμην, σὺ δὲ μόνος φεύγοις, πάτερ.
ΟΙΔΙΠΟΥΣ.
μέν' εὐτυχοῦσα, τἄμ' ἐγὼ στέρξω κακά.
ΑΝΤΙΓΟΝΗ.
καὶ τίς σε τυφλὸν ὄντα θεραπεύσει, πάτερ;
ΟΙΔΙΠΟΥΣ.
πεσὼν ὅπου μοι μοῖρα κείσομαι πέδῳ.
ΑΝΤΙΓΟΝΗ.
ὁ δ' Οἰδίπους ποῦ καὶ τὰ κλείν' αἰνίγματα;
ΟΙΔΙΠΟΥΣ.
ὄλωλ'· ἕν ἦμάρ μ' ὤλβισ', ἓν δ' ἀπώλεσεν.
ΑΝΤΙΓΟΝΗ.
οὔκουν μετασχεῖν κἀμὲ δεῖ τῶν σῶν κακῶν.
ΟΙΔΙΠΟΥΣ.
αἰσχρὰ φυγὴ θυγατρὶ σὺν τυφλῷ πατρί.
ΑΝΤΙΓΟΝΗ
οὐ σωφρονούσῃ γ', ἀλλὰ γενναίᾳ, πάτερ.
ΟΙΔΙΠΟΥΣ.
προσάγαγέ νύν με, μητρὸς ὡς ψαύσω σέθεν.
ΑΝΤΙΓΟΝΗ.
ἰδού, γεραιᾶς φιλτάτης ψαῦσον χερί.
ΟΙΔΙΠΟΥΣ.
ὦ μῆτερ, ὦ συνάορ' ἀθλιωτάτη.
ΑΝΤΙΓΟΝΗ.
οἰκτρὰ πρόκειται, πάντ' ἔχουσ' ὁμοῦ κακά.
ΟΙΔΙΠΟΥΣ.
Ἐτεοκλέους δὲ πτῶμα Πολυνείκους τε ποῦ;
ΑΝΤΙΓΟΝΗ.
τώδ' ἐκτάδην σοι κεῖσθον ἀλλήλοιν πέλας.
ΟΙΔΙΠΟΥΣ.
πρόσθες τυφλὴν χέρ' ἐπὶ πρόσωπα δυστυχῆ.
ΑΝΤΙΓΟΝΗ.
ἰδού, θανόντων σῶν τέκνων ἅπτου χερί.
ΟΙΔΙΠΟΥΣ.
ὦ φίλα πεσήματ' ἄθλι' ἀθλίου πατρός.
ΑΝΤΙΓΟΝΗ.
ὦ φίλτατον δῆτ' ὄνομα Πολυνείκους ἐμοί.
ΟΙΔΙΠΟΥΣ.
νῦν χρησμός, ὦ παῖ, Λοξίου περαίνεται.
ΑΝΤΙΓΟΝΗ.
ὁ ποῖος; ἀλλ' ἦ πρὸς κακοῖς ἐρεῖς κακά;
ΟΙΔΙΠΟΥΣ.
ἐν ταῖς Ἀθήναις κατθανεῖν μ' ἀλώμενον.
ΑΝΤΙΓΟΝΗ.
ποῦ, τίς σε πύργος Ἀτθίδος προσδέξεται;
ΟΙΔΙΠΟΥΣ.
ἱρὸς Κολωνός, δώμα θ' ἱππίου θεοῦ.
ἀλλ' εἶα, τυφλῷ τῷδ' ὑπηρέτει πατρί,
ἐπεὶ προθυμεῖ τῆσδε κοινοῦσθαι φυγῆς.
ΑΝΤΙΓΟΝΗ.
ἴθ' ἐς φυγὰν τάλαιναν· ὄρεγε χέρα φίλαν,
πάτερ γεραιέ, πομπίμαν
ἔχων ἔμ', ὥστε ναυσίπομπον αὔραν.
ΟΙΔΙΠΟΥΣ.
ἰδού, πορεύομαι, τέκνον,
σύ μοι ποδαγὸς ἀθλία γενοῦ.
ΑΝΤΙΓΟΝΗ.
γενόμεθα γενόμεθ' ἄθλιοι
δῆτα Θηβαιᾶν μάλιστα παρθένων.
ΟΙΔΙΠΟΥΣ.
πόθι γεραιὸν ἴχνος τίθημι;
βάκτρα πρόσφερ', ὦ τέκνον.
ΑΝΤΙΓΟΝΗ.
τᾷδε τᾷδε βᾶθί μοι,
τᾷδε [τᾷδε] πόδα τίθει, πάτερ,
ὥστ' ὄνειρον ἰσχὺν [ἔχων].
ΟΙΔΙΠΟΥΣ.
ἰὼ ἰώ, δυστυχεστάτας φυγὰς
ἐλαύνων τὸν γέροντά μ' ἐκ πάτρας.
ἰὼ ἰώ, δεινὰ δείν' ἐγὼ τλάς.
ΑΝΤΙΓΟΝΗ.
τί τλάς; τί τλάς; οὐχ ὁρᾷ Δίκα κακούς,
οὐδ' ἀμείβεται βροτῶν ἀσυνεσίας.
ΟΙΔΙΠΟΥΣ.
ὅδ' εἰμὶ μοῦσαν ὃς ἐπὶ καλ-
λίνικον οὐράνιον ἔβαν
παρθένου κόρας αἰ-
νιγμ' ἀσύνετον εὑρών.
ΑΝΤΙΓΟΝΗ.
Σφιγγὸς ἀναφέρεις ὄνειδος;
ἄπαγε τὰ πάρος εὐτυχήματ' αὐδῶν.
τάδε σ' ἐπέμενε μέλεα πάθεα
φυγάδα πατρίδος ἄπο γενόμενον,
ὦ πάτερ, θανεῖν που.
ποθεινὰ δάκρυα παρὰ φίλαισι παρθένοις
λιποῦσ' ἄπειμι πατρίδος ἀποπρὸ γαίας
ἀπαρθένευτ' ἀλωμένα.
ΟΙΔΙΠΟΥΣ.
φεῦ τὸ χρήσιμον φρενῶν,

ΑΝΤΙΓΟΝΗ.

εἰς πατρός γε συμφορὰς
εὐκλεᾶ με θήσει·
τάλαιν' ἐγὼ συγγόνου θ' ὑβρισμάτων,
ὃς ἐκ δόμων νέκυς ἄθαπτος οἴχεται,
μέλεος, ὅν, εἴ με καὶ θανεῖν, πάτερ, χρεών,
σκότια γᾷ καλύψω.

ΟΙΔΙΠΟΥΣ.

πρὸς ἥλικας φάνηθι σάς.

ΑΝΤΙΓΟΝΗ.

ἅλις ὀδυρμάτων ἐμῶν.

ΟΙΔΙΠΟΥΣ.

σὺ δ' ἀμφὶ βωμίους λιτάς.

ΑΝΤΙΓΟΝΗ.

κόρον ἔχουσ' ἐμῶν κακῶν.

ΟΙΔΙΠΟΥΣ.

ἴθ' ἀλλὰ Βρόμιος ἵνα τε ση-
κὸς ἄβατος ὄρεσι μαινάδων.

ΑΝΤΙΓΟΝΗ.

Καδμείαν ᾧ
νεβρίδα στολιδωσαμένα ποτ' ἐγὼ
θίασον Σεμέλας
ἱερὸν ὄρεσιν ἀνεχόρευσα,
χάριν ἀχάριτον ἐς θεοὺς διδοῦσα;

ΟΙΔΙΠΟΥΣ.

ὦ πάτρας κλεινῆς πολῖται, λεύσσετ', Οἰδίπους ὅδε,
ὃς τὰ κλείν' αἰνίγματ' ἔγνω καὶ μέγιστος ἦν ἀνήρ,
ὃς μόνος Σφιγγὸς κατέσχον τῆς μιαιφόνου κράτη,
νῦν ἄτιμος αὐτὸς, οἰκτρὸς, ἐξελαύνομαι χθονός.
ἀλλὰ γὰρ τί ταῦτα θρηνῶ καὶ μάτην ὀδύρομαι;
τὰς γὰρ ἐκ θεῶν ἀνάγκας θνητὸν ὄντα δεῖ φέρειν.

[ΧΟΡΟΣ.

ὦ μέγα σεμνὰ Νίκα, τὸν ἐμὸν
βίοτον κατέχοις
καὶ μὴ λήγοις στεφανοῦσα.]

# ΕΥΡΙΠΙΔΟΥ ΟΡΕΣΤΗΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

| | |
|---|---|
| *ΗΛΕΚΤΡΑ.* | *ΤΥΝΔΑΡΕΩΣ.* |
| *ΕΛΕΝΗ.* | *ΠΥΛΑΔΗΣ.* |
| *ΕΡΜΙΟΝΗ.* | *ΑΓΓΕΛΟΣ.* |
| *ΧΟΡΟΣ.* | *ΦΡΥΞ.* |
| *ΟΡΕΣΤΗΣ.* | *ΑΠΟΛΛΩΝ.* |
| *ΜΕΝΕΛΑΟΣ.* | |

## *ΥΠΟΘΕΣΙΣ.*

*Ὀρέστης τὸν φόνον τοῦ πατρὸς μεταπορευόμενος ἀνεῖλεν Αἴγισθον καὶ Κλυταιμνήστραν· μητροκτονῆσαι δὲ τολμήσας, παραχρῆμα τὴν δίκην ἔδωκεν, ἐμμανὴς γενόμενος. Τυνδάρεω δὲ τοῦ πατρὸς τῆς ἀνῃρημένης κατηγορήσαντος κατ' αὐτοῦ, ἔμελλον Ἀργεῖοι κοινὴν ψῆφον ἐκφέρεσθαι περὶ τοῦ τί δεῖ παθεῖν τὸν ἀσεβήσαντα· κατὰ τύχην δὲ Μενέλαος ἐκ τῆς πλάνης ὑποστρέψας, νυκτὸς μὲν Ἑλένην εἰσαπέστειλε, μεθ' ἡμέραν δὲ αὐτὸς ἦλθε. καὶ παρακαλούμενος ὑπ' Ὀρέστου βοηθῆσαι αὐτῷ, ἀντιλέγοντα Τυνδάρεων μᾶλλον ηὐλαβήθη· λεχθέντων δὲ λόγων ἐν τοῖς ὄχλοις, ἐπηνέχθη τὸ πλῆθος ἀποκτείνειν Ὀρέστην. * συνὼν δὲ τούτοις ὁ Πυλάδης ὁ φίλος αὐτοῦ συνεβούλευσε πρῶτον Μενελάου τιμωρίαν λαβεῖν, Ἑλένην ἀποκτείναντας. αὐτοὶ μὲν οὖν ἐπὶ τούτοις ἐλθόντες διεψεύσθησαν τῆς ἐλπίδος, θεῶν τὴν Ἑλένην ἁρπασάντων· Ἠλέκτρα δὲ Ἑρμιόνην ἐπιφανεῖσαν ἔδωκεν εἰς χεῖρας αὐτοῖς· οἱ δὲ ταύτην φονεύειν ἔμελλον· ἐπιφανεὶς δὲ Μενέλαος, καὶ βλέπων ἑαυτὸν ἅμα γυναικὸς καὶ τέκνου στερούμενον ὑπ' αὐτῶν, ἐπεβάλετο τὰ βασίλεια ποθεῖν· οἱ δὲ φθάσαντες ὑφάψειν ἠπείλησαν. ἐπιφανεὶς δὲ Ἀπόλλων Ἑλένην μὲν ἔφησεν εἰς θεοὺς διακομίζειν, Ὀρέστῃ δὲ Ἑρμιόνην ἐπέταξε λαβεῖν, Πυλάδῃ δὲ Ἠλέκτραν συνοικίσαι, καθαρθέντι δὲ τοῦ φόνου Ἄργους ἄρχειν.*

*Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει· ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν Ἀργείων, ἡλικιωτίδων Ἠλέκτρας, αἳ καὶ παραγίνονται ὑπὲρ τῆς τοῦ Ὀρέστου πυνθανόμεναι συμφορᾶς. προλογίζει δὲ Ἠλέκτρα. τὸ δὲ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφήν. ἡ δὲ διασκευὴ δράματός ἐστι τοιαύτη. πρὸς τὰ τοῦ Ἀγαμέμνονος βασίλεια ὑπόκειται Ὀρέστης κάμνων καὶ κείμενος ὑπὸ μανίας ἐπὶ κλινιδίου, ᾧ προσκαθέζεται πρὸς τοῖς ποσὶν Ἠλέκτρα. διαπορεῖται δὲ τί δήποτε οὐ πρὸς τῇ κεφαλῇ καθέζεται· οὕτω δὲ μᾶλλον ἐδόκει τὸν ἀδελφὸν τημελεῖν, πλησιαίτερον προσκαθεζομένη. ἔοικεν οὖν διὰ τὸν χορὸν ὁ ποιητὴς κατασκευάσαι· διηγέρθη γὰρ ἂν ὁ Ὀρέστης, ἄρτι καὶ μόγις καταδραθεὶς, πλησιαίτερον αὐτῷ τῶν κατὰ τὸν χορὸν γυναικῶν παρισταμένων. ἔστι δὲ ὑπονοῆσαι τοῦτο ἐξ ὧν φησιν Ἠλέκτρα τῷ χορῷ, σῖγα σῖγα, λεπτὸν ἴχνος ἀρβύλης· πιθανὸν οὖν ταύτην εἶναι τὴν πρόφασιν τῆς τοιαύτης διαθέσεως. τὸ δρᾶμα τῶν ἐπὶ σκηνῆς εὐδοκιμούντων· χεῖριστον δὲ τοῖς ἤθεσι. πλὴν γὰρ Πυλάδου πάντες φαῦλοι ἦσαν.*

## *ΑΛΛΩΣ.*

*Ὅτε κατὰ τῶν Τρώων ἡ Ἑλλὰς ὥρμησεν, Ἀγαμέμνων στρατηγὸς ᾑρέθη παντὸς τοῦ στόλου, ἅτε τῶν ἄλλων προέχειν δοκῶν ἀρχῆς τε μεγέθει καὶ πλήθει νεῶν· ἑκατὸν γὰρ ναῦς εἰς τὴν τοῦ στόλου συντέλειαν εἰσέφερε. καὶ ὃς μέλλων ἀνάγεσθαι καταλείπει τῶν οἴκοι πραγμάτων αὐτοῦ ἐπιμελητὴν καὶ προστάτην Αἴγισθον. ἐπεὶ δὲ πολὺς ἠνύετο χρόνος καὶ Ἀγαμέμνων οὐκέτ' ἐπανῄει, οἷα δὴ πολλὰ γίνεται, συνῆλθεν*

ἀθέσμως Αἴγισθος Κλυταιμνήστρᾳ τῇ τοῦ Ἀγαμέμνονος γυναικί. μαθόντες δὲ Κλυταιμνήστρα καὶ Αἴγισθος τήν τε Τροίαν ἁλοῦσαν καὶ Ἀγαμέμνονα μετὰ τῶν ἄλλων οἴκαδε πλέοντα, βουλεύονται τοῦτον τῆς οἰκίας ἐπειλημμένον ἀποκτενεῖν, ἵνα μὴ τούτῳ γνωσθέντος τοῦ σφῶν πονηρεύματος αὐτοὶ παραδοθεῖεν θανάτῳ· ὃ δὴ καὶ ἤνυσαν. καὶ ἐπανελθόντα τὸν Ἀγαμέμνονα ἀποκτείνουσι· χιτῶνα γὰρ μὴ διεξόδους κεφαλῆς καὶ χειρῶν ἔχοντα μετὰ τὸ λουτρὸν ἐνδιδύσκουσι καὶ ἐν τῷ πελέκει τοῦτον φονεύουσι. μεταξὺ γοῦν τοῦ Ἀγαμεμνονείου φόνου Ἠλέκτρα τὸν ἀδελφὸν Ὀρέστην, ἵνα μὴ καὶ οὗτος ἀναιρεθείη, κλέψασα καί τινι δοῦσα παιδαγωγῷ εἰς Φωκίδα παρὰ Στρόφιον πέμπει, φίλον καὶ συγγενῆ τοῦ πατρὸς αὐτῆς τυγχάνοντα. Ὀρέστης δὲ εἰς ἄνδρας ἥκων, παραλαβὼν Πυλάδην τὸν παῖδα Στροφίου, ἐφ' ᾧ μετ' αὐτοῦ Αἴγισθον καὶ Κλυταιμνήστραν τιμωρήσαιτο, καταλαμβάνει λάθρα τὸ Ἄργος. καὶ χρησμὸν παρὰ τοῦ Πυθίου δεξάμενος τοῦτο ποιεῖν, πρῶτον μὲν ἔρχεται πρὸς τὸν τοῦ πατρὸς τάφον καὶ θύει, εἶτά τι μηχανᾶται τοιόνδε· τὸν γὰρ παιδαγωγὸν, ᾧ παρὰ τῆς Ἠλέκτρας πάλαι πιστευθεὶς ἧκεν, ὡς ἔφημεν, εἰς τὴν Φωκίδα, τοῦτον προπέμπει εἰς Αἴγισθον καὶ Κλυταιμνήστραν λέγοντα ὡς Ὀρέστης ἐν Πυθικοῖς ἄθλοις ἀνῃρέθη καὶ νῦν ἄνδρες τὰ τούτου ὀστᾶ ἐν κιβωτίῳ κομίζουσιν, ἵνα πατρῴων γοῦν τάφων τύχῃ. ὑπαχθέντες δὲ τῇ τοιαύτῃ ἀπάτῃ Κλυταιμνήστρα καὶ Αἴγισθος, ἵνα μὴ μακρολογῶ, ἀναιροῦνται ὑπὸ Ὀρέστου καὶ Πυλάδου, πρώτη μὲν Κλυταιμνήστρα, ὕστερος δὲ Αἴγισθος. μητροκτονήσας τοίνυν Ὀρέστης Ἐριν... παραχρῆμα τὴν δίκην ἔδωκε μανείς. Μενέλαος δὲ ἐκ Τροίας ἐλθὼν, ὕστερος γὰρ Ἀγαμέμνονος ἐπανῆκε, καὶ τῷ Ναυπλίῳ λιμένι προσσχὼν, νυκτὸς μὲν Ἑλένην εἰσπέμπει πρὸς Μυκήνας, μεθ' ἡμέραν δὲ αὐτὸς εἰσῄει, καὶ τὸν Ὀρέστην μεμηνότα εὑρὼν, παρακαλεῖται μὲν ὑπὸ Ὀρέστου καὶ Ἠλέκτρας σῶσαι αὐτού... ὁ γὰρ τῆς Κλυταιμνήστρας πατὴρ Τυνδάρεως πάντας Ἀργείους κατ' αὐτῶν ἐκίνησεν, ἵνα τούτους ὡς μητροκτόνους ἀνέλοιεν. ὡς δὲ τὸν Τυνδάρεω ἀντιλέγοντα εὗρε, καὶ ἅμα καὶ αὐτὸς ὑπολογιζόμενος ὡς Ὀρέστης ἀναιρεθείη, βασιλεὺς αὐτὸς ἔσται τοῦ Ἄργους, οὐκ ἤθελεν Ὀρέστῃ τε καὶ τῇ ἀδελφῇ συμμαχεῖ... ἀλλὰ τὸ τῶν Ἀργείων πλῆθος ἔλεγεν εὐλαβεῖσθαι. πρῶτον μὲν οὖν Ὀρέστης καὶ Τυνδάρεως διελέχθησαν πρὸς ἀλλήλους, ὁ μὲν ὡς οὐ δικαίως ἀνείλετο Κλυταιμνήστραν δεικνὺς, Ὀρέστης δὲ ὡς καὶ μάλα δικαίως εἰ καὶ μυριάκις αὐτὴν ἔδει τεθνάναι. ἔπειτα ἐκκλησίας ἐν ἀκροπόλει Μυκηνῶν γενομένης καὶ συνιόντων τῶν προὐχόντων ἐν Ἄργει, Ὀρέστης ὑπὸ Πυλάδου φοράδην ἐκεῖσε κομίζεται. λόγων δὲ πολλῶν γι... μένων, καὶ τῶν μὲν βοηθούντων Ὀρέστῃ, τῶν δὲ ἐναντιουμένων, τέλος ἐνίκησαν οἱ κακοί. καὶ κατακρίνεται Ὀρέστης αὐτός τε καὶ ἡ ἀδελφὴ λίθοις βληθέντες ἀποθανεῖν. Ὀρέστης δὲ ἐπηγγείλατο π... τὸ πλῆθος αὐτοχειρίᾳ ἑαυτὸν καὶ τὴν ἀδελφὴν ἀποσφάξαι. καὶ ὁ φίλος Πυλάδης καὶ παρὰ τὴν συμφορὰν φίλος ἔμεινε καὶ κοινωνεῖν αὐτῷ τῆς τελευτῆς ἠξίωσε προθυμότατα. ἐπεὶ δὲ σφίσι τοῦτο πάθ... προὔκειτο, συμβουλεύει Πυλάδης, Μενέλεω πρῶτον τιμωρίαν λαβεῖν, λέγων ὡς οὐ δεῖ τοῦτον τρυφ... ἡμῶν ἀπιόντων. ὅθεν εἰσελθόντες εἴσω τῶν βασιλείων Ἑλένης δῆθεν δεησόμενοι, ἵνα μὴ περιίδῃ σφ... ὀλλυμένους, ἀλλὰ χεῖρα ὀρέξῃ καὶ Μενέλεων καὶ ἄκοντα πρὸς σωτηρίαν κινήσῃ, ἐπεὶ ταύτην φονεύ... ἔμελλον, ταύτης μὲν ἥμαρτον, ὑπὸ Ἀπόλλωνος ἁρπασθείσης κελεύσει Διὸς, Ἑρμιόνην δὲ συλλαμβάνουσ... ἐκ τοῦ τῆς Κλυταιμνήστρας τάφου ἐπανήκουσαν· πρώην γὰρ αὐτὴν Ἑλένη πεπόμφει, τῇ ἀδελφῇ θύσουσαν. λαβόντες δὲ Ἑρμιόνην καὶ ἔνδοθεν τὰς τῶν βασιλείων ἀσφαλίσαντες πύλας, ἀνῆλθον ἐν μετεώ... τῶν βασιλείων ἔχοντές τε τὴν Ἑρμιόνην καὶ ξίφος πρὸς τῇ δέρῃ αὐτῆς, καὶ μέλλοντες μετὰ τὴν ταύ... διαχείρισιν, ἂν μὴ σφᾶς Μενέλεως σώσῃ, καὶ τοὺς δόμους ὑφάψειν πυρί. Μενέλεως μὲν ὑπὸ τού... Ἑλένην τεθνάναι μαθὼν, ἵνα κἂν σώσῃ τὴν παῖδα ἐλθὼν, ἤρξατο πορθεῖν τὰ βασίλεια, ἐπιφανεὶς Ἀπόλλων διήλλαξε τούτους, Ἑλένην μὲν εἰς οὐρανοὺς φήσας διακομίσαι, Μενέλεων δὲ ἑτέραν λαβ... κελεύσας γυναῖκα, Ὀρέστῃ δὲ Ἑρμιόνην συνάψαι μετὰ τὴν τοῦ φόνου κάθαρσιν· ἧς Ἀθήνησιν ἐπ... μετὰ Ἐρινύων εἰς Ἄρειον πάγον κριθεὶς, ὅτε καὶ καταδικασθῆναι μέλλοντα ὑπὸ πάντων θεῶν Ἀθ... ψῆφον βαλοῦσα νικῆσαι τοῦτον ἐποίησε. καὶ οὕτως Ὀρέστης ὕστερον Ἑρμιόνην γυναῖκα λαμβάνει κ... τὸ τοῦ Ἀπόλλωνος θέσπισμα, καὶ Ἄργους κρατεῖ, Πυλάδῃ δὲ Ἠλέκτραν δίδωσι, τὴν καὶ πρότερον ... αὐτοῦ κατεγγυηθεῖσαν τούτῳ. ἰστέον δὲ ὅτι πᾶσα τραγῳδία σύμφωνον ἔχει καὶ τὸ τέλος· ἐκ λύπης ... ἄρχεται καὶ εἰς λύπην τελευτᾷ· τὸ παρὸν δὲ δρᾶμά ἐστιν ἐκ τραγικοῦ κωμικόν· λήγει γὰρ εἰς τὰς π... Ἀπόλλωνος διαλλαγὰς ἐκ συμφορῶν εἰς εὐθυμίαν κατηντηκός· ἡ δὲ κωμῳδία γέλωσι καὶ εὐφροσύν... ἐνύφανται.

---

# Ο Ρ Ε Σ Τ Η Σ.

ΗΛΕΚΤΡΑ.

Οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος,
οὐδὲ πάθος, οὐδὲ συμφορὰ θεήλατος,
ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.
ὁ γὰρ μακάριος, κοὐκ ὀνειδίζω τύχας,
Διὸς πεφυκὼς, ὡς λέγουσι, Τάνταλος,
κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον
ἀέρι ποτᾶται, καὶ τίνει ταύτην δίκην,
ὡς μὲν λέγουσιν, ὅτι θεοῖς ἄνθρωπος ὢν
κοινῆς τραπέζης ἀξίωμ' ἔχων ἴσον,
ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον.
οὗτος φυτεύει Πέλοπα, τοῦ δ' Ἀτρεὺς ἔφυ,
ᾧ στέμματα ξήνασ' ἐπέκλωσεν θεὰ
ἔριν, Θυέστῃ πόλεμον ὄντι συγγόνῳ
θέσθαι. τί τἄῤῥητ' ἀναμετρήσασθαί με δεῖ;
ἔδαισε δ' οὖν νιν τέκν' ἀποκτείνας Ἀτρεύς·
Ἀτρέως δὲ, τὰς γὰρ ἐν μέσῳ σιγῶ τύχας,
ὁ κλεινὸς, εἰ δὴ κλεινὸς, Ἀγαμέμνων ἔφυ
Μενέλεώς τε Κρήσσης μητρὸς Ἀερόπης ἄπο.
γαμεῖ δ' ὁ μὲν δὴ τὴν θεοῖς στυγουμένην
Μενέλαος Ἑλένην, ὁ δὲ Κλυταιμνήστρας λέχος
ἐπίσημον εἰς Ἕλληνας Ἀγαμέμνων ἄναξ·
ᾧ παρθένοι μὲν τρεῖς ἔφυμεν ἐκ μιᾶς,
Χρυσόθεμις Ἰφιγένειά τ' Ἠλέκτρα τ' ἐγὼ,
ἄρσην τ' Ὀρέστης, μητρὸς ἀνοσιωτάτης,
ἣ πόσιν ἀπείρῳ περιβαλοῦσ' ὑφάσματι
ἔκτεινεν· ὧν δ' ἕκατι παρθένῳ λέγειν
οὐ καλόν· ἐῶ τοῦτ' ἀσαφὲς ἐν κοινῷ σκοπεῖν.
Φοίβου δ' ἀδικίαν μὲν τί δεῖ κατηγορεῖν;
πείθει δ' Ὀρέστην μητέρ', ἥ σφ' ἐγείνατο,
κτεῖναι, πρὸς οὐχ ἅπαντας εὔκλειαν φέρον.
ὅμως δ' ἀπέκτειν', οὐκ ἀπειθήσας θεῷ·
κἀγὼ μετέσχον, οἷα δὴ γυνὴ, φόνου,
Πυλάδης θ', ὃς ἡμῖν συγκατείργασται τάδε.
ἐντεῦθεν ἀγρίᾳ συντακεὶς νόσῳ νοσεῖ
τλήμων Ὀρέστης· ὁ δὲ πεσὼν ἐν δεμνίοις
κεῖται, τὸ μητρὸς δ' αἷμά νιν τροχηλατεῖ
μανίαισιν· ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς
Εὐμενίδας, αἳ τόνδ' ἐξαμιλλῶνται φόβῳ.
ἕκτον δὲ δὴ τόδ' ἦμαρ ἐξ ὅτου σφαγαῖς
θανοῦσα μήτηρ πυρὶ καθήγνισται δέμας,
ὧν οὔτε σῖτα διὰ δέρης ἐδέξατο,
οὐ λούτρ' ἔδωκε χρωτί· χλανιδίων δ' ἔσω
κρυφθεὶς, ὅταν μὲν σῶμα κουφισθῇ νόσου,
ἔμφρων δακρύει, ποτὲ δὲ δεμνίων ἄπο
πηδᾷ δρομαῖος, πῶλος ὣς ἀπὸ ζυγοῦ.
ἔδοξε δ' Ἄργει τῷδε μήθ' ἡμᾶς στέγαις
μὴ πυρὶ δέχεσθαι, μήτε προσφωνεῖν τινα
μητροκτονοῦντας· κυρία δ' ἥδ' ἡμέρα,
ἐν ᾗ διοίσει ψῆφον Ἀργείων πόλις,
εἰ χρὴ θανεῖν νὼ λευσίμῳ πετρώματι,
ἢ φάσγανον θήξαντ' ἐπ' αὐχένος βαλεῖν.
ἐλπίδα δὲ δή τιν' ἔχομεν ὥστε μὴ θανεῖν·
ἥκει γὰρ ἐς γῆν Μενέλεως Τροίας ἄπο,
λιμένα δὲ Ναυπλίειον ἐκπληρῶν πλάτῃ
ἀκταῖσιν ὁρμεῖ, δαρὸν ἐκ Τροίας χρόνον
ἄλαισι πλαγχθείς· τὴν δὲ δὴ πολύστονον
Ἑλένην, φυλάξας νύκτα, μή τις εἰσιδὼν
μεθ' ἡμέραν στείχουσαν, ὧν ὑπ' Ἰλίῳ
παῖδες τεθνᾶσιν, ἐς πέτρων ἔλθῃ βολὰς,
προὔπεμψεν ἐς δῶμ' ἡμέτερον· ἔστιν δ' ἔσω
κλαίουσ' ἀδελφὴν ξυμφοράς τε δωμάτων.
ἔχει δὲ δή τιν' ἀλγέων παραψυχήν·
ἣν γὰρ κατ' οἴκους ἔλιφ', ὅτ' ἐς Τροίαν ἔπλει,
παρθένον ἐμῇ τε μητρὶ παρέδωκεν τρέφειν
Μενέλαος ἀγαγὼν Ἑρμιόνην Σπάρτης ἄπο,
ταύτῃ γέγηθε κἀπιλήθεται κακῶν.
βλέπω δὲ πᾶσαν εἰς ὁδὸν, πότ' ὄψομαι
Μενέλαον ἥκονθ'· ὡς τά γ' ἄλλ' ἐπ' ἀσθενοῦς
ῥώμης ὀχούμεθ', ἤν τι μὴ κείνου πάρα
σωθῶμεν. ἄπορον χρῆμα δυστυχῶν δόμος.

ΕΛΕΝΗ.

ὦ παῖ Κλυταιμνήστρας τε κἀγαμέμνονος,
παρθένε μακρὸν δὴ μῆκος, Ἠλέκτρα, χρόνου,
πῶς, ὦ τάλαινα, σύ τε κασίγνητός τε σὸς
τλήμων Ὀρέστης μητρὸς ὅδε φονεὺς ἔφυ;
προσφθέγμασιν γὰρ οὐ μιαίνομαι σέθεν,
ἐς Φοῖβον ἀναφέρουσα τὴν ἁμαρτίαν.
καίτοι στένω γε τὸν Κλυταιμνήστρας μόρον,
ἐμῆς ἀδελφῆς, ἣν, ἐπεὶ πρὸς Ἴλιον
ἔπλευσ' ὅπως ἔπλευσα θεομανεῖ πότμῳ,
οὐκ εἶδον, ἀπολειφθεῖσα δ' αἰάζω τύχας.

ΗΛΕΚΤΡΑ.

Ἑλένη, τί σοι λέγοιμ' ἂν ἅ γε παροῦσ' ὁρᾷς,
ἐν ξυμφοραῖσι τὸν Ἀγαμέμνονος γόνον;
ἐγὼ μὲν ἄϋπνος, πάρεδρος ἀθλίῳ νεκρῷ,
νεκρὸς γὰρ οὗτος οὕνεκα σμικρᾶς πνοῆς,
θάσσω· τὰ τούτου δ' οὐκ ὀνειδίζω κακά·
σὺ δ' ἡ μακαρία μακάριός θ' ὁ σὸς πόσις
ἥκετον ἐφ' ἡμᾶς ἀθλίως πεπραγότας.

ΕΛΕΝΗ.

πόσον χρόνον δὲ δεμνίοις πέπτωχ' ὅδε;

ΗΛΕΚΤΡΑ.

ἐξ οὗπερ αἷμα γενέθλιον κατήνυσεν.

ΕΛΕΝΗ.

ὦ μέλεος, ἡ τεκοῦσά θ', ὡς διώλετο.

ΗΛΕΚΤΡΑ.

οὕτως ἔχει τάδ', ὥστ' ἀπείρηκ' ἐν κακοῖς.

ΕΛΕΝΗ.

πρὸς θεῶν, πίθοι' ἂν δῆτά μοί τι, παρθένε;

ΗΛΕΚΤΡΑ.

ὡς ἄσχολός γε συγγόνου προσεδρία.

ΕΛΕΝΗ.
βούλει τάφον μοι πρὸς κασιγνήτης μολεῖν;
ΗΛΕΚΤΡΑ.
μητρὸς κελεύεις τῆς ἐμῆς; τίνος χάριν;
ΕΛΕΝΗ.
κόμης ἀπαρχὰς καὶ χοὰς φέρουσ' ἐμάς.
ΗΛΕΚΤΡΑ.
σοὶ δ' οὐχὶ θεμιτὸν πρὸς φίλων στείχειν τάφον;
ΕΛΕΝΗ.
δεῖξαι γὰρ Ἀργείοισι σῶμ' αἰσχύνομαι.
ΗΛΕΚΤΡΑ.
ὀψέ γε φρονεῖς εὖ, τότε λιποῦσ' αἰσχρῶς δόμους.
ΕΛΕΝΗ.
ὀρθῶς ἔλεξας, οὐ φίλως δέ μοι λέγεις.
ΗΛΕΚΤΡΑ.
αἰδὼς δὲ δή τίς σ' ἐς Μυκηναίους ἔχει;
ΕΛΕΝΗ.
δέδοικα πατέρας τῶν ὑπ' Ἰλίῳ νεκρῶν.
ΗΛΕΚΤΡΑ.
δεινὸν γάρ· Ἄργει τ' ἀναβοᾷ διὰ στόμα.
ΕΛΕΝΗ.
σύ νυν χάριν μοι, τὸν φόβον λύσασα, δός.
ΗΛΕΚΤΡΑ.
οὐκ ἂν δυναίμην μητρὸς ἐσβλέψαι τάφον.
ΕΛΕΝΗ.
αἰσχρόν γε μέντοι προσπόλους φέρειν τάδε.
ΗΛΕΚΤΡΑ.
τί δ' οὐχὶ θυγατρὸς Ἑρμιόνης πέμπεις δέμας;
ΕΛΕΝΗ.
ἐς ὄχλον ἕρπειν παρθένοισιν οὐ καλόν.
ΗΛΕΚΤΡΑ.
καὶ μὴν τίνοι γ' ἂν τῇ τεθνηκυίᾳ τροφάς.
ΕΛΕΝΗ.
καλῶς ἔλεξας, πείθομαί τέ σοι, κόρη,
καὶ πέμψομέν γε θυγατέρ'· εὖ γάρ τοι λέγεις.
ὦ τέκνον, ἔξελθ', Ἑρμιόνη, δόμων πάρος,
καὶ λαβὲ χοὰς τάσδ' ἐν χεροῖν κόμας τ' ἐμάς·
ἐλθοῦσα δ' ἀμφὶ τὸν Κλυταιμνήστρας τάφον
μελίκρατ' ἄφες γάλακτος οἰνωπόν τ' ἄχνην,
καὶ στᾶσ' ἐπ' ἄκρου χώματος λέξον τάδε·
Ἑλένη σ' ἀδελφὴ ταῖσδε δωρεῖται χοαῖς,
φόβῳ προσελθεῖν μνῆμα σὸν, ταρβοῦσά τε
Ἀργεῖον ὄχλον. εὐμενῆ δ' ἄνωγέ νιν
ἐμοί τε καὶ σοὶ καὶ πόσει γνώμην ἔχειν
τοῖν τ' ἀθλίοιν τοῖνδ', οὓς ἀπώλεσεν θεός.
ἃ δ' εἰς ἀδελφὴν καιρὸς ἐκπονεῖν ἐμὲ,
ἅπανθ' ὑπισχνοῦ νερτέρων δωρήματα.
ἴθ', ὦ τέκνον μοι, σπεῦδε, καὶ χοὰς τάφῳ
δοῦσ' ὡς τάχιστα τῆς πάλιν μέμνησ' ὁδοῦ.
ΗΛΕΚΤΡΑ.
ὦ φύσις, ἐν ἀνθρώποισιν ὡς μέγ' εἶ κακὸν,
σωτήριόν τε τοῖς καλῶς κεκτημένοις.
εἴδετε παρ' ἄκρας ὡς ἀπέθρισεν τρίχας,
σώζουσα κάλλος; ἔστι δ' ἡ πάλαι γυνή.
θεοί σε μισήσειαν, ὥς μ' ἀπώλεσας
καὶ τόνδε πᾶσάν θ' Ἑλλάδ'. ὦ τάλαιν' ἐγώ.
αἵδ' αὖ πάρεισι τοῖς ἐμοῖς θρηνήμασι
φίλαι ξυνῳδοί· τάχα μεταστήσουσ' ὕπνου
τόνδ' ἡσυχάζοντ', ὄμμα δ' ἐκτήξουσ' ἐμὸν
δακρύοις, ἀδελφὸν ὅταν ὁρῶ μεμηνότα.
ὦ φίλταται γυναῖκες, ἡσύχῳ ποδὶ
χωρεῖτε, μὴ ψοφεῖτε, μηδ' ἔστω κτύπος.
φιλία γὰρ ἡ σὴ πρευμενὴς μὲν, ἀλλ' ἐμοὶ
τόνδ' ἐξεγεῖραι ξυμφορὰ γενήσεται.
σῖγα σῖγα, λεπτὸν ἴχνος ἀρβύλης
τίθετε, μὴ ψοφεῖτε, μὴ 'στω κτύπος.
ἀποπρὸ βᾶτ' ἐκεῖσ' ἀποπρό μοι κοίτας.
ΧΟΡΟΣ.
ἰδοὺ, πείθομαι.
ΗΛΕΚΤΡΑ.
ἃ ἃ, σύριγγος ὅπως πνοὰ
λεπτοῦ δόνακος, ὦ φίλα, φώνει μοι.
ΧΟΡΟΣ.
ἴδ', ἀτρεμαίαν ὡς ὑπόροφον φέρω
βοάν.
ΗΛΕΚΤΡΑ.
ναὶ οὕτω,
κάταγε κάταγε, πρόσιθ' ἀτρέμας, ἀτρέμας ἴθ'
λόγον ἀπόδος ἐφ' ὅ τι χρέος ἐμόλετέ ποτε.
χρόνια γὰρ πεσὼν ὅδ' εὐνάζεται.
ΧΟΡΟΣ.
πῶς ἔχει; λόγου μετάδος, ὦ φίλα.
ΗΛΕΚΤΡΑ.
τίνα τύχαν εἴπω; τίνα δὲ συμφοράν;
ἔτι μὲν ἐμπνέει, βραχὺ δ' ἀναστένει.
ΧΟΡΟΣ.
τί φῄς; ὦ τάλας.
ΗΛΕΚΤΡΑ.
ὀλεῖς, εἰ βλέφαρα κινήσεις
ὕπνου γλυκυτάταν φερομένῳ χάριν.
ΧΟΡΟΣ.
μέλεος ἐχθίστων θεόθεν ἐργμάτων.
τάλας, φεῦ μόχθων.
ΗΛΕΚΤΡΑ.
ἄδικος ἄδικα τότ' ἄρ' ἔλακεν ἔλακεν, ἀπό-
φονον ὅτ' ἐπὶ τρίποδι Θέμιδος ἄρ' ἐδίκασε
φόνον ὁ Λοξίας ἐμᾶς ματέρος.
ΧΟΡΟΣ.
ὁρᾷς; ἐν πέπλοισι κινεῖ δέμας.
ΗΛΕΚΤΡΑ.
σὺ γάρ νιν, ὦ τάλαινα,
θωΰξασ' ἔβαλες ἐξ ὕπνου.
ΧΟΡΟΣ.
εὕδειν μὲν οὖν ἔδοξα.
ΗΛΕΚΤΡΑ.
οὐκ ἀφ' ἡμῶν, οὐκ ἀπ' οἴκων
πάλιν ἀνὰ πόδα σὸν εἱλίξεις,
μεθεμένα κτύπου;
ΧΟΡΟΣ.
ὑπνώσσει.
ΗΛΕΚΤΡΑ.
λέγεις εὖ.
ΧΟΡΟΣ.
πότνια πότνια νὺξ,
ὑπνοδότειρα τῶν πολυπόνων βροτῶν,
ἐρεβόθεν ἴθι, μόλε μόλε κατάπτερος
τὸν Ἀγαμεμνόνιον ἐπὶ δόμον.

140—151. == 152—165.
166—186. == 187—207.

ὑπὸ γὰρ ἀλγέων ὑπό τε συμφορᾶς
διοιχόμεθ᾽, οἰχόμεθα.

ΗΛΕΚΤΡΑ.

κτύπον ἠγάγετ᾽· οὐχὶ σῖγα
σῖγα φυλασσομένα
στόματος ἀνακέλαδον ἄπο λέχεος
ἥσυχον ὕπνου χάριν παρέξεις, φίλα;

ΧΟΡΟΣ.

θρόει τίς κακῶν τελευτὰ μένει.

ΗΛΕΚΤΡΑ.

θανεῖν θανεῖν· τί δ᾽ ἄλλο;
οὐδὲ γὰρ πόθον ἔχει βορᾶς.

ΧΟΡΟΣ.

πρόδηλος ἄρ᾽ ὁ πότμος.

ΗΛΕΚΤΡΑ.

ἐξέθυσ᾽ ὁ Φοῖβος ἡμᾶς
μέλεον ἀπόφονον αἷμα δοὺς
πατροφόνου ματρός.

ΧΟΡΟΣ.

δίκᾳ μὲν, καλῶς δ᾽ οὔ.

ΗΛΕΚΤΡΑ.

ἔθανες ἔθανες, ὦ
τεκομένα με μᾶτερ, ἀπὸ δ᾽ ὤλεσας
πατέρα τέκνα τε τάδε σέθεν ἀφ᾽ αἵματος·
ὀλόμεθ᾽ ἰσονέκυες, ὀλόμεθα.
σύ τε γὰρ ἐν νεκροῖς, τό τ᾽ ἐμὸν οἴχεται
βίου τὸ πλέον μέρος ἐν
στοναχαῖσί τε καὶ γόοισι
δάκρυσί τ᾽ ἐννυχίοις·
ἄγαμος, ἴδεσθ᾽, ἄτεκνος ἅτε βίοτον
ἁ μέλεος εἰς τὸν αἰὲν ἕλκω χρόνον.

ΧΟΡΟΣ.

ὅρα παροῦσα, παρθέν᾽ Ἠλέκτρα, πέλας,
μὴ κατθανών σε σύγγονος λέληθ᾽ ὅδε·
οὐ γάρ μ᾽ ἀρέσκει τῷ λίαν παρειμένῳ.

ΟΡΕΣΤΗΣ.

ὦ φίλον ὕπνου θέλγητρον, ἐπίκουρον νόσου,
ὡς ἡδύ μοι προσῆλθες ἐν δέοντί γε.
ὦ πότνια λήθη τῶν κακῶν, ὡς εἶ σοφὴ,
καὶ τοῖσι δυστυχοῦσιν εὐκταία θεός.
πόθεν ποτ᾽ ἦλθον δεῦρο; πῶς δ᾽ ἀφικόμην;
ἀμνημονῶ γὰρ, τῶν πρὶν ἀπολειφθεὶς φρενῶν.

ΗΛΕΚΤΡΑ.

ὦ φίλταθ᾽, ὥς μ᾽ ηὔφρανας εἰς ὕπνον πεσών.
βούλει θίγω σου κἀνακουφίσω δέμας;

ΟΡΕΣΤΗΣ.

λαβοῦ λαβοῦ δῆτ᾽, ἐκ δ᾽ ὄμορξον ἀθλίου
στόματος ἀφρώδη πέλανον ὀμμάτων τ᾽ ἐμῶν.

ΗΛΕΚΤΡΑ.

ἰδοὺ τὸ δούλευμ᾽ ἡδὺ, κοὐκ ἀναίνομαι
ἀδελφ᾽ ἀδελφῇ χειρὶ θεραπεύειν μέλη.

ΟΡΕΣΤΗΣ.

ὑπόβαλε πλευροῖς πλευρὰ, καὐχμώδη κόμην
ἄφελε προσώπου· λεπτὰ γὰρ λεύσσω κόραις.

ΗΛΕΚΤΡΑ.

ὦ βοστρύχων πινῶδες ἄθλιον κάρα,
ὡς ἠγρίωσαι διὰ μακρᾶς ἀλουσίας.

ΟΡΕΣΤΗΣ.

κλῖνόν μ᾽ ἐς εὐνὴν αὖθις· ὅταν ἀνῇ νόσος
μανίας, ἄναρθρός εἰμι, κἀσθενῶ μέλη.

ΗΛΕΚΤΡΑ.

ἰδοὺ, φίλον τοι τῷ νοσοῦντι δέμνιον,
ἀνιαρὸν ὂν τὸ κτῆμ᾽, ἀναγκαῖον δ᾽ ὅμως.

ΟΡΕΣΤΗΣ.

αὖθίς μ᾽ ἐς ὀρθὸν στῆσον, ἀνακύκλει δέμας·
δυσάρεστον οἱ νοσοῦντες ἀπορίας ὕπο.

ΗΛΕΚΤΡΑ.

ἦ κἀπὶ γαίας ἁρμόσαι πόδας θέλεις,
χρόνιον ἴχνος θείς; μεταβολὴ πάντων γλυκύ.

ΟΡΕΣΤΗΣ.

μάλιστα. δόξαν γὰρ τόδ᾽ ὑγιείας ἔχει·
κρεῖσσον δὲ τὸ δοκεῖν, κἂν ἀληθείας ἀπῇ.

ΗΛΕΚΤΡΑ.

ἄκουε δή νυν, ὦ κασίγνητον κάρα,
ἕως ἐῶσί σ᾽ εὖ φρονεῖν Ἐρινύες.

ΟΡΕΣΤΗΣ.

λέξεις τι καινόν; κεἰ μὲν εὖ, χάριν φέρεις·
εἰ δ᾽ ἐς βλάβην τιν᾽, ἅλις ἔχω τοῦ δυστυχεῖν.

ΗΛΕΚΤΡΑ.

Μενέλαος ἥκει, σοῦ κασίγνητος πατρὸς,
ἐν Ναυπλίᾳ δὲ σέλμαθ᾽ ὥρμισται νεῶν.

ΟΡΕΣΤΗΣ.

πῶς εἶπας; ἥκει φῶς ἐμοῖς καὶ σοῖς κακοῖς,
ἀνὴρ ὁμογενὴς καὶ χάριτας ἔχων πατρός;

ΗΛΕΚΤΡΑ.

ἥκει, τὸ πιστὸν τόδε λόγων ἐμῶν δέχου,
Ἑλένην ἀγόμενος Τρωικῶν ἐκ τειχέων.

ΟΡΕΣΤΗΣ.

εἰ μόνος ἐσώθη, μᾶλλον ἂν ζηλωτὸς ἦν·
εἰ δ᾽ ἄλοχον ἄγεται, κακὸν ἔχων ἥκει μέγα.

ΗΛΕΚΤΡΑ.

ἐπίσημον ἔτεκε Τυνδάρεως ἐς τὸν ψόγον
γένος θυγατέρων δυσκλεές τ᾽ ἀν᾽ Ἑλλάδα.

ΟΡΕΣΤΗΣ.

σύ νυν διάφερε τῶν κακῶν· ἔξεστι γάρ·
καὶ μὴ μόνον λέγ᾽, ἀλλὰ καὶ φρόνει τάδε.

ΗΛΕΚΤΡΑ.

οἴμοι, κασίγνητ᾽, ὄμμα σὸν ταράσσεται,
ταχὺς δὲ μετέθου λύσσαν, ἄρτι σωφρονῶν.

ΟΡΕΣΤΗΣ.

ὦ μῆτερ, ἱκετεύω σε, μὴ ᾽πίσειέ μοι
τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας·
αὗται γὰρ αὗται πλησίον θρώσκουσί μου.

ΗΛΕΚΤΡΑ.

μέν᾽, ὦ ταλαίπωρ᾽, ἀτρέμα σοῖς ἐν δεμνίοις·
ὁρᾷς γὰρ οὐδὲν ὧν δοκεῖς σάφ᾽ εἰδέναι.

ΟΡΕΣΤΗΣ.

ἰὼ Φοῖβ᾽, ἀποκτενοῦσί μ᾽ αἱ κυνώπιδες
γοργῶπες, ἐνέρων ἱερίαι, δειναὶ θεαί.

ΗΛΕΚΤΡΑ.

οὔτοι μεθήσω· χεῖρα δ᾽ ἐμπλέξασ᾽ ἐμὴν
σχήσω σε πηδᾶν δυστυχῆ πηδήματα.

ΟΡΕΣΤΗΣ.

μέθες· μί᾽ οὖσα τῶν ἐμῶν Ἐρινύων,
μέσον μ᾽ ὀχμάζεις, ὡς βάλῃς ἐς Τάρταρον.

ΗΛΕΚΤΡΑ.

οἴ ᾽γὼ τάλαινα; τίν᾽ ἐπικουρίαν λάβω,
ἐπεὶ τὸ θεῖον δυσμενὲς κεκτήμεθα;

ΟΡΕΣΤΗΣ.

δὸς τόξα μοι κερουλκὰ, δῶρα Λοξίου,

οἷς μ' εἶπ' Ἀπόλλων ἐξαμύνασθαι θεάς,
εἴ μ' ἐκφοβοῖεν μανιάσιν λυσσήμασιν.

ΗΛΕΚΤΡΑ.

βεβλήσεταί τις θεῶν βροτησίᾳ χερί;

ΟΡΕΣΤΗΣ.

εἰ μὴ 'ξαμείψει χωρὶς ὀμμάτων ἐμῶν.
οὐκ εἰσακούετ'; οὐχ ὁρᾶθ' ἑκηβόλων
τόξων πτερωτὰς γλυφίδας ἐξορμωμένας;
ἆ ἆ·
τί δῆτα μέλλετ'; ἐξακρίζετ' αἰθέρα
πτεροῖς· τὰ Φοίβου δ' αἰτιᾶσθε θέσφατα.
ἔα·
τί χρῆμ' ἀλύω, πνεῦμ' ἀνεὶς ἐκ πνευμόνων;
ποῖ ποῖ ποθ' ἡλάμεσθα δεμνίων ἄπο;
ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ.
ξύγγονε, τί κλαίεις κρᾶτα θεῖσ' ἔσω πέπλων;
αἰσχύνομαί σοι μεταδιδοὺς πόνων ἐμῶν,
ὄχλον τε παρέχων παρθένῳ νόσοις ἐμαῖς.
μὴ τῶν ἐμῶν ἕκατι συντήκου κακῶν·
σὺ μὲν γὰρ ἐπένευσας τάδ', εἴργασται δ' ἐμοὶ
μητρῷον αἷμα· Λοξίᾳ δὲ μέμφομαι,
ὅστις μ' ἐπάρας ἔργον ἀνοσιώτατον
τοῖς μὲν λόγοις ηὔφρανε, τοῖς δ' ἔργοισιν οὔ.
οἶμαι δὲ πατέρα τὸν ἐμὸν, εἰ κατ' ὄμματα
ἐξιστόρουν νιν, μητέρ' εἰ κτεῖναί με χρὴ,
πολλὰς γενείου τοῦδ' ἂν ἐκτεῖναι λιτὰς
μὴ τῆς τεκούσης ἐς σφαγὰς ὦσαι ξίφος,
εἰ μήτ' ἐκεῖνος ἀναλαβεῖν ἔμελλε φῶς,
ἐγώ θ' ὁ τλήμων τοιάδ' ἐκπλήσειν κακά.
καὶ νῦν ἀνακάλυπτ', ὦ κασίγνητον κάρα,
ἐκ δακρύων τ' ἄπελθε, κεἰ μάλ' ἀθλίως
ἔχομεν· ὅταν δὲ τἄμ' ἀθυμήσαντ' ἴδῃς,
σύ μου τὸ δεινὸν καὶ διαφθαρὲν φρενῶν
ἴσχναινε παραμυθοῦ θ'· ὅταν δὲ σὺ στένῃς,
ἡμᾶς παρόντας χρή σε νουθετεῖν φίλα·
ἐπικουρίαι γὰρ αἵδε τοῖς φίλοις καλαί.
ἀλλ', ὦ τάλαινα, βᾶσα δωμάτων ἔσω,
ὕπνῳ τ' ἄϋπνον βλέφαρον ἐκταθεῖσα δὸς,
σῖτόν τ' ὄρεξαι, λουτρά τ' ἐπὶ χροὸς βάλε.
εἰ γὰρ προλείψεις μ', ἢ προσεδρίᾳ νόσον
κτήσει τιν', οἰχόμεσθα· σὲ γὰρ ἔχω μόνην
ἐπίκουρον, ἄλλων, ὡς ὁρᾷς, ἔρημος ὤν.

ΗΛΕΚΤΡΑ.

οὐκ ἔστι· σὺν σοὶ καὶ θανεῖν αἱρήσομαι
καὶ ζῆν· ἔχει γὰρ ταυτόν· ἢν σὺ κατθάνῃς,
γυνὴ τί δράσω; πῶς μόνη σωθήσομαι,
ἀνάδελφος, ἀπάτωρ, ἄφιλος; εἰ δὲ σοὶ δοκεῖ,
δρᾶν χρὴ τάδ'· ἀλλὰ κλῖνον εἰς εὐνὴν δέμας,
καὶ μὴ τὸ ταρβοῦν κἀκφοβοῦν σ' ἐκ δεμνίων
ἄγαν ἀποδέχου, μένε δ' ἐπὶ στρωτοῦ λέχους,
κἂν μὴ νοσῇς γὰρ, ἀλλὰ δοξάζῃς νοσεῖν,
κάματος βροτοῖσιν ἀπορία τε γίγνεται.

ΧΟΡΟΣ.

αἰαῖ,
δρομάδες ὦ πτεροφόροι
ποτνιάδες θεαὶ,
ἀβάκχευτον αἳ θίασον ἐλάχετ' ἐν
δάκρυσι καὶ γόοις,
μελαγχρῶτες Εὐμενίδες, αἵ τε τὸν
ταναὸν αἰθέρ' ἀμπάλλεσθ', αἵματος
τινύμεναι δίκαν, τινύμεναι φόνον,
καθικετεύομαι καθικετεύομαι,
τὸν Ἀγαμέμνονος
γόνον ἐάσατ' ἐκλαθέσθαι λύσσας
μανιάδος φοιταλέου. φεῦ μόχθων,
οἵων, ὦ τάλας, ὀρεχθεὶς ἔρρεις,
τρίποδος ἄπο φάτιν, ἂν ὁ Φοῖβος
ἔλακεν ἔλακε, δεξάμενος ἀνὰ δάπεδον,
ἵνα μεσόμφαλοι λέγονται μυχοί.
ὦ Ζεῦ,
τίς ἔλεος, τίς ὅδ' ἀγὼν
φόνιος ἔρχεται,
θοάζων σε τὸν μέλεον, ᾧ δάκρυα
δάκρυσι συμβάλλει
πορεύων τις εἰς δόμον ἀλαστόρων
ματέρος αἷμα σᾶς, ὅ σ' ἀναβακχεύει;
κατολοφύρομαι κατολοφύρομαι.
ὁ μέγας ὄλβος οὐ μόνιμος ἐν βροτοῖς·
ἀνὰ δὲ λαῖφος ὥς
τις ἀκάτου θοᾶς τινάξας δαίμων
κατέκλυσεν δεινῶν πόνων, ὡς πόντου
λάβροις ὀλεθρίοισιν ἐν κύμασιν.
τίνα γὰρ ἔτι πάρος οἶκον ἄλλον
ἕτερον ἢ τὸν ἀπὸ θεογόνων γάμων
τὸν ἀπὸ Ταντάλου, σέβεσθαί με χρή;
καὶ μὴν βασιλεὺς ὅδε δὴ στείχει,
Μενέλαος ἄναξ, πολλῇ ἁβροσύνῃ
δῆλος ὁρᾶσθαι
τῶν Τανταλιδῶν ἐξ αἵματος ὤν.
ὦ χιλιόναυν στρατὸν ὁρμήσας
εἰς γῆν Ἀσίαν,
χαῖρ', εὐτυχίᾳ δ' αὐτὸς ὁμιλεῖς,
θεόθεν πράξας ἅπερ ηὔχου.

316—331. == 332—347.

ΜΕΝΕΛΑΟΣ.

ὦ δῶμα, τῇ μέν σ' ἡδέως προσδέρκομαι
Τροίαθεν ἐλθὼν, τῇ δ' ἰδὼν καταστένω·
κύκλῳ γὰρ εἱλιχθεῖσαν ἀθλίοις κακοῖς
οὐπώποτ' ἄλλην μᾶλλον εἶδον ἑστίαν.
Ἀγαμέμνονος μὲν γὰρ τύχας ἠπιστάμην
καὶ θάνατον, οἵῳ πρὸς δάμαρτος ὤλετο,
Μαλέᾳ προσίσχων πρῷραν· ἐκ δὲ κυμάτων
ὁ ναυτίλοισι μάντις ἐξήγγειλέ μοι
Νηρέως προφήτης Γλαῦκος, ἀψευδὴς θεὸς,
ὅς μοι τάδ' εἶπεν ἐμφανῶς παρασταθείς·
Μενέλαε, κεῖται σὸς κασίγνητος θανὼν,
λουτροῖσιν ἀλόχου περιπεσὼν πανυστάτοις·
δακρύων δ' ἔπλησεν ἐμέ τε καὶ ναύτας ἐμοὺς
πολλῶν. ἐπεὶ δὲ Ναυπλίας ψαύω χθονὸς,
ἤδη δάμαρτος ἐνθάδ' ἐξορμωμένης,
δοκῶν Ὀρέστην παῖδα τὸν Ἀγαμέμνονος
φίλαισι χερσὶ περιβαλεῖν καὶ μητέρα,
ὡς εὐτυχοῦντας, ἔκλυον ἁλιτύπων τινὸς
τῆς Τυνδαρείας παιδὸς ἀνόσιον φόνον.
καὶ νῦν ὅπου 'στὶν εἴπατ', ὦ νεάνιδες,
Ἀγαμέμνονος παῖς, ὃς τὰ δείν' ἔτλη κακά.
βρέφος γὰρ ἦν τότ' ἐν Κλυταιμνήστρας χεροῖν,
ὅτ' ἐξέλειπον μέλαθρον ἐς Τροίαν ἰὼν,
ὥστ' οὐκ ἂν αὐτὸν γνωρίσαιμ' ἂν εἰσιδών.

ΟΡΕΣΤΗΣ.
ὅδ' εἰμ' Ὀρέστης, Μενέλεως, ὃν ἱστορεῖς.
ἑκὼν ἐγώ σοι τἀμὰ μηνύσω κακά.
τῶν σῶν δὲ γονάτων πρωτόλεια θιγγάνω
ἱκέτης, ἀφύλλου στόματος ἐξάπτων λιτάς·
σῶσόν μ'· ἀφῖξαι δ' αὐτὸς ἐς καιρὸν κακῶν.
ΜΕΝΕΛΑΟΣ.
ὦ θεοὶ, τί λεύσσω; τίνα δέδορκα νερτέρων;
ΟΡΕΣΤΗΣ.
εὖ γ' εἶπας· οὐ γὰρ ζῶ κακοῖς, φάος δ' ὁρῶ.
ΜΕΝΕΛΑΟΣ.
ὡς ἠγρίωσαι πλόκαμον αὐχμηρὸν, τάλας.
ΟΡΕΣΤΗΣ.
οὐχ ἡ πρόσοψίς μ', ἀλλὰ τἄργ' αἰκίζεται.
ΜΕΝΕΛΑΟΣ.
δεινὸν δὲ λεύσσεις ὀμμάτων ξηραῖς κόραις.
ΟΡΕΣΤΗΣ.
τὸ σῶμα φροῦδον· τὸ δ' ὄνομ' οὐ λέλοιπέ με.
ΜΕΝΕΛΑΟΣ.
ὦ παράλογόν μοι σὴ φανεῖσ' ἀμορφία.
ΟΡΕΣΤΗΣ.
ὅδ' εἰμὶ μητρὸς τῆς ταλαιπώρου φονεύς.
ΜΕΝΕΛΑΟΣ.
ἤκουσα· φείδου δ' ὀλιγάκις λέγειν κακά.
ΟΡΕΣΤΗΣ.
φειδόμεθ'· ὁ δαίμων δ' ἐς με πλούσιος κακῶν.
ΜΕΝΕΛΑΟΣ.
τί χρῆμα πάσχεις; τίς σ' ἀπόλλυσιν νόσος;
ΟΡΕΣΤΗΣ.
ἡ ξύνεσις, ὅτι σύνοιδα δείν' εἰργασμένος.
ΜΕΝΕΛΑΟΣ.
πῶς φής; σοφόν τοι τὸ σαφὲς, οὐ τὸ μὴ σαφές.
ΟΡΕΣΤΗΣ.
λύπη μάλιστά γ' ἡ διαφθείρουσά με·
ΜΕΝΕΛΑΟΣ.
δεινὴ γὰρ ἡ θεὸς, ἀλλ' ὅμως ἰάσιμος.
ΟΡΕΣΤΗΣ.
μανίαι τε, μητρὸς αἵματος τιμωρίαι.
ΜΕΝΕΛΑΟΣ.
ἤρξω δὲ λύσσης πότε; τίς ἡμέρα τότ' ἦν;
ΟΡΕΣΤΗΣ.
ἐν ᾗ τάλαιναν μητέρ' ἐξώγκουν τάφῳ.
ΜΕΝΕΛΑΟΣ.
πότερα κατ' οἴκους, ἢ προσεδρεύων πυρᾷ;
ΟΡΕΣΤΗΣ.
νυκτὸς φυλάσσων ὀστέων ἀναίρεσιν.
ΜΕΝΕΛΑΟΣ.
παρῆν τις ἄλλος, ὃς σὸν ὤρθευεν δέμας;
ΟΡΕΣΤΗΣ.
Πυλάδης, ὁ συνδρῶν αἷμα καὶ μητρὸς φόνον.
ΜΕΝΕΛΑΟΣ.
φαντασμάτων δὲ τάδε νοσεῖς ποίων ὕπο;
ΟΡΕΣΤΗΣ.
ἔδοξ' ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας.
ΜΕΝΕΛΑΟΣ.
οἶδ' ἃς ἔλεξας, ὀνομάσαι δ' οὐ βούλομαι.
ΟΡΕΣΤΗΣ.
σεμναὶ γάρ· εὐπαίδευτα δ' ἀποτρέπει λέγειν.
ΜΕΝΕΛΑΟΣ.
αὗταί σε βακχεύουσι συγγενεῖ φόνῳ;

ΟΡΕΣΤΗΣ.
οἴμοι διωγμῶν, οἷς ἐλαύνομαι τάλας.
ΜΕΝΕΛΑΟΣ.
οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους.
ΟΡΕΣΤΗΣ.
ἀλλ' ἔστιν ἡμῖν ἀναφορὰ τῆς ξυμφορᾶς
ΜΕΝΕΛΑΟΣ.
μὴ θάνατον εἴπῃς· τοῦτο μὲν γὰρ οὐ σοφόν.
ΟΡΕΣΤΗΣ.
Φοῖβος, κελεύσας μητρὸς ἐκπρᾶξαι φόνον.
ΜΕΝΕΛΑΟΣ.
ἀμαθέστερός γ' ὢν τοῦ καλοῦ καὶ τῆς δίκης.
ΟΡΕΣΤΗΣ.
δουλεύομεν θεοῖς, ὅ τι ποτ' εἰσὶν οἱ θεοί.
ΜΕΝΕΛΑΟΣ.
κἆτ' οὐκ ἀμύνει Λοξίας τοῖς σοῖς κακοῖς;
ΟΡΕΣΤΗΣ.
μέλλει· τὸ θεῖον δ' ἐστὶ τοιοῦτον φύσει.
ΜΕΝΕΛΑΟΣ.
πόσον χρόνον δὲ μητρὸς οἴχονται πνοαί;
ΟΡΕΣΤΗΣ.
ἕκτον τόδ' ἦμαρ· ἔτι πυρὰ θερμὴ τάφου.
ΜΕΝΕΛΑΟΣ.
ὡς ταχὺ μετῆλθόν σ' αἷμα μητέρος θεαί.
ΟΡΕΣΤΗΣ.
οὐ σοφὸς, ἀληθὴς δ' ἐς φίλους ἔφυν φίλος.
ΜΕΝΕΛΑΟΣ.
πατρὸς δὲ δὴ τί σ' ὠφελεῖ τιμωρία;
ΟΡΕΣΤΗΣ.
οὔπω· τὸ μέλλον δ' ἴσον ἀπραξίᾳ λέγω.
ΜΕΝΕΛΑΟΣ.
τὰ πρὸς πόλιν δὲ πῶς ἔχεις, δράσας τάδε;
ΟΡΕΣΤΗΣ.
μισούμεθ' οὕτως ὥστε μὴ προσεννέπειν.
ΜΕΝΕΛΑΟΣ.
οὐδ' ἥγνισαι σὸν αἷμα κατὰ νόμους χεροῖν;
ΟΡΕΣΤΗΣ.
ἐκκλῄομαι γὰρ δωμάτων ὅπη μόλω.
ΜΕΝΕΛΑΟΣ.
τίνες πολιτῶν ἐξαμιλλῶνταί σε γῆς;
ΟΡΕΣΤΗΣ.
Οἴαξ, τὸ Τροίας μῖσος ἀναφέρων πατρί.
ΜΕΝΕΛΑΟΣ.
ξυνῆκα· Παλαμήδους σε τιμωρεῖ φόνος.
ΟΡΕΣΤΗΣ.
οὗ γ' οὐ μετῆν μοι· διὰ τριῶν δ' ἀπόλλυμαι.
ΜΕΝΕΛΑΟΣ.
τίς δ' ἄλλος; ἦ που τῶν ἀπ' Αἰγίσθου φίλων;
ΟΡΕΣΤΗΣ.
οὗτοί μ' ὑβρίζουσ', ὧν πόλις τὰ νῦν κλύει.
ΜΕΝΕΛΑΟΣ.
Ἀγαμέμνονος δὲ σκῆπτρ' ἐᾷ σ' ἔχειν πόλις;
ΟΡΕΣΤΗΣ.
πῶς, οἵτινες ζῆν οὐκ ἐῶσ' ἡμᾶς ἔτι;
ΜΕΝΕΛΑΟΣ.
τί δρῶντες ὅ τι καὶ σαφὲς ἔχεις εἰπεῖν ἐμοί;
ΟΡΕΣΤΗΣ.
ψῆφος καθ' ἡμῶν οἴσεται τῇδ' ἡμέρᾳ.
ΜΕΝΕΛΑΟΣ.
φεύγειν πόλιν τήνδ', ἢ θανεῖν, ἢ μὴ θανεῖν;

ΟΡΕΣΤΗΣ.
θανεῖν ὑπ' ἀστῶν λευσίμῳ πετρώματι.
ΜΕΝΕΛΑΟΣ.
κᾆτ' οὐχὶ φεύγεις γῆς ὑπερβάλλων ὅρους;
ΟΡΕΣΤΗΣ.
κύκλῳ γὰρ εἱλισσόμεθα παγχάλκοις ὅπλοις.
ΜΕΝΕΛΑΟΣ.
ἰδίᾳ πρὸς ἐχθρῶν, ἢ πρὸς Ἀργείας χερός;
ΟΡΕΣΤΗΣ.
πάντων πρὸς ἀστῶν, ὡς θάνω· βραχὺς λόγος.
ΜΕΝΕΛΑΟΣ.
ὦ μέλεος, ἥκεις ξυμφορᾶς πρὸς τοὔσχατον.
ΟΡΕΣΤΗΣ.
ἐς σ' ἐλπὶς ἡ 'μὴ καταφυγὰς ἔχει κακῶν.
ἀλλ' ἀθλίως πράσσουσιν εὐτυχὴς μολὼν
μετάδος φίλοισι σοῖσι σῆς εὐπραξίας,
καὶ μὴ μόνος τὸ χρηστὸν ἀπολαβὼν ἔχε,
ἀλλ' ἀντιλάζου καὶ πόνων ἐν τῷ μέρει,
χάριτας πατρῴας ἐκτίνων ἐς οὓς σε δεῖ.
ὄνομα γάρ, ἔργον δ' οὐκ ἔχουσιν οἱ φίλοι
οἱ μὴ 'πὶ ταῖσι συμφοραῖς ὄντες φίλοι.
ΧΟΡΟΣ.
καὶ μὴν γέροντι δεῦρ' ἁμιλλᾶται ποδὶ
ὁ Σπαρτιάτης Τυνδάρεως, μελάμπεπλος
κουρᾷ τε θυγατρὸς πενθίμῳ κεκαρμένος.
ΟΡΕΣΤΗΣ.
ἀπωλόμην, Μενέλαε· Τυνδάρεως ὅδε
στείχει πρὸς ἡμᾶς, οὗ μάλιστ' αἰδώς μ' ἔχει
ἐς ὄμματ' ἐλθεῖν τοῖσιν ἐξειργασμένοις.
καὶ γάρ μ' ἔθρεψε μικρὸν ὄντα, πολλὰ δὲ
φιλήματ' ἐξέπλησε, τὸν Ἀγαμέμνονος
παῖδ' ἀγκάλαισι περιφέρων, Λήδα θ' ἅμα,
τιμῶντέ μ' οὐδὲν ἧσσον ἢ Διοσκόρω·
οἷς, ὦ τάλαινα καρδία ψυχή τ' ἐμή,
ἀπέδωκ' ἀμοιβὰς οὐ καλάς· τίνα σκότον
λάβω προσώπῳ; ποῖον ἐπίπροσθεν νέφος
θῶμαι, γέροντος ὀμμάτων φεύγων κόρας;
ΤΥΝΔΑΡΕΩΣ.
ποῦ ποῦ θυγατρὸς τῆς ἐμῆς ἴδω πόσιν,
Μενέλαον; ἐπὶ γὰρ τῷ Κλυταιμνήστρας τάφῳ
χοὰς χεόμενος ἔκλυον ὡς ἐς Ναυπλίαν
ἥκοι ξὺν ἀλόχῳ πολυετὴς σεσωσμένος.
ἄγετέ με· πρὸς γὰρ δεξιὰν αὐτοῦ θέλω
στὰς ἀσπάσασθαι, χρόνιον εἰσιδὼν φίλον.
ΜΕΝΕΛΑΟΣ.
ὦ πρέσβυ, χαῖρε, Ζηνὸς ὁμόλεκτρον κάρα.
ΤΥΝΔΑΡΕΩΣ.
ὦ χαῖρε καὶ σύ, Μενέλεως, κήδευμ' ἐμόν.
ἔα· τὸ μέλλον ὡς κακὸν τὸ μὴ εἰδέναι.
ὁ μητροφόντης ὅδε πρὸ δωμάτων δράκων
στίλβει νοσώδεις ἀστραπάς, στύγημ' ἐμόν.
Μενέλαε, προσφθέγγει νιν, ἀνόσιον κάρα;
ΜΕΝΕΛΑΟΣ.
τί γάρ; φίλου μοι πατρός ἐστιν ἔκγονος.
ΤΥΝΔΑΡΕΩΣ.
κείνου γὰρ ὅδε πέφυκε, τοιοῦτος γεγώς;
ΜΕΝΕΛΑΟΣ.
πέφυκεν· εἰ δὲ δυστυχεῖ, τιμητέος.
ΤΥΝΔΑΡΕΩΣ.
βεβαρβάρωσαι, χρόνιος ὢν ἐν βαρβάροις.
ΜΕΝΕΛΑΟΣ.
Ἑλληνικόν τοι τὸν ὁμόθεν τιμᾶν ἀεί.
ΤΥΝΔΑΡΕΩΣ.
καὶ τῶν νόμων γε μὴ πρότερον εἶναι θέλειν.
ΜΕΝΕΛΑΟΣ.
πᾶν τοὐξ ἀνάγκης δοῦλόν ἐστ' ἐν τοῖς σοφοῖς.
ΤΥΝΔΑΡΕΩΣ.
κέκτησό νυν σὺ τοῦτ', ἐγὼ δ' οὐ κτήσομαι.
ΜΕΝΕΛΑΟΣ.
ὀργὴ γὰρ ἅμα σου καὶ τὸ γῆρας οὐ σοφόν.
ΤΥΝΔΑΡΕΩΣ.
πρὸς τόνδε σοφίας τις ἂν ἀγὼν ἥκοι πέρι;
εἰ τὰ καλὰ πᾶσι φανερὰ καὶ τὰ μὴ καλά,
τούτου τίς ἀνδρῶν ἐγένετ' ἀσυνετώτερος,
ὅστις τὸ μὲν δίκαιον οὐκ ἐσκέψατο,
οὐδ' ἦλθεν ἐπὶ τὸν κοινὸν Ἑλλήνων νόμον;
ἐπεὶ γὰρ ἐξέπνευσεν Ἀγαμέμνων βίον,
πληγεὶς θυγατρὸς τῆς ἐμῆς ὑπὲρ κάρα,
αἴσχιστον ἔργον, οὐ γὰρ αἰνέσω ποτέ,
χρῆν αὐτὸν ἐπιθεῖναι μὲν αἵματος δίκην
ὁσίαν διώκοντ', ἐκβαλεῖν τε δωμάτων
μητέρα· τὸ σῶφρόν τ' ἂν ἔλαβ' ἀντὶ συμφορᾶς
καὶ τοῦ νόμου τ' ἂν εἴχετ' εὐσεβής τ' ἂν ἦν.
νῦν δ' ἐς τὸν αὐτὸν δαίμον' ἦλθε μητέρι.
κακὴν γὰρ αὐτὴν ἐνδίκως ἡγούμενος,
αὐτὸς κακίων μητέρ' ἐγένετο κτανών.
ἐρήσομαι δέ, Μενέλεως, τοσόνδε σε·
εἰ τόνδ' ἀποκτείνειεν ὁμόλεκτρος γυνή,
χὠ τοῦδε παῖς αὖ μητέρ' ἀνταποκτενεῖ,
κἄπειθ' ὁ κείνου γενόμενος φόνῳ φόνον
λύσει, πέρας δὴ ποῖ κακῶν προβήσεται;
καλῶς ἔθεντο ταῦτα πατέρες οἱ πάλαι·
ἐς ὀμμάτων μὲν ὄψιν οὐκ εἴων περᾶν
οὐδ' εἰς ἀπάντημ', ὅστις αἷμ' ἔχων κυροῖ,
φυγαῖσι δ' ὁσιοῦν, ἀνταποκτείνειν δὲ μή.
ἀεὶ γὰρ εἷς ἔμελλ' ἐνέξεσθαι φόνῳ,
τὸ λοίσθιον μίασμα λαμβάνων χεροῖν.
ἐγὼ δὲ μισῶ μὲν γυναῖκας ἀνοσίους,
πρώτην δὲ θυγατέρ', ἣ πόσιν κατέκτανεν·
Ἑλένην τε τὴν σὴν ἄλοχον οὔποτ' αἰνέσω,
οὐδ' ἂν προσείποιμ'· οὐδὲ σὲ ζηλῶ, κακῆς
γυναικὸς ἐλθόνθ' οὕνεκ' ἐς Τροίας πέδον.
ἀμυνῶ δ', ὅσονπερ δυνατός εἰμι, τῷ νόμῳ,
τὸ θηριῶδες τοῦτο καὶ μιαιφόνον
παύων, ὃ καὶ γῆν καὶ πόλεις ὄλλυσ' ἀεί.
ἐπεὶ τίν' εἶχες, ὦ τάλας, ψυχὴν τότε
ὅτ' ἐξέβαλλε μαστὸν ἱκετεύουσά σε
μήτηρ; ἐγὼ μὲν οὐκ ἰδὼν τἀκεῖ κακά,
δακρύοις γέροντ' ὀφθαλμὸν ἐκτήκω τάλας.
ἓν οὖν λόγοισι τοῖς ἐμοῖς ὁμορροθεῖ·
μισεῖ γε πρὸς θεῶν καὶ τίνεις μητρὸς δίκας,
μανίαις ἀλαίνων καὶ φόβοις. τί μαρτύρων
ἄλλων ἀκούειν δεῖ μ', ἅ γ' εἰσορᾶν πάρα;
ὡς οὖν ἂν εἰδῇς, Μενέλεως, τοῖσιν θεοῖς
μὴ πρᾶσσ' ἐναντί', ὠφελεῖν τοῦτον θέλων·
[ἔα δ' ὑπ' ἀστῶν καταφονευθῆναι πέτροις,
ἢ μὴ 'πίβαινε Σπαρτιάτιδος χθονός.]
θυγάτηρ δ' ἐμὴ θανοῦσ' ἔπραξεν ἔνδικα·

*ἀλλ' οὐχὶ πρὸς τοῦδ' εἰκὸς ἦν αὐτὴν θανεῖν.*
*ἐγὼ δὲ τἄλλα μακάριος πέφυκ' ἀνὴρ,*
*πλὴν ἐς θυγατέρας· τοῦτο δ' οὐκ εὐδαιμονῶ.*

ΧΟΡΟΣ.

*ζηλωτὸς ὅστις εὐτύχησεν ἐς τέκνα,*
*καὶ μὴ 'πισήμους ξυμφορὰς ἐκτήσατο.*

ΟΡΕΣΤΗΣ.

*ὦ γέρον, ἐγώ τοι πρὸς σὲ δειμαίνω λέγειν,*
*ὅπου γε μέλλω σήν τι λυπήσειν φρένα.*
*ἐγὼ δ' ἀνόσιός εἰμι, μητέρα κτανὼν,*
*ὅσιος δέ γ' ἕτερον ὄνομα, τιμωρῶν πατρί.*
*ἀπελθέτω δὴ τοῖς λόγοισιν ἐκποδὼν*
*τὸ γῆρας ἡμῖν τὸ σὸν, ὅ μ' ἐκπλήσσει λέγειν,*
*καὶ καθ' ὁδὸν εἶμι· νῦν δὲ σὴν ταρβῶ τρίχα.*
*τί χρῆν με δρᾶσαι; δύο γὰρ ἀντίθες δυοῖν·*
*πατὴρ μὲν ἐφύτευσέν με, σὴ δ' ἔτικτε παῖς,*
*τὸ σπέρμ' ἄρουρα παραλαβοῦσ' ἄλλου πάρα·*
*ἄνευ δὲ πατρὸς τέκνον οὐκ εἴη ποτ' ἄν.*
*ἐλογισάμην οὖν τῷ γένους ἀρχηγέτῃ*
*μᾶλλόν μ' ἀμῦναι τῆς ὑποστάσης τροφάς·*
*ἡ σὴ δὲ θυγάτηρ, μητέρ' αἰδοῦμαι λέγειν,*
*ἰδίοισιν ὑμεναίοισι κοὐχὶ σώφροσιν*
*ἐς ἀνδρὸς ᾔει λέκτρ'· ἐμαυτὸν, ἢν λέγω*
*κακῶς ἐκείνην, ἐξερῶ· λέξω δ' ὅμως.*
*Αἴγισθος ἦν ὁ κρυπτὸς ἐν δόμοις πόσις.*
*τοῦτον κατέκτειν', ἐπὶ δ' ἔθυσα μητέρα,*
*ἀνόσια μὲν δρῶν, ἀλλὰ τιμωρῶν πατρί.*
*ἐφ' οἷς δ' ἀπειλεῖς ὡς πετρωθῆναί με δεῖ,*
*ἄκουσον ὡς ἅπασαν Ἑλλάδ' ὠφελῶ·*
*εἰ γὰρ γυναῖκες ἐς τόδ' ἥξουσιν θράσους,*
*ἄνδρας φονεύειν, καταφυγὰς ποιούμεναι*
*ἐς τέκνα, μαστοῖς τὸν ἔλεον θηρώμεναι,*
*παρ' οὐδὲν αὐταῖς ἦν ἂν ὀλλύναι πόσεις*
*ἐπίκλημ' ἐχούσαις ὅ τι τύχοι. δράσας δ' ἐγὼ*
*δεἰν', ὡς σὺ κομπεῖς, τόνδ' ἔπαυσα τὸν νόμον.*
*μισῶν δὲ μητέρ' ἐνδίκως ἀπώλεσα,*
*ἥτις μεθ' ὅπλων ἄνδρ' ἀπόντ' ἐκ δωμάτων*
*πάσης ὑπὲρ γῆς Ἑλλάδος στρατηλάτην*
*προὔδωκε, κοὐκ ἔσωσ' ἀκήρατον λέχος.*
*ἐπεὶ δ' ἁμαρτοῦσ' ᾔσθετ', οὐχ αὑτῇ δίκην*
*ἐπέθηκεν, ἀλλ' ὡς μὴ δίκην δοίη πόσει,*
*ἐζημίωσε πατέρα κἀπέκτειν' ἐμόν.*
*πρὸς θεῶν, ἐν οὐ καλῷ μὲν ἐμνήσθην θεῶν,*
*φόνον δικάζων, εἰ δὲ δὴ τὰ μητέρος*
*σιγῶν ἐπῄνουν, τί μ' ἂν ἔδρασ' ὁ κατθανών;*
*οὐκ ἄν με μισῶν ἀνεχόρευ' Ἐρινύσιν;*
*ἢ μητρὶ μὲν πάρεισι σύμμαχοι θεαὶ,*
*τῷ δ' οὐ πάρεισι μᾶλλον ἠδικημένῳ;*
*σύ τοι φυτεύσας θυγατέρ', ὦ γέρον, κακὴν*
*ἀπώλεσάς με· διὰ τὸ γὰρ κείνης θράσος*
*πατρὸς στερηθεὶς, ἐγενόμην μητροκτόνος.*
*ὁρᾷς; Ὀδυσσέως ἄλοχον οὐ κατέκτανε*
*Τηλέμαχος· οὐ γὰρ ἐπεγάμει πόσει πόσιν,*
*μένει δ' ἐν οἴκοις ὑγιὲς εὐναστήριον.*
*ὁρᾷς; Ἀπόλλων ὃς μεσομφάλους ἕδρας*
*ναίων βροτοῖσι στόμα νέμει σαφέστατον,*
*ᾧ πειθόμεσθα πάνθ' ὅσ' ἂν κεῖνος λέγῃ,*
*τούτῳ πιθόμενος τὴν τεκοῦσαν ἔκτανον.*
*ἐκεῖνον ἡγεῖσθ' ἀνόσιον καὶ κτείνετε·*
*ἐκεῖνος ἥμαρτ', οὐκ ἐγώ. τί χρῆν με δρᾶν;*
*ἢ οὐκ ἀξιόχρεως ὁ θεὸς ἀναφέροντί μοι*
*μίασμα λῦσαι; ποῖ τις οὖν ἔτ' ἂν φύγοι,*
*εἰ μὴ κελεύσας ῥύσεταί με μὴ θανεῖν;*
*ἀλλ' ὡς μὲν οὐκ εὖ μὴ λέγ' εἴργασται τάδε,*
*ἡμῖν δὲ τοῖς δράσασιν οὐκ εὐδαιμόνως.*
*γάμοι δ' ὅσοις μὲν εὖ καθεστᾶσιν βροτῶν,*
*μακάριος αἰών· οἷς δὲ μὴ πίπτουσιν εὖ,*
*τά τ' ἔνδον εἰσὶ τά τε θύραζε δυστυχεῖς.*

ΧΟΡΟΣ.

*ἀεὶ γυναῖκες ἐμποδὼν ταῖς ξυμφοραῖς*
*ἔφυσαν ἀνδρῶν πρὸς τὸ δυστυχέστερον.*

ΤΥΝΔΑΡΕΩΣ.

*ἐπεὶ θρασύνει κοὐχ ὑποστέλλει λόγῳ,*
*οὕτω δ' ἀμείβει μ' ὥστε μ' ἀλγῆσαι φρένα,*
*μᾶλλόν μ' ἀνάξεις ἐπὶ σὸν ἐξελθεῖν φόνον·*
*καλὸν πάρεργον δ' αὐτὸ θήσομαι πόνων*
*ὧν οὕνεκ' ἦλθον, θυγατρὶ κοσμήσων τάφον.*
*μολὼν γὰρ εἰς ἔκκλητον Ἀργείων ὄχλον*
*ἑκοῦσαν οὐκ ἄκουσαν ἐπισείσω πόλιν*
*σοὶ σῇ τ' ἀδελφῇ λεύσιμον δοῦναι δίκην.*
*μᾶλλον δ' ἐκείνη σοῦ θανεῖν ἐπαξία,*
*ἢ τῇ τεκούσῃ σ' ἠγρίωσ', ἐς οὓς ἀεὶ*
*πέμπουσα μύθους ἐπὶ τὸ δυσμενέστερον,*
*ὀνείρατ' ἀγγέλλουσα τἀγαμέμνονος,*
*καὶ τοῦθ' ὃ μισήσειαν Αἰγίσθου λέχος*
*οἱ νέρτεροι θεοὶ, καὶ γὰρ ἐνθάδ' ἦν πικρὸν,*
*ἕως ὑφῆψε δῶμ' ἀνηφαίστῳ πυρί.*
*Μενέλαε, σοὶ δὲ τάδε λέγω δράσω τε πρός·*
*εἰ τοὐμὸν ἔχθος ἐναριθμεῖ κῆδός τ' ἐμὸν,*
*μὴ τῷδ' ἀμύνειν φόνον ἐναντίον θεοῖς·*
*ἔα δ' ὑπ' ἀστῶν καταφονευθῆναι πέτροις,*
*ἢ μὴ 'πίβαινε Σπαρτιάτιδος χθονός.*
*τοσαῦτ' ἀκούσας ἴσθι, μηδὲ δυσσεβεῖς*
*ἕλῃ παρώσας εὐσεβεστέρους φίλους·*
*ἡμᾶς δ' ἀπ' οἴκων ἄγετε τῶνδε, πρόσπολοι.*

ΟΡΕΣΤΗΣ.

*στεῖχ', ὡς ἀθορύβως οὑπιὼν ἡμῖν λόγος*
*πρὸς τόνδ' ἵκηται, γῆρας ἀποφυγὼν τὸ σόν.*
*Μενέλαε, ποῖ σὸν πόδ' ἐπὶ συννοίᾳ κυκλεῖς,*
*διπλῆς μερίμνης διπτύχους ἰὼν ὁδούς;*

ΜΕΝΕΛΑΟΣ.

*ἔασον· ἐν ἐμαυτῷ τι συννοούμενος,*
*ὅπῃ τράπωμαι τῆς τύχης ἀμηχανῶ.*

ΟΡΕΣΤΗΣ.

*μή νυν πέραινε τὴν δόκησιν, ἀλλ' ἐμοὺς*
*λόγους ἀκούσας πρόσθε, βουλεύου τότε.*

ΜΕΝΕΛΑΟΣ.

*λέγ'· εὖ γὰρ εἶπας. ἔστι δ' οὗ σιγὴ λόγου*
*κρείσσων γένοιτ' ἂν, ἔστι δ' οὗ σιγῆς λόγος.*

ΟΡΕΣΤΗΣ.

*λέγοιμ' ἂν ἤδη. τὰ μακρὰ τῶν σμικρῶν λόγων*
*ἐπίπροσθέν ἐστι καὶ σαφῆ μᾶλλον κλύειν.*
*ἐμοὶ σὺ τῶν σῶν, Μενέλεως, μηδὲν δίδου,*
*ἃ δ' ἔλαβες ἀπόδος, πατρὸς ἐμοῦ λαβὼν πάρα.*
*οὐ χρήματ' εἶπον· χρήματ', ἢν ψυχὴν ἐμὴν*
*σώσῃς, ἅπερ μοι φίλτατ' ἐστὶ τῶν ἐμῶν.*
*ἀδικῶ· λαβεῖν χρή μ' ἀντὶ τοῦδε τοῦ κακοῦ*
*ἄδικόν τι παρὰ σοῦ· καὶ γὰρ Ἀγαμέμνων πατὴρ*
*ἀδίκως ἀθροίσας Ἑλλάδ' ἦλθ' ἐς Ἴλιον,*
*οὐκ ἐξαμαρτὼν αὐτὸς, ἀλλ' ἁμαρτίαν*

τῆς σῆς γυναικὸς ἀδικίαν τ' ἰώμενος.
ἓν μὲν τόδ' ἡμῖν ἀνθ' ἑνὸς δοῦναί σε χρή.
ἀπέδοτο δ', ὡς χρὴ τοῖς φίλοισι τοὺς φίλους,
τὸ σῶμ' ἀληθῶς σοι, παρ' ἀσπίδ' ἐκπονῶν,
ὅπως σὺ τὴν σὴν ἀπολάβοις ξυνάορον.
ἀπότισον οὖν μοι ταὐτὸ τοῦτ' ἐκεῖ λαβών,
μίαν πονήσας ἡμέραν ἡμῶν ὕπερ
σωτήριος στάς, μὴ δέκ' ἐκπλήσας ἔτη.
ἃ δ' Αὐλὶς ἔλαβε σφάγι' ἐμῆς ὁμοσπόρου,
ἐῶ σ' ἔχειν ταῦθ'· Ἑρμιόνην μὴ κτεῖνε σύ.
δεῖ γάρ σ' ἐμοῦ πράσσοντος ὡς πράσσω τὰ νῦν
πλέον φέρεσθαι; κἀμὲ συγγνώμην ἔχειν.
ψυχὴν δ' ἐμὴν δὸς τῷ ταλαιπώρῳ πατρὶ
κἀμῆς ἀδελφῆς, παρθένου μακρὸν χρόνον·
θανὼν γὰρ οἶκον ὀρφανὸν λείψω πατρός.
ἐρεῖς, ἀδύνατον· αὐτὸ τοῦτο· τοὺς φίλους
ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν·
ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων;
ἀρκεῖ γὰρ αὐτὸς ὁ θεὸς ὠφελεῖν θέλων.
φιλεῖν δάμαρτα πᾶσιν Ἕλλησιν δοκεῖς·
κοὐχ ὑποτρέχων σε τοῦτο θωπείᾳ λέγω·
ταύτης ἱκνοῦμαί σ'. ὦ μέλεος ἐμῶν κακῶν,
ἐς οἷον ἥκω. τί δὲ ταλαιπωρεῖν με δεῖ;
ὑπὲρ γὰρ οἴκου παντὸς ἱκετεύω τάδε.
ὦ πατρὸς ὅμαιμε θεῖε, τὸν κατὰ χθονὸς
θανόντ' ἀκούειν τάδε δόκει, ποτωμένην
ψυχὴν ὑπὲρ σοῦ, καὶ λέγειν ἁγὼ λέγω.
ταῦτ' ἔς τε δάκρυα καὶ γόους καὶ ξυμφορὰς
εἴρηκα, κἀπῄτηκα τὴν σωτηρίαν,
θηρῶν ὃ πάντες κοὐκ ἐγὼ ζητῶ μόνος.

### ΧΟΡΟΣ.

κἀγώ σ' ἱκνοῦμαι καὶ γυνή περ οὖσ' ὅμως
τοῖς δεομένοισιν ὠφελεῖν· οἷός τε δ' εἶ.

### ΜΕΝΕΛΑΟΣ.

Ὀρέστ', ἐγώ τοι σὸν καταιδοῦμαι κάρα,
καὶ ξυμπονῆσαι σοῖς κακοῖσι βούλομαι·
καὶ χρὴ γὰρ οὕτω τῶν ὁμαιμόνων κακὰ
ξυνεκκομίζειν, δύναμιν ἢν διδῷ θεός,
θνῄσκοντα καὶ κτείνοντα τοὺς ἐναντίους.
τὸ δ' αὖ δύνασθαι πρὸς θεῶν χρῄζω τυχεῖν·
ἥκω γὰρ ἀνδρῶν ξυμμάχων κενὸν δόρυ
ἔχων, πόνοισι μυρίοις ἀλώμενος,
σμικρᾷ ξὺν ἀλκῇ τῶν λελειμμένων φίλων.
μάχῃ μὲν οὖν ἂν οὐχ ὑπερβαλοίμεθα
Πελασγὸν Ἄργος· εἰ δὲ μαλθακοῖς λόγοις
δυναίμεθ', ἐνταῦθ' ἐλπίδος προσήκομεν.
σμικροῖσι γὰρ τὰ μεγάλα πῶς ἕλοι τις ἂν
πόνοισιν; ἀμαθὲς καὶ τὸ βούλεσθαι τάδε.
ὅταν γὰρ ἡβᾷ δῆμος, εἰς ὀργὴν πεσών,
ὅμοιον ὥστε πῦρ κατασβέσαι λάβρον·
εἰ δ' ἡσύχως τις αὐτὸς ἐντείνοντι μὲν
χαλῶν ὑπείκοι, καιρὸν εὐλαβούμενος,
ἴσως ἂν ἐκπνεύσει'· ὅταν δ' ἀνῇ πνοάς,
τύχοις ἂν αὐτοῦ ῥᾳδίως ὅσον θέλεις.
ἔνεστι δ' οἶκτος, ἔνι δὲ καὶ θυμὸς μέγας,
καραδοκοῦντι κτῆμα τιμιώτατον.
ἐλθὼν δὲ Τυνδάρεών τέ σοι πειράσομαι
πόλιν τε πεῖσαι τῷ λίαν χρῆσθαι καλῶς.
καὶ ναῦς γὰρ ἐνταθεῖσα πρὸς βίαν ποδὶ
ἔβαψεν, ἔστη δ' αὖθις, ἢν χαλᾷ πόδα.
μισεῖ γὰρ ὁ θεὸς τὰς ἄγαν προθυμίας,
μισοῦσι δ' ἀστοί· δεῖ δέ μ', οὐκ ἄλλως λέγω,
σῴζειν σε σοφίᾳ, μὴ βίᾳ τῶν κρεισσόνων.
ἀλκῇ δὲ σ' οὐκ ἄν, ᾗ σὺ δοξάζεις ἴσως,
σώσαιμ' ἄν· οὐ γὰρ ῥᾴδιον λόγχῃ μιᾷ
στῆσαι τροπαῖα τῶν κακῶν, ἅ σοι πάρα.
οὐ γάρ ποτ' Ἄργους γαῖαν ἐς τὸ μαλθακὸν
προσηγόμεσθα· νῦν δ' ἀναγκαίως ἔχει
δούλοισιν εἶναι τοῖς σοφοῖσι τῆς τύχης.

### ΟΡΕΣΤΗΣ.

ὦ πλὴν γυναικὸς οὕνεκα στρατηλατεῖν
τἄλλ' οὐδέν, ὦ κάκιστε τιμωρεῖν φίλοις,
φεύγεις ἀποστραφείς με; τὰ δ' Ἀγαμέμνονος
φροῦδ'. ἄφιλος ἦσθ' ἄρ', ὦ πάτερ, πράσσων κακῶς.
οἴμοι, προδέδομαι, κοὐκέτ' εἰσὶν ἐλπίδες,
ὅπῃ τραπόμενος θάνατον Ἀργείων φύγω·
οὗτος γὰρ ἦν μοι καταφυγὴ σωτηρίας.
ἀλλ' εἰσορῶ γὰρ τόνδε φίλτατον βροτῶν,
Πυλάδην, δρόμῳ στείχοντα Φωκέων ἄπο,
ἡδεῖαν ὄψιν· πιστὸς ἐν κακοῖς ἀνὴρ
κρείσσων γαλήνης ναυτίλοισιν εἰσορᾶν.

### ΠΥΛΑΔΗΣ.

θᾶσσον ἢ μ' ἐχρῆν προβαίνων ἱκόμην δι' ἄστεως,
ξύλλογον πόλεως ἀκούσας, τὸν δ' ἰδὼν αὐτὸς σαφῶς,
ἐπὶ σὲ σύγγονόν τε τὴν σήν, ὡς κτενοῦντας αὐτίκα.
τί τάδε; πῶς ἔχεις; τί πράσσεις, φίλταθ' ἡλίκων ἐμοὶ
καὶ φίλων καὶ ξυγγενείας; πάντα γὰρ τάδ' εἶ σύ μοι.

### ΟΡΕΣΤΗΣ.

οἰχόμεσθ', ὡς ἐν βραχεῖ σοι τἀμὰ δηλώσω κακά.

### ΠΥΛΑΔΗΣ.

ξυγκατασκάπτοις ἂν ἡμᾶς· κοινὰ γὰρ τὰ τῶν φίλων.

### ΟΡΕΣΤΗΣ.

Μενέλεως κάκιστος ἐς με καὶ κασιγνήτην ἐμήν.

### ΠΥΛΑΔΗΣ.

εἰκότως, κακῆς γυναικὸς ἄνδρα γίγνεσθαι κακόν.

### ΟΡΕΣΤΗΣ.

ὥσπερ οὐκ ἐλθὼν ἔμοιγε ταὐτὸν ἀπέδωκεν μολών.

### ΠΥΛΑΔΗΣ.

ἦ γὰρ ἔστιν ὡς ἀληθῶς τήνδ' ἀφιγμένος χθόνα;

### ΟΡΕΣΤΗΣ.

χρόνιος· ἀλλ' ὅμως τάχιστα κακὸς ἐφωράθη φίλοις.

### ΠΥΛΑΔΗΣ.

καὶ δάμαρτα τὴν κακίστην ναυστολῶν ἐλήλυθε;

### ΟΡΕΣΤΗΣ.

οὐκ ἐκεῖνος, ἀλλ' ἐκείνη κεῖνον ἐνθάδ' ἤγαγε.

### ΠΥΛΑΔΗΣ.

ποῦ 'στιν ἣ πλείστους Ἀχαιῶν ὤλεσεν γυνὴ μία;

### ΟΡΕΣΤΗΣ.

ἐν δόμοις ἐμοῖσιν, εἰ δὴ τούσδ' ἐμοὺς καλεῖν χρεών.

### ΠΥΛΑΔΗΣ.

σὺ δὲ τίνας λόγους ἔλεξας σοῦ κασιγνήτῳ πατρός;

ΟΡΕΣΤΗΣ.
μή μ' ἰδεῖν θανόνθ' ὑπ' ἀστῶν καὶ κασιγνήτην ἐμήν.
ΠΥΛΑΔΗΣ.
πρὸς θεῶν, τί πρὸς τάδ' εἶπε; τόδε γὰρ εἰδέναι θέλω.
ΟΡΕΣΤΗΣ.
ηὐλαβεῖθ', ὃ τοῖς φίλοισι δρῶσιν οἱ κακοὶ φίλοι.
ΠΥΛΑΔΗΣ.
σκῆψιν ἐς ποίαν προβαίνων; τοῦτο πάντ' ἔχω μαθών.
ΟΡΕΣΤΗΣ.
οὗτος ἦλθ' ὁ τὰς ἀρίστας θυγατέρας σπείρων πατήρ.
ΠΥΛΑΔΗΣ.
Τυνδάρεων λέγεις· ἴσως σοι θυγατέρος θυμούμενος.
ΟΡΕΣΤΗΣ.
αἰσθάνει. τὸ τοῦδε κῆδος μᾶλλον εἵλετ' ἢ πατρός.
ΠΥΛΑΔΗΣ.
κοὐκ ἐτόλμησεν πόνων σῶν ἀντιλάζυσθαι παρών;
ΟΡΕΣΤΗΣ.
οὐ γὰρ αἰχμητὴς πέφυκεν, ἐν γυναιξὶ δ' ἄλκιμος.
ΠΥΛΑΔΗΣ.
ἐν κακοῖς ἄρ' εἶ μεγίστοις, καί σ' ἀναγκαῖον θανεῖν.
ΟΡΕΣΤΗΣ.
ψῆφον ἀμφ' ἡμῶν πολίτας ἐπὶ φόνῳ θέσθαι χρεών.
ΠΥΛΑΔΗΣ.
ἣ κρινεῖ τί χρῆμα, λέξον· διὰ φόβου γὰρ ἔρχομαι.
ΟΡΕΣΤΗΣ.
ἢ θανεῖν, ἢ ζῆν. ὁ μῦθος οὐ μακρὸς μακρῶν πέρι.
ΠΥΛΑΔΗΣ.
φεῦγέ νυν λιπὼν μέλαθρα σὺν κασιγνήτῃ σέθεν.
ΟΡΕΣΤΗΣ.
οὐχ ὁρᾷς; φυλασσόμεσθα φρουρίοισι παν ταχῇ.
ΠΥΛΑΔΗΣ.
εἶδον ἄστεως ἀγυιὰς τεύχεσιν πεφραγμένας.
ΟΡΕΣΤΗΣ.
ὡσπερεὶ πόλις πρὸς ἐχθρῶν σῶμα πυργηρούμεθα.
ΠΥΛΑΔΗΣ.
κἀμέ νυν ἐροῦ τί πάσχω· καὶ γὰρ αὐτὸς οἴχομαι.
ΟΡΕΣΤΗΣ.
πρὸς τίνος; τοῦτ' ἂν προσείη τοῖς ἐμοῖς κακοῖς κακόν.
ΠΥΛΑΔΗΣ.
Στρόφιος ἤλασέν μ' ἀπ' οἴκων φυγάδα θυμωθεὶς πατήρ.
ΟΡΕΣΤΗΣ.
ἴδιον, ἢ κοινὸν πολίταις ἐπιφέρων ἔγκλημά τι;
ΠΥΛΑΔΗΣ.
ὅτι συνηράμην φόνον σοι μητρός, ἀνόσιον λέγων.
ΟΡΕΣΤΗΣ.
ὦ τάλας, ἔοικε καὶ σὲ τἀμὰ λυπήσειν κακά.
ΠΥΛΑΔΗΣ.
οὐχὶ Μενέλεω τρόποισι χρώμεθ'· οἰστέον τάδε.
ΟΡΕΣΤΗΣ.
οὐ φοβεῖ μή σ' Ἄργος ὥσπερ κἄμ' ἀποκτεῖναι θέλῃ;
ΠΥΛΑΔΗΣ.
οὐ προσήκομεν κολάζειν τοῖσδε, Φωκέων δὲ γῇ.
ΟΡΕΣΤΗΣ.
δεινὸν οἱ πολλοί, κακούργους ὅταν ἔχωσι προστάτας.
ΠΥΛΑΔΗΣ.
ἀλλ' ὅταν χρηστοὺς λάβωσι, χρηστὰ βουλεύουσ' ἀεί.
ΟΡΕΣΤΗΣ.
εἶεν. ἐς κοινὸν λέγειν χρή.
ΠΥΛΑΔΗΣ.
τίνος ἀναγκαίου πέρι;
ΟΡΕΣΤΗΣ.
εἰ λέγοιμ' ἀστοῖσιν ἐλθὼν
ΠΥΛΑΔΗΣ.
ὡς ἔδρασας ἔνδικα;
ΟΡΕΣΤΗΣ.
πατρὶ τιμωρῶν ἐμαυτοῦ;
ΠΥΛΑΔΗΣ.
μὴ λάβωσί σ' ἄσμενοι.
ΟΡΕΣΤΗΣ.
ἀλλ' ὑποπτήξας σιωπῇ κατθάνω;
ΠΥΛΑΔΗΣ.
δειλὸν τόδε.
ΟΡΕΣΤΗΣ.
πῶς ἂν οὖν δρῴην;
ΠΥΛΑΔΗΣ.
ἔχεις τίν', ἢν μένῃς, σωτηρίαν;
ΟΡΕΣΤΗΣ.
οὐκ ἔχω.
ΠΥΛΑΔΗΣ.
μολόντα δ' ἐλπίς ἐστι σωθῆναι κακῶν;
ΟΡΕΣΤΗΣ.
εἰ τύχοι, γένοιτ' ἄν.
ΠΥΛΑΔΗΣ.
οὐκοῦν τοῦτο κρεῖσσον ἢ μένειν.
ΟΡΕΣΤΗΣ.
ἀλλὰ δῆτ' ἔλθω;
ΠΥΛΑΔΗΣ.
θανὼν γοῦν ὧδε κάλλιον θανεῖ
ΟΡΕΣΤΗΣ.
καὶ τὸ πρᾶγμά γ' ἔνδικόν μοι.
ΠΥΛΑΔΗΣ.
τῷ δοκεῖν εὔχου μόνον.
ΟΡΕΣΤΗΣ.
εὖ λέγεις· φεύγω τὸ δειλὸν τῇδε.
ΠΥΛΑΔΗΣ.
μᾶλλον ἢ μένων.
ΟΡΕΣΤΗΣ.
καί τις ἄν γέ μ' οἰκτίσειε
ΠΥΛΑΔΗΣ.
μέγα γὰρ ηὑγένειά σου.
ΟΡΕΣΤΗΣ.
θάνατον ἀσχάλλων πατρῷον.
ΠΥΛΑΔΗΣ.
πάντα ταῦτ' ἐν ὄμμασιν
ΟΡΕΣΤΗΣ.
ἰτέον, ὡς ἄνανδρον ἀκλεῶς κατθανεῖν.
ΠΥΛΑΔΗΣ.
αἰνῶ τάδε.
ΟΡΕΣΤΗΣ.
ἦ λέγωμεν οὖν ἀδελφῇ ταῦτ' ἐμῇ;

ΠΥΛΑΔΗΣ.

μὴ πρὸς θεῶν.

ΟΡΕΣΤΗΣ.

δάκρυα γοῦν γένοιτ' ἄν.

ΠΥΛΑΔΗΣ.

οὐκοῦν οὗτος οἰωνὸς μέγας.

ΟΡΕΣΤΗΣ.

δηλαδὴ σιγᾶν ἄμεινον.

ΠΥΛΑΔΗΣ.

τῷ χρόνῳ δὲ κερδανεῖς.

ΟΡΕΣΤΗΣ.

κεῖνό μοι μόνον πρόσαντες.

ΠΥΛΑΔΗΣ.

τί τόδε καινὸν αὖ λέγεις;

ΟΡΕΣΤΗΣ.

μὴ θεαί μ' οἴστρῳ κατάσχωσ'.

ΠΥΛΑΔΗΣ.

ἀλλὰ κηδεύσω σ' ἐγώ.

ΟΡΕΣΤΗΣ.

δυσχερὲς ψαύειν νοσοῦντος ἀνδρός.

ΠΥΛΑΔΗΣ.

οὐκ ἔμοιγε σοῦ.

ΟΡΕΣΤΗΣ.

εὐλαβοῦ λύσσης μετασχεῖν τῆς ἐμῆς.

ΠΥΛΑΔΗΣ.

τόδ' οὖν ἴτω.

ΟΡΕΣΤΗΣ.

οὐκ ἄρ' ὀκνήσεις;

ΠΥΛΑΔΗΣ.

ὄκνος γὰρ τοῖς φίλοις κακὸν μέγα.

ΟΡΕΣΤΗΣ.

ἕρπε νυν, οἴαξ ποδός μοι.

ΠΥΛΑΔΗΣ.

φίλα γ' ἔχων κηδεύματα.

ΟΡΕΣΤΗΣ.

καί με πρὸς τύμβον πόρευσον πατρός.

ΠΥΛΑΔΗΣ.

ὡς τί δὴ τόδε;

ΟΡΕΣΤΗΣ.

ὥς νιν ἱκετεύσω με σῶσαι.

ΠΥΛΑΔΗΣ.

τό γε δίκαιον ὧδ' ἔχει.

ΟΡΕΣΤΗΣ.

μητέρος δὲ μηδ' ἴδοιμι μνῆμα.

ΠΥΛΑΔΗΣ.

πολεμία γὰρ ἦν.
ἀλλ' ἔπειγ', ὡς μή σε πρόσθε ψῆφος Ἀργείων ἕλῃ,
περιβαλὼν πλευροῖς ἐμοῖσι πλευρὰ νωχελῆ νόσῳ,
ὡς ἐγὼ δι' ἄστεώς σε σμικρὰ φροντίζων ὄχλου
οὐδὲν αἰσχυνθεὶς ὀχήσω. ποῦ γὰρ ὢν δείξω φίλος,
εἴ σε μὴ 'ν δειναῖσιν ὄντα συμφοραῖς ἐπαρκέσω;

ΟΡΕΣΤΗΣ.

τοῦτ' ἐκεῖνο, κτᾶσθ' ἑταίρους, μὴ τὸ συγγενὲς μόνον·
ὡς ἀνὴρ, ὅστις τρόποισι συντακῇ, θυραῖος ὤν,
μυρίων κρείσσων ὁμαίμων ἀνδρὶ κεκτῆσθαι φίλος.

ΧΟΡΟΣ.

ὁ μέγας ὄλβος ἅ τ' ἀρετὰ
μέγα φρονοῦσ' ἀν' Ἑλλάδα καὶ
παρὰ Σιμουντίοις ὀχετοῖς
πάλιν ἀνῆλθ' ἐξ εὐτυχίας Ἀτρείδαις
πάλαι παλαιᾶς ἀπὸ συμφορᾶς δόμων,
ὁπότε χρυσέας ἔρις ἀρνὸς
ἤλυθε Τανταλίδαις,
οἰκτρότατα θοινάματα καὶ
σφάγια γενναίων τεκέων·
ὅθεν φόνῳ φόνος ἐξαμεί-
βων δι' αἵματος οὐ προλεί-
πει δισσοῖσιν Ἀτρείδαις.
τὸ καλὸν οὐ καλὸν, τοκέων
πυριγενεῖ τέμνειν παλάμᾳ
χρόα, μελάνδετον δὲ φόνῳ
ξίφος ἐς αὐγὰς ἀελίοιο δεῖξαι·
τὸ δ' αὖ κακουργεῖν ἀσέβεια ποικίλα
κακοφρόνων τ' ἀνδρῶν παράνοια.
θανάτου δ' ἀμφὶ φόβῳ
Τυνδαρὶς ἰάχησε τάλαι-
να· τέκνον, οὐ τολμᾷς ὅσια
κτείνων σὰν ματέρα· μὴ πατρῴ-
αν τιμῶν χάριν ἐξανά-
ψῃ δύσκλειαν ἐσαεί.
τίς νόσος ἢ τίνα δάκρυα καὶ
τίς ἔλεος μείζων κατὰ γᾶν
ἢ ματροκτόνον αἷμα χειρὶ θέσθαι;
οἷον ὅ γ' ἔργον τελέσας
βεβάκχευται μανίαις,
Εὐμενίσιν θήραμα φόνῳ
δρομάσι δινεύων βλεφάροις
Ἀγαμεμνόνιος παῖς.
ὦ μέλεος, ματέρος ὅτε
μαστὸν ὑπερτέλλοντ' ἐσιδὼν
χρυσεοπηνήτων φαρέων
σφάγιον ἔθετο ματέρα, πα-
τρῴων παθέων ἀμοιβάν.

ΗΛΕΚΤΡΑ.

γυναῖκες, ἦ που τῶνδ' ἀφωρμήθη δόμων
τλήμων Ὀρέστης θεομανεῖ λύσσῃ δαμείς;

ΧΟΡΟΣ.

ἥκιστα· πρὸς δ' Ἀργεῖον οἴχεται λεὼν,
ψυχῆς ἀγῶνα τὸν προκείμενον πέρι
δώσων, ἐν ᾧ ζῆν ἢ θανεῖν ὑμᾶς χρεών.

ΗΛΕΚΤΡΑ.

οἴμοι· τί χρῆμ' ἔδρασε; τίς δ' ἔπεισέ νιν;

ΧΟΡΟΣ.

Πυλάδης, ἔοικε δ' οὐ μακρὰν ὅδ' ἄγγελος
λέξειν τὰ κεῖθεν σοῦ κασιγνήτου πέρι.

ΑΓΓΕΛΟΣ.

ὦ τλῆμον, ὦ δύστηνε τοῦ στρατηλάτου
Ἀγαμέμνονος παῖ, πότνι' Ἠλέκτρα, λόγους
ἄκουσον οὕς σοι δυστυχεῖς ἥκω φέρων.

ΗΛΕΚΤΡΑ.

αἰαῖ· διοιχόμεσθα· δῆλος εἶ λόγῳ.
κακῶν γὰρ ἥκεις, ὡς ἔοικεν, ἄγγελος.

ΑΓΓΕΛΟΣ.

ψήφῳ Πελασγῶν σὸν κασίγνητον θανεῖν
καὶ σ', ὦ τάλαιν', ἔδοξε τῇδ' ἐν ἡμέρᾳ.

ΗΛΕΚΤΡΑ.

οἴμοι· προσῆλθεν ἐλπὶς, ἣν φοβουμένη

807—818. == 819—829.

πάλαι τὸ μέλλον ἐξετηκόμην γόοις.
ἀτὰρ τίς ἀγὼν, τίνες ἐν Ἀργείοις λόγοι
καθεῖλον ἡμᾶς κἀπεκύρωσαν θανεῖν,
λέγ', ὦ γεραιὲ, πότερα λευσίμῳ χερὶ
ἢ διὰ σιδήρου πνεῦμ' ἀπορρῆξαί με δεῖ,
κοινὰς ἀδελφῷ συμφορὰς κεκτημένην.

ΑΓΓΕΛΟΣ.

ἐτύγχανον μὲν ἀγρόθεν πυλῶν ἔσω
βαίνων, πυθέσθαι δεόμενος τά τ' ἀμφὶ σοῦ
τά τ' ἀμφ' Ὀρέστου· σῷ γὰρ εὔνοιαν πατρὶ
ἀεί ποτ' εἶχον, καί μ' ἔφερβε σὸς δόμος
πένητα μὲν, χρῆσθαι δὲ γενναῖον φίλοις.
ὁρῶ δ' ὄχλον στείχοντα καὶ θάσσοντ' ἄκραν,
οὗ φασι πρῶτον Δαναὸν Αἰγύπτῳ δίκας
διδόντ' ἀθροῖσαι λαὸν ἐς κοινὰς ἕδρας.
ἀστῶν δὲ δή τιν' ἠρόμην ἄθροισμ' ἰδὼν,
τί καινὸν Ἄργει; μῶν τι πολεμίων πάρα
ἄγγελμ' ἀνεπτέρωκε Δαναϊδῶν πόλιν;
ὁ δ' εἶπ', Ὀρέστην κεῖνον οὐχ ὁρᾷς πέλας
στείχοντ', ἀγῶνα θανάσιμον δραμούμενον;
ὁρῶ δ' ἄελπτον φάσμ', ὃ μήποτ' ὤφελον,
Πυλάδην τε καὶ σὸν σύγγονον στείχονθ' ὁμοῦ,
τὸν μὲν κατηφῆ καὶ παρειμένον νόσῳ,
τὸν δ' ὥστ' ἀδελφὸν ἴσα φίλῳ λυπούμενον,
νόσημα κηδεύοντα παιδαγωγίᾳ.
ἐπεὶ δὲ πλήρης ἐγένετ' Ἀργείων ὄχλος,
κῆρυξ ἀναστὰς εἶπε, τίς χρῄζει λέγειν,
πότερον Ὀρέστην κατθανεῖν ἢ μὴ χρεὼν
μητροκτονοῦντα; κἀπὶ τῷδ' ἀνίσταται
Ταλθύβιος, ὃς σῷ πατρὶ συνεπόρθει Φρύγας.
ἔλεξε δ', ὑπὸ τοῖς δυναμένοισιν ὢν ἀεὶ,
διχόμυθα, πατέρα μὲν σὸν ἐκπαγλούμενος,
σὸν δ' οὐκ ἐπαινῶν σύγγονον, καλῶς κακοὺς
λόγους ἑλίσσων, ὅτι καθισταίη νόμους
ἐς τοὺς τεκόντας οὐ καλοὺς, τὸ δ' ὄμμ' ἀεὶ
φαιδρωπὸν ἐδίδου τοῖσιν Αἰγίσθου φίλοις.
τὸ γὰρ γένος τοιοῦτον· ἐπὶ τὸν εὐτυχῆ
πηδῶσ' ἀεὶ κήρυκες· ὅδε δ' αὐτοῖς φίλος,
ὃς ἂν δύνηται πόλεος ἔν τ' ἀρχαῖσιν ᾖ.
ἐπὶ τῷδε δ' ἠγόρευε Διομήδης ἄναξ.
οὗτος κτανεῖν μὲν οὔτε σ' οὔτε σύγγονον
εἴα, φυγῇ δὲ ζημιοῦντας εὐσεβεῖν.
ἐπερρόθησαν δ' οἱ μὲν ὡς καλῶς λέγοι,
οἱ δ' οὐκ ἐπῄνουν. κἀπὶ τῷνδ' ἀνίσταται
ἀνήρ τις ἀθυρόγλωσσος, ἰσχύων θράσει,
Ἀργεῖος οὐκ Ἀργεῖος, ἠναγκασμένος,
θορύβῳ τε πίσυνος κἀμαθεῖ παρρησίᾳ,
πιθανὸς ἔτ' αὐτοὺς περιβαλεῖν κακῷ τινι.
ὅταν γὰρ ἡδὺς τοῖς λόγοις, φρονῶν κακῶς,
πείθῃ τὸ πλῆθος, τῇ πόλει κακὸν μέγα·
ὅσοι δὲ σὺν νῷ χρηστὰ βουλεύουσ' ἀεὶ,
κἂν μὴ παραυτίκ', αὖθίς εἰσι χρήσιμοι
πόλει. θεᾶσθαι δ' ὧδε χρὴ τὸν προστάτην
ἰδόνθ'· ὅμοιον γὰρ τὸ χρῆμα γίγνεται
τῷ τοὺς λόγους λέγοντι καὶ τιμωμένῳ.
ὃς εἶπ' Ὀρέστην καὶ σ' ἀποκτεῖναι πέτροις
βάλλοντας· ὑπὸ δ' ἔτεινε Τυνδάρεως λόγους
τῷ σφὼ κατακτείνοντι τοιούτους λέγειν.
ἄλλος δ' ἀναστὰς ἔλεγε τῷδ' ἐναντία,
μορφῇ μὲν οὐκ εὐωπὸς, ἀνδρεῖος δ' ἀνὴρ,
ὀλιγάκις ἄστυ κἀγορᾶς χραίνων κύκλον,
αὐτουργὸς, οἵπερ καὶ μόνοι σώζουσι γῆν,
ξυνετὸς δὲ χωρεῖν ὁμόσε τοῖς λόγοις θέλων
ἀκέραιος, ἀνεπίληπτον ἠσκηκὼς βίον·
ὃς εἶπ' Ὀρέστην παῖδα τὸν Ἀγαμέμνονος
στεφανοῦν, ὃς ἠθέλησε τιμωρεῖν πατρὶ,
κακὴν γυναῖκα κἄθεον κατακτανὼν,
ἣ κεῖν' ἀφῄρει, μήθ' ὁπλίζεσθαι χέρα
μήτε στρατεύειν ἐκλιπόντα δώματα,
εἰ τἄνδον οἰκουρήμαθ' οἱ λελειμμένοι
φθείρουσιν, ἀνδρῶν εὐνίδας λωβώμενοι.
καὶ τοῖς γε χρηστοῖς εὖ λέγειν ἐφαίνετο,
κοὐδεὶς ἔτ' εἶπε. σὸς δ' ἐπῆλθε σύγγονος,
ἔλεξε δ', ὦ γῆν Ἰνάχου κεκτημένοι,
[πάλαι Πελασγοὶ, Δαναΐδαι δὲ δεύτερον,]
ὑμῖν ἀμύνων οὐδὲν ἧσσον ἢ πατρὶ
ἔκτεινα μητέρ'. εἰ γὰρ ἀρσένων φόνος
ἔσται γυναιξὶν ὅσιος, οὐ φθάνοιτ' ἔτ' ἂν
θνήσκοντες, ἢ γυναιξὶ δουλεύειν χρεών·
τοὐναντίον δὲ δράσετ' ἢ δρᾶσαι χρεών.
νῦν μὲν γὰρ ἡ προδοῦσα λέκτρ' ἐμοῦ πατρὸς
τέθνηκεν· εἰ δὲ δὴ κατακτενεῖτέ με,
ὁ νόμος ἀνεῖται, κοὐ φθάνοι θνήσκων τις ἂν,
ὡς τῆς γε τόλμης οὐ σπάνις γενήσεται.
ἀλλ' οὐκ ἔπειθ' ὅμιλον, εὖ δοκῶν λέγειν.
νικᾷ δ' ἐκεῖνος ὁ κακὸς ἐν πλήθει λέγων,
ὃς ἠγόρευε σύγγονον σέ τε κτανεῖν.
μόλις δ' ἔπεισε μὴ πετρούμενος θανεῖν
τλήμων Ὀρέστης· αὐτόχειρι δὲ σφαγῇ
ὑπέσχετ' ἐν τῇδ' ἡμέρᾳ λείψειν βίον
σὺν σοί. πορεύει δ' αὐτὸν ἐκκλήτων ἄπο
Πυλάδης δακρύων· σὺν δ' ὁμαρτοῦσιν φίλοι
κλαίοντες, οἰκτείροντες· ἔρχεται δέ σοι
πικρὸν θέαμα καὶ πρόσοψις ἀθλία.
ἀλλ' εὐτρέπιζε φάσγαν' ἢ βρόχον δέρῃ,
ὡς δεῖ λιπεῖν σε φέγγος· ηὑγένεια δὲ
οὐδέν σ' ἐπωφέλησεν, οὐδ' ὁ Πύθιος
τρίποδα καθίζων Φοῖβος, ἀλλ' ἀπώλεσεν.

ΧΟΡΟΣ.

ὦ δυστάλαινα παρθέν', ὡς ξυνηρεφὲς
πρόσωπον ἐς γῆν σὸν βαλοῦσ' ἄφθογγος εἶ,
ὡς ἐς στεναγμοὺς καὶ γόους δραμουμένη.

ΗΛΕΚΤΡΑ.

κατάρχομαι στεναγμὸν, ὦ Πελασγία,
τιθεῖσα λευκὸν ὄνυχα διὰ παρηίδων,
αἱματηρὸν ἄταν,
κτύπον τε κρατὸς, ὃν ἔλαχ' ἁ κατὰ χθονὸς
νερτέρων καλλίπαις θεά.
ἰαχείτω δὲ γᾶ Κυκλωπία,
σίδαρον ἐπὶ κάρα τιθεῖσα κούριμον,
πήματ' οἴκων.
ἔλεος ἔλεος ὅδ' ἔρχεται
τῶν θανουμένων ὕπερ
στρατηλατῶν Ἑλλάδος ποτ' ὄντων.
βέβακε γὰρ βέβακεν, οἴχεται τέκνων
πρόπασα γέννα Πέλοπος, ὅ τ' ἐπὶ μακαρίοις
ζῆλος ὤν ποτ' οἴκοις·
φθόνος νιν εἷλε θεόθεν, ἅ τε δυσμενὴς
φοινία ψῆφος ἐν πόλει.

960—970. == 971—981.

*ἰὼ ἰὼ, πανδάκρυτ᾽ ἐφαμέρων*
*ἔθνη πολύπονα, λεύσσεθ᾽, ὡς παρ᾽ ἐλπίδας*
*μοῖρα βαίνει.*
*ἕτερα δ᾽ ἕτερος ἀμείβεται*
*πήματ᾽ ἐν χρόνῳ μακρῷ·*
*βροτῶν δ᾽ ὁ πᾶς ἀστάθμητος αἰών.*
*μόλοιμι τὰν οὐρανοῦ*
*μέσον χθονός τε τεταμέναν*
*αἰωρήμασι πέτραν*
*ἁλύσεσι χρυσέαισι φερομέναν*
*δίναισι βῶλον ἐξ Ὀλύμπου,*
*ἵν᾽ ἐν θρήνοισιν ἀμβοάσω*
*πατρὶ γέροντι Ταντάλῳ*
*ὃς ἔτεκεν ἔτεκε γενέτορας ἐμέθεν δόμων,*
*οἳ κατεῖδον ἄτας,*
*ποτανὸν μὲν δίωγμα πώλων*
*τεθριπποβάμονι στόλῳ*
*Πέλοψ ὁπότε πελάγεσι διε-*
*δίφρευσε, Μυρτίλου φόνον*
*δικὼν ἐς οἶδμα πόντου,*
*λευκοκύμοσιν*
*πρὸς Γεραιστίαις*
*ποντίων σάλων*
*ἠόσιν ἁρματεύσας.*
*ὅθεν δόμοισι τοῖς ἐμοῖς*
*ἦλθ᾽ ἀρὰ πολύστονος,*
*λόχευμα ποιμνίοισι Μαιάδος τόκου,*
*τὸ χρυσόμαλλον ἀρνὸς ὁπότ᾽*
*ἐγένετο τέρας ὀλοὸν ὀλοὸν*
*Ἀτρέος ἱπποβώτα·*
*ὅθεν Ἔρις τό τε πτερωτὸν*
*ἁλίου μετέβαλεν ἅρμα,*
*τὰν πρὸς ἑσπέραν κέλευθον*
*οὐρανοῦ προσαρμόσασα*
*μονόπωλον ἐς Ἀῶ,*
*ἑπταπόρου τε δρόμημα Πελειάδος*
*εἰς ὁδὸν ἄλλαν Ζεὺς μεταβάλλει,*
*τῶνδέ τ᾽ ἀμείβει θανάτους θανάτων,*
*τά τ᾽ ἐπώνυμα δεῖπνα Θυέστου*
*λέκτρα τε Κρήσσας Ἀερόπας δολί-*
*ας δολίοισι γάμοις. τὰ πανύστατα δ᾽*
*εἰς ἐμὲ καὶ γενέταν ἐμὸν ἦλυθε δόμων*
*πολυπόνοις ἀνάγκαις.*

*ΧΟΡΟΣ.*

*καὶ μὴν ὅδε σὸς ξύγγονος ἕρπει*
*ψήφῳ θανάτου κατακυρωθείς,*
*ὅ τε πιστότατος πάντων Πυλάδης*
*ἰσάδελφος ἀνὴρ, * ἰθύνων*
*νοσερὸν κῶλον*
*ποδὶ κηδοσύνῳ παράσειρος.*

*ΗΛΕΚΤΡΑ.*

*οἳ ᾽γώ. πρὸ τύμβου γάρ σ᾽ ὁρῶσ᾽ ἀναστένω,*
*ἀδελφέ, καὶ πάροιθε νερτέρων πυρᾶς.*
*οἳ ᾽γὼ μάλ᾽ αὖθις. ὥς σ᾽ ἰδοῦσ᾽ ἐν ὄμμασι*
*πανυστάτην πρόσοψιν ἐξέστην φρενῶν.*

*ΟΡΕΣΤΗΣ.*

*οὐ σῖγ᾽ ἀφεῖσα τοὺς γυναικείους γόους*
*στέρξεις τὰ κρανθέντ᾽; οἰκτρὰ μὲν τάδ᾽, ἀλλ᾽ ὅμως*
*φέρειν ἀνάγκη τὰς παρεστώσας τύχας.*

*ΗΛΕΚΤΡΑ.*

*καὶ πῶς σιωπῶ; φέγγος εἰσορᾶν θεοῦ*
*τόδ᾽ οὐκέθ᾽ ἡμῖν τοῖς ταλαιπώροις μέτα.*

*ΟΡΕΣΤΗΣ.*

*σὺ μή μ᾽ ἀπόκτειν᾽· ἅλις ὑπ᾽ Ἀργείας χερὸς*
*τέθνηχ᾽ ὁ τλήμων· τὰ δὲ παρόντ᾽ ἔα κακά.*

*ΗΛΕΚΤΡΑ.*

*ὦ μέλεος ἥβης σῆς, Ὀρέστα, καὶ πότμου*
*θανάτου τ᾽ ἀώρου. ζῆν ἐχρῆν σ᾽, ὅτ᾽ οὐκέτ᾽ εἶ.*

*ΟΡΕΣΤΗΣ.*

*μὴ πρὸς θεῶν μοι περιβάλῃς ἀνανδρίαν,*
*ἐς δάκρυα πορθμεύουσ᾽ ὑπόμνησιν κακῶν.*

*ΗΛΕΚΤΡΑ.*

*θανούμεθ᾽· οὐχ οἷόν τε μὴ στένειν κακά.*
*πᾶσιν γὰρ οἰκτρὸν ἡ φίλη ψυχὴ βροτοῖς.*

*ΟΡΕΣΤΗΣ.*

*τόδ᾽ ἦμαρ ἡμῖν κύριον· δεῖ δ᾽ ἢ βρόχους*
*ἅπτειν κρεμαστούς, ἢ ξίφος θήγειν χερί.*

*ΗΛΕΚΤΡΑ.*

*σύ νύν μ᾽, ἀδελφέ, μή τις Ἀργείων κτάνῃ,*
*ὕβρισμα θέμενος τὸν Ἀγαμέμνονος γόνον.*

*ΟΡΕΣΤΗΣ.*

*ἅλις τὸ μητρὸς αἷμ᾽· ἐγὼ δέ σ᾽ οὐ κτενῶ.*
*ἀλλ᾽ αὐτόχειρι θνῆσχ᾽ ὅτῳ βούλει τρόπῳ.*

*ΗΛΕΚΤΡΑ.*

*ἔσται τάδ᾽· οὐδὲν σοῦ ξίφους λελείψομαι·*
*ἀλλ᾽ ἀμφιθεῖναι σῇ δέρῃ θέλω χέρας.*

*ΟΡΕΣΤΗΣ.*

*τέρπου κενὴν ὄνησιν, εἰ τερπνὸν τόδε,*
*θανάτου πέλας βεβῶσι περιβαλεῖν χέρας.*

*ΗΛΕΚΤΡΑ.*

*ὦ φίλτατ᾽, ὦ ποθεινὸν ἥδιστόν τ᾽ ἔχων*
*τῆς σῆς ἀδελφῆς ὄνομα καὶ ψυχὴν μίαν.*

*ΟΡΕΣΤΗΣ.*

*ἔκ τοί με τήξεις· καί σ᾽ ἀμείψασθαι θέλω*
*φιλότητι χειρῶν. τί γὰρ ἔτ᾽ αἰδοῦμαι τάλας;*
*ὦ στέρν᾽ ἀδελφῆς, ὦ φίλον πρόσπτυγμ᾽ ἐμόν*
*τάδ᾽ ἀντὶ παίδων καὶ γαμηλίου λέχους*
*προσφθέγματ᾽ ἀμφὶ τοῖς ταλαιπώροις πάρα.*

*ΗΛΕΚΤΡΑ.*

*φεῦ·*
*πῶς ἂν ξίφος νῷ ταυτὸν, εἰ θέμις, κτάνοι,*
*καὶ μνῆμα δέξαιθ᾽ ἕν, κέδρου τεχνάσματα.*

*ΟΡΕΣΤΗΣ.*

*ἥδιστ᾽ ἂν εἴη ταῦθ᾽· ὁρᾷς δὲ δὴ φίλων*
*ὡς ἐσπανίσμεθ᾽, ὥστε κοινωνεῖν τάφου*
*οὐδ᾽ εἶφ᾽ ὑπὲρ σοῦ, μὴ θανεῖν σπουδὴν ἔχει*
*Μενέλαος ὁ κακὸς, ὁ προδότης τοὐμοῦ πατρὸς*
*οὐδ᾽ ὄμμ᾽ ἔδειξεν, ἀλλ᾽ ἐπὶ σκήπτροις ἔχων*
*τὴν ἐλπίδ᾽, ηὐλαβεῖτο μὴ σώζειν φίλους.*
*ἀλλ᾽ εἶ᾽, ὅπως γενναῖα κἀγαμέμνονος*
*δράσαντε κατθανούμεθ᾽ ἀξιώτατα.*
*κἀγὼ μὲν εὐγένειαν ἀποδείξω πόλει,*
*παίσας πρὸς ἧπαρ φασγάνῳ· σὲ δ᾽ αὖ χρεὼ*
*ὅμοια πράσσειν τοῖς ἐμοῖς τολμήμασι.*
*Πυλάδη, σὺ δ᾽ ἡμῖν τοῦ φόνου γενοῦ βραβεὺς*
*καὶ κατθανόντοιν εὖ περίστειλον δέμας,*
*θάψον τε κοινῇ πρὸς πατρὸς τύμβον φέρων.*
*καὶ χαῖρ᾽· ἐπ᾽ ἔργον δ᾽, ὡς ὁρᾷς, πορεύομαι.*

ΠΥΛΑΔΗΣ.

ἐπίσχες. ἓν μὲν πρῶτά σοι μομφὴν ἔχω,
εἰ ζῆν με χρῄζειν σοῦ θανόντος ἤλπισας.

ΟΡΕΣΤΗΣ.

τί γὰρ προσήκει κατθανεῖν σ᾽ ἐμοῦ μέτα;

ΠΥΛΑΔΗΣ.

ἤρου; τί δὲ ζῆν σῆς ἑταιρίας ἄτερ;

ΟΡΕΣΤΗΣ.

οὐκ ἔκτανες σὴν μητέρ᾽, ὡς ἐγὼ τάλας.

ΠΥΛΑΔΗΣ.

ξὺν σοί γε κοινῇ· ταὐτὰ καὶ πάσχειν με δεῖ.

ΟΡΕΣΤΗΣ.

ἀπόδος τὸ σῶμα πατρὶ, μὴ ξύνθνησκέ μοι.
σοὶ μὲν γάρ ἐστι πόλις, ἐμοὶ δ᾽ οὐκ ἔστι δὴ,
καὶ δῶμα πατρὸς καὶ μέγας πλούτου λιμήν.
γάμων δὲ τῆς μὲν δυσπότμου τῆσδ᾽ ἐσφάλης,
ἥν σοι κατηγγύησ᾽, ἑταιρίαν σέβων·
σὺ δ᾽ ἄλλο λέκτρον παιδοποίησαι λαβὼν,
κῆδος δὲ τοὐμὸν καὶ σὸν οὐκέτ᾽ ἐστὶ δή.
ἀλλ᾽ ὦ ποθεινὸν ὄνομ᾽ ὁμιλίας ἐμῆς,
χαῖρ᾽· οὐ γὰρ ἡμῖν ἔστι τοῦτο, σοί γε μήν·
οἱ γὰρ θανόντες χαρμάτων τητώμεθα.

ΠΥΛΑΔΗΣ.

ἦ πολὺ λέλειψαι τῶν ἐμῶν βουλευμάτων.
μήθ᾽ αἷμά μου δέξαιτο κάρπιμον πέδον,
μὴ λαμπρὸς αἰθὴρ, εἴ σ᾽ ἐγὼ προδούς ποτε
ἐλευθερώσας τοὐμὸν ἀπολίποιμί σε.
καὶ ξυγκατέκτανον γὰρ, οὐκ ἀρνήσομαι,
καὶ πάντ᾽ ἐβούλευσ᾽ ὧν σὺ νῦν τίνεις δίκας·
καὶ ξυνθανεῖν οὖν δεῖ με σοὶ καὶ τῇδ᾽ ὁμοῦ.
ἐμὴν γὰρ αὐτὴν, ἧς λέχος γ᾽ ἐπῄνεσα,
κρίνω δάμαρτα· τί γὰρ ἐρῶ καλόν ποτε
γῆν Δελφίδ᾽ ἐλθὼν Φωκέων ἀκρόπτολιν,
ὃς πρὶν μὲν ὑμᾶς δυστυχεῖν φίλος παρῆν,
νῦν δ᾽ οὐκέτ᾽ εἰμὶ δυστυχοῦντί σοι φίλος;
οὐκ ἔστιν, ἀλλὰ ταῦτα μὲν κἀμοὶ μέλει.
ἐπεὶ δὲ κατθανούμεθ᾽, ἐς κοινοὺς λόγους
ἔλθωμεν, ὡς ἂν Μενέλεως ξυνδυστυχῇ.

ΟΡΕΣΤΗΣ.

ὦ φίλτατ᾽, εἰ γὰρ τοῦτο κατθάνοιμ᾽ ἰδών.

ΠΥΛΑΔΗΣ.

πιθοῦ νυν, ἀνάμεινον δὲ φασγάνου τομάς.

ΟΡΕΣΤΗΣ.

μενῶ, τὸν ἐχθρὸν εἴ τι τιμωρήσομαι.

ΠΥΛΑΔΗΣ.

σίγα νυν· ὡς γυναιξὶ πιστεύω βραχύ.

ΟΡΕΣΤΗΣ.

μηδὲν τρέσῃς τάσδ᾽· ὡς πάρεισ᾽ ἡμῖν φίλαι.

ΠΥΛΑΔΗΣ.

Ἑλένην κτάνωμεν, Μενέλεῳ λύπην πικράν.

ΟΡΕΣΤΗΣ.

πῶς; τὸ γὰρ ἕτοιμόν ἐστιν, εἴ γ᾽ ἔσται καλῶς.

ΠΥΛΑΔΗΣ.

σφάξαντες. ἐν δόμοις δὲ κρύπτεται σέθεν.

ΟΡΕΣΤΗΣ.

μάλιστα· καὶ δὴ πάντ᾽ ἀποσφραγίζεται.

ΠΥΛΑΔΗΣ.

ἀλλ᾽ οὐκέθ᾽, Ἅιδην νυμφίον κεκτημένη.

ΟΡΕΣΤΗΣ.

καὶ πῶς; ἔχει γὰρ βαρβάρους ὀπάονας.

ΠΥΛΑΔΗΣ.

τίνας; Φρυγῶν γὰρ οὐδέν᾽ ἂν τρέσαιμ᾽ ἐγώ.

ΟΡΕΣΤΗΣ.

οἵους ἐνόπτρων καὶ μύρων ἐπιστάτας.

ΠΥΛΑΔΗΣ.

τρυφὰς γὰρ ἧκει δεῦρ᾽ ἔχουσα Τρωικάς;

ΟΡΕΣΤΗΣ.

ὥσθ᾽ Ἑλλὰς αὐτῇ σμικρὸν οἰκητήριον.

ΠΥΛΑΔΗΣ.

οὐδὲν τὸ δοῦλον πρὸς τὸ μὴ δοῦλον γένος.

ΟΡΕΣΤΗΣ.

καὶ μὴν τόδ᾽ ἔρξας δὶς θανεῖν οὐ χάζομαι.

ΠΥΛΑΔΗΣ.

ἀλλ᾽ οὐδ᾽ ἐγὼ μὴν, σοί γε τιμωρούμενος.

ΟΡΕΣΤΗΣ.

τὸ πρᾶγμα δήλου καὶ πέραιν᾽, ὅπως λέγεις.

ΠΥΛΑΔΗΣ.

εἴσιμεν ἐς οἴκους δῆθεν, ὡς θανούμενοι.

ΟΡΕΣΤΗΣ.

ἔχω τοσοῦτον, τἀπίλοιπα δ᾽ οὐκ ἔχω.

ΠΥΛΑΔΗΣ.

γόους πρὸς αὐτὴν θησόμεσθ᾽ ἃ πάσχομεν.

ΟΡΕΣΤΗΣ.

ὥστ᾽ ἐκδακρῦσαί γ᾽ ἔνδοθεν κεχαρμένην.

ΠΥΛΑΔΗΣ.

καὶ νῷν παρέσται ταῦθ᾽ ἅπερ κείνῃ τότε.

ΟΡΕΣΤΗΣ.

ἔπειτ᾽ ἀγῶνα πῶς ἀγωνιούμεθα;

ΠΥΛΑΔΗΣ.

κρύπτ᾽ ἐν πέπλοισι τοισίδ᾽ ἕξομεν ξίφη.

ΟΡΕΣΤΗΣ.

πρόσθεν δ᾽ ὀπαδῶν τίς ὄλεθρος γενήσεται;

ΠΥΛΑΔΗΣ.

ἐκκλῄσομεν σφᾶς ἄλλον ἄλλοσε στέγης.

ΟΡΕΣΤΗΣ.

καὶ τόν γε μὴ σιγῶντ᾽ ἀποκτείνειν χρεών.

ΠΥΛΑΔΗΣ.

εἶτ᾽ αὐτὸ δηλοῖ τοὔργον ᾗ τείνειν χρεών.

ΟΡΕΣΤΗΣ.

Ἑλένην φονεύειν· μανθάνω τὸ σύμβολον.

ΠΥΛΑΔΗΣ.

ἔγνως· ἄκουσον δ᾽ ὡς καλῶς βουλεύομαι.
εἰ μὲν γὰρ ἐς γυναῖκα σωφρονεστέραν
ξίφος μεθεῖμεν, δυσκλεὴς ἂν ἦν φόνος·
νῦν δ᾽ ὑπὲρ ἁπάσης Ἑλλάδος δώσει δίκην,
ὧν πατέρας ἔκτειν᾽, ὧν τ᾽ ἀπώλεσεν τέκνα,
νύμφας τ᾽ ἔθηκεν ὀρφανὰς ξυναόρων.
ὀλολυγμὸς ἔσται, πῦρ τ᾽ ἀνάψουσιν θεοῖς,
σοὶ πολλὰ κἀμοὶ κέδν᾽ ἀρώμενοι τυχεῖν,
κακῆς γυναικὸς οὕνεχ᾽ αἷμ᾽ ἐπράξαμεν.
ὁ μητροφόντης δ᾽ οὐ καλεῖ, ταύτην κτανὼν,
ἀλλ᾽ ἀπολιπὼν τοῦτ᾽ ἐπὶ τὸ βέλτιον πεσεῖ,
Ἑλένης λεγόμενος τῆς πολυκτόνου φονεύς.
οὐ δεῖ ποτ᾽ οὐ δεῖ Μενέλεων μὲν εὐτυχεῖν,
τὸν σὸν δὲ πατέρα καὶ σὲ κἀδελφὴν θανεῖν

μητέρα τ', ἐῶ τοῦτ', οὐ γὰρ εὐπρεπὲς λέγειν,
δόμους τ' ἔχειν σοὺς, δι' Ἀγαμέμνονος δόρυ
λαβόντα νύμφην· μὴ γὰρ οὖν ζῴην ἔτι,
εἰ μὴ 'π' ἐκείνῃ φάσγανον σπάσω μέλαν.
ἢν δ' οὖν τὸν Ἑλένης μὴ κατάσχωμεν φόνον,
πρήσαντες οἴκους τούσδε κατθανούμεθα.
ἑνὸς γὰρ οὐ σφαλέντες ἕξομεν κλέος,
καλῶς θανόντες ἢ καλῶς σεσωσμένοι.

ΧΟΡΟΣ.

πάσαις γυναιξὶν ἀξία στυγεῖν ἔφυ
ἡ Τυνδαρὶς παῖς, ἣ κατῄσχυνεν γένος.

ΟΡΕΣΤΗΣ.

φεῦ·
οὐκ ἔστιν οὐδὲν κρεῖσσον ἢ φίλος σαφής,
οὐ πλοῦτος, οὐ τυραννίς· ἀλόγιστον δέ τι
τὸ πλῆθος ἀντάλλαγμα γενναίου φίλου.
σὺ γάρ τά τ' εἰς Αἴγισθον ἐξεῦρες κακὰ
καὶ πλησίον παρῆσθα κινδύνων ἐμοὶ,
νῦν τ' αὖ δίδως μοι πολεμίων τιμωρίαν,
κοὐκ ἐκποδὼν εἶ. παύσομαί σ' αἰνῶν, ἐπεὶ
βάρος τι κἀν τῷδ' ἐστὶν, αἰνεῖσθαι λίαν.
ἐγὼ δὲ πάντως ἐκπνέων ψυχὴν ἐμὴν
δράσας τι χρῄζω τοὺς ἐμοὺς ἐχθροὺς θανεῖν,
ἵν' ἀνταναλώσωμεν οἵ με προὔδοσαν,
στένωσι δ' οἵπερ κἄμ' ἔθηκαν ἄθλιον.
Ἀγαμέμνονός τοι παῖς πέφυχ', ὃς Ἑλλάδος
ἦρξ' ἀξιωθεὶς, οὐ τύραννος, ἀλλ' ὅμως
ῥώμην θεοῦ τιν' ἔσχ'· ὃν οὐ καταισχυνῶ
δοῦλον παρασχὼν θάνατον, ἀλλ' ἐλευθέρως
ψυχὴν ἀφήσω, Μενέλεων δὲ τίσομαι.
ἑνὸς γὰρ εἰ λαβοίμεθ', εὐτυχοῖμεν ἄν,
εἴ ποθεν ἄελπτος παραπέσοι σωτηρία
κτανοῦσι, μὴ θανοῦσιν· εὔχομαι τάδε.
ὃ βούλομαι γὰρ ἡδὺ καὶ διὰ στόμα
πτηνοῖσι μύθοις ἀδαπάνως τέρψαι φρένα.

ΗΛΕΚΤΡΑ.

ἐγὼ, κασίγνητ', αὐτὸ τοῦτ' ἔχειν δοκῶ,
σωτηρίαν σοὶ τῷδέ τ' ἐκ τρίτων τ' ἐμοί.

ΟΡΕΣΤΗΣ.

θεοῦ λέγεις πρόνοιαν. ἀλλὰ ποῦ τόδε;
ἐπεὶ τὸ συνετόν γ' οἶδα σῇ ψυχῇ παρόν.

ΗΛΕΚΤΡΑ.

ἄκουε δή νυν· καὶ σὺ δεῦρο νοῦν ἔχε.

ΟΡΕΣΤΗΣ.

λέγ'· ὡς τὸ μέλλειν ἀγαθ' ἔχει τιν' ἡδονήν.

ΗΛΕΚΤΡΑ.

Ἑλένης κάτοισθα θυγατέρ'; εἰδότ' ἠρόμην.

ΟΡΕΣΤΗΣ.

οἶδ', ἣν ἔθρεψεν Ἑρμιόνην μήτηρ ἐμή.

ΗΛΕΚΤΡΑ.

αὕτη βέβηκε πρὸς Κλυταιμνήστρας τάφον.

ΟΡΕΣΤΗΣ.

τί χρῆμα δράσουσ'; ὑποτίθης τίν' ἐλπίδα;

ΗΛΕΚΤΡΑ.

χοὰς κατασπείσουσ' ὑπὲρ μητρὸς τάφου.

ΟΡΕΣΤΗΣ.

καὶ δὴ τί μοι τοῦτ' εἶπας ἐς σωτηρίαν;

ΗΛΕΚΤΡΑ.

ξυλλάβεθ' ὅμηρον τήνδ', ὅταν στείχῃ πάλιν.

ΟΡΕΣΤΗΣ.

τίνος τόδ' εἶπας φάρμακον τρισσοῖς φίλοις;

ΗΛΕΚΤΡΑ.

Ἑλένης θανούσης, ἤν τι Μενέλεώς σε δρᾷ,
ἢ τόνδε κἀμὲ, πᾶν γὰρ ἓν φίλον τόδε,
λέγ' ὡς φονεύσεις Ἑρμιόνην· ξίφος δὲ χρὴ
δέρῃ πρὸς αὐτῇ παρθένου σπάσαντ' ἔχειν.
κἂν μέν σε σώζῃ μὴ θανεῖν χρῄζων κόρην
Μενέλαος, Ἑλένης πτῶμ' ἰδὼν ἐν αἵματι,
μέθες πεπᾶσθαι πατρὶ παρθένου δέμας·
ἢν δ' ὀξυθύμου μὴ κρατῶν φρονήματος
κτείνῃ σε, καὶ σὺ σφάζε παρθένου δέρην.
καί νιν δοκῶ, τὸ πρῶτον ἢν πολὺς παρῇ,
χρόνῳ μαλάξειν σπλάγχνον. οὔτε γὰρ θρασὺ[s]
οὔτ' ἄλκιμος πέφυκε. τήνδ' ἡμῖν ἔχω
σωτηρίας ἔπαλξιν. εἴρηται λόγος.

ΟΡΕΣΤΗΣ.

ὦ τὰς φρένας μὲν ἄρσενας κεκτημένη,
τὸ σῶμα δ' ἐν γυναιξὶ θηλείαις πρέπον,
ὡς ἀξία ζῆν μᾶλλον ἢ θανεῖν ἔφυς.
Πυλάδη, τοιαύτης ἆρ' ἁμαρτήσει τάλας
γυναικὸς, ἧς ζῶν μακάριον κτήσει λέχος;

ΠΥΛΑΔΗΣ.

εἰ γὰρ γένοιτο, Φωκέων δ' ἔλθοι πόλιν,
καλοῖσιν ὑμεναίοισιν ἀξιουμένη.

ΟΡΕΣΤΗΣ.

ἥξει δ' ἐς οἴκους Ἑρμιόνη τίνος χρόνου;
ὡς τἄλλα γ' εἶπας, εἴπερ εὐτυχήσομεν,
κάλλισθ', ἑλόντες σκύμνον ἀνοσίου πατρός.

ΗΛΕΚΤΡΑ.

καὶ δὴ πέλας νιν δωμάτων εἶναι δοκῶ·
τοῦ γὰρ χρόνου τὸ μῆκος αὐτὸ συντρέχει.

ΟΡΕΣΤΗΣ.

καλῶς· σὺ μέν νυν, σύγγον' Ἠλέκτρα, δόμ[ων]
πάρος μένουσα παρθένου δέχου πόδα·
φύλασσε δ', ἤν τις, πρὶν τελευτηθῇ φόνος,
ἢ ξύμμαχός τις ἢ κασίγνητος πατρὸς
ἐλθὼν ἐς οἴκους φθῇ, γέγωνέ τ' ἐς δόμους,
ἢ σανίδα παίσασ' ἢ λόγους πέμψασ' ἔσω.
ἡμεῖς δ' ἔσω στείχοντες ἐπὶ τὸν ἔσχατον
ἀγῶν' ὁπλιζώμεσθα φασγάνῳ χέρας,
Πυλάδη· σὺ γὰρ δὴ συμπονεῖς ἐμοὶ πόνο[υς].
ὦ δῶμα ναίων νυκτὸς ὀρφναίας πάτερ,
καλεῖ σ' Ὀρέστης παῖς σὸς ἐπίκουρον μολεῖ[ν]
τοῖς δεομένοισι. διὰ σὲ γὰρ πάσχω τάλας
ἀδίκως· προδέδομαι δ' ὑπὸ κασιγνήτου σ[οῦ]
δίκαια πράξας· οὗ θέλω δάμαρθ' ἑλὼν
κτεῖναι· σὺ δ' ἡμῖν τοῦδε συλλήπτωρ γενο[ῦ].

ΗΛΕΚΤΡΑ.

ὦ πάτερ, ἱκοῦ δῆτ', εἰ κλύεις ἔσω χθονὸς
τέκνων καλούντων, οἳ σέθεν θνῄσκουσ' ὕπ[ερ].

ΠΥΛΑΔΗΣ.

ὦ συγγένεια πατρὸς ἐμοῦ, κἀμὰς λιτὰς,
Ἀγάμεμνον, εἰσάκουσον, ἔκσωσον τέκνα.

ΟΡΕΣΤΗΣ.
ἔκτεινα μητέρ',

ΠΥΛΑΔΗΣ.
ἡψάμην δ' ἐγὼ ξίφους.

ΗΛΕΚΤΡΑ.
ἐγὼ δέ γ' ἐπεκέλευσα κἀπέλυσ' ὄκνου.

ΟΡΕΣΤΗΣ.
σοὶ, πάτερ, ἀρήγων.

ΗΛΕΚΤΡΑ.
οὐδ' ἐγὼ προὔδωκά σε.

ΠΥΛΑΔΗΣ.
οὔκουν ὀνείδη τάδε κλύων ῥῦσαι τέκνα.

ΟΡΕΣΤΗΣ.
δακρύοις κατασπένδω σ'.

ΗΛΕΚΤΡΑ.
ἐγὼ δ' οἴκτοισί γε.

ΠΥΛΑΔΗΣ.
παύσασθε, καὶ πρὸς ἔργον ἐξορμώμεθα.
εἴπερ γὰρ εἴσω γῆς ἀκοντίζουσ' ἀραὶ,
κλύει. σὺ δ', ὦ Ζεῦ πρόγονε, καὶ Δίκης σέβας,
δότ' εὐτυχῆσαι τῷδ' ἐμοί τε τῇδέ τε·
τρισσοῖς φίλοις γὰρ εἷς ἀγὼν, δίκη μία,
ἢ ζῆν ἅπασιν ἢ θανεῖν ὀφείλεται.

ΗΛΕΚΤΡΑ.
Μυκηνίδες ὦ φίλαι,
τὰ πρῶτα κατὰ Πελασγὸν ἕδος Ἀργείων.

ΧΟΡΟΣ.
τίνα θροεῖς αὐδὰν,
πότνια; παραμένει γὰρ ἔτι σοι τόδ' ἐν
Δαναϊδῶν πόλει.

ΗΛΕΚΤΡΑ.
στῆθ' αἱ μὲν ὑμῶν τόνδ' ἁμαξήρη τρίβον,
αἱ δ' ἐνθάδ' ἄλλον οἶμον ἐς φρουρὰν δόμων.

ΧΟΡΟΣ.
τί δέ με τόδε χρέος ἀπύεις,
ἔνεπέ μοι, φίλα.

ΗΛΕΚΤΡΑ.
φόβος ἔχει με μή τις ἐπὶ δώμασι
σταθεὶς ἐπὶ φοίνιον αἷμα
πήματα πήμασιν ἐξεύρῃ.

ΗΜΙΧΟΡΙΟΝ.
χωρεῖτ', ἐπειγώμεσθ'· ἐγὼ μὲν οὖν τρίβον
τόνδ' ἐκφυλάξω, τὸν πρὸς ἡλίου βολάς.

ΗΜΙΧΟΡΙΟΝ.
καὶ μὴν ἐγὼ τόνδ', ὃς πρὸς ἑσπέραν φέρει.

ΗΛΕΚΤΡΑ.
δόχμιά νυν κόρας διάφερ' ὀμμάτων
ἐκεῖθεν ἐνθάδ', εἶτα παλινσκοπιάν.

ΗΜΙΧΟΡΙΟΝ.
ἔχομεν ὡς θροεῖς.

ΗΛΕΚΤΡΑ.
ἑλίσσετέ νυν βλέφαρα,
κόρας διάδοτε διὰ βοτρύων παντᾶ.

ΗΜΙΧΟΡΙΟΝ.
ὅδε τίς ἐν τρίβῳ;
* * τίς ὅδ' ἄρ' ἀμφὶ μέλαθρον πολεῖ
σὸν ἀγρότας ἀνήρ;

1246—1265. == 1266—1285.

ΗΛΕΚΤΡΑ.
ἀπωλόμεσθ' ἄρ', ὦ φίλαι· κεκρυμμένους
θῆρας ξιφήρεις αὐτίκ' ἐχθροῖσιν φανεῖ.

ΗΜΙΧΟΡΙΟΝ.
ἄφοβος ἔχε· κενὸς, ὦ φίλα
στίβος, ὃν οὐ δοκεῖς.

ΗΛΕΚΤΡΑ.
τί δέ; τὸ σὸν βέβαιον ἔτι μοι μένει;
δὸς ἀγγελίαν ἀγαθάν τιν',
εἰ τάδ' ἔρημα τὰ πρόσθ' αὐλᾶς.

ΗΜΙΧΟΡΙΟΝ.
καλῶς τά γ' ἐνθένδ'· ἀλλὰ τἀπὶ σοῦ σκόπει·
ὡς οὔτις ἡμῖν Δαναϊδῶν πελάζεται.

ΗΜΙΧΟΡΙΟΝ.
ἐς ταὐτὸν ἥκεις· καὶ γὰρ οὐδὲ τῇδ' ὄχλος.

ΗΛΕΚΤΡΑ.
φέρε νυν ἐν πύλαισιν ἀκοὰν βάλω·
τί μέλλεθ' οἱ κατ' οἶκον ἐν ἡσυχίᾳ
σφάγια φοινίσσειν;
οὐκ εἰσακούουσ'· ὦ τάλαιν' ἐγὼ κακῶν.
ἆρ' ἐς τὸ κάλλος ἐκκεκώφηται ξίφη;
τάχα τις Ἀργείων ἔνοπλος ὁρμήσας
ποδὶ βοηδρόμῳ μέλαθρα προσμίξει.
σκέψασθέ νυν ἄμεινον· οὐχ ἕδρας ἀγών·
ἀλλ' αἱ μὲν ἐνθάδ', αἱ δ' ἐκεῖσ' ἑλίσσετε.

ΧΟΡΟΣ.
ἀμείβω κέλευθον σκοποῦσα παντᾶ.

ΕΛΕΝΗ.
ἰὼ Πελασγὸν Ἄργος, ὄλλυμαι κακῶς.

ΗΛΕΚΤΡΑ.
ἠκούσαθ'; ἄνδρες χεῖρ' ἔχουσιν ἐν φόνῳ·
Ἑλένης τὸ κώκυμ' ἐστὶν, ὡς ἀπεικάσαι.

ΧΟΡΟΣ.
ὦ Διὸς, ὦ Διὸς ἀέναον κράτος,
ἐλθ' ἐπίκουρον ἐμοῖς φίλοισι πάντως.

ΕΛΕΝΗ.
Μενέλαε, θνήσκω· σὺ δὲ παρών μ' οὐκ ὠφελεῖς.

ΗΛΕΚΤΡΑ.
φονεύετε, καίνετε, θείνετε, ὄλλυτε,
δίπτυχα, δίστομα φάσγανα πέμπετε
ἐκ χερὸς ἱέμενοι
τὰν λιποπάτορα λιπόγαμόν θ', ἃ πλείστους
ἔκανεν Ἑλλάνων
δορὶ παρὰ ποταμὸν ὀλομένους,
ὅθι δάκρυα δάκρυσι
συνέπεσεν σιδαρέοισι
βέλεσιν ἀμφὶ τὰς Σκαμάνδρου δίνας.

ΧΟΡΟΣ.
σιγᾶτε σιγᾶτ'· ᾐσθόμην κτύπου τινὸς
κέλευθον ἐσπεσόντος ἀμφὶ δώματα.

ΗΛΕΚΤΡΑ.
ὦ φίλταται γυναῖκες, ἐς μέσον φόνον
ἥδ' Ἑρμιόνη πάρεστι· παύσωμεν βοήν.
στείχει γὰρ ἐσπεσοῦσα δικτύων βρόχους.
καλὸν τὸ θήραμ', ἢν ἁλῷ, γενήσεται.
πάλιν κατάστηθ' ἡσύχῳ μὲν ὄμματι,
χρόᾳ δ' ἀδήλῳ τῶν δεδραμένων πέρι·
κἀγὼ σκυθρωποὺς ὀμμάτων ἕξω κόρας,
ὡς δῆθεν οὐκ εἰδυῖα τἀξειργασμένα.

ὦ παρθέν', ἥκεις τὸν Κλυταιμνήστρας τάφον
στέψασα καὶ σπείσασα νερτέρων χοάς.

ΕΡΜΙΟΝΗ.

ἥκω, λαβοῦσα πρευμένειαν. ἀλλά με
φόβος τις εἰσελήλυθ', ἥντιν' ἐν δόμοις
τηλουρὸς οὖσα δωμάτων κλύω βοήν.

ΗΛΕΚΤΡΑ.

τί δ'; ἄξι' ἡμῖν τυγχάνει στεναγμάτων.

ΕΡΜΙΟΝΗ.

εὔφημος ἴσθι· τί δὲ νεώτερον λέγεις;

ΗΛΕΚΤΡΑ.

θανεῖν Ὀρέστην κἄμ' ἔδοξε τῇδε γῇ.

ΕΡΜΙΟΝΗ.

μὴ δῆτ', ἐμούς γε συγγενεῖς πεφυκότας.

ΗΛΕΚΤΡΑ.

ἄραρ'· ἀνάγκης δ' ἐς ζυγὸν καθέσταμεν.

ΕΡΜΙΟΝΗ.

ἦ τοῦδ' ἕκατι καὶ βοὴ κατὰ στέγας;

ΗΛΕΚΤΡΑ.

ἱκέτης γὰρ Ἑλένης γόνασι προσπεσὼν βοᾷ

ΕΡΜΙΟΝΗ.

τίς; οὐδὲν οἶδα μᾶλλον, ἢν σὺ μὴ λέγῃς.

ΗΛΕΚΤΡΑ.

τλήμων Ὀρέστης μὴ θανεῖν, ἐμοῦ θ' ὕπερ.

ΕΡΜΙΟΝΗ.

ἐπ' ἀξίοισί τἄρ' ἀνευφημεῖ δόμος.

ΗΛΕΚΤΡΑ.

περὶ τοῦ γὰρ ἄλλου μᾶλλον ἂν φθέγξαιτό τις;
ἀλλ' ἐλθὲ καὶ μετάσχες ἱκεσίας φίλοις,
σῇ μητρὶ προσπεσοῦσα τῇ μέγ' ὀλβίᾳ,
Μενέλαον ἡμᾶς μὴ θανόντας εἰσιδεῖν.
ἀλλ' ὦ τραφεῖσα μητρὸς ἐν χεροῖν ἐμῆς,
οἴκτειρον ἡμᾶς κἀποκούφισον κακῶν.
ἴθ' εἰς ἀγῶνα δεῦρ', ἐγὼ δ' ἡγήσομαι·
σωτηρίας γὰρ τέρμ' ἔχεις ἡμῖν μόνη.

ΕΡΜΙΟΝΗ.

ἰδού, διώκω τὸν ἐμὸν ἐς δόμους πόδα.
σώθηθ' ὅσον γε τοὐπ' ἔμ'.

ΗΛΕΚΤΡΑ.

ὦ κατὰ στέγας
φίλοι ξιφήρεις, οὐχὶ συλλήψεσθ' ἄγραν;

ΕΡΜΙΟΝΗ.

οἲ 'γώ· τίνας τούσδ' εἰσορῶ;

ΟΡΕΣΤΗΣ.

σιγᾶν χρεών·
ἡμῖν γὰρ ἥκεις, οὐχὶ σοί, σωτηρία.

ΗΛΕΚΤΡΑ.

ἔχεσθ' ἔχεσθε· φάσγανον δὲ πρὸς δέρῃ
βαλόντες ἡσυχάζεθ', ὡς εἰδῇ τόδε
Μενέλαος, οὕνεκ' ἄνδρας, οὐ Φρύγας κακούς,
εὑρὼν ἔπραξεν οἷα χρὴ πράσσειν κακούς.
ἰὼ ἰὼ φίλαι, κτύπον ἐγείρετε,
κτύπον καὶ βοὰν
πρὸ μελάθρων, ὅπως ὁ πραχθεὶς φόνος
μὴ δεινὸν Ἀργείοισιν ἐμβάλῃ φόβον,
βοηδρομῆσαι πρὸς δόμους τυραννικούς,
πρὶν ἐτύμως ἴδω τὸν Ἑλένας φόνον
καθαιμακτὸν ἐν δόμοις κείμενον,

1353—1365. == 1537—1548.

ἢ καὶ λόγον του προσπόλων πυθώμεθα·
τὰς μὲν γὰρ οἶδα συμφοράς, τὰς δ' οὐ σαφῶ

ΧΟΡΟΣ.

διὰ δίκας ἔβα
θεῶν νέμεσις ἐς Ἑλέναν.
δακρύοισι γὰρ Ἑλλάδ' ἅπασαν ἔπλησε,
διὰ τὸν ὀλόμενον ὀλόμενον Ἰδαῖον
Πάριν, ὃς ἄγαγ' Ἑλλάδ' εἰς Ἴλιον.
ἀλλὰ κτυπεῖ γὰρ κλῇθρα βασιλείων δόμων,
σιγήσατ'· ἔξω γάρ τις ἐκβαίνει Φρυγῶν,
οὗ πευσόμεσθα τἀν δόμοις ὅπως ἔχει.

ΦΡΥΞ.

Ἀργεῖον ξίφος ἐκ θανάτου πέφευγα
βαρβάροις ἐν εὐμαρίσιν,
κεδρωτὰ παστάδων ὑπὲρ τέρεμνα
Δωρικάς τε τριγλύφους,
φροῦδα φροῦδα, γᾶ γᾶ,
βαρβάροισι δρασμοῖς.
αἰαῖ· πᾷ φύγω, ξέναι,
πολιὸν αἰθέρ' ἀμπτάμενος ἢ
πόντον, Ὠκεανὸς ὃν
ταυρόκρανος ἀγκάλαις
ἑλίσσων κυκλοῖ χθόνα;

ΧΟΡΟΣ.

τί δ' ἔστιν, Ἑλένης πρόσπολ', Ἰδαῖον κάρα;

ΦΡΥΞ.

Ἴλιον Ἴλιον, ὤμοι μοι,
Φρύγιον ἄστυ καλλίβωλον, Ἴ-
δας ὄρος ἱερόν, ὥς σ' ὀλόμενον στένω,
ἁρμάτειον ἁρμάτειον
μέλος βαρβάρῳ βοᾷ,
δι' ὀρνιθόγονον ὄμμα κυκνόπτερον
καλλοσύνας Λήδας σκύμνου, δυσελένας,
ξεστῶν περγάμων Ἀπολλωνίων
ἐρινύν· ὀτοτοῖ·
ἰαλέμων ἰαλέμων,
Δαρδανία τλάμων Γανυμήδεος
ἱπποσύνας, Διὸς εὐνέτα.

ΧΟΡΟΣ.

σαφῶς λέγ' ἡμῖν αὔθ' ἕκαστα τἀν δόμοις·
τὰ γὰρ πρὶν οὐκ εὔγνωστα συμβαλοῦσ' ἐπ

ΦΡΥΞ.

αἴλινον αἴλινον ἀρχὰν θανάτου
βάρβαροι λέγουσιν, αἰαῖ,
Ἀσιάδι φωνᾷ, βασιλέων
ὅταν αἷμα χυθῇ κατὰ γᾶν ξίφεσιν
σιδαρέοισιν Ἅιδα.
ἦλθον ἐς δόμους, ἵν' αὔθ' ἕκαστά σοι λέ
λεοντες Ἕλλανες δύο διδύμω.
τῷ μὲν ὁ στρατηλάτας πατὴρ ἐκλῄζετο·
ὁ δὲ παῖς Στροφίου, κακομήτας,
οἷος Ὀδυσσεύς, σιγᾷ δόλιος,
πιστὸς δὲ φίλοις, θρασὺς εἰς ἀλκάν,
ξυνετὸς πολέμου, φόνιός τε δράκων.
ἔρροι τᾶς ἡσύχου προνοίας,
κακοῦργος ὤν. οἱ δὲ πρὸς θρόνους ἔσω
μολόντες ἇς ἔγημ' ὁ τοξότας Πάρις
γυναικός, ὄμμα δακρύοις
πεφυρμένοι, ταπεινοὶ
ἕζονθ', ὁ μὲν τὸ κεῖθεν, ὁ δὲ

τὸ κεῖθεν, ἄλλος ἄλλοθεν πεφραγμένοι.
περὶ δὲ γόνυ χέρας ἱκεσίους
ἔβαλον ἔβαλον Ἑλένας ἄμφω.
ἀνὰ δὲ δρομάδες ἔθορον ἔθορον
ἀμφίπολοι Φρύγες·
προσεῖπε δ' ἄλλος ἄλλον πεσὼν ἐν φόβῳ,
μή τις εἴη δόλος. κἀδόκει
τοῖς μὲν οὔ, τοῖς δ' ἐς ἀρκυστάταν
μηχανὰν ἐμπλέκειν παῖδα τὴν
Τυνδαρίδ' ὁ μητροφόντας δράκων.

ΧΟΡΟΣ.

σὺ δ' ἦσθα ποῦ τότ', ἢ πάλαι φεύγεις φόβῳ;

ΦΡΥΞ.

Φρυγίοις ἔτυχον Φρυγίοισι νόμοις
παρὰ βόστρυχον αὔραν αὔραν
Ἑλένας Ἑλένας εὐπᾶγι κύκλῳ
πτερίνῳ πρὸ παρηίδος ᾄσσων
βαρβάροις νόμοισιν.
ἁ δὲ λίνον ἠλακάτᾳ
δακτύλοις ἕλισσε,
νήματα δ' ἵετο πέδῳ,
σκύλων Φρυγίων ἐπὶ τύμβον ἀγάλ-
ματα συστολίσαι χρῄζουσα λίνῳ,
φάρεα πορφύρεα, δῶρα Κλυταιμνήστρᾳ.
προσεῖπε δ' ὧδ' Ὀρέστας Λάκαιναν κόραν·
ὦ Διὸς παῖ, θὲς ἴχνος πέδῳ
δεῦρ' ἀποστᾶσα κλισμοῦ, Πέλοπος
ἐπὶ προπάτορος παλαιᾶς ἕδραν
ἑστίας, ἵν' εἰδῇς λόγους ἐμούς.
ἄγει δ' ἄγει νιν· ἁ δ' ἐφεί-
πετ', οὐ πρόμαντις ὧν ἔμελ-
λεν· ὁ δὲ συνεργὸς ἄλλ' ἔπρασσ'
ἰὼν κακὸς Φωκεύς,
οὐκ ἐκποδὼν ἴτ', ἀλλ' ἀεὶ κακοὶ Φρύγες;
ἔκλῃσε δ' ἄλλον ἄλλοσε στέγης·
τοὺς μὲν ἐν σταθμοῖσιν ἱππικοῖς,
τοὺς δ' ἐν ἐξέδραισι, τοὺς δ' ἐκεῖσ' ἐκεῖθεν,
ἄλλον ἄλλοσε διαρμόσας ἀποπρὸ δεσποίνας.

ΧΟΡΟΣ.

τί τοὐπὶ τῷδε συμφορᾶς ἐγίγνετο;

ΦΡΥΞ.

Ἰδαία μᾶτερ, μᾶτερ,
ὀβρίμα ὀβρίμα, αἰαῖ,
φονίων παθέων, ἀνόμων τε κακῶν
ἅπερ ἔδρακον ἔδρακον
ἐν δόμοις τυράννων.
ἀμφὶ πορφυρέων πέπλων ὑπὸ σκότου
ξίφη σπάσαντες ἐν χεροῖν,
ἄλλος ἄλλοσε
δίνασεν ὄμμα, μή τις παρὼν τύχοι.
ὡς κάπροι δ' ὀρέστεροι γυ-
ναικὸς ἀντίοι σταθέντες
ἐννέπουσι, κατθανεῖ
κατθανεῖ, κακός σ' ἀποκτείνει πόσις,
τὸν κασιγνήτου προδοὺς ἐν Ἄργει θανεῖν γόνον.
ἁ δ' ἴαχεν ἴαχεν, ὤμοι μοι·
λευκὸν δ' ἐμβαλοῦσα πῆχυν στέρνοις,
κτύπησε κρᾶτα μέλεον πλαγάν·
φυγᾷ δὲ ποδὶ τὸ χρυσεοσάνδαλον
ἴχνος ἔφερεν ἔφερεν·
ἐς κόμας δὲ δακτύλους δικὼν Ὀρέστας,
Μυκηνίδ' ἀρβύλαν προβάς,
ὤμοις ἀριστεροῖσιν ἀνακλάσας δέρην,
παίειν λαιμῶν ἔμελλεν εἴσω μέλαν ξίφος.

ΧΟΡΟΣ.

ποῦ δῆτ' ἀμύνειν οἱ κατὰ στέγας Φρύγες;

ΦΡΥΞ.

ἰαχᾷ δόμων θύρετρα καὶ σταθμοὺς
μοχλοῖσιν ἐκβαλόντες, ἔνθ' ἐμίμνομεν,
βοηδρομοῦμεν ἄλλος ἄλλοθεν στέγης,
ὁ μὲν πέτρους, ὁ δ' ἀγκύλας,
ὁ δὲ ξίφος πρόκωπον ἐν χεροῖν ἔχων.
ἔναντα δ' ἦλθεν
Πυλάδης ἀλίαστος, οἷος οἷος
Ἕκτωρ ὁ Φρύγιος, ἢ τρικόρυθος Αἴας,
ὃν εἶδον εἶδον ἐν πύλαισι Πριαμίσιν·
φασγάνων δ' ἀκμὰς ξυνήψαμεν.
τότε δὴ τότε διαπρεπεῖς
ἐγένοντο Φρύγες, ὅσον Ἄρεος ἀλκὰν
ἥσσονες Ἑλλάδος ἐγενόμεθ' αἰχμᾶς.
ὁ μὲν οἰχόμενος φυγάς, ὁ δὲ νέκυς ὤν,
ὁ δὲ τραῦμα φέρων, ὁ δὲ λισσόμενος,
θανάτου προβολάν·
ὑπὸ σκότον δ' ἐφεύγομεν·
νεκροὶ δ' ἔπιπτον, οἱ δ' ἔμελλον, οἱ δ' ἔκειντ'.
ἔμολε δ' ἁ τάλαιν' Ἑρμιόνα δόμους
ἐπὶ φόνῳ χαμαιπετεῖ ματρός, ἅ
νιν ἔτεκεν τλάμων.
ἄθυρσοι δ' οἷά νιν δραμόντε βάκχαι
σκύμνον ἐν χεροῖν ὀρείαν
ξυνήρπασαν· πάλιν δὲ τὰν Διὸς κόραν
ἐπὶ σφαγὰν ἔτεινον·
ἁ δ' ἐκ θαλάμων ἐγένετο
διαπρὸ δωμάτων ἄφαντος,
ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς καὶ νύξ,
ἤτοι φαρμάκοισιν ἢ μάγων
τέχναισιν ἢ θεῶν κλοπαῖς.
τὰ δ' ὕστερ' οὐκέτ' οἶδα· δρα-
πέτην γὰρ ἐξέκλεπτον ἐκ δόμων πόδα.
πολύπονα δὲ πολύπονα πάθεα
Μενέλαος ἀνασχόμενος
ἀνόνητον ἀπὸ Τροίας
ἔλαβε τὸν Ἑλένας γάμον.

ΧΟΡΟΣ.

καὶ μὴν ἀμείβει καινὸν ἐκ καινῶν τόδε·
ξιφηφόρον γὰρ εἰσορῶ πρὸ δωμάτων
βαίνοντ' Ὀρέστην ἐπτοημένῳ ποδί.

ΟΡΕΣΤΗΣ.

ποῦ 'στιν οὗτος ὃς πέφευγε τοὐμὸν ἐκ δόμων ξίφος;

ΦΡΥΞ.

προσκυνῶ σ', ἄναξ, νόμοισι βαρβάροισι προσπίτνων.

ΟΡΕΣΤΗΣ.

οὐκ ἐν Ἰλίῳ τάδ' ἐστίν, ἀλλ' ἐν Ἀργείᾳ χθονί.

ΦΡΥΞ.

πανταχοῦ ζῆν ἡδὺ μᾶλλον ἢ θανεῖν τοῖς σώφροσιν.

ΟΡΕΣΤΗΣ.

οὔτι που κραυγὴν ἔθηκας Μενέλεῳ βοηδρομεῖν;

ΦΡΥΞ.
σοὶ μὲν οὖν ἔγωγ' ἀμύνειν· ἀξιώτερος γὰρ εἶ.
ΟΡΕΣΤΗΣ.
ἐνδίκως ἡ Τυνδάρειος ἆρα παῖς διώλετο;
ΦΡΥΞ.
ἐνδικώτατ', εἴ γε λαιμοὺς εἶχε τριπτύχους θανεῖν.
ΟΡΕΣΤΗΣ.
δειλίᾳ γλώσσῃ χαρίζει, τἄνδον οὐχ οὕτω φρονῶν.
ΦΡΥΞ.
οὐ γάρ, ἥτις Ἑλλάδ' αὐτοῖς Φρυξὶ διελυμήνατο;
ΟΡΕΣΤΗΣ.
ὄμοσον, εἰ δὲ μή, κτενῶ σε, μὴ λέγειν ἐμὴν χάριν.
ΦΡΥΞ.
τὴν ἐμὴν ψυχὴν κατώμοσ', ἣν ἂν εὐορκοῖμ' ἐγώ.
ΟΡΕΣΤΗΣ.
ὧδε κἀν Τροίᾳ σίδηρος πᾶσι Φρυξὶν ἦν φόβος;
ΦΡΥΞ.
ἄπεχε φάσγανον· πέλας γὰρ δεινὸν ἀνταυγεῖ φόνον.
ΟΡΕΣΤΗΣ.
μὴ πέτρος γένῃ δέδοικας, ὥστε Γοργόν' εἰσιδών;
ΦΡΥΞ.
μὴ μὲν οὖν νεκρός· τὸ Γοργοῦς δ' οὐ κάτοιδ' ἐγὼ κάρα.
ΟΡΕΣΤΗΣ.
δοῦλος ὢν φοβεῖ τὸν Ἅιδην, ὅς σ' ἀπαλλάξει κακῶν;
ΦΡΥΞ.
πᾶς ἀνὴρ, κἂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς ὁρῶν.
ΟΡΕΣΤΗΣ.
εὖ λέγεις· σώζει σε σύνεσις. ἀλλὰ βαῖν' εἴσω δόμων.
ΦΡΥΞ.
οὐκ ἄρα κτενεῖς μ';
ΟΡΕΣΤΗΣ.
ἀφεῖσαι.
ΦΡΥΞ.
καλὸν ἔπος λέγεις τόδε.
ΟΡΕΣΤΗΣ.
ἀλλὰ μεταβουλευσόμεσθα.
ΦΡΥΞ.
τοῦτο δ' οὐ καλῶς λέγεις.
ΟΡΕΣΤΗΣ.
μῶρος, εἰ δοκεῖς με τλῆναι σὴν καθαιμάξαι δέρην·
οὔτε γὰρ γυνὴ πέφυκας οὔτ' ἐν ἀνδράσιν σύ γ' εἶ.
τοῦ δὲ μὴ στῆσαί σε κραυγὴν οὕνεκ' ἐξῆλθον δόμων·
ὀξὺ γὰρ βοῆς ἀκοῦσαν Ἄργος ἐξεγείρεται.
Μενέλεων δ' οὐ τάρβος ἡμῖν ἀναλαβεῖν εἴσω ξίφους·
ἀλλ' ἴτω ξανθοῖς ἐπ' ὤμων βοστρύχοις γαυρούμενος·
εἰ γὰρ Ἀργείους ἐπάξει τοῖσδε δώμασιν λαβών,
τὸν Ἑλένης φόνον διώκων, κἀμὲ μὴ σώζειν θέλει
σύγγονόν τ' ἐμὴν Πυλάδην τε τὸν τάδε ξυνδρῶντά μοι,
παρθένον τε καὶ δάμαρτα δύο νεκρὼ κατόψεται.
ΧΟΡΟΣ.
ἰὼ ἰὼ τύχα, ἕτερον εἰς ἀγῶν'
ἕτερον αὖ δόμος
φοβερὸν ἀμφὶ τοὺς Ἀτρείδας πίτνει.
ΗΜΙΧΟΡΙΟΝ.
τί δρῶμεν; ἀγγέλλωμεν ἐς πόλιν τάδε;
ἢ σῖγ' ἔχωμεν;
ΗΜΙΧΟΡΙΟΝ.
ἀσφαλέστερον, φίλαι.
ΗΜΙΧΟΡΙΟΝ.
ἴδε πρὸ δωμάτων ἴδε προκηρύσσει
θοάζων ὅδ' αἰθέρος ἄνω καπνός.
ΗΜΙΧΟΡΙΟΝ.
ἅπτουσι πεύκας, ὡς πυρώσοντες δόμους
τοὺς Τανταλείους, οὐδ' ἀφίστανται φόνου.
ΧΟΡΟΣ.
τέλος ἔχει δαίμων
βροτοῖς τέλος ὅπα θέλει.
μεγάλα δέ τις ἁ δύναμις· δι' ἀλάστορ'
ἔπεσ' ἔπεσε μέλαθρα τάδε δι' αἱμάτων
διὰ τὸ Μυρτίλου πέσημ' ἐκ δίφρου.
ἀλλὰ μὴν καὶ τόνδε λεύσσω Μενέλεων δόμων πῦ
ὀξύπουν, ᾐσθημένον που τὴν τύχην ἣ νῦν πρ
οὐκέτ' ἂν φθάνοιτε κλῇθρα συμπεραίνοντ μοχλοῖς,
ὦ κατὰ στέγας Ἀτρεῖδαι. δεινὸν εὐτυχῶν ἀν
πρὸς κακῶς πράσσοντας, ὡς σὺ νῦν, Ὀρέστ δυστυχεῖς.
ΜΕΝΕΛΑΟΣ.
ἥκω κλύων τὰ δεινὰ καὶ δραστήρια
δισσοῖν λεόντοιν· οὐ γὰρ ἄνδρ' αὐτὼ καλ
ἤκουσα γὰρ δὴ τὴν ἐμὴν ξυνάορον
ὡς οὐ τέθνηκεν, ἀλλ' ἄφαντος οἴχεται,
κενὴν ἀκούσας βάξιν, ἣν φόβῳ σφαλεὶς
ἤγγειλέ μοί τις. ἀλλὰ τοῦ μητροκτόνου
τεχνάσματ' ἐστὶ ταῦτα καὶ πολὺς γέλως.
ἀνοιγέτω τις δῶμα· προσπόλοις λέγω
ὠθεῖν πύλας τάσδ', ὡς ἂν ἀλλὰ παῖδ' ἐμὴν
ῥυσώμεθ' ἀνδρῶν ἐκ χερῶν μιαιφόνων,
καὶ τὴν τάλαιναν ἀθλίαν δάμαρτ' ἐμὴν
λάβωμεν, ᾗ δεῖ ξυνθανεῖν ἐμῇ χερὶ
τοὺς διολέσαντας τὴν ἐμὴν ξυνάορον.
ΟΡΕΣΤΗΣ.
οὗτος σύ, κλῄθρων τῶνδε μὴ ψαύσῃς χερί.
Μενέλαον εἶπον, ὃς πεπύργωσαι θράσει·
ἢ τῷδε θριγκῷ κρᾶτα συνθραύσω σέθεν,
ῥήξας παλαιὰ γεῖσα, τεκτόνων πόνον.
μοχλοῖς δ' ἄραρε κλῇθρα, σῆς βοηδρόμου
σπουδῆς ἅ σ' εἴρξει, μὴ δόμων ἔσω περᾶν.
ΜΕΝΕΛΑΟΣ.
ἔα, τί χρῆμα; λαμπάδων ὁρῶ σέλας,
δόμων δ' ἐπ' ἄκρων τούσδε πυργηρουμένους
ξίφος δ' ἐμῆς θυγατρὸς ἐπίφρουρον δέρῃ.
ΟΡΕΣΤΗΣ.
πότερον ἐρωτᾶν ἢ κλύειν ἐμοῦ θέλεις;
ΜΕΝΕΛΑΟΣ.
οὐδέτερ'· ἀνάγκη δ', ὡς ἔοικε, σοῦ κλύειν.
ΟΡΕΣΤΗΣ.
μέλλω κτενεῖν σου θυγατέρ', εἰ βούλει μαθ
ΜΕΝΕΛΑΟΣ.
Ἑλένην φονεύσας ἐπὶ φόνῳ πράσσεις φόνον;
ΟΡΕΣΤΗΣ.
εἰ γὰρ κατέσχον μὴ θεῶν κλεφθεὶς ὕπο.

ΜΕΝΕΛΑΟΣ.
ἀρνεῖ κατακτὰς κἀφ' ὕβρει λέγεις τάδε;
ΟΡΕΣΤΗΣ.
λυπράν γε τὴν ἄρνησιν· εἰ γὰρ ὤφελον
ΜΕΝΕΛΑΟΣ.
τί χρῆμα δρᾶσαι; παρακαλεῖς γὰρ ἐς φόβον.
ΟΡΕΣΤΗΣ.
τὴν Ἑλλάδος μιάστορ' εἰς Ἅιδου βαλεῖν.
ΜΕΝΕΛΑΟΣ.
ἀπόδος δάμαρτος νέκυν, ὅπως χώσω τάφῳ.
ΟΡΕΣΤΗΣ.
θεοὺς ἀπαίτει· παῖδα δὲ κτενῶ σέθεν.
ΜΕΝΕΛΑΟΣ.
ὁ μητροφόντης ἐπὶ φόνῳ πράσσει φόνον.
ΟΡΕΣΤΗΣ.
ὁ πατρὸς ἀμύντωρ, ὃν σὺ προὔδωκας θανεῖν.
ΜΕΝΕΛΑΟΣ.
οὐκ ἤρκεσέν σοι τὸ παρὸν αἷμα μητέρος;
ΟΡΕΣΤΗΣ.
οὐκ ἂν κάμοιμι τὰς κακὰς κτείνων ἀεί.
ΜΕΝΕΛΑΟΣ.
ἦ καὶ σὺ, Πυλάδη, τοῦδε κοινωνεῖς φόνου;
ΟΡΕΣΤΗΣ.
φησὶν σιωπῶν· ἀρκέσω δ' ἐγὼ λέγων.
ΜΕΝΕΛΑΟΣ.
ἀλλ' οὔτι χαίρων, ἤν γε μὴ φύγῃς πτεροῖς.
ΟΡΕΣΤΗΣ.
οὐ φευξόμεσθα· πυρὶ δ' ἀνάψομεν δόμους.
ΜΕΝΕΛΑΟΣ.
ἦ γὰρ πατρῷον δῶμα πορθήσεις τόδε;
ΟΡΕΣΤΗΣ.
ὡς μή γ' ἔχῃς σὺ, τήνδ' ἐπισφάξας πυρί.
ΜΕΝΕΛΑΟΣ.
κτεῖν'· ὡς κτανών γε τῶνδέ μοι δώσεις δίκην.
ΟΡΕΣΤΗΣ.
ἔσται τάδ'.
ΜΕΝΕΛΑΟΣ.
ἆ ἆ, μηδαμῶς δράσῃς τάδε.
ΟΡΕΣΤΗΣ.
σίγα νυν, ἀνέχου δ' ἐνδίκως πράσσων κακῶς.
ΜΕΝΕΛΑΟΣ.
ἦ γὰρ δίκαιον ζῆν σε;
ΟΡΕΣΤΗΣ.
καὶ κρατεῖν γε γῆς.
ΜΕΝΕΛΑΟΣ.
ποίας;
ΟΡΕΣΤΗΣ.
ἐν Ἄργει τῷδε τῷ Πελασγικῷ.
ΜΕΝΕΛΑΟΣ.
εὖ γοῦν θίγοις ἂν χερνίβων.
ΟΡΕΣΤΗΣ.
τί δὴ γὰρ οὔ;
ΜΕΝΕΛΑΟΣ.
καὶ σφάγια πρὸ δορὸς καταβάλοις.
ΟΡΕΣΤΗΣ.
σὺ δ' ἂν καλῶς;
ΜΕΝΕΛΑΟΣ.
ἁγνὸς γάρ εἰμι χεῖρας.
ΟΡΕΣΤΗΣ.
ἀλλ' οὐ τὰς φρένας.
ΜΕΝΕΛΑΟΣ.
τίς δ' ἂν προσείποι σ';
ΟΡΕΣΤΗΣ.
ὅστις ἐστὶ φιλοπάτωρ.
ΜΕΝΕΛΑΟΣ.
ὅστις δὲ τιμᾷ μητέρ';
ΟΡΕΣΤΗΣ.
εὐδαίμων ἔφυ.
ΜΕΝΕΛΑΟΣ.
οὔκουν σύ γ'.
ΟΡΕΣΤΗΣ.
οὐ γὰρ ἁνδάνουσιν αἱ κακαί.
ΜΕΝΕΛΑΟΣ.
ἄπαιρε θυγατρὸς φάσγανον.
ΟΡΕΣΤΗΣ.
ψευδὴς ἔφυς.
ΜΕΝΕΛΑΟΣ.
ἀλλὰ κτενεῖς μου θυγατέρ';
ΟΡΕΣΤΗΣ.
οὐ ψευδὴς ἔτ' εἶ.
ΜΕΝΕΛΑΟΣ.
οἴμοι, τί δράσω;
ΟΡΕΣΤΗΣ.
πεῖθ' ἐς Ἀργείους μολὼν
ΜΕΝΕΛΑΟΣ.
πειθὼ τίν';
ΟΡΕΣΤΗΣ.
ἡμᾶς μὴ κτανεῖν αἰτοῦ πόλιν.
ΜΕΝΕΛΑΟΣ.
ἢ παῖδά μου φονεύσεθ';
ΟΡΕΣΤΗΣ.
ὧδ' ἔχει τάδε.
ΜΕΝΕΛΑΟΣ.
ὦ τλῆμον Ἑλένη.
ΟΡΕΣΤΗΣ.
τἀμὰ δ' οὐχὶ τλήμονα;
ΜΕΝΕΛΑΟΣ.
σοὶ σφάγιον ἐκόμισ' ἐκ Φρυγῶν
ΟΡΕΣΤΗΣ.
εἰ γὰρ τόδ' ἦν.
ΜΕΝΕΛΑΟΣ.
πόνους πονήσας μυρίους.
ΟΡΕΣΤΗΣ.
πλήν γ' εἰς ἐμέ.
ΜΕΝΕΛΑΟΣ.
πέπονθα δεινά.
ΟΡΕΣΤΗΣ.
τότε γὰρ ἦσθ' ἀνωφελής.
ΜΕΝΕΛΑΟΣ.
ἔχεις με.
ΟΡΕΣΤΗΣ.
σαυτὸν σύ γ' ἔλαβες κακὸς γεγώς.
ἀλλ' εἶ', ὕφαπτε δώματ', Ἠλέκτρα, τάδε·
σύ τ', ὦ φίλων μοι τῶν ἐμῶν σαφέστατε,
Πυλάδη, κάταιθε γεῖσα τειχέων τάδε.
ΜΕΝΕΛΑΟΣ.
ὦ γαῖα Δαναῶν ἱππίου τ' Ἄργους κτίται,
οὐκ εἶ' ἐνόπλῳ ποδὶ βοηδρομήσετε;
πᾶσαν γὰρ ὑμῶν ὅδε βιάζεται πόλιν
ζῆν, αἷμα μητρὸς μυσαρὸν ἐξειργασμένος.

ΑΠΟΛΛΩΝ.

Μενέλαε, παῦσαι λῆμ' ἔχων τεθηγμένον,
Φοῖβός σ' ὁ Λητοῦς παῖς ὅδ' ἐγγὺς ὢν καλῶ,
σύ θ', ὃς ξιφήρης τῇδ' ἐφεδρεύεις κόρῃ,
Ὀρέσθ', ἵν' εἰδῇς οὓς φέρων ἥκω λόγους·
Ἑλένην μὲν ἣν σὺ διολέσαι πρόθυμος ὢν
ἥμαρτες, ὀργὴν Μενέλεῳ ποιούμενος,
ἥδ' ἐστὶν, ἣν ὁρᾶτ' ἐν αἰθέρος πτυχαῖς,
σεσωσμένη τε κοὐ θανοῦσα πρὸς σέθεν.
ἐγώ νιν ἐξέσωσα κἀπὸ φασγάνου
τοῦ σοῦ κελευσθεὶς ἥρπασ' ἐκ Διὸς πατρός.
Ζηνὸς γὰρ οὖσαν ζῆν νιν ἄφθιτον χρεὼν,
Κάστορί τε Πολυδεύκει τ' ἐν αἰθέρος πτυχαῖς
ξύνθακος ἔσται, ναυτίλοις σωτήριος.
ἄλλην δὲ νύμφην ἐς δόμους κτῆσαι λαβὼν,
ἐπεὶ θεοὶ τῷ τῆσδε καλλιστεύματι
Ἕλληνας εἰς ἓν καὶ Φρύγας ξυνήγαγον,
θανάτους τ' ἔθηκαν, ὡς ἀπαντλοῖεν χθονὸς
ὕβρισμα θνητῶν ἀφθόνου πληρώματος.
τὰ μὲν καθ' Ἑλένην ὧδ' ἔχει· σὲ δ' αὖ χρεὼν,
Ὀρέστα, γαίας τῆσδ' ὑπερβαλόνθ' ὅρους
Παρράσιον οἰκεῖν δάπεδον ἐνιαυτοῦ κύκλον.
κεκλήσεται δὲ σῆς φυγῆς ἐπώνυμον
Ἀζᾶσιν Ἀρκάσιν τ' Ὀρέστειον καλεῖν.
ἐνθένδε δ' ἐλθὼν τὴν Ἀθηναίων πόλιν
δίκην ὑπόσχες αἵματος μητροκτόνου
Εὐμενίσι τρισσαῖς· θεοὶ δέ σοι δίκης βραβῆς
πάγοισιν ἐν Ἀρείοισιν εὐσεβεστάτην
ψῆφον διοίσουσ', ἔνθα νικῆσαί σε χρή.
ἐφ' ἧς δ' ἔχεις, Ὀρέστα, φάσγανον δέρῃ,
γῆμαι πέπρωταί σ' Ἑρμιόνην· ὃς δ' οἴεται
Νεοπτόλεμος γαμεῖν νιν, οὐ γαμεῖ ποτε.
θανεῖν γὰρ αὐτῷ μοῖρα Δελφικῷ ξίφει,
δίκας Ἀχιλλέως πατρὸς ἐξαιτοῦντί με.
Πυλάδῃ δ' ἀδελφῆς λέκτρον, ᾧ ποτ' ᾔνεσας,
δός· ὁ δ' ἐπιὼν νιν βίοτος εὐδαίμων μένει.
Ἄργους δ' Ὀρέστην, Μενέλεως, ἔα κρατεῖν,
ἐλθὼν δ' ἄνασσε Σπαρτιάτιδος χθονὸς,
φερνὰς ἔχων δάμαρτος, ἥ σε μυρίοις
πόνοις διδοῦσα δεῦρ' ἀεὶ διήνυσε.
τὰ πρὸς πόλιν δὲ τῷδ' ἐγὼ θήσω καλῶς,
ὅς νιν φονεῦσαι μητέρ' ἐξηνάγκασα.

ΟΡΕΣΤΗΣ.

ὦ Λοξία μαντεῖε, σῶν θεσπισμάτων
οὐ ψευδόμαντις ἦσθ' ἄρ', ἀλλ' ἐτήτυμος.
καίτοι μ' ἐσῄει δεῖμα μή τινος κλύων
ἀλαστόρων δόξαιμι σὴν κλύειν ὄπα.
ἀλλ' εὖ τελεῖται, πείσομαι δὲ σοῖς λόγοις.
ἰδοὺ μεθίημ' Ἑρμιόνην ἀπὸ σφαγῆς,
καὶ λέκτρ' ἐπῄνεσ', ἡνίκ' ἂν διδῷ πατήρ.

ΜΕΝΕΛΑΟΣ.

ὦ Ζηνὸς Ἑλένη χαῖρε παῖ· ζηλῶ δέ σε
θεῶν κατοικήσασαν ὄλβιον δόμον.
Ὀρέστα, σοὶ δὲ παῖδ' ἐγὼ κατεγγυῶ,
Φοίβου λέγοντος· εὐγενὴς δ' ἀπ' εὐγενοῦς
γήμας ὄναιο καὶ σὺ χὠ διδοὺς ἐγώ.

ΑΠΟΛΛΩΝ.

χωρεῖτέ νυν ἕκαστος οἷ προστάσσομεν,
νείκους τε διαλύεσθε.

ΜΕΝΕΛΑΟΣ.

πείθεσθαι χρεών.

ΟΡΕΣΤΗΣ.

κἀγὼ τοιοῦτος· σπένδομαι δὲ συμφοραῖς,
Μενέλαε, καὶ σοῖς, Λοξία, θεσπίσμασιν.

ΑΠΟΛΛΩΝ.

ἴτε νυν καθ' ὁδὸν, τὴν καλλίστην
θεῶν Εἰρήνην τιμῶντες· ἐγὼ δ'
Ἑλένην Ζηνὸς μελάθροις πελάσω,
λαμπρῶν ἄστρων πόλον ἐξανύσας,
ἔνθα παρ' Ἥρᾳ τῇ θ' Ἡρακλέους
Ἥβῃ πάρεδρος θεὸς ἀνθρώποις
ἔσται, σπονδαῖς ἔντιμος ἀεὶ,
σὺν Τυνδαρίδαις, τοῖς Διὸς υἱοῖς,
ναύταις μεδέουσα θαλάσσης.

[ΧΟΡΟΣ.

ὦ μέγα σεμνὰ Νίκα, τὸν ἐμὸν
βίοτον κατέχοις
καὶ μὴ λήγοις στεφανοῦσα.]

# ΕΥΡΙΠΙΔΟΥ ΙΦΙΓΕΝΕΙΑ Η ΕΝ ΤΑΥΡΟΙΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΙΦΙΓΕΝΕΙΑ.*
*ΟΡΕΣΤΗΣ.*
*ΠΥΛΑΔΗΣ.*
*ΧΟΡΟΣ ΕΛΛΗΝΙΔΩΝ ΓΥΝΑΙΚΩΝ.*
*ΒΟΥΚΟΛΟΣ.*
*ΘΟΑΣ.*
*ΑΓΓΕΛΟΣ.*
*ΑΘΗΝΑ.*

## ΥΠΟΘΕΣΙΣ.

*Ορέστης κατὰ χρησμὸν ἐλθὼν εἰς Ταύρους τῆς Σκυθίας μετὰ Πυλάδου παρακινηθεὶς τὸ παρ' αὐτοῖς τιμώμενον τῆς Ἀρτέμιδος ξόανον ὑφελέσθαι προῃρεῖτο. προελθὼν δ' ἀπὸ τῆς νεὼς καὶ φανείς, ὑπὸ τῶν ἐντοπίων ἅμα τῷ φίλῳ συλληφθεὶς ἀνήχθη κατὰ τὸν παρ' αὐτοῖς ἐθισμόν, ὅπως τοῦ τῆς Ἀρτέμιδος ἱεροῦ σφάγιον γένωνται. τοὺς γὰρ καταπλεύσαντας ξένους ἀπέσφαττον.*

*Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ταύροις τῆς Σκυθίας· ὁ δὲ χορὸς συνέστηκεν ἐξ Ἑλληνίδων γυναικῶν θεραπαινίδων τῆς Ἰφιγενείας.*

# ΙΦΙΓΕΝΕΙΑ Η ΕΝ ΤΑΥΡΟΙΣ.

*ΙΦΙΓΕΝΕΙΑ.*

Πέλοψ ὁ Ταντάλειος ἐς Πῖσαν μολὼν
θοαῖσιν ἵπποις Οἰνομάου γαμεῖ κόρην,
ἐξ ἧς Ἀτρεὺς ἔβλαστεν· Ἀτρέως δὲ παῖς
Μενέλαος Ἀγαμέμνων τε· τοῦ δ' ἔφυν ἐγὼ
τῆς Τυνδαρείας θυγατρὸς Ἰφιγένεια παῖς,
ἣν ἀμφὶ δίναις, ἃς θάμ' Εὔριπος πυκναῖς
αὔραις ἑλίσσων κυανέαν ἅλα στρέφει,
ἔσφαξεν Ἑλένης οὕνεχ', ὡς δοκεῖ, πατὴρ
Ἀρτέμιδι κλειναῖς ἐν πτυχαῖσιν Αὐλίδος.
ἐνταῦθα γὰρ δὴ χιλίων ναῶν στόλον
Ἑλληνικὸν συνήγαγ' Ἀγαμέμνων ἄναξ,
τὸν καλλίνικον στέφανον Ἰλίου θέλων
λαβεῖν Ἀχαιούς, τούς θ' ὑβρισθέντας γάμους
Ἑλένης μετελθεῖν, Μενέλεῳ χάριν φέρων.
δεινῆς δ' ἀπλοίας πνευμάτων τ' οὐ τυγχάνων
ἐς ἔμπυρ' ἦλθε, καὶ λέγει Κάλχας τάδε·
ὦ τῆσδ' ἀνάσσων Ἑλλάδος στρατηγίας,
Ἀγάμεμνον, οὐ μὴ ναῦς ἀφορμίσῃ χθονός,
πρὶν ἂν κόρην σὴν Ἰφιγένειαν Ἄρτεμις
λάβῃ σφαγεῖσαν· ὅ τι γὰρ ἐνιαυτὸς τέκοι
κάλλιστον, ηὔξω φωσφόρῳ θύσειν θεᾷ.
παῖδ' οὖν ἐν οἴκοις σὴ Κλυταιμνήστρα δάμαρ
τίκτει, τὸ καλλιστεῖον εἰς ἔμ' ἀναφέρων,
ἣν χρή σε θῦσαι. καί μ' Ὀδυσσέως τέχναις
μητρὸς παρείλοντ' ἐπὶ γάμοις Ἀχιλλέως.
ἐλθοῦσα δ' Αὐλίδ' ἡ τάλαιν' ὑπὲρ πυρᾶς
μεταρσία ληφθεῖσ' ἐκαινόμην ξίφει·
ἀλλ' ἐξέκλεψεν ἔλαφον ἀντιδοῦσά μου
Ἄρτεμις Ἀχαιοῖς, διὰ δὲ λαμπρὸν αἰθέρα
πέμψασά μ' ἐς τήνδ' ᾤκισεν Ταύρων χθόνα,
οὗ γῆς ἀνάσσει βαρβάροισι βάρβαρος
Θόας, ὃς ὠκὺν πόδα τιθεὶς ἴσον πτεροῖς
ἐς τοὔνομ' ἦλθε τόδε ποδωκείας χάριν.
ναοῖσι δ' ἐν τοῖσδ' ἱερίαν τίθησί με,
ὅθεν νόμοισι τοισίδ' ἥδεται θεὰ
Ἄρτεμις ἑορτῆς, τοὔνομ' ἧς καλὸν μόνον·
τὰ δ' ἄλλα σιγῶ, τὴν θεὸν φοβουμένη.
θύω γὰρ ὄντος τοῦ νόμου καὶ πρὶν πόλει,
ὃς ἂν κατέλθῃ τήνδε γῆν Ἕλλην ἀνήρ.
κατάρχομαι μὲν, σφάγια δ' ἄλλοισιν μέλει
ἄρρητ' ἔσωθεν τῶνδ' ἀνακτόρων θεᾶς.
ἃ καινὰ δ' ἥκει νὺξ φέρουσα φάσματα,
λέξω πρὸς αἰθέρ', εἴ τι δὴ τόδ' ἔστ' ἄκος.
ἔδοξ' ἐν ὕπνῳ τῆσδ' ἀπαλλαχθεῖσα γῆς
οἰκεῖν ἐν Ἄργει, παρθένοισι δ' ἐν μέσαις
εὕδειν, χθονὸς δὲ νῶτα σεισθῆναι σάλῳ,
φεύγειν δὲ κἄξω στᾶσα θριγκὸν εἰσιδεῖν
δόμων πίτνοντα, πᾶν δ' ἐρείψιμον στέγος
βεβλημένον πρὸς οὖδας ἐξ ἄκρων σταθμῶν.
μόνος δ' ἐλείφθη στῦλος, ὡς ἔδοξέ μοι,
δόμων πατρῴων, ἐκ δ' ἐπικράνων κόμας
ξανθὰς καθεῖναι, φθέγμα δ' ἀνθρώπου λαβεῖν,
κἀγὼ τέχνην τήνδ' ἣν ἔχω ξενοκτόνον
τιμῶσ' ὑδραίνειν αὐτὸν, ὡς θανούμενον,
κλαίουσα. τοὔναρ δ' ὧδε συμβάλλω τόδε·
τέθνηκ' Ὀρέστης, οὗ κατηρξάμην ἐγώ.
στῦλοι γὰρ οἴκων εἰσὶ παῖδες ἄρσενες·
θνήσκουσι δ' οὓς ἂν χέρνιβες βάλωσ' ἐμαί.
οὐδ' αὖ συνάψαι τοὔναρ ἐς φίλους ἔχω·
Στροφίῳ γὰρ οὐκ ἦν παῖς, ὅτ' ὠλλύμην ἐγώ.
νῦν οὖν ἀδελφῷ βούλομαι δοῦναι χοὰς
παροῦσ' ἀπόντι, ταῦτα γὰρ δυναίμεθ' ἄν,
σὺν προσπόλοισιν, ἃς ἔδωχ' ἡμῖν ἄναξ
Ἑλληνίδας γυναῖκας. ἀλλ' ἐξ αἰτίας
οὔπω τινὸς πάρεισιν ἔς μ' εἴσω δόμων,
ἐν οἷσι ναίω, τῶνδ' ἀνακτόρων θεᾶς.

ΟΡΕΣΤΗΣ.

ὅρα, φυλάσσου μή τις ἐν στίβῳ βροτῶν.

ΠΥΛΑΔΗΣ.

ὁρῶ, σκοποῦμαι δ' ὄμμα πανταχοῦ στρέφων.

ΟΡΕΣΤΗΣ.

Πυλάδη, δοκεῖ σοι μέλαθρα ταῦτ' εἶναι θεᾶς,
ἔνθ' Ἀργόθεν ναῦν ποντίαν ἐστείλαμεν;

ΠΥΛΑΔΗΣ.

ἔμοιγ', Ὀρέστα· σοὶ δὲ συνδοκεῖν χρεών.

ΟΡΕΣΤΗΣ.

καὶ βωμὸς, Ἕλλην οὗ καταστάζει φόνος;

ΠΥΛΑΔΗΣ.

ἐξ αἱμάτων γοῦν ξάνθ' ἔχει θριγκώματα.

ΟΡΕΣΤΗΣ.

θριγκοῖς δ' ὑπ' αὐτοῖς σκῦλ' ὁρᾷς ἠρτημένα;

ΠΥΛΑΔΗΣ.

τῶν κατθανόντων τἀκροθίνια ξένων.

ΟΡΕΣΤΗΣ.

ἀλλ' ἐγκυκλοῦντ' ὀφθαλμὸν εὖ σκοπεῖν χρεών.
ὦ Φοῖβε, ποῖ μ' αὖ τήνδ' ἐς ἄρκυν ἤγαγες
χρήσας, ἐπειδὴ πατρὸς αἷμ' ἐτισάμην,
μητέρα κατακτάς; διαδοχαῖς δ' Ἐρινύων
ἠλαυνόμεσθα φυγάδες, ἔξεδροι χθονός,
δρόμους τε πολλοὺς ἐξέπλησα καμπίμους.
ἐλθὼν δὲ σ' ἠρώτησα πῶς τροχηλάτου
μανίας ἂν ἔλθοιμ' ἐς τέλος πόνων τ' ἐμῶν,
[οὓς ἐξεμόχθουν περιπολῶν καθ' Ἑλλάδα.]
σὺ δ' εἶπας ἐλθεῖν Ταυρικῆς μ' ὅρους χθονός,
ἔνθ' Ἄρτεμις σὴ σύγγονος βωμοὺς ἔχει,
λαβεῖν τ' ἄγαλμα θεᾶς, ὅ φασιν ἐνθάδε
ἐς τούσδε ναοὺς οὐρανοῦ πεσεῖν ἄπο·
λαβόντα δ' ἢ τέχναισιν ἢ τύχῃ τινὶ,
κίνδυνον ἐκπλήσαντ', Ἀθηναίων χθονὶ
δοῦναι· τὸ δ' ἐνθένδ' οὐδὲν ἐρρήθη πέρα·
καὶ ταῦτα δράσαντ' ἀμπνοὰς ἕξειν πόνων.
ἥκω δὲ πεισθεὶς σοῖς λόγοισιν ἐνθάδε

ἄγνωστον ἐς γῆν, ἄξενον. σὲ δ' ἱστορῶ,
Πυλάδη, σὺ γάρ μοι τοῦδε συλλήπτωρ πόνου,
τί δρῶμεν; ἀμφίβληστρα γὰρ τοίχων ὁρᾷς
ὑψηλά. πότερα δωμάτων προσαμβάσεις
ἐκβησόμεσθα; πῶς ἂν οὖν λάθοιμεν ἄν;
ἢ χαλκότευκτα κλῇθρα λύσαντες μοχλοῖς;
ὧν οὐδὲν ἴσμεν. ἢν δ' ἀνοίγοντες πύλας
ληφθῶμεν ἐσβάσεις τε μηχανώμενοι,
θανούμεθ'. ἀλλὰ πρὶν θανεῖν, νεὼς ἔπι
φεύγωμεν, ᾗπερ δεῦρ' ἐναυστολήσαμεν.

ΠΥΛΑΔΗΣ.

φεύγειν μὲν οὐκ ἀνεκτὸν, οὐδ' εἰώθαμεν·
τὸν τοῦ θεοῦ δὲ χρησμὸν οὐ κακιστέον.
ναοῦ δ' ἀπαλλαχθέντε κρύψωμεν δέμας
κατ' ἄντρ', ἃ πόντος νοτίδι διακλύζει μέλας,
νεὼς ἄπωθεν, μή τις εἰσιδὼν σκάφος
βασιλεῦσιν εἴπῃ, κᾆτα ληφθῶμεν βίᾳ.
ὅταν δὲ νυκτὸς ὄμμα λυγαίας μόλῃ,
τολμητέον τοι ξεστὸν ἐκ ναοῦ λαβεῖν
ἄγαλμα πάσας προσφέροντε μηχανάς.
ὅρα δέ γ' εἴσω τριγλύφων ὅποι κενὸν
δέμας καθεῖναι· τοὺς πόνους γὰρ ἀγαθοὶ
τολμῶσι, δειλοὶ δ' εἰσὶν οὐδὲν οὐδαμοῦ.
οὔτοι μακρὸν μὲν ἤλθομεν κώπῃ πόρον,
ἐκ τερμάτων δὲ νόστον ἀροῦμεν πάλιν;

ΟΡΕΣΤΗΣ.

ἀλλ' εὖ γὰρ εἶπας, πειστέον· χωρεῖν χρεὼν
ὅποι χθονὸς κρύψαντε λήσομεν δέμας.
οὐ γὰρ τὸ τοῦ θεοῦ γ' αἴτιον γενήσεται
πεσεῖν ἄχρηστον θέσφατον· τολμητέον·
μόχθος γὰρ οὐδεὶς τοῖς νέοις σκῆψιν φέρει.

ΧΟΡΟΣ.

εὐφαμεῖτ', ὦ πόντου
δισσὰς συγχωρούσας πέτρας
Εὐξείνου ναίοντες.
ὦ παῖ τᾶς Λατοῦς,
Δίκτυνν' οὐρεία,
πρὸς σὰν αὐλὰν, εὐστύλων
ναῶν χρυσήρεις θριγκοὺς,
πόδα παρθένιον ὅσιον ὁσίας
κλῃδούχου δούλα πέμπω,
Ἑλλάδος εὐίππου πύργους
καὶ τείχη χόρτων τ' εὐδένδρων
ἐξαλλάξασ' Εὐρώπαν,
πατρῴων οἴκων ἕδρας.
ἔμολον· τί νέον; τίνα φροντίδ' ἔχεις;
τί με πρὸς ναοὺς ἄγαγες ἄγαγες;
ὦ παῖ τοῦ τᾶς Τροίας πύργους
ἐλθόντος κλεινᾷ σὺν κώπᾳ
χιλιοναύτᾳ μυριοτευχεῖ
τῶν Ἀτρειδᾶν τῶν κλεινῶν.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ δμωαὶ, δυσθρηνήτοις
ὡς θρήνοις ἔγκειμαι,
τᾶς οὐκ εὐμούσου μολπᾶς [βοᾶν]
ἀλύροις ἐλέγοις, ἒ ἒ,
ἐν κηδείοις οἴκτοις,
αἵ μοι συμβαίνουσ' ἆται,
σύγγονον ἀμὸν κατακλαιομένα
[ζωᾶς], οἵαν ἰδόμαν ὄψιν ὀνείρων
νυκτὸς, τᾶς ἐξῆλθ' ὄρφνα.
ὀλόμαν ὀλόμαν·
οὐκ εἴσ' οἶκοι πατρῷοι·
οἴμοι φροῦδος γέννα.
φεῦ φεῦ τῶν Ἄργει μόχθων.
ἰὼ δαίμων, ὃς τὸν
μοῦνόν με κασίγνητον συλᾷς
Ἅιδᾳ πέμψας, ᾧ τάσδε χοὰς
μέλλω κρατῆρά τε τὸν φθιμένων
ὑδραίνειν γαίας ἐν νώτοις
πηγάς τ' οὐρείων ἐκ μόσχων
Βάκχου τ' οἰνηρὰς λοιβὰς,
ξουθᾶν τε πόνημα μελισσᾶν,
ἃ νεκροῖς θελκτήρια κεῖται.
ἀλλ' ἔνδος μοι πάγχρυσον
τεῦχος καὶ λοιβὰν Ἅιδᾳ.
ὦ κατὰ γαίας Ἀγαμεμνόνιον
θάλος, ὡς φθιμένῳ τάδε σοι πέμπω·
δέξαι δ'· οὐ γὰρ πρὸς τύμβον σοι
ξανθὰν χαίταν, οὐ δάκρυ' οἴσω.
τηλόσε γὰρ δὴ σᾶς ἀπενάσθην
πατρίδος καὶ ἐμᾶς, ἔνθα δοκήμασι
κεῖμαι σφαχθεῖσα τλάμων.

ΧΟΡΟΣ.

ἀντιψάλμους ᾠδὰς ὕμνον τ'
Ἀσιήταν σοι βάρβαρον ἰαχὰν
δεσποίνᾳ 'ξαυδάσω,
τὰν ἐν θρήνοις μοῦσαν
νέκυσι μελομέναν ἐν μολπαῖς
Ἅιδας ὑμνεῖ δίχα παιάνων.
οἴμοι, τῶν Ἀτρειδᾶν οἴκων,
ἔρρει φῶς σκήπτρων, οἴμοι.
οἴμοι πατρῴων οἴκων.
τίς δ' ἐκ τῶν εὐόλβων
Ἄργει βασιλέων ἀρχά;
μόχθους δ' ἐκ μόχθων ᾄσσει
δινευούσαις ἵπποις
πταναῖς ἀλλάξας ἐξ ἕδρας
ἱερὸν * * ὄμμ' αὐγᾶς
ἅλιος. ἄλλοις δ' ἄλλα προσέβα
χρυσέας ἀρνὸς μελάθροις ὀδύνα,
φόνος ἐπὶ φόνῳ, ἄχεά τ' ἄχεσιν·
ἔνθεν τῶν πρόσθεν δμαθέντων
Τανταλιδᾶν ἐκβαίνει
ποινὰ ἐς οἴκους· σπεύδει δ'
ἀσπούδαστ' ἐπὶ σοὶ δαίμων.

ΙΦΙΓΕΝΕΙΑ.

ἐξ ἀρχᾶς μοι δυσδαίμων
δαίμων τᾶς ματρὸς ζώνας·
καὶ νυκτὸς κείνας ἐξ ἇς
λοχίαν στερρὰν παιδείαν
Μοῖραι συντείνουσιν θεαὶ,
ἃ μναστευθεῖσ' ἐξ Ἑλλάνων,
* * *
ἂν πρωτόγονον θάλος ἐν θαλάμοις
Λήδας ἁ τλάμων κούρα
σφάγιον πατρῴᾳ λώβᾳ
καὶ θῦμ' οὐκ εὐγάθητον
ἔτεκεν, ἔτρεφεν, εὐκταίαν
ἱππείοις ἐν δίφροις

ψαμάθων Αὐλίδος ἐπέβασαν
νύμφαν, οἴμοι, δύσνυμφον
τῷ τᾶς Νηρέως κούρας, αἰαῖ.
νῦν δ' ἀξείνου πόντου ξείνα
δυσχόρτους οἴκους ναίω
ἄγαμος, ἄτεκνος, ἄπολις, ἄφιλος,
οὐ τὰν Ἄργει μέλπουσ' Ἥραν,
οὐδ' ἱστοῖς ἐν καλλιφθόγγοις
κερκίδι Παλλάδος Ἀτθίδος εἰκὼ
καὶ Τιτάνων ποικίλλουσ', ἀλλ'
αἱμορράντων δυσφόρμιγγα
ξείνων αἱμοῦσ' ἄταν βωμούς,
οἰκτράν τ' αἰαζόντων αὐδὰν,
οἰκτρόν τ' ἐκβαλλόντων δάκρυον.
καὶ νῦν κείνων μέν μοι λάθα,
τὸν δ' Ἄργει δμαθέντα κλαίω
σύγγονον, ὃν ἔλιπον ἐπιμαστίδιον
ἔτι βρέφος, ἔτι νέον, ἔτι θάλος
ἐν χερσὶν ματρὸς πρὸς στέρνοις τ'
Ἄργει σκηπτοῦχον Ὀρέσταν.

ΧΟΡΟΣ.

καὶ μὴν ὅδ' ἀκτὰς ἐκλιπὼν θαλασσίους
βουφορβὸς ἥκει, σημανῶν τί σοι νέον.

ΒΟΥΚΟΛΟΣ.

Ἀγαμέμνονος παῖ καὶ Κλυταιμνήστρας τέκνον,
ἄκουε καινῶν ἐξ ἐμοῦ κηρυγμάτων.

ΙΦΙΓΕΝΕΙΑ.

τί δ' ἔστι τοῦ παρόντος ἐκπλῆσσον λόγου;

ΒΟΥΚΟΛΟΣ.

ἥκουσιν ἐς γῆν κυανέαν Συμπληγάδα
πλάτῃ φυγόντες δίπτυχοι νεανίαι,
θεᾷ φίλον πρόσφαγμα καὶ θυτήριον
Ἀρτέμιδι. χέρνιβας δὲ καὶ κατάργματα
οὐκ ἂν φθάνοις ἂν εὐτρεπῆ ποιουμένη.

ΙΦΙΓΕΝΕΙΑ.

ποδαποί; τίνος γῆς ὄνομ' ἔχουσιν οἱ ξένοι;

ΒΟΥΚΟΛΟΣ.

Ἕλληνες, ἓν τοῦτ' οἶδα κοὐ περαιτέρω.

ΙΦΙΓΕΝΕΙΑ.

οὐδ' ὄνομ' ἀκούσας οἶσθα τῶν ξένων φράσαι;

ΒΟΥΚΟΛΟΣ.

Πυλάδης ἐκλῄζεθ' ἅτερος πρὸς θατέρου.

ΙΦΙΓΕΝΕΙΑ.

τῷ ξυζύγῳ δὲ τοῦ ξένου τί τοὔνομ' ἦν;

ΒΟΥΚΟΛΟΣ.

οὐδεὶς τόδ' οἶδεν· οὐ γὰρ εἰσηκούσαμεν.

ΙΦΙΓΕΝΕΙΑ.

πῶς δ' εἴδετ' αὐτοὺς καὶ τυχόντες εἵλετε;

ΒΟΥΚΟΛΟΣ.

ἄκραις ἐπὶ ῥηγμῖσιν ἀξένου πόρου.

ΙΦΙΓΕΝΕΙΑ.

καὶ τίς θαλάσσης βουκόλοις κοινωνία;

ΒΟΥΚΟΛΟΣ.

βοῦς ἤλθομεν νίψοντες ἐναλίᾳ δρόσῳ.

ΙΦΙΓΕΝΕΙΑ.

ἐκεῖσε δὴ 'πάνελθε, πῶς νιν εἵλετε
τρόπῳ θ' ὁποίῳ· τοῦτο γὰρ μαθεῖν θέλω.
χρόνιοι γὰρ ἥκουσ', οὐδέ πω βωμὸς θεᾶς
Ἑλληνικαῖσιν ἐξεφοινίχθη ῥοαῖς.

ΒΟΥΚΟΛΟΣ.

ἐπεὶ τὸν ἐσρέοντα διὰ Συμπληγάδων
βοῦς ὑλοφορβοὶ πόντον εἰσεβάλλομεν,
ἦν τις διαρρὼξ κυμάτων πολλῷ σάλῳ
κοιλωπὸς ἀγμὸς, πορφυρευτικαὶ στέγαι.
ἐνταῦθα δισσοὺς εἶδέ τις νεανίας
βουφορβὸς ἡμῶν, κἀπεχώρησεν πάλιν
ἄκροισι δακτύλοισι πορθμεύων ἴχνος.
ἔλεξε δ', οὐχ ὁρᾶτε; δαίμονές τινες
θάσσουσιν οἵδε. θεοσεβὴς δ' ἡμῶν τις ὢν
ἀνέσχε χεῖρα καὶ προσηύξατ' εἰσιδὼν,
ὦ ποντίας παῖ Λευκοθέας, νεῶν φύλαξ,
δέσποτα Παλαῖμον, ἵλεως ἡμῖν γενοῦ,
εἴτ' οὖν ἐπ' ἀκταῖς θάσσετον Διοσκόρω,
ἢ Νηρέως ἀγάλμαθ', ὃς τὸν εὐγενῆ
ἔτικτε πεντήκοντα Νηρῄδων χορόν.
ἄλλος δέ τις μάταιος, ἀνομίᾳ θρασὺς,
ἐγέλασεν εὐχαῖς, ναυτίλους δ' ἐφθαρμένους
θάσσειν φάραγγ' ἔφασκε τοῦ νόμου φόβῳ,
κλύοντας ὡς θύοιμεν ἐνθάδε ξένους.
ἔδοξε δ' ἡμῶν εὖ λέγειν τοῖς πλείοσι,
θηρᾶν τε τῇ θεῷ σφάγια τἀπιχώρια.
κἀν τῷδε πέτραν ἅτερος λιπὼν ξένοιν
ἔστη, κάρα τε διετίναξ' ἄνω κάτω
κἀπεστέναξεν ὠλένας τρέμων ἄκρας,
μανίαις ἀλαίνων, καὶ βοᾷ κυναγὸς ὥς.
Πυλάδη, δέδορκας τήνδε; τήνδε δ' οὐχ ὁρᾷς
Ἅιδου δράκαιναν, ὥς με βούλεται κτανεῖν
δειναῖς ἐχίδναις εἰς ἔμ' ἐστομωμένη;
ἡ δ' ἐκ χιτώνων πῦρ πνέουσα καὶ φόνον
πτεροῖς ἐρέσσει, μητέρ' ἀγκάλαις ἐμὴν
ἔχουσα, πέτρινον ὄχθον ὡς ἐπεμβάλῃ.
οἴμοι· κτενεῖ με. ποῖ φύγω; παρῆν δ' ὁρᾶν
οὐ ταὐτὰ μορφῆς σχήματ', ἀλλ' ἠλλάσσετο
φθογγάς τε μόσχων καὶ κυνῶν ὑλάγματα,
ἃ φασ' Ἐρινῦς ἱέναι μιμήματα.
ἡμεῖς δὲ συσταλέντες, ὡς θανούμενοι,
σιγῇ καθήμεθ'· ὁ δὲ χερὶ σπάσας ξίφος,
μόσχους ὀρούσας ἐς μέσας λέων ὅπως,
παίει σιδήρῳ λαγόνας ἐς πλευρὰς ἱεὶς,
δοκῶν Ἐρινῦς θεὰς ἀμύνεσθαι τάδε,
ὡς αἱματηρὸν πέλανον ἐξανθεῖν ἁλός.
κἀν τῷδε πᾶς τις, ὡς ὁρᾷ βουφόρβια
πίπτοντα καὶ πορθούμεν', ἐξωπλίζετο,
κόχλους τε φυσῶν συλλέγων τ' ἐγχωρίους·
πρὸς εὐτραφεῖς γὰρ καὶ νεανίας ξένους
φαύλους μάχεσθαι βουκόλους ἡγούμεθα.
πολλοὶ δ' ἐπληρώθημεν ἐν μικρῷ χρόνῳ.
πίπτει δὲ μανίας πίτυλον ὁ ξένος μεθεὶς,
στάζων ἀφρῷ γένειον· ὡς δ' ἐσείδομεν
προὔργου πεσόντα, πᾶς ἀνὴρ ἔσχεν πόνον
βάλλων, ἀράσσων· ἅτερος δὲ τοῖν ξένοιν
ἀφρόν τ' ἀπέψη σώματός τ' ἐτημέλει
πέπλων τε προὐκάλυπτεν εὐπήνους ὑφὰς,
καραδοκῶν μὲν τἀπιόντα τραύματα,
φίλον δὲ θεραπείαισιν ἄνδρ' εὐεργετῶν.
ἔμφρων δ' ἀνᾴξας ὁ ξένος πεσήματος
ἔγνω κλύδωνα πολεμίων προσκείμενον
καὶ τὴν παροῦσαν συμφορὰν αὐτοῖν πέλας,
ᾤμωξέ θ'· ἡμεῖς δ' οὐκ ἀνίεμεν πέτρους
βάλλοντες, ἄλλος ἄλλοθεν προσκείμενοι.
οὗ δὴ τὸ δεινὸν παρακέλευσμ' ἠκούσαμεν,

Πυλάδη, θανούμεθ᾽· ἀλλ᾽ ὅπως θανούμεθα
κάλλισθ᾽, ἕπου μοι, φάσγανον σπάσας χερί.
ὡς δ᾽ εἴδομεν δίπαλτα πολεμίων ξίφη,
φυγῇ λεπαίας ἐξεπίμπλαμεν νάπας.
ἀλλ᾽ εἰ φύγοι τις, ἅτεροι προσκείμενοι
ἔβαλλον αὐτούς· εἰ δὲ τούσδ᾽ ὠσαίατο,
αὖθις τὸ νῦν ὑπεῖκον ἤρασσον πέτροις.
ἀλλ᾽ ἦν ἄπιστον· μυρίων γὰρ ἐκ χερῶν
οὐδεὶς τὸ τῆς θεοῦ θύματ᾽ εὐτύχει βαλών.
μόλις δέ νιν τόλμῃ μὲν οὐ χειρούμεθα,
κύκλῳ δὲ περιβάλλοντες ἐξεκλέψαμεν
πέτροισι χειρῶν φάσγαν᾽, ἐς δὲ γῆν γόνυ
καμάτῳ καθεῖσαν. πρὸς δ᾽ ἄνακτα τῆσδε γῆς
κομίζομέν νιν. ὁ δ᾽ ἐσιδὼν ὅσον τάχος
ἐς χέρνιβάς τε καὶ σφαγεῖ᾽ ἔπεμπέ σοι.
εὔχου δὲ τοιάδ᾽, ὦ νεᾶνι, σοὶ ξένων
σφάγια παρεῖναι· κἂν ἀναλίσκῃς ξένους
τοιούσδε, τὸν σὸν Ἑλλὰς ἀποτίσει φόνον,
δίκας τίνουσα τῆς ἐν Αὐλίδι σφαγῆς.

ΧΟΡΟΣ.

θαυμάστ᾽ ἔλεξας τὸν φανένθ᾽, ὅστις ποτὲ
Ἕλληνος ἐκ γῆς πόντον ἦλθεν ἄξενον.

ΙΦΙΓΕΝΕΙΑ.

εἶεν. σὺ μὲν κόμιζε τοὺς ξένους μολών·
τὰ δ᾽ ἐνθάδ᾽ ἡμεῖς οἷα φροντιούμεθα.
ὦ καρδία τάλαινα, πρὶν μὲν ἐς ξένους
γαληνὸς ἦσθα καὶ φιλοικτίρμων ἀεί,
ἐς θοὐμόφυλον ἀναμετρουμένη δάκρυ,
Ἕλληνας ἄνδρας ἡνίκ᾽ ἐς χέρας λάβοις.
νῦν δ᾽ ἐξ ὀνείρων οἷσιν ἠγριώμεθα,
δοκοῦσ᾽ Ὀρέστην μηκέθ᾽ ἥλιον βλέπειν,
δύσνουν με λήψεσθ᾽, οἵτινές ποθ᾽ ἥκετε.
καὶ τοῦτ᾽ ἄρ᾽ ἦν ἀληθές, ᾐσθόμην, φίλαι,
οἱ δυστυχεῖς γὰρ τοῖσιν εὐτυχεστέροις
αὐτοὶ κακῶς πράξαντες οὐ φρονοῦσιν εὖ.
ἀλλ᾽ οὔτε πνεῦμα Διόθεν ἦλθε πώποτε,
οὐ πορθμίς, ἥτις διὰ πέτρας Συμπληγάδας
Ἑλένην ἂν ἤγαγ᾽ ἐνθάδ᾽, ἥ μ᾽ ἀπώλεσε,
Μενέλεών θ᾽, ἵν᾽ αὐτοὺς ἀντετιμωρησάμην,
τὴν ἐνθάδ᾽ Αὖλιν ἀντιθεῖσα τῆς ἐκεῖ,
οὗ μ᾽ ὥστε μόσχον Δαναΐδαι χειρούμενοι
ἔσφαζον, ἱρεὺς δ᾽ ἦν ὁ γεννήσας πατήρ.
οἴμοι· κακῶν γὰρ τῶν τότ᾽ οὐκ ἀμνημονῶ,
ὅσας γενείου χεῖρας ἐξηκόντισα,
γονάτων τε τοῦ τεκόντος ἐξαρτωμένη,
λέγουσα τοιάδ᾽· ὦ πάτερ, νυμφεύομαι
νυμφεύματ᾽ αἰσχρὰ πρὸς σέθεν· μήτηρ δ᾽ ἐμὴ
σέθεν κατακτείνοντος, Ἀργεῖαί τέ νιν
ὑμνοῦσιν ὑμεναίοισιν, αὐλεῖται δὲ πᾶν
μέλαθρον· ἡμεῖς δ᾽ ὀλλύμεσθα πρὸς σέθεν.
Ἅιδης Ἀχιλλεὺς ἦν ἄρ᾽, οὐχ ὁ Πηλέως,
ὅν μοι προσεῖπας πόσιν· ἐν ἁρμάτων δ᾽ ὄχοις
ἐς αἱματηρὸν γάμον ἐπόρθμευσας δόλῳ.
ἐγὼ δὲ λεπτῶν ὄμμα διὰ καλυμμάτων
ἔχουσ᾽, ἀδελφὸν οὔτ᾽ ἀνειλόμην χεροῖν,
ὃς νῦν ὄλωλεν, οὐ κασιγνήτῃ στόμα
συνῆψ᾽ ὑπ᾽ αἰδοῦς, ὡς ἰοῦσ᾽ ἐς Πηλέως
μέλαθρα· πολλὰ δ᾽ ἀπεθέμην ἀσπάσματα
ἐσαῦθις, ὡς ἥξουσ᾽ ἐς Ἄργος αὖ πάλιν.
ὦ τλῆμον, εἰ τέθνηκας, ἐξ οἵων καλῶν
ἔρρεις, Ὀρέστα, καὶ πατρὸς ζηλωμάτων.
τὰ τῆς θεοῦ δὲ μέμφομαι σοφίσματα,
ἥτις, βροτῶν μὲν ἤν τις ἅψηται φόνου,
ἢ καὶ λοχείας, ἢ νεκροῦ θίγῃ χεροῖν,
βωμῶν ἀπείργει, μυσαρὸν ὡς ἡγουμένη,
αὐτὴ δὲ θυσίαις ἥδεται βροτοκτόνοις.
οὐκ ἔσθ᾽ ὅπως ἔτεκεν ἂν ἡ Διὸς δάμαρ
Λητὼ τοσαύτην ἀμαθίαν. ἐγὼ μὲν οὖν
τὰ Ταντάλου θεοῖσιν ἑστιάματα
ἄπιστα κρίνω, παιδὸς ἡσθῆναι βορᾷ,
τοὺς δ᾽ ἐνθάδ᾽, αὐτοὺς ὄντας ἀνθρωποκτόνους,
ἐς τὴν θεὸν τὸ φαῦλον ἀναφέρειν δοκῶ·
οὐδένα γὰρ οἶμαι δαιμόνων εἶναι κακόν.

ΧΟΡΟΣ.

κυάνεαι κυάνεαι σύνοδοι θαλάσσας,
ἂν οἶστρος ὁ ποτώμενος Ἀργόθεν
Εὔξενον ἐπ᾽ οἶδμα διεπέρασεν Ἰοῦς,
Ἀσιήτιδα γαῖαν
Εὐρώπας διαμείψας.
τίνες ποτ᾽ ἄρα τὸν εὔυδρον
δονακόχλοα λιπόντες Εὐρώταν
ἢ ῥεύματα σεμνὰ Δίρκας
ἔβασαν ἔβασαν ἄμικτον αἶαν, ἔνθα κούρα
δία τέγγει
βωμοὺς καὶ περικίονας
ναῶν αἷμα βρότειον;
ἢ ῥοθίοις εἰλατίναις δικρότοισι κώπαις
ἔπλευσαν ἐπὶ πόντια κύματα
νάϊον ὄχημα λινοπόροισιν αὔραις,
φιλόπλουτον ἅμιλλαν
αὔξοντες μελάθροισιν;
φίλα γὰρ ἐλπὶς ἐγένετ᾽ ἐπὶ
πήμασι βροτῶν ἄπληστος ἀνθρώποις,
ὄλβου βάρος οἳ φέρονται
πλάνητες ἐπ᾽ οἶδμα πόλεις τε βαρβάρους περῶντες
κεινᾷ δόξᾳ.
γνώμα δ᾽ οἷς μὲν ἄκαιρος ὄλ-
βου, τοῖς δ᾽ εἰς μέσον ἥκει.
πῶς τὰς συνδρομάδας πέτρας,
πῶς Φινεΐδας
ἀΰπνους ἀκτὰς ἐπέρα-
σαν, παράλιον αἰγιαλὸν
ἐπ᾽ Ἀμφιτρίτας ῥοθίῳ δραμόντες;
ὅπου πεντήκοντα κορᾶν
τῶν Νηρήδων χοροὶ
μέλπουσιν ἐγκύκλιοι·
καὶ πλησιστίοισι πνοαῖς,
συριζόντων κατὰ πρύ-
μναν εὐναίων πηδαλίων,
αὔραις ἐν νοτίαις
ἢ πνοιαῖσι Ζεφύρου,
τὰν πολυόρνιθον ἐπ᾽ αἶαν,
λευκὰν ἀκτάν, Ἀχιλῆ-
ος δρόμους καλλισταδίους,
Εὔξεινον κατὰ πόντον.
εἴθ᾽ εὐχαῖσι δεσποσύνοις
Λήδας Ἑλένα

392—406. = 407—420.
421—438. = 439—455.

φίλα παῖς ἐλθοῦσα τύχοι
τὰν Τρῳάδα λιποῦσα πόλιν,
ἵν' ἀμφὶ χαίταν δρόσον αἱματηρὰν
ἑλιχθεῖσα λαιμοτόμῳ
δεσποίνας χερὶ θάνῃ
ποινὰς δοῦσ' ἀντιπάλους.
ἥδιστ' ἂν τήνδ' ἀγγελίαν
δεξαίμεσθ', Ἑλλάδος ἐκ
γᾶς πλωτήρων εἴ τις ἔβα,
δουλείας ἐμέθεν
δειλαίας παυσίπονος·
καὶ γὰρ ὀνείρασι συμβαίην
οἴκοις πόλει τε πατρῴ-
ᾳ τερπνῶν ὕμνων ἀπολαύ-
ειν, κοινὰν χάριν ὄλβῳ.
ἀλλ' οἵδε χέρας δεσμοῖς διδύμοις
συνερεισθέντες χωροῦσι, νέον
πρόσφαγμα θεᾶς· σιγᾶτε, φίλαι.
τὰ γὰρ Ἑλλήνων ἀκροθίνια δὴ
ναοῖσι πέλας τάδε βαίνει·
οὐδ' ἀγγελίας ψευδεῖς ἔλακεν
βουφορβὸς ἀνήρ.
ὦ πότνι', εἴ σοι τάδ' ἀρεσκόντως
πόλις ἥδε τελεῖ, δέξαι θυσίας,
ἃς ὁ παρ' ἡμῖν νόμος οὐχ ὁσίας
Ἕλλησι διδοὺς ἀναφαίνει.

ΙΦΙΓΕΝΕΙΑ.

εἶεν·
τὰ τῆς θεοῦ μὲν πρῶτον ὡς καλῶς ἔχῃ
φροντιστέον μοι. μέθετε τῶν ξένων χέρας,
ὡς ὄντες ἱροὶ μηκέτ' ὦσι δέσμιοι.
ναοῦ δ' ἔσω στείχοντες εὐτρεπίζετε
ἃ χρὴ 'πὶ τοῖς παροῦσι καὶ νομίζεται.
φεῦ·
τίς ἆρα μήτηρ ἡ τεκοῦσ' ὑμᾶς ποτε
πατήρ τ' ἀδελφή τ', εἰ γεγῶσα τυγχάνει;
οἵων στερεῖσα διπτύχων νεανιῶν
ἀνάδελφος ἔσται. τὰς τύχας τίς οἶδ' ὅτῳ
τοιαίδ' ἔσονται; πάντα γὰρ τὰ τῶν θεῶν
ἐς ἀφανὲς ἕρπει, κοὐδὲν οἶδ' οὐδεὶς κακόν·
ἡ γὰρ τύχη παρήγαγ' ἐς τὸ δυσμαθές.
πόθεν ποθ' ἥκετ', ὦ ταλαίπωροι ξένοι;
ὡς διὰ μακροῦ μὲν τήνδ' ἐπλεύσατε χθόνα,
μακρὸν δ' ἀπ' οἴκων χρόνον ἔσεσθ' ἀεὶ κάτω.

ΟΡΕΣΤΗΣ.

τί ταῦτ' ὀδύρει, κἀπὶ τοῖς μέλλουσι νῷν
κακοῖσι λυπεῖς, ἥτις εἶ ποτ', ὦ γύναι;
οὔτοι νομίζω σοφὸν, ὃς ἂν μέλλων θανεῖν
οἴκτῳ τὸ δεῖμα τοὐλέθρου νικᾶν θέλῃ·
οὐχ ὅστις Ἅιδην ἐγγὺς ὄντ' οἰκτίζεται,
σωτηρίας ἄνελπις· ὡς δύ' ἐξ ἑνὸς
κακὼ συνάπτει, μωρίαν τ' ὀφλισκάνει
θνήσκει θ' ὁμοίως· τὴν τύχην δ' ἐᾶν χρεών.
ἡμᾶς δὲ μὴ θρήνει σύ· τὰς γὰρ ἐνθάδε
θυσίας ἐπιστάμεσθα καὶ γιγνώσκομεν.

ΙΦΙΓΕΝΕΙΑ.

πότερος ἄρ' ὑμῶν ἐνθάδ' ὠνομασμένος
Πυλάδης κέκληται; τόδε μαθεῖν πρῶτον θέλω.

ΟΡΕΣΤΗΣ.

ὅδ', εἴ τι δή σοι τοῦτ' ἐν ἡδονῇ μαθεῖν.

ΙΦΙΓΕΝΕΙΑ.

ποίας πολίτης πατρίδος Ἕλληνος γεγώς;

ΟΡΕΣΤΗΣ.

τί δ' ἂν μαθοῦσα τόδε πλέον λάβοις, γύναι;

ΙΦΙΓΕΝΕΙΑ.

πότερον ἀδελφὼ μητρός ἐστον ἐκ μιᾶς;

ΟΡΕΣΤΗΣ.

φιλότητί γ', ἐσμὲν δ' οὐ κασιγνήτω, γύναι.

ΙΦΙΓΕΝΕΙΑ.

σοὶ δ' ὄνομα ποῖον ἔθεθ' ὁ γεννήσας πατήρ;

ΟΡΕΣΤΗΣ.

τὸ μὲν δίκαιον δυστυχεῖς καλοίμεθ' ἄν.

ΙΦΙΓΕΝΕΙΑ.

οὐ τοῦτ' ἐρωτῶ· τοῦτο μὲν δὸς τῇ τύχῃ.

ΟΡΕΣΤΗΣ.

ἀνώνυμοι θανόντες οὐ γελῴμεθ' ἄν.

ΙΦΙΓΕΝΕΙΑ.

τί δὲ φθονεῖς τοῦτ', ἢ φρονεῖς οὕτω μέγα;

ΟΡΕΣΤΗΣ.

τὸ σῶμα θύσεις τοὐμὸν, οὐχὶ τοὔνομα.

ΙΦΙΓΕΝΕΙΑ.

οὐδ' ἂν πόλιν φράσειας ἥτις ἐστί σοι;

ΟΡΕΣΤΗΣ.

ζητεῖς γὰρ οὐδὲν κέρδος, ὡς θανουμένῳ.

ΙΦΙΓΕΝΕΙΑ.

χάριν δὲ δοῦναι τήνδε κωλύει τί σε;

ΟΡΕΣΤΗΣ.

τὸ κλεινὸν Ἄργος πατρίδ' ἐμὴν ἐπεύχομαι.

ΙΦΙΓΕΝΕΙΑ.

πρὸς θεῶν ἀληθῶς, ὦ ξέν', εἶ κεῖθεν γεγώς;

ΟΡΕΣΤΗΣ.

ἐκ τῶν Μυκηνῶν, αἵ ποτ' ἦσαν ὄλβιαι.

ΙΦΙΓΕΝΕΙΑ.

φυγὰς δ' ἀπῆρας πατρίδος, ἢ ποίᾳ τύχῃ;

ΟΡΕΣΤΗΣ.

φεύγω τρόπον γε δή τιν' οὐχ ἑκὼν ἑκών.

ΙΦΙΓΕΝΕΙΑ.

ἆρ' ἄν τί μοι φράσειας ὧν ἐγὼ θέλω;

ΟΡΕΣΤΗΣ.

ὡς ἐν παρέργῳ τῆς ἐμῆς δυσπραξίας.

ΙΦΙΓΕΝΕΙΑ.

καὶ μὴν ποθεινός γ' ἦλθες ἐξ Ἄργους μολών.

ΟΡΕΣΤΗΣ.

οὔκουν ἐμαυτῷ γ', εἰ δὲ σοὶ, σὺ τοῦδ' ἔρα.

ΙΦΙΓΕΝΕΙΑ.

Τροίαν ἴσως οἶσθ', ἧς ἁπανταχοῦ λόγος.

ΟΡΕΣΤΗΣ.

ὡς μήποτ' ὤφελόν γε, μηδ' ἰδὼν ὄναρ.

ΙΦΙΓΕΝΕΙΑ.

φασίν νιν οὐκέτ' οὖσαν οἴχεσθαι δορί.

ΟΡΕΣΤΗΣ.

ἔστιν γὰρ οὕτως, οὐδ' ἄκραντ' ἠκούσατε.

ΙΦΙΓΕΝΕΙΑ.

Ἑλένη δ' ἀφῖκται δῶμα Μενέλεω πάλιν;

ΟΡΕΣΤΗΣ.

ἥκει, κακῶς γ' ἐλθοῦσα τῶν ἐμῶν τινι.

ΙΦΙΓΕΝΕΙΑ.

καὶ ποῦ 'στι; κἀμοὶ γάρ τι προὐφείλει κακόν.

ΟΡΕΣΤΗΣ.

Σπάρτῃ ξυνοικεῖ τῷ πάρος ξυνευνέτῃ.

ΙΦΙΓΕΝΕΙΑ.
ὦ μῖσος εἰς Ἕλληνας, οὐκ ἐμοὶ μόνῃ.
ΟΡΕΣΤΗΣ.
ἀπέλαυσα κἀγὼ δή τι τῶν κείνης γάμων.
ΙΦΙΓΕΝΕΙΑ.
νόστος δ' Ἀχαιῶν ἐγένεθ', ὡς κηρύσσεται;
ΟΡΕΣΤΗΣ.
ὡς πάνθ' ἅπαξ με συλλαβοῦσ' ἀνιστορεῖς.
ΙΦΙΓΕΝΕΙΑ.
πρὶν γὰρ θανεῖν σε τοῦδ' ἐπαυρέσθαι θέλω.
ΟΡΕΣΤΗΣ.
ἔλεγχ', ἐπειδὴ τοῦδ' ἐρᾷς· λέξω δ' ἐγώ.
ΙΦΙΓΕΝΕΙΑ.
Κάλχας τις ἦλθε μάντις ἐκ Τροίας πάλιν;
ΟΡΕΣΤΗΣ.
ὄλωλεν, ὡς ἦν ἐν Μυκηναίοις λόγος.
ΙΦΙΓΕΝΕΙΑ.
ὦ πότνι', ὡς εὖ. τί γὰρ ὁ Λαέρτου γόνος;
ΟΡΕΣΤΗΣ.
οὔπω νενόστηκ' οἶκον, ἔστι δ', ὡς λόγος.
ΙΦΙΓΕΝΕΙΑ.
ὄλοιτο, νόστου μήποτ' ἐς πάτραν τυχών.
ΟΡΕΣΤΗΣ.
μηδὲν κατεύχου· πάντα τἀκείνου νοσεῖ.
ΙΦΙΓΕΝΕΙΑ.
Θέτιδος δ' ὁ τῆς Νηρῆδος ἔστι παῖς ἔτι;
ΟΡΕΣΤΗΣ.
οὐκ ἔστιν· ἄλλως λέκτρ' ἔγημεν Αὐλίδι.
ΙΦΙΓΕΝΕΙΑ.
δόλια γάρ, ὥς γέ φασιν οἱ πεπονθότες.
ΟΡΕΣΤΗΣ.
τίς εἶ ποθ'; ὡς εὖ πυνθάνει τἀφ' Ἑλλάδος.
ΙΦΙΓΕΝΕΙΑ.
ἐκεῖθέν εἰμι· παῖς ἔτ' οὖσ' ἀπωλόμην.
ΟΡΕΣΤΗΣ.
ὀρθῶς ποθεῖς ἄρ' εἰδέναι τἀκεῖ, γύναι.
ΙΦΙΓΕΝΕΙΑ.
τί δ' ὁ στρατηγός, ὃν λέγουσ' εὐδαιμονεῖν;
ΟΡΕΣΤΗΣ.
τίς; οὐ γὰρ ὅν γ' ἐγᾦδα τῶν εὐδαιμόνων.
ΙΦΙΓΕΝΕΙΑ.
Ἀτρέως ἐλέγετο δή τις Ἀγαμέμνων ἄναξ.
ΟΡΕΣΤΗΣ.
οὐκ οἶδ'· ἄπελθε τοῦ λόγου τούτου, γύναι.
ΙΦΙΓΕΝΕΙΑ.
μὴ πρὸς θεῶν, ἀλλ' εἴφ', ἵν' εὐφρανθῶ, ξένε.
ΟΡΕΣΤΗΣ.
τέθνηχ' ὁ τλήμων, πρὸς δ' ἀπώλεσέν τινα.
ΙΦΙΓΕΝΕΙΑ.
τέθνηκε; ποίᾳ συμφορᾷ; τάλαιν' ἐγώ.
ΟΡΕΣΤΗΣ.
τί δ' ἐστέναξας τοῦτο; μῶν προσῆκέ σοι;
ΙΦΙΓΕΝΕΙΑ.
τὸν ὄλβον αὐτοῦ τὸν πάροιθ' ἀναστένω.
ΟΡΕΣΤΗΣ.
δεινῶς γὰρ ἐκ γυναικὸς οἴχεται σφαγείς.
ΙΦΙΓΕΝΕΙΑ.
ὦ πανδάκρυτος ἡ κτανοῦσα χὼ θανών.
ΟΡΕΣΤΗΣ.
παῦσαί νυν ἤδη, μηδ' ἐρωτήσῃς πέρα.
ΙΦΙΓΕΝΕΙΑ.
τοσόνδε γ', εἰ ζῇ τοῦ ταλαιπώρου δάμαρ.
ΟΡΕΣΤΗΣ.
οὐκ ἔστι· παῖς νιν, ὃν ἔτεχ', οὗτος ὤλεσεν.
ΙΦΙΓΕΝΕΙΑ.
ὦ συνταραχθεὶς οἶκος. ὡς τί δὴ θέλων;
ΟΡΕΣΤΗΣ.
πατρὸς θανόντος τήνδε τιμωρούμενος.
ΙΦΙΓΕΝΕΙΑ.
φεῦ·
ὡς εὖ κακὸν δίκαιον εἰσεπράξατο.
ΟΡΕΣΤΗΣ.
ἀλλ' οὐ τὰ πρὸς θεῶν εὐτυχεῖ, δίκαιος ὤν.
ΙΦΙΓΕΝΕΙΑ.
λείπει δ' ἐν οἴκοις ἄλλον Ἀγαμέμνων γόνον;
ΟΡΕΣΤΗΣ.
λέλοιπεν Ἠλέκτραν γε παρθένον μίαν.
ΙΦΙΓΕΝΕΙΑ.
τί δέ, σφαγείσης θυγατρὸς ἔστι τις λόγος;
ΟΡΕΣΤΗΣ.
οὐδείς γε, πλὴν θανοῦσαν οὐχ ὁρᾶν φάος.
ΙΦΙΓΕΝΕΙΑ.
τάλαιν' ἐκείνη χὠ κτανὼν αὐτὴν πατήρ.
ΟΡΕΣΤΗΣ.
κακῆς γυναικὸς χάριν ἄχαριν ἀπώλετο.
ΙΦΙΓΕΝΕΙΑ.
ὁ τοῦ θανόντος δ' ἔστι παῖς Ἄργει πατρός;
ΟΡΕΣΤΗΣ.
ἔστ', ἄθλιός γε, κοὐδαμοῦ καὶ πανταχοῦ.
ΙΦΙΓΕΝΕΙΑ.
ψευδεῖς ὄνειροι, χαίρετ'· οὐδὲν ἦτ' ἄρα.
ΟΡΕΣΤΗΣ.
οὐδ' οἱ σοφοί γε δαίμονες κεκλημένοι
πτηνῶν ὀνείρων εἰσὶν ἀψευδέστεροι.
πολὺς ταραγμὸς ἔν τε τοῖς θεοῖς ἔνι
κἀν τοῖς βροτείοις· ἓν δὲ λείπεται μόνον,
ὅτ' οὐκ ἄφρων ὢν μάντεων πεισθεὶς λόγοις
ὄλωλεν ὡς ὄλωλε τοῖσιν εἰδόσιν.
ΧΟΡΟΣ.
φεῦ φεῦ· τί δ' ἡμεῖς οἵ τ' ἐμοὶ γεννήτορες;
ἆρ' εἰσίν; ἆρ' οὐκ εἰσί; τίς φράσειεν ἄν;
ΙΦΙΓΕΝΕΙΑ.
ἀκούσατ'· ἐς γὰρ δή τιν' ἥκομεν λόγον,
ὑμῖν τ' ὄνησιν, ὦ ξένοι, σπεύδουσ' ἅμα
κἀμοί. τὸ δ' εὖ μάλιστά γ' οὕτω γίγνεται,
εἰ πᾶσι ταυτὸν πρᾶγμ' ἀρεσκόντως ἔχει.
θέλοις ἄν, εἰ σώσαιμί σ', ἀγγεῖλαί τί μοι
πρὸς Ἄργος ἐλθὼν τοῖς ἐμοῖς ἐκεῖ φίλοις,
δέλτον τ' ἐνεγκεῖν, ἥν τις οἰκτείρας ἐμὲ
ἔγραψεν αἰχμάλωτος, οὐχὶ τὴν ἐμὴν
φονέα νομίζων χεῖρα, τοῦ νόμου δ' ὕπο
θνήσκειν γε, τῆς θεοῦ τάδε δίκαι' ἡγουμένης;
οὐδένα γὰρ εἶχον ὅστις ἀγγεῖλαι μολὼν
ἐς Ἄργος αὖθις, τάς τ' ἐμὰς ἐπιστολὰς
πέμψειε σωθεὶς τῶν ἐμῶν φίλων τινί.
σὺ δ', εἰ γάρ, ὡς ἔοικας, οὔτε δυσγενὴς
καὶ τὰς Μυκήνας οἶσθα χοὺς κἀγὼ θέλω,
σώθητι καὶ σύ, μισθὸν οὐκ αἰσχρὸν λαβὼν
κούφων ἕκατι γραμμάτων σωτηρίαν.

οὗτος δ', ἐπείπερ πόλις ἀναγκάζει τάδε,
θεᾷ γενέσθω θῦμα, χωρισθεὶς σέθεν.

ΟΡΕΣΤΗΣ.

καλῶς ἔλεξας τἄλλα, πλὴν ἕν, ὦ ξένη·
τὸ γὰρ σφαγῆναι τόνδ' ἐμοὶ βάρος μέγα.
ὁ ναυστολῶν γάρ εἰμ' ἐγὼ τὰς ξυμφοράς·
οὗτος δὲ συμπλεῖ τῶν ἐμῶν μόχθων χάριν.
οὔκουν δίκαιον ἐπ' ὀλέθρῳ τῷ τοῦδ' ἐμὲ
χάριν τίθεσθαι, καὐτὸν ἐκδῦναι κακῶν·
ἀλλ' ὣς γενέσθω, τῷδε μὲν δέλτον δίδου·
πέμψει γὰρ Ἄργος, ὥστε σοι καλῶς ἔχειν·
ἡμᾶς δ' ὁ χρῄζων κτεινέτω. τὰ τῶν φίλων
αἴσχιστον ὅστις καταβαλὼν ἐς ξυμφορὰς
αὐτὸς σέσωσται· τυγχάνει δ' ὅδ' ὢν φίλος,
ὃν οὐδὲν ἧσσον ἢ 'μὲ φῶς ὁρᾶν θέλω.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ λῆμ' ἄριστον, ὡς ἀπ' εὐγενοῦς τινος
ῥίζης πέφυκας, τοῖς φίλοις τ' ὀρθῶς φίλος.
τοιοῦτος εἴη τῶν ἐμῶν ὁμοσπόρων
ὅσπερ λέλειπται. καὶ γὰρ οὐδ' ἐγὼ, ξένοι,
ἀνάδελφός εἰμι, πλὴν ὅσ' οὐχ ὁρῶσά νιν.
ἐπεὶ δὲ βούλει ταῦτα, τόνδε πέμψομεν
δέλτον φέροντα, σὺ δὲ θανεῖ· πολλή δέ τις
προθυμία σε τοῦδ' ἔχουσα τυγχάνει.

ΟΡΕΣΤΗΣ.

θύσει δὲ τίς με καὶ τὰ δεινὰ τλήσεται;

ΙΦΙΓΕΝΕΙΑ.

ἐγώ· θεᾶς γὰρ τῆσδε προστροπὴν ἔχω.

ΟΡΕΣΤΗΣ.

ἄζηλά γ', ὦ νεᾶνι, κοὐκ εὐδαίμονα.

ΙΦΙΓΕΝΕΙΑ,

ἀλλ' εἰς ἀνάγκην κείμεθ', ἣν φυλακτέον.

ΟΡΕΣΤΗΣ.

αὐτὴ ξίφει θύουσα θῆλυς ἄρσενας;

ΙΦΙΓΕΝΕΙΑ.

οὒκ, ἀλλὰ χαίτην ἀμφὶ σὴν χερνίψομαι.

ΟΡΕΣΤΗΣ.

ὁ δὲ σφαγεὺς τίς; εἰ τάδ' ἱστορεῖν με χρή.

ΙΦΙΓΕΝΕΙΑ.

εἴσω δόμων τῶνδ' εἰσὶν οἷς μέλει τάδε.

ΟΡΕΣΤΗΣ.

τάφος δὲ ποῖος δέξεταί μ', ὅταν θάνω;

ΙΦΙΓΕΝΕΙΑ.

πῦρ ἱρὸν ἔνδον χάσμα τ' εὐρωπὸν πέτρας.

ΟΡΕΣΤΗΣ.

φεῦ·
πῶς ἄν μ' ἀδελφῆς χεὶρ περιστείλειεν ἄν.

ΙΦΙΓΕΝΕΙΑ.

μάταιον εὐχὴν, ὦ τάλας, ὅστις ποτ' εἶ,
ηὔξω· μακρὰν γὰρ βαρβάρου ναίει χθονός.
οὐ μὴν, ἐπειδὴ τυγχάνεις Ἀργεῖος ὢν,
ἀλλ' ὧν γε δυνατὸν οὐδ' ἐγὼ λείψω χάριν.
πολύν τε γάρ σοι κόσμον ἐνθήσω τάφῳ,
ξανθῷ τ' ἐλαίῳ σῶμα σὸν κατασβέσω,
καὶ τῆς ὀρείας ἀνθεμόρρυτον γάνος
ξουθῆς μελίσσης ἐς πυρὰν βαλῶ σέθεν.
ἀλλ' εἶμι, δέλτον τ' ἐκ θεᾶς ἀνακτόρων
οἴσω· τὸ μέντοι δυσμενὲς μή μου λάβῃς.
φυλάσσετ' αὐτοὺς, πρόσπολοι, δεσμῶν ἄτερ.
ἴσως ἄελπτα τῶν ἐμῶν φίλων τινὶ
πέμψω πρὸς Ἄργος, ὃν μάλιστ' ἐγὼ φιλῶ,
καὶ δέλτος αὐτῷ ζῶντας, οὓς δοκεῖ θανεῖν,
λέγουσα πιστὰς ἡδονὰς ἀπαγγελεῖ.

ΧΟΡΟΣ.

κατολοφύρομαι σὲ τὸν χερνίβων
ῥανίσι * μελόμενον αἱμακταῖς.

ΟΡΕΣΤΗΣ.

οἶκτος γὰρ οὐ ταῦτ', ἀλλὰ χαίρετ', ὦ ξέναι.

ΧΟΡΟΣ.

σὲ δὲ τύχας μάκαρος, ἰὼ νεανία,
σεβόμεθ' εἰς πάτραν ὅτι ποτ' ἐπεμβάσει.

ΠΥΛΑΔΗΣ.

ἄζηλα τοῖς φίλοισι, θνησκόντων φίλων.

ΧΟΡΟΣ.

ὦ σχέτλιοι πομπαί.
φεῦ φεῦ, διόλλυσαι.
αἰαῖ αἰαῖ.
πότερος ὁ μέλλων;
ἔτι γὰρ ἀμφίλογα δίδυμα μέμονε φρὴν,
σὲ πάρος ἢ σ' ἀναστενάξω γόοις.

ΟΡΕΣΤΗΣ.

Πυλάδη, πέπονθας ταὐτὸ πρὸς θεῶν ἐμοί;

ΠΥΛΑΔΗΣ.

οὐκ οἶδ'· ἐρωτᾷς οὐ λέγειν ἔχοντά με.

ΟΡΕΣΤΗΣ.

τίς ἐστιν ἡ νεᾶνις; ὡς Ἑλληνικῶς
ἀνήρεθ' ἡμᾶς τούς τ' ἐν Ἰλίῳ πόνους
νόστον τ' Ἀχαιῶν τόν τ' ἐν οἰωνοῖς σοφὸν
Κάλχαντ' Ἀχιλλέως τ' ὄνομα, καὶ τὸν ἄθλιον
Ἀγαμέμνον' ως ᾤκτειρ', ἀνηρώτα τέ με
γυναῖκα παῖδάς τ'. ἔστιν ἡ ξένη γένος
ἐκεῖθεν Ἀργεία τις· οὐ γὰρ ἄν ποτε
δέλτον τ' ἔπεμπε καὶ τάδ' ἐξεμάνθανεν,
ὡς κοινὰ πράσσουσ', Ἄργος εἰ πράσσει καλῶς.

ΠΥΛΑΔΗΣ.

ἔφθης με μικρόν· ταὐτὰ δὲ φθάσας λέγεις,
πλὴν ἕν· τὰ γὰρ τῶν βασιλέων παθήματα
ἴσασι πάντες, ὧν ἐπιστροφή τις ἦν.
ἀτὰρ διῆλθε χἄτερον λόγον τινά.

ΟΡΕΣΤΗΣ.

τίν'; ἐς τὸ κοινὸν δοὺς ἄμεινον ἂν μάθοις.

ΠΥΛΑΔΗΣ.

αἰσχρὸν θανόντος σοῦ βλέπειν ἡμᾶς φάος·
κοινῇ δὲ πλεύσας, δεῖ με καὶ κοινῇ θανεῖν.
καὶ δειλίαν γὰρ καὶ κάκην κεκτήσομαι
Ἄργει τε Φωκέων τ' ἐν πολυπτύχῳ χθονὶ,
δόξω δὲ τοῖς πολλοῖσι, πολλοὶ γὰρ κακοὶ,
προδοὺς σὲ σώζεσθ' αὐτὸς εἰς οἴκους μόνος,
ἢ καὶ φονεύσας ἐπὶ νοσοῦσι δώμασι
ῥάψαι μόρον σοι σῆς τυραννίδος χάριν,
ἔγκληρον ὡς δὴ σὴν κασιγνήτην γαμῶν.
ταῦτ' οὖν φοβοῦμαι καὶ δι' αἰσχύνης ἔχω,
κοὐκ ἔσθ' ὅπως οὐ χρὴ συνεκπνεῦσαί μέ σοι
καὶ συσφαγῆναι καὶ πυρωθῆναι δέμας,
φίλον γεγῶτα καὶ φοβούμενον ψόγον.

ΟΡΕΣΤΗΣ.

εὔφημα φώνει· τἀμὰ δεῖ φέρειν κακά·
ἁπλᾶς δὲ λύπας ἐξὸν, οὐκ οἴσω διπλᾶς.
ὃ γὰρ σὺ λυπρὸν κἀπονείδιστον λέγεις,
ταὔτ' ἐστὶν ἡμῖν, εἴ σε συμμοχθοῦντ' ἐμοὶ

κτενῶ· τὸ μὲν γὰρ εἰς ἔμ' οὐ κακῶς ἔχει
πράσσονθ' ἃ πράσσω πρὸς θεῶν λύειν βίον.
σὺ δ' ὄλβιός τ' εἶ, καθαρά τ' οὐ νοσοῦντ' ἔχεις
μέλαθρ', ἐγὼ δὲ δυσσεβῆ καὶ δυστυχῆ.
σωθεὶς δὲ παῖδας ἐξ ἐμῆς ὁμοσπόρου
κτησάμενος, ἣν ἔδωκά σοι δάμαρτ' ἔχειν,
ὄνομά τ' ἐμοῦ γένοιτ' ἄν, οὐδ' ἄπαις δόμος
πατρῷος οὑμὸς ἐξαλειφθείη ποτ' ἄν.
ἀλλ' ἕρπε καὶ ζῆ καὶ δόμους οἴκει πατρός.
ὅταν δ' ἐς Ἑλλάδ' ἵππιόν τ' Ἄργος μόλῃς,
πρὸς δεξιᾶς σε τῆσδ' ἐπισκήπτω τάδε·
τύμβον τε χῶσον κἀπίθες μνημεῖά μοι,
καὶ δάκρυ' ἀδελφὴ καὶ κόμας δότω τάφῳ.
ἄγγελλε δ' ὡς ὄλωλ' ὑπ' Ἀργείας τινὸς
γυναικός, ἀμφὶ βωμὸν ἁγνισθεὶς φόνῳ.
καὶ μὴ προδῷς μου τὴν κασιγνήτην ποτέ,
ἔρημα κήδη καὶ δόμους ὁρῶν πατρός.
καὶ χαῖρ'· ἐμῶν γὰρ φίλτατόν σ' εὗρον φίλων.
ὦ συγκυναγὲ καὶ συνεκτραφεὶς ἐμοί,
ὦ πόλλ' ἐνεγκὼν τῶν ἐμῶν ἄχθη κακῶν.
ἡμᾶς δ' ὁ Φοῖβος, μάντις ὤν, ἐψεύσατο·
τέχνην δὲ θέμενος ὡς προσώταθ' Ἑλλάδος
ἀπήλασ' αἰδοῖ τῶν πάρος μαντευμάτων.
ᾧ πάντ' ἐγὼ δοὺς τἀμὰ καὶ πεισθεὶς λόγοις,
μητέρα κατακτάς, αὐτὸς ἀνταπόλλυμαι.

*ΠΥΛΑΔΗΣ.*

ἔσται τάφος σοι, καὶ κασιγνήτης λέχος
οὐκ ἂν προδοίην, ὦ τάλας, ἐπεί σ' ἐγὼ
θανόντα μᾶλλον ἢ βλέπονθ' ἕξω φίλον.
ἀτὰρ τὸ τοῦ θεοῦ γ' οὐ διέφθορέν σέ πω
μάντευμα, καίτοι γ' ἐγγὺς ἕστηκας φόνου.
ἀλλ' ἔστιν ἔστιν ἡ λίαν δυσπραξία
λίαν διδοῦσα μεταβολάς, ὅταν τύχῃ.

*ΟΡΕΣΤΗΣ.*

σίγα· τὰ Φοίβου δ' οὐδὲν ὠφελεῖ μ' ἔπη·
γυνὴ γὰρ ἥδε δωμάτων ἔξω περᾷ.

*ΙΦΙΓΕΝΕΙΑ.*

ἀπέλθεθ' ὑμεῖς καὶ παρευτρεπίζετε
τἄνδον μολόντες τοῖς ἐφεστῶσι σφαγῇ.
δέλτου μὲν αἵδε πολύθυροι διαπτυχαί,
ξένοι, πάρεισιν· ἃ δ' ἐπὶ τοῖσδε βούλομαι,
ἀκούσατ'· οὐδεὶς αὐτὸς ἐν πόνοις ἀνὴρ
ὅταν τε πρὸς τὸ θάρσος ἐκ φόβου πέσῃ.
ἐγὼ δὲ ταρβῶ μὴ 'πονοστήσας χθονὸς
θῆται παρ' οὐδὲν τὰς ἐμὰς ἐπιστολὰς
ὁ τήνδε μέλλων δέλτον εἰς Ἄργος φέρειν.

*ΟΡΕΣΤΗΣ.*

τί δῆτα βούλει; τίνος ἀμηχανεῖς πέρι;

*ΙΦΙΓΕΝΕΙΑ.*

ὅρκον δότω μοι τάσδε πορθμεύσειν γραφὰς
πρὸς Ἄργος, οἷσι βούλομαι πέμψαι φίλων.

*ΟΡΕΣΤΗΣ.*

ἦ κἀντιδώσεις τῷδε τοὺς αὐτοὺς λόγους;

*ΙΦΙΓΕΝΕΙΑ.*

τί χρῆμα δράσειν ἢ τί μὴ δράσειν, λέγε.

*ΟΡΕΣΤΗΣ.*

ἐκ γῆς ἀφήσειν μὴ θανόντα βαρβάρου.

*ΙΦΙΓΕΝΕΙΑ.*

δίκαιον εἶπας· πῶς γὰρ ἀγγείλειεν ἄν;

*ΟΡΕΣΤΗΣ.*

ἦ καὶ τύραννος ταῦτα συγχωρήσεται;

*ΙΦΙΓΕΝΕΙΑ.*

ναί·
πείσω σφε, καὐτὴ ναὸς εἰσβήσω σκάφος.

*ΟΡΕΣΤΗΣ.*

ὄμνυ· σὺ δ' ἔξαρχ' ὅρκον ὅστις εὐσεβής.

*ΙΦΙΓΕΝΕΙΑ.*

δώσω, λέγειν χρή, τήνδε τοῖς ἐμοῖς φίλοις.

*ΠΥΛΑΔΗΣ.*

τοῖς σοῖς φίλοισι γράμματ' ἀποδώσω τάδε.

*ΙΦΙΓΕΝΕΙΑ.*

κἀγὼ σὲ σώσω Κυανέας ἔξω πέτρας.

*ΠΥΛΑΔΗΣ.*

τίν' οὖν ἐπόμνυς τοισίδ' ὅρκιον θεῶν;

*ΙΦΙΓΕΝΕΙΑ.*

Ἄρτεμιν, ἐν ἧσπερ δώμασιν τιμὰς ἔχω.

*ΠΥΛΑΔΗΣ.*

ἐγὼ δ' ἄνακτά γ' οὐρανοῦ, σεμνὸν Δία.

*ΙΦΙΓΕΝΕΙΑ.*

εἰ δ' ἐκλιπὼν τὸν ὅρκον ἀδικοίης ἐμέ;

*ΠΥΛΑΔΗΣ.*

ἄνοστος εἴην· τί δὲ σύ, μὴ σώσασά με;

*ΙΦΙΓΕΝΕΙΑ.*

μήποτε κατ' Ἄργος ζῶσ' ἴχνος θείην ποδός.

*ΠΥΛΑΔΗΣ.*

ἄκουε δή νυν ὃν παρήλθομεν λόγον.

*ΙΦΙΓΕΝΕΙΑ.*

ἀλλ' αὖθις ἔσται καιρός, ἢν καλῶς ἔχῃ.

*ΠΥΛΑΔΗΣ.*

ἐξαίρετόν μοι δὸς τόδ', ἤν τι ναῦς πάθῃ,
χἡ δέλτος ἐν κλύδωνι χρημάτων μέτα
ἀφανὴς γένηται, σῶμα δ' ἐκσώσω μόνον,
τὸν ὅρκον εἶναι τόνδε μηκέτ' ἔμπεδον.

*ΙΦΙΓΕΝΕΙΑ.*

ἀλλ' οἶσθ' ὃ δράσω; πολλὰ γὰρ πολλῶν κυρεῖ·
τἀνόντα κἀγγεγραμμέν' ἐν δέλτου πτυχαῖς
λόγῳ φράσω σοι πάντ' ἀναγγεῖλαι φίλοις·
ἐν ἀσφαλεῖ γάρ· ἢν μὲν ἐκσώσῃς γραφήν,
αὐτὴ φράσει σιγῶσα τἀγγεγραμμένα,
ἢν δ' ἐν θαλάσσῃ γράμματ' ἀφανισθῇ τάδε,
τὸ σῶμα σώσας τοὺς λόγους σώσεις ἐμοί.

*ΠΥΛΑΔΗΣ.*

καλῶς ἔλεξας τῶν θεῶν ἐμοῦ θ' ὕπερ.
σήμαινε δ' ᾧ χρὴ τάσδ' ἐπιστολὰς φέρειν
πρὸς Ἄργος, ὅ τι τε χρὴ κλυόντα σου λέγειν.

*ΙΦΙΓΕΝΕΙΑ.*

ἄγγελλ' Ὀρέστῃ, παιδὶ τἀγαμέμνονος·
ἡ 'ν Αὐλίδι σφαγεῖσ' ἐπιστέλλει τάδε
ζῶσ' Ἰφιγένεια, τοῖς ἐκεῖ δ' οὐ ζῶσ' ἔτι.

*ΟΡΕΣΤΗΣ.*

ποῦ δ' ἔστ' ἐκείνη; κατθανοῦσ' ἥκει πάλιν;

*ΙΦΙΓΕΝΕΙΑ.*

ἥδ' ἣν ὁρᾷς σύ· μὴ λόγοις ἔκπλησσέ με.
κόμισαί μ' ἐς Ἄργος, ὦ σύναιμε, πρὶν θανεῖν,
ἐκ βαρβάρου γῆς καὶ μετάστησον θεᾶς
σφαγίων, ἐφ' οἷσι ξενοφόνους τιμὰς ἔχω.

*ΟΡΕΣΤΗΣ.*

Πυλάδη, τί λέξω; ποῦ ποτ' ὄνθ' εὑρήμεθα;

ΙΦΙΓΕΝΕΙΑ.

ἢ σοῖς ἀραία δώμασιν γενήσομαι,
Ὀρέσθ᾽, ἵν᾽ αὖθις ὄνομα δὶς κλύων μάθῃς.

ΠΥΛΑΔΗΣ.

ὦ θεοί.

ΙΦΙΓΕΝΕΙΑ.

τί τοὺς θεοὺς ἀνακαλεῖς ἐν τοῖς ἐμοῖς;

ΠΥΛΑΔΗΣ.

οὐδέν· πέραινε δ᾽· ἐξέβην γὰρ ἄλλοσε.
τάχ᾽ οὖν ἐρωτῶν σ᾽ εἰς ἄπιστ᾽ ἀφίξομαι.

ΙΦΙΓΕΝΕΙΑ.

λέγ᾽ οὕνεκ᾽ ἔλαφον ἀντιδοῦσά μου θεὰ
Ἄρτεμις ἔσωσέ μ᾽, ἣν ἔθυσ᾽ ἐμὸς πατὴρ,
δοκῶν ἐς ἡμᾶς ὀξὺ φάσγανον βαλεῖν,
ἐς τήνδε δ᾽ ᾤκισ᾽ αἶαν. αἵδ᾽ ἐπιστολαὶ,
τάδ᾽ ἐστὶ τὰν δέλτοισιν ἐγγεγραμμένα.

ΠΥΛΑΔΗΣ.

ὦ ῥᾳδίοις ὅρκοισι περιβαλοῦσά με,
κάλλιστα δ᾽ ὀμόσασ᾽, οὐ πολὺν σχήσω χρόνον,
τὸν δ᾽ ὅρκον ὃν κατώμοσ᾽ ἐμπεδώσομεν.
ἰδοὺ, φέρω σοι δέλτον ἀποδίδωμί τε,
Ὀρέστα, τῆσδε σῆς κασιγνήτης πάρα.

ΟΡΕΣΤΗΣ.

δέχομαι· παρεὶς δὲ γραμμάτων διαπτυχὰς,
τὴν ἡδονὴν πρῶτ᾽ οὐ λόγοις αἱρήσομαι.
ὦ φιλτάτη μοι σύγγον᾽, ἐκπεπληγμένος
ὅμως σ᾽ ἀπίστῳ περιβαλὼν βραχίονι
ἐς τέρψιν εἶμι, πυθόμενος θαυμάστ᾽ ἐμοί.

ΧΟΡΟΣ.

ξεῖν᾽, οὐ δικαίως τῆς θεοῦ τὴν πρόσπολον
χραίνεις ἀθίκτοις περιβαλὼν πέπλοις χέρα.

ΟΡΕΣΤΗΣ.

ὦ συγκασιγνήτη τε κἀκ ταὐτοῦ πατρὸς
Ἀγαμέμνονος γεγῶσα, μή μ᾽ ἀποστρέφου,
ἔχουσ᾽ ἀδελφὸν, οὐ δοκοῦσ᾽ ἕξειν ποτέ.

ΙΦΙΓΕΝΕΙΑ.

ἐγώ σ᾽ ἀδελφὸν τὸν ἐμόν; οὐ παύσει λέγων;
τὸ δ᾽ Ἄργος αὐτοῦ μεστὸν ἥ τε Ναυπλία.

ΟΡΕΣΤΗΣ.

οὐκ ἔστ᾽ ἐκεῖ σὸς, ὦ τάλαινα, σύγγονος.

ΙΦΙΓΕΝΕΙΑ.

ἀλλ᾽ ἡ Λάκαινα Τυνδαρίς σ᾽ ἐγείνατο;

ΟΡΕΣΤΗΣ.

Πέλοπός γε παιδὶ παιδὸς, οὗ ᾽κπέφυκ᾽ ἐγώ.

ΙΦΙΓΕΝΕΙΑ.

τί φῄς; ἔχεις τι τῶνδέ μοι τεκμήριον;

ΟΡΕΣΤΗΣ.

ἔχω· πατρῴων ἐκ δόμων τι πυνθάνου.

ΙΦΙΓΕΝΕΙΑ.

οὐκοῦν λέγειν μὲν χρὴ σὲ, μανθάνειν δ᾽ ἐμέ.

ΟΡΕΣΤΗΣ.

λέγοιμ᾽ ἂν ἀκοῇ πρῶτον Ἠλέκτρας τάδε·
Ἀτρέως Θυέστου τ᾽ οἶσθα γενομένην ἔριν;

ΙΦΙΓΕΝΕΙΑ.

ἤκουσα, χρυσῆς ἀρνὸς ἡνίκ᾽ ἦν πέρι.

ΟΡΕΣΤΗΣ.

ταῦτ᾽ οὖν ὑφήνασ᾽ οἶσθ᾽ ἐν εὐπήνοις ὑφαῖς;

ΙΦΙΓΕΝΕΙΑ.

ὦ φίλτατ᾽, ἐγγὺς τῶν ἐμῶν κάμπτει φρενῶν.

ΟΡΕΣΤΗΣ.

εἰκώ τ᾽ ἐν ἱστοῖς, ἡλίου μετάστασιν;

ΙΦΙΓΕΝΕΙΑ.

ὕφηνα καὶ τόδ᾽ εἶδος εὐμίτοις πλοκαῖς.

ΟΡΕΣΤΗΣ.

καὶ λούτρ᾽ ἐς Αὖλιν μητρὸς ἀνεδέξω πάρα;

ΙΦΙΓΕΝΕΙΑ.

οἶδ᾽· οὐ γὰρ ὁ γάμος ἐσθλὸς ὢν μ᾽ ἀφείλετο.

ΟΡΕΣΤΗΣ.

τί γάρ; κόμας σὰς μητρὶ δοῦσα σῇ φέρειν;

ΙΦΙΓΕΝΕΙΑ.

μνημεῖά γ᾽ ἀντὶ σώματος τοὐμοῦ τάφῳ.

ΟΡΕΣΤΗΣ.

ἃ δ᾽ εἶδον αὐτὸς, τάδε φράσω τεκμήρια·
Πέλοπος παλαιὰν ἐν δόμοις λόγχην πατρὸς,
ἣν χερσὶ πάλλων παρθένον Πισάτιδα
ἐκτήσαθ᾽ Ἱπποδάμειαν, Οἰνόμαον κτανὼν,
ἐν παρθενῶσι τοῖσι σοῖς κεκρυμμένην.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ φίλτατ᾽, οὐδὲν ἄλλο, φίλτατος γὰρ εἶ,
ἔχω σ᾽, Ὀρέστα, τηλύγετον χθονὸς ἀπὸ πατρῴ
Ἀργόθεν, ὦ φίλος.

ΟΡΕΣΤΗΣ.

κἀγώ σε τὴν θανοῦσαν, ὡς δοξάζεται.
κατὰ δὲ δάκρυ᾽ ἀδάκρυα, κατὰ δὲ γόος ἅμα χα
τὸ σὸν νοτίζει βλέφαρον, ὡσαύτως δ᾽ ἐμόν.

ΙΦΙΓΕΝΕΙΑ.

τόδ᾽ ἔτι τόδ᾽ ἔτι βρέφος
ἔλιπον ἀγκάλαισι νεαρὸν τροφοῦ
νεαρὸν ἐν δόμοις.
ὦ κρεῖσσον ἢ λόγοισιν εὐτυχῶν [ἐμοῦ] τύχα·
τί φῶ; θαυμάτων πέρα καὶ λόγου
πρόσω τάδ᾽ ἀπέβα.

ΟΡΕΣΤΗΣ.

τὸ λοιπὸν εὐτυχοῖμεν ἀλλήλων μέτα.

ΙΦΙΓΕΝΕΙΑ.

ἄτοπον ἡδονὰν ἔλαβον, ὦ φίλαι·
δέδοικα δ᾽ ἐκ χερῶν με μὴ πρὸς αἰθέρα
ἀμπτάμενος φύγῃ·
ὦ Κυκλωπίδες ἑστίαι, ὦ πατρὶς,
Μυκήνα φίλα,
χάριν ἔχω ζόας, χάριν ἔχω τροφᾶς,
ὅτι μοι συνομαίμονα τόνδε δόμοις
ἐξεθρέψω φάος.

ΟΡΕΣΤΗΣ.

γένει μὲν εὐτυχοῦμεν, ἐς δὲ συμφορὰς,
ὦ σύγγον᾽, ἡμῶν δυστυχὴς ἔφυ βίος.

ΙΦΙΓΕΝΕΙΑ.

ἐγὼ δ᾽ ἁ μέλεος οἶδ᾽, ὅτε φάσγανον
δέρᾳ θῆκέ μοι μελεόφρων πατήρ.

ΟΡΕΣΤΗΣ.

οἴμοι. δοκῶ γὰρ οὐ παρών σ᾽ ὁρᾶν ἐκεῖ.

ΙΦΙΓΕΝΕΙΑ.

ἀνυμέναιος, ὦ σύγγον᾽, Ἀχιλλέως
εἰς κλισίαν λέκτρων
δολίαν ὅτ᾽ ἀγόμαν·
παρὰ δὲ βωμὸν ἦν δάκρυα καὶ γόοι.
φεῦ φεῦ χερνίβων τῶν ἐκεῖ.

ΟΡΕΣΤΗΣ.

ᾤμωξα κἀγὼ τόλμαν ἣν ἔτλη πατήρ.

ΙΦΙΓΕΝΕΙΑ.
ἀπάτορ' ἀπάτορα πότμον ἔλαχον.
ἄλλα δ' ἐξ ἄλλων κυρεῖ.

ΟΡΕΣΤΗΣ.
εἰ σόν γ' ἀδελφὸν, ὦ τάλαιν', ἀπώλεσας
δαίμονος τύχα τινός.

ΙΦΙΓΕΝΕΙΑ.
ὦ μελέα δεινᾶς τόλμας. δείν' ἔτλαν
δείν' ἔτλαν, ὤμοι σύγγονε.
παρὰ δ' ὀλίγον ἀπέφυγες ὄλεθρον ἀνόσιον
ἐξ ἐμᾶν δαϊχθεὶς χερῶν.
ἁ δ' ἐπ' αὐτοῖς τίς τελευτά;
τίς τύχα μοι συγκυρήσει;
τίνα σοι πόρον εὑρομένα
πάλιν ἀπὸ πόλεως, ἀπὸ φόνου πέμψω
πατρίδ' ἐς Ἀργείαν,
πρὶν ἐπὶ ξίφος αἵματι σῷ
παλαῖσαι; τόδε σὸν, ὦ μελέα ψυχὰ,
χρέος ἀνευρίσκειν,
πότερον κατὰ χέρσον, οὐχὶ ναΐ,
ἀλλὰ ποδῶν ῥιπᾷ
θανάτῳ πελάσεις ἄρα βάρβαρα φῦλα
καὶ δι' ὁδοὺς ἀνόδους στείχων; διὰ κυανέας μὴν
στενοπόρου πέτρας
μακρὰ κέλευθα ναΐοισιν δρασμοῖς.
τάλαινα τάλαινα.
τίς ἂν οὖν τάδ' ἂν ἢ θεὸς ἢ βροτὸς ἢ
τι τῶν ἀδοκήτων
πόρον ἄπορον ἐξανύσας
δυοῖν τοῖν μόνοιν Ἀτρείδαιν φανεῖ
κακῶν ἔκλυσιν;

ΧΟΡΟΣ.
ἐν τοῖσι θαυμαστοῖσι καὶ μύθων πέρα
τάδ' εἶδον αὐτὴ κοὐ κλύουσ' ἀπαγγελῶ.

ΠΥΛΑΔΗΣ.
τὸ μὲν φίλους ἐλθόντας εἰς ὄψιν φίλων,
Ὀρέστα, χειρῶν περιβολὰς εἰκὸς λαβεῖν·
λήξαντα δ' οἴκτων κἀπ' ἐκεῖν' ἐλθεῖν χρεὼν,
ὅπως τὸ κλεινὸν ὄνομα τῆς σωτηρίας
λαβόντες ἐκ γῆς βησόμεσθα βαρβάρου.
σοφῶν γὰρ ἀνδρῶν ταῦτα, μὴ 'κβάντας τύχης,
καιρὸν λαβόντας, ἡδονὰς ἄλλας λαβεῖν.

ΟΡΕΣΤΗΣ.
καλῶς ἔλεξας· τῇ τύχῃ δ' οἶμαι μέλειν
τοῦδε ξὺν ἡμῖν· ἢν δέ τις πρόθυμος ᾖ,
σθένειν τὸ θεῖον μᾶλλον εἰκότως ἔχει.

ΙΦΙΓΕΝΕΙΑ.
οὐδέν μ' ἐπίσχει γ' οὐδ' ἀποστήσει λόγου
πρῶτον πυθέσθαι τίνα ποτ' Ἠλέκτρα πότμον
εἴληχε βιότου· φίλα γὰρ ἔσται πάντ' ἐμοί.

ΟΡΕΣΤΗΣ.
τῷδε ξυνοικεῖ βίον ἔχουσ' εὐδαίμονα.

ΙΦΙΓΕΝΕΙΑ.
οὗτος δὲ ποδαπὸς, καὶ τίνος πέφυκε παῖς;

ΟΡΕΣΤΗΣ.
Στρόφιος ὁ Φωκεὺς τοῦδε κλῄζεται πατήρ.

ΙΦΙΓΕΝΕΙΑ.
ὁ δ' ἐστί γ' Ἀτρέως θυγατρὸς, ὁμογενὴς ἐμός;

ΟΡΕΣΤΗΣ.
ἀνεψιός γε, μόνος ἐμοὶ σαφὴς φίλος.

ΙΦΙΓΕΝΕΙΑ.
οὐκ ἦν τόθ' οὗτος ὅτε πατὴρ ἔκτεινέ με.

ΟΡΕΣΤΗΣ.
οὐκ ἦν· χρόνον γὰρ Στρόφιος ἦν ἄπαις τινά.

ΙΦΙΓΕΝΕΙΑ.
χαῖρ' ὦ πόσις μοι τῆς ἐμῆς ὁμοσπόρου.

ΟΡΕΣΤΗΣ.
κἀμός γε σωτὴρ, οὐχὶ συγγενὴς μόνον.

ΙΦΙΓΕΝΕΙΑ.
τὰ δεινὰ δ' ἔργα πῶς ἔτλης μητρὸς πέρι;

ΟΡΕΣΤΗΣ.
σιγῶμεν αὐτά· πατρὶ τιμωρῶν ἐμῷ.

ΙΦΙΓΕΝΕΙΑ.
ἡ δ' αἰτία τίς ἀνθ' ὅτου κτείνει πόσιν;

ΟΡΕΣΤΗΣ.
ἔα τὰ μητρός· οὐδὲ σοὶ κλύειν καλόν.

ΙΦΙΓΕΝΕΙΑ.
σιγῶ· τὸ δ' Ἄργος πρὸς σὲ νῦν ἀποβλέπει;

ΟΡΕΣΤΗΣ.
Μενέλαος ἄρχει· φυγάδες ἐσμὲν ἐκ πάτρας.

ΙΦΙΓΕΝΕΙΑ.
ἦ που νοσοῦντας θεῖος ὕβρισεν δόμους;

ΟΡΕΣΤΗΣ.
οὔκ, ἀλλ' Ἐρινύων δεῖμά μ' ἐκβάλλει χθονός.

ΙΦΙΓΕΝΕΙΑ.
ταῦτ' ἄρ' ἐπ' ἀκταῖς κἀνθάδ' ἠγγέλθης μανείς.

ΟΡΕΣΤΗΣ.
ὤφθημεν οὐ νῦν πρῶτον ὄντες ἄθλιοι.

ΙΦΙΓΕΝΕΙΑ.
ἔγνωκα, μητρός σ' οὕνεκ' ἠλάστρουν θεαί.

ΟΡΕΣΤΗΣ.
ὥσθ' αἱματηρὰ στόμι' ἐπεμβαλεῖν ἐμοί.

ΙΦΙΓΕΝΕΙΑ.
τί γάρ ποτ' ἐς γῆν τήνδ' ἐπόρθμευσας πόδα;

ΟΡΕΣΤΗΣ.
Φοίβου κελευσθεὶς θεσφάτοις ἀφικόμην.

ΙΦΙΓΕΝΕΙΑ.
τί χρῆμα δρᾶσαι; ῥητὸν ἢ σιγώμενον;

ΟΡΕΣΤΗΣ.
λέγοιμ' ἄν· ἀρχαὶ δ' αἵδε μοι πολλῶν πόνων.
ἐπεὶ τὰ μητρὸς ταῦθ' ἃ σιγῶμεν κακὰ
ἐς χεῖρας ἦλθε, μεταδρομαῖς Ἐρινύων
ἠλαυνόμεσθα φυγάδες, ἔνθεν μοι πόδα
ἐς τὰς Ἀθήνας * ἔπεμπε Λοξίας,
δίκην παρασχεῖν ταῖς ἀνωνύμοις θεαῖς.
ἔστιν γὰρ ὁσία ψῆφος, ἣν Ἄρει ποτὲ
Ζεὺς εἵσατ' ἔκ του δὴ χερῶν μιάσματος.
ἐλθὼν δ' ἐκεῖσε, πρῶτα μέν μ' οὐδεὶς ξένων
ἑκὼν ἐδέξαθ', ὡς θεοῖς στυγούμενον·
οἳ δ' ἔσχον αἰδῶ, ξένια μονοτράπεζά μοι
παρέσχον, οἴκων ὄντες ἐν ταὐτῷ στέγει,
σιγῇ δ' ἐτεκτήναντ' ἀπόφθεγκτόν μ', ὅπως
δαιτός γενοίμην πώματός τ' αὐτῶν δίχα,
ἐς δ' ἄγγος ἴδιον ἴσον ἅπασι βακχίου
μέτρημα πληρώσαντες εἶχον ἡδονήν.
κἀγὼ 'ξελέγξαι μὲν ξένους οὐκ ἠξίουν,
ἤλγουν δὲ σιγῇ κἀδόκουν οὐκ εἰδέναι,
μέγα στενάζων, οὕνεκ' ἦν μητρὸς φονεύς.

*κλύω δ' Ἀθηναίοισι τἀμὰ δυστυχῆ*
*τελετὴν γενέσθαι, κἄτι τὸν νόμον μένειν,*
*χοῆρες ἄγγος Παλλάδος τιμᾶν λεών.*
*ὡς δ' εἰς Ἄρειον ὄχθον ἧκον ἐς δίκην τ'*
*ἔστην, ἐγὼ μὲν θάτερον λαβὼν βάθρον,*
*τὸ δ' ἄλλο πρέσβειρ' ἥπερ ἦν Ἐρινύων,*
*εἰπὼν ἀκούσας θ' αἵματος μητρὸς πέρι,*
*Φοῖβός μ' ἔσωσε μαρτυρῶν· ἴσας δέ μοι*
*ψήφους διηρίθμησε Παλλὰς ὠλένῃ,*
*νικῶν δ' ἀπῆρα φόνια πειρατήρια.*
*ὅσαι μὲν οὖν ἕζοντο πεισθεῖσαι δίκῃ,*
*ψῆφον παρ' αὐτὴν ἱρὸν ὡρίσαντ' ἔχειν·*
*ὅσαι δ' Ἐρινύων οὐκ ἐπείσθησαν νόμῳ,*
*δρόμοις ἀνιδρύτοισιν ἠλάστρουν μ' ἀεί,*
*ἕως ἐς ἁγνὸν ἦλθον αὖ Φοίβου πέδον,*
*καὶ πρόσθεν ἀδύτων ἐκταθεὶς, νῆστις βορᾶς,*
*ἐπώμοσ' αὐτοῦ βίον ἀπορρήξειν θανὼν,*
*εἰ μή με σώσει Φοῖβος, ὅς μ' ἀπώλεσεν.*
*ἐντεῦθεν αὐδὴν τρίποδος ἐκ χρυσοῦ λακὼν*
*Φοῖβός μ' ἔπεμψε δεῦρο, διοπετὲς λαβεῖν*
*ἄγαλμ' Ἀθηνῶν τ' ἐγκαθιδρῦσαι χθονί.*
*ἀλλ' ἥνπερ ἡμῖν ὥρισεν σωτηρίαν,*
*σύμπραξον· ἢν γὰρ θεᾶς κατάσχωμεν βρέτας,*
*μανιῶν τε λήξω καὶ σὲ πολυκώπῳ σκάφει*
*στείλας Μυκήναις ἐγκαταστήσω πάλιν.*
*ἀλλ', ὦ φιληθεῖσ', ὦ κασίγνητον κάρα,*
*σῶσον πατρῷον οἶκον, ἔκσωσον δ' ἐμέ·*
*ὡς τἄμ' ὄλωλε πάντα καὶ τὰ Πελοπιδῶν,*
*οὐράνιον εἰ μὴ ληψόμεσθα θεᾶς βρέτας.*

*ΧΟΡΟΣ.*

*δεινή τις ὀργὴ δαιμόνων ἐπέζεσε*
*τὸ Ταντάλειον σπέρμα διὰ πόνων τ' ἄγει.*

*ΙΦΙΓΕΝΕΙΑ.*

*τὸ μὲν πρόθυμον πρίν σε δεῦρ' ἐλθεῖν ἔχω*
*Ἄργει γενέσθαι καὶ σὲ, σύγγον', εἰσιδεῖν.*
*θέλω δ' ἅπερ σὺ, σέ τε μεταστῆσαι πόνων*
*νοσοῦντά τ' οἶκον, οὐχὶ τῷ κτανόντι με*
*θυμουμένη, πατρῷον ὀρθῶσαι θέλω·*
*σφαγῆς τε γὰρ σῆς χεῖρ' ἀπαλλάξαιμεν ἂν*
*σώσαιμί τ' οἴκους· τὴν θεὸν δ' ὅπως λάθω*
*δέδοικα καὶ τύραννον, ἡνίκ' ἂν κενὰς*
*κρηπῖδας εὕρῃ λαΐνας ἀγάλματος.*
*πῶς δ' οὐ θανοῦμαι; τίς δ' ἔνεστί μοι λόγος;*
*ἀλλ' εἰ μὲν ἕν τι τοῦθ' ὁμοῦ γενήσεται,*
*ἄγαλμά τ' οἴσεις κἄμ' ἐπ' εὐπρύμνου νεὼς*
*ἄξεις, τὸ κινδύνευμα γίγνεται καλόν·*
*τούτου δὲ χωρισθεῖσ' ἐγὼ μὲν ὄλλυμαι,*
*σὺ δ' ἂν τὸ σαυτοῦ θέμενος εὖ νόστου τύχοις.*
*οὐ μήν τι φεύγω γ' οὐδέ μ' εἰ θανεῖν χρεὼν,*
*σώσασα σ'· οὐ γὰρ ἀλλ' ἀνὴρ μὲν ἐκ δόμων*
*θανὼν ποθεινὸς, τὰ δὲ γυναικὸς ἀσθενῆ.*

*ΟΡΕΣΤΗΣ.*

*οὐκ ἂν γενοίμην σοῦ τε καὶ μητρὸς φονεὺς,*
*ἅλις τὸ κείνης αἷμα, κοινόφρων δὲ σοὶ*
*καὶ ζῆν θέλοιμ' ἂν καὶ θανὼν λαχεῖν ἴσον.*
*[ἥξω δέ γ', ἥνπερ καὐτὸς ἐνταυθοῖ πέσω,*
*πρὸς οἶκον, ἢ σοῦ κατθανὼν μενῶ μέτα.]*
*γνώμης δ' ἄκουσον· εἰ πρόσαντες ἦν τόδε*
*Ἀρτέμιδι, πῶς ἂν Λοξίας ἐθέσπισε*
*κομίσαι μ' ἄγαλμα θεᾶς πόλισμ' ἐς Παλλάδος*
*καὶ σὸν πρόσωπον εἰσιδεῖν; ἅπαντα γὰρ*
*συνθεὶς τάδ' εἰς ἓν νόστον ἐλπίζω λαβεῖν.*

*ΙΦΙΓΕΝΕΙΑ.*

*πῶς οὖν γένοιτ' ἂν ὥστε μήθ' ἡμᾶς θανεῖν,*
*λαβεῖν θ' ἃ βουλόμεσθα; τῇδε γὰρ νοσεῖ*
*νόστος πρὸς οἴκους· ἡ δὲ βούλησις πάρα.*

*ΟΡΕΣΤΗΣ.*

*ἆρ' ἂν τύραννον διολέσαι δυναίμεθ' ἄν;*

*ΙΦΙΓΕΝΕΙΑ.*

*δεινὸν τόδ' εἶπας, ξενοφονεῖν ἐπήλυδας.*

*ΟΡΕΣΤΗΣ.*

*ἀλλ' εἰ σὲ σώσει κἀμὲ, κινδυνευτέον.*

*ΙΦΙΓΕΝΕΙΑ.*

*οὐκ ἂν δυναίμην, τὸ δὲ πρόθυμον ᾔνεσα.*

*ΟΡΕΣΤΗΣ.*

*τί δ', εἴ με ναῷ τῷδε κρύψειας λάθρα;*

*ΙΦΙΓΕΝΕΙΑ.*

*ὡς δὴ σκότος λαβόντες ἐκσωθεῖμεν ἄν;*

*ΟΡΕΣΤΗΣ.*

*κλεπτῶν γὰρ ἡ νὺξ, τῆς δ' ἀληθείας τὸ φῶς.*

*ΙΦΙΓΕΝΕΙΑ.*

*εἴσ' ἔνδον ἱροὶ φύλακες, οὓς οὐ λήσομεν.*

*ΟΡΕΣΤΗΣ.*

*οἴμοι· διεφθάρμεσθα· πῶς σωθεῖμεν ἄν;*

*ΙΦΙΓΕΝΕΙΑ.*

*ἔχειν δοκῶ μοι καινὸν ἐξεύρημά τι.*

*ΟΡΕΣΤΗΣ.*

*ποῖόν τι; δόξης μετάδος, ὡς κἀγὼ μάθω.*

*ΙΦΙΓΕΝΕΙΑ.*

*ταῖς σαῖς ἀνίαις χρήσομαι σοφίσμασιν.*

*ΟΡΕΣΤΗΣ.*

*δειναὶ γὰρ αἱ γυναῖκες εὑρίσκειν τέχνας.*

*ΙΦΙΓΕΝΕΙΑ.*

*φονέα σε φήσω μητρὸς ἐξ Ἄργους μολεῖν.*

*ΟΡΕΣΤΗΣ.*

*χρῆσαι κακοῖσι τοῖς ἐμοῖς, εἰ κερδανεῖς.*

*ΙΦΙΓΕΝΕΙΑ.*

*ὡς οὐ θέμις σε λέξομεν θύειν θεᾷ.*

*ΟΡΕΣΤΗΣ.*

*τίν' αἰτίαν ἔχουσ'; ὑποπτεύω τι γάρ.*

*ΙΦΙΓΕΝΕΙΑ.*

*οὐ καθαρὸν ὄντα, τὸ δ' ὅσιον δώσω φόνῳ.*

*ΟΡΕΣΤΗΣ.*

*τί δῆτα μᾶλλον θεᾶς ἄγαλμ' ἁλίσκεται;*

*ΙΦΙΓΕΝΕΙΑ.*

*πόντου σε πηγαῖς ἁγνίσαι βουλήσομαι.*

*ΟΡΕΣΤΗΣ.*

*ἔτ' ἐν δόμοισι βρέτας, ἐφ' ᾧ πεπλεύκαμεν.*

ΙΦΙΓΕΝΕΙΑ.
κἀκεῖνο νίψαι, σοῦ θιγόντος ὡς, ἐρῶ.
ΟΡΕΣΤΗΣ.
ποῖ δῆτα πόντου νοτερὸν εἶπας ἔκβολον;
ΙΦΙΓΕΝΕΙΑ.
οὗ ναῦς χαλινοῖς λινοδέτοις ὁρμεῖ σέθεν.
ΟΡΕΣΤΗΣ.
σὺ δ' ἢ τις ἄλλος ἐν χεροῖν οἴσει βρέτας;
ΙΦΙΓΕΝΕΙΑ.
ἐγώ· θιγεῖν γὰρ ὅσιόν ἐστ' ἐμοὶ μόνῃ.
ΟΡΕΣΤΗΣ.
Πυλάδης δ' ὅδ' ἡμῖν ποῦ τετάξεται πόνου;
ΙΦΙΓΕΝΕΙΑ.
ταὐτὸν χεροῖν σοὶ λέξεται μίασμ' ἔχων.
ΟΡΕΣΤΗΣ.
λάθρα δ' ἄνακτος ἢ εἰδότος δράσεις τάδε;
ΙΦΙΓΕΝΕΙΑ.
πείσασα μύθοις· οὐ γὰρ ἂν λάθοιμί γε.
ΟΡΕΣΤΗΣ.
καὶ μὴν νεώς γε πίτυλος εὐήρης πάρα.
ΙΦΙΓΕΝΕΙΑ.
σοὶ δὴ μέλειν χρὴ τἄλλ' ὅπως ἕξει καλῶς.
ΟΡΕΣΤΗΣ.
ἑνὸς μόνου δεῖ, τάσδε συγκρύψαι τάδε.
ἀλλ' ἀντίαζε καὶ λόγους πειστηρίους
εὕρισκ'· ἔχει τοι δύναμιν εἰς οἶκτον γυνή.
τὰ δ' ἄλλ' ἴσως ἂν πάντα συμβαίη καλῶς.
ΙΦΙΓΕΝΕΙΑ.
ὦ φίλταται γυναῖκες, ὡς ὑμᾶς βλέπω,
καὶ τἄμ' ἐν ὑμῖν ἐστιν ἢ καλῶς ἔχειν
ἢ μηδὲν εἶναι καὶ στερηθῆναι πάτρας
φίλου τ' ἀδελφοῦ φιλτάτης τε συγγόνου.
καὶ πρῶτα μέν μοι τοῦ λόγου τάδ' ἀρχέτω·
γυναῖκές ἐσμεν, φιλόφρον ἀλλήλων γένος,
σῴζειν τε κοινὰ πράγματ' ἀσφαλέσταται.
σιγήσαθ' ἡμῖν καὶ συνεκπονήσατε
φυγάς. καλόν τοι γλῶσσ' ὅτῳ πίστις παρῇ.
ὁρᾶτε δ' ὡς τρεῖς μία τύχη τοὺς φιλτάτους
ἢ γῆς πατρῴας νόστος ἢ θανεῖν ἔχει.
σωθεῖσα δ', ὡς ἂν καὶ σὺ κοινωνῇς τύχης,
σώσω σ' ἐς Ἑλλάδ'. ἀλλὰ πρός σε δεξιᾶς,
σὲ καὶ σ' ἱκνοῦμαι, σὲ δὲ φίλης παρηΐδος
γονάτων τε καὶ τῶν ἐν δόμοισι φιλτάτων,
μητρὸς πατρός τε καὶ τέκνων, ὅτῳ κυρεῖ.
τί φατέ; τίς ὑμῶν φησιν, ἢ τίς οὐ θέλει,
φθέγξασθε, ταῦτα. μὴ γὰρ αἰνουσῶν λόγους
ὄλωλα κἀγὼ καὶ κασίγνητος τάλας.
ΧΟΡΟΣ.
θάρσει, φίλη δέσποινα, καὶ σῴζου μόνον·
ὡς ἔκ γ' ἐμοῦ σοι πάντα σιγηθήσεται,
ἴστω μέγας Ζεύς, ὧν ἐπισκήπτεις πέρι.
ΙΦΙΓΕΝΕΙΑ.
ὄναισθε μύθων καὶ γένοισθ' εὐδαίμονες.
σὸν ἔργον ἤδη καὶ σὸν ἐσβαίνειν δόμους·
ὡς αὐτίχ' ἥξει τῆσδε κοίρανος χθονός,
θυσίαν ἐλέγχων, εἰ κατείργασται, ξένων.
ὦ πότνι', ἥπερ μ' Αὐλίδος κατὰ πτύχας
δεινῆς ἔσωσας ἐκ πατροκτόνου χερός,
σῶσόν με καὶ νῦν τούσδε τ'· ἢ τὸ Λοξίου
οὐκέτι βροτοῖσι διὰ σ' ἐτήτυμον στόμα.
ἀλλ' εὐμενὴς ἔκβηθι βαρβάρου χθονὸς
ἐς τὰς Ἀθήνας· καὶ γὰρ ἐνθάδ' οὐ πρέπει
ναίειν, παρόν σοι πόλιν ἔχειν εὐδαίμονα.
ΧΟΡΟΣ.
ὄρνις, ἃ παρὰ τὰς πετρίνας
πόντου δειράδας, ἀλκυών,
ἔλεγον οἶτον ἀείδεις,
εὐξύνετον ξυνετοῖσι βοάν,
ὅτι πόσιν κελαδεῖς ἀεὶ μολπαῖς,
ἐγώ σοι παραβάλλομαι
θρήνους, ἄπτερος ὄρνις,
ποθοῦσ' Ἑλλάνων ἀγόρους,
ποθοῦσ' Ἄρτεμιν λοχίαν,
ἃ παρὰ Κύνθιον ὄχθον οἰκεῖ
φοίνικά θ' ἁβροκόμαν
δάφναν τ' εὐερνέα καὶ
γλαυκᾶς θαλλὸν ἱρὸν ἐλαί-
ας, Λατοῦς ὠδῖνα φίλαν,
λίμναν θ' εἱλίσσουσαν ὕδωρ
κύκλιον, ἔνθα κύκνος μελῳ-
δὸς Μούσας θεραπεύει.
ὦ πολλαὶ δακρύων λιβάδες,
αἳ παρηΐδας εἰς ἐμὰς
ἔπεσον, ἀνίκα πύργων
ὀλλυμένων ἐνὶ ναυσὶν ἔβαν
πολεμίων ἐρετμοῖσι καὶ λόγχαις.
ζαχρύσου δὲ δι' ἐμπολᾶς
νόστον βάρβαρον ἦλθον,
ἔνθα τᾶς ἐλαφοκτόνου
θεᾶς ἀμφίπολον κούραν
παῖδ' Ἀγαμεμνονίαν λατρεύω
βωμούς τε μηλοθύτας,
ζηλοῦσ' ἄταν διὰ παν-
τὸς δυσδαίμον'· ἐν γὰρ ἀνάγ-
καις οὐ κάμνει σύντροφος ὤν.
μεταβάλλει δυσδαιμονία·
τὸ δὲ μετ' εὐτυχίας κακοῦ-
σθαι θνατοῖς βαρὺς αἰών.
καὶ σὲ μέν, πότνι', Ἀργεία
πεντηκόντορος οἶκον ἄξει·
συρίζων δ' ὁ κηροδέτας
κάλαμος οὐρείου Πανὸς
κώπαις ἐπιθωΰξει,
ὁ Φοῖβός θ' ὁ μάντις ἔχων
κέλαδον ἑπτατόνου λύρας
ἀείδων ἄξει λιπαρὰν
εὖ σ' Ἀθηναίων ἐπὶ γᾶν.
ἐμὲ δ' αὐτοῦ * λιποῦ-
σα βήσει ῥοθίοις πλάταις·
ἀέρι δὲ πρότονοι κατὰ πρῷραν ὑπὲρ στόλον ἐκ-
πετάσουσι πόδα

1089—1105. = 1106—1122.
1124—1136. = 1137—1151.

ναὸς ὠκυπόμπου.
λαμπρὸν ἱππόδρομον βαίην,
ἔνθ' εὐάλιον ἔρχεται πῦρ·
οἰκείων δ' ὑπὲρ θαλάμων
πτέρυγας ἐν νώτοις ἁμοῖς
λήξαιμι θοάζουσα.
χοροῖς δὲ σταίην, ὅθι καὶ
παρθένος εὐδοκίμων γάμων,
παρὰ πόδ' εἱλίσσουσα φίλας
ματρὸς ἡλίκων θιάσους.
ἐς ἁμίλλας χαρίτων,
χαίτας ἁβρόπλουτον ἐς ἔριν
ὀρνυμένα, πολυποίκιλα φάρεα καὶ πλοκάμους
περιβαλλομένα
γένυσιν ἐσκίαζον.

ΘΟΑΣ.

ποῦ 'σθ' ἡ πυλωρὸς τῶνδε δωμάτων γυνὴ
Ἑλληνίς; ἤδη τῶν ξένων κατήρξατο,
ἀδύτοις τ' ἐν ἁγνοῖς σῶμα λάμπονται πυρί;

ΧΟΡΟΣ.

ἥδ' ἐστὶν, ἥ σοι πάντ', ἄναξ, ἐρεῖ σαφῶς.

ΘΟΑΣ.

ἔα·
τί τόδε μεταίρεις ἐξ ἀκινήτων βάθρων,
Ἀγαμέμνονος παῖ, θεᾶς ἄγαλμ' ἐν ὠλέναις;

ΙΦΙΓΕΝΕΙΑ.

ἄναξ, ἔχ' αὐτοῦ πόδα σὸν ἐν παραστάσιν.

ΘΟΑΣ.

τί δ' ἔστιν, Ἰφιγένεια, καινὸν ἐν δόμοις;

ΙΦΙΓΕΝΕΙΑ.

ἀπέπτυσ'· ὁσίᾳ γὰρ δίδωμ' ἔπος τόδε.

ΘΟΑΣ.

τί φροιμιάζει νεοχμὸν, ἐξαύδα σαφῶς.

ΙΦΙΓΕΝΕΙΑ.

οὐ καθαρά μοι τὰ θύματ' ἠγρεύσασθ', ἄναξ.

ΘΟΑΣ.

τί τοὐκδιδάξαν τοῦτό σ'; ἢ δόξαν λέγεις;

ΙΦΙΓΕΝΕΙΑ.

βρέτας τὸ τῆς θεοῦ πάλιν ἕδρας ἀπεστράφη.

ΘΟΑΣ.

αὐτόματον, ἤ νιν σεισμὸς ἔστρεψε χθονός;

ΙΦΙΓΕΝΕΙΑ.

αὐτόματον· ὄψιν δ' ὀμμάτων ξυνήρμοσεν.

ΘΟΑΣ.

ἡ δ' αἰτία τίς; ἢ τὸ τῶν ξένων μύσος;

ΙΦΙΓΕΝΕΙΑ.

ἥδ', οὐδὲν ἄλλο· δεινὰ γὰρ δεδράκατον.

ΘΟΑΣ.

ἀλλ' ἦ τιν' ἔκανον βαρβάρων ἀκτῆς ἔπι;

ΙΦΙΓΕΝΕΙΑ.

οἰκεῖον ἦλθον τὸν φόνον κεκτημένοι.

ΘΟΑΣ.

τίν'; εἰς ἔρον γὰρ τοῦ μαθεῖν πεπτώκαμεν.

ΙΦΙΓΕΝΕΙΑ.

μητέρα κατειργάσαντο κοινωνῷ ξίφει.

ΘΟΑΣ.

Ἄπολλον, οὐδ' ἐν βαρβάροις [τόδ'] ἔτλη τις ἄν.

ΙΦΙΓΕΝΕΙΑ.

πάσης διωγμοῖς ἠλάθησαν Ἑλλάδος.

ΘΟΑΣ.

ἦ τῶνδ' ἕκατι δῆτ' ἄγαλμ' ἔξω φέρεις;

ΙΦΙΓΕΝΕΙΑ.

σεμνόν γ' ὑπ' αἰθέρ', ὡς μεταστήσω φόνου.

ΘΟΑΣ.

μίασμα δ' ἔγνως τοῖν ξένοιν ποίῳ τρόπῳ;

ΙΦΙΓΕΝΕΙΑ.

ἤλεγχον, ὡς θεᾶς βρέτας ἀπεστράφη πάλιν.

ΘΟΑΣ.

σοφήν σ' ἔθρεψεν Ἑλλὰς, ὡς ᾔσθου καλῶς.

ΙΦΙΓΕΝΕΙΑ.

καὶ νῦν καθεῖσαν δέλεαρ ἡδύ μοι φρενῶν.

ΘΟΑΣ.

τῶν Ἀργόθεν τι φίλτρον ἀγγέλλοντέ σοι;

ΙΦΙΓΕΝΕΙΑ.

τὸν μόνον Ὀρέστην ἐμὸν ἀδελφὸν εὐτυχεῖν.

ΘΟΑΣ.

ὡς δή σφε σώσαις ἡδοναῖς ἀγγελμάτων;

ΙΦΙΓΕΝΕΙΑ.

καὶ πατέρα γε ζῆν καὶ καλῶς πράσσειν ἐμόν.

ΘΟΑΣ.

σὺ δ' ἐς τὸ τῆς θεοῦ γ' ἐξένευσας εἰκότως.

ΙΦΙΓΕΝΕΙΑ.

πᾶσάν γε μισοῦσ' Ἑλλάδ', ἥ μ' ἀπώλεσεν.

ΘΟΑΣ.

τί δῆτα δρῶμεν, φράζε, τοῖν ξένοιν πέρι.

ΙΦΙΓΕΝΕΙΑ.

τὸν νόμον ἀνάγκη τὸν προκείμενον σέβειν.

ΘΟΑΣ.

οὐκοῦν ἐν ἔργῳ χέρνιβες ξίφος τε σόν;

ΙΦΙΓΕΝΕΙΑ.

ἁγνοῖς καθαρμοῖς πρῶτά νιν νίψαι θέλω.

ΘΟΑΣ.

πηγαῖσιν ὑδάτων ἢ θαλασσίᾳ δρόσῳ;

ΙΦΙΓΕΝΕΙΑ.

θάλασσα κλύζει πάντα τἀνθρώπων κακά.

ΘΟΑΣ.

ὁσιώτερον γοῦν τῇ θεῷ πέσοιεν ἄν.

ΙΦΙΓΕΝΕΙΑ.

καὶ τἀμά γ' οὕτω μᾶλλον ἂν καλῶς ἔχοι.

ΘΟΑΣ.
οὐκοῦν πρὸς αὐτὸν ναὸν ἐκπίπτει κλύδων.
ΙΦΙΓΕΝΕΙΑ.
ἐρημίας δεῖ· καὶ γὰρ ἄλλα δράσομεν.
ΘΟΑΣ.
ἄγ' ἔνθα χρῄζεις· οὐ φιλῶ τἄρρηθ' ὁρᾶν.
ΙΦΙΓΕΝΕΙΑ.
ἁγνιστέον μοι καὶ τὸ τῆς θεοῦ βρέτας.
ΘΟΑΣ.
εἴπερ γε κηλὶς ἔβαλέ νιν μητροκτόνος.
ΙΦΙΓΕΝΕΙΑ.
οὐ γάρ ποτ' ἄν νιν ἠράμην βάθρων ἄπο.
ΘΟΑΣ.
δίκαιος ηὐσέβεια καὶ προμηθία,
ὡς εἰκότως σε πᾶσα θαυμάζει πόλις.
ΙΦΙΓΕΝΕΙΑ.
οἶσθά νυν ἅ μοι γενέσθω;
ΘΟΑΣ.
σὸν τὸ σημαίνειν τόδε.
ΙΦΙΓΕΝΕΙΑ.
δεσμὰ τοῖς ξένοισι πρόσθες.
ΘΟΑΣ.
ποῖ δέ σ' ἐκφύγοιεν ἄν;
ΙΦΙΓΕΝΕΙΑ.
πιστὸν Ἑλλὰς οἶδεν οὐδέν.
ΘΟΑΣ.
ἴτ' ἐπὶ δεσμά, πρόσπολοι.
ΙΦΙΓΕΝΕΙΑ.
κἀκκομιζόντων γε δεῦρο τοὺς ξένους
ΘΟΑΣ.
ἔσται τάδε.
ΙΦΙΓΕΝΕΙΑ.
κρᾶτα κρύψαντες πέπλοισιν.
ΘΟΑΣ.
ἡλίου πρόσθεν φλογός;
ΙΦΙΓΕΝΕΙΑ.
σῶν τέ μοι σύμπεμπ' ὀπαδῶν.
ΘΟΑΣ.
οἵδ' ὁμαρτήσουσί σοι.
ΙΦΙΓΕΝΕΙΑ.
καὶ πόλει πέμψον τιν' ὅστις σημανεῖ
ΘΟΑΣ.
ποίας τύχας;
ΙΦΙΓΕΝΕΙΑ.
ἐν δόμοις μίμνειν ἅπαντας.
ΘΟΑΣ.
μὴ συναντῷεν φόνῳ;
ΙΦΙΓΕΝΕΙΑ.
μυσαρὰ γὰρ τὰ τοιάδ' ἐστί.
ΘΟΑΣ.
στεῖχε καὶ σήμαινε σύ
ΙΦΙΓΕΝΕΙΑ.
μηδέν' εἰς ὄψιν πελάζειν.
ΘΟΑΣ.
εὖ γε κηδεύεις πόλιν.
ΙΦΙΓΕΝΕΙΑ.
καὶ φίλων γ' οὓς δεῖ μάλιστα.
ΘΟΑΣ.
τοῦτ' ἔλεξας εἰς ἐμέ.
ΙΦΙΓΕΝΕΙΑ.
σὺ δὲ μένων αὐτοῦ πρὸ ναῶν τῇ θεῷ
ΘΟΑΣ.
τί χρῆμα δρῶ;
ΙΦΙΓΕΝΕΙΑ.
ἅγνισον πυρσῷ μέλαθρον.
ΘΟΑΣ.
καθαρὸν ὡς μόλῃς πάλιν;
ΙΦΙΓΕΝΕΙΑ.
ἡνίκ' ἂν δ' ἔξω περῶσιν οἱ ξένοι,
ΘΟΑΣ.
τί χρή με δρᾶν;
ΙΦΙΓΕΝΕΙΑ.
πέπλον ὀμμάτων προθέσθαι.
ΘΟΑΣ.
μὴ παλαμναῖον λάβω;
ΙΦΙΓΕΝΕΙΑ.
ἢν δ' ἄγαν δοκῶ χρονίζειν,
ΘΟΑΣ.
τοῦδ' ὅρος τίς ἐστί μοι;
ΙΦΙΓΕΝΕΙΑ.
θαυμάσῃς μηδέν.
ΘΟΑΣ.
τὰ τῆς θεοῦ πρᾶσσ' ἐπὶ σχολῆς καλῶς.
ΙΦΙΓΕΝΕΙΑ.
εἰ γὰρ ὡς θέλω καθαρμὸς ὅδε πέσοι.
ΘΟΑΣ.
συνεύχομαι.
ΙΦΙΓΕΝΕΙΑ.
τούσδ' ἄρ' ἐκβαίνοντας ἤδη δωμάτων ὁρῶ ξένους
καὶ θεᾶς κόσμους νεογνούς τ' ἄρνας, ὡς φόνῳ φόνον
μυσαρὸν ἐκνίψω, σέλας τε λαμπάδων τά τ' ἄλλ' ὅσα
προὐθέμην ἐγὼ ξένοισι καὶ θεᾷ καθάρσια.
ἐκποδὼν δ' αὐδῶ πολίταις τοῦδ' ἔχειν μιάσματος,
εἴ τις ἢ ναῶν πυλωρὸς χεῖρας ἁγνεύει θεοῖς,
ἢ γάμον στείχει συνάψων, ἢ τόκοις βαρύνεται,
φεύγετ', ἐξίστασθε, μή τῳ προσπέσῃ μύσος τόδε.
ὦ Διὸς Λητοῦς τ' ἄνασσα παρθέν', ἢν νίψω φόνον
τῶνδε καὶ θύσωμεν οὗ χρή, καθαρὸν οἰκήσεις δόμον,

εὐτυχεῖς δ' ἡμεῖς ἐσόμεθα. τἄλλα δ' οὐ λέγουσ' ὅμως
τοῖς τὰ πλείον' εἰδόσιν θεοῖς σοί τε σημαίνω, θεά.

ΧΟΡΟΣ.

εὔπαις ὁ Λατοῦς γόνος,
ὅν ποτε Δηλιὰς ἐν
καρποφόροις γυάλοις
Φοῖβον τὸν χρυσοκόμαν
ἐν κιθάρᾳ σοφὸν, ἅ τ' ἐπὶ τόξων
εὐστοχίᾳ γάνυται,
φέρεν ἶνιν ἀπὸ δειράδος εἰναλίας,
λοχεῖα κλεινὰ λιποῦσα
ἀστάκτων μάτηρ ὑδάτων,
τὰν βακχεύουσαν Διονύ-
σῳ Παρνάσιον κορυφὰν,
ὅθι ποικιλόνωτος οἰνωπὸς δράκων
σκιερᾷ κατάχαλκος εὐφύλλῳ δάφνᾳ,
γᾶς πελώριον τέρας, ἄμφεπε *
* μαντεῖον χθόνιον.
ἔτι μιν ἔτι βρέφος, ἔτι φίλας
ἐπὶ ματέρος ἀγκάλαισι θρώσκων
ἔκανες, ὦ Φοῖβε, μαντείων δ' ἐπέβας ζαθέων,
τρίποδί τ' ἐν χρυσέῳ θάσσεις, ἐν ἀψευδεῖ θρόνῳ,
μαντείας βροτοῖς
θεσφάτων νέμων
ἀδύτων ὕπο Κασταλίας ῥεέθρων
γείτων, μέσον γᾶς ἔχων μέλαθρον.
Θέμιν δ' ἐπεὶ γᾶς ἰὼν
παῖδ' ἀπενάσσατο *
* * ἀπὸ ζαθέων
χρηστηρίων, νύχια
χθὼν ἐτεκνώσατο φάσματ' ὀνείρων,
οἳ πολέσιν μερόπων
τά τε πρῶτα τά τ' ἔπειθ' ἅ τ' ἔμελλε τυχεῖν
ὕπνου κατὰ δνοφερὰς γᾶς
εὐνὰς φράζον· Γαῖα δὲ τὰν
μαντείων ἀφείλετο τι-
μὰν Φοῖβον φθόνῳ θυγατρός·
ταχύπους δ' ἐς Ὄλυμπον ὁρμαθεὶς ἄναξ
χέρα παιδνὸν ἕλιξεν ἐκ Διὸς θρόνων
Πυθίων δόμων χθονίαν ἀφελεῖν
θεᾶς μῆνιν νυχίους τ' ἐνοπάς.
γέλασε δ', ὅτι τέκος ἄφαρ ἔβα
πολύχρυσα θέλων λατρεύματα σχεῖν·
ἐπὶ δ' ἔσεισεν κόμαν, παῦσε νυχίους ὀνείρους,
ἀπὸ δὲ μαντοσύναν νυκτωπὸν ἐξεῖλεν βροτῶν,
καὶ τιμὰς πάλιν
θῆκε Λοξίᾳ,
πολυάνορι δ' ἐν ξενόεντι θρόνῳ
θάρση βροτοῖς θεσφάτων ἀοιδαῖς.

ΑΓΓΕΛΟΣ.

ὦ ναοφύλακες βώμιοί τ' ἐπιστάται,
Θόας ἄναξ γῆς τῆσδε ποῦ κυρεῖ βεβώς;
καλεῖτ' ἀναπτύξαντες εὐγόμφους πύλας
ἔξω μελάθρων τῶνδε κοίρανον χθονός.

ΧΟΡΟΣ.

τί δ' ἔστιν, εἰ χρὴ μὴ κελευσθεῖσαν λέγειν;

ΑΓΓΕΛΟΣ.

βεβᾶσι φροῦδοι δίπτυχοι νεανίαι
Ἀγαμεμνονείας παιδὸς ἐκ βουλευμάτων
φεύγοντες ἐκ γῆς τῆσδε καὶ σεμνὸν βρέτας
λαβόντες ἐν κόλποισιν Ἑλλάδος νεώς.

ΧΟΡΟΣ.

ἄπιστον εἶπας μῦθον· ὃν δ' ἰδεῖν θέλεις
ἄνακτα χώρας, φροῦδος ἐκ ναοῦ συθείς.

ΑΓΓΕΛΟΣ.

ποῖ; δεῖ γὰρ αὐτὸν εἰδέναι τὰ δρώμενα.

ΧΟΡΟΣ.

οὐκ ἴσμεν· ἀλλὰ στεῖχε καὶ δίωκέ νιν
ὅπου κυρήσας τούσδ' ἀπαγγελεῖς λόγους.

ΑΓΓΕΛΟΣ.

ὁρᾶτ', ἄπιστον ὡς γυναικεῖον γένος,
μέτεστί θ' ὑμῖν τῶν πεπραγμένων μέρος.

ΧΟΡΟΣ.

μαίνει; τί δ' ἡμῖν τῶν ξένων δρασμοῦ μέτα;
οὐκ εἶ κρατούντων πρὸς πύλας ὅσον τάχος;

ΑΓΓΕΛΟΣ.

οὐ πρίν γ' ἂν εἴπῃ τοὔπος ἑρμηνεὺς τόδε,
εἴτ' ἔνδον εἴτ' οὐκ ἔνδον ἀρχηγὸς χθονός.
ὠή, χαλᾶτε κλῇθρα, τοῖς ἔνδον λέγω,
καὶ δεσπότῃ σημήναθ' οὕνεκ' ἐν πύλαις
πάρειμι, καινῶν φόρτον ἀγγέλλων κακῶν.

ΘΟΑΣ.

τίς ἀμφὶ δῶμα θεᾶς τόδ' ἵστησιν βοήν,
πύλας ἀράξας καὶ φόβον πέμψας ἔσω;

ΑΓΓΕΛΟΣ.

ψευδῶς ἔλεγον αἵδε καί μ' ἀπήλαυνον δόμων
ὡς ἐκτὸς εἴης· σὺ δὲ κατ' οἶκον ἦσθ' ἄρα.

ΘΟΑΣ.

τί προσδοκῶσαι κέρδος ἢ θηρώμεναι;

ΑΓΓΕΛΟΣ.

αὖθις τὰ τῶνδε σημανῶ· τὰ δ' ἐν ποσὶ
παρόντ' ἄκουσον. ἡ νεᾶνις, ἣ 'νθάδε
βωμοῖς παρίστατ', Ἰφιγένει' ἔξω χθονὸς
σὺν τοῖς ξένοισιν οἴχεται, σεμνὸν θεᾶς
ἄγαλμ' ἔχουσα· δόλια δ' ἦν καθάρματα.

ΘΟΑΣ.

πῶς φῄς; τί πνεῦμα συμφορᾶς κεκτημένη;

ΑΓΓΕΛΟΣ.

σώζουσ' Ὀρέστην· τοῦτο γὰρ σὺ θαυμάσει.

ΘΟΑΣ.

τὸν ποῖον; ἆρ' ὃν Τυνδαρὶς τίκτει κόρη;

ΑΓΓΕΛΟΣ.

ὃν τοῖσδε βωμοῖς θεᾶ καθωσιώσατο.

ΘΟΑΣ.

ὦ θαῦμα. πῶς σε μεῖζον ὀνομάσας τύχω;

ΑΓΓΕΛΟΣ.

μὴ 'νταῦθα τρέψῃς σὴν φρέν', ἀλλ' ἄκουέ μου·
σαφῶς δ' ἀθρήσας καὶ κλύων ἐκφρόντισον
διωγμὸς ὅστις τοὺς ξένους θηράσεται.

1234—1258. = 1259—1283.

ΘΟΑΣ.

λέγ᾽· εὖ γὰρ εἶπας· οὐ γὰρ ἀγχίπλουν πόρον
φεύγουσιν, ὥστε διαφυγεῖν τοὐμὸν δόρυ.

ΑΓΓΕΛΟΣ.

ἐπεὶ πρὸς ἀκτὰς ἤλθομεν θαλασσίας,
οὗ ναῦς Ὀρέστου κρύφιος ἦν ὡρμισμένη,
ἡμᾶς μὲν, οὓς σὺ δεσμὰ συμπέμπεις ξένων
ἔχοντας, ἐξένευσ᾽ ἀποστῆναι πρόσω
Ἀγαμέμνονος παῖς, ὡς ἀπόρρητον φλόγα
θύουσα καὶ καθαρμὸν, ὃν μετῴχετο.
αὐτὴ δ᾽ ὄπισθε δέσμ᾽ ἔχουσα τοῖν ξένοιν
ἔστειχε χερσί. καὶ τάδ᾽ ἦν ὕποπτα μὲν,
ἤρεσκε μέντοι σοῖσι προσπόλοις, ἄναξ.
χρόνῳ δ᾽, ἵν᾽ ἡμῖν δρᾶν τι δὴ δοκοῖ πλέον,
ἀνωλόλυξε καὶ κατῇδε βάρβαρα
μέλη μαγεύουσ᾽, ὡς φόνον νίζουσα δή.
ἐπεὶ δὲ δαρὸν ἧμεν ἥμενοι χρόνον,
ἐσῆλθεν ἡμᾶς μὴ λυθέντες οἱ ξένοι
κτάνοιεν αὐτὴν δραπέται τ᾽ οἰχοίατο.
φόβῳ δ᾽ ἃ μὴ χρῆν εἰσορᾶν καθήμεθα
σιγῇ, τέλος δὲ πᾶσιν ἦν αὐτὸς λόγος,
στείχειν ἵν᾽ ἦσαν, καίπερ οὐκ ἐωμένοις.
κἀνταῦθ᾽ ὁρῶμεν Ἑλλάδος νεὼς σκάφος
ταρσῷ κατήρει πίτυλον ἐπτερωμένον,
ναύτας τε πεντήκοντ᾽ ἐπὶ σκαλμῶν πλάτας
ἔχοντας, ἐκ δεσμῶν δὲ τοὺς νεανίας
ἐλευθέρους πρύμνηθεν ἑστῶτας νεώς.
κοντοῖς δὲ πρῷραν εἶχον, οἱ δ᾽ ἐπωτίδων
ἄγκυραν ἐξανῆπτον, οἱ δὲ κλίμακας
σπεύδοντες ἦγον διὰ χερῶν πρυμνήσια,
πόντῳ δὲ δόντες τοῖν ξένοιν καθίεσαν.
ἡμεῖς δ᾽ ἀφειδήσαντες, ὡς ἐσείδομεν
δόλια τεχνήμαθ᾽, εἰχόμεσθα τῆς ξένης
πρυμνησίων τε, καὶ δι᾽ εὐθυντηρίας
οἴακας ἐξῃροῦμεν εὐπρύμνου νεώς,
λόγοι δ᾽ ἐχώρουν, τίνι λόγῳ πορθμεύετε
κλέπτοντες ἐκ γῆς ξόανα καὶ θυηπόλους;
τίνος τίς ὢν σὺ τήνδ᾽ ἀπεμπολᾷς χθονός;
ὁ δ᾽ εἶπ᾽, Ὀρέστης, τῆσδ᾽ ὅμαιμος, ὡς μάθῃς,
Ἀγαμέμνονος παῖς, τήνδ᾽ ἐμὴν κομίζομαι
λαβὼν ἀδελφὴν, ἣν ἀπώλεσ᾽ ἐκ δόμων.
ἀλλ᾽ οὐδὲν ἧσσον εἰχόμεσθα τῆς ξένης,
καὶ πρός σ᾽ ἕπεσθαι διεβιαζόμεσθά νιν·
ὅθεν τὰ δεινὰ πλήγματ᾽ ἦν γενειάδων.
κεῖνοί τε γὰρ σίδηρον οὐκ εἶχον χεροῖν
ἡμεῖς τε· πυγμαὶ δ᾽ ἦσαν ἐγκροτούμεναι,
καὶ κῶλ᾽ ἀπ᾽ ἀμφοῖν τοῖν νεανίαιν ἅμα
ἐς πλευρὰ καὶ πρὸς ἧπαρ ἠκοντίζετο,
ὡς ξύν τ᾽ ἀπειπεῖν καὶ ξυναποκαμεῖν μέλη.
δεινοῖς δὲ σημάντροισιν ἐσφραγισμένοι
ἐφεύγομεν πρὸς κρημνὸν, οἱ μὲν ἐν κάρᾳ
κάθαιμ᾽ ἔχοντες τραύμαθ᾽, οἱ δ᾽ ἐν ὄμμασιν·
ὄχθοις δ᾽ ἐπισταθέντες εὐλαβεστέρως
ἐμαρνάμεσθα καὶ πέτρους ἐβάλλομεν.
ἀλλ᾽ εἶργον ἡμᾶς τοξόται πρύμνης ἔπι
σταθέντες ἰοῖς, ὥστ᾽ ἀναστεῖλαι πρόσω.
κἀν τῷδε, δεινὸς γὰρ κλύδων ὤκειλε ναῦν
πρὸς γῆν, φόβος δ᾽ ἦν ὥστε μὴ τέγξαι πόδα,
λαβὼν Ὀρέστης ὦμον εἰς ἀριστερὸν,
βὰς ἐς θάλασσαν κἀπὶ κλίμακος θορὼν,
ἔθηκ᾽ ἀδελφὴν ἐντὸς εὐσέλμου νεὼς,
τό τ᾽ οὐρανοῦ πέσημα, τῆς Διὸς κόρης
ἄγαλμα. νηὸς δ᾽ ἐκ μέσης ἐφθέγξατο
βοή τις, ὦ τῆς Ἑλλάδος ναῦται νεὼς,
λάβεσθε κώπης ῥόθιά τε λευκαίνετε·
ἔχομεν γὰρ ὧνπερ οὕνεκ᾽ Εὔξενον πόρον
Συμπληγάδων ἔσωθεν εἰσεπλεύσαμεν.
οἱ δὲ στεναγμὸν ἡδὺν ἐκβρυχώμενοι
ἔπαισαν ἅλμην. ναῦς δ᾽, ἕως μὲν ἐντὸς ἦν
λιμένος, ἐχώρει, στόμια διαπερῶσα δὲ
λάβρῳ κλύδωνι συμπεσοῦσ᾽ ἠπείγετο·
δεινὸς γὰρ ἐλθὼν ἄνεμος ἐξαίφνης νεὼς
ὤθει πάλιν πρυμνήσι᾽· οἱ δ᾽ ἐκαρτέρουν
πρὸς κῦμα λακτίζοντες· ἐς δὲ γῆν πάλιν
κλύδων παλίρρους ἦγε ναῦν. σταθεῖσα δὲ
Ἀγαμέμνονος παῖς ηὔξατ᾽, ὦ Λητοῦς κόρη,
σῶσόν με, τὴν σὴν ἱερίαν, πρὸς Ἑλλάδα
ἐκ βαρβάρου γῆς, καὶ κλοπαῖς σύγγνωθ᾽ ἐμαῖς.
φιλεῖς δὲ καὶ σὺ σὸν κασίγνητον, θεά·
φιλεῖν δὲ κἀμὲ τοὺς ὁμαίμονας δόκει.
ναῦται δ᾽ ἐπευφήμησαν εὐχαῖσιν κόρης
παιᾶνα, γυμνὰς ἐξ ἐπωμίδων χέρας
κώπῃ προσαρμόσαντες ἐκ κελεύσματος.
μᾶλλον δὲ μᾶλλον πρὸς πέτρας ᾔει σκάφος·
χὠ μέν τις ἐς θάλασσαν ὡρμήθη ποσὶν,
ἄλλος δὲ πλεκτὰς ἐξανῆπτεν ἀγκύλας.
κἀγὼ μὲν εὐθὺς πρὸς σὲ δεῦρ᾽ ἀπεστάλην,
σοὶ τὰς ἐκεῖθεν σημανῶν, ἄναξ, τύχας.
ἀλλ᾽ ἕρπε, δεσμὰ καὶ βρόχους λαβὼν χεροῖν·
εἰ μὴ γὰρ οἶδμα νήνεμον γενήσεται,
οὐκ ἔστιν ἐλπὶς τοῖς ξένοις σωτηρίας.
πόντου δ᾽ ἀνάκτωρ Ἴλιόν τ᾽ ἐπισκοπεῖ
σεμνὸς Ποσειδῶν, Πελοπίδαις δ᾽ ἐναντίος.
καὶ νῦν παρέξει τὸν Ἀγαμέμνονος γόνον
σοὶ καὶ πολίταις, ὡς ἔοικεν, ἐν χεροῖν
λαβεῖν ἀδελφήν θ᾽, ἣ φόνον τὸν Αὐλίδι
ἀμνημόνευτον θεᾷ προδοῦσ᾽ ἁλίσκεται.

ΧΟΡΟΣ.

ὦ τλῆμον Ἰφιγένεια, συγγόνου μέτα
θανεῖ πάλιν μολοῦσα δεσποτᾶν χέρας.

ΘΟΑΣ.

ὦ πάντες ἀστοὶ τῆσδε βαρβάρου χθονὸς,
οὐκ εἶα πώλοις ἐμβαλόντες ἡνίας
παράκτιοι δραμεῖσθε, κἀκβολὰς νεὼς
Ἑλληνίδος δέξεσθε, σὺν δὲ τῇ θεῷ
σπεύδοντες ἄνδρας δυσσεβεῖς θηράσετε,
οἱ δ᾽ ὠκυπόμπους ἕλξετ᾽ ἐς πόντον πλάτας;
ὡς ἐκ θαλάσσης ἔκ τε γῆς ἱππεύμασι
λαβόντες αὐτοὺς ἢ κατὰ στύφλου πέτρας
ῥίψωμεν, ἢ σκόλοψι πήξωμεν δέμας.
ὑμᾶς δὲ τὰς τῶνδ᾽ ἴστορας βουλευμάτων
γυναῖκας, αὖθις, ἡνίκ᾽ ἂν σχολὴν λάβω,
ποινασόμεσθα· νῦν δὲ τὴν προκειμένην
σπουδὴν ἔχοντες οὐ μενοῦμεν ἥσυχοι.

ΑΘΗΝΑ.

ποῖ ποῖ διωγμὸν τόνδε πορθμεύεις, ἄναξ
Θόας; ἄκουσον τῆσδ᾽ Ἀθηναίας λόγους.

παῦσαι διώκων ῥεῦμά τ' ἐξορμῶν στρατοῦ·
πεπρωμένοις γὰρ θεσφάτοισι Λοξίου
δεῦρ' ἦλθ' Ὀρέστης, τόν τ' Ἐρινύων χόλον
φεύγων ἀδελφῆς τ' Ἄργος ἐσπέμψων δέμας
ἄγαλμά θ' ἱρὸν εἰς ἐμὴν ἄξων χθόνα,
τῶν νῦν παρόντων πημάτων ἀναψυχάς.
πρὸς μὲν σ' ὅδ' ἡμῖν μῦθος· ὃν δ' ἀποκτενεῖν
δοκεῖς Ὀρέστην, ποντίῳ λαβὼν σάλῳ,
ἤδη Ποσειδῶν χάριν ἐμὴν ἀκύμονα
πόντου τίθησι νῶτα πορθμεύων πλάτῃ.
μαθὼν δ', Ὀρέστα, τὰς ἐμὰς ἐπιστολὰς,
κλύεις γὰρ αὐδὴν, καίπερ οὐ παρὼν, θεᾶς,
χώρει λαβὼν ἄγαλμα σύγγονόν τε σήν.
ὅταν δ' Ἀθήνας τὰς θεοδμήτους μόλῃς,
χῶρός τίς ἐστιν Ἀτθίδος πρὸς ἐσχάτοις
ὅροισι, γείτων δειράδος Καρυστίας,
ἱερὸς, Ἀλάς νιν οὑμὸς ὀνομάζει λεώς·
ἐνταῦθα τεύξας ναὸν ἵδρυσαι βρέτας,
ἐπώνυμον γῆς Ταυρικῆς πόνων τε σῶν,
οὓς ἐξεμόχθεις περιπολῶν καθ' Ἑλλάδα
οἴστροις Ἐρινύων. Ἄρτεμιν δέ νιν βροτοὶ
τὸ λοιπὸν ὑμνήσουσι Ταυροπόλον θεάν.
νόμον τε θὲς τόνδ'· ὅταν ἑορτάζῃ λεὼς
τῆς σῆς σφαγῆς ἄποιν', ἐπισχέτω ξίφος
δέρῃ πρὸς ἀνδρὸς αἷμά τ' ἐξανιέτω
ὁσίας ἕκατι θεᾶς, ὅπως τιμὰς ἔχῃ.
σὲ δ' ἀμφὶ σεμνὰς, Ἰφιγένεια, κλίμακας
Βραυρωνίας δεῖ τῆσδε κλῃδουχεῖν θεᾶς·
οὗ καὶ τεθάψει κατθανοῦσα, καὶ πέπλων
ἄγαλμά σοι θήσουσιν εὐπήνους ὑφὰς,
ἃς ἂν γυναῖκες ἐν τόκοις ψυχορραγεῖς
λείπωσ' ἐν οἴκοις. τάσδε δ' ἐκπέμπειν χθονὸς
Ἑλληνίδας γυναῖκας ἐξεφίεμαι
γνώμης δικαίας οὕνεκ', ἐκσώσασά σε
καὶ πρίν γ' Ἀρείοις ἐν πάγοις ψήφους ἴσας
κρίνασ', Ὀρέστα, καὶ νόμισμ' ἐς ταὐτό γε,
νικᾶν, ἰσήρεις ὅστις ἂν ψήφους λάβῃ.
ἀλλ' ἐκκομίζου σὴν κασιγνήτην χθονὸς,
Ἀγαμέμνονος παῖ, καὶ σὺ μὴ θυμοῦ, Θόας.

ΘΟΑΣ.

ἄνασσ' Ἀθάνα, τοῖσι τῶν θεῶν λόγοις
ὅστις κλύων ἄπιστος, οὐκ ὀρθῶς φρονεῖ.
ἐγὼ δ' Ὀρέστῃ τ', εἰ φέρων βρέτας θεᾶς
βέβηκ', ἀδελφῇ τ' οὐχὶ θυμοῦμαι· τί γὰρ
πρὸς τοὺς σθένοντας θεοὺς ἁμιλλᾶσθαι καλόν;
ἴτωσαν ἐς σὴν σὺν θεᾶς ἀγάλματι
γαῖαν, καθιδρύσαιντό τ' εὐτυχῶς βρέτας.
πέμψω δὲ καὶ τάσδ' Ἑλλάδ' εἰς εὐδαίμονα
γυναῖκας, ὥσπερ σὸν κέλευσμ' ἐφίεται.
παύσω δὲ λόγχην, ἣν ἐπαίρομαι ξένοις,
νηῶν τ' ἐρετμὰ, σοὶ τάδ' ὡς δοκεῖ, θεά.

ΑΘΗΝΑ.

αἰνῶ· τὸ γὰρ χρεὼν σοῦ τε καὶ θεῶν κρατεῖ·
ἴτ', ὦ πνοαὶ, ναυσθλοῦσθε τὸν Ἀγαμέμνονος
παῖδ' εἰς Ἀθήνας· συμπορεύσομαι δ' ἐγὼ,
σώζουσ' ἀδελφῆς τῆς ἐμῆς σεμνὸν βρέτας.

ΧΟΡΟΣ.

ἴτ' ἐπ' εὐτυχίᾳ τῆς σωζομένης
μοίρας εὐδαίμονες ὄντες.
ἀλλ', ὦ σεμνὴ παρά τ' ἀθανάτοις
καὶ παρὰ θνητοῖς Παλλὰς Ἀθάνα,
δράσομεν οὕτως ὡς σὺ κελεύεις.
μάλα γαρ τερπνὴν κἀνέλπιστον
φήμην ἀκοαῖσι δέδεγμαι.
[ὦ μέγα σεμνὰ Νίκα, τὸν ἐμὸν
βίοτον κατέχοις
καὶ μὴ λήγοις στεφανοῦσα.]

# ΕΥΡΙΠΙΔΟΥ ΙΦΙΓΕΝΕΙΑ Η ΕΝ ΑΥΛΙΔΙ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΑΓΑΜΕΜΝΩΝ.*
*ΠΡΕΣΒΥΤΗΣ.*
*ΧΟΡΟΣ.*
*ΜΕΝΕΛΑΟΣ.*
*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*
*ΙΦΙΓΕΝΕΙΑ.*
*ΑΧΙΛΛΕΥΣ.*
*[ΘΕΡΑΠΩΝ.]*
*ΑΓΓΕΛΟΣ.*

ASHMOLEAN
OXFORD
MUSEUM

# ΙΦΙΓΕΝΕΙΑ Η ΕΝ ΑΥΛΙΔΙ.

ΑΓΑΜΕΜΝΩΝ.

Ὦ πρέσβυ, δόμων τῶνδε πάροιθεν
στεῖχε.

ΠΡΕΣΒΥΤΗΣ.

στείχω. τί δὲ καινουργεῖς,
Ἀγάμεμνον ἄναξ;

ΑΓΑΜΕΜΝΩΝ.

πεύσει.

ΠΡΕΣΒΥΤΗΣ.

σπεύδω.
μάλα τοι γῆρας τοὐμὸν ἄϋπνον
καὶ ἐπ' ὀφθαλμοῖς ὀξὺ πάρεστιν.

ΑΓΑΜΕΜΝΩΝ.

τίς ποτ' ἄρ' ἀστὴρ ὅδε πορθμεύει;

ΠΡΕΣΒΥΤΗΣ.

Σείριος, ἐγγὺς τῆς ἑπταπόρου
Πλειάδος ᾄσσων ἔτι μεσσήρης.

ΑΓΑΜΕΜΝΩΝ.

οὔκουν φθόγγος γ' οὔτ' ὀρνίθων
οὔτε θαλάσσης· σιγαὶ δ' ἀνέμων
τόνδε κατ' Εὔριπον ἔχουσιν.

ΠΡΕΣΒΥΤΗΣ.

τί δὲ σὺ σκηνῆς ἐκτὸς ἀΐσσεις,
Ἀγάμεμνον ἄναξ;
ἔτι δ' ἡσυχία τῇδε κατ' Αὖλιν,
καὶ ἀκίνητοι φυλακαὶ τειχέων.
στείχωμεν ἔσω.

ΑΓΑΜΕΜΝΩΝ.

ζηλῶ σὲ, γέρον,
ζηλῶ δ' ἀνδρῶν ὃς ἀκίνδυνον
βίον ἐξεπέρασ' ἀγνὼς, ἀκλεής·
τοὺς δ' ἐν τιμαῖς ἧσσον ζηλῶ.

ΠΡΕΣΒΥΤΗΣ.

καὶ μὴν τὸ καλόν γ' ἐνταῦθα βίου.

ΑΓΑΜΕΜΝΩΝ.

τοῦτο δέ γ' ἐστὶν τὸ καλὸν σφαλερόν·
τό τε φιλότιμον
γλυκὺ μὲν, λυπεῖ δὲ προσιστάμενον.
τοτὲ μὲν τὰ θεῶν οὐκ ὀρθωθέντ'
ἀνέτρεψε βίον, τοτὲ δ' ἀνθρώπων
γνῶμαι πολλαὶ
καὶ δυσάρεστοι διέκναισαν.

ΠΡΕΣΒΥΤΗΣ.

οὐκ ἄγαμαι ταῦτ' ἀνδρὸς ἀριστέως·
οὐκ ἐπὶ πᾶσίν σ' ἐφύτευσ' ἀγαθοῖς,
Ἀγάμεμνον, Ἀτρεύς.
δεῖ δέ σε χαίρειν καὶ λυπεῖσθαι·
θνητὸς γὰρ ἔφυς. κἂν μὴ σὺ θέλῃς,
τὰ θεῶν οὕτω βουλόμεν' ἔσται.
σὺ δὲ λαμπτῆρος φάος ἀμπετάσας
δέλτον τε γράφεις
τήνδ', ἣν πρὸ χερῶν ἔτι βαστάζεις,
καὶ ταὐτὰ πάλιν γράμματα συγχεῖς,
καὶ σφραγίζεις λύεις τ' ὀπίσω,
ῥίπτεις τε πέδῳ πεύκην, θαλερὸν
κατὰ δάκρυ χέων,
καὶ τῶν ἀπόρων οὐδενὸς ἐνδεῖς
μὴ οὐ μαίνεσθαι. τί πονεῖς τί πονεῖς;
τί νέον τί νέον περί σοι, βασιλεῦ;
φέρε κοίνωσον μῦθον ἐς ἡμᾶς.
πρὸς δ' ἄνδρ' ἀγαθὸν πιστόν τε φράσεις·
σῇ γάρ μ' ἀλόχῳ τότε Τυνδάρεως
πέμπεν φερνὴν
συννυμφοκόμον τε δίκαιον.

ΑΓΑΜΕΜΝΩΝ.

ἐγένοντο Λήδᾳ Θεστιάδι τρεῖς παρθένοι,
Φοίβη Κλυταιμνήστρα τ', ἐμὴ ξυνάορος,
Ἑλένη τε· ταύτης οἱ τὰ πρῶτ' ὠλβισμένοι
μνηστῆρες ἦλθον Ἑλλάδος νεανίαι.
δειναὶ δ' ἀπειλαὶ καὶ κατ' ἀλλήλων φόνος
ξυνίσταθ', ὅστις μὴ λάβοι τὴν παρθένον.
τὸ πρᾶγμα δ' ἀπόρως εἶχε Τυνδάρεῳ πατρί,
δοῦναί τε μὴ δοῦναί τε, τῆς τύχης θ' ὅπως
ἅψαιτ' ἄριστα, καί νιν εἰσῆλθεν τάδε,
ὅρκους συνάψαι δεξιάς τε συμβαλεῖν
μνηστῆρας ἀλλήλοισι, καὶ δι' ἐμπύρων
σπονδὰς καθεῖναι κἀπαράσασθαι τάδε,
ὅτου γυνὴ γένοιτο Τυνδαρὶς κόρη,
τούτῳ συναμυνεῖν, εἴ τις ἐκ δόμων λαβὼν
οἴχοιτο τόν τ' ἔχοντ' ἀπωθοίη λέχους.
κἀπιστρατεύσειν καὶ κατασκάψειν πόλιν
Ἕλλην' ὁμοίως βάρβαρόν θ' ὅπλων μέτα.
ἐπεὶ δ' ἐπιστώθησαν, εὖ δέ πως γέρων
ὑπῆλθεν αὐτοὺς Τυνδάρεως πυκνῇ φρενὶ,
δίδωσ' ἑλέσθαι θυγατρὶ μνηστήρων ἕνα,
ὅτου πνοαὶ φέροιεν Ἀφροδίτης φίλαι.
ἡ δ' εἵλεθ', ὥς γε μήποτ' ὤφελεν λαβεῖν,
Μενέλαον. ἐλθὼν δ' ἐκ Φρυγῶν ὁ τὰς θεὰ
κρίνας ὅδ', ὡς ὁ μῦθος ἀνθρώπων ἔχει,
Λακεδαίμον', ἀνθηρὸς μὲν εἱμάτων στολῇ,
χρυσῷ τε λαμπρὸς, βαρβάρῳ χλιδήματι,
ἐρῶν ἐρῶσαν ᾤχετ' ἐξαναρπάσας
Ἑλένην πρὸς Ἴδης βούσταθμ', ἔκδημον λαβὼ
Μενέλαον· ὁ δὲ καθ' Ἑλλάδ' οἰστρήσας μόν
ὅρκους παλαιοὺς Τυνδάρεω μαρτύρεται,
ὡς χρὴ βοηθεῖν τοῖσιν ἠδικημένοις.
τοὐντεῦθεν οὖν Ἕλληνες ᾄξαντες δορὶ,
τεύχη λαβόντες, στενόπορ' Αὐλίδος βάθρα
ἥκουσι τῆσδε, ναυσὶν ἀσπίσιν θ' ὁμοῦ
ἵπποις τε πολλοῖς ἅρμασίν τ' ἠσκημένοι.
κἀμὲ στρατοῦ γ' ἄνακτα Μενέλεω χάριν
εἵλοντο, σύγγονόν γε. τἀξίωμα δὲ

ἄλλος τις ὤφελ' ἀντ' ἐμοῦ λαβεῖν τόδε.
ἠθροισμένου δὲ καὶ ξυνεστῶτος στρατοῦ
ἥμεσθ' ἀπλοίᾳ χρώμενοι κατ' Αὐλίδα.
Κάλχας δ' ὁ μάντις ἀπορίᾳ κεχρημένοις
ἀνεῖλεν Ἰφιγένειαν ἣν ἔσπειρ' ἐγὼ
Ἀρτέμιδι θῦσαι τῇ τόδ' οἰκούσῃ πέδον,
καὶ πλοῦν τ' ἔσεσθαι καὶ κατασκαφὰς Φρυγῶν
θύσασι, μὴ θύσασι δ' οὐκ εἶναι τάδε.
κλύων δ' ἐγὼ ταῦτ' ὀρθίῳ κηρύγματι
Ταλθύβιον εἶπον πάντ' ἀφιέναι στρατὸν,
ὡς οὔποτ' ἂν τλὰς θυγατέρα κτανεῖν ἐμήν.
οὗ δή μ' ἀδελφὸς πάντα προσφέρων λόγον
ἔπεισε τλῆναι δεινά. κἀν δέλτου πτυχαῖς
γράψας ἔπεμψα πρὸς δάμαρτα τὴν ἐμὴν
πέμπειν Ἀχιλλεῖ θυγατέρ' ὡς γαμουμένην,
τό τ' ἀξίωμα τἀνδρὸς ἐκγαυρούμενος,
συμπλεῖν τ' Ἀχαιοῖς οὕνεκ' οὐ θέλοι λέγων,
εἰ μὴ παρ' ἡμῶν εἶσιν ἐς Φθίαν λέχος·
πειθὼ γὰρ εἶχον τήνδε πρὸς δάμαρτ' ἐμὴν,
ψευδῆ συνάψας ἀμφὶ παρθένου γάμον.
μόνοι δ' Ἀχαιῶν ἴσμεν ὡς ἔχει τάδε
Κάλχας, Ὀδυσσεὺς, Μενέλεώς θ'. ἃ δ' οὐ καλῶς
ἔγνων τότ', αὖθις μεταγράφω καλῶς πάλιν
ἐς τήνδε δέλτον, ἣν κατ' εὐφρόνης σκιὰν
λύοντα καὶ συνδοῦντά μ' εἰσεῖδες, γέρον.
ἀλλ' εἶα χώρει τάσδ' ἐπιστολὰς λαβὼν
πρὸς Ἄργος. ἃ δὲ κέκευθε δέλτος ἐν πτυχαῖς,
λόγῳ φράσω σοι πάντα τἀγγεγραμμένα·
πιστὸς γὰρ ἀλόχῳ τοῖς τ' ἐμοῖς δόμοισιν εἶ.

*ΠΡΕΣΒΥΤΗΣ.*

λέγε καὶ σήμαιν', ἵνα καὶ γλώσσῃ
σύντονα τοῖς σοῖς γράμμασιν αὐδῶ.

*ΑΓΑΜΕΜΝΩΝ.*

πέμπω σοι πρὸς ταῖς πρόσθεν
δέλτοις, ὦ Λήδας ἔρνος,
μὴ στέλλειν τὰν σὰν ἶνιν πρὸς
τὰν κολπώδη πτέρυγ' Εὐβοίας,
Αὖλιν ἀκλύσταν.
εἰς τὰς ἄλλας ὥρας γὰρ δὴ
παιδὸς δαίσομεν ὑμεναίους

*ΠΡΕΣΒΥΤΗΣ.*

καὶ πῶς Ἀχιλεὺς λέκτρων ἀπλακὼν
οὐ μέγα φυσῶν θυμὸν ἐπαρεῖ
σοὶ σῇ τ' ἀλόχῳ;
τόδε καὶ δεινόν. σήμαιν' ὅ τι φῄς.

*ΑΓΑΜΕΜΝΩΝ.*

ὄνομ', οὐκ ἔργον, παρέχων Ἀχιλεὺς
οὐκ οἶδε γάμους, οὐδ' ὅ τι πράσσομεν,
οὐδ' ὅτι κείνῳ παῖδ' ἐπεφήμισα
νυμφείους εἰς ἀγκώνων
εὐνὰς ἐκδώσειν λέκτροις.

*ΠΡΕΣΒΥΤΗΣ.*

δεινά γε τολμᾷς, Ἀγάμεμνον ἄναξ,
ὃς τῷ τῆς θεᾶς σὴν παῖδ' ἄλοχον
φατίσας ἦγες σφάγιον Δαναοῖς.

*ΑΓΑΜΕΜΝΩΝ.*

οἴμοι, γνώμας ἐξέσταν,
αἰαῖ, πίπτω δ' εἰς ἄταν.
ἀλλ' ἴθ' ἐρέσσων σὸν πόδα, γήρᾳ
μηδὲν ὑπείκων.

*ΠΡΕΣΒΥΤΗΣ.*

σπεύδω, βασιλεῦ.

*ΑΓΑΜΕΜΝΩΝ.*

μή νυν μήτ' ἀλσώδεις ἵζου
κρήνας μήθ' ὕπνῳ θελχθῇς.

*ΠΡΕΣΒΥΤΗΣ.*

εὔφημα θρόει.

*ΑΓΑΜΕΜΝΩΝ.*

πάντῃ δὲ πόρον σχιστὸν ἀμείβων
λεῦσσε, φυλάσσων μή τίς σε λάθῃ
τροχάλοισιν ὄχοις παραμειψαμένη
παῖδα κομίζουσ' ἐνθάδ' ἀπήνη
Δαναῶν πρὸς ναῦς.

*ΠΡΕΣΒΥΤΗΣ.*

ἔσται τάδε.

*ΑΓΑΜΕΜΝΩΝ.*

κλῄθρων δ' ἐξόρμους,
ἢν γάρ νιν πομπαῖς ἀντήσῃς,
πάλιν ἐξόρμα, σεῖε χαλινοὺς,
ἐπὶ Κυκλώπων ἱεὶς θυμέλας.

*ΠΡΕΣΒΥΤΗΣ.*

πιστὸς δὲ φράσας τάδε πῶς ἔσομαι,
λέγε, παιδὶ σέθεν τῇ σῇ τ' ἀλόχῳ.

*ΑΓΑΜΕΜΝΩΝ.*

σφραγῖδα φύλασσ' ἣν ἐπὶ δέλτῳ
τήνδε κομίζεις. ἴθι. λευκαίνει
τόδε φῶς ἤδη λάμπουσ' ἠὼς
πῦρ τε τεθρίππων τῶν Ἀελίου·
σύλλαβε μόχθων.
θνητῶν δ' ὄλβιος εἰς τέλος οὐδεὶς
οὐδ' εὐδαίμων·
οὔπω γὰρ ἔφυ τις ἄλυπος.

*ΧΟΡΟΣ.*

ἔμολον ἀμφὶ παρακτίαν
ψάμαθον Αὐλίδος ἐναλίας,
Εὐρίπου διὰ χευμάτων
κέλσασα, στενόπορθμον
Χαλκίδα, πόλιν ἐμὰν, προλιποῦσ',
ἀγχιάλων ὑδάτων τροφὸν
τᾶς κλεινᾶς Ἀρεθούσας,
Ἀχαιῶν στρατιὰν ὡς κατιδοίμαν
Ἀχαιῶν τε πλάτας ναυσιπόρους
ἡμιθέων, οὓς ἐπὶ Τροί-
αν ἐλάταις χιλιόναυσιν
τὸν ξανθὸν Μενέλαον
ἁμέτεροι πόσεις
ἐνέπουσ' Ἀγαμέμνονά τ' εὐπατρίδαν
στέλλειν ἐπὶ τὰν Ἑλέναν,
ἀπ' Εὐρώτα δονακοτρόφου
Πάρις ὁ βουκόλος ἂν ἔλαβεν,
δῶρον τᾶς Ἀφροδίτας,
ὅτ' ἐπὶ κρηναίαισι δρόσοις
Ἥρᾳ Παλλάδι τ' ἔριν ἔριν
μορφᾶς ἁ Κύπρις ἔσχεν.
πολύθυτον δὲ δι' ἄλσος Ἀρ-
τέμιδος ἤλυθον δρομένα,
φοινίσσουσα παρῇδ' ἐμὰν
αἰσχύνᾳ νεοθαλεῖ,
ἀσπίδος ἔρυμα καὶ κλισίας

163—184. = 185—205.

ὁπλοφόρους Δαναῶν θέλουσ᾽
ἵππων τ᾽ ὄχλον ἰδέσθαι.
κατεῖδον δὲ δύ᾽ Αἴαντε συνέδρω
τὸν Οἰλέως Τελαμῶνός τε γόνον,
τᾶς Σαλαμῖνος στέφανον.
Πρωτεσίλαόν τ᾽ ἐπὶ θάκοις
πεσσῶν ἡδομένους μορ-
φαῖσι πολυπλόκοις,
Παλαμήδεά θ᾽, ὃν τέκε παῖς ὁ Ποσει-
δᾶνος, Διομήδεά θ᾽ ἡ-
δοναῖς δίσκου κεχαρημένον,
παρὰ δὲ Μηριόνην, Ἄρεως
ὄζον, θαῦμα βροτοῖσι,
τὸν ἀπὸ νησαίων τ᾽ ὀρέων
Λαέρτα τόκον, ἅμα δὲ Νι-
ρέα, κάλλιστον Ἀχαιῶν·
τὸν ἰσάνεμόν τε ποδοῖν
λαιψηροδρόμον Ἀχιλῆα,
τὸν ἁ Θέτις τέκε καὶ
Χείρων ἐξεπόνασεν,
εἶδον αἰγιαλοῖσι
παρά τε κροκάλαις δρόμον ἔχοντα σὺν ὅπλοις·
ἅμιλλαν δ᾽ ἐπόνει ποδοῖν
πρὸς ἅρμα τέτρωρον
ἑλίσσων περὶ νίκας.
ὁ δὲ διφρηλάτας ἐβοᾶτ᾽
Εὔμηλος Φερητιάδας,
ᾧ καλλίστους ἰδόμαν
χρυσοδαιδάλτους στομίοισι πώλους
κέντρῳ θεινομένους,
τοὺς μὲν μέσους ζυγίους,
λευκοστίκτῳ τριχὶ βαλιούς,
τοὺς δ᾽ ἔξω σειροφόρους,
ἀντήρεις καμπαῖσι δρόμων,
πυρρότριχας, μονόχαλα δ᾽ ὑπὸ σφυρὰ
ποικιλοδέρμονας· οἷς παρεπάλλετο
Πηλείδας σὺν ὅπλοισι παρ᾽ ἄντυγα
καὶ σύριγγας ἁρματείους.
ναῶν δ᾽ εἰς ἀριθμὸν ἤλυθον
καὶ θέαν ἀθέσφατον,
τὰν γυναικείαν ὄψιν ὀμμάτων
ὡς πλήσαιμι, μείλινον ἁδονάν.
καὶ κέρας μὲν ἦν δεξιὸν πλάτας ἔχων
Φθιώτας ὁ Μυρμιδόνων Ἄρης
πεντήκοντα ναυσὶ θουρίαις.
χρυσέαις δ᾽ εἰκόσιν
κατ᾽ ἄκρα Νηρῇδες ἕστασαν θεαί,
πρύμναις σῆμ᾽ Ἀχιλλείου στρατοῦ.
Ἀργείων δὲ ταῖσδ᾽ ἰσήρετμοι
νᾶες ἕστασαν πέλας·
ὧν ὁ Μηκιστέως στρατηλάτας
παῖς ἦν, Ταλαὸς ὃν τρέφει πατήρ·
Καπανέως τε παῖς Σθένελος· Ἀτθίδος δ᾽ ἄγων
ἑξήκοντα ναῦς ὁ Θησέως
παῖς ἑξῆς ἐναυλόχει θεὰν
Παλλάδ᾽ ἐν μωνύχοις
ἔχων πτερωτοῖσιν ἅρμασιν θετὸν
εὔσημόν τε φάσμα ναυβάταις.
τῶν Βοιωτῶν δ᾽ ὅπλισμα, ποντίας
231—241. = 242—252.

πεντήκοντα νῆας εἰδόμαν
σημείοισιν ἐστολισμένας·
τοῖς δὲ Κάδμος ἦν χρύσεον δράκοντ᾽ ἔχων
ἀμφὶ ναῶν κόρυμβα·
Λήιτος δ᾽ ὁ γηγενὴς
ἄρχε ναΐου στρατοῦ·
Φωκίδος τ᾽ ἀπὸ χθονός·
Λοκρῶν δὲ τοῖσδ᾽ ἴσας ἄγων
ναῦς ἦλθ᾽ Οἰλέως τόκος κλυτὰν
Θρονιάδ᾽ ἐκλιπὼν πόλιν.
ἐκ Μυκήνας δὲ τᾶς Κυκλωπίας
παῖς Ἀτρέως ἔπεμπε ναυβάτας
ναῶν ἑκατὸν ἠθροϊσμένους.
σὺν δ᾽ Ἄδραστος ἦν ταγός, ὡς φίλος φίλῳ,
τᾶς φυγούσας μέλαθρα
βαρβάρων χάριν γάμων
πρᾶξιν Ἑλλὰς ὡς λάβοι.
ἐκ Πύλου δὲ Νέστορος
Γερηνίου κατειδόμαν
πρύμνας σῆμα ταυρόπουν ὁρᾶν,
τὸν πάροικον Ἀλφεόν.
Αἰνιάνων δὲ δώδεκα στόλοι
ναῶν ἦσαν, ὧν ἄναξ Γουνεὺς
ἄρχε· τῶνδε δ᾽ αὖ πέλας
Ἤλιδος δυνάστορες,
οὓς Ἐπειοὺς ὠνόμαζε πᾶς λεώς·
Εὔρυτος δ᾽ ἄνασσε τῶνδε·
λευκήρετμον δ᾽ Ἄρη
Τάφιον ἦγεν, ὧν Μέγης
ἄνασσε, Φυλέως λόχευμα,
τὰς Ἐχινάδας λιπὼν
νήσους ναυβάταις ἀπροσφόρους.
Αἴας δ᾽ ὁ Σαλαμῖνος ἔντροφος
λαιῷ ξύναγε δεξιὸν κέρας
τῶν ἆσσον ὥρμει πλάταις
ἐσχάταισι συμπλέκων
δώδεκ᾽ εὐστροφωτάταισι ναυσίν· ὡς
ἄϊον καὶ ναυβάταν
εἰδόμαν λεών·
ᾧ τις εἰ προσαρμόσει
βαρβάρους βάριδας,
νόστον οὐκ ἀποίσεται.
ἔνθα δάϊον εἰδόμαν
νάϊον πόρευμα,
τὰ δὲ κατ᾽ οἴκους κλύουσα συγκλήτου
μνήμην σώζομαι στρατεύματος.

ΠΡΕΣΒΥΤΗΣ.

Μενέλαε, τολμᾷς δείν᾽, ἅ σ᾽ οὐ τολμᾶν χρ[illegible]

ΜΕΝΕΛΑΟΣ.

ἄπελθε· λίαν δεσπόταισι πιστὸς εἶ.

ΠΡΕΣΒΥΤΗΣ.

καλόν γέ μοι τοὔνειδος ἐξωνείδισας.

ΜΕΝΕΛΑΟΣ.

κλαίοις ἄν, εἰ πράσσοις ἃ μὴ πράσσειν σε δ[illegible]

ΠΡΕΣΒΥΤΗΣ.

οὐ χρῆν σε λῦσαι δέλτον, ἣν ἐγὼ 'φερον.

253—264. = 265—276.
277—288. = 289—302.

ΜΕΝΕΛΑΟΣ.
οὐδὲ σὲ φέρειν δεῖ πᾶσιν Ἕλλησιν κακά.
ΠΡΕΣΒΥΤΗΣ.
ἄλλοις ἁμιλλῶ ταῦτ'· ἄφες δὲ τήνδ' ἐμοί.
ΜΕΝΕΛΑΟΣ.
οὐκ ἂν μεθείμην.
ΠΡΕΣΒΥΤΗΣ.
οὐδ' ἔγωγ' ἀφήσομαι.
ΜΕΝΕΛΑΟΣ.
σκήπτρῳ τάχ' ἄρα σὸν καθαιμάξω κάρα.
ΠΡΕΣΒΥΤΗΣ.
ἀλλ' εὐκλεές τοι δεσποτῶν θνήσκειν ὕπερ.
ΜΕΝΕΛΑΟΣ.
μέθες· μακροὺς δὲ δοῦλος ὢν λέγεις λόγους.
ΠΡΕΣΒΥΤΗΣ.
ὦ δέσποτ', ἀδικούμεσθα. σὰς δ' ἐπιστολὰς
ἐξαρπάσας ὅδ' ἐκ χερῶν ἐμῶν βίᾳ,
Ἀγάμεμνον, οὐδὲν τῇ δίκῃ χρῆσθαι θέλει.
ΑΓΑΜΕΜΝΩΝ.
ἔα·
τίς ποτ' ἐν πύλαισι θόρυβος καὶ λόγων ἀκοσμία;
ΠΡΕΣΒΥΤΗΣ.
οὑμὸς, οὐχ ὁ τοῦδε μῦθος κυριώτερος λέγειν.
ΑΓΑΜΕΜΝΩΝ.
σὺ δὲ τί τῷδ' ἐς ἔριν ἀφῖξαι, Μενέλεως, βίᾳ τ' ἄγεις;
ΜΕΝΕΛΑΟΣ.
βλέψον εἰς ἡμᾶς, ἵν' ἀρχὰς τῶν λόγων ταύτας λάβω.
ΑΓΑΜΕΜΝΩΝ.
μῶν τρέσας οὐκ ἀνακαλύψω βλέφαρον, Ἀτρέως γεγώς;
ΜΕΝΕΛΑΟΣ.
τήνδ' ὁρᾷς δέλτον, κακίστων γραμμάτων ὑπηρέτιν;
ΑΓΑΜΕΜΝΩΝ.
εἰσορῶ, καὶ πρῶτα ταύτην σῶν ἀπάλλαξον χερῶν.
ΜΕΝΕΛΑΟΣ.
οὔ, πρὶν ἂν δείξω γε Δαναοῖς πᾶσι τἀγγεγραμμένα.
ΑΓΑΜΕΜΝΩΝ.
ἦ γὰρ οἶσθ' ἃ μή σε καιρὸς εἰδέναι, σήμαντρ' ἀνείς;
ΜΕΝΕΛΑΟΣ.
ὥστε σ' ἀλγῦναί γ', ἀνοίξας, ἃ σὺ κάκ' εἰργάσω λάθρα.
ΑΓΑΜΕΜΝΩΝ.
ποῦ δὲ κἄλαβές νιν; ὦ θεοὶ, σῆς ἀναισχύντου φρενός.
ΜΕΝΕΛΑΟΣ.
προσδοκῶν σὴν παῖδ' ἀπ' Ἄργους, εἰ στράτευμ' ἀφίξεται.
ΑΓΑΜΕΜΝΩΝ.
τί δέ σε τἀμὰ δεῖ φυλάσσειν; οὐκ ἀναισχύντου τόδε;
ΜΕΝΕΛΑΟΣ.
ὅτι τὸ βούλεσθαί μ' ἔκνιζε, σὸς δὲ δοῦλος οὐκ ἔφυν.
ΑΓΑΜΕΜΝΩΝ.
οὐχὶ δεινά; τὸν ἐμὸν οἰκεῖν οἶκον οὐκ ἐάσομαι;
ΜΕΝΕΛΑΟΣ.
πλάγια γὰρ φρονεῖς, τὰ μὲν νῦν, τὰ δὲ πάλαι, τὰ δ' αὐτίκα.
ΑΓΑΜΕΜΝΩΝ.
ἐκκεκόμψευσαι πονηρόν· γλῶσσ' ἐπίφθονον σοφή.
ΜΕΝΕΛΑΟΣ.
νοῦς δέ γ' οὐ βέβαιος ἄδικον κτῆμα, κοὐ σαφὲς φίλοις.
βούλομαι δέ σ' ἐξελέγξαι, καὶ σὺ μήτ' ὀργῆς ὕπο
ἀποτρέπου τἀληθὲς, οὔτε κατατενῶ λίαν ἐγώ.
οἶσθ' ὅτ' ἐσπούδαζες ἄρχειν Δαναΐδαις πρὸς Ἴλιον,
τῷ δοκεῖν μὲν οὐχὶ χρῄζων, τῷ δὲ βούλεσθαι θέλων,
ὡς ταπεινὸς ἦσθ', ἁπάσης δεξιᾶς προσθιγγάνων,
καὶ θύρας ἔχων ἀκλήστους τῷ θέλοντι δημοτῶν,
καὶ διδοὺς πρόσρησιν ἑξῆς πᾶσι, κεἰ μή τις θέλοι,
τοῖς τρόποις ζητῶν πρίασθαι τὸ φιλότιμον ἐκ μέσου;
κᾆτ' ἐπεὶ κατέσχες ἀρχὰς, μεταβαλὼν ἄλλους τρόπους
τοῖς φίλοισιν οὐκέτ' ἦσθα τοῖς πρὶν ὡς πρόσθεν φίλος,
δυσπρόσιτος, ἔσω τε κλήθρων σπάνιος. ἄνδρα δ' οὐ χρεὼν
τὸν ἀγαθὸν πράσσοντα μεγάλα τοὺς τρόπους μεθιστάναι,
ἀλλὰ καὶ βέβαιον εἶναι τότε μάλιστα τοῖς φίλοις
ἡνίκ' ὠφελεῖν μάλιστα δυνατός ἐστιν εὐτυχῶν.
ταῦτα μέν σε πρῶτ' ἐπῆλθον, ἵνα σε πρῶθ' εὗρον κακόν.
ὡς δ' ἐς Αὖλιν ἦλθες αὖθις, χὠ Πανελλήνων στρατὸς,
οὐδὲν ἦσθ', ἀλλ' ἐξεπλήσσου τῇ τύχῃ τῇ τῶν θεῶν,
οὐρίας πομπῆς σπανίζων. Δαναΐδαι δ' ἀφιέναι
ναῦς διήγγελλον, μάτην δὲ μὴ πονεῖν ἐν Αὐλίδι.
ὡς δ' ἄνολβον εἶχες ὄμμα σύγχυσίν τε, μὴ νεῶν
χιλίων ἄρχων Πριάμου τε πεδίον ἐμπλήσας δορός.
κἀμὲ παρεκάλεις, τί δράσω; τίνα δὲ πόρον εὕρω πόθεν;
ὥστε μὴ στερέντα σ' ἀρχῆς ἀπολέσαι καλὸν κλέος.
κᾆτ' ἐπεὶ Κάλχας ἐν ἱροῖς εἶπε σὴν θῦσαι κόρην
Ἀρτέμιδι, καὶ πλοῦν ἔσεσθαι Δαναΐδαις, ἡσθεὶς φρένας
ἄσμενος θύσειν ὑπέστης παῖδα· καὶ πέμπεις ἑκὼν,
οὐ βίᾳ, μὴ τοῦτο λέξῃς, σῇ δάμαρτι, παῖδα σὴν
δεῦρ' ἀποστέλλειν, Ἀχιλλεῖ πρόφασιν ὡς γαμουμένην.
κᾆθ' ὑποστρέψας λέληψαι μεταβαλὼν ἄλλας γραφὰς,
ὡς φονεὺς οὐκέτι θυγατρὸς σῆς ἔσει. κάλλιστά γε.
οὗτος αὐτός ἐστιν αἰθὴρ ὃς τάδ' ἤκουσεν σέθεν.
μυρίοι δέ τοι πεπόνθασ' αὐτὸ πρὸς τὰ πράγματα·
ἐκπονοῦσ' ἑκόντες, εἶτα δ' ἐξεχώρησαν κακῶς,
τὰ μὲν ὑπὸ γνώμης πολιτῶν ἀσυνέτου, τὰ δ' ἐνδίκως,

ἀδύνατοι γεγῶτες αὐτοὶ διαφυλάξασθαι πόλιν.
Ἑλλάδος μάλιστ' ἔγωγε τῆς ταλαιπώρου στένω, ἣ θέλουσα δρᾶν τι κεδνὸν βαρβάρους τοὺς οὐδένας
καταγελῶντας ἐξανήσει διὰ σὲ καὶ τὴν σὴν κόρην.
μηδέν' ἂν χρέους ἕκατι προστάτην θείμην χθονὸς,
μηδ' ὅπλων ἄρχοντα· νοῦν χρὴ τὸν στρατηλάτην ἔχειν
πόλεος. ὡς ἄρχων ἀνὴρ πᾶς, ξύνεσιν ἣν ἔχων τύχῃ.

ΧΟΡΟΣ.

δεινὸν κασιγνήτοισι γίγνεσθαι λόγους
μάχας θ', ὅταν ποτ' ἐμπέσωσιν εἰς ἔριν.

ΑΓΑΜΕΜΝΩΝ.

βούλομαί σ' εἰπεῖν κακῶς εὖ, βραχέα, μὴ λίαν ἄνω
βλέφαρα πρὸς τἀναιδὲς ἀγαγὼν, ἀλλὰ σωφρονεστέρως,
ὡς ἀδελφὸν ὄντ'. ἀνὴρ γὰρ χρηστὸς αἰδεῖσθαι φιλεῖ.
εἰπέ μοι, τί δεινὰ φυσᾷς, αἱματηρὸν ὄμμ' ἔχων;
τίς ἀδικεῖ σε; τοῦ κέχρησαι; λέκτρα χρήστ' ἐρᾷς λαβεῖν;
οὐκ ἔχοιμ' ἄν σοι παρασχεῖν· ὧν γὰρ ἐκτήσω, κακῶς
ἦρχες. εἶτ' ἐγὼ δίκην δῶ σῶν κακῶν, ὁ μὴ σφαλείς;
ἢ δάκνει σε τὸ φιλότιμον τοὐμόν; ἀλλ' ἐν ἀγκάλαις
εὐπρεπῆ γυναῖκα χρῄζεις, τὸ λελογισμένον παρεὶς
καὶ τὸ καλὸν, ἔχειν; πονηροῦ φωτὸς ἡδοναὶ κακαί.
εἰ δ' ἐγὼ γνοὺς πρόσθεν οὐκ εὖ μετετέθην εὐβουλίᾳ,
μαίνομαι; σὺ μᾶλλον, ὅστις, ἀπολέσας κακὸν λέχος,
ἀναλαβεῖν θέλεις, θεοῦ σοι τὴν τύχην διδόντος εὖ.
ὤμοσαν τὸν Τυνδάρειον ὅρκον οἱ κακόφρονες
φιλόγαμοι μνηστῆρες. ἡ δέ γ' ἐλπὶς, οἶμαι μὲν, θεὸς
κἀξέπραξεν αὐτὸ μᾶλλον ἢ σὺ καὶ τὸ σὸν σθένος.
οὓς λαβὼν στράτευέ γ', οἶμαι δ', εἴσῃ μωρίᾳ φρενῶν·
οὐ γὰρ ἀσύνετον τὸ θεῖον, ἀλλ' ἔχει ξυνιέναι
τοὺς κακῶς παγέντας ὅρκους καὶ συνηναγκασμένους.
τἀμὰ δ' οὐκ ἀποκτενῶ 'γὼ τέκνα· καὶ τὸ σὸν μὲν εὖ
παρὰ δίκης ἔσται, κακίστης εὐνίδος τιμωρία,
ἐμὲ δὲ συντήξουσι νύκτες ἡμέραι τε δακρύοις,
ἄνομα δρῶντα κοὐ δίκαια παῖδας οὓς ἐγεινάμην.
ταῦτά σοι βραχέα λέλεκται καὶ σαφῆ καὶ ῥᾴδια·
εἰ δὲ μὴ βούλει φρονεῖν εὖ, τἄμ' ἐγὼ θήσω καλῶς.

ΧΟΡΟΣ.

οἵδ' αὖ διάφοροι τῶν πάρος λελεγμένων
μύθων, καλῶς δ' ἔχουσι, φείδεσθαι τέκνων.

ΜΕΝΕΛΑΟΣ.

αἰαῖ, φίλους ἄρ' οὐχὶ κεκτήμην τάλας.

ΑΓΑΜΕΜΝΩΝ.

εἰ τοὺς φίλους γε μὴ θέλεις ἀπολλύναι.

ΜΕΝΕΛΑΟΣ.

δείξεις δὲ ποῦ μοι πατρὸς ἐκ ταὐτοῦ γεγώς;

ΑΓΑΜΕΜΝΩΝ.

συσσωφρονεῖν γὰρ, οὐχὶ συννοσεῖν ἔφυν.

ΜΕΝΕΛΑΟΣ.

ἐς κοινὸν ἀλγεῖν τοῖς φίλοισι χρὴ φίλους.

ΑΓΑΜΕΜΝΩΝ.

εὖ δρῶν παρακάλει μ', ἀλλὰ μὴ λυπῶν ἐμέ.

ΜΕΝΕΛΑΟΣ.

οὐκ ἄρα δοκεῖ σοι τάδε πονεῖν σὺν Ἑλλάδι;

ΑΓΑΜΕΜΝΩΝ.

Ἑλλὰς δὲ σὺν σοὶ κατὰ θεὸν νοσεῖ τινα.

ΜΕΝΕΛΑΟΣ.

σκήπτρῳ νυν αὔχει, σὸν κασίγνητον προδούς·
ἐγὼ δ' ἐπ' ἄλλας εἶμι μηχανάς τινας,
φίλους τ' ἐπ' ἄλλους.

[ΑΓΓΕΛΟΣ.

ὦ Πανελλήνων ἄναξ,
Ἀγάμεμνον, ἥκω παῖδά σοι τὴν σὴν ἄγων,
ἣν Ἰφιγένειαν ὠνόμαζες ἐν δόμοις.
μήτηρ δ' ὁμαρτεῖ, σῆς Κλυταιμνήστρας δέμας,
καὶ παῖς Ὀρέστης, ὥστε τερφθείης ἰδὼν,
χρόνον παλαιὸν δωμάτων ἔκδημος ὤν.
ἀλλ' ὡς μακρὰν ἔτεινον, εὔρυτον παρὰ
κρήνην ἀναψύχουσι θηλύπουν βάσιν,
αὐταί τε πῶλοί τ'· ἐς δὲ λειμώνων χλόην
καθεῖμεν αὐτὰς, ὡς βορᾶς γευσαίατο.
ἐγὼ δὲ πρόδρομος σῆς παρασκευῆς χάριν
ἥκω· πέπυσται γὰρ στρατὸς, ταχεῖα δὲ
διῇξε φήμη, παῖδα σὴν ἀφιγμένην,
πᾶς δ' ἐς θέαν ὅμιλος ἔρχεται δρόμῳ,
σὴν παῖδ' ὅπως ἴδωσιν· οἱ δ' εὐδαίμονες
ἐν πᾶσι κλεινοὶ καὶ περίβλεπτοι βροτοῖς.
λέγουσι δ', ὑμέναιός τις, ἢ τί πράσσεται;
ἢ πόθον ἔχων θυγατρὸς Ἀγαμέμνων ἄναξ
ἐκόμισε παῖδα; τῶν δ' ἂν ἤκουσας τάδε·
Ἀρτέμιδι προτελίζουσι τὴν νεάνιδα,
Αὐλίδος ἀνάσσῃ. τίς νιν ἄξεταί ποτε;
ἀλλ' εἶα, τἀπὶ τοισίδ' ἐξάρχου κανᾶ,
στεφανοῦσθε κρᾶτα. καὶ σὺ, Μενέλεως ἄναξ,
ὑμέναιον εὐτρέπιζε, καὶ κατὰ στέγας
λωτὸς βοάσθω καὶ ποδῶν ἔστω κτύπος·
φῶς γὰρ τόδ' ἥκει μακάριον τῇ παρθένῳ.]

ΑΓΑΜΕΜΝΩΝ.

[ἐπῄνεσ'. ἀλλὰ στεῖχε δωμάτων ἔσω·
τὰ δ' ἄλλ' ἰούσης τῆς τύχης ἔσται καλῶς.]
οἴμοι, τί φῶ δύστηνος; ἄρξομαι πόθεν;
ἐς οἷ' ἀνάγκης ζεύγματ' ἐμπεπτώκαμεν.
ὑπῆλθε δαίμων, ὥστε τῶν σοφισμάτων
πολλῷ γενέσθαι τῶν ἐμῶν σοφώτερος.
ἡ δυσγένεια δ' ὡς ἔχει τι χρήσιμον.
καὶ γὰρ δακρῦσαι ῥᾳδίως αὐτοῖς ἔχει,
ἄνολβά τ' εἰπεῖν, τῷ δὲ γενναίῳ φύσιν
ἅπαντα ταῦτα. προστάτην γε τοῦ βίου
τὸν ὄγκον ἔχομεν, τῷ τ' ὄχλῳ δουλεύομεν.
ἐγὼ γὰρ ἐκβαλεῖν μὲν αἰδοῦμαι δάκρυ,
τὸ μὴ δακρῦσαι δ' αὖθις αἰδοῦμαι τάλας,
ἐς τὰς μεγίστας συμφορὰς ἀφιγμένος.

εἶεν, τί φήσω πρὸς δάμαρτα τὴν ἐμήν;
πῶς δέξομαί νιν; ποῖον ὄμμα συμβαλῶ;
καὶ γάρ μ' ἀπώλεσ' ἐπὶ κακοῖς ἃ μοι πάρος
ἐλθοῦσ' ἄκλητος. εἰκότως δ' ἅμ' ἕσπετο
θυγατρὶ νυμφεύσουσα, καὶ τὰ φίλτατα
δώσουσ', ἵν' ἡμᾶς ὄντας εὑρήσει κακούς.
τὴν δ' αὖ τάλαιναν παρθένον, τί παρθένον;
Ἅιδης νιν, ὡς ἔοικε, νυμφεύσει τάχα,
ὥς ᾤκτισ'· οἶμαι γάρ νιν ἱκετεῦσαι τάδε·
ὦ πάτερ, ἀποκτενεῖς με; τοιούτους γάμους
γήμειας αὐτὸς χὥστις ἐστί σοι φίλος.
παρὼν δ' Ὀρέστης ἐγγὺς ἀναβοήσεται
οὐ συνετὰ συνετῶς· ἔτι γάρ ἐστι νήπιος.
αἰαῖ, τὸν Ἑλένης ὥς μ' ἀπώλεσεν γάμον
γήμας ὁ Πριάμου Πάρις, ὃς εἴργασται τάδε.

ΧΟΡΟΣ.

κἀγὼ κατῴκτειρ', ὡς γυναῖκα δεῖ ξένην
ὑπὲρ τυράννων συμφορᾶς καταστένειν.

ΜΕΝΕΛΑΟΣ.

ἀδελφὲ, δός μοι δεξιᾶς τῆς σῆς θιγεῖν.

ΑΓΑΜΕΜΝΩΝ.

δίδωμι· σὸν γὰρ τὸ κράτος, ἄθλιος δ' ἐγώ.

ΜΕΝΕΛΑΟΣ.

Πέλοπα κατόμνυμ', ὃς πατὴρ τοὐμοῦ πατρὸς
τοῦ σοῦ τ' ἐκλήθη, τὸν τεκόντα τ' Ἀτρέα,
ἦ μὴν ἐρεῖν σοι τἀπὸ καρδίας σαφῶς,
καὶ μὴ 'πίτηδες μηδὲν, ἀλλ' ὅσον φρονῶ.
ἐγώ σ' ἀπ' ὄσσων ἐκβαλόντ' ἰδὼν δάκρυ
ᾤκτειρα, καὐτὸς ἀνταφῆκά σοι πάλιν,
καὶ τῶν παλαιῶν ἐξαφίσταμαι λόγων,
οὐκ ἐς σὲ δεινός· εἰμὶ δ' οὗπερ εἶ σὺ νῦν·
καί σοι παραινῶ μήτ' ἀποκτείνειν τέκνον
μήτ' ἀνθελέσθαι τοὐμόν. οὐ γὰρ ἔνδικον
σὲ μὲν στενάζειν, τἀμὰ δ' ἡδέως ἔχειν,
θνήσκειν τε τοὺς σοὺς, τοὺς δ' ἐμοὺς ὁρᾶν φάος.
τί βούλομαι γάρ; οὐ γάμους ἐξαιρέτους
ἄλλους λάβοιμ' ἄν, εἰ γάμων ἱμείρομαι;
ἀλλ' ἀπολέσας ἀδελφὸν, ὅν μ' ἥκιστ' ἐχρῆν,
Ἑλένην ἕλωμαι, τὸ κακὸν ἀντὶ τἀγαθοῦ;
ἄφρων νέος τ' ἦν, πρὶν τὰ πράγματ' ἐγγύθεν
σκοπῶν ἐσεῖδον οἷον ἦν κτείνειν τέκνα.
ἄλλως τέ μ' ἔλεος τῆς ταλαιπώρου κόρης
ἐσῆλθε, συγγένειαν ἐννοουμένῳ,
ἣ τῶν ἐμῶν ἕκατι θύεσθαι γάμων
μέλλει. τί δ' Ἑλένης παρθένῳ τῇ σῇ μέτα;
ἴτω στρατεία διαλυθεῖσ' ἐξ Αὐλίδος.
σὺ δ' ὄμμα παῦσαι δακρύοις τέγγων τὸ σὸν,
ἀδελφὲ, κἀμὲ παρακαλῶν ἐς δάκρυα.
εἰ δέ τι κόρης σῆς θεσφάτων μέτεστί μοι,
μή μοι μετέστω· σοὶ νέμω τοὐμὸν μέρος.
ἀλλ' ἐς μεταβολὰς ἦλθον ἀπὸ δεινῶν λόγων.
εἰκὸς πέπονθα· τὸν ὁμόθεν πεφυκότα
στέργων μετέπεσον. ἀνδρὸς οὐ κακοῦ τρόποι
τοιοίδε, χρῆσθαι τοῖσι βελτίστοις ἀεί.

ΧΟΡΟΣ.

γενναῖ' ἔλεξας Ταντάλῳ τε τῷ Διὸς
πρέποντα· προγόνους οὐ καταισχύνεις σέθεν.

ΑΓΑΜΕΜΝΩΝ.

αἰνῶ σε, Μενέλα', ὅτι παρὰ γνώμην ἐμὴν
ὑπέθηκας ὀρθῶς τοὺς λόγους σοῦ τ' ἀξίως.

[ΜΕΝΕΛΑΟΣ.

ταραχή γ' ἀδελφῶν τις δι' ἔρωτα γίγνεται
πλεονεξίαν τε δωμάτων· ἀπέπτυσα
τοιάνδε συγγένειαν ἀλλήλων πικράν.

ΑΓΑΜΕΜΝΩΝ.]

ἀλλ' ἥκομεν γὰρ εἰς ἀναγκαίας τύχας,
θυγατρὸς αἱματηρὸν ἐκπρᾶξαι φόνον.

ΜΕΝΕΛΑΟΣ.

πῶς; τίς δ' ἀναγκάσει σε τήν γε σὴν κτανεῖν;

ΑΓΑΜΕΜΝΩΝ.

ἅπας Ἀχαιῶν σύλλογος στρατεύματος.

ΜΕΝΕΛΑΟΣ.

οὔκ, εἴ νιν εἰς Ἄργος γ' ἀποστελεῖς πάλιν.

ΑΓΑΜΕΜΝΩΝ.

λάθοιμι τοῦτ' ἄν· ἀλλ' ἐκεῖν' οὐ λήσομεν.

ΜΕΝΕΛΑΟΣ.

τὸ ποῖον; οὔτοι χρὴ λίαν ταρβεῖν ὄχλον.

ΑΓΑΜΕΜΝΩΝ.

Κάλχας ἐρεῖ μαντεύματ' Ἀργείων στρατῷ.

ΜΕΝΕΛΑΟΣ.

οὔκ, ἢν θάνῃ γε πρόσθε· τοῦτο δ' εὐμαρές.

ΑΓΑΜΕΜΝΩΝ.

τὸ μαντικὸν πᾶν σπέρμα φιλότιμον κακόν.

ΜΕΝΕΛΑΟΣ.

κοὐδέν γε χρηστὸν οὐδὲ χρήσιμον παρόν.

ΑΓΑΜΕΜΝΩΝ.

ἐκεῖνο δ' οὐ δέδοικας ὅ τι μ' εἰσέρχεται;

ΜΕΝΕΛΑΟΣ.

ὃν μὴ σὺ φράζεις, πῶς ὑπολάβοιμ' ἂν λόγον;

ΑΓΑΜΕΜΝΩΝ.

τὸ Σισύφειον σπέρμα πάντ' οἶδεν τάδε.

ΜΕΝΕΛΑΟΣ.

οὐκ ἔστ' Ὀδυσσεὺς ὅ τι σὲ κἀμὲ πημανεῖ.

ΑΓΑΜΕΜΝΩΝ.

ποικίλος ἀεὶ πέφυκε τοῦ τ' ὄχλου μέτα.

ΜΕΝΕΛΑΟΣ.

φιλοτιμίᾳ μὲν ἐνέχεται, δεινῷ κακῷ.

ΑΓΑΜΕΜΝΩΝ.

οὐκοῦν δόκει νιν στάντ' ἐν Ἀργείοις μέσοις
λέξειν ἃ Κάλχας θέσφατ' ἐξηγήσατο,
κἄμ' ὡς ὑπέστην θῦμα, κᾆτα ψεύδομαι,
Ἀρτέμιδι θύσειν· οἷς ξυναρπάσας στρατὸν,
σὲ κἄμ' ἀποκτείναντας Ἀργείους κόρην
σφάξαι κελεύσει. κἂν πρὸς Ἄργος ἐκφύγω,
ἐλθόντες αὐτοῖς τείχεσιν Κυκλωπίοις
ἀναρπάσουσι καὶ κατασκάψουσι γῆν.
τοιαῦτα τἀμὰ πήματ'. ὦ τάλας ἐγὼ,
ὡς ἠπόρημαι πρὸς θεῶν τὰ νῦν τάδε.
ἕν μοι φύλαξον, Μενέλεως, ἀνὰ στρατὸν
ἐλθὼν, ὅπως ἂν μὴ Κλυταιμνήστρα τάδε
μάθῃ, πρὶν Ἅιδῃ παῖδ' ἐμὴν προσθῶ λαβὼν,
ὡς ἐπ' ἐλαχίστοις δακρύοις πράσσω κακῶς.
ὑμεῖς τε σιγὴν, ὦ ξέναι, φυλάσσετε.

ΧΟΡΟΣ.

μάκαρες οἳ μετρίας θεοῦ

543 — 557. = 558 — 572.

μετά τε σωφροσύνας μετέ-
σχον λέκτρων Ἀφροδίτας,
γαλανείᾳ χρησάμενοι
μαινομένων οἴστρων, ὅθι δὴ
δίδυμ' Ἔρως ὁ χρυσοκόμας
τόξ' ἐντείνεται χαρίτων,
τὸ μὲν ἐπ' εὐαίωνι πότμῳ,
τὸ δ' ἐπὶ συγχύσει βιοτᾶς.
ἀπενέπω νιν ἁμετέρων,
Κύπρι καλλίστα, θαλάμων,
εἴη δέ μοι μετρία μὲν
χάρις, πόθοι δ' ὅσιοι,
καὶ μετέχοιμι τᾶς Ἀφροδί-
τας, πολλὰν δ' ἀποθείμαν.
διάφοροι δὲ φύσεις βροτῶν,
διάτροποι δὲ τρόποις· ὁ δ' ὀρ-
θὸς ἐσθλὸν σαφὲς ἀεί.
τροφαί θ' αἱ παιδευόμεναι
μέγα φέρουσιν εἰς ἀρετάν,
τό τε γὰρ αἰδεῖσθαι σοφία,
τάν τ' ἐξαλλάσσουσαν ἔχει
χάριν ὑπὸ γνώμας ἐσορᾶν
τὸ δέον, ἔνθα δόξα φέρει
κλέος ἀγήρατον βιοτᾷ.
μέγα τι θηρεύειν ἀρετάν,
γυναιξὶν μὲν κατὰ Κύπριν
κρυπτάν, ἐν ἀνδράσι δ' αὖ
κόσμος ἐνὼν ὁ μυριοπλη-
θὴς μείζω πόλιν αὔξει.
ἔμολες, ὦ Πάρις, ἧτε σύ γε
βουκόλος ἀργενναῖς ἐτράφης
Ἰδαίαις παρὰ μόσχοις,
βάρβαρα συρίζων, Φρυγίων
αὐλῶν Οὐλύμπου καλάμοις
μιμήματα πνείων.
εὔθηλοι δὲ τρέφοντο βόες,
ὅτε σε κρίσις ἔμαινε θεᾶν,
ἅ σ' εἰς Ἑλλάδα πέμπει
ἐλεφαντοδέτων πάροι-
θεν δόμων, ὃς τᾶς Ἑλένας
ἐν ἀντωποῖς βλεφάροισιν
ἔρωτα δέδωκας,
ἔρωτι δ' αὐτὸς ἐπτοάθης.
ὅθεν ἔρις ἔρις Ἑλλάδα σὺν δορὶ ναυσί τ' ἄγει
ἐς πέργαμα Τροίας.
ἰὼ ἰώ.
μεγάλαι μεγάλων εὐδαιμονίαι.
τὴν τοῦ βασιλέως
ἴδετ' Ἰφιγένειαν, ἄνασσαν ἐμήν,
τὴν Τυνδάρεώ τε Κλυταιμνήστραν,
ὡς ἐκ μεγάλων ἐβλαστήκασ'
ἐπί τ' εὐμήκεις ἥκουσι τύχας.
θεοί γ' οἱ κρείσσους οἵ τ' ὀλβοφόροι
τοῖς οὐκ εὐδαίμοσι θνατῶν.
[στῶμεν, Χαλκίδος ἔκγονα θρέμματα,
τὴν βασίλειαν δεξώμεθ' ὄχων
ἄπο, μὴ σφαλερῶς ἐπὶ τὴν γαῖαν,
ἀγανῶς δὲ χεροῖν μαλακῇ γνώμῃ,
μὴ ταρβήσῃ νεωστί μοι μολὸν
τὸ κλεινὸν τέκνον Ἀγαμέμνονος,
μηδὲ θόρυβον μηδ' ἔκπληξιν
ταῖς Ἀργείαις
ξεῖναι ξείναις παρέχωμεν.]

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὄρνιθα μὲν τόνδ' αἴσιον ποιούμεθα,
τὸ σόν τε χρηστὸν καὶ λόγων εὐφημίαν·
ἐλπίδα δ' ἔχω τιν' ὡς ἐπ' ἐσθλοῖσιν γάμοις
πάρειμι νυμφαγωγός. ἀλλ' ὀχημάτων
ἔξω πορεύεθ' ἃς φέρω φερνὰς κόρῃ,
καὶ πέμπετ' ἐς μέλαθρον εὐλαβούμενοι.
σὺ δ', ὦ τέκνον μοι, λεῖπε πωλικοὺς ὄχους,
ἁβρὸν τιθεῖσα κῶλον ἀσθενές θ' ἅμα.
ὑμεῖς δὲ, νεάνιδες, νιν ἀγκάλαις ἔπι
δέξασθε καὶ πορεύσατ' ἐξ ὀχημάτων.
καί μοι χερός τις ἐνδότω στηρίγματα,
θάκους ἀπήνης ὡς ἂν ἐκλίπω καλῶς.
αἱ δ' ἐς τὸ πρόσθεν στῆτε πωλικῶν ζυγῶν,
φοβερὸν γὰρ ἀπαράμυθον ὄμμα πωλικόν·
καὶ παῖδα τόνδε, τὸν Ἀγαμέμνονος γόνον,
λάζυσθ', Ὀρέστην· ἔτι γάρ ἐστι νήπιος.
τέκνον, καθεύδεις πωλικῷ δαμεὶς ὄχῳ;
ἔγειρ' ἀδελφῆς ἐφ' ὑμέναιον εὐτυχῶς·
ἀνδρὸς γὰρ ἀγαθοῦ κῆδος αὐτὸς ἐσθλὸς ὢν
λήψει, τὸ τῆς Νηρῇδος ἰσόθεον γένος,
[ἑξῆς κάθησο δεῦρό μου ποδὸς, τέκνον,
πρὸς μητέρ', Ἰφιγένεια, μακαρίαν δέ με
ξέναισι ταῖσδε πλησία σταθεῖσα δὸς,
καὶ δεῦρο δὴ πατέρα πρόσειπε σὸν φίλον.]
ὦ σέβας ἐμοὶ μέγιστον, Ἀγαμέμνων ἄναξ,
ἥκομεν, ἐφετμαῖς οὐκ ἀπιστοῦσαι σέθεν.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ μῆτερ, ὑποδραμοῦσά γ', ὀργισθῇς δὲ μή,
πρὸς στέρνα πατρὸς στέρνα τἀμὰ προσβαλῶ.
[ἐγὼ δὲ βούλομαι τὰ σὰ στέρν', ὦ πάτερ,
ὑποδραμοῦσα προσβαλεῖν διὰ χρόνου.
ποθῶ γὰρ ὄμμα δὴ σόν. ὀργισθῇς δὲ μή.]

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἀλλ', ὦ τέκνον, χρῶ· φιλοπάτωρ δ' ἀεί ποτ
μάλιστα παίδων τῶνδ' ὅσους ἐγὼ 'τεκον.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ πάτερ, ἐσεῖδόν σ' ἀσμένη πολλῷ χρόνῳ.

ΑΓΑΜΕΜΝΩΝ.

καὶ γὰρ πατὴρ σέ· τόδ' ἴσον ὑπὲρ ἀμφ
λέγεις.

ΙΦΙΓΕΝΕΙΑ.

χαῖρ'· εὖ δέ μ' ἀγαγὼν πρὸς σ' ἐποίη
πάτερ.

ΑΓΑΜΕΜΝΩΝ.

οὐκ οἶδ' ὅπως φῶ τοῦτο καὶ μὴ φῶ, τέκνο

ΙΦΙΓΕΝΕΙΑ.

ἔα·
ὡς οὐ βλέπεις εὔκηλον, ἄσμενός μ' ἰδών.

ΑΓΑΜΕΜΝΩΝ.

πόλλ' ἀνδρὶ βασιλεῖ καὶ στρατηλάτῃ μέλει.

ΙΦΙΓΕΝΕΙΑ.

παρ' ἐμοὶ γενοῦ νῦν, μὴ 'πὶ φροντίδας τρέ

ΑΓΑΜΕΜΝΩΝ.

ἀλλ' εἰμὶ παρὰ σοὶ νῦν ἅπας, κοὐκ ἄλλοθι.

ΙΦΙΓΕΝΕΙΑ.

μέθες νυν ὀφρὺν, ὄμμα τ' ἔκτεινον φίλον.

ΑΓΑΜΕΜΝΩΝ.
ἰδοὺ γέγηθά σ᾽ ὡς γέγηθ᾽ ὁρῶν, τέκνον.
ΙΦΙΓΕΝΕΙΑ.
κἄπειτα λείβεις δάκρυ᾽ ἀπ᾽ ὀμμάτων σέθεν;
ΑΓΑΜΕΜΝΩΝ.
μακρὰ γὰρ ἡμῖν ἡ ᾽πιοῦσ᾽ ἀπουσία.
ΙΦΙΓΕΝΕΙΑ.
οὐκ οἶδ᾽ ὅ φῄς, οὐκ οἶδα, φίλτατ᾽ ἐμοὶ πάτερ.
ΑΓΑΜΕΜΝΩΝ.
συνετὰ λέγουσα μᾶλλον εἰς οἶκτόν μ᾽ ἄγεις.
ΙΦΙΓΕΝΕΙΑ.
ἀσύνετά νυν ἐροῦμεν, εἰ σέ γ᾽ εὐφρανῶ.
ΑΓΑΜΕΜΝΩΝ.
παπαῖ, τὸ σιγᾶν οὐ σθένω· σὲ δ᾽ ᾔνεσα.
ΙΦΙΓΕΝΕΙΑ.
μέν᾽, ὦ πάτερ, κατ᾽ οἶκον ἐπὶ τέκνοις σέθεν.
ΑΓΑΜΕΜΝΩΝ.
θέλω γε· τὸ θέλειν δ᾽ οὐκ ἔχων ἀλγύνομαι.
ΙΦΙΓΕΝΕΙΑ.
ὄλοιντο λόγχαι καὶ τὰ Μενέλεω κακά.
ΑΓΑΜΕΜΝΩΝ.
ἄλλους ὀλεῖ πρόσθ᾽ ἁμὲ διολέσαντ᾽ ἔχει.
ΙΦΙΓΕΝΕΙΑ.
ὡς πολὺν ἀπῆσθα χρόνον ἐν Αὐλίδος μυχοῖς.
ΑΓΑΜΕΜΝΩΝ.
καὶ νῦν γέ μ᾽ ἴσχει δή τι μὴ στέλλειν στρατόν.
ΙΦΙΓΕΝΕΙΑ.
ποῦ τοὺς Φρύγας λέγουσιν ᾠκίσθαι, πάτερ;
ΑΓΑΜΕΜΝΩΝ.
οὗ μήποτ᾽ οἰκεῖν ὤφελ᾽ ὁ Πριάμου Πάρις.
ΙΦΙΓΕΝΕΙΑ.
μακράν γ᾽ ἀπαίρεις, ὦ πάτερ, λιπὼν ἐμέ;
ΑΓΑΜΕΜΝΩΝ.
ἐς ταυτὸν, ὦ θύγατερ, * ἥκεις σῷ πατρί.
ΙΦΙΓΕΝΕΙΑ.
φεῦ.
εἴθ᾽ ἦν καλόν μοι σοί τ᾽ ἄγειν σύμπλουν ἐμέ.
ΑΓΑΜΕΜΝΩΝ.
ἔτ᾽ ἔστι καὶ σοὶ πλοῦς, ἵνα μνήσει πατρός.
ΙΦΙΓΕΝΕΙΑ.
σὺν μητρὶ πλεύσασ᾽ ἢ μόνη πορεύσομαι;
ΑΓΑΜΕΜΝΩΝ.
μόνη, μονωθεῖσ᾽ ἀπὸ πατρὸς καὶ μητέρος.
ΙΦΙΓΕΝΕΙΑ.
ἦ πού μ᾽ ἐς ἄλλα δώματ᾽ οἰκίζεις, πάτερ;
ΑΓΑΜΕΜΝΩΝ.
ἔα γέ τ᾽ *. οὐ χρή τοι τάδ᾽ εἰδέναι κόρας.
ΙΦΙΓΕΝΕΙΑ.
σπεῦδ᾽ ἐκ Φρυγῶν μοι, θέμενος εὖ τἀκεῖ, πάτερ.
ΑΓΑΜΕΜΝΩΝ.
θῦσαί με θυσίαν πρῶτα δεῖ τιν᾽ ἐνθάδε.
ΙΦΙΓΕΝΕΙΑ.
ἀλλὰ ξὺν ἱροῖς χρὴ τό γ᾽ εὐσεβὲς σκοπεῖν.
ΑΓΑΜΕΜΝΩΝ.
εἴσει σύ· χερνίβων γὰρ ἑστήξει πέλας.
ΙΦΙΓΕΝΕΙΑ.
στήσομεν ἄρ᾽ ἀμφὶ βωμὸν, ὦ πάτερ, χορούς;
ΑΓΑΜΕΜΝΩΝ.
ζηλῶ σὲ μᾶλλον ἢ ᾽μὲ τοῦ μηδὲν φρονεῖν.
χώρει δὲ μελάθρων ἐντὸς, ὀφθῆναι κόραις,
πικρὸν φίλημα δοῦσα δεξιάν τ᾽ ἐμοί,
μέλλουσα δαρὸν πατρὸς ἀποικήσειν χρόνον.
ὦ στέρνα καὶ παρῇδες, ὦ ξανθαὶ κόμαι,
ὡς ἄχθος ἡμῖν ἐγένεθ᾽ ἡ Φρυγῶν πόλις
Ἑλένη τε· παύω τοὺς λόγους· ταχεῖα γὰρ
νοτὶς διώκει μ᾽ ὀμμάτων ψαύσαντά σου.
ἴθ᾽ ἐς μέλαθρα. σὲ δὲ παραιτοῦμαι τάδε,
Λήδας γένεθλον, εἰ κατῳκτίσθην ἄγαν,
μέλλων Ἀχιλλεῖ θυγατέρ᾽ ἐκδώσειν ἐμήν.
ἀποστολαὶ γὰρ μακάριαι μὲν, ἀλλ᾽ ὅμως
δάκνουσι τοὺς τεκόντας, ὅταν ἄλλοις δόμοις
παῖδας παραδιδῷ πολλὰ μοχθήσας πατήρ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
οὐχ ὧδ᾽ ἀσύνετός εἰμι, πείσεσθαι δέ με
καὐτὴν δόκει τάδ᾽, ὥστε μή σε νουθετεῖν,
ὅταν ξὺν ὑμεναίοισιν ἐξάγω κόρην·
ἀλλ᾽ ὁ νόμος αὐτὰ τῷ χρόνῳ συνισχνανεῖ.
τοὔνομα μὲν οὖν παῖδ᾽ οἶδ᾽ ὅτῳ κατήνεσας,
γένους δὲ ποίου χὠπόθεν μαθεῖν θέλω.
ΑΓΑΜΕΜΝΩΝ.
Αἴγινα θυγάτηρ ἐγένετ᾽ Ἀσωποῦ πατρός.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ταύτην δὲ θνητῶν ἢ θεῶν ἔζευξε τίς;
ΑΓΑΜΕΜΝΩΝ.
Ζεύς· Αἰακὸν δ᾽ ἔφυσεν, Οἰνώνης πρόμον.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
τὰ δ᾽ Αἰακοῦ παῖς τίς κατέσχε δώματα;
ΑΓΑΜΕΜΝΩΝ.
Πηλεύς· ὁ Πηλεὺς δ᾽ ἔσχε Νηρέως κόρην.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
θεοῦ διδόντος, ἢ βίᾳ θεῶν λαβών;
ΑΓΑΜΕΜΝΩΝ.
Ζεὺς ἠγγύησε καὶ δίδωσ᾽ ὁ κύριος.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
γαμεῖ δὲ ποῦ νιν; ἦ κατ᾽ οἶδμα πόντιον;
ΑΓΑΜΕΜΝΩΝ.
Χείρων ἵν᾽ οἰκεῖ σεμνὰ Πηλίου βάθρα.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
οὗ φασι Κενταύρειον ᾠκίσθαι γένος;
ΑΓΑΜΕΜΝΩΝ.
ἐνταῦθ᾽ ἔδαισαν Πηλέως γάμους θεοί.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
Θέτις δ᾽ ἔθρεψεν ἢ πατὴρ Ἀχιλλέα;
ΑΓΑΜΕΜΝΩΝ.
Χείρων, ἵν᾽ ἤθη μὴ μάθοι κακῶν βροτῶν.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
φεῦ·
σοφός γ᾽ ὁ θρέψας χὠ διδοὺς σοφώτερος.
ΑΓΑΜΕΜΝΩΝ.
τοιόσδε παιδὸς σῆς ἀνὴρ ἔσται πόσις.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
οὐ μεμπτός. οἰκεῖ δ᾽ ἄστυ ποῖον Ἑλλάδος;
ΑΓΑΜΕΜΝΩΝ.
Ἀπιδανὸν ἀμφὶ ποταμὸν ἐν Φθίας ὅροις.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἐκεῖσ᾽ ἀπάξει σὴν ἐμήν τε παρθένον;
ΑΓΑΜΕΜΝΩΝ.
κείνῳ μελήσει ταῦτα, τῷ κεκτημένῳ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἀλλ᾽ εὐτυχοίτην, τίνι δ᾽ ἐν ἡμέρᾳ γαμεῖ;

ΑΓΑΜΕΜΝΩΝ.
ὅταν σελήνης εὐτυχὴς ἔλθῃ κύκλος.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
προτέλεια δ' ἤδη παιδὸς ἔσφαξας θεᾷ;
ΑΓΑΜΕΜΝΩΝ.
μέλλω· 'πὶ ταύτῃ καὶ καθέσταμεν τύχῃ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
κἄπειτα δαίσεις τοὺς γάμους ἐς ὕστερον;
ΑΓΑΜΕΜΝΩΝ.
θύσας γε θύμαθ' ἁμὲ χρὴ θῦσαι θεοῖς.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἡμεῖς δὲ θοίνην ποῦ γυναιξὶ θήσομεν;
ΑΓΑΜΕΜΝΩΝ.
ἐνθάδε παρ' εὐπρύμνοισιν Ἀργείων πλάταις.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
καλῶς, ἀναγκαίως τε· συνενέγκαι δ' ὅμως.
ΑΓΑΜΕΜΝΩΝ.
οἶσθ' οὖν ὃ δρᾶσον, ὦ γύναι; πιθοῦ δέ μοι.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
τί χρῆμα; πείθεσθαι γὰρ εἴθισμαι σέθεν.
ΑΓΑΜΕΜΝΩΝ.
ἡμεῖς μὲν ἐνθάδ', οὗπέρ ἐσθ' ὁ νυμφίος
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
μητρὸς τί χωρὶς δράσεθ', ἁμὲ δρᾶν χρεών;
ΑΓΑΜΕΜΝΩΝ.
ἐκδώσομεν σὴν παῖδα Δαναϊδῶν μέτα.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἡμᾶς δὲ ποῦ χρὴ τηνικαῦτα τυγχάνειν;
ΑΓΑΜΕΜΝΩΝ.
χώρει πρὸς Ἄργος, παρθένους τε τημέλει.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
λιποῦσα παῖδα; τίς δ' ἀνασχήσει φλόγα;
ΑΓΑΜΕΜΝΩΝ.
ἐγὼ παρέξω φῶς ὃ νυμφίοις πρέπει.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
οὐχ ὁ νόμος οὗτος, σὺ δὲ * φαῦλ' ἡγεῖ τάδε.
ΑΓΑΜΕΜΝΩΝ.
οὐ καλὸν ἐν ὄχλῳ σ' ἐξομιλεῖσθαι στρατοῦ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
καλὸν τεκοῦσαν τἀμά γ' ἐκδοῦναι τέκνα.
ΑΓΑΜΕΜΝΩΝ.
καὶ τάς γ' ἐν οἴκῳ μὴ μόνας εἶναι κόρας.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ὀχυροῖσι παρθενῶσι φρουροῦνται καλῶς.
ΑΓΑΜΕΜΝΩΝ.
πιθοῦ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
μὰ τὴν ἄνασσαν Ἀργείαν θεάν.
ἐλθὼν δὲ τἄξω πρᾶσσε, τἀν δόμοις δ' ἐγώ,
ἃ χρὴ παρεῖναι νυμφίοισι παρθένοις.
ΑΓΑΜΕΜΝΩΝ.
οἴμοι· μάτην ἦξ', ἐλπίδος δ' ἀπεσφάλην,
ἐξ ὀμμάτων δάμαρτ' ἀποστεῖλαι θέλων.
σοφίζομαι δὲ κἀπὶ τοῖσι φιλτάτοις
τέχνας πορίζω, πανταχῇ νικώμενος.
ὅμως δὲ σὺν Κάλχαντι τῷ θυηπόλῳ
τὸ τῆς θεοῦ φίλον γ', ἐμοὶ δ' οὐκ εὐτυχές,
ἐξιστορήσων εἶμι, μόχθον Ἑλλάδος.
χρὴ δ' ἐν δόμοισιν ἄνδρα τὸν σοφὸν τρέφειν
γυναῖκα χρηστὴν κἀγαθήν, ἢ μὴ τρέφειν.

ΧΟΡΟΣ.
ἥξει δὴ Σιμόεντα καὶ
δίνας ἀργυροειδεῖς
ἄγυρις Ἑλλάνων στρατιᾶς
ἀνά τε ναυσὶ καὶ σὺν ὅπλοις
Ἴλιον ἐς τὸ Τροίας
Φοιβήιον δάπεδον,
Κασάνδραν ἵν' ἀκούω
ῥίπτειν ξανθοὺς πλοκάμους
χλωροκόμῳ στεφάνῳ δάφνας
κοσμηθεῖσαν, ὅταν θεοῦ
μαντόσυνοι πνεύσωσ' ἀνάγκαι.
στάσονται δ' ἐπὶ περγάμων
Τροίας ἀμφί τε τείχη
Τρῶες, ὅταν χάλκασπις Ἄρης
πόντιος εὐπρῴροισι πλάταις
εἰρεσίᾳ πελάζῃ
Σιμουντίοις ὀχετοῖς,
τὰν τῶν αἰθέρι δισσῶν
Διοσκούρων Ἑλέναν
ἐκ Πριάμου κομίσαι θέλων
εἰς γᾶν Ἑλλάδα δοριπόνοις
ἀσπίσι καὶ λόγχαις Ἀχαιῶν.
Πέργαμον δὲ Φρυγῶν πόλιν
λαΐνους περὶ πύργους
κυκλώσας Ἄρει φονίῳ,
λαιμοτόμους κεφαλὰς
σπάσας, πόλισμα Τροίας
πέρσας κατάκρας [πόλιν],
θήσει κόρας πολυκλαύτους
δάμαρτά τε Πριάμου.
ἁ δὲ Διὸς Ἑλένα κόρα
πολύκλαυτος ἔσεται
πόσιν προλιποῦσα. μήτ' ἐμοὶ
μήτ' ἐμοῖσι τέκνων τέκνοις
ἐλπὶς ἅδε ποτ' ἔλθοι,
οἵαν αἱ πολύχρυσοι
Λυδαὶ καὶ Φρυγῶν ἄλοχοι
στήσουσι παρ' ἱστοῖς
μυθεῦσαι τάδ' ἐς ἀλλήλας·
τίς ἄρα μ' εὐπλοκάμους κόμας
ἔρυμα δακρυόεν ἀνύσας
πατρίδος ὀλλυμένας ἀπολωτιεῖ;
διὰ σέ, τὰν κύκνου δολιχαύχενος γόνον,
εἰ δὴ φάτις ἔτυμος,
ὡς ἔτυχεν Λήδα
ὄρνιθι πταμένῳ
Διὸς ὅτ' ἀλλάχθη δέμας, εἴτ'
ἐν δέλτοις Πιερίσιν
μῦθοι τάδ' ἐς ἀνθρώπους
ἤνεγκαν παρὰ καιρὸν ἄλλως.
ΑΧΙΛΛΕΥΣ.
ποῦ τῶν Ἀχαιῶν ἐνθάδ' ὁ στρατηλάτης;
τίς ἂν φράσειε προσπόλων τὸν Πηλέως
ζητοῦντά νιν παῖδ' ἐν πύλαις Ἀχιλλέα;
οὐκ ἐξ ἴσου γὰρ μένομεν Εὐρίπου πέλας.
οἱ μὲν γὰρ ἡμῶν ὄντες ἄζυγες γάμων
οἴκους ἐρήμους ἐκλιπόντες ἐνθάδε
θάσσουσ' ἐπ' ἀκταῖς, οἱ δ' ἔχοντες εὐνίδας

751—761. == 762—772.

ἄπαιδες· οὕτω δεινὸς ἐμπέπτωκ' ἔρως
τῆσδε στρατείας Ἑλλάδ' οὐκ ἄνευ θεῶν.
τοὐμὸν μὲν οὖν δίκαιον ἐμὲ λέγειν χρεών·
ἄλλος δ' ὁ χρῄζων αὐτὸς ὑπὲρ αὑτοῦ φράσει.
γῆν γὰρ λιπὼν Φάρσαλον ἠδὲ Πηλέα
μένω 'πὶ λεπταῖς ταῖσδέ γ' Εὐρίπου πνοαῖς,
Μυρμιδόνας ἴσχων, οἵ μ' ἀεὶ προσκείμενοι
λέγουσ', Ἀχιλλεῦ, τί μένομεν; ποῖον χρόνον
ἔτ' ἐκμετρῆσαι χρὴ πρὸς Ἴλιον στόλον;
δρᾶ γ', εἴ τι δράσεις, ἢ ἄπαγ' οἴκαδε στρατὸν,
τὰ τῶν Ἀτρειδῶν μὴ μένων μελλήματα.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ παῖ θεᾶς Νηρῆδος, ἔνδοθεν λόγων
τῶν σῶν ἀκούσασ' ἐξέβην πρὸ δωμάτων.

ΑΧΙΛΛΕΥΣ.

ὦ πότνι' αἰδὼς, τήνδε τίνα λεύσσω ποτὲ
γυναῖκα, μορφὴν εὐπρεπῆ κεκτημένην;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐ θαῦμά σ' ἡμᾶς ἀγνοεῖν, οὓς μὴ πάρος
κατεῖδες· αἰνῶ δ' ὅτι σέβεις τὸ σωφρονεῖν.

ΑΧΙΛΛΕΥΣ.

τίς δ' εἶ; τί δ' ἦλθες Δαναϊδῶν ἐς σύλλογον,
γυνὴ πρὸς ἄνδρας ἀσπίσιν πεφραγμένους;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Λήδας μέν εἰμι παῖς, Κλυταιμνήστρα δέ μοι
ὄνομα, πόσις δέ μοὐστὶν Ἀγαμέμνων ἄναξ.

ΑΧΙΛΛΕΥΣ.

καλῶς ἔλεξας ἐν βραχεῖ τὰ καίρια.
αἰσχρὸν δέ μοι γυναιξὶ συμβάλλειν λόγους.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

μεῖνον· τί φεύγεις; δεξιάν γ' ἐμῇ χερὶ
σύναψον, ἀρχὴν μακαρίαν νυμφευμάτων.

ΑΧΙΛΛΕΥΣ.

τί φῄς; ἐγώ σοι δεξιάν; αἰδοίμεθ' ἂν
Ἀγαμέμνον', εἰ ψαύοιμεν ὧν μή μοι θέμις.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

θέμις μάλιστα, τὴν ἐμὴν ἐπεὶ γαμεῖς
παῖδ', ὦ θεᾶς παῖ ποντίας Νηρηΐδος.

ΑΧΙΛΛΕΥΣ.

ποίους γάμους φῄς; ἀφασία μ' ἔχει, γύναι.
εἰ μή τι παρανοοῦσα καινουργεῖς λόγον.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πᾶσιν τόδ' ἐμπέφυκεν, αἰδεῖσθαι φίλους
καινοὺς ὁρῶσι καὶ γάμου μεμνημένοις.

ΑΧΙΛΛΕΥΣ.

οὐπώποτ' ἐμνήστευσα παῖδα σὴν, γύναι,
οὐδ' ἐξ Ἀτρειδῶν ἦλθέ μοι λόγος γάμων.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τί δῆτ' ἂν εἴη; σὺ πάλιν αὖ λόγους ἐμοὺς
θαύμαζ'· ἐμοὶ γὰρ θαύματ' ἐστὶ τὰ παρὰ σοῦ.

ΑΧΙΛΛΕΥΣ.

εἴκαζε· κοινόν ἐστιν εἰκάζειν τάδε·
ἄμφω γὰρ οὖν ψευδόμεθα τοῖς λόγοις ἴσως.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἀλλ' ἦ πέπονθα δεινά; μνηστεύω γάμους
οὐκ ὄντας, ὡς εἴξασιν· αἰδοῦμαι τάδε.

ΑΧΙΛΛΕΥΣ.

ἴσως ἐκερτόμησε κἀμὲ καὶ σέ τις.
ἀλλ' ἀμελίᾳ δὸς αὐτὰ καὶ φαύλως φέρε.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

χαῖρ'. οὐ γὰρ ὀρθοῖς ὄμμασίν σ' ἔτ' εἰσορῶ,
ψευδὴς γενομένη καὶ παθοῦσ' ἀνάξια.

ΑΧΙΛΛΕΥΣ.

καὶ σοὶ τόδ' ἐστὶν ἐξ ἐμοῦ· πόσιν δὲ σὸν
στείχω ματεύσων τῶνδε δωμάτων ἔσω.

ΠΡΕΣΒΥΤΗΣ.

ὦ ξέν', Αἰακοῦ γένεθλον, μεῖνον, ὦ σέ τοι λέγω, τὸν θεᾶς γεγῶτα παῖδα, καὶ σὲ, τὴν Λήδας κόρην.

ΑΧΙΛΛΕΥΣ.

τίς ὁ καλῶν πύλας παροίξας; ὡς τεταρβηκὼς καλεῖ.

ΠΡΕΣΒΥΤΗΣ.

δοῦλος, οὐχ ἁβρύνομαι τῷδ'· ἡ τύχη γὰρ οὐκ ἐᾷ.

ΑΧΙΛΛΕΥΣ.

τίνος; ἐμὸς μὲν οὐχί· χωρὶς τἀμὰ κἀγαμέμνονος.

ΠΡΕΣΒΥΤΗΣ.

τῆσδε τῆς πάροιθεν οἴκων, Τυνδάρεω δόντος πατρός.

ΑΧΙΛΛΕΥΣ.

ἕσταμεν· φράζ', εἴ τι χρῄζεις, ὧν μ' ἐπέσχες οὕνεκα.

ΠΡΕΣΒΥΤΗΣ.

ἦ μόνω πάροιθε δῆτα ταῖσδ' ἐφέστατον πύλαις;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὡς μόνοις λέγοις ἂν, ἔξω δ' ἐλθὲ βασιλικῶν δόμων.

ΠΡΕΣΒΥΤΗΣ.

ὦ τύχη πρόνοιά θ' ἡμὴ, σῶσον οὓς ἐγὼ θέλω.

ΑΧΙΛΛΕΥΣ.

ὁ λόγος ἐς μέλλοντ' ἀνοίσει χρόνον· ἔχει δ' ὄγκον τινά.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

δεξιᾶς ἕκατι μὴ μέλλ', εἴ τί μοι χρῄζεις λέγειν.

ΠΡΕΣΒΥΤΗΣ.

οἶσθα δῆτά γ' ὅστις ὢν σοὶ καὶ τέκνοις εὔνους ἔφυν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οἶδά σ' ὄντ' ἐγὼ παλαιὸν δωμάτων ἐμῶν λάτριν.

ΠΡΕΣΒΥΤΗΣ.

χὤτι μ' ἐν ταῖς σαῖσι φερναῖς ἔλαβεν Ἀγαμέμνων ἄναξ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἦλθες εἰς Ἄργος μεθ' ἡμῶν, κἀμὸς ἦσθ' ἀεί ποτε.

ΠΡΕΣΒΥΤΗΣ.

ὧδ' ἔχει· καὶ σοὶ μὲν εὔνους εἰμὶ, σῷ δ' ἧσσον πόσει.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἐκκάλυπτέ νύν ποθ' ἡμῖν οὕστινας λέγεις λόγους.

ΠΡΕΣΒΥΤΗΣ.

παῖδα σὴν πατὴρ ὁ φύσας αὐτόχειρ μέλλει κτενεῖν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πῶς; ἀπέπτυσ', ὦ γεραιὲ, μῦθον· οὐ γὰρ εὖ φρονεῖς.

ΠΡΕΣΒΥΤΗΣ.

φασγάνῳ λευκὴν φονεύων τῆς ταλαιπώρου δέρην.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ τάλαιν' ἐγώ. μεμηνὼς ἄρα τυγχάνει πόσις;

ΠΡΕΣΒΥΤΗΣ.

ἀρτίφρων, πλὴν ἔς σὲ καὶ σὴν παῖδα· τοῦτο δ' οὐ φρονεῖ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἐκ τίνος λόγου; τίς αὐτὸν οὑπάγων ἀλαστόρων;

ΠΡΕΣΒΥΤΗΣ.

θέσφαθ', ὥς γέ φησι Κάλχας, ἵνα πορεύηται στρατός.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ποῖ; τάλαιν' ἐγώ, τάλαινα δ' ἣν πατὴρ μέλλει κτενεῖν.

ΠΡΕΣΒΥΤΗΣ.

Δαρδάνου πρὸς δώμαθ', Ἑλένην Μενέλεως ὅπως λάβῃ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

εἰς ἄρ' Ἰφιγένειαν Ἑλένης νόστος ἦν πεπρωμένος;

ΠΡΕΣΒΥΤΗΣ.

πάντ' ἔχεις· Ἀρτέμιδι θύσειν παῖδα σὴν μέλλει πατήρ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὁ δὲ γάμος τίν' εἶχε πρόφασιν, ᾗ μ' ἐκόμισεν ἐκ δόμων;

ΠΡΕΣΒΥΤΗΣ.

ἵν' ἀγάγοις χαίρουσ' Ἀχιλλεῖ παῖδα νυμφεύσουσα σήν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ θύγατερ, ἥκεις ἐπ' ὀλέθρῳ καὶ σὺ καὶ μήτηρ σέθεν.

ΠΡΕΣΒΥΤΗΣ.

οἰκτρὰ πάσχετον δύ' οὖσαι· δεινὰ δ' Ἀγαμέμνων ἔτλη.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οἴχομαι τάλαινα, δάκρυόν τ' ὄμματ' οὐκέτι στέγει.

ΠΡΕΣΒΥΤΗΣ.

εἴπερ ἀλγεινὸν τὸ τέκνων στερομένην δακρυρροεῖν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

σὺ δὲ τάδ', ὦ γέρον, πόθεν φῂς εἰδέναι πεπυσμένος;

ΠΡΕΣΒΥΤΗΣ.

δέλτον ᾠχόμην φέρων σοι πρὸς τὰ πρὶν γεγραμμένα.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐκ ἐῶν ἢ ξυγκελεύων παῖδ' ἄγειν θανουμένην;

ΠΡΕΣΒΥΤΗΣ.

μὴ μὲν οὖν ἄγειν· φρονῶν γὰρ ἔτυχε σὸς πόσις τότ' εὖ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

κᾆτα πῶς φέρων γε δέλτον οὐκ ἐμοὶ δίδως λαβεῖν;

ΠΡΕΣΒΥΤΗΣ.

Μενέλεως ἀφείλεθ' ἡμᾶς, ὃς κακῶν τῶνδ' αἴτιος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ τέκνον Νηρῇδος, ὦ παῖ Πηλέως, κλύεις τάδε;

ΑΧΙΛΛΕΥΣ.

ἔκλυον οὖσαν ἀθλίαν σε, τὸ δ' ἐμὸν οὐ φαύλως φέρω.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

παῖδά μου κατακτενοῦσι σοῖς δολώσαντες γάμοις.

ΑΧΙΛΛΕΥΣ.

μέμφομαι κἀγὼ πόσει σῷ; κοὐχ ἁπλῶς οὕτω φέρω.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐκ ἐπαιδεσθήσομαί γε προσπεσεῖν τὸ σὸν γόνυ,
θνητὸς ἐκ θεᾶς γεγῶτα· τί γὰρ ἐγὼ σεμνύνομαι;
ἢ τίνος σπουδαστέον μοι μᾶλλον ἢ τέκνου πέρι;
ἀλλ' ἄμυνον, ὦ θεᾶς παῖ, τῇ τ' ἐμῇ δυσπραξίᾳ
τῇ τε λεχθείσῃ δάμαρτι σῇ· μάτην μέν, ἀλλ' ὅμως
σοὶ καταστέψασ' ἐγώ νιν ἦγον ὡς γαμουμένην,
νῦν δ' ἐπὶ σφαγὰς κομίζω· σοὶ δ' ὄνειδος ἵξεται,
ὅστις οὐκ ἤμυνας· εἰ γὰρ μὴ γάμοισιν ἐζύγης,
ἀλλ' ἐκλήθης γοῦν ταλαίνης παρθένου φίλος πόσις.
πρὸς γενειάδος σε, πρὸς σῆς δεξιᾶς, πρὸς μητέρος·
ὄνομα γὰρ τὸ σόν μ' ἀπώλεσ', ᾧ σ' ἀμυνθεῖν χρεών.
οὐκ ἔχω βωμὸν καταφυγεῖν ἄλλον ἢ τὸ σὸν γόνυ,
οὐδὲ φίλος οὐδεὶς γελᾷ μοι· τὰ δ' Ἀγαμέμνονος κλύεις
ὠμὰ καὶ πάντολμ'· ἀφῖγμαι δ', ὥσπερ εἰσορᾷς, γυνὴ
ναυτικὸν στράτευμ' ἄναρχον κἀπὶ τοῖς κακοῖς θρασύ,
χρήσιμον δ', ὅταν θέλωσιν. ἢν δὲ τολμήσῃ σύ μου
χεῖρ' ὑπερτεῖναι, σεσώσμεθ'· εἰ δὲ μή, οὐ σεσώσμεθα.

ΧΟΡΟΣ.

δεινὸν τὸ τίκτειν, καὶ φέρει φίλτρον μέγα
πᾶσίν τε κοινόν, ὥσθ' ὑπερκάμνειν τέκνων.

ΑΧΙΛΛΕΥΣ.

ὑψηλόφρων μοι θυμὸς αἴρεται πρόσω,
ἐπίσταται δὲ τοῖς κακοῖσί τ' ἀσχαλᾶν
μετρίως τε χαίρειν τοῖσιν ἐξωγκωμένοις.
λελογισμένοι γὰρ οἱ τοιοίδ' εἰσὶν βροτῶν,
ὀρθῶς διαζῆν τὸν βίον γνώμης μέτα.
ἔστιν μὲν οὖν ἵν' ἡδὺ μὴ λίαν φρονεῖν,
ἔστιν δὲ χὤπου χρήσιμον γνώμην ἔχειν.
ἐγὼ δ' ἐν ἀνδρὸς εὐσεβεστάτου τραφεὶς
Χείρωνος, ἔμαθον τοὺς τρόπους ἁπλοῦς ἔχειν.
καὶ τοῖς Ἀτρείδαις, ἢν μὲν ἡγῶνται καλῶς,
πεισόμεθ'· ὅταν δὲ μὴ καλῶς, οὐ πείσομαι.
ἀλλ' ἐνθάδ' ἐν Τροίᾳ τ' ἐλευθέραν φύσιν
παρέχων, Ἄρη τὸ κατ' ἐμὲ κοσμήσω δορί.
σὲ δ', ὦ σχέτλια παθοῦσα πρὸς τῶν φιλτάτων,
ἃ δὴ κατ' ἄνδρα γίγνεται νεανίαν,
τοσοῦτον οἶκτον περιβαλὼν καταστελῶ,
κοὔποτε κόρη σὴ πρὸς πατρὸς σφαγήσεται,
ἐμὴ φατισθεῖσ'· οὐ γὰρ ἐμπλέκειν πλοκὰς
ἐγὼ παρέξω σῷ πόσει τοὐμὸν δέμας.
τοὔνομα γάρ, εἰ καὶ μὴ σίδηρον ἤρατο,
τοὐμὸν φονεύσει παῖδα σήν. τὸ δ' αἴτιον
πόσις σός· ἁγνὸν δ' οὐκέτ' ἐστὶ σῶμ' ἐμόν,
εἰ δι' ἔμ' ὀλεῖται διά τε τοὺς ἐμοὺς γάμους
ἡ δεινὰ τλᾶσα κοὐκ ἀνεκτὰ παρθένος,
θαυμαστὰ δ' ὡς ἀνάξι' ἠτιμασμένη.
ἐγὼ κάκιστος ἦν ἄρ' Ἀργείων ἀνήρ,
ἐγὼ τὸ μηδέν, Μενέλεως δ' ἐν ἀνδράσιν,
ὡς οὐχὶ Πηλέως, ἀλλ' ἀλάστορος γεγώς,
εἴπερ φονεύσει τοὐμὸν ὄνομα σῷ πόσει.
μὰ τὸν δι' ὑγρῶν κυμάτων τεθραμμένον

Νηρέα, φυτουργὸν Θέτιδος, ἥ μ' ἐγείνατο,
οὐχ ἅψεται σῆς θυγατρὸς Ἀγαμέμνων ἄναξ,
οὐδ' εἰς ἄκραν χεῖρ', ὥστε προσβαλεῖν πέπλοις·
ἢ Σίπυλος ἔσται πόλις, ὅρισμα βαρβάρων,
ὅθεν πεφύκασ' οἱ στρατηλάται γένος,
Φθίας δὲ τοὔνομ' οὐδαμοῦ κεκλήσεται.
πικροὺς δὲ προχύτας χέρνιβάς τ' ἐνάρξεται
Κάλχας ὁ μάντις. τίς δὲ μάντις ἔστ' ἀνὴρ,
ὃς ὀλίγ' ἀληθῆ, πολλὰ δὲ ψευδῆ λέγει
τυχὼν, ὅταν δὲ μὴ τύχῃ, διοίχεται;
οὐ τῶν γάμων ἕκατι, μυρίαι κόραι
θηρῶσι λέκτρον τοὐμὸν, εἴρηται τόδε·
ἀλλ' ὕβριν ἐς ἡμᾶς ὕβρισ' Ἀγαμέμνων ἄναξ·
χρῆν δ' αὐτὸν αἰτεῖν τοὐμὸν ὄνομ' ἐμοῦ πάρα,
θήραμα παιδός· ἡ Κλυταιμνήστρα δέ μοι
μάλιστ' ἐπείσθη θυγατέρ' ἐκδοῦναι πόσει.
ἔδωκά τἂν Ἕλλησιν, εἰ πρὸς Ἴλιον
ἐν τῷδ' ἔκαμνε νόστος· οὐκ ἠρνούμεθ' ἂν
τὸ κοινὸν αὔξειν ὧν μέτ' ἐστρατευόμην.
νῦν δ' οὐδέν εἰμι παρά γε τοῖς στρατηλάταις,
ἐν εὐμαρεῖ τε δρᾶν τε καὶ μὴ δρᾶν καλῶς.
τάχ' εἴσεται σίδηρος, ὃν πρὶν ἐς Φρύγας
ἐλθεῖν φόνου, κηλῖσιν αἵματος χρανῶ,
εἴ τίς με τὴν σὴν θυγατέρ' ἐξαιρήσεται.
ἀλλ' ἡσύχαζε· θεὸς ἐγὼ πέφηνά σοι
μέγιστος, οὐκ ὤν· ἀλλ' ὅμως γενήσομαι.

ΧΟΡΟΣ.

ἔλεξας, ὦ παῖ Πηλέως, σοῦ τ' ἄξια
καὶ τῆς ἐναλίας δαίμονος, σεμνῆς θεοῦ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

φεῦ·
πῶς ἄν σ' ἐπαινέσαιμι μὴ λίαν λόγοις,
μήτ' ἐνδεὴς τοῦδ' ἀπολέσαιμι τὴν χάριν;
αἰνούμενοι γὰρ ἀγαθοὶ τρόπον τινὰ
μισοῦσι τοὺς αἰνοῦντας, ἢν αἰνῶσ' ἄγαν.
αἰσχύνομαι δὲ παραφέρουσ' οἰκτροὺς λόγους,
ἰδίᾳ νοσοῦσα· σὺ δ' ἄνοσος κακῶν ἐμῶν.
ἀλλ' οὖν ἔχει τι σχῆμα, κἂν ἄπωθεν ᾖ,
ἀνὴρ ὁ χρηστὸς δυστυχοῦντας ὠφελῶν.
οἴκτειρε δ' ἡμᾶς· οἰκτρὰ γὰρ πεπόνθαμεν,
ἣ πρῶτα μέν σε γαμβρὸν οἰηθεῖσ' ἔχειν,
κενὴν κατέσχον ἐλπίδ'· εἶτά σοι τάχα
ὄρνις γένοιτ' ἂν τοῖσι μέλλουσιν γάμοις
θανοῦσ' ἐμὴ παῖς, ὅ σε φυλάξασθαι χρεών.
ἀλλ' εὖ μὲν ἀρχὰς εἶπας, εὖ δὲ καὶ τέλη·
σοῦ γὰρ θέλοντος παῖς ἐμὴ σωθήσεται.
βούλει νιν ἱκέτιν σὸν περιπτύξαι γόνυ;
ἀπαρθένευτα μὲν τάδ'· εἰ δέ σοι δοκεῖ,
ἥξει, δι' αἰδοῦς ὄμμ' ἔχουσ' ἐλεύθερον·
ἢ μὴ παρούσης ταῦτα τεύξομαι σέθεν;

ΑΧΙΛΛΕΥΣ.

μενέτω κατ' οἴκους· σεμνὰ γὰρ σεμνύνεται.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὅμως δ' ὅσον γε δυνατὸν αἰδεῖσθαι χρεών.

ΑΧΙΛΛΕΥΣ.

σὺ μήτε σὴν παῖδ' ἔξαγ' ὄψιν εἰς ἐμὴν,
μήτ' εἰς ὄνειδος ἀμαθὲς ἔλθωμεν, γύναι·
στρατὸς γὰρ ἀθρόος ἀργὸς ὢν τῶν οἴκοθεν
λέσχας πονηρὰς καὶ κακοστόμους φιλεῖ.
πάντως δέ μ' ἱκετεύοντες ἥξετ' εἰς ἴσον
ἤν τ' ἀνικέτευτος ᾖς· ἐμοὶ γὰρ ἔστ' ἀγὼν
μέγιστος ὑμᾶς ἐξαπαλλάξαι κακῶν.
ὡς ἕν γ' ἀκούσασ' ἴσθι μὴ ψευδῶς μ' ἐρεῖν·
ψευδῆ λέγων δὲ καὶ μάτην σ' ἐγκερτομῶν
θάνοιμι, μὴ θάνοιμι δ', ἢν σώσω κόρην.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὄναιο συνεχῶς δυστυχοῦντας ὠφελῶν.

ΑΧΙΛΛΕΥΣ.

ἄκουε δή νυν, ἵνα τὸ πρᾶγμ' ἔχῃ καλῶς.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τί τοῦτ' ἔλεξας; ὡς ἀκουστέον γέ σου.

ΑΧΙΛΛΕΥΣ.

πείθωμεν αὖθις πατέρα βέλτιον φρονεῖν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

κακός τίς ἐστι καὶ λίαν ταρβεῖ στρατόν.

ΑΧΙΛΛΕΥΣ.

ἀλλ' οἱ λόγοι γε καταπαλαίουσιν λόγους.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ψυχρὰ μὲν ἐλπίς· ὅ τι δὲ χρή με δρᾶν φράσον.

ΑΧΙΛΛΕΥΣ.

ἱκέτευ' ἐκεῖνον πρῶτα μὴ κτείνειν τέκνα·
ἢν δ' ἀντιβαίνῃ, πρὸς ἐμέ σοι πορευτέον.
εἰ γὰρ τὸ χρῇζον ἐπίθετ', οὐ τοὐμὸν χρεὼν
χωρεῖν· ἔχει γὰρ τοῦτο τὴν σωτηρίαν.
κἀγώ τ' ἀμείνων πρὸς φίλον γενήσομαι,
στρατός τ' ἂν οὐ μέμψαιτό μ', εἰ τὰ πράγματα
λελογισμένως πράσσοιμι μᾶλλον ἢ σθένει.
καλῶς δὲ κρανθέντων πρὸς ἡδονὴν φίλοις
σοί τ' ἂν γένοιτο κἂν ἐμοῦ χωρὶς τάδε.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὡς σώφρον' εἶπας. δραστέον δ' ἅ σοι δοκεῖ.
ἢν δ' αὖ τὰ μὴ πράσσωμεν ἃν ἐγὼ θέλω,
ποῦ σ' αὖθις ὀψόμεσθα; ποῦ χρή μ' ἀθλίαν
ἐλθοῦσαν εὑρεῖν σὴν χέρ' ἐπίκουρον κακῶν;

ΑΧΙΛΛΕΥΣ.

ἡμεῖς σε φύλακες οὗ χρεὼν φυλάσσομεν,
μή τίς σ' ἴδῃ στείχουσαν ἐπτοημένην
Δαναῶν δι' ὄχλου· μηδὲ πατρῷον δόμον
αἴσχυν'· ὁ γάρτοι Τυνδάρεως οὐκ ἄξιος
κακῶς ἀκούειν· ἐν γὰρ Ἕλλησιν μέγας.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἔσται τάδ'. ἄρχε· σοί με δουλεύειν χρεών.
εἰ δ' εἰσὶ θεοὶ, δίκαιος ὢν ἀνὴρ σύ γε
ἐσθλῶν κυρήσεις· εἰ δὲ μὴ, τί δεῖ πονεῖν;

ΧΟΡΟΣ.

τίς ἄρ' ὑμέναιος διὰ λωτοῦ Λίβυος
μετά τε φιλοχόρου κιθάρας
συρίγγων θ' ὑπὸ καλαμοεσ-
σᾶν ἔστασαν ἰαχὰν,
ὅτ' ἀνὰ Πήλιον αἱ καλλιπλόκαμοι
Πιερίδες ἐν δαιτὶ θεῶν
χρυσεοσάνδαλον ἴχνος
ἐν γᾷ κρούουσαι
Πηλέως εἰς γάμον ἦλθον,
μελῳδοῖς Θέτιν ἀχήμασι τόν τ' Αἰακίδαν
Κενταύρων ἀν' ὄρεσι κλέουσαι
Πηλιάδα καθ' ὕλαν.
ὁ δὲ Δαρδανίδας, Διὸς
λέκτρων τρύφημα φίλον,

1036 — 1057. == 1058 — 1079.

χρυσέοισιν ἄφυσσε λοιβὰν
ἐν κρατήρων γυάλοις,
ὁ Φρύγιος Γανυμήδης.
παρὰ δὲ λευκοφαῆ
ψάμαθον εἱλισσόμεναι
κύκλια πεντήκοντα κόραι
Νηρῆος γάμους ἐχόρευσαν.
ἀνὰ δ' ἐλάταισι στεφανώδει τε χλόᾳ
θίασος ἔμολεν ἱπποβότας
Κενταύρων ἐπὶ δαῖτα τὰν
θεῶν κρατῆρά τε Βάκχου.
μέγα δ' ἀνέκλαγον, ὦ Νηρὴ κόρα,
παῖδες Θεσσαλαὶ, μέγα φῶς,
μάντις ὁ Φοῖβος, ὁ Μουσᾶν τ'
εἰδὼς, γεννάσεις,
Χείρων ἐξωνόμασεν,
ὃς ἥξει χθόνα λογχήρεσι σὺν Μυρμιδόνων
ἀσπισταῖσι Πριάμοιο κλεινὰν
γαῖαν ἐκπυρώσων,
περὶ σώματι χρυσέων
ὅπλων Ἡφαιστοπόνων
κεκορυθμένος ἔνδυτ' ἐκ θεᾶς
ματρὸς δωρήματ' ἔχων
Θέτιδος, ἅ νιν ἔτικτε
μακάριον. τότε δαί-
μονες τᾶς εὐπατρίδος
γάμον Νηρηΐδος ἔθεσαν
πρώτας Πηλέως θ' ὑμεναίους.
σὲ δ' ἐπὶ κάρα στέψουσι καλλικόμαν
πλόκαμον Ἀργεῖοι, βαλιὰν
ὥστε πετραίων ἀπ' ἄντρων
ἐλθοῦσαν ὀρέων μόσχον ἀκήρατον,
βρότειον αἱμάσσοντες λαιμόν·
οὐ σύριγγι τραφεῖσαν, οὐδ'
ἐν ῥοιβδήσει βουκόλων,
παρὰ δὲ μητέρι νυμφοκόμον
Ἰναχίδαις γάμον.
ποῦ τὸ τᾶς αἰδοῦς ἢ τὸ τᾶς
ἀρετᾶς δύνασιν ἔχει
σθένειν τι πρόσωπον;
ὁπότε τὸ μὲν ἄσεπτον ἔχει
δύναμιν, ἁ δ' ἀρετὰ κατόπι-
σθεν θνατοῖς ἀμελεῖται,
ἀνομία δὲ νόμων κρατεῖ,
καὶ κοινὸς ἀγὼν βροτοῖς,
μή τις θεῶν φθόνος ἔλθῃ.

*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*

ἐξῆλθον οἴκων προσκοπουμένη πόσιν,
χρόνιον ἀπόντα κἀκλελοιπότα στέγας.
ἐν δακρύοισι δ' ἡ τάλαινα παῖς ἐμὴ,
πολλὰς ἱεῖσα μεταβολὰς ὀδυρμάτων,
θάνατον ἀκούσασ', ὃν πατὴρ βουλεύεται.
μνήμην δ' ἄρ' εἴχον πλησίον βεβηκότος
Ἀγαμέμνονος τοῦδ', ὃς ἐπὶ τοῖς αὑτοῦ τέκνοις
ἀνόσια πράσσων αὐτίχ' εὑρεθήσεται.

*ΑΓΑΜΕΜΝΩΝ.*

Λήδας γένεθλον, ἐν καλῷ σ' ἔξω δόμων
εὕρηχ', ἵν' εἴπω παρθένου χωρὶς λόγους
οὓς οὐκ ἀκούειν τὰς γαμουμένας πρέπει.

*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*

τί δ' ἔστιν, οὗ σοι καιρὸς ἀντιλάζυται;

*ΑΓΑΜΕΜΝΩΝ.*

ἔκπεμπε παῖδα δωμάτων πατρὸς μέτα·
ὡς χέρνιβες πάρεισιν εὐτρεπισμέναι,
προχύται τε βάλλειν πῦρ καθάρσιον χεροῖν,
μόσχοι τε, πρὸ γάμων ἃς θεᾷ πεσεῖν χρεὼν
Ἀρτέμιδι, μέλανος αἵματος φυσήματα.

*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*

τοῖς ὀνόμασιν μὲν εὖ λέγεις, τὰ δ' ἔργα σου
οὐκ οἶδ' ὅπως χρή μ' ὀνομάσασαν εὖ λέγειν.
χώρει δὲ, θύγατερ, ἐκτὸς, οἶσθα γὰρ πατρὸς
πάντως ἃ μέλλει, χὐπὸ σοῖς πέπλοις ἄγε
λαβοῦσ' Ὀρέστην, σὸν κασίγνητον, τέκνον.
ἰδοὺ πάρεστιν ἥδε πειθαρχοῦσά σοι.
τὰ δ' ἄλλ' ἐγὼ πρὸ τῆσδε κἀμαυτῆς φράσω.

*ΑΓΑΜΕΜΝΩΝ.*

τέκνον, τί κλαίεις, οὐδ' ἔθ' ἡδέως μ' ὁρᾷς,
ἐς γῆν δ' ἐρείσασ' ὄμμα πρόσθ' ἔχεις πέπλο[υς]

*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*

φεῦ·
τίν' ἂν λάβοιμι τῶν ἐμῶν ἀρχὴν κακῶν;
ἅπασι γὰρ πρώτοισι χρήσασθαι πάρα,
κἀν ὑστάτοισι, κἀν μέσοισι πανταχοῦ.

*ΑΓΑΜΕΜΝΩΝ.*

τί δ' ἔστιν; ὥς μοι πάντες εἰς ἓν ἥκετε,
σύγχυσιν ἔχοντες καὶ ταραγμὸν ὀμμάτων.

*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*

εἴφ' ἂν ἐρωτήσω σε γενναίως, πόσι.

*ΑΓΑΜΕΜΝΩΝ.*

οὐδὲν κελευσμοῦ δεῖ γ', ἐρωτᾶσθαι θέλω.

*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*

τὴν παῖδα τὴν σὴν τήν τ' ἐμὴν μέλλεις κτεν[εῖν;]

*ΑΓΑΜΕΜΝΩΝ.*

ἔα·
τλήμονά γ' ἔλεξας, ὑπονοεῖς θ' ἃ μή σε χρ[ή.]

*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*

ἔχ' ἥσυχος,
κἀκεῖνό μοι τὸ πρῶτον ἀπόκριναι πάλιν.

*ΑΓΑΜΕΜΝΩΝ.*

σὺ δ' ἤν γ' ἐρωτᾷς εἰκότ', εἰκότ' ἂν κλύοι[ς.]

*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*

οὐκ ἄλλ' ἐρωτῶ, καὶ σὺ μὴ λέγ' ἄλλα μοι.

*ΑΓΑΜΕΜΝΩΝ.*

ὦ πότνια μοῖρα καὶ τύχη δαίμων τ' ἐμός.

*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*

κἀμός γε καὶ τῆσδ', εἷς τριῶν δυσδαιμόνων.

*ΑΓΑΜΕΜΝΩΝ.*

τί δ' ἠδίκησαι;

*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*

τοῦτ' ἐμοῦ πεύθει πάρα;
ὁ νοῦς ὅδ' αὐτὸς νοῦν ἔχων οὐ τυγχάνει.

*ΑΓΑΜΕΜΝΩΝ.*

ἀπωλόμεσθα. προδέδοται τὰ κρυπτά μου.

*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*

πάντ' οἶδα καὶ πεπύσμεθ' ἃ σὺ μέλλεις με δ[ρᾶν·]
αὐτὸ δὲ τὸ σιγᾶν ὁμολογοῦντός ἐστί σου
καὶ τὸ στενάζειν πολλά. μὴ κάμῃς λέγων.

*ΑΓΑΜΕΜΝΩΝ.*

*ἰδοὺ σιωπῶ· τὸ γὰρ ἀναίσχυντον τί δεῖ*
*ψευδῆ λέγοντα προσλαβεῖν τῇ συμφορᾷ;*

*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*

*ἄκουε δή νυν· ἀνακαλύψω γὰρ λόγους,*
*κοὐκέτι παρῳδοῖς χρησόμεσθ᾿ αἰνίγμασιν.*
*πρῶτον μὲν, ἵνα σοι πρῶτα τοῦτ᾿ ὀνειδίσω,*
*ἔγημας ἄκουσάν με κἄλαβες βίᾳ,*
*τὸν πρόσθεν ἄνδρα Τάνταλον κατακτανὼν,*
*βρέφος τε τοὐμὸν ζῶν προσούδισας πέδῳ,*
*μαστῶν βιαίως τῶν ἐμῶν ἀποσπάσας.*
*καὶ τὼ Διός σε παῖδ᾿, ἐμὼ δὲ συγγόνω,*
*ἵπποισι μαρμαίροντ᾿ ἐπεστρατευσάτην·*
*πατὴρ δὲ πρέσβυς Τυνδάρεώς σ᾿ ἐρρύσατο*
*ἱκέτην γενόμενον, τἀμὰ δ᾿ ἔσχες αὖ λέχη.*
*οὗ σοι καταλλαχθεῖσα περὶ σὲ καὶ δόμους*
*συμμαρτυρήσεις ὡς ἄμεμπτος ἦν γυνὴ,*
*ἔς τ᾿ Ἀφροδίτην σωφρονοῦσα καὶ τὸ σὸν*
*μέλαθρον αὔξουσ᾿, ὥστε σ᾿ εἰσιόντα τε*
*χαίρειν θύραζέ τ᾿ ἐξιόντ᾿ εὐδαιμονεῖν.*
*σπάνιον δὲ θήρευμ᾿ ἀνδρὶ τοιαύτην λαβεῖν*
*δάμαρτα· φλαύραν δ᾿ οὐ σπάνις γυναῖκ᾿ ἔχειν.*
*τίκτω δ᾿ ἐπὶ τρισὶ παρθένοισι παῖδά σοι*
*τόνδ᾿, ὧν μιᾶς σὺ τλημόνως μ᾿ ἀποστερεῖς.*
*κἄν τίς σ᾿ ἔρηται τίνος ἕκατί νιν κτενεῖς,*
*λέξον τί φήσεις, ἢ ᾿μὲ χρὴ λέγειν τὰ σά;*
*Ἑλένην Μενέλαος ἵνα λάβῃ. καλόν γ᾿ ἔθος*
*κακῆς γυναικὸς μισθὸν ἀποτῖσαι τέκνα.*
*τἄχθιστα τοῖσι φιλτάτοις ὠνούμεθα.*
*ἄγ᾿, εἰ στρατεύσει καταλιπών μ᾿ ἐν δώμασι,*
*κἀκεῖ γενήσει διὰ μακρᾶς ἀπουσίας,*
*τίν᾿ ἐν δόμοις με καρδίαν ἕξειν δοκεῖς,*
*ὅταν θρόνους τῆσδ᾿ εἰσίδω πάντας κενοὺς,*
*κενοὺς δὲ παρθενῶνας, ἐπὶ δὲ δακρύοις*
*μόνη κάθωμαι, τήνδε θρηνῳδοῦσ᾿ ἀεὶ,*
*ἀπώλεσέν σ᾿, ὦ τέκνον, ὁ φιτύσας πατὴρ,*
*αὐτὸς κτανὼν, οὐκ ἄλλος, οὐδ᾿ ἄλλῃ χερὶ,*
*τοιόνδε μισθὸν καταλιπὼν πρὸς τοὺς δόμους.*
*ἐπεὶ βραχείας προφάσεως ἐνδεῖ μόνον,*
*ἐφ᾿ ᾗ σ᾿ ἐγὼ καὶ παῖδες αἱ λελειμμέναι*
*δεξόμεθα δέξιν ἥν σε δέξασθαι χρεών.*
*μὴ δῆτα πρὸς θεῶν μήτ᾿ ἀναγκάσῃς ἐμὲ*
*κακὴν γενέσθαι περὶ σὲ μήτ᾿ αὐτὸς γένῃ.*
*εἶεν·*
*θύσεις δὲ τὴν παῖδ᾿· ἔνθα τίνας εὐχὰς ἐρεῖς;*
*τί σοι κατεύξει τἀγαθὸν, σφάζων τέκνον,*
*νόστον πονηρὸν οἴκοθέν γ᾿ αἰσχρῶς ἰών;*
*ἀλλ᾿ ἐμὲ δίκαιον ἀγαθὸν εὔχεσθαί τί σοι;*
*ἦ τἄρ᾿ ἀσυνέτους τοὺς θεοὺς ἡγοίμεθ᾿ ἂν,*
*εἰ τοῖσιν αὐθένταισιν εὖ φρονήσομεν.*
*ἥκων δ᾿ ἐς Ἄργος προσπεσεῖ τέκνοισι σοῖς;*
*ἀλλ᾿ οὐ θέμις σοι. τίς δὲ καὶ προσβλέψεται*
*παίδων σ᾿, ἐὰν αὐτῶν προθέμενος κτάνῃς τινά;*
*ταῦτ᾿ ἦλθον ἤδη διὰ λόγων, ἢ σκῆπτρά σοι*
*μόνον διαφέρειν καὶ στρατηλατεῖν σε δεῖ,*
*ὃν χρῆν δίκαιον λόγον ἐν Ἀργείοις λέγειν,*
*βούλεσθ᾿, Ἀχαιοὶ, πλεῖν Φρυγῶν ἐπὶ χθόνα;*
*κλῆρον τίθεσθε, παῖδ᾿ ὅτου θανεῖν χρεών,*
*ἐν ἴσῳ γὰρ ἦν τόδ᾿, ἀλλὰ μή σ᾿ ἐξαίρετον*
*σφάγιον παρασχεῖν Δαναΐδαισι παῖδα σὴν,*
*ἢ Μενέλεων πρὸ μητρὸς Ἑρμιόνην κτανεῖν,*
*οὗπερ τὸ πρᾶγμ᾿ ἦν. νῦν δ᾿ ἐγὼ μὲν ἡ τὸ σὸν*
*σώζουσα λέκτρον παιδὸς ὑστερήσομαι,*
*ἡ δ᾿ ἐξαμαρτοῦσ᾿, ὑπότροφον νεάνιδα*
*Σπάρτῃ κομίζουσ᾿, εὐτυχὴς γενήσεται.*
*τούτων ἄμειψαί μ᾿ εἴ τι μὴ καλῶς λέγω·*
*εἰ δ᾿ εὖ λέλεκται νῷ, μὴ δή γε κτάνῃς*
*τὴν σήν τε κἀμὴν παῖδα, καὶ σώφρων ἔσει.*

*ΧΟΡΟΣ.*

*πιθοῦ. τὸ γάρτοι τέκνα συσσώζειν καλὸν,*
*Ἀγάμεμνον· οὐδεὶς πρὸς τάδ᾿ ἀντείπῃ βροτῶν.*

*ΙΦΙΓΕΝΕΙΑ.*

*εἰ μὲν τὸν Ὀρφέως εἶχον, ὦ πάτερ, λόγον,*
*πείθειν ἐπᾴδουσ᾿, ὥσθ᾿ ὁμαρτεῖν μοι πέτρας,*
*κηλεῖν τε τοῖς λόγοισιν οὓς ἐβουλόμην,*
*ἐνταῦθ᾿ ἂν ἦλθον. νῦν δὲ τἀπ᾿ ἐμοῦ σοφὰ,*
*δάκρυα παρέξω· ταῦτα γὰρ δυναίμεθ᾿ ἄν.*
*ἱκετηρίαν δὲ γόνασιν ἐξάπτω σέθεν*
*τὸ σῶμα τοὐμὸν, ὅπερ ἔτικτεν ἥδε σοι,*
*μή μ᾿ ἀπολέσῃς ἄωρον· ἡδὺ γὰρ τὸ φῶς*
*βλέπειν· τὰ δ᾿ ὑπὸ γῆν μή μ᾿ ἰδεῖν ἀναγκάσῃς.*
*πρώτη σ᾿ ἐκάλεσα πατέρα, καὶ σὺ παῖδ᾿ ἐμέ·*
*πρώτη δὲ γόνασι σοῖσι σῶμα δοῦσ᾿ ἐμὸν*
*φίλας χάριτας ἔδωκα κἀντεδεξάμην.*
*λόγος δ᾿ ὁ μὲν σὸς ἦν ὅδ᾿· ἆρά σ᾿, ὦ τέκνον,*
*εὐδαίμον᾿ ἀνδρὸς ἐν δόμοισιν ὄψομαι,*
*ζῶσάν τε καὶ θάλλουσαν ἀξίως ἐμοῦ;*
*οὑμὸς δ᾿ ὅδ᾿ ἦν αὖ, περὶ σὸν ἐξαρτωμένης*
*γένειον, οὗ νῦν ἀντιλάζομαι χερί·*
*τί δ᾿ ἆρ᾿ ἐγὼ σὲ, πρέσβυν ἆρ᾿ ἐσδέξομαι*
*ἐμῶν φίλαισιν ὑποδοχαῖς δόμων, πάτερ,*
*πόνων τιθηνοὺς ἀποδιδοῦσά σοι τροφάς;*
*τούτων ἐγὼ μὲν τῶν λόγων μνήμην ἔχω,*
*σὺ δ᾿ ἐπιλέλησαι, καί μ᾿ ἀποκτεῖναι θέλεις.*
*μὴ πρός σε Πέλοπος καὶ πρὸς Ἀτρέως πατρὸς*
*καὶ τῆσδε μητρὸς, ἣ πρὶν ὠδίνουσ᾿ ἐμὲ*
*νῦν δευτέραν ὠδῖνα τήνδε λαμβάνει.*
*τί μοι μέτεστι τῶν Ἀλεξάνδρου γάμων*
*Ἑλένης τε; πόθεν ἦλθ᾿ ἐπ᾿ ὀλέθρῳ τὠμῷ, πάτερ;*
*βλέψον πρὸς ἡμᾶς, ὄμμα δὸς φίλημά τε,*
*ἵν᾿ ἀλλὰ τοῦτο κατθανοῦσ᾿ ἔχω σέθεν*
*μνημεῖον, ἢν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις.*
*ἀδελφὲ, μικρὸς μὲν σύ γ᾿ ἐπίκουρος φίλοις,*
*ὅμως δὲ συνδάκρυσον, ἱκέτευσον πατρὸς*
*τὴν σὴν ἀδελφὴν μὴ θανεῖν· αἴσθημά τι*
*κἀν νηπίοις γε τῶν κακῶν ἐγγίγνεται.*
*ἰδοὺ σιωπῶν λίσσεταί σ᾿ ὅδ᾿, ὦ πάτερ.*
*ἀλλ᾿ αἴδεσαί με καὶ κατοίκτειρον βίον.*
*ναὶ, πρὸς γενείου σ᾿ ἀντόμεσθα δύο φίλω·*
*ὁ μὲν νεοσσός ἐστιν, ἡ δ᾿ ηὐξημένη.*
*ἓν συντεμοῦσα πάντα νικήσω λόγον·*
*τὸ φῶς τόδ᾿ ἀνθρώποισιν ἥδιστον βλέπειν,*
*τὰ νέρθε δ᾿ οὐδέν· μαίνεται δ᾿ ὃς εὔχεται*
*θανεῖν. κακῶς ζῆν κρεῖσσον ἢ θανεῖν καλῶς.*

*ΧΟΡΟΣ.*

*ὦ τλῆμον Ἑλένη, διὰ σὲ καὶ τοὺς σοὺς γάμους*
*ἀγὼν Ἀτρείδαις καὶ τέκνοις ἥκει μέγας.*

*ΑΓΑΜΕΜΝΩΝ.*

*ἐγὼ τά τ᾿ οἰκτρὰ συνετός εἰμι καὶ τὰ μὴ,*
*φιλῶ τ᾿ ἐμαυτοῦ τέκνα· μαινοίμην γὰρ ἄν.*

δεινῶς δ' ἔχει με ταῦτα τολμῆσαι, γύναι,
δεινῶς δὲ καὶ μή· τοῦτο γὰρ πρᾶξαί με δεῖ.
ὁρᾶθ' ὅσον στράτευμα ναύφρακτον τόδε,
χαλκέων θ' ὅπλων ἄνακτες Ἑλλήνων ὅσοι,
οἷς νόστος οὐκ ἔστ' Ἰλίου πύργους ἔπι,
εἰ μή σε θύσω, μάντις ὡς Κάλχας λέγει,
οὐδ' ἔστι Τροίας ἐξελεῖν κλεινὸν βάθρον.
μέμηνε δ' Ἀφροδίτη τις Ἑλλήνων στρατῷ
πλεῖν ὡς τάχιστα βαρβάρων ἐπὶ χθόνα,
παῦσαί τε λέκτρων ἁρπαγὰς Ἑλληνικῶν·
οἳ τὰς ἐν Ἄργει παρθένους κτενοῦσί μου
ὑμᾶς τε κἀμὲ, θέσφατ' εἰ λύσω θεᾶς.
οὐ Μενέλεώς με καταδεδούλωται, τέκνον,
οὐδ' ἐπὶ τὸ κείνου βουλόμενον ἐλήλυθα,
ἀλλ' Ἑλλὰς, ᾗ δεῖ, κἂν θέλω κἂν μὴ θέλω,
θῦσαί σε· τούτου δ' ἥσσονες καθέσταμεν.
ἐλευθέραν γὰρ δεῖ νιν, ὅσον ἐν σοὶ, τέκνον,
κἀμοὶ, γενέσθαι, μηδὲ βαρβάροις ὕπο
Ἕλληνας ὄντας λέκτρα συλᾶσθαι βίᾳ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ τέκνον, ὦ ξέναι,
οἲ 'γὼ θανάτου τοῦ σοῦ μελέα.
φεύγει σε πατὴρ Ἅιδῃ παραδούς.

ΙΦΙΓΕΝΕΙΑ.

οἲ 'γὼ, μῆτερ μῆτερ. ταυτὸν
μέλος εἰς ἄμφω πέπτωκε τύχης,
κοὐκέτι μοι φῶς,
οὐδ' ἀελίου τόδε φέγγος.
ἰὼ ἰώ.
νιφόβολον Φρυγῶν νάπος
Ἴδας τ' ὄρεα, Πρίαμος ὅθι ποτὲ βρέφος
ἁπαλὸν ἔβαλε ματρὸς ἀποπρὸ νοσφίσας,
ἐπὶ μόρῳ θανατόεντι,
Πάριν, ὃς Ἰδαῖος Ἰδαῖος ἐλέγετ'
ἐλέγετ' ἐν Φρυγῶν πόλει.
μή ποτ' ὤφελεν τὸν ἀμφὶ
βουσὶ βουκόλον τραφέντ'
Ἀλέξανδρον οἰκίσαι
ἀμφὶ τὸ λευκὸν ὕδωρ, ὅθι κρῆναι
Νυμφᾶν κεῖνται
λειμών τ' ἄνθεσι θάλλων χλωροῖς,
καὶ ῥοδόεντ' ἄνθεά θ' ὑακίνθινά τε θεαῖσι
δρέπειν·
ἔνθα ποτὲ Παλλὰς ἔμολε
καὶ δολιόφρων Κύπρις Ἥρα θ'
Ἑρμᾶς θ', ὁ Διὸς ἄγγελος,
ἁ μὲν ἐπὶ πόθῳ τρυφῶσα Κύπρις,
ἁ δὲ δορὶ Παλλὰς, Ἥρα τε Διὸς ἄ-
νακτος εὐναῖσιν βασιλίσι,
κρίσιν ἐπὶ στυγνὰν ἔριν τε καλλονᾶς,
ἐμὸν ἐμὸν δὲ θάνατον, ὄνομα
μὲν φέροντα Δαναΐδαισιν,
ὦ κόραι, προθύματ' ἔλαβεν
Ἄρτεμις πρὸς Ἴλιον.
ὁ δὲ τεκών με τὰν τάλαιναν,
ὦ μᾶτερ, ὦ μᾶτερ,
οἴχεται προδοὺς ἔρημον.
ὦ δυστάλαιν' ἐγὼ, πικρὰν
πικρὰν ἰδοῦσα δυσελέναν,
φονεύομαι, διόλλυμαι
σφαγαῖσιν ἀνοσίοισιν ἀνοσίου πατρός.
μή μοι ναῶν χαλκεμβολάδων
πρύμνας ἅδ' Αὖλις δέξασθαι
τούσδ' εἰς ὅρμους εἰς Τροίαν
ὤφελεν ἐλάταν πομπαίαν·
μήτ' ἀνταίαν
Εὐρίπῳ πνεῦσαι πομπὰν
Ζεὺς μειλίσσων αὔραν ἄλλοις
ἄλλαν θνατῶν λαίφεσι χαίρειν,
τοῖσι δὲ λύπαν, τοῖσι δ' ἀνάγκαν,
τοῖς δ' ἐξορμᾶν, τοῖς δὲ στέλλειν,
τοῖσι δὲ μέλλειν.
ἦ πολύμοχθον ἄρ' ἦν γένος
ἦ πολύμοχθον ἁμερίων,
χρεὼν δέ τι δύσποτμον ἀνδράσιν ἀνευρεῖν.
ἰὼ ἰὼ,
μεγάλα πάθεα, μεγάλα δ' ἄχεα
Δαναΐδαις τιθεῖσα Τυνδαρὶς κόρη.

ΧΟΡΟΣ.

ἐγὼ μὲν οἰκτείρω σε συμφορᾶς κακῆς
τυχοῦσαν, οἵας μήποτ' ὤφελες τυχεῖν.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ τεκοῦσα μῆτερ, ἀνδρῶν ὄχλον εἰσορῶ πέλ

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τόν γε τῆς θεᾶς παῖδα, τέκνον, ᾧ γε δεῦ
ἐλήλυθας.

ΙΦΙΓΕΝΕΙΑ.

διαχαλᾶτέ μοι μέλαθρα, δμῶες, ὡς κρύψω δέμ

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τί δὲ, τέκνον, φεύγεις;

ΙΦΙΓΕΝΕΙΑ.

Ἀχιλλέα τόνδ' ἰδεῖν αἰσχύνομ

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὡς τί δή;

ΙΦΙΓΕΝΕΙΑ.

τὸ δυστυχές μοι τῶν γάμων αἰδῶ φέ

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐκ ἐν ἁβρότητι κεῖσαι πρὸς τὰ νῦν πεπτωκ
ἀλλὰ μίμν'· οὐ σεμνότητος ἔργον, ἢν δυνώμε

ΑΧΙΛΛΕΥΣ.

ὦ γύναι τάλαινα, Λήδας θύγατερ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐ ψευδῆ θρ

ΑΧΙΛΛΕΥΣ.

δείν' ἐν Ἀργείοις βοᾶται.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τίνα βοήν, σήμαινέ

ΑΧΙΛΛΕΥΣ.

ἀμφὶ σῆς παιδός.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πονηρὸν εἶπας οἰωνὸν λόγ

ΑΧΙΛΛΕΥΣ.

ὡς χρεὼν σφάξαι νιν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

οὐδεὶς τοῖσδ' ἐναντίον λέ

ΑΧΙΛΛΕΥΣ.

ἐς θόρυβον ἔγωγε καὐτὸς ἦλθον.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἐς τίν', ὦ ξέ

ΑΧΙΛΛΕΥΣ.
σῶμα λευσθῆναι πέτροισι.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
μῶν κόρην σώζων ἐμήν;
ΑΧΙΛΛΕΥΣ.
αὐτὸ τοῦτο.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
τίς δ' ἂν ἔτλη σώματος τοῦ σοῦ θιγεῖν;
ΑΧΙΛΛΕΥΣ.
πάντες Ἕλληνες.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
στρατὸς δὲ Μυρμιδόνων οὔ σοι παρῆν;
ΑΧΙΛΛΕΥΣ.
πρῶτος ἦν ἐκεῖνος ἐχθρός.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
δι' ἄρ' ὀλώλαμεν, τέκνον.
ΑΧΙΛΛΕΥΣ.
οἵ με τὸν γάμων ἀπεκάλουν ἥσσον'.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἀπεκρίνω δὲ τί;
ΑΧΙΛΛΕΥΣ.
τὴν ἐμὴν μέλλουσαν εὐνὴν μὴ κτανεῖν,
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
δίκαια γάρ.
ΑΧΙΛΛΕΥΣ.
ἣν ἐφήμισεν πατήρ μοι.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
κἀργόθεν γ' ἐπέμψατο.
ΑΧΙΛΛΕΥΣ.
ἀλλ' ἐνικώμην κεκραγμοῦ.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
τὸ πολὺ γὰρ δεινὸν κακόν.
ΑΧΙΛΛΕΥΣ.
ἀλλ' ὅμως ἀρήξομέν σοι.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
καὶ μαχεῖ πολλοῖσιν εἷς;
ΑΧΙΛΛΕΥΣ.
εἰσορᾷς τεύχη φέροντας τούσδ';
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ὄναιο τῶν φρενῶν.
ΑΧΙΛΛΕΥΣ.
ἀλλ' ὀνησόμεσθα.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
παῖς ἄρ' οὐκέτι σφαγήσεται;
ΑΧΙΛΛΕΥΣ.
οὐκ ἐμοῦ γ' ἑκόντος.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἥξει δ' ὅστις ἅψεται κόρης;
ΑΧΙΛΛΕΥΣ.
μυρίοι γ'· ἄξει δ' Ὀδυσσεύς.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἆρ' ὁ Σισύφου γόνος;
ΑΧΙΛΛΕΥΣ.
αὐτὸς οὗτος.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἴδια πράσσων, ἢ στρατοῦ ταχθεὶς ὕπο;
ΑΧΙΛΛΕΥΣ.
αἱρεθεὶς ἑκών.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
πονηράν γ' αἵρεσιν μιαιφονεῖν.
ΑΧΙΛΛΕΥΣ.
ἀλλ' ἐγὼ σχήσω νιν.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἄξει δ' οὐχ ἑκοῦσαν ἁρπάσας;
ΑΧΙΛΛΕΥΣ.
δηλαδὴ ξανθῆς ἐθείρης.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ἐμὲ δὲ τί χρὴ δρᾶν τότε;
ΑΧΙΛΛΕΥΣ.
ἀντέχου θυγατρός.
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.
ὡς τοῦδ' οὕνεκ' οὐ σφαγήσεται.
ΑΧΙΛΛΕΥΣ.
ἀλλὰ μὴν ἐς ταὐτό γ' ἥξει.
ΙΦΙΓΕΝΕΙΑ.
μῆτερ, εἰσακούσατε
τῶν ἐμῶν λόγων· μάτην γάρ σ' εἰσορῶ θυμουμένην
σῷ πόσει· τὰ δ' ἀδύναθ' ἡμῖν καρτερεῖν οὐ ῥᾴδιον.
τὸν μὲν οὖν ξένον δίκαιον αἰνέσαι προθυμίας·
ἀλλὰ καὶ σὲ τοῦθ' ὁρᾶν χρή, μὴ διαβληθῇς στρατῷ,
καὶ πλέον πράξωμεν οὐδέν, ὅδε δὲ συμφορᾶς τύχῃ.
οἷα δ' εἰσῆλθέν μ', ἄκουσον, μῆτερ, ἐννοουμένην·
κατθανεῖν μέν μοι δέδοκται· τοῦτο δ' αὐτὸ βούλομαι
εὐκλεῶς πρᾶξαι, παρεῖσά γ' ἐκποδὼν τὸ δυσγενές.
δεῦρο δὴ σκέψαι μεθ' ἡμῶν, μῆτερ, ὡς καλῶς λέγω·
εἰς ἔμ' Ἑλλὰς ἡ μεγίστη πᾶσα νῦν ἀποβλέπει,
κἀν ἐμοὶ πορθμός τε ναῶν καὶ Φρυγῶν κατασκαφαί,
τάς τε μελλούσας γυναῖκας ἤν τι δρῶσι βάρβαροι,
μηκέθ' ἁρπάζειν ἐᾶν τάσδ' ὀλβίας ἐξ Ἑλλάδος,
τὸν Ἑλένης τίσαντας ὄλεθρον, ἥντιν' ἥρπασεν Πάρις.
ταῦτα πάντα κατθανοῦσα ῥύσομαι, καί μου κλέος,
Ἑλλάδ' ὡς ἠλευθέρωσα, μακάριον γενήσεται.
καὶ γὰρ οὐδέ τοι * λίαν ἐμὲ φιλοψυχεῖν χρεών·
πᾶσι γάρ μ' Ἕλλησι κοινὸν ἔτεκες, οὐχὶ σοὶ μόνῃ.
ἀλλὰ μυρίοι μὲν ἄνδρες ἀσπίσιν πεφραγμένοι,
μυρίοι δ' ἐρέτμ' ἔχοντες, πατρίδος ἠδικημένης,
δρᾶν τι τολμήσουσιν ἐχθροὺς χὐπὲρ Ἑλλάδος θανεῖν·
ἡ δ' ἐμὴ ψυχὴ μί' οὖσα πάντα κωλύσει τάδε;
τί τὸ δίκαιον τοῦτό γ'; ἆρά γ' ἔχομεν ἀντειπεῖν ἔπος;
κἀπ' ἐκεῖν' ἔλθωμεν. οὐ δεῖ τόνδε διὰ μάχης μολεῖν
πᾶσιν Ἀργείοις γυναικὸς οὕνεκ' οὐδὲ κατθανεῖν.
εἷς γ' ἀνὴρ κρείσσων γυναικῶν μυρίων ὁρᾶν φάος.
εἰ δ' ἐβουλήθη τὸ σῶμα τοὐμὸν Ἄρτεμις λαβεῖν,
ἐμποδὼν γενήσομἀγὼ θνητὸς οὖσα τῇ θεῷ;
ἀλλ' ἀμήχανον· δίδωμι σῶμα τοὐμὸν Ἑλλάδι.
θύετ', ἐκπορθεῖτε Τροίαν. ταῦτα γὰρ μνημεῖά μου

διὰ μακροῦ, καὶ παῖδες οὗτοι καὶ γάμοι καὶ δόξ' ἐμή.
βαρβάρων δ' Ἕλληνας ἄρχειν εἰκός, ἀλλ' οὐ βαρβάρους,
μῆτερ, Ἑλλήνων· τὸ μὲν γὰρ δοῦλον, οἱ δ' ἐλεύθεροι.

ΧΟΡΟΣ.

τὸ μὲν σόν, ὦ νεᾶνι, γενναίως ἔχει·
τὸ τῆς τύχης δὲ καὶ τὸ τῆς θεοῦ νοσεῖ.

ΑΧΙΛΛΕΥΣ.

Ἀγαμέμνονος παῖ, μακάριόν μέ τις θεῶν
ἔμελλε θήσειν, εἰ τύχοιμι σῶν γάμων.
ζηλῶ δὲ σοῦ μὲν Ἑλλάδ', Ἑλλάδος δὲ σέ.
εὖ γὰρ τόδ' εἶπας ἀξίως τε πατρίδος·
τὸ θεομαχεῖν γὰρ ἀπολιποῦσ', ὅ σου κρατεῖ,
ἐξελογίσω τὰ χρηστὰ τἀναγκαῖά τε.
μᾶλλον δὲ λέκτρων σῶν πόθος μ' εἰσέρχεται
ἐς τὴν φύσιν βλέψαντα· γενναία γὰρ εἶ.
ὅρα δ'· ἐγὼ γὰρ βούλομαί σ' εὐεργετεῖν
λαβεῖν τ' ἐς οἴκους· ἄχθομαί τ', ἴστω Θέτις,
εἰ μή σε σώσω Δαναΐδαισι διὰ μάχης
ἐλθών· ἄθρησον, ὁ θάνατος δεινὸν κακόν.

ΙΦΙΓΕΝΕΙΑ.

λέγω τάδ', οὐδὲν οὐδέν' εὐλαβουμένη.
ἡ Τυνδαρὶς παῖς διὰ τὸ σῶμ' ἀρκεῖ μάχας
ἀνδρῶν τιθεῖσα καὶ φόνους· σὺ δ', ὦ ξένε,
μὴ θνῆσκε δι' ἐμέ, μηδ' ἀποκτείνῃς τινά.
ἔα δὲ σῶσαί μ' Ἑλλάδ', ἢν δυνώμεθα.

ΑΧΙΛΛΕΥΣ.

ὦ λῆμ' ἄριστον, οὐκ ἔχω πρὸς τοῦτ' ἔτι
λέγειν, ἐπεί σοι τάδε δοκεῖ· γενναῖα γὰρ
φρονεῖς· τί γὰρ τἀληθὲς οὐκ εἴποι τις ἄν;
ὅμως δ' ἴσως γε κἂν μεταγνοίης τάδε.
ὡς οὖν ἂν εἰδῇς τἀπ' ἐμοῦ λελεγμένα,
ἐλθὼν τάδ' ὅπλα θήσομαι βωμοῦ πέλας,
ὡς οὐκ ἐάσων σ', ἀλλὰ κωλύσων θανεῖν.
χρήσει δὲ καὶ σὺ τοῖς ἐμοῖς λόγοις τάχα,
ὅταν πέλας σῆς φάσγανον δέρης ἴδῃς.
οὔκουν ἐάσω σ' ἀφροσύνῃ τῇ σῇ θανεῖν·
ἐλθὼν δὲ σὺν ὅπλοις τοῖσδε πρὸς ναὸν θεᾶς
καραδοκήσω σὴν ἐκεῖ παρουσίαν.

ΙΦΙΓΕΝΕΙΑ.

μῆτερ, τί σιγῇ δακρύοις τέγγεις κόρας;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἔχω τάλαινα πρόφασιν ὥστ' ἀλγεῖν φρένα.

ΙΦΙΓΕΝΕΙΑ.

παῦσαί με μὴ κάκιζε· τάδε δ' ἐμοὶ πιθοῦ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

λέγ', ὡς παρ' ἡμῶν οὐδὲν ἀδικήσει, τέκνον.

ΙΦΙΓΕΝΕΙΑ.

[μήτ' οὖν γε τὸν σὸν πλόκαμον ἐκτέμῃς τριχὸς]
μήτ' ἀμφὶ σῶμα μέλανας ἀμπίσχῃ πέπλους.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τί δὴ τόδ' εἶπας, τέκνον; ἀπολέσασά σε

ΙΦΙΓΕΝΕΙΑ.

οὐ σύ γε· σέσωσμαι, κατ' ἐμὲ δ' εὐκλεὴς ἔσει.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πῶς εἶπας; οὐ πενθεῖν με σὴν ψυχὴν χρεών;

ΙΦΙΓΕΝΕΙΑ.

ἥκιστ', ἐπεί μοι τύμβος οὐ χωσθήσεται.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τί δαί, τὸ θνῄσκειν οὐ τάφος νομίζεται;

ΙΦΙΓΕΝΕΙΑ.

βωμὸς θεᾶς μοι μνῆμα τῆς Διὸς κόρης.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἀλλ', ὦ τέκνον, σοι πείσομαι· λέγεις γὰρ εὖ.

ΙΦΙΓΕΝΕΙΑ.

ὡς εὐτυχοῦσά γ' Ἑλλάδος τ' εὐεργέτις.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

τί δαὶ κασιγνήταισιν ἀγγελῶ σέθεν;

ΙΦΙΓΕΝΕΙΑ.

μηδ' ἀμφὶ κείναις μέλανας ἐξάψῃς πέπλους.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

εἴπω δὲ παρὰ σοῦ φίλον ἔπος τι παρθένοις;

ΙΦΙΓΕΝΕΙΑ.

χαίρειν γ'. Ὀρέστην τ' ἔκτρεφ' ἄνδρα τόνδε μοι.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

προσέλκυσαί νιν ὕστατον θεωμένη.

ΙΦΙΓΕΝΕΙΑ.

ὦ φίλτατ', ἐπεκούρησας ὅσον εἶχες φίλοις.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἔσθ' ὅ τι κατ' Ἄργος δρῶσά σοι χάριν φέρω;

ΙΦΙΓΕΝΕΙΑ.

πατέρα τὸν ἀμὸν μὴ στύγει, πόσιν γε σόν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

δεινοὺς ἀγῶνας διὰ σὲ κεῖνον δεῖ δραμεῖν.

ΙΦΙΓΕΝΕΙΑ.

ἄκων μ' ὑπὲρ γῆς Ἑλλάδος διώλεσεν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

δόλῳ δ' ἀγεννῶς Ἀτρέως τ' οὐκ ἀξίως.

ΙΦΙΓΕΝΕΙΑ.

τίς μ' εἶσιν ἄξων, πρὶν σπαράξεσθαι κόμης;

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ἔγωγε μετὰ σοῦ.

ΙΦΙΓΕΝΕΙΑ.

μὴ σύ γ'· οὐ καλῶς λέγεις.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

πέπλων ἐχομένη σῶν.

ΙΦΙΓΕΝΕΙΑ.

ἐμοί, μῆτερ, πιθοῦ,
μέν'· ὡς ἐμοί τε σοί τε κάλλιον τόδε.
πατρὸς δ' ὀπαδῶν τῶνδέ τίς με πεμπέτω
Ἀρτέμιδος ἐς λειμῶν', ὅπου σφαγήσομαι.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ τέκνον, οἴχει;

ΙΦΙΓΕΝΕΙΑ.

καὶ πάλιν γ' οὐ μὴ μόλω.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

λιποῦσα μητέρ';

ΙΦΙΓΕΝΕΙΑ.

ὡς ὁρᾷς γ', οὐκ ἀξίως.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

σχές, μή με προλίπῃς.

ΙΦΙΓΕΝΕΙΑ.

οὐκ ἐῶ στάζειν δάκρυ·
ὑμεῖς δ' ἐπευφημήσατ', ὦ νεάνιδες,
παιᾶνα τἠμῇ συμφορᾷ, Διὸς κόρην
Ἄρτεμιν· ἴτω δὲ Δαναΐδαις εὐφημία.
κανᾶ δ' ἐναρχέσθω τις, αἰθέσθω δὲ πῦρ
προχύταις καθαρσίοισι· καὶ πατὴρ ἐμὸς

ἐνδεξιούσθω βωμόν· ὡς σωτηρίαν
Ἕλλησι δώσουσ' ἔρχομαι νικηφόρον.
ἄγετέ με τὰν Ἰλίου
καὶ Φρυγῶν ἑλέπτολιν.
στέφεα περίβολα δίδοτε, φέρε-
τε· πλόκαμος ὅδε καταστέφειν·
χερνίβων τε παγαῖς
ἑλίσσετ' ἀμφὶ ναὸν
ἀμφὶ βωμὸν Ἄρτεμιν,
τὰν ἄνασσαν Ἄρτεμιν,
τὰν μάκαιραν, ὡς ἐμοῖσιν, εἰ χρεών,
αἵμασι θύμασί τε
θέσφατ' ἐξαλείψω.
ὦ πότνια πότνια μῆτερ, ὡς
δάκρυά γέ σοι δώσομεν ἁμέτερα·
παρ' ἱεροῖς γὰρ οὐ πρέπει.
ὦ νεάνιδες,
συνεπαείδετ' Ἄρτεμιν
Χαλκίδος ἀντίπορον,
ἵνα τε δόρατα μέμονε δάϊα
δι' ἐμὸν ὄνομα τᾶσδ' Αὐλίδος
στενοπόροισιν ὅρμοις.
ἰὼ γᾶ μᾶτερ ὦ Πελασγία,
Μυκηναῖαί τ' ἐμαὶ θεράπναι.

ΧΟΡΟΣ.

καλεῖς πόλισμα Περσέως,
Κυκλωπίων πόνον χερῶν;

ΙΦΙΓΕΝΕΙΑ.

ἔθρεψας Ἑλλάδι με φάος·
θανοῦσα δ' οὐκ ἀναίνομαι.

ΧΟΡΟΣ.

κλέος γὰρ οὔ σε μὴ λίπῃ.

ΙΦΙΓΕΝΕΙΑ.

ἰὼ ἰώ.
λαμπαδοῦχος ἁμέρα
Διός τε φέγγος, ἕτερον ἕτερον αἰ-
ῶνα καὶ μοῖραν οἰκήσομεν.
χαῖρέ μοι, φίλον φάος.

ΧΟΡΟΣ.

ἰὼ ἰώ.
ἴδεσθε τὰν Ἰλίου
καὶ Φρυγῶν ἑλέπτολιν
στείχουσαν, ἐπὶ κάρα στέφη βαλομέναν
χερνίβων τε παγαῖς,
βωμὸν αἵμονος θεᾶς,
ῥανίσιν αἱματορρύτοις ῥανοῦσαν
εὐφυῆ γε σώματος δέρην σφαγεῖσαν.
εὔδροσοι παγαὶ πατρῷαι
μένουσί σε χέρνιβές τε
στρατός τ' Ἀχαιῶν θέλων
Ἰλίου πόλιν μολεῖν.
ἀλλὰ τὰν Διὸς κόραν
κλήσωμεν Ἄρτεμιν, θεῶν ἄνασσαν,
ὡς ἐπ' εὐτυχεῖ πότμῳ.
ὦ πότνα, θύμασι
βροτησίοις χαρεῖσα, πέμψον εἰς Φρυγῶν
γαῖαν Ἑλλάνων στρατὸν
καὶ δολόεντα Τροίας ἕδη,
Ἀγαμέμνονά τε λόγχαις
Ἕλλασι κλεινότατον στέφανον
δὸς ἀμφὶ κρᾶθ' ἑὸν
κλέος ἀείμνηστον ἀμφιθεῖναι.

---

[ΑΓΓΕΛΟΣ.

ὦ Τυνδαρεία παῖ, Κλυταιμνήστρα, δόμων
ἔξω πέρασον, ὡς κλύῃς ἐμῶν λόγων.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

φθογγῆς κλύουσα δεῦρο σῆς ἀφικόμην,
ταρβοῦσα τλήμων κἀκπεπληγμένη φόβῳ
μή μοί τιν' ἄλλην ξυμφορὰν ἥκοις φέρων
πρὸς τῇ παρούσῃ.

ΑΓΓΕΛΟΣ.

σῆς μὲν οὖν παιδὸς πέρι
θαυμαστά σοι καὶ δεινὰ σημῆναι θέλω.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

μὴ μέλλε τοίνυν, ἀλλὰ φράζ' ὅσον τάχος.

ΑΓΓΕΛΟΣ.

ἀλλ', ὦ φίλη δέσποινα, πᾶν πεύσει σαφῶς.
λέξω δ' ἀπ' ἀρχῆς, ἤν τι μὴ σφαλεῖσά που
γνώμη ταράξῃ γλῶσσαν ἐν λόγοις ἐμήν.
ἐπεὶ γὰρ ἱκόμεσθα τῆς Διὸς κόρης
Ἀρτέμιδος ἄλσος λείμακάς τ' ἀνθεσφόρους,
ἵν' ἦν Ἀχαιῶν σύλλογος στρατεύματος,
σὴν παῖδ' ἄγοντες, εὐθὺς Ἀργείων ὄχλος
ἠθροίζεθ'. ὡς δ' ἐσεῖδεν Ἀγαμέμνων ἄναξ
ἐπὶ σφαγὰς στείχουσαν εἰς ἄλσος κόρην,
ἀνεστέναξε, κἄμπαλιν στρέψας κάρα
δάκρυα προῆγεν, ὀμμάτων πέπλον προθείς.
ἡ δὲ σταθεῖσα τῷ τεκόντι πλησίον,
ἔλεξε τοιάδ'· ὦ πάτερ, πάρειμί σοι,
τοὐμὸν δὲ σῶμα τῆς ἐμῆς ὑπὲρ πάτρας
καὶ τῆς ἁπάσης Ἑλλάδος γαίας ὕπερ
θῦσαι δίδωμ' ἑκοῦσα πρὸς βωμὸν θεᾶς
ἄγοντας, εἴπερ ἐστὶ θέσφατον τόδε.
καὶ τοὔπ' ἔμ' εὐτυχοῖτε, καὶ νικηφόρου
δώρου τύχοιτε, πατρίδα δ' ἐξίκοισθε γῆν.
πρὸς ταῦτα μὴ ψαύσῃ τις Ἀργείων ἐμοῦ.
σιγῇ παρέξω γὰρ δέρην εὐκαρδίως.
τοσαῦτ' ἔλεξε· πᾶς δ' ἐθάμβησεν κλύων
εὐψυχίαν τε κἀρετὴν τῆς παρθένου.
στὰς δ' ἐν μέσῳ Ταλθύβιος, ᾧ τόδ' ἦν μέλον,
εὐφημίαν ἀνεῖπε καὶ σιγὴν στρατῷ·
Κάλχας δ' ὁ μάντις ἐς κανοῦν χρυσήλατον
ἔθηκεν ὀξὺ χειρὶ φάσγανον σπάσας
κολεῶν ἔσωθεν, κρᾶτά τ' ἔστεψεν κόρης.
ὁ παῖς δ' ὁ Πηλέως ἐν κύκλῳ βωμὸν θεᾶς
λαβὼν κανοῦν ἔθρεξε χέρνιβάς θ' ὁμοῦ,
ἔλεξε δ', ὦ Διὸς Ἄρτεμις θηροκτόνε,
τὸ λαμπρὸν εἱλίσσουσ' ἐν εὐφρόνῃ φάος,
δέξαι τὸ θῦμα τόδ' ὅ γέ σοι δωρούμεθα
στρατός τ' Ἀχαιῶν Ἀγαμέμνων ἄναξ θ' ὁμοῦ,
ἄχραντον αἷμα καλλιπαρθένου δέρης,
καὶ δὸς γενέσθαι πλοῦν νεῶν ἀπήμονα,
Τροίας τε Πέργαμ' ἐξελεῖν ἡμᾶς δορί.
ἐς γῆν δ' Ἀτρεῖδαι πᾶς στρατός τ' ἔστη βλέπων.
ἱερεὺς δὲ φάσγανον λαβὼν ἐπηύξατο,
λαιμόν τ' ἐπεσκοπεῖθ', ἵνα πλήξειεν ἄν·
ἐμοὶ δέ τ' ἄλγος οὐ μικρὸν εἰσῄει φρενί,

κἄστην νενευκώς· θαῦμα δ' ἦν αἴφνης ὁρᾶν·
πληγῆς κτύπον γὰρ πᾶς τις ᾔσθετ' ἂν σαφῶς,
τὴν παρθένον δ' οὐκ εἶδεν οὗ γῆς εἰσέδυ.
βοᾷ δ' ἱερεὺς, ἅπας δ' ἐπήχησε στρατὸς,
ἄελπτον εἰσιδόντες ἐκ θεῶν τινος
φάσμ', οὗ γε μηδ' ὁρωμένου πίστις παρῆν·
ἔλαφος γὰρ ἀσπαίρουσ' ἔκειτ' ἐπὶ χθονὶ
ἰδεῖν μεγίστη διαπρεπής τε τὴν θέαν,
ἧς αἵματι βωμὸς ἐραίνετ' ἄρδην τῆς θεοῦ.
κἀν τῷδε Κάλχας πῶς δοκεῖς χαίρων ἔφη,
ὦ τοῦδ' Ἀχαιῶν κοίρανοι κοινοῦ στρατοῦ,
ὁρᾶτε τήνδε θυσίαν, ἣν ἡ θεὸς
προὔθηκε βωμίαν, ἔλαφον ὀρειδρόμον;
ταύτην μάλιστα τῆς κόρης ἀσπάζεται,
ὡς μὴ μιάνῃ βωμὸν εὐγενεῖ φόνῳ.
ἡδέως τε τοῦτ' ἐδέξατο, καὶ πλοῦν οὔριον
δίδωσιν ἡμῖν Ἰλίου τ' ἐπιδρομάς.
πρὸς ταῦτα πᾶς τις θάρσος αἶρε ναυβάτης,
χώρει τε πρὸς ναῦν· ὡς ἡμέρᾳ τῇδε δεῖ
λιπόντας ἡμᾶς Αὐλίδος κοίλους μυχοὺς
Αἴγαιον οἶδμα διαπερᾶν. ἐπεὶ δ' ἅπαν
κατηνθρακώθη θῦμ' ἐν Ἡφαίστου φλογὶ,
τὰ πρόσφορ' ηὔξαθ', ὡς τύχοι νόστου στρατός.
πέμπει δ' Ἀγαμέμνων μ' ὥστε σοι φράσαι τάδε,
λέγειν θ' ὁποίας ἐκ θεῶν μοίρας κυρεῖ
καὶ δόξαν ἔσχεν ἄφθιτον καθ' Ἑλλάδα.
ἐγὼ παρὼν δὲ καὶ τὸ πρᾶγμ' ὁρῶν λέγω·
ἡ παῖς σαφῶς σοι πρὸς θεοὺς ἀφίπτατο.
λύπης δ' ἀφαίρει καὶ πόσει πάρες χόλον·
ἀπροσδόκητα δὲ βροτοῖς τὰ τῶν θεῶν,
σώζουσί θ' οὓς φιλοῦσιν. ἦμαρ γὰρ τόδε
θανοῦσαν εἶδε καὶ βλέπουσαν παῖδα σήν.

ΧΟΡΟΣ.

ὡς ἥδομαί τοι ταῦτ' ἀκούσασ' ἀγγέλου·
ζῶν δ' ἐν θεοῖσι σὸν μένειν φράζει τέκος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ὦ παῖ, θεῶν τοῦ κλέμμα γέγονας;
πῶς σε προσείπω; πῶς δὲ φῶ;
παραμυθεῖσθαι τούσδε μάτην μύθους,
ὥς σου πένθους λυγροῦ παυσαίμαν;

ΧΟΡΟΣ.

καὶ μὴν Ἀγαμέμνων ἄναξ στείχει,
τούσδ' αὐτοὺς ἔχων σοι φράζειν μύθους.

ΑΓΓΕΛΟΣ.

γύναι, θυγατρὸς ἕνεκ' ὄλβιοι γενοίμεθ' ἄν·
ἔχει γὰρ ὄντως ἐν θεοῖς ὁμιλίαν.
χρὴ δέ σε λαβοῦσαν τόνδε μόσχον νεαγενῆ
στείχειν πρὸς οἴκους· ὡς στρατὸς πρὸς πλοῦν ὁρ[ᾷ].
καὶ χαῖρε· χρόνιά γε τἀμά σοι προσφθέγματα
Τροίηθεν ἔσται. καὶ γένοιτό σοι καλῶς.

ΧΟΡΟΣ.

χαίρων, Ἀτρείδη, γῆν ἱκοῦ Φρυγίαν,
χαίρων δ' ἐπάνηκε,
κάλλιστά μοι σκῦλ' ἀπὸ Τροίας ἑλών.]

# ΕΥΡΙΠΙΔΟΥ ΚΥΚΛΩΨ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

*ΣΕΙΛΗΝΟΣ.*
*ΧΟΡΟΣ ΣΑΤΥΡΩΝ.*
*ΟΔΥΣΣΕΥΣ.*
*ΚΥΚΛΩΨ.*

## ΥΠΟΘΕΣΙΣ.

*Ὀδυσσεὺς ἀναχθεὶς ἐξ Ἰλίου εἰς Σικελίαν ἀπεῤῥίφη, ἔνθα ὁ Πολύφημος· εὑρὼν δὲ δουλεύοντας ἐκεῖ τοὺς Σατύρους, οἶνον δοὺς ἄρνας ἤμελλε λαμβάνειν καὶ γάλα παρ᾽ αὐτῶν. ἐπιφανεὶς δ᾽ ὁ Πολύφημος ζητεῖ τὴν αἰτίαν τῆς τῶν ἰδίων ἐκφορήσεως. ὁ Σειληνὸς δὲ τὸν ξένον λῃστεύοντα καταλαβεῖν φησι.*

# Κ Υ Κ Λ Ω Ψ.

ΣΕΙΛΗΝΟΣ.

Ὦ Βρόμιε, διὰ σε μυρίους ἔχω πόνους
νῦν χὤτ' ἐν ἥβη τοὐμὸν εὐσθένει δέμας·
πρῶτον μὲν ἡνίκ' ἐμμανὴς Ἥρας ὕπο
Νύμφας ὀρείας ἐκλιπὼν ᾤχου τροφούς·
ἔπειτα δ' ἀμφὶ γηγενῆ μάχην δορὸς
ἐνδέξιος σῷ ποδὶ παρασπιστὴς γεγὼς
Ἐγκέλαδον ἰτέαν μέσην θενὼν δορὶ
ἔκτεινα. φέρ' ἴδω, τοῦτ' ἰδὼν ὄναρ λέγω;
οὐ μὰ Δί', ἐπεὶ καὶ σκῦλ' ἔδειξα Βακχίῳ.
καὶ νῦν ἐκείνων μεῖζον' ἐξαντλῶ πόνον·
ἐπεὶ γὰρ Ἥρα σοι γένος Τυρσηνικὸν
λῃστῶν ἐπῶρσεν, ὡς ὁδηθείης μακρὰν,
ἐγὼ πυθόμενος σὺν τέκνοισι ναυστολῶ
σέθεν κατὰ ζήτησιν. ἐν πρύμνῃ δ' ἄκρᾳ
αὐτὸς λαβὼν εὔθυνον ἀμφῆρες δόρυ,
παῖδές τ' ἐρετμοῖς ἥμενοι, γλαυκὴν ἅλα
ῥοθίοισι λευκαίνοντες, ἐζήτουν σ', ἄναξ.
ἤδη δὲ Μαλέας πλησίον πεπλευκότας
ἀπηλιώτης ἄνεμος ἐμπνεύσας δορὶ
ἐξέβαλεν ἡμᾶς τήνδ' ἐς Αἰτναίαν πέτραν,
ἵν' οἱ μόνωπες ποντίου παῖδες θεοῦ
Κύκλωπες οἰκοῦσ' ἄντρ' ἔρημ' ἀνδροκτόνοι.
τούτων ἑνὸς ληφθέντες ἐσμὲν ἐν δόμοις
δοῦλοι· καλοῦσι δ' αὐτὸν ᾧ λατρεύομεν
Πολύφημον. ἀντὶ δ' εὐίων βακχευμάτων
ποίμνας Κύκλωπος ἀνοσίου ποιμαίνομεν.
παῖδες μὲν οὖν μοι κλιτύων ἐν ἐσχάτοις
νέμουσι μῆλα, νεανίαι πεφυκότες,
ἐγὼ δὲ πληροῦν πίστρα καὶ σαίρειν στέγας
μένων τέταγμαι τάσδε, τῷ τε δυσσεβεῖ
Κύκλωπι δείπνων ἀνοσίων διάκονος.
καὶ νῦν τὰ προσταχθέντ' ἀναγκαίως ἔχει,
σαίρειν σιδηρᾷ τῇδέ μ' ἁρπάγῃ δόμους,
ὡς τόν τ' ἀπόντα δεσπότην Κύκλωπ' ἐμὸν
καθαροῖσιν ἄντροις μῆλά τ' εἰσδεξώμεθα.
ἤδη δὲ παῖδας προσνέμοντας εἰσορῶ
ποίμνας. τί ταῦτα; μῶν κρότος σικιννίδων
ὅμοιος ὑμῖν νῦν τε χὤτε Βακχίῳ
κώμῳ συνασπίζοντες Ἀλθαίας δόμους
προσῆτ' ἀοιδαῖς βαρβίτων σαυλούμενοι;

ΧΟΡΟΣ.

πᾷ δή μοι γενναίων μὲν πατέρων,
γενναίων δ' ἐκ τοκάδων,
πᾷ δή μοι νίσσει σκοπέλους;
οὐ τᾷδ' ὑπήνεμος αὔρα
καὶ ποιηρὰ βοτάνα,
δινᾶέν θ' ὕδωρ ποταμῶν
ἐν πίστραις κεῖται πέλας ἄν-
τρων, οὗ σοι βλαχαὶ τεκέων.

41—54. ⇒ 55—68.

ψύττ', οὐ τάδ' οὖν οὐ τάδε νεμεῖ;
οὖτ' αὖ κλιτὺν δροσεράν;
ὠή, ῥίψω πέτρον τάχα σου,
ὕπαγ' ὦ ὕπαγ' ὦ κεράστα
μηλοβότα στασίωρον *
Κύκλωπος ἀγροβότα.
σπαργῶντάς μοι τοὺς μαστοὺς χάλασον·
δέξαι θηλαῖσι σποράς,
ἃς λείπεις ἀρνῶν θαλάμοις.
ποθοῦσί σ' ἀμερόκοιτοι
βλαχαὶ σμικρῶν τεκέων.
εἰς αὐλάν ποτ' ἀμφιβαλεῖς,
ποιηροὺς λιποῦσα νομάς,
Αἰτναίων εἴσω σκοπέλων;
οὐ τάδε Βρόμιος, οὐ τάδε χοροὶ
βάκχαι τε θυρσοφόροι,
οὐ τυμπάνων ἀλαλαγμοὶ
κρήναισι παρ' ὑδροχύτοις,
οὐκ οἴνου χλωραὶ σταγόνες,
οὐ Νύσα μετὰ Νυμφᾶν.
Ἴακχον Ἴακχον ᾠδὰν
μέλπω πρὸς τὰν Ἀφροδίταν,
ἂν θηρεύων πετόμαν
Βάκχαις σὺν λευκόποσιν.
ὦ φίλος ὦ φίλε Βάκχιε,
ποῖ οἰοπολεῖς
ξανθὰν χαίταν σείων;
ἐγὼ δ' ὁ σὸς πρόσπολος
θητεύω Κύκλωπι
τῷ μονοδέρκτᾳ,
δοῦλος ἀλαίνων σὺν τᾷδε
τράγου χλαίνᾳ μελέᾳ
σᾶς χωρὶς φιλίας.

ΣΕΙΛΗΝΟΣ.

σιγήσατ', ὦ τέκν', ἄντρα δ' ἐς πετρηρεφῆ
ποίμνας ἀθροῖσαι προσπόλοις κελεύσατε.

ΧΟΡΟΣ.

χωρεῖτ'· ἀτὰρ δὴ τίνα, πάτερ, σπουδὴν ἔχεις;

ΣΕΙΛΗΝΟΣ.

ὁρῶ πρὸς ἀκταῖς ναὸς Ἑλλάδος σκάφος,
κώπης τ' ἄνακτας σὺν στρατηλάτῃ τινὶ
στείχοντας ἐς τόδ' ἄντρον, ἀμφὶ δ' αὐχέσι
τεύχη φέρουσι κενά, βορᾶς κεχρημένοι,
κρωσσούς θ' ὑδρηλούς. ὦ ταλαίπωροι ξένοι.
τίνες ποτ' εἰσίν; οὐκ ἴσασι δεσπότην
Πολύφημον οἷός ἐστιν, ἄξενον στέγην
τήνδ' ἐμβεβῶτες καὶ Κυκλωπίαν γνάθον
τήνδ' ἀνδροβρῶτα δυστυχῶς ἀφιγμένοι.
ἀλλ' ἥσυχοι γίγνεσθ', ἵν' ἐκπυθώμεθα
πόθεν πάρεισι Σικελὸν Αἰτναῖον πάγον.

ΟΔΥΣΣΕΥΣ.

ξένοι, φράσαιτ' ἂν νᾶμα ποτάμιον πόθεν

δίψης ἄκος λάβοιμεν; εἴτε τις θέλει
βορὰν ὀδῆσαι ναυτίλοις κεχρημένοις;
τί χρῆμα; Βρομίου πόλιν ἔοιγμεν εἰσβαλεῖν·
Σατύρων πρὸς ἄντροις τόνδ' ὅμιλον εἰσορῶ.
χαίρειν προσεῖπα πρῶτα τὸν γεραίτατον.

ΣΕΙΛΗΝΟΣ.
χαῖρ', ὦ ξέν', ὅστις δ' εἶ φράσον, πάτραν τε σήν.

ΟΔΥΣΣΕΥΣ.
Ἴθακος Ὀδυσσεύς, γῆς Κεφαλλήνων ἄναξ.

ΣΕΙΛΗΝΟΣ.
οἶδ' ἄνδρα κρόταλον, δριμὺ Σισύφου γένος.

ΟΔΥΣΣΕΥΣ.
ἐκεῖνος οὗτός εἰμι· λοιδόρει δὲ μή.

ΣΕΙΛΗΝΟΣ.
πόθεν Σικελίαν τήνδε ναυστολῶν πάρει;

ΟΔΥΣΣΕΥΣ.
ἐξ Ἰλίου γε κἀπὸ Τρωικῶν πόνων.

ΣΕΙΛΗΝΟΣ.
πῶς; πορθμὸν οὐκ ᾔδεισθα πατρῴας χθονός;

ΟΔΥΣΣΕΥΣ.
ἀνέμων θύελλαι δεῦρό μ' ἥρπασαν βίᾳ.

ΣΕΙΛΗΝΟΣ.
παπαῖ· τὸν αὐτὸν δαίμον' ἐξαντλεῖς ἐμοί.

ΟΔΥΣΣΕΥΣ.
ἦ καὶ σὺ δεῦρο πρὸς βίαν ἀπεστάλης;

ΣΕΙΛΗΝΟΣ.
λῃστὰς διώκων, οἳ Βρόμιον ἀνήρπασαν.

ΟΔΥΣΣΕΥΣ.
τίς δ' ἥδε χώρα, καὶ τίνες ναίουσί νιν;

ΣΕΙΛΗΝΟΣ.
Αἰτναῖος ὄχθος Σικελίας ὑπέρτατος.

ΟΔΥΣΣΕΥΣ.
τείχη δὲ ποῦ 'στι καὶ πόλεως πυργώματα;

ΣΕΙΛΗΝΟΣ.
οὐκ εἴσ'· ἔρημοι πρῶνες ἀνθρώπων, ξένε.

ΟΔΥΣΣΕΥΣ.
τίνες δ' ἔχουσι γαῖαν; ἢ θηρῶν γένος;

ΣΕΙΛΗΝΟΣ.
Κύκλωπες ἄντρ' ἔχοντες, οὐ στέγας δόμων.

ΟΔΥΣΣΕΥΣ.
τίνος κλύοντες; ἢ δεδήμευται κράτος;

ΣΕΙΛΗΝΟΣ.
νομάδες· ἀκούει δ' οὐδὲν οὐδεὶς οὐδενός.

ΟΔΥΣΣΕΥΣ.
σπείρουσι δ', ἢ τῷ ζῶσι, Δήμητρος στάχυν;

ΣΕΙΛΗΝΟΣ.
γάλακτι καὶ τυροῖσι καὶ μήλων βορᾷ.

ΟΔΥΣΣΕΥΣ.
Βρομίου δὲ πῶμ' ἔχουσιν, ἀμπέλου ῥοάς;

ΣΕΙΛΗΝΟΣ.
ἥκιστα· τοιγὰρ ἄχαριν οἰκοῦσι χθόνα.

ΟΔΥΣΣΕΥΣ.
φιλόξενοι δὲ χὤσιοι περὶ ξένους;

ΣΕΙΛΗΝΟΣ.
γλυκύτατά φασι τὰ κρέα τοὺς ξένους φορεῖν.

ΟΔΥΣΣΕΥΣ.
τί φῄς; βορᾷ χαίρουσιν ἀνθρωποκτόνῳ;

ΣΕΙΛΗΝΟΣ.
οὐδεὶς μολὼν δεῦρ' ὅστις οὐ κατεσφάγη.

ΟΔΥΣΣΕΥΣ.
αὐτὸς δὲ Κύκλωψ ποῦ 'στιν; ἢ δόμων ἔσω;

ΣΕΙΛΗΝΟΣ.
φροῦδος πρὸς Αἴτνῃ, θῆρας ἰχνεύων κυσίν.

ΟΔΥΣΣΕΥΣ.
οἶσθ' οὖν ὃ δράσεις, ὡς ἀπαίρωμεν χθονός;

ΣΕΙΛΗΝΟΣ.
οὐκ οἶδ', Ὀδυσσεῦ· πᾶν δέ σοι δρῴημεν ἄν.

ΟΔΥΣΣΕΥΣ.
ὄδησον ἡμῖν σῖτον, οὗ σπανίζομεν.

ΣΕΙΛΗΝΟΣ.
οὐκ ἔστιν, ὥσπερ εἶπον, ἄλλο πλὴν κρέας.

ΟΔΥΣΣΕΥΣ.
ἀλλ' ἡδὺ λιμοῦ καὶ τόδε σχετήριον.

ΣΕΙΛΗΝΟΣ.
καὶ τυρὸς ὀπίας ἔστι καὶ βοὸς γάλα.

ΟΔΥΣΣΕΥΣ.
ἐκφέρετε· φῶς γὰρ ἐμπολήμασιν πρέπει.

ΣΕΙΛΗΝΟΣ.
σὺ δ' ἀντιδώσεις, εἰπέ μοι, χρυσὸν πόσον;

ΟΔΥΣΣΕΥΣ.
οὐ χρυσόν, ἀλλὰ πῶμα Διονύσου φέρω.

ΣΕΙΛΗΝΟΣ.
ὦ φίλτατ' εἰπών, οὗ σπανίζομεν πάλαι.

ΟΔΥΣΣΕΥΣ.
καὶ μὴν Μάρων μοι πῶμ' ἔδωκε, παῖς θεοῦ.

ΣΕΙΛΗΝΟΣ.
ὃν ἐξέθρεψα ταῖσδ' ἐγώ ποτ' ἀγκάλαις;

ΟΔΥΣΣΕΥΣ.
ὁ Βακχίου παῖς, ὡς σαφέστερον μάθῃς.

ΣΕΙΛΗΝΟΣ.
ἐν σέλμασιν νεώς ἐστιν, ἢ φέρεις σύ νιν;

ΟΔΥΣΣΕΥΣ.
ὅδ' ἀσκὸς, ὃς κεύθει νιν, ὡς ὁρᾷς, γέρον.

ΣΕΙΛΗΝΟΣ.
οὗτος μὲν οὐδ' ἂν τὴν γνάθον πλήσειέ μου.

ΟΔΥΣΣΕΥΣ.
ναὶ δὶς τόσον πῶμ' ὅσον ἂν ἐξ ἀσκοῦ ῥυῇ.

ΣΕΙΛΗΝΟΣ.
καλήν γε κρήνην εἶπας, ἡδεῖαν δ' ἐμοί.

ΟΔΥΣΣΕΥΣ.
βούλει σε γεύσω πρῶτον ἄκρατον μέθυ;

ΣΕΙΛΗΝΟΣ.
δίκαιον· ἦ γὰρ γεῦμα τὴν ὠνὴν καλεῖ.

ΟΔΥΣΣΕΥΣ.
καὶ μὴν ἐφέλκω καὶ ποτῆρ' ἀσκοῦ μέτα.

ΣΕΙΛΗΝΟΣ.
φέρ' ἐγκάναξον, ὡς ἀναμνησθῶ πιών.

ΟΔΥΣΣΕΥΣ.
ἰδού.

ΣΕΙΛΗΝΟΣ.
παπαιάξ, ὡς καλὴν ὀσμὴν ἔχει.

ΟΔΥΣΣΕΥΣ.
εἶδες γὰρ αὐτήν;

ΣΕΙΛΗΝΟΣ.
οὐ μὰ Δί', ἀλλ' ὀσφραίνομαι.

ΟΔΥΣΣΕΥΣ.
γεῦσαί νυν, ὡς ἂν μὴ λόγῳ 'παινῇς μόνον.

ΣΕΙΛΗΝΟΣ.

βαβαί· χορεῦσαι παρακαλεῖ μ' ὁ Βάκχιος.
ἆ ἆ.

ΟΔΥΣΣΕΥΣ.

μῶν τὸν λάρυγγα διεκάναξέ σου καλῶς;

ΣΕΙΛΗΝΟΣ.

ὥστ' εἰς ἄκρους γε τοὺς ὄνυχας ἀφίκετο.

ΟΔΥΣΣΕΥΣ.

πρὸς τῷδε μέντοι καὶ νόμισμα δώσομεν.

ΣΕΙΛΗΝΟΣ.

χάλα τὸν ἀσκὸν μόνον· ἔα τὸ χρυσίον.

ΟΔΥΣΣΕΥΣ.

ἐκφέρετέ νυν τυρεύματ' ἢ μήλων τόκον.

ΣΕΙΛΗΝΟΣ.

δράσω τάδ', ὀλίγον φροντίσας γε δεσποτῶν.
ὡς ἐκπιεῖν ἂν κύλικα βουλοίμην μίαν,
πάντων Κυκλώπων ἀντιδοὺς βοσκήματα,
ῥῖψαί τ' ἐς ἅλμην λευκάδος πέτρας ἄπο,
ἅπαξ μεθυσθεὶς καταβαλών τε τὰς ὀφρῦς.
ὡς ὅς γε πίνων μὴ γέγηθε μαίνεται·
ἵν' ἔστι τουτὶ τοὐρθὸν ἐξανιστάναι,
μαστοῦ τε δραγμὸς, καὶ παρεσκευασμένου
ψαῦσαι χεροῖν λειμῶνος, ὀρχηστύς θ' ἅμα,
κακῶν τε λῆστις. εἶτ' ἐγὼ οὐ κυνήσομαι
τοιόνδε πῶμα, τὴν Κύκλωπος ἀμαθίαν
κλαίειν κελεύων καὶ τὸν ὀφθαλμὸν μέσον;

ΧΟΡΟΣ.

ἄκου', Ὀδυσσεῦ, διαλαλήσομέν τί σοι.

ΟΔΥΣΣΕΥΣ.

καὶ μὴν φίλοι γε προσφέρεσθε πρὸς φίλον.

ΧΟΡΟΣ.

ἐλάβετε Τροίαν τὴν Ἑλένην τε χειρίαν;

ΟΔΥΣΣΕΥΣ.

καὶ πάντα γ' οἶκον Πριαμιδῶν ἐπέρσαμεν.

ΧΟΡΟΣ.

οὔκουν, ἐπειδὴ τὴν νεᾶνιν εἵλετε,
ἅπαντες αὐτὴν διεκροτήσατ' ἐν μέρει,
ἐπεί γε πολλοῖς ἥδεται γαμουμένη;
τὴν προδότιν, ἣ τοὺς θυλάκους τοὺς ποικίλους
περὶ τοῖν σκελοῖν ἰδοῦσα καὶ τὸν χρύσεον
κλοιὸν φοροῦντα περὶ μέσον τὸν αὐχένα
ἐξεπτοήθη, Μενέλεων ἀνθρώπιον
λῷστον λιποῦσα. μηδαμοῦ γένος ποτὲ
φῦναι γυναικῶν ὤφελ', εἰ μὴ 'μοὶ μόνῳ.

ΣΕΙΛΗΝΟΣ.

ἰδοὺ τάδ' ὑμῖν ποιμνίων βοσκήματα,
ἄναξ Ὀδυσσεῦ, μηκάδων ἀρνῶν τροφαὶ,
πηκτοῦ γάλακτός τ' οὐ σπάνια τυρεύματα.
φέρεσθε, χωρεῖθ' ὡς τάχιστ' ἄντρων ἄπο,
βότρυος ἐμοὶ πῶμ' ἀντιδόντες εὐίου.

ΟΔΥΣΣΕΥΣ.

οἴμοι· Κύκλωψ ὅδ' ἔρχεται· τί δράσομεν;
ἀπολώλαμεν γὰρ, ὦ γέρον· ποῖ χρὴ φυγεῖν;

ΣΕΙΛΗΝΟΣ.

ἔσω πέτρας τῆσδ', οὗπερ ἂν λάθοιτέ γε.

ΟΔΥΣΣΕΥΣ.

δεινὸν τόδ' εἶπας, ἀρκύων μολεῖν ἔσω.

ΣΕΙΛΗΝΟΣ.

οὐ δεινόν· εἰσὶ καταφυγαὶ πολλαὶ πέτρας.

ΟΔΥΣΣΕΥΣ.

οὐ δῆτ'· ἐπεί τἂν μεγάλα γ' ἡ Τροία στένοι,
εἰ φευξόμεσθ' ἕν' ἄνδρα· μυρίον δ' ὄχλον
Φρυγῶν ὑπέστην πολλάκις σὺν ἀσπίδι.
ἀλλ' εἰ θανεῖν δεῖ, κατθανούμεθ' εὐγενῶς,
ἢ ζῶντες αἶνον τὸν πάρος γ' εὖ σώσομεν.

ΚΥΚΛΩΨ.

ἄνεχε, πάρεχε, τί τάδε; τίς ἡ ῥᾳθυμία;
τί βακχιάζετ'; οὐχὶ Διόνυσος τάδε,
οὐ κρόταλα χαλκοῦ τυμπάνων τ' ἀράγματα.
πῶς μοι κατ' ἄντρα νεόγονα βλαστήματα;
ἦ πρός τε μαστοῖς εἰσι χὐπὸ μητέρων
πλευρὰς τρέχουσι, σχοινίνοις τ' ἐν τεύχεσι
πλήρωμα τυρῶν ἐστιν ἐξημελγμένον;
τί φατε; τί λέγετε; τάχα τις ὑμῶν τῷ ξύλῳ
δάκρυα μεθήσει· βλέπετ' ἄνω καὶ μὴ κάτω.

ΧΟΡΟΣ.

ἰδοὺ, πρὸς αὐτὸν τὸν Δί' ἀνακεκύφαμεν,
καὶ τἄστρα καὶ τὸν Ὠρίωνα δέρκομαι.

ΚΥΚΛΩΨ.

ἄριστόν ἐστιν εὖ παρεσκευασμένον;

ΧΟΡΟΣ.

πάρεστιν. ὁ φάρυγξ εὐτρεπὴς ἔστω μόνον.

ΚΥΚΛΩΨ.

ἦ καὶ γάλακτός εἰσι κρατῆρες πλέῳ;

ΧΟΡΟΣ.

ὥστ' ἐκπιεῖν γέ σ', ἢν θέλῃς, ὅλον πίθον.

ΚΥΚΛΩΨ.

μήλειον ἢ βόειον ἢ μεμιγμένον;

ΧΟΡΟΣ.

ὃν ἂν θέλῃς σύ· μὴ 'μὲ καταπίῃς μόνον.

ΚΥΚΛΩΨ.

ἥκιστ'· ἐπεί γ' ἂν ἐν μέσῃ τῇ γαστέρι
πηδῶντες ἀπολέσαιτ' ἂν ὑπὸ τῶν σχημάτων.
ἔα· τίν' ὄχλον τόνδ' ὁρῶ πρὸς αὐλίοις;
λῃσταί τινες κατέσχον ἢ κλῶπες χθόνα.
ὁρῶ γέ τοι τούσδ' ἄρνας ἐξ ἄντρων ἐμῶν
στρεπταῖς λύγοισι σῶμα συμπεπλεγμένους,
τεύχη τε τυρῶν συμμιγῆ, γέροντά τε
πληγαῖς πρόσωπον φαλακρὸν ἐξῳδηκότα.

ΣΕΙΛΗΝΟΣ.

ὤμοι, πυρέσσω συγκεκομμένος τάλας.

ΚΥΚΛΩΨ.

ὑπὸ τοῦ; τίς ἐς σὸν κρᾶτ' ἐπύκτευσεν, γέρον;

ΣΕΙΛΗΝΟΣ.

ὑπὸ τῶνδε, Κύκλωψ, ὅτι τὰ σ' οὐκ εἴων φέρ[illegible]

ΚΥΚΛΩΨ.

οὐκ ᾖσαν ὄντα θεόν με καὶ θεῶν ἄπο;

ΣΕΙΛΗΝΟΣ.

ἔλεγον ἐγὼ τάδ'· οἱ δ' ἐφόρουν τὰ χρήματα
καὶ τόν γε τυρὸν οὐκ ἐῶντος ἤσθιον,
τούς τ' ἄρνας ἐξεφοροῦντο· δήσαντες δέ σε
κλῳῷ τριπήχει κατὰ τὸν ὀφθαλμὸν μέσον
τὰ σπλάγχν' ἔφασκον ἐξαμήσεσθαι βίᾳ,
μάστιγί τ' εὖ τὸ νῶτον ἀπολέψειν σέθεν,
κἄπειτα συνδήσαντες ἐς θἀδώλια
τῆς νηὸς ἐμβαλόντες ἀποδώσειν τινὶ
πέτρους μοχλεύειν, ἢ 'ς μυλῶνα καταβαλεῖν.

ΚΥΚΛΩΨ.

ἀληθες; οὔκουν κοπίδας ὡς τάχιστ' ἰὼν

θήξεις μαχαίρας, καὶ μέγαν φάκελον ξύλων
ἐπιθεὶς ἀνάψεις; ὡς σφαγέντες αὐτίκα
πλήσουσι νηδὺν τὴν ἐμὴν ἀπ' ἄνθρακος
θερμὴν ἔδοντος δαῖτα τῷ κρεανόμῳ,
τὰ δ' ἐκ λέβητος ἑφθὰ καὶ τετηκότα·
ὡς ἐκπλεώς γε δαιτός εἰμ' ὀρεσκόου·
ἅλις λεόντων ἐστί μοι θοινωμένῳ
ἐλάφων τε, χρόνιος δ' εἰμ' ἀπ' ἀνθρώπων βορᾶς.

ΣΕΙΛΗΝΟΣ.

τὰ καινά γ' ἐκ τῶν ἠθάδων, ὦ δέσποτα,
ἡδίον' ἐστίν. οὐ γὰρ οὖν νεωστί γε
ἄλλοι πρὸς ἄντρα ταῦτ' ἀφίκοντο ξένοι.

ΟΔΥΣΣΕΥΣ.

Κύκλωψ, ἄκουσον ἐν μέρει καὶ τῶν ξένων.
ἡμεῖς βορᾶς χρῄζοντες ἐμπολὴν λαβεῖν
σῶν ἄσσον ἄντρων ἤλθομεν νεὼς ἄπο.
τοὺς δ' ἄρνας ἡμῖν οὗτος ἀντ' οἴνου σκύφου
ἀπημπόλα τε κἀδίδου πιεῖν λαβὼν
ἑκὼν ἑκοῦσι, κοὐδὲν ἦν τούτων βίᾳ.
ἀλλ' οὗτος ὑγιὲς οὐδὲν ὧν φησιν λέγει,
ἐπεὶ κατελήφθη σοῦ λάθρα πωλῶν τὰ σά.

ΣΕΙΛΗΝΟΣ.

ἐγώ; κακῶς γὰρ ἐξόλοι'.

ΟΔΥΣΣΕΥΣ.

εἰ ψεύδομαι.

ΣΕΙΛΗΝΟΣ.

μὰ τὸν Ποσειδῶ τὸν τεκόντα σ', ὦ Κύκλωψ,
μὰ τὸν μέγαν Τρίτωνα καὶ τὸν Νηρέα,
μὰ τὴν Καλυψὼ τάς τε Νηρέως κόρας,
μά θ' ἱρὰ κύματ' ἰχθύων τε πᾶν γένος,
ἀπώμοσ', ὦ κάλλιστον, ὦ Κυκλώπιον,
ὦ δεσποτίσκε, μὴ τὰ σ' ἐξοδᾶν ἐγὼ
ξένοισι χρήματ'. ἢ κακῶς οὗτοι κακοὶ
οἱ παῖδες ἀπόλοινθ', οὓς μάλιστ' ἐγὼ φιλῶ.

ΧΟΡΟΣ.

αὐτὸς ἔχ'. ἔγωγε τοῖς ξένοις τὰ χρήματα
περνάντα σ' εἶδον· εἰ δ' ἐγὼ ψευδῆ λέγω,
ἀπόλοιθ' ὁ πατήρ μου, τοὺς ξένους δὲ μὴ 'δίκει.

ΚΥΚΛΩΨ.

ψεύδεσθ'· ἔγωγε τῷδε τοῦ 'Ραδαμάνθυος
πλείω πέποιθα καὶ δικαιότερον λέγω.
θέλω δ' ἐρέσθαι· πόθεν ἐπλεύσατ', ὦ ξένοι;
ποδαποί, τίς ὑμᾶς ἐξεπαίδευσεν πόλις;

ΟΔΥΣΣΕΥΣ.

'Ιθακήσιοι μὲν τὸ γένος, 'Ιλίου δ' ἄπο,
πέρσαντες ἄστυ, πνεύμασιν θαλασσίοις
σὴν γαῖαν ἐξωσθέντες ἥκομεν, Κύκλωψ.

ΚΥΚΛΩΨ.

ἦ τῆς κακίστης οἳ μετήλθεθ' ἁρπαγὰς
'Ελένης Σκαμάνδρου γείτον' 'Ιλίου πόλιν;

ΟΔΥΣΣΕΥΣ.

οὗτοι, πόνον τὸν δεινὸν ἐξηντληκότες.

ΚΥΚΛΩΨ.

αἰσχρὸν στράτευμά γ', οἵτινες μιᾶς χάριν
γυναικὸς ἐξεπλεύσατ' ἐς γαῖαν Φρυγῶν.

ΟΔΥΣΣΕΥΣ.

θεοῦ τὸ πρᾶγμα· μηδέν' αἰτιῶ βροτῶν.
ἡμεῖς δέ σ', ὦ θεοῦ ποντίου γενναῖε παῖ,
ἱκετεύομέν τε καὶ λέγομεν ἐλευθέρως,
μὴ τλῇς πρὸς ἄντρα σοὺς ἀφιγμένους φίλους
κτανεῖν, βοράν τε δυσσεβῆ θέσθαι γνάθοις·
οἳ τὸν σὸν, ὦναξ, πατέρ' ἔχειν νεῶν ἕδρας
ἐρρυσάμεσθα γῆς ἐν 'Ελλάδος μυχοῖς.
ἱρός τ' ἄθραυστος Ταινάρου μένει λιμὴν,
Μαλέας τ' ἄκροι κευθμῶνες, ἥ τε Σουνίῳ
δίας 'Αθάνας σῶς ὑπάργυρος πέτρα,
Γεραίστιοί τε καταφυγαὶ, τά θ' 'Ελλάδος
δύσφορά γ' ὀνείδη Φρυξὶν οὐκ ἐδώκαμεν·
ὧν καὶ σὺ κοινοῦ· γῆς γὰρ 'Ελλάδος μυχοὺς
οἰκεῖς ὑπ' Αἴτνῃ, τῇ πυριστάκτῳ πέτρᾳ.
νόμοις δὲ θνητοῖς ἐς λόγους ἀποστρέφου,
ἱκέτας δέχεσθαι ποντίους ἐφθαρμένους,
ξένιά τε δοῦναι καὶ πέπλοις ἐπαρκέσαι,
οὐκ ἀμφὶ βουπόροισι πηχθέντας μέλη
ὀβελοῖσι νηδὺν καὶ γνάθον πλῆσαι σέθεν.
ἅλις δὲ Πριάμου γαῖ' ἐχήρωσ' 'Ελλάδα,
πολλῶν νεκρῶν πιοῦσα δορυπετῆ φόνον,
ἀλόχους τ' ἀνάνδρους γραῦς τ' ἄπαιδας ὤλεσε
πολιούς τε πατέρας. εἰ δὲ τοὺς λελειμμένους
σὺ συμπυρώσας δαῖτ' ἀναλώσεις πικρὰν,
ποῖ τρέψεταί τις; ἀλλ' ἐμοὶ πιθοῦ, Κύκλωψ,
πάρες τὸ μάργον σῆς γνάθου, τὸ δ' εὐσεβὲς
τῆς δυσσεβείας ἀνθελοῦ· πολλοῖσι γὰρ
κέρδη πονηρὰ ζημίαν ἠμείψατο.

ΣΕΙΛΗΝΟΣ.

παραινέσαι σοι βούλομαι· τῶν μὲν κρεῶν
μηδὲν λίπῃς τοὐδ'· ἢν δὲ τὴν γλῶσσαν δάκῃς,
κομψὸς γενήσει καὶ λαλίστατος, Κύκλωψ.

ΚΥΚΛΩΨ.

ὁ πλοῦτος, ανθρωπίσκε, τοῖς σοφοῖς θεός·
τὰ δ' ἄλλα κόμποι καὶ λόγων εὐμορφίαι.
ἄκρας δ' ἐναλίας ἃς καθίδρυται πατὴρ
χαίρειν κελεύω· τί τάδε προὐστήσω λόγῳ;
Ζηνὸς δ' ἐγὼ κεραυνὸν οὐ φρίσσω, ξένε,
οὐδ' οἶδ' ὅ τι Ζεύς ἐστ' ἐμοῦ κρείσσων θεός.
οὔ μοι μέλει τὸ λοιπόν. ὡς δ' οὔ μοι μέλει
ἄκουσον· ὅταν ἄνωθεν ὄμβρον ἐκχέῃ,
ἐν τῇδε πέτρᾳ στέγν' ἔχω σκηνώματα,
ἢ μόσχον ὀπτὸν ἤ τι θήρειον δάκος
δαινύμενος, εὖ τέγγων τε γαστέρ' ὑπτίαν,
ἐπεκπιὼν γάλακτος ἀμφορέα, πέπλον
κρούω, Διὸς βρονταῖσιν εἰς ἔριν κτυπῶν.
ὅταν δὲ βορέας χιόνα Θρῄκιος χέῃ,
δοραῖσι θηρῶν σῶμα περιβαλὼν ἐμὸν
καὶ πῦρ ἀναίθων, χιόνος οὐδέν μοι μέλει.
ἡ γῆ δ' ἀνάγκῃ, κἂν θέλῃ κἂν μὴ θέλῃ,
τίκτουσα ποίαν τἀμὰ πιαίνει βοτά.
ἁγὼ οὔτινι θύω πλὴν ἐμοὶ, θεοῖσι δ' οὔ,
καὶ τῇ μεγίστῃ γαστρὶ τῇδε δαιμόνων·
ὡς τοὐμπιεῖν γε καὶ φαγεῖν τοὐφ' ἡμέραν,
Ζεὺς οὗτος ἀνθρώποισι τοῖσι σώφροσι,
λυπεῖν δὲ μηδὲν αὑτόν· οἳ δὲ τοὺς νόμους
ἔθεντο, ποικίλλοντες ἀνθρώπων βίον,
κλαίειν ἄνωγα· τὴν δ' ἐμὴν ψυχὴν ἐγὼ
οὐ παύσομαι δρῶν εὖ κατεσθίων τε σέ.
ξένιά τε λήψει τοιάδ', ὡς ἄμεμπτος ὦ,
πῦρ καὶ πατρῷον τόνδε λέβητά γ', ὃς ζέσας
σὴν σάρκα δυσφόρητον ἀμφέξει καλῶς.
ἀλλ' ἕρπετ' εἴσω, τῷ κατ' αὔλιον θεῷ
ἵν' ἀμφὶ βωμὸν στάντες εὐωχῆτέ με.

ΟΔΥΣΣΕΥΣ.

αἰαῖ. πόνους μὲν Τρωικοὺς ὑπεξέδυν
θαλασσίους τε, νῦν δ' ἐς ἀνδρὸς ἀνοσίου
γνώμην κατέσχον ἀλίμενόν τε καρδίαν.
ὦ Παλλὰς, ὦ δέσποινα Διογενὲς θεὰ,
νῦν νῦν ἄρηξον· κρείσσονας γὰρ Ἰλίου
πόνους ἀφῖγμαι κἀπὶ κινδύνου βάθρα.
σύ τ', ὦ φαεννῶν ἀστέρων οἰκῶν ἕδρας,
Ζεῦ ξένι', ὅρα τάδ'· εἰ γὰρ αὐτὰ μὴ βλέπεις,
ἄλλως νομίζει, Ζεῦ, τὸ μηδὲν ὢν, θεός.

ΧΟΡΟΣ.

εὐρείας φάρυγγος, ὦ Κύκλωψ,
ἀναστόμου τὸ χεῖλος· ὡς ἕτοιμά σοι
ἑφθὰ καὶ ὀπτὰ καὶ ἀνθρακιᾶς ἄπο χναύειν,
βρύκειν, κρεοκοπεῖν μέλη ξένων,
δασυμάλλῳ ἐν αἰγίδι κλινόμενα.
μή μοι μὴ προδίδου·
μόνος μόνῳ κόμιζε πορθμίδος σκάφος.
χαιρέτω μὲν αὖλις ἥδε,
χαιρέτω δὲ θυμάτων
ἀποβώμιος ἃν ἔχει θυσίαν
Κύκλωψ Αἰτναῖος ξενικῶν
κρεῶν κεχαρμένος βορᾷ·
νηλὴς ὁ τλάμων, ὅστις
δωμάτων ἐφεστίους ξένους
ἱκτῆρας ἐκθύει δόμων,
κόπτων, βρύκων,
ἑφθά τε δαινύμενος μυσαροῖσιν ὀδοῦσιν
ἀνθρώπων θέρμ' ἀπ' ἀνθράκων κρέα.

ΟΔΥΣΣΕΥΣ.

ὦ Ζεῦ, τί λέξω, δείν' ἰδὼν ἄντρων ἔσω,
κοὐ πιστὰ, μύθοις εἰκότ' οὐδ' ἔργοις βροτῶν;

ΧΟΡΟΣ.

τί δ' ἔστ', Ὀδυσσεῦ; μῶν τεθοίναται σέθεν
φίλους ἑταίρους ἀνοσιώτατος Κύκλωψ;

ΟΔΥΣΣΕΥΣ.

δισσούς γ' ἀθρήσας κἀπιβαστάσας χεροῖν,
οἳ σαρκὸς εἶχον εὐτρεφέστατον πάχος.

ΧΟΡΟΣ.

πῶς, ὦ ταλαίπωρ', ἦτε πάσχοντες τάδε;

ΟΔΥΣΣΕΥΣ.

ἐπεὶ πετραίαν τήνδ' ἐσήλθομεν χθόνα,
ἀνέκαυσε μὲν πῦρ πρῶτον, ὑψηλῆς δρυὸς
κορμοὺς πλατείας ἐσχάρας βαλὼν ἔπι,
τρισσῶν ἁμαξῶν ὡς ἀγώγιμον βάρος.
ἔπειτα φύλλων ἐλατίνων χαμαιπετῆ
ἔνησεν εὐνὴν πλησίον πυρὸς φλογί.
κρατῆρα δ' ἐξέπλησεν ὡς δεκάμφορον,
μόσχους ἀμέλξας, λευκὸν ἐσχέας γάλα.
σκύφος τε κισσοῦ παρέθετ' εἰς εὖρος τριῶν
πηχέων, βάθος δὲ τεσσάρων ἐφαίνετο.
καὶ χάλκεον λέβητ' ἐπέζεσεν πυρὶ,
ὀβελούς τ' ἄκρους μὲν ἐγκεκαυμένους πυρὶ,
ξεστοὺς δὲ δρεπάνῳ γ', ἀλλὰ παλιούρου κλάδῳ,
Αἰτναῖά τε σφαγεῖα πελέκεων γνάθοις.
ὡς δ' ἦν ἕτοιμα πάντα τῷ θεοστυγεῖ
Ἅιδου μαγείρῳ, φῶτε συμμάρψας δύο
ἔσφαξ' ἑταίρων τῶν ἐμῶν ῥυθμῷ τινι
τὸν μὲν λέβητος ἐς κύτος χαλκήλατον,
τὸν δ' αὖ, τένοντος ἁρπάσας ἄκρου ποδὸς,
παίων πρὸς ὀξὺν γ' ὄνυχα πετραίου λίθου,
ἐγκέφαλον ἐξέρρανε, καὶ καθαρπάσας
λάβρῳ μαχαίρᾳ σάρκας ἐξώπτα πυρὶ,
τὰ δ' ἐς λέβητ' ἐφῆκεν ἕψεσθαι μέλη.
ἐγὼ δ' ὁ τλήμων δάκρυ' ἀπ' ὀφθαλμῶν χέων
ἐχριμπτόμην Κύκλωπι καὶ διηκόνουν·
ἄλλοι δ' ὅπως ὄρνιθες ἐν μυχοῖς πέτρας
πτήξαντες εἶχον, αἷμα δ' οὐκ ἐνῆν χροΐ.
ἐπεὶ δ' ἑταίρων τῶν ἐμῶν πλησθεὶς βορᾶς
ἀνέπεσε, φάρυγος αἰθέρ' ἐξιεὶς βαρὺν,
ἐσῆλθέ μοί τι θεῖον· ἐμπλήσας σκύφος
Μάρωνος αὐτῷ τοῦδε προσφέρω πιεῖν,
λέγων τάδ'· ὦ παῖ ποντίου θεοῦ, Κύκλωψ,
σκέψαι τόδ' οἷον Ἑλλὰς ἀμπέλων ἄπο
θεῖον κομίζει πῶμα, Διονύσου γάνος.
ὁ δ' ἔκπλεως ὢν τῆς ἀναισχύντου βορᾶς
ἐδέξατ' ἔσπασέν τ' ἄμυστιν ἑλκύσας,
κἀπήνεσ' ἄρας χεῖρα, φίλτατε ξένων,
καλὸν τὸ πῶμα δαιτὶ πρὸς καλῇ δίδως.
ἡσθέντα δ' αὐτὸν ὡς ἐπῃσθόμην ἐγὼ,
ἄλλην ἔδωκα κύλικα, γιγνώσκων ὅτι
τρώσει νιν οἶνος καὶ δίκην δώσει τάχα.
καὶ δὴ πρὸς ᾠδὰς εἷρπ'. ἐγὼ δ' ἐπεγχέων
ἄλλην ἐπ' ἄλλῃ σπλάγχν' ἐθέρμαινον ποτῷ.
ᾄδει δὲ παρὰ κλαίουσι συνναύταις ἐμοῖς
ἄμουσ', ἐπήχει δ' ἄντρον. ἐξελθὼν δ' ἐγὼ
σιγῇ, σὲ σῶσαι κἄμ', ἐὰν βούλῃ, θέλω.
ἀλλ' εἴπατ' εἴτε χρῄζετ' εἴτ' οὐ χρῄζετε
φεύγειν ἄμικτον ἄνδρα καὶ τὰ Βακχίου
ναίειν μέλαθρα Ναιάδων νυμφῶν μέτα.
ὁ μὲν γὰρ ἔνδον σὸς πατὴρ τάδ' ᾔνεσεν.
ἀλλ' ἀσθενὴς γὰρ κἀποκερδαίνων ποτοῦ,
ὥσπερ πρὸς ἰξῷ τῇ κύλικι λελημμένος
πτέρυγα σαλεύει· σὺ δὲ, νεανίας γὰρ εἶ,
σώθητι μετ' ἐμοῦ, καὶ τὸν ἀρχαῖον φίλον
Διόνυσον ἀνάλαβ', οὐ Κύκλωπι προσφερῆ.

ΧΟΡΟΣ.

ὦ φίλτατ', εἰ γὰρ τήνδ' ἴδοιμεν ἡμέραν,
Κύκλωπος ἐκφυγόντες ἀνόσιον κάρα.
ὡς διὰ μακροῦ γε τὸν σίφωνα τὸν φίλον
χηρεύομεν, τόνδ' οὐκ ἔχοντες καταφυγεῖν.

ΟΔΥΣΣΕΥΣ.

ἄκουε δή νυν ἣν ἔχω τιμωρίαν
θηρὸς πανούργου σῆς τε δουλείας φυγήν.

ΧΟΡΟΣ.

λέγ'; ὡς Ἀσιάδος οὐκ ἂν ἥδιον ψόφον
κιθάρας κλύοιμεν ἢ Κύκλωπ' ὀλωλότα.

ΟΔΥΣΣΕΥΣ.

ἐπὶ κῶμον ἕρπειν πρὸς κασιγνήτους θέλει
Κύκλωπας ἡσθεὶς τῷδε Βακχίου ποτῷ.

ΧΟΡΟΣ.

ξυνῆκ', ἔρημον ξυλλαβὼν δρυμοῖσί νιν
σφάξαι μενοινᾷς ἢ πετρῶν ὦσαι κάτω.

ΟΔΥΣΣΕΥΣ.

οὐδὲν τοιοῦτον, δόλιος ἡ 'πιθυμία.

ΧΟΡΟΣ.

πῶς δαί; σοφόν τοί σ' ὄντ' ἀκούομεν πάλαι.

ΟΔΥΣΣΕΥΣ.

κώμου μὲν αὐτὸν τοῦδ' ἀπαλλάξαι, λέγων

ὡς οὐ Κύκλωψι πῶμα χρὴ δοῦναι τόδε,
μόνον δ' ἔχοντα βίοτον ἡδέως ἄγειν.
ὅταν δ' ὑπνώσῃ Βακχίου νικώμενος,
ἀκρέμων ἐλαίας ἐστὶν ἐν δόμοισί τις,
ὃν φασγάνῳ τῷδ' ἐξαποξύνας ἄκρον
ἐς πῦρ καθήσω· κᾆθ' ὅταν κεκαυμένον
ἴδω νιν, ἄρας θερμὸν ἐς μέσην βαλὼν
Κύκλωπος ὄψιν ὄμματ' ἐκτήξω πυρί.
ναυπηγίαν δ' ὡσεί τις ἁρμόζων ἀνὴρ
διπλοῖν χαλινοῖν τρύπανον κωπηλατεῖ,
οὕτω κυκλώσω δαλὸν ἐν φαεσφόρῳ
Κύκλωπος ὄψει, καὶ συναυανῶ κόρας.

ΧΟΡΟΣ.

ἰοὺ ἰού.
γέγηθα, μαινόμεσθα τοῖς εὑρήμασιν.

ΟΔΥΣΣΕΥΣ.

κἄπειτα καὶ σὲ καὶ φίλους γέροντά τε
νεὼς μελαίνης κοῖλον ἐμβήσας σκάφος
διπλαῖσι κώπαις τῆσδ' ἀποστελῶ χθονός.

ΧΟΡΟΣ.

ἔστ' οὖν ὅπως ἂν ὥσπερ ἐκ σπονδῆς θεοῦ
κἀγὼ λαβοίμην τοῦ τυφλοῦντος ὄμματα
δαλοῦ; φόνου γὰρ τοῦδε κοινωνεῖν θέλω.

ΟΔΥΣΣΕΥΣ.

δεῖ γοῦν· μέγας γὰρ δαλὸς, ὃν ξυλληπτέον.

ΧΟΡΟΣ.

ὡς κἂν ἁμαξῶν ἑκατὸν ἀραίμην βάρος,
εἰ τοῦ Κύκλωπος τοῦ κακῶς ὀλουμένου
ὀφθαλμὸν ὥσπερ σφηκιὰν ἐκτρίψομεν.

ΟΔΥΣΣΕΥΣ.

σιγᾶτέ νυν· δόλον γὰρ ἐξεπίστασαι·
χὤταν κελεύω, τοῖσιν ἀρχιτέκτοσι
πείθεσθ'· ἐγὼ γὰρ ἄνδρας ἀπολιπὼν φίλους
τοὺς ἔνδον ὄντας οὐ μόνος σωθήσομαι.
καίτοι φύγοιμ' ἂν, κἀκβέβηκ' ἄντρου μυχῶν·
ἀλλ' οὐ δίκαιον ἀπολιπόντ' ἐμοὺς φίλους,
ξὺν οἷσπερ ἦλθον δεῦρο, σωθῆναι μόνον.

ΗΜΙΧΟΡΙΟΝ.

ἄγε, τίς πρῶτος; τίς δ' ἐπὶ πρώτῳ
ταχθεὶς δαλοῦ κώπην ὀχμάσας
Κύκλωπος ἔσω βλεφάρων ὤσας
λαμπρὰν ὄψιν διακναίσει;

ΗΜΙΧΟΡΙΟΝ.

σίγα σίγα. καὶ δὴ μεθύων
ἄχαριν κέλαδον μουσιζόμενος
σκαιὸς ἀπῳδὸς καὶ κλαυσόμενος
χωρεῖ πετρίνων ἔξω μελάθρων.
φέρε νιν κώμοις παιδεύσωμεν
τὸν ἀπαίδευτον.
πάντως μέλλει τυφλὸς εἶναι.

ΧΟΡΟΣ.

μακάριος ὃς εὐιάζει
βοτρύων φίλαισι πηγαῖς
ἐπὶ κῶμον ἐκπετασθεὶς,
φίλον ἄνδρ' ὑπαγκαλίζων,
ἐπὶ δεμνίοις τε ξανθὸν
χλιδανῆς ἔχων ἑταίρας
μυρόχριστος λιπαρὸν βό-
στρυχον, αὐδᾷ δὲ, θύραν τίς οἴξει μοι;

ΚΥΚΛΩΨ.

παπαπαῖ, πλέως μὲν οἴνου,
γάνυμαι δὲ δαιτὸς ἥβης,
σκάφος ὁλκὰς ὣς γεμισθεὶς
ποτὶ σέλμα γαστρὸς ἄκρας.
ὑπάγει μ' ὁ χόρτος εὔφρων
ἐπὶ κῶμον ἦρος ὥραις,
ἐπὶ Κύκλωπας ἀδελφούς.
φέρε μοι, ξεῖνε, φέρ' ἀσκὸν ἔνδος μοι.

ΧΟΡΟΣ.

καλὸν ὄμμασιν δεδορκὼς
καλὸν ἐκπερᾷ μελάθρων.
* * φιλεῖ τις ἡμᾶς.
λύχνα δ' ἀμμένει δάϊα σὸν
χρόα, χὡς τέρεινα νύμφα
δροσερῶν ἔσωθεν ἄντρων.
στεφάνων δ' οὐ μία χροιὰ
περὶ σὸν κρᾶτα τάχ' ἐξομιλήσει.

ΟΔΥΣΣΕΥΣ.

Κύκλωψ, ἄκουσον, ὡς ἐγὼ τοῦ Βακχίου
τούτου τρίβων εἰμ', ὃν πιεῖν ἔδωκά σοι.

ΚΥΚΛΩΨ.

ὁ Βάκχιος δὲ τίς θεὸς νομίζεται;

ΟΔΥΣΣΕΥΣ.

μέγιστος ἀνθρώποισιν ἐς τέρψιν βίου.

ΚΥΚΛΩΨ.

ἐρυγγάνω γοῦν αὐτὸν ἡδέως ἐγώ.

ΟΔΥΣΣΕΥΣ.

τοιόσδ' ὁ δαίμων· οὐδένα βλάπτει βροτῶν.

ΚΥΚΛΩΨ.

θεὸς δ' ἐν ἀσκῷ πῶς γέγηθ' οἴκους ἔχων;

ΟΔΥΣΣΕΥΣ.

ὅπου τιθῇ τις, ἐνθάδ' ἐστὶν εὐπετής.

ΚΥΚΛΩΨ.

οὐ τοὺς θεοὺς χρὴ δῶμ' ἔχειν ἐν δέρμασιν.

ΟΔΥΣΣΕΥΣ.

τί δ', εἴ σε τέρπει γ'; ἢ τὸ δέρμα σοι πικρόν;

ΚΥΚΛΩΨ.

μισῶ τὸν ἀσκόν· τὸ δὲ ποτὸν φιλῶ τόδε.

ΟΔΥΣΣΕΥΣ.

μένων νυν αὐτοῦ πῖνε κεὐθύμει, Κύκλωψ.

ΚΥΚΛΩΨ.

οὐ χρή μ' ἀδελφοῖς τοῦδε προσδοῦναι ποτοῦ;

ΟΔΥΣΣΕΥΣ.

ἔχων γὰρ αὐτὸς τιμιώτερος φανεῖ.

ΚΥΚΛΩΨ.

διδοὺς δὲ τοῖς φίλοισι χρησιμώτερος.

ΟΔΥΣΣΕΥΣ.

πυγμὰς ὁ κῶμος λοίδορόν τ' ἔριν φιλεῖ.

ΚΥΚΛΩΨ.

μεθύωμεν· ἔμπας δ' οὔτις ἂν ψαύσειέ μου.

ΟΔΥΣΣΕΥΣ.

ὦ τᾶν, πεπωκότ' ἐν δόμοισι χρὴ μένειν.

ΚΥΚΛΩΨ.

ἠλίθιος ὅστις μὴ πιὼν κῶμον φιλεῖ.

ΟΔΥΣΣΕΥΣ.

ὃς δ' ἂν μεθυσθείς γ' ἐν δόμοις μείνῃ, σοφός.

ΚΥΚΛΩΨ.

τί δρῶμεν, ὦ Σειληνέ; σοὶ μένειν δοκεῖ;

ΣΕΙΛΗΝΟΣ.
δοκεῖ· τί γὰρ δεῖ συμποτῶν ἄλλων, Κύκλωψ;
ΚΥΚΛΩΨ.
καὶ μὴν λαχνῶδές γ' οὖδας ἀνθηρᾶς χλόης.
ΣΕΙΛΗΝΟΣ.
καὶ πρός γε θάλπος ἡλίου πίνειν καλόν.
κλίθητί νύν μοι πλευρὰ θεὶς ἐπὶ χθονός.
ΚΥΚΛΩΨ.
ἰδού·
τί δῆτα τὸν κρατῆρ' ὄπισθέ μου τίθης;
ΣΕΙΛΗΝΟΣ.
ὡς μὴ παρών τις καταλάβῃ.
ΚΥΚΛΩΨ.
πίνειν μὲν οὖν
κλέπτων σὺ βούλει· κάτθες αὐτὸν ἐς μέσον,
σὺ δ', ὦ ξέν', εἰπὲ τοὔνομ' ὅ τι σε χρὴ καλεῖν.
ΟΔΥΣΣΕΥΣ.
Οὖτιν· χάριν δὲ τίνα λαβών σ' ἐπαινέσω;
ΚΥΚΛΩΨ.
πάντων σ' ἑταίρων ὕστερον θοινάσομαι.
ΟΔΥΣΣΕΥΣ.
καλόν γε τὸ γέρας τῷ ξένῳ δίδως, Κύκλωψ.
ΚΥΚΛΩΨ.
οὗτος, τί δρᾷς; τὸν οἶνον ἐκπίνεις λάθρα;
ΣΕΙΛΗΝΟΣ.
οὔκ, ἀλλ' ἔμ' οὗτος ἔκυσεν, ὅτι καλὸν βλέπω.
ΚΥΚΛΩΨ.
κλαύσει, φιλῶν τὸν οἶνον οὐ φιλοῦντά σε.
ΣΕΙΛΗΝΟΣ.
ναὶ μὰ Δί', ἐπεί μού φησ' ἐρᾶν ὄντος καλοῦ.
ΚΥΚΛΩΨ.
ἔγχει· πλέων δὲ τὸν σκύφον δίδου μόνον.
ΣΕΙΛΗΝΟΣ.
πῶς οὖν κέκραται; φέρε διασκεψώμεθα.
ΚΥΚΛΩΨ.
ἀπολεῖς· δὸς οὕτως.
ΣΕΙΛΗΝΟΣ.
ναὶ μὰ Δί' οὐ πρὶν ἄν σέ γε
στέφανον ἴδω λαβόντα, γεύσωμαί τ' ἔτι.
ΚΥΚΛΩΨ.
ᾠνοχόος ἄδικος.
ΣΕΙΛΗΝΟΣ.
ναὶ μὰ Δί' ἀλλ' ᾦνος γλυκύς.
ἀπομυκτέον δέ σοί γ', ὅπως λήψει πιεῖν.
ΚΥΚΛΩΨ.
ἰδού, καθαρὸν τὸ χεῖλος αἱ τρίχες τέ μου.
ΣΕΙΛΗΝΟΣ.
θές νυν τὸν ἀγκῶν' εὐρύθμως, κᾆτ' ἔκπιε,
ὥσπερ μ' ὁρᾷς πίνοντα χὤσπερ οὐκ ἐμέ.
ΚΥΚΛΩΨ.
ἆ ἆ, τί δράσεις;
ΣΕΙΛΗΝΟΣ.
ἡδέως ἠμύστικα.
ΚΥΚΛΩΨ.
λαβών, ξέν', αὐτὸς οἰνοχόος γέ μου γενοῦ.
ΟΔΥΣΣΕΥΣ.
γιγνώσκεται γοῦν ἄμπελος τἠμῇ χερί.
ΚΥΚΛΩΨ.
φέρ' ἔγχεόν νυν.

ΟΔΥΣΣΕΥΣ.
ἐγχέω, σίγα μόνον.
ΚΥΚΛΩΨ.
χαλεπὸν τόδ' εἶπας, ὅστις ἂν πίνῃ πολύν.
ΟΔΥΣΣΕΥΣ.
ἰδοὺ λαβὼν ἔκπιθι καὶ μηδὲν λίπῃς.
συνεκθανεῖν δὲ σπῶντα χρὴ τῷ πώματι.
ΚΥΚΛΩΨ.
παπαῖ, σοφόν γε τὸ ξύλον τῆς ἀμπέλου.
ΟΔΥΣΣΕΥΣ.
κἂν μὲν σπάσῃ γε δαιτὶ πρὸς πολλῇ πολύν,
τέγξας ἄδιψον νηδύν, εἰς ὕπνον βαλεῖ·
ἢν δ' ἐκλίπῃς τι, ξηρανεῖ σ' ὁ Βάκχιος.
ΚΥΚΛΩΨ.
ἰοὺ ἰού,
ὡς ἐξένευσα μόγις· ἄκρατος ἡ χάρις·
ὁ δ' οὐρανός μοι συμμεμιγμένος δοκεῖ
τῇ γῇ φέρεσθαι, τοῦ Διός τε τὸν θρόνον
λεύσσω τὸ πᾶν τε δαιμόνων ἁγνὸν σέβας.
οὐκ ἂν φιλήσαιμ'· αἱ Χάριτες πειρῶσί με.
ἅλις Γανυμήδην τόνδ' ἔχων ἀναπαύσομαι
κάλλιστα νὴ τὰς Χάριτας. ἥδομαι δέ πως
τοῖς παιδικοῖσι μᾶλλον ἢ τοῖς θήλεσιν.
ΣΕΙΛΗΝΟΣ.
ἐγὼ γὰρ ὁ Διός εἰμι Γανυμήδης, Κύκλωψ;
ΚΥΚΛΩΨ.
ναὶ μὰ Δί', ὃν ἁρπάζω γ' ἐγὼ 'κ τοῦ Δαρδάν
ΣΕΙΛΗΝΟΣ.
ἀπόλωλα, παῖδες· σχέτλια πείσομαι κακά.
ΧΟΡΟΣ.
μέμφει τὸν ἐραστὴν κἀντρυφᾷς πεπωκότι;
ΣΕΙΛΗΝΟΣ.
οἴμοι· πικρότατον οἶνον ὄψομαι τάχα.
ΟΔΥΣΣΕΥΣ.
ἄγε δή, Διονύσου παῖδες, εὐγενῆ τέκνα.
ἔνδον μὲν ἀνήρ· τῷ δ' ὕπνῳ παρειμένος
τάχ' ἐξ ἀναιδοῦς φάρυγος ὠθήσει κρέα.
δαλὸς δ' ἔσωθεν αὐλίων ὠθεῖ καπνόν.
παρευτρέπισται δ' οὐδὲν ἄλλο πλὴν πυροῦν
Κύκλωπος ὄψιν· ἀλλ' ὅπως ἀνὴρ ἔσει.
ΧΟΡΟΣ.
πέτρας τὸ λῆμα κἀδάμαντος ἕξομεν.
χώρει δ' ἐς οἴκους, πρίν τι τὸν πατέρα πα
ἀπάλαμνον, ὥς σοι τἀνθάδ' ἐστὶν εὐτρεπῆ.
ΟΔΥΣΣΕΥΣ.
Ἥφαιστ' ἄναξ Αἰτναῖε, γείτονος κακοῦ
λαμπρὸν πυρώσας ὄμμ' ἀπαλλάχθηθ' ἅπαξ
σύ τ', ὦ μελαίνης Νυκτὸς ἐκπαίδευμ', Ὕπν
ἄκρατος ἐλθὲ θηρὶ τῷ θεοστυγεῖ,
καὶ μὴ 'πὶ καλλίστοισι Τρωικοῖς πόνοις
αὐτόν τε ναύτας τ' ἀπολέσητ' Ὀδυσσέα
ὑπ' ἀνδρός, ᾧ θεῶν οὐδὲν ἢ βροτῶν μέλει.
ἢ τὴν τύχην μὲν δαίμον' ἡγεῖσθαι χρεών,
τὰ δαιμόνων δὲ τῆς τύχης ἐλάσσονα.
ΧΟΡΟΣ.
λήψεται τὸν τράχηλον
ἐντόνως ὁ καρκίνος
τοῦ ξένων δαιτυμόνος· πυρὶ γὰρ τάχα
φωσφόρους ὀλεῖ κόρας·
ἤδη δαλὸς ἠνθρακωμένος·

χρύπτεται εἰς σποδιὰν δρυὸς ἄσπετον ἔρνος.
ἀλλ' ἴτω Μάρων·
πρασσέτω μαινόμενος·
ἐξελέτω βλέφαρον
Κύκλωπος, ὡς πίῃ κακῶς.
κἀγὼ τὸν φιλοκισσοφόρον Βρόμιον
ποθεινὸν εἰσιδεῖν θέλω,
Κύκλωπος λιπὼν ἐρημίαν.
ἆρ' ἐς τοσόνδ' ἀφίξομαι;

ΟΔΥΣΣΕΥΣ.

σιγᾶτε πρὸς θεῶν, θῆρες, ἡσυχάζετε,
συνθέντες ἄρθρα στόματος· οὐδὲ πνεῖν ἐῶ,
οὐ σκαρδαμύσσειν, οὐδὲ χρέμπτεσθαί τινα,
ὡς μὴ 'ξεγερθῇ τὸ κακὸν, ἐς τ' ἂν ὄμματος
ὄψις Κύκλωπος ἐξαμιλληθῇ πυρί.

ΧΟΡΟΣ.

σιγῶμεν ἐγκάψαντες αἰθέρα γνάθοις.

ΟΔΥΣΣΕΥΣ.

ἄγε νυν ὅπως ἅψεσθε τοῦ δαλοῦ χεροῖν
ἔσω μολόντες· διάπυρος δ' ἐστὶν καλῶς.

ΧΟΡΟΣ.

οὐκοῦν σὺ τάξεις οὕστινας πρώτους χρεὼν
καυστὸν μοχλὸν λαβόντας ἐκκαίειν τὸ φῶς
Κύκλωπος, ὡς ἂν τῆς τύχης κοινώμεθα.

ΗΜΙΧΟΡΙΟΝ.

ἡμεῖς μέν ἐσμεν μακρότερον πρὸ τῶν θυρῶν
ἑστῶτες ὠθεῖν ἐς τὸν ὀφθαλμὸν τὸ πῦρ.

ΗΜΙΧΟΡΙΟΝ.

ἡμεῖς δὲ χωλοί γ' ἀρτίως γεγενήμεθα.

ΗΜΙΧΟΡΙΟΝ.

ταυτὸν πεπόνθατ' ἆρ' ἐμοί. τοὺς γὰρ πόδας
ἑστῶτες ἐσπάσθημεν οὐκ οἶδ' ἐξ ὅτου.

ΗΜΙΧΟΡΙΟΝ.

ἑστῶτες ἐσπάσθητε;

ΗΜΙΧΟΡΙΟΝ.

καὶ τά γ' ὄμματα
μέστ' ἐστὶν ἡμῶν κόνεος ἢ τέφρας ποθέν.

ΟΔΥΣΣΕΥΣ.

ἄνδρες πονηροὶ κοὐδὲν οἵδε σύμμαχοι.

ΧΟΡΟΣ.

ὁτιὴ τὸ νῶτον τὴν ῥάχιν τ' οἰκτείρομεν,
καὶ τοὺς ὀδόντας ἐκβαλεῖν οὐ βούλομαι
τυπτόμενος, αὕτη γίγνεται πονηρία;
ἀλλ' οἶδ' ἐπῳδὴν Ὀρφέως ἀγαθὴν πάνυ,
ὡς αὐτόματον τὸν δαλὸν ἐς τὸ κρανίον
στείχονθ' ὑφάπτειν τὸν μονῶπα παῖδα γῆς.

ΟΔΥΣΣΕΥΣ.

πάλαι μὲν ᾔδη σ' ὄντα τοιοῦτον φύσει,
νῦν δ' οἶδ' ἄμεινον. τοῖσι δ' οἰκείοις φίλοις
χρῆσθαί μ' ἀνάγκη. χειρὶ δ' εἰ μηδὲν σθένεις,
ἀλλ' οὖν ἐπεγκέλευέ γ', ὡς εὐψυχίαν
φίλων κελευσμοῖς τοῖσι σοῖς κτησώμεθα.

ΧΟΡΟΣ.

δράσω τάδ'. ἐν τῷ Καρὶ κινδυνεύσομεν.
κελευσμάτων δ' ἕκατι τυφέσθω Κύκλωψ.
ἰὼ ἰώ.
γενναιότατ' ὠθεῖτε, σπεύδετε.
ἐκκαίετε τὴν ὀφρὺν
θηρὸς τοῦ ξενοδαίτα.
τύφετ' ὦ, καίετ' ὦ
τὸν Αἴτνας μηλονόμον.
τόρνευ', ἕλκε, μή σ' ἐξοδυνηθεὶς
δράσῃ τι μάταιον.

ΚΥΚΛΩΨ.

ὤμοι, κατηνθρακώμεθ' ὀφθαλμοῦ σέλας.

ΧΟΡΟΣ.

καλός γ' ὁ παιάν· μέλπε μοι τόνδ', ὦ Κύκλωψ.

ΚΥΚΛΩΨ.

ὤμοι μάλ', ὡς ὑβρίσμεθ', ὡς ὀλώλαμεν.
ἀλλ' οὔτι μὴ φύγητε τῆσδ' ἔξω πέτρας
χαίροντες, οὐδὲν ὄντες· ἐν πύλαισι γὰρ
σταθεὶς φάραγγος τάσδ' ἐναρμόσω χέρας.

ΧΟΡΟΣ.

τί χρῆμ' ἀϋτεῖς, ὦ Κύκλωψ;

ΚΥΚΛΩΨ.

ἀπωλόμην.

ΧΟΡΟΣ.

αἰσχρός γε φαίνει.

ΚΥΚΛΩΨ.

κἀπὶ τοῖσδέ γ' ἄθλιος.

ΧΟΡΟΣ.

μεθύων κατέπεσες ἐς μέσους τοὺς ἄνθρακας;

ΚΥΚΛΩΨ.

Οὖτίς μ' ἀπώλεσ'.

ΧΟΡΟΣ.

οὐκ ἄρ' οὐδείς σ' ἠδίκει.

ΚΥΚΛΩΨ.

Οὖτίς με τυφλοῖ βλέφαρον.

ΧΟΡΟΣ.

οὐκ ἄρ' εἶ τυφλός.

ΚΥΚΛΩΨ.

ὡς δὴ σύ.

ΧΟΡΟΣ.

καὶ πῶς σ' οὔτις ἂν θείη τυφλόν;

ΚΥΚΛΩΨ.

σκώπτεις· ὁ δ' Οὖτις ποῦ 'στιν;

ΧΟΡΟΣ.

οὐδαμοῦ, Κύκλωψ.

ΚΥΚΛΩΨ.

ὁ ξένος, ἵν' ὀρθῶς ἐκμάθῃς, μ' ἀπώλεσεν,
ὁ μιαρὸς, ὅς μοι δοὺς τὸ πῶμα κατέκλυσεν.

ΧΟΡΟΣ.

δεινὸς γὰρ οἶνος καὶ παλαίεσθαι βαρύς.

ΚΥΚΛΩΨ.

πρὸς θεῶν πεφεύγασ' ἢ μένουσ' εἴσω δόμων;

ΧΟΡΟΣ.

οὗτοι σιωπῇ τὴν πέτραν ἐπήλυγα
λαβόντες ἑστήκασι.

ΚΥΚΛΩΨ.

ποτέρας τῆς χερός;

ΧΟΡΟΣ.

ἐν δεξιᾷ σου.

ΚΥΚΛΩΨ.

ποῦ;

ΧΟΡΟΣ.

πρὸς αὐτῇ τῇ πέτρᾳ.
ἔχεις;

ΚΥΚΛΩΨ.

κακόν γε πρὸς κακῷ· τὸ κρανίον
παίσας κατέαγα.

ΧΟΡΟΣ.

καί σε διαφεύγουσί γέ.

ΚΥΚΛΩΨ.

οὐ τῇδ᾽, ἐπεὶ τῇδ᾽ εἶπας.

ΧΟΡΟΣ.

οὐ ταύτῃ λέγω.

ΚΥΚΛΩΨ.

πῇ γάρ;

ΧΟΡΟΣ.

περιάγουσίν σε πρὸς τἀριστερά.

οἴμοι· γελῶμαι· κερτομεῖτέ μ᾽ ἐν κακοῖς.

ΧΟΡΟΣ.

ἀλλ᾽ οὐκέτ᾽, ἀλλὰ πρόσθεν οὗτός ἐστί σου.

ΚΥΚΛΩΨ.

ὦ παγκάκιστε, ποῦ ποτ᾽ εἶ;

ΟΔΥΣΣΕΥΣ.

τηλοῦ σέθεν
φυλακαῖσι φρουρῶ σῶμ᾽ Ὀδυσσέως τόδε.

ΚΥΚΛΩΨ.

πῶς εἶπας; ὄνομα μεταβαλὼν καινὸν λέγεις;

ΟΔΥΣΣΕΥΣ.

ὅπερ γ᾽ ὁ φύσας μ᾽ ὠνόμαζ᾽ Ὀδυσσέα.
δώσειν δ᾽ ἔμελλες ἀνοσίου δαιτὸς δίκας·
κακῶς γὰρ ἂν Τροίαν γε διεπυρωσάμην,
εἰ μή σ᾽ ἑταίρων φόνον ἐτιμωρησάμην.

ΚΥΚΛΩΨ.

αἰαῖ· παλαιὸς χρησμὸς ἐκπεραίνεται.
τυφλὴν γὰρ ὄψιν ἐκ σέθεν σχήσειν μ᾽ ἔφη
Τροίας ἀφορμηθέντος. ἀλλὰ καὶ σέ τοι
δίκας ὑφέξειν ἀντὶ τῶνδ᾽ ἐθέσπισε,
πολὺν θαλάσσῃ χρόνον ἐναιωρούμενον.

ΟΔΥΣΣΕΥΣ.

κλαίειν σ᾽ ἄνωγα· καὶ δέδραχ᾽ ὅπερ λέγω.
ἐγὼ δ᾽ ἐπ᾽ ἀκτὰς εἶμι, καὶ νεὼς σκάφος
ἥσω ᾽πὶ πόντον Σικελὸν ἔς τ᾽ ἐμὴν πάτραν.

ΚΥΚΛΩΨ.

οὐ δῆτ᾽, ἐπεί σε τῆσδ᾽ ἀπορρήξας πέτρας
αὐτοῖσι συνναύταισι συντρίψω βαλών.
ἄνω δ᾽ ἐπ᾽ ὄχθον εἶμι, καίπερ ὢν τυφλός,
δι᾽ ἀμφιτρῆτος τῆσδε προσβαίνων ποδί.

ΧΟΡΟΣ.

ἡμεῖς δὲ συνναῦταί γε τοῦδ᾽ Ὀδυσσέως
ὄντες τὸ λοιπὸν Βακχίῳ δουλεύσομεν.

---

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ

# ΚΩΜΩΙΔΙΑΙ.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΑΧΑΡΝΗΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
*ΚΗΡΥΞ.*
*ΑΜΦΙΘΕΟΣ.*
*ΠΡΕΣΒΕΙΣ Ἀθηναίων παρὰ βασιλέως ἥκοντες.*
*ΨΕΥΔΑΡΤΑΒΑΣ.*
*ΘΕΩΡΟΣ.*
*ΧΟΡΟΣ ΑΧΑΡΝΕΩΝ.*
*ΓΥΝΗ Δικαιοπόλιδος.*
*ΘΥΓΑΤΗΡ Δικαιοπόλιδος.*
*ΚΗΦΙΣΟΦΩΝ.*
*ΕΥΡΙΠΙΔΗΣ.*
*ΛΑΜΑΧΟΣ.*
*ΜΕΓΑΡΕΥΣ.*
*ΚΟΡΑ θυγατέρε τοῦ Μεγαρέως.*
*ΣΥΚΟΦΑΝΤΗΣ.*
*ΒΟΙΩΤΟΣ.*
*ΝΙΚΑΡΧΟΣ.*
*ΘΕΡΑΠΩΝ Λαμάχου.*
*ΓΕΩΡΓΟΣ.*
*ΠΑΡΑΝΥΜΦΟΣ.*
*ΑΓΓΕΛΟΙ.*

## ΥΠΟΘΕΣΙΣ.

*Ἐκκλησία ὑφέστηκεν Ἀθήνησιν ἐν τῷ φανερῷ, καθ' ἣν πολεμοποιοῦντας τοὺς ῥήτορας καὶ προφανῶς τ δῆμον ἐξαπατῶντας Δικαιόπολίς τις τῶν αὐτουργῶν ἐξελέγχων παρεισάγεται. τούτου δὲ διά τινος, Ἀμ θέου καλουμένου, σπεισαμένου κατ' ἰδίαν τοῖς Λάκωσιν, Ἀχαρνικοὶ γέροντες πεπυσμένοι τὸ πρᾶγμα προ έρχονται διώκοντες ἐν χοροῦ σχήματι· καὶ μετὰ ταῦτα θύοντα τὸν Δικαιόπολιν ὁρῶντες, ὡς ἐσπεισμ νον τοῖς πολεμιωτάτοις καταλεύσειν ὁρμῶσιν. ὁ δὲ ὑποσχόμενος ὑπὲρ ἐπιξήνου τὴν κεφαλὴν ἔχων ἀπ λογήσασθαι, ἐφ' ᾧτ', ἂν μὴ πείσῃ τὰ δίκαια λέγων, τὸν τράχηλον ἀποκοπήσεσθαι, ἐλθὼν ὡς Εὐριπίδ αἰτεῖ πτωχικὴν στολήν. καὶ στολισθεὶς τοῖς Τηλέφου ῥακώμασι παρῳδεῖ τὸν ἐκείνου λόγον, οὐκ ἀχαρί καθαπτόμενος Περικλέους περὶ τοῦ Μεγαρικοῦ ψηφίσματος. παροξυνθέντων δέ τινων ἐξ αὐτῶν ἐπὶ τ δοκεῖν συνηγορεῖν τοῖς πολεμίοις, εἶτα ἐπιφερομένων, ἐνισταμένων δὲ ἑτέρων ὡς τὰ δίκαια αὐτοῦ εἰρηκ τος, ἐπιφανεὶς Λάμαχος θορυβεῖν πειρᾶται. εἶτα γενομένου διελκυσμοῦ κατενεχθεὶς ὁ χορὸς ἀπολύει τ Δικαιόπολιν καὶ πρὸς τοὺς θεατὰς διαλέγεται περὶ τῆς τοῦ ποιητοῦ ἀρετῆς καὶ ἄλλων τινῶν. τοῦ Δικαιοπόλιδος ἄγοντος καθ' ἑαυτὸν εἰρήνην τὸ μὲν πρῶτον Μεγαρικός τις παιδία ἑαυτοῦ διεσκευασμέ εἰς χοιρίδια φέρων ἐν σάκκῳ πράσιμα παραγίνεται· μετὰ τοῦτον ἐκ Βοιωτῶν ἕτερος ἐγχέλεις τε καὶ π τοδαπῶν ὀρνίθων γόνον ἀνατιθέμενος εἰς τὴν ἀγοράν. οἷς ἐπιφανέντων τινῶν συκοφαντῶν συλλαβόμε τινὰ ἐξ αὐτῶν ὁ Δικαιόπολις καὶ βάλλων εἰς σάκκον, τοῦτον τῷ Βοιωτῷ ἀντίφορτον ἐξάγειν ἐκ τ Ἀθηνῶν παραδίδωσι, καὶ προσαγόντων αὐτῷ πλειόνων καὶ δεομένων μεταδοῦναι τῶν σπονδῶν, καὶ περηφανεῖ. παροικοῦντος δὲ αὐτῷ Λαμάχου, καὶ ἐνεστηκυίας τῆς τῶν Χοῶν ἑορτῆς, τοῦτον μὲν ἀγγ παρὰ τῶν στρατηγῶν ἥκων κελεύει ἐξελθόντα μετὰ τῶν ὅπλων τὰς εἰσβολὰς τηρεῖν· τὸν δὲ Δικαιόπ παρὰ τοῦ Διονύσου τοῦ ἱερέως τις καλῶν ἐπὶ δεῖπνον ἔρχεται. καὶ μετ' ὀλίγον ὁ μὲν τραυματίας καὶ κῶς ἀπαλλάττων ἐπανήκει, ὁ δὲ Δικαιόπολις δεδειπνηκὼς καὶ μεθ' ἑταίρας ἀναλύων. τὸ δὲ δρᾶμα τ εὖ σφόδρα πεποιημένων, καὶ ἐκ παντὸς τρόπου τὴν εἰρήνην προκαλούμενον. ἐδιδάχθη ἐπὶ Εὐθυδή ἄρχοντος ἐν Ληναίοις διὰ Καλλιστράτου· καὶ πρῶτος ἦν· δεύτερος Κρατῖνος Χειμαζομένοις. οὐ σῴζον τρίτος Εὔπολις Νουμηνίαις.*

## ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.

*Ἐκκλησίας οὔσης παραγίνονταί τινες*
*πρέσβεις παρὰ Περσῶν καὶ παρὰ Σιτάλκους πάλιν,*
*οἱ μὲν στρατιὰν ἄγοντες, οἱ δὲ χρυσίον·*
*παρὰ τῶν Λακεδαιμονίων τε μετὰ τούτους τινὲς*
*σπονδὰς φέροντες, οὓς Ἀχαρνεῖς οὐδαμῶς*
*εἴασαν, ἀλλ' ἐξέβαλον, ὧν καθάπτεται*
*σκληρῶς ὁ ποιητής. αὐτὸ τὸ ψήφισμά τε*
*Μεγαρικὸν ἱκανῶς φησι, καὶ τὸν Περικλέα*
*οὐκ τῶν Λακώνων τῶνδε πάντων αἴτιον,*
*σπονδὰς λύσιν τε τῶν ἐφεστώτων κακῶν.*

# ΑΧΑΡΝΗΣ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

Ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν,
ἥσθην δὲ βαιά, πάνυ δὲ βαιὰ τέτταρα·
ἃ δ' ὠδυνήθην, ψαμμακοσιογάργαρα.
φέρ' ἴδω, τί δ' ἥσθην ἄξιον χαιρηδόνος;
ἐγᾦδ' ἐφ' ᾧ γε τὸ κέαρ εὐφράνθην ἰδών,
τοῖς πέντε ταλάντοις οἷς Κλέων ἐξήμεσεν.
ταῦθ' ὡς ἐγανώθην, καὶ φιλῶ τοὺς ἱππέας
διὰ τοῦτο τοὔργον· ἄξιον γὰρ Ἑλλάδι.
ἀλλ' ὠδυνήθην ἕτερον αὖ τραγῳδικόν,
ὅτε δὴ κεχήνη προσδοκῶν τὸν Αἰσχύλον,
ὁ δ' ἀνεῖπεν εἴσαγ', ὦ Θέογνι, τὸν χορόν.
πῶς τοῦτ' ἔσεισέ μου δοκεῖς τὴν καρδίαν;
ἀλλ' ἕτερον ἥσθην, ἡνίκ' ἐπὶ μόσχῳ ποτὲ
Δεξίθεος εἰσῆλθ' ᾀσόμενος Βοιώτιον.
τῆτες δ' ἀπέθανον καὶ διεστράφην ἰδών,
ὅτε δὴ παρέκυψε Χαῖρις ἐπὶ τὸν ὄρθιον.
ἀλλ' οὐδεπώποτ' ἐξ ὅτου 'γὼ ῥύπτομαι
οὕτως ἐδήχθην ὑπὸ κονίας τὰς ὀφρῦς
ὡς νῦν, ὁπότ' οὔσης κυρίας ἐκκλησίας
ἑωθινῆς ἔρημος ἡ πνὺξ αὑτηί·
οἱ δ' ἐν ἀγορᾷ λαλοῦσι, κἄνω καὶ κάτω
τὸ σχοινίον φεύγουσι τὸ μεμιλτωμένον·
οὐδ' οἱ πρυτάνεις ἥκουσιν, ἀλλ' ἀωρίαν
ἥκοντες, εἶτα δ' ὠστιοῦνται πῶς δοκεῖς
ἐλθόντες ἀλλήλοισι περὶ πρώτου ξύλου,
ἀθρόοι καταρρέοντες· εἰρήνη δ' ὅπως
ἔσται προτιμῶσ' οὐδέν· ὦ πόλις πόλις.
ἐγὼ δ' ἀεὶ πρώτιστος εἰς ἐκκλησίαν
νοστῶν κάθημαι· κἆτ' ἐπειδὰν ὦ μόνος,
στένω, κέχηνα, σκορδινῶμαι, πέρδομαι,
ἀπορῶ, γράφω, παρατίλλομαι, λογίζομαι,
ἀποβλέπων εἰς τὸν ἀγρὸν, εἰρήνης ἐρῶν,
στυγῶν μὲν ἄστυ, τὸν δ' ἐμὸν δῆμον ποθῶν,
ὃς οὐδεπώποτ' εἶπεν, ἄνθρακας πρίω,
οὐκ ὄξος, οὐκ ἔλαιον, οὐδ' ἤδην πρίω,
ἀλλ' αὐτὸς ἔφερε πάντα χὼ πρίων ἀπῆν.
νῦν οὖν ἀτεχνῶς ἥκω παρεσκευασμένος
βοᾶν, ὑποκρούειν, λοιδορεῖν τοὺς ῥήτορας,
ἐάν τις ἄλλο πλὴν περὶ εἰρήνης λέγῃ.
ἀλλ' οἱ πρυτάνεις γὰρ οὑτοιὶ μεσημβρινοί.
οὐκ ἠγόρευον; τοῦτ' ἐκεῖν' οὐγὼ 'λεγον·
εἰς τὴν προεδρίαν πᾶς ἀνὴρ ὠστίζεται.

ΚΗΡΥΞ.

πάριτ' εἰς τὸ πρόσθεν,
πάριθ', ὡς ἂν ἐντὸς ἦτε τοῦ καθάρματος.

ΑΜΦΙΘΕΟΣ.

ἤδη τις εἶπε;

ΚΗΡΥΞ.

τίς ἀγορεύειν βούλεται;

ΑΜΦΙΘΕΟΣ.

ἐγώ.

ΚΗΡΥΞ.

τίς ὤν;

ΑΜΦΙΘΕΟΣ.

Ἀμφίθεος.

ΚΗΡΥΞ.

οὐκ ἄνθρωπος;

ΑΜΦΙΘΕΟΣ.

οὔ,
ἀλλ' ἀθάνατος. ὁ γὰρ Ἀμφίθεος Δήμητρος ἦν
καὶ Τριπτολέμου· τούτου δὲ Κελεὸς γίγνεται·
γαμεῖ δὲ Κελεὸς Φαιναρέτην τήθην ἐμήν,
ἐξ ἧς Λυκῖνος ἐγένετ'· ἐκ τούτου δ' ἐγὼ
ἀθάνατός εἰμ'· ἐμοὶ δ' ἐπέτρεψαν οἱ θεοὶ
σπονδὰς ποιεῖσθαι πρὸς Λακεδαιμονίους μόνῳ.
ἀλλ' ἀθάνατος ὤν, ὤνδρες, ἐφόδι' οὐκ ἔχω·
οὐ γὰρ διδόασιν οἱ πρυτάνεις.

ΚΗΡΥΞ.

οἱ τοξόται.

ΑΜΦΙΘΕΟΣ.

ὦ Τριπτόλεμε καὶ Κελεὲ, περιόψεσθέ με;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὤνδρες πρυτάνεις, ἀδικεῖτε τὴν ἐκκλησίαν
τὸν ἄνδρ' ἀπάγοντες, ὅστις ἡμῖν ἤθελε
σπονδὰς ποιῆσαι καὶ κρεμάσαι τὰς ἀσπίδας.

ΚΗΡΥΞ.

κάθησο σῖγα.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ,
ἢν μὴ περὶ εἰρήνης γε πρυτανεύσητέ μοι.

ΚΗΡΥΞ.

οἱ πρέσβεις οἱ παρὰ βασιλέως.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ποίου βασιλέως; ἄχθομαι 'γὼ πρέσβεσι
καὶ τοῖς ταῶσι τοῖς τ' ἀλαζονεύμασιν.

ΚΗΡΥΞ.

σῖγα.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

βαβαιάξ, ὠκβάτανα, τοῦ σχήματος.

ΠΡΕΣΒΥΣ.

ἐπέμψαθ' ἡμᾶς ὡς βασιλέα τὸν μέγαν,
μισθὸν φέροντας δύο δραχμὰς τῆς ἡμέρας
ἐπ' Εὐθυμένους ἄρχοντος·

ΔΙΚΑΙΟΠΟΛΙΣ.

οἴμοι τῶν δραχμῶν.

ΠΡΕΣΒΥΣ.

καὶ δῆτ' ἐτρυχόμεσθα παρὰ Καΰστριον
πεδίον ὁδοιπλανοῦντες ἐσκηνημένοι,
ἐφ' ἁρμαμαξῶν μαλθακῶς κατακείμενοι,
ἀπολλύμενοι.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

σφόδρα γὰρ ἐσωζόμην ἐγὼ
παρὰ τὴν ἔπαλξιν ἐν φορυτῷ κατακείμενος;

ΠΡΕΣΒΥΣ.
ξενιζόμενοι δὲ πρὸς βίαν ἐπίνομεν
ἐξ ὑαλίνων ἐκπωμάτων καὶ χρυσίδων
ἄκρατον οἶνον ἡδύν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὦ Κραναὰ πόλις,
ἆρ' αἰσθάνει τὸν κατάγελων τῶν πρέσβεων;

ΠΡΕΣΒΥΣ.
οἱ βάρβαροι γὰρ ἄνδρας ἡγοῦνται μόνους
τοὺς πλεῖστα δυναμένους φαγεῖν τε καὶ πιεῖν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἡμεῖς δὲ λαικαστάς τε καὶ καταπύγονας.

ΠΡΕΣΒΥΣ.
ἔτει τετάρτῳ δ' εἰς τὰ βασίλει' ἤλθομεν·
ἀλλ' εἰς ἀπόπατον ᾤχετο, στρατιὰν λαβών,
κἄχεζεν ὀκτὼ μῆνας ἐπὶ χρυσῶν ὀρῶν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
πόσου δὲ τὸν πρωκτὸν χρόνου ξυνήγαγεν;

ΠΡΕΣΒΥΣ.
τῇ πανσελήνῳ· κᾆτ' ἀπῆλθεν οἴκαδε.
εἶτ' ἐξένιζε, παρετίθει θ' ἡμῖν ὅλους
ἐκ κριβάνου βοῦς.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
καὶ τίς εἶδε πώποτε
βοῦς κριβανίτας; τῶν ἀλαζονευμάτων.

ΠΡΕΣΒΥΣ.
καὶ ναὶ μὰ Δί' ὄρνιν τριπλάσιον Κλεωνύμου
παρέθηκεν ἡμῖν· ὄνομα δ' ἦν αὐτῷ φέναξ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ταῦτ' ἆρ' ἐφενάκιζες σύ, δύο δραχμὰς φέρων.

ΠΡΕΣΒΥΣ.
καὶ νῦν ἄγοντες ἥκομεν Ψευδαρτάβαν,
τὸν βασιλέως ὀφθαλμόν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἐκκόψειέ γε
κόραξ πατάξας τόν γε σὸν τοῦ πρέσβεως.

ΚΗΡΥΞ.
ὁ βασιλέως ὀφθαλμός.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὦναξ Ἡράκλεις·
πρὸς τῶν θεῶν, ἄνθρωπε, ναύφρακτον βλέπεις,
ἢ περὶ ἄκραν κάμπτων νεώσοικον σκοπεῖς;
ἄσκωμ' ἔχεις που περὶ τὸν ὀφθαλμὸν κάτω.

ΠΡΕΣΒΥΣ.
ἄγε δὴ σύ, βασιλεὺς ἅττα σ' ἀπέπεμψεν φράσον
λέξοντ' Ἀθηναίοισιν, ὦ Ψευδαρτάβα.

ΨΕΥΔΑΡΤΑΒΑΣ.
ἰαρταμὰν ἐξαρξ' ἀναπισσόναι σάτρα.

ΠΡΕΣΒΥΣ.
ξυνήκαθ' ὃ λέγει;

ΔΙΚΑΙΟΠΟΛΙΣ.
μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.

ΠΡΕΣΒΥΣ.
πέμψειν βασιλέα φησὶν ὑμῖν χρυσίον.
λέγε δὴ σὺ μεῖζον καὶ σαφῶς τὸ χρυσίον.

ΨΕΥΔΑΡΤΑΒΑΣ.
οὐ λῆψι χρῦσο, χαυνόπρωκτ' Ἰαοναῦ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
οἴμοι κακοδαίμων, ὡς σαφῶς.

ΠΡΕΣΒΥΣ.
τί δαὶ λέγει;

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὅ τι; χαυνοπρώκτους τοὺς Ἰάονας λέγει,
εἰ προσδοκῶσι χρυσίον ἐκ τῶν βαρβάρων.

ΠΡΕΣΒΥΣ.
οὔκ, ἀλλ' ἀχάνας ὅδε γε χρυσίου λέγει.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ποίας ἀχάνας; σὺ μὲν ἀλαζὼν εἶ μέγας.
ἀλλ' ἄπιθ'· ἐγὼ δὲ βασανιῶ τοῦτον μόνος.
ἄγε δὴ σὺ φράσον ἐμοὶ σαφῶς, πρὸς τουτονί,
ἵνα μή σε βάψω βάμμα Σαρδιανικόν·
βασιλεὺς ὁ μέγας ἡμῖν ἀποπέμψει χρυσίον; —
ἄλλως ἄρ' ἐξαπατώμεθ' ὑπὸ τῶν πρέσβεων; —
Ἑλληνικόν γ' ἐπένευσαν ἅνδρες οὑτοιί,
κοὐκ ἔσθ' ὅπως οὐκ εἰσὶν ἐνθένδ' αὐτόθεν.
καὶ τοῖν μὲν εὐνούχοιν τὸν ἕτερον τουτονὶ
ἐγᾦδ' ὅς ἐστι, Κλεισθένης ὁ Σιβυρτίου.
ὦ θερμόβουλον πρωκτὸν ἐξυρημένε·
τοιόνδε δ', ὦ πίθηκε, τὸν πώγων' ἔχων
εὐνοῦχος ἡμῖν ἦλθες ἐσκευασμένος;
ὁδὶ δὲ τίς ποτ' ἐστίν; οὐ δήπου Στράτων;

ΚΗΡΥΞ.
σίγα, κάθιζε.
τὸν βασιλέως ὀφθαλμὸν ἡ βουλὴ καλεῖ
εἰς τὸ πρυτανεῖον.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ταῦτα δῆτ' οὐκ ἀγχόνη;
κἄπειτ' ἐγὼ δῆτ' ἐνθαδὶ στραγγεύομαι;
τοὺς δὲ ξενίζειν οὐδέποτέ γ' ἴσχει θύρα.
ἀλλ' ἐργάσομαί τι δεινὸν ἔργον καὶ μέγα.
ἀλλ' Ἀμφίθεός μοι ποῦ 'στιν;

ΑΜΦΙΘΕΟΣ.
οὑτοσὶ πάρα.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἐμοὶ σὺ ταυτασὶ λαβὼν ὀκτὼ δραχμὰς
σπονδὰς ποίησαι πρὸς Λακεδαιμονίους μόνῳ
καὶ τοῖσι παιδίοισι καὶ τῇ πλάτιδι·
ὑμεῖς δὲ πρεσβεύεσθε καὶ κεχήνετε.

ΚΗΡΥΞ.
προσίτω Θέωρος ὁ παρὰ Σιτάλκους.

ΘΕΩΡΟΣ.
ὁδί.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἕτερος ἀλαζὼν οὗτος εἰσκηρύττεται.

ΘΕΩΡΟΣ.
χρόνον μὲν οὐκ ἂν ἦμεν ἐν Θρᾴκῃ πολύν,

ΔΙΚΑΙΟΠΟΛΙΣ.
μὰ Δί' οὐκ ἄν, εἰ μισθόν γε μὴ 'φερες πολύν.

ΘΕΩΡΟΣ.
εἰ μὴ κατένιψε χιόνι τὴν Θρᾴκην ὅλην,
καὶ τοὺς ποταμοὺς ἔπηξ' ὑπ' αὐτὸν τὸν χρόνον
ὅτ' ἐνθαδὶ Θέογνις ἠγωνίζετο.
τοῦτον μετὰ Σιτάλκους ἔπινον τὸν χρόνον·
καὶ δῆτα φιλαθήναιος ἦν ὑπερφυῶς,
ὑμῶν τ' ἐραστὴς ἦν ἀληθής, ὥστε καὶ
ἐν τοῖσι τοίχοις ἔγραφ', Ἀθηναῖοι καλοί.
ὁ δ' υἱός, ὃν Ἀθηναῖον ἐπεποιήμεθα,
ἤρα φαγεῖν ἀλλᾶντας ἐξ Ἀπατουρίων,
καὶ τὸν πατέρ' ἠντιβόλει βοηθεῖν τῇ πάτρᾳ·

ὁ δ' ὤμοσε σπένδων βοηθήσειν, ἔχων
στρατιὰν τοσαύτην ὥστ' Ἀθηναίους ἐρεῖν,
ὅσον τὸ χρῆμα παρνόπων προσέρχεται.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

κάκιστ' ἀπολοίμην, εἴ τι τούτων πείθομαι
ὧν εἶπας ἐνταυθὶ σὺ, πλὴν τῶν παρνόπων.

ΘΕΩΡΟΣ.

καὶ νῦν ὅπερ μαχιμώτατον Θρᾳκῶν ἔθνος
ἔπεμψεν ὑμῖν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τοῦτο μὲν γ' ἤδη σαφές.

ΚΗΡΥΞ.

οἱ Θρᾷκες ἴτε δεῦρ', οὓς Θέωρος ἤγαγεν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τουτὶ τί ἐστι τὸ κακόν;

ΘΕΩΡΟΣ.

Ὀδομάντων στρατός.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ποίων Ὀδομάντων; εἰπέ μοι, τουτὶ τί ην;
τίς τῶν Ὀδομάντων τὸ πέος ἀποτεθρίακεν;

ΘΕΩΡΟΣ.

τούτοις ἐάν τις δύο δραχμὰς μισθὸν διδῷ,
καταπελτάσονται τὴν Βοιωτίαν ὅλην.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τοισδὶ δύο δραχμὰς τοῖς ἀπεψωλημένοις;
ὑποστένοι μέντἂν ὁ θρανίτης λεὼς,
ὁ σωσίπολις. οἴμοι τάλας, ἀπόλλυμαι,
ὑπὸ τῶν Ὀδομάντων τὰ σκόροδα πορθούμενος.
οὐ καταβαλεῖτε τὰ σκόροδ';

ΘΕΩΡΟΣ.

ὦ μοχθηρὲ σὺ,
οὐ μὴ πρόσει τούτοισιν ἐσκοροδισμένοις;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ταυτὶ περιείδεθ' οἱ πρυτάνεις πάσχοντά με
ἐν τῇ πατρίδι καὶ ταῦθ' ὑπ' ἀνδρῶν βαρβάρων;
ἀλλ' ἀπαγορεύω μὴ ποιεῖν ἐκκλησίαν
τοῖς Θρᾳξὶ περὶ μισθοῦ· λέγω δ' ὑμῖν ὅτι
διοσημία 'στὶ καὶ ῥανὶς βέβληκέ με.

ΚΗΡΥΞ.

τοὺς Θρᾷκας ἀπιέναι, παρεῖναι δ' εἰς ἔνην.
οἱ γὰρ πρυτάνεις λύουσι τὴν ἐκκλησίαν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

οἴμοι τάλας, μυττωτὸν ὅσον ἀπώλεσα.
ἀλλ' ἐκ Λακεδαίμονος γὰρ Ἀμφίθεος ὁδί.
χαῖρ', Ἀμφίθεε.

ΑΜΦΙΘΕΟΣ.

μήπω γε, πρὶν ἂν στῶ τρέχων·
δεῖ γάρ με φεύγοντ' ἐκφυγεῖν Ἀχαρνέας.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τί δ' ἔστιν;

ΑΜΦΙΘΕΟΣ.

ἐγὼ μὲν δεῦρό σοι σπονδὰς φέρων
ἔσπευδον· οἱ δ' ὤσφροντο πρεσβῦταί τινες
Ἀχαρνικοὶ, στιπτοὶ γέροντες, πρίνινοι,
ἀτεράμονες, Μαραθωνομάχαι, σφενδάμνινοι.
ἔπειτ' ἀνέκραγον πάντες, ὦ μιαρώτατε,
σπονδὰς φέρεις, τῶν ἀμπέλων τετμημένων;
κὰς τοὺς τρίβωνας ξυνελέγοντο τῶν λίθων·
ἐγὼ δ' ἔφευγον· οἱ δ' ἐδίωκον κἀβόων.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

οἱ δ' οὖν βοώντων· ἀλλὰ τὰς σπονδὰς φέρεις;

ΑΜΦΙΘΕΟΣ.

ἔγωγέ φημι, τρία γε ταυτὶ γεύματα.
αὗται μέν εἰσι πεντέτεις. γεῦσαι λαβών.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

αἰβοῖ.

ΑΜΦΙΘΕΟΣ.

τί ἔστιν;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

οὐκ ἀρέσκουσίν μ', ὅτι
ὄζουσι πίττης καὶ παρασκευῆς νεῶν.

ΑΜΦΙΘΕΟΣ.

σὺ δ' ἀλλὰ τασδὶ τὰς δεκέτεις γεῦσαι λαβών.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὄζουσι χαὖται πρέσβεων ἐς τὰς πόλεις
ὀξύτατον, ὥσπερ διατριβῆς τῶν ξυμμάχων.

ΑΜΦΙΘΕΟΣ.

ἀλλ' αὑταιὶ γάρ σοι τριακοντούτιδες
κατὰ γῆν τε καὶ θάλατταν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὦ Διονύσια,
αὗται μὲν ὄζουσ' ἀμβροσίας καὶ νέκταρος,
καὶ μὴ 'πιτηρεῖν σιτί' ἡμερῶν τριῶν,
κἀν τῷ στόματι λέγουσι, βαῖν' ὅποι θέλεις.
ταύτας δέχομαι καὶ σπένδομαι κἀκπίομαι,
χαίρειν κελεύων πολλὰ τοὺς Ἀχαρνέας·
ἐγὼ δὲ πολέμου καὶ κακῶν ἀπαλλαγεὶς
ἄξω τὰ κατ' ἀγροὺς εἰσιὼν Διονύσια.

ΑΜΦΙΘΕΟΣ.

ἐγὼ δὲ φευξοῦμαί γε τοὺς Ἀχαρνέας.

ΧΟΡΟΣ.

τῇδε πᾶς ἕπου, δίωκε, καὶ τὸν ἄνδρα πυνθάνου
τῶν ὁδοιπόρων ἁπάντων· τῇ πόλει γὰρ ἄξιον
ξυλλαβεῖν τὸν ἄνδρα τοῦτον. ἀλλά μοι μηνύετε,
εἴ τις οἶδ' ὅποι τέτραπται γῆς ὁ τὰς σπονδὰς
φέρων.
ἐκπέφευγ', οἴχεται φροῦδος. οἴμοι τάλας τῶν
ἐτῶν τῶν ἐμῶν·
οὐκ ἂν ἐπ' ἐμῆς γε νεότητος, ὅτ' ἐγὼ φέρων
ἀνθράκων φορτίον
ἠκολούθουν Φαΰλλῳ τρέχων, ὧδε φαύλως ἂν ὁ
σπονδοφόρος οὗτος ὑπ' ἐμοῦ τότε διωκόμενος
ἐξέφυγεν οὐδ' ἂν ἐλαφρῶς ἂν ἀπεπλίξατο.
νῦν δ' ἐπειδὴ στερρὸν ἤδη τοὐμὸν ἀντικνήμιον
καὶ παλαιῷ Λακρατίδῃ τὸ σκέλος βαρύνεται,
οἴχεται. διωκτέος δέ· μὴ γὰρ ἐγχάνῃ ποτὲ
μηδέ περ γέροντας ὄντας ἐκφυγὼν Ἀχαρνέας.
ὅστις, ὦ Ζεῦ πάτερ καὶ θεοὶ, τοῖσιν ἐχθροῖσιν
ἐσπείσατο,
οἷσι παρ' ἐμοῦ πόλεμος ἐχθοδοπὸς αὔξεται τῶν
ἐμῶν χωρίων·
κοὐκ ἀνήσω πρὶν ἂν σχοῖνος αὐτοῖσιν ἀντεμπαγῶ
ὀξὺς, ὀδυνηρὸς, * * * ἐπίκωπος, ἵνα
μήποτε πατῶσιν ἔτι τὰς ἐμὰς ἀμπέλους.
ἀλλὰ δεῖ ζητεῖν τὸν ἄνδρα καὶ βλέπειν Βαλ-
λήναδε
καὶ διώκειν γῆν πρὸ γῆς, ἕως ἂν εὑρεθῇ ποτέ·
ὡς ἐγὼ βάλλων ἐκεῖνον οὐκ ἂν ἐμπλήμην λίθοις.

204—218. == 219—233.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
εὐφημεῖτε, εὐφημεῖτε.
ΧΟΡΟΣ.
σῖγα πᾶς. ἠκούσατ', ἄνδρες, ἆρα τῆς εὐφημίας;
οὗτος αὐτός ἐστιν ὃν ζητοῦμεν. ἀλλὰ δεῦρο πᾶς.
ἐκποδών· θύσων γὰρ ἀνὴρ, ὡς ἔοικ', ἐξέρχεται.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
εὐφημεῖτε, εὐφημεῖτε.
προΐτω 'ς τὸ πρόσθεν ὀλίγον ἡ κανηφόρος·
ὁ Ξανθίας τὸν φαλλὸν ὀρθὸν στησάτω.
ΜΗΤΗΡ.
κατάθου τὸ κανοῦν, ὦ θύγατερ, ἵν' ἀπαρξώμεθα.
ΘΥΓΑΤΗΡ.
ὦ μῆτερ, ἀνάδος δεῦρο τὴν ἐτνήρυσιν,
ἵν' ἔτνος καταχέω τοὐλατῆρος τουτουί.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
καὶ μὴν καλόν γ' ἔστ', ὦ Διόνυσε δέσποτα,
κεχαρισμένως σοι τήνδε τὴν πομπὴν ἐμὲ
πέμψαντα καὶ θύσαντα μετὰ τῶν οἰκετῶν
ἀγαγεῖν τυχηρῶς τὰ κατ' ἀγροὺς Διονύσια,
στρατιᾶς ἀπαλλαχθέντα· τὰς σπονδὰς δέ μοι
καλῶς ξυνενεγκεῖν τὰς τριακοντούτιδας.
ΜΗΤΗΡ.
ἄγ', ὦ θύγατερ, ὅπως τὸ κανοῦν καλὴ καλῶς
οἴσεις, βλέπουσα θυμβροφάγον. ὡς μακάριος
ὅστις σ' ὀπύσει, κἀκποιήσεται γαλᾶς
σοῦ μηδὲν ἧττον βδεῖν, ἐπειδὰν ὄρθρος ᾖ.
πρόβαινε, κἀν τὤχλῳ φυλάττεσθαι σφόδρα
μή τις λαθών σου περιτράγῃ τὰ χρυσία.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὦ Ξανθία, σφῷν δ' ἐστὶν ὀρθὸς ἑκτέος
ὁ φαλλὸς ἐξόπισθε τῆς κανηφόρου·
ἐγὼ δ' ἀκολουθῶν ᾄσομαι τὸ φαλλικόν·
σὺ δ', ὦ γύναι, θεῶ μ' ἀπὸ τοῦ τέγους. πρόβα.
Φαλῆς, ἑταῖρε Βακχίου,
ξύγκωμε, νυκτοπεριπλάνη-
τε, μοιχὲ, παιδεραστὰ,
ἕκτῳ σ' ἔτει προσεῖπον ἐς
τὸν δῆμον ἐλθὼν ἄσμενος,
σπονδὰς ποιησάμενος ἐμαυ-
τῷ, πραγμάτων τε καὶ μαχῶν
καὶ Λαμάχων ἀπαλλαγείς.
πολλῷ γάρ ἐσθ' ἥδιον, ὦ Φαλῆς Φαλῆς,
κλέπτουσαν εὑρόνθ' ὡρικὴν ὑληφόρον,
τὴν Στρυμοδώρου Θρᾷτταν ἐκ τοῦ Φελλέως,
μέσην λαβόντ', ἄραντα, κατα-
βαλόντα καταγιγαρτίσαι,
Φαλῆς Φαλῆς.
ἐὰν μεθ' ἡμῶν ξυμπίῃς, ἐκ κραιπάλης
ἕωθεν εἰρήνης ῥοφήσει τρυβλίον·
ἡ δ' ἀσπὶς ἐν τῷ φεψάλῳ κρεμήσεται.
ΧΟΡΟΣ.
οὗτος αὐτός ἐστιν, οὗτος.
βάλλε βάλλε βάλλε βάλλε,
παῖε παῖ τὸν μιαρόν.
οὐ βαλεῖς, οὐ βαλεῖς;
ΔΙΚΑΙΟΠΟΛΙΣ.
Ἡράκλεις, τουτὶ τί ἐστι; τὴν χύτραν συντρίψετε.

284 — 301. == 335 — 346.

ΧΟΡΟΣ.
σὲ μὲν οὖν καταλεύσομεν, ὦ μιαρὰ κεφαλή.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἀντὶ ποίας αἰτίας, ὠχαρνέων γεραίτατοι;
ΧΟΡΟΣ.
τοῦτ' ἐρωτᾷς; ἀναίσχυντος εἶ καὶ βδελυρὸς,
ὦ προδότα τῆς πατρίδος, ὅστις ἡμῶν μόνος
σπεισάμενος εἶτα δύνασαι πρὸς ἔμ' ἀποβλέπειν
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἀντὶ δ' ὧν ἐσπεισάμην οὐκ οἴδατ'· ἀλλ' ἀκούσατ
ΧΟΡΟΣ.
σοῦ γ' ἀκούσωμεν; ἀπολεῖ· κατά σε χώσομ
τοῖς λίθοις.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
μηδαμῶς, πρίν γ' ἂν ἀκούσητ'· ἀλλ' ἀνάσχεσθ
ὠγαθοί.
ΧΟΡΟΣ.
οὐκ ἀνασχήσομαι· μηδὲ λέγε μοι σὺ λόγον·
ὡς μεμίσηκά σε Κλέωνος ἔτι μᾶλλον, ὃν
κατατεμῶ τοῖσιν ἱππεῦσι καττύματα.
σοῦ δ' ἐγὼ λόγους λέγοντος οὐκ ἀκούσομαι μα
κρούς,
ὅστις ἐσπείσω Λάκωσιν, ἀλλὰ τιμωρήσομαι.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὠγαθοὶ, τοὺς μὲν Λάκωνας ἐκποδὼν ἐάσατε,
τῶν δ' ἐμῶν σπονδῶν ἀκούσατ', εἰ καλ
ἐσπεισάμην.
ΧΟΡΟΣ.
πῶς δ' ἔτ' ἂν καλῶς λέγοις ἂν, εἴπερ ἐσπείσ
γ' ἅπαξ
οἷσιν οὔτε βωμὸς οὔτε πίστις οὔθ' ὅρκος μένε
ΔΙΚΑΙΟΠΟΛΙΣ.
οἶδ' ἐγὼ καὶ τοὺς Λάκωνας, οἷς ἄγαν ἐγκείμεθ
οὐχ ἁπάντων ὄντας ἡμῖν αἰτίους τῶν πραγμάτω
ΧΟΡΟΣ.
οὐχ ἁπάντων, ὦ πανοῦργε; ταῦτα δὴ τολμ
λέγειν
ἐμφανῶς ἤδη πρὸς ἡμᾶς; εἶτ' ἐγὼ σοῦ φείσομ
ΔΙΚΑΙΟΠΟΛΙΣ.
οὐχ ἁπάντων οὐχ ἁπάντων· ἀλλ' ἐγὼ λέγων
πόλλ' ἂν ἀποφήναιμ' ἐκείνους ἔσθ' ἃ κἀδικ
μένους.
ΧΟΡΟΣ.
τοῦτο τοὔπος δεινὸν ἤδη καὶ ταραξικάρδιον,
εἰ σὺ τολμήσεις ὑπὲρ τῶν πολεμίων ἡμῖν λέγ
ΔΙΚΑΙΟΠΟΛΙΣ.
κἂν γε μὴ λέγω δίκαια, μηδὲ τῷ πλήθει δο
ὑπὲρ ἐπιξήνου θελήσω τὴν κεφαλὴν ἔχων λέγ
ΧΟΡΟΣ.
εἰπέ μοι, τί φειδόμεσθα τῶν λίθων, ὦ δημό
μὴ οὐ καταξαίνειν τὸν ἄνδρα τοῦτον ἐς
νικίδα;
ΔΙΚΑΙΟΠΟΛΙΣ.
οἷος αὖ μέλας τις ὑμῖν θυμάλωψ ἐπέζεσεν.
οὐκ ἀκούσεσθ' οὐκ ἀκούσεσθ' ἐτεὸν, ὠχαρνῆ
ΧΟΡΟΣ.
οὐκ ἀκουσόμεσθα δῆτα.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
δεινά τἄρα πείσομαι.

ΧΟΡΟΣ.

ἐξολοίμην, ἢν ἀκούσω.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

μηδαμῶς, ὠχαρνικοί.

ΧΟΡΟΣ.

ὡς τεθνήξων ἴσθι νυνί.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

δήξομἄρ' ὑμᾶς ἐγώ.
ἀνταποκτενῶ γὰρ ὑμῶν τῶν φίλων τοὺς φιλτάτους·
ὡς ἔχω γ' ὑμῶν ὁμήρους, οὓς ἀποσφάξω λαβών.

ΧΟΡΟΣ.

εἰπέ μοι, τί τοῦτ' ἀπειλεῖ τοὔπος, ἄνδρες δημόται,
τοῖς Ἀχαρνικοῖσιν ἡμῖν; μῶν ἔχει του παιδίον
τῶν παρόντων ἔνδον εἵρξας; ἢ 'πὶ τῷ θρασύνεται;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

βάλλετ', εἰ βούλεσθ'. ἐγὼ γὰρ τουτονὶ διαφθερῶ.
εἴσομαι δ' ὑμῶν τάχ' ὅστις ἀνθράκων τι κήδεται.

ΧΟΡΟΣ.

ὡς ἀπωλόμεσθ'. ὁ λάρκος δημότης ὅδ' ἔστ' ἐμός.
ἀλλὰ μὴ δράσῃς ὃ μέλλεις· μηδαμῶς, ὦ μηδαμῶς.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὡς ἀποκτενῶ, κέκραχθ'· ἐγὼ γὰρ οὐκ ἀκούσομαι.

ΧΟΡΟΣ.

ἀπολεῖς ῥα τὸν ἥλικα τόνδε φιλανθρακέα;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

οὐδ' ἐμοῦ λέγοντος ὑμεῖς ἀρτίως ἠκούσατε.

ΧΟΡΟΣ.

ἀλλὰ νυνὶ λέγ', εἴ σοι δοκεῖ, τὸν Λακεδαιμόνιον αὐτὸν ὅτι τῷ τρόπῳ σοὐστὶ φίλος·
ὡς τόδε τὸ λαρκίδιον οὐ προδώσω ποτέ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τοὺς λίθους νῦν μοι χαμᾶζε πρῶτον ἐξεράσατε.

ΧΟΡΟΣ.

οὑτοιί σοι χαμαί, καὶ σὺ κατάθου πάλιν τὸ ξίφος.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἀλλ' ὅπως μὴ 'ν τοῖς τρίβωσιν ἐγκάθηνταί που λίθοι.

ΧΟΡΟΣ.

ἐκσέσεισται χαμᾶζ'. οὐχ ὁρᾷς σειόμενον;
ἀλλὰ μή μοι πρόφασιν, ἀλλὰ κατάθου τὸ βέλος.
ὡς ὅδε γε σειστὸς ἅμα τῇ στροφῇ γίγνεται.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἐμέλλετ' ἄρ' ἅπαντες ἀνασείειν βοήν,
ὀλίγου τ' ἀπέθανον ἄνθρακες Παρνήσιοι,
καὶ ταῦτα διὰ τὴν ἀτοπίαν τῶν δημοτῶν.
ὑπὸ τοῦ δέους δὲ τῆς μαρίλης μοι συχνὴν
ὁ λάρκος ἐνετίλησεν ὥσπερ σηπία.
δεινὸν γὰρ οὕτως ὀμφακίαν πεφυκέναι
τὸν θυμὸν ἀνδρῶν ὥστε βάλλειν καὶ βοᾶν
ἐθέλειν τ' ἀκοῦσαι μηδὲν ἴσον ἴσῳ φέρον,
ἐμοῦ θέλοντος ὑπὲρ ἐπιξήνου λέγειν
ὑπὲρ Λακεδαιμονίων ἅπανθ' ὅσ' ἂν λέγω·
καίτοι φιλῶ γε τὴν ἐμὴν ψυχὴν ἐγώ.

ΧΟΡΟΣ.

τί οὖν οὐ λέγεις ἐπίξηνον ἐξενεγκὼν θύραζ'
ὅ τι ποτ', ὦ σχέτλιε, τὸ μέγα τοῦτ' ἔχεις;
πάνυ γὰρ ἔμεγε πόθος ὅ τι φρονεῖς ἔχει.
ἀλλ' ᾗπερ αὐτὸς τὴν δίκην διωρίσω,
θεὶς δεῦρο τοὐπίξηνον ἐγχείρει λέγειν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἰδοὺ θέασαι, τὸ μὲν ἐπίξηνον τοδί,
ὁ δ' ἀνὴρ ὁ λέξων οὑτοσὶ τυννουτοσί.
ἀμέλει μὰ τὸν Δί' οὐκ ἐνασπιδώσομαι,
λέξω δ' ὑπὲρ Λακεδαιμονίων ἅ μοι δοκεῖ.
καίτοι δέδοικα πολλά· τούς τε γὰρ τρόπους
τοὺς τῶν ἀγροίκων οἶδα χαίροντας σφόδρα
ἐάν τις αὐτοὺς εὐλογῇ καὶ τὴν πόλιν
ἀνὴρ ἀλαζὼν καὶ δίκαια κἄδικα·
κἀνταῦθα λανθάνουσ' ἀπεμπολώμενοι·
τῶν τ' αὖ γερόντων οἶδα τὰς ψυχὰς ὅτι
οὐδὲν βλέπουσιν ἄλλο πλὴν ψήφῳ δακεῖν,
αὐτός τ' ἐμαυτὸν ὑπὸ Κλέωνος ἅπαθον
ἐπίσταμαι διὰ τὴν πέρυσι κωμῳδίαν.
εἰσελκύσας γάρ μ' εἰς τὸ βουλευτήριον
διέβαλλε καὶ ψευδῆ κατεγλώττιζέ μου
κἀκυκλοβόρει κἄπλυνεν, ὥστ' ὀλίγου πάνυ
ἀπωλόμην μολυνοπραγμονούμενος.
νῦν οὖν με πρῶτον πρὶν λέγειν ἐάσατε
ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον.

ΧΟΡΟΣ.

τί ταῦτα στρέφει τεχνάζεις τε καὶ πορίζεις τριβάς;
λαβὲ δ' ἐμοῦ γ' ἕνεκα παρ' Ἱερωνύμου
σκοτοδασυπυκνότριχά τιν' Ἄϊδος κυνῆν·
εἶτ' ἐξάνοιγε μηχανὰς τὰς Σισύφου,
ὡς σκῆψιν ἀγὼν οὗτος οὐκ εἰσδέξεται.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὥρα 'στὶν ἄρα μοι καρτερὰν ψυχὴν λαβεῖν,
καί μοι βαδιστέ' ἐστὶν ὡς Εὐριπίδην.
παῖ παῖ.

ΚΗΦΙΣΟΦΩΝ.

τίς οὗτος;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἔνδον ἔστ' Εὐριπίδης;

ΚΗΦΙΣΟΦΩΝ.

οὐκ ἔνδον ἔνδον ἐστίν, εἰ γνώμην ἔχεις.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

πῶς ἔνδον, εἶτ' οὐκ ἔνδον;

ΚΗΦΙΣΟΦΩΝ.

ὀρθῶς, ὦ γέρον.
ὁ νοῦς μὲν ἔξω ξυλλέγων ἐπύλλια
οὐκ ἔνδον, αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ
τραγῳδίαν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὦ τρισμακάρι' Εὐριπίδη,
ὅθ' ὁ δοῦλος οὑτωσὶ σοφῶς ὑποκρίνεται.
ἐκκάλεσον αὐτόν.

ΚΗΦΙΣΟΦΩΝ.

ἀλλ' ἀδύνατον.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἀλλ' ὅμως.
οὐ γὰρ ἂν ἀπέλθοιμ', ἀλλὰ κόψω τὴν θύραν.
Εὐριπίδη, Εὐριπίδιον,
ὑπάκουσον, εἴπερ πώποτ' ἀνθρώπων τινί·
Δικαιόπολις καλεῖ σε Χολλίδης, ἐγώ.

ΕΥΡΙΠΙΔΗΣ.

ἀλλ' οὐ σχολή.

358—365. = 385—392.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἀλλ' ἐκκυκλήθητ'.
ΕΥΡΙΠΙΔΗΣ.
ἀλλ' ἀδύνατον.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἀλλ' ὅμως.
ΕΥΡΙΠΙΔΗΣ.
ἀλλ' ἐκκυκλήσομαι· καταβαίνειν δ' οὐ σχολή.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
Εὐριπίδη,
ΕΥΡΙΠΙΔΗΣ.
τί λέλακας;
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἀναβάδην ποιεῖς,
ἐξὸν καταβάδην· οὐκ ἐτὸς χωλοὺς ποιεῖς.
ἀτὰρ τί τὰ ῥάκι' ἐκ τραγῳδίας ἔχεις,
ἐσθῆτ' ἐλεινήν; οὐκ ἐτὸς πτωχοὺς ποιεῖς.
ἀλλ' ἀντιβολῶ πρὸς τῶν γονάτων σ', Εὐριπίδη,
δός μοι ῥάκιόν τι τοῦ παλαιοῦ δράματος.
δεῖ γάρ με λέξαι τῷ χορῷ ῥῆσιν μακράν·
αὕτη δὲ θάνατον, ἢν κακῶς λέξω, φέρει.
ΕΥΡΙΠΙΔΗΣ.
τὰ ποῖα τρύχη; μῶν ἐν οἷς Οἰνεὺς ὁδὶ
ὁ δύσποτμος γεραιὸς ἠγωνίζετο;
ΔΙΚΑΙΟΠΟΛΙΣ.
οὐκ Οἰνέως ἦν, ἀλλ' ἔτ' ἀθλιωτέρου.
ΕΥΡΙΠΙΔΗΣ.
τὰ τοῦ τυφλοῦ Φοίνικος;
ΔΙΚΑΙΟΠΟΛΙΣ.
οὐ Φοίνικος, οὔ,
ἀλλ' ἕτερος ἦν Φοίνικος ἀθλιώτερος.
ΕΥΡΙΠΙΔΗΣ.
ποίας ποθ' ἀνὴρ λακίδας αἰτεῖται πέπλων;
ἀλλ' ἢ Φιλοκτήτου τὰ τοῦ πτωχοῦ λέγεις;
ΔΙΚΑΙΟΠΟΛΙΣ.
οὐκ, ἀλλὰ τούτου πολὺ πολὺ πτωχιστέρου.
ΕΥΡΙΠΙΔΗΣ.
ἀλλ' ἢ τὰ δυσπινῆ θέλεις πεπλώματα
ἃ Βελλεροφόντης εἶχ' ὁ χωλὸς οὑτοσί;
ΔΙΚΑΙΟΠΟΛΙΣ.
οὐ Βελλεροφόντης· ἀλλὰ κἀκεῖνος μὲν ἦν
χωλός, προσαιτῶν, στωμύλος, δεινὸς λέγειν.
ΕΥΡΙΠΙΔΗΣ.
οἶδ' ἄνδρα, Μυσὸν Τήλεφον.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ναὶ Τήλεφον·
τούτου δὸς ἀντιβολῶ σέ μοι τὰ σπάργανα.
ΕΥΡΙΠΙΔΗΣ.
ὦ παῖ, δὸς αὐτῷ Τηλέφου ῥακώματα.
κεῖται δ' ἄνωθεν τῶν Θυεστείων ῥακῶν,
μεταξὺ τῶν Ἰνοῦς.
ΚΗΦΙΣΟΦΩΝ.
ἰδοὺ ταυτὶ λαβέ.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὦ Ζεῦ διόπτα καὶ κατόπτα πανταχῇ.
[ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον.]
Εὐριπίδη, 'πειδήπερ ἐχαρίσω ταδί,
κἀκεῖνά μοι δὸς τἀκόλουθα τῶν ῥακῶν,
τὸ πιλίδιον περὶ τὴν κεφαλὴν τὸ Μύσιον.
δεῖ γάρ με δόξαι πτωχὸν εἶναι τήμερον,
εἶναι μὲν ὅσπερ εἰμί, φαίνεσθαι δὲ μή·
τοὺς μὲν θεατὰς εἰδέναι μ' ὃς εἴμ' ἐγώ,
τοὺς δ' αὖ χορευτὰς ἠλιθίους παρεστάναι,
ὅπως ἂν αὐτοὺς ῥηματίοις σκιμαλίσω.
ΕΥΡΙΠΙΔΗΣ.
δώσω· πυκνῇ γὰρ λεπτὰ μηχανᾷ φρενί.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
εὐδαιμονοίης, Τηλέφῳ δ' ἁγὼ φρονῶ.
εὖ γ'· οἷον ἤδη ῥηματίων ἐμπίμπλαμαι.
ἀτὰρ δέομαί γε πτωχικοῦ βακτηρίου.
ΕΥΡΙΠΙΔΗΣ.
τουτὶ λαβὼν ἄπελθε λαΐνων σταθμῶν.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὦ θύμ', ὁρᾷς γὰρ ὡς ἀπωθοῦμαι δόμων,
πολλῶν δεόμενος σκευαρίων· νῦν δὴ γενοῦ
γλίσχρος προσαιτῶν λιπαρῶν τ'. Εὐριπίδη,
δός μοι σπυρίδιον διακεκαυμένον λύχνῳ.
ΕΥΡΙΠΙΔΗΣ.
τί δ', ὦ τάλας, σε τοῦδ' ἔχει πλέκους χρέος;
ΔΙΚΑΙΟΠΟΛΙΣ.
χρέος μὲν οὐδέν, βούλομαι δ' ὅμως λαβεῖν.
ΕΥΡΙΠΙΔΗΣ.
λυπηρὸς ἴσθ' ὢν κἀποχώρησον δόμων.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
φεῦ·
εὐδαιμονοίης, ὥσπερ ἡ μήτηρ ποτέ.
ΕΥΡΙΠΙΔΗΣ.
ἄπελθέ νύν μοι.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
μάλλά μοι δὸς ἓν μόνον
κοτυλίσκιον τὸ χεῖλος ἀποκεκρουμένον.
ΕΥΡΙΠΙΔΗΣ.
φθείρου λαβὼν τόδ'· ἴσθ' ὀχληρὸς ὢν δόμοις.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
οὔπω μὰ Δί' οἶσθ' οἷ' αὐτὸς ἐργάζει κακά.
ἀλλ', ὦ γλυκύτατ' Εὐριπίδη, τουτὶ μόνον,
δός μοι χυτρίδιον σφογγίῳ βεβυσμένον.
ΕΥΡΙΠΙΔΗΣ.
ἄνθρωπ', ἀφαιρήσει με τὴν τραγῳδίαν.
ἄπελθε ταυτηνὶ λαβών.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἀπέρχομαι.
καίτοι τί δράσω; δεῖ γὰρ ἑνός, οὗ μὴ τυχὼν
ἀπόλωλ'. ἄκουσον, ὦ γλυκύτατ' Εὐριπίδη·
τουτὶ λαβὼν ἄπειμι κοὐ πρόσειμ' ἔτι·
εἰς τὸ σπυρίδιον ἰσχνά μοι φυλλεῖα δός.
ΕΥΡΙΠΙΔΗΣ.
ἀπολεῖς μ'. ἰδού σοι. φροῦδά μοι τὰ δράματα.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἀλλ' οὐκέτ', ἀλλ' ἄπειμι. καὶ γάρ εἰμ' ἄγαν
ὀχληρός, οὐ δοκῶν με κοιράνους στυγεῖν.
οἴμοι κακοδαίμων, ὡς ἀπόλωλ'. ἐπελαθόμην
ἐν ᾧπέρ ἐστι πάντα μοι τὰ πράγματα.
Εὐριπίδιον ὦ γλυκύτατον καὶ φίλτατον,
κάκιστ' ἀπολοίμην, εἴ τί σ' αἰτήσαιμ' ἔτι,
πλὴν ἓν μόνον, τουτὶ μόνον τουτὶ μόνον,
σκάνδικά μοι δός, μητρόθεν δεδεγμένος.
ΕΥΡΙΠΙΔΗΣ.
ἀνὴρ ὑβρίζει· κλεῖε πηκτὰ δωμάτων.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὦ θύμ', ἄνευ σκάνδικος ἐμπορευτέα.
ἆρ' οἶσθ' ὅσον τὸν ἀγῶν' ἀγωνιεῖ τάχα,
μέλλων ὑπὲρ Λακεδαιμονίων ἀνδρῶν λέγειν;
πρόβαινε νῦν, ὦ θυμέ· γραμμὴ δ' αὑτηί.
ἕστηκας; οὐκ εἶ καταπιὼν Εὐριπίδην;
ἐπῄνεσ'· ἄγε νυν, ὦ τάλαινα καρδία,
ἄπελθ' ἐκεῖσε, κᾆτα τὴν κεφαλὴν ἐκεῖ
παράσχες, εἰποῦσ' ἅττ' ἂν αὐτῇ σοι δοκῇ.
τόλμησον, ἴθι, χώρησον, ἄγαμαι καρδίας.

ΧΟΡΟΣ.
τί δράσεις; τί φήσεις; ἀλλ' ἴσθι νυν
ἀναίσχυντος ὢν σιδηροῦς τ' ἀνήρ,
ὅστις παρασχὼν τῇ πόλει τὸν αὐχένα
ἅπασι μέλλεις εἷς λέγειν τἀναντία.
ἁνὴρ οὐ τρέμει τὸ πρᾶγμ'. εἶά νυν,
ἐπειδήπερ αὐτὸς αἱρεῖ, λέγε.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
μή μοι φθονήσητ', ἄνδρες οἱ θεώμενοι,
εἰ πτωχὸς ὢν ἔπειτ' ἐν Ἀθηναίοις λέγειν
μέλλω περὶ τῆς πόλεως, τρυγῳδίαν ποιῶν.
τὸ γὰρ δίκαιον οἶδε καὶ τρυγῳδία.
ἐγὼ δὲ λέξω δεινὰ μέν, δίκαια δέ.
οὐ γάρ με νῦν γε διαβαλεῖ Κλέων ὅτι
ξένων παρόντων τὴν πόλιν κακῶς λέγω.
αὐτοὶ γάρ ἐσμεν οὑπὶ Ληναίῳ τ' ἀγών,
κοὔπω ξένοι πάρεισιν· οὔτε γὰρ φόροι
ἥκουσιν οὔτ' ἐκ τῶν πόλεων οἱ ξύμμαχοι·
ἀλλ' ἐσμὲν αὐτοὶ νῦν γε περιεπτισμένοι·
τοὺς γὰρ μετοίκους ἄχυρα τῶν ἀστῶν λέγω.
ἐγὼ δὲ μισῶ μὲν Λακεδαιμονίους σφόδρα,
καὐτοῖς ὁ Ποσειδῶν, οὑπὶ Ταινάρῳ θεός,
σείσας ἅπασιν ἐμβάλοι τὰς οἰκίας·
κἀμοὶ γάρ ἐστιν ἀμπέλια κεκομμένα.
ἀτάρ, φίλοι γὰρ οἱ παρόντες ἐν λόγῳ,
τί ταῦτα τοὺς Λάκωνας αἰτιώμεθα;
ἡμῶν γὰρ ἄνδρες, οὐχὶ τὴν πόλιν λέγω,
μέμνησθε τοῦθ', ὅτι οὐχὶ τὴν πόλιν λέγω,
ἀλλ' ἀνδράρια μοχθηρά, παρακεκομμένα,
ἄτιμα καὶ παράσημα καὶ παράξενα,
ἐσυκοφάντει Μεγαρέων τὰ χλανίσκια·
κεἴ που σίκυον ἴδοιεν ἢ λαγῴδιον
ἢ χοιρίδιον ἢ σκόροδον ἢ χόνδρους ἅλας,
ταῦτ' ἦν Μεγαρικὰ κἀπέπρατ' αὐθημερόν.
καὶ ταῦτα μὲν δὴ σμικρὰ κἀπιχώρια,
πόρνην δὲ Σιμαίθαν ἰόντες Μέγαράδε
νεανίαι κλέπτουσι μεθυσοκότταβοι·
κᾆθ' οἱ Μεγαρῆς ὀδύναις πεφυσιγγωμένοι
ἀντεξέκλεψαν Ἀσπασίας πόρνα δύο·
κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου κατερράγη
Ἕλλησι πᾶσιν ἐκ τριῶν λαικαστριῶν.
ἐντεῦθεν ὀργῇ Περικλέης οὑλύμπιος
ἤστραπτεν, ἐβρόντα, ξυνεκύκα τὴν Ἑλλάδα,
ἐτίθει νόμους ὥσπερ σκόλια γεγραμμένους,
ὡς χρὴ Μεγαρέας μήτε γῇ μήτ' ἐν ἀγορᾷ
μήτ' ἐν θαλάττῃ μήτ' ἐν ἠπείρῳ μένειν.
ἐντεῦθεν οἱ Μεγαρῆς, ὅτε δὴ 'πείνων βάδην,
Λακεδαιμονίων ἐδέοντο τὸ ψήφισμ' ὅπως
μεταστραφείη τὸ διὰ τὰς λαικαστρίας·
κοὐκ ἠθέλομεν ἡμεῖς δεομένων πολλάκις.
κἀντεῦθεν ἤδη πάταγος ἦν τῶν ἀσπίδων.
ἐρεῖ τις, οὐ χρῆν· ἀλλὰ τί ἐχρῆν εἴπατε.
φέρ', εἰ Λακεδαιμονίων τις ἐκπλεύσας σκάφει
ἀπέδοτο φήνας κυνίδιον Σεριφίων,
καθῆσθ' ἂν ἐν δόμοισιν; ἦ πολλοῦ γε δεῖ·
καὶ κάρτα μένταν εὐθέως καθείλκετε
τριακοσίας ναῦς, ἦν δ' ἂν ἡ πόλις πλέα
θορύβου στρατιωτῶν, περὶ τριηράρχου βοῆς,
μισθοῦ διδομένου, Παλλαδίων χρυσουμένων,
στοιᾶς στεναχούσης, σιτίων μετρουμένων,
ἀσκῶν, τροπωτήρων, κάδους ὠνουμένων,
σκορόδων, ἐλαῶν, κρομμύων ἐν δικτύοις,
στεφάνων, τριχίδων, αὐλητρίδων, ὑπωπίων,
τὸ νεώριον δ' αὖ κωπέων πλατουμένων,
τύλων ψοφούντων, θαλαμιῶν τροπουμένων,
αὐλῶν κελευστῶν, νιγλάρων, συριγμάτων.
ταῦτ' οἶδ' ὅτι ἂν ἐδρᾶτε· τὸν δὲ Τήλεφον
οὐκ οἰόμεσθα; νοῦς ἄρ' ἡμῖν οὐκ ἔνι.

ΗΜΙΧΟΡΙΟΝ.
ἄληθες, ὦπίτριπτε καὶ μιαρώτατε;
ταυτὶ σὺ τολμᾷς πτωχὸς ὢν ἡμᾶς λέγειν,
καὶ συκοφάντης εἴ τις ἦν, ὠνείδισας;

ΗΜΙΧΟΡΙΟΝ.
νὴ τὸν Ποσειδῶ, καὶ λέγει γ' ἅπερ λέγει
δίκαια πάντα κοὐδὲν αὐτῶν ψεύδεται.

ΗΜΙΧΟΡΙΟΝ.
εἶτ' εἰ δίκαια, τοῦτον εἰπεῖν αὔτ' ἐχρῆν;
ἀλλ' οὐδὲ χαίρων ταῦτα τολμήσει λέγειν.

ΗΜΙΧΟΡΙΟΝ.
οὗτος σὺ ποῖ θεῖς, οὐ μενεῖς; ὡς εἰ θενεῖς
τὸν ἄνδρα τοῦτον, αὐτὸς ἀρθήσει τάχα.

ΗΜΙΧΟΡΙΟΝ.
ἰὼ Λάμαχ', ὦ βλέπων ἀστραπάς,
βοήθησον, ὦ γοργολόφα, φανείς,
ἰὼ Λάμαχ', ὦ φίλ', ὦ φυλέτα·
εἴτε τις ἔστι ταξίαρχός τις ἢ
τειχομάχας ἀνήρ, βοηθησάτω
τις ἀνύσας. ἐγὼ γὰρ ἔχομαι μέσος.

ΛΑΜΑΧΟΣ.
πόθεν βοῆς ἤκουσα πολεμιστηρίας;
ποῖ χρὴ βοηθεῖν; ποῖ κυδοιμὸν ἐμβαλεῖν;
τίς Γοργόν' ἐξήγειρεν ἐκ τοῦ σάγματος;

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὦ Λάμαχ' ἥρως, τῶν λόφων καὶ τῶν λόχων.

ΧΟΡΟΣ.
ὦ Λάμαχ', οὐ γὰρ οὗτος ἄνθρωπος πάλαι
ἅπασαν ἡμῶν τὴν πόλιν κακορροθεῖ;

ΛΑΜΑΧΟΣ.
οὗτος σὺ τολμᾷς πτωχὸς ὢν λέγειν τάδε;

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὦ Λάμαχ' ἥρως, ἀλλὰ συγγνώμην ἔχε,
εἰ πτωχὸς ὢν εἶπόν τι κἀστωμυλάμην.

ΛΑΜΑΧΟΣ.
τί δ' εἶπας ἡμᾶς; οὐκ ἐρεῖς;

ΔΙΚΑΙΟΠΟΛΙΣ.
οὐκ οἶδά πω·
ὑπὸ τοῦ δέους γὰρ τῶν ὅπλων ἰλιγγιῶ.
ἀλλ' ἀντιβολῶ σ', ἀπένεγκέ μου τὴν μορμόνα.

ΛΑΜΑΧΟΣ.
ἰδού.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
παράθες νυν ὑπτίαν αὐτὴν ἐμοί.
ΛΑΜΑΧΟΣ.
κεῖται.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
φέρε νυν ἀπὸ τοῦ κράνους μοι τὸ πτερόν.
ΛΑΜΑΧΟΣ.
τουτὶ πτίλον σοι.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
τῆς κεφαλῆς νύν μου λαβοῦ,
ἵν' ἐξεμέσω· βδελύττομαι γὰρ τοὺς λόφους.
ΛΑΜΑΧΟΣ.
οὗτος, τί δράσεις; τῷ πτίλῳ μέλλεις ἐμεῖν;
ΔΙΚΑΙΟΠΟΛΙΣ.
πτίλον γάρ ἐστιν; εἰπέ μοι, τίνος ποτὲ
ὄρνιθός ἐστιν; ἆρα κομπολακύθου;
ΛΑΜΑΧΟΣ.
οἴμ' ὡς τεθνήξεις.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
μηδαμῶς, ὦ Λάμαχε·
οὐ γὰρ κατ' ἰσχύν ἐστιν· εἰ δ' ἰσχυρὸς εἶ,
τί μ' οὐκ ἀπεψώλησας; εὔοπλος γὰρ εἶ.
ΛΑΜΑΧΟΣ.
ταυτὶ λέγεις σὺ τὸν στρατηγὸν πτωχὸς ὤν;
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἐγὼ γάρ εἰμι πτωχός;
ΛΑΜΑΧΟΣ.
ἀλλὰ τίς γὰρ εἶ;
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὅστις; πολίτης χρηστὸς, οὐ σπουδαρχίδης,
ἀλλ' ἐξ ὅτου περ ὁ πόλεμος στρατωνίδης,
σὺ δ' ἐξ ὅτου περ ὁ πόλεμος μισθαρχίδης.
ΛΑΜΑΧΟΣ.
ἐχειροτόνησαν γάρ με
ΔΙΚΑΙΟΠΟΛΙΣ.
κόκκυγές γε τρεῖς.
ταῦτ' οὖν ἐγὼ βδελυττόμενος ἐσπεισάμην,
ὁρῶν πολιοὺς μὲν ἄνδρας ἐν ταῖς τάξεσιν,
νεανίας δ' οἵος σὺ διαδεδρακότας
τοὺς μὲν ἐπὶ Θρᾴκης μισθοφοροῦντας τρεῖς δραχμὰς,
Τισαμενοφαινίππους, Πανουργιππαρχίδας·
ἑτέρους δὲ παρὰ Χάρητι, τοὺς δ' ἐν Χαόσι
Γερητοθεοδώρους, Διομειαλαζόνας,
τοὺς δ' ἐν Καμαρίνῃ κἀν Γέλᾳ κἀν Καταγέλᾳ.
ΛΑΜΑΧΟΣ.
ἐχειροτονήθησαν γάρ.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
αἴτιον δὲ τί
ὑμᾶς μὲν ἀεὶ μισθοφορεῖν ἀμηγέπη,
τωνδὶ δὲ μηδέν'; ἐτεὸν, ὦ Μαριλάδη,
ἤδη πεπρέσβευκας σὺ πολιὸς ὤν; ἐνὶ,
ἀνένευσε· καίτοι γ' ἐστὶ σώφρων κἀργάτης.
τί δαὶ Δράκυλλος κεὐφορίδης ἢ Πρινίδης;
οἶδέν τις ὑμῶν τἀκβάταν' ἢ τοὺς Χάονας;
οὔ φασιν. ἀλλ' ὁ Κοισύρας καὶ Λάμαχος,
οἷς ὑπ' ἐράνου τε καὶ χρεῶν πρώην ποτὲ,
ὥσπερ ἀπόνιπτρον ἐκχέοντες ἑσπέρας,
ἅπαντες ἐξίστω παρῄνουν οἱ φίλοι.

ΛΑΜΑΧΟΣ.
ὦ δημοκρατία, ταῦτα δῆτ' ἀνασχετά;
ΔΙΚΑΙΟΠΟΛΙΣ.
οὐ δῆτ', ἐὰν μὴ μισθοφορῇ γε Λάμαχος.
ΛΑΜΑΧΟΣ.
ἀλλ' οὖν ἐγὼ μὲν πᾶσι Πελοποννησίοις
ἀεὶ πολεμήσω, καὶ ταράξω πανταχῇ,
καὶ ναυσὶ καὶ πεζοῖσι, κατὰ τὸ καρτερόν.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἐγὼ δὲ κηρύττω γε Πελοποννησίοις
ἅπασι καὶ Μεγαρεῦσι καὶ Βοιωτίοις
πωλεῖν ἀγοράζειν πρὸς ἐμὲ, Λαμάχῳ δὲ μή.
ΧΟΡΟΣ.
ἀνὴρ νικᾷ τοῖσι λόγοισιν, καὶ τὸν δῆμον μετα[...] πείθει
περὶ τῶν σπονδῶν. ἀλλ' ἀποδύντες τοῖς ἀναπα[...] στοις ἐπίωμεν.
Ἐξ οὗ γε χοροῖσιν ἐφέστηκεν τρυγικοῖς ὁ διδά[...] σκαλος ἡμῶν,
οὔπω παρέβη πρὸς τὸ θέατρον λέξων ὡς δεξ[...] ἐστιν·
διαβαλλόμενος δ' ὑπὸ τῶν ἐχθρῶν ἐν Ἀθηναί[...] ταχυβούλοις,
ὡς κωμῳδεῖ τὴν πόλιν ἡμῶν καὶ τὸν δῆμον κ[...] θυβρίζει,
ἀποκρίνεσθαι δεῖται νυνὶ πρὸς Ἀθηναίους μετ[...] βούλους.
φησὶν δ' εἶναι πολλῶν ἀγαθῶν ἄξιος ὑμῖν [...] ποιητὴς,
παύσας ὑμᾶς ξενικοῖσι λόγοις μὴ λίαν ἐξαπατᾶσθ[...]
μήθ' ἥδεσθαι θωπευομένους μήτ' εἶναι χαυ[...] πολίτας.
πρότερον δ' ὑμᾶς ἀπὸ τῶν πόλεων οἱ πρέσβ[...] ἐξαπατῶντες
πρῶτον μὲν ἰοστεφάνους ἐκάλουν· κἀπειδὴ τοῦ[...] τις εἴποι,
εὐθὺς διὰ τοὺς στεφάνους ἐπ' ἄκρων τῶν πυ[...] δίων ἐκάθησθε.
εἰ δέ τις ὑμᾶς ὑποθωπεύσας λιπαρὰς καλέσε[...] Ἀθήνας,
εὕρετο πᾶν ἂν διὰ τὰς λιπαρὰς, ἀφύων τι[...] περιάψας.
ταῦτα ποιήσας πολλῶν ἀγαθῶν αἴτιος ὑμῖν [...] γένηται,
καὶ τοὺς δήμους ἐν ταῖς πόλεσιν δείξας, ὡ[...] μοκρατοῦνται.
τοιγάρτοι νῦν ἐκ τῶν πόλεων τὸν φόρον ὑ[...] ἀπάγοντες
ἥξουσιν, ἰδεῖν ἐπιθυμοῦντες τὸν ποιητὴ[...] ἄριστον,
ὅστις παρεκινδύνευσ' εἰπεῖν ἐν Ἀθηναίοις δίκαια.
οὕτω δ' αὐτοῦ περὶ τῆς τόλμης ἤδη πόρρω κ[...] ἥκει,
ὅτε καὶ βασιλεὺς, Λακεδαιμονίων τὴν πρεσβ[...] βασανίζων,
ἠρώτησεν πρῶτα μὲν αὐτοὺς πότεροι ταῖς να[...] κρατοῦσιν·
εἶτα δὲ τοῦτον τὸν ποιητὴν ποτέρους εἴποι κ[...] πολλά·

τούτους γὰρ ἔφη τοὺς ἀνθρώπους πολὺ βελτίους γεγενῆσθαι
καὶ τῷ πολέμῳ πολὺ νικήσειν, τοῦτον ξύμβουλον ἔχοντας.
διὰ ταῦθ' ὑμᾶς Λακεδαιμόνιοι τὴν εἰρήνην προκαλοῦνται,
καὶ τὴν Αἴγιναν ἀπαιτοῦσιν· καὶ τῆς νήσου μὲν ἐκείνης
οὐ φροντίζουσ', ἀλλ' ἵνα τοῦτον τὸν ποιητὴν ἀφέλωνται.
ἀλλ' ὑμεῖς τοι μή ποτ' ἀφῆθ'· ὡς κωμῳδήσει τὰ δίκαια·
φησὶν δ' ὑμᾶς πολλὰ διδάξειν ἀγάθ', ὥστ' εὐδαίμονας εἶναι,
οὐ θωπεύων, οὐδ' ὑποτείνων μισθούς, οὐδ' ἐξαπατύλλων,
οὐδὲ πανουργῶν, οὐδὲ κατάρδων, ἀλλὰ τὰ βέλτιστα διδάσκων.
πρὸς ταῦτα Κλέων καὶ παλαμάσθω
καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθω.
τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον
ξύμμαχον ἔσται, κού μή ποθ' ἁλῶ
περὶ τὴν πόλιν ὢν ὥσπερ ἐκεῖνος
δειλὸς καὶ λακαταπύγων.
δεῦρο Μοῦσ' ἐλθὲ φλεγυρὰ πυρὸς ἔχουσα μένος, ἔντονος Ἀχαρνική.
οἷον ἐξ ἀνθράκων πρινίνων φέψαλος ἀνήλατ', ἐρεθιζόμενος οὐρίᾳ ῥιπίδι,
ἡνίκ' ἂν ἐπανθρακίδες ὦσι παρακείμεναι,
οἱ δὲ Θασίαν ἀνακυκῶσι λιπαράμπυκα,
οἱ δὲ μάττωσιν, οὕτω σοβαρὸν ἐλθὲ μέλος εὔτονον, ἀγροικότερον,
ὡς ἐμὲ λαβοῦσα τὸν δημότην.
οἱ γέροντες οἱ παλαιοὶ μεμφόμεσθα τῇ πόλει.
οὐ γὰρ ἀξίως ἐκείνων ὧν ἐναυμαχήσαμεν
γηροβοσκούμεσθ' ὑφ' ὑμῶν, ἀλλὰ δεινὰ πάσχομεν,
οἵτινες γέροντας ἄνδρας ἐμβαλόντες ἐς γραφὰς
ὑπὸ νεανίσκων ἐᾶτε καταγελᾶσθαι ῥητόρων,
οὐδὲν ὄντας, ἀλλὰ κωφοὺς καὶ παρεξηυλημένους,
οἷς Ποσειδῶν ἀσφάλειός ἐστιν ἡ βακτηρία·
τονθορύζοντες δὲ γήρᾳ τῷ λίθῳ προσέσταμεν,
οὐχ ὁρῶντες οὐδὲν εἰ μὴ τῆς δίκης τὴν ἠλύγην.
ὁ δὲ νεανίας ἑαυτῷ σπουδάσας ξυνηγορεῖν
ἐς τάχος παίει ξυνάπτων στρογγύλοις τοῖς ῥήμασι·
κᾆτ' ἀνελκύσας ἐρωτᾷ, σκανδάληθρ' ἱστὰς ἐπῶν,
ἄνδρα Τιθωνὸν σπαράττων καὶ ταράττων καὶ κυκῶν.
ὁ δ' ὑπὸ γήρως μασταρύζει, κᾆτ' ὀφλὼν ἀπέρχεται·
εἶτα λύζει καὶ δακρύει, καὶ λέγει πρὸς τοὺς φίλους.
οὗ μ' ἐχρῆν σορὸν πρίασθαι, τοῦτ' ὀφλὼν ἀπέρχομαι.
ταῦτα πῶς εἰκότα γέροντ' ἀπολέσαι, πολιὸν ἄνδρα, περὶ κλεψύδραν,
πολλὰ δὴ ξυμπονήσαντα, καὶ θερμὸν ἀπομορξάμενον ἀνδρικὸν ἱδρῶτα δὴ καὶ πολύν,
ἄνδρ' ἀγαθὸν ὄντα Μαραθῶνι περὶ τὴν πόλιν;
εἶτα Μαραθῶνι μὲν ὅτ' ἦμεν, ἐδιώκομεν·
νῦν δ' ὑπ' ἀνδρῶν πονηρῶν σφόδρα διωκόμεθα, κᾆτα πρὸς ἁλισκόμεθα.

665—691. = 692—718.

πρὸς τάδε τίς ἀντερεῖ Μαρψίας;
τῷ γὰρ εἰκὸς ἄνδρα κυφόν, ἥλικον Θουκυδίδην,
ἐξολέσθαι συμπλακέντα τῇ Σκυθῶν ἐρημίᾳ,
τῷδε τῷ Κηφισοδήμῳ, τῷ λάλῳ ξυνηγόρῳ;
ὥστ' ἐγὼ μὲν ἠλέησα κἀπεμορξάμην ἰδὼν
ἄνδρα πρεσβύτην ὑπ' ἀνδρὸς τοξότου κυκώμενον,
ὃς μὰ τὴν Δήμητρ', ἐκεῖνος ἡνίκ' ἦν Θουκυδίδης,
οὐδ' ἂν αὐτὴν τὴν Ἀχαίαν ῥᾳδίως ἠνέσχετ' ἄν,
ἀλλὰ κατεπάλαισεν ἂν μὲν πρῶτον Εὐάθλους δέκα,
κατεβόησε δ' ἂν κεκραγὼς τοξότας τρισχιλίους,
περιετόξευσεν δ' ἂν αὐτοῦ τοῦ πατρὸς τοὺς ξυγγενεῖς.
ἀλλ' ἐπειδὴ τοὺς γέροντας οὐκ ἐᾶθ' ὕπνου τυχεῖν,
ψηφίσασθε χωρὶς εἶναι τὰς γραφάς, ὅπως ἂν ᾖ
τῷ γέροντι μὲν γέρων καὶ νωδὸς ὁ ξυνήγορος,
τοῖς νέοισι δ' εὐρύπρωκτος καὶ λάλος χὠ Κλεινίου.
κἀξελαύνειν χρὴ τὸ λοιπόν, κἂν φύγῃ τις, ζημιοῦν
τὸν γέροντα τῷ γέροντι, τὸν νέον δὲ τῷ νέῳ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὅροι μὲν ἀγορᾶς εἰσιν οἵδε τῆς ἐμῆς.
ἐνταῦθ' ἀγοράζειν πᾶσι Πελοποννησίοις
ἔξεστι καὶ Μεγαρεῦσι καὶ Βοιωτίοις
ἐφ' ᾧτε πωλεῖν πρὸς ἐμέ, Λαμάχῳ δὲ μή.
ἀγορανόμους δὲ τῆς ἀγορᾶς καθίσταμαι
τρεῖς τοὺς λαχόντας τούσδ' ἱμάντας ἐκ Λεπρῶν.
ἐνταῦθα μήτε συκοφάντης εἰσίτω
μήτ' ἄλλος ὅστις Φασιανός ἐστ' ἀνήρ.
ἐγὼ δὲ τὴν στήλην καθ' ἣν ἐσπεισάμην
μέτειμ', ἵνα στήσω φανερὰν ἐν τἀγορᾷ.

ΜΕΓΑΡΕΥΣ.

ἀγορὰ 'ν Ἀθάναις χαῖρε, Μεγαρεῦσιν φίλα.
ἐπόθουν τυ ναὶ τὸν φίλιον ᾇπερ ματέρα.
ἀλλ', ὦ πονηρὰ κώρι' ἀθλίου πατρός,
ἄμβατε ποττὰν μᾶδδαν, αἴ χ' εὕρητέ πα.
ἀκούετον δή, ποτέχετ' ἐμὶν τὰν γαστέρα·
πότερα πεπρᾶσθαι χρῄδδετ', ἢ πεινῆν κακῶς;

ΚΟΡΑ.

πεπρᾶσθαι πεπρᾶσθαι.

ΜΕΓΑΡΕΥΣ.

ἐγώνγα καὐτός φαμι. τίς δ' οὕτως ἄνους
ὃς ὑμέ κα πρίαιτο, φανερὰν ζαμίαν;
ἀλλ' ἔστι γάρ μοι Μεγαρικά τις μαχανά.
χοίρους γὰρ ὑμὲ σκευάσας φασῶ φέρεν.
περίθεσθε τάσδε τὰς ὁπλὰς τῶν χοιρίων.
ὅπως δὲ δοξεῖτ' ἦμεν ἐξ ἀγαθᾶς ὑός·
ὡς ναὶ τὸν Ἑρμᾶν, εἴπερ ἱξεῖτ' οἴκαδις,
τὰ πρᾶτα πειρασεῖσθε τᾶς λιμῶ κακῶς.
ἀλλ' ἀμφίθεσθε καὶ ταδὶ τὰ ῥυγχία,
κἤπειτεν ἐς τὸν σάκκον ὧδ' ἐσβαίνετε.
ὅπως δὲ γρυλιξεῖτε καὶ κοΐξετε
χήσεῖτε φωνὰν χοιρίων μυστηρικῶν.
ἐγὼν δὲ καρυξῶ Δικαιόπολιν ὅπα.
Δικαιόπολι, ἦ λῇς πρίασθαι χοιρία;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τί; ἀνὴρ Μεγαρικός;

ΜΕΓΑΡΕΥΣ.

ἀγοράσοντες ἵκομες.

*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
πῶς ἔχετε;
*ΜΕΓΑΡΕΥΣ.*
διαπεινᾶμες ἀεὶ ποττὸ πῦρ.
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
ἀλλ' ἡδύ τοι νὴ τὸν Δί', ἢν αὐλὸς παρῇ.
τί δ' ἄλλο πράττεθ' οἱ Μεγαρῆς νῦν;
*ΜΕΓΑΡΕΥΣ.*
οἷα δή.
ὄκα μὲν ἐγὼν τηνῶθεν ἐμπορευόμαν,
ἄνδρες πρόβουλοι τοῦτ' ἔπραττον τῇ πόλει,
ὅπως τάχιστα καὶ κάκιστ' ἀπολοίμεθα.
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
αὐτίκ' ἄρ' ἀπαλλάξεσθε πραγμάτων.
*ΜΕΓΑΡΕΥΣ.*
σά μάν;
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
τί δ' ἄλλο Μεγαροῖ; πῶς ὁ σῖτος ὤνιος;
*ΜΕΓΑΡΕΥΣ.*
παρ' ἀμὲ πολυτίματος, ᾇπερ τοὶ θεοί.
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
ἅλας οὖν φέρεις;
*ΜΕΓΑΡΕΥΣ.*
οὐχ ὑμὲς αὐτῶν ἄρχετε;
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
οὐδὲ σκόροδα;
*ΜΕΓΑΡΕΥΣ.*
ποῖα σκόροδ'; ὑμὲς τῶν ἀεὶ,
ὄκκ' ἐσβάλητε, τὼς ἀρωραῖοι μύες,
πάσσακι τὰς ἄγλιθας ἐξορύσσετε.
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
τί δαὶ φέρεις;
*ΜΕΓΑΡΕΥΣ.*
χοίρους ἐγώνγα μυστικάς.
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
καλῶς λέγεις· ἐπίδειξον.
*ΜΕΓΑΡΕΥΣ.*
ἀλλὰ μὰν καλαί.
ἄντεινον, αἰ λῇς· ὡς παχεῖα καὶ καλά.
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
τουτὶ τί ἦν τὸ πρᾶγμα;
*ΜΕΓΑΡΕΥΣ.*
χοῖρος ναὶ Δία.
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
τί λέγεις σύ; ποδαπὴ χοῖρος ἥδε;
*ΜΕΓΑΡΕΥΣ.*
Μεγαρικά.
ἢ οὐ χοῖρός ἐσθ' ἅδ';
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
οὐκ ἔμοιγε φαίνεται.
*ΜΕΓΑΡΕΥΣ.*
οὐ δεινά; θᾶσθε τοῦδε τὰς ἀπιστίας·
οὔ φατι τάνδε χοῖρον ἦμεν. ἀλλὰ μὰν,
αἰ λῇς, περίδου μοι περὶ θυμητιδᾶν ἁλῶν,
αἰ μὴ 'στιν οὗτος χοῖρος Ἑλλάνων νόμῳ.
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
ἀλλ' ἔστιν ἀνθρώπου γε.
*ΜΕΓΑΡΕΥΣ.*
ναὶ τὸν Διοκλέα,
ἐμά γα. σὺ δέ νιν εἴμεναι τίνος δοκεῖς;
ἢ λῇς ἀκοῦσαι φθεγγομένας;
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
νὴ τοὺς θεοὺς
ἔγωγε.
*ΜΕΓΑΡΕΥΣ.*
φώνει δὴ τὺ ταχέως, χοιρίον.
οὐ χρῆσθα σιγῆν, ὦ κάκιστ' ἀπολουμένα.
πάλιν τ' ἀποισῶ ναὶ τὸν Ἑρμᾶν οἴκαδις.
*ΚΟΡΗ.*
κοΐ κοΐ.
*ΜΕΓΑΡΕΥΣ.*
αὕτα 'στὶ χοῖρος;
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
νῦν γε χοῖρος φαίνεται.
ἀτὰρ ἐκτραφείς γε κύσθος ἔσται.
*ΜΕΓΑΡΕΥΣ.*
πέντ' ἐτῶν,
σάφ' ἴσθι, ποττὰν ματέρ' εἰκασθήσεται.
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
ἀλλ' οὐχὶ θύσιμός ἐστιν αὑτηγί.
*ΜΕΓΑΡΕΥΣ.*
σά μάν;
πᾶ δ' οὐχὶ θύσιμός ἐστι;
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
κέρκον οὐκ ἔχει.
*ΜΕΓΑΡΕΥΣ.*
νέα γάρ ἐστιν· ἀλλὰ δελφακουμένα
ἑξεῖ μεγάλαν τε καὶ παχεῖαν κἠρυθράν.
ἀλλ' αἰ τράφεν λῇς, ἅδε τοι χοῖρος καλά.
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
ὡς ξυγγενὴς ὁ κύσθος αὐτῆς θατέρᾳ.
*ΜΕΓΑΡΕΥΣ.*
ὁμοματρία γάρ ἐστι κἠκ τωὐτῶ πατρός.
ἀλλ' ἂν παχυνθῇ κἀναχνωανθῇ τριχὶ,
κάλλιστος ἔσται χοῖρος Ἀφροδίτᾳ θύειν.
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
ἀλλ' οὐχὶ χοῖρος τἀφροδίτῃ θύεται.
*ΜΕΓΑΡΕΥΣ.*
οὐ χοῖρος Ἀφροδίτᾳ; μόνᾳ γα δαιμόνων.
καὶ γίγνεταί γα τᾶνδε τᾶν χοίρων τὸ κρῆς
ἅδιστον ἂν τὸν ὀδελὸν ἀμπεπαρμένον.
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
ἤδη δ' ἄνευ τῆς μητρὸς ἐσθίοιεν ἄν;
*ΜΕΓΑΡΕΥΣ.*
ναὶ τὸν Ποτειδᾶ, κἂν ἄνευ γα τῶ πατρός.
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
τί δ' ἐσθίει μάλιστα;
*ΜΕΓΑΡΕΥΣ.*
πάνθ' ἃ κα διδῷς.
αὐτὸς δ' ἐρώτη.
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
χοῖρε χοῖρε.
*ΚΟΡΑ.*
κοΐ κοΐ.
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
τρώγοις ἂν ἐρεβίνθους;
*ΚΟΡΑ.*
κοΐ κοΐ κοΐ.
*ΔΙΚΑΙΟΠΟΛΙΣ.*
τί δαί; φιβάλεως ἰσχάδας;
*ΚΟΡΑ.*
κοΐ κοΐ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὡς ὀξὺ πρὸς τὰς ἰσχάδας κεκράγατε.
ἐνεγκάτω τις ἔνδοθεν τῶν ἰσχάδων
τοῖς χοιριδίοισιν. ἆρα τρώξονται; βαβαί,
οἷον ῥοθιάζουσ', ὦ πολυτίμηθ' Ἡράκλεις.
ποδαπὰ τὰ χοιρί'; ὡς τραγασαῖα φαίνεται.
ἀλλ' οὐχὶ πάσας κατέτραγον τὰς ἰσχάδας.
ΜΕΓΑΡΕΥΣ.
ἐγὼ γὰρ αὐτῶν τάνδε μίαν ἀνειλόμαν.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
νὴ τὸν Δί' ἀστείω γε τὼ βοσκήματε·
πόσου πρίωμαί σοι τὰ χοιρίδια; λέγε.
ΜΕΓΑΡΕΥΣ.
τὸ μὲν ἅτερον τούτων σκορόδων τροπαλίδος,
τὸ δ' ἅτερον, αἱ λῇς, χοίνικος μόνας ἁλῶν.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὠνήσομαί σοι· περίμεν' αὐτοῦ.
ΜΕΓΑΡΕΥΣ.
ταῦτα δή.
Ἑρμᾶ 'μπολαῖε, τὰν γυναῖκα τὰν ἐμὰν
οὕτω μ' ἀποδόσθαι τάν τ' ἐμαυτῶ ματέρα.
ΣΥΚΟΦΑΝΤΗΣ.
ὤνθρωπε, ποδαπός;
ΜΕΓΑΡΕΥΣ.
χοιροπώλας Μεγαρικός.
ΣΥΚΟΦΑΝΤΗΣ.
τὰ χοιρίδια τοίνυν ἐγὼ φανῶ ταδὶ
πολέμια καὶ σέ.
ΜΕΓΑΡΕΥΣ.
τοῦτ' ἐκεῖν', ἵκει πάλιν
ὅθενπερ ἀρχὰ τῶν κακῶν ἁμῖν ἔφυ.
ΣΥΚΟΦΑΝΤΗΣ.
κλάων μεγαριεῖς. οὐκ ἀφήσεις τὸν σάκον;
ΜΕΓΑΡΕΥΣ.
Δικαιόπολι Δικαιόπολι, φαντάζομαι
ὑπό του.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
τίς ὁ φαίνων σ' ἐστίν; ἀγορανόμοι,
τοὺς συκοφάντας οὐ θύραζ' ἐξείρξετε;
τί δὴ μαθὼν φαίνεις ἄνευ θρυαλλίδος;
ΣΥΚΟΦΑΝΤΗΣ.
οὐ γὰρ φανῶ τοὺς πολεμίους;
ΔΙΚΑΙΟΠΟΛΙΣ.
κλάων γε σύ,
εἰ μὴ 'τέρωσε συκοφαντήσεις τρέχων.
ΜΕΓΑΡΕΥΣ.
οἷον τὸ κακὸν ἐν ταῖς Ἀθάναις τοῦτ' ἔνι.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
θάρρει, Μεγαρίχ'· ἀλλ' ἧς τὰ χοιρίδι' ἀπέδου
τιμῆς, λαβὲ ταυτὶ τὰ σκόροδα καὶ τοὺς ἅλας,
καὶ χαῖρε πόλλ'.
ΜΕΓΑΡΕΥΣ.
ἀλλ' ἁμὶν οὐκ ἐπιχώριον.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
πολυπραγμοσύνη νυν ἐς κεφαλὴν τρέποιτ' ἐμοί.
ΜΕΓΑΡΕΥΣ.
ὦ χοιρίδια, πειρῆσθε χἄνις τῶ πατρὸς
παίειν ἐφ' ἁλὶ τὰν μᾶδδαν, αἴ κά τις διδῷ.
ΧΟΡΟΣ.
εὐδαιμονεῖ γ' ἅνθρωπος. οὐκ ἤκουσας οἷ προβαίνει
τὸ πρᾶγμα τοῦ βουλεύματος; καρπώσεται γὰρ ἀνὴρ
ἐν τἀγορᾷ καθήμενος·
κἂν εἰσίῃ τις Κτησίας,
ἢ συκοφάντης ἄλλος, οἰ-
μώζων καθεδεῖται·
οὐδ' ἄλλος ἀνθρώπων ὑποψωνῶν σε πημανεῖ τι·
οὐδ' ἐξομόρξεται Πρέπις τὴν εὐρυπρωκτίαν σοι,
οὐδ' ὠστιεῖ Κλεωνύμῳ·
χλαῖναν δ' ἔχων φανὴν δίει·
κοὐ ξυντυχών σ' Ὑπέρβολος
δικῶν ἀναπλήσει·
οὐδ' ἐντυχὼν ἐν τἀγορᾷ πρόσεισί σοι βαδίζων
Κρατῖνος ἀεὶ κεκαρμένος μοιχὸν μιᾷ μαχαίρᾳ,
ὁ περιπόνηρος Ἀρτέμων,
ὁ ταχὺς ἄγαν τὴν μουσικήν,
ὄζων κακὸν τῶν μασχαλῶν
πατρὸς τραγασαίου·
οὐδ' αὖθις αὖ σε σκώψεται Παύσων ὁ παμπόνηρος,
Λυσίστρατός τ' ἐν τἀγορᾷ, Χολαργέων ὄνειδος,
ὁ περιαλουργὸς τοῖς κακοῖς,
ῥιγῶν τε καὶ πεινῶν ἀεὶ
πλεῖν ἢ τριάκονθ' ἡμέρας
τοῦ μηνὸς ἑκάστου.
ΒΟΙΩΤΟΣ.
ἴττω Ἡρακλῆς, ἔκαμόν γα τὰν τίλαν κακῶς,
κατάθου τὺ τὰν γλάχων' ἀτρέμας, Ἰσμηνία·
ὑμὲς δ', ὅσοι Θείβαθεν αὐληταὶ πάρα,
τοῖς ὀστίνοις φυσῆτε τὸν πρωκτὸν κυνός.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
παῦ' ἐς κόρακας. οἱ σφῆκες οὐκ ἀπὸ τῶν θυρῶν;
πόθεν προσέπτανθ' οἱ κακῶς ἀπολούμενοι
ἐπὶ τὴν θύραν μοι Χαιριδῆς βομβαύλιοι;
ΒΟΙΩΤΟΣ.
νὴ τὸν Ἰόλαον, ἐπιχαρίττως γ', ὦ ξένε·
Θείβαθι γὰρ φυσάντες ἐξόπισθέ μου
τἄνθεια τᾶς γλάχωνος ἀπέκιξαν χαμαί.
ἀλλ' εἴ τι βούλει, πρίασο, τῶν ἐγὼ φέρω,
τῶν ὀρταλίχων, ἢ τῶν τετραπτερυλλίδων.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὦ χαῖρε, κολλικοφάγε Βοιωτίδιον.
τί φέρεις;
ΒΟΙΩΤΟΣ.
ὅσ' ἐστὶν ἀγαθὰ Βοιωτοῖς ἁπλῶς,
ὀρίγανον, γλαχώ, ψιάθως, θρυαλλίδας,
νάσσας, κολοιώς, ἀτταγᾶς, φαλαρίδας,
τροχίλως, κολύμβως.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὥσπερεὶ χειμὼν ἄρα
ὀρνιθίας εἰς τὴν ἀγορὰν ἐλήλυθας.
ΒΟΙΩΤΟΣ.
καὶ μὰν φέρω χᾶνας, λαγώς, ἀλώπεκας,
σκάλοπας, ἐχίνως, αἰελούρως, πικτίδας,
ἰκτίδας, ἐνύδρους, ἐγχέλεις Κωπαΐδας.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὦ τερπνότατον σὺ τέμαχος ἀνθρώποις φέρων,
δός μοι προσειπεῖν, εἰ φέρεις τὰς ἐγχέλεις.
ΒΟΙΩΤΟΣ.
πρέσβειρα πεντήκοντα Κωπᾴδων κορᾶν,
ἔκβαθι τῷδε κἠπιχαρίττα τῷ ξένῳ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὦ φιλτάτη σὺ καὶ πάλαι ποθουμένη,
ἦλθες ποθεινὴ μὲν τρυγῳδικοῖς χοροῖς,
φίλη δὲ Μορύχῳ. δμῶες, ἐξενέγκατε
τὴν ἐσχάραν μοι δεῦρο καὶ τὴν ῥιπίδα.
σκέψασθε, παῖδες, τὴν ἀρίστην ἔγχελυν,
ἥκουσαν ἕκτῳ μόλις ἔτει ποθουμένην·
προσείπατ' αὐτὴν, ὦ τέκν'· ἄνθρακας δ' ἐγὼ
ὑμῖν παρέξω τῆσδε τῆς ξένης χάριν.
ἀλλ' εἴσφερ' αὐτήν· μηδὲ γὰρ θανών ποτε
σοῦ χωρὶς εἴην ἐντετευτλανωμένης.

ΒΟΙΩΤΟΣ.

ἐμοὶ δὲ τιμὰ τᾶσδε πᾶ γενήσεται;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἀγορᾶς τέλος ταύτην γέ που δώσεις ἐμοί·
ἀλλ' εἴ τι πωλεῖς τῶνδε τῶν ἄλλων, λέγε.

ΒΟΙΩΤΟΣ.

ἰώγα ταῦτα πάντα.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

φέρε, πόσου λέγεις;
ἢ φορτί' ἕτερ' ἐνθένδ' ἐκεῖσ' ἄξεις ἰών;

ΒΟΙΩΤΟΣ.

ὅ τι γ' ἔστ' Ἀθάναις, ἐν Βοιωτοῖσιν δὲ μή.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἀφύας ἄρ' ἄξεις πριάμενος Φαληρικὰς
ἢ κέραμον.

ΒΟΙΩΤΟΣ.

ἀφύας ἢ κέραμον; ἀλλ' ἔντ' ἐκεῖ·
ἀλλ' ὅ τι παρ' ἁμῖν μὴ 'στι, τᾷδε δ' αὖ πολύ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἐγᾦδα τοίνυν· συκοφάντην ἔξαγε
ὥσπερ κέραμον ἐνδησάμενος.

ΒΟΙΩΤΟΣ.

νὴ τὼ σιώ,
λάβοιμι μέντἂν κέρδος ἀγαγὼν καὶ πολὺ,
ᾇπερ πίθακον ἀλιτρίας πολλᾶς πλέων.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

καὶ μὴν ὁδὶ Νίκαρχος ἔρχεται φανῶν.

ΒΟΙΩΤΟΣ.

μικκός γα μᾶκος οὗτος.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἀλλ' ἅπαν κακόν.

ΝΙΚΑΡΧΟΣ.

ταυτὶ τίνος τὰ φορτί' ἐστί;

ΒΟΙΩΤΟΣ.

τῶδ' ἐμὰ
Θείβαθεν, ἴττω Δεύς.

ΝΙΚΑΡΧΟΣ.

ἐγὼ τοίνυν ὁδὶ
φαίνω πολέμια ταυταγί.

ΒΟΙΩΤΟΣ.

τί δαὶ παθὼν
ὀρναπετίοισι πόλεμον ἦρα καὶ μάχαν;

ΝΙΚΑΡΧΟΣ.

καὶ σέ γε φανῶ πρὸς τοῖσδε.

ΒΟΙΩΤΟΣ.

τί ἀδικειμένος;

ΝΙΚΑΡΧΟΣ.

ἐγὼ φράσω σοι τῶν περιεστώτων χάριν.
ἐκ τῶν πολεμίων γ' εἰσάγεις θρυαλλίδα.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἔπειτα φαίνεις δῆτα καὶ θρυαλλίδα;

ΝΙΚΑΡΧΟΣ.

αὕτη γὰρ ἐμπρήσειεν ἂν τὸ νεώριον.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

νεώριον θρυαλλίς;

ΝΙΚΑΡΧΟΣ.

οἶμαι.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τίνι τρόπῳ;

ΝΙΚΑΡΧΟΣ.

ἐνθεὶς ἂν ἐς τίφην ἀνὴρ Βοιώτιος
ἅψας ἂν εἰσπέμψειεν ἐς τὸ νεώριον
δι' ὑδρορρόας, βορέαν ἐπιτηρήσας μέγαν.
κεἴπερ λάβοιτο τῶν νεῶν τὸ πῦρ ἅπαξ,
σελαγοῖντ' ἂν εὐθύς.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὦ κάκιστ' ἀπολούμενε,
σελαγοῖντ' ἂν ὑπὸ τίφης τε καὶ θρυαλλίδος;

ΝΙΚΑΡΧΟΣ.

μαρτύρομαι.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ξυλλάμβαν' αὐτοῦ τὸ στόμα·
δός μοι φορυτὸν, ἵν' αὐτὸν ἐνδήσας φέρω.

ΧΟΡΟΣ.

ἔνδησον, ὦ βέλτιστε, τῷ
ξένῳ καλῶς τὴν ἐμπολὴν
οὕτως ὅπως
ἂν μὴ φέρων κατάξῃ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἐμοὶ μελήσει ταῦτ', ἐπεί
τοι καὶ ψοφεῖ λάλον τι καὶ
πυρορραγὲς
κἄλλως θεοῖσιν ἐχθρόν.

ΧΟΡΟΣ.

τί χρήσεταί ποτ' αὐτῷ;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

πάγχρηστον ἄγγος ἔσται,
κρατὴρ κακῶν, τριπτὴρ δικῶν,
φαίνειν ὑπευθύνους λυχνοῦ-
χος, καὶ κύλιξ
τὰ πράγματ' ἐγκυκᾶσθαι.

ΧΟΡΟΣ.

πῶς δ' ἂν πεποιθοίη τις ἀγ-
γείῳ τοιούτῳ χρώμενος
κατ' οἰκίαν
τοσόνδ' ἀεὶ ψοφοῦντι;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἰσχυρόν ἐστιν, ὠγάθ', ὥστ'
οὐκ ἂν καταγείη ποτ', εἴ-
περ ἐκ ποδῶν
κάτω κάρα κρέμαιτο.

ΧΟΡΟΣ.

ἤδη καλῶς ἔχει σοι.

ΒΟΙΩΤΟΣ.

μέλλω γέ τοι θερίδδεν.

929—939. = 940—951.

---

Post 927. sequebatur
ὥσπερ κέραμον, ἵνα μὴ καταγῇ φορούμενος.

ΧΟΡΟΣ.
ἀλλ, ω ξένων βέλτιστε, καὶ
τοῦτον λαβὼν πρόσβαλλ' ὅπου
βούλει φέρων
πρὸς πάντα συκοφάντην.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
μόλις γ' ἐνέδησα τὸν κακῶς ἀπολούμενον.
αἶρου λαβὼν τὸν κέραμον, ὦ Βοιώτιε.

ΒΟΙΩΤΟΣ.
ὑπόκυπτε τὰν τύλαν ἰών, Ἰσμήνιχε.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
χὤπως κατοίσεις αὐτὸν εὐλαβούμενος.
πάντως μὲν οἴσεις οὐδὲν ὑγιὲς, ἀλλ' ὅμως·
κἂν τοῦτο κερδάνης ἄγων τὸ φορτίον,
εὐδαιμονήσεις συκοφαντῶν γ' οὕνεκα.

ΘΕΡΑΠΩΝ ΛΑΜΑΧΟΥ.
Δικαιόπολι.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
τί ἔστι; τί με βωστρεῖς;

ΘΕΡΑΠΩΝ.
ὅ τι;
ἐκέλευε Λάμαχός σε ταυτησὶ δραχμῆς
εἰς τοὺς Χόας αὐτῷ μεταδοῦναι τῶν κιχλῶν,
τριῶν δραχμῶν δ' ἐκέλευε Κωπᾷδ' ἔγχελυν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὁ ποῖος οὗτος Λάμαχος τὴν ἔγχελυν;

ΘΕΡΑΠΩΝ.
ὁ δεινὸς, ὁ ταλαύρινος, ὃς τὴν Γοργόνα
πάλλει, κραδαίνων τρεῖς κατασκίους λόφους.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
οὐκ ἂν μὰ Δί', εἰ δοίη γέ μοι τὴν ἀσπίδα·
ἀλλ' ἐπὶ ταρίχῃ τοὺς λόφους κραδαινέτω·
ἢν δ' ἀπολιγαίνῃ, τοὺς ἀγορανόμους καλῶ.
ἐγὼ δ' ἐμαυτῷ τόδε λαβὼν τὸ φορτίον
εἴσειμ' ὑπαὶ πτερύγων κιχλῶν καὶ κοψίχων.

ΧΟΡΟΣ.
εἶδες ὦ εἶδες ὦ πᾶσα πόλι τὸν φρόνιμον ἄν-
δρα, τὸν ὑπέρσοφον,
οἷ' ἔχει σπεισάμενος ἐμπορικὰ χρήματα διεμ-
πολᾶν,
ὧν τὰ μὲν ἐν οἰκίᾳ χρήσιμα, τὰ δ' αὖ πρέπει
χλιαρὰ κατεσθίειν.
αὐτόματα πάντ' ἀγαθὰ τῷδέ γε πορίζεται.
οὐδέποτ' ἐγὼ πόλεμον οἴκαδ' ὑποδέξομαι,
οὐδὲ παρ' ἐμοί ποτε τὸν Ἁρμόδιον ᾄσεται
ξυγκατακλινεὶς, ὅτι παροίνιος ἀνὴρ ἔφυ,
ὅστις ἐπὶ πάντ' ἀγάθ' ἔχοντας ἐπικωμάσας,
εἰργάσατο πάντα κακὰ κἀνέτρεπε κἀξέχει,
κἀμάχετο, καὶ προσέτι πολλὰ προκαλουμένου,
πῖνε, κατάκεισο, λαβὲ τήνδε φιλοτησίαν,
τὰς χάρακας ἧπτε πολὺ μᾶλλον ἔτι τῷ πυρὶ,
ἐξέχει θ' ἡμῶν βίᾳ τὸν οἶνον ἐκ τῶν ἀμπέλων.
988 * * * * ταί τ' ἐπὶ τὸ δεῖπνον ἅμα καὶ μεγάλα
δὴ φρονεῖ,
τοῦ βίου δ' ἐξέβαλε δεῖγμα τάδε τὰ πτερὰ πρὸ
τῶν θυρῶν.
ὦ Κύπριδι τῇ καλῇ καὶ Χάρισι ταῖς φίλαις ξύν-
τροφε Διαλλαγή,
ὡς καλὸν ἔχουσα τὸ πρόσωπον ἄρ' ἐλάνθανες.
πῶς ἂν ἐμὲ καὶ σέ τις Ἔρως ξυναγάγοι λαβὼν,
ὥσπερ ὁ γεγραμμένος, ἔχων στέφανον ἀνθέμων;
ἢ πάνυ γερόντιον ἴσως νενόμικάς με σύ;
ἀλλά σε λαβὼν τρία δοκῶ γ' ἂν ἔτι προσβαλεῖν·
πρῶτα μὲν ἂν ἀμπελίδος ὄρχον ἐλάσαι μακρὸν,
εἶτα παρὰ τόνδε νέα μοσχίδια συκίδων,
καὶ τὸ τρίτον ἡμερίδος ὄσχον, ὁ γέρων ὁδὶ,
καὶ περὶ τὸ χωρίον ἐλᾶδας ἅπαν ἐν κύκλῳ,
ὥστ' ἀλείφεσθαι σ' ἀπ' αὐτῶν κἀμὲ ταῖς νου-
μηνίαις.

971 — 987. = 988 — 999.

ΚΗΡΥΞ.
ἀκούετε λεῴ· κατὰ τὰ πάτρια τοὺς χόας
πίνειν ὑπὸ τῆς σάλπιγγος· ὃς δ' ἂν ἐκπίῃ
πρώτιστος, ἀσκὸν Κτησιφῶντος λήψεται.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὦ παῖδες, ὦ γυναῖκες, οὐκ ἠκούσατε;
τί δρᾶτε; τοῦ κήρυκος οὐκ ἀκούετε;
ἀναβράττετ', ἐξοπτᾶτε, τρέπετ', ἀφέλκετε
τὰ λαγῷα, ταχέως τοὺς στεφάνους ἀνείρετε.
φέρε τοὺς ὀβελίσκους, ἵν' ἀναπείρω τὰς κίχλας.

ΧΟΡΟΣ.
ζηλῶ σε τῆς εὐβουλίας,
μᾶλλον δὲ τῆς εὐωχίας,
ἄνθρωπε, τῆς παρούσης.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
τί δῆτ', ἐπειδὰν τὰς κίχλας
ὀπτωμένας ἴδητε;

ΧΟΡΟΣ.
οἶμαί σε καὶ τοῦτ' εὖ λέγειν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
τὸ πῦρ ὑποσκάλευε.

ΧΟΡΟΣ.
ἤκουσας ὡς μαγειρικῶς
κομψῶς τε καὶ δειπνητικῶς
αὐτῷ διακονεῖται;

ΓΕΩΡΓΟΣ.
οἴμοι τάλας.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὦ Ἡράκλεις, τίς οὑτοσί;

ΓΕΩΡΓΟΣ.
ἀνὴρ κακοδαίμων.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
κατὰ σεαυτόν νυν τρέπου.

ΓΕΩΡΓΟΣ.
ὦ φίλτατε, σπονδαὶ γάρ εἰσι σοὶ μόνῳ,
μέτρησον εἰρήνης τί μοι, κἂν πέντ' ἔτη.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
τί δ' ἔπαθες;

ΓΕΩΡΓΟΣ.
ἐπετρίβην ἀπολέσας τὼ βόε.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
πόθεν;

ΓΕΩΡΓΟΣ.
ἀπὸ Φυλῆς ἔλαβον οἱ Βοιώτιοι.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὦ τρισκακοδαίμων, εἶτα λευκὸν ἀμπέχει;

ΓΕΩΡΓΟΣ.
καὶ ταῦτα μέντοι νὴ Δί' ὥπερ μ' ἐτρεφέτην
ἐν πᾶσι βολίτοις.

1008 — 1017. = 1037 — 1046.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
εἶτα νυνὶ τοῦ δέει;
ΓΕΩΡΓΟΣ.
ἀπόλωλα τὠφθαλμὼ δακρύων τὼ βόε.
ἀλλ' εἴ τι κήδει Δερκέτου Φυλασίου,
ὑπάλειψον εἰρήνῃ με τὠφθαλμὼ ταχύ.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἀλλ', ὦ πονήρ', οὐ δημοσιεύων τυγχάνω.
ΓΕΩΡΓΟΣ.
ἴθ' ἀντιβολῶ σ', ἤν πως κομίσωμαι τὼ βόε.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
οὐκ ἔστιν, ἀλλὰ κλᾶε πρὸς τοὺς Πιττάλου.
ΓΕΩΡΓΟΣ.
σὺ δ' ἀλλά μοι σταλαγμὸν εἰρήνης ἕνα
εἰς τὸν καλαμίσκον ἐνστάλαξον τουτονί.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
οὐδ' ἂν στριβιλικίγξ· ἀλλ' ἀπιὼν οἴμωζέ που.
ΓΕΩΡΓΟΣ.
οἴμοι κακοδαίμων τοῖν γεωργοῖν βοιδίοιν.
ΧΟΡΟΣ.
ἀνὴρ ἀνεύρηκέν τι ταῖς
σπονδαῖσιν ἡδὺ, κοὐκ ἔοι-
κεν οὐδενὶ μεταδώσειν.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
κατάχει σὺ τῆς χορδῆς τὸ μέλι·
τὰς σηπίας στάθευε·
ΧΟΡΟΣ.
ἤκουσας ὀρθιασμάτων;
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὀπτᾶτε τἀγχέλεια.
ΧΟΡΟΣ.
ἀποκτενεῖς λιμῷ με καὶ
τοὺς γείτονας κνίσῃ τε καὶ
φωνῇ τοιαῦτα λάσκων.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὀπτᾶτε ταυτὶ καὶ καλῶς ξανθίζετε.
ΠΑΡΑΝΥΜΦΟΣ.
Δικαιόπολι.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
τίς οὑτοσὶ τίς οὑτοσί;
ΠΑΡΑΝΥΜΦΟΣ.
ἔπεμψέ τίς σοι νυμφίος ταυτὶ κρέα
ἐκ τῶν γάμων.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
καλῶς γε ποιῶν, ὅστις ἦν.
ΠΑΡΑΝΥΜΦΟΣ.
ἐκέλευε δ' ἐγχέαι σε, τῶν κρεῶν χάριν,
ἵνα μὴ στρατεύοιτ', ἀλλὰ βινοίη μένων,
ἐς τὸν ἀλάβαστον κύαθον εἰρήνης ἕνα.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἀπόφερ' ἀπόφερε τὰ κρέα καὶ μή μοι δίδου,
ὡς οὐκ ἂν ἐγχέαιμι χιλιῶν δραχμῶν.
ἀλλ' αὑτηὶ τίς ἐστίν;
ΠΑΡΑΝΥΜΦΟΣ.
ἡ νυμφεύτρια
δεῖται παρὰ τῆς νύμφης τι σοὶ λέξαι μόνῳ.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
φέρε δὴ, τί σὺ λέγεις; ὡς γελοῖον, ὦ θεοὶ,
τὸ δέημα τῆς νύμφης, ὃ δεῖταί μου σφόδρα,
ὅπως ἂν οἰκουρῇ το πέος τοῦ νυμφίου.
φέρε δεῦρο τὰς σπονδὰς, ἵν' αὐτῇ δῶ μόνῃ,
ὁτιὴ γυνή 'στι τοῦ πολέμου τ' οὐκ ἀξία.
ὕπεχ' ὧδε δεῦρο τοὐξάλειπτρον, ὦ γύναι.
οἶσθ' ὡς ποιεῖτε τοῦτο; τῇ νύμφῃ φράσον,
ὅταν στρατιώτας καταλέγωσι, τουτῳὶ
νύκτωρ ἀλειφέτω τὸ πέος τοῦ νυμφίου.
ἀπόφερε τὰς σπονδάς. φέρε τὴν οἰνήρυσιν,
ἵν' οἶνον ἐγχέω λαβὼν ἐς τοὺς χόας.
ΧΟΡΟΣ.
καὶ μὴν ὁδί τις τὰς ὀφρῦς ἀνεσπακὼς
ὥσπερ τι δεινὸν ἀγγελῶν ἐπείγεται.
ΚΗΡΥΞ.
ἰὼ πόνοι τε καὶ μάχαι καὶ Λάμαχοι.
ΛΑΜΑΧΟΣ.
τίς ἀμφὶ χαλκοφάλαρα δώματα κτυπεῖ;
ΚΗΡΥΞ.
ἰέναι σ' ἐκέλευον οἱ στρατηγοὶ τήμερον
ταχέως λαβόντα τοὺς λόχους καὶ τοὺς λόφους·
κἄπειτα τηρεῖν νιφόμενον τὰς εἰσβολάς.
ὑπὸ τοὺς Χόας γὰρ καὶ Χύτρους αὐτοῖσί τις
ἤγγειλε λῃστὰς ἐμβαλεῖν Βοιωτίους.
ΛΑΜΑΧΟΣ.
ἰὼ στρατηγοὶ πλείονες ἢ βελτίονες.
οὐ δεινὰ μὴ 'ξεῖναί με μηδ' ἑορτάσαι;
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἰὼ στράτευμα πολεμολαμαχαϊκόν.
ΛΑΜΑΧΟΣ.
οἴμοι κακοδαίμων, καταγελᾷς ἤδη σύ μου.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
βούλει μάχεσθαι Γηρυόνῃ τετραπτίλῳ;
ΛΑΜΑΧΟΣ.
αἰαῖ,
οἵαν ὁ κῆρυξ ἀγγελίαν ἤγγειλέ μοι.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
αἰαῖ, τίνα δ' αὖ μοι προστρέχει τις ἀγγελῶν.
ΚΗΡΥΞ.
Δικαιόπολι.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
τί ἔστιν;
ΚΗΡΥΞ.
ἐπὶ δεῖπνον ταχὺ
βάδιζε, τὴν κίστην λαβὼν καὶ τὸν χόα.
ὁ τοῦ Διονύσου γάρ σ' ἱερεὺς μεταπέμπεται.
ἀλλ' ἐγκόνει· δειπνεῖν κατακωλύεις πάλαι.
τὰ δ' ἄλλα πάντ' ἐστὶν παρεσκευασμένα,
κλῖναι, τράπεζαι, προσκεφάλαια, στρώματα
στέφανοι, μύρον, τραγήμαθ', αἱ πόρναι πάρα,
ἄμυλοι, πλακοῦντες, σησαμοῦντες, ἰτρία,
ὀρχηστρίδες, τὰ φίλταθ' Ἁρμοδίου, καλαί.
ἀλλ' ὡς τάχιστα σπεῦδε.
ΛΑΜΑΧΟΣ.
κακοδαίμων ἐγώ.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
καὶ γὰρ σὺ μεγάλην ἐπεγράφου τὴν Γοργόνα.
σύγκλειε, καὶ δεῖπνόν τις ἐνσκευαζέτω.
ΛΑΜΑΧΟΣ.
παῖ παῖ, φέρ' ἔξω δεῦρο τὸν γύλιον ἐμοί.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
παῖ παῖ, φέρ' ἔξω δεῦρο τὴν κίστην ἐμοί.
ΛΑΜΑΧΟΣ.
ἅλας θυμίτας οἶσε, παῖ, καὶ κρόμμυα.

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἐμοὶ δὲ τεμάχη· κρομμύοις γὰρ ἄχθομαι.
ΛΑΜΑΧΟΣ.
θρῖον ταρίχους οἶσε δεῦρο, παῖ, σαπροῦ.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
κἀμοὶ σὺ δή, παῖ, θρῖον· ὀπτήσω δ' ἐκεῖ.
ΛΑΜΑΧΟΣ.
ἔνεγκε δεῦρο τὼ πτερὼ τὼ 'κ τοῦ κράνους.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἐμοὶ δὲ τὰς φάττας γε φέρε καὶ τὰς κίχλας.
ΛΑΜΑΧΟΣ.
καλόν γε καὶ λευκὸν τὸ τῆς στρουθοῦ πτερόν.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
καλόν γε καὶ ξανθὸν τὸ τῆς φάττης κρέας.
ΛΑΜΑΧΟΣ.
ὤνθρωπε, παῦσαι καταγελῶν μου τῶν ὅπλων.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ὤνθρωπε, βούλει μὴ βλέπειν εἰς τὰς κίχλας;
ΛΑΜΑΧΟΣ.
τὸ λοφεῖον ἐξένεγκε τῶν τριῶν λόφων.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
κἀμοὶ λεκάνιον τῶν λαγῴων δὸς κρεῶν.
ΛΑΜΑΧΟΣ.
ἀλλ' ἦ τριχόβρωτες τοὺς λόφους μου κατέφαγον.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἀλλ' ἦ πρὸ δείπνου τὴν μίμαρκυν κατέδομαι.
ΛΑΜΑΧΟΣ.
ὤνθρωπε, βούλει μὴ προσαγορεύειν ἐμέ;
ΔΙΚΑΙΟΠΟΛΙΣ.
οὐκ, ἀλλ' ἐγὼ χὡ παῖς ἐρίζομεν πάλαι.
βούλει περιδόσθαι, κἀπιτρέψαι Λαμάχῳ,
πότερον ἀκρίδες ἥδιόν ἐστιν, ἢ κίχλαι;
ΛΑΜΑΧΟΣ.
οἴμ' ὡς ὑβρίζεις.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
τὰς ἀκρίδας κρίνει πολύ.
ΛΑΜΑΧΟΣ.
παῖ παῖ, καθελών μοι τὸ δόρυ δεῦρ' ἔξω φέρε.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
παῖ παῖ, σὺ δ' ἀφελὼν δεῦρο τὴν χορδὴν φέρε.
ΛΑΜΑΧΟΣ.
φέρε, τοῦ δόρατος ἀφελκύσωμαι τοὔλυτρον.
ἔχ', ἀντέχου, παῖ.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
καὶ σύ, παῖ, τοῦδ' ἀντέχου.
ΛΑΜΑΧΟΣ.
τοὺς κιλλίβαντας οἶσε, παῖ, τῆς ἀσπίδος.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
καὶ τῆς ἐμῆς τοὺς κριβανίτας ἔκφερε.
ΛΑΜΑΧΟΣ.
φέρε δεῦρο γοργόνωτον ἀσπίδος κύκλον.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
κἀμοὶ πλακοῦντος τυρόνωτον δὸς κύκλον.
ΛΑΜΑΧΟΣ.
ταῦτ' οὐ κατάγελώς ἐστιν ἀνθρώποις πλατύς;
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ταῦτ' οὐ πλακοῦς δῆτ' ἐστὶν ἀνθρώποις γλυκύς;
ΛΑΜΑΧΟΣ.
κατάχει σύ, παῖ, τοὔλαιον. ἐν τῷ χαλκίῳ
ἐνορῶ γέροντα δειλίας φευξούμενον.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
κατάχει σὺ τὸ μέλι. κἀνθάδ' εὔδηλος γέρων
κλάειν κελεύων Λάμαχον τὸν Γοργάσου.
ΛΑΜΑΧΟΣ.
φέρε δεῦρο, παῖ, θώρακα πολεμιστήριον.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἔξαιρε, παῖ, θώρακα κἀμοὶ τὸν χόα.
ΛΑΜΑΧΟΣ.
ἐν τῷδε πρὸς τοὺς πολεμίους θωρήξομαι.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἐν τῷδε πρὸς τοὺς συμπότας θωρήξομαι.
ΛΑΜΑΧΟΣ.
τὰ στρώματ', ὦ παῖ, δῆσον ἐκ τῆς ἀσπίδος.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
τὸ δεῖπνον, ὦ παῖ, δῆσον ἐκ τῆς κιστίδος.
ΛΑΜΑΧΟΣ.
ἐγὼ δ' ἐμαυτῷ τὸν γύλιον οἴσω λαβών.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
ἐγὼ δὲ θοἰμάτιον λαβὼν ἐξέρχομαι.
ΛΑΜΑΧΟΣ.
τὴν ἀσπίδ' αἶρου, καὶ βάδιζ', ὦ παῖ, λαβών.
νίφει. βαβαιάξ· χειμέρια τὰ πράγματα.
ΔΙΚΑΙΟΠΟΛΙΣ.
αἶρου τὸ δεῖπνον· συμποτικὰ τὰ πράγματα.
ΧΟΡΟΣ.
ἴτε δὴ χαίροντες ἐπὶ στρατιάν.
ὡς ἀνομοίαν ἔρχεσθον ὁδόν·
τῷ μὲν πίνειν στεφανωσαμένῳ,
σοὶ δὲ ῥιγῶν καὶ προφυλάττειν,
τῷ δὲ καθεύδειν
μετὰ παιδίσκης ὡραιοτάτης,
ἀνατριβομένῳ τε τὸ δεῖνα.
Ἀντίμαχον τὸν Ψακάδος τὸν ξυγγραφῆ, τὸν μελέων ποιητήν,
ὡς μὲν ἁπλῷ λόγῳ κακῶς ἐξολέσειεν ὁ Ζεύς·
ὅς γ' ἐμὲ τὸν τλήμονα Λήναια χορηγῶν ἀπέκλεισ' ἄδειπνον.
ὅν ἔτ' ἐπίδοιμι τευθίδος
δεόμενον, ἡ δ' ὠπτημένη
σίζουσα πάραλος, ἐπὶ τραπέζης κειμένη,
ὀκέλλοι· κᾆτα μέλ-
λοντος λαβεῖν αὐτοῦ κύων
ἁρπάσασα φεύγοι.
τοῦτο μὲν αὐτῷ κακὸν ἕν· κᾆθ' ἕτερον νυκτερινὸν γένοιτο.
ἠπιαλῶν γὰρ οἴκαδ' ἐξ ἱππασίας βαδίζων,
εἶτα κατάξειέ τις αὐτοῦ μεθύων τῆς κεφαλῆς Ὀρέστης
μαινόμενος· ὁ δὲ λίθον λαβεῖν
βουλόμενος ἐν σκότῳ λάβοι
τῇ χειρὶ πέλεθον ἀρτίως κεχεσμένον·
ἐπᾴξειεν δ' ἔχων
τὸν μάρμαρον, κᾆπειθ' ἁμαρ-
τὼν βάλοι Κρατῖνον.
ΘΕΡΑΠΩΝ.
ὦ δμῶες οἳ κατ' οἶκόν ἐστε Λαμάχου,
ὕδωρ ὕδωρ ἐν χυτριδίῳ θερμαίνετε·
ὀθόνια, κηρωτὴν παρασκευάζετε,
ἔρι' οἰσυπηρά, λαμπάδιον περὶ τὸ σφυρόν.
1150—1161. = 1162—1173.

ἀνὴρ τέτρωται χάρακι διαπηδῶν τάφρον,
καὶ τὸ σφυρὸν παλίνορρον ἐξεκόκκισε,
καὶ τῆς κεφαλῆς κατέαγε περὶ λίθον πεσὼν,
καὶ Γοργόν' ἐξήγειρεν ἐκ τῆς ἀσπίδος.
πτίλον δὲ τὸ μέγα κομπολακύθου πεσὸν
πρὸς ταῖς πέτραισι δεινὸν ἐξηύδα μέλος·
ὦ κλεινὸν ὄμμα, νῦν πανύστατόν σ' ἰδὼν
λείπω φάος γε τοὐμὸν, οὐκέτ' εἴμ' ἐγώ.
τοσαῦτα λέξας εἰς ὑδρορρόαν πεσὼν
ἀνίσταταί τε καὶ ξυναντᾷ δραπέταις
λῃστὰς ἐλαύνων καὶ κατασπέρχων δορί.
ὁδὶ δὲ καὐτός· ἀλλ' ἄνοιγε τὴν θύραν.

ΛΑΜΑΧΟΣ.

ἀτταταῖ ἀτταταῖ,
στυγερὰ τάδε κρυερὰ πάθεα.
τάλας ἐγὼ διόλλυμαι
δορὸς ὑπὸ πολεμίου τυπείς.
ἐκεῖνο δ' αἰακτὸν ἂν γένοιτό μοι,
Δικαιόπολις ἄν μ' ἴδοι τετρωμένον,
κᾆτ' ἐγχανεῖται ταῖς ἐμαῖς τύχαισιν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἀτταταῖ ἀτταταῖ
τῶν τιτθίων, ὡς σκληρὰ καὶ κυδώνια.
φιλήσατόν με μαλθακῶς, ὦ χρυσίω,
τὸ περιπεταστὸν κἀπιμανδαλωτόν.
τὸν γὰρ χόα πρῶτος ἐκπέπωκα.

ΛΑΜΑΧΟΣ.

ὦ συμφορὰ τάλαινα τῶν ἐμῶν κακῶν.
ἰὼ ἰὼ τραυμάτων ἐπωδύνων.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἰὴ ἰὴ χαῖρε Λαμαχίππιον.

ΛΑΜΑΧΟΣ.

στυγερὸς ἐγώ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

μογερὸς ἐγώ.

ΛΑΜΑΧΟΣ.

τί με σὺ κυνεῖς;

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τί με σὺ δάκνεις;

ΛΑΜΑΧΟΣ.

τάλας ἐγὼ ξυμβολῆς βαρείας.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τοῖς Χουσὶ γάρ τις ξυμβολὰς ἐπράττετο;

ΛΑΜΑΧΟΣ.

ἰὼ ἰὼ Παιὰν Παιάν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἀλλ' οὐχὶ νυνὶ τήμερον Παιώνια.

ΛΑΜΑΧΟΣ.

λάβεσθέ μου, λάβεσθε τοῦ σκέλους· παπαῖ,
προσλάβεσθ', ὦ φίλοι.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἐμοῦ δέ γε σφὼ τοῦ πέους ἄμφω μέσου
προσλάβεσθ', ὦ φίλαι.

ΛΑΜΑΧΟΣ.

ἰλιγγιῶ κάρα λίθῳ πεπληγμένος,
καὶ σκοτοδινιῶ.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

κἀγὼ καθεύδειν βούλομαι καὶ στύομαι
καὶ σκοτοβινιῶ.

ΛΑΜΑΧΟΣ.

θύραζέ μ' ἐξενέγκατ' ἐς τοῦ Πιττάλου
παιωνίαισι χερσίν.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὡς τοὺς κριτάς μ' ἐκφέρετε· ποῦ 'στιν ὁ
σιλεύς;
ἀπόδοτέ μοι τον ἀσκόν.

ΛΑΜΑΧΟΣ.

λόγχη τις ἐμπέπηγέ μοι δι' ὀστέων ὀδυρτά

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ὁρᾶτε τουτονὶ κενόν. τήνελλα καλλίνικος.

ΧΟΡΟΣ.

τήνελλα δῆτ', εἴπερ καλεῖς, ὦ πρέσβυ, καλλίν

ΔΙΚΑΙΟΠΟΛΙΣ.

καὶ πρός γ' ἄκρατον ἐγχέας ἄμυστιν ἐξέλαι

ΧΟΡΟΣ.

τήνελλά νυν, ὦ γεννάδα· χώρει λαβὼν τὸν ἀσ

ΔΙΚΑΙΟΠΟΛΙΣ.

ἕπεσθέ νυν ᾄδοντες ὦ τήνελλα καλλίνικος.

ΧΟΡΟΣ.

ἀλλ' ἑψόμεσθα σὴν χάριν
τήνελλα καλλίνικον ᾄ-
δοντὲς σὲ καὶ τὸν ἀσκόν.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΙΠΠΗΣ.

---

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΔΗΜΟΣΘΕΝΗΣ.*
*ΝΙΚΙΑΣ.*
*ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὗ ὄνομα*
*ΑΓΟΡΑΚΡΙΤΟΣ.*
*ΚΛΕΩΝ.*
*ΧΟΡΟΣ ΙΠΠΕΩΝ.*
*ΔΗΜΟΣ.*

---

## ΥΠΟΘΕΣΙΣ.

*Τὸ δρᾶμα τῶν Ἱππέων ποιεῖται εἰς Κλέωνα, τὸν τῶν Ἀθηναίων δημαγωγόν. ὑπόκειται δὲ ὡς Παφλα- ὼν νεώνητος, δουλεύων τῷ Δήμῳ, καὶ προαγόμενος παρ' αὐτῷ περιττότερον. ἐπιτιθεμένων δὲ αὐτῷ υοῖν τοῖν ὁμοδούλοιν, καὶ κατά τινα λόγια πονηρίᾳ διάσημον ἀλλαντοπώλην Ἀγοράκριτον ἐπαγόντοιν, ς ἐπιτροπεύσῃ τοῦ δήμου τῶν Ἀθηναίων, αὐτοὶ οἱ Ἀθηναίων Ἱππεῖς συλλαβόντες ἐν χοροῦ σχήματι πα- ϕαίνονται· ὑφ' ὧν προπηλακιζόμενος ὁ Κλέων ἀγανακτεῖ, καὶ διενεχθεὶς ἱκανῶς περὶ τοῦ ἀνώτερος ναι τῶν ἐναντιουμένων, σφᾶς ὡς συνομωμοκότας κατὰ τῆς πόλεως πρὸς τὴν βουλὴν ἵεται· διώξαντος ὲ καὶ τοῦ ἀλλαντοπώλου κατὰ πόδας, οἱ Ἱππεῖς περί τε τοῦ ποιητοῦ τινα καὶ τῶν προγόνων, ἔτι δὲ αὶ τῶν συγκινδυνευόντων σφίσιν ἐπὶ ταῖς μάχαις ἵππων, πρὸς τοὺς πολίτας ἁδροτέρως διαλέγονται. ὁ ὲ ἀλλαντοπώλης περιγεγενημένος ἐν βουλῇ μάλα γελοίως τοῦ Κλέωνος, καὶ λοιδορούμενος αὖθις αὐτῷ ροσέρχεται· ἐκκαλεσαμένου δὲ τοῦ Κλέωνος τὸν Δῆμον, προσελθὼν οὗτος διαφερομένων ἀκροᾶται. γων δὲ πολλῶν γενομένων κατὰ τοῦ Κλέωνος, τοῦ Ἀγορακρίτου μάλ' ἐντέχνως τοῖς ἐπινοήμασι καὶ ταῖς θωπείαις, καὶ προσέτι ταῖς ἐκ τῶν λογίων ὑπερβολαῖς κρατοῦντος, κατὰ μικρὸν τοῖς λόγοις ὁ ῆμος συνεφέλκεται. δείσαντος δὲ τοῦ Κλέωνος, κἀπὶ τὸ ψωμίζειν τὸν Δῆμον ὁρμήσαντος, ἀντιψω- ζειν ἅτερος ἐγχειρεῖ. καὶ τέλος τοῦ Δήμου τὴν ἑκατέρου κίστην συνέντος, εἶτα τῆς μὲν κενῆς, τῆς δὲ οῦ Κλέωνος μεστῆς εὑρεθείσης, ἐλεγχθεὶς αὐτὸς ὡς περιφανῶς τὰ τοῦ Δήμου κλέπτων, εἴκει θατέρῳ τῆς πιτροπείας. μετὰ ταῦτα δὲ τοῦ ἀλλαντοπώλου τὸν Δῆμον ἀφεψήσαντος, εἶτα νεώτερον ἐξαυτῆς ἐς τοὔμ- ινὲς γεγονότα προάγοντος, Κλέων περικείμενος τὴν Ἀγορακρίτου σκευὴν ἐπὶ παραδειγματισμῷ διὰ μέσης όλεως ἀλλαντοπωλῶν ἀνὰ μέρος, καὶ τῇ τέχνῃ χρησάμενος πέμπεται, καὶ ἡ ἐπιτροπὴ τῷ ἀλλαντοπώλῃ ραδίδοται. τὸ δὲ δρᾶμα τῶν ἄγαν καλῶς πεποιημένων.*

---

## ΑΛΛΩΣ.

*Ὁ σκοπὸς αὐτῷ πρὸς τὸ καθελεῖν Κλέωνα. οὗτος γὰρ βυρσοπώλης ὢν ἐκράτει τῶν Ἀθηναίων ἐκ προ- άσεως τοιαύτης. Ἀθηναῖοι πόλιν Πύλον, λεγομένην Σφακτηρίαν, ἐπολιόρκουν διὰ Δημοσθένους στρατη- ῦ καὶ Νικίου· ὧν στρατηγῶν χρονισάντων ἐδυσχέραινον οἱ Ἀθηναῖοι. καὶ εἰς ἐκκλησίαν συνελθόντων τῶν καὶ ἀδημονούντων, Κλέων τις βυρσοπώλης ἀναστὰς ὑπέσχετο δεσμίους φέρειν τοὺς ὑπεναντίους*

εἴσω εἴκοσιν ἡμερῶν, εἰ στρατηγὸς αἱρεθείη· ὅπερ καὶ γέγονε. κατὰ τὰς ὑποσχέσεις οὖν ἐστρατήγει, κυκῶν τὴν πόλιν. ἐφ' οἷς μὴ ἐνεγκὼν Ἀριστοφάνης καθίησι τὸ τῶν Ἱππέων δρᾶμα δι' αὐτοῦ, ἐπεὶ τῶν σκευοποιῶν οὐδεὶς ἐπλάσατο τὸ τοῦ Κλέωνος πρόσωπον διὰ φόβον. καὶ τὰ μὲν πρῶτα κύπτει φοβούμενος· εἶτα προφανεὶς αὐτὸς ἀνεδίδαξε τὸ δρᾶμα.

Ἔοικεν ὁ προλογίζων εἶναι Δημοσθένης, ὃς ἐκεκμήκει περὶ τὴν Πύλου πολιορκίαν, ἀφῃρέθη δὲ τὴν στρατηγίαν ὑπὸ Κλέωνος, ὑποσχομένου τότε τοῖς Ἀθηναίοις παραστήσασθαι τὴν Πύλον εἴσω εἴκοσι ἡμερῶν· ὃ καὶ κατώρθωσε διὰ τὸ πλεῖστα τῆς ἁλώσεως προπεπονῆσθαι Δημοσθένει. ἔοικε δὲ ὡς ἐπὶ οἰκίας δεσποτικῆς ποιεῖσθαι τὸν λόγον. εἴη δ' ἂν δεσπότης ὁ Δῆμος, οἰκία ἡ πόλις. οἰκέται δὲ δύο τοῦ Δήμου προλογίζουσι, κακῶς πάσχοντες ὑπὸ Κλέωνος. ὁ δὲ χορὸς ἐκ τῶν ἱππέων ἐστὶν, οἳ καὶ ἐζημίωσαν τὸν Κλέωνα πέντε ταλάντοις ἐπὶ δωροδοκίᾳ ἁλόντα. λέγουσι δὲ τῶν οἰκετῶν τὸν μὲν εἶναι Δημοσθένην τὸν δὲ Νικίαν, ἵνα ὦσι δημηγόροι οἱ δύο.

Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ Στρατοκλέους ἄρχοντος δημοσίᾳ εἰς Λήναια, δι' αὐτοῦ τοῦ Ἀριστοφάνους· πρῶτος ἐνίκα· δεύτερος Κρατῖνος Σατύροις· τρίτος Ἀριστομένης Ὑλοφόροις.

Ἰστέον ὅτι εἰς τέτταρα μέρη διῄρητο ὁ δῆμος τῶν Ἀθηναίων, εἰς πενταχοσιομεδίμνους, εἰς ἱππέας εἰς ζευγίτας καὶ εἰς θῆτας.

## ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Παράγει τινὰ Κλέωνα, τὸν καλούμενον
Παφλαγόνα, κἄτι βυρσοπώλην, πικρότατα
κατεσθίοντά πως τὰ κοινὰ χρήματα·
κἂν παραλογισμοῖς διαφέροντ' ἐρρωμένως
ἀλλαντοπώλην, εὐθέως τε σκατοφάγον,
πεισθέντα τ' ἐπιθέσθαι σὺν ἱππεῦσίν τισι,
τοῖς ἐν χορῷ παροῦσι, τῇ τῶν πραγμάτων
ἀρχῇ· Κλέωνός τ' ἐν μέσῳ κατηγορεῖ.
ἐγένετο τοῦτ'· ἐξέπεσεν ὁ Κλέων παγκάκως·
ὁ δὲ σκατοφάγος ἔτυχε προεδρίας καλῆς.

# Ι Π Π Η Σ.

ΔΗΜΟΣΘΕΝΗΣ.

Ἰατταταιὰξ τῶν κακῶν, ἰατταταῖ.
κακῶς Παφλαγόνα τὸν νεώνητον κακὸν
αὐταῖσι βουλαῖς ἀπολέσειαν οἱ θεοί.
ἐξ οὗ γὰρ εἰσήρρησεν εἰς τὴν οἰκίαν,
πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις.

ΝΙΚΙΑΣ.

κάκιστα δῆθ' οὗτός γε πρῶτος Παφλαγόνων
αὐταῖς διαβολαῖς.

ΔΗΜΟΣΘΕΝΗΣ.

ὦ κακόδαιμον, πῶς ἔχεις;

ΝΙΚΙΑΣ.

κακῶς καθάπερ σύ.

ΔΗΜΟΣΘΕΝΗΣ.

δεῦρό νυν πρόσελθ', ἵνα
ξυναυλίαν κλαύσωμεν Οὐλύμπου νόμον.

ΔΗΜΟΣΘΕΝΗΣ καὶ ΝΙΚΙΑΣ.

μῦ μῦ μῦ μῦ μῦ μῦ μῦ μῖ μῦ μῦ μῦ.

ΔΗΜΟΣΘΕΝΗΣ.

τί κινυρόμεθ' ἄλλως; οὐκ ἐχρῆν ζητεῖν τινα
σωτηρίαν νῷν, ἀλλὰ μὴ κλάειν ἔτι;

ΝΙΚΙΑΣ.

τίς οὖν γένοιτ' ἄν; λέγε σύ.

ΔΗΜΟΣΘΕΝΗΣ.

σὺ μὲν οὖν μοι λέγε,
ἵνα μὴ μάχωμαι.

ΝΙΚΙΑΣ.

μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ·
ἀλλ' εἰπὲ θαρρῶν, εἶτα κἀγώ σοι φράσω.

ΔΗΜΟΣΘΕΝΗΣ.

πῶς ἂν σύ μοι λέξειας ἁμὲ χρὴ λέγειν;

ΝΙΚΙΑΣ.

ἀλλ' οὐκ ἔνι μοι τὸ θρέττε. πῶς ἂν οὖν ποτε
εἴποιμ' ἂν αὐτὸ δῆτα κομψευριπικῶς;

ΔΗΜΟΣΘΕΝΗΣ.

μή μοί γε, μή μοι, μὴ διασκανδικίσῃς·
ἀλλ' εὑρέ τιν' ἀπόκινον ἀπὸ τοῦ δεσπότου.

ΝΙΚΙΑΣ.

λέγε δὴ μόλωμεν ξυνεχὲς ὡδὶ ξυλλαβών.

ΔΗΜΟΣΘΕΝΗΣ.

καὶ δὴ λέγω· μόλωμεν.

ΝΙΚΙΑΣ.

ἐξόπισθε νῦν
αὐτὸ φάθι τοῦ μόλωμεν.

ΔΗΜΟΣΘΕΝΗΣ.

αὐτό.

ΝΙΚΙΑΣ.

πάνυ καλῶς.
ὥσπερ δεφόμενος νῦν ἀτρέμα πρῶτον λέγε
τὸ μόλωμεν, εἶτα δ' αὐτὸ, κατεπάγων πυκνόν.

ΔΗΜΟΣΘΕΝΗΣ.

μόλωμεν αὐτὸ μόλωμεν αὐτομολῶμεν.

ΝΙΚΙΑΣ.

ἦν,
οὐχ ἡδύ;

ΔΗΜΟΣΘΕΝΗΣ.

νὴ Δία· πλήν γε περὶ τῷ δέρματι
δέδοικα τουτονὶ τὸν οἰωνόν.

ΝΙΚΙΑΣ.

τί δαί;

ΔΗΜΟΣΘΕΝΗΣ.

ὁτιὴ τὸ δέρμα δεφομένων ἀπέρχεται.

ΝΙΚΙΑΣ.

κράτιστα τοίνυν τῶν παρόντων ἐστὶ νῷν,
θεῶν ἰόντε προσπεσεῖν που πρὸς βρέτας.

ΔΗΜΟΣΘΕΝΗΣ.

ποῖον βρέτας * *; ἐτεὸν ἡγεῖ γὰρ θεούς;

ΝΙΚΙΑΣ.

ἔγωγε.

ΔΗΜΟΣΘΕΝΗΣ.

ποίῳ χρώμενος τεκμηρίῳ;

ΝΙΚΙΑΣ.

ὁτιὴ θεοῖσιν ἐχθρός εἰμ'. οὐκ εἰκότως;

ΔΗΜΟΣΘΕΝΗΣ.

εὖ προσβιβάζεις μ'.

ΝΙΚΙΑΣ.

ἀλλ' ἑτέρᾳ πη σκεπτέον.

ΔΗΜΟΣΘΕΝΗΣ.

βούλει τὸ πρᾶγμα τοῖς θεαταῖσιν φράσω;

ΝΙΚΙΑΣ.

οὐ χεῖρον· ἓν δ' αὐτοὺς παραιτησώμεθα,
ἐπίδηλον ἡμῖν τοῖς προσώποισιν ποιεῖν,
ἢν τοῖς ἔπεσι χαίρωσι καὶ τοῖς πράγμασι.

ΔΗΜΟΣΘΕΝΗΣ.

λέγοιμ' ἂν ἤδη. νῷν γάρ ἐστι δεσπότης
ἄγροικος ὀργὴν, κυαμοτρὼξ, ἀκράχολος,
Δῆμος πυκνίτης, δύσκολον γερόντιον
ὑπόκωφον. οὗτος τῇ προτέρᾳ νουμηνίᾳ
ἐπρίατο δοῦλον, βυρσοδέψην Παφλαγόνα,
πανουργότατον καὶ διαβολώτατόν τινα.
οὗτος καταγνοὺς τοῦ γέροντος τοὺς τρόπους,
ὁ βυρσοπαφλαγὼν, ὑποπεσὼν τὸν δεσπότην
ᾔκαλλ', ἐθώπευ', ἐκολάκευ', ἐξηπάτα
κοσκυλματίοις ἄκροισι, τοιαυτὶ λέγων·
ὦ Δῆμε, λοῦσαι πρῶτον ἐκδικάσας μίαν,
ἔνθου, ῥόφησον, ἔντραγ', ἔχε τριώβολον.
βούλει παραθῶ σοι δόρπον; εἶτ' ἀναρπάσας
ὅ τι ἄν τις ἡμῶν σκευάσῃ, τῷ δεσπότῃ
Παφλαγὼν κεχάρισται τοῦτο. καὶ πρώην γ' ἐμοῦ
μᾶζαν μεμαχότος ἐν Πύλῳ Λακωνικὴν,
πανουργότατά πως περιδραμὼν ὑφαρπάσας
αὐτὸς παρέθηκε τὴν ὑπ' ἐμοῦ μεμαγμένην.

ἡμᾶς δ' ἀπελαύνει, κοὐκ ἐᾷ τὸν δεσπότην
ἄλλον θεραπεύειν, ἀλλὰ βυρσίνην ἔχων
δειπνοῦντος ἑστὼς ἀποσοβεῖ τοὺς ῥήτορας.
ᾄδει δὲ χρησμούς· ὁ δὲ γέρων σιβυλλιᾷ.
ὁ δ' αὐτὸν ὡς ὁρᾷ μεμακκοηκότα,
τέχνην πεποίηται. τοὺς γὰρ ἔνδον ἄντικρυς
ψευδῆ διαβάλλει· κᾆτα μαστιγούμεθα
ἡμεῖς· Παφλαγὼν δὲ περιθέων τοὺς οἰκέτας
αἰτεῖ, ταράττει, δωροδοκεῖ, λέγων τάδε·
ὁρᾶτε τὸν Ὕλαν δι' ἐμὲ μαστιγούμενον;
εἰ μή μ' ἀναπείσετ', ἀποθανεῖσθε τήμερον.
ἡμεῖς δὲ δίδομεν· εἰ δὲ μὴ, πατούμενοι
ὑπὸ τοῦ γέροντος ὀκταπλάσια χέζομεν.
νῦν οὖν ἀνύσαντε φροντίσωμεν, ὦγαθὲ,
ποίαν ὁδὸν νῷν τρεπτέον καὶ πρὸς τίνα.

ΝΙΚΙΑΣ.
κράτιστ' ἐκείνην τὴν μόλωμεν, ὦγαθέ.

ΔΗΜΟΣΘΕΝΗΣ.
ἀλλ' οὐχ οἷόν τε τὸν Παφλαγόν' οὐδὲν λαθεῖν·
ἐφορᾷ γὰρ αὐτὸς πάντ'. ἔχει γὰρ τὸ σκέλος
τὸ μὲν ἐν Πύλῳ, τὸ δ' ἕτερον ἐν τἠκκλησίᾳ.
τοσόνδε δ' αὐτοῦ βῆμα διαβεβηκότος
ὁ πρωκτός ἐστιν αὐτόχρημ' ἐν Χαόσι,
τὼ χεῖρ' ἐν Αἰτωλοῖς, ὁ νοῦς δ' ἐν Κλωπιδῶν.

ΝΙΚΙΑΣ.
κράτιστον οὖν νῷν ἀποθανεῖν. ἀλλὰ σκόπει,
ὅπως ἂν ἀποθάνοιμεν ἀνδρικώτατα.

ΔΗΜΟΣΘΕΝΗΣ.
πῶς δῆτα πῶς γένοιτ' ἂν ἀνδρικώτατα;

ΝΙΚΙΑΣ.
βέλτιστον ἡμῖν αἷμα ταύρειον πιεῖν.
ὁ Θεμιστοκλέους γὰρ θάνατος αἱρετώτερος.

ΔΗΜΟΣΘΕΝΗΣ.
μὰ Δί' ἀλλ' ἄκρατον οἶνον ἀγαθοῦ δαίμονος.
ἴσως γὰρ ἂν χρηστόν τι βουλευσαίμεθα.

ΝΙΚΙΑΣ.
ἰδού γ' ἄκρατον. περὶ ποτοῦ γοῦν ἐστί σοι;
πῶς δ' ἂν μεθύων χρηστόν τι βουλεύσαιτ' ἀνήρ;

ΔΗΜΟΣΘΕΝΗΣ.
ἄληθες, οὗτος; κρουνοχυτρολήραιος εἶ.
οἶνον σὺ τολμᾷς εἰς ἐπίνοιαν λοιδορεῖν;
οἴνου γὰρ εὕροις ἄν τι πρακτικώτερον;
ὁρᾷς; ὅταν πίνωσιν ἄνθρωποι, τότε
πλουτοῦσι, διαπράττουσι, νικῶσιν δίκας,
εὐδαιμονοῦσιν, ὠφελοῦσι τοὺς φίλους.
ἀλλ' ἐξένεγκέ μοι ταχέως οἴνου χόα,
τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν.

ΝΙΚΙΑΣ.
οἴμοι, τί ποθ' ἡμᾶς ἐργάσει τῷ σῷ ποτῷ;

ΔΗΜΟΣΘΕΝΗΣ.
ἀγάθ'· ἀλλ' ἔνεγκ'· ἐγὼ δὲ κατακλινήσομαι.
ἢν γὰρ μεθυσθῶ, πάντα ταυτὶ καταπάσω
βουλευματίων καὶ γνωμιδίων καὶ νοιδίων.

ΝΙΚΙΑΣ.
ὡς εὐτυχῶς ὅτι οὐκ ἐλήφθην ἔνδοθεν
κλέπτων τὸν οἶνον.

ΔΗΜΟΣΘΕΝΗΣ.
εἰπέ μοι, Παφλαγὼν τί δρᾷ;

ΝΙΚΙΑΣ.
ἐπίπαστα λείξας δημιόπραθ' ὁ βάσκανος
ῥέγκει μεθύων ἐν ταῖσι βύρσαις ὕπτιος.

ΔΗΜΟΣΘΕΝΗΣ.
ἴθι νυν, ἄκρατον ἐγκάναξόν μοι πολὺν
σπονδήν.

ΝΙΚΙΑΣ.
λαβὲ δὴ καὶ σπεῖσον ἀγαθοῦ δαίμονος·
ἕλχ' ἕλκε τὴν τοῦ δαίμονος τοῦ Πραμνίου.

ΔΗΜΟΣΘΕΝΗΣ.
ὦ δαῖμον ἀγαθὲ, σὸν τὸ βούλευμ', οὐκ ἐμόν.

ΝΙΚΙΑΣ.
εἴπ', ἀντιβολῶ, τί ἔστι;

ΔΗΜΟΣΘΕΝΗΣ.
τοὺς χρησμοὺς ταχὺ
κλέψας ἔνεγκε τοῦ Παφλαγόνος ἔνδοθεν,
ἕως καθεύδει.

ΝΙΚΙΑΣ.
ταῦτ'. ἀτὰρ τοῦ δαίμονος
δέδοιχ' ὅπως μὴ τεύξομαι κακοδαίμονος.

ΔΗΜΟΣΘΕΝΗΣ.
φέρε νυν ἐγὼ 'μαυτῷ προσαγάγω τὸν χόα,
τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν.

ΝΙΚΙΑΣ.
ὡς μεγάλ' ὁ Παφλαγὼν πέρδεται καὶ ῥέγκει
ὥστ' ἔλαθον αὐτὸν τὸν ἱερὸν χρησμὸν λαβὼν,
ὅνπερ μάλιστ' ἐφύλαττεν.

ΔΗΜΟΣΘΕΝΗΣ.
ὦ σοφώτατε,
φέρ' αὐτὸν, ἵν' ἀναγνῶ· σὺ δ' ἔγχεον πιεῖν
ἀνύσας τι. φέρ' ἴδω τί ἄρ' ἔνεστιν αὐτόθι.
ὢ λόγια. δός μοι δὸς τὸ ποτήριον ταχύ.

ΝΙΚΙΑΣ.
ἰδού· τί φησ' ὁ χρησμός;

ΔΗΜΟΣΘΕΝΗΣ.
ἑτέραν ἔγχεον.

ΝΙΚΙΑΣ.
ἐν τοῖς λογίοις ἔνεστιν ἑτέραν ἔγχεον;

ΔΗΜΟΣΘΕΝΗΣ.
ὦ Βάκι.

ΝΙΚΙΑΣ.
τί ἔστι;

ΔΗΜΟΣΘΕΝΗΣ.
δὸς τὸ ποτήριον ταχύ.

ΝΙΚΙΑΣ.
πολλῷ γ' ὁ Βάκις ἐχρῆτο τῷ ποτηρίῳ.

ΔΗΜΟΣΘΕΝΗΣ.
ὦ μιαρὲ Παφλαγὼν, ταῦτ' ἄρ' ἐφυλάττου πά
τὸν περὶ σεαυτοῦ χρησμὸν ὀρρωδῶν;

ΝΙΚΙΑΣ.
τιή;

ΔΗΜΟΣΘΕΝΗΣ.
ἐνταῦθ' ἔνεστιν, αὐτὸς ὡς ἀπόλλυται.

ΝΙΚΙΑΣ.
καὶ πῶς;

ΔΗΜΟΣΘΕΝΗΣ.
ὅπως; ὁ χρησμὸς ἄντικρυς λέγει
ὡς πρῶτα μὲν στυππειοπώλης γίγνεται,
ὃς πρῶτος ἕξει τῆς πόλεως τὰ πράγματα.

ΝΙΚΙΑΣ.
εἷς οὑτοσὶ πώλης. τί τοὐντεῦθεν; λέγε.
ΔΗΜΟΣΘΕΝΗΣ.
μετὰ τοῦτον αὖθις προβατοπώλης δεύτερος.
ΝΙΚΙΑΣ.
δύο τώδε πώλα. καὶ τί τόνδε χρὴ παθεῖν;
ΔΗΜΟΣΘΕΝΗΣ.
κρατεῖν, ἕως ἕτερος ἀνὴρ βδελυρώτερος
αὐτοῦ γένοιτο· μετὰ δὲ ταῦτ' ἀπόλλυται.
ἐπιγίγνεται γὰρ βυρσοπώλης ὁ Παφλαγών,
ἅρπαξ, κεκράκτης, Κυκλοβόρου φωνὴν ἔχων.
ΝΙΚΙΑΣ.
τὸν προβατοπώλην ἦν ἄρ' ἀπολέσθαι χρεὼν
ὑπὸ βυρσοπώλου;
ΔΗΜΟΣΘΕΝΗΣ.
νὴ Δί'.
ΝΙΚΙΑΣ.
οἴμοι δείλαιος.
πόθεν οὖν ἂν ἔτι γένοιτο πώλης εἷς μόνος;
ΔΗΜΟΣΘΕΝΗΣ.
ἔτ' ἐστὶν εἷς, ὑπερφυᾶ τέχνην ἔχων.
ΝΙΚΙΑΣ.
εἴπ', ἀντιβολῶ, τίς ἐστιν;
ΔΗΜΟΣΘΕΝΗΣ.
εἴπω;
ΝΙΚΙΑΣ.
νὴ Δία.
ΔΗΜΟΣΔΕΝΗΣ.
ἀλλαντοπώλης ἔσθ' ὁ τοῦτον ἐξελῶν.
ΝΙΚΙΑΣ.
ἀλλαντοπώλης; ὦ Πόσειδον τῆς τέχνης.
φέρε ποῦ τὸν ἄνδρα τοῦτον ἐξευρήσομεν;
ΔΗΜΟΣΘΕΝΗΣ.
ζητῶμεν αὐτόν.
ΝΙΚΙΑΣ.
ἀλλ' ὁδὶ προσέρχεται
ὥσπερ κατὰ θεῖον εἰς ἀγοράν.
ΔΗΜΟΣΘΕΝΗΣ.
ὦ μακάριε
ἀλλαντοπῶλα, δεῦρο δεῦρ', ὦ φίλτατε,
ἀνάβαινε σωτὴρ τῇ πόλει καὶ νῷν φανείς.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
τί ἔστι; τί με καλεῖτε;
ΔΗΜΟΣΘΕΝΗΣ.
δεῦρ' ἔλθ', ἵνα πύθῃ
ὡς εὐτυχὴς εἶ καὶ μεγάλως εὐδαιμονεῖς.
ΝΙΚΙΑΣ.
ἴθι δή, κάθελ' αὐτοῦ τοὐλεόν, καὶ τοῦ θεοῦ
τὸν χρησμὸν ἀναδίδαξον αὐτὸν ὡς ἔχει·
ἐγὼ δ' ἰὼν προσκέψομαι τὸν Παφλαγόνα.
ΔΗΜΟΣΘΕΝΗΣ.
ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί·
ἔπειτα τὴν γῆν πρόσκυσον καὶ τοὺς θεούς.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ἰδού· τί ἐστιν;
ΔΗΜΟΣΘΕΝΗΣ.
ὦ μακάρι', ὦ πλούσιε,
ὦ νῦν μὲν οὐδείς, αὔριον δ' ὑπέρμεγας·
ὦ τῶν Ἀθηνῶν ταγὲ τῶν εὐδαιμόνων.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
τί μ', ὠγαθ', οὐ πλύνειν ἐᾷς τὰς κοιλίας
πωλεῖν τε τοὺς ἀλλᾶντας, ἀλλὰ καταγελᾷς;
ΔΗΜΟΣΘΕΝΗΣ.
ὦ μῶρε, ποίας κοιλίας; δευρὶ βλέπε.
τὰς στίχας ὁρᾷς τὰς τῶνδε τῶν λαῶν;
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ὁρῶ.
ΔΗΜΟΣΘΕΝΗΣ.
τούτων ἁπάντων αὐτὸς ἀρχέλας ἔσει,
καὶ τῆς ἀγορᾶς καὶ τῶν λιμένων καὶ τῆς πυκνός·
βουλὴν πατήσεις καὶ στρατηγοὺς κλαστάσεις,
δήσεις, φυλάξεις, ἐν πρυτανείῳ λαικάσεις.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ἐγώ;
ΔΗΜΟΣΘΕΝΗΣ.
σὺ μέντοι· κοὐδέπω γε πάνθ' ὁρᾷς.
ἀλλ' ἐπανάβηθι κἀπὶ τοὐλεὸν τοδὶ
καὶ κάτιδε τὰς νήσους ἁπάσας ἐν κύκλῳ.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
καθορῶ.
ΔΗΜΟΣΘΕΝΗΣ.
τί δαί; τἀμπόρια καὶ τὰς ὁλκάδας;
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ἔγωγε.
ΔΗΜΟΣΘΕΝΗΣ.
πῶς οὖν οὐ μεγάλως εὐδαιμονεῖς;
ἔτι νῦν τὸν ὀφθαλμὸν παράβαλ' εἰς Καρίαν
τὸν δεξιόν, τὸν δ' ἕτερον εἰς Καλχηδόνα.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
εὐδαιμονήσω δ', εἰ διαστραφήσομαι;
ΔΗΜΟΣΘΕΝΗΣ.
οὔκ, ἀλλὰ διὰ σοῦ ταῦτα πάντα πέρναται.
γίγνει γάρ, ὡς ὁ χρησμὸς οὑτοσὶ λέγει,
ἀνὴρ μέγιστος.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
εἰπέ μοι, καὶ πῶς ἐγὼ
ἀλλαντοπώλης ὢν ἀνὴρ γενήσομαι;
ΔΗΜΟΣΘΕΝΗΣ.
δι' αὐτὸ γάρ τοι τοῦτο καὶ γίγνει μέγας,
ὁτιὴ πονηρὸς κἀξ ἀγορᾶς εἶ καὶ θρασύς.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
οὐκ ἀξιῶ 'γὼ 'μαυτὸν ἰσχύειν μέγα.
ΔΗΜΟΣΘΕΝΗΣ.
οἴμοι, τί ποτ' ἔσθ' ὅτι σαυτὸν οὐ φῂς ἄξιον;
ξυνειδέναι τί μοι δοκεῖς σαυτῷ καλόν.
μῶν ἐκ καλῶν εἶ κἀγαθῶν;
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
μὰ τοὺς θεούς,
εἰ μὴ 'κ πονηρῶν γ'.
ΔΗΜΟΣΘΕΝΗΣ.
ὦ μακάριε τῆς τύχης,
ὅσον πέπονθας ἀγαθὸν εἰς τὰ πράγματα.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ἀλλ', ὠγαθ', οὐδὲ μουσικὴν ἐπίσταμαι,
πλὴν γραμμάτων, καὶ ταῦτα μέντοι κακὰ κακῶς.
ΔΗΜΟΣΘΕΝΗΣ.
τουτὶ μόνον σ' ἔβλαψεν, ὅτι καὶ κακὰ κακῶς.
ἡ δημαγωγία γὰρ οὐ πρὸς μουσικοῦ
ἔτ' ἐστὶν ἀνδρὸς οὐδὲ χρηστοῦ τοὺς τρόπους,

ἀλλ' εἰς ἀμαθῆ καὶ βδελυρόν. ἀλλὰ μὴ παρῇς
ἃ σοι διδόασ' ἐν τοῖς λογίοισιν οἱ θεοί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

πῶς δῆτά φησ' ὁ χρησμός;

ΔΗΜΟΣΘΕΝΗΣ.

εὖ νὴ τοὺς θεοὺς
καὶ ποικίλως πως καὶ σοφῶς ᾐνιγμένος.
Ἀλλ' ὁπόταν μάρψῃ βυρσαίετος ἀγκυλοχείλης
γαμφηλῇσι δράκοντα κοάλεμον αἱματοπώτην,
δὴ τότε Παφλαγόνων μὲν ἀπόλλυται ἡ σκορο-
δάλμη,
κοιλιοπώλησιν δὲ θεὸς μέγα κῦδος ὀπάζει,
αἴ κα μὴ πωλεῖν ἀλλᾶντας μᾶλλον ἕλωνται.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

πῶς οὖν πρὸς ἐμὲ ταῦτ' ἐστίν; ἀναδίδασκέ με.

ΔΗΜΟΣΘΕΝΗΣ.

βυρσαίετος μὲν ὁ Παφλαγών ἐσθ' οὑτοσί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τί δ' ἀγκυλοχείλης ἐστίν;

ΔΗΜΟΣΘΕΝΗΣ.

αὐτό που λέγει,
ὅτι ἀγκύλαις ταῖς χερσὶν ἁρπάζων φέρει.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὁ δράκων δὲ πρὸς τί;

ΔΗΜΟΣΘΕΝΗΣ.

τοῦτο περιφανέστατον.
ὁ δράκων μακρὸν γάρ ἐστιν ἀλλᾶς τ' αὖ μακρόν·
εἶθ' αἱματοπώτης ἐσθ' ὅ τ' ἀλλᾶς χὠ δράκων.
τὸν οὖν δράκοντά φησι τὸν βυρσαίετον
ἤδη κρατήσειν, αἴ κε μὴ θαλφθῇ λόγοις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τὰ μὲν λόγι' αἰκάλλει με· θαυμάζω δ' ὅπως
τὸν δῆμον οἷός τ' ἐπιτροπεύειν εἴμ' ἐγώ.

ΔΗΜΟΣΘΕΝΗΣ.

φαυλότατον ἔργον· ταῦθ' ἅπερ ποιεῖς ποίει·
τάραττε καὶ χόρδευ' ὁμοῦ τὰ πράγματα
ἅπαντα, καὶ τὸν δῆμον ἀεὶ προσποιοῦ
ὑπογλυκαίνων ῥηματίοις μαγειρικοῖς.
τὰ δ' ἄλλα σοι πρόσεστι δημαγωγικά,
φωνὴ μιαρὰ, γέγονας κακῶς, ἀγοραῖος εἶ·
ἔχεις ἅπαντα πρὸς πολιτείαν ἃ δεῖ·
χρησμοί τε συμβαίνουσι καὶ τὸ Πυθικόν.
ἀλλὰ στεφανοῦ, καὶ σπένδε τῷ Κοαλέμῳ·
χὤπως ἀμυνεῖ τὸν ἄνδρα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ τίς ξύμμαχος
γενήσεταί μοι; καὶ γὰρ οἵ τε πλούσιοι
δεδίασιν αὐτὸν ὅ τε πένης βδύλλει λεώς.

ΔΗΜΟΣΘΕΝΗΣ.

αλλ' εἰσὶν ἱππῆς ἄνδρες ἀγαθοὶ χίλιοι
μισοῦντες αὐτὸν, οἳ βοηθήσουσί σοι,
καὶ τῶν πολιτῶν οἱ καλοί τε κἀγαθοὶ,
καὶ τῶν θεατῶν ὅστις ἐστὶ δεξιὸς,
κἀγὼ μετ' αὐτῶν χὠ θεὸς ξυλλήψεται.
καὶ μὴ δέδιθ'· οὐ γάρ ἐστιν ἐξῃκασμένος.
ὑπὸ τοῦ δέους γὰρ αὐτὸν οὐδεὶς ἤθελε
τῶν σκευοποιῶν εἰκάσαι. πάντως γε μὴν
γνωσθήσεται· τὸ γὰρ θέατρον δεξιόν.

ΝΙΚΙΑΣ.

οἴμοι κακοδαίμων, ὁ Παφλαγὼν ἐξέρχεται.

ΚΛΕΩΝ.

οὔ τοι μὰ τοὺς δώδεκα θεοὺς χαιρήσετον,
ὁτιὴ 'πὶ τῷ δήμῳ ξυνόμνυτον πάλαι.
τουτὶ τί δρᾷ τὸ Χαλκιδικὸν ποτήριον;
οὐκ ἔσθ' ὅπως οὐ Χαλκιδέας ἀφίστατον.
ἀπολεῖσθον, ἀποθανεῖσθον, ὦ μιαρωτάτω.

ΔΗΜΟΣΘΕΝΗΣ.

οὗτος, τί φεύγεις, οὐ μενεῖς; ὦ γεννάδα
ἀλλαντοπῶλα, μὴ προδῷς τὰ πράγματα.
ἄνδρες ἱππῆς, παραγένεσθε· νῦν ὁ καιρός.
Σίμων,
ὦ Παναίτι', οὐκ ἐλᾶτε πρὸς τὸ δεξιὸν κέρας;
ἄνδρες ἐγγύς· ἀλλ' ἀμύνου, κἀπαναστρέφ
πάλιν.
ὁ κονιορτὸς δῆλος αὐτῶν ὡς ὁμοῦ προσκειμέν
ἀλλ' ἀμύνου καὶ δίωκε καὶ τροπὴν αὐτοῦ ποι

ΧΟΡΟΣ.

παῖε παῖε τὸν πανοῦργον καὶ ταραξιππόστρατ
καὶ τελώνην καὶ φάραγγα καὶ Χάρυβδιν ἁρπαγ
καὶ πανοῦργον καὶ πανοῦργον· πολλάκις γ
αὔτ' ἐρῶ.
καὶ γὰρ οὗτος ἦν πανοῦργος πολλάκις τῆς ἡμέρ
ἀλλὰ παῖε καὶ δίωκε καὶ τάραττε καὶ κύκα
καὶ βδελύττου, καὶ γὰρ ἡμεῖς, κἀπικείμενος βό
εὐλαβοῦ δὲ μὴ 'κφύγῃ σε· καὶ γὰρ οἶδε τ
ὁδοὺς,
ἅσπερ Εὐκράτης ἔφευγεν εὐθὺ τῶν κυρηβίων.

ΚΛΕΩΝ.

ὦ γέροντες ἡλιασταὶ, φράτορες τριωβόλου,
οὓς ἐγὼ βόσκω κεκραγὼς καὶ δίκαια κἄδικα,
παραβοηθεῖθ', ὡς ὑπ' ἀνδρῶν τύπτομαι ξυν
μοτῶν.

ΧΟΡΟΣ.

ἐν δίκῃ γ', ἐπεὶ τὰ κοινὰ πρὶν λαχεῖν κα
σθίεις,
κἀποσυκάζεις πιέζων τοὺς ὑπευθύνους σκοπῶ
ὅστις αὐτῶν ὠμός ἐστιν ἢ πέπων ἢ μὴ πέπω
κἄν τιν' αὐτῶν γνῷς ἀπράγμον' ὄντα κα
χηνότα,
καταγαγὼν ἐκ Χερρονήσου διαλαβὼν ἠγκυρ
εἶτ' ἀποστρέψας τὸν ὦμον αὐτὸν ἐνεκολήβα
καὶ σκοπεῖς γε τῶν πολιτῶν ὅστις ἐστὶν ἀμνοκ
πλούσιος καὶ μὴ πονηρὸς καὶ τρέμων τὸ πρ
ματα.

ΚΛΕΩΝ.

ξυνεπίκεισθ' ὑμεῖς· ἐγὼ δ', ὦνδρες, δι' ἐ
τύπτομαι,
ὅτι λέγειν γνώμην ἔμελλον ὡς δίκαιον ἐν πο
ἑστάναι μνημεῖον ὑμῶν ἐστιν ἀνδρείας χάρ

ΧΟΡΟΣ.

ὡς δ' ἀλαζὼν, ὡς δὲ μάσθλης· εἶδες οἷ' ὑ
χεται;
ὡσπερεὶ γέροντας ἡμᾶς ἐκκοβαλικεύεται.
ἀλλ' ἐὰν ταύτῃ γε νικᾷ, ταυτῇ πεπλήξεται·
ἢν δ' ὑπεκκλίνῃ γε δευρὶ, τὸ σκέλος κυρηβ

ΚΛΕΩΝ.

ὦ πόλις καὶ δῆμ', ὑφ' οἵων θηρίων γαστρίζο

ΧΟΡΟΣ.

καὶ κέκραγας, ὥσπερ ἀεὶ τὴν πόλιν καταστρέ

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀλλ' ἐγώ σε τῇ βοῇ ταύτῃ γε πρῶτα τρέψομ

ΧΟΡΟΣ.

ἀλλ' ἐὰν μέντοι γε νικᾷς τῇ βοῇ, τήνελλος εἶ·
ἢν δ' ἀναιδείᾳ παρέλθῃς, ἡμέτερος ὁ πυραμοῦς.

ΚΛΕΩΝ.

τουτονὶ τὸν ἄνδρ' ἐγὼ δείκνυμι, καὶ φήμ' ἐξάγειν
ταῖσι Πελοποννησίων τριήρεσι ζωμεύματα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ναὶ μὰ Δία κἄγωγε τοῦτον, ὅτι κενῇ τῇ κοιλίᾳ
εἰσδραμὼν εἰς τὸ πρυτανεῖον, εἶτα πάλιν ἐκθεῖ πλέᾳ.

ΔΗΜΟΣΘΕΝΗΣ.

νὴ Δί', ἐξάγων γε τἀπόρρηθ', ἅμ' ἄρτον καὶ κρέας
καὶ τέμαχος, οὗ Περικλέης οὐκ ἠξιώθη πώποτε.

ΚΛΕΩΝ.

ἀποθανεῖσθον αὐτίκα μάλα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τριπλάσιον κεκράξομαί σου.

ΚΛΕΩΝ.

καταβοήσομαι βοῶν σε.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

κατακεκράξομαί σε κράζων.

ΚΛΕΩΝ.

διαβαλῶ σ', ἐὰν στρατηγῇς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

κυνοκοπήσω σου τὸ νῶτον.

ΚΛΕΩΝ.

περιελῶ σ' ἀλαζονείαις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὑποτεμοῦμαι τὰς ὁδούς σου.

ΚΛΕΩΝ.

βλέψον εἴς μ' ἀσκαρδάμυκτος.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐν ἀγορᾷ κἀγὼ τέθραμμαι.

ΚΛΕΩΝ.

διαφορήσω σ', εἴ τι γρύξει.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

κοπροφορήσω σ', εἰ λαλήσεις.

ΚΛΕΩΝ.

ὁμολογῶ κλέπτειν· σὺ δ' οὐχί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

νὴ τὸν Ἑρμῆν τὸν ἀγοραῖον,
κἀπιορκῶ γε βλεπόντων.

ΚΛΕΩΝ.

ἀλλότρια τοίνυν σοφίζει,
καί σε φανῶ τοῖς πρυτάνεσιν,
ἀδεκατεύτους τῶν θεῶν ἱ-
ρὰς ἔχοντα κοιλίας.

ΧΟΡΟΣ.

ὦ μιαρὲ καὶ βδελυρὲ καὶ κατακεκρᾶκτα, τοῦ σοῦ θράσους
πᾶσα μὲν γῆ πλέα, πᾶσα δ' ἐκκλησία, καὶ τέλη
καὶ γραφαὶ καὶ δικαστήρι', ὦ βορβοροτάραξι καὶ
τὴν πόλιν ἅπασαν ἡμῶν ἀνατετυρβακώς,
ὅστις ἡμῶν τὰς Ἀθήνας ἐκκεκώφηκας βοῶν,
κἀπὸ τῶν πετρῶν ἄνωθεν τοὺς φόρους θυννοσκοπῶν.

**303—313. = 382—390.**

ΚΛΕΩΝ.

οἶδ' ἐγὼ τὸ πρᾶγμα τοῦθ' ὅθεν πάλαι καττύεται.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

εἰ δὲ μὴ σύ γ' οἶσθα κάττυμ', οὐδ' ἐγὼ χορδεύματα,
ὅστις ὑποτέμνων ἐπώλεις δέρμα μοχθηροῦ βοὸς
τοῖς ἀγροίκοισιν πανούργως, ὥστε φαίνεσθαι παχύ,
καὶ πρὶν ἡμέραν φορῆσαι, μεῖζον ἦν δυοῖν δοχμαῖν.

ΝΙΚΙΑΣ.

νὴ Δί κἀμὲ τοῦτ' ἔδρασε ταυτόν, ὥστε κατάγελων
πάμπολυν τοῖς δημόταισι καὶ φίλοις παρασχεθεῖν.
πρὶν γὰρ εἶναι Περγασῆσιν, ἔνεον ἐν ταῖς ἐμβάσιν.

ΧΟΡΟΣ.

ἆρα δῆτ' οὐκ ἀπ' ἀρχῆς ἐδήλους ἀναι-
δειαν, ἥπερ μόνη προστατεῖ ῥητόρων;
ᾗ σὺ πιστεύων ἀμέλγει τῶν ξένων τοὺς καρπίμους,
πρῶτος ὤν· ὁ δ' Ἱπποδάμου λείβεται θεώμενος.
ἀλλ' ἐφάνη γὰρ ἀνὴρ ἕτερος πολὺ
σοῦ μιαρώτερος, ὥστε με χαίρειν,
ὅς σε παύσει καὶ πάρεισι, δῆλός ἐστιν αὐτόθεν,
πανουργίᾳ τε καὶ θράσει
καὶ κοβαλικεύμασιν.
ἀλλ' ὦ τραφεὶς ὅθενπέρ εἰσιν ἄνδρες οἵπερ εἰσί,
νῦν δεῖξον ὡς οὐδὲν λέγει τὸ σωφρόνως τραφῆναι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ μὴν ἀκούσαθ' οἷός ἐστιν οὑτοσὶ πολίτης.

ΚΛΕΩΝ.

οὐκ αὖ μ' ἐάσεις;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

μὰ Δί', ἐπεὶ κἀγὼ πονηρός εἰμι.

ΧΟΡΟΣ.

ἐὰν δὲ μὴ ταύτῃ γ' ὑπείκῃ, λέγ' ὅτι κἀκ πονηρῶν.

ΚΛΕΩΝ.

οὐκ αὖ μ' ἐάσεις;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

μὰ Δία.

ΚΛΕΩΝ.

ναὶ μὰ Δία.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

μὰ τὸν Ποσειδῶ,
ἀλλ' αὐτὸ περὶ τοῦ πρότερος εἰπεῖν πρῶτα διαμαχοῦμαι.

ΚΛΕΩΝ.

οἴμοι, διαρραγήσομαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ μήν σ' ἐγὼ οὐ παρήσω.

ΧΟΡΟΣ.

πάρες πάρες πρὸς τῶν θεῶν αὐτῷ διαρραγῆναι.

ΚΛΕΩΝ.

τῷ καὶ πεποιθὼς ἀξιοῖς ἐμοῦ λέγειν ἔναντα;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὁτιὴ λέγειν οἷός τε κἀγὼ καὶ καρυκοποιεῖν.

**322—334. = 397—406.**

ΚΛΕΩΝ.

ἰδοὺ λέγειν. καλῶς γ' ἂν οὖν τι πρᾶγμα προσπεσόν σοι
ὠμοσπάρακτον παραλαβὼν μεταχειρίσαιο χρηστῶς.
ἀλλ' οἶσθ' ὅ μοι πεπονθέναι δοκεῖς; ὅπερ τὸ πλῆθος.
εἴ που δικίδιον εἶπας εὖ κατὰ ξένου μετοίκου,
τὴν νύκτα θρυλῶν καὶ λαλῶν ἐν ταῖς ὁδοῖς σεαυτῷ,
ὕδωρ τε πίνων, κἀπιδεικνὺς τοὺς φίλους τ' ἀνιῶν,
ᾤου δυνατὸς εἶναι λέγειν. ὦ μῶρε τῆς ἀνοίας.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τί δαὶ σὺ πίνων τὴν πόλιν πεποίηκας, ὥστε νυνὶ
ὑπὸ σοῦ μονωτάτου κατεγλωττισμένην σιωπᾶν;

ΚΛΕΩΝ.

ἐμοὶ γὰρ ἀντέθηκας ἀνθρώπων τίν'; ὅστις εὐθὺς
θύννεια θερμὰ καταφαγὼν, κᾆτ' ἐπιπιὼν ἄκρατον
οἴνου χόα κασαλβάσω τοὺς ἐν Πύλῳ στρατηγούς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δέ γ' ἤνυστρον βοὸς καὶ κοιλίαν ὑείαν
καταβροχθίσας, κᾆτ' ἐπιπιὼν τὸν ζωμὸν ἀναπόνιπτος
λαρυγγιῶ τοὺς ῥήτορας καὶ Νικίαν ταράξω.

ΧΟΡΟΣ.

τὰ μὲν ἄλλα μ' ἤρεσας λέγων· ἓν δ' οὐ προσίεταί με
τῶν πραγμάτων, ὁτιὴ μόνος τὸν ζωμὸν ἐκροφήσει.

ΚΛΕΩΝ.

ἀλλ' οὐ λάβρακας καταφαγὼν Μιλησίους κλονήσεις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀλλὰ σχελίδας ἐδηδοκὼς ὠνήσομαι μέταλλα.

ΚΛΕΩΝ.

ἐγὼ δ' ἐπεισπηδῶν γε τὴν βουλὴν βίᾳ κυκήσω.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δὲ κινήσω γέ σου τὸν πρωκτὸν ἀντὶ φύσκης.

ΚΛΕΩΝ.

ἐγὼ δέ γ' ἐξελῶ σε τῆς πυγῆς θύραζε κύβδα.

ΧΟΡΟΣ.

νὴ τὸν Ποσειδῶ κἀμὲ γὰρ, ἤνπερ γε τοῦτον ἕλκης.

ΚΛΕΩΝ.

οἷόν σε δήσω τῷ ξύλῳ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

διώξομαί σε δειλίας.

ΚΛΕΩΝ.

ἡ βύρσα σου θρανεύσεται.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

δερῶ σε θύλακον κλοπῆς.

ΚΛΕΩΝ.

διαπατταλευθήσει χαμαί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

περικόμματ' ἐκ σοῦ σκευάσω.

ΚΛΕΩΝ.

τὰς βλεφαρίδας σου παρατιλῶ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τὸν πρηγορῶνά σοὐκτεμῶ.

ΔΗΜΟΣΘΕΝΗΣ.

καὶ νὴ Δί' ἐμβαλόντες αὐ-
τῷ πάτταλον μαγειρικῶς
εἰς τὸ στόμ', εἶτα δ' ἔνδοθεν
τὴν γλῶτταν ἐξείραντες αὐ-
τοῦ σκεψόμεσθ' εὖ κἀνδρικῶς
κεχηνότος
τὸν πρωκτὸν, εἰ χαλαζᾷ.

ΧΟΡΟΣ.

ἦν ἄρα πυρός γ' ἕτερα θερμότερα, καὶ λόγ[οι] ἐν πόλει
τῶν ἀναιδῶν ἀναιδέστεροι· καὶ τὸ πρᾶγμ' [ἦν] ἄρ' οὐ
φαῦλον ὧδ'. * * * ἀλλ' ἔπιθι καὶ στρόβει,
μηδὲν ὀλίγον ποίει. νῦν γὰρ ἔχεται μέσος·
ὡς ἐὰν νυνὶ μαλάξῃς αὐτὸν ἐν τῇ προσβολῇ,
δειλὸν εὑρήσεις· ἐγὼ γὰρ τοὺς τρόπους ἐ[πί]σταμαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀλλ' ὅμως οὗτος τοιοῦτος ὢν ἅπαντα τὸν βίον,
κᾆτ' ἀνὴρ ἔδοξεν εἶναι, τἀλλότριον ἀμῶν θέ[ρος]
νῦν δὲ τοὺς στάχυς ἐκείνους, οὓς ἐκεῖθεν ἤγαγ[εν]
ἐν ξύλῳ δήσας ἀφαύει κἀποδόσθαι βούλεται.

ΚΛΕΩΝ.

οὐ δέδοιχ' ὑμᾶς, ἕως ἂν ζῇ τὸ βουλευτήριον
καὶ τὸ τοῦ δήμου πρόσωπον μακκοᾷ καθήμεν[ον].

ΧΟΡΟΣ.

ὡς δὲ πρὸς πᾶν ἀναιδεύεται κοὐ μεθί-
στησι τοῦ χρώματος τοῦ παρεστηκότος.
εἴ σε μὴ μισῶ, γενοίμην ἐν Κρατίνου κῴδιον
καὶ διδασκοίμην προσᾴδειν Μορσίμου τραγῳδί[ᾳ]
ὦ περὶ πάντ' ἐπὶ πᾶσί τε πράγμασι
δωροδόκοισιν ἐπ' ἄνθεσιν ἵζων,
εἴθε φαύλως, ὥσπερ εὗρες, ἐκβάλοις τὴν ἔνθε[σιν]
ᾄσαιμι γὰρ τότ' ἂν μόνον·
πῖνε πῖν' ἐπὶ συμφοραῖς·
τὸν Ἰουλίου τ' ἂν οἴομαι, γέροντα πυρροπί[πην]
ἡσθέντ' ἰηπαιωνίσαι καὶ Βακχέβακχον ᾆσαι.

ΚΛΕΩΝ.

οὔ τοί μ' ὑπερβαλεῖσθ' ἀναιδείᾳ μὰ τὸν Ποσει[δῶ]
ἢ μή ποτ' ἀγοραίου Διὸς σπλάγχνοισι παρ[α]νοίμην.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἔγωγε νὴ τοὺς κονδύλους, οὓς πολλὰ δὴ [ἐπὶ] πολλοῖς
ἠνεσχόμην ἐκ παιδίου, μαχαιρίδων τε πληγ[ὰς]
ὑπερβαλεῖσθαί σ' οἴομαι τούτοισιν, ἢ μάτην τ[ὰς]
ἀπομαγδαλίας σιτούμενος τοσοῦτος ἐκτραφεί[ην].

ΚΛΕΩΝ.

ἀπομαγδαλίας ὥσπερ κύων; ὦ παμπόνηρε, [π]ῶς οὖν
κυνὸς βορὰν σιτούμενος μαχεῖ σὺ κυνοκεφάλ[ῳ];

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ νὴ Δί' ἄλλα γ' ἐστί μου κόβαλα π[αιδὸς] ὄντος.
ἐξηπάτων γὰρ τοὺς μαγείρους ἐπιλέγων τοι[αυτί]·
σκέψασθε, παῖδες· οὐχ ὁρᾶθ'; ὥρα νέα, [χε]λιδών.
οἱ δ' ἔβλεπον, κἀγὼ 'ν τοσούτῳ τῶν κ[ρεῶν] ἔκλεπτον.

ΧΟΡΟΣ.

ὦ δεξιώτατον κρέας, σοφῶς γε προὐνοήσω·
ὥσπερ ἀκαλήφας ἐσθίων πρὸ χελιδόνων ἔκλε[πτες].

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ ταῦτα δρῶν ἐλάνθανόν γ'· εἰ δ' οὖν ἴδοι τις αὐτῶν,
ἀποκρυπτόμενος εἰς τὰ κοχώνα τοὺς θεοὺς ἀπώμνυν·
ὥστ' εἶπ' ἀνὴρ τῶν ῥητόρων ἰδών με τοῦτο δρῶντα·
οὐκ ἔσθ' ὅπως ὁ παῖς ὅδ' οὐ τὸν δῆμον ἐπιτροπεύσει.

ΧΟΡΟΣ.

εὖ γε ξυνέβαλεν αὔτ'· ἀτὰρ δῆλόν γ' ἀφ' οὗ ξυνέγνω·
ὁτιὴ 'πιώρκεις θ' ἡρπακὼς καὶ κρέας ὁ πρωκτὸς εἶχεν.

ΚΛΕΩΝ.

ἐγώ σε παύσω τοῦ θράσους, οἶμαι δὲ μᾶλλον ἄμφω.
ἔξειμι γάρ σοι λαμπρὸς ἤδη καὶ μέγας καθιεὶς,
ὁμοῦ ταράττων τήν τε γῆν καὶ τὴν θάλατταν εἰκῆ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δὲ συστείλας γε τοὺς ἀλλᾶντας εἶτ' ἀφήσω
κατὰ κῦμ' ἐμαυτὸν οὔριον, κλάειν σε μακρὰ κελεύσας.

ΔΗΜΟΣΘΕΝΗΣ.

κἄγωγ', ἐάν τι παραχαλᾷ, τὴν ἄντλίαν φυλάξω.

ΚΛΕΩΝ.

οὔ τοι μὰ τὴν Δήμητρα καταπροίξει τάλαντα πολλὰ
κλέψας Ἀθηναίων.

ΧΟΡΟΣ.

ἄθρει, καὶ τοῦ ποδὸς παρίει·
ὡς οὗτος ἤτοι καικίας ἢ συκοφαντίας πνεῖ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

σὲ δ' ἐκ Ποτιδαίας ἔχοντ' εὖ οἶδα δέκα τάλαντα.

ΚΛΕΩΝ.

τί δῆτα; βούλει τῶν ταλάντων ἓν λαβὼν σιωπᾶν;

ΧΟΡΟΣ.

ἁνὴρ ἂν ἡδέως λάβοι. τοὺς τερθρίους παρίει.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τὸ πνεῦμ' ἔλαττον γίγνεται.

ΚΛΕΩΝ.

φεύξει γραφὰς ἑκατονταλάντους τέτταρας.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

σὺ δ' ἀστρατείας γ' εἴκοσιν,
κλοπῆς δὲ πλεῖν ἢ χιλίας.

ΚΛΕΩΝ.

ἐκ τῶν ἀλιτηρίων σέ φη-
μι γεγονέναι τῶν τῆς θεοῦ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τὸν πάππον εἶναί φημί σου
τῶν δορυφόρων.

ΚΛΕΩΝ.

ποίων; φράσον.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τῶν Βυρσίνης τῆς Ἱππίου.

ΚΛΕΩΝ.

κόβαλος εἶ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

πανοῦργος εἶ.

ΧΟΡΟΣ.

παῖ' ἀνδρικῶς.

ΚΛΕΩΝ.

ἰοὺ ἰού,
τύπτουσί μ' οἱ ξυνωμόται.

ΧΟΡΟΣ.

παῖ' αὐτὸν ἀνδρικώτατα, καὶ
γάστριζε καὶ τοῖς ἐντέροις
καὶ τοῖς κόλοις,
χὤπως κολᾷ τὸν ἄνδρα.
ὦ γεννικώτατον κρέας ψυχήν τ' ἄριστε πάντων,
καὶ τῇ πόλει σωτὴρ φανεὶς ἡμῖν τε τοῖς πολίταις,
ὡς εὖ τὸν ἄνδρα ποικίλως θ' ὑπῆλθες ἐν λόγοισιν.
πῶς ἄν σ' ἐπαινέσαιμεν οὕτως ὥσπερ ἡδόμεσθα;

ΚΛΕΩΝ.

ταυτὶ μὰ τὴν Δήμητρά μ' οὐκ ἐλάνθανεν
τεκταινόμενα τὰ πράγματ', ἀλλ' ἠπιστάμην
γομφούμεν' αὐτὰ πάντα καὶ κολλώμενα.

ΧΟΡΟΣ.

οἴμοι, σὺ δ' οὐδὲν ἐξ ἁμαξουργοῦ λέγεις;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὔκουν μ' ἐν Ἄργει οἷα πράττει λανθάνει.
πρόφασιν μὲν Ἀργείους φίλους ἡμῖν ποιεῖ·
ἰδίᾳ δ' ἐκεῖ Λακεδαιμονίοις ξυγγίγνεται.
καὶ ταῦτ' ἐφ' οἷσίν ἐστι συμφυσώμενα
ἐγᾦδ'· ἐπὶ γὰρ τοῖς δεδεμένοις χαλκεύεται.

ΧΟΡΟΣ.

εὖ γ' εὖ γε, χάλκευ' ἀντὶ τῶν κολλωμένων.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ ξυγκροτοῦσιν ἄνδρες αὔτ' ἐκεῖθεν αὖ,
καὶ ταῦτά μ' οὔτ' ἀργύριον οὔτε χρυσίον
διδοὺς ἀναπείσεις, οὔτε προσπέμπων φίλους,
ὅπως ἐγὼ ταῦτ' οὐκ Ἀθηναίοις φράσω.

ΚΛΕΩΝ.

ἐγὼ μὲν οὖν αὐτίκα μάλ' εἰς βουλὴν ἰὼν
ὑμῶν ἁπάντων τὰς ξυνωμοσίας ἐρῶ,
καὶ τὰς ξυνόδους τὰς νυκτερινὰς ἐν τῇ πόλει,
καὶ πάνθ' ἃ Μήδοις καὶ βασιλεῖ ξυνόμνυτε,
καὶ τἀκ Βοιωτῶν ταῦτα συντυρούμενα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

πῶς οὖν ὁ τυρὸς ἐν Βοιωτοῖς ὤνιος;

ΚΛΕΩΝ.

ἐγώ σε νὴ τὸν Ἡρακλέα παραστορῶ.

ΧΟΡΟΣ.

ἄγε δὴ σὺ τίνα νοῦν ἢ τίνα γνώμην ἔχεις;
νυνὶ διδάξεις, εἴπερ ἀπεκρύψω ποτὲ
εἰς τὰ κοχώνα τὸ κρέας, ὡς αὐτὸς λέγεις.
θεύσει γὰρ ᾄξας εἰς τὸ βουλευτήριον,
ὡς οὗτος εἰσπεσὼν ἐκεῖσε διαβαλεῖ
ἡμᾶς ἅπαντας καὶ κραγὸν κεκράξεται.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀλλ' εἶμι· πρῶτον δ', ὡς ἔχω, τὰς κοιλίας
καὶ τὰς μαχαίρας ἐνθαδὶ καταθήσομαι.

ΧΟΡΟΣ.

ἔχε νυν, ἄλειψον τὸν τράχηλον τουτῳί,
ἵν' ἐξολισθάνειν δύνῃ τὰς διαβολάς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀλλ' εὖ λέγεις καὶ παιδοτριβικῶς ταυταγί.

ΧΟΡΟΣ.

ἔχε νυν, ἐπέγκαψον λαβὼν ταδί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
τί δαί;
ΧΟΡΟΣ.
ἵν' ἄμεινον, ὦ τᾶν, ἐσκοροδισμένος μάχῃ
καὶ σπεῦδε ταχέως.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ταῦτα δρῶ.
ΧΟΡΟΣ.
μέμνησό νυν
δάκνειν, διαβάλλειν, τοὺς λόφους κατεσθίειν,
χὤπως τὰ κάλλαι' ἀποφαγὼν ἥξεις πάλιν.
ἀλλ' ἴθι χαίρων, καὶ πράξειας
κατὰ νοῦν τὸν ἐμὸν, καί σε φυλάττοι
Ζεὺς ἀγοραῖος· καὶ νικήσας
αὖθις ἐκεῖθεν πάλιν ὡς ἡμᾶς
ἔλθοις στεφάνοις κατάπαστος.
ὑμεῖς δ' ἡμῖν πρόσχετε τὸν νοῦν
τοῖς ἀναπαίστοις,
ὦ παντοίας ἤδη μούσης
πειραθέντες καθ' ἑαυτούς.
εἰ μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς
ἠνάγκαζεν λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆναι,
οὐκ ἂν φαύλως ἔτυχεν τούτου· νῦν δ' ἄξιός ἐσθ' ὁ ποιητής,
ὅτι τοὺς αὐτοὺς ἡμῖν μισεῖ, τολμᾷ τε λέγειν τὰ δίκαια,
καὶ γενναίως πρὸς τὸν Τυφῶ χωρεῖ καὶ τὴν ἐριώλην.
ἃ δὲ θαυμάζειν ὑμῶν φησιν πολλοὺς αὐτῷ προσιόντας,
καὶ βασανίζειν, ὡς οὐχὶ πάλαι χορὸν αἰτοίη καθ' ἑαυτὸν,
ἡμᾶς ὑμῖν ἐκέλευσε φράσαι περὶ τούτου. φησὶ γὰρ ἀνὴρ
οὐχ ὑπ' ἀνοίας τοῦτο πεπονθὼς διατρίβειν, ἀλλὰ νομίζων
κωμῳδοδιδασκαλίαν εἶναι χαλεπώτατον ἔργον ἁπάντων·
πολλῶν γὰρ δὴ πειρασάντων αὐτὴν ὀλίγοις χαρίσασθαι·
ὑμᾶς τε πάλαι διαγιγνώσκων ἐπετείους τὴν φύσιν ὄντας,
καὶ τοὺς προτέρους τῶν ποιητῶν ἅμα τῷ γήρᾳ προδιδόντας·
τοῦτο μὲν εἰδὼς ἅπαθε Μάγνης ἅμα ταῖς πολιαῖς κατιούσαις,
ὃς πλεῖστα χορῶν τῶν ἀντιπάλων νίκης ἔστησε τροπαῖα·
πάσας δ' ὑμῖν φωνὰς ἱεὶς καὶ ψάλλων καὶ πτερυγίζων
καὶ λυδίζων καὶ ψηνίζων καὶ βαπτόμενος βατραχείοις
οὐκ ἐξήρκεσεν, ἀλλὰ τελευτῶν ἐπὶ γήρως, οὐ γὰρ ἐφ' ἥβης,
ἐξεβλήθη πρεσβύτης ὢν, ὅτι τοῦ σκώπτειν ἀπελείφθη·
εἶτα Κρατίνου μεμνημένος, ὃς πολλῷ ῥεύσας ποτ' ἐπαίνῳ
διὰ τῶν ἀφελῶν πεδίων ἔρρει, καὶ τῆς στάσε[ως] παρασύρων
ἐφόρει τὰς δρῦς καὶ τὰς πλατάνους καὶ τοὺς ἐχ[]θροὺς προθελύμνους·
ᾆσαι δ' οὐκ ἦν ἐν ξυμποσίῳ πλὴν, Δωροῖ συκ[ο]πέδιλε,
καὶ, τέκτονες εὐπαλάμων ὕμνων· οὕτως ἤνθησ[ε]ν ἐκεῖνος.
νυνὶ δ' ὑμεῖς αὐτὸν ὁρῶντες παραληροῦντ' οὐ[κ] ἐλεεῖτε,
ἐκπιπτουσῶν τῶν ἠλέκτρων, καὶ τοῦ τόνου οὐ[κ]έτ' ἐνόντος,
τῶν θ' ἁρμονιῶν διαχασκουσῶν· ἀλλὰ γέρ[]ων περιέρρει,
ὥσπερ Κοννᾶς, στέφανον μὲν ἔχων αὖον, δί[ψῃ] δ' ἀπολωλὼς,
ὃν χρῆν διὰ τὰς προτέρας νίκας πίνειν ἐν τ[ῷ] πρυτανείῳ,
καὶ μὴ ληρεῖν, ἀλλὰ θεᾶσθαι λιπαρὸν παρὰ τ[ῷ] Διονύσῳ.
οἵας δὲ Κράτης ὀργὰς ὑμῶν ἠνέσχετο καὶ στ[υ]φελιγμούς·
ὃς ἀπὸ σμικρᾶς δαπάνης ὑμᾶς ἀριστίζων ἀπ[έ]πεμπεν,
ἀπὸ κραμβοτάτου στόματος μάττων ἀστειοτά[τας] ἐπινοίας·
χοὖτος μέντοι μόνος ἀντήρκει, τοτὲ μὲν πίπτ[ων,] τοτὲ δ' οὐχί.
ταῦτ' ὀρρωδῶν διέτριβεν ἀεὶ, καὶ πρὸς τούτοι[ς] ἔφασκεν
ἐρέτην χρῆναι πρῶτα γενέσθαι, πρὶν πηδαλί[οις] ἐπιχειρεῖν,
κᾆτ' ἐντεῦθεν πρῳρατεῦσαι, καὶ τοὺς ἀνέμ[ους] διαθρῆσαι,
κᾆτα κυβερνᾶν αὐτὸν ἑαυτῷ. τούτων οὖν οὕνε[κα] πάντων,
ὅτι σωφρονικῶς κοὐκ ἀνοήτως ἐσπηδήσας ἐφ[λ]άρει,
αἴρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον, παραπέμψα[τ'] ἐφ' ἕνδεκα κώπαις
θόρυβον χρηστὸν ληναΐτην,
ἵν' ὁ ποιητὴς ἀπίῃ χαίρων,
κατὰ νοῦν πράξας,
φαιδρὸς λάμποντι μετώπῳ.
ἵππι' ἄναξ Πόσειδον, ᾧ
χαλκοκρότων ἵππων κτύπος
καὶ χρεμετισμὸς ἁνδάνει,
καὶ κυανέμβολοι θοαὶ
μισθοφόροι τριήρεις,
μειρακίων θ' ἅμιλλα λαμπρυνομένων ἐν ἅρμασιν
καὶ βαρυδαιμονούντων,
δεῦρ' ἐλθ' ἐς χορὸν, ὦ χρυσοτρίαιν', ὦ
δελφίνων μεδέων, Σουνιάρατε,
ὦ Γεραίστιε παῖ Κρόνου,
Φορμίωνί τε φίλτατ', ἐκ
τῶν ἄλλων τε θεῶν Ἀθηναίοις πρὸς τὸ παρεστός.
εὐλογῆσαι βουλόμεσθα τοὺς πατέρας ἡμῶν, ὅτ[ι]
551—580. = 581—610.

ἄνδρες ἦσαν τῆσδε τῆς γῆς ἄξιοι καὶ τοῦ πέπλου,
οἵτινες πεζαῖς μάχαισιν ἔν τε ναυφράκτῳ στρατῷ
πανταχοῦ νικῶντες ἀεὶ τήνδ' ἐκόσμησαν πόλιν·
οὐ γὰρ οὐδεὶς πώποτ' αὐτῶν τοὺς ἐναντίους ἰδὼν
ἠρίθμησεν, ἀλλ' ὁ θυμὸς εὐθὺς ἦν ἀμυνίας·
εἰ δέ που πέσοιεν ἐς τὸν ὦμον ἐν μάχῃ τινὶ,
τοῦτ' ἀπεψήσαντ' ἂν, εἶτ' ἠρνοῦντο μὴ πεπτωκέναι,
ἀλλὰ διεπάλαιον αὖθις. καὶ στρατηγὸς οὐδ' ἂν εἷς
τῶν πρὸ τοῦ σίτησιν ᾔτησ' ἐρόμενος Κλεαίνετον·
νῦν δ' ἐὰν μὴ προεδρίαν φέρωσι καὶ τὰ σιτία,
οὐ μαχεῖσθαί φασιν. ἡμεῖς δ' ἀξιοῦμεν τῇ πόλει
προῖκα γενναίως ἀμύνειν καὶ θεοῖς ἐγχωρίοις.
καὶ πρὸς οὐκ αἰτοῦμεν οὐδὲν, πλὴν τοσουτονὶ μόνον·
ἤν ποτ' εἰρήνη γένηται καὶ πόνων παυσώμεθα,
μὴ φθονεῖθ' ἡμῖν κομῶσι μηδ' ἀπεστλεγγισμένοις.
ὦ πολιοῦχε Παλλὰς, ὦ
τῆς ἱερωτάτης, ἁπα-
σῶν πολέμῳ τε καὶ ποιη-
ταῖς δυνάμει θ' ὑπερφερού-
σης μεδέουσα χώρας,
δεῦρ' ἀφικοῦ λαβοῦσα τὴν
ἐν στρατιαῖς τε καὶ μάχαις
ἡμετέραν ξυνεργὸν
Νίκην, ἣ χορικῶν ἐστιν ἑταίρα,
τοῖς τ' ἐχθροῖσι μεθ' ἡμῶν στασιάζει.
νῦν οὖν δεῦρο φάνηθι· δεῖ
γὰρ τοῖς ἀνδράσι τοῖσδε πά-
σῃ τέχνῃ πορίσαι σε νί-
κην εἴπερ ποτὲ καὶ νῦν.
ἃ ξύνισμεν τοῖσιν ἵπποις, βουλόμεσθ' ἐπαινέσαι.
ἄξιοι δ' εἴσ' εὐλογεῖσθαι· πολλὰ γὰρ δὴ πράγματα
ξυνδιήνεγκαν μεθ' ἡμῶν, εἰσβολάς τε καὶ μάχας.
ἀλλὰ τἀν τῇ γῇ μὲν αὐτῶν οὐκ ἄγαν θαυμάζομεν,
ὡς ὅτ' εἰς τὰς ἱππαγωγοὺς εἰσεπήδων ἀνδρικῶς,
πριάμενοι κώθωνας, οἱ δὲ καὶ σκόροδα καὶ κρόμμυα·
εἶτα τὰς κώπας λαβόντες ὥσπερ ἡμεῖς οἱ βροτοὶ
ἐμβαλόντες ἀνεβρύαξαν, ἱππαπαῖ, τίς ἐμβαλεῖ;
ληπτέον μᾶλλον. τί δρῶμεν; οὐκ ἐλᾷς, ὦ σαμφόρα;
ἐξεπήδων τ' ἐς Κόρινθον· εἶτα δ' οἱ νεώτατοι
ταῖς ὁπλαῖς ὤρυττον εὐνὰς καὶ μετῇσαν στρώματα·
ἤσθιον δὲ τοὺς παγούρους ἀντὶ ποίας Μηδικῆς,
εἴ τις ἐξέρποι θύραζε, κἀκ βυθοῦ θηρώμενοι·
ὥστ' ἔφη Θέωρος εἰπεῖν καρκίνον Κορίνθιον·
δεινά γ', ὦ Πόσειδον, εἰ μηδ' ἐν βυθῷ δυνήσομαι,
μήτε γῇ μήτ' ἐν θαλάττῃ διαφυγεῖν τοὺς ἱππέας.

ΧΟΡΟΣ.

ὦ φίλτατ' ἀνδρῶν καὶ νεανικώτατε,
ὅσην ἀπὼν παρέσχες ἡμῖν φροντίδα·
καὶ νῦν ἐπειδὴ σῶς ἐλήλυθας πάλιν,
ἄγγειλον ἡμῖν πῶς τὸ πρᾶγμ' ἠγωνίσω.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τί δ' ἄλλο γ' εἰ μὴ νικόβουλος ἐγενόμην;

**616—628. == 683—690.**

ΧΟΡΟΣ.

νῦν ἄρ' ἄξιόν γε πᾶσίν ἐστιν ἐπολολύξαι.
ὦ καλὰ λέγων, πολὺ δ' ἀμείνον' ἔτι τῶν λόγων
ἐργασάμεν', εἴθ' ἐπέλ-
θοις ἅπαντά μοι σαφῶς·
ὡς ἐγώ μοι δοκῶ
κἂν μακρὰν ὁδὸν διελθεῖν
ὥστ' ἀκοῦσαι. πρὸς τάδ', ὦ βέλ-
τιστε, θαρρήσας λέγ', ὡς ἅ-
παντες ἡδόμεσθά σοι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ μὴν ἀκοῦσαί γ' ἄξιον τῶν πραγμάτων.
εὐθὺς γὰρ αὐτοῦ κατόπιν ἐνθένδ' ἱέμην·
ὁ δ' ἄρ' ἔνδον ἐλασίβροντ' ἀναρρηγνὺς ἔπη
τερατευόμενος ἤρειδε κατὰ τῶν ἱππέων,
κρημνοὺς ἐρείδων καὶ ξυνωμότας λέγων
πιθανώταθ'· ἡ βουλὴ δ' ἅπασ' ἀκροωμένη
ἐγένεθ' ὑπ' αὐτοῦ ψευδατραφάξυος πλέα,
κἄβλεψε νᾶπυ, καὶ τὰ μέτωπ' ἀνέσπασεν.
κἄγωγ' ὅτε δὴ 'γνων ἐνδεχομένην τοὺς λόγους
καὶ τοῖς φενακισμοῖσιν ἐξαπατωμένην,
ἄγε δὴ Σκίταλοι καὶ Φένακες, ἦν δ' ἐγὼ,
Βερέσχεθοί τε καὶ Κόβαλοι καὶ Μόθων,
ἀγορά τ', ἐν ᾗ παῖς ὢν ἐπαιδεύθην ἐγὼ,
νῦν μοι θράσος καὶ γλῶτταν εὔπορον δότε
φωνήν τ' ἀναιδῆ. ταῦτα φροντίζοντί μοι
ἐκ δεξιᾶς ἀπέπαρδε καταπύγων ἀνήρ.
κἀγὼ προσέκυσα· κᾆτα τῷ πρωκτῷ θενὼν
τὴν κιγκλίδ' ἐξήραξα, κἀναχανὼν μέγα
ἀνέκραγον· ὦ βουλὴ, λόγους ἀγαθοὺς φέρων
εὐαγγελίσασθαι πρῶτον ὑμῖν βούλομαι·
ἐξ οὗ γὰρ ἡμῖν ὁ πόλεμος κατερράγη,
οὐπώποτ' ἀφύας εἶδον ἀξιωτέρας.
οἱ δ' εὐθέως τὰ πρόσωπα διεγαλήνισαν·
εἶτ' ἐστεφάνουν μ' εὐαγγέλια· κἀγὼ 'φρασα
αὐτοῖς ἀπόρρητον ποιησάμενος ταχὺ,
ἵνα τὰς ἀφύας ὠνοῖντο πολλὰς τοὐβολοῦ,
τῶν δημιουργῶν ξυλλαβεῖν τὰ τρυβλία.
οἱ δ' ἀνεκρότησαν καὶ πρὸς ἔμ' ἐκεχήνεσαν.
ὁ δ' ὑπονοήσας, ὁ Παφλαγὼν, εἰδὼς θ' ἅμα
οἷς ἥδεθ' ἡ βουλὴ μάλιστα ῥήμασιν,
γνώμην ἔλεξεν· ἄνδρες, ἤδη μοι δοκεῖ
ἐπὶ συμφοραῖς ἀγαθαῖσιν εἰσηγγελμέναις
εὐαγγέλια θύειν ἑκατὸν βοῦς τῇ θεῷ.
ἐπένευσεν εἰς ἐκεῖνον ἡ βουλὴ πάλιν.
κἄγωγ' ὅτε δὴ 'γνων τοῖς βολίτοις ἡττημένος,
διακοσίαισι βουσὶν ὑπερηκόντισα·
τῇ δ' Ἀγροτέρᾳ κατὰ χιλίων παρῄνεσα
εὐχὴν ποιήσασθαι χιμάρων εἰσαύριον,
αἱ τριχίδες εἰ γενοίαθ' ἑκατὸν τοὐβολοῦ.
ἐκαραδόκησεν εἰς ἔμ' ἡ βουλὴ πάλιν.
ὁ δὲ ταῦτ' ἀκούσας ἐκπλαγεὶς ἐφληνάφα.
κᾆθ' εἷλκον αὐτὸν οἱ πρυτάνεις χοἱ τοξόται.
οἱ δ' ἐθορύβουν περὶ τῶν ἀφύων ἑστηκότες·
ὁ δ' ἠντιβόλει γ' αὐτοὺς ὀλίγον μεῖναι χρόνον,
ἵν' ἅτθ' ὁ κῆρυξ οὐκ Λακεδαίμονος λέγει
πύθησθ'· ἀφῖκται γὰρ περὶ σπονδῶν λέγων.
οἱ δ' ἐξ ἑνὸς στόματος ἅπαντες ἀνέκραγον·
νυνὶ περὶ σπονδῶν; ἐπειδή γ', ὦ μέλε,
ᾔσθοντο τὰς ἀφύας παρ' ἡμῖν ἀξίας;

οὐ δεόμεθα σπονδῶν· ὁ πόλεμος ἑρπέτω.
ἐκεκράγεσάν τε τοὺς πρυτάνεις ἀφιέναι·
εἶθ' ὑπερεπήδων τοὺς δρυφάκτους πανταχῆ.
ἐγὼ δὲ τὰ κορίανν' ἐπριάμην ὑποδραμὼν
ἅπαντα τά τε γήτει' ὅσ' ἦν ἐν τἀγορᾷ·
ἔπειτα ταῖς ἀφύαις ἐδίδουν ἡδύσματα
ἀποροῦσιν αὐτοῖς προῖκα, κἀχαριζόμην.
οἱ δ' ὑπερεπῄνουν ὑπερεπύππαζόν τέ με
ἅπαντες οὕτως ὥστε τὴν βουλὴν ὅλην
ὀβολοῦ κοριάννοις ἀναλαβὼν ἐλήλυθα.

ΧΟΡΟΣ.

πάντα τοι πέπραγας οἷα χρὴ τὸν εὐτυχοῦντα·
εὗρε δ' ὁ πανοῦργος ἕτερον πολὺ πανουργίαις
μείζοσι κεκασμένον,
καὶ δόλοισι ποικίλοις,
ῥήμασίν θ' αἱμύλοις.
ἀλλ' ὅπως ἀγωνιεῖ φρόν-
τιζε τἀπίλοιπ' ἄριστα·
συμμάχους δ' ἡμᾶς ἔχων εὔ-
νους ἐπίστασαι πάλαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ μὴν ὁ Παφλαγὼν οὑτοσὶ προσέρχεται,
ὠθῶν κολόκυμα καὶ ταράττων καὶ κυκῶν,
ὡς δὴ καταπιόμενός με. μορμὼ τοῦ θράσους.

ΚΛΕΩΝ.

εἰ μή σ' ἀπολέσαιμ', εἴ τι τῶν αὐτῶν ἐμοὶ
ψευδῶν ἐνείη, διαπέσοιμι πανταχῇ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἥσθην ἀπειλαῖς, ἐγέλασα ψολοκομπίαις,
ἀπεπυδάρισα μόθωνα, περιεκόκκασα.

ΚΛΕΩΝ.

οὔ τοι μὰ τὴν Δήμητρά γ', εἰ μή σ' ἐκφάγω
ἐκ τῆσδε τῆς γῆς, οὐδέποτε βιώσομαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

εἰ μὴ 'κφάγῃς; ἐγὼ δέ γ', εἰ μή σ' ἐκπίω,
κἆτ' ἐκροφήσας αὐτὸς ἐπιδιαρραγῶ.

ΚΛΕΩΝ.

ἀπολῶ σε νὴ τὴν προεδρίαν τὴν ἐκ Πύλου.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἰδοὺ προεδρίαν· οἷον ὄψομαί σ' ἐγὼ
ἐκ τῆς προεδρίας ἔσχατον θεώμενον.

ΚΛΕΩΝ.

ἐν τῷ ξύλῳ δήσω σε νὴ τὸν οὐρανόν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὡς ὀξύθυμος. φέρε τί σοι δῶ καταφαγεῖν;
ἐπὶ τῷ φάγοις ἥδιστ' ἄν; ἐπὶ βαλαντίῳ;

ΚΛΕΩΝ.

ἐξαρπάσομαί σου τοῖς ὄνυξι τἄντερα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀπονυχιῶ σου τἀν πρυτανείῳ σιτία.

ΚΛΕΩΝ.

ἕλξω σε πρὸς τὸν δῆμον, ἵνα δῷς μοι δίκην.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

κἀγὼ δέ σ' ἕλξω καὶ διαβαλῶ πλείονα.

ΚΛΕΩΝ.

ἀλλ', ὦ πονηρέ, σοὶ μὲν οὐδὲν πείθεται·
ἐγὼ δ' ἐκείνου καταγελῶ γ' ὅσον θέλω.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὡς σφόδρα σὺ τὸν δῆμον σεαυτοῦ νενόμικας.

ΚΛΕΩΝ.

ἐπίσταμαι γὰρ αὐτὸν οἷς ψωμίζεται.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

κᾆθ' ὥσπερ αἱ τιτθαί γε σιτίζεις κακῶς.
μασώμενος γὰρ τῷ μὲν ὀλίγον ἐντίθης,
αὐτὸς δ' ἐκείνου τριπλάσιον κατέσπακας.

ΚΛΕΩΝ.

καὶ νὴ Δί' ὑπό γε δεξιότητος τῆς ἐμῆς
δύναμαι ποιεῖν τὸν δῆμον εὐρὺν καὶ στενόν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

χὠ πρωκτὸς οὑμὸς τουτογὶ σοφίζεται.

ΚΛΕΩΝ.

οὐκ, ὦγάθ', ἐν βουλῇ με δόξεις καθυβρίσαι.
ἴωμεν εἰς τὸν δῆμον.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὐδὲν κωλύει·
ἰδοὺ, βάδιζε, μηδὲν ἡμᾶς ἰσχέτω.

ΚΛΕΩΝ.

ὦ Δῆμε, δεῦρ' ἔξελθε.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

νὴ Δί', ὦ πάτερ,
ἔξελθε δῆτ'.

ΚΛΕΩΝ.

ὦ Δημίδιον ὦ φίλτατον,
ἔξελθ', ἵν' εἰδῇς οἷα περιυβρίζομαι.

ΔΗΜΟΣ.

τίνες οἱ βοῶντες; οὐκ ἄπιτ' ἀπὸ τῆς θύρας;
τὴν εἰρεσιώνην μου κατεσπαράξατε.
τίς, ὦ Παφλαγὼν, ἀδικεῖ σε;

ΚΛΕΩΝ.

διὰ σὲ τύπτομαι
ὑπὸ τουτουὶ καὶ τῶν νεανίσκων.

ΔΗΜΟΣ.

τιή;

ΚΛΕΩΝ.

ὁτιὴ φιλῶ σ', ὦ Δῆμ', ἐραστής τ' εἰμὶ σός.

ΔΗΜΟΣ.

σὺ δ' εἶ τίς ἐτεόν;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀντεραστὴς τουτουί,
ἐρῶν πάλαι σου, βουλόμενός τέ σ' εὖ ποιεῖν,
ἄλλοι τε πολλοὶ καὶ καλοί τε κἀγαθοί.
ἀλλ' οὐχ οἷοί τ' ἐσμὲν διὰ τουτονί. σὺ γὰρ
ὅμοιος εἶ τοῖς παισὶ τοῖς ἐρωμένοις·
τοὺς μὲν καλούς τε κἀγαθοὺς οὐ προσδέχει,
σαυτὸν δὲ λυχνοπώλαισι καὶ νευρορράφοις
καὶ σκυτοτόμοις καὶ βυρσοπώλαισιν δίδως.

ΚΛΕΩΝ.

εὖ γὰρ ποιῶ τὸν δῆμον.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

εἰπέ νυν, τί δρῶν;

ΚΛΕΩΝ.

ὅτι τῶν στρατηγῶν ὑποδραμὼν τῶν ἐκ Πύλου
πλεύσας ἐκεῖσε, τοὺς Λάκωνας ἤγαγον.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δὲ περιπατῶν γ' ἀπ' ἐργαστηρίου
ἕψοντος ἑτέρου τὴν χύτραν ὑφειλόμην.

ΚΛΕΩΝ.

καὶ μὴν ποιήσας αὐτίκα μάλ' ἐκκλησίαν,

ὦ Δῆμ', ἵν' εἰδῇς ὁπότερος νῷν ἐστί σοι
εὐνούστερος, διάκρινον, ἵνα τοῦτον φιλῇς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ναὶ ναὶ διάκρινον δῆτα, πλὴν μὴ 'ν τῇ πυκνί.

ΔΗΜΟΣ.

οὐκ ἂν καθιζοίμην ἐν ἄλλῳ χωρίῳ·
ἀλλ' ἐς τὸ πρόσθε χρὴ παρεῖν' ἐς τὴν πύκνα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οἴμοι κακοδαίμων, ὡς ἀπόλωλ'. ὁ γὰρ γέρων
οἴκοι μὲν ἀνδρῶν ἐστι δεξιώτατος,
ὅταν δ' ἐπὶ ταυτησὶ κάθηται τῆς πέτρας,
κέχηνεν ὥσπερ ἐμποδίζων ἰσχάδας.

ΧΟΡΟΣ.

νῦν δεῖ σε πάντα δὴ κάλων ἐξιέναι σεαυτοῦ,
καὶ λῆμα θούριον φορεῖν καὶ λόγους ἀφύκτους,
ὅτοισι τόνδ' ὑπερβαλεῖ. ποικίλος γὰρ ἀνὴρ
κἀκ τῶν ἀμηχάνων πόρους εὐμηχάνους πορίζων.
πρὸς ταῦθ' ὅπως ἔξει πολὺς καὶ λαμπρὸς ἐς τὸν ἄνδρα.
ἀλλὰ φυλάττου, καὶ πρὶν ἐκεῖνον προσικέσθαι σου, πρότερον σὺ
τοὺς δελφῖνας μετεωρίζου καὶ τὴν ἄκατον παραβάλλου.

ΚΛΕΩΝ.

τῇ μὲν δεσποίνῃ Ἀθηναίῃ, τῇ τῆς πόλεως μεδεούσῃ,
εὔχομαι, εἰ μὲν περὶ τὸν δῆμον τὸν Ἀθηναίων γεγένημαι
βέλτιστος ἀνὴρ μετὰ Λυσικλέα καὶ Κύνναν καὶ Σαλαβακχώ,
ὥσπερ νυνὶ μηδὲν δράσας δειπνεῖν ἐν τῷ πρυτανείῳ·
εἰ δέ σε μισῶ καὶ μὴ περὶ σοῦ μάχομαι μόνος ἀντιβεβηκώς,
ἀπολοίμην καὶ διαπρισθείην κατατμηθείην τε λέπαδνα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

κἄγωγ', ὦ Δῆμ', εἰ μή σε φιλῶ καὶ μὴ στέργω, κατατμηθεὶς
ἑψοίμην ἐν περικομματίοις· κεἰ μὴ τούτοισι πέποιθας,
ἐπὶ ταυτησὶ κατακνησθείην ἐν μυττωτῷ μετὰ τυροῦ
καὶ τῇ κρεάγρᾳ τῶν ὀρχιπέδων ἑλκοίμην ἐς Κεραμεικόν.

ΚΛΕΩΝ.

καὶ πῶς ἂν ἐμοῦ μᾶλλόν σε φιλῶν, ὦ Δῆμε, γένοιτο πολίτης;
ὃς πρῶτα μέν, ἡνίκ' ἐβούλευόν σοι, χρήματα πλεῖστ' ἀπέδειξα
ἐν τῷ κοινῷ, τοὺς μὲν στρεβλῶν, τοὺς δ' ἄγχων, τοὺς δὲ μεταιτῶν,
οὐ φροντίζων τῶν ἰδιωτῶν οὐδενός, εἰ σοὶ χαριοίμην.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τοῦτο μέν, ὦ Δῆμ', οὐδὲν σεμνόν· κἀγὼ γάρ τοῦτό σε δράσω.
ἁρπάζων γὰρ τοὺς ἄρτους σοι τοὺς ἀλλοτρίους παραθήσω.
ὡς δ' οὐχὶ φιλεῖ σ' οὐδ' ἔστ' εὔνους, τοῦτ' αὐτό σε πρῶτα διδάξω,
ἀλλ' ἢ διὰ τοῦτ' αὔθ' ὁτιή σου τῆς ἀνθρακιᾶς ἀπολαύει.
σὲ γάρ, ὃς Μήδοισι διεξιφίσω περὶ τῆς χώρας Μαραθῶνι,
καὶ νικήσας ἡμῖν μεγάλως ἐγγλωττοτυπεῖν παρέδωκας,
ἐπὶ ταῖσι πέτραις οὐ φροντίζει σκληρῶς σε καθήμενον οὕτως,
οὐχ ὥσπερ ἐγὼ ῥαψάμενός σοι τουτὶ φέρω. ἀλλ' ἐπαναίρου,
κἆτα καθίζου μαλακῶς, ἵνα μὴ τρίβῃς τὴν ἐν Σαλαμῖνι.

ΔΗΜΟΣ.

ἄνθρωπε, τίς εἶ; μῶν ἔκγονος εἶ τῶν Ἁρμοδίου τις ἐκείνων;
τοῦτό γέ τοί σου τοὖργον ἀληθῶς γενναῖον καὶ φιλόδημον.

ΚΛΕΩΝ.

ὡς ἀπὸ μικρῶν εὔνους αὐτῷ θωπευματίων γεγένησαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ σὺ γὰρ αὐτὸν πολὺ μικροτέροις τούτων δελεάσμασιν εἷλες.

ΚΛΕΩΝ.

καὶ μὴν εἴ πού τις ἀνὴρ ἐφάνη τῷ δήμῳ μᾶλλον ἀμύνων
ἢ μᾶλλον ἐμοῦ σε φιλῶν, ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ πῶς σὺ φιλεῖς, ὃς τοῦτον ὁρῶν οἰκοῦντ' ἐν ταῖς πιθάκναισι
καὶ γυπαρίοις καὶ πυργιδίοις ἔτος ὄγδοον οὐκ ἐλεαίρεις,
ἀλλὰ καθείρξας αὐτὸν βλίττεις· Ἀρχεπτολέμου δὲ φέροντος
τὴν εἰρήνην ἐξεσκέδασας, τὰς πρεσβείας τ' ἀπελαύνεις
ἐκ τῆς πόλεως ῥαθαπυγίζων, αἳ τὰς σπονδὰς προκαλοῦνται.

ΚΛΕΩΝ.

ἵνα γ' Ἑλλήνων ἄρξῃ πάντων. ἔστι γὰρ ἐν τοῖς λογίοισιν
ὡς τοῦτον δεῖ ποτ' ἐν Ἀρκαδίᾳ πεντώβολον ἡλιάσασθαι,
ἢν ἀναμείνῃ· πάντως δ' αὐτὸν θρέψω 'γὼ καὶ θεραπεύσω,
ἐξευρίσκων εὖ καὶ μιαρῶς ὁπόθεν τὸ τριώβολον ἕξει.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὐχ ἵνα γ' ἄρχῃ μὰ Δί' Ἀρκαδίας προνοούμενος, ἀλλ' ἵνα μᾶλλον
σὺ μὲν ἁρπάζῃς καὶ δωροδοκῇς παρὰ τῶν πόλεων· ὁ δὲ δῆμος
ὑπὸ τοῦ πολέμου καὶ τῆς ὁμίχλης ἃ πανουργεῖς μὴ καθορᾷ σου,
ἀλλ' ὑπ' ἀνάγκης ἅμα καὶ χρείας καὶ μισθοῦ πρός σε κεχήνῃ.

756 — 760. == 836 — 840.

εἰ δέ ποτ' εἰς ἀγρὸν οὗτος ἀπελθὼν εἰρηναῖος διατρίψῃ,
καὶ χῖδρα φαγὼν ἀναθαρρήσῃ καὶ στεμφύλῳ εἰς λόγον ἔλθῃ,
γνώσεται οἵων ἀγαθῶν αὐτὸν τῇ μισθοφορᾷ παρεκόπτου,
εἶθ' ἥξει σοι δριμὺς ἄγροικος, κατὰ σοῦ τὴν ψῆφον ἰχνεύων.
ἃ σὺ γιγνώσκων τόνδ' ἐξαπατᾷς, καὶ ὀνειροπολεῖς περὶ σαυτοῦ.

ΚΛΕΩΝ.

οὔκουν δεινὸν ταυτί σε λέγειν δῆτ' ἔστ' ἐμὲ καὶ διαβάλλειν
πρὸς Ἀθηναίους καὶ τὸν δῆμον, πεποιηκότα πλείονα χρηστὰ
νὴ τὴν Δήμητρα Θεμιστοκλέους πολλῷ περὶ τὴν πόλιν ἤδη;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὦ πόλις Ἄργους, κλύεθ' οἷα λέγει. σὺ Θεμιστοκλεῖ ἀντιφερίζεις;
ὃς ἐποίησεν τὴν πόλιν ἡμῶν μεστὴν εὑρὼν ἐπιχειλῆ,
καὶ πρὸς τούτοις ἀριστώσῃ τὸν Πειραιᾶ προσέμαξεν,
ἀφελών τ' οὐδὲν τῶν ἀρχαίων ἰχθῦς καινοὺς παρέθηκε.
σὺ δ' Ἀθηναίους ἐζήτησας μικροπολίτας ἀποφῆναι
διατειχίζων καὶ χρησμῳδῶν, ὁ Θεμιστοκλεῖ ἀντιφερίζων.
κἀκεῖνος μὲν φεύγει τὴν γῆν, σὺ δ' Ἀχιλλείων ἀπομάττει.

ΚΛΕΩΝ.

οὔκουν ταυτὶ δεινὸν ἀκούειν, ὦ Δῆμ', ἐστίν μ' ὑπὸ τούτου,
ὁτιή σε φιλῶ;

ΔΗΜΟΣ.

παῦ παῦ', οὗτος, καὶ μὴ σκέρβολλε πονηρά.
πολλοῦ δὲ πολύν με χρόνον καὶ νῦν ἐλελήθης ἐγκρυφιάζων.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

μιαρώτατος, ὦ Δημακίδιον, καὶ πλεῖστα πανοῦργα δεδρακώς,
ὁπόταν χασμᾷ, καὶ τοὺς καυλοὺς
τῶν εὐθυνῶν ἐκκαυλίζων
καταβροχθίζει, κἀμφοῖν χειροῖν
μυστιλᾶται τῶν δημοσίων.

ΚΛΕΩΝ.

οὐ χαιρήσεις, ἀλλά σε κλέπτονθ'
αἱρήσω 'γὼ τρεῖς μυριάδας.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τί θαλαττοκοπεῖς καὶ πλατυγίζεις,
μιαρώτατος ὢν περὶ τὸν δῆμον
τὸν Ἀθηναίων; καί σ' ἐπιδείξω
νὴ τὴν Δήμητρ', ἢ μὴ ζῴην,
δωροδοκήσαντ' ἐκ Μυτιλήνης
πλεῖν ἢ μνᾶς τετταράκοντα.

ΧΟΡΟΣ.

ὦ πᾶσιν ἀνθρώποις φανεὶς μέγιστον ὠφέλημα,
ζηλῶ σε τῆς εὐγλωττίας. εἰ γὰρ ὧδ' ἐποίσεις,
μέγιστος Ἑλλήνων ἔσει, καὶ μόνος καθέξεις
τἀν τῇ πόλει, τῶν ξυμμάχων τ' ἄρξεις ἔχω[ν] τρίαιναν,
ᾗ πολλὰ χρήματ' ἐργάσει σείων τε καὶ ταράττω[ν]
καὶ μὴ μεθῇς τὸν ἄνδρ', ἐπειδή σοι λαβὴν ἐ[...]δωκεν·
κατεργάσει γὰρ ῥᾳδίως, πλευρὰς ἔχων τοιαύτ[ας]

ΚΛΕΩΝ.

οὐκ, ὦγαθοί, ταῦτ' ἐστί πω ταύτῃ μὰ τὸν Π[ο]σειδῶ.
ἐμοὶ γάρ ἐστ' εἰργασμένον τοιοῦτον ἔργον ὥ[στε]
ἁπαξάπαντας τοὺς ἐμοὺς ἐχθροὺς ἐπιστομίζειν
ἕως ἂν ᾖ τῶν ἀσπίδων τῶν ἐκ Πύλου τι λοιπ[όν]

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐπίσχες ἐν ταῖς ἀσπίσιν· λαβὴν γὰρ ἐνδέδω[κας]
οὐ γάρ σ' ἐχρῆν, εἴπερ φιλεῖς τὸν δῆμον, [...] προνοίας
ταύτας ἐᾶν αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆνα[ι]
ἀλλ' ἐστὶ τοῦτ', ὦ Δῆμε, μηχάνημ', ἵν', ἢ[ν] βούλῃ
τὸν ἄνδρα κολάσαι τουτονί, σοὶ τοῦτο μὴ 'γ[γέ]νηται.
ὁρᾷς γὰρ αὐτῷ στῖφος οἷόν ἐστι βυρσοπωλῶ[ν]
νεανιῶν· τούτους δὲ περιοικοῦσι μελιτοπῶλα[ι]
καὶ τυροπῶλαι· τοῦτο δ' εἰς ἓν ἐστι συγκεκυ[φός].
ὥστ' εἰ σὺ βριμήσαιο καὶ βλέψειας ὀστρακίν[δα]
νύκτωρ κατασπάσαντες ἂν τὰς ἀσπίδας θέον[τες]
τὰς εἰσβολὰς τῶν ἀλφίτων ἂν καταλάβοιεν ἡμ[ῶν].

ΔΗΜΟΣ.

οἴμοι τάλας· ἔχουσι γὰρ πόρπακας; ὦ πονη[ρέ],
ὅσον με παρεκόπτου χρόνον τοιαῦτα κρουσιδημ[ῶν].

ΚΛΕΩΝ.

ὦ δαιμόνιε, μὴ τοῦ λέγοντος ἴσθι, μηδ' οἰ[ηθῇς]
ἐμοῦ ποθ' εὑρήσειν φίλον βελτίον'· ὅστις εἷ[ς ὢν]
ἔπαυσα τοὺς ξυνωμότας, καί μ' οὐ λέληθεν ο[ὐδὲν]
ἐν τῇ πόλει ξυνιστάμενον, ἀλλ' εὐθέως κέκρ[αγα].

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθ[ας].
ὅταν μὲν ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐ[δέν]
ἐὰν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκ[ῶσιν],
αἱροῦσι· καὶ σὺ λαμβάνεις, ἢν τὴν πόλιν ταρά[ττῃς].
ἓν δ' εἰπέ μοι τοσουτονί· σκύτη τοσαῦτα πω[λῶν]
ἔδωκας ἤδη τουτῳὶ κάττυμα παρὰ σεαυτοῦ
ταῖς ἐμβάσιν, φάσκων φιλεῖν;

ΔΗΜΟΣ.

οὐ δῆτα μὰ τὸν Ἀπ[όλλω].

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἔγνωκας οὖν δῆτ' αὐτὸν οἷός ἐστιν; ἀλλ' ἐγ[ὼ σοι]
ζεῦγος πριάμενος ἐμβάδοιν τουτὶ φορεῖν δίδ[ωμι].

ΔΗΜΟΣ.

κρίνω σ' ὅσων ἐγῷδα περὶ τὸν δῆμον ἄ[νδρ'] ἄριστον
εὐνούστατόν τε τῇ πόλει καὶ τοῖσι δακτύλ[οις].

ΚΛΕΩΝ.

οὐ δεινὸν οὖν δῆτ' ἐμβάδας τοσουτονὶ δύνα[σθαι],
ἐμοῦ δὲ μὴ μνείαν ἔχειν ὅσων πέπονθας; [...]
ἔπαυσα τοὺς βινουμένους, τὸν Γρύττον ἐξαλ[είψας].

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὔκουν σε δῆτα ταῦτα δεινόν ἐστι πρωκτοτη[ρεῖν]

παῦσαί τε τοὺς βινουμένους; κοὐκ ἔσθ' ὅπως ἐκείνους
οὐχὶ φθονῶν ἔπαυσας, ἵνα μὴ ῥήτορες γένοιντο.
τονδὶ δ' ὁρῶν ἄνευ χιτῶνος ὄντα τηλικοῦτον,
οὐπώποτ' ἀμφιμασχάλου τὸν Δῆμον ἠξίωσας,
χειμῶνος ὄντος· ἀλλ' ἐγώ σοι τουτονὶ δίδωμι.

ΔΗΜΟΣ.

τοιουτονὶ Θεμιστοκλῆς οὐπώποτ' ἐπενόησεν.
καίτοι σοφὸν κἀκεῖν' ὁ Πειραιεύς· ἔμοιγε μέντοι
οὐ μεῖζον εἶναι φαίνετ' ἐξεύρημα τοῦ χιτῶνος.

ΚΛΕΩΝ.

οἴμοι τάλας, οἵοις πιθηκισμοῖς με περιελαύνεις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὔκ, ἀλλ' ὅπερ πίνων ἀνὴρ πέπονθ' ὅταν χεσείῃ.
τοῖσιν τρόποις τοῖς σοῖσιν ὥσπερ βλαυτίοισι χρῶμαι.

ΚΛΕΩΝ.

ἀλλ' οὐχ ὑπερβαλεῖ με θωπείαις· ἐγὼ γὰρ αὐτὸν
προσαμφιῶ τοδί· σὺ δ' οἴμωζ', ὦ πονήρ'.

ΔΗΜΟΣ.

ἰαιβοῖ.
οὐκ ἐς κόρακας ἀποφθερεῖ, βύρσης κάκιστον ὄζων;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ τοῦτό γ' ἐπίτηδές σε περιήμπεσχεν, ἵν' ἀποπνίξῃ·
καὶ πρότερον ἐπεβούλευσέ σοι. τὸν καυλὸν οἶσθ' ἐκεῖνον
τοῦ σιλφίου τὸν ἄξιον γενόμενον;

ΔΗΜΟΣ.

οἶδα μέντοι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐπίτηδες οὗτος αὐτὸν ἔσπευδ' ἄξιον γενέσθαι,
ἵν' ἐσθίοιτ' ὠνούμενοι, κἄπειτ' ἐν Ἡλιαίᾳ
βδέοντες ἀλλήλους ἀποκτείνειαν οἱ δικασταί.

ΔΗΜΟΣ.

νὴ τὸν Ποσειδῶ καὶ πρὸς ἐμὲ τοῦτ' εἶπ' ἀνὴρ κόπρειος.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὐ γὰρ τόθ' ὑμεῖς βδεόμενοι δήπου 'γένεσθε πυρροί;

ΔΗΜΟΣ.

καὶ νὴ Δί' ἦν γε τοῦτο Πυρράνδρου τὸ μηχάνημα.

ΚΛΕΩΝ.

οἵοισί μ', ὦ πανοῦργε, βωμολοχεύμασιν ταράττεις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἡ γὰρ θεός μ' ἐκέλευσε νικῆσαί σ' ἀλαζονείᾳ.

ΚΛΕΩΝ.

ἀλλ' οὐχὶ νικήσεις. ἐγὼ γάρ φημί σοι παρέξειν,
ὦ Δῆμε, μηδὲν δρῶντι μισθοῦ τρυβλίον ῥοφῆσαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δὲ κυλίχνιόν γέ σοι καὶ φάρμακον δίδωμι
τἀν τοῖσιν ἀντικνημίοις ἑλκύδρια περιαλείφειν.

ΚΛΕΩΝ.

ἐγὼ δὲ τὰς πολιάς γέ σου 'κλέγων νέον ποιήσω.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἰδοὺ δέχου κέρκον λαγὼ τὠφθαλμιδίω περιψῆν.

ΚΛΕΩΝ.

ἀπομυξάμενος ὦ Δῆμέ μου πρὸς τὴν κεφαλὴν ἀποψῶ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐμοῦ μὲν οὖν.

ΚΛΕΩΝ.

ἐμοῦ μὲν οὖν.
ἐγώ σε ποιήσω τριη-
ραρχεῖν, ἀναλίσκοντα τῶν
σαυτοῦ, παλαιὰν ναῦν ἔχοντ',
εἰς ἣν ἀναλῶν οὐκ ἐφέ-
ξεις οὐδὲ ναυπηγούμενος·
διαμηχανήσομαί θ' ὅπως
ἂν ἱστίον σαπρὸν λάβῃς.

ΧΟΡΟΣ.

ἀνὴρ παφλάζει, παῦε παῦ',
ὑπερζέων· ὑφελκτέον
τῶν δαλίων, ἀπαρυστέον
τε τῶν ἀπειλῶν ταυτηί.

ΚΛΕΩΝ.

δώσεις ἐμοὶ καλὴν δίκην,
ἰπούμενος ταῖς εἰσφοραῖς.
ἐγὼ γὰρ εἰς τοὺς πλουσίους
σπεύσω σ' ὅπως ἂν ἐγγραφῇς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δ' ἀπειλήσω μὲν οὐ-
δέν, εὔχομαι δέ σοι ταδί·
τὸ μὲν τάγηνον τευθίδων
ἐφεστάναι σίζον· σὲ δὲ
γνώμην ἐρεῖν μέλλοντα περὶ
Μιλησίων καὶ κερδανεῖν
τάλαντον, ἣν κατεργάσῃ,
σπεύδειν ὅπως τῶν τευθίδων
ἐμπλήμενος φθαίης ἔτ' εἰς
ἐκκλησίαν ἐλθεῖν· ἔπει-
τα πρὶν φαγεῖν, ἀνὴρ μεθή-
κοι, καὶ σὺ τὸ τάλαντον λαβεῖν
βουλόμενος ἐ-
σθίων ἐπαποπνιγείης.

ΧΟΡΟΣ.

εὖ γε νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω καὶ τὴν Δήμητρα.

ΔΗΜΟΣ.

κἀμοὶ δοκεῖ καὶ τἄλλα γ' εἶναι καταφανῶς
ἀγαθὸς πολίτης, οἷος οὐδείς πω χρόνου
ἀνὴρ γεγένηται τοῖσι πολλοῖς τοὐβολοῦ.
σὺ δ', ὦ Παφλαγών, φάσκων φιλεῖν μ' ἐσκορόδισας.
καὶ νῦν ἀπόδος τὸν δακτύλιον, ὡς οὐκ ἔτι
ἐμοὶ ταμιεύσεις.

ΚΛΕΩΝ.

ἔχε· τοσοῦτον δ' ἴσθ' ὅτι,
εἰ μή μ' ἐάσεις ἐπιτροπεύειν, ἕτερος αὖ
ἐμοῦ πανουργότερός τις ἀναφανήσεται.

ΔΗΜΟΣ.

οὐκ ἔσθ' ὅπως ὁ δακτύλιός ἐσθ' οὑτοσὶ
οὐμός· τὸ γοῦν σημεῖον ἕτερον φαίνεται,
ἀλλ' ἢ οὐ καθορῶ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

φέρ' ἴδω, τί σοι σημεῖον ἦν;

ΔΗΜΟΣ.

δημοῦ βοείου θρῖον ἐξωπτημένον.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὐ τοῦτ' ἔνεστιν.

ΔΗΜΟΣ.

οὐ τὸ θρῖον; ἀλλὰ τί;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν.

ΔΗΜΟΣ.

αἰβοῖ τάλας.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τί ἔστιν;

ΔΗΜΟΣ.

ἀπόφερ' ἐκποδών.
οὐ τὸν ἐμὸν εἶχεν, ἀλλὰ τὸν Κλεωνύμου.
παρ' ἐμοῦ δὲ τουτονὶ λαβὼν ταμίευέ μοι.

ΚΛΕΩΝ.

μὴ δῆτά πώ γ', ὦ δέσποτ', ἀντιβολῶ σ' ἐγώ,
πρὶν ἄν γε τῶν χρησμῶν ἀκούσῃς τῶν ἐμῶν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ τῶν ἐμῶν νυν.

ΚΛΕΩΝ.

ἀλλ' ἐὰν τούτῳ πίθῃ,
μολγὸν γενέσθαι δεῖ σε.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

κἂν γε τουτῳί,
ψωλὸν γενέσθαι δεῖ σε μέχρι τοῦ μυρρίνου.

ΚΛΕΩΝ.

ἀλλ' οἵ γ' ἐμοὶ λέγουσιν ὡς ἄρξαι σε δεῖ
χώρας ἁπάσης ἐστεφανωμένον ῥόδοις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὑμοὶ δέ γ' αὖ λέγουσιν ὡς ἁλουργίδα
ἔχων κατάπαστον καὶ στεφάνην ἐφ' ἅρματος
χρυσοῦ διώξει Σμικύθην καὶ κύριον.

ΔΗΜΟΣ.

καὶ μὴν ἔνεγκ' αὐτοὺς ἰών, ἵν' οὑτοσὶ
αὐτῶν ἀκούσῃ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

πάνυ γε.

ΔΗΜΟΣ.

καὶ σύ νυν φέρε.

ΚΛΕΩΝ.

ἰδού.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἰδοὺ νὴ τὸν Δί'· οὐδὲν κωλύει.

ΧΟΡΟΣ.

ἥδιστον φάος ἡμέρας
ἔσται τοῖσι παροῦσι πᾶ-
σιν καὶ τοῖς ἀφικνουμένοις,
ἢν Κλέων ἀπόληται.
καίτοι πρεσβυτέρων τινῶν
οἵων ἀργαλεωτάτων
ἐν τῷ δείγματι τῶν δικῶν
ἤκουσ' ἀντιλεγόντων,
ὡς εἰ μὴ 'γένεθ' οὗτος ἐν
τῇ πόλει μέγας, οὐκ ἂν ἤ-
στην σκεύη δύο χρησίμω,
δοίδυξ οὐδὲ τορύνη.
ἀλλὰ καὶ τόδ' ἔγωγε θαυ-

973 — 984. == 985 — 996.

μάζω τῆς ὑομουσίας
αὐτοῦ· φασὶ γὰρ αὐτὸν οἱ
παῖδες οἳ ξυνεφοίτων
τὴν Δωριστὶ μόνην ἐναρ-
μόττεσθαι θαμὰ τὴν λύραν,
ἄλλην δ' οὐκ ἐθέλειν λαβεῖν·
κᾆτα τὸν κιθαριστὴν
ὀργισθέντ' ἀπάγειν κελεύ-
ειν, ὡς ἁρμονίαν ὁ παῖς
οὗτος οὐ δύναται μαθεῖν
ἢν μὴ Δωροδοκηστί.

ΚΛΕΩΝ.

ἰδού, θέασαι, κοὐχ ἅπαντας ἐκφέρω.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οἴμ' ὡς χεσείω, κοὐχ ἅπαντας ἐκφέρω.

ΔΗΜΟΣ.

ταυτὶ τί ἐστι;

ΚΛΕΩΝ.

λόγια.

ΔΗΜΟΣ.

πάντ';

ΚΛΕΩΝ.

ἐθαύμασας;
καὶ νὴ Δί' ἔτι γέ μοὔστι κιβωτὸς πλέα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐμοὶ δ' ὑπερῷον καὶ ξυνοικία δύο.

ΔΗΜΟΣ.

φέρ' ἴδω, τίνος γάρ εἰσιν οἱ χρησμοί ποτε;

ΚΛΕΩΝ.

οὑμοὶ μέν εἰσι Βάκιδος.

ΔΗΜΟΣ.

οἱ δὲ σοὶ τίνος;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

Γλάνιδος, ἀδελφοῦ τοῦ Βάκιδος γεραιτέρου.

ΔΗΜΟΣ.

εἰσὶν δὲ περὶ τοῦ;

ΚΛΕΩΝ.

περὶ Ἀθηνῶν, περὶ Πύλο
περὶ σοῦ, περὶ ἐμοῦ, περὶ ἁπάντων πραγμά

ΔΗΜΟΣ.

οἱ σοὶ δὲ περὶ τοῦ;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

περὶ Ἀθηνῶν, περὶ φα
περὶ Λακεδαιμονίων, περὶ σκόμβρων νέων,
περὶ τῶν μετρούντων τἄλφιτ' ἐν ἀγορᾷ κα
περὶ σοῦ, περὶ ἐμοῦ. τὸ πέος οὑτοσὶ διακο

ΔΗΜΟΣ.

ἄγε νυν ὅπως αὐτοὺς ἀναγνώσεσθέ μοι,
καὶ τὸν περὶ ἐμοῦ 'κεῖνον ᾧπερ ἥδομαι,
ὡς ἐν νεφέλαισιν αἰετὸς γενήσομαι.

ΚΛΕΩΝ.

ἄκουε δή νυν καὶ πρόσεχε τὸν νοῦν ἐμοί.
Φράζευ, Ἐρεχθείδη, λογίων ὁδόν, ἥν σοι Ἀπό
ἴαχεν ἐξ ἀδύτοιο διὰ τριπόδων ἐριτίμων.
σώζεσθαί σ' ἐκέλευσ' ἱερὸν κύνα καρχαρόδ
ὃς πρὸ σέθεν χάσκων καὶ ὑπὲρ σοῦ δεινὰ
κραγὼς
σοὶ μισθὸν ποριεῖ, κἂν μὴ δρᾷ ταῦτ', ἀπολ
πολλοὶ γὰρ μίσει σφε κατακρώζουσι κολοιοί

ΔΗΜΟΣ.
ταυτὶ μὰ τὴν Δήμητρ' ἐγὼ οὐκ οἶδ' ὅ τι λέγει.
τί γάρ ἐστ' Ἐρεχθεῖ καὶ κολοιοῖς καὶ κυνί;
ΚΛΕΩΝ.
ἐγὼ μέν εἰμ' ὁ κύων· πρὸ σοῦ γὰρ ἀπύω·
σοὶ δ' εἶπε σῴζεσθαί μ' ὁ Φοῖβος τὸν κύνα.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
οὐ τοῦτό φησ' ὁ χρησμὸς, ἀλλ' ὁ κύων ὁδὶ
ὥσπερ θύρας σοῦ τῶν λογίων παρεσθίει.
ἐμοὶ γάρ ἐστ' ὀρθῶς περὶ τούτου τοῦ κυνός.
ΔΗΜΟΣ.
λέγε νυν· ἐγὼ δὲ πρῶτα λήψομαι λίθον,
ἵνα μή μ' ὁ χρησμὸς ὁ περὶ τοῦ κυνὸς δάκῃ.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
Φράζευ, Ἐρεχθεΐδη, κύνα Κέρβερον ἀνδραποδιστήν,
ὃς κέρκῳ σαίνων σ', ὁπόταν δειπνῇς, ἐπιτηρῶν,
ἐξέδεταί σου τοὔψον, ὅταν σύ που ἄλλοσε χάσκῃς·
ἐσφοιτῶν τ' ἐς τοὐπτάνιον λήσει σε κυνηδὸν
νύκτωρ τὰς λοπάδας καὶ τὰς νήσους διαλείχων.
ΔΗΜΟΣ.
νὴ τὸν Ποσειδῶ πολύ γ' ἄμεινον, ὦ Γλάνι.
ΚΛΕΩΝ.
ὦ τᾶν, ἄκουσον, εἶτα διάκρινον τότε.
Ἔστι γυνὴ, τέξει τε λέονθ' ἱεραῖς ἐν Ἀθήναις,
ὃς περὶ τοῦ δήμου πολλοῖς κώνωψι μαχεῖται,
ὥστε περὶ σκύμνοισι βεβηκώς· τὸν σὺ φυλάξαι,
τεῖχος ποιήσας ξύλινον πύργους τε σιδηροῦς.
ταῦτ' οἶσθ' ὅ τι λέγει;
ΔΗΜΟΣ.
μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
ΚΛΕΩΝ.
ἔφραζεν ὁ θεός σοι σαφῶς σῴζειν ἐμέ·
ἐγὼ γὰρ ἀντὶ τοῦ λέοντός εἰμί σοι.
ΔΗΜΟΣ.
καὶ πῶς μ' ἐλελήθης Ἀντιλέων γεγενημένος;
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ἓν οὐκ ἀναδιδάσκει σε τῶν λογίων ἑκὼν
ὃ μόνον σιδηροῦν τεῖχός ἐστι καὶ ξύλον,
ἐν ᾧ σε σῴζειν τόνδ' ἐκέλευσ' ὁ Λοξίας.
ΔΗΜΟΣ.
πῶς δῆτα τοῦτ' ἔφραζεν ὁ θεός;
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
τουτονὶ
δῆσαί σ' ἐκέλευε πεντεσυρίγγῳ ξύλῳ.
ΔΗΜΟΣ.
ταυτὶ τελεῖσθαι τὰ λόγι' ἤδη μοι δοκεῖ.
ΚΛΕΩΝ.
μὴ πείθου· φθονεραὶ γὰρ ἐπικρώζουσι κορῶναι.
ἀλλ' ἱέρακα φίλει, μεμνημένος ἐν φρεσὶν, ὅς σοι
ἤγαγε συνδήσας Λακεδαιμονίων κορακίνους.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
τοῦτό γέ τοι Παφλαγὼν παρεκινδύνευσε μεθυσθείς.
Κεκροπίδη κακόβουλε, τί τοῦθ' ἡγεῖ μέγα τοὔργον;
καί κε γυνὴ φέροι ἄχθος, ἐπεί κεν ἀνὴρ ἀναθείη·
ἀλλ' οὐκ ἂν μαχέσαιτο· χέσαιτο γὰρ, εἰ μαχέσαιτο.

ΚΛΕΩΝ.
ἀλλὰ τόδε φράσσαι, πρὸ Πύλου Πύλον ἥν σοι ἔφραζεν.
Ἔστι Πύλος πρὸ Πύλοιο
ΔΗΜΟΣ.
τί τοῦτο λέγει, πρὸ Πύλοιο;
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
τὰς πυέλους φησὶν καταλήψεσθ' ἐν βαλανείῳ.
ΔΗΜΟΣ.
ἐγὼ δ' ἄλουτος τήμερον γενήσομαι.
οὗτος γὰρ ἡμῶν τὰς πυέλους ἀφήρπασεν.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ἀλλ' οὑτοσὶ γάρ ἐστι περὶ τοῦ ναυτικοῦ
ὁ χρησμὸς, ᾧ σε δεῖ προσέχειν τὸν νοῦν πάνυ.
ΔΗΜΟΣ.
προσέχω· σὺ δ' ἀναγίγνωσκε, τοῖς ναύταισί μου
ὅπως ὁ μισθὸς πρῶτον ἀποδοθήσεται.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
Αἰγείδη, φράσσαι κυναλώπεκα, μή σε δολώσῃ,
λαίθαργον, ταχύπουν, δολίαν κερδὼ, πολύιδριν.
οἶσθ' ὅ τί ἐστιν τοῦτο;
ΔΗΜΟΣ.
Φιλόστρατος ἡ κυναλώπηξ.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
οὐ τοῦτό φησιν, ἀλλὰ ναῦς ἑκάστοτε
αἰτεῖ ταχείας ἀργυρολόγους οὑτοσί·
ταύτας ἀπαυδᾷ μὴ διδόναι σ' ὁ Λοξίας.
ΔΗΜΟΣ.
πῶς δὴ τριήρης ἐστὶ κυναλώπηξ;
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ὅπως;
ὅτι ἡ τριήρης ἐστὶ χὠ κύων ταχύ.
ΔΗΜΟΣ.
πῶς οὖν ἀλώπηξ προσετέθη πρὸς τῷ κυνί;
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ἀλωπεκίοισι τοὺς στρατιώτας ᾔκασεν,
ὁτιὴ βότρυς τρώγουσιν ἐν τοῖς χωρίοις.
ΔΗΜΟΣ.
εἶεν·
τούτοις ὁ μισθὸς τοῖς ἀλωπεκίοισι ποῦ;
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ἐγὼ ποριῶ καὶ τοῦτον ἡμερῶν τριῶν.
ἀλλ' ἔτι τόνδ' ἐπάκουσον, ὃν εἶπέ σοι ἐξαλέασθαι,
χρησμὸν Λητοΐδης, Κυλλήνην, μή σε δολώσῃ.
ΔΗΜΟΣ.
ποίαν Κυλλήνην;
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
τὴν τούτου χεῖρ' ἐποίησεν
Κυλλήνην ὀρθῶς, ὁτιὴ φησ', ἔμβαλε κυλλῇ.
ΚΛΕΩΝ.
οὐκ ὀρθῶς φράζει· τὴν Κυλλήνην γὰρ ὁ Φοῖβος
εἰς τὴν χεῖρ' ὀρθῶς ᾐνίξατο τὴν Διοπείθους.
ἀλλὰ γάρ ἐστιν ἐμοὶ χρησμὸς περὶ σοῦ πτερυγωτὸς,
αἰετὸς ὡς γίγνει καὶ πάσης γῆς βασιλεύεις.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
καὶ γὰρ ἐμοὶ, καὶ γῆς καὶ τῆς ἐρυθρᾶς γε θαλάσσης,
χὤτι γ' ἐν Ἐκβατάνοις δικάσεις, λείχων ἐπίπαστα.

ΚΛΕΩΝ.

ἀλλ' ἐγὼ εἶδον ὄναρ, καί μουδόκει ἡ θεὸς αὐτὴ
τοῦ δήμου καταχεῖν ἀρυταίνῃ πλουθυγίειαν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

νὴ Δία καὶ γὰρ ἐγώ· καί μουδόκει ἡ θεὸς αὐτὴ
ἐκ πόλεως ἐλθεῖν καὶ γλαῦξ αὐτῇ 'πικαθῆσθαι·
εἶτα καταοπένδειν κατὰ τῆς κεφαλῆς ἀρυβάλλῳ
ἀμβροσίαν κατὰ σοῦ, κατὰ τούτου δὲ σκοροδάλμην.

ΔΗΜΟΣ.

ἰοὺ ἰού.
οὐκ ἦν ἄρ' οὐδεὶς τοῦ Γλάνιδος σοφώτερος.
καὶ νῦν ἐμαυτὸν ἐπιτρέπω σοι τουτονὶ
γερονταγωγεῖν κἀναπαιδεύειν πάλιν.

ΚΛΕΩΝ.

μήπω γ', ἱκετεύω σ', ἀλλ' ἀνάμεινον, ὡς ἐγὼ
κριθὰς ποριῶ σοι καὶ βίον καθ' ἡμέραν.

ΔΗΜΟΣ.

οὐκ ἀνέχομαι κριθῶν ἀκούων· πολλάκις
ἐξηπατήθην ὑπό τε σοῦ καὶ Θουφάνους.

ΚΛΕΩΝ.

ἀλλ' ἄλφιτ' ἤδη σοι ποριῶ 'σκευασμένα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δὲ μαζίσκας γε διαμεμαγμένας
καὶ τοὔψον ὀπτόν· μηδὲν ἄλλ' εἰ μὴ 'σθιε.

ΔΗΜΟΣ.

ἀνύσατέ νυν, ὅ τι περ ποιήσεθ'· ὡς ἐγώ,
ὁπότερος ἂν σφῷν εὖ με μᾶλλον ἂν ποιῇ,
τούτῳ παραδώσω τῆς πυκνὸς τὰς ἡνίας.

ΚΛΕΩΝ.

τρέχοιμ' ἂν εἴσω πρότερος.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὐ δῆτ', ἀλλ' ἐγώ.

ΧΟΡΟΣ.

ὦ Δῆμε, καλήν γ' ἔχεις
ἀρχήν, ὅτε πάντες ἄν-
θρωποι δεδίασί σ' ὥσ-
περ ἄνδρα τύραννον.
ἀλλ' εὐπαράγωγος εἶ,
θωπευόμενός τε χαί-
ρεις κἀξαπατώμενος,
πρὸς τόν τε λέγοντ' ἀεὶ
κέχηνας· ὁ νοῦς δέ σου
παρὼν ἀποδημεῖ.

ΔΗΜΟΣ.

νοῦς οὐκ ἔνι ταῖς κόμαις
ὑμῶν, ὅτε μ' οὐ φρονεῖν
νομίζετ'· ἐγὼ δ' ἑκὼν
ταῦτ' ἠλιθιάζω.
αὐτός τε γὰρ ἥδομαι
βρύλλων τὸ καθ' ἡμέραν,
κλέπτοντά τε βούλομαι
τρέφειν ἕνα προστάτην·
τοῦτον δ', ὅταν ᾖ πλέως,
ἄρας ἐπάταξα.

ΧΟΡΟΣ.

χοὔτω μὲν ἂν εὖ ποιοῖς,
εἴ σοι πυκνότης ἔνεστ'
ἐν τῷ τρόπῳ, ὡς λέγεις,
τούτῳ πάνυ πολλή,
εἰ τούσδ' ἐπίτηδες ὥσ-
περ δημοσίους τρέφεις
ἐν τῇ πυκνί, κᾆθ' ὅταν
μή σοι τύχῃ ὄψον ὄν,
τούτων ὃς ἂν ᾖ παχύς,
θύσας ἐπιδειπνεῖς.

1111—1130. = 1131—1150.

ΔΗΜΟΣ.

σκέψασθε δέ μ', εἰ σοφῶς
αὐτοὺς περιέρχομαι,
τοὺς οἰομένους φρονεῖν
κἄμ' ἐξαπατύλλειν.
τηρῶ γὰρ ἑκάστοτ' αὐ-
τούς, οὐδὲ δοκῶν ὁρᾶν,
κλέπτοντας· ἔπειτ' ἀναγ-
κάζω πάλιν ἐξεμεῖν
ἅττ' ἂν κεκλόφωσί μου,
κημὸν καταμηλῶν.

ΚΛΕΩΝ.

ἄπαγ' ἐς μακαρίαν ἐκποδών.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

σύ γ', ὦ φθ

ΚΛΕΩΝ.

ὦ Δῆμ', ἐγὼ μέντοι παρεσκευασμένος
τρίπαλαι κάθημαι, βουλόμενός σ' εὐεργετεῖν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δὲ δεκάπαλαί γε καὶ δωδεκάπαλαι
καὶ χιλιόπαλαι καὶ πρόπαλαι, πάλαι πάλαι.

ΔΗΜΟΣ.

ἐγὼ δὲ προσδοκῶν γε τρισμυριόπαλαι
βδελύττομαι σφώ, καὶ πρόπαλαι, πάλαι πά

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οἶσθ' οὖν ὃ δρᾶσον;

ΔΗΜΟΣ.

εἰ δὲ μή, φράσεις γε

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἄφες ἀπὸ βαλβίδων ἐμέ τε καὶ τουτονί,
ἵνα σ' εὖ ποιῶμεν ἐξ ἴσου.

ΔΗΜΟΣ.

δρᾶν ταῦτα χρή·
ἄπιτον.

ΚΛΕΩΝ.

ἰδού.

ΔΗΜΟΣ.

θέοιτ' ἄν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὑποθεῖν οὐκ ἐῶ.

ΔΗΜΟΣ.

ἀλλ' ἦ μεγάλως εὐδαιμονήσω τήμερον
ὑπὸ τῶν ἐραστῶν νὴ Δί' ἢ 'γὼ θρύψομαι.

ΚΛΕΩΝ.

ὁρᾷς; ἐγώ σοι πρότερος ἐκφέρω δίφρον.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀλλ' οὐ τράπεζαν, ἀλλ' ἐγὼ προτεραίτερος.

ΚΛΕΩΝ.

ἰδοὺ φέρω σοι τήνδε μαζίσκην ἐγὼ
ἐκ τῶν ὀλῶν τῶν ἐκ Πύλου μεμαγμένην.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δὲ μυστίλας μεμυστιλημένας
ὑπὸ τῆς θεοῦ τῇ χειρὶ τἠλεφαντίνῃ.

ΔΗΜΟΣ.
ὡς μέγαν ἄρ' εἶχες, ὦ πότνια, τὸν δάκτυλον.
ΚΛΕΩΝ.
ἐγὼ δ' ἔτνος γε πίσινον εὔχρων καὶ καλόν·
ἐτόρυνε δ' αὔθ' ἡ Παλλὰς ἡ Πυλαιμάχος.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ὦ Δῆμ', ἐναργῶς ἡ θεός σ' ἐπισκοπεῖ,
καὶ νῦν ὑπερέχει σου χύτραν ζωμοῦ πλέαν.
ΔΗΜΟΣ.
οἴει γὰρ οἰκεῖσθ' ἂν ἔτι τήνδε τὴν πόλιν,
εἰ μὴ φανερῶς ἡμῶν ὑπερεῖχε τὴν χύτραν;
ΚΛΕΩΝ.
τουτὶ τέμαχός σοὔδωκεν ἡ Φοβεσιστράτη.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ἡ δ' Ὀβριμοπάτρα γ' ἑφθὸν ἐκ ζωμοῦ κρέας
καὶ χόλικος ἠνύστρου τε καὶ γαστρὸς τόμον.
ΔΗΜΟΣ.
καλῶς γ' ἐποίησε τοῦ πέπλου μεμνημένη.
ΚΛΕΩΝ.
ἡ Γοργολόφα σ' ἐκέλευε τουτουὶ φαγεῖν
ἐλατῆρος, ἵνα τὰς ναῦς ἐλαύνωμεν καλῶς.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
λαβὲ καὶ ταδί νυν.
ΔΗΜΟΣ.
καὶ τί τούτοις χρήσομαι
τοῖς ἐντέροις;
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ἐπίτηδες αὔτ' ἔπεμψέ σοι
εἰς τὰς τριήρεις ἐντερόνειαν ἡ θεός·
ἐπισκοπεῖ γὰρ περιφανῶς τὸ ναυτικόν.
ἔχε καὶ πιεῖν κεκραμένον τρία καὶ δύο.
ΔΗΜΟΣ.
ὡς ἡδύς, ὦ Ζεῦ, καὶ τὰ τρία φέρων καλῶς.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ἡ Τριτογενὴς γὰρ αὐτὸν ἐνετριτώνισεν.
ΚΛΕΩΝ.
λαβέ νυν πλακοῦντος πίονος παρ' ἐμοῦ τόμον.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
παρ' ἐμοῦ δ' ὅλον γε τὸν πλακοῦντα τουτονί.
ΚΛΕΩΝ.
ἀλλ' οὐ λαγῷ' ἕξεις ὁπόθεν δῷς· ἀλλ' ἐγώ.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
οἴμοι· πόθεν λαγῷά μοι γενήσεται;
ὦ θυμέ, νυνὶ βωμολόχον ἔξευρέ τι.
ΚΛΕΩΝ.
ὁρᾷς τάδ', ὦ κακόδαιμον;
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ὀλίγον μοι μέλει·
ἐκεινοιὶ γὰρ ὡς ἔμ' ἔρχονται.
ΚΛΕΩΝ.
τίνες;
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
πρέσβεις ἔχοντες ἀργυρίου βαλάντια.
ΚΛΕΩΝ.
ποῦ ποῦ;
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
τί δέ σοι τοῦτ'; οὐκ ἐάσεις τοὺς ξένους;
ὦ Δημίδιον, ὁρᾷς τὰ λαγῷ' ἅ σοι φέρω;
ΚΛΕΩΝ.
οἴμοι τάλας, ἀδίκως γε τἄμ' ὑφήρπασας.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
νὴ τὸν Ποσειδῶ, καὶ σὺ γὰρ τοὺς ἐκ Πύλου.
ΔΗΜΟΣ.
εἴπ', ἀντιβολῶ, πῶς ἐπενόησας ἁρπάσαι;
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
τὸ μὲν νόημα τῆς θεοῦ, τὸ δὲ κλέμμ' ἐμόν.
ΚΛΕΩΝ.
ἐγὼ δ' ἐκινδύνευσ'.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ἐγὼ δ' ὤπτησά γε.
ΔΗΜΟΣ.
ἄπιθ'· οὐ γὰρ ἀλλὰ τοῦ παραθέντος ἡ χάρις.
ΚΛΕΩΝ.
οἴμοι κακοδαίμων, ὑπεραναιδευθήσομαι.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
τί οὐ διακρίνεις, Δῆμ', ὁπότερός ἐστι νῷν
ἀνὴρ ἀμείνων περὶ σὲ καὶ τὴν γαστέρα;
ΔΗΜΟΣ.
τῷ δῆτ' ἂν ὑμᾶς χρησάμενος τεκμηρίῳ
δόξαιμι κρίνειν τοῖς θεαταῖσιν σοφῶς;
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ἐγὼ φράσω σοι. τὴν ἐμὴν κίστην ἰὼν
ξύλλαβε σιωπῇ, καὶ βασάνισον ἅττ' ἔνι,
καὶ τὴν Παφλαγόνος· κἀμέλει κρινεῖς καλῶς.
ΔΗΜΟΣ.
φέρ' ἴδω, τί οὖν ἔνεστιν;
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
οὐχ ὁρᾷς κενὴν
ὦ παππίδιον; ἅπαντα γάρ σοι παρεφόρουν.
ΔΗΜΟΣ.
αὕτη μὲν ἡ κίστη τὰ τοῦ δήμου φρονεῖ.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
βάδιζε γοῦν καὶ δεῦρο πρὸς τὴν Παφλαγόνος.
ὁρᾷς τάδ';
ΔΗΜΟΣ.
οἴμοι τῶν ἀγαθῶν, ὅσων πλέα.
ὅσον τὸ χρῆμα τοῦ πλακοῦντος ἀπέθετο·
ἐμοὶ δ' ἔδωκεν ἀποτεμὼν τυννουτονί.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
τοιαῦτα μέντοι καὶ πρότερον εἰργάζετο·
σοὶ μὲν προσεδίδου μικρὸν ὧν ἐλάμβανεν,
αὐτὸς δ' ἑαυτῷ παρετίθει τὰ μείζονα.
ΔΗΜΟΣ.
ὦ μιαρέ, κλέπτων δή με ταῦτ' ἐξηπάτας;
ἐγὼ δέ τυ ἐστεφάνιξα κἀδωρησάμην.
ΚΛΕΩΝ.
ἐγὼ δ' ἔκλεπτον ἐπ' ἀγαθῷ γε τῇ πόλει.
ΔΗΜΟΣ.
κατάθου ταχέως τὸν στέφανον, ἵν' ἐγὼ τουτῳὶ
αὐτὸν περιθῶ.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
κατάθου ταχέως, μαστιγία.
ΚΛΕΩΝ.
οὐ δῆτ', ἐπεί μοι χρησμός ἐστι Πυθικὸς
φράζων, ὑφ' οὗ χρεών μ' ἡττᾶσθαι μόνου.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
τοὐμόν γε φράζων ὄνομα καὶ λίαν σαφῶς.
ΚΛΕΩΝ.
καὶ μήν σ' ἐλέγξαι βούλομαι τεκμηρίῳ,
εἴ τι ξυνοίσεις τοῦ θεοῦ τοῖς θεσφάτοις.

καί σου τοσοῦτο πρῶτον ἐκπειράσομαι·
παῖς ὢν ἐφοίτας ἐς τίνος διδασκάλου;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐν ταῖσιν εὕστραις κονδύλοις ἡρμοττόμην.

ΚΛΕΩΝ.

πῶς εἶπας; ὥς μου χρησμὸς ἅπτεται φρενῶν.
εἶεν.
ἐν παιδοτρίβου δὲ τίνα πάλην ἐμάνθανες;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

κλέπτων ἐπιορκεῖν καὶ βλέπειν ἐναντία.

ΚΛΕΩΝ.

ὦ Φοῖβ' Ἄπολλον Λύκιε, τί ποτέ μ' ἐργάσει;
τέχνην δὲ τίνα ποτ' εἶχες ἐξανδρούμενος;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἠλλαντοπώλουν καὶ

ΚΛΕΩΝ.

τί;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ βινεσκόμην.

ΚΛΕΩΝ.

οἴμοι κακοδαίμων· οὐκέτ' οὐδέν εἰμ' ἐγώ.
λεπτή τις ἐλπίς ἐστ' ἐφ' ἧς ὀχούμεθα.
καί μοι τοσοῦτον εἰπέ· πότερον ἐν ἀγορᾷ
ἠλλαντοπώλεις ἐτεὸν ἢ 'πὶ ταῖς πύλαις;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐπὶ ταῖς πύλαισιν, οὗ τὸ τάριχος ὤνιον.

ΚΛΕΩΝ.

οἴμοι πέπρακται τοῦ θεοῦ τὸ θέσφατον.
κυλίνδετ' εἴσω τόνδε τὸν δυσδαίμονα.
ὦ στέφανε, χαίρων ἄπιθι, καί σ' ἄκων ἐγὼ
λείπω· σὲ δ' ἄλλος τις λαβὼν κεκτήσεται,
κλέπτης μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

Ἑλλάνιε Ζεῦ, σὸν τὸ νικητήριον.

ΔΗΜΟΣΘΕΝΗΣ.

ὦ χαῖρε καλλίνικε, καὶ μέμνησ' ὅτι
ἀνὴρ γεγένησαι δι' ἐμέ· καί σ' αἰτῶ βραχύ,
ὅπως ἔσομαί σοι Φανὸς ὑπογραφεὺς δικῶν.

ΔΗΜΟΣ.

ἐμοὶ δέ γ' ὅ τι σοι τοὔνομ' εἴπ'.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

Ἀγοράκριτος·
ἐν τἀγορᾷ γὰρ κρινόμενος ἐβοσκόμην.

ΔΗΜΟΣ.

Ἀγορακρίτῳ τοίνυν ἐμαυτὸν ἐπιτρέπω,
καὶ τὸν Παφλαγόνα παραδίδωμι τουτονί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ μὴν ἐγώ σ', ὦ Δῆμε, θεραπεύσω καλῶς,
ὥσθ' ὁμολογεῖν σε μηδέν' ἀνθρώπων ἐμοῦ
ἰδεῖν ἀμείνω τῇ Κεχηναίων πόλει.

ΧΟΡΟΣ.

τί κάλλιον ἀρχομένοισιν
ἢ καταπαυομένοισιν
ἢ θοᾶν ἵππων ἐλατῆρας ἀείδειν, μηδὲν ἐς Λυσίστρατον,
μηδὲ Θούμαντιν τὸν ἀνέστιον αὖ λυπεῖν ἑκούσῃ καρδίᾳ;
καὶ γὰρ οὗτος, ὦ φίλ' Ἄπολλον, ἀεὶ πεινῇ, θαλεροῖς δακρύοισιν

1264—1289. = 1290—1315.

σᾶς ἁπτόμενος φαρέτρας Πυθῶνι ἐν δίᾳ κακῶ πένεσθαι.
λοιδορῆσαι τοὺς πονηροὺς οὐδέν ἐστ' ἐπίφθονοι
ἀλλὰ τιμὴ τοῖσι χρηστοῖς, ὅστις εὖ λογίζεται.
εἰ μὲν οὖν ἄνθρωπος, ὃν δεῖ πόλλ' ἀκοῦσι καὶ κακά,
αὐτὸς ἦν ἔνδηλος, οὐκ ἂν ἀνδρὸς ἐμνήσθην φίλο
νῦν δ' Ἀρίγνωτον γὰρ οὐδεὶς ὅστις οὐκ ἐπίστατ
ὅστις ἢ τὸ λευκὸν οἶδεν ἢ τὸν ὄρθιον νόμον.
ἔστιν οὖν ἀδελφὸς αὐτῷ τοὺς τρόπους οὐ συ γενής,
Ἀριφράδης πονηρός. ἀλλὰ τοῦτο μὲν καὶ βο λεται·
ἔστι δ' οὐ μόνον πονηρός, οὐ γὰρ οὐδ' ἠσθόμην,
οὐδὲ παμπόνηρος, ἀλλὰ καὶ προσεξεύρηκέ τι.
τὴν γὰρ αὐτοῦ γλῶτταν αἰσχραῖς ἡδοναῖς λ μαίνεται,
ἐν κασαυρίοισι λείχων τὴν ἀπόπτυστον δρόσο
καὶ μολύνων τὴν ὑπήνην, καὶ κυκῶν τὰς ἐσχάρ
καὶ Πολυμνήστεια ποιῶν, καὶ ξυνὼν Οἰωνίχ
ὅστις οὖν τοιοῦτον ἄνδρα μὴ σφόδρα βδελύττει
οὔ ποτ' ἐκ ταὐτοῦ μεθ' ἡμῶν πίεται ποτηρί
ἦ πολλάκις ἐννυχίαισι
φροντίσι συγγεγένημαι,
καὶ διεζήτηχ' ὁπόθεν ποτὲ φαύλως ἐσθίει Κλε ωνυμος.
φασὶ μὲν γὰρ αὐτὸν ἐρεπτόμενον τὰ τῶν ἐχ των ἀνέρων
οὐκ ἂν ἐξελθεῖν ἀπὸ τῆς σιπύης· τοὺς δ' ἀν βολεῖν ἂν ὁμοίως·
ἴθ' ὦ ἄνα, πρὸς γονάτων, ἔξελθε καὶ σύγγν τῇ τραπέζῃ.
φασὶν ἀλλήλαις ξυνελθεῖν τὰς τριήρεις εἰς λόγ
καὶ μίαν λέξαι τιν' αὐτῶν, ἥτις ἦν γεραιτέ
οὐδὲ πυνθάνεσθε ταῦτ', ὦ παρθένοι, τἀν πόλει;
φασὶν αἰτεῖσθαί τιν' ἡμῶν ἑκατὸν ἐς Καλχηδ
ἄνδρα μοχθηρὸν πολίτην, ὀξίνην Ὑπέρβολον
ταῖς δὲ δόξαι δεινὸν εἶναι τοῦτο κοὐκ ἀνασχε
καί τιν' εἰπεῖν, ἥτις ἀνδρῶν ἆσσον οὐκ ἐληλύθ
ἀποτρόπαι', οὐ δῆτ' ἐμοῦ γ' ἄρξει ποτ', ἐάν με χρῇ,
ὑπὸ τερηδόνων σαπεῖσ' ἐνταῦθα καταγηράσομ
οὐδὲ Ναυφάντης γε τῆς Ναύσωνος, οὐ δῆτ' θεοί,
εἴπερ ἐκ πεύκης γε κἀγὼ καὶ ξύλων ἐπηγνύμ
ἢν δ' ἀρέσκῃ ταῦτ' Ἀθηναίοις, καθῆσθαί δοκεῖ
εἰς τὸ Θησεῖον πλεούσαις ἢ 'πὶ τῶν σεμνῶν θε
οὐ γὰρ ἡμῶν γε στρατηγῶν ἐγχανεῖται τῇ πό
ἀλλὰ πλείτω χωρὶς αὐτὸς ἐς κόρακας, εἰ βούλε
τὰς σκάφας, ἐν αἷς ἐπώλει τοὺς λύχνους, θελκύσας.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

εὐφημεῖν χρὴ καὶ στόμα κλείειν, καὶ μαρτύρ ἀπέχεσθαι,
καὶ τὰ δικαστήρια συγκλείειν, οἷς ἡ πόλις γέγηθεν,
ἐπὶ καιναῖσιν δ' εὐτυχίαισιν παιωνίζειν θέατρον.

ΧΟΡΟΣ.

ὦ ταῖς ἱεραῖς φέγγος Ἀθήναις καὶ ταῖς νήσοις ἐπίκουρε,
τίν' ἔχων φήμην ἀγαθὴν ἥκεις, ἐφ' ὅτῳ κνισῶμεν ἀγυιάς;

ΑΓΟΡΑΚΡΙΤΟΣ.

τὸν Δῆμον ἀφεψήσας ὑμῖν καλὸν ἐξ αἰσχροῦ πεποίηκα.

ΧΟΡΟΣ.

καὶ ποῦ 'στιν νῦν, ὦ θαυμαστὰς ἐξευρίσκων ἐπινοίας;

ΑΓΟΡΑΚΡΙΤΟΣ.

ἐν ταῖσιν ἰοστεφάνοις οἰκεῖ ταῖς ἀρχαίαισιν Ἀθήναις.

ΧΟΡΟΣ.

πῶς ἂν ἴδοιμεν; ποίαν τιν' ἔχει σκευήν; ποῖος γεγένηται;

ΑΓΟΡΑΚΡΙΤΟΣ.

οἷός περ Ἀριστείδῃ πρότερον καὶ Μιλτιάδῃ ξυνεσίτει.
ὄψεσθε δέ· καὶ γὰρ ἀνοιγνυμένων ψόφος ἤδη τῶν προπυλαίων.
ἀλλ' ὀλολύξατε φαινομένοισιν ταῖς ἀρχαίαισιν Ἀθήναις
καὶ θαυμασταῖς καὶ πολυύμνοις, ἵν' ὁ κλεινὸς Δῆμος ἐνοικεῖ.

ΧΟΡΟΣ.

ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀριζήλωτοι Ἀθῆναι,
δείξατε τὸν τῆς Ἑλλάδος ὑμῖν καὶ τῆς γῆς τῆσδε μόναρχον.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

ὅδ' ἐκεῖνος ὁρᾶν τεττιγοφόρας, ἀρχαίῳ σχήματι λαμπρός,
οὐ χοιρινῶν ὄζων, ἀλλὰ σπονδῶν, σμύρνῃ κατάλειπτος.

ΧΟΡΟΣ.

χαῖρ', ὦ βασιλεῦ τῶν Ἑλλήνων· καί σοι ξυγχαίρομεν ἡμεῖς.
τῆς γὰρ πόλεως ἄξια πράττεις καὶ τοῦ Μαραθῶνι τροπαίου.

ΔΗΜΟΣ.

ὦ φίλτατ' ἀνδρῶν, ἐλθὲ δεῦρ', Ἀγοράκριτε.
ὅσα με δέδρακας ἀγάθ' ἀφεψήσας.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

ἐγώ;
ἀλλ', ὦ μέλ', οὐκ οἶσθ' οἷος ἦσθ' αὐτὸς πάρος,
οὐδ' οἷ' ἔδρας· ἐμὲ γὰρ νομίζοις ἂν θεόν.

ΔΗΜΟΣ.

τί δ' ἔδρων πρὸ τοῦ, κάτειπε, καὶ ποῖός τις ἦ;

ΑΓΟΡΑΚΡΙΤΟΣ.

πρῶτον μὲν, ὁπότ' εἴποι τις ἐν τἠκκλησίᾳ,
ὦ Δῆμ', ἐραστής εἰμι σὸς φιλῶ τέ σε
καὶ κήδομαί σου καὶ προβουλεύω μόνος,
τούτοις ὁπότε χρήσαιτό τις προοιμίοις,
ἀνωρτάλιζες κἀκερουτίας.

ΔΗΜΟΣ.

ἐγώ;

ΑΓΟΡΑΚΡΙΤΟΣ.

εἶτ' ἐξαπατήσας σ' ἀντὶ τούτων ᾤχετο.

ΔΗΜΟΣ.

τί φῄς;
ταυτί μ' ἔδρων, ἐγὼ δὲ τοῦτ' οὐκ ᾐσθόμην;

ΑΓΟΡΑΚΡΙΤΟΣ.

τὰ δ' ὦτά γ' ἄν σου νὴ Δί' ἐξεπετάννυτο
ὥσπερ σκιάδειον καὶ πάλιν ξυνήγετο.

ΔΗΜΟΣ.

οὕτως ἀνόητος ἐγεγενήμην καὶ γέρων;

ΑΓΟΡΑΚΡΙΤΟΣ.

καὶ νὴ Δί' εἴ γε δύο λεγοίτην ῥήτορε,
ὁ μὲν ποιεῖσθαι ναῦς μακράς, ὁ δ' ἕτερος αὖ
καταμισθοφορῆσαι τοῦθ', ὁ τὸν μισθὸν λέγων
τὸν τὰς τριήρεις παραδραμὼν ἂν ᾤχετο.
οὗτος, τί κύπτεις; οὐχὶ κατὰ χώραν μενεῖς;

ΔΗΜΟΣ.

αἰσχύνομαί τοι ταῖς πρότερον ἁμαρτίαις.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

ἀλλ' οὐ σὺ τούτων αἴτιος, μὴ φροντίσῃς,
ἀλλ' οἵ σε ταῦτ' ἐξηπάτων. νυνδὶ φράσον·
ἐάν τις εἴπῃ βωμολόχος ξυνήγορος·
οὐκ ἔστιν ὑμῖν τοῖς δικασταῖς ἄλφιτα,
εἰ μὴ καταγνώσεσθε ταύτην τὴν δίκην·
τοῦτον τί δράσεις, εἰπέ, τὸν ξυνήγορον;

ΔΗΜΟΣ.

ἄρας μετέωρον ἐς τὸ βάραθρον ἐμβαλῶ,
ἐκ τοῦ λάρυγγος ἐκκρεμάσας Ὑπέρβολον.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

τουτὶ μὲν ὀρθῶς καὶ φρονίμως ἤδη λέγεις·
τὰ δ' ἄλλα, φέρ' ἴδω, πῶς πολιτεύσει φράσον.

ΔΗΜΟΣ.

πρῶτον μὲν ὁπόσοι ναῦς ἐλαύνουσιν μακράς,
καταγομένοις τὸν μισθὸν ἀποδώσω 'ντελῆ.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

πολλοῖς γ' ὑπολίσποις πυγιδίοισιν ἐχαρίσω.

ΔΗΜΟΣ.

ἔπειθ' ὁ πολίτης ἐντεθεὶς ἐν καταλόγῳ
οὐδεὶς κατὰ σπουδὰς μετεγγραφήσεται,
ἀλλ' ὥσπερ ἦν τὸ πρῶτον ἐγγεγράψεται.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

τοῦτ' ἔδακε τὸν πόρπακα τὸν Κλεωνύμου.

ΔΗΜΟΣ.

οὐδ' ἀγοράσ' ἀγένειος οὐδεὶς ἐν ἀγορᾷ.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

ποῦ δῆτα Κλεισθένης ἀγοράσει καὶ Στράτων;

ΔΗΜΟΣ.

τὰ μειράκια ταυτὶ λέγω, τἀν τῷ μύρῳ,
ἃ στωμυλεῖται τοιαδὶ καθήμενα·
σοφός γ' ὁ Φαίαξ, δεξιῶς τ' οὐκ ἀπέθανε.
συνερκτικὸς γάρ ἐστι καὶ περαντικὸς,
καὶ γνωμοτυπικὸς καὶ σαφὴς καὶ κρουστικὸς,
καταληπτικός τ' ἄριστα τοῦ θορυβητικοῦ.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

οὔκουν καταδακτυλικὸς σὺ τοῦ λαλητικοῦ;

*ΔΗΜΟΣ.*

*μὰ Δί', ἀλλ' ἀναγκάσω κυνηγετεῖν ἐγὼ*
*τούτους ἅπαντας, παυσαμένους ψηφισμάτων.*

*ΑΓΟΡΑΚΡΙΤΟΣ.*

*ἔχε νυν ἐπὶ τούτοις τουτονὶ τὸν ὀκλαδίαν,*
*καὶ παῖδ' ἐνόρχην, ὅσπερ οἴσει τόνδε σοι·*
*κἄν που δοκῇ σοι, τοῦτον ὀκλαδίαν ποίει.*

*ΔΗΜΟΣ.*

*μακάριος ἐς τἀρχαῖα δὴ καθίσταμαι.*

*ΑΓΟΡΑΚΡΙΤΟΣ.*

*φήσεις γ', ἐπειδὰν τὰς τριακοντούτιδας*
*σπονδὰς παραδῶ σοι. δεῦρ' ἴθ' αἱ Σπονδαὶ ταχύ.*

*ΔΗΜΟΣ.*

*ὦ Ζεῦ πολυτίμηθ', ὡς καλαί· πρὸς τῶν θεῶν,*
*ἔξεστιν αὐτῶν κατατριακοντουτίσαι;*
*πῶς ἔλαβες αὐτὰς ἐτεόν;*

*ΑΓΟΡΑΚΡΙΤΟΣ.*

*οὐ γὰρ ὁ Παφλαγὼν*
*ἀπέκρυπτε ταύτας ἔνδον, ἵνα σὺ μὴ λάβοις;*
*νῦν οὖν ἐγώ σοι παραδίδωμ' εἰς τοὺς ἀγροὺς*
*αὐτὰς ἰέναι λαβόντα.*

*ΔΗΜΟΣ.*

*τὸν δὲ Παφλαγόνα,*
*ὃς ταῦτ' ἔδρασεν, εἴφ' ὅ τι ποιήσεις κακόν.*

*ΑΓΟΡΑΚΡΙΤΟΣ.*

*οὐδὲν μέγ' ἀλλ' ἢ τὴν ἐμὴν ἕξει τέχνην·*
*ἐπὶ ταῖς πύλαις ἀλλαντοπωλήσει μόνος,*
*τὰ κύνεια μιγνὺς τοῖς ὀνείοις πράγμασιν,*
*μεθύων τε ταῖς πόρναισι λοιδορήσεται,*
*κἀκ τῶν βαλανείων πίεται τὸ λούτριον.*

*ΔΗΜΟΣ.*

*εὖ γ' ἐπενόησας οὗπέρ ἐστιν ἄξιος,*
*πόρναισι καὶ βαλανεῦσι διακεκραγέναι,*
*καί σ' ἀντὶ τούτων ἐς τὸ πρυτανεῖον καλῶ*
*ἐς τὴν ἕδραν θ', ἵν' ἐκεῖνος ἦν ὁ φαρμακός.*
*ἕπου δὲ ταυτηνὶ λαβὼν τὴν βατραχίδα·*
*κἀκεῖνον ἐκφερέτω τις ὡς ἐπὶ τὴν τέχνην,*
*ἵν' ἴδωσιν αὐτὸν, οἷς ἐλωβᾶθ', οἱ ξένοι.*

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΝΕΦΕΛΑΙ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΣΤΡΕΨΙΑΔΗΣ.*
*ΦΕΙΔΙΠΠΙΔΗΣ.*
*ΘΕΡΑΠΩΝ ΣΤΡΕΨΙΑΔΟΥ.*
*ΜΑΘΗΤΑΙ ΣΩΚΡΑΤΟΥΣ.*
*ΣΩΚΡΑΤΗΣ.*
*ΧΟΡΟΣ ΝΕΦΕΛΩΝ.*
*ΔΙΚΑΙΟΣ ΛΟΓΟΣ.*
*ΑΔΙΚΟΣ ΛΟΓΟΣ.*
*ΠΑΣΙΑΣ, δανειστής.*
*ΑΜΥΝΙΑΣ, δανειστής.*
*ΜΑΡΤΥΣ.*
*ΧΑΙΡΕΦΩΝ.*

## *ΥΠΟΘΕΣΙΣ.*

*Τὸ δρᾶμα τὸ τῶν Νεφελῶν κατὰ Σωκράτους γέγραπται τοῦ φιλοσόφου ἐπίτηδες ὡς κακοδιδασκαλοῦντος τοὺς νέους Ἀθήνησι, τῶν κωμικῶν πρὸς τοὺς φιλοσόφους ἐχόντων τινὰ ἀντιλογίαν· οὐχ, ὥς τινες, δι' Ἀρχέλαον τὸν Μακεδόνων βασιλέα, ὅτι προὔκρινεν αὐτὸν Ἀριστοφάνους. ὁ χορὸς δὲ ὁ κωμικὸς εἰσήρχετο ἐν τῇ ὀρχήστρᾳ τῷ νῦν λεγομένῳ λογίῳ. καὶ ὅτε μὲν πρὸς τοὺς ὑποκριτὰς διελέγετο, εἰς τὴν σκηνὴν ἑώρα· ὅτε δὲ ἀπελθόντων τῶν ὑποκριτῶν τοὺς ἀναπαίστους διεξῄει, πρὸς τὸν δῆμον ἀπεστρέφετο· καὶ τοῦτο ἐκαλεῖτο στροφή. ἦν δὲ τὰ ἰαμβεῖα τετράμετρα. εἶτα τὴν ἀντίστροφον ἀποδόντες, πάλιν τετράμετρον ἐπέλεγον ἴσων στίχων. ἦν δὲ περὶ τὸ πλεῖστον ιϛ'. ἐκαλεῖτο δὲ ταῦτα ἐπιρρήματα. ἡ δὲ ὅλη πάροδος τοῦ χοροῦ ἐκαλεῖτο παράβασις. Ἀριστοφάνης ἐν Ἱππεῦσιν,*

*ἦν μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος, ὅς ἡμᾶς*
*ἠνάγκαζε λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆναι.*

## *ΑΛΛΩΣ.*

*Φασὶ τὸν Ἀριστοφάνην γράψαι τὰς Νεφέλας ἀναγκασθέντα ὑπὸ Ἀνύτου καὶ Μελήτου, ἵνα διασκέψαιντο ποῖοί τινες εἶεν Ἀθηναῖοι κατὰ Σωκράτους ἀκούοντες. ηὐλαβοῦντο γάρ, ὅτι πολλοὺς εἶχεν ἐραστάς, καὶ μάλιστα τοὺς περὶ Ἀλκιβιάδην, οἳ καὶ ἐπὶ τοῦ δράματος τούτου μηδὲ νικῆσαι ἐποίησαν τὸν ποιητήν. ὁ δὲ πρόλογός ἐστι τῶν Νεφελῶν ἁρμοδιώτατα καὶ δεξιώτατα συγκείμενος. πρεσβύτης γάρ ἐστιν ἄγροικος ἀχθόμενος παιδὶ ἀστικοῦ φρονήματος γέμοντι καὶ τῆς εὐγενείας εἰς πολυτέλειαν ἀπολελαυκότι. ἡ γὰρ τῶν Ἀλκμαιωνιδῶν οἰκία, ὅθεν ἦν τὸ πρὸς μητρὸς γένος ὁ μειρακίσκος, ἐξ ἀρχῆς, ὥς φησιν Ἡρόδοτος, τεθριπποτρόφος ἦν, καὶ πολλὰς ἀνῃρημένη νίκας, τὰς μὲν Ὀλυμπίασι, τὰς δὲ Πυθοῖ, ἐνίας δὲ Ἰσθμοῖ καὶ Νεμέᾳ καὶ ἐν ἄλλοις ἀγῶσιν. εὐδοκιμοῦσαν οὖν ὁρῶν ὁ νεανίσκος ἀπέκλινε πρὸς τὸ ἦθος τῶν πρὸς μητρὸς προγόνων.*

## *ΑΛΛΩΣ.*

*Πρεσβύτης τις Στρεψιάδης ὑπὸ δανείων καταπονούμενος διὰ τὴν ἱπποτροφίαν τοῦ παιδὸς, δεῖται τούτου, φοιτήσαντα ὡς τὸν Σωκράτην μαθεῖν τὸν ἥττονα λόγον, εἴ πως δύναιτο τὰ ἄδικα λέγων ἐν τῷ δι-*

*καστηρίῳ τοὺς χρήστας νικᾶν καὶ μηδενὶ τῶν δανειστῶν μηδὲν ἀποδοῦναι. οὐ βουλομένου δὲ τοῦ μει‑ κίσκου, διαγνοὺς αὐτὸς ἐλθὼν μανθάνειν, μαθητὴν τοῦ Σωκράτους ἐκκαλέσας τινὰ διαλέγεται. ἐκλυθεί‑ δὲ τῆς διατριβῆς, οἵ τε μαθηταὶ κύκλῳ καθήμενοι πιναροὶ συνορῶνται καὶ αὐτὸς ὁ Σωκράτης ἐπὶ κρεμ‑ θρας αἰωρούμενος καὶ ἀποσκοπῶν τὰ μετέωρα θεωρεῖται. μετὰ ταῦτα τελεῖ παραλαβὼν τὸν πρεσβύτ‑ καὶ τοὺς νομιζομένους παρ' αὐτῷ θεοὺς, Ἀέρα, προσέτι δὲ καὶ Αἰθέρα καὶ Νεφέλας καταχαλεῖται. πρ‑ δὲ τὴν εὐχὴν εἰσέρχονται Νεφέλαι ἐν σχήματι χοροῦ καὶ φυσιολογήσαντος οὐκ ἀπιθάνως τοῦ Σωκράτ‑ ἀποκαταστᾶσαι πρὸς τοὺς θεατὰς περὶ πλειόνων διαλέγονται. μετὰ δὲ ταῦτα ὁ μὲν πρεσβύτης διδασκό‑ νος ἐν τῷ φανερῷ τινὰ τῶν μαθημάτων γελωτοποιεῖ· καὶ ἐπειδὴ διὰ τὴν ἀμαθίαν ἐκ τοῦ φροντιστη‑ ἐκβάλλεται ἄγων πρὸς βίαν τὸν υἱὸν συνίστησι τῷ Σωκράτει. τούτου δὲ ἐξαγαγόντος αὐτῷ ἐν τῷ θεά‑ τὸν ἄδικον καὶ τὸν δίκαιον λόγον, διαγωνισθεὶς ὁ ἄδικος πρὸς τὸν δίκαιον λόγον, καὶ παραλαβὼν αὐ‑ ὁ ἄδικος λόγος ἐκδιδάσκει. κομισάμενος δὲ αὐτὸν ὁ πατὴρ ἐκπεπονημένον ἐπηρεάζει τοῖς χρήσταις, ὡς κατωρθωκὼς, εὐωχεῖ παραλαβών. γενομένης δὲ περὶ τὴν εὐωχίαν ἀντιλογίας, πληγὰς λαβὼν ὑπὸ παιδὸς βοὴν ἵστησι, καὶ προσκαταλαλούμενος ὑπὸ τοῦ παιδὸς ὅτι δίκαιον τοὺς πατέρας ὑπὸ τῶν υἱῶν ἀ‑ τιτύπτεσθαι, ὑπεραλγῶν διὰ τὴν πρὸς τὸν υἱὸν σύγκρουσιν ὁ γέρων, κατασκάπτει καὶ ἐμπίπρησι τὸ φρ‑ τιστήριον τῶν Σωκρατιστῶν. τὸ δὲ δρᾶμα τῶν πάνυ δυνατῶς πεποιημένων.*

---

## ΑΛΛΩΣ.

*Πατὴρ τὸν υἱὸν σωκρατίζειν βούλεται·*
*καὶ τῆς περὶ αὐτὸν ψυχρολογίας διατριβὴ*
*ἱκανὴ, λόγων ἀπόνοια πρὸς τοὐναντίον.*
*χορὸν δὲ Νεφελῶν ὡς ἐπωφελῆ λέγων,*
*καὶ τὴν ἀσέβειαν Σωκράτους διεξιὼν·*
*ἄλλαι θ' ὑπ' ἀνδρὸς . . κατηγορίαι πικραὶ,*
*καὶ τῶν μαθητῶν εἰς πατραλοίας ἐκτόπως.*
*εἶτ' ἐμπυρισμὸς τῆς σχολῆς τοῦ Σωκράτους.*

*Τὸ δὲ δρᾶμα τοῦτο τῆς ὅλης ποιήσεως κάλλιστον εἶναί φησι καὶ τεχνικώτατον.*

*Αἱ πρῶται Νεφέλαι ἐν ἄστει ἐδιδάχθησαν ἐπὶ ἄρχοντος Ἰσάρχου, ὅτε Κρατῖνος μὲν ἐνίκα Πυ‑ Ἀμειψίας δὲ Κόννῳ. διόπερ Ἀριστοφάνης διαρριφθεὶς παραλόγως ᾠήθη δεῖν ἀναδιδάξας τὰς δευτέρας ‑ μέμφεσθαι τὸ θέατρον. ἀποτυχὼν δὲ πολὺ μᾶλλον καὶ ἐν τοῖς ἔπειτα οὐκέτι τὴν διασκευὴν εἰσή‑ αἱ δὲ δεύτεραι Νεφέλαι ἐπὶ Ἀμεινίου ἄρχοντος.*

*Τοῦτο ταυτόν ἐστι τῷ προτέρῳ. διεσκεύασται δὲ ἐπὶ μέρους ὡς ἂν δὴ ἀναδιδάξαι μὲν αὐτὸ τοῦ ‑ τοῦ προθυμηθέντος, οὐκέτι δὲ τοῦτο δι' ἥν ποτε αἰτίαν ποιήσαντος. καθόλου μὲν οὖν σχεδὸν παρὰ ‑ μέρος γεγενημένη διόρθωσις. τὰ μὲν γὰρ περιῄρηται, τὰ δὲ πέπλεκται, καὶ ἐν τῇ τάξει καὶ ἐν τῇ ‑ προσώπων διαλλαγῇ μετεσχημάτισται. ἃ δὲ ὁλοσχερῆ τῆς διασκευῆς τοιαῦτα ὄντα τετύχηκεν, αὐτίκα ἡ ‑ ράβασις τοῦ χοροῦ ἤμειπται, καὶ ὅπου ὁ δίκαιος λόγος πρὸς τὸν ἄδικον λαλεῖ, καὶ τελευταῖον ὅπου ‑ ται ἡ διατριβὴ Σωκράτους.*

*Τὴν μὲν κωμῳδίαν καθῆκε κατὰ Σωκράτους, ὡς τοιαῦτα νομίζοντος, καὶ Νεφέλας καὶ Ἀέρα ‑ γὰρ ἀλλ' ἢ ξένους εἰσάγοντος δαίμονας. χορῷ δὲ ἐχρήσατο Νεφελῶν πρὸς τὴν τοῦ ἀνδρὸς κατηγορία‑ διὰ τοῦτο οὕτως ἐπεγράφη. διτταὶ δὲ φέρονται Νεφέλαι. οἱ δὲ κατηγορήσαντες Σωκράτους Μέλητος ‑ Ἄνυτος.*

---

## ΘΩΜΑ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ.

*Ἄνυτος καὶ Μέλητος Σωκράτει τῷ Σωφρονίσκου βασκήναντες καὶ αὐτὸν μὴ δυνάμενοι βλάψαι ἀ‑ ριον ἱκανὸν Ἀριστοφάνει δεδώκασιν, ἵνα δρᾶμα κατ' αὐτοῦ συστήσηται. καὶ ὃς πεισθεὶς γέροντά ‑ Στρεψιάδην καλούμενον ἐπλάσατο ὑπὸ χρεῶν πιεζόμενον, ἃ δὴ ἀνηλώκει περὶ τὴν τοῦ παιδὸς Φειδι‑*

ω ἱπποτροφίαν. οὕτω δὲ τούτων ἐχόντων, μὴ ἔχων ὁ Στρεψιάδης τί ποιήσει περὶ τὰ χρέα, βουλεύεται
ροσαγαγεῖν τῷ Σωκράτει τὸν ἑαυτοῦ παῖδα, ἵνα παρ' αὐτοῦ τὸν ἄδικον μάθῃ λόγον, καὶ οὕτω τοὺς
νειστὰς ἀποκρούσηται. Φειδιππίδης μὲν οὖν, πολλὰ δεηθέντος τοῦ πατρὸς, προσελθεῖν οὐκ ἐπείσθη.
ποτυχὼν δὲ ὁ πρεσβύτης τῆς ἐπ' ἐκείνου ἐλπίδος καὶ οὐκ ἔχων ὅστις καὶ γένηται, εἰς δεύτερον εἶδε
λοῦν. οὐδὲν γὰρ τῆς ἡλικίας φροντίσας οὐδ' ἐνθυμηθεὶς εἴ τισιν ἄτοπος δόξειεν ἐν γήρᾳ ἐπὶ γήρως οὐδῷ
νθάνειν καθάπερ κομιδῇ νέος ἀρχόμενος, ἀλλ' εἰς ἓν ἀφεωρακὼς μόνον ἐκεῖνο, ἐὰν ἄρα οἷός τε γένη-
ι τοὺς δανειστὰς διὰ πειθοῦς ἀποστερῆσαι τὰ χρήματα, αὐτὸς πρόσεισι τῷ Σωκράτει. οὐκ ἔχων δὲ ὑπη-
τοῦντα τῇ νοήσει τὸν νοῦν, ἀλλὰ τοιοῦτος ὢν οἷς ἐμάνθανεν, οἷος καὶ πρὶν τῆς παιδείας ἐψῆφθαι, αὐ-
ς μὲν ἀπέγνω παιδεύεσθαι, προσελθὼν δὲ τῷ παιδὶ καὶ αὖθις πολλαῖς πέπεικε ταῖς δεήσεσιν ἕνα τῶν
ωκράτους ὁμιλητῶν γενέσθαι. ὁ δὲ καὶ γέγονε καὶ μεμάθηκε. συνίσταται δὲ τὸ δρᾶμα ἐκ χοροῦ Νεφε-
ῶν. ἔχει δὲ κατηγορίαν τοῦ Σωκράτους, ὅτι τοὺς συνήθεις θεοὺς ἀφεὶς καινὰ ἐνόμιζε δαιμόνια, Ἀέρα
ὶ Νεφέλας καὶ τὰ τοιαῦτα.

---

## Α Λ Λ Ω Σ.

Πρεσβύτης τις Στρεψιάδης ὑπὸ δανείων καταπονούμενος διὰ τὴν ἱπποτροφίαν τοῦ παιδὸς δεῖται τοῦ-
ν φοιτήσαντα εἰς τὸν Σωκράτην μαθεῖν τὸν ἄδικον λόγον, ὅπως μηδενὶ τῶν δανειστῶν μηδὲν ἀποδώσῃ.
ἠ βουλομένου δὲ τοῦ παιδὸς εἰσέρχεται αὐτός. καὶ μὴ δυνάμενος μαθεῖν διὰ τὸ γῆρας ἐκδιώκεται. ὑπο-
ρέψας δὲ καὶ τῷ υἱῷ πείσας ἤγαγεν αὐτὸν τῷ Σωκράτει, ὃς καλέσας τὸν δίκαιον λόγον καὶ ἄδικον καὶ
ρισιν τῷ νέῳ δοὺς ἐκλέξασθαι, διδάσκει ἐκεῖνον τὸν ἄδικον λόγον. μαθὼν δὲ ὁ υἱὸς ὅπερ ἐβούλετο ὁ
τὴρ καὶ τὴν παχύτητα ἐκείνου καταγνοὺς τύπτει τὸν πατέρα αὐτὸν ἑστιῶντα. ὁ δὲ ἀλγήσας διὰ τὴν τοῦ
ιδὸς ἀσέβειαν ἀπελθὼν κατακαίει τὸ φροντιστήριον, νομίσας Σωκράτην αἴτιον τῆς ἀσεβείας τοῦ παιδὸς
αι. κατηγορεῖ δὲ ἐνταῦθα τοῦ Σωκράτους ὡς ἀσεβοῦς καὶ ξένους θεοὺς ἐπεισάγοντος, ἀφέντος τοὺς συν-
εις. ἐπιγράφεται δὲ Νεφέλαι, διότι παρεισάγεται χορὸς Νεφελῶν ὁμιλῶν Σωκράτει, ἃς ἐνόμιζε θεὰς,
ς Ἀριστοφάνης κατηγορεῖ. ὁ γὰρ Ἄνυτος καὶ Μέλητος φθονοῦντες Σωκράτει καὶ μὴ δυνάμενοι ἄλλως
εῖναι ἢ φανερῶς κατηγορῆσαι μεγάλου ὄντος, ἱκανὸν ἀργύριον δεδώκασιν Ἀριστοφάνει ταύτην τὴν κω-
μῳδίαν κατ' ἐκείνου γράψαι. τὰ δὲ πρόσωπα Στρεψιάδης, Φειδιππίδης, μαθητὴς Σωκράτους, Σωκράτης,
ρὸς Νεφελῶν, δίκαιος λόγος, ἄδικος λόγος, Πασίας δανειστὴς, μάρτυς.

---

# DE DUPLICI NUBIUM EDITIONE.

(Ex commentatione de Aristophanis fragmentis p. 15—23.)

Duas Nubium editiones extitisse testes praeter alios habemus duo gravissimos, Eratosthenem et Athenaeum, viros in veteris comoediae historia eximie versatos. Earum primam constat archonte Isarcho in scenam fuisse productam, olympiadis undenonagesimae anno primo, successu minus quam poeta speraverat felici: prima enim praemia ad Cratini Pytinam et, quae in cognato Nubibus argumento versata est, Connum Amipsiae iudicum sententiis sunt delata, ultimus locus Aristophani datus. Quam iudicii quae videbatur iniquitatem quum graviter ferret Aristophanes, in parabasi Vesparum, quam fabulam proximo post Nubes anno archonte Aminia docuit, spectatorum accusavit hebetudinem, qui ingeniosis et subtilibus inventis suis iustum pretium statuere nescivissent. Ut enim omnino de poesi sua admodum magnifice sensit Aristophanes, ita Nubes praecipuo in loco habuisse videtur: ut non mirandum sit poetam, non abiecta spe fabulae aliquando meliore cum fortuna docendae, novam eamque aliquot partibus mutatam parasse editionem, quae etiam nunc superest. Ea vero magnopere dubitatur an nunquam in scenam prodierit. De qua re quae Eratosthenis fuerit sententia ex scholio ad v. 552. cognoscitur, *Ἐρατοσθένης δέ φησι Καλλίμαχον ἐγκαλεῖν ταῖς διδασκαλίαις, ὅτι φέρουσιν ὕστερον τρίτῳ ἔτει τὸν Μαρικᾶν τῶν Νεφελῶν, σαφῶς ἐνταῦθα εἰρημένου ὅτι πρότερον καθεῖται. λανθάνει δ' αὐτὸν, φησὶν, ὅτι ἐν μὲν ταῖς διδαχθείσαις οὐδὲν τοιοῦτον εἴρηκεν, ἐν δὲ ταῖς ὕστερον διασκευασθείσαις εἰ λέγεται, οὐδὲν ἄτοπον. αἱ διδασκαλίαι δὲ δῆλον ὅτι τὰς διδαχθείσας φέρουσι.* Apparet ex his Eratosthenem Nubes alteram inter dramata *ἀδίδακτα* retulisse, qualia non pauca fuerunt comicorum. Huic adversa fronte repugnat scriptor ignotus argumenti quod in Bekkeri editione quintum numeratur, *Ἀριστοφάνης ἀπορριφθεὶς παραλόγως ᾠήθη δεῖν ἀναδιδάξας τὰς δευτέρας ἀπομέμφεσθαι τὸ θέατρον. ἀποτυχὼν δὲ πολὺ μᾶλλον καὶ ἐν τοῖς ἔπειτα οὐκέτι τὴν διασκευὴν εἰσήγαγεν. αἱ δὲ δεύτεραι Νεφέλαι ἐπὶ Ἀμεινίου ἄρχοντος.* quocum consentire videtur sive idem sive alius qui annotationem ceterum perineptam scripsit ad v. 31. *τρεῖς μναῖ διφρίσκου καὶ τροχοῖν Ἀμυνίᾳ,*

ubi archontem Aminiam notari existimat. S
haec de fabula iterum in scenam commissa nar
tio grammaticorum error esse videtur, qui nisi
prava versus illius interpretatione originem tra
hanc etiam caussam habere potuit, quod quum
utraque parabasi, et Vesparum et secundar
Nubium, spectatores reprehendere (*ἀπομέμ*
*σθαι τὸ θέατρον*) viderent poetam, Vespas, q
archonte Aminia docta est, cum altera Nubi
editione confunderent, quae nunquam in sce
producta fuit nec potest ante olympiadis unde
nagesimae annum quartum facta haberi: de
dixit Hermannus in praefatione p. XXI.
haec pluribus persequi alienum ab hoc loco i
camus, ubi illud tantum agendum nobis est ut
terius ad priorem editionem eam fuisse oste
mus rationem, ut recte tanquam nova fabul
indicem dramatum referri potuerit. Id vero
monstratu non est difficile. Praeter enim q
quod parabasis aperte nova est, etiam in aliis
bulae partibus non pauca mutata esse narrat sc
tor argumenti septimi, *τοῦτο ταυτόν ἐστι*
*προτέρῳ. διεσκεύασται δὲ ἐπὶ μέρους ὡς*
*δὴ ἀναδιδάξαι μὲν αὐτὸ τοῦ ποιητοῦ προθυ*
*θέντος, οὐκέτι δὲ τοῦτο δι' ἣν ποτε αἰ*
*ποιήσαντος. καθόλου μὲν οὖν σχεδὸν παρὰ*
*μέρος γεγενημένη διόρθωσις. τὰ μὲν γὰρ*
*ῥῄρηται, τὰ δὲ πέπλεκται, καὶ ἐν τῇ τ*
*καὶ ἐν τῇ τῶν προσώπων διαλλαγῇ μετεσχη*
*τισται. ἃ δὲ ὁλοσχερῆ τῆς διασκευῆς τοι*
*ὄντα τετύχηκεν, αὐτίκα ἡ παράβασις τοῦ*
*ροῦ ἤμειπται, καὶ ὅπου ὁ δίκαιος λόγος πρὸς*
*ἄδικον λαλεῖ, καὶ τελευταῖον ὅπου καίετα*
*διατριβὴ Σωκράτους.* Videtur autem e
prior admodum mature ex manibus hominum
nuisse: nam et perpauca eaque dubia fragm
supersunt quae ad eam referantur et semel
tum *πρότεραι Νεφέλαι* diserte memorantur, a
Athenaeum IV. p. 171 e. Ubi qui appositi
versus quoniam etiam nunc in secundis Nub
exstant, Brunckio aliisque vel *προτέραις* in
*τέραις* mutare vel Athenaeum memoriae la
arguere placuit. Qui non cogitasse vide
Athenaeum fortasse nihil aliud significare volu
quam se, quum illa scriberet, priorum Nub
exemplar versasse, alterarum non inspexi

quemadmodum si alibi *δευτέρας* nominat, minime sequitur non eadem in prioribus lecta fuisse, quod necessario sumere debent qui Brunckii consectantur opinionem. Quae praeterea de Nubibus circumferuntur fragmenta ob hanc solam caussam ad priorem editionem referuntur, quod in posteriore, quae superest, non sunt inventa. In quo genere facile intellectu est quam proclivis sit ad errandum via. Nam quum prima Nubium editio cum tot aliis comici fabulis interierit, perdifficile est discernere quid vere quidve memoriae errore ex Nubibus attulerint grammatici. Vellemus igitur omnia tantum ab externa specie sua haberent commendationis quantum qui ab Photio versus servatus est in lexico p. 398, 11. *Πάρνης:* τὸ ὄρος θηλυκῶς·

*Ἐς τὴν Πάρνηθ᾽ ὀργισθεῖσαι φροῦδαι κατὰ*
*τὸν Λυκαβηττόν.*

Ἀριστοφάνης Νεφέλαις. καὶ ἑξῆς. Quod dicit καὶ ἑξῆς, videri potest ad versum fabulae superstitis spectasse 323.

*βλέπε νυν δευρὶ πρὸς τὴν Πάρνηθ᾽· ἤδη*
*γὰρ ὁρῶ κατιούσας*
*ἡσυχῇ αὐτάς.*

ex quo consequeretur utrumque in prima editione versum lectum fuisse. Ceterum quod ad scripturam versus illius attinet, necessaria emendatio est καὶ τὸν Λυκαβηττόν: nisi forte Parnethi superimpositus fuit Lycabettus, quemadmodum Pelio Ossa.

Minus certa haberi possunt quae Suidas in πηνίον protulit, *πηνίον:* ζῶον ὅμοιον κώνωπι. Ἀριστοφάνης Νεφέλαις

*Κείσεσθον ὥσπερ πηνίω βινουμένω,*

ἀντὶ τοῦ ξηροί. σκώπτει γὰρ τοὺς περὶ Χαιρεφῶντα εἰς ξηρότητα καὶ ἀσθένειαν. Facilis enim ad Nubes, in qua Chaerephontis quaedam partes sunt, ab aliis fabulis aberratio fuit, in quibus exagitatum illum esse novimus: cuiusmodi errore haud dubie etiam scholiasta Pacis in codice Veneto ad v. 347. de Phormione scripsit, οὗ μέμνηται ὁ κωμικὸς ἐν Ἱππεῦσι (v. 565.) καὶ Νεφέλαις καὶ Βαβυλωνίοις, Nubes pro Lysistrata (v. 804.) nominans. De Chaerephonte item vetusti scholii ad Platonem auctor p. 331. I. Bekker., qui studiose conquisivit quae comici in Chaerephontem dicteria iecissent, quattuor nominat Aristophanis fabulas, unam superstitem Aves, perditas tres, Telmesenses, Dramata, Horas. Si tamen vera retulit Suidas, perspicuum est versui illi vix in alia quam extrema Nubium parte locum fuisse. Brevius fragmentum, fortasse ex parabasi sumptum, servavit Athenaeus XI. p. 479 c. κοτυλίσκος δὲ καλεῖται ἱερὸς τοῦ Διονύσου κρατηρίσκος καὶ οἷς χέουσι οἱ μύσται, ὡς Νίκανδρός φησιν ὁ Θυατειρηνός, παρατιθέμενος τὸ ἐκ Νεφελῶν Ἀριστοφάνους „Μηδὲ στέψω κοτυλίσκους.“ Tria verba οὐ μετὸν αὐτῷ ex Nubibus prostant apud Suidam in h. v. explicata per οὐκ ἐξὸν αὐτῷ. Sed idem *μετὸν αὐτῷ* ex Ecclesiazusarum v. 694. consignavit in v. *μετόν*. Nec dubitatione vacua sunt quae apud Antiatticistam Bekkeri leguntur p. 98, 1. *ζημιῆσασθαι:* Ἀριστοφάνης Νεφέλαις. et p. 105, 2. *κόλασμα:* Ἀριστοφάνης Νεφέλαις. parum enim accuratus ille grammaticus est, qui, ne iam alia commemorem, p. 97, 14. ἐκπερδικίσαι attulit ex Ecclesiazusis, quod legitur in Avibus v. 773. ἐπανορθώσασθαι p. 96, 25. ex Thesmophoriazusis, quod ad Lysistratae versum 528. pertinere videtur, ubi hodie legitur ἐπανορθώσαιμεν ἂν ὑμᾶς. καταλαλεῖν p. 102, 15. ex *Γήρᾳ*, quod exstat in Ranis, in *Γήρᾳ* autem fortasse non lectum fuit. ὀβολίας ἄρτους p. 111, 7. ex *Πελαργοῖς*, quod ad *Γεωργοὺς* potius pertinere videbitur, si Athenaeum compares III. p. 111 b. Illud vero plane imperite ab quibusdam factum, quod ad diversam nescio quam scripturam Nubium versus 1063. (*Πηλεὺς ἔλαβε διὰ τοῦτο τὴν μάχαιραν*) retulerunt Photii verba p. 428, 3. *Πηλέως μάχαιρα:* παροιμία· ταύτην ἀναγράφει καὶ Ἀριστοφάνης οὕτως· μέγα φρονεῖ μᾶλλον ἢ Πηλεὺς ἐν τῇ μαχαίρῃ. ex ipso enim verbo ἀναγράφει apertum est non comicum, qui potius κεχρῆσθαι de more dicendus fuisset, sed grammaticum designari Aristophanem, qui in libro de ἀμέτροις παροιμίαις de proverbio illo videtur exposuisse. Non magis scholii ad Theocriti V, 118. ullus usus est, *ἐκάθηρεν:* ἀντὶ τοῦ ἔτυπτε καὶ ἐξέδειρε. καὶ Ἀριστοφάνης, πιέδει τὰς πλευρὰς καὶ ἐκάθηρεν. Pertinent haec ad Nubium v. 1379. κᾆτ᾽ ἔφλα με κἀσπόδει κἄπνιγε κἀπέτριβεν. cui adscripta fuit verbi ἐσπόδει explicandi caussa grammatici annotatio τὰς πλευρὰς ἐκάθηρε. Hanc tanquam poetae verba amplexus est imperitus scholiasta, similis Lecapeno, cuius libellum bene fecit Hermannus quod edere non dedignatus est, in appendice libri de grammatica Graeca p. 353 — 391. Est enim ad multas quaestiones utile quibus modis ineptiverint grammatici cognosse.

Superest iam unum de prioribus, ut ferunt, Nubibus fragmentum, quo quum non aliud ab hac fabula alienius inveniri existimem, ultimum tractandum reservavi. Proditum autem illud est ab Diogene Laertio in principio vitae Socratis (II, 18.), cuius locum operae pretium est apponi integrum, *Σωκράτης Σωφρονίσκου μὲν ἦν υἱὸς λιθουργοῦ καὶ Φαιναρέτης μαίας, ὡς καὶ Πλάτων ἐν Θεαιτήτῳ φησίν, Ἀθηναῖος, τῶν δήμων Ἀλωπεκῆθεν. ἐδόκει δὲ συμποιεῖν Εὐριπίδῃ.* ὅθεν Μνησίλοχος οὕτω φησὶ „Φρύγες ἐστὶ καινὸν δρᾶμα τοῦτ᾽ Εὐριπίδου, ᾧ Σωκράτης τὰ φρύγανα ὑποτίθησι.“ καὶ πάλιν „Εὐριπίδης σωκρατογόμφους.“ καὶ Καλλίας Πεδήταις

*α. τί δὴ σὺ σεμνὴ καὶ φρονεῖς οὕτω μέγα;*
*β. ἔξεστι γάρ μοι· Σωκράτης γὰρ αἴτιος.*

Ἀριστοφάνης Νεφέλαις

*Εὐριπίδης δ' ὁ τὰς τραγῳδίας ποιῶν*
*τὰς περιλαλούσας οὗτός ἐστι τὰς σοφάς.*

Magnam haec offensionem eo habent quod qui ex Aristophane afferuntur versus alieni videntur ab Diogenis proposito, qui veterum comicorum testimoniis hoc vult comprobare, Euripidem in tragoediis scribendis nonnihil ab Socrate esse adiutum. Quod quum intellexisset Valckenarius, in Diatribe de Euripidis fragmentis p. 14. *Εὐριπίδου* corrigi iussit, cuius loco propius ad codicum scripturam *Εὐριπίδη* poni potuisse alii animadverterunt. Mihi vero utraque praepostera correctio videtur. Pervulgata Athenis fuit opinio, ex intima quae Socrati cum Euripide intercessit necessitudine orta, tragicum in eligendis fabularum argumentis et fingendis moribus sermonibusque personarum, quas plus iusto philosophantes introducebat, Socratis uti opera et consilio: quod praeter comicos ab Diogene memoratos dicere videtur Antiphanes apud Athenaeum IV. p. 134 c. *ὁ τὰ κεφάλαια συγγράφων Εὐριπίδῃ.* sed integras tragoedias Euripidi fecisse Socratem nec dixit quisquam nec potuit probabiliter comminisci de homine ab poesi valde alieno. Neque Nubium fabulae consilio versus illi conveniunt, sive Euripidem sive Socratem nominari sumamus. Nam Euripidis partes ut in altera editione nullae sunt, ita, si in prima fuissent, sublatas esse vix credibile videtur. Socratis autem personae monstrandae duos tantum invenio aptos in hac fabula locos, alterum ubi ab discipulo Strepsiadi ostenditur, alterum ubi Strepsiades Phidippidem in Socratis scholam introducit. Quorum neutri congruunt. Nam ab discipulo quidem hoc modo designari potuisse magistrum nemo facile in animum inducet: Strepsiadis autem personae quovis alio modo potius Socratem Phidippidi commendare convenit quam qui ab Euripidis societate ductus est. Eius enim poesin abominatur Strepsiades v. 1371. 1378., qui in Socrate nihil aliud spectat et admiratur quam sophistice in utramque partem disputandi facultatem: cum Euripide quid agat rerum curat scilicet.

Hae igitur satis idoneae mihi videntur caussae esse ut versus illos aliunde quam ex Nubibus excerptos esse existimem, videorque erroris originem ita posse demonstrare nihil ut dubitationis relinquatur. Quod ita faciam ut ab alio exordiar gravissimo peccato Diogenis — neque enim librariorum eam esse culpam mihi persuadeo — qui allatis tanquam Mnesilochi, comici inauditi, versibus, *Φρύγες ἐστὶ καινὸν δρᾶμα τοῦτ' Εὐριπίδου | ᾧ καὶ Σωκράτης τὰ φρύγανα ὑποτίθησιν*, aliud in hac caussa edidit negligentiae et imperitiae documentum vix credibile. Quod quale sit aestimare licet ex vita Euripidis, quam in codice Mediolanensi inventam Baccharum editioni adiunxit Elmsleius p. 193. *δοκεῖ αὐτῷ κα σωκράτης ὁ φιλόσοφος καὶ μνησίλοχος συμπε ποιηκέναι τινά, ὥς φησὶ τηλεκλείδης. μνησί λοχος δὲ ἐκεῖνος φρυγικόν τι δρᾶμα καινὸν εὐ ριπίδῃ καὶ σωκράτης ὑποτίθησιν.* Quae cu Diogene, lacero ut videtur codice uso, comp rata et illi lucem afferunt et vicissim accipiun Emendanda autem sunt ita ut et Phryges am veantur, merito iam ab Valckenario in dubit tionem vocati neque in *φρυγάνοις*, quae Socr tes supponere dicitur, quidquam praesidii inv nientes, et de fabula agi appareat non iam co fecta, sed quae nunc ipsum, fortasse in aed bus Euripidis in scena conspectis, praeparetu Id enim propter praesentis usum temporis *ὑπο τίθησι* necessarium est, aliter vix satis aptu futurum. Ea vero omnia lenissima correctio consequi videmur hac

*Μνησίλοχός ἐστ' ἐκεῖνος, ὃς φρύγει τι δρᾶμ*
*καινὸν*
*Εὐριπίδῃ, καὶ Σωκράτης τὰ φρύγαν' ὑπο*
*τίθησιν.*

Talem igitur quum in his versibus se pra stiterit Diogenes, quis tandem ea sit levitate de ceteris fidem ei securus habeat? Et qual quaeso sunt proxima illa *καὶ πάλιν* „*Εὐρι δης σωκρατογόμφους*“? Immo hic quoque i manis subest hallucinatio Diogenis, qui ex di iectis poetae membris, quae in unum erant fra mentum coagmentanda, duo extudit fragmen alterum absurdissime conformatum, *Εὐριπίδ σωκρατογόμφους*, alterum addito *περιλαλούσ* eadem qua superiora licentia interpolatum tracto huc lemmate *Ἀριστοφάνης Νεφέλα* quod apud scriptorem cui sua debet Dioge ad longe aliam rem pertinuit. Haec igi sunt verba poetae, sive Teleclidis seu, q minus probabile duco, Calliae

*Εὐριπίδης δ' ὁ τὰς τραγῳδίας ποιῶν*
*τὰς σωκρατογόμφους οὗτός ἐστι τὰς σοφ*

Cave enim ne servato *περιλαλούσας* te versus initium statuas *τὰς σωκρατογόμφο* quae misera foret et veteris comoediae vi pla caritura Euripidis fabularum descriptio. Ni huc faciunt quae alibi de Euripidis *λαλιᾷ* t duntur.

# ADDENDUM.

Quod facile praevideram fore qui in altero illo Teleclidae fragmento servata Diogenis librorum scriptura tertii versus initium essent habituri *τὰς σωκρατογόμφους*, id ipsum Hermannum esse amplexum video in egregia censura, qua de libello meo retulit in diariis Lipsiensibus a. 1829. vol. II. p. 1623. 1624. Qui quod incredibile sibi videri ait Diogenem ex altero, quem ego statui, versu *σωκρατογόμφοις* avulsisse, ut suo isti *περιλαλούσας* locum faceret, idem mihi quoque credi ab nemine posse visum erat: quamobrem non hoc coniieceram, sed, quod haud paullo diversum est, Diogenem quae disiecta invenisset coagmentare nescivisse. Ea vero neque iniqua in Diogenem coniectura est, qui in superiore Teleclidae fragmento simillimum errorem commisit, neque idonea ratione destituta, videturque hac sola via probabiliter explicari posse unde lemma istud *Ἀριστοφάνης Νεφέλαις* venerit, quod ex inferiore quodam de rebus Socratis excerpto huc ascendit, quemadmodum paullo ante Mnesilochi nomen ex Teleclidae verbis in locum altiorem evectum eamque ob caussam pro poetae nomine habitum est.

# Ν Ε Φ Ε Λ Α Ι.

ΣΤΡΕΨΙΑΔΗΣ.

Ἰοὺ ἰού·
ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν νυκτῶν ὅσον
ἀπέραντον. οὐδέποθ' ἡμέρα γενήσεται;
καὶ μὴν πάλαι γ' ἀλεκτρυόνος ἤκουσ' ἐγώ·
οἱ δ' οἰκέται ῥέγκουσιν· ἀλλ' οὐκ ἂν πρὸ τοῦ.
ἀπόλοιο δῆτ', ὦ πόλεμε, πολλῶν οὕνεκα,
ὅτ' οὐδὲ κολάσ' ἔξεστί μοι τοὺς οἰκέτας.
ἀλλ' οὐδ' ὁ χρηστὸς οὑτοσὶ νεανίας
ἐγείρεται τῆς νυκτὸς, ἀλλὰ πέρδεται
ἐν πέντε σισύραις ἐγκεκορδυλημένος.
ἀλλ' εἰ δοκεῖ, ῥέγκωμεν ἐγκεκαλυμμένοι.
ἀλλ' οὐ δύναμαι δείλαιος εὕδειν δακνόμενος
ὑπὸ τῆς δαπάνης καὶ τῆς φάτνης καὶ τῶν χρεῶν,
διὰ τουτονὶ τὸν υἱόν. ὁ δὲ κόμην ἔχων
ἱππάζεταί τε καὶ ξυνωρικεύεται
ὀνειροπολεῖ θ' ἵππους· ἐγὼ δ' ἀπόλλυμαι,
ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας·
οἱ γὰρ τόκοι χωροῦσιν. ἅπτε, παῖ, λύχνον,
κἄκφερε τὸ γραμματεῖον, ἵν' ἀναγνῶ λαβὼν
ὁπόσοις ὀφείλω καὶ λογίσωμαι τοὺς τόκους.
φέρ' ἴδω, τί ὀφείλω; δώδεκα μνᾶς Πασίᾳ.
τοῦ δώδεκα μνᾶς Πασίᾳ; τί ἐχρησάμην;
ὅτ' ἐπριάμην τὸν κοππατίαν. οἴμοι τάλας,
εἴθ' ἐξεκόπην πρότερον τὸν ὀφθαλμὸν λίθῳ.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

Φίλων, ἀδικεῖς· ἔλαυνε τὸν σαυτοῦ δρόμον.

ΣΤΡΕΨΙΑΔΗΣ.

τοῦτ' ἔστι τουτὶ τὸ κακὸν ὅ μ' ἀπολώλεκεν·
ὀνειροπολεῖ γὰρ καὶ καθεύδων ἱππικήν.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

πόσους δρόμους ἐλᾷ τὰ πολεμιστήρια;

ΣΤΡΕΨΙΑΔΗΣ.

ἐμὲ μὲν σὺ πολλοὺς τὸν πατέρ' ἐλαύνεις δρόμους.
ἀτὰρ τί χρέος ἔβα με μετὰ τὸν Πασίαν;
τρεῖς μναῖ διφρίσκου καὶ τροχοῖν Ἀμυνίᾳ.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

ἄπαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἀλλ', ὦ μέλ', ἐξήλικας ἐμέ γ' ἐκ τῶν ἐμῶν,
ὅτε καὶ δίκας ὦφληκα χἄτεροι τόκου
ἐνεχυράσασθαί φασιν.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

ἐτεὸν, ὦ πάτερ,
τί δυσκολαίνεις καὶ στρέφει τὴν νύχθ' ὅλην;

ΣΤΡΕΨΙΑΔΗΣ.

δάκνει με δήμαρχός τις ἐκ τῶν στρωμάτων.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

ἔασον, ὦ δαιμόνιε, καταδαρθεῖν τί με.

ΣΤΡΕΨΙΑΔΗΣ.

σὺ δ' οὖν κάθευδε· τὰ δὲ χρέα ταῦτ' ἴσθ' ὅτι
ἐς τὴν κεφαλὴν ἅπαντα τὴν σὴν τρέψεται.
φεῦ.
εἴθ' ὤφελ' ἡ προμνήστρι' ἀπολέσθαι κακῶς,
ἥτις με γῆμ' ἐπῆρε τὴν σὴν μητέρα·
ἐμοὶ γὰρ ἦν ἄγροικος ἥδιστος βίος,
εὐρωτιῶν, ἀκόρητος, εἰκῇ κείμενος,
βρύων μελίτταις καὶ προβάτοις καὶ στεμφύλοι
ἔπειτ' ἔγημα Μεγακλέους τοῦ Μεγακλέους
ἀδελφιδῆν ἄγροικος ὢν ἐξ ἄστεως,
σεμνὴν, τρυφῶσαν, ἐγκεκοισυρωμένην.
ταύτην ὅτ' ἐγάμουν, συγκατεκλινόμην ἐγὼ
ὄζων τρυγὸς, τρασιᾶς, ἐρίων περιουσίας,
ἡ δ' αὖ μύρου, κρόκου, καταγλωττισμάτων,
δαπάνης, λαφυγμοῦ, Κωλιάδος, Γενετυλλίδ
οὐ μὴν ἐρῶ γ' ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα.
ἐγὼ δ' ἂν αὐτῇ θοἰμάτιον δεικνὺς τοδὶ
πρόφασιν ἔφασκον, ὦ γύναι, λίαν σπαθᾷς.

ΘΕΡΑΠΩΝ.

ἔλαιον ἡμῖν οὐκ ἔνεστ' ἐν τῷ λύχνῳ.

ΣΤΡΕΨΙΑΔΗΣ.

οἴμοι· τί γάρ μοι τὸν πότην ἧπτες λύχνον;
δεῦρ' ἔλθ', ἵνα κλάῃς.

ΘΕΡΑΠΩΝ.

διὰ τί δῆτα κλαύσομ

ΣΤΡΕΨΙΑΔΗΣ.

ὅτι τῶν παχειῶν ἐνετίθεις θρυαλλίδων.
μετὰ ταῦθ', ὅπως νῷν ἐγένεθ' υἱὸς οὑτοσὶ,
ἐμοί τε δὴ καὶ τῇ γυναικὶ τἀγαθῇ,
περὶ τοὐνόματος δὴ 'ντεῦθεν ἐλοιδορούμεθα
ἡ μὲν γὰρ ἵππον προσετίθει πρὸς τοὔνομα,
Ξάνθιππον ἢ Χάριππον ἢ Καλλιππίδην,
ἐγὼ δὲ τοῦ πάππου 'τιθέμην Φειδωνίδην.
τέως μὲν οὖν ἐκρινόμεθ'· εἶτα τῷ χρόνῳ
κοινῇ ξυνέβημεν κἀθέμεθα Φειδιππίδην.
τοῦτον τὸν υἱὸν λαμβάνουσ' ἐκορίζετο,
ὅταν σὺ μέγας ὢν ἅρμ' ἐλαύνῃς πρὸς πόλ
ὥσπερ Μεγακλέης, ξυστίδ' ἔχων. ἐγὼ δ' ἔ
ὅταν μὲν οὖν τὰς αἶγας ἐκ τοῦ Φελλέως,
ὥσπερ ὁ πατήρ σου, διφθέραν ἐνημμένος.
ἀλλ' οὐκ ἐπίθετο τοῖς ἐμοῖς οὐδὲν λόγοις,
ἀλλ' ἵππερόν μου κατέχεεν τῶν χρημάτων.
νῦν οὖν ὅλην τὴν νύκτα φροντίζων, ὁδοῦ
μίαν εὗρον ἀτραπὸν δαιμονίως ὑπερφυᾶ,
ἣν ἢν ἀναπείσω τουτονὶ, σωθήσομαι.
ἀλλ' ἐξεγεῖραι πρῶτον αὐτὸν βούλομαι.
πῶς δῆτ' ἂν ἥδιστ' αὐτὸν ἐπεγείραιμι; π
Φειδιππίδη, Φειδιππίδιον.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

τί, ὦ πάτερ;

ΣΤΡΕΨΙΑΔΗΣ.

κύσον με καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν.

ΦΕΙΔΙΠΠΙΔΗΣ.
ἰδού. τί ἐστιν;
ΣΤΡΕΨΙΑΔΗΣ.
εἰπέ μοι, φιλεῖς ἐμέ;
ΦΕΙΔΙΠΠΙΔΗΣ.
νὴ τὸν Ποσειδῶ τουτονὶ τὸν ἵππιον.
ΣΤΡΕΨΙΑΔΗΣ.
μή μοί γε τοῦτον μηδαμῶς τὸν ἵππιον·
οὗτος γάρ ὁ θεὸς αἴτιός μοι τῶν κακῶν.
ἀλλ' εἴπερ ἐκ τῆς καρδίας μ' ὄντως φιλεῖς,
ὦ παῖ, πιθοῦ.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
τί οὖν πίθωμαι δῆτά σοι;
ΣΤΡΕΨΙΑΔΗΣ.
ἔκστρεψον ὡς τάχιστα τοὺς σαυτοῦ τρόπους,
καὶ μάνθαν' ἐλθὼν ἂν ἐγὼ παραινέσω.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
λέγε δή, τί κελεύεις;
ΣΤΡΕΨΙΑΔΗΣ.
καί τι πείσει;
ΦΕΙΔΙΠΠΙΔΗΣ.
πείσομαι,
νὴ τὸν Διόνυσον.
ΣΤΡΕΨΙΑΔΗΣ.
δευρό νυν ἀπόβλεπε.
ὁρᾷς τὸ θύριον τοῦτο καὶ τῳκίδιον;
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ὁρῶ. τί οὖν τοῦτ' ἐστὶν ἐτεόν, ὦ πάτερ;
ΣΤΡΕΨΙΑΔΗΣ.
ψυχῶν σοφῶν τοῦτ' ἐστὶ φροντιστήριον.
ἐνταῦθ' ἐνοικοῦσ' ἄνδρες οἳ τὸν οὐρανὸν
λέγοντες ἀναπείθουσιν ὡς ἔστιν πνιγεύς
κἄστιν περὶ ἡμᾶς οὗτος, ἡμεῖς δ' ἄνθρακες.
οὗτοι διδάσκουσ', ἀργύριον ἤν τις διδῷ,
λέγοντα νικᾶν καὶ δίκαια κἄδικα.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
εἰσὶν δὲ τίνες;
ΣΤΡΕΨΙΑΔΗΣ.
οὐκ οἶδ' ἀκριβῶς τοὔνομα·
μεριμνοφροντισταὶ καλοί τε κἀγαθοί.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
αἰβοῖ, πονηροί γ', οἶδα. τοὺς ἀλαζόνας,
τοὺς ὠχριῶντας, τοὺς ἀνυποδήτους λέγεις·
ὧν ὁ κακοδαίμων Σωκράτης καὶ Χαιρεφῶν.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἢ ἤ, σιώπα· μηδὲν εἴπῃς νήπιον.
ἀλλ' εἴ τι κήδει τῶν πατρῴων ἀλφίτων,
τούτων γενοῦ μοι, σχασάμενος τὴν ἱππικήν.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
οὐκ ἂν μὰ τὸν Διόνυσον, εἰ δοίης γέ μοι
τοὺς φασιανοὺς οὓς τρέφει Λεωγόρας.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἴθ', ἀντιβολῶ σ', ὦ φίλτατ' ἀνθρώπων ἐμοί,
ἐλθὼν διδάσκου.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
καὶ τί σοι μαθήσομαι;
ΣΤΡΕΨΙΑΔΗΣ.
εἶναι παρ' αὐτοῖς φασιν ἄμφω τὼ λόγω,
τὸν κρείττον', ὅστις ἐστί, καὶ τὸν ἥττονα.
τούτοιν τὸν ἕτερον τοῖν λόγοιν, τὸν ἥττονα,
νικᾶν λέγοντά φασι τἀδικώτερα.
ἢν οὖν μάθῃς μοι τὸν ἄδικον τοῦτον λόγον,
ἃ νῦν ὀφείλω διὰ σέ, τούτων τῶν χρεῶν
οὐκ ἂν ἀποδοίην οὐδ' ἂν ὀβολὸν οὐδενί.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
οὐκ ἂν πιθοίμην· οὐ γὰρ ἂν τλαίην ἰδεῖν
τοὺς ἱππέας τὸ χρῶμα διακεκναισμένος.
ΣΤΡΕΨΙΑΔΗΣ.
οὐκ ἄρα μὰ τὴν Δήμητρα τῶν γ' ἐμῶν ἔδει,
οὔτ' αὐτὸς οὔθ' ὁ ζύγιος οὔθ' ὁ σαμφόρας·
ἀλλ' ἐξελῶ σ' ἐς κόρακας ἐκ τῆς οἰκίας.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ἀλλ' οὐ περιόψεταί μ' ὁ θεῖος Μεγακλέης
ἄνιππον. ἀλλ' εἴσειμι, σοῦ δ' οὐ φροντιῶ.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἀλλ' οὐδ' ἐγὼ μέντοι πεσών γε κείσομαι·
ἀλλ' εὐξάμενος τοῖσιν θεοῖς διδάξομαι
αὐτὸς βαδίζων εἰς τὸ φροντιστήριον.
πῶς οὖν γέρων ὢν κἀπιλήσμων καὶ βραδὺς
λόγων ἀκριβῶν σχινδαλάμους μαθήσομαι;
ἰτητέον. τί ταῦτ' ἔχων στραγγεύομαι,
ἀλλ' οὐχὶ κόπτω τὴν θύραν; παῖ, παιδίον.
ΜΑΘΗΤΗΣ.
βάλλ' ἐς κόρακας· τίς ἐσθ' ὁ κόψας τὴν θύραν;
ΣΤΡΕΨΙΑΔΗΣ.
Φείδωνος υἱὸς Στρεψιάδης Κικυννόθεν.
ΜΑΘΗΤΗΣ.
ἀμαθής γε νὴ Δί', ὅστις οὑτωσὶ σφόδρα
ἀπεριμερίμνως τὴν θύραν λελάκτικας
καὶ φροντίδ' ἐξήμβλωκας ἐξευρημένην.
ΣΤΡΕΨΙΑΔΗΣ.
σύγγνωθί μοι· τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν.
ἀλλ' εἰπέ μοι τὸ πρᾶγμα τοὐξημβλωμένον.
ΜΑΘΗΤΗΣ.
ἀλλ' οὐ θέμις πλὴν τοῖς μαθηταῖσιν λέγειν.
ΣΤΡΕΨΙΑΔΗΣ.
λέγε νυν ἐμοὶ θαρρῶν· ἐγὼ γὰρ οὑτοσὶ
ἥκω μαθητὴς εἰς τὸ φροντιστήριον.
ΜΑΘΗΤΗΣ.
λέξω. νομίσαι δὲ ταῦτα χρὴ μυστήρια.
ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης
ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὑτῆς πόδας·
δακοῦσα γὰρ τοῦ Χαιρεφῶντος τὴν ὀφρῦν
ἐπὶ τὴν κεφαλὴν τὴν Σωκράτους ἀφήλατο.
ΣΤΡΕΨΙΑΔΗΣ.
πῶς δῆτα τοῦτ' ἐμέτρησε;
ΜΑΘΗΤΗΣ.
δεξιώτατα.
κηρὸν διατήξας, εἶτα τὴν ψύλλαν λαβὼν
ἐνέβαψεν εἰς τὸν κηρὸν αὐτῆς τὼ πόδε,
κᾆτα ψυγείσῃ περιέφυσαν Περσικαί.
ταύτας ὑπολύσας ἀνεμέτρει τὸ χωρίον.
ΣΤΡΕΨΙΑΔΗΣ.
ὦ Ζεῦ βασιλεῦ τῆς λεπτότητος τῶν φρενῶν.
ΜΑΘΗΤΗΣ.
τί δῆτ' ἄν, ἕτερον εἰ πύθοιο Σωκράτους
φρόντισμα;
ΣΤΡΕΨΙΑΔΗΣ.
ποῖον; ἀντιβολῶ, κάτειπέ μοι.

ΜΑΘΗΤΗΣ.

ἀνήρετ' αὐτὸν Χαιρεφῶν ὁ Σφήττιος
ὁπότερα τὴν γνώμην ἔχοι, τὰς ἐμπίδας
κατὰ τὸ στόμ' ᾄδειν, ἢ κατὰ τοὐρροπύγιον.

ΣΤΡΕΨΙΑΔΗΣ.

τί δῆτ' ἐκεῖνος εἶπε περὶ τῆς ἐμπίδος;

ΜΑΘΗΤΗΣ.

ἔφασκεν εἶναι τοὔντερον τῆς ἐμπίδος
στενόν· διὰ λεπτοῦ δ' ὄντος αὐτοῦ τὴν πνοὴν
βίᾳ βαδίζειν εὐθὺ τοὐρροπυγίου·
ἔπειτα κοῖλον πρὸς στενῷ προσκείμενον
τὸν πρωκτὸν ἠχεῖν ὑπὸ βίας τοῦ πνεύματος.

ΣΤΡΕΨΙΑΔΗΣ.

σάλπιγξ ὁ πρωκτός ἐστιν ἄρα τῶν ἐμπίδων.
ὢ τρισμακάριος τοῦ διεντερεύματος.
ἦ ῥᾳδίως φεύγων ἂν ἀποφύγοι δίκην
ὅστις δίοιδε τοὔντερον τῆς ἐμπίδος.

ΜΑΘΗΤΗΣ.

πρώην δέ γε γνώμην μεγάλην ἀφῃρέθη
ὑπ' ἀσκαλαβώτου.

ΣΤΡΕΨΙΑΔΗΣ.

τίνα τρόπον; κάτειπέ μοι.

ΜΑΘΗΤΗΣ.

ζητοῦντος αὐτοῦ τῆς σελήνης τὰς ὁδοὺς
καὶ τὰς περιφορὰς, εἶτ' ἄνω κεχηνότος
ἀπὸ τῆς ὀροφῆς νύκτωρ γαλεώτης κατέχεσεν.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἥσθην γαλεώτῃ καταχέσαντι Σωκράτους.

ΜΑΘΗΤΗΣ.

ἐχθὲς δέ γ' ἡμῖν δεῖπνον οὐκ ἦν ἑσπέρας.

ΣΤΡΕΨΙΑΔΗΣ.

εἶεν· τί οὖν πρὸς τἄλφιτ' ἐπαλαμήσατο;

ΜΑΘΗΤΗΣ.

κατὰ τῆς τραπέζης καταπάσας λεπτὴν τέφραν,
κάμψας ὀβελίσκον, εἶτα διαβήτην λαβὼν,
ἐκ τῆς παλαίστρας θοἰμάτιον ὑφείλετο.

ΣΤΡΕΨΙΑΔΗΣ.

τί δῆτ' ἐκεῖνον τὸν Θαλῆν θαυμάζομεν;
ἄνοιγ' ἄνοιγ' ἀνύσας τὸ φροντιστήριον,
καὶ δεῖξον ὡς τάχιστά μου τὸν Σωκράτη.
μαθητιῶ γάρ· ἀλλ' ἄνοιγε τὴν θύραν.
ὦ Ἡράκλεις, ταυτὶ ποδαπὰ τὰ θηρία;

ΜΑΘΗΤΗΣ.

τί ἐθαύμασας; τῷ σοι δοκοῦσιν εἰκέναι;

ΣΤΡΕΨΙΑΔΗΣ.

τοῖς ἐκ Πύλου ληφθεῖσι, τοῖς Λακωνικοῖς.
ἀτὰρ τί ποτ' ἐς τὴν γῆν βλέπουσιν οὑτοιί;

ΜΑΘΗΤΗΣ.

ζητοῦσιν οὗτοι τὰ κατὰ γῆς.

ΣΤΡΕΨΙΑΔΗΣ.

βολβοὺς ἄρα
ζητοῦσι. μή νυν τουτογὶ φροντίζετε·
ἐγὼ γὰρ οἶδ' ἵν' εἰσὶ μεγάλοι καὶ καλοί.
τί γὰρ οἵδε δρῶσιν οἱ σφόδρ' ἐγκεκυφότες;

ΜΑΘΗΤΗΣ.

οὗτοι δ' ἐρεβοδιφῶσιν ὑπὸ τὸν Τάρταρον.

ΣΤΡΕΨΙΑΔΗΣ.

τί δῆθ' ὁ πρωκτὸς ἐς τὸν οὐρανὸν βλέπει;

ΜΑΘΗΤΗΣ.

αὐτὸς καθ' αὑτὸν ἀστρονομεῖν διδάσκεται.
ἀλλ' εἴσιθ', ἵνα μὴ 'κεῖνος ἡμῖν ἐπιτύχῃ.

ΣΤΡΕΨΙΑΔΗΣ.

μήπω γε, μήπω γ'· ἀλλ' ἐπιμεινάντων, ἵνα
αὐτοῖσι κοινώσω τι πραγμάτιον ἐμόν.

ΜΑΘΗΤΗΣ.

ἀλλ' οὐχ οἷόν τ' αὐτοῖσι πρὸς τὸν ἀέρα
ἔξω διατρίβειν πολὺν ἄγαν ἐστὶν χρόνον.

ΣΤΡΕΨΙΑΔΗΣ.

πρὸς τῶν θεῶν, τί γὰρ τάδ' ἐστίν; εἰπέ μοι.

ΜΑΘΗΤΗΣ.

ἀστρονομία μὲν αὑτηί.

ΣΤΡΕΨΙΑΔΗΣ.

τουτὶ δὲ τί;

ΜΑΘΗΤΗΣ.

γεωμετρία.

ΣΤΡΕΨΙΑΔΗΣ.

τοῦτ' οὖν τί ἐστι χρήσιμον;

ΜΑΘΗΤΗΣ.

γῆν ἀναμετρεῖσθαι.

ΣΤΡΕΨΙΑΔΗΣ.

πότερα τὴν κληρουχικήν;

ΜΑΘΗΤΗΣ.

οὐκ, ἀλλὰ τὴν σύμπασαν.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἀστεῖον λέγεις.
τὸ γὰρ σόφισμα δημοτικὸν καὶ χρήσιμον.

ΜΑΘΗΤΗΣ.

αὕτη δέ σοι γῆς περίοδος πάσης. ὁρᾷς;
αἵδε μὲν Ἀθῆναι.

ΣΤΡΕΨΙΑΔΗΣ.

τί σὺ λέγεις; οὐ πείθομαι,
ἐπεὶ δικαστὰς οὐχ ὁρῶ καθημένους.

ΜΑΘΗΤΗΣ.

ὡς τοῦτ' ἀληθῶς Ἀττικὸν τὸ χωρίον.

ΣΤΡΕΨΙΑΔΗΣ.

καὶ ποῦ Κικυννῆς εἰσιν οὑμοὶ δημόται;

ΜΑΘΗΤΗΣ.

ἐνταῦθ' ἔνεισιν. ἡ δέ γ' Εὔβοι', ὡς ὁρᾷς,
ἡδὶ παρατέταται μακρὰ πόρρω πάνυ.

ΣΤΡΕΨΙΑΔΗΣ.

οἶδ'· ὑπὸ γὰρ ἡμῶν παρετάθη καὶ Περικλέο
ἀλλ' ἡ Λακεδαίμων ποῦ 'στιν;

ΜΑΘΗΤΗΣ.

ὅπου 'στίν; αὑ

ΣΤΡΕΨΙΑΔΗΣ.

ὡς ἐγγὺς ἡμῶν. τοῦτο πάνυ φροντίζετε,
ταύτην ἀφ' ἡμῶν ἀπαγαγεῖν πόρρω πάν

ΜΑΘΗΤΗΣ.

ἀλλ' οὐχ οἷόν τε νὴ Δί'.

ΣΤΡΕΨΙΑΔΗΣ.

οἰμώξεσθ' ἄρα.
φέρε τίς γὰρ οὗτος οὑπὶ τῆς κρεμάθρας ἀνή

ΜΑΘΗΤΗΣ.

αὐτός.

ΣΤΡΕΨΙΑΔΗΣ.

τίς αὐτός;

ΜΑΘΗΤΗΣ.

Σωκράτης.

ΣΤΡΕΨΙΑΔΗΣ.
ὦ Σώκρατες.
ἴθ' οὗτος, ἀναβόησον αὐτόν μοι μέγα.
ΜΑΘΗΤΗΣ.
αὐτὸς μὲν οὖν σὺ κάλεσον· οὐ γάρ μοι σχολή.
ΣΤΡΕΨΙΑΔΗΣ.
ὦ Σώκρατες,
ὦ Σωκρατίδιον.
ΣΩΚΡΑΤΗΣ.
τί με καλεῖς, ὠφήμερε;
ΣΤΡΕΨΙΑΔΗΣ.
πρῶτον μὲν ὅ τι δρᾷς, ἀντιβολῶ, κάτειπέ μοι.
ΣΩΚΡΑΤΗΣ.
ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἔπειτ' ἀπὸ ταρροῦ τοὺς θεοὺς ὑπερφρονεῖς,
ἀλλ' οὐκ ἀπὸ τῆς γῆς, εἴπερ.
ΣΩΚΡΑΤΗΣ.
οὐ γὰρ ἄν ποτε
ἐξεῦρον ὀρθῶς τὰ μετέωρα πράγματα,
εἰ μὴ κρεμάσας τὸ νόημα καὶ τὴν φροντίδα
λεπτὴν καταμίξας εἰς τὸν ὅμοιον ἀέρα.
εἰ δ' ὢν χαμαὶ τἄνω κάτωθεν ἐσκόπουν,
οὐκ ἄν ποθ' εὗρον· οὐ γὰρ ἀλλ' ἡ γῆ βίᾳ
ἕλκει πρὸς αὑτὴν τὴν ἰκμάδα τῆς φροντίδος.
πάσχει δὲ ταὐτὸ τοῦτο καὶ τὰ κάρδαμα.
ΣΤΡΕΨΙΑΔΗΣ.
τί φῄς;
ἡ φροντὶς ἕλκει τὴν ἰκμάδ' εἰς τὰ κάρδαμα;
ἴθι νυν, κατάβηθ', ὦ Σωκρατίδιον, ὡς ἐμέ,
ἵνα με διδάξῃς ὧνπερ οὕνεκ' ἐλήλυθα.
ΣΩΚΡΑΤΗΣ.
ἦλθες δὲ κατὰ τί;
ΣΤΡΕΨΙΑΔΗΣ.
βουλόμενος μαθεῖν λέγειν.
ὑπὸ γὰρ τόκων χρήστων τε δυσκολωτάτων
ἄγομαι, φέρομαι, τὰ χρήματ' ἐνεχυράζομαι.
ΣΩΚΡΑΤΗΣ.
πόθεν δ' ὑπόχρεως σαυτὸν ἔλαθες γενόμενος;
ΣΤΡΕΨΙΑΔΗΣ.
νόσος μ' ἐπέτριψεν ἱππικὴ, δεινὴ φαγεῖν.
ἀλλά με δίδαξον τὸν ἕτερον τοῖν σοῖν λόγοιν,
τὸν μηδὲν ἀποδιδόντα. μισθὸν δ' ὅντιν' ἂν
πράττῃ μ' ὀμοῦμαί σοι καταθήσειν τοὺς θεούς.
ΣΩΚΡΑΤΗΣ.
ποίους θεοὺς ὀμεῖ σύ; πρῶτον γὰρ θεοὶ
ἡμῖν νόμισμ' οὐκ ἔστι.
ΣΤΡΕΨΙΑΔΗΣ.
τῷ γὰρ ὄμνυτ'; ἢ
σιδαρέοισιν, ὥσπερ ἐν Βυζαντίῳ;
ΣΩΚΡΑΤΗΣ.
βούλει τὰ θεῖα πράγματ' εἰδέναι σαφῶς
ἅττ' ἐστὶν ὀρθῶς;
ΣΤΡΕΨΙΑΔΗΣ.
νὴ Δί', εἴπερ ἔστι γε.
ΣΩΚΡΑΤΗΣ.
καὶ ξυγγενέσθαι ταῖς Νεφέλαισιν ἐς λόγους,
ταῖς ἡμετέραισι δαίμοσιν;
ΣΤΡΕΨΙΑΔΗΣ.
μάλιστά γε.
ΣΩΚΡΑΤΗΣ.
κάθιζε τοίνυν ἐπὶ τὸν ἱερὸν σκίμποδα.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἰδοὺ κάθημαι.
ΣΩΚΡΑΤΗΣ.
τουτονὶ τοίνυν λαβὲ
τὸν στέφανον.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἐπὶ τί στέφανον; οἴμοι, Σώκρατες,
ὥσπερ με τὸν Ἀθάμανθ' ὅπως μὴ θύσετε.
ΣΩΚΡΑΤΗΣ.
οὔκ, ἀλλὰ ταῦτα πάντα τοὺς τελουμένους
ἡμεῖς ποιοῦμεν.
ΣΤΡΕΨΙΑΔΗΣ.
εἶτα δὴ τί κερδανῶ;
ΣΩΚΡΑΤΗΣ.
λέγειν γενήσει τρῖμμα, κρόταλον, παιπάλη.
ἀλλ' ἔχ' ἀτρεμί.
ΣΤΡΕΨΙΑΔΗΣ.
μὰ τὸν Δί' οὐ ψεύσει γέ με·
καταπαττόμενος γὰρ παιπάλη γενήσομαι.
ΣΩΚΡΑΤΗΣ.
εὐφημεῖν χρὴ τὸν πρεσβύτην καὶ τῆς εὐχῆς ὑπακούειν.
ὦ δέσποτ' ἄναξ, ἀμέτρητ' Ἀήρ, ὃς ἔχεις τὴν γῆν μετέωρον,
λαμπρός τ' Αἰθήρ, σεμναί τε θεαὶ Νεφέλαι βροντησικέραυνοι,
ἄρθητε, φάνητ', ὦ δέσποιναι, τῷ φροντιστῇ μετέωροι.
ΣΤΡΕΨΙΑΔΗΣ.
μήπω μήπω γε, πρὶν ἂν τουτὶ πτύξωμαι, μὴ καταβρεχθῶ.
τὸ δὲ μηδὲ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον' ἔχοντα.
ΣΩΚΡΑΤΗΣ.
ἔλθετε δῆτ', ὦ πολυτίμητοι Νεφέλαι, τῷδ' εἰς ἐπίδειξιν·
εἴτ' ἐπ' Ὀλύμπου κορυφαῖς ἱεραῖς χιονοβλήτοισι κάθησθε,
εἴτ' Ὠκεανοῦ πατρὸς ἐν κήποις ἱερὸν χορὸν ἵστατε Νύμφαις,
εἴτ' ἄρα Νείλου προχοαῖς ὑδάτων χρυσέαις ἀρύτεσθε πρόχουσιν,
ἢ Μαιῶτιν λίμνην ἔχετ' ἢ σκόπελον νιφόεντα Μίμαντος·
ὑπακούσατε δεξάμεναι θυσίαν καὶ τοῖς ἱεροῖσι χαρεῖσαι.
ΧΟΡΟΣ.
ἀέναοι Νεφέλαι,
ἀρθῶμεν φανεραὶ δροσερὰν φύσιν εὐάγητον,
πατρὸς ἀπ' Ὠκεανοῦ βαρυαχέος
ὑψηλῶν ὀρέων κορυφὰς ἐπὶ
δενδροκόμους, ἵνα
τηλεφανεῖς σκοπιὰς ἀφορώμεθα,
καρπούς τ' ἀρδομέναν ἱερὰν χθόνα,
καὶ ποταμῶν ζαθέων κελαδήματα,
καὶ πόντον κελάδοντα βαρύβρομον·
ὄμμα γὰρ αἰθέρος ἀκάματον σελαγεῖται

275—290. = 299—313.

μαρμαρέαις ἐν αὐγαῖς.
ἀλλ' ἀποσεισάμεναι νέφος ὄμβριον
ἀθανάτας ἰδέας ἐπιδώμεθα
τηλεσκόπῳ ὄμματι γαῖαν.

ΣΩΚΡΑΤΗΣ.

ὦ μέγα σεμναὶ Νεφέλαι, φανερῶς ἠκούσατέ μου καλέσαντος.
ᾔσθου φωνῆς ἅμα καὶ βροντῆς μυκησαμένης θεοσέπτου;

ΣΤΡΕΨΙΑΔΗΣ.

καὶ σέβομαί γ', ὦ πολυτίμητοι, καὶ βούλομαι ἀνταποπαρδεῖν
πρὸς τὰς βροντάς· οὕτως αὐτὰς τετρεμαίνω καὶ πεφόβημαι·
κεἰ θέμις ἐστὶν, νυνί γ' ἤδη, κεἰ μὴ θέμις ἐστὶ, χεσείω.

ΣΩΚΡΑΤΗΣ.

οὐ μὴ σκώψει μηδὲ ποιήσεις ἅπερ οἱ τρυγοδαίμονες οὗτοι,
ἀλλ' εὐφήμει· μέγα γάρ τι θεῶν κινεῖται σμῆνος ἀοιδαῖς.

ΧΟΡΟΣ.

παρθένοι ὀμβροφόροι,
ἔλθωμεν λιπαρὰν χθόνα Παλλάδος, εὔανδρον γᾶν
Κέκροπος ὀψόμεναι πολυήρατον·
οὗ σέβας ἀρρήτων ἱερῶν, ἵνα
μυστοδόκος δόμος
ἐν τελεταῖς ἁγίαις ἀναδείκνυται,
οὐρανίοις τε θεοῖς δωρήματα,
ναοί θ' ὑψερεφεῖς καὶ ἀγάλματα,
καὶ πρόσοδοι μακάρων ἱερώταται,
εὐστέφανοί τε θεῶν θυσίαι θαλίαι τε,
παντοδαπαῖς ἐν ὥραις,
ἦρί τ' ἐπερχομένῳ Βρομία χάρις,
εὐκελάδων τε χορῶν ἐρεθίσματα,
καὶ Μοῦσα βαρύβρομος αὐλῶν.

ΣΤΡΕΨΙΑΔΗΣ.

πρὸς τοῦ Διὸς ἀντιβολῶ σε, φράσον, τίνες εἴσ', ὦ Σώκρατες, αὗται
αἱ φθεγξάμεναι τοῦτο τὸ σεμνόν; μῶν ἡρῷναί τινές εἰσιν;

ΣΩΚΡΑΤΗΣ.

ἥκιστ', ἀλλ' οὐράνιαι Νεφέλαι, μεγάλαι θεαὶ ἀνδράσιν ἀργοῖς·
αἵπερ γνώμην καὶ διάλεξιν καὶ νοῦν ἡμῖν παρέχουσι·
καὶ τερατείαν καὶ περίλεξιν καὶ κροῦσιν καὶ κατάληψιν.

ΣΤΡΕΨΙΑΔΗΣ.

ταῦτ' ἄρ' ἀκούσασ' αὐτῶν τὸ φθέγμ' ἡ ψυχή μου πεπότηται,
καὶ λεπτολογεῖν ἤδη ζητεῖ καὶ περὶ καπνοῦ στενολεσχεῖν,
καὶ γνωμιδίῳ γνώμην νύξασ' ἑτέρῳ λόγῳ ἀντιλογῆσαι·
ὥστ', εἴ πως ἔστιν, ἰδεῖν αὐτὰς ἤδη φανερῶς ἐπιθυμῶ.

ΣΩΚΡΑΤΗΣ.

βλέπε νυν δευρὶ πρὸς τὴν Πάρνηθ'· ἤδη γὰρ ὁρῶ κατιούσας
ἡσυχῇ αὐτάς.

ΣΤΡΕΨΙΑΔΗΣ.

φέρε, ποῦ; δεῖξον.

ΣΩΚΡΑΤΗΣ.

χωροῦσ' αὗται πάνυ πολλα
διὰ τῶν κοίλων καὶ τῶν δασέων, αὗται πλάγιαι.

ΣΤΡΕΨΙΑΔΗΣ.

τί τὸ χρῆμα
ὡς οὐ καθορῶ.

ΣΩΚΡΑΤΗΣ.

παρὰ τὴν εἴσοδον.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἤδη νυνὶ μόλις οὕτ
ΣΩΚΡΑΤΗΣ.

νῦν γέ τοι ἤδη καθορᾷς αὐτὰς, εἰ μὴ λημᾷς κ λοχύνταις.

ΣΤΡΕΨΙΑΔΗΣ.

νὴ Δί' ἔγωγ', ὦ πολυτίμητοι, πάντα γὰρ ἤ κατέχουσι.

ΣΩΚΡΑΤΗΣ.

ταύτας μέντοι σὺ θεὰς οὔσας οὐκ ᾔδης οὐ ἐνόμιζες;

ΣΤΡΕΨΙΑΔΗΣ.

μὰ Δί', ἀλλ' ὁμίχλην καὶ δρόσον αὐτὰς ἡγού καὶ καπνὸν εἶναι.

ΣΩΚΡΑΤΗΣ.

οὐ γὰρ μὰ Δί' οἶσθ' ὁτιὴ πλείστους αὗται σκουσι σοφιστάς,
θουριομάντεις, ἰατροτέχνας, σφραγιδονυχα κομήτας,
κυκλίων τε χορῶν ᾀσματοκάμπτας, ἄνδρας τεωροφένακας,
οὐδὲν δρῶντας βόσκουσ' ἀργοὺς, ὅτι ταὶ μουσοποιοῦσιν.

ΣΤΡΕΨΙΑΔΗΣ.

ταῦτ' ἄρ' ἐποίουν ὑγρᾶν Νεφελᾶν στρεπται δάϊον ὁρμὰν,
πλοκάμους θ' ἑκατογκεφάλα Τυφῶ, πρημαι σας τε θυέλλας,
εἶτ' ἀερίας, διεράς, γαμψοὺς οἰωνοὺς ἀερονη
ὄμβρους θ' ὑδάτων δροσερᾶν Νεφελᾶν· ἀντ' αὐτῶν κατέπινον
κεστρᾶν τεμάχη μεγαλᾶν ἀγαθᾶν, κρέα τ' ὀ θεια κιχηλᾶν.

ΣΩΚΡΑΤΗΣ.

διὰ μέντοι τάσδ' οὐχὶ δικαίως;

ΣΤΡΕΨΙΑΔΗΣ.

λέξον δή μοι, τί παθοῦ
εἴπερ Νεφέλαι γ' εἰσὶν ἀληθῶς, θνηταῖς εἰ γυναιξίν;
οὐ γὰρ ἐκεῖναί γ' εἰσὶ τοιαῦται.

ΣΩΚΡΑΤΗΣ.

φέρε, ποῖαι γάρ τινές εἰ

ΣΤΡΕΨΙΑΔΗΣ.

οὐκ οἶδα σαφῶς· εἴξασιν γοῦν ἐρίοισιν πε μένοισι,
κοὐχὶ γυναιξὶν, μὰ Δί', οὐδ' ὁτιοῦν· αὗτα ῥῖνας ἔχουσιν.

ΣΩΚΡΑΤΗΣ.

ἀπόκριναί νυν ἅττ' ἂν ἔρωμαι.

ΣΤΡΕΨΙΑΔΗΣ.

λέγε νυν ταχέως ὅ τι βου

ΣΩΚΡΑΤΗΣ.

ἤδη ποτ' ἀναβλέψας εἶδες νεφέλην Κενταύρῳ ὁμοίαν
ἢ παρδάλει ἢ λύκῳ ἢ ταύρῳ;

ΣΤΡΕΨΙΑΔΗΣ.

νὴ Δί' ἔγωγ'. εἶτα τί τοῦτο;

ΣΩΚΡΑΤΗΣ.

γίγνονται πάνθ' ὅ τι βούλονται· κᾆτ' ἢν μὲν ἴδωσι κομήτην,
ἄγριόν τινα τῶν λασίων τούτων, οἷόνπερ τὸν Ξενοφάντου,
σκώπτουσαι τὴν μανίαν αὐτοῦ Κενταύροις ᾔκασαν αὑτάς.

ΣΤΡΕΨΙΑΔΗΣ.

τί γάρ, ἢν ἅρπαγα τῶν δημοσίων κατίδωσι Σίμωνα, τί δρῶσιν;

ΣΩΚΡΑΤΗΣ.

ἀποφαίνουσαι τὴν φύσιν αὐτοῦ λύκοι ἐξαίφνης ἐγένοντο.

ΣΤΡΕΨΙΑΔΗΣ.

ταῦτ' ἄρα, ταῦτα Κλεώνυμον αὗται τὸν ῥίψασπιν χθὲς ἰδοῦσαι,
ὅτι δειλότατον τοῦτον ἑώρων, ἔλαφοι διὰ τοῦτ' ἐγένοντο.

ΣΩΚΡΑΤΗΣ.

καὶ νῦν γ' ὅτι Κλεισθένη εἶδον, ὁρᾷς, διὰ τοῦτ' ἐγένοντο γυναῖκες.

ΣΤΡΕΨΙΑΔΗΣ.

χαίρετε τοίνυν, ὦ δέσποιναι· καὶ νῦν, εἴπερ τινὶ κἄλλῳ,
οὐρανομήκη ῥήξατε κἀμοὶ φωνήν, ὦ παμβασίλειαι.

ΧΟΡΟΣ.

χαῖρ', ὦ πρεσβῦτα παλαιογενές, θηρατὰ λόγων φιλομούσων·
σύ τε, λεπτοτάτων λήρων ἱερεῦ, φράζε πρὸς ἡμᾶς ὅ τι χρῄζεις·
οὐ γὰρ ἂν ἄλλῳ γ' ὑπακούσαιμεν τῶν νῦν μετεωροσοφιστῶν
πλὴν ἢ Προδίκῳ, τῷ μὲν σοφίας καὶ γνώμης οὕνεκα, σοὶ δέ,
ὅτι βρενθύει τ' ἐν ταῖσιν ὁδοῖς καὶ τὠφθαλμὼ παραβάλλεις,
κἀνυπόδητος κακὰ πόλλ' ἀνέχει κἀφ' ἡμῖν σεμνοπροσωπεῖς.

ΣΤΡΕΨΙΑΔΗΣ.

ὦ Γῆ τοῦ φθέγματος, ὡς ἱερὸν καὶ σεμνὸν καὶ τερατῶδες.

ΣΩΚΡΑΤΗΣ.

αὗται γάρ τοι μόναι εἰσὶ θεαί· τἄλλα δὲ πάντ' ἐστὶ φλύαρος.

ΣΤΡΕΨΙΑΔΗΣ.

ὁ Ζεὺς δ' ἡμῖν, φέρε, πρὸς τῆς Γῆς, οὑλύμπιος οὐ θεός ἐστιν;

ΣΩΚΡΑΤΗΣ.

ποῖος Ζεύς; οὐ μὴ ληρήσεις· οὐδ' ἐστὶ Ζεύς.

ΣΤΡΕΨΙΑΔΗΣ.

τί λέγεις σύ;
ἀλλὰ τίς ὕει; τουτὶ γὰρ ἔμοιγ' ἀπόφηναι πρῶτον ἁπάντων.

ΣΩΚΡΑΤΗΣ.

αὗται δή που· μεγάλοις δέ σ' ἐγὼ σημείοις αὐτὸ διδάξω.
φέρε, ποῦ γὰρ πώποτ' ἄνευ Νεφελῶν ὕοντ' ἤδη τεθέασαι;
καίτοι χρῆν αἰθρίας ὕειν αὐτόν, ταύτας δ' ἀποδημεῖν.

ΣΤΡΕΨΙΑΔΗΣ.

νὴ τὸν Ἀπόλλω, τοῦτό γέ τοι τῷ νυνὶ λόγῳ εὖ προσέφυσας·
καίτοι πρότερον τὸν Δί' ἀληθῶς ᾤμην διὰ κοσκίνου οὐρεῖν.
ἀλλ' ὅστις ὁ βροντῶν ἐστι φράσον· τοῦτό με ποιεῖ τετρεμαίνειν.

ΣΩΚΡΑΤΗΣ.

αὗται βροντῶσι κυλινδόμεναι.

ΣΤΡΕΨΙΑΔΗΣ.

τῷ τρόπῳ, ὦ πάντα σὺ τολμῶν;

ΣΩΚΡΑΤΗΣ.

ὅταν ἐμπλησθῶσ' ὕδατος πολλοῦ κἀναγκασθῶσι φέρεσθαι,
κατακρημνάμεναι πλήρεις ὄμβρου δι' ἀνάγκην, εἶτα βαρεῖαι
εἰς ἀλλήλας ἐμπίπτουσαι ῥήγνυνται καὶ παταγοῦσιν.

ΣΤΡΕΨΙΑΔΗΣ.

ὁ δ' ἀναγκάζων ἐστὶ τίς αὐτάς, οὐχ ὁ Ζεύς, ὥστε φέρεσθαι;

ΣΩΚΡΑΤΗΣ.

ἥκιστ', ἀλλ' αἰθέριος δῖνος.

ΣΤΡΕΨΙΑΔΗΣ.

Δῖνος; τουτί μ' ἐλελήθη,
ὁ Ζεὺς οὐκ ὤν, ἀλλ' ἀντ' αὐτοῦ Δῖνος νυνὶ βασιλεύων.
ἀτὰρ οὐδέν πω περὶ τοῦ πατάγου καὶ τῆς βροντῆς μ' ἐδίδαξας.

ΣΩΚΡΑΤΗΣ.

οὐκ ἤκουσάς μου τὰς Νεφέλας ὕδατος μεστὰς ὅτι φημὶ
ἐμπιπτούσας εἰς ἀλλήλας παταγεῖν διὰ τὴν πυκνότητα;

ΣΤΡΕΨΙΑΔΗΣ.

φέρε τουτὶ τῷ χρὴ πιστεύειν;

ΣΩΚΡΑΤΗΣ.

ἀπὸ σαυτοῦ 'γώ σε διδάξω.
ἤδη ζωμοῦ Παναθηναίοις ἐμπλησθεὶς εἶτ' ἐταράχθης
τὴν γαστέρα, καὶ κλόνος ἐξαίφνης αὐτὴν διεκορκορύγησεν;

ΣΤΡΕΨΙΑΔΗΣ.

νὴ τὸν Ἀπόλλω, καὶ δεινὰ ποιεῖ γ' εὐθύς μοι, καὶ τετάρακται
χὤσπερ βροντὴ τὸ ζωμίδιον παταγεῖ καὶ δεινὰ κέκραγεν·
ἀτρέμας πρῶτον παππὰξ παππάξ, κἄπειτ' ἐπάγει παπαπαππάξ,
χὤταν χέζω, κομιδῇ βροντᾷ παπαπαππάξ, ὥσπερ ἐκεῖναι.

ΣΤΡΕΨΙΑΔΗΣ.

σκέψαι τοίνυν ἀπὸ γαστριδίου τυννουτουὶ οἷα πέπορδας·

τὸν δ᾽ ἀέρα τόνδ᾽ ὄντ᾽ ἀπέραντον, πῶς οὐκ εἰκὸς μέγα βροντᾶν;
ταὔτ᾽ ἄρα καὶ τὠνόματ᾽ ἀλλήλοιν, βροντὴ καὶ πορδή, ὁμοίω.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἀλλ᾽ ὁ κεραυνὸς πόθεν αὖ φέρεται λάμπων πυρὶ, τοῦτο δίδαξον,
καὶ καταφρύγει βάλλων ἡμᾶς, τοὺς δὲ ζῶντας περιφλύει.
τοῦτον γὰρ δὴ φανερῶς ὁ Ζεὺς ἵησ᾽ ἐπὶ τοὺς ἐπιόρκους.

ΣΩΚΡΑΤΗΣ.

καὶ πῶς, ὦ μῶρε σὺ καὶ Κρονίων ὄζων καὶ βεκκεσέληνε,
εἴπερ βάλλει τοὺς ἐπιόρκους, πῶς οὐχὶ Σίμων᾽ ἐνέπρησεν
οὐδὲ Κλεώνυμον οὐδὲ Θέωρον; καίτοι σφόδρα γ᾽ εἴσ᾽ ἐπίορκοι·
ἀλλὰ τὸν αὑτοῦ γε νεὼν βάλλει καὶ Σούνιον ἄκρον Ἀθηνέων
καὶ τὰς δρῦς τὰς μεγάλας· τί μαθών; οὐ γὰρ δὴ δρῦς γ᾽ ἐπιορκεῖ.

ΣΤΡΕΨΙΑΔΗΣ.

οὐκ οἶδ᾽· ἀτὰρ εὖ σὺ λέγειν φαίνει. τί γάρ ἐστιν δῆθ᾽ ὁ κεραυνός;

ΣΩΚΡΑΤΗΣ.

ὅταν εἰς ταύτας ἄνεμος ξηρὸς μετεωρισθεὶς κατακλεισθῇ,
ἔνδοθεν αὐτὰς ὥσπερ κύστιν φυσᾷ, κᾄπειθ᾽ ὑπ᾽ ἀνάγκης
ῥήξας αὐτὰς ἔξω φέρεται σοβαρὸς διὰ τὴν πυκνότητα,
ὑπὸ τοῦ ῥοίβδου καὶ τῆς ῥύμης αὐτὸς ἑαυτὸν κατακαίων.

ΣΤΡΕΨΙΑΔΗΣ.

νὴ Δί᾽, ἐγὼ γοῦν ἀτεχνῶς ἔπαθον τουτί ποτε Διασίοισιν.
ὀπτῶν γαστέρα τοῖς συγγενέσιν, κᾆτ᾽ οὐκ ἔσχων ἀμελήσας·
ἡ δ᾽ ἄρ᾽ ἐφυσᾶτ᾽, εἶτ᾽ ἐξαίφνης διαλακήσασα πρὸς αὐτὼ
τὠφθαλμώ μου προσετίλησεν καὶ κατέκαυσεν τὸ πρόσωπον.

ΧΟΡΟΣ.

ὦ τῆς μεγάλης ἐπιθυμήσας σοφίας, ἄνθρωπε, παρ᾽ ἡμῶν,
ὡς εὐδαίμων ἐν Ἀθηναίοις καὶ τοῖς Ἕλλησι γενήσει,
εἰ μνήμων εἶ καὶ φροντιστὴς καὶ τὸ ταλαίπωρον ἔνεστιν
ἐν τῇ ψυχῇ, καὶ μὴ κάμνεις μήθ᾽ ἑστὼς μήτε βαδίζων,
μήτε ῥιγῶν ἄχθει λίαν, μήτ᾽ ἀριστᾶν ἐπιθυμεῖς,
οἴνου τ᾽ ἀπέχει καὶ γυμνασίων καὶ τῶν ἄλλων ἀνοήτων,
καὶ βέλτιστον τοῦτο νομίζεις, ὅπερ εἰκὸς δεξιὸν ἄνδρα,
νικᾶν πράττων καὶ βουλεύων καὶ τῇ γλώττῃ πολεμίζων;

ΣΤΡΕΨΙΑΔΗΣ.

ἀλλ᾽ ἕνεκέν γε ψυχῆς στερρᾶς δυσκολοκοίτου μερίμνης,
καὶ φειδωλοῦ καὶ τρυσιβίου γαστρὸς καὶ θυ βρεπιδείπνου,
ἀμέλει θαρρῶν, οὕνεκα τούτων ἐπιχαλκεύ παρέχοιμ᾽ ἄν.

ΣΩΚΡΑΤΗΣ.

ἄλλο τι δῆτ᾽ οὖν νομιεῖς ἤδη θεὸν οὐδένα π ἅπερ ἡμεῖς,
τὸ Χάος τουτὶ καὶ τὰς Νεφέλας καὶ τὴν γλῶ ταν, τρία ταυτί;

ΣΤΡΕΨΙΑΔΗΣ.

οὐδ᾽ ἂν διαλεχθείην γ᾽ ἀτεχνῶς τοῖς ἄλλ οὐδ᾽ ἂν ἀπαντῶν·
οὐδ᾽ ἂν θύσαιμ᾽, οὐδ᾽ ἂν σπείσαιμ᾽, οὐδ᾽ ἐ θείην λιβανωτόν.

ΧΟΡΟΣ.

λέγε νυν ἡμῖν ὅ τι σοι δρῶμεν θαρρῶν, ὡς ἀτυχήσεις,
ἡμᾶς τιμῶν καὶ θαυμάζων καὶ ζητῶν δεξιὸς εἶ

ΣΤΡΕΨΙΑΔΗΣ.

ὦ δέσποιναι, δέομαι τοίνυν ὑμῶν τουτὶ π μικρὸν,
τῶν Ἑλλήνων εἶναί με λέγειν ἑκατὸν σταδίο ἄριστον.

ΧΟΡΟΣ.

ἀλλ᾽ ἔσται σοι τοῦτο παρ᾽ ἡμῶν· ὥστε τὸ λ πόν γ᾽ ἀπὸ τουδὶ
ἐν τῷ δήμῳ γνώμας οὐδεὶς νικήσει πλείονας ἢ

ΣΤΡΕΨΙΑΔΗΣ.

μή μοί γε λέγειν γνώμας μεγάλας· οὐ τούτων ἐπιθυμῶ,
ἀλλ᾽ ὅσ᾽ ἐμαυτῷ στρεψοδικῆσαι καὶ τοὺς χ στας διολισθεῖν.

ΧΟΡΟΣ.

τεύξει τοίνυν ὧν ἱμείρεις· οὐ γὰρ μεγάλων ἐ θυμεῖς.
ἀλλὰ σεαυτὸν παράδος θαρρῶν τοῖς ἡμετέ προπόλοισι.

ΣΤΡΕΨΙΑΔΗΣ.

δράσω τοῦθ᾽ ὑμῖν πιστεύσας· ἡ γὰρ ἀν με πιέζει
διὰ τοὺς ἵππους τοὺς κοππατίας καὶ τὸν γά ὅς μ᾽ ἐπέτριψεν.
νῦν οὖν χρήσθων ὅ τι βούλονται.
τουτὶ τό γ᾽ ἐμὸν σῶμ᾽ αὐτοῖσιν
παρέχω τύπτειν, πεινῆν, διψῆν,
αὐχμεῖν, ῥιγῶν, ἀσκὸν δαίρειν,
εἴπερ τὰ χρέα διαφευξοῦμαι,
τοῖς ἀνθρώποις τ᾽ εἶναι δόξω
θρασύς, εὔγλωττος, τολμηρός, ἴτης,
βδελυρός, ψευδῶν συγκολλητής,
εὑρησιεπής, περίτριμμα δικῶν,
κύρβις, κρόταλον, κίναδος, τρύμη,
μάσθλης, εἴρων, γλοιός, ἀλαζών,
κέντρων, μιαρός, στρόφις, ἀργαλέος,
ματτυολοιχός.
ταῦτ᾽ εἴ με καλοῦσ᾽ ἀπαντῶντες,
δρώντων ἀτεχνῶς ὅ τι χρῄζουσιν·

κεῖ βούλονται,
νὴ τὴν Δήμητρ' ἔκ μου χορδὴν
τοῖς φροντισταῖς παραθέντων.

ΧΟΡΟΣ.

λῆμα μὲν πάρεστι τῷδέ γ'
οὐκ ἄτολμον, ἀλλ' ἕτοιμον. ἴσθι δ' ὡς
ταῦτα μαθὼν παρ' ἐμοῦ κλέος οὐρανόμηκες
ἐν βροτοῖσιν ἕξεις.

ΣΤΡΕΨΙΑΔΗΣ.

τί πείσομαι;

ΧΟΡΟΣ.

τὸν πάντα χρόνον μετ' ἐμοῦ
ζηλωτότατον βίον ἀνθρώπων διάξεις.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἆρά γε τοῦτ' ἄρ' ἐγώ ποτ'
ὄψομαι;

ΧΟΡΟΣ.

ὥστε γε σοῦ πολλοὺς ἐπὶ ταῖσι θύραις ἀεὶ καθῆσθαι,
βουλομένους ἀνακοινοῦσθαί τε καὶ ἐς λόγον ἐλθεῖν,
πράγματα κἀντιγραφὰς πολλῶν ταλάντων
ἄξια σῇ φρενὶ συμβουλευσομένους μετὰ σοῦ.
ἀλλ' ἐγχείρει τὸν πρεσβύτην ὅ τι περ μέλλεις προδιδάσκειν,
καὶ διακίνει τὸν νοῦν αὐτοῦ, καὶ τῆς γνώμης ἀποπειρῶ.

ΣΩΚΡΑΤΗΣ.

ἄγε δή, κάτειπέ μοι σὺ τὸν σαυτοῦ τρόπον,
ἵν' αὐτὸν εἰδὼς ὅστις ἐστὶ μηχανὰς
ἤδη 'πὶ τούτοις πρὸς σὲ καινὰς προσφέρω.

ΣΤΡΕΨΙΑΔΗΣ.

τί δέ; τειχομαχεῖν μοι διανοεῖ, πρὸς τῶν θεῶν;

ΣΩΚΡΑΤΗΣ.

οὔκ, ἀλλὰ βραχέα σου πυθέσθαι βούλομαι,
εἰ μνημονικὸς εἶ.

ΣΤΡΕΨΙΑΔΗΣ.

δύο τρόπω νὴ τὸν Δία·
ἢν μέν γ' ὀφείληταί τί μοι, μνήμων πάνυ·
ἐὰν δ' ὀφείλω, σχέτλιος, ἐπιλήσμων πάνυ.

ΣΩΚΡΑΤΗΣ.

ἔνεστι δῆτά σοι λέγειν ἐν τῇ φύσει;

ΣΤΡΕΨΙΑΔΗΣ.

λέγειν μὲν οὐκ ἔνεστ', ἀποστερεῖν δ' ἔνι.

ΣΩΚΡΑΤΗΣ.

πῶς οὖν δυνήσει μανθάνειν;

ΣΤΡΕΨΙΑΔΗΣ.

ἀμέλει, καλῶς.

ΣΩΚΡΑΤΗΣ.

ἄγε νυν ὅπως, ὅταν τι προβάλωμαι σοφὸν
περὶ τῶν μετεώρων, εὐθέως ὑφαρπάσει.

ΣΤΡΕΨΙΑΔΗΣ.

τί δαί; κυνηδὸν τὴν σοφίαν σιτήσομαι;

ΣΩΚΡΑΤΗΣ.

ἄνθρωπος ἀμαθὴς οὑτοσὶ καὶ βάρβαρος,
δέδοικά σ', ὦ πρεσβῦτα, μὴ πληγῶν δέῃ.
φέρ' ἴδω, τί δρᾷς, ἤν τίς σε τύπτῃ;

ΣΤΡΕΨΙΑΔΗΣ.

τύπτομαι,
κἄπειτ' ἐπισχὼν ὀλίγον ἐπιμαρτύρομαι,
εἶτ' αὖθις ἀκαρῆ διαλιπὼν δικάζομαι.

ΣΩΚΡΑΤΗΣ.

ἴθι νυν, κατάθου θοἰμάτιον.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἠδίκηκά τι;

ΣΩΚΡΑΤΗΣ.

οὔκ, ἀλλὰ γυμνοὺς εἰσιέναι νομίζεται.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἀλλ' οὐχὶ φωράσων ἔγωγ' εἰσέρχομαι.

ΣΩΚΡΑΤΗΣ.

κατάθου. τί ληρεῖς;

ΣΤΡΕΨΙΑΔΗΣ.

εἰπὲ δή νύν μοι τοδί·
ἢν ἐπιμελὴς ὦ καὶ προθύμως μανθάνω,
τῷ τῶν μαθητῶν ἐμφερὴς γενήσομαι;

ΣΩΚΡΑΤΗΣ.

οὐδὲν διοίσεις Χαιρεφῶντος τὴν φύσιν.

ΣΤΡΕΨΙΑΔΗΣ.

οἴμοι κακοδαίμων, ἡμιθνὴς γενήσομαι.

ΣΩΚΡΑΤΗΣ.

οὐ μὴ λαλήσεις, ἀλλ' ἀκολουθήσεις ἐμοὶ
ἀνύσας τι δευρὶ θᾶττον;

ΣΤΡΕΨΙΑΔΗΣ.

ἐς τὼ χεῖρέ νυν
δός μοι μελιτοῦτταν πρότερον· ὡς δέδοικ' ἐγὼ
εἴσω καταβαίνων ὥσπερ εἰς Τροφωνίου.

ΣΩΚΡΑΤΗΣ.

χώρει· τί κυπτάζεις ἔχων περὶ τὴν θύραν;

ΧΟΡΟΣ.

ἀλλ' ἴθι χαίρων τῆς ἀνδρείας
οὕνεκα ταύτης.
εὐτυχία γένοιτο τἀν-
θρώπῳ, ὅτι προήκων
ἐς βαθὺ τῆς ἡλικίας,
νεωτέροις τὴν φύσιν αὐ-
τοῦ πράγμασιν χρωτίζεται
καὶ σοφίαν ἐπασκεῖ.
ὦ θεώμενοι, κατερῶ πρὸς ὑμᾶς ἐλευθέρως
τἀληθῆ, νὴ τὸν Διόνυσον τὸν ἐκθρέψαντά με.
οὕτω νικήσαιμί τ' ἐγὼ καὶ νομιζοίμην σοφός,
ὡς ὑμᾶς ἡγούμενος εἶναι θεατὰς δεξιοὺς
καὶ ταύτην σοφώτατ' ἔχειν τῶν ἐμῶν κωμῳδιῶν,
πρώτους ἠξίωσ' ἀναγεῦσ' ὑμᾶς, ἣ παρέσχε μοι
ἔργον πλεῖστον· εἶτ' ἀνεχώρουν ὑπ' ἀνδρῶν φορτικῶν
ἡττηθείς, οὐκ ἄξιος ὤν· ταῦτ' οὖν ὑμῖν μέμφομαι
τοῖς σοφοῖς, ὧν οὕνεκ' ἐγὼ ταῦτ' ἐπραγματευόμην.
ἀλλ' οὐδ' ὣς ὑμῶν ποθ' ἑκὼν προδώσω τοὺς δεξιούς.
ἐξ ὅτου γὰρ ἐνθάδ' ὑπ' ἀνδρῶν, οἷς ἡδὺ καὶ λέγειν,
ὁ σώφρων τε χὠ καταπύγων ἄριστ' ἠκουσάτην,
κἀγώ, παρθένος γὰρ ἔτ' ἦ, κοὐκ ἐξῆν πώ μοι τεκεῖν,
ἐξέθηκα, παῖς δ' ἑτέρα τις λαβοῦσ' ἀνείλετο,
ὑμεῖς δ' ἐξεθρέψατε γενναίως κἀπαιδεύσατε·
ἐκ τούτου μοι πιστὰ παρ' ὑμῖν γνώμης ἔσθ' ὅρκια.
νῦν οὖν Ἠλέκτραν κατ' ἐκείνην ἥδ' ἡ κωμῳδία

ζητοῦσ' ἦλθ', ἤν που 'πιτύχῃ θεαταῖς οὕτω σοφοῖς·
γνώσεται γάρ, ἤνπερ ἴδῃ, τἀδελφοῦ τὸν βόστρυχον.
ὡς δὲ σώφρων ἐστὶ φύσει σκέψασθ'· ἥτις πρῶτα μὲν
οὐδὲν ἦλθε ῥαψαμένη σκύτινον καθειμένον,
ἐρυθρὸν ἐξ ἄκρου, παχὺ τοῖς παιδίοις ἵν' ᾖ γέλως·
οὐδ' ἔσκωψε τοὺς φαλακρούς, οὐδὲ κόρδαχ' εἵλκυσεν,
οὐδὲ πρεσβύτης ὁ λέγων τἄπη τῇ βακτηρίᾳ
τύπτει τὸν παρόντ', ἀφανίζων πονηρὰ σκώμματα,
οὐδ' εἰσῇξε δᾷδας ἔχουσ', οὐδ' ἰοὺ ἰοὺ βοᾷ,
ἀλλ' αὑτῇ καὶ τοῖς ἔπεσιν πιστεύουσ' ἐλήλυθεν.
κἀγὼ μὲν τοιοῦτος ἀνὴρ ὢν ποιητὴς οὐ κομῶ,
οὐδ' ὑμᾶς ζητῶ 'ξαπατᾶν δὶς καὶ τρὶς ταὔτ' εἰσάγων,
ἀλλ' ἀεὶ καινὰς ἰδέας εἰσφέρων σοφίζομαι,
οὐδὲν ἀλλήλαισιν ὁμοίας καὶ πάσας δεξιάς·
ὃς μέγιστον ὄντα Κλέων' ἔπαισ' εἰς τὴν γαστέρα,
κοὐκ ἐτόλμησ' αὖθις ἐπεμπηδῆσ' αὐτῷ κειμένῳ.
οὗτοι δ', ὡς ἅπαξ παρέδωκεν λαβὴν Ὑπέρβολος,
τοῦτον δείλαιον κολετρῶσ' ἀεὶ καὶ τὴν μητέρα.
Εὔπολις μὲν τὸν Μαρικᾶν πρώτιστον παρείλκυσεν
ἐκστρέψας τοὺς ἡμετέρους Ἱππέας κακὸς κακῶς,
προσθεὶς αὐτῷ γραῦν μεθύσην τοῦ κόρδακος οὕνεχ', ἣν
Φρύνιχος πάλαι πεποίηχ', ἣν τὸ κῆτος ἤσθιεν.
εἶθ' Ἕρμιππος αὖθις ἐποίησεν εἰς Ὑπέρβολον,
ἄλλοι τ' ἤδη πάντες ἐρείδουσιν εἰς Ὑπέρβολον,
τὰς εἰκοὺς τῶν ἐγχέλεων τὰς ἐμὰς μιμούμενοι.
ὅστις οὖν τούτοισι γελᾷ, τοῖς ἐμοῖς μὴ χαιρέτω·
ἢν δ' ἐμοὶ καὶ τοῖσιν ἐμοῖς εὐφραίνησθ' εὑρήμασιν,
ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσετε.
ὑψιμέδοντα μὲν θεῶν
Ζῆνα τύραννον ἐς χορὸν
πρῶτα μέγαν κικλήσκω·
τόν τε μεγασθενῆ τριαίνης ταμίαν,
γῆς τε καὶ ἁλμυρᾶς θαλάσσης ἄγριον μοχλευτήν·
καὶ μεγαλώνυμον ἡμέτερον πατέρ',
Αἰθέρα σεμνότατον, βιοθρέμμονα πάντων·
τόν θ' ἱππονώμαν, ὃς ὑπερ-
λάμπροις ἀκτῖσιν κατέχει
γῆς πέδον, μέγας ἐν θεοῖς
ἐν θνητοῖσί τε δαίμων.
ὦ σοφώτατοι θεαταί, δεῦρο τὸν νοῦν πρόσχετε.
ἠδικημέναι γὰρ ὑμῖν μεμφόμεσθ' ἐναντίον·
πλεῖστα γὰρ θεῶν ἁπάντων ὠφελούσαις τὴν πόλιν,
δαιμόνων ἡμῖν μόναις οὐ θύετ' οὐδὲ σπένδετε,
αἵτινες τηροῦμεν ὑμᾶς. ἢν γὰρ ᾖ τις ἔξοδος
μηδενὶ ξὺν νῷ, τότ' ἢ βροντῶμεν ἢ ψακάζομεν.
εἶτα τὸν θεοῖσιν ἐχθρὸν βυρσοδέψην Παφλαγόνα
ἡνίχ' ᾑρεῖσθε στρατηγόν, τὰς ὀφρῦς συνήγομεν
κἀποιοῦμεν δεινά· βροντὴ δ' ἐρράγη δι' ἀστραπῆς·
ἡ σελήνη δ' ἐξέλειπε τὰς ὁδούς· ὁ δ' ἥλιος
**563—594. == 595—626.**
τὴν θρυαλλίδ' εἰς ἑαυτὸν εὐθέως ξυνελκύσας
οὐ φανεῖν ἔφασκεν ὑμῖν, εἰ στρατηγήσει Κλέω
ἀλλ' ὅμως εἵλεσθε τοῦτον. φασὶ γὰρ δυσβουλία
τῇδε τῇ πόλει προσεῖναι, ταῦτα μέντοι το θεοὺς
ἅττ' ἂν ὑμεῖς ἐξαμάρτητ', ἐπὶ τὸ βέλτιον τρ πειν.
ὡς δὲ καὶ τοῦτο ξυνοίσει ῥᾳδίως διδάξομεν.
ἢν Κλέωνα τὸν λάρον δώρων ἑλόντες καὶ κλοπῆ
εἶτα φιμώσητε τούτου τῷ ξύλῳ τὸν αὐχένα,
αὖθις ἐς τἀρχαῖον ὑμῖν, εἴ τι κἀξημάρτετε,
ἐπὶ τὸ βέλτιον τὸ πρᾶγμα τῇ πόλει συνοίσει
ἀμφί μοι αὖτε, Φοῖβ' ἄναξ
Δήλιε, Κυνθίαν ἔχων
ὑψικέρατα πέτραν·
ἥ τ' Ἐφέσου μάκαιρα πάγχρυσον ἔχεις
οἶκον, ἐν ᾧ κόραι σε Λυδῶν μεγάλως σέβου
ἥ τ' ἐπιχώριος ἡμετέρα θεός,
αἰγίδος ἡνίοχος, πολιοῦχος Ἀθάνα·
Παρνασίαν θ' ὃς κατέχων
πέτραν σὺν πεύκαις σελαγεῖ
Βάκχαις Δελφίσιν ἐμπρέπων,
κωμαστὴς Διόνυσος.
ἡνίχ' ἡμεῖς δεῦρ' ἀφορμᾶσθαι παρεσκευάσμε
ἡ Σελήνη συντυχοῦσ' ἡμῖν ἐπέστειλεν φράσα
πρῶτα μὲν χαίρειν Ἀθηναίοισι καὶ τοῖς ξ μάχοις·
εἶτα θυμαίνειν ἔφασκε· δεινὰ γὰρ πεπονθέ
ὠφελοῦσ' ὑμᾶς ἅπαντας, οὐ λόγοις, ἀλλ φανῶς.
πρῶτα μὲν τοῦ μηνὸς εἰς δᾷδ' οὐκ ἔλαττο δραχμήν,
ὥστε καὶ λέγειν ἅπαντας ἐξιόντας ἑσπέρας,
μὴ πρίῃ, παῖ, δᾷδ', ἐπειδὴ φῶς Σεληναίης κα
ἄλλα τ' εὖ δρᾶν φησιν, ὑμᾶς δ' οὐκ ἄγειν ἡμέρας
οὐδὲν ὀρθῶς, ἀλλ' ἄνω τε καὶ κάτω κυδοιδοπ
ὥστ' ἀπειλεῖν φησιν αὐτῇ τοὺς θεοὺς ἑκάστο
ἡνίκ' ἂν ψευσθῶσι δείπνου, κἀπίωσιν οἴκα
τῆς ἑορτῆς μὴ τυχόντες κατὰ λόγον τῶν ἡμε
κᾆθ' ὅταν θύειν δέῃ, στρεβλοῦτε καὶ δικάζ
πολλάκις δ' ἡμῶν ἀγόντων τῶν θεῶν ἀπαστ
ἡνίκ' ἂν πενθῶμεν ἢ τὸν Μέμνον' ἢ Σαρ δόνα,
σπένδεθ' ὑμεῖς καὶ γελᾶτ'· ἀνθ' ὧν λα Ὑπέρβολος
τῆτες ἱερομνημονεῖν, κἄπειθ' ὑφ' ἡμῶν θεῶν
τὸν στέφανον ἀφῃρέθη· μᾶλλον γὰρ οὕτως εἴσ
κατὰ σελήνην ὡς ἄγειν χρὴ τοῦ βίου τὰς ἡμέ

ΣΩΚΡΑΤΗΣ.

μὰ τὴν Ἀναπνοήν, μὰ τὸ Χάος, μὰ τὸν Ἀ
οὐκ εἶδον οὕτως ἄνδρ' ἄγροικον οὐδένα
οὐδ' ἄπορον οὐδὲ σκαιὸν οὐδ' ἐπιλήσμονα·
ὅστις σκαλαθυρμάτι' ἄττα μικρὰ μανθάνων,
ταῦτ' ἐπιλέλησται πρὶν μαθεῖν· ὅμως γε μ
αὐτὸν καλῶ θύραζε δευρὶ πρὸς τὸ φῶς.
ποῦ Στρεψιάδης; ἔξει τὸν ἀσκάντην λαβών.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἀλλ' οὐκ ἐῶσί μ' ἐξενεγκεῖν οἱ κόρεις.

ΣΩΚΡΑΤΗΣ.

ἀνύσας τι κατάθου, καὶ πρόσεχε τὸν νοῦν.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἰδού.

ΣΩΚΡΑΤΗΣ.

ἄγε δὴ, τί βούλει πρῶτα νυνὶ μανθάνειν
ὧν οὐκ ἐδιδάχθης πώποτ' οὐδέν; εἰπέ μοι.
πότερα περὶ μέτρων ἢ περὶ ἐπῶν ἢ ῥυθμῶν;

ΣΤΡΕΨΙΑΔΠΣ.

περὶ τῶν μέτρων ἔγωγ'· ἔναγχος γάρ ποτε
ὑπ' ἀλφιταμοιβοῦ παρεκόπην διχοινίκῳ.

ΣΩΚΡΑΤΗΣ.

οὐ τοῦτ' ἐρωτῶ σ', ἀλλ' ὅ τι κάλλιστον μέτρον
ἡγεῖ· πότερον τὸ τρίμετρον ἢ τὸ τετράμετρον;

ΣΤΡΕΨΙΑΔΗΣ.

ἐγὼ μὲν οὐδὲν πρότερον ἡμιεκτέου.

ΣΩΚΡΑΤΗΣ.

οὐδὲν λέγεις, ὤνθρωπε.

ΣΤΡΕΨΙΑΔΗΣ.

περίδου νυν ἐμοὶ,
εἰ μὴ τετράμετρόν ἐστιν ἡμιεκτέον.

ΣΩΚΡΑΤΗΣ.

ἐς κόρακας, ὡς ἄγροικος εἶ καὶ δυσμαθής.
ταχὺ δ' ἂν δύναιο μανθάνειν περὶ ῥυθμῶν.

ΣΤΡΕΨΙΑΔΗΣ.

τί δέ μ' ὠφελήσουσ' οἱ ῥυθμοὶ πρὸς τἄλφιτα;

ΣΩΚΡΑΤΗΣ.

πρῶτον μὲν εἶναι κομψὸν ἐν συνουσίᾳ,
ἐπαΐονθ' ὁποῖός ἐστι τῶν ῥυθμῶν
κατ' ἐνόπλιον, χὠποῖος αὖ κατὰ δάκτυλον.

ΣΤΡΕΨΙΑΔΗΣ.

κατὰ δάκτυλον; νὴ τὸν Δί' ἀλλ' οἶδ'.

ΣΩΚΡΑΤΗΣ.

εἰπὲ δή.

ΣΤΡΕΨΙΑΔΗΣ.

τίς ἄλλος ἀντὶ τουτουὶ τοῦ δακτύλου;
πρὸ τοῦ μὲν, ἔτ' ἐμοῦ παιδὸς ὄντος, οὑτοσί.

ΣΩΚΡΑΤΗΣ.

ἀγρεῖος εἶ καὶ σκαιός.

ΣΤΡΕΨΙΑΔΗΣ.

οὐ γὰρ, ᾤζυρὲ,
τούτων ἐπιθυμῶ μανθάνειν οὐδέν.

ΣΩΚΡΑΤΗΣ.

τί δαί;

ΣΤΡΕΨΙΑΔΠΣ.

ἐκεῖν' ἐκεῖνο, τὸν ἀδικώτατον λόγον.

ΣΩΚΡΑΤΗΣ.

ἀλλ' ἕτερα δεῖ σε πρότερα τούτων μανθάνειν,
τῶν τετραπόδων ἅττ' ἐστὶν ὀρθῶς ἄρρενα.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἀλλ' οἶδ' ἔγωγε τἄρρεν', εἰ μὴ μαίνομαι·
κριὸς, τράγος, ταῦρος, κύων, ἀλεκτρυών.

ΣΩΚΡΑΤΗΣ.

ὁρᾷς ὃ πάσχεις; τήν τε θήλειαν καλεῖς
ἀλεκτρυόνα κατὰ ταὐτὸ καὶ τὸν ἄρρενα.

ΣΤΡΕΨΙΑΔΗΣ.

πῶς δή; φέρε.

ΣΩΚΡΑΤΗΣ.

πῶς; ἀλεκτρυὼν κἀλεκτρυών.

ΣΤΡΕΨΙΑΔΗΣ.

νὴ τὸν Ποσειδῶ. νῦν δὲ πῶς με χρὴ καλεῖν;

ΣΩΚΡΑΤΗΣ.

ἀλεκτρύαιναν, τὸν δ' ἕτερον ἀλέκτορα.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἀλεκτρύαιναν; εὖ γε νὴ τὸν Ἀέρα·
ὥστ' ἀντὶ τούτου τοῦ διδάγματος μόνου
διαλφιτώσω σου κύκλῳ τὴν κάρδοπον.

ΣΩΚΡΑΤΗΣ.

ἰδοὺ μάλ' αὖθις τοῦθ' ἕτερον, τὴν κάρδοπον
ἄρρενα καλεῖς, θήλειαν οὖσαν.

ΣΤΡΕΨΙΑΔΗΣ.

τῷ τρόπῳ
ἄρρενα καλῶ 'γὼ κάρδοπον;

ΣΩΚΡΑΤΗΣ.

μάλιστά γε,
ὥσπερ γε καὶ Κλεώνυμον.

ΣΤΡΕΨΙΑΔΗΣ.

πῶς δή; φράσον.

ΣΩΚΡΑΤΗΣ.

ταυτὸν δύναταί σοι κάρδοπος Κλεωνύμῳ.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἀλλ', ὠγάθ', οὐδ' ἦν κάρδοπος Κλεωνύμῳ,
ἀλλ' ἐν θυείᾳ στρογγύλῃ 'νεμάττετο.
ἀτὰρ τὸ λοιπὸν πῶς με χρὴ καλεῖν;

ΣΩΚΡΑΤΗΣ.

ὅπως;
τὴν καρδόπην, ὥσπερ καλεῖς τὴν Σωστράτην.

ΣΤΡΕΨΙΑΔΗΣ.

τὴν καρδόπην θήλειαν;

ΣΩΚΡΑΤΗΣ.

ὀρθῶς γὰρ λέγεις.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἐκεῖνο δ' ἦν ἂν, καρδόπη, Κλεωνύμη.

ΣΩΚΡΑΤΗΣ.

ἔτι δή γε περὶ τῶν ὀνομάτων μαθεῖν σε δεῖ,
ἅττ' ἄρρεν' ἐστὶν, ἅττα δ' αὐτῶν θήλεα.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἀλλ' οἶδ' ἔγωγ' ἃ θήλε' ἐστίν.

ΣΩΚΡΑΤΗΣ.

εἰπὲ δή.

ΣΤΡΕΨΙΑΔΗΣ.

Λύσιλλα, Φίλιννα, Κλειταγόρα, Δημητρία.

ΣΩΚΡΑΤΗΣ.

ἄρρενα δὲ ποῖα τῶν ὀνομάτων;

ΣΤΡΕΨΙΑΔΗΣ.

μυρία.
Φιλόξενος, Μελησίας, Ἀμυνίας.

ΣΩΚΡΑΤΗΣ.

ἀλλ', ὦ πονηρὲ, ταῦτά γ' ἔστ' οὐκ ἄρρενα.

ΣΤΡΕΨΙΑΔΗΣ.

οὐκ ἄρρεν' ὑμῖν ἐστιν;

ΣΩΚΡΑΤΗΣ.

οὐδαμῶς γ', ἐπεὶ
πῶς ἂν καλέσειας ἐντυχὼν Ἀμυνίᾳ;

ΣΤΡΕΨΙΑΔΗΣ.

ὅπως ἄν; ὡδὶ, δεῦρο δεῦρ', Ἀμυνία.

ΣΩΚΡΑΤΗΣ.

ὁρᾷς; γυναῖκα τὴν Ἀμυνίαν καλεῖς.

ΣΤΡΕΨΙΑΔΗΣ.
οὔκουν δικαίως ἥτις οὐ στρατεύεται;
ἀτὰρ τί ταῦθ' ἃ πάντες ἴσμεν μανθάνω;
ΣΩΚΡΑΤΗΣ.
οὐδὲν μὰ Δί', ἀλλὰ κατακλινεὶς δευρὶ
ΣΤΡΕΨΙΑΔΗΣ.
τί δρῶ;
ΣΩΚΡΑΤΗΣ.
ἐκφρόντισόν τι τῶν σεαυτοῦ πραγμάτων.
ΣΤΡΕΨΙΑΔΗΣ.
μὴ δῆθ', ἱκετεύω σ', ἐνθάδ'· ἀλλ' εἴπερ γε χρὴ,
χαμαί μ' ἔασον αὐτὰ ταῦτ' ἐκφροντίσαι.
ΣΩΚΡΑΤΗΣ.
οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα.
ΣΤΡΕΨΙΑΔΗΣ.
κακοδαίμων ἐγὼ,
οἵαν δίκην τοῖς κόρεσι δώσω τήμερον.
ΧΟΡΟΣ.
φρόντιζε δὴ καὶ διάθρει, πάντα τρόπον τε σαυτὸν
στρόβει πυκνώσας.
ταχὺς δ', ὅταν εἰς ἄπορον πέσῃς,
ἐπ' ἄλλο πήδα
νόημα φρενός· ὕπνος δ' ἀπέστω γλυκύθυμος ὀμμάτων.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἰατταταῖ ἰατταταῖ.
ΧΟΡΟΣ.
τί πάσχεις; τί κάμνεις;
ΣΤΡΕΨΙΑΔΗΣ.
ἀπόλλυμαι δείλαιος· ἐκ τοῦ σκίμποδος
δάκνουσί μ' ἐξέρποντες οἱ Κορίνθιοι,
καὶ τὰς πλευρὰς δαρδάπτουσιν
καὶ τὴν ψυχὴν ἐκπίνουσιν,
καὶ τοὺς ὄρχεις ἐξέλκουσιν,
καὶ τὸν πρωκτὸν διορύττουσιν,
καί μ' ἀπολοῦσιν.
ΧΟΡΟΣ.
μή νυν βαρέως ἄλγει λίαν.
ΣΤΡΕΨΙΑΔΗΣ.
καὶ πῶς; ὅτε μου
φροῦδα τὰ χρήματα, φρούδη χροιά,
φρούδη ψυχὴ, φρούδη δ' ἐμβάς·
καὶ πρὸς τούτοις ἔτι τοῖσι κακοῖς
φρουρᾶς ᾄδων
ὀλίγου φροῦδος γεγένημαι.
ΣΩΚΡΑΤΗΣ.
οὗτος, τί ποιεῖς; οὐχὶ φροντίζεις;
ΣΤΡΕΨΙΑΔΗΣ.
ἐγώ;
νὴ τὸν Ποσειδῶ.
ΣΩΚΡΑΤΗΣ.
καὶ τί δῆτ' ἐφρόντισας;
ΣΤΡΕΨΙΑΔΗΣ.
ὑπὸ τῶν κόρεων εἴ μού τι περιλειφθήσεται.
ΣΩΚΡΑΤΗΣ.
ἀπολεῖ κάκιστ'.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἀλλ', ὦγάθ', ἀπόλωλ' ἀρτίως.

700—706. == 804—810.

ΣΩΚΡΑΤΗΣ.
οὐ μαλθακιστέ', ἀλλὰ περικαλυπτέα.
ἐξευρετέος γὰρ νοῦς ἀποστερητικὸς
κἀπαιόλημ'.
ΣΤΡΕΨΙΑΔΗΣ.
οἴμοι, τίς ἂν δῆτ' ἐπιβάλοι
ἐξ ἀρνακίδων γνώμην ἀποστερητρίδα;
ΣΩΚΡΑΤΗΣ.
φέρε νυν, ἀθρήσω πρῶτον, ὅ τι δρᾷ, τουτοι
οὗτος, καθεύδεις;
ΣΤΡΕΨΙΑΔΗΣ.
μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὐ
ΣΩΚΡΑΤΗΣ.
ἔχεις τι;
ΣΤΡΕΨΙΑΔΗΣ.
μὰ Δί' οὐ δῆτ' ἔγωγ'.
ΣΩΚΡΑΤΗΣ.
οὐδὲν πάνυ;
ΣΤΡΕΨΙΑΔΗΣ.
οὐδέν γε πλὴν ἢ τὸ πέος ἐν τῇ δεξιᾷ.
ΣΩΚΡΑΤΗΣ.
οὐκ ἐγκαλυψάμενος ταχέως τι φροντιεῖς;
ΣΤΡΕΨΙΑΔΗΣ.
περὶ τοῦ; σὺ γάρ μοι τοῦτο φράσον, ὦ Σω-
κρατες.
ΣΩΚΡΑΤΗΣ.
αὐτὸς ὅ τι βούλει πρῶτος ἐξευρὼν λέγε.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἀκήκοας μυριάκις ἁγὼ βούλομαι,
περὶ τῶν τόκων, ὅπως ἂν ἀποδῶ μηδενί.
ΣΩΚΡΑΤΗΣ.
ἴθι νυν, καλύπτου καὶ σχάσας τὴν φροντίδα
λεπτὴν κατὰ μικρὸν περιφρόνει τὰ πράγματα
ὀρθῶς διαιρῶν καὶ σκοπῶν.
ΣΤΡΕΨΙΑΔΗΣ.
οἴμοι τάλας.
ΣΩΚΡΑΤΗΣ.
ἔχ' ἀτρέμα· κἂν ἀπορῇς τι τῶν νοημάτων,
ἀφεὶς ἄπελθε· κᾆτα τὴν γνώμην πάλιν
κίνησον αὖθις αὐτὸ καὶ ζυγώθρισον.
ΣΤΡΕΨΙΑΔΗΣ.
ὦ Σωκρατίδιον φίλτατον.
ΣΩΚΡΑΤΗΣ.
τί, ὦ γέρον;
ΣΤΡΕΨΙΑΔΗΣ.
ἔχω τόκου γνώμην ἀποστερητικήν.
ΣΩΚΡΑΤΗΣ.
ἐπίδειξον αὐτήν.
ΣΤΡΕΨΙΑΔΗΣ.
εἰπὲ δή νύν μοι τοδί·
γυναῖκα φαρμακίδ' εἰ πριάμενος Θετταλὴν,
καθέλοιμι νύκτωρ τὴν σελήνην, εἶτα δὴ
αὐτὴν καθείρξαιμ' ἐς λοφεῖον στρογγύλον,
ὥσπερ κάτοπτρον, κᾆτα τηροίην ἔχων,
ΣΩΚΡΑΤΗΣ.
τί δῆτα τοῦτ' ἂν ὠφελήσειέν σ';
ΣΤΡΕΨΙΑΔΗΣ.
ὅ τι;
εἰ μηκέτ' ἀνατέλλοι σελήνη μηδαμοῦ,
οὐκ ἂν ἀποδοίην τοὺς τόκους.

ΣΩΚΡΑΤΗΣ.
ὁτιὴ τί δή;
ΣΤΡΕΨΙΑΔΗΣ.
ὁτιὴ κατὰ μῆνα τἀργύριον δανείζεται.
ΣΩΚΡΑΤΗΣ.
εὖ γ'· ἀλλ' ἕτερον αὖ σοι προβαλῶ τι δεξιόν,
εἴ σοι γράφοιτο πεντετάλαντός τις δίκη,
ὅπως ἂν αὐτὴν ἀφανίσειας εἰπέ μοι.
ΣΤΡΕΨΙΑΔΗΣ.
ὅπως; ὅπως; οὐκ οἶδ'· ἀτὰρ ζητητέον.
ΣΩΚΡΑΤΗΣ.
μή νυν περὶ σαυτὸν εἶλλε τὴν γνώμην ἀεί,
ἀλλ' ἀποχάλα τὴν φροντίδ' εἰς τὸν ἀέρα,
λινόδετον ὥσπερ μηλολόνθην τοῦ ποδός.
ΣΤΡΕΨΙΑΔΗΣ.
εὕρηκ' ἀφάνισιν τῆς δίκης σοφωτάτην,
ὥστ' αὐτὸν ὁμολογεῖν σ' ἐμοί.
ΣΩΚΡΑΤΗΣ.
ποίαν τινά;
ΣΤΡΕΨΙΑΔΗΣ.
ἤδη παρὰ τοῖσι φαρμακοπώλαις τὴν λίθον
ταύτην ἑόρακας, τὴν καλήν, τὴν διαφανῆ,
ἀφ' ἧς τὸ πῦρ ἅπτουσι;
ΣΩΚΡΑΤΗΣ.
τὴν ὕαλον λέγεις;
ΣΤΡΕΨΙΑΔΗΣ.
ἔγωγε. φέρε, τί δῆτ' ἄν, εἰ ταύτην λαβών,
ὁπότε γράφοιτο τὴν δίκην ὁ γραμματεύς,
ἀπωτέρω στὰς ὧδε πρὸς τὸν ἥλιον
τὰ γράμματ' ἐκτήξαιμι τῆς ἐμῆς δίκης;
ΣΩΚΡΑΤΗΣ.
σοφῶς γε νὴ τὰς Χάριτας.
ΣΤΡΕΨΙΑΔΗΣ.
οἴμ' ὡς ἥδομαι
ὅτι πεντετάλαντος διαγέγραπταί μοι δίκη.
ΣΩΚΡΑΤΗΣ.
ἄγε δὴ ταχέως τουτὶ ξυνάρπασον.
ΣΤΡΕΨΙΑΔΗΣ.
τὸ τί;
ΣΩΚΡΑΤΗΣ.
ὅπως ἀποστρέψαις ἂν ἀντιδίκων δίκην,
μέλλων ὀφλήσειν, μὴ παρόντων μαρτύρων.
ΣΤΡΕΨΙΑΔΗΣ.
φαυλότατα καὶ ῥᾷστ'.
ΣΩΚΡΑΤΗΣ.
εἰπὲ δή.
ΣΤΡΕΨΙΑΔΗΣ.
καὶ δὴ λέγω.
εἰ πρόσθεν ἔτι μιᾶς ἐνεστώσης δίκης,
πρὶν τὴν ἐμὴν καλεῖσθ', ἀπαγξαίμην τρέχων.
ΣΩΚΡΑΤΗΣ.
οὐδὲν λέγεις.
ΣΤΡΕΨΙΑΔΗΣ.
νὴ τοὺς θεοὺς ἔγωγ', ἐπεὶ
οὐδεὶς κατ' ἐμοῦ τεθνεῶτος εἰσάξει δίκην.
ΣΩΚΡΑΤΗΣ.
ὑθλεῖς· ἄπερρ', οὐκ ἂν διδαξαίμην σ' ἔτι.
ΣΤΡΕΨΙΑΔΗΣ.
ὁτιὴ τί; ναὶ πρὸς τῶν θεῶν, ὦ Σώκρατες.

ΣΩΚΡΑΤΗΣ.
ἀλλ' εὐθὺς ἐπιλήθει σύ γ' ἅττ' ἂν καὶ μάθῃς·
ἐπεὶ τί νυνὶ πρῶτον ἐδιδάχθης; λέγε.
ΣΤΡΕΨΙΑΔΗΣ.
φέρ' ἴδω, τί μέντοι πρῶτον ἦν; τί πρῶτον ἦν;
τίς ἦν ἐν ᾗ ματτόμεθα μέντοι τἄλφιτα;
οἴμοι, τίς ἦν;
ΣΩΚΡΑΤΗΣ.
οὐκ ἐς κόρακας ἀποφθερεῖ,
ἐπιλησμότατον καὶ σκαιότατον γερόντιον;
ΣΤΡΕΨΙΑΔΗΣ.
οἴμοι, τί οὖν δῆθ' ὁ κακοδαίμων πείσομαι;
ἀπὸ γὰρ ὀλοῦμαι μὴ μαθὼν γλωττοστροφεῖν.
ἀλλ', ὦ Νεφέλαι, χρηστόν τι συμβουλεύσατε.
ΧΟΡΟΣ.
ἡμεῖς μέν, ὦ πρεσβῦτα, συμβουλεύομεν,
εἴ σοί τις υἱός ἐστιν ἐκτεθραμμένος,
πέμπειν ἐκεῖνον ἀντὶ σαυτοῦ μανθάνειν.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἀλλ' ἔστ' ἔμοιγ' υἱὸς καλός τε κἀγαθός·
ἀλλ' οὐκ ἐθέλει γὰρ μανθάνειν, τί ἐγὼ πάθω;
ΧΟΡΟΣ.
σὺ δ' ἐπιτρέπεις;
ΣΤΡΕΨΙΑΔΗΣ.
εὐσωματεῖ γὰρ καὶ σφριγᾷ,
κἄστ' ἐκ γυναικῶν εὐπτέρων τῶν Κοισύρας.
ἀτὰρ μέτειμί γ' αὐτόν· ἢν δὲ μὴ θέλῃ,
οὐκ ἔσθ' ὅπως οὐκ ἐξελῶ 'κ τῆς οἰκίας.
ἀλλ' ἐπανάμεινόν μ' ὀλίγον εἰσελθὼν χρόνον.
ΧΟΡΟΣ.
ἆρ' αἰσθάνει πλεῖστα δι' ἡμᾶς ἀγάθ' αὐτίχ'
ἕξων
μόνας θεῶν; ὡς
ἕτοιμος ὅδ' ἐστὶν ἅπαντα δρᾶν
ὅσ' ἂν κελεύῃς.
σὺ δ' ἀνδρὸς ἐκπεπληγμένου καὶ φανερῶς ἐπηρ-
μένου
γνοὺς ἀπολάψεις, ὅ τι πλεῖστον δύνασαι,
ταχέως· φιλεῖ γάρ πως τὰ τοιαῦθ' ἑτέρᾳ τρέ-
πεσθαι.
ΣΤΡΕΨΙΑΔΗΣ.
οὔτοι μὰ τὴν Ὁμίχλην ἔτ' ἐνταυθὶ μενεῖς·
ἀλλ' ἔσθι' ἐλθὼν τοὺς Μεγακλέους κίονας.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ὦ δαιμόνιε, τί χρῆμα πάσχεις, ὦ πάτερ;
οὐκ εὖ φρονεῖς μὰ τὸν Δία τὸν Ὀλύμπιον.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἰδού γ' ἰδοὺ Δί' Ὀλύμπιον· τῆς μωρίας·
τὸ Δία νομίζειν, ὄντα τηλικουτονί.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
τί δὲ τοῦτ' ἐγέλασας ἐτεόν;
ΣΤΡΕΨΙΑΔΗΣ.
ἐνθυμούμενος
ὅτι παιδάριον εἶ καὶ φρονεῖς ἀρχαϊκά.
ὅμως γε μὴν πρόσελθ', ἵν' εἰδῇς πλείονα,
καί σοι φράσω πρᾶγμ' ὃ σὺ μαθὼν ἀνὴρ ἔσει.
ὅπως δὲ τοῦτο μὴ διδάξεις μηδένα.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ἰδού· τί ἔστιν;

ΣΤΡΕΨΙΑΔΗΣ.
ὤμοσας νυνὶ Δία.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ἔγωγ'.
ΣΤΡΕΨΙΑΔΗΣ.
ὁρᾷς οὖν ὡς ἀγαθὸν τὸ μανθάνειν;
οὐκ ἔστιν, ὦ Φειδιππίδη, Ζεύς.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ἀλλὰ τίς;
ΣΤΡΕΨΙΑΔΗΣ.
Δῖνος βασιλεύει, τὸν Δί' ἐξεληλακώς.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
αἰβοῖ, τί ληρεῖς;
ΣΤΡΕΨΙΑΔΗΣ.
ἴσθι τοῦθ' οὕτως ἔχον.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
τίς φησι ταῦτα;
ΣΤΡΕΨΙΑΔΗΣ.
Σωκράτης ὁ Μήλιος
καὶ Χαιρεφῶν, ὃς οἶδε τὰ ψυλλῶν ἴχνη.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
σὺ δ' εἰς τοσοῦτο τῶν μανιῶν ἐλήλυθας
ὥστ' ἀνδράσιν πείθει χολῶσιν;
ΣΤΡΕΨΙΑΔΗΣ.
εὐστόμει,
καὶ μηδὲν εἴπῃς φλαῦρον ἄνδρας δεξιοὺς
καὶ νοῦν ἔχοντας· ὧν ὑπὸ τῆς φειδωλίας
ἀπεκείρατ' οὐδεὶς πώποτ' οὐδ' ἠλείψατο
οὐδ' εἰς βαλανεῖον ἦλθε λουσόμενος· σὺ δὲ
ὥσπερ τεθνεῶτος καταλόει μου τὸν βίον.
ἀλλ' ὡς τάχιστ' ἐλθὼν ὑπὲρ ἐμοῦ μάνθανε.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
τί δ' ἂν παρ' ἐκείνων καὶ μάθοι χρηστόν τις ἄν;
ΣΤΡΕΨΙΑΔΗΣ.
ἄληθες; ὅσαπερ ἔστ' ἐν ἀνθρώποις σοφά·
γνώσει δὲ σαυτὸν ὡς ἀμαθὴς εἶ καὶ παχύς.
ἀλλ' ἐπανάμεινόν μ' ὀλίγον ἐνταυθὶ χρόνον.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
οἴμοι, τί δράσω παραφρονοῦντος τοῦ πατρός;
πότερον παρανοίας αὐτὸν εἰσαγαγὼν ἕλω,
ἢ τοῖς σοροπηγοῖς τὴν μανίαν αὐτοῦ φράσω;
ΣΤΡΕΨΙΑΔΗΣ.
φέρ' ἴδω, σὺ τοῦτον τίνα νομίζεις; εἰπέ μοι.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ἀλεκτρυόνα.
ΣΤΡΕΨΙΑΔΗΣ.
καλῶς γε. ταυτηνὶ δὲ τί;
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ἀλεκτρυόν'.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἄμφω ταὐτό; καταγέλαστος εἶ.
μή νυν τὸ λοιπὸν, ἀλλὰ τήνδε μὲν καλεῖν
ἀλεκτρύαιναν, τουτονὶ δ' ἀλέκτορα.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ἀλεκτρύαιναν; ταῦτ' ἔμαθες τὰ δεξιὰ
εἴσω παρελθὼν ἄρτι παρὰ τοὺς γηγενεῖς;
ΣΤΡΕΨΙΑΔΗΣ.
χἄτερά γε πόλλ'· ἀλλ' ὅ τι μάθοιμ' ἑκάστοτε,
ἐπελανθανόμην ἂν εὐθὺς ὑπὸ πλήθους ἐτῶν.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
διὰ ταῦτα δὴ καὶ θοἰμάτιον ἀπώλεσας;
ΣΤΡΕΨΙΑΔΗΣ.
ἀλλ' οὐκ ἀπολώλεκ', ἀλλὰ καταπεφρόντικα.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
τὰς δ' ἐμβάδας ποῖ τέτροφας, ὠνόητε σύ;
ΣΤΡΕΨΙΑΔΗΣ.
ὥσπερ Περικλέης εἰς τὸ δέον ἀπώλεσα.
ἀλλ' ἴθι, βάδιζ', ἴωμεν· εἶτα τῷ πατρὶ
πειθόμενος ἐξάμαρτε· κἀγώ τοί ποτε
οἶδ' ἑξέτει σοι τραυλίσαντι πιθόμενος,
ὃν πρῶτον ὀβολὸν ἔλαβον Ἡλιαστικὸν,
τούτου 'πριάμην σοι Διασίοις ἁμαξίδα.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ἦ μὴν σὺ τούτοις τῷ χρόνῳ ποτ' ἀχθέσει.
ΣΤΡΕΨΙΑΔΗΣ.
εὖ γ' ὅτι ἐπείσθης. δεῦρο δεῦρ', ὦ Σώκρατες,
ἔξελθ'· ἄγω γάρ σοι τὸν υἱὸν τουτονὶ,
ἄκοντ' ἀναπείσας.
ΣΩΚΡΑΤΗΣ.
νηπύτιος γάρ ἐστ' ἔτι,
καὶ τῶν κρεμαθρῶν οὐ τρίβων τῶν ἐνθάδε.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
αὐτὸς τρίβων εἴης ἂν, εἰ κρέμαιό γε.
ΣΤΡΕΨΙΑΔΗΣ.
οὐκ ἐς κόρακας; καταρᾷ σὺ τῷ διδασκάλῳ;
ΣΩΚΡΑΤΗΣ.
ἰδοὺ κρέμαι', ὡς ἠλίθιον ἐφθέγξατο
καὶ τοῖσι χείλεσιν διερρυηκόσιν.
πῶς ἂν μάθοι ποθ' οὗτος ἀπόφευξιν δίκης
ἢ κλῆσιν ἢ χαύνωσιν ἀναπειστηρίαν;
καίτοι ταλάντου τοῦτ' ἔμαθεν Ὑπέρβολος.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἀμέλει, δίδασκε· θυμόσοφός ἐστιν φύσει·
εὐθύς γέ τοι παιδάριον ὂν τυννουτονὶ
ἔπλαττεν ἔνδον οἰκίας ναῦς τ' ἔγλυφεν,
ἁμαξίδας τε σκυτίνας εἰργάζετο,
κἀκ τῶν σιδίων βατράχους ἐποίει πῶς δοκεῖς.
ὅπως δ' ἐκείνω τὼ λόγω μαθήσεται,
τὸν κρείττον', ὅστις ἐστὶ, καὶ τὸν ἥττονα,
ὃς τἄδικα λέγων ἀνατρέπει τὸν κρείττονα·
ἐὰν δὲ μὴ, τὸν γοῦν ἄδικον πάσῃ τέχνῃ.
ΣΩΚΡΑΤΗΣ.
αὐτὸς μαθήσεται παρ' αὐτοῖν τοῖν λόγοιν.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἐγὼ δ' ἀπέσομαι· τοῦτο γοῦν μέμνησ', ὅπως
πρὸς πάντα τὰ δίκαι' ἀντιλέγειν δυνήσεται.
ΔΙΚΑΙΟΣ.
χώρει δευρὶ, δεῖξον σαυτὸν
τοῖσι θεαταῖς, καίπερ θρασὺς ὤν.
ΑΔΙΚΟΣ.
ἴθ' ὅποι χρῄζεις. πολὺ γὰρ μᾶλλόν σ'
ἐν τοῖς πολλοῖσι λέγων ἀπολῶ.
ΔΙΚΑΙΟΣ.
ἀπολεῖς σύ; τίς ὤν;
ΑΔΙΚΟΣ.
λόγος.
ΔΙΚΑΙΟΣ.
ἥττων γ' ὤν.

ΑΔΙΚΟΣ.
ἀλλά σε νικῶ, τὸν ἐμοῦ κρείττω
φάσκοντ᾽ εἶναι.
ΔΙΚΑΙΟΣ.
τί σοφὸν ποιῶν;
ΑΔΙΚΟΣ.
γνώμας καινὰς ἐξευρίσκων.
ΔΙΚΑΙΟΣ.
ταῦτα γὰρ ἀνθεῖ διὰ τουτουσὶ
τοὺς ἀνοήτους.
ΑΔΙΚΟΣ.
οὔκ, ἀλλὰ σοφούς.
ΔΙΚΑΙΟΣ.
ἀπολῶ σε κακῶς.
ΑΔΙΚΟΣ.
εἰπέ, τι ποιῶν;
ΔΙΚΑΙΟΣ.
τὰ δίκαια λέγων.
ΑΔΙΚΟΣ.
ἀλλ᾽ ἀνατρέψω ᾽γαὖτ᾽ ἀντιλέγων·
οὐδὲ γὰρ εἶναι πάνυ φημὶ δίκην.
ΔΙΚΑΙΟΣ.
οὐκ εἶναι φής;
ΑΔΙΚΟΣ.
φέρε γάρ, ποῦ ᾽στιν;
ΔΙΚΑΙΟΣ.
παρὰ τοῖσι θεοῖς.
ΑΔΙΚΟΣ.
πῶς δῆτα δίκης οὔσης ὁ Ζεὺς
οὐκ ἀπόλωλεν τὸν πατέρ᾽ αὑτοῦ
δήσας;
ΔΙΚΑΙΟΣ.
αἰβοῖ, τουτὶ καὶ δὴ
χωρεῖ τὸ κακόν· δότε μοι λεκάνην.
ΑΔΙΚΟΣ.
τυφογέρων εἶ κἀνάρμοστος.
ΔΙΚΑΙΟΣ.
καταπύγων εἶ κἀναίσχυντος.
ΑΔΙΚΟΣ.
ῥόδα μ᾽ εἴρηκας.
ΔΙΚΑΙΟΣ.
καὶ βωμολόχος.
ΑΔΙΚΟΣ.
κρίνεσι στεφανοῖς.
ΔΙΚΑΙΟΣ.
καὶ πατραλοίας.
ΑΔΙΚΟΣ.
χρυσῷ πάττων μ᾽ οὐ γιγνώσκεις.
ΔΙΚΑΙΟΣ.
οὐ δῆτα πρὸ τοῦ γ᾽, ἀλλὰ μολύβδῳ.
ΑΔΙΚΟΣ.
νῦν δέ γε κόσμος τοῦτ᾽ ἐστὶν ἐμοί.
ΔΙΚΑΙΟΣ.
θρασὺς εἶ πολλοῦ.
ΑΔΙΚΟΣ.
σὺ δέ γ᾽ ἀρχαῖος.
ΔΙΚΑΙΟΣ.
διὰ σὲ δὲ φοιτᾶν
οὐδεὶς ἐθέλει τῶν μειρακίων·
καὶ γνωσθήσει ποτ᾽ Ἀθηναίοις
οἷα διδάσκεις τοὺς ἀνοήτους.
ΑΔΙΚΟΣ.
αὐχμεῖς αἰσχρῶς.
ΔΙΚΑΙΟΣ.
σὺ δέ γ᾽ εὖ πράττεις.
καίτοι πρότερόν γ᾽ ἐπτώχευες,
Τήλεφος εἶναι Μυσὸς φάσκων,
ἐκ πηριδίου
γνώμας τρώγων Πανδελετείους.
ΑΔΙΚΟΣ.
ὤμοι σοφίας ἧς ἐμνήσθης.
ΔΙΚΑΙΟΣ.
ὤμοι μανίας τῆς σῆς, πόλεώς θ᾽,
ἥτις σε τρέφει
λυμαινόμενον τοῖς μειρακίοις.
ΑΔΙΚΟΣ.
οὐχὶ διδάξεις τοῦτον Κρόνος ὤν.
ΔΙΚΑΙΟΣ.
εἴπερ γ᾽ αὐτὸν σωθῆναι χρὴ
καὶ μὴ λαλιὰν μόνον ἀσκῆσαι.
ΑΔΙΚΟΣ.
δεῦρ᾽ ἴθι, τοῦτον δ᾽ ἔα μαίνεσθαι.
ΔΙΚΑΙΟΣ.
κλαύσει, τὴν χεῖρ᾽ ἢν ἐπιβάλλῃς.
ΧΟΡΟΣ.
παύσασθε μάχης καὶ λοιδορίας.
ἀλλ᾽ ἐπίδειξαι
σύ τε τοὺς προτέρους ἅττ᾽ ἐδίδασκες,
σύ τε τὴν καινὴν
παίδευσιν, ὅπως ἂν ἀκούσας σφῷν
ἀντιλεγόντοιν κρίνας φοιτᾷ.
ΔΙΚΑΙΟΣ.
δρᾶν ταῦτ᾽ ἐθέλω.
ΑΔΙΚΟΣ.
κἄγωγ᾽ ἐθέλω.
ΧΟΡΟΣ.
φέρε δὴ πότερος λέξει πρότερος;
ΑΔΙΚΟΣ.
τούτῳ δώσω·
κᾆτ᾽ ἐκ τούτων ὧν ἂν λέξῃ
ῥηματίοισιν καινοῖς αὐτὸν
καὶ διανοίαις κατατοξεύσω.
τὸ τελευταῖον δ᾽, ἢν ἀναγρύζῃ,
τὸ πρόσωπον ἅπαν καὶ τὠφθαλμὼ
κεντούμενος ὥσπερ ὑπ᾽ ἀνθρηνῶν
ὑπὸ τῶν γνωμῶν ἀπολεῖται.
ΧΟΡΟΣ.
νῦν δείξετον τὼ πισύνω τοῖς περιδεξίοισι
λόγοισι καὶ φροντίσι καὶ γνωμοτύποις μερίμναις,
ὁπότερος αὐτοῖν λέγων ἀμείνων φανήσεται.
νῦν γὰρ ἅπας ἐνθάδε κίνδυνος ἀνεῖται σοφίας,
ἧς πέρι τοῖς ἐμοῖς φίλοις ἐστὶν ἀγὼν μέγιστος.
ἀλλ᾽ ὦ πολλοῖς τοὺς πρεσβυτέρους ἤθεσι χρηστοῖς στεφανώσας,
ῥῆξον φωνὴν ᾗτινι χαίρεις, καὶ τὴν σαυτοῦ φύσιν εἰπέ.
ΔΙΚΑΙΟΣ.
λέξω τοίνυν τὴν ἀρχαίαν παιδείαν, ὡς διέκειτο,

949—958. == 1024—1033.

ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη νενόμιστο.
πρῶτον μὲν ἔδει παιδὸς φωνὴν γρύξαντος μηδέν' ἀκοῦσαι·
εἶτα βαδίζειν ἐν ταῖσιν ὁδοῖς εὐτάκτως εἰς κιθαριστοῦ
τοὺς κωμήτας γυμνοὺς ἀθρόους, κεἰ κριμνώδη κατανίφοι.
εἶτ' αὖ προμαθεῖν ᾆσμ' ἐδίδασκεν, τὼ μηρὼ μὴ ξυνέχοντας,
ἢ Παλλάδα περσέπολιν δεινὰν, ἢ Τηλέπορόν τι βόαμα,
ἐντειναμένους τὴν ἁρμονίαν, ἣν οἱ πατέρες παρέδωκαν.
εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ' ἢ κάμψειέν τινα καμπὴν,
οἵας οἱ νῦν τὰς κατὰ Φρῦνιν ταύτας τὰς δυσκολοκάμπτους,
ἐπετρίβετο τυπτόμενος πολλὰς ὡς τὰς Μούσας ἀφανίζων.
ἐν παιδοτρίβου δὲ καθίζοντας τὸν μηρὸν ἔδει προβαλέσθαι
τοὺς παῖδας, ὅπως τοῖς ἔξωθεν μηδὲν δείξειαν ἀπηνές·
εἶτ' αὖ πάλιν αὖθις ἀνισταμένους συμψῆσαι, καὶ προνοεῖσθαι
εἴδωλον τοῖσιν ἐρασταῖσιν τῆς ἥβης μὴ καταλείπειν.
ἠλείψατο δ' ἂν τοὐμφαλοῦ οὐδεὶς παῖς ὑπένερθεν τότ' ἂν, ὥστε
τοῖς αἰδοίοισι δρόσος καὶ χνοῦς ὥσπερ μήλοισιν ἐπήνθει·
οὐδ' ἂν μαλακὴν φυρασάμενος τὴν φωνὴν πρὸς τὸν ἐραστὴν
αὐτὸς ἑαυτὸν προαγωγεύων τοῖς ὀφθαλμοῖς ἐβάδιζεν,
οὐδ' ἂν ἑλέσθαι δειπνοῦντ' ἐξῆν κεφάλαιον τῆς ῥαφανῖδος,
οὐδ' ἂν ἄνηθον τῶν πρεσβυτέρων ἁρπάζειν οὐδὲ σέλινον,
οὐδ' ὀψοφαγεῖν, οὐδὲ κιχλίζειν, οὐδ' ἴσχειν τὼ πόδ' ἐναλλάξ.

ΑΔΙΚΟΣ.

ἀρχαῖά γε καὶ Διπολιώδη καὶ τεττίγων ἀνάμεστα,
καὶ Κηκείδου καὶ Βουφονίων.

ΔΙΚΑΙΟΣ.

ἀλλ' οὖν ταῦτ' ἐστὶν ἐκεῖνα,
ἐξ ὧν ἄνδρας Μαραθωνομάχας ἡμὴ παίδευσις ἔθρεψεν.
σὺ δὲ τοὺς νῦν εὐθὺς ἐν ἱματίοις προδιδάσκεις ἐντετυλίχθαι·
ὥστε μ' ἀπάγχεσθ', ὅταν ὀρχεῖσθαι Παναθηναίοις δέον αὐτοὺς
τὴν ἀσπίδα τῆς κωλῆς προέχων ἀμελῇ τῆς Τριτογενείης.
πρὸς ταῦτ', ὦ μειράκιον, θαρρῶν ἐμὲ τὸν κρείττω λόγον αἱροῦ·
κἀπιστήσει μισεῖν ἀγορὰν καὶ βαλανείων ἀπέχεσθαι
καὶ τοῖς αἰσχροῖς αἰσχύνεσθαι, κἂν σκώπτῃ τι σε, φλέγεσθαι·
καὶ τῶν θάκων τοῖς πρεσβυτέροις ὑπανίστασθ[αι] προσιοῦσιν,
καὶ μὴ περὶ τοὺς σαυτοῦ γονέας σκαιουργεῖ[ν] ἄλλο τε μηδὲν
αἰσχρὸν ποιεῖν, ὅτι τῆς Αἰδοῦς μέλλεις τἄγαλ[μα] ἀναπλάττειν·
μηδ' εἰς ὀρχηστρίδος εἰσᾴττειν, ἵνα μὴ πρ[ὸς] ταῦτα κεχηνὼς,
μήλῳ βληθεὶς ὑπὸ πορνιδίου, τῆς εὐκλείας ἀπ[ο]θραυσθῇς·
μηδ' ἀντειπεῖν τῷ πατρὶ μηδὲν, μηδ' Ἰαπετ[ὸν] καλέσαντα
μνησικακῆσαι τὴν ἡλικίαν, ἐξ ἧς ἐνεοττοτρ[ο]φήθης.

ΑΔΙΚΟΣ.

εἰ ταῦτ', ὦ μειράκιον, πείσει τούτῳ, νὴ τ[ὸν] Διόνυσον
τοῖς Ἱπποκράτους υἱέσιν εἴξεις, καί σε καλοῦ[σι] βλιτομάμμαν.

ΔΙΚΑΙΟΣ.

ἀλλ' οὖν λιπαρός γε καὶ εὐανθὴς ἐν γυμνασ[ίοις] διατρίψεις,
οὐ στωμύλλων κατὰ τὴν ἀγορὰν τριβολεκτρ[ά]πελ', οἷάπερ οἱ νῦν,
οὐδ' ἑλκόμενος περὶ πραγματίου γλισχραντ[ιλο]γεξεπιτρίπτου·
ἀλλ' εἰς Ἀκαδήμειαν κατιὼν ὑπὸ ταῖς μορί[αις] ἀποθρέξει
στεφανωσάμενος καλάμῳ λευκῷ μετὰ σώφρον[ος] ἡλικιώτου,
μίλακος ὄζων καὶ ἀπραγμοσύνης καὶ λεύκης φ[υλ]λοβολούσης,
ἦρος ἐν ὥρᾳ χαίρων, ὁπόταν πλάτανος πτε[λέᾳ] ψιθυρίζῃ.
ἢν ταῦτα ποιῇς ἁγὼ φράζω,
καὶ πρὸς τούτοις προσέχῃς τὸν νοῦν,
ἕξεις ἀεὶ στῆθος λιπαρὸν,
χροιὰν λευκὴν, ὤμους μεγάλους,
γλῶτταν βαιὰν, πυγὴν μεγάλην,
πόσθην μικράν.
ἢν δ' ἅπερ οἱ νῦν ἐπιτηδεύῃς,
πρῶτα μὲν ἕξεις χροιὰν ὠχρὰν,
ὤμους μικροὺς, στῆθος λεπτὸν,
γλῶτταν μεγάλην, πυγὴν μικρὰν,
κωλῆν μεγάλην, ψήφισμα μακρὸν,
καί σ' ἀναπείσει
τὸ μὲν αἰσχρὸν ἅπαν καλὸν ἡγεῖσθαι,
τὸ καλὸν δ' αἰσχρόν·
καὶ πρὸς τούτοις τῆς Ἀντιμάχου
καταπυγοσύνης ἀναπλήσει.

ΧΟΡΟΣ.

ὦ καλλίπυργον σοφίαν κλεινοτάτην ἐπασκῶν,
ὡς ἡδύ σου τοῖσι λόγοις σῶφρον ἔπεστιν ἄνθ[ος].
εὐδαίμονες δ' ἦσαν ἄρ' οἱ ζῶντες τότ' ἐπὶ τῶ[ν] προτέρων.
πρὸς οὖν τάδ', ὦ κομψοπρεπῆ μοῦσαν ἔχων,
δεῖ σε λέγειν τι καινὸν, ὡς εὐδοκίμηκεν ἁνήρ.
δεινῶν δέ σοι βουλευμάτων ἔοικε δεῖν πρ[ὸς] αὐτὸν,

εἴπερ τὸν ἄνδρ' ὑπερβαλεῖ καὶ μὴ γέλωτ' ὀφλήσεις.

ΑΔΙΚΟΣ.

καὶ μὴν πάλαι γ' ἐπνιγόμην τὰ σπλάγχνα, κἀπεθύμουν
ἅπαντα ταῦτ' ἐναντίαις γνώμαισι συνταράξαι.
ἐγὼ γὰρ ἥττων μὲν λόγος δι' αὐτὸ τοῦτ' ἐκλήθην
ἐν τοῖσι φροντισταῖσιν, ὅτι πρώτιστος ἐπενόησα
καὶ τοῖς νόμοις καὶ ταῖς δίκαις τἀναντί' ἀντιλέξαι.
καὶ τοῦτο πλεῖν ἢ μυρίων ἔστ' ἄξιον στατήρων,
αἱρούμενον τοὺς ἥττονας λόγους ἔπειτα νικᾶν.
σκέψαι δὲ τὴν παίδευσιν ᾗ πέποιθεν ὡς ἐλέγξω·
ὅστις σε θερμῷ φησι λοῦσθαι πρῶτον οὐκ ἐάσειν.
καίτοι τίνα γνώμην ἔχων ψέγεις τὰ θερμὰ λουτρά;

ΔΙΚΑΙΟΣ.

ὁτιὴ κάκιστόν ἐστι καὶ δειλὸν ποιεῖ τὸν ἄνδρα.

ΑΔΙΚΟΣ.

ἐπίσχες· εὐθὺς γάρ σε μέσον ἔχω λαβὼν ἄφυκτον.
καί μοι φράσον, τῶν τοῦ Διὸς παίδων τίν' ἄνδρ' ἄριστον
ψυχὴν νομίζεις, εἰπὲ, καὶ πλείστους πόνους πονῆσαι;

ΔΙΚΑΙΟΣ.

ἐγὼ μὲν οὐδέν' Ἡρακλέους βελτίον' ἄνδρα κρίνω.

ΑΔΙΚΟΣ.

ποῦ ψυχρὰ δῆτα πώποτ' εἶδες Ἡράκλεια λουτρά;
καίτοι τίς ἀνδρειότερος ἦν;

ΔΙΚΑΙΟΣ.

ταῦτ' ἐστὶ ταῦτ' ἐκεῖνα,
ἃ τῶν νεανίσκων ἀεὶ δι' ἡμέρας λαλούντων
πλῆρες τὸ βαλανεῖον ποιεῖ, κενὰς δὲ τὰς παλαίστρας.

ΑΔΙΚΟΣ.

εἶτ' ἐν ἀγορᾷ τὴν διατριβὴν ψέγεις· ἐγὼ δ' ἐπαινῶ.
εἰ γὰρ πονηρὸν ἦν, Ὅμηρος οὐδέποτ' ἂν ἐποίει
τὸν Νέστορ' ἀγορητὴν ἂν οὐδὲ τοὺς σοφοὺς ἅπαντας.
ἄνειμι δῆτ' ἐντεῦθεν εἰς τὴν γλῶτταν, ἣν ὁδὶ μὲν
οὔ φησι χρῆναι τοὺς νέους ἀσκεῖν, ἐγὼ δὲ φημί.
καὶ σωφρονεῖν αὖ φησὶ χρῆναι· δύο κακὼ μεγίστω.
ἐπεὶ σὺ διὰ τὸ σωφρονεῖν τῷ πώποτ' εἶδες ἤδη
ἀγαθόν τι γενόμενον, φράσον, καί μ' ἐξέλεγξον εἰπών.

ΔΙΚΑΙΟΣ.

πολλοῖς. ὁ γοῦν Πηλεὺς ἔλαβε διὰ τοῦτο τὴν μάχαιραν.

ΑΔΙΚΟΣ.

μάχαιραν; ἀστεῖόν γε κέρδος ἔλαβεν ὁ κακοδαίμων.
Ὑπέρβολος δ' οὐκ τῶν λύχνων πλεῖν ἢ τάλαντα πολλὰ
εἴληφε διὰ πονηρίαν, ἀλλ' οὐ μὰ Δί' οὐ μάχαιραν.

ΔΙΚΑΙΟΣ.

καὶ τὴν Θέτιν γ' ἔγημε διὰ τὸ σωφρονεῖν ὁ Πηλεύς.

ΑΔΙΚΟΣ.

κᾆτ' ἀπολιποῦσά γ' αὐτὸν ᾤχετ'· οὐ γὰρ ἦν ὑβριστὴς
οὐδ' ἡδὺς ἐν τοῖς στρώμασιν τὴν νύκτα παννυχίζειν·
γυνὴ δὲ σιναμωρουμένη χαίρει· σὺ δ' εἶ κρόνιππος.
σκέψαι γὰρ, ὦ μειράκιον, ἐν τῷ σωφρονεῖν ἅπαντα
ἅνεστιν, ἡδονῶν θ' ὅσων μέλλεις ἀποστερεῖσθαι,
παίδων, γυναικῶν, κοττάβων, ὄψων, πότων, καχασμῶν.
καίτοι τί σοι ζῆν ἄξιον, τούτων ἐὰν στερηθῇς;
εἶεν. πάρειμ' ἐντεῦθεν ἐς τὰς τῆς φύσεως ἀνάγκας.
ἥμαρτες, ἠράσθης, ἐμοίχευσάς τι, κᾆτ' ἐλήφθης·
ἀπόλωλας· ἀδύνατος γὰρ εἶ λέγειν. ἐμοὶ δ' ὁμιλῶν,
χρῶ τῇ φύσει, σκίρτα, γέλα, νόμιζε μηδὲν αἰσχρόν.
μοιχὸς γὰρ ἢν τύχῃς ἁλοὺς, τάδ' ἀντερεῖς πρὸς αὐτὸν,
ὡς οὐδὲν ἠδίκηκας· εἶτ' εἰς τὸν Δί' ἐπανενεγκεῖν,
κἀκεῖνος ὡς ἥττων ἔρωτός ἐστι καὶ γυναικῶν·
καίτοι σὺ θνητὸς ὢν θεοῦ πῶς μεῖζον ἂν δύναιο;

ΔΙΚΑΙΟΣ.

τί δ' ἢν ῥαφανιδωθῇ πιθόμενός σοι τέφρᾳ τε τιλθῇ;
ἕξει τίνα γνώμην λέγειν, τὸ μὴ εὐρύπρωκτος εἶναι;

ΑΔΙΚΟΣ.

ἢν δ' εὐρύπρωκτος ᾖ, τί πείσεται κακόν;

ΔΙΚΑΙΟΣ.

τί μὲν οὖν ἂν ἔτι μεῖζον πάθοι τούτου ποτέ;

ΑΔΙΚΟΣ.

τί δῆτ' ἐρεῖς, ἢν τοῦτο νικηθῇς ἐμοῦ;

ΔΙΚΑΙΟΣ.

σιγήσομαι. τί δ' ἄλλο;

ΑΔΙΚΟΣ.

φέρε δή μοι φράσον·
συνηγοροῦσιν ἐκ τίνων;

ΔΙΚΑΙΟΣ.

ἐξ εὐρυπρώκτων.

ΑΔΙΚΟΣ.

πείθομαι.
τί δαί; τραγῳδοῦσ' ἐκ τίνων;

ΔΙΚΑΙΟΣ.

ἐξ εὐρυπρώκτων.

ΑΔΙΚΟΣ.

εὖ λέγεις.
δημηγοροῦσι δ' ἐκ τίνων;

ΔΙΚΑΙΟΣ.

ἐξ εὐρυπρώκτων.

ΑΔΙΚΟΣ.

ἆρα δῆτ'
ἔγνωκας ὡς οὐδὲν λέγεις;
καὶ τῶν θεατῶν ὁπότεροι
πλείους σκόπει.

ΔΙΚΑΙΟΣ.

καὶ δὴ σκοπῶ.

ΑΔΙΚΟΣ.

τί δῆθ' ὁρᾷς;

ΔΙΚΑΙΟΣ.

πολὺ πλείονας, νὴ τοὺς θεοὺς,
τοὺς εὐρυπρώκτους· τουτονὶ
γοῦν οἶδ' ἐγὼ κἀκεινονὶ
καὶ τὸν κομήτην τουτονί.

ΑΔΙΚΟΣ.

τί δῆτ' ἐρεῖς;

ΔΙΚΑΙΟΣ.

ἡττήμεθ', ὦ κινούμενοι,
πρὸς τῶν θεῶν δέξασθέ μου
θοἰμάτιον, ὡς
ἐξαυτομολῶ πρὸς ὑμᾶς.

ΣΩΚΡΑΤΗΣ.

τί δῆτα; πότερα τοῦτον ἀπάγεσθαι λαβὼν
βούλει τὸν υἱὸν, ἢ διδάσκω σοι λέγειν;

ΣΤΡΕΨΙΑΔΗΣ.

δίδασκε καὶ κόλαζε, καὶ μέμνησ' ὅπως
εὖ μοι στομώσεις αὐτὸν, ἐπὶ μὲν θἄτερα
οἵαν δικιδίοις, τὴν δ' ἑτέραν αὐτοῦ γνάθον
στόμωσον οἵαν ἐς τὰ μείζω πράγματα.

ΣΩΚΡΑΤΗΣ.

ἀμέλει, κομιεῖ τοῦτον σοφιστὴν δεξιόν.

ΣΤΡΕΨΙΑΔΗΣ.

ὠχρὸν μὲν οὖν ἔγωγε καὶ κακοδαίμονα.

ΧΟΡΟΣ.

χωρεῖτέ νυν. οἶμαι δέ σοι ταῦτα μεταμελήσειν.
τοὺς κριτὰς ἃ κερδανοῦσιν, ἤν τι τόνδε τὸν χορὸν
ὠφελῶσ' ἐκ τῶν δικαίων, βουλόμεσθ' ἡμεῖς φράσαι.
πρῶτα μὲν γὰρ, ἢν νεᾶν βούλησθ' ἐν ὥρᾳ τοὺς ἀγροὺς,
ὕσομεν πρώτοισιν ὑμῖν, τοῖσι δ' ἄλλοις ὕστερον.
εἶτα τὸν καρπόν τε καὶ τὰς ἀμπέλους φυλάξομεν,
ὥστε μήτ' αὐχμὸν πιέζειν μήτ' ἄγαν ἐπομβρίαν.
ἢν δ' ἀτιμάσῃ τις ἡμᾶς θνητὸς ὢν οὔσας θεὰς,
προσχέτω τὸν νοῦν, πρὸς ἡμῶν οἷα πείσεται κακὰ,
λαμβάνων οὔτ' οἶνον οὔτ' ἄλλ' οὐδὲν ἐκ τοι χωρίου.
ἡνίκ' ἂν γὰρ αἵ τ' ἐλᾶαι βλαστάνωσ' αἵ τ' ἄμπελοι,
ἀποκεκόψονται· τοιαύταις σφενδόναις παιήσομεν.
ἢν δὲ πλινθεύοντ' ἴδωμεν, ὕσομεν καὶ τοῦ τέγους
τὸν κέραμον αὐτοῦ χαλάζαις στρογγύλαις συντρίψομεν.
κἂν γαμῇ ποτ' αὐτὸς ἢ τῶν ξυγγενῶν ἢ τῶν φίλων,
ὕσομεν τὴν νύκτα πᾶσαν· ὥστ' ἴσως βουλήσεται
κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὢν μᾶλλον ἢ κρῖναι κακῶς.

ΣΤΡΕΨΙΑΔΗΣ.

πέμπτη, τετρὰς, τρίτη, μετὰ ταύτην δευτέρα,
εἶθ' ἣν ἐγὼ μάλιστα πασῶν ἡμερῶν
δέδοικα καὶ πέφρικα καὶ βδελύττομαι,
εὐθὺς μετὰ ταύτην ἔστ' ἕνη τε καὶ νέα.
πᾶς γάρ τις ὄμνυσ', οἷς ὀφείλων τυγχάνω,
θείς μοι πρυτανεῖ' ἀπολεῖν μέ φησι κἀξολεῖν,
ἐμοῦ μέτρι' ἄττα καὶ δίκαι' αἰτουμένου·
„ὦ δαιμόνιε, τὸ μέν τι νυνὶ μὴ λάβῃς,
τὸ δ' ἀναβαλοῦ μοι, τὸ δ' ἄφες“, οὔ φασίν πο
οὕτως ἀπολήψεσθ', ἀλλὰ λοιδοροῦσί με
ὡς ἄδικός εἰμι, καὶ δικάσασθαί φασί μοι.
νῦν οὖν δικαζέσθων· ὀλίγον γάρ μοι μέλει,
εἴπερ μεμάθηκεν εὖ λέγειν Φειδιππίδης.
τάχα δ' εἴσομαι κόψας τὸ φροντιστήριον.
παῖ, ἠμὶ, παῖ παῖ.

ΣΩΚΡΑΤΗΣ.

Στρεψιάδην ἀσπάζομαι.

ΣΤΡΕΨΙΑΔΗΣ.

κἄγωγέ σ'· ἀλλὰ τουτονὶ πρῶτον λαβέ·
χρὴ γὰρ ἐπιθαυμάζειν τι τὸν διδάσκαλον.
καί μοι τὸν υἱὸν, εἰ μεμάθηκε τὸν λόγον
ἐκεῖνον, εἴφ', ὃν ἀρτίως εἰσήγαγες.

ΣΩΚΡΑΤΗΣ.

μεμάθηκεν.

ΣΤΡΕΨΙΑΔΗΣ.

εὖ γ', ὦ παμβασίλει' Ἀπαιόλη.

ΣΩΚΡΑΤΗΣ.

ὥστ' ἀποφύγοις ἂν ἥντιν' ἂν βούλῃ δίκην.

ΣΤΡΕΨΙΑΔΗΣ.

κεἰ μάρτυρες παρῆσαν, ὅτ' ἐδανειζόμην;

ΣΩΚΡΑΤΗΣ.

πολλῷ γε μᾶλλον, κἂν παρῶσι χίλιοι.

ΣΤΡΕΨΙΑΔΗΣ.

βοάσομαί τἄρα τὰν ὑπέρτονον
βοάν. ἰὼ, κλάετ' ὠβολοστάται,
αὐτοί τε καὶ τἀρχαῖα καὶ τόκοι τόκων·
οὐδὲν γὰρ ἄν με φλαῦρον ἐργάσαισθ' ἔτι·
οἷος ἐμοὶ τρέφεται
τοῖσδ' ἐνὶ δώμασι παῖς,
ἀμφήκει γλώττῃ λάμπων,
πρόβολος ἐμὸς, σωτὴρ δόμοις, ἐχθροῖς βλάβ
λυσανίας πατρῴων μεγάλων κακῶν·
ὃν κάλεσον τρέχων ἔνδοθεν ὡς ἐμέ.
ὦ τέκνον, ὦ παῖ, ἔξελθ' οἴκων,
ἄϊε σοῦ πατρός.

ΣΩΚΡΑΤΗΣ.

ὅδ' ἐκεῖνος ἀνήρ.

ΣΤΡΕΨΙΑΔΗΣ.

ὦ φίλος, ὦ φίλος.

ΣΩΚΡΑΤΗΣ.

ἄπιθι λαβὼν τὸν υἱόν.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἰὼ ἰὼ τέκνον.
ἰοῦ ἰοῦ.
ὡς ἥδομαί σου πρῶτα τὴν χροιὰν ἰδών.
νῦν μέν γ' ἰδεῖν εἶ πρῶτον ἐξαρνητικὸς
κἀντιλογικὸς, καὶ τοῦτο τοὐπιχώριον
ἀτεχνῶς ἐπανθεῖ, τὸ τί λέγεις σύ; καὶ δοκεῖ
ἀδικοῦντ' ἀδικεῖσθαι καὶ κακουργοῦντ', οἶδ'
ἐπὶ τοῦ προσώπου τ' ἐστὶν Ἀττικὸν βλέπος.
νῦν οὖν ὅπως σώσεις μ', ἐπεὶ κἀπώλεσας.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

φοβεῖ δὲ δὴ τί;

ΣΤΡΕΨΙΑΔΗΣ.

τὴν ἕνην τε καὶ νέαν.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

ἕνη γάρ ἐστι καὶ νέα τις ἡμέρα;

ΣΤΡΕΨΙΑΔΗΣ.
εἰς ἣν γε θήσειν τὰ πρυτανεῖά φασί μοι.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ἀπολοῦσ' ἄρ' αὔθ' οἱ θέντες· οὐ γὰρ ἔσθ' ὅπως
μί' ἡμέρα γένοιτ' ἂν ἡμέραι δύο.
ΣΤΡΕΨΙΑΔΗΣ.
οὐκ ἂν γένοιτο;
ΦΕΙΔΙΠΠΙΔΗΣ.
πῶς γάρ; εἰ μή πέρ γ' ἅμα
αὑτὴ γένοιτ' ἂν γραῦς τε καὶ νέα γυνή.
ΣΤΡΕΨΙΑΔΗΣ.
καὶ μὴν νενόμισταί γ'.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
οὐ γάρ, οἶμαι, τὸν νόμον
ἴσασιν ὀρθῶς ὅ τι νοεῖ.
ΣΤΡΕΨΙΑΔΗΣ.
νοεῖ δὲ τί;
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ὁ Σόλων ὁ παλαιὸς ἦν φιλόδημος τὴν φύσιν.
ΣΤΡΕΨΙΑΔΗΣ.
τουτὶ μὲν οὐδέν πω πρὸς ἕνην τε καὶ νέαν.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ἐκεῖνος οὖν τὴν κλῆσιν εἰς δύ' ἡμέρας
ἔθηκεν, εἴς γε τὴν ἕνην τε καὶ νέαν,
ἵν' αἱ θέσεις γίγνοιντο τῇ νουμηνίᾳ.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἵνα δὴ τί τὴν ἕνην προσέθηκεν;
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ἵν', ὦ μέλε,
παρόντες οἱ φεύγοντες ἡμέρᾳ μιᾷ
πρότερον ἀπαλλάττοινθ' ἑκόντες, εἰ δὲ μή,
ἕωθεν ὑπανιῷντο τῇ νουμηνίᾳ.
ΣΤΡΕΨΙΑΔΗΣ.
πῶς οὐ δέχονται δῆτα τῇ νουμηνίᾳ
ἀρχαὶ τὰ πρυτανεῖ', ἀλλ' ἕνῃ τε καὶ νέᾳ;
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ὅπερ οἱ προτένθαι γὰρ δοκοῦσί μοι ποιεῖν·
ἵν' ὡς τάχιστα τὰ πρυτανεῖ' ὑφελοίατο,
διὰ τοῦτο προὐτένθευσαν ἡμέρᾳ μιᾷ.
ΣΤΡΕΨΙΑΔΗΣ.
εὖ γ', ὦ κακοδαίμονες, τί κάθησθ' ἀβέλτεροι,
ἡμέτερα κέρδη τῶν σοφῶν, ὄντες λίθοι,
ἀριθμός, πρόβατ' ἄλλως, ἀμφορῆς νενησμένοι;
ὥστ' εἰς ἐμαυτὸν καὶ τὸν υἱὸν τουτονὶ
ἐπ' εὐτυχίαισιν ᾀστέον μοὐγκώμιον,
μάκαρ ὦ Στρεψίαδες,
αὐτός τ' ἔφυς ὡς σοφός,
χοῖον τὸν υἱὸν τρέφεις,
φήσουσι δή μ' οἱ φίλοι
χοἱ δημόται
ζηλοῦντες ἡνίκ' ἂν σὺ νικᾷς λέγων τὰς δίκας.
ἀλλ' εἰσάγων σε βούλομαι πρῶτον ἑστιᾶσαι.
ΠΑΣΙΑΣ.
εἶτ' ἄνδρα τῶν αὑτοῦ τι χρὴ προϊέναι;
οὐδέποτέ γ', ἀλλὰ κρεῖττον ἦν εὐθὺς τότε
ἀπερυθριᾶσαι μᾶλλον ἢ σχεῖν πράγματα,
ὅτε τῶν ἐμαυτοῦ γ' ἕνεκα νυνὶ χρημάτων
ἕλκω σε κλητεύσοντα, καὶ γενήσομαι
ἐχθρὸς ἔτι πρὸς τούτοισιν ἀνδρὶ δημότῃ.
ἀτὰρ οὐδέποτέ γε τὴν πατρίδα καταισχυνῶ
ζῶν, ἀλλὰ καλοῦμαι Στρεψιάδην
ΣΤΡΕΨΙΑΔΗΣ.
τίς οὑτοσί;
ΠΑΣΙΑΣ.
ἐς τὴν ἕνην τε καὶ νέαν.
ΣΤΡΕΨΙΑΔΗΣ.
μαρτύρομαι,
ὅτι ἐς δύ' εἶπεν ἡμέρας. τοῦ χρήματος;
ΠΑΣΙΑΣ.
τῶν δώδεκα μνῶν, ἃς ἔλαβες ὠνούμενος
τὸν ψαρὸν ἵππον.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἵππον; οὐκ ἀκούετε,
ὃν πάντες ὑμεῖς ἴστε μισοῦνθ' ἱππικήν.
ΠΑΣΙΑΣ.
καὶ νὴ Δί' ἀποδώσειν γ' ἐπώμνυς τοὺς θεούς.
ΣΤΡΕΨΙΑΔΗΣ.
μὰ τὸν Δί'· οὐ γάρ πω τότ' ἐξηπίστατο
Φειδιππίδης μοι τὸν ἀκατάβλητον λόγον.
ΠΑΣΙΑΣ.
νῦν δὲ διὰ τοῦτ' ἔξαρνος εἶναι διανοεῖ;
ΣΤΡΕΨΙΑΔΗΣ.
τί γὰρ ἄλλ' ἂν ἀπολαύσαιμι τοῦ μαθήματος;
ΠΑΣΙΑΣ.
καὶ ταῦτ' ἐθελήσεις ἀπομόσαι μοι τοὺς θεούς;
ΣΤΡΕΨΙΑΔΗΣ.
ποίους θεούς;
ΠΑΣΙΑΣ.
τὸν Δία, τὸν Ἑρμῆν, τὸν Ποσειδῶ.
ΣΤΡΕΨΙΑΔΗΣ.
νὴ Δία,
κἂν προσκαταθείην γ', ὥστ' ὀμόσαι, τριώβολον.
ΠΑΣΙΑΣ.
ἀπόλοιο τοίνυν ἕνεκ' ἀναιδείας ἔτι.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἁλσὶν διασμηχθεὶς ὄναιτ' ἂν οὑτοσί.
ΠΑΣΙΑΣ.
οἴμ' ὡς καταγελᾷς.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἓξ χόας χωρήσεται.
ΠΑΣΙΑΣ.
οὔ τοι μὰ τὸν Δία τὸν μέγαν καὶ τοὺς θεοὺς
ἐμοῦ καταπροίξει.
ΣΤΡΕΨΙΑΔΗΣ.
θαυμασίως ἥσθην θεοῖς,
καὶ Ζεὺς γέλοιος ὀμνύμενος τοῖς εἰδόσιν.
ΠΑΣΙΑΣ.
ἦ μὴν σὺ τούτων τῷ χρόνῳ δώσεις δίκην.
ἀλλ' εἴτ' ἀποδώσεις μοι τὰ χρήματ' εἴτε μή,
ἀπόπεμψον ἀποκρινάμενος.
ΣΤΡΕΨΙΑΔΗΣ.
ἔχε νυν ἥσυχος.
ἐγὼ γὰρ αὐτίκ' ἀποκρινοῦμαί σοι σαφῶς.
ΠΑΣΙΑΣ.
τί σοι δοκεῖ δράσειν;
ΜΑΡΤΥΣ.
ἀποδώσειν μοι δοκεῖ.

ΣΤΡΕΨΙΑΔΗΣ.

ποῦ 'σθ' οὗτος ἀπαιτῶν με τἀργύριον; λέγε,
τουτὶ τί ἐστι;

ΠΑΣΙΑΣ.

τοῦθ' ὅ τι ἐστί; κάρδοπος.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἔπειτ' ἀπαιτεῖς τἀργύριον τοιοῦτος ὤν;
οὐκ ἂν ἀποδοίην οὐδ' ἂν ὀβολὸν οὐδενί,
ὅστις καλέσειε κάρδοπον τὴν καρδόπην.

ΠΑΣΙΑΣ.

οὐκ ἄρ' ἀποδώσεις;

ΣΤΡΕΨΙΑΔΗΣ.

οὐχ, ὅσον γέ μ' εἰδέναι.
οὔκουν ἀνύσας τι θᾶττον ἀπολιταργιεῖς
ἀπὸ τῆς θύρας;

ΠΑΣΙΑΣ.

ἄπειμι, καὶ τοῦτ' ἴσθ', ὅτι
θήσω πρυτανεῖ', ἢ μηκέτι ζῴην ἐγώ.

ΣΤΡΕΨΙΑΔΗΣ.

προσαποβαλεῖς ἄρ' αὐτὰ πρὸς ταῖς δώδεκα.
καίτοι σε τοῦτό γ' οὐχὶ βούλομαι παθεῖν,
ὁτιὴ 'κάλεσας εὐηθικῶς τὴν κάρδοπον.

ΑΜΥΝΙΑΣ.

ἰώ μοί μοι.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἔα.
τίς οὑτοσί ποτ' ἔσθ' ὁ θρηνῶν; οὔ τί που
τῶν Καρκίνου τις δαιμόνων ἐφθέγξατο;

ΑΜΥΝΙΑΣ.

τί δ' ὅστις εἰμί, τοῦτο βούλεσθ' εἰδέναι;
ἀνὴρ κακοδαίμων.

ΣΤΡΕΨΙΑΔΗΣ.

κατὰ σεαυτόν νυν τρέπου.

ΑΜΥΝΙΑΣ.

ὦ σκληρὲ δαῖμον, ὦ τύχαι θραυσάντυγες
ἵππων ἐμῶν· ὦ Παλλάς, ὥς μ' ἀπώλεσας.

ΣΤΡΕΨΙΑΔΗΣ.

τί δαί σε Τληπόλεμός ποτ' εἴργασται κακόν;

ΑΜΥΝΙΑΣ.

μὴ σκῶπτέ μ', ὦ τᾶν, ἀλλά μοι τὰ χρήματα
τὸν υἱὸν ἀποδοῦναι κέλευσον ἅλαβεν,
ἄλλως τε μέντοι καὶ κακῶς πεπραγότι.

ΣΤΡΕΨΙΑΔΗΣ.

τὰ ποῖα ταῦτα χρήμαθ';

ΑΜΥΝΙΑΣ.

ἁδανείσατο.

ΣΤΡΕΨΙΑΔΗΣ.

κακῶς ἄρ' ὄντως εἶχες, ὥς γ' ἐμοὶ δοκεῖς.

ΑΜΥΝΙΑΣ.

ἵππους ἐλαύνων ἐξέπεσον νὴ τοὺς θεούς.

ΣΤΡΕΨΙΑΔΗΣ.

τί δῆτα ληρεῖς ὥσπερ ἀπ' ὄνου καταπεσών;

ΑΜΥΝΙΑΣ.

ληρῶ, τὰ χρήματ' ἀπολαβεῖν εἰ βούλομαι;

ΣΤΡΕΨΙΑΔΗΣ.

οὐκ ἔσθ' ὅπως σύ γ' αὐτὸς ὑγιαίνεις.

ΑΜΥΝΙΑΣ.

τί δαί;

ΣΤΡΕΨΙΑΔΗΣ.

τὸν ἐγκέφαλον ὥσπερ σεσεῖσθαί μοι δοκεῖς.

ΑΜΥΝΙΑΣ.

σὺ δὲ νὴ τὸν Ἑρμῆν προσκεκλήσεσθαί γέ μοι,
εἰ μἀποδώσεις τἀργύριον.

ΣΤΡΕΨΙΑΔΗΣ.

κάτειπέ νυν,
πότερα νομίζεις καινὸν ἀεὶ τὸν Δία
ὕειν ὕδωρ ἑκάστοτ', ἢ τὸν ἥλιον
ἕλκειν κάτωθεν ταὐτὸ τοῦθ' ὕδωρ πάλιν;

ΑΜΥΝΙΑΣ.

οὐκ οἶδ' ἔγωγ' ὁπότερον, οὐδέ μοι μέλει.

ΣΤΡΕΨΙΑΔΗΣ.

πῶς οὖν ἀπολαβεῖν τἀργύριον δίκαιος εἶ,
εἰ μηδὲν οἶσθα τῶν μετεώρων πραγμάτων;

ΑΜΥΝΙΑΣ.

ἀλλ' εἰ σπανίζεις, τἀργυρίου μοι τὸν τόκον
ἀπόδος γε.

ΣΤΡΕΨΙΑΔΗΣ.

τοῦτο δ' ἔσθ' ὁ τόκος τί θηρίον;

ΑΜΥΝΙΑΣ.

τί δ' ἄλλο γ' ἢ κατὰ μῆνα καὶ καθ' ἡμέραν
πλέον πλέον τἀργύριον ἀεὶ γίγνεται,
ὑπορρέοντος τοῦ χρόνου;

ΣΤΡΕΨΙΑΔΗΣ.

καλῶς λέγεις.
τί δῆτα; τὴν θάλατταν ἔσθ' ὅτι πλείονα
νυνὶ νομίζεις ἢ πρὸ τοῦ;

ΑΜΥΝΙΑΣ.

μὰ Δί', ἀλλ' ἴσην.
οὐ γὰρ δίκαιον πλείον' εἶναι.

ΣΤΡΕΨΙΑΔΗΣ.

κᾆτα πῶς
αὕτη μέν, ὦ κακόδαιμον, οὐδὲν γίγνεται
ἐπιρρεόντων τῶν ποταμῶν πλείων, σὺ δὲ
ζητεῖς ποιῆσαι τἀργύριον πλεῖον τὸ σόν;
οὐκ ἀποδιώξει σαυτὸν ἀπὸ τῆς οἰκίας;
φέρε μοι τὸ κέντρον.

ΑΜΥΝΙΑΣ.

ταῦτ' ἐγὼ μαρτύρομαι.

ΣΤΡΕΨΙΑΔΗΣ.

ὕπαγε, τί μέλλεις; οὐκ ἐλᾷς, ὦ σαμφόρα;

ΑΜΥΝΙΑΣ.

ταῦτ' οὐχ ὕβρις δῆτ' ἐστίν;

ΣΤΡΕΨΙΑΔΗΣ.

ἄξεις; ἐπιαλῶ
κεντῶν ὑπὸ τὸν πρωκτόν σε τὸν σειραφόρον.
φεύγεις; ἔμελλόν σ' ἄρα κινήσειν ἐγὼ
αὐτοῖς τροχοῖς τοῖς σοῖσι καὶ ξυνωρίσιν.

ΧΟΡΟΣ.

οἷον τὸ πραγμάτων ἐρᾶν φλαύρων· ὁ γὰρ
γέρων ὅδ' ἐρασθεὶς
ἀποστερῆσαι βούλεται
τὰ χρήμαθ' ἁδανείσατο·
κοὐκ ἔσθ' ὅπως οὐ τήμερον
λήψεταί τι πρᾶγμ', ὃ τοῦ-
τον ποιήσει τὸν σοφιστὴν *
* ὧν πανουργεῖν ἤρξατ', ἐξαίφνης λαβεῖν
κόν τι.
οἶμαι γὰρ αὐτὸν αὐτίχ' εὑρήσειν ὅπερ
πάλαι ποτ' ἐπέζει,

1303 — 1310. = 1311 — 1320.

εἶναι τὸν υἱὸν δεινόν οἱ
γνώμας ἐναντίας λέγειν
τοῖσιν δικαίοις, ὥστε νι-
κᾶν ἅπαντας οἷσπερ ἂν
ξυγγένηται, κἂν λέγῃ παμπόνηρ'.
ἴσως δ' ἴσως βουλήσεται κἄφωνον αὐτὸν εἶναι.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἰοὺ ἰού.
ὦ γείτονες καὶ ξυγγενεῖς καὶ δημόται,
ἀμυνάθετέ μοι τυπτομένῳ πάσῃ τέχνῃ.
οἴμοι κακοδαίμων τῆς κεφαλῆς καὶ τῆς γνάθου.
ὦ μιαρὲ, τύπτεις τὸν πατέρα;

ΦΕΙΔΙΠΠΙΔΗΣ.

φήμ', ὦ πάτερ.

ΣΤΡΕΨΙΑΔΗΣ.

ὁρᾶθ' ὁμολογοῦνθ' ὅτι με τύπτει.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

καὶ μάλα.

ΣΤΡΕΨΙΑΔΗΣ.

ὦ μιαρὲ καὶ πατραλοῖα καὶ τοιχωρύχε.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

αὖθίς με ταὐτὰ ταῦτα καὶ πλείω λέγε.
ἆρ' οἶσθ' ὅτι χαίρω πόλλ' ἀκούων καὶ κακά;

ΣΤΡΕΨΙΑΔΗΣ.

ὦ λακκόπρωκτε.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

πάττε πολλοῖς τοῖς ῥόδοις.

ΣΤΡΕΨΙΑΔΗΣ.

τὸν πατέρα τύπτεις;

ΦΕΙΔΙΠΠΙΔΗΣ.

κἀποφανῶ γε νὴ Δία
ὡς ἐν δίκῃ σ' ἔτυπτον.

ΣΤΡΕΨΙΑΔΗΣ.

ὦ μιαρώτατε,
καὶ πῶς γένοιτ' ἂν πατέρα τύπτειν ἐν δίκῃ;

ΦΕΙΔΙΠΠΙΔΗΣ.

ἔγωγ' ἀποδείξω, καί σε νικήσω λέγων.

ΣΤΡΕΨΙΑΔΗΣ.

τουτὶ σὺ νικήσεις;

ΦΕΙΔΙΠΠΙΔΗΣ.

πολύ γε καὶ ῥᾳδίως.
ἑλοῦ δ' ὁπότερον τοῖν λόγοιν βούλει λέγειν.

ΣΤΡΕΨΙΑΔΗΣ.

ποίοιν λόγοιν;

ΦΕΙΔΙΠΠΙΔΗΣ.

τὸν κρείττον', ἢ τὸν ἥττονα;

ΣΤΡΕΨΙΑΔΗΣ.

ἐδιδαξάμην μέντοι σε νὴ Δί', ὦ μέλε,
τοῖσιν δικαίοις ἀντιλέγειν, εἰ ταυτί γε
μέλλεις ἀναπείσειν, ὡς δίκαιον καὶ καλὸν
τὸν πατέρα τύπτεσθ' ἐστὶν ὑπὸ τῶν υἱέων.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

ἀλλ' οἴομαι μέντοι σ' ἀναπείσειν, ὥστε γε
οὐδ' αὐτὸς ἀκροασάμενος οὐδὲν ἀντερεῖς.

ΣΤΡΕΨΙΑΔΗΣ.

καὶ μὴν ὅ τι καὶ λέξεις ἀκοῦσαι βούλομαι.

ΧΟΡΟΣ.

σὸν ἔργον, ὦ πρεσβῦτα, φροντίζειν ὅπῃ
τὸν ἄνδρα κρατήσεις,

1345 — 1352. == 1391 — 1398.

ὡς οὗτος, εἰ μή τῳ 'πεποίθειν, οὐκ ἂν ἦν
οὕτως ἀκόλαστος.
ἀλλ' ἔσθ' ὅτῳ θρασύνεται·
δῆλον τὸ λῆμ' ἐστὶ τἀνθρώπου.
ἀλλ' ἐξ ὅτου τὸ πρῶτον ἤρξαθ' ἡ μάχη γενέσθαι
ἤδη λέγειν χρὴ πρὸς χορόν· πάντως δὲ τοῦτο δράσεις.

ΣΤΡΕΨΙΑΔΗΣ.

καὶ μὴν ὅθεν γε πρῶτον ἠρξάμεσθα λοιδορεῖσθαι
ἐγὼ φράσω· 'πειδὴ γὰρ εἱστιώμεθ', ὥσπερ ἴστε,
πρῶτον μὲν αὐτὸν τὴν λύραν λαβόντ' ἐγὼ 'κέλευσα
ᾆσαι Σιμωνίδου μέλος, τὸν κριὸν, ὡς ἐπέχθη.
ὁ δ' εὐθέως ἀρχαῖον εἶν' ἔφασκε τὸ κιθαρίζειν
ᾄδειν τε πίνονθ', ὡσπερεὶ κάχρυς γυναῖκ' ἀλοῦσαν.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

οὐ γὰρ τότ' εὐθὺς χρῆν σ' ἄρα τύπτεσθαί τε καὶ πατεῖσθαι,
ᾄδειν κελεύονθ', ὡσπερεὶ τέττιγας ἑστιῶντα;

ΣΤΡΕΨΙΑΔΗΣ.

τοιαῦτα μέντοι καὶ τότ' ἔλεγεν ἔνδον, οἷάπερ νῦν,
καὶ τὸν Σιμωνίδην ἔφασκ' εἶναι κακὸν ποιητήν.
κἀγὼ μόλις μὲν, ἀλλ' ὅμως ἠνεσχόμην τὸ πρῶτον·
ἔπειτα δ' ἐκέλευσ' αὐτὸν ἀλλὰ μυρρίνην λαβόντα
τῶν Αἰσχύλου λέξαι τί μοι· κᾆθ' οὗτος εὐθὺς εἶπεν,
ἐγὼ γὰρ Αἰσχύλον νομίζω πρῶτον ἐν ποιηταῖς
ψόφου πλέων, ἀξύστατον, στόμφακα, κρημνοποιόν;
κἀνταῦθα πῶς οἴεσθέ μου τὴν καρδίαν ὀρεχθεῖν;
ὅμως δὲ τὸν θυμὸν δακὼν ἔφην, σὺ δ' ἀλλὰ τούτων
λέξον τι τῶν νεωτέρων, ἅττ' ἐστὶ τὰ σοφὰ ταῦτα.
ὁ δ' εὐθὺς ᾖσ' Εὐριπίδου ῥῆσίν τιν', ὡς ἐκίνει
ἀδελφὸς, ὦλεξίκακε, τὴν ὁμομητρίαν ἀδελφήν.
κἀγὼ οὐκέτ' ἐξηνεσχόμην, ἀλλ' εὐθὺς ἐξαράττω
πολλοῖς κακοῖς καἰσχροῖσι· κᾆτ' ἐντεῦθεν, οἷον εἰκὸς,
ἔπος πρὸς ἔπος ἠρειδόμεσθ'· εἶθ' οὗτος ἐπαναπηδᾷ,
κἄπειτ' ἔφλα με κἀσπόδει κἄπνιγε κἀπέτριβεν.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

οὔκουν δικαίως, ὅστις οὐκ Εὐριπίδην ἐπαινεῖς,
σοφώτατον;

ΣΤΡΕΨΙΑΔΗΣ.

σοφώτατόν γ' ἐκεῖνον, ὦ τί σ' εἴπω;
ἀλλ' αὖθις αὖ τυπτήσομαι.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

νὴ τὸν Δί', ἐν δίκῃ γ' ἄν.

ΣΤΡΕΨΙΑΔΗΣ.

καὶ πῶς δικαίως; ὅστις ὠναίσχυντέ σ' ἐξέθρεψα,
αἰσθανόμενός σου πάντα τραυλίζοντος, ὅ τι νοοίης.
εἰ μέν γε βρῦν εἴποις, ἐγὼ γνοὺς ἂν πιεῖν ἐπέσχον·
μαμμᾶν δ' ἂν αἰτήσαντος ἧκόν σοι φέρων ἂν ἄρτον·
κακκᾶν δ' ἂν οὐκ ἔφθης φράσαι, κἀγὼ λαβὼν θύραζε
ἐξέφερον ἂν καὶ προὐσχόμην σε· σὺ δ' ἐμὲ νῦν ἀπάγχων
βοῶντα καὶ κεκραγόθ' ὅτι
χεζητιῴην, οὐκ ἔτλης

ἔξω 'ξενεγκεῖν, ὦ μιαρὲ,
θύραζέ μ', ἀλλὰ πνιγόμενος
αὐτοῦ 'ποίησα κακκᾶν.

ΧΟΡΟΣ.

οἶμαί γε τῶν νεωτέρων τὰς καρδίας
πηδᾶν, ὅ τι λέξει.
εἰ γὰρ τοιαῦτά γ' οὗτος ἐξειργασμένος
λαλῶν ἀναπείσει,
τὸ δέρμα τῶν γεραιτέρων λάβοιμεν ἂν
ἀλλ' οὐδ' ἐρεβίνθου.
σὸν ἔργον, ὦ καινῶν ἐπῶν κινητὰ καὶ μοχλευτὰ,
πειθώ τινα ζητεῖν, ὅπως δόξεις λέγειν δίκαια.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

ὡς ἡδὺ καινοῖς πράγμασιν καὶ δεξιοῖς ὁμιλεῖν,
καὶ τῶν καθεστώτων νόμων ὑπερφρονεῖν δύνασθαι.
ἐγὼ γὰρ ὅτε μὲν ἱππικῇ τὸν νοῦν μόνον προσεῖχον,
οὐδ' ἂν τρί' εἰπεῖν ῥήμαθ' οἷός τ' ἦ πρὶν ἐξαμαρτεῖν·
νυνὶ δ' ἐπειδή μ' οὑτοσὶ τούτων ἔπαυσεν αὐτὸς,
γνώμαις δὲ λεπταῖς καὶ λόγοις ξύνειμι καὶ μερίμναις,
οἶμαι διδάξειν ὡς δίκαιον τὸν πατέρα κολάζειν.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἵππευε τοίνυν νὴ Δί', ὡς ἔμοιγε κρεῖττόν ἐστιν
ἵππων τρέφειν τέθριππον ἢ τυπτόμενον ἐπιτριβῆναι.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

ἐκεῖσε δ' ὅθεν ἀπέσχισάς με τοῦ λόγου μέτειμι,
καὶ πρῶτ' ἐρήσομαί σε τουτί· παῖδά μ' ὄντ' ἔτυπτες;

ΣΤΡΕΨΙΑΔΗΣ.

ἔγωγέ σ', εὐνοῶν τε καὶ κηδόμενος.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

εἰπὲ δή μοι,
οὐ κἀμέ σοι δίκαιόν ἐστιν εὐνοεῖν ὁμοίως,
τύπτειν τ', ἐπειδήπερ γε τοῦτ' ἔστ' εὐνοεῖν, τὸ τύπτειν;
πῶς γὰρ τὸ μὲν σὸν σῶμα χρὴ πληγῶν ἀθῷον εἶναι,
τοὐμὸν δὲ μή; καὶ μὴν ἔφυν ἐλεύθερός γε κἀγώ.
κλάουσι παῖδες, πατέρα δ' οὐ κλάειν δοκεῖς;
φήσεις νομίζεσθαί γε παιδὸς τοῦτο τοὔργον εἶναι;
ἐγὼ δέ γ' ἀντείποιμ' ἂν ὡς δὶς παῖδες οἱ γέροντες·
εἰκὸς δὲ μᾶλλον τοὺς γέροντας ἢ νέους τι κλάειν,
ὅσῳπερ ἐξαμαρτάνειν ἧττον δίκαιον αὐτούς.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἀλλ' οὐδαμοῦ νομίζεται τὸν πατέρα τοῦτο πάσχειν.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

οὔκουν ἀνὴρ ὁ τὸν νόμον θεὶς τοῦτον ἦν τὸ πρῶτον,
ὥσπερ σὺ κἀγὼ, καὶ λέγων ἔπειθε τοὺς παλαιούς;
ἧττον τί δῆτ' ἔξεστι κἀμοὶ καινὸν αὖ τὸ λοιπὸν
θεῖναι νόμον τοῖς υἱέσιν, τοὺς πατέρας ἀντιτύπτειν;
ὅσας δὲ πληγὰς εἴχομεν πρὶν τὸν νόμον τεθῆναι,
ἀφίεμεν, καὶ δίδομεν αὐτοῖς προῖκα συγκεκόφθαι.
σκέψαι δὲ τοὺς ἀλεκτρυόνας καὶ τἄλλα τὰ βοτὰ ταυτὶ,
ὡς τοὺς πατέρας ἀμύνεται· καίτοι τι διαφέρου
ἡμῶν ἐκεῖνοι, πλὴν ὅτι ψηφίσματ' οὐ γράφουσι

ΣΤΡΕΨΙΑΔΗΣ.

τί δῆτ', ἐπειδὴ τοὺς ἀλεκτρυόνας ἅπαντα μιμ
οὐκ ἐσθίεις καὶ τὴν κόπρον κἀπὶ ξύλου καθεύδει

ΦΕΙΔΙΠΠΙΔΗΣ.

οὐ ταυτὸν, ὦ τᾶν, ἐστιν, οὐδ' ἂν Σωκράτει δοκ

ΣΤΡΕΨΙΑΔΗΣ.

πρὸς ταῦτα μὴ τύπτ'· εἰ δὲ μὴ, σαυτόν πο αἰτιάσει.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

καὶ πῶς;

ΣΤΡΕΨΙΑΔΗΣ.

ἐπεὶ σὲ μὲν δίκαιός εἰμ' ἐγὼ κολά
σὺ δ', ἢν γένηταί σοι, τὸν υἱόν.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

ἢν δὲ μὴ γένη
μάτην ἐμοὶ κεκλαύσεται, σὺ δ' ἐγχανὼν τεθνή

ΣΤΡΕΨΙΑΔΗΣ.

ἐμοὶ μὲν, ὦνδρες ἥλικες, δοκεῖ λέγειν δίκαι
κἄμοιγε συγχωρεῖν δοκεῖ τούτοισι τἀπιεική·
κλάειν γὰρ ἡμᾶς εἰκός ἐστ', ἢν μὴ δίκαια δρῶ

ΦΕΙΔΙΠΠΙΔΗΣ.

σκέψαι δὲ χἀτέραν ἔτι γνώμην.

ΣΤΡΕΨΙΑΔΗΣ.

ἀπὸ γὰρ ὀλοῦ

ΦΕΙΔΙΠΠΙΔΗΣ.

καὶ μὴν ἴσως γ' οὐκ ἀχθέσει παθὼν ἃ πέπονθας.

ΣΤΡΕΨΙΑΔΗΣ.

πῶς δή; δίδαξον γὰρ τί μ' ἐκ τούτων ἐπω λήσεις.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

τὴν μητέρ' ὥσπερ καὶ σὲ τυπτήσω.

ΣΤΡΕΨΙΑΔΗΣ.

τί φῄς; τί φῄς
τοῦθ' ἕτερον αὖ μεῖζον κακόν.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

τί δ', ἢν ἔχων τὸν
λόγον σὲ νικήσω λέγων
τὴν μητέρ' ὡς τύπτειν χρεών;

ΣΤΡΕΨΙΑΔΗΣ.

τί δ' ἄλλο γ'; ἢν ταυτὶ ποιῇς,
οὐδέν σε κωλύσει σεαυ-
τὸν ἐμβαλεῖν ἐς τὸ βάραθρον
μετὰ Σωκράτους
καὶ τὸν λόγον τὸν ἥττω.
ταυτὶ δι' ὑμᾶς, ὦ Νεφέλαι, πέπονθ' ἐγὼ,
ὑμῖν ἀναθεὶς ἅπαντα τἀμὰ πράγματα.

ΧΟΡΟΣ.

αὐτὸς μὲν οὖν σαυτῷ σὺ τούτων αἴτιος,
στρέψας σεαυτὸν ἐς πονηρὰ πράγματα.

ΣΤΡΕΨΙΑΔΗΣ.

τί δῆτα ταῦτ' οὔ μοι τότ' ἠγορεύετε,
ἀλλ' ἄνδρ' ἄγροικον καὶ γέροντ' ἐπήρετε;

ΧΟΡΟΣ.

ἡμεῖς ποιοῦμεν ταῦθ' ἑκάστοθ' ὅντιν' ἂν
γνῶμεν πονηρῶν ὄντ' ἐραστὴν πραγμάτων,

ἕως ἂν αὐτὸν ἐμβάλωμεν εἰς κακὸν,
ὅπως ἂν εἰδῇ τοὺς θεοὺς δεδοικέναι.

ΣΤΡΕΨΙΑΔΗΣ.

ὤμοι, πονηρά γ', ὦ Νεφέλαι, δίκαια δέ.
οὐ γάρ μ' ἐχρῆν τὰ χρήμαθ' ἁδανεισάμην
ἀποστερεῖν. νῦν οὖν ὅπως, ὦ φίλτατε,
τὸν Χαιρεφῶντα τὸν μιαρὸν καὶ Σωκράτη
ἀπολεῖς, μετ' ἐμοῦ γ' ἐλθ', οἳ σὲ κἄμ' ἐξηπάτων.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

ἀλλ' οὐκ ἂν ἀδικήσαιμι τοὺς διδασκάλους.

ΣΤΡΕΨΙΑΔΗΣ.

ναὶ ναὶ, καταιδέσθητι πατρῷον Δία.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

ἰδού γε Δία πατρῷον· ὡς ἀρχαῖος εἶ.
Ζεὺς γάρ τις ἔστιν;

ΣΤΡΕΨΙΑΔΗΣ.

ἔστιν.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

οὐκ ἔστ' οὔκ, ἐπεὶ
Δῖνος βασιλεύει, τὸν Δί' ἐξεληλακώς.

ΣΤΡΕΨΙΑΔΗΣ.

οὐκ ἐξελήλακ', ἀλλ' ἐγὼ τοῦτ' ᾠόμην,
διὰ τουτονὶ τὸν Δῖνον. οἴμοι δείλαιος,
ὅτε καὶ σὲ χυτρεοῦν ὄντα θεὸν ἡγησάμην.

ΦΕΙΔΙΠΠΙΔΗΣ.

ἐνταῦθα σαυτῷ παραφρόνει καὶ φληνάφα.

ΣΤΡΕΨΙΑΔΗΣ.

οἴμοι παρανοίας· ὡς ἐμαινόμην ἄρα,
ὅτ' ἐξέβαλλον τοὺς θεοὺς διὰ Σωκράτη.
ἀλλ', ὦ φίλ' Ἑρμῆ, μηδαμῶς θύμαινέ μοι,
μηδέ μ' ἐπιτρίψῃς, ἀλλὰ συγγνώμην ἔχε
ἐμοῦ παρανοήσαντος ἀδολεσχίᾳ.
καί μοι γενοῦ ξύμβουλος, εἴτ' αὐτοὺς γραφὴν
διωκάθω γραψάμενος, εἴθ' ὅ τι σοι δοκεῖ.
ὀρθῶς παραινεῖς οὐκ ἐῶν δικορραφεῖν,
ἀλλ' ὡς τάχιστ' ἐμπιμπράναι τὴν οἰκίαν
τῶν ἀδολεσχῶν. δεῦρο δεῦρ', ὦ Ξανθία,
κλίμακα λαβὼν ἔξελθε καὶ σμινύην φέρων,
κἄπειτ' ἐπαναβὰς ἐπὶ τὸ φροντιστήριον
τὸ τέγος κατάσκαπτ', εἰ φιλεῖς τὸν δεσπότην,
ἕως ἂν αὐτοῖς ἐμβάλῃς τὴν οἰκίαν·
ἐμοὶ δὲ δᾷδ' ἐνεγκάτω τις ἡμμένην,
κἀγώ τιν' αὐτῶν τήμερον δοῦναι δίκην
ἐμοὶ ποιήσω, κεἰ σφόδρ' εἴσ' ἀλαζόνες.

ΜΑΘΗΤΗΣ Α.

ἰοὺ ἰού.

ΣΤΡΕΨΙΑΔΗΣ.

σὸν ἔργον, ὦ δᾴς, ἱέναι πολλὴν φλόγα.

ΜΑΘΗΤΗΣ Α.

ἄνθρωπε, τί ποιεῖς;

ΣΤΡΕΨΙΑΔΗΣ.

ὅ τι ποιῶ; τί δ' ἄλλο γ' ἢ
διαλεπτολογοῦμαι ταῖς δοκοῖς τῆς οἰκίας.

ΜΑΘΗΤΗΣ Β.

οἴμοι, τίς ἡμῶν πυρπολεῖ τὴν οἰκίαν;

ΣΤΡΕΨΙΑΔΗΣ.

ἐκεῖνος οὗπερ θοἰμάτιον εἰλήφατε.

ΜΑΘΗΤΗΣ Γ.

ἀπολεῖς ἀπολεῖς.

ΣΤΡΕΨΙΑΔΗΣ.

τοῦτ' αὐτὸ γὰρ καὶ βούλομαι,
ἢν ἡ σμινύη μοι μὴ προδῷ τὰς ἐλπίδας,
ἢ 'γὼ πρότερόν πως ἐκτραχηλισθῶ πεσών.

ΣΩΚΡΑΤΗΣ.

οὗτος, τί ποιεῖς ἐτεὸν, οὑπὶ τοῦ τέγους;

ΣΤΡΕΨΙΑΔΗΣ.

ἀεροβατῶ, καὶ περιφρονῶ τὸν ἥλιον.

ΣΩΚΡΑΤΗΣ.

οἴμοι τάλας, δείλαιος ἀποπνιγήσομαι.

ΧΑΙΡΕΦΩΝ.

ἐγὼ δὲ κακοδαίμων γε κατακαυθήσομαι.

ΣΤΡΕΨΙΑΔΗΣ.

τί γὰρ μαθόντ' ἐς τοὺς θεοὺς ὑβριζέτην,
καὶ τῆς Σελήνης ἐσκοπεῖσθον τὴν ἕδραν;
δίωκε, βάλλε, παῖε, πολλῶν οὕνεκα,
μάλιστα δ' εἰδὼς τοὺς θεοὺς ὡς ἠδίκουν.

ΧΟΡΟΣ.

ἡγεῖσθ' ἔξω· κεχόρευται γὰρ μετρίως τό γε τήμερον ἡμῖν.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΣΦΗΚΕΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΣΩΣΙΑΣ } οἰκέται Φιλοκλέωνος.
ΞΑΝΘΙΑΣ }
ΒΔΕΛΥΚΛΕΩΝ.
ΦΙΛΟΚΛΕΩΝ.
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ΣΦΗΚΩΝ.
ΠΑΙΔΕΣ.
ΚΥΩΝ.
ΑΡΤΟΠΩΛΙΣ.
ΚΑΤΗΓΟΡΟΣ.

## ΥΠΟΘΕΣΙΣ.

Φιλοκλέων Ἀθηναῖος φιλόδικος ὢν τὴν φύσιν ἐφοίτα περὶ τὰ δικαστήρια συνεχῶς. Βδελυκλέων δ
τούτου παῖς ἀχθόμενος ταύτῃ τῇ νόσῳ καὶ πειρώμενος τὸν πατέρα παύειν, ἐγκαθείρξας τοῖς οἴκοις
δίκτυα περιβαλὼν ἐφύλαττε νύκτωρ καὶ μεθ' ἡμέραν. ὁ δὲ ἐξόδου αὐτῷ μὴ προκειμένης ἔκραζεν. οἱ
συνδικασταὶ αὐτοῦ σφηξὶν ἑαυτοὺς ἀφομοιώσαντες παρεγένοντο, βουλόμενοι διὰ ταύτης τῆς τέχνης ὑ
κλέπτειν τὸν συνδικαστήν· ἐξ ὧν καὶ ὁ χορὸς συνέστηκε καὶ τὸ δρᾶμα ἐπιγέγραπται. ἀλλ' οὐδὲν ἤ
οὐδὲ οὗτοι. πέρας δὲ τοῦ νεανίσκου θαυμάζοντος τίνος ἕνεκα ὁ πατὴρ οὕτως ἥττηται τοῦ πράγμα
ἔφη ὁ πρεσβύτης εἶναι τὸ πρᾶγμα σπουδαῖον καὶ σχεδὸν ἀρχὴν τὸ δικάζειν. ὁ δὲ παῖς ἐπειρᾶτο τὰς ὑ
ψίας ἐξαίρειν τοῦ πράγματος, νουθετῶν τὸν γέροντα. ὁ δὲ πρεσβύτης μηδαμῶς νουθετούμενος οὐ με
τοῦ πάθους· ἀλλ' ἀναγκάζεται ὁ νέος ἐπιτρέπειν φιλοδικεῖν, καὶ ἐπὶ τῆς οἰκίας τοῦτο ποιεῖ, καὶ
κατὰ τὴν οἰκίαν δικάζει. καὶ δύο κύνες ἐπεισάγονται πολιτικῶς παρ' αὐτῷ κρινόμενοι· καὶ κατὰ τοῦ φ
γοντος ἐκφέρειν συνεχῶς τὴν ψῆφον μέλλων ἀπατηθεὶς ἄκων τὴν ἀποδικάζουσαν φέρει ψῆφον. περιέχε
καὶ δικαιολογίαν τινὰ τοῦ χοροῦ ἐκ τοῦ ποιητοῦ προσώπου, ὡς σφηξὶν ἐμφερεῖς εἰσὶν οἱ τοῦ χοροῦ,
ὧν καὶ τὸ δρᾶμα. οἳ ὅτε μὲν ἦσαν νέοι, πικρῶς ταῖς δίκαις ἐφήδρευον, ἐπεὶ δὲ γέροντες γεγόνασι,
τοῦσι τοῖς κέντροις. ἐπὶ τέλει δὲ τοῦ δράματος ὁ γέρων ἐπὶ δεῖπνον καλεῖται, καὶ ἐπὶ ὕβριν τρέπεται,
κρίνει αὐτὸν ὕβρεως ἀρτόπωλις· ὁ δὲ γέρων πρὸς αὐλὸν καὶ ὄρχησιν τρέπεται, καὶ γελωτοποιεῖ τὸ δρᾶ

Τοῦτο τὸ δρᾶμα πεποίηται αὐτῷ οὐκ ἐξ ὑποκειμένης ὑποθέσεως, ἀλλ' ὡσανεὶ γενομένης. πέπλα
γὰρ τὸ ὅλον. διαβάλλει δὲ Ἀθηναίους ὡς φιλοδικοῦντας, καὶ σωφρονίζει τὸν δῆμον ἀποστῆναι δικῶν,
διὰ τοῦτο καὶ τοὺς δικαστὰς σφηξὶν ἀπεικάζει κέντρα ἔχουσι καὶ πλήττουσι. πεποίηται δ' αὐτῷ χαριέ
ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀμεινίου διὰ Φιλωνίδου [ἐν τῇ πθ' ὀλυμπιάδι]. β' ἦν. εἰς Λήναια. καὶ ἐνίκα
τος Φιλωνίδης Προάγωνι, Λεύκων Πρέσβεσι τρίτος.

## ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Φιλοῦντα δικάζειν πατέρα παῖς εἵρξας ἄφνω
αὐτός τ' ἐφύλαττεν ἔνδον οἰκέται θ', ὅπως
μὴ λανθάνῃ μηδ' ἐξίῃ διὰ τὴν νόσον.
ὁ δ' ἀντιμάχεται παντὶ τρόπῳ καὶ μηχανῇ.
εἶθ' οἱ συνήθεις καὶ γέροντες, λεγόμενοι
σφῆκες, παραγίνονται βοηθοῦντες σφόδρα
ἐπὶ τῷ δύνασθαι κέντρον ἐνιέναι τισὶ
φρονοῦντες ἱκανόν. ὁ δὲ γέρων τηρούμενος
συμπείθετ' ἔνδον διαδικάζειν καὶ βιοῦν,
ἐπεὶ τὸ δικάζειν κέκρικεν ἐκ παντὸς τρόπου.

# Σ Φ Η Κ Ε Σ.

ΣΩΣΙΑΣ.

Οὗτος, τί πάσχεις, ὦ κακόδαιμον Ξανθία;

ΞΑΝΘΙΑΣ.

φυλακὴν καταλύειν νυκτερινὴν διδάσκομαι.

ΣΩΣΙΑΣ.

κακὸν ἄρα ταῖς πλευραῖς τι προὐφείλεις μέγα.
ἆρ' οἶσθά γ' οἷον κνώδαλον φυλάττομεν;

ΞΑΝΘΙΑΣ.

οἶδ'· ἀλλ' ἐπιθυμῶ σμικρὸν ἀπομερμηρίσαι.

ΣΩΣΙΑΣ.

σὺ δ' οὖν παρακινδύνευ', ἐπεὶ καὐτοῦ γ' ἐμοῦ
κατὰ τοῖν κόραιν ὕπνου τι καταχεῖται γλυκύ.

ΞΑΝΘΙΑΣ.

ἀλλ' ἦ παραφρονεῖς ἐτεὸν ἢ κορυβαντιᾷς;

ΣΩΣΙΑΣ.

οὔκ, ἀλλ' ὕπνος μ' ἔχει τις ἐκ Σαβαζίου.

ΞΑΝΘΙΑΣ.

τὸν αὐτὸν ἄρ' ἐμοὶ βουκολεῖς Σαβάζιον.
κἀμοὶ γὰρ ἀρτίως ἐπεστρατεύσατο
Μῆδός τις ἐπὶ τὰ βλέφαρα νυστακτὴς ὕπνος·
καὶ δῆτ' ὄναρ θαυμαστὸν εἶδον ἀρτίως.

ΣΩΣΙΑΣ.

κἄγωγ' ἀληθῶς οἷον οὐδεπώποτε.
ἀτὰρ σὺ λέξον πρότερος.

ΞΑΝΘΙΑΣ.

ἐδόκουν ἀετὸν
καταπτάμενον εἰς τὴν ἀγορὰν μέγαν πάνυ
ἀναρπάσαντα τοῖς ὄνυξιν ἀσπίδα
φέρειν ἐπίχαλκον ἀνεκὰς εἰς τὸν οὐρανὸν,
κἄπειτα ταύτην ἀποβαλεῖν Κλεώνυμον.

ΣΩΣΙΑΣ.

οὐδὲν ἄρα γρίφου διαφέρει Κλεώνυμος.
πῶς δὴ, προσερεῖ τις τοῖσι συμπόταις λέγων,
ὅτι ταυτὸν ἐν γῇ τ' ἀπέβαλεν κἀν οὐρανῷ
κἀν τῇ θαλάττῃ θηρίον τὴν ἀσπίδα;

ΞΑΝΘΙΑΣ.

οἴμοι, τί δῆτά μοι κακὸν γενήσεται
ἰδόντι τοιοῦτον ἐνύπνιον;

ΣΩΣΙΑΣ.

μὴ φροντίσῃς.
οὐδὲν γὰρ ἔσται δεινὸν οὐ μὰ τοὺς θεούς.

ΞΑΝΘΙΑΣ.

δεινόν γέ τοὔστ' ἄνθρωπος ἀποβαλὼν ὅπλα.
ἀτὰρ σὺ τὸ σὸν αὖ λέξον.

ΣΩΣΙΑΣ.

ἀλλ' ἔστιν μέγα.
περὶ τῆς πόλεως γάρ ἐστι τοῦ σκάφους ὅλου.

ΞΑΝΘΙΑΣ.

λέγε νυν ἀνύσας τι τὴν τρόπιν τοῦ πράγματος.

ΣΩΣΙΑΣ.

ἔδοξέ μοι περὶ πρῶτον ὕπνον ἐν τῇ πυκνὶ
ἐκκλησιάζειν πρόβατα συγκαθήμενα,
βακτηρίας ἔχοντα καὶ τριβώνια·
κἄπειτα τούτοις τοῖσι προβάτοις μοὐδόκει
δημηγορεῖν φάλαινα πανδοκεύτρια,
ἔχουσα φωνὴν ἐμπεπρημένης ὑός.

ΞΑΝΘΙΑΣ.

αἰβοῖ.

ΣΩΣΙΑΣ.

τί ἔστι;

ΞΑΝΘΙΑΣ.

παῦε παῦε, μὴ λέγε·
ὄζει κάκιστον τοὐνύπνιον βύρσης σαπρᾶς.

ΣΩΣΙΑΣ.

εἶθ' ἡ μιαρὰ φάλαιν' ἔχουσα τρυτάνην
ἵστη βόειον δημόν.

ΞΑΝΘΙΑΣ.

οἴμοι δείλαιος·
τὸν δῆμον ἡμῶν βούλεται διιστάναι.

ΣΩΣΙΑΣ.

ἐδόκει δέ μοι Θέωρος αὐτῆς πλησίον
χαμαὶ καθῆσθαι, τὴν κεφαλὴν κόρακος ἔχων.
εἶτ' Ἀλκιβιάδης εἶπε πρός με τραυλίσας·
ὁλᾷς; Θέωλος τὴν κεφαλὴν κόλακος ἔχει.

ΞΑΝΘΙΑΣ.

ὀρθῶς γε τοῦτ' Ἀλκιβιάδης ἐτραύλισεν.

ΣΩΣΙΑΣ.

οὔκουν ἐκεῖν' ἀλλόκοτον, ὁ Θέωρος κόραξ
γιγνόμενος;

ΞΑΝΘΙΑΣ.

ἥκιστ', ἀλλ' ἄριστον.

ΣΩΣΙΑΣ.

πῶς;

ΞΑΝΘΙΑΣ.

ὅπως;
ἄνθρωπος ὢν εἶτ' ἐγένετ' ἐξαίφνης κόραξ·
οὔκουν ἐναργὲς τοῦτο συμβαλεῖν, ὅτι
ἀρθεὶς ἀφ' ἡμῶν ἐς κόρακας οἰχήσεται;

ΣΩΣΙΑΣ.

εἶτ' οὐκ ἐγὼ δοὺς δύ' ὀβολὼ μισθώσομαι
οὕτως ὑποκρινόμενον σοφῶς ὀνείρατα;

ΞΑΝΘΙΑΣ.

φέρε νυν κατείπω τοῖς θεαταῖς τὸν λόγον,
ὀλίγ' ἄττ' ὑπειπὼν πρῶτον αὐτοῖσιν ταδί,
μηδὲν παρ' ἡμῶν προσδοκᾶν λίαν μέγα,
μηδ' αὖ γέλωτα Μεγαρόθεν κεκλεμμένον.
ἡμῖν γὰρ οὐκ ἔστ' οὔτε κάρυ' ἐκ φορμίδος
δούλω διαρριπτοῦντε τοῖς θεωμένοις,
οὔθ' Ἡρακλῆς τὸ δεῖπνον ἐξαπατώμενος,
οὐδ' αὖθις ἐνασελγαινόμενος Εὐριπίδης·
οὐδ' εἰ Κλέων γ' ἔλαμψε τῆς τύχης χάριν,
αὖθις τὸν αὐτὸν ἄνδρα μυττωτεύσομεν.
ἀλλ' ἔστιν ἡμῖν λογίδιον γνώμην ἔχον,

ASH… OXFO…

ὑμῶν μὲν αὐτῶν οὐχὶ δεξιώτερον,
κωμῳδίας δὲ φορτικῆς σοφώτερον.
ἔστιν γὰρ ἡμῖν δεσπότης ἐκεινοσὶ
ἄνω καθεύδων, ὁ μέγας, οὑπὶ τοῦ τέγους.
οὗτος φυλάττειν τὸν πατέρ' ἐπέταξε νῷν,
ἔνδον καθείρξας, ἵνα θύραζε μὴ 'ξίῃ.
νόσον γὰρ ὁ πατὴρ ἀλλόκοτον αὐτοῦ νοσεῖ,
ἣν οὐδ' ἂν εἷς γνοίη ποτ' οὐδ' ἂν ξυμβάλοι,
εἰ μὴ πύθοιθ' ἡμῶν· ἐπεὶ τοπάζετε.
Ἀμυνίας μὲν ὁ Προνάπους φήσ' οὑτοσὶ
εἶναι φιλόκυβον αὐτόν· ἀλλ' οὐδὲν λέγει.

ΣΩΣΙΑΣ.

μὰ Δί', ἀλλ' ἀφ' αὑτοῦ τὴν νόσον τεκμαίρεται.

ΞΑΝΘΙΑΣ.

οὒκ, ἀλλὰ φιλο μέν ἐστιν ἀρχὴ τοῦ κακοῦ.
ὁδὶ δέ φησι Σωσίας πρὸς Δερκύλον
εἶναι φιλοπότην αὐτόν.

ΣΩΣΙΑΣ.

οὐδαμῶς γ', ἐπεὶ
αὕτη γε χρηστῶν ἐστὶν ἀνδρῶν ἡ νόσος.

ΞΑΝΘΙΑΣ.

Νικόστρατος δ' αὖ φησιν ὁ Σκαμβωνίδης
εἶναι φιλοθύτην αὐτὸν ἢ φιλόξενον,

ΣΩΣΙΑΣ.

μὰ τὸν κύν', ὦ Νικόστρατ', οὐ φιλόξενος,
ἐπεὶ καταπύγων ἐστὶν ὅ γε Φιλόξενος.

ΞΑΝΘΙΑΣ.

ἄλλως φλυαρεῖτ'· οὐ γὰρ ἐξευρήσετε.
εἰ δὴ 'πιθυμεῖτ' εἰδέναι, σιγᾶτε νῦν.
φράσω γὰρ ἤδη τὴν νόσον τοῦ δεσπότου.
φιληλιαστής ἐστιν ὡς οὐδεὶς ἀνήρ,
ἐρᾷ τε τούτου τοῦ δικάζειν, καὶ στένει,
ἢν μὴ 'πὶ τοῦ πρώτου καθίζηται ξύλου.
ὕπνου δ' ὁρᾷ τῆς νυκτὸς οὐδὲ πασπάλην.
ἢν δ' οὖν καταμύσῃ κἂν ἄχνην, ὅμως ἐκεῖ
ὁ νοῦς πέτεται τὴν νύκτα περὶ τὴν κλεψύδραν.
ὑπὸ τοῦ δὲ τὴν ψῆφόν γ' ἔχειν εἰωθέναι
τοὺς τρεῖς ξυνέχων τῶν δακτύλων ἀνίσταται,
ὥσπερ λιβανωτὸν ἐπιτιθεὶς νουμηνίᾳ.
καὶ νὴ Δί' ἢν ἴδῃ γέ που γεγραμμένον
υἱὸν Πυριλάμπους ἐν θύρᾳ Δῆμον καλὸν,
ἰὼν παρέγραψε πλησίον „κημὸς καλός.“
τὸν ἀλεκτρυόνα δ', ὃς ᾖδ' ἐφ' ἑσπέρας, ἔφη
ὄψ' ἐξεγείρειν αὐτὸν ἀναπεπεισμένον,
παρὰ τῶν ὑπευθύνων ἔχοντα χρήματα.
εὐθὺς δ' ἀπὸ δορπηστοῦ κέκραγεν ἐμβάδας,
κἄπειτ' ἐκεῖσ' ἐλθὼν προκαθεύδει πρῴ πάνυ,
ὥσπερ λεπὰς προσεχόμενος τῷ κίονι.
ὑπὸ δυσκολίας δ' ἅπασι τιμῶν τὴν μακρὰν
ὥσπερ μέλιττ' ἢ βομβυλιὸς εἰσέρχεται,
ὑπὸ τοῖς ὄνυξι κηρὸν ἀναπεπλασμένος.
ψήφων δὲ δείσας μὴ δεηθείη ποτὲ,
ἵν' ἔχοι δικάζειν, αἰγιαλὸν ἔνδον τρέφει.
τοιαῦτ' ἀλύει· νουθετούμενος δ' ἀεὶ
μᾶλλον δικάζει. τοῦτον οὖν φυλάττομεν
μοχλοῖσιν ἐνδήσαντες, ὡς ἂν μὴ 'ξίῃ.
ὁ γὰρ υἱὸς αὐτοῦ τὴν νόσον βαρέως φέρει.
καὶ πρῶτα μὲν λόγοισι παραμυθούμενος
ἀνέπειθεν αὐτὸν μὴ φορεῖν τριβώνιον
μηδ' ἐξιέναι θύραζ'· ὁ δ' οὐκ ἐπείθετο.
εἶτ' αὐτὸν ἀπέλου κἀκάθαιρ', ὁ δ' οὐ μάλα.
μετὰ ταῦτ' ἐκορυβάντιζ'· ὁ δ' αὐτῷ τυμπάνῳ
ᾄξας ἐδίκαζεν εἰς τὸ Καινὸν ἐμπεσών.
ὅτε δῆτα ταύταις ταῖς τελεταῖς οὐκ ὠφέλει,
διέπλευσεν εἰς Αἴγιναν· εἶτα ξυλλαβὼν
νύκτωρ κατέκλινεν αὐτὸν εἰς Ἀσκληπιοῦ·
ὁ δ' ἀνεφάνη κνεφαῖος ἐπὶ τῇ κιγκλίδι.
ἐντεῦθεν οὐκέτ' αὐτὸν ἐξεφρίομεν.
ὁ δ' ἐξεδίδρασκε διά τε τῶν ὑδρορροῶν
καὶ τῶν ὀπῶν· ἡμεῖς δ' ὅσ' ἦν τετρημένα
ἐνεβύσαμεν ῥακίοισι κἀπακτώσαμεν·
ὁ δ' ὡσπερεὶ κολοιὸς αὑτῷ παττάλους
ἐνέκρουεν εἰς τὸν τοῖχον, εἶτ' ἐξήλλετο.
ἡμεῖς δὲ τὴν αὐλὴν ἅπασαν δικτύοις
καταπετάσαντες ἐν κύκλῳ φυλάττομεν.
ἔστιν δ' ὄνομα τῷ μὲν γέροντι Φιλοκλέων,
ναὶ μὰ Δία, τῷ δ' υἱεῖ γε τῳδὶ Βδελυκλέων,
ἔχων τρόπους φρυαγμοσεμνάκους τινάς.

ΒΔΕΛΥΚΛΕΩΝ.

ὦ Ξανθία καὶ Σωσία, καθεύδετε;

ΞΑΝΘΙΑΣ.

οἴμοι.

ΣΩΣΙΑΣ.

τί ἔστι;

ΞΑΝΘΙΑΣ.

Βδελυκλέων ἀνίσταται.

ΒΔΕΛΥΚΛΕΩΝ.

οὐ περιδραμεῖται σφῷν ταχέως δεῦρ' ἅτερος;
ὁ γὰρ πατὴρ εἰς τὸν ἰπνὸν εἰσελήλυθεν
καὶ μυσπολεῖ τι καταδεδυκώς. ἀλλ' ἄθρει,
κατὰ τῆς πυέλου τὸ τρῆμ' ὅπως μὴ 'κδύσεται·
σὺ δὲ τῇ θύρᾳ πρόσκεισο.

ΣΩΣΙΑΣ.

ταῦτ', ὦ δέσποτα.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἄναξ Πόσειδον, τί ποτ' ἄρ' ἡ κάπνη ψοφεῖ;
οὗτος, τίς εἶ σύ;

ΦΙΛΟΚΛΕΩΝ.

καπνὸς ἔγωγ' ἐξέρχομαι.

ΒΔΕΛΥΚΛΕΩΝ.

καπνός; φέρ' ἴδω ξύλου τίνος σύ.

ΦΙΛΟΚΛΕΩΝ.

συκίνου.

ΒΔΕΛΥΚΛΕΩΝ.

νὴ τὸν Δί' ὅσπερ γ' ἐστὶ δριμύτατος καπνῶν.
ἀτὰρ οὐκ * ἐρρήσεις γε, ποῦ 'σθ' ἡ τηλία;
δύου πάλιν· φέρ' ἐπαναθῶ σοι καὶ ξύλον.
ἐνταῦθά νυν ζήτει τιν' ἄλλην μηχανήν.
ἀτὰρ ἄθλιός γ' εἴμ' ὡς ἕτερος οὐδεὶς ἀνήρ,
ὅστις πατρὸς νῦν Καπνίου κεκλήσομαι.

ΣΩΣΙΑΣ.

* * τὴν θύραν ὤθει· πίεζέ νυν σφόδρα
εὖ κἀνδρικῶς· κἀγὼ γὰρ ἐνταῦθ' ἔρχομαι.
καὶ τῆς κατακλεῖδος ἐπιμελοῦ καὶ τοῦ μοχλοῦ
φύλατθ' ὅπως μὴ τὴν βάλανον ἐκτρώξεται.

ΦΙΛΟΚΛΕΩΝ.

τί δράσετ'; οὐκ ἐκφρήσετ', ὦ μιαρώτατοι,
δικάσοντά μ', ἀλλ' ἐκφεύξεται Δρακοντίδης;

ΒΔΕΛΥΚΛΕΩΝ.

σὺ δὲ τοῦτο βαρέως ἂν φέροις;

ΦΙΛΟΚΛΕΩΝ.

ὁ γὰρ θεὸς
μαντευομένῳ μοὔχρησεν ἐν Δελφοῖς ποτέ,
ὅταν τις ἐκφύγῃ μ', ἀποσκλῆναι τότε.

ΒΔΕΛΥΚΛΕΩΝ.

Ἄπολλον ἀποτρόπαιε, τοῦ μαντεύματος.

ΦΙΛΟΚΛΕΩΝ.

ἴθ', ἀντιβολῶ σ', ἔκφρες με, μὴ διαρραγῶ.

ΒΔΕΛΥΚΛΕΩΝ.

μὰ τὸν Ποσειδῶ, Φιλοκλέων, οὐδέποτέ γε.

ΦΙΛΟΚΛΕΩΝ.

διατρώξομαι τοίνυν ὀδὰξ τὸ δίκτυον.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἀλλ' οὐκ ἔχεις ὀδόντας.

ΦΙΛΟΚΛΕΩΝ.

οἴμοι δείλαιος·
πῶς ἄν σ' ἀποκτείναιμι; πῶς; δότε μοι ξίφος
ὅπως τάχιστ', ἢ πινάκιον τιμητικόν.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἄνθρωπος οὗτος μέγα τι δρασείει κακόν.

ΦΙΛΟΚΛΕΩΝ.

μὰ τὸν Δί' οὐ δῆτ', ἀλλ' ἀποδόσθαι βούλομαι
τὸν ὄνον ἄγων αὐτοῖσι τοῖς κανθηλίοις·
νουμηνία γάρ ἐστιν.

ΒΔΕΛΥΚΛΕΩΝ.

οὔκουν κἂν ἐγὼ
αὐτὸν ἀποδοίμην δῆτ' ἄν;

ΦΙΛΟΚΛΕΩΝ.

οὐχ ὥσπερ γ' ἐγώ.

ΒΔΕΛΥΚΛΕΩΝ.

μὰ Δί', ἀλλ' ἄμεινον. ἀλλὰ τὸν ὄνον ἔξαγε.

ΞΑΝΘΙΑΣ.

οἵαν πρόφασιν καθῆκεν, ὡς εἰρωνικῶς,
ἵν' αὐτὸν ἐκπέμψειας.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἀλλ' οὐκ ἔσπασεν
ταύτῃ γ'· ἐγὼ γὰρ ᾐσθόμην τεχνωμένου.
ἀλλ' εἰσιών μοι τὸν ὄνον ἐξάγειν δοκῶ,
ὅπως ἂν ὁ γέρων μηδὲ παρακύψῃ πάλιν.
κάνθων, τί κλάεις; ὅτι πεπράσει τήμερον;
βάδιζε θᾶττον. τί στένεις, εἰ μὴ φέρεις
Ὀδυσσέα τιν';

ΞΑΝΘΙΑΣ.

ἀλλὰ ναὶ μὰ Δία φέρει
κάτω γε τουτονί τιν' ὑποδεδυκότα.

ΒΔΕΛΥΚΛΕΩΝ.

ποῖον; φέρ' ἴδωμαι.

ΞΑΝΘΙΑΣ.

τουτονί.

ΒΔΕΛΥΚΛΕΩΝ.

τουτὶ τί ἦν;
τίς εἶ ποτ', ὤνθρωπ', ἐτεόν;

ΦΙΛΟΚΛΕΩΝ.

Οὖτις νὴ Δία.

ΒΔΕΛΥΚΛΕΩΝ.

Οὖτις σύ; ποδαπός;

ΦΙΛΟΚΛΕΩΝ.

Ἴθακος Ἀποδρασιππίδου.

ΒΔΕΚΥΚΛΕΩΝ.

Οὖτις μὰ τὸν Δί' οὔ τι χαιρήσων γε σύ.
ὕφελκε θᾶττον αὐτόν. ὦ μιαρώτατος,
ἵν' ὑποδέδυκεν· ὥστ' ἔμοιγ' ἰνδάλλεται
ὁμοιότατος κλητῆρος εἶναι πωλίῳ.

ΦΙΛΟΚΛΕΩΝ.

εἰ μή μ' ἐάσεθ' ἥσυχον, μαχούμεθα.

ΒΔΕΛΥΚΛΕΩΝ.

περὶ τοῦ μαχεῖ νῷν δῆτα;

ΦΙΛΟΚΛΕΩΝ.

περὶ ὄνου σκιᾶς.

ΒΔΕΛΥΚΛΕΩΝ.

πονηρὸς εἶ πόρρω τέχνης καὶ παράβολος.

ΦΙΛΟΚΛΕΩΝ.

ἐγὼ πονηρός; οὐ μὰ Δί', ἀλλ' οὐκ οἶσθα σὺ
νῦν μ' ὄντ' ἄριστον· ἀλλ' ἴσως, ὅταν φάγῃς
ὑπογάστριον γέροντος ἡλιαστικοῦ.

ΒΔΕΛΥΚΛΕΩΝ.

ὤθει τὸν ὄνον καὶ σαυτὸν ἐς τὴν οἰκίαν.

ΦΙΛΟΚΛΕΩΝ.

ὦ ξυνδικασταὶ καὶ Κλέων, ἀμύνατε.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἔνδον κέκραχθι τῆς θύρας κεκλεισμένης.
ὤθει σὺ πολλοὺς τῶν λίθων πρὸς τὴν θύραν,
καὶ τὴν βάλανον ἔμβαλλε πάλιν ἐς τὸν μοχλόν,
καὶ τῇ δοκῷ προσθεὶς τὸν ὅλμον τὸν μέγαν
ἀνύσας τι προσκύλιέ γ'.

ΣΩΣΙΑΣ.

οἴμοι δείλαιος·
πόθεν ποτ' ἐμπέπτωκέ μοι τὸ βώλιον;

ΞΑΝΘΙΑΣ.

ἴσως ἄνωθεν μῦς ἐνέβαλέ σοί ποθεν.

ΣΩΣΙΑΣ.

μῦς; οὐ μὰ Δί', ἀλλ' ὑποδυόμενός τις οὑτοσὶ
ὑπὸ τῶν κεραμίδων ἡλιαστὴς ὀροφίας.

ΞΑΝΘΙΑΣ.

οἴμοι κακοδαίμων, στρουθὸς ἀνὴρ γίγνεται·
ἐκπτήσεται. ποῦ ποῦ 'στι μοι τὸ δίκτυον;
σοῦ σοῦ, πάλιν σοῦ.

ΒΔΕΛΥΚΛΕΩΝ.

νὴ Δί' ἦ μοι κρεῖττον ἦν
τηρεῖν Σκιώνην ἀντὶ τούτου τοῦ πατρός.

ΣΩΣΙΑΣ.

ἄγε νυν, ἐπειδὴ τουτονὶ σεσοβήκαμεν,
κοὐκ ἔσθ' ὅπως διαδὺς ἂν ἡμᾶς ἔτι λάθοι,
τί οὐκ ἀπεκοιμήθημεν ὅσον ὅσον στίλην;

ΒΔΕΛΥΚΛΕΩΝ.

ἀλλ', ὦ πονήρ', ἥξουσιν ὀλίγον ὕστερον
οἱ ξυνδικασταὶ παρακαλοῦντες τουτονὶ
τὸν πατέρα.

ΣΩΣΙΑΣ.

τί λέγεις; ἀλλὰ νῦν ὄρθρος βαθύς.

ΒΔΕΛΥΚΛΕΩΝ.

νὴ τὸν Δί', ὀψέ γἄρ' ἀνεστήκασι νῦν.
ὡς ἀπὸ μέσων νυκτῶν γε παρακαλοῦσ' ἀεί,
λύχνους ἔχοντες καὶ μινυρίζοντες μέλη
ἀρχαιομελησιδωνοφρυνιχήρατα,
οἷς ἐκκαλοῦνται τοῦτον.

ΣΩΣΙΑΣ.

οὐκοῦν, ἦν δέῃ,
ἤδη ποτ' αὐτοὺς τοῖς λίθοις βαλλήσομεν.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἀλλ', ὦ πονηρὲ, τὸ γένος ἤν τις ὀργίσῃ
τὸ τῶν γερόντων, ἔσθ' ὅμοιον σφηκιᾷ.
ἔχουσι γὰρ καὶ κέντρον ἐκ τῆς ὀσφύος
ὀξύτατον, ᾧ κεντοῦσι, καὶ κεκραγότες
πηδῶσι καὶ βάλλουσιν ὥσπερ φέψαλοι.

ΣΩΣΙΑΣ.

μὴ φροντίσῃς· ἐὰν ἐγὼ λίθους ἔχω,
πολλῶν δικαστῶν σφηκιὰν διασκεδῶ.

ΧΟΡΟΣ.

χώρει, πρόβαιν' ἐρρωμένως. ὦ Κωμία, βραδύνεις;
μὰ τὸν Δί', οὐ μέντοι πρὸ τοῦ γ', ἀλλ' ἦσθ' ἱμὰς κύνειος·
νυνὶ δὲ κρείττων ἐστὶ σοῦ Χαρινάδης βαδίζειν.
ὦ Στρυμόδωρε Κονθυλεῦ, βέλτιστε συνδικαστῶν,
Εὐεργίδης ἆρ' ἐστί που 'νταῦθ', ἢ Χάβης ὁ Φλυεύς;
πάρεσθ', ὃ δὴ λοιπόν γ' ἔτ' ἐστὶν, ἀππαπαῖ παπαιάξ,
ἥβης ἐκείνης, ἡνίκ' ἐν Βυζαντίῳ ξυνῆμεν
φρουροῦντ' ἐγώ τε καὶ σύ· κᾆτα περιπατοῦντε νύκτωρ
τῆς ἀρτοπώλιδος λαθόντ' ἐκλέψαμεν τὸν ὅλμον,
κᾆθ' ἥψομεν τοῦ κορκόρου, κατασχίσαντες αὐτόν.
ἀλλ' ἐγκονῶμεν, ὦνδρες, ὡς ἔσται Λάχητι νυνί·
σίμβλον δέ φασι χρημάτων ἔχειν ἅπαντες αὐτόν.
χθὲς οὖν Κλέων ὁ κηδεμὼν ἡμῖν ἐφεῖτ' ἐν ὥρᾳ
ἥκειν ἔχοντας ἡμερῶν ὀργὴν τριῶν πονηρὰν
ἐπ' αὐτὸν, ὡς κολωμένους ὧν ἠδίκησεν. ἀλλὰ
σπεύδωμεν, ὦνδρες ἥλικες, πρὶν ἡμέραν γενέσθαι.
χωρῶμεν, ἅμα τε τῷ λύχνῳ πάντῃ διασκοπῶμεν,
μή που λαθών τις ἐμποδὼν ἡμᾶς κακόν τι δράσῃ.

ΠΑΙΣ.

τὸν πηλὸν, ὦ πάτερ πάτερ, τουτονὶ φύλαξαι.

ΧΟΡΟΣ.

κάρφος χαμᾶθέν νυν λαβὼν τὸν λύχνον πρόβυσον.

ΠΑΙΣ.

οὐκ, ἀλλὰ τῳδί μοι δοκῶ τὸν λύχνον προβύσειν.

ΧΟΡΟΣ.

τί δὴ μαθὼν τῷ δακτύλῳ τὴν θρυαλλίδ' ὠθεῖς,
καὶ ταῦτα τοὐλαίου σπανίζοντος, ὦνόητε;
οὐ γὰρ δάκνει σ', ὅταν δέῃ τίμιον πρίασθαι.

ΠΑΙΣ.

εἰ νὴ Δί' αὖθις κονδύλοις νουθετήσεθ' ἡμᾶς,
ἀποσβέσαντες τοὺς λύχνους ἄπιμεν οἴκαδ' αὐτοί·
κἄπειτ' ἴσως ἐν τῷ σκότῳ τουτονὶ στερηθεὶς
τὸν πηλὸν ὥσπερ ἀτταγᾶς τυρβάσεις βαδίζων.

ΧΟΡΟΣ.

ἦ μὴν ἐγὼ σου χατέρους μείζονας κολάζω.
ἀλλ' οὑτοσί μοι βόρβορος φαίνεται πατοῦντι·
κοὐκ ἔσθ' ὅπως οὐχ ἡμερῶν τεττάρων τὸ πλεῖστον
ὕδωρ ἀναγκαίως ἔχει τὸν θεὸν ποιῆσαι.
ἔπεισι γοῦν τοῖσιν λύχνοις οὑτοιὶ μύκητες·
φιλεῖ δ', ὅταν τοῦτ' ᾖ, ποιεῖν ὑετὸν μάλιστα.
δεῖται δὲ καὶ τῶν καρπίμων ἅττα μὴ 'στι πρῷα
ὕδωρ γενέσθαι κἀπιπνεῦσαι βόρειον αὐτοῖς.
τί χρῆμ' ἆρ' οὐκ τῆς οἰκίας τῆσδε συνδικαστὴς
πέπονθεν, ὡς οὐ φαίνεται δεῦρο πρὸς τὸ πλῆθος;
οὐ μὴν πρὸ τοῦ γ' ἐφολκὸς ἦν, ἀλλὰ πρῶτος ἡμῶ
ἡγεῖτ' ἂν ᾄδων Φρυνίχου· καὶ γάρ ἐστιν ἀνὴ
φιλῳδός. ἀλλά μοι δοκεῖ στάντας ἐνθάδ', ὦνδρε
ᾄδοντας αὐτὸν ἐκκαλεῖν, ἤν τί πως ἀκούσας
τοὐμοῦ μέλους ὑφ' ἡδονῆς ἑρπύσῃ θύραζε.
τί ποτ' οὐ πρὸ θυρῶν φαίνετ' ἆρ' ἡμῖν ὁ γ
ρων οὐδ' ὑπακούει;
μῶν ἀπολώλεκε τὰς
ἐμβάδας, ἢ προσέκοψ' ἐν
τῷ σκότῳ τὸν δάκτυλόν που,
εἶτ' ἐφλέγμηνεν αὐτοῦ
τὸ σφυρὸν γέροντος ὄντος;
καὶ τάχ' ἂν βουβωνιῴη.
ἦ μὴν πολὺ δριμύτατός γ' ἦν τῶν παρ' ἡμῖ
καὶ μόνος οὐκ ἂν ἐπείθετ',
ἀλλ' ὁπότ' ἀντιβολοίη
τις, κάτω κύπτων ἂν οὕτω,
λίθον ἕψεις, ἔλεγεν.
τάχα δ' ἂν διὰ τὸν χθιζινὸν ἄνθρωπον,
ἡμᾶς διεδύετ'
ἐξαπατῶν καὶ λέγων
ὡς φιλαθήναιος ἦν καὶ
τἀν Σάμῳ πρῶτος κατείποι,
διὰ τοῦτ' ὀδυνηθεὶς
εἶτ' ἴσως κεῖται πυρέττων.
ἔστι γὰρ τοιοῦτος ἀνήρ.
ἀλλ', ὠγαθ', ἀνίστασο μηδ' οὕτως σεαυτὸν
ἔσθιε, μηδ' ἀγανάκτει.
καὶ γὰρ ἀνὴρ παχὺς ἥκει
τῶν προδόντων τἀπὶ Θρᾴκης·
ὃν ὅπως ἐγχυτριεῖς.
ὕπαγ', ὦ παῖ, ὕπαγε.

ΠΑΙΣ.

ἐθελήσεις τί μοι οὖν, ὦ
πάτερ, ἤν σού τι δεηθῶ;

ΧΟΡΟΣ.

πάνυ γ', ὦ παιδίον. ἀλλ' εἰ-
πὲ τί βούλει με πρίασθαι
καλόν; οἶμαι δέ σ' ἐρεῖν ἀ-
στραγάλους δήπουθεν, ὦ παῖ.

ΠΑΙΣ.

μὰ Δί', ἀλλ' ἰσχάδας, ὦ παπ-
πία· ἥδιον γάρ.

ΧΟΡΟΣ.

οὐκ ἂν
μὰ Δί', εἰ κρέμαισθέ γ' ὑμεῖς.

ΠΑΙΣ.

μὰ Δί' οὔ τἄρα προπέμψω σε τὸ λοιπόν.

ΧΟΡΟΣ.

ἀπὸ γὰρ τοῦδέ με τοῦ μισθαρίου
τρίτον αὐτὸν ἔχειν ἄλ-
φιτα δεῖ καὶ ξύλα κὤψον·
σὺ δὲ σῦκά μ' αἰτεῖς.

ΠΑΙΣ.

ἄγε νυν, ὦ πάτερ, ἢν μὴ
τὸ δικαστήριον ἄρχων
καθίσῃ νῦν, πόθεν ὠνη-
σόμεθ' ἄριστον; ἔχεις ἐλ-

273—280. == 281—289.
291—303. == 304—316.

πίδα χρηστήν τινα νῷν ἢ
πόρον Ἑλλὰς ἱρὸν εἰπεῖν;

ΧΟΡΟΣ.

ἀπαπαῖ, φεῦ, ἀπαπαῖ, φεῦ,
μὰ Δί' οὐκ ἔγωγε νῷν οἶδ'
ὁπόθεν γε δεῖπνον ἔσται.

ΠΑΙΣ.

τί με δῆτ', ὦ μελέα μῆτερ, ἔτικτες,
ἵν' ἐμοὶ πράγματα βόσκειν παρέχῃς;

ΧΟΡΟΣ.

ἀνόνητον ἄρ' ὦ θυ-
λάκιόν σ' εἶχον ἄγαλμα.

ΠΑΙΣ.

ἒ ἔ.
πάρα νῷν στενάζειν.

ΦΙΛΟΚΛΕΩΝ.

φίλοι, τήκομαι μὲν
πάλαι διὰ τῆς ὀπῆς
ὑμῶν ὑπακούων.
ἀλλ' οὐ γὰρ οἷός τ' ἔτ' εἴμ'
ᾄδειν. τί ποιήσω;
τηροῦμαι δ' ὑπὸ τῶνδ', ἐπεὶ
βούλομαί γε πάλαι μεθ' ὑ-
μῶν ἐλθὼν ἐπὶ τοὺς καδί-
σκους κακόν τι ποιῆσαι.
ἀλλ', ὦ Ζεῦ Ζεῦ, μέγα βροντήσας
ἤ με ποίησον καπνὸν ἐξαίφνης,
ἢ Προξενίδην, ἢ τὸν Σέλλου
τοῦτον τὸν ψευδαμάμαξυν.
τόλμησον, ἄναξ, χαρίσασθαί μοι,
πάθος οἰκτείρας·
ἤ με κεραυνῷ διατινθαλέῳ
σπόδισον ταχέως·
κἄπειτ' ἀνελών μ' ἀποφυσήσας
εἰς ὀξάλμην ἔμβαλε θερμήν·
ἢ δῆτα λίθον με ποίησον ἐφ' οὗ
τὰς χοιρίνας ἀριθμοῦσιν.

ΧΟΡΟΣ.

τίς γάρ ἐσθ' ὁ ταῦτά σ' εἴργων
κἀποκλείων τὰς θύρας; λέ-
ξον· πρὸς εὔνους γὰρ φράσεις.

ΦΙΛΟΚΛΕΩΝ.

οὑμὸς υἱός. ἀλλὰ μὴ βοᾶτε· καὶ γὰρ τυγχάνει
οὑτοσὶ πρόσθεν καθεύδων. ἀλλ' ὕφεσθε τοῦ τόνου.

ΧΟΡΟΣ.

τοῦ δ' ἔφεξιν, ὦ μάταιε, ταῦτα δρᾶν σε βούλεται;
τίνα πρόφασιν ἔχων;

ΦΙΚΟΚΛΕΩΝ.

οὐκ ἐᾷ μ', ὦνδρες, δικάζειν οὐδὲ δρᾶν οὐδὲν κακόν,
ἀλλά μ' εὐωχεῖν ἕτοιμός ἐσθ'· ἐγὼ δ' οὐ βούλομαι.

ΧΟΡΟΣ.

τοῦτ' ἐτόλμησ' ὁ μιαρὸς χα-
νεῖν ὁ Δημολογοκλέων ὅδ',
ὅτι λέγεις τι περὶ τῶν νε-
ῶν ἀληθές. οὐ γὰρ ἄν ποθ'

333—345. ≐ 365—378.

οὗτος ἀνὴρ τοῦτ' ἐτόλμη-
σεν λέγειν, εἰ
μὴ ξυνωμότης τις ἦν.
ἀλλ' ἐκ τούτων ὥρα τινά σοι ζητεῖν καινὴν ἐπίνοιαν,
ἥτις σε λάθρα τἀνδρὸς τουδὶ καταβῆναι δεῦρο ποιήσει.

ΦΙΛΟΚΛΕΩΝ.

τίς ἂν οὖν εἴη; ζητεῖθ' ὑμεῖς, ὡς πᾶν ἂν ἔγωγε ποιοίην·
οὕτω κιττῶ διὰ τῶν σανίδων μετὰ χοιρίνης περιελθεῖν.

ΧΟΡΟΣ.

ἔστιν ὀπὴ δῆθ' ἥντιν' ἂν ἔνδοθεν οἷός τ' εἴης διορύξαι,
εἶτ' ἐκδῦναι ῥάκεσιν κρυφθεὶς, ὥσπερ πολύμητις Ὀδυσσεύς;

ΦΙΛΟΚΛΕΩΝ.

πάντα πέφρακται κοὐκ ἔστιν ὀπῆς οὐδ' εἰ σέρφῳ διαδῦναι.
ἀλλ' ἄλλο τι δεῖ ζητεῖν ὑμᾶς· ὀπίαν δ' οὐκ ἔστι γενέσθαι.

ΧΟΡΟΣ.

μέμνησαι δῆθ', ὅτ' ἐπὶ στρατιᾶς κλέψας ποτὲ τοὺς ὀβελίσκους
ἵεις σαυτὸν κατὰ τοῦ τείχους ταχέως, ὅτε Νάξος ἑάλω;

ΦΙΛΟΚΛΕΩΝ.

οἶδ'· ἀλλὰ τί τοῦτ'; οὐδὲν γὰρ τοῦτ' ἐστὶν ἐκείνῳ προσόμοιον.
ἥβων γὰρ κἀδυνάμην κλέπτειν, ἴσχυόν τ' αὐτὸς ἐμαυτοῦ,
κοὐδείς μ' ἐφύλαττ', ἀλλ' ἐξῆν μοι φεύγειν ἀδεῶς. νῦν δὲ ξὺν ὅπλοις
ἄνδρες ὁπλῖται διαταξάμενοι
κατὰ τὰς διόδους σκοπιωροῦνται,
τὼ δὲ δύ' αὐτῶν ἐπὶ ταῖσι θύραις
ὥσπερ με γαλῆν κρέα κλέψασαν
τηροῦσιν ἔχοντ' ὀβελίσκους.

ΧΟΡΟΣ.

ἀλλὰ καὶ νῦν ἐκπόριζε
μηχανὴν ὅπως τάχισθ'· ἕ-
ως γάρ, ὦ μελίττιον.

ΦΙΛΟΚΛΕΩΝ.

διατραγεῖν τοίνυν κράτιστον ἐστί μοι τὸ δίκτυον.
ἡ δέ μοι Δίκτυννα συγγνώμην ἔχοι τοῦ δικτύου.

ΧΟΡΟΣ.

ταῦτα μὲν πρὸς ἀνδρός ἐστ' ἄνοντος ἐς σωτηρίαν.
ἀλλ' ἔπαγε τὴν γνάθον.

ΦΙΛΟΚΛΕΩΝ.

διατέτρωκται τοῦτό γ'. ἀλλὰ μὴ βοᾶτε μηδαμῶς.
ἀλλὰ τηρώμεσθ', ὅπως μὴ Βδελυκλέων αἰσθήσεται.

ΧΟΡΟΣ.

μηδέν, ὦ τᾶν, δέδιθι, μηδέν·
ὡς ἐγὼ τοῦτόν γ', ἐὰν γρύ-
ξῃ τι, ποιήσω δακεῖν τὴν
καρδίαν καὶ τὸν περὶ ψυ-
χῆς δρόμον δραμεῖν, ἵν' εἰδῇ

μὴ πατεῖν τὰ
τῶν θεῶν ψηφίσματα.
ἀλλ' ἐξάψας διὰ τῆς θυρίδος τὸ καλώδιον εἶτα καθίμα
δήσας σαυτὸν καὶ τὴν ψυχὴν ἐμπλησάμενος Διοπείθους.

ΦΙΛΟΚΛΕΩΝ.

ἄγε νυν, ἢν αἰσθομένω τούτω ζητῆτόν μ' ἐσκαλαμᾶσθαι
κἀνάσπαστον ποιεῖν εἴσω, τί ποιήσετε; φράζετε νυνί.

ΧΟΡΟΣ.

ἀμυνοῦμέν σοι τὸν πρινώδη θυμὸν ἅπαντες καλέσαντες,
ὥστ' οὐ δυνατόν σ' εἴργειν ἔσται· τὰ τοιαῦτα ποιήσομεν ἡμεῖς.

ΦΙΛΟΚΛΕΩΝ.

δράσω τοίνυν ὑμῖν πίσυνος· καὶ μανθάνετ'· ἤν τι πάθω 'γώ,
ἀνελόντες καὶ κατακλαύσαντες θεῖναί μ' ὑπὸ τοῖσι δρυφάκτοις.

ΧΟΡΟΣ.

οὐδὲν πείσει· μηδὲν δείσῃς. ἀλλ', ὦ βέλτιστε, καθίει
σαυτὸν θαρρῶν κἀπευξάμενος τοῖσι πατρῴοισι θεοῖσιν.

ΦΙΛΟΚΛΕΩΝ.

ὦ Λύκε δέσποτα, γείτων ἥρως· σὺ γὰρ οἷσπερ ἐγὼ κεχάρησαι,
τοῖς δακρύοισιν τῶν φευγόντων ἀεὶ καὶ τοῖς ὀλοφυρμοῖς·
ᾤκησας γοῦν ἐπίτηδες ἰὼν ἐνταῦθ', ἵνα ταῦτ' ἀκροῷο,
κἀβουλήθης μόνος ἡρώων παρὰ τὸν κλάοντα καθῆσθαι.
ἐλέησον καὶ σῶσον νυνὶ τὸν σαυτοῦ πλησιόχωρον·
κοὐ μή ποτέ σου παρὰ τὰς κάννας οὐρήσω μηδ' ἀποπάρδω.

ΒΔΕΛΥΚΛΕΩΝ.

οὗτος, ἐγείρου.

ΣΩΣΙΑΣ.

τί τὸ πρᾶγμ';

ΒΔΕΛΥΚΛΕΩΝ.

ὥσπερ φωνή μέ τις ἐγκεκύκλωται.

ΣΩΣΙΑΣ.

μῶν ὁ γέρων πη διαδύεται αὖ;

ΒΔΕΛΥΚΛΕΩΝ.

μὰ Δί' οὐ δῆτ', ἀλλὰ καθιμᾷ
αὑτὸν δήσας.

ΣΩΣΙΑΣ.

ὦ μιαρώτατε, τί ποιεῖς; οὐ μὴ καταβήσει;

ΒΔΕΛΥΚΛΕΩΝ.

ἀνάβαιν' ἀνύσας κατὰ τὴν ἑτέραν καὶ ταῖσιν φυλλάσι παῖε,
ἤν πως πρύμνην ἀνακρούσηται πληγεὶς ταῖς εἰρεσιώναις.

ΦΙΛΟΚΛΕΩΝ.

οὐ ξυλλήψεσθ' ὁπόσοισι δίκαι τῆτες μέλλουσιν ἔσεσθαι,
ὦ Σμικυθίων καὶ Τισιάδη καὶ Χρήμων κ… Φερέδειπνε;
πότε δ', εἰ μὴ νῦν, ἐπαρήξετέ μοι, πρὶν … εἴσω μᾶλλον ἄγεσθαι;

ΧΟΡΟΣ.

εἰπέ μοι, τί μέλλομεν κινεῖν ἐκείνην τὴν χολ…
ἥνπερ, ἡνίκ' ἄν τις ἡμῶν ὀργίσῃ τὴν σφηκιά…
νῦν ἐκεῖνο νῦν ἐκεῖνο
τοὐξύθυμον, ᾧ κολαζό-
μεσθα, κέντρον ἐντέτατ' ὀξύ.
ἀλλὰ θαἰμάτια βαλόντες ὡς τάχιστα, παιδία,
θεῖτε καὶ βοᾶτε, καὶ Κλέωνι ταῦτ' ἀγγέλλετ…
καὶ κελεύετ' αὐτὸν ἥκειν
ὡς ἐπ' ἄνδρα μισόπολιν
ὄντα κἀπολούμενον, ὅτι
τόνδε λόγον εἰσφέρει,
ὡς χρὴ μὴ δικάζειν δίκας.

ΒΔΕΛΥΚΛΕΩΝ.

ὠγαθοί, τὸ πρᾶγμ' ἀκούσατ', ἀλλὰ μὴ κεκράγ…

ΧΟΡΟΣ.

νὴ Δί' ἐς τὸν οὐρανόν γ'· ὡς τόνδ' ἐγὼ … μεθήσομαι.
ταῦτα δῆτ' οὐ δεινὰ καὶ τυραννίς ἐστιν ἐμφα…
ὦ πόλις καὶ Θεώρου θεοσεχθρία,
κεἴ τις ἄλλος προέστηκεν ὑμῶν κόλαξ.

ΞΑΝΘΙΑΣ.

Ἡράκλεις, καὶ κέντρ' ἔχουσιν. οὐχ ὁρᾷς, … δέσποτα;

ΒΔΕΛΥΚΛΕΩΝ.

οἷς γ' ἀπώλεσαν Φίλιππον ἐν δίκῃ τὸν Γοργ…

ΧΟΡΟΣ.

καὶ σέ γ' αὖθις ἐξολοῦμεν· ἀλλ' ἅπας ἐπίστ…
δεῦρο κἀξείρας τὸ κέντρον εἶτ' ἐπ' αὐτὸν …
ξυσταλείς, εὔτακτος, ὀργῆς καὶ μένους ἐμ… μενος,
ὡς ἂν εὖ εἰδῇ τὸ λοιπὸν σμῆνος οἷον ὤργισ…

ΞΑΝΘΙΑΣ.

τοῦτο μέντοι δεινὸν ἤδη νὴ Δί', εἰ μαχούμε…
ὡς ἔγωγ' αὐτῶν ὁρῶν δέδοικα τὰς ἐγκεντρ…

ΧΟΡΟΣ.

ἀλλ' ἀφίει τὸν ἄνδρ'· εἰ δὲ μή, φήμ' ἐγὼ …
τὰς χελώνας μακαριεῖν σε τοῦ δέρματος.

ΦΙΛΟΚΛΕΩΝ.

εἶά νυν, ὦ ξυνδικασταί, σφῆκες ὀξυκάρδιοι,
οἱ μὲν ἐς τὸν πρωκτὸν αὐτῶν εἰσπέτεσθ' … γισμένοι,
οἱ δὲ τὠφθαλμὼ κύκλῳ κεντεῖτε καὶ τοὺς … κτύλους.

ΒΔΕΛΥΚΛΕΩΝ.

ὦ Μίδα καὶ Φρὺξ βοήθει δεῦρο καὶ Μασυ…
καὶ λάβεσθε τουτουὶ καὶ μὴ μεθῆσθε μηδεν…
εἰ δὲ μή, 'ν πέδαις παχείαις οὐδὲν ἀριστή…
ὡς ἐγὼ πολλῶν ἀκούσας οἶδα θρίων τὸν ψό…

ΧΟΡΟΣ.

εἰ δὲ μὴ τοῦτον μεθήσεις, ἔν τί σοι παγή…

ΦΙΛΟΚΛΕΩΝ.

ὦ Κέκροψ ἥρως ἄναξ, τὰ πρὸς ποδῶν … κοντίδη,

403 — 429. == 461 — 487.

περιορᾷς οὕτω μ' ὑπ' ἀνδρῶν βαρβάρων χειρούμενον,
οὓς ἐγὼ 'δίδαξα κλάειν τέτταρ' ἐς τὴν χοίνικα;

ΧΟΡΟΣ.

εἶτα δῆτ' οὐ πόλλ' ἔνεστι δεινὰ τῷ γήρᾳ κακά;
δηλαδή· καὶ νῦν γε τούτω τὸν παλαιὸν δεσπότην
πρὸς βίαν χειροῦσιν, οὐδὲν τῶν πάλαι μεμνημένοι
διφθερῶν κἀξωμίδων, ἃς οὗτος αὐταῖς ἠμπόλα,
καὶ κυνᾶς, καὶ τοὺς πόδας χειμῶνος ὄντος ὠφέλει,
ὥστε μὴ ῥιγῶν ἑκάστοτ'· ἀλλὰ τούτοις γ' οὐκ ἔνι
οὐδ' ἐν ὀφθαλμοῖσιν αἰδὼς τῶν παλαιῶν ἐμβάδων.

ΦΙΛΟΚΛΕΩΝ.

οὐκ ἀφήσεις οὐδὲ νυνί μ', ὦ κάκιστον θηρίον;
οὐδ' ἀναμνησθεὶς ὅθ' εὑρὼν τοὺς βότρυς κλέπτοντά σε
προσαγαγὼν πρὸς τὴν ἐλάαν ἐξέδειρ' εὖ κἀνδρικῶς,
ὥστε σε ζηλωτὸν εἶναι, σὺ δ' ἀχάριστος ἦσθ' ἄρα.
ἀλλ' ἄνες με καὶ σὺ καὶ σύ, πρὶν τὸν υἱὸν ἐκδραμεῖν.

ΧΟΡΟΣ.

ἀλλὰ τούτων μὲν τάχ' ἡμῖν δώσετον καλὴν δίκην,
οὐκέτ' ἐς μακράν, ἵν' εἰδῆθ' οἷόν ἐστ' ἀνδρῶν τρόπος
ὀξυθύμων καὶ δικαίων καὶ βλεπόντων κάρδαμα.

ΒΔΕΛΥΚΛΕΩΝ.

παῖε παῖ', ὦ Ξανθία, τοὺς σφῆκας ἀπὸ τῆς οἰκίας.

ΞΑΝΘΙΑΣ.

ἀλλὰ δρῶ τοῦτ'· ἀλλὰ καὶ σὺ τῦφε πολλῷ τῷ καπνῷ.

ΣΩΣΙΑΣ.

οὐχὶ σοῦσθ', οὐκ ἐς κόρακας; οὐκ ἄπιτε; παῖε τῷ ξύλῳ.

ΞΑΝΘΙΑΣ.

καὶ σὺ προσθεὶς Αἰσχίνην ἔντυφε τὸν Σελλαρτίου.
ἆρ' ἐμέλλομέν ποθ' ὑμᾶς ἀποσοβήσειν τῷ χρόνῳ.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἀλλὰ μὰ Δί' οὐ ῥᾳδίως οὕτως ἂν αὐτοὺς διέφυγες,
εἴπερ ἔτυχον τῶν μελῶν τῶν Φιλοκλέους βεβρωκότες.

ΧΟΡΟΣ.

ἆρα δῆτ' οὐκ αὐτὰ δῆλα
τοῖς πένησιν, ἡ τυραννὶς
ὡς λάθρα γ' ἐλάνθαν' ὑπιοῦσά με;
εἰ σύ γ', ὦ πόνῳ πονηρὲ καὶ κομηταμυνία,
τῶν νόμων ἡμᾶς ἀπείργεις ὧν ἔθηκεν ἡ πόλις,
οὔτε τιν' ἔχων πρόφασιν
οὔτε λόγον εὐτράπελον,
αὐτὸς ἄρχων μόνος.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἔσθ' ὅπως ἄνευ μάχης καὶ τῆς κατόξείας βοῆς
ἐς λόγους ἔλθωμεν ἀλλήλοισι καὶ διαλλαγάς;

ΧΟΡΟΣ.

σοὶ λόγους, ὦ μισόδημε καὶ μοναρχίας ἐρῶν,
καὶ ξυνὼν Βρασίδᾳ, καὶ φορῶν κράσπεδα
στεμμάτων, τήν θ' ὑπήνην ἄκουρον τρέφων;

ΒΔΕΛΥΚΛΕΩΝ.

νὴ Δί' ἦ μοι κρεῖττον ἐκστῆναι τὸ παράπαν τοῦ πατρὸς
μᾶλλον ἢ κακοῖς τοσούτοις ναυμαχεῖν ὁσημέραι.

ΧΟΡΟΣ.

οὐδὲ μέν γ' οὐδ' ἐν σελίνῳ σοὐστὶν οὐδ' ἐν πηγάνῳ·
τοῦτο γὰρ παρεμβαλοῦμεν τῶν τριχοινίκων ἐπῶν.
ἀλλὰ νῦν μὲν οὐδὲν ἀλγεῖς, ἀλλ' ὅταν ξυνήγορος
ταὐτὰ ταῦτά σου καταντλῇ καὶ ξυνωμότας καλῇ.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἆρ' ἄν, ὦ πρὸς τῶν θεῶν, ὑμεῖς ἀπαλλαχθεῖτέ μου;
ἢ δέδοκταί μοι δέρεσθαι καὶ δέρειν δι' ἡμέρας.

ΧΟΡΟΣ.

οὐδέποτέ γ', οὐχ, ἕως ἄν τί μου λοιπὸν ᾖ,
ὅστις ἡμῶν ἐπὶ τυραννίδ' ὧδ' ἐστάλης.

ΒΔΕΛΥΚΛΕΩΝ.

ὡς ἅπανθ' ὑμῖν τυραννίς ἐστι καὶ ξυνωμόται,
ἤν τε μεῖζον ἤν τ' ἔλαττον πρᾶγμά τις κατηγορῇ,
ἧς ἐγὼ οὐκ ἤκουσα τοὔνομ' οὐδὲ πεντήκοντ' ἐτῶν·
νῦν δὲ πολλῷ τοῦ ταρίχους ἐστὶν ἀξιωτέρα·
ὥστε καὶ δὴ τοὔνομ' αὐτῆς ἐν ἀγορᾷ κυλίνδεται.
ἢν μὲν ὠνῆταί τις ὀρφώς, μεμβράδας δὲ μὴ θέλῃ,
εὐθέως εἴρηχ' ὁ πωλῶν πλησίον τὰς μεμβράδας·
οὗτος ὀψωνεῖν ἔοιχ' ἄνθρωπος ἐπὶ τυραννίδι.
ἢν δὲ γήτειον προσαιτῇ τις ἀφύαις ἥδυσμά τι,
ἡ λαχανόπωλις παραβλέψασά φησι θατέρῳ·
εἰπέ μοι, γήτειον αἰτεῖς, πότερον ἐπὶ τυραννίδι;
ἢ νομίζεις τὰς Ἀθήνας σοὶ φέρειν ἡδύσματα;

ΞΑΝΘΙΑΣ.

κἀμέ γ' ἡ πόρνη χθὲς εἰσελθόντα τῆς μεσημβρίας,
ὅτι κελητίσαι 'κέλευον, ὀξυθυμηθεῖσά μοι
ἤρετ' εἰ τὴν Ἱππίου καθίσταμαι τυραννίδα.

ΒΔΕΛΥΚΛΕΩΝ.

ταῦτα γὰρ τούτοις ἀκούειν ἡδέ', εἰ καὶ νῦν ἐγὼ
τὸν πατέρ' ὅτι βούλομαι τούτων ἀπαλλαχθέντα τῶν
ὀρθροφοιτοσυκοφαντοδικοταλαιπώρων τρόπων
ζῆν βίον γενναῖον ὥσπερ Μόρυχος, αἰτίαν ἔχω
ταῦτα δρᾶν ξυνωμότης ὢν καὶ φρονῶν τυραννικά.

ΦΙΛΟΚΛΕΩΝ.

νὴ Δί' ἐν δίκῃ γ'· ἐγὼ γὰρ οὐδ' ἂν ὀρνίθων γάλα
ἀντὶ τοῦ βίου λάβοιμ' ἂν οὗ με νῦν ἀποστερεῖς·
οὐδὲ χαίρω βατίσιν οὐδ' ἐγχέλεσιν, ἀλλ' ἥδιον ἂν
δικίδιον σμικρὸν φάγοιμ' ἂν ἐν λοπάδι πεπνιγμένον.

ΒΔΕΛΥΚΛΕΩΝ.

νὴ Δί' εἰθίσθης γὰρ ἥδεσθαι τοιούτοις πράγμασιν·
ἀλλ' ἐὰν σιγῶν ἀνάσχῃ καὶ μάθῃς ἁγὼ λέγω,
ἀναδιδάξειν οἴομαί σ' ὡς πάντα ταῦθ' ἁμαρτάνεις.

ΦΙΛΟΚΛΕΩΝ.

ἐξαμαρτάνω δικάζων;

ΒΔΕΛΥΚΛΕΩΝ.

καταγελώμενος μὲν οὖν

*οὐκ ἐπαΐεις ὑπ' ἀνδρῶν, οὓς σὺ μόνον οὐ προσκυνεῖς.*
*ἀλλὰ δουλεύων λέληθας.*

ΦΙΛΟΚΛΕΩΝ.

*παῦε δουλείαν λέγων,*
*ὅστις ἄρχω τῶν ἁπάντων.*

ΒΔΕΛΥΚΛΕΩΝ.

*οὐ σύ γ', ἀλλ' ὑπηρετεῖς*
*οἰόμενος ἄρχειν· ἐπεὶ δίδαξον ἡμᾶς, ὦ πάτερ,*
*ἥτις ἡ τιμή 'στί σοι καρπουμένῳ τὴν Ἑλλάδα.*

ΦΙΛΟΚΛΕΩΝ.

*πάνυ γε· καὶ τούτοισί γ' ἐπιτρέψαι θέλω.*

ΒΔΕΛΥΚΛΕΩΝ.

*καὶ μὴν ἐγώ.*
*ἄφετέ νυν ἅπαντες αὐτὸν, καὶ ξίφος γέ μοι δότε.*
*ἢν γὰρ ἡττηθῶ λέγων σου, περιπεσοῦμαι τῷ ξίφει.*
*εἰπέ μοι, τί δ' ἦν, τὸ δεῖνα, τῇ διαίτῃ μὴ 'μμένῃς;*

ΦΙΛΟΚΛΕΩΝ.

*μηδέποτε πίοιμ' ἀκράτου μισθὸν ἀγαθοῦ δαίμονος.*

ΧΟΡΟΣ.

*νῦν δὲ τὸν ἐκ θἡμετέρου*
*γυμνασίου λέγειν τι δεῖ*
*καινὸν, ὅπως φανήσει*

ΒΔΕΛΥΚΛΕΩΝ.

*ἐνεγκάτω μοι δεῦρο τὴν κίστην τις ὡς τάχιστα.*

ΦΙΛΟΚΛΕΩΝ.

*ἀτὰρ φανεῖ ποιός τις ὢν, ἢν ταῦτα παρακελεύῃ.*

ΧΟΡΟΣ.

*μὴ κατὰ τὸν νεανίαν*
*τόνδε λέγειν. ὁρᾷς γὰρ ὡς*
*σοὶ μέγας ἐστὶν ἀγὼν*
*καὶ περὶ τῶν ἁπάντων,*
*εἴπερ, ὃ μὴ γένοιθ', οὗτός σ' ἐθέλει κρατῆσαι.*

ΒΔΕΛΥΚΛΕΩΝ.

*καὶ μὴν ὅσ' ἂν λέξῃ γ' ἁπλῶς μνημόσυνα γράψομαι 'γώ.*

ΦΙΛΟΚΛΕΩΝ.

*τί γὰρ φάθ' ὑμεῖς, ἢν ὁδί με τῷ λόγῳ κρατήσῃ;*

ΧΟΡΟΣ.

*οὐκέτι πρεσβυτῶν ὄχλος*
*χρήσιμος ἔστ' οὐδ' ἀκαρῆ·*
*σκωπτόμενοι δ' ἐν ταῖς ὁδοῖς*
*θαλλοφόροι καλούμεθ', ἀντωμοσιῶν κελύφη.*
*ἀλλ' ὦ περὶ τῆς πάσης μέλλων βασιλείας ἀντιλογήσειν*
*τῆς ἡμετέρας, νυνὶ θαρρῶν πᾶσαν γλῶτταν βασάνιζε.*

ΦΙΛΟΚΛΕΩΝ.

*καὶ μὴν εὐθύς γ' ἀπὸ βαλβίδων περὶ τῆς ἀρχῆς ἀποδείξω*
*τῆς ἡμετέρας ὡς οὐδεμιᾶς ἥττων ἐστὶν βασιλείας.*
*τί γὰρ εὔδαιμον καὶ μακαριστὸν μᾶλλον νῦν ἐστι δικαστοῦ,*
*ἢ τρυφερώτερον, ἢ δεινότερον ζῷον, καὶ ταῦτα γέροντος;*

526—545. = 631—647.

*ὃν πρῶτα μὲν ἕρποντ' ἐξ εὐνῆς τηροῦσ' ἐπ[ὶ] τοῖσι δρυφάκτοις*
*ἄνδρες μεγάλοι καὶ τετραπήχεις· κἄπειτ' εὐθ[ὺς] προσιόντι*
*ἐμβάλλει μοι τὴν χεῖρ' ἁπαλὴν, τῶν δημοσίω[ν] κεκλοφυῖαν·*
*ἱκετεύουσίν θ' ὑποκύπτοντες, τὴν φωνὴν οἰκτρ[ο]χοοῦντες·*
*οἴκτειρόν μ', ὦ πάτερ, αἰτοῦμαί σ', εἰ καὐτ[ὸς] πώποθ' ὑφείλου*
*ἀρχὴν ἄρξας ἢ 'πὶ στρατιᾶς τοῖς ξυσσίτοις ἀγ[ο]ράζων·*
*ὃς ἔμ' οὐδ' ἂν ζῶντ' ᾔδειν, εἰ μὴ διὰ τὴν πρ[ο]τέραν ἀπόφυξιν.*

ΒΔΕΛΥΚΛΕΩΝ.

*τουτὶ περὶ τῶν ἀντιβολούντων ἔστω τὸ μνημ[ό]συνόν μοι.*

ΦΙΛΟΚΛΕΩΝ.

*εἶτ' εἰσελθὼν ἀντιβοληθεὶς καὶ τὴν ὀργὴν ἀ[πο]μορχθεὶς,*
*ἔνδον τούτων ὧν ἂν φάσκω πάντων οὐδὲν [πε]ποίηκα,*
*ἀλλ' ἀκροῶμαι πάσας φωνὰς ἱέντων εἰς ἀπόφ[υξιν].*
*φέρ' ἴδω, τί γὰρ οὐκ ἔστιν ἀκοῦσαι θώπε[υμ'] ἐνταῦθα δικαστῇ;*
*οἱ μέν γ' ἀποκλάονται πενίαν αὐτῶν καὶ πρ[οσ]τιθέασιν*
*κακὰ πρὸς τοῖς οὖσιν, ἕως ἀνιῶν ἂν ἰσώσῃ τ[οῖ]σιν ἐμοῖσιν·*
*οἱ δὲ λέγουσιν μύθους ἡμῖν, οἱ δ' Αἰσώπου [τι] γέλοιον·*
*οἱ δὲ σκώπτουσ', ἵν' ἐγὼ γελάσω καὶ τὸν θ[υ]μὸν καταθῶμαι.*
*κἂν μὴ τούτοις ἀναπειθώμεσθα, τὰ παιδά[ρι'] εὐθὺς ἀνέλκει,*
*τὰς θηλείας καὶ τοὺς υἱεῖς, τῆς χειρὸς, ἐγὼ [δ'] ἀκροῶμαι·*
*τὰ δὲ συγκύπτονθ' ἅμ βληχᾶται· κἄπειθ' ὁ π[α]τὴρ ὑπὲρ αὐτῶν*
*ὥσπερ θεὸν ἀντιβολεῖ με τρέμων τῆς εὐθ[ύνης] ἀπολῦσαι·*
*εἰ μὲν χαίρεις ἀρνὸς φωνῇ, παιδὸς φωνὴν ἐλ[εή]σαις·*
*εἰ δ' αὖ τοῖς χοιριδίοις χαίρω, θυγατρὸς φ[ωνῇ] με πιθέσθαι.*
*χἠμεῖς αὐτῷ τότε τῆς ὀργῆς ὀλίγον τὸν κόλλ[οπ'] ἀνεῖμεν.*
*ἆρ' οὐ μεγάλη τοῦτ' ἔστ' ἀρχὴ καὶ τοῦ πλούτ[ου] καταχήνη;*

ΒΔΕΛΥΚΛΕΩΝ.

*δεύτερον αὖ σου τουτὶ γράφομαι, τὴν τοῦ πλ[ού]του καταχήνην·*
*καὶ τἀγαθά μοι μέμνησ' ἄχεις φάσκων τῆς [Ἑλ]λάδος ἄρχειν.*

ΦΙΛΟΚΛΕΩΝ.

*παίδων τοίνυν δοκιμαζομένων αἰδοῖα πα[ρα]θεᾶσθαι.*
*κἂν Οἴαγρος εἰσέλθῃ φεύγων, οὐκ ἀποφε[ύγει] πρὶν ἂν ἡμῖν*
*ἐκ τῆς Νιόβης εἴπῃ ῥῆσιν τὴν καλλίστην ἀπολ[έξας].*

κἂν αὐλητής γε δίκην νικᾷ, ταύτης ἡμῖν ἐπίχειρα
ἐν φορβειᾷ τοῖσι δικασταῖς ἔξοδον ηὔλησ' ἀπιοῦσιν.
κἂν ἀποθνήσκων ὁ πατήρ τῳ δῷ καταλείπων παῖδ' ἐπίκληρον,
κλάειν ἡμεῖς μακρὰ τὴν κεφαλὴν εἰπόντες τῇ διαθήκῃ
καὶ τῇ κόγχῃ τῇ πάνυ σεμνῶς τοῖς σημείοισιν ἐπούσῃ,
ἔδομεν ταύτην ὅστις ἂν ἡμᾶς ἀντιβολήσας ἀναπείσῃ.
καὶ ταῦτ' ἀνυπεύθυνοι δρῶμεν· τῶν δ' ἄλλων οὐδεμί' ἀρχή.

ΒΔΕΛΥΚΛΕΩΝ.

τουτὶ γάρ τοι σεμνὸν τούτων ὧν εἴρηκας μακαρίζω·
τῆς δ' ἐπικλήρου τὴν διαθήκην ἀδικεῖς ἀνακογχυλιάζων.

ΦΙΛΟΚΛΕΩΝ.

ἔτι δ' ἡ βουλὴ χὠ δῆμος ὅταν κρῖναι μέγα πρᾶγμ' ἀπορήσῃ,
ἐψήφισται τοὺς ἀδικοῦντας τοῖσι δικασταῖς παραδοῦναι·
εἶτ' Εὔαθλος χὠ μέγας οὗτος κολακώνυμος ἀσπιδαποβλὴς
οὐχὶ προδώσειν ὑμᾶς φασιν, περὶ τοῦ πλήθους δὲ μαχεῖσθαι.
κἀν τῷ δήμῳ γνώμην οὐδεὶς πώποτ' ἐνίκησεν, ἐὰν μὴ
εἴπῃ τὰ δικαστήρι' ἀφεῖναι πρώτιστα μίαν δικάσαντας·
αὐτὸς δ' ὁ Κλέων ὁ κεκραξιδάμας μόνον ἡμᾶς οὐ περιτρώγει,
ἀλλὰ φυλάττει διὰ χειρὸς ἔχων καὶ τὰς μυίας ἀπαμύνει.
σὺ δὲ τὸν πατέρ' οὐδ' ὁτιοῦν τούτων τὸν σαυτοῦ πώποτ' ἔδρασας.
ἀλλὰ Θέωρος, καίτοὐστὶν ἀνὴρ Εὐφημίου οὐδὲν ἐλάττων,
τὸν σπόγγον ἔχων ἐκ τῆς λεκάνης τἀμβάδι' ἡμῶν περικωνεῖ.
σκέψαι δ' ἀπὸ τῶν ἀγαθῶν οἵων ἀποκλείεις καὶ κατερύκεις,
ἣν δουλείαν οὖσαν ἔφασκες χὑπηρεσίαν ἀποδείξειν.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἔμπλησο λέγων· πάντως γάρ τοι παύσει ποτὲ κἀναφανήσει
πρωκτὸς λουτροῦ περιγιγνόμενος τῆς ἀρχῆς τῆς περισέμνου.

ΦΙΛΟΚΛΕΩΝ.

ὃ δέ γ' ἥδιστον τούτων ἐστὶν πάντων, οὗ 'γὼ 'πιλελήσμην,
ὅταν οἴκαδ' ἴω τὸν μισθὸν ἔχων, κᾆτ' εἰσήκονθ' ἅμα πάντες
ἀσπάζωνται διὰ τἀργύριον, καὶ πρῶτα μὲν ἡ θυγάτηρ με
ἀπονίζῃ καὶ τὼ πόδ' ἀλείφῃ καὶ προσκύψασα φιλήσῃ,
καὶ παππάζουσ' ἅμα τῇ γλώττῃ τὸ τριώβολον ἐκκαλαμᾶται,
καὶ τὸ γύναιόν μ' ὑποθωπεῦσαν φυστὴν μᾶζαν προσενέγκῃ,
κἄπειτα καθεζομένη παρ' ἐμοὶ προσαναγκάζῃ, φάγε τουτὶ,
ἔντραγε τουτί· τοίτοισιν ἐγὼ γάνυμαι, καὶ μή με δεήσῃ
ἐς σὲ βλέψαι καὶ τὸν ταμίαν, ὁπότ' ἄριστον παραθήσει
καταρασάμενος καὶ τονθορύσας, ἄλλην μή μοι ταχὺ μάξῃ.
τάδε κέκτημαι πρόβλημα κακῶν, σκευὴν βελέων ἀλεωρήν.
κἂν οἶνόν μοι μὴ 'γχῇς σὺ πιεῖν, τὸν ὄνον τόνδ' ἐσκεκόμισμαι
οἴνου μεστὸν, κᾆτ' ἐγχέομαι κλίνας· οὗτος δὲ κεχηνὼς
βρωμησάμενος τοῦ σοῦ δίνου μέγα καὶ στράτιον κατέπαρδεν.
ἀρ' οὐ μεγάλην ἀρχὴν ἄρχω
καὶ τῆς τοῦ Διὸς οὐδὲν ἐλάττω,
ὅστις ἀκούω ταὔθ' ἅπερ ὁ Ζεύς;
ἢν γοῦν ἡμεῖς θορυβήσωμεν,
πᾶς τίς φησιν τῶν παριόντων,
οἷον βροντᾷ τὸ δικαστήριον,
ὦ Ζεῦ βασιλεῦ.
κἂν ἀστράψω, ποππύζουσιν,
κἀγκεχόδασίν μ' οἱ πλουτοῦντες
καὶ πάνυ σεμνοί.
καὶ σὺ δέδοικάς με μάλιστ' αὐτός·
νὴ τὴν Δήμητρα, δέδοικας. ἐγὼ δ'
ἀπολοίμην, εἴ σε δέδοικα.

ΧΟΡΟΣ.

οὐπώποθ' οὕτω καθαρῶς
οὐδενὸς ἠκούσαμεν οὐ-
δὲ ξυνετῶς λέγοντος.

ΦΙΛΟΚΛΕΩΝ.

οὐκ, ἀλλ' ἐρήμας ᾤεθ' οὗτος ῥᾳδίως τρυγήσειν·
καλῶς γὰρ ᾔδειν ὡς ἐγὼ ταύτῃ κράτιστός εἰμι.

ΧΟΡΟΣ.

ὡς δ' ἐπὶ πάντ' ἐλήλυθεν
κοὐδὲν παρῆλθεν, ὥστ' ἔγωγ'
ηὐξανόμην ἀκούων,
κἀν μακάρων δικάζειν
αὐτὸς ἔδοξα νήσοις,
ἡδόμενος λέγοντι.

ΦΙΛΟΚΛΕΩΝ.

ὥσθ' οὗτος ἤδη σκορδινᾶται κἄστιν οὐκ ἐν αὑτοῦ.
ἦ μὴν ἐγώ σε τήμερον σκύτη βλέπειν ποιήσω.

ΧΟΡΟΣ.

δεῖ δέ σε παντοίας πλέκειν
εἰς ἀπόφυξιν παλάμας.
τὴν γὰρ ἐμὴν ὀργὴν πεπᾶ-
ναι χαλεπὸν * * * *
μὴ πρὸς ἐμοῦ λέγοντι.
πρὸς ταῦτα μύλην ἀγαθὴν ὥρα ζητεῖν σοι καὶ νεόκοπτον,
ἢν μή τι λέγῃς, ἥτις δυνατὴ τὸν ἐμὸν θυμὸν κατερεῖξαι.

ΒΔΕΛΥΚΛΕΩΝ.

χαλεπὸν μὲν καὶ δεινῆς γνώμης καὶ μείζονος ἢ 'πὶ τρυγῳδοῖς,
ἰάσασθαι νόσον ἀρχαίαν ἐν τῇ πόλει ἐντετοκυῖαν.
ἀτὰρ, ὦ πάτερ ἡμέτερε Κρονίδη

ΦΙΛΟΚΛΕΩΝ.

παῦσαι καὶ μὴ πατέριζε.
εἰ μὴ γὰρ ὅπως δουλεύω 'γὼ, τουτὶ ταχέως με διδάξεις,
οὐκ ἔστιν ὅπως οὐχὶ τεθνήξεις, κἂν χρῇ σπλάγχνων μ' ἀπέχεσθαι.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἀκρόασαί νυν, ὦ παππίδιον, χαλάσας ὀλίγον τὸ μέτωπον·
καὶ πρῶτον μὲν λόγισαι φαύλως, μὴ ψήφοις, ἀλλ' ἀπὸ χειρὸς,
τὸν φόρον ἡμῖν ἀπὸ τῶν πόλεων συλλήβδην τὸν προσιόντα·
κἄξω τούτου τὰ τέλη χωρὶς καὶ τὰς πολλὰς ἑκατοστὰς,
πρυτανεῖα, μέταλλ', ἀγορὰς, λιμένας, μισθοὺς καὶ δημιόπρατα.
τούτων πλήρωμα τάλαντ' ἐγγὺς δισχίλια γίγνεται ἡμῖν.
ἀπὸ τούτων νυν κατάθες μισθὸν τοῖσι δικασταῖς ἐνιαυτοῦ,
ἓξ χιλιάσιν, κοὔπω πλείους ἐν τῇ χώρᾳ κατένασθεν,
γίγνεται ἡμῖν ἑκατὸν δήπου καὶ πεντήκοντα τάλαντα.

ΦΙΛΟΚΛΕΩΝ.

οὐδ' ἡ δεκάτη τῶν προσιόντων ἡμῖν ἄρ' ἐγίγνεθ' ὁ μισθός.

ΒΔΕΛΥΚΛΕΩΝ.

μὰ Δί' οὐ μέντοι· καὶ ποῖ τρέπεται δὴ 'πειτα τὰ χρήματα τἄλλα;

ΦΙΛΟΚΛΕΩΝ.

ἐς τούτους τοὺς, οὐχὶ προδώσω τὸν Ἀθηναίων κολοσυρτὸν,
ἀλλὰ μαχοῦμαι περὶ τοῦ πλήθους ἀεί.

ΒΔΕΛΥΚΛΕΩΝ.

σὺ γὰρ, ὦ πάτερ, αὐτοὺς
ἄρχειν αἱρεῖ σαυτοῦ, τούτοις τοῖς ῥηματίοις περιπεφθείς.
κᾆθ' οὗτοι μὲν δωροδοκοῦσιν κατὰ πεντήκοντα τάλαντα
ἀπὸ τῶν πόλεων, ἐπαπειλοῦντες τοιαυτὶ κἀναφοβοῦντες,
δώσετε τὸν φόρον, ἢ βροντήσας τὴν πόλιν ὑμῶν ἀνατρέψω.
σὺ δὲ τῆς ἀρχῆς ἀγαπᾷς τῆς σῆς τοὺς ἀργελόφους περιτρώγων.
οἱ δὲ ξύμμαχοι ὡς ᾔσθηνται τὸν μὲν σύρφακα τὸν ἄλλον
ἐκ κηθαρίου λαγαρυζόμενον καὶ τραγαλίζοντα τὸ μηδὲν,
σὲ μὲν ἡγοῦνται Κόννου ψῆφον, τούτοισι δὲ δωροφοροῦσιν
ὕρχας, οἶνον, δάπιδας, τυρὸν, μέλι, σήσαμα, προσκεφάλαια,
φιάλας, χλανίδας, στεφάνους, ὅρμους, ἐκπώματα, πλουθυγίειαν·
σοὶ δ' ὧν ἄρχεις πολλὰ μὲν ἐν γῇ, πολλὰ δ' ἐφ' ὑγρᾷ πιτυλεύσας,
οὐδεὶς οὐδὲ σκορόδου κεφαλὴν τοῖς ἑψητοῖσι δίδωσιν.

ΦΙΛΟΚΛΕΩΝ.

μὰ Δί' ἀλλὰ παρ' Εὐχαρίδου καὐτὸς τρεῖς γ ἄγλιθας μετέπεμψα.
ἀλλ' αὐτήν μοι τὴν δουλείαν οὐκ ἀποφαίνω ἀποκναίεις.

ΒΔΕΛΥΚΛΕΩΝ.

οὐ γὰρ μεγάλη δουλεία 'στὶν τούτους μὲν ἅπα τας ἐν ἀρχαῖς
αὐτούς τ' εἶναι καὶ τοὺς κόλακας τοὺς τούτω μισθοφοροῦντας;
σοὶ δ' ἤν τις δῷ τοὺς τρεῖς ὀβολοὺς, ἀγαπᾷ οὓς αὐτὸς ἐλαύνων
καὶ πεζομαχῶν καὶ πολιορκῶν ἐκτήσω, πολ πονήσας.
καὶ πρὸς τούτοις ἐπιταττόμενος φοιτᾷς, ὃ μ λιστά μ' ἀπάγχει,
ὅταν εἰσελθὸν μειράκιόν σοι καταπῦγον, Χ ρέου υἱὸς,
ὡδὶ διαβὰς, διακινηθεὶς τῷ σώματι καὶ τρυ ρανθεὶς,
ἥκειν εἴπῃ πρῲ κἀν ὥρᾳ δικάσονθ', ὡς ὅσ ἂν ὑμῶν
ὕστερος ἔλθῃ τοῦ σημείου, τὸ τριώβολον οὐ μιεῖται·
αὐτὸς δὲ φέρει τὸ συνηγορικὸν, δραχμὴν, ὕστερος ἔλθῃ·
καὶ κοινωνῶν τῶν ἀρχόντων ἑτέρῳ τινὶ μεθ' ἑαυτοῦ,
ἤν τίς τι διδῷ τῶν φευγόντων, ξυνθέντε πρᾶγμα δύ' ὄντε
ἐσπουδάκατον, κᾆθ' ὡς πρίων' ὁ μὲν ἕλκε δ' ἀντενέδωκε·
σὺ δὲ χασκάζεις τὸν κωλακρέτην· τὸ δὲ πρα μενόν σε λέληθεν.

ΦΙΛΟΚΛΕΩΝ.

ταυτί με ποιοῦσ'; οἴμοι, τί λέγεις; ὥς μου θῖνα ταράττεις,
καὶ τὸν νοῦν μου προσάγεις μᾶλλον, κοὐκ ὅ τι χρῆμά με ποιεῖς.

ΒΔΕΛΥΚΛΕΩΝ.

σκέψαι τοίνυν ὡς ἐξόν σοι πλουτεῖν καὶ το ἅπασιν,
ὑπὸ τῶν ἀεὶ δημιζόντων οὐκ οἶδ' ὅπῃ ἐγκ κλησαι·
ὅστις πόλεων ἄρχων πλείστων, ἀπὸ τοῦ Πό μέχρι Σαρδοῦς,
οὐκ ἀπολαύεις πλὴν τοῦθ' ὃ φέρεις, ἀκαρῆ τοῦτ' ἐρίῳ σοι
ἐνστάζουσιν κατὰ μικρὸν ἀεὶ, τοῦ ζῆν ἕν ὥσπερ ἄλευρον.
βούλονται γάρ σε πένητ' εἶναι· καὶ τοῦθ' οὕνεκ', ἐρῶ σοι,
ἵνα γιγνώσκῃς τὸν τιθασευτήν· κᾆθ' ὅταν ο γ' ἐπισίζῃ,

ἐπὶ τῶν ἐχθρῶν τιν' ἐπιρρύξας, αγρίως αὐτοῖς ἐπιπηδᾷς.
εἰ γὰρ ἐβούλοντο βίον πορίσαι τῷ δήμῳ, ῥᾴδιον ἦν ἄν.
εἰσίν γε πόλεις χίλιαι, αἳ νῦν τὸν φόρον ἡμῖν ἀπάγουσιν·
τούτων εἴκοσιν ἄνδρας βόσκειν εἴ τις προσέταξεν ἑκάστῃ,
δύο μυριάδες τῶν δημοτικῶν ἔζων ἐν πᾶσι λαγῴοις
καὶ στεφάνοισιν παντοδαποῖσιν καὶ πύῳ καὶ πυριάτῃ,
ἄξια τῆς γῆς ἀπολαύοντες καὶ τοῦ Μαραθῶνι τροπαίου.
νῦν δ' ὥσπερ ἐλαολόγοι χωρεῖθ' ἅμα τῷ τὸν μισθὸν ἔχοντι.

ΦΙΛΟΚΛΕΩΝ.

οἴμοι, τί ποθ' ὥσπερ νάρκη μου κατὰ τῆς χειρὸς καταχεῖται,
καὶ τὸ ξίφος οὐ δύναμαι κατέχειν, ἀλλ' ἤδη μαλθακός εἰμι.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἀλλ' ὁπόταν μὲν δείσωσ' αὐτοί, τὴν Εὔβοιαν διδόασιν
ὑμῖν καὶ σῖτον ὑφίστανται κατὰ πεντήκοντα μεδίμνους
ποριεῖν· ἔδοσαν δ' οὐπώποτέ σοι, πλὴν πρώην πέντε μεδίμνους,
καὶ ταῦτα μόλις ξενίας φεύγων ἔλαβες κατὰ χοίνικα, κριθῶν.
ὧν οὕνεκ' ἐγώ σ' ἀπέκλειον ἀεί,
βόσκειν ἐθέλων καὶ μὴ τούτους
ἐγχάσκειν σοι στομφάζοντας.
καὶ νῦν ἀτεχνῶς ἐθέλω παρέχειν
ὅ τι βούλει σοι,
πλὴν κωλακρέτου γάλα πίνειν.

ΧΟΡΟΣ.

ἦ που σοφὸς ἦν ὅστις ἔφασκεν, πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς,
οὐκ ἂν δικάσαις. σὺ γὰρ οὖν νῦν μοι νικᾶν πολλῷ δεδόκησαι·
ὥστ' ἤδη την ὀργὴν χαλάσας τοὺς σκίπωνας καταβάλλω.
ἀλλ' ὦ τῆς ἡλικίας ἡμῖν τῆς αὐτῆς συνθιασῶτα,
πιθοῦ πιθοῦ λόγοισι, μηδ' ἄφρων γένῃ,
μηδ' ἀτενὴς ἄγαν ἀτεράμων τ' ἀνήρ.
εἴθ' ὤφελέν μοι κηδεμὼν ἢ ξυγγενὴς
εἶναί τις ὅστις τοιαῦτ' ἐνουθέτει.
σοὶ δὲ νῦν τις θεῶν
παρὼν ἐμφανὴς
ξυλλαμβάνει τοῦ πράγματος,
καὶ δῆλός ἐστιν εὖ ποιῶν·
σὺ δὲ παρὼν δέχου.

ΒΔΕΛΥΚΛΕΩΝ.

καὶ μὴν θρέψω γ' αὐτὸν παρέχων
ὅσα πρεσβύτῃ ξύμφορα, χόνδρον
λείχειν, χλαῖναν μαλακήν, σισύραν,
πόρνην, ἥτις τὸ πέος τρίψει,
καὶ τὴν ὀσφῦν.
ἀλλ' ὅτι σιγᾷ κοὐδὲν γρύζει,
οὔτ' οὐ δύναταί με προσέσθαι.

729—736. = 743—749.

ΧΟΡΟΣ.

νενουθέτηκεν αὐτὸν ἐς τὰ πράγμαθ', οἷς
τότ' ἐπεμαίνετ'· ἔγνωκε γὰρ ἀρτίως,
λογίζεταί τ' ἐκεῖνα πάνθ' ἁμαρτίας
ἃ σοῦ κελεύοντος οὐκ ἐπείθετο.
νῦν δ' ἴσως τοῖσι σοῖς
λόγοις πείθεται,
καὶ σωφρονεῖ μέντοι μεθιστὰς ἐς τὸ λοιπὸν τὸν τρόπον
πειθόμενός τέ σοι.

ΦΙΛΟΚΛΕΩΝ.

ἰώ μοί μοι.

ΒΔΕΛΥΚΛΕΩΝ.

οὗτος, τί μοι βοᾷς;

ΦΙΛΟΚΛΕΩΝ.

μή μοι τούτων μηδὲν ὑπισχνοῦ.
κείνων ἔραμαι, κεῖθι γενοίμαν,
ἵν' ὁ κῆρυξ φησί, τίς ἀψήφιστος; ἀνιστάσθω.
κἀπισταίην ἐπὶ τοῖς κημοῖς
ψηφιζομένων ὁ τελευταῖος.
σπεῦδ', ὦ ψυχή. ποῦ μοι ψυχή;
πάρες, ὦ σκιερά. μὰ τὸν Ἡρακλέα,
μὴ νῦν ἔτ' ἐγὼ 'ν τοῖσι δικασταῖς
κλέπτοντα Κλέωνα λάβοιμι.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἴθ' ὦ πάτερ, πρὸς τῶν θεῶν, ἐμοὶ πιθοῦ.

ΦΙΛΟΚΛΕΩΝ.

τί σοι πίθωμαι; λέγ' ὅ τι βούλει, πλὴν ἑνός.

ΒΔΕΛΥΚΛΕΩΝ.

ποίου; φέρ' ἴδω.

ΦΙΛΟΚΛΕΩΝ.

τοῦ μὴ δικάζειν. τοῦτο δὲ
Ἅιδης διακρινεῖ πρότερον ἢ 'γὼ πείσομαι.

ΒΔΕΛΥΚΛΕΩΝ.

σὺ δ' οὖν, ἐπειδὴ τοῦτο κεχάρηκας ποιῶν,
ἐκεῖσε μὲν μηκέτι βάδιζ', ἀλλ' ἐνθάδε
αὐτοῦ μένων δίκαζε τοῖσιν οἰκέταις.

ΦΙΛΟΚΛΕΩΝ.

περὶ τοῦ; τί ληρεῖς;

ΒΔΕΛΥΚΛΕΩΝ.

ταὔθ' ἅπερ ἐκεῖ πράττεται.
ὅτι τὴν θύραν ἀνέῳξεν ἡ σηκὶς λάθρα,
ταύτης ἐπιβολὴν ψηφιεῖ μίαν μόνην.
πάντως γε κἀκεῖ ταῦτ' ἔδρας ἑκάστοτε.
καὶ ταῦτα μέν νυν εὐλόγως, ἢν ἐξέχῃ
εἵλη κατ' ὄρθρον, ἡλιάσει πρὸς ἥλιον·
ἐὰν δὲ νίφῃ, πρὸς τὸ πῦρ καθήμενος,
ὕοντος, εἴσει· κἂν ἔγρῃ μεσημβρινός,
οὐδείς σ' ἀποκλείσει θεσμοθέτης τῇ κιγκλίδι.

ΦΙΛΟΚΛΕΩΝ.

τουτί μ' ἀρέσκει.

ΒΔΕΛΥΚΛΕΩΝ.

πρὸς δὲ τούτοις γ', ἢν δίκην
λέγῃ μακράν τις, οὐχὶ πεινῶν ἀναμενεῖς,
δάκνων σεαυτὸν καὶ τὸν ἀπολογούμενον.

ΦΙΛΟΚΛΕΩΝ.

πῶς οὖν διαγιγνώσκειν καλῶς δυνήσομαι
ὥσπερ πρότερον τὰ πράγματ', ἔτι μασώμενος;

ΒΔΕΛΥΚΛΕΩΝ.
πολλῷ γ' ἄμεινον· καὶ λέγεται γὰρ τουτογὶ,
ὡς οἱ δικασταὶ ψευδομένων τῶν μαρτύρων
μόλις τὰ πρᾶγμ' ἔγνωσαν ἀναμασώμενοι.

ΦΙΛΟΚΛΕΩΝ.
ἀνά τοί με πείθεις. ἀλλ' ἐκεῖν' οὔπω λέγεις,
τὸν μισθὸν ὁπόθεν λήψομαι.

ΒΔΕΛΥΚΛΕΩΝ.
παρ' ἐμοῦ.

ΦΙΛΟΚΛΕΩΝ.
καλῶς,
ὁτιὴ κατ' ἐμαυτὸν κοὐ μεθ' ἑτέρου λήψομαι.
αἴσχιστα γάρ τοί μ' εἰργάσατο Λυσίστρατος
ὁ σκωπτόλης. δραχμὴν μετ' ἐμοῦ πρώην λαβὼν,
ἐλθὼν διεκερμάτιζεν ἐν τοῖς ἰχθύσιν,
κἄπειτ' ἐπέθηκε τρεῖς λοπίδας μοι κεστρέων·
κἀγὼ 'νέκαψ'· ὀβολοὺς γὰρ ᾠόμην λαβεῖν·
κᾆτα βδελυχθεὶς ὀσφρόμενος ἐξέπτυσα·
κᾆθ' εἷλκον αὐτόν.

ΒΔΕΛΥΚΛΕΩΝ.
ὁ δὲ τί πρὸς ταῦτ' εἶφ';

ΦΙΛΟΚΛΕΩΝ.
ὅ τι;
ἀλεκτρυόνος μ' ἔφασκε κοιλίαν ἔχειν·
ταχὺ γοῦν καθέψεις ἀργύριον, ἦ δ' ὃς λέγων.

ΒΔΕΛΥΚΛΕΩΝ.
ὁρᾷς ὅσον καὶ τοῦτο δῆτα κερδανεῖς;

ΦΙΛΟΚΛΕΩΝ.
οὐ πάνυ τι μικρόν. ἀλλ' ὅπερ μέλλεις ποίει.

ΒΔΕΛΥΚΛΕΩΝ.
ἀνάμενέ νυν· ἐγὼ δὲ ταῦθ' ἥξω φέρων.

ΦΙΛΟΚΛΕΩΝ.
ὅρα τὸ χρῆμα· τὰ λόγι' ὡς περαίνεται.
ἠκηκόη γὰρ ὡς Ἀθηναῖοί ποτε
δικάσοιεν ἐπὶ ταῖς οἰκίαισι τὰς δίκας,
κἀν τοῖς προθύροις ἐνοικοδομήσοι πᾶς ἀνὴρ
αὑτῷ δικαστηρίδιον μικρὸν πάνυ,
ὥσπερ Ἑκάτειον, πανταχοῦ πρὸ τῶν θυρῶν.

ΒΔΕΛΥΚΛΕΩΝ.
ἰδοὺ, τί ἔτ' ἐρεῖς; ὡς ἅπαντ' ἐγὼ φέρω
ὅσαπέρ γ' ἔφασκον, κἄτι πολλῷ πλείονα.
ἀμὶς μὲν, ἢν οὐρητιάσῃς, αὑτηὶ
παρὰ σοὶ κρεμήσετ' ἐγγὺς ἐπὶ τοῦ παττάλου.

ΦΙΛΟΚΛΕΩΝ.
σοφόν γε τουτὶ καὶ γέροντι πρόσφορον
ἐξεῦρες ἀτεχνῶς φάρμακον στραγγουρίας.

ΒΔΕΛΥΚΛΕΩΝ.
καὶ πῦρ γε τουτὶ, καὶ προσέστηκεν φακῆ,
ῥοφεῖν ἐὰν δέῃ τι.

ΦΙΛΟΚΛΕΩΝ.
τοῦτ' αὖ δεξιόν·
κἂν γὰρ πυρέττω, τόν γε μισθὸν λήψομαι.
αὐτοῦ μένων γὰρ τὴν φακῆν ῥοφήσομαι.
ἀτὰρ τί τὸν ὄρνιν ὡς ἔμ' ἐξηνέγκατε;

ΒΔΕΛΥΚΛΕΩΝ.
ἵνα γ', ἢν καθεύδῃς ἀπολογουμένου τινὸς,
ᾄδων ἄνωθεν ἐξεγείρῃ σ' οὑτοσί.

ΦΙΛΟΚΛΕΩΝ.
ἓν ἔτι ποθῶ, τὰ δ' ἄλλ' ἀρέσκει μοι.

ΒΔΕΛΥΚΛΕΩΝ.
τὸ τί;

ΦΙΛΟΚΛΕΩΝ.
θηρῷον εἴ πως ἐκκομίσαις τὸ τοῦ Λύκου.

ΒΔΕΛΥΚΛΕΩΝ.
πάρεστι τουτὶ, καὐτὸς ἄναξ οὑτοσί.

ΦΙΛΟΚΛΕΩΝ.
ὦ δέσποθ' ἥρως, ὡς χαλεπὸς ἄρ' ἦσθ' ἰδεῖν·
οἷόσπερ ἡμῖν φαίνεται Κλεώνυμος.

ΣΩΣΙΑΣ.
οὔκουν ἔχει γ' οὐδ' αὐτὸς ἥρως ὢν ὅπλα.

ΒΔΕΛΥΚΛΕΩΝ.
εἰ θᾶττον ἐκαθίζου σὺ, θᾶττον ἂν δίκην
ἐκάλουν.

ΦΙΛΟΚΛΕΩΝ.
κάλει νυν, ὡς κάθημαι 'γὼ πάλαι.

ΒΔΕΛΥΚΛΕΩΝ.
φέρε νυν, τίν' αὐτῷ πρῶτον εἰσαγάγω δίκην;
τί τις κακὸν δέδρακε τῶν ἐν τᾠκίᾳ;
ἡ Θρᾷττα προσκαύσασα πρώην τὴν χύτραν

ΦΙΛΟΚΛΕΩΝ.
ἐπίσχες οὗτος· ὡς ὀλίγου μ' ἀπώλεσας.
ἄνευ δρυφάκτου τὴν δίκην μέλλεις καλεῖν,
ὃ πρῶτον ἡμῖν τῶν ἱερῶν ἐφαίνετο;

ΒΔΕΛΥΚΛΕΩΝ.
μὰ τὸν Δί' οὐ πάρεστιν· ἀλλ' ἐγὼ δραμὼν
αὐτὸς κομιοῦμαι τό γε παραυτίκ' ἔνδοθεν.
τί ποτε τὸ χρῆμ'; ὡς δεινὸν ἡ φιλοχωρία.

ΞΑΝΘΙΑΣ.
βάλλ' ἐς κόρακας. τοιουτονὶ τρέφειν κύνα.

ΒΔΕΛΥΚΛΕΩΝ.
τί δ' ἔστιν ἑτεόν;

ΞΑΝΘΙΑΣ.
οὐ γὰρ ὁ Λάβης ἀρτίως
ὁ κύων παρᾴξας ἐς τὸν ἰπνὸν ἁρπάσας
τροφαλίδα τυροῦ Σικελικὴν κατεδήδοκεν;

ΒΔΕΛΥΚΛΕΩΝ.
τοῦτ' ἄρα πρῶτον τἀδίκημα τῷ πατρὶ
εἰσακτέον μοι· σὺ δὲ κατηγόρει παρών.

ΞΑΝΘΙΑΣ.
μὰ Δί' οὐκ ἔγωγ'· ἀλλ' ἅτερός φησιν κύων
κατηγορήσειν, ἤν τις εἰσάγῃ γραφήν.

ΒΔΕΛΥΚΛΕΩΝ.
ἴθι νυν, ἄγ' αὐτὼ δεῦρο.

ΞΑΝΘΙΑΣ.
ταῦτα χρὴ ποιεῖν.

ΦΙΛΟΚΛΕΩΝ.
τουτὶ τί ἐστι;

ΒΔΕΛΥΚΛΕΩΝ.
χοιροκομεῖον Ἑστίας.

ΦΙΛΟΚΛΕΩΝ.
εἶθ' ἱεροσυλήσας φέρεις;

ΒΔΕΛΥΚΛΕΩΝ.
οὔκ, ἀλλ' ἵνα
ἀφ' Ἑστίας ἀρχόμενος ἐπιτρίψω τινά.

ΦΙΛΟΚΛΕΩΝ.
ἀλλ' εἴσαγ' ἀνύσας· ὡς ἐγὼ τιμᾶν βλέπω.

ΒΔΕΛΥΚΛΕΩΝ.
φέρε νυν, ἐνέγκω τὰς σανίδας καὶ τὰς γραφάς.

ΦΙΛΟΚΛΕΩΝ.
οἴμοι, διατρίψεις κἀπολεῖς τριψημερῶν·
ἐγὼ δ' ἀλοκίζειν ἐδεόμην τὸ χωρίον.
ΒΔΕΛΥΚΛΕΩΝ.
ἰδού.
ΦΙΛΟΚΛΕΩΝ.
κάλει νυν.
ΒΔΕΛΥΚΛΕΩΝ.
ταῦτα δή.
ΦΙΛΟΚΛΕΩΝ.
τίς οὑτοσὶ
ὁ πρῶτός ἐστιν;
ΒΔΕΛΥΚΛΕΩΝ.
ἐς κόρακας, ὡς ἄχθομαι,
ὁτιὴ 'πελαθόμην τοὺς καδίσκους ἐκφέρειν.
ΦΙΛΟΚΛΕΩΝ.
οὗτος σὺ ποῖ θεῖς;
ΒΔΕΛΥΚΛΕΩΝ.
ἐπὶ καδίσκους.
ΦΙΛΟΚΛΕΩΝ.
μηδαμῶς.
ἐγὼ γὰρ εἶχον τούσδε τοὺς ἀρυστίχους.
ΒΔΕΛΥΚΛΕΩΝ.
κάλλιστα τοίνυν· πάντα γὰρ πάρεστι νῷν
ὅσων δεόμεθα, πλήν γε δὴ τῆς κλεψύδρας.
ΦΙΛΟΚΛΕΩΝ.
ἡδὶ δὲ δὴ τίς ἐστιν; οὐχὶ κλεψύδρα;
ΒΔΕΛΥΚΛΕΩΝ.
εὖ γ' ἐκπορίζεις αὐτὰ κἀπιχωρίως.
ἀλλ' ὡς τάχιστα πῦρ τις ἐξενεγκάτω
καὶ μυρρίνας καὶ τὸν λιβανωτὸν ἔνδοθεν,
ὅπως ἂν εὐξώμεσθα πρῶτα τοῖς θεοῖς.
ΧΟΡΟΣ.
καὶ μὴν ἡμεῖς ἐπὶ ταῖς σπονδαῖς
καὶ ταῖς εὐχαῖς
φήμην ἀγαθὴν λέξομεν ὑμῖν,
ὅτι γενναίως ἐκ τοῦ πολέμου
καὶ τοῦ νείκους ξυνέβητον.
ΒΔΕΛΥΚΛΕΩΝ.
εὐφημία μὲν πρῶτα νῦν ὑπαρχέτω.
ΧΟΡΟΣ.
ὦ Φοῖβ' Ἄπολλον Πύθι', ἐπ' ἀγαθῇ τύχῃ
τὸ πρᾶγμ' ὃ μηχανᾶται
ἔμπροσθεν οὗτος τῶν θυρῶν,
ἅπασιν ἡμῖν ἁρμόσαι
παυσαμένοις πλάνων.
Ἰήιε Παιάν.
ΒΔΕΛΥΚΛΕΩΝ.
ὦ δέσποτ' ἄναξ, γεῖτον ἀγυιεῦ τοὐμοῦ προθύ-
ρου προπύλαιε,
δέξαι τελετὴν καινήν, ὦναξ, ἣν τῷ πατρὶ και-
νοτομοῦμεν·
παῦσόν τ' αὐτοῦ τοῦτο τὸ λίαν στρυφνὸν καὶ
πρίνινον ἦθος,
ἀντὶ σιραίου μέλιτος μικρὸν τῷ θυμιδίῳ παρα-
μίξας·
ἤδη δ' εἶναι τοῖς ἀνθρώποις
ἤπιον αὐτόν,
τούς φεύγοντάς τ' ἐλεεῖν μᾶλλον
τῶν γραψαμένων
κἀπιδακρύειν ἀντιβολούντων,
καὶ παυσάμενον τῆς δυσκολίας
ἀπὸ τῆς ὀργῆς
τὴν ἀκαλήφην ἀφελέσθαι.
ΧΟΡΟΣ.
ξυνευχόμεσθά σοι * * κἀπᾴδομεν
νέαισιν ἀρχαῖς, ἕνεκα τῶν προλελεγμένων.
εὖνοι γάρ ἐσμεν ἐξ οὗ
τὸν δῆμον ᾐσθόμεσθά σου
φιλοῦντος ὡς οὐδεὶς ἀνὴρ
τῶν γε νεωτέρων.
ΒΔΕΛΥΚΛΕΩΝ.
εἴ τις θύρασιν ἡλιαστής, εἰσίτω·
ὡς ἡνίκ' ἂν λέγωσιν, οὐκ εἰσφρήσομεν.
ΦΙΛΟΚΛΕΩΝ.
τίς ἆρ' ὁ φεύγων οὗτος; ὅσον ἁλώσεται.
ΞΑΝΘΙΑΣ.
ἀκούετ' ἤδη τῆς γραφῆς. ἐγράψατο
κύων Κυδαθηναιεὺς Λάβητ' Αἰξωνέα,
τὸν τυρὸν ἀδικεῖν ὅτι μόνος κατήσθιεν
τὸν Σικελικόν. τίμημα κλῳὸς σύκινος.
ΦΙΛΟΚΛΕΩΝ.
θάνατος μὲν οὖν κύνειος, ἢν ἅπαξ ἁλῷ.
ΒΔΕΛΥΚΛΕΩΝ.
καὶ μὴν ὁ φεύγων οὑτοσὶ Λάβης πάρα.
ΦΙΛΟΚΛΕΩΝ.
ὦ μιαρὸς οὗτος· ὡς δὲ καὶ κλέπτον βλέπει,
οἷον σεσηρὼς ἐξαπατήσειν μ' οἴεται.
ποῦ δ' ὁ διώκων, ὁ Κυδαθηναιεὺς κύων;
ΚΥΩΝ.
αὖ αὖ.
ΒΔΕΛΥΚΛΕΩΝ.
πάρεστιν. ἕτερος οὗτος αὖ Λάβης,
ἀγαθός γ' ὑλακτεῖν καὶ διαλείχειν τὰς χύτρας.
ΣΩΣΙΑΣ.
σίγα, κάθιζε, σὺ δ' ἀναβὰς κατηγόρει.
ΦΙΛΟΚΛΕΩΝ.
φέρε νυν, ἅμα τήνδ' ἐγχεάμενος κἀγὼ ῥοφῶ.
ΞΑΝΘΙΑΣ.
τῆς μὲν γραφῆς ἠκούσαθ' ἣν ἐγραψάμην,
ἄνδρες δικασταί, τουτονί. δεινότατα γὰρ
ἔργων δέδρακε κἀμὲ καὶ τὸ ῥυππαπαῖ.
ἀποδρὰς γὰρ ἐς τὴν γωνίαν τυρὸν πολὺν
κατεσικέλιζε κἀνέπλητ' ἐν τῷ σκότῳ,
ΦΙΛΟΚΛΕΩΝ.
νὴ τὸν Δί', ἀλλὰ δῆλός ἐστ'· ἔμοιγέ τοι
τυροῦ κάκιστον ἀρτίως ἐνήρυγεν
ὁ βδελυρὸς οὗτος.
ΞΑΝΘΙΑΣ.
κοὐ μετέδωκ' αἰτοῦντί μοι.
καίτοι τίς ὑμᾶς εὖ ποιεῖν δυνήσεται,
ἢν μή τι κἀμοί τις προβάλλῃ τῷ κυνί;
ΦΙΛΟΚΛΕΩΝ.
οὐδὲν μετέδωκεν;
ΞΑΝΘΙΑΣ.
οὐδὲ τῷ κοινῷ γ' ἐμοί.
ΦΙΛΟΚΛΕΩΝ.
θερμὸς γὰρ ἀνὴρ οὐδὲν ἧττον τῆς φακῆς.

868—873. = 885—890.

ΒΔΕΛΥΚΛΕΩΝ.

πρὸς τῶν θεῶν, μὴ προκαταγίγνωσκ', ὦ πάτερ,
πρὶν ἄν γ' ἀκούσῃς ἀμφοτέρων.

ΦΙΛΟΚΛΕΩΝ.

ἀλλ', ὦγαθὲ,
τὸ πρᾶγμα φανερόν ἐστιν· αὐτὸ γὰρ βοᾷ.

ΞΑΝΘΙΑΣ.

μή νυν ἀφῆτέ γ' αὐτὸν, ὡς ὄντ' αὖ πολὺ
κυνῶν ἁπάντων ἄνδρα μονοφαγίστατον,
ὅστις περιπλεύσας τὴν θυείαν ἐν κύκλῳ
ἐκ τῶν πόλεων τὸ σκῖρον ἐξεδήδοκεν.

ΦΙΛΟΚΛΕΩΝ.

ἐμοὶ δέ γ' οὐκ ἔστ' οὐδὲ τὴν ὑδρίαν πλάσαι.

ΞΑΝΘΙΑΣ.

πρὸς ταῦτα τοῦτον κολάσατ'· οὐ γὰρ ἄν ποτε
τρέφειν δύναιτ' ἂν μία λόχμη κλέπτα δύο·
ἵνα μὴ κεκλάγχω διὰ κενῆς ἄλλως ἐγώ·
ἐὰν δὲ μὴ, τὸ λοιπὸν οὐ κεκλάγξομαι.

ΦΙΛΟΚΛΕΩΝ.

ἰοὺ ἰού.
ὅσας κατηγόρησε τὰς πανουργίας.
κλέπτον τὸ χρῆμα τἀνδρός· οὐ καὶ σοὶ δοκεῖ,
ὦλεκτρυών; νὴ τὸν Δί', ἐπιμύει γέ τοι.
ὁ θεσμοθέτης. ποῦ 'σθ' οὗτος; ἀμίδα μοι δότω.

ΣΩΣΙΑΣ.

αὐτὸς καθελοῦ· τοὺς μάρτυρας γὰρ ἐσκαλῶ.
Λάβητι μάρτυρας παρεῖναι, τρυβλίον,
δοίδυκα, τυρόκνηστιν, ἐσχάραν, χύτραν,
καὶ τἄλλα τὰ σκεύη τὰ προσκεκαυμένα.
ἀλλ' ἔτι σύ γ' οὐρεῖς καὶ καθίζεις οὐδέπω;

ΦΙΛΟΚΛΕΩΝ.

τοῦτον δέ γ' οἶμ' ἐγὼ χεσεῖσθαι τήμερον.

ΒΔΕΛΥΚΛΕΩΝ.

οὐκ αὖ σὺ παύσει χαλεπὸς ὢν καὶ δύσκολος,
καὶ ταῦτα τοῖς φεύγουσιν, ἀλλ' ὀδὰξ ἔχει;
ἀνάβαιν', ἀπολογοῦ. τί σεσιώπηκας; λέγε.

ΦΙΛΟΚΛΕΩΝ.

ἀλλ' οὐκ ἔχειν οὗτός γ' ἔοικεν ὅ τι λέγῃ.

ΒΔΕΛΥΚΛΕΩΝ.

οὐκ, ἀλλ' ἐκεῖνό μοι δοκεῖ πεπονθέναι,
ὅπερ ποτὲ φεύγων ἔπαθε καὶ Θουκυδίδης·
ἀπόπληκτος ἐξαίφνης ἐγένετο τὰς γνάθους.
πάρεχ' ἐκποδών. ἐγὼ γὰρ ἀπολογήσομαι.
χαλεπὸν μὲν, ὦνδρες, ἐστὶ διαβεβλημένου
ὑπεραποκρίνεσθαι κυνός· λέξω δ' ὅμως.
ἀγαθὸς γάρ ἐστι καὶ διώκει τοὺς λύκους.

ΦΙΛΟΚΛΕΩΝ.

κλέπτης μὲν οὖν οὗτός γε καὶ ξυνωμότης.

ΒΔΕΛΥΚΛΕΩΝ.

μὰ Δί', ἀλλ' ἄριστός ἐστι τῶν νυνὶ κυνῶν,
οἷός τε πολλοῖς προβατίοις ἐφεστάναι.

ΦΙΛΟΚΛΕΩΝ.

τί οὖν ὄφελος, τὸν τυρὸν εἰ κατεσθίει;

ΒΔΕΛΥΚΛΕΩΝ.

ὅτι σοῦ προμάχεται καὶ φυλάττει τὴν θύραν
καὶ τἄλλ' ἄριστός ἐστιν· εἰ δ' ὑφείλετο,
ξύγγνωθι. κιθαρίζειν γὰρ οὐκ ἐπίσταται.

ΦΙΛΟΚΛΕΩΝ.

ἐγὼ δ' ἐβουλόμην ἂν οὐδὲ γράμματα,
ἵνα μὴ κακουργῶν ἐνέγραφ' ἡμῖν τὸν λόγον.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἄκουσον ὦ δαιμόνιέ μου τῶν μαρτύρων.
ἀνάβηθι, τυρόκνηστι, καὶ λέξον μέγα·
σὺ γὰρ ταμιεύουσ' ἔτυχες. ἀπόκριναι σαφῶς,
εἰ μὴ κατέκνησας τοῖς στρατιώταις ἃ ἔλαβες.
φησὶ κατακνῆσαι.

ΦΙΛΟΚΛΕΩΝ.

νὴ Δί', ἀλλὰ ψεύδεται.

ΒΔΕΛΥΚΛΕΩΝ.

ὦ δαιμόνι', ἔλει τοὺς ταλαιπωρουμένους.
οὗτος γὰρ ὁ Λάβης καὶ τραχήλι' ἐσθίει
καὶ τὰς ἀκάνθας, κοὐδέποτ' ἐν ταὐτῷ μένει.
ὁ δ' ἕτερος οἷός ἐστιν οἰκουρὸς μόνον.
αὐτοῦ μένων γὰρ ἅττ' ἂν εἴσω τις φέρῃ,
τούτων μεταιτεῖ τὸ μέρος· εἰ δὲ μὴ, δάκνει.

ΦΙΛΟΚΛΕΩΝ.

αἰβοῖ, τί κακόν ποτ' ἔσθ' ὅτῳ μαλάττομαι;
κακόν τι περιμένει με κἀναπείθομαι.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἴθ', ἀντιβολῶ σ', οἰκτείρατ' αὐτὸν, ὦ πάτερ,
καὶ μὴ διαφθείρητε. ποῦ τὰ παιδία;
ἀναβαίνετ', ὦ πονηρὰ, καὶ κνυζούμενα
αἰτεῖτε κἀντιβολεῖτε καὶ δακρύετε.

ΦΙΛΟΚΛΕΩΝ.

κατάβα κατάβα κατάβα κατάβα.

ΒΔΕΛΥΚΛΕΩΝ.

καταβήσομαι.
καίτοι τὸ κατάβα τοῦτο πολλοὺς δὴ πάνυ
ἐξηπάτηκεν. ἀτὰρ ὅμως καταβήσομαι.

ΦΙΛΟΚΛΕΩΝ.

ἐς κόρακας. ὡς οὐκ ἀγαθόν ἐστι τὸ ῥοφεῖν.
ἐγὼ γὰρ ἀπεδάκρυσα νῦν γνώμην ἐμὴν
οὐδέν ποτ' ἀλλ' ἢ τῆς φακῆς ἐμπλήμενος.

ΒΔΕΛΥΚΛΕΩΝ.

οὔκουν ἀποφεύγει δῆτα;

ΦΙΛΟΚΛΕΩΝ.

χαλεπὸν εἰδέναι.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἴθ', ὦ πατρίδιον, ἐπὶ τὰ βελτίω τρέπου.
τηνδὶ λαβὼν τὴν ψῆφον ἐπὶ τὸν ὕστερον
μύσας παρᾷξον κἀπόλυσον, ὦ πάτερ.

ΦΙΛΟΚΛΕΩΝ.

οὐ δῆτα· κιθαρίζειν γὰρ οὐκ ἐπίσταμαι.

ΒΔΕΛΥΚΛΕΩΝ.

φέρε νύν σε τηδὶ τὴν ταχίστην περιάγω.

ΦΙΛΟΚΛΕΩΝ.

ὅδ' ἔσθ' ὁ πρότερος;

ΒΔΕΛΥΚΛΕΩΝ.

οὗτος.

ΦΙΛΟΚΛΕΩΝ.

αὕτη 'ντευθενί.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἐξηπάτηται, κἀπολέλυκεν οὐχ ἑκών.

ΦΙΛΟΚΛΕΩΝ.

φέρ' ἐξεράσω. πῶς ἄρ' ἠγωνίσμεθα;

ΒΔΕΛΥΚΛΕΩΝ.

δείξειν ἔοικεν· ἐκπέφευγας, ὦ Λάβης.
πάτερ πάτερ, τί πέπονθας;

ΦΙΛΟΚΛΕΩΝ.

οἴμοι, ποῦ 'σθ' ὕδ

ΒΔΕΛΥΚΛΕΩΝ.

ἔπαιρε σαυτόν.

ΦΙΛΟΚΛΕΩΝ.

εἰπέ νυν ἐκεῖνό μοι,
ὄντως ἀπέφυγεν;

ΒΔΕΛΥΚΛΕΩΝ.

νὴ Δί'.

ΦΙΛΟΚΛΕΩΝ.

οὐδέν εἰμ' ἄρα.

ΒΔΕΛΥΚΛΕΩΝ.

μὴ φροντίσῃς, ὦ δαιμόνι', ἀλλ' ἀνίστασο.

ΦΙΛΟΚΛΕΩΝ.

πῶς οὖν ἐμαυτῷ τοῦτ' ἐγὼ ξυνείσομαι,
φεύγοντ' ἀπολύσας ἄνδρα; τί ποτε πείσομαι;
ἀλλ', ὦ πολυτίμητοι θεοὶ, ξύγγνωτέ μοι·
ἄκων γὰρ αὔτ' ἔδρασα κοὐ τοὐμοῦ τρόπου.

ΒΔΕΛΥΚΛΕΩΝ.

καὶ μηδὲν ἀγανάκτει γ'. ἐγὼ γάρ σ', ὦ πάτερ,
θρέψω καλῶς, ἄγων μετ' ἐμαυτοῦ πανταχοῖ,
ἐπὶ δεῖπνον, εἰς ξυμπόσιον, ἐπὶ θεωρίαν,
ὥσθ' ἡδέως διάγειν σε τὸν λοιπὸν χρόνον·
κοὐκ ἐγχανεῖταί σ' ἐξαπατῶν Ὑπέρβολος.
ἀλλ' εἰσίωμεν.

ΦΙΛΟΚΛΕΩΝ.

ταῦτά νυν, εἴπερ δοκεῖ.

ΧΟΡΟΣ.

ἀλλ' ἴτε χαίροντες ὅποι βούλεσθ'.
ὑμεῖς δὲ τέως, ὦ μυριάδες
ἀναρίθμητοι,
νῦν μὲν τὰ μέλλοντ' εὖ λέγε-
σθαι μὴ πέσῃ φαύλως χαμᾶζ'
εὐλαβεῖσθε.
τοῦτο γὰρ σκαιῶν θεατῶν
ἐστὶ πάσχειν, κοὐ πρὸς ὑμῶν.
νῦν αὖτε λεῴ πρόσχετε τὸν νοῦν, εἴπερ καθαρόν τι φιλεῖτε.
μέμψασθαι γὰρ τοῖσι θεαταῖς ὁ ποιητὴς νῦν ἐπιθυμεῖ.
ἀδικεῖσθαι γάρ φησιν πρότερος πόλλ' αὐτοὺς εὖ πεποιηκώς,
τὰ μὲν οὐ φανερῶς, ἀλλ' ἐπικουρῶν κρύβδην ἑτέροισι ποιηταῖς,
μιμησάμενος τὴν Εὐρυκλέους μαντείαν καὶ διάνοιαν,
εἰς ἀλλοτρίας γαστέρας ἐνδὺς κωμῳδικὰ πολλὰ χέασθαι·
μετὰ τοῦτο δὲ καὶ φανερῶς ἤδη κινδυνεύων καθ' ἑαυτὸν,
οὐκ ἀλλοτρίων, ἀλλ' οἰκείων Μουσῶν στόμαθ' ἡνιοχήσας.
ἀρθεὶς δὲ μέγας καὶ τιμηθεὶς ὡς οὐδεὶς πώποτ' ἐν ὑμῖν,
οὐκ ἐκτελέσαι φησὶν ἐπαρθεὶς οὐδ' ὀγκῶσαι τὸ φρόνημα,
οὐδὲ παλαίστρας περικωμάζειν πειρῶν· οὐδ' εἴ τις ἐραστὴς,
κωμῳδεῖσθαι παιδίχ' ἑαυτοῖ μισῶν ἔσπευδε πρὸς αὐτὸν,
οὐδενὶ πώποτέ φησι πιθέσθαι, γνώμην τιν' ἔχων ἐπιεικῆ,
ἵνα τὰς Μούσας αἷσιν χρῆται μὴ προαγωγοὺς ἀποφήνῃ.
οὐδ' ὅτε πρῶτόν γ' ἦρξε διδάσκειν, ἀνθρώποις φήσ' ἐπιθέσθαι,
ἀλλ' Ἡρακλέους ὀργήν τιν' ἔχων τοῖσι μεγίστοις ἐπιχειρεῖν,
θρασέως ξυστὰς εὐθὺς ἀπ' ἀρχῆς αὐτῷ τῷ καρχαρόδοντι,
οὗ δεινόταται μὲν ἀπ' ὀφθαλμῶν Κύννης ἀκτῖνες ἔλαμπον,
ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωξομένων ἐλιχμῶντο
περὶ τὴν κεφαλὴν, φωνὴν δ' εἶχεν χαράδρας ὄλεθρον τετοκυίας,
φώκης δ' ὀσμὴν, Λαμίας δ' ὄρχεις ἀπλύτους, πρωκτὸν δὲ καμήλου.
τοιοῦτον ἰδὼν τέρας οὔ φησιν δείσας καταδωροδοκῆσαι,
ἀλλ' ὑπὲρ ὑμῶν ἔτι καὶ νυνὶ πολεμεῖ· φησίν τε μετ' αὐτοῦ
τοῖς ἠπιάλοις ἐπιχειρῆσαι πέρυσιν καὶ τοῖς πυρετοῖσιν,
οἳ τοὺς πατέρας τ' ἦγχον νύκτωρ καὶ τοὺς πάππους ἀπέπνιγον,
κατακλινόμενοί τ' ἐπὶ ταῖς κοίταις ἐπὶ τοῖσιν ἀπράγμοσιν ὑμῶν
ἀντωμοσίας καὶ προσκλήσεις καὶ μαρτυρίας συνεκόλλων,
ὥστ' ἀναπηδᾶν δειμαίνοντας πολλοὺς ὡς τὸν πολέμαρχον.
τοιόνδ' εὑρόντες ἀλεξίκακον, τῆς χώρας τῆσδε καθαρτὴν,
πέρυσιν καταπρούδοτε καινοτάταις σπείραντ' αὐτὸν διανοίαις,
ἃς ὑπὸ τοῦ μὴ γνῶναι καθαρῶς ὑμεῖς ἐποιήσατ' ἀναλδεῖς·
καίτοι σπένδων πόλλ' ἐπὶ πολλοῖς ὄμνυσιν τὸν Διόνυσον
μὴ πώποτ' ἀμείνον' ἔπη τούτων κωμῳδικὰ μηδέν' ἀκοῦσαι.
τοῦτο μὲν οὖν ἔσθ' ὑμῖν αἰσχρὸν τοῖς μὴ γνοῦσιν παραχρῆμα,
ὁ δὲ ποιητὴς οὐδὲν χείρων παρὰ τοῖσι σοφοῖς νενόμισται,
εἰ παρελαύνων τοὺς ἀντιπάλους τὴν ἐπίνοιαν ξυνέτριψεν.
ἀλλὰ τὸ λοιπὸν τῶν ποιητῶν,
ὦ δαιμόνιοι, τοὺς ζητοῦντας
καινόν τι λέγειν κἀξευρίσκειν
στέργετε μᾶλλον καὶ θεραπεύετε,
καὶ τὰ νοήματα σῴζεσθ' αὐτῶν·
ἐσβάλλετε δ' εἰς τὰς κιβωτοὺς
μετὰ τῶν μήλων.
κἂν ταῦτα ποιῆθ', ὑμῖν δι' ἔτους
τῶν ἱματίων
ὀζήσει δεξιότητος.
ὦ πάλαι ποτ' ὄντες ὑμεῖς ἄλκιμοι μὲν ἐν χοροῖς,
ἄλκιμοι δ' ἐν μάχαις,
καὶ κατ' αὐτὸ δὴ μόνον τοῦτ' ἄνδρες ἀνδρικώτατοι,

1060 — 1090. = 1091 — 1121.

πρίν ποτ' ἦν, πρὶν ταῦτα· νῦν δ'
οἴχεται κύκνου τ' ἔτι πολιώτεραι δὴ
αἵδ' ἐπανθοῦσιν τρίχες.
ἀλλὰ κἀκ τῶν λειψάνων δεῖ τῶνδε ῥώμην
νεανικὴν σχεῖν· ὡς ἐγὼ τοὐμὸν νομίζω
γῆρας εἶναι κρεῖττον ἢ πολ-
λῶν κικίννους νεανιῶν καὶ
σχῆμα κεὐρυπρωκτίαν.
εἴ τις ὑμῶν, ὦ θεαταί, τὴν ἐμὴν ἰδὼν φύσιν
εἶτα θαυμάζει μ' ὁρῶν μέσον διεσφηκωμένον,
ἥ τίς ἡμῶν ἐστιν ἡ 'πίνοια τῆς ἐγκεντρίδος,
ῥᾳδίως ἐγὼ διδάξω, κἂν ἄμουσος ᾖ τὸ πρίν.
ἐσμὲν ἡμεῖς, οἷς πρόσεστι τοῦτο τοὐρροπύγιον,
Ἀττικοὶ μόνοι δικαίως εὐγενεῖς αὐτόχθονες,
ἀνδρικώτατον γένος καὶ πλεῖστα τήνδε τὴν πόλιν
ὠφελῆσαν ἐν μάχαισιν, ἡνίκ' ἦλθ' ὁ βάρβαρος,
τῷ καπνῷ τύφων ἅπασαν τὴν πόλιν καὶ πυρ-
πολῶν,
ἐξελεῖν ἡμῶν μενοινῶν πρὸς βίαν τἀνθρήνια.
εὐθέως γὰρ ἐκδραμόντες σὺν δόρει σὺν ἀσπίδι
ἐμαχόμεσθ' αὐτοῖσι, θυμὸν ὀξίνην πεπωκότες,
στὰς ἀνὴρ παρ' ἄνδρ', ὑπ' ὀργῆς τὴν χελύνην
ἐσθίων·
ὑπὸ δὲ τῶν τοξευμάτων οὐκ ἦν ἰδεῖν τὸν οὐ-
ρανόν.
ἀλλ' ὅμως ἀπωσάμεσθα ξὺν θεοῖς πρὸς ἑσπέρᾳ.
γλαῦξ γὰρ ἡμῶν πρὶν μάχεσθαι τὸν στρατὸν
διέπτατο.
εἶτα δ' εἱπόμεσθα θυννάζοντες εἰς τοὺς θυλά-
κους,
οἱ δ' ἔφευγον τὰς γνάθους καὶ τὰς ὀφρῦς κεν-
τούμενοι·
ὥστε παρὰ τοῖς βαρβάροισι πανταχοῦ καὶ νῦν ἔτι
μηδὲν Ἀττικοῦ καλεῖσθαι σφηκὸς ἀνδρικώτερον.
ἆρα δεινὸς ἦ τόθ' ὥστε πάντα μὴ δεδοικέναι,
καὶ κατεστρεψάμην
τοὺς ἐναντίους, πλέων ἐκεῖσε ταῖς τριήρεσιν.
οὐ γὰρ ἦν ἡμῖν ὅπως
ῥῆσιν εὖ λέξειν ἐμέλλομεν τότ', οὐδὲ
συκοφαντήσειν τινὰ
φροντὶς, ἀλλ' ὅστις ἐρέτης ἔσοιτ' ἄριστος.
τοιγαροῦν πολλὰς πόλεις Μήδων ἑλόντες,
αἰτιώτατοι φέρεσθαι
τὸν φόρον δεῦρ' ἐσμὲν, ὃν κλέ-
πτουσιν οἱ νεώτεροι.
πολλαχοῦ σκοποῦντες ἡμᾶς εἰς ἅπανθ' εὑρήσετε
τοὺς τρόπους καὶ τὴν δίαιταν σφηξὶν ἐμφερε-
στάτους.
πρῶτα μὲν γὰρ οὐδὲν ἡμῶν ζῶον ἠρεθισμένον
μᾶλλον ὀξύθυμόν ἐστιν οὐδὲ δυσκολώτερον·
εἶτα τἄλλ' ὅμοια πάντα σφηξὶ μηχανώμεθα.
ξυλλεγέντες γὰρ καθ' ἑσμοὺς, ὡσπερεὶ τἀν-
θρήνια,
οἱ μὲν ἡμῶν οὗπερ ἄρχων, οἱ δὲ παρὰ τοὺς
ἕνδεκα,
οἱ δ' ἐν ᾠδείῳ δικάζουσ', οἱ δὲ πρὸς τοῖς τειχίοις
ξυμβεβυσμένοι, πυκνὸν νεύοντες εἰς τὴν γῆν,
μόλις
ὥσπερ οἱ σκώληκες ἐν τοῖς κυττάροις κινούμενοι.
ἔς τε τὴν ἄλλην δίαιταν ἐσμὲν εὐπορώτατοι.
πάντα γὰρ κεντοῦμεν ἄνδρα κἀκπορίζομεν βίον.
ἀλλὰ γὰρ κηφῆνες ἡμῖν εἰσὶν ἐγκαθήμενοι,
οὐκ ἔχοντες κέντρον· οἳ μένοντες ἡμῶν τοῦ
φόρου
τὸν γόνον κατεσθίουσιν, οὐ ταλαιπωρούμενοι.
τοῦτο δ' ἔστ' ἄλγιστον ἡμῖν, ἤν τις ἀστράτευ-
τος ὢν
ἐκροφῇ τὸν μισθὸν ἡμῶν, τῆσδε τῆς χώρας ὑπὲρ
μήτε κώπην μήτε λόγχην μήτε φλύκταιναν λαβών.
ἀλλ' ἐμοὶ δοκεῖ τὸ λοιπὸν τῶν πολιτῶν ἔμβραχυ
ὅστις ἂν μὴ 'χῃ τὸ κέντρον, μὴ φέρειν τριώ-
βολον.

ΦΙΛΟΚΛΕΩΝ.

οὔ τοι ποτὲ ζῶν τοῦτον ἀποδυθήσομαι,
ἐπεὶ μόνος μ' ἔσωσε παρατεταγμένον,
ὅθ' ὁ βορέας ὁ μέγας ἐπεστρατεύσατο.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἀγαθὸν ἔοικας οὐδὲν ἐπιθυμεῖν παθεῖν.

ΦΙΛΟΚΛΕΩΝ.

μὰ τὸν Δί', οὐ γὰρ οὐδαμῶς μοι ξύμφορον.
καὶ γὰρ πρότερον ἐπανθρακίδων ἐμπλήμενος
ἀπέδωκ' ὀφείλων τῷ κναφεῖ τριώβολον.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἀλλ' οὖν πεπειράσθω γ', ἐπειδήπερ γ' ἅπαξ
ἐμοὶ σεαυτὸν παραδέδωκας εὖ ποιεῖν.

ΦΙΛΟΚΛΕΩΝ.

τί οὖν κελεύεις δρᾶν με;

ΒΔΕΛΥΚΛΕΩΝ.

τὸν τρίβων' ἄφες·
τηνδὶ δὲ χλαῖναν ἀναβαλοῦ τριβωνικῶς.

ΦΙΛΟΚΛΕΩΝ.

ἔπειτα παῖδας χρὴ φυτεύειν καὶ τρέφειν,
ὅθ' οὑτοσί με νῦν ἀποπνῖξαι βούλεται;

ΒΔΕΛΥΚΛΕΩΝ.

ἔχ', ἀναβαλοῦ τηνδὶ λαβὼν, καὶ μὴ λάλει.

ΦΙΛΟΚΛΕΩΝ.

τουτὶ τὸ κακὸν τί ἐστι πρὸς πάντων θεῶν;

ΒΔΕΛΥΚΛΕΩΝ.

οἱ μὲν καλοῦσι Περσίδ', οἱ δὲ καυνάκην.

ΦΙΛΟΚΛΕΩΝ.

ἐγὼ δὲ σισύραν ᾠόμην Θυμοιτίδα.

ΒΔΕΛΥΚΛΕΩΝ.

κοὐ θαῦμά γ'· ἐς Σάρδεις γὰρ οὐκ ἐλήλυθας·
ἔγνως γὰρ ἄν· νῦν δ' οὐχὶ γιγνώσκεις.

ΦΙΛΟΚΛΕΩΝ.

ἐγώ;
μὰ τὸν Δί' οὐ τοίνυν· ἀτὰρ δοκεῖ γέ μοι
ἐοικέναι μάλιστα Μορύχου σάγματι.

ΒΔΕΛΥΚΛΕΩΝ.

οὔκ, ἀλλ' ἐν Ἐκβατάνοισι ταῦθ' ὑφαίνεται.

ΦΙΛΟΚΛΕΩΝ.

ἐν Ἐκβατάνοισι γίγνεται κρόκης χόλιξ;

ΒΔΕΛΥΚΛΕΩΝ.

πόθεν, ὦγάθ'; ἀλλὰ τοῦτο τοῖσι βαρβάροις
ὑφαίνεται πολλαῖς δαπάναις. αὕτη γέ τοι
ἐρίων τάλαντον καταπέπωκε ῥᾳδίως.

ΦΙΛΟΚΛΕΩΝ.

οὔκουν ἐριώλην δῆτ' ἐχρῆν ταύτην καλεῖν
δικαιότερον ἢ καυνάκην;

ΒΔΕΛΥΚΛΕΩΝ.
ἔχ', ὠγαθέ,
καὶ στῆθί γ' ἀμπισχόμενος.
ΦΙΛΟΚΛΕΩΝ.
οἴμοι δείλαιος·
ὡς θερμὸν ἡ μιαρά τί μου κατήρυγεν.
ΒΔΕΛΥΚΛΕΩΝ.
οὐκ ἀναβαλεῖ;
ΦΙΛΟΚΛΕΩΝ.
μὰ Δί' οὐκ ἔγωγ'. ἀλλ', ὠγαθέ,
εἴπερ γ' ἀνάγκη, κρίβανόν μ' ἀμπίσχετε.
ΒΔΕΛΥΚΛΕΩΝ.
φέρ', ἀλλ' ἐγώ σε περιβαλῶ· σὺ δ' οὖν ἴθι.
ΦΙΛΟΚΛΕΩΝ.
κατάθου γε μέντοι καὶ κρεάγραν.
ΒΔΕΛΥΚΛΕΩΝ.
τιὴ τί δή;
ΦΙΛΟΚΛΕΩΝ.
ἵν' ἐξέλῃς με πρὶν διερρυηκέναι.
ΒΔΕΛΥΚΛΕΩΝ.
ἄγε νυν, ἀποδύου τὰς καταράτους ἐμβάδας,
τασδὶ δ' ἀνύσας ὑπόδυθι τὰς Λακωνικάς.
ΦΙΛΟΚΛΕΩΝ.
ἐγὼ γὰρ ἂν τλαίην ὑποδύσασθαί ποτε
ἐχθρῶν παρ' ἀνδρῶν δυσμενῆ καττύματα;
ΒΔΕΛΥΚΛΕΩΝ.
ἔνθες πόδ', ὦ τᾶν, κἀπόβαιν' ἐρρωμένως
ἐς τὴν Λακωνικὴν ἀνύσας.
ΦΙΛΟΚΛΕΩΝ.
ἀδικεῖς γέ με
ἐς τὴν πολεμίαν ἀποβιβάζων τὸν πόδα.
ΒΔΕΛΥΚΛΕΩΝ.
φέρε καὶ τὸν ἕτερον.
ΦΙΛΟΚΛΕΩΝ.
μηδαμῶς τοῦτόν γ', ἐπεὶ
πάνυ μισολάκων αὐτοῦ 'στιν εἷς τῶν δακτύλων.
ΒΔΕΛΥΚΛΕΩΝ.
οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα.
ΦΙΛΟΚΛΕΩΝ.
κακοδαίμων ἐγώ,
ὅστις ἐπὶ γήρᾳ χίμετλον οὐδὲν λήψομαι.
ΒΔΕΛΥΚΛΕΩΝ.
ἄνυσόν ποθ' ὑποδυσάμενος· εἶτα πλουσίως
ὡδὶ προβὰς τρυφερόν τι διασαλακώνισον.
ΦΙΛΟΚΛΕΩΝ.
ἰδού. θεῶ τὸ σχῆμα, καὶ σκέψαι μ' ὅτῳ
μάλιστ' ἔοικα τὴν βάδισιν τῶν πλουσίων.
ΒΔΕΛΥΚΛΕΩΝ.
ὅτῳ; δοθιῆνι σκόροδον ἠμφιεσμένῳ.
ΦΙΛΟΚΛΕΩΝ.
καὶ μὴν προθυμοῦμαί γε σαυλοπρωκτιᾶν.
ΒΔΕΛΥΚΛΕΩΝ.
ἄγε νυν, ἐπιστήσει λόγους σεμνοὺς λέγειν
ἀνδρῶν παρόντων πολυμαθῶν καὶ δεξιῶν;
ΦΙΛΟΚΛΕΩΝ.
ἔγωγε.
ΒΔΕΛΥΚΛΕΩΝ.
τίνα δῆτ' ἂν λέγοις;
ΦΙΛΟΚΛΕΩΝ.
πολλοὺς πάνυ.
πρῶτον μὲν ὡς ἡ Λάμι' ἁλοῦσ' ἐπέρδετο,
ἔπειτα δ' ὡς ὁ Καρδοπίων τὴν μητέρα.
ΒΔΕΛΥΚΛΕΩΝ.
μή μοί γε μύθους, ἀλλὰ τῶν ἀνθρωπίνων,
οἵους λέγομεν μάλιστα τοὺς κατ' οἰκίαν.
ΦΙΛΟΚΛΕΩΝ.
ἐγᾦδα τοίνυν τῶν γε πάνυ κατ' οἰκίαν
ἐκεῖνον, ὡς οὕτω ποτ' ἦν μῦς καὶ γαλῆ
ΒΔΕΛΥΚΛΕΩΝ.
ὦ σκαιὲ κἀπαίδευτε, Θεογένης ἔφη
τῷ κοπρολόγῳ, καὶ ταῦτα λοιδορούμενος,
μῦς καὶ γαλᾶς μέλλεις λέγειν ἐν ἀνδράσιν;
ΦΙΛΟΚΛΕΩΝ.
ποίους τινὰς δὲ χρὴ λέγειν;
ΒΔΕΛΥΚΛΕΩΝ.
μεγαλοπρεπεῖς,
ὡς ξυνεθεώρεις Ἀνδροκλεῖ καὶ Κλεισθένει.
ΦΙΛΟΚΛΕΩΝ.
ἐγὼ δὲ τεθεώρηκα πώποτ' οὐδαμοῖ
πλὴν ἐς Πάρον, καὶ ταῦτα δύ' ὀβολὼ φέρων.
ΒΔΕΛΥΚΛΕΩΝ.
ἀλλ' οὖν λέγειν χρή σ' ὡς ἐμάχετό γ' αὐτίκα
Ἐφουδίων παγκράτιον Ἀσκώνδᾳ καλῶς,
ἤδη γέρων ὢν καὶ πολιός, ἔχων δέ τοι
πλευρὰν βαρυτάτην καὶ χέρας λαγόνας τε καὶ
θώρακ' ἄριστον.
ΦΙΛΟΚΛΕΩΝ.
παῦε παῦ', οὐδὲν λέγεις.
πῶς δ' ἂν μαχέσαιτο παγκράτιον θώρακ' ἔχων;
ΒΔΕΛΥΚΛΕΩΝ.
οὕτως διηγεῖσθαι νομίζουσ' οἱ σοφοί.
ἀλλ' ἕτερον εἰπέ μοι· παρ' ἀνδράσι ξένοις
πίνων, σεαυτοῦ ποῖον ἂν λέξαι δοκεῖς
ἐπὶ νεότητος ἔργον ἀνδρικώτατον;
ΦΙΛΟΚΛΕΩΝ.
ἐκεῖν' ἐκεῖν' ἀνδρειότατόν γε τῶν ἐμῶν,
ὅτ' Ἐργασίωνος τὰς χάρακας ὑφειλόμην.
ΒΔΕΛΥΚΛΕΩΝ.
ἀπολεῖς με. ποίας χάρακας; ἀλλ' ὡς ἢ κάπρον
ἐδιώκαθές ποτ', ἢ λαγών, ἢ λαμπάδα
ἔδραμες, ἀνευρὼν ὅ τι νεανικώτατον.
ΦΙΛΟΚΛΕΩΝ.
ἐγᾦδα τοίνυν τό γε νεανικώτατον·
ὅτε τὸν δρομέα Φάϋλλον, ὢν βούπαις ἔτι,
εἷλον διώκων λοιδορίας ψήφοιν δυοῖν.
ΒΔΕΛΥΚΛΕΩΝ.
παῦ'· ἀλλὰ δευρὶ κατακλινεὶς προσμάνθανε
ξυμποτικὸς εἶναι καὶ ξυνουσιαστικός.
ΦΙΛΟΚΛΕΩΝ.
πῶς οὖ κατακλινῶ; φράζ' ἀνύσας.
ΒΔΕΛΥΚΛΕΩΝ.
εὐσχημόνως.
ΦΙΛΟΚΛΕΩΝ.
ὡδὶ κελεύεις κατακλινῆναι;
ΒΔΕΛΥΚΛΕΩΝ.
μηδαμῶς.
ΦΙΛΟΚΛΕΩΝ.
πῶς δαί;

ΒΔΕΛΥΚΛΕΩΝ.
τὰ γόνατ' ἔκτεινε, καὶ γυμναστικῶς
ὑγρὸν χύτλασον σεαυτὸν ἐν τοῖς στρώμασιν.
ἔπειτ' ἐπαίνεσόν τι τῶν χαλκωμάτων·
ὀροφὴν θέασαι, κρεκάδι' αὐλῆς θαύμασον·
ὕδωρ κατὰ χειρός· τὰς τραπέζας εἰσφέρειν·
δειπνοῦμεν· ἀπονενίμμεθ'· ἤδη σπένδομεν.
ΦΙΛΟΚΛΕΩΝ.
πρὸς τῶν θεῶν, ἐνύπνιον ἑστιώμεθα;
ΒΔΕΛΥΚΛΕΩΝ.
αὐλητρὶς ἐνεφύσησεν. οἱ δὲ συμπόται
εἰσὶν Θέωρος, Αἰσχίνης, Φανὸς, Κλέων,
ξένος τις ἕτερος πρὸς κεφαλῆς Ἀκέστορος.
τούτοις ξυνὼν τὰ σκόλι' ὅπως δέξει καλῶς.
ΦΙΛΟΚΛΕΩΝ.
ἄληθες, ὡς οὐδεὶς Διακρίων δέξεται.
ΒΔΕΛΥΚΛΕΩΝ.
ἐγὼ εἴσομαι· καὶ δὴ γάρ εἰμ' ἐγὼ Κλέων,
ᾄδω δὲ πρῶτος Ἁρμοδίου· δέξει δὲ σύ.
οὐδεὶς πώποτ' ἀνὴρ ἐγένετ' Ἀθηναῖος
ΦΙΛΟΚΛΕΩΝ.
οὐχ οὕτω γε πανοῦργος κλέπτης
ΒΔΕΛΥΚΛΕΩΝ.
τουτὶ σὺ δράσεις; παραπολεῖ βοώμενος·
φήσει γὰρ ἐξολεῖν σε καὶ διαφθερεῖν
καὶ τῆσδε τῆς γῆς ἐξελᾶν.
ΦΙΛΟΚΛΕΩΝ.
ἐγὼ δέ γε,
ἐὰν ἀπειλῇ, νὴ Δί' ἕτερον ᾄσομαι.
ὤνθρωφ', οὗτος ὁ μαιόμενος τὸ μέγα κράτος,
ἀντρέψεις ἔτι τὰν πόλιν· ἁ δ' ἔχεται ῥοπᾶς.
ΒΔΕΛΥΚΛΕΩΝ.
τί δ', ὅταν Θέωρος πρὸς ποδῶν κατακείμενος
ᾄδῃ Κλέωνος λαβόμενος τῆς δεξιᾶς,
Ἀδμήτου λόγον, ὦταῖρε, μαθὼν τοὺς ἀγαθοὺς φίλει,
τούτῳ τί λέξεις σκόλιον;
ΦΙΛΟΚΛΕΩΝ.
ᾠδικῶς ἐγὼ,
οὐκ ἔστιν ἀλωπεκίζειν,
οὐδ' ἀμφοτέροισι γίγνεσθαι φίλον.
ΒΔΕΛΥΚΛΕΩΝ.
μετὰ τοῦτον Αἰσχίνης ὁ Σέλλου δέξεται,
ἀνὴρ σοφὸς καὶ μουσικός· κᾆτ' ᾄσεται·
χρήματα καὶ βίαν
Κλειταγόρᾳ τε κά-
μοὶ μετὰ Θετταλῶν
ΦΙΛΟΚΛΕΩΝ.
πολλὰ δὴ διεκόμισας σὺ κἀγώ.
ΒΔΕΛΥΚΛΕΩΝ.
τουτὶ μὲν ἐπιεικῶς σύ γ' ἐξεπίστασαι·
ὅπως δ' ἐπὶ δεῖπνον εἰς Φιλοκτήμονος ἴμεν.
παῖ παῖ, τὸ δεῖπνον, Χρυσέ, συσκεύαζε νῷν,
ἵνα καὶ μεθυσθῶμεν διὰ χρόνου.
ΦΙΛΟΚΛΕΩΝ.
μηδαμῶς.
κακὸν τὸ πίνειν· ἀπὸ γὰρ οἴνου γίγνεται
καὶ θυροκοπῆσαι καὶ πατάξαι καὶ βαλεῖν,
κἄπειτ' ἀποτίνειν ἀργύριον ἐκ κραιπάλης.
ΒΔΕΛΥΚΛΕΩΝ.
οὐκ, ἢν ξυνῇς γ' ἀνδράσι καλοῖς τε κἀγαθοῖς.
ἢ γὰρ παρῃτήσαντο τὸν πεπονθότα,
ἢ λόγον ἔλεξας αὐτὸς ἀστεῖόν τινα,
Αἰσωπικὸν γέλοιον ἢ Συβαριτικὸν,
ὧν ἔμαθες ἐν τῷ συμποσίῳ· κᾆτ' ἐς γέλων
τὸ πρᾶγμ' ἔτρεψας, ὥστ' ἀφείς σ' ἀποίχεται.
ΦΙΛΟΚΛΕΩΝ.
μαθητέον τἄρ' ἐστὶ πολλοὺς τῶν λόγων,
εἴπερ γ' ἀποτίσω μηδὲν, ἤν τι δρῶ κακόν.
ἄγε νυν ἴωμεν· μηδὲν ἡμᾶς ἰσχέτω.
ΧΟΡΟΣ.
πολλάκις δὴ 'δοξ' ἐμαυτῷ δεξιὸς πεφυκέναι,
καὶ σκαιὸς οὐδεπώποτε·
ἀλλ' Ἀμυνίας ὁ Σέλλου μᾶλλον οὐχ ὁ τῶν Κρ
βύλου,
οὗτος ὅν γ' ἐγώ ποτ' εἶδον ἀντὶ μήλου
ῥοιᾶς
δειπνοῦντα μετὰ Λεωγόρου.
πεινῇ γὰρ ἧπερ Ἀντιφῶν.
ἀλλὰ πρεσβεύων γὰρ ἐς Φάρσαλον ᾤχετ'·
ἐκεῖ
μόνος μόνοις
τοῖς Πενέσταισι ξυνῆν τοῖς
Θετταλῶν, αὐτὸς πενέστης ὢν ἐλάττων οὐδε
ὦ μακάρι' Αὐτόμενες, ὥς σε μακαρίζομεν.
παῖδας ἐφύτευσας ὅτι χειροτεχνικωτάτους,
πρῶτα μὲν ἅπασι φίλον ἄνδρα τε σοφώτατο
τὸν κιθαραοιδότατον, ᾧ χάρις ἐφέσπετο·
τὸν δ' ὑποκριτὴν ἕτερον, ἀργαλέον ὡς σοφ
εἶτ' Ἀριφράδην, πολύ τι θυμοσοφικώτατον.
ὅντινά ποτ' ὤμοσε μαθόντα παρὰ μηδενὸς,
ἀλλ' ἀπὸ σοφῆς φύσεος αὐτόματον ἐκμαθὼ
γλωττοποιεῖν εἰς τὰ πορνεῖ' εἰσιόνθ' ἑκάστο
* * * * *
εἰσί τινες οἵ μ' ἔλεγον ὡς καταδιηλλάγην,
ἡνίκα Κλέων μ' ὑπετάραττεν ἐπικείμενος
καί με κακίαις ἔκνισε· κᾆθ' ὅτ' ἀπεδειρόμη
οὑκτὸς ἐγέλων μέγα κεκραγότα θεώμενοι.
οὐδὲν ἄρ' ἐμοῦ μέλον, ὅσον δὲ μόνον εἰδέ
σκωμμάτιον εἴποτέ τι θλιβόμενος ἐκβαλῶ.
ταῦτα κατιδὼν ὑπό τι μικρὸν ἐπιθήκισα·
εἶτα νῦν ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον.
ΞΑΝΘΙΑΣ.
ἰὼ χελῶναι μακάριαι τοῦ δέρματος,
καὶ τρισμακάριαι τοῦ 'πὶ ταῖς πλευραῖς τέγ
ὡς εὖ κατηρέψασθε καὶ νουβυστικῶς
κεράμῳ τὸ νῶτον ὥστε τὰς πληγὰς στέγειν.
ἐγὼ δ' ἀπόλωλα στιζόμενος βακτηρίᾳ.
ΧΟΡΟΣ.
τί δ' ἔστιν, ὦ παῖ; παῖδα γὰρ, κἂν ᾖ γέ
καλεῖν δίκαιον ὅστις ἂν πληγὰς λάβῃ.
ΞΑΝΘΙΑΣ.
οὐ γὰρ ὁ γέρων ἀτηρότατον ἄρ' ἦν κακὸν
καὶ τῶν ξυνόντων πολὺ παροινικώτατος;
καίτοι παρῆν Ἵππυλλος, Ἀντιφῶν, Λύκων,
Λυσίστρατος, Θούφραστος, οἱ περὶ Φρύνιχ
τούτων ἁπάντων ἦν ὑβριστότατος μακρῷ.
εὐθὺς γὰρ ὡς ἐνέπλητο πολλῶν κἀγαθῶν,
ἐνήλατ', ἐσκίρτα, πεπόρδει, κατεγέλα,
ὥσπερ καχρύων ὀνίδιον εὐωχημένον·

1275 — 1283. == 1284 — 1291.

κἄτυπτε δή με νεανικῶς, παῖ παῖ καλῶν.
εἶτ' αὐτὸν ὡς εἶδ', ἤκασεν Λυσίστρατος·
ἔοικας, ὦ πρεσβῦτα, νεοπλούτῳ τρυγὶ
κλητῆρί τ' εἰς ἀχυρῶνας ἀποδεδρακότι.
ὁ δ' ἀνακραγὼν ἀντήκασ' αὐτὸν πάρνοπι
τὰ θρῖα τοῦ τρίβωνος ἀποβεβληκότι,
Σθενέλῳ τε τὰ σκευάρια διακεκαρμένῳ.
οἱ δ' ἀνεκρότησαν, πλήν γε Θουφράστου μόνου·
οὗτος δὲ διεμύλλαινεν, ὡς δὴ δεξιός.
ὁ γέρων δὲ τὸν Θούφραστον ἤρετ', εἰπέ μοι,
ἐπὶ τῷ κομᾷς καὶ κομψὸς εἶναι προσποιεῖ,
κωμῳδολοιχῶν περὶ τὸν εὖ πράττοντ' ἀεί;
τοιαῦτα περιύβριζεν αὐτοὺς ἐν μέρει,
σκώπτων ἀγροίκως καὶ προσέτι λόγους λέγων
ἀμαθέστατ', οὐδὲν εἰκότας τῷ πράγματι.
ἔπειτ' ἐπειδὴ 'μέθυεν, οἴκαδ' ἔρχεται
τύπτων ἅπαντας, ἤν τις αὐτῷ ξυντύχῃ.
ὁδὶ δὲ δὴ καὶ σφαλλόμενος προσέρχεται.
ἀλλ' ἐκποδὼν ἄπειμι πρὶν πληγὰς λαβεῖν.

ΦΙΛΟΚΛΕΩΝ.

ἄνεχε, πάρεχε·
κλαύσεταί τις τῶν ὄπισθεν
ἐπακολουθούντων ἐμοί·
οἷον, εἰ μὴ 'ρρήσεθ', ὑμᾶς,
ὦ πονηροί, ταυτηὶ τῇ
δᾳδὶ φρυκτοὺς σκευάσω.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἦ μὴν σὺ δώσεις αὔριον τούτων δίκην
ἡμῖν ἅπασι, κεἰ σφόδρ' εἶ νεανίας.
ἀθρόοι γὰρ ἥξομέν σε προσκαλούμενοι.

ΦΙΛΟΚΛΕΩΝ.

ἰὴ ἰεῦ, καλούμενοι.
ἀρχαῖά γ' ὑμῶν· ἆρά γ' ἴσθ'
ὡς οὐδ' ἀκούων ἀνέχομαι
δικῶν; ἰαιβοῖ αἰβοῖ.
τάδε μ' ἀρέσκει· βάλλε κημούς.
οὐκ ἄπει σύ; * * ποῦ 'στιν
ἡλιαστής; ἐκποδών.
ἀνάβαινε δεῦρο χρυσομηλολόνθιον,
τῇ χειρὶ τουδὶ λαβομένη τοῦ σχοινίου.
ἔχου· φυλάττου δ', ὡς σαπρὸν τὸ σχοινίον·
ὅμως γε μέντοι τριβόμενον οὐκ ἄχθεται.
ὁρᾷς ἐγώ σ' ὡς δεξιῶς ὑφειλόμην
μέλλουσαν ἤδη λεσβιεῖν τοὺς ξυμπότας·
ὧν οὕνεκ' ἀπόδος τῷ πέει τῳδὶ χάριν.
ἀλλ' οὐκ ἀποδώσεις οὐδὲ φιαλεῖς, οἶδ' ὅτι,
ἀλλ' ἐξαπατήσεις κἀγχανεῖ τούτῳ μέγα·
πολλοῖς γὰρ ἤδη χἀτέροις αὔτ' εἰργάσω.
ἐὰν γένῃ δὲ μὴ κακὴ νυνὶ γυνή,
ἐγώ σ', ἐπειδὰν οὑμὸς υἱὸς ἀποθάνῃ,
λυσάμενος ἕξω παλλακήν, ὦ χοιρίον.
νῦν δ' οὐ κρατῶ 'γὼ τῶν ἐμαυτοῦ χρημάτων.
νέος γάρ εἰμι καὶ φυλάττομαι σφόδρα.
τὸ γὰρ υἵδιον τηρεῖ με, κἄστι δύσκολον
κἄλλως κυμινοπριστοκαρδαμόγλυφον.
ταῦτ' οὖν περί μου δέδοικε μὴ διαφθαρῶ.
πατὴρ γὰρ οὐδείς ἐστιν αὐτῷ πλὴν ἐμοῦ.
ὁδὶ δὲ καὐτὸς ἐπὶ σὲ κἄμ' ἔοικε θεῖν.
ἀλλ' ὡς τάχιστα στῆθι τάσδε τὰς δετὰς
λαβοῦσ', ἵν' αὐτὸν τωθάσω νεανικῶς,
οἵως ποθ' οὗτος ἐμὲ πρὸ τῶν μυστηρίων.

ΒΔΕΛΥΚΛΕΩΝ.

ὦ οὗτος οὗτος, τυφεδανὲ καὶ χοιρόθλιψ,
ποθεῖν ἐρᾶν τ' ἔοικας ὡραίας σοροῦ.
οὔ τοι καταπροίξει μὰ τὸν Ἀπόλλω τοῦτο δρῶν.

ΦΙΛΟΚΛΕΩΝ.

ὡς ἡδέως φάγοις ἂν ἐξ ὄξους δίκην.

ΒΔΕΛΥΚΛΕΩΝ.

οὐ δεινὰ τωθάζειν σε, τὴν αὐλητρίδα
τῶν ξυμποτῶν κλέψαντα;

ΦΙΛΟΚΛΕΩΝ.

ποίαν αὐλητρίδα;
τί ταῦτα ληρεῖς, ὥσπερ ἀπὸ τύμβου πεσών;

ΒΔΕΛΥΚΛΕΩΝ.

νὴ τὸν Δί', αὕτη πού 'στί σοί γ' ἡ Δαρδανίς.

ΦΙΛΟΚΛΕΩΝ.

οὔκ, ἀλλ' ἐν ἀγορᾷ τοῖς θεοῖς δᾲς κάεται.

ΒΔΕΛΥΚΛΕΩΝ.

δᾲς ἥδε;

ΦΙΛΟΚΛΕΩΝ.

δᾲς δῆτ'. οὐχ ὁρᾷς ἐστιγμένην;

ΒΔΕΛΥΚΛΕΩΝ.

τί δὲ τὸ μέλαν τοῦτ' ἐστὶν αὐτῆς τοὐν μέσῳ;

ΦΙΛΟΚΛΕΩΝ.

ἡ πίττα δήπου καομένης ἐξέρχεται.

ΒΔΕΛΥΚΛΕΩΝ.

ὁ δ' ὄπισθεν οὐχὶ πρωκτός ἐστιν οὑτοσί;

ΦΙΛΟΚΛΕΩΝ.

ὄζος μὲν οὖν τῆς δᾳδὸς οὗτος ἐξέχει.

ΒΔΕΛΥΚΛΕΩΝ.

τί λέγεις σύ; ποῖος ὄζος; οὐκ εἶ δεῦρο σύ;

ΦΙΛΟΚΛΕΩΝ.

ἆ ἆ, τί μέλλεις δρᾶν;

ΒΔΕΛΥΚΛΕΩΝ.

ἄγειν ταύτην λαβὼν
ἀφελόμενός σε καὶ νομίσας εἶναι σαπρὸν
κοὐδὲν δύνασθαι δρᾶν.

ΦΙΛΟΚΛΕΩΝ.

ἄκουσόν νυν ἐμοῦ.
Ὀλυμπίασιν ἡνίκ' ἐθεώρουν ἐγώ,
Ἐφουδίων ἐμαχέσατ' Ἀσκώνδᾳ καλῶς,
ἤδη γέρων ὤν· εἶτα τῇ πυγμῇ θενὼν
ὁ πρεσβύτερος κατέβαλε τὸν νεώτερον.
πρὸς ταῦτα τηροῦ μὴ λάβῃς ὑπώπια.

ΒΔΕΛΥΚΛΕΩΝ.

νὴ τὸν Δί' ἐξέμαθές γε τὴν Ὀλυμπίαν.

ΑΡΤΟΠΩΛΙΣ.

ἴθι μοι παράστηθ', ἀντιβολῶ πρὸς τῶν θεῶν.
ὁδὶ γὰρ ἀνήρ ἐστιν ὅς μ' ἀπώλεσεν
τῇ δᾳδὶ παίων, κἀξέβαλεν ἐντευθενὶ
ἄρτους δέκ' ὀβολῶν κἀπιθήκην τέτταρας.

ΒΔΕΛΥΚΛΕΩΝ.

ὁρᾷς ἃ δέδρακας; πράγματ' αὖ δεῖ καὶ δίκας
ἔχειν διὰ τὸν σὸν οἶνον.

ΦΙΛΟΚΛΕΩΝ.

οὐδαμῶς γ', ἐπεὶ
λόγοι διαλλάξουσιν αὐτὰ δεξιοί·
ὥστ' οἶδ' ὁτιὴ ταύτῃ διαλλαχθήσομαι.

ΑΡΤΟΠΩΛΙΣ.

οὔ τοι μὰ τὼ θεὼ καταπροίξει Μυρτίας

τῆς Ἀγκυλίωνος θυγατέρος καὶ Σωστράτης,
οὕτω διαφθείρας ἐμοῦ τὰ φορτία.

ΦΙΛΟΚΛΕΩΝ.

ἄκουσον, ὦ γύναι· λόγον σοι βούλομαι
λέξαι χαρίεντα.

ΑΡΤΟΠΩΛΙΣ.

μὰ Δία μή μοί γ', ὦ μέλε.

ΦΙΛΟΚΛΕΩΝ.

Αἴσωπον ἀπὸ δείπνου βαδίζονθ' ἑσπέρας
θρασεῖα καὶ μεθύση τις ὑλάκτει κύων.
κἄπειτ' ἐκεῖνος εἶπεν, ὦ κύον κύον,
εἰ νὴ Δί' ἀντὶ τῆς κακῆς γλώττης ποθὲν
πυροὺς πρίαιο, σωφρονεῖν ἄν μοι δοκοῖς.

ΑΡΤΟΠΩΛΙΣ.

καὶ καταγελᾷς μου; προσκαλοῦμαί σ' ὅστις εἶ,
πρὸς τοὺς ἀγορανόμους βλάβης τῶν φορτίων,
κλητῆρ' ἔχουσα Χαιρεφῶντα τουτονί.

ΦΙΛΟΚΛΕΩΝ.

μὰ Δί', ἀλλ' ἄκουσον, ἤν τί σοι δόξω λέγειν.
Λᾶσός ποτ' ἀντεδίδασκε καὶ Σιμωνίδης·
ἔπειθ' ὁ Λᾶσος εἶπεν, ὀλίγον μοι μέλει.

ΑΡΤΟΠΩΛΙΣ.

ἄληθες, οὗτος;

ΦΙΛΟΚΛΕΩΝ.

καὶ σὺ δή μοι Χαιρεφῶν
γυναικὶ κλητεύειν ἔοικας θαψίνῃ,
Ἰνοῖ κρεμαμένῃ πρὸς ποδῶν Εὐριπίδου.

ΒΔΕΛΥΚΛΕΩΝ.

ὁδί τις ἕτερος, ὡς ἔοικεν, ἔρχεται
καλούμενός σε· τόν γέ τοι κλητῆρ' ἔχει.

ΚΑΤΗΓΟΡΟΣ.

οἴμοι κακοδαίμων. προσκαλοῦμαί σ', ὦ γέρον,
ὕβρεως.

ΒΔΕΛΥΚΛΕΩΝ.

ὕβρεως; μή, μὴ καλέσῃς πρὸς τῶν θεῶν.
ἐγὼ γὰρ ὑπὲρ αὐτοῦ δίκην δίδωμί σοι,
ἣν ἂν σὺ τάξῃς, καὶ χάριν πρὸς εἴσομαι.

ΦΙΛΟΚΛΕΩΝ.

ἐγὼ μὲν οὖν αὐτῷ διαλλαχθήσομαι
ἑκών· ὁμολογῶ γὰρ πατάξαι καὶ βαλεῖν.
ἀλλ' ἐλθὲ δευρὶ πρότερον, ἐπιτρέπεις ἐμοί,
ὅ τι χρή μ' ἀποτίσαντ' ἀργύριον τοῦ πράγματος,
εἶναι φίλον τὸ λοιπόν, ἢ σύ μοι φράσεις;

ΚΑΤΗΓΟΡΟΣ.

σὺ λέγε. δικῶν γὰρ οὐ δέομ' οὐδὲ πραγμάτων.

ΦΙΛΟΚΛΕΩΝ.

ἀνὴρ Συβαρίτης ἐξέπεσεν ἐξ ἅρματος,
καί πως κατεάγη τῆς κεφαλῆς μέγα σφόδρα·
ἐτύγχανεν γὰρ οὐ τρίβων ὢν ἱππικῆς.
κἄπειτ' ἐπιστὰς εἶπ' ἀνὴρ αὐτῷ φίλος·
ἔρδοι τις ἣν ἕκαστος εἰδείη τέχνην.
οὕτω δὲ καὶ σὺ παράτρεχ' εἰς τὰ Πιττάλου.

ΒΔΕΛΥΚΛΕΩΝ.

ὅμοιά σου καὶ ταῦτα τοῖς ἄλλοις τρόποις.

ΚΑΤΗΓΟΡΟΣ.

ἀλλ' οὖν σὺ μέμνησ' αὐτὸς ἀπεκρίνατο.

ΦΙΛΟΚΛΕΩΝ.

ἄκουε, μὴ φεῦγ'. ἐν Συβάρει γυνή ποτε
κατέαξ' ἐχῖνον.

ΚΑΤΗΓΟΡΟΣ.

ταῦτ' ἐγὼ μαρτύρομαι.

ΦΙΛΟΚΛΕΩΝ.

οὐχῖνος οὖν ἔχων τιν' ἐπεμαρτύρατο·
εἶθ' ἡ Συβαρῖτις εἶπεν, εἰ ναὶ τὰν κόραν
τὴν μαρτυρίαν ταύτην ἐάσας ἐν τάχει
ἐπίδεσμον ἐπρίω, νοῦν ἂν εἶχες πλείονα.

ΚΑΤΗΓΟΡΟΣ.

ὕβριζ', ἕως ἂν τὴν δίκην ἄρχων καλῇ.

ΒΔΕΛΥΚΛΕΩΝ.

οὔ τοι μὰ τὴν Δήμητρ' ἔτ' ἐνταυθὶ μενεῖς,
ἀλλ' ἀράμενος ἐγώ σε

ΦΙΛΟΚΛΕΩΝ.

τί ποιεῖς;

ΒΔΕΛΥΚΛΕΩΝ.

ὅ τι ποιῶ;
εἴσω φέρω σ' ἐντεῦθεν· εἰ δὲ μή, τάχα
κλητῆρες ἐπιλείψουσι τοὺς καλουμένους.

ΦΙΛΟΚΛΕΩΝ.

Αἴσωπον οἱ Δελφοί ποτ'

ΒΔΕΛΥΚΛΕΩΝ.

ὀλίγον μοι μέλει.

ΦΙΛΟΚΛΕΩΝ.

φιάλην ἐπῃτιῶντο κλέψαι τοῦ θεοῦ·
ὁ δ' ἔλεξεν αὐτοῖς, ὡς ὁ κάνθαρός ποτε

ΒΔΕΛΥΚΛΕΩΝ.

οἴμ' ὡς ἀπολῶ σ' αὐτοῖσι τοῖσι κανθάροις.

ΧΟΡΟΣ.

ζηλῶ γε τῆς εὐτυχίας
τὸν πρέσβυν, οἷ μετέστη
ξηρῶν τρόπων καὶ βιοτῆς·
ἕτερα δὲ νῦν ἀντιμαθὼν
ἦ μέγα πείσεταί τι
ἐπὶ τὸ τρυφῶν καὶ μαλακόν.
τάχα δ' ἂν ἴσως οὐκ ἐθέλοι.
τὸ γὰρ ἀποστῆναι χαλεπὸν
φύσεος, ἣν ἔχοι τις ἀεί.
καίτοι πολλοὶ ταῦτ' ἔπαθον·
ξυνόντες γνώμαις ἑτέρων
μετεβάλλοντο τοὺς τρόπους.
πολλοῦ δ' ἐπαίνου παρ' ἐμοὶ
καὶ τοῖσιν εὖ φρονοῦσιν
τυχὼν ἄπεισιν διὰ τὴν
φιλοπατρίαν καὶ σοφίαν
ὁ παῖς ὁ Φιλοκλέωνος.
οὐδενὶ γὰρ οὕτως ἀγανῷ
ξυνεγενόμην, οὐδὲ τρόποις
ἐπεμάνην, οὐδ' ἐξεχύθην.
τί γὰρ ἐκεῖνος ἀντιλέγων
οὐ κρείττων ἦν, βουλόμενος
τὸν φύσαντα σεμνοτέροις
κατακοσμῆσαι πράγμασι;

ΞΑΝΘΙΑΣ.

νὴ τὸν Διόνυσον, ἄπορά γ' ἡμῖν πράγματα
δαίμων τις εἰσκεκύκληκεν εἰς τὴν οἰκίαν.
ὁ γὰρ γέρων ὡς ἔπιε διὰ πολλοῦ χρόνου
ἤκουσέ τ' αὐλοῦ, περιχαρὴς τῷ πράγματι
ὀρχούμενος τῆς νυκτὸς οὐδὲν παύεται
τἀρχαῖ' ἐκεῖν' οἷς Θέσπις ἠγωνίζετο·

1450—1461. = 1462—1473.

καὶ τοὺς τραγῳδοὺς φησιν ἀποδείξειν κρόνους
τοὺς νῦν, διορχησόμενος ὀλίγον ὕστερον.

ΦΙΛΟΚΛΕΩΝ.

τίς ἐπ' αὐλείοισι θύραις θάσσει;

ΞΑΝΘΙΑΣ.

τουτὶ καὶ δὴ χωρεῖ τὸ κακόν.

ΦΙΛΟΚΛΕΩΝ.

κλῇθρα χαλάσθω τάδε. καὶ δὴ γὰρ
σχήματος ἀρχὴ

ΞΑΝΘΙΑΣ.

μᾶλλον δέ γ' ἴσως μανίας ἀρχή.

ΦΙΛΟΚΛΕΩΝ.

πλευρὰν λυγίσαντος ὑπὸ ῥώμης,
οἷον μυκτὴρ μυκᾶται καὶ
σφόνδυλος ἀχεῖ·

ΞΑΝΘΙΑΣ.

πῖθ' ἐλλέβορον.

ΦΙΛΟΚΛΕΩΝ.

πτήσσει Φρύνιχος ὥς τις ἀλέκτωρ,

ΞΑΝΘΙΑΣ.

τάχα βαλλήσεις.

ΦΙΛΟΚΛΕΩΝ.

σκέλος οὐράνιόν γ' ἐκλακτίζων.
πρωκτὸς χάσκει.

ΞΑΝΘΙΑΣ.

κατὰ σαυτὸν ὅρα.

ΦΙΛΟΚΛΕΩΝ.

νῦν γὰρ ἐν ἄρθροις τοῖς ἡμετέροις
στρέφεται χαλαρὰ κοτυληδών.

ΒΔΕΛΥΚΛΕΩΝ.

οὐκ εὖ μὰ Δί' οὐ δῆτ', ἀλλὰ μανικὰ πράγματα.

ΦΙΛΟΚΛΕΩΝ.

φέρε νυν ἀνείπω κἀνταγωνιστὰς καλῶ.
εἴ τις τραγῳδός φησιν ὀρχεῖσθαι καλῶς,
ἐμοὶ διορχησόμενος ἐνθάδ' εἰσίτω.
φησίν τις, ἢ οὐδείς;

ΒΔΕΛΥΚΛΕΩΝ.

εἷς γ' ἐκεινοσὶ μόνος.

ΦΙΛΟΚΛΕΩΝ.

τίς ὁ κακοδαίμων ἐστίν;

ΒΔΕΛΥΚΛΕΩΝ.

υἱὸς Καρκίνου
ὁ μέσατος.

ΦΙΛΟΚΛΕΩΝ.

ἀλλ' οὗτός γε καταποθήσεται·
ἀπολῶ γὰρ αὐτὸν ἐμμελείᾳ κονδύλου.
ἐν τῷ ῥυθμῷ γὰρ οὐδέν ἐστ'.

ΒΔΕΛΥΚΛΕΩΝ.

ἀλλ', ὠζυρέ,
ἕτερος τραγῳδὸς Καρκινίτης ἔρχεται,
ἀδελφὸς αὐτοῦ.

ΦΙΛΟΚΛΕΩΝ.

νὴ Δί' ὀψώνηκ' ἄρα.

ΒΔΕΛΥΚΛΕΩΝ.

μὰ τὸν Δί' οὐδέν γ' ἄλλο πλήν γε καρκίνους.
προσέρχεται γὰρ ἕτερος αὖ τῶν Καρκίνου.

ΦΙΛΟΚΛΕΩΝ.

τουτὶ τί ἦν τὸ προσέρπον; ὀξίς, ἢ φάλαγξ;

ΒΔΕΛΥΚΛΕΩΝ.

ὁ πιννοτήρης οὗτός ἐστι τοῦ γένους,
ὁ σμικρότατος, ὃς τὴν τραγῳδίαν ποιεῖ.

ΦΙΛΟΚΛΕΩΝ.

ὦ Καρκίν', ὦ μακάριε τῆς εὐπαιδίας·
ὅσον τὸ πλῆθος κατέπεσεν τῶν ὀρχίλων.
ἀτὰρ καταβατέον γ' ἐπ' αὐτούς, ὠζυρέ.
ἅλμην κύκα τούτοισιν, ἢν ἐγὼ κρατῶ.

ΧΟΡΟΣ.

φέρε νυν ἡμεῖς αὐτοῖς ὀλίγον ξυγχωρήσωμεν ἅπαντες,
ἵν' ἐφ' ἡσυχίας ἡμῶν πρόσθεν βεμβικίζωσιν ἑαυτούς.
ἄγ', ὦ μεγαλώνυμα τέκνα
τοῦ θαλασσίοιο,
πηδᾶτε παρὰ ψάμαθον
καὶ θῖν' ἁλὸς ἀτρυγέτου,
καρίδων ἀδελφοί·
ταχὺν πόδα κυκλοσοβεῖτε,
καὶ τὸ Φρυνίχειον
ἐκλακτισάτω τις, ὅπως
ἰδόντες ἄνω σκέλος ὤ-
ζωσιν οἱ θεαταί.
στρόβει, παράβαινε κύκλῳ καὶ γάστρισον σεαυτόν,
ῥίπτε σκέλος οὐράνιον· βέμβικες ἐγγενέσθων.
καὐτὸς γὰρ ὁ ποντομέδων ἄναξ πατὴρ προσέρπει
ἡσθεὶς ἐπὶ τοῖσιν ἑαυτοῦ παισί, τοῖς τριόρχαις.
ἀλλ' ἐξάγετ', εἴ τι φιλεῖτ' ὀρχούμενοι, θύραζε
ἡμᾶς ταχύ· τοῦτο γὰρ οὐδείς πω πάρος δέδρακεν,
ὀρχούμενον ὅστις ἀπήλλαξεν χορὸν τρυγῳδῶν.

1518—1522. = 1523—1527.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΕΙΡΗΝΗ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΟΙΚΕΤΑΙ ΔΥΟ Τρυγαίου.*
*ΤΡΥΓΑΙΟΣ.*
*ΚΟΡΑΙ, θυγατέρες Τρυγαίου.*
*ΕΡΜΗΣ.*
*ΠΟΛΕΜΟΣ.*
*ΚΥΔΟΙΜΟΣ.*
*ΧΟΡΟΣ ΓΕΩΡΓΩΝ.*
*ΙΕΡΟΚΛΗΣ, μάντις.*
*ΔΡΕΠΑΝΟΥΡΓΟΣ.*
*ΛΟΦΟΠΟΙΟΣ.*
*ΘΩΡΑΚΟΠΩΛΗΣ.*
*ΣΑΛΠΙΓΓΟΠΟΙΟΣ.*
*ΚΡΑΝΟΠΩΛΗΣ.*
*ΔΟΡΥΞΟΣ.*
*ΠΑΙΣ ΛΑΜΑΧΟΥ.*
*ΠΑΙΣ ΚΛΕΩΝΥΜΟΥ.*
*ΕΙΡΗΝΗ, ΟΠΩΡΑ, ΘΕΩΡΙΑ — κωφὰ πρόσωπα.*

## *ΥΠΟΘΕΣΙΣ.*

*Ἤδη τῷ Πελοποννησιακῷ πολέμῳ κεκμηῶτας τοὺς Ἀθηναίους καὶ τοὺς σύμπαντας Ἕλληνας Ἀριστοφ[...]
ἰδὼν, ἱκανὸς γὰρ διιππεύκει πολεμούντων αὐτῶν χρόνος, τὸ δρᾶμα συνέγραψε τοῦτο, προτρέπων τὰς [...]
λεις καταθέσθαι μὲν τὴν πρὸς αὐτὰς φιλονεικίαν, ὁμόνοιαν δὲ καὶ εἰρήνην ἀντὶ τῆς πρότερον ἔχθρας [...]
σθαι. παρεισάγει τοίνυν γεωργὸν, Τρυγαῖον τοὔνομα, μάλιστα τῆς εἰρήνης ἀντιποιούμενον. ὃς ἀσχάλ[...]
ἐπὶ τῷ πολέμῳ εἰς οὐρανὸν ἀνελθεῖν ἐβουλεύσατο πρὸς τὸν Δία, πευσόμενος παρ' αὐτοῦ δι' ἣν αἰ[...]
οὕτως ἐκτρύχει τὰ τῶν Ἑλλήνων πράγματα, τοσοῦτον ποιήσας πόλεμον αὐτοῖς. ὃν δὴ διαποροῦντα [...]
τρόπον τὴν εἰς οὐρανὸν πορείαν ποιήσει, παρεισάγει τρέφοντα κάνθαρον ὡς ἀναπτησόμενον εἰς οὐρα[...]
δι' αὐτοῦ, Βελλεροφόντου δίκην. προλογίζουσι δὲ οἱ δύο θεράποντες αὐτοῦ, οἷς καὶ ἐκτρέφειν προσ[...]
ταχτο τὸν κάνθαρον, δυσφοροῦντες ἐπὶ τοῖς αὐτοῦ σιτίοις. ἡ δὲ σκηνὴ τοῦ δράματος ἐκ μέρους μὲν [...]
τῆς γῆς, ἐκ μέρους δὲ ἐπὶ τοῦ οὐρανοῦ. ὁ δὲ χορὸς συνέστηκεν ἔκ τινων ἀνδρῶν Ἀττικῶν γεωργῶν.*

*Φέρεται ἐν ταῖς διδασκαλίαις καὶ ἑτέραν δεδιδαχὼς Εἰρήνην ὁμοίως ὁ Ἀριστοφάνης. ἄδηλον οὖν φ[...]
Ἐρατοσθένης, πότερον τὴν αὐτὴν ἀνεδίδαξεν, ἢ ἑτέραν καθῆκεν, ἥτις οὐ σώζεται. Κράτης μέντοι δύο [...]
δράματα γράφων οὕτως· ἀλλ' οὖν γε ἐν τοῖς Ἀχαρνεῦσιν, ἢ Βαβυλωνίοις, ἢ ἐν τῇ ἑτέρᾳ Εἰρήνῃ. καὶ σ[...]
ράδην δέ τινα ποιήματα παρατίθεται, ἅπερ ἐν τῇ νῦν φερομένῃ οὐκ ἔστιν.*

---

*Ἐνίκησε δὲ τῷ δράματι ὁ ποιητὴς ἐπὶ ἄρχοντος Ἀλκαίου, ἐν ἄστει. πρῶτος Εὔπολις Κόλαξι, δεύτ[...]
Ἀριστοφάνης Εἰρήνῃ, τρίτος Λεύκων Φράτορσι. τὸ δὲ δρᾶμα ὑπεκρίνατο Ἀπολλόδωρος, ἡνίκα ἑρμῆν λ[...]
κρότης (ἡνίκα ἔτ' ἦν ὑποκριτής?).*

# Ε Ι Ρ Η Ν Η.

ΟΙΚΕΤΗΣ Α.

Αἴρ' αἶρε μᾶζαν ὡς τάχιστα κανθάρῳ.

ΟΙΚΕΤΗΣ Β.

ἰδού.

ΟΙΚΕΤΗΣ Α.

δὸς αὐτῷ τῷ κάκιστ' ἀπολουμένῳ.

ΟΙΚΕΤΗΣ Β.

καὶ μήποτ' αὐτῆς μᾶζαν ἡδίω φάγοι.

ΟΙΚΕΤΗΣ Α.

δὸς μᾶζαν ἑτέραν ἐξ ὀνίδων πεπλασμένην.

ΟΙΚΕΤΗΣ Β.

ἰδοὺ μάλ' αὖθις.

ΟΙΚΕΤΗΣ Α.

ποῦ γὰρ ἣν νῦν δὴ 'φερες;
οὐ κατέφαγεν;

ΟΙΚΕΤΗΣ Β.

μὰ τὸν Δί', ἀλλ' ἐξαρπάσας
ὅλην ἐνέκαψε περικυλίσας τοῖν ποδοῖν.

ΟΙΚΕΤΗΣ Α.

ἀλλ' ὡς τάχιστα τρῖβε πολλὰς καὶ πυκνάς.

ΟΙΚΕΤΗΣ Β.

ἄνδρες κοπρολόγοι, προσλάβεσθε πρὸς θεῶν,
εἰ μή με βούλεσθ' ἀποπνιγέντα περιιδεῖν.

ΟΙΚΕΤΗΣ Α.

ἑτέραν ἑτέραν δὸς παιδὸς ἡταιρηκότος·
τετριμμένης γάρ φησιν ἐπιθυμεῖν.

ΟΙΚΕΤΗΣ Β.

ἰδού.
ἑνὸς μὲν, ὦνδρες, ἀπολελύσθαι μοι δοκῶ·
οὐδεὶς γὰρ ἂν φαίη με μάττοντ' ἐσθίειν.

ΟΙΚΕΤΗΣ Α.

αἰβοῖ, φέρ' ἄλλην, χἀτέραν μοι χἀτέραν,
καὶ τρῖβ' ἔθ' ἑτέρας.

ΟΙΚΕΤΗΣ Β.

μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ·
οὐ γὰρ ἔθ' οἷός τ' εἴμ' ὑπερέχειν τῆς ἀντλίας.
αὐτὴν ἄρ' οἴσω συλλαβὼν τὴν ἀντλίαν.

ΟΙΚΕΤΗΣ Α.

νὴ τὸν Δί' ἐς κόρακάς γε, καὶ σαυτόν γε πρός.

ΟΙΚΕΤΗΣ Β.

ὑμῶν δέ γ' εἴ τις οἶδ' ἐμοὶ κατειπάτω
πόθεν ἂν πριαίμην ῥῖνα μὴ τετρημένην.
οὐδὲν γὰρ ἔργον ἦν ἄρ' ἀθλιώτερον
ἢ κανθάρῳ μάττοντα παρέχειν ἐσθίειν.
ὗς μὲν γὰρ, ὥσπερ ἂν χέσῃ τις, ἢ κύων,
φαύλως ἐρείδει· τοῦτο δ' ὑπὸ φρονήματος
βρενθύεταί τε καὶ φαγεῖν οὐκ ἀξιοῖ,
ἢν μὴ παραθῶ τρίψας δι' ἡμέρας ὅλης
ὥσπερ γυναικὶ γογγύλην μεμαγμένην.
ἀλλ' εἰ πέπαυται τῆς ἐδωδῆς σκέψομαι
τηδὶ παροίξας τῆς θύρας, ἵνα μή μ' ἴδῃ.
ἔρειδε, μὴ παύσαιο μηδέποτ' ἐσθίων
τέως ἕως σαυτὸν λάθῃς διαρραγείς.
οἷον δὲ κύψας ὁ κατάρατος ἐσθίει,
ὥσπερ παλαιστὴς, παραβαλὼν τοὺς γομφίους,
καὶ ταῦτα τὴν κεφαλήν τε καὶ τὼ χεῖρέ πως
ὡδὶ περιάγων, ὥσπερ οἱ τὰ σχοινία
τὰ παχέα συμβάλλοντες εἰς τὰς ὁλκάδας.
μιαρὸν τὸ χρῆμα καὶ κάκοσμον καὶ βορὸν,
χὤτου ποτ' ἐστὶ δαιμόνων ἡ προσβολὴ
οὐκ οἶδ'. Ἀφροδίτης μὲν γὰρ οὔ μοι φαίνεται,
οὐ μὴν Χαρίτων γε.

ΟΙΚΕΤΗΣ Α.

τοῦ γάρ ἐστ';

ΟΙΚΕΤΗΣ Β.

οὐκ ἔσθ' ὅπως
τοῦτ' ἔστι τὸ τέρας οὐ Διὸς καταιβάτου.
οὐκοῦν ἂν ἤδη τῶν θεατῶν τις λέγοι
νεανίας δοκησίσοφος, τὸ δὲ πρᾶγμα τί;
ὁ κάνθαρος δὲ πρὸς τί; κᾆτ' αὐτῷ γ' ἀνὴρ
Ἰωνικός τίς φησι παρακαθήμενος·
δοκέω μὲν, ἐς Κλέωνα τοῦτ' αἰνίττεται,
ὡς κεῖνος ἀναιδέως σπατίλην ἐσθίει.
ἀλλ' εἰσιὼν τῷ κανθάρῳ δώσω πιεῖν.

ΟΙΚΕΤΗΣ Α.

ἐγὼ δὲ τὸν λόγον γε τοῖσι παιδίοις
καὶ τοῖσιν ἀνδρίοισι καὶ τοῖς ἀνδράσι
καὶ τοῖς ὑπερτάτοισιν ἀνδράσιν φράσω
καὶ τοῖς ὑπερηνορέουσιν ἔτι τούτοις μάλα.
ὁ δεσπότης μου μαίνεται καινὸν τρόπον,
οὐχ ὅνπερ ὑμεῖς, ἀλλ' ἕτερον καινὸν πάνυ.
δι' ἡμέρας γὰρ εἰς τὸν οὐρανὸν βλέπων
ὡδὶ κεχηνὼς λοιδορεῖται τῷ Διί,
καί φησιν, ὦ Ζεῦ, τί ποτε βουλεύει ποιεῖν;
κατάθου τὸ κόρημα· μὴ 'κκόρει τὴν Ἑλλάδα.

ΤΡΥΓΑΙΟΣ.

ἔα ἔα.

ΟΙΚΕΤΗΣ Α.

σιγήσαθ', ὡς φωνῆς ἀκούειν μοι δοκῶ.

ΤΡΥΓΑΙΟΣ.

ὦ Ζεῦ, τί δρασείεις ποθ' ἡμῶν τὸν λεών;
λήσεις σεαυτὸν τὰς πόλεις ἐκκοκκίσας.

ΟΙΚΕΤΗΣ Α.

τοῦτ' ἔστι τουτὶ τὸ κακὸν αὔθ' οὐγὼ 'λεγον.
τὸ γὰρ παράδειγμα τῶν μανιῶν ἀκούετε·
ἃ δ' εἶπε πρῶτον ἡνίκ' ἤρχεθ' ἡ χολὴ,
πεύσεσθ'. ἔφασκε γὰρ πρὸς αὑτὸν ἐνθαδί·
πῶς ἄν ποτ' ἀφικοίμην ἂν εὐθὺ τοῦ Διός;
ἔπειτα λεπτὰ κλιμάκια ποιούμενος,
πρὸς ταῦτ' ἀνερριχᾶτ' ἂν εἰς τὸν οὐρανὸν,
ἕως ξυνετρίβη τῆς κεφαλῆς καταρρυείς.
ἐχθὲς δὲ μετὰ ταῦτ' ἐκφθαρεὶς οὐκ οἶδ' ὅποι
εἰσήγαγ' Αἰτναῖον μέγιστον κάνθαρον,

κἄπειτα τοῦτον ἱπποκομεῖν μ' ἠνάγκασεν,
καὐτὸς καταψῶν αὐτὸν ὥσπερ πωλίον,
ὦ Πηγάσιόν μοί φησι, γενναῖον πτερὸν,
ὅπως πετήσει μ' εὐθὺ τοῦ Διὸς λαβών.
ἀλλ' ὅ τι ποιεῖ τηδὶ διακύψας ὄψομαι.
οἴμοι τάλας· ἴτε δεῦρο δεῦρ', ὦ γείτονες·
ὁ δεσπότης γάρ μου μετέωρος αἴρεται
ἱππηδὸν εἰς τὸν ἀέρ' ἐπὶ τοῦ κανθάρου.

ΤΡΥΓΑΙΟΣ.

ἥσυχος ἥσυχος, ἠρέμα, κάνθων·
μή μοι σοβαρῶς χώρει λίαν
εὐθὺς ἀπ' ἀρχῆς ῥώμῃ πίσυνος,
πρὶν ἂν ἰδίῃς καὶ διαλύσῃς
ἄρθρων ἶνας πτερύγων ῥύμῃ.
καὶ μὴ πνεῖ μοι κακὸν, ἀντιβολῶ σ'·
εἰ δὲ ποιήσεις τοῦτο, κατ' οἴκους
αὐτοῦ μεῖνον τοὺς ἡμετέρους.

ΟΙΚΕΤΗΣ Α.

ὦ δέσποτ' ἄναξ, ὡς παραπαίεις.

ΤΡΥΓΑΙΟΣ.

σίγα σίγα.

ΟΙΚΕΤΗΣ Α.

ποῖ δῆτ' ἄλλως μετεωροκοπεῖς;

ΤΡΥΓΑΙΟΣ.

ὑπὲρ Ἑλλήνων πάντων πέτομαι,
τόλμημα νέον παλαμησάμενος.

ΟΙΚΕΤΗΣ Α.

τί πέτει; τί μάτην οὐχ ὑγιαίνεις;

ΤΡΥΓΑΙΟΣ.

εὐφημεῖν χρὴ καὶ μὴ φλαῦρον
μηδὲν γρύζειν, ἀλλ' ὀλολύζειν·
τοῖς ἀνθρώποις τε φράσον σιγᾶν,
τούς τε κοπρῶνας καὶ τὰς λαύρας
καιναῖς πλίνθοισιν ἀνοικοδομεῖν,
καὶ τοὺς πρωκτοὺς ἐπικλείειν.

ΟΙΚΕΤΗΣ Α.

οὐκ ἔσθ' ὅπως σιγήσομ', ἢν μή μοι φράσῃς
ὅποι πέτεσθαι διανοεῖ.

ΤΡΥΓΑΙΟΣ.

τί δ' ἄλλο γ' ἢ
ὡς τὸν Δί' εἰς τὸν οὐρανόν;

ΟΙΚΕΤΗΣ Α.

τίνα νοῦν ἔχων;

ΤΡΥΓΑΙΟΣ.

ἐρησόμενος ἐκεῖνον Ἑλλήνων πέρι
ἁπαξαπάντων ὅ τι ποιεῖν βουλεύεται.

ΟΙΚΕΤΗΣ Α.

ἐὰν δὲ μή σοι καταγορεύσῃ;

ΤΡΥΓΑΙΟΣ.

γράψομαι
Μήδοισιν αὐτὸν προδιδόναι τὴν Ἑλλάδα.

ΟΙΚΕΤΗΣ Α.

μὰ τὸν Διόνυσον οὐδέποτε ζῶντός γ' ἐμοῦ.

ΤΡΥΓΑΙΟΣ.

οὐκ ἔστι παρὰ ταῦτ' ἄλλ'.

ΟΙΚΕΤΗΣ Α.

ἰοὺ ἰοὺ ἰού·
ὦ παιδί', ὁ πατὴρ ἀπολιπὼν ἀπέρχεται
ὑμᾶς ἐρήμους εἰς τὸν οὐρανὸν λάθρα.
ἀλλ' ἀντιβολεῖτε τὸν πατέρ', ὦ κακοδαίμονα.

ΚΟΡΗ.

ὦ πάτερ, ὦ πάτερ, ἦ ῥ' ἔτυμός γε
δώμασιν ἡμετέροις φάτις ἥκει
ὡς σὺ μετ' ὀρνίθων προλιπὼν ἐμὲ
ἐς κόρακας βαδιεῖ μεταμώνιος;
ἔστι τι τῶνδ' ἐτύμως; εἴπ', ὦ πάτερ, εἴ τι φ
λεῖς με.

ΤΡΥΓΑΙΟΣ.

δοξάσαι ἔστι, κόραι· τὸ δ' ἐτήτυμον, ἄχθ
μαι ὑμῖν,
ἡνίκ' ἂν αἰτίζητ' ἄρτον, πάππαν με καλοῦσαι,
ἔνδον δ' ἀργυρίου μηδὲ ψακὰς ᾖ πάνυ πάμπ
ἢν δ' ἐγὼ εὖ πράξας ἔλθω πάλιν, ἕξετ' ἐν ὥ
κολλύραν μεγάλην καὶ κόνδυλον ὄψον ἐπ' αὐ

ΚΟΡΗ.

καὶ τίς πόρος σοι τῆς ὁδοῦ γενήσεται;
ναῦς μὲν γὰρ οὐκ ἄξει σε ταύτην τὴν ὁδόν.

ΤΡΥΓΑΙΟΣ.

πτηνὸς πορεύσει πῶλος· οὐ ναυσθλώσομαι.

ΚΟΡΗ.

τίς δ' ἠπίνοιά σοὔστιν ὥστε κάνθαρον
ζεύξαντ' ἐλαύνειν εἰς θεοὺς, ὦ παππία;

ΤΡΥΓΑΙΟΣ.

ἐν τοῖσιν Αἰσώπου λόγοις ἐξευρέθη
μόνος πετεινῶν εἰς θεοὺς ἀφιγμένος.

ΚΟΡΗ.

ἄπιστον εἶπας μῦθον, ὦ πάτερ πάτερ,
ὅπως κάκοσμον ζῶον ἦλθεν εἰς θεούς.

ΤΡΥΓΑΙΟΣ.

ἦλθεν κατ' ἔχθραν ἀετοῦ πάλαι ποτὲ,
ᾧ' ἐκκυλίνδων κἀντιτιμωρούμενος.

ΚΟΡΗ.

οὐκοῦν ἐχρῆν σε Πηγάσου ζεῦξαι πτερὸν,
ὅπως ἐφαίνου τοῖς θεοῖς τραγικώτερος.

ΤΡΥΓΑΙΟΣ.

ἀλλ' ὦ μέλ' ἄν μοι σιτίων διπλῶν ἔδει·
νῦν δ' ἅττ' ἂν αὐτὸς καταφάγω τὰ σιτία,
τούτοισι τοῖς αὐτοῖσι τοῦτον χορτάσω.

ΚΟΡΗ.

τί δ', ἢν ἐς ὑγρὸν πόντιον πέσῃ βάθος;
πῶς ἐξολισθεῖν πτηνὸς ὢν δυνήσεται;

ΤΡΥΓΑΙΟΣ.

ἐπίτηδες εἶχον πηδάλιον, ᾧ χρήσομαι·
τὸ δὲ πλοῖον ἔσται Ναξιουργὴς κάνθαρος.

ΚΟΡΗ.

λιμὴν δὲ τίς σε δέξεται φορούμενον;

ΤΡΥΓΑΙΟΣ.

ἐν Πειραεῖ δήπου 'στὶ Κανθάρου λιμήν.

ΚΟΡΗ.

ἐκεῖνο τήρει, μὴ σφαλεὶς καταρρυῇς
ἐντεῦθεν, εἶτα χωλὸς ὢν Εὐριπίδῃ
λόγον παράσχῃς καὶ τραγῳδία γένῃ.

ΤΡΥΓΑΙΟΣ.

ἐμοὶ μελήσει ταῦτά γ'. ἀλλὰ χαίρετε.
ὑμεῖς δέ γ', ὑπὲρ ὧν τοὺς πόνους ἐγὼ πονῶ,
μὴ βδεῖτε μηδὲ χέζεθ' ἡμερῶν τριῶν·
ὡς εἰ μετέωρος οὗτος ὢν ὀσφρήσεται,
κάτω κάρα ῥίψας με βουκολήσεται.
ἀλλ' ἄγε, Πήγασε, χώρει χαίρων,
χρυσοχάλινον πάταγον ψαλίων

διακινήσας φαιδροῖς ὠσίν.
τί ποιεῖς, τί ποιεῖς; ποῖ παρακλίνεις
τοὺς μυκτῆρας πρὸς τὰς λαύρας;
ἵει σαυτὸν θαρρῶν ἀπὸ γῆς,
κᾆτα δρομαίαν πτέρυγ' ἐκτείνων
ὀρθῶς χώρει Διὸς εἰς αὐλάς,
ἀπὸ μὲν κάκκης τὴν ῥῖν' ἀπέχων,
ἀπὸ δ' ἡμερινῶν σίτων πάντων.
ἄνθρωπε, τί δρᾷς, οὗτος ὁ χέζων
ἐν Πειραεῖ παρὰ ταῖς πόρναις;
ἀπολεῖς μ', ἀπολεῖς. οὐ κατορύξεις,
κἀπιφορήσεις τῆς γῆς πολλήν,
κἀπιφυτεύσεις ἕρπυλλον ἄνω,
καὶ μύρον ἐπιχεῖς; ὡς ἤν τι πεσὼν
ἐνθένδε πάθω, τοὐμοῦ θανάτου
πέντε τάλανθ' ἡ πόλις ἡ Χίων
διὰ τὸν σὸν πρωκτὸν ὀφλήσει.
οἴμ' ὡς δέδοικα κοὐκέτι σκώπτων λέγω.
ὦ μηχανοποιέ, πρόσεχε τὸν νοῦν ὡς ἐμέ·
ἤδη στροφεῖ τι πνεῦμα περὶ τὸν ὀμφαλόν,
κεἰ μὴ φυλάξεις, χορτάσω τὸν κάνθαρον.
ἀτὰρ ἐγγὺς εἶναι τῶν θεῶν ἐμοὶ δοκῶ,
καὶ δὴ καθορῶ τὴν οἰκίαν τὴν τοῦ Διός.
τίς ἐν Διὸς θύραισιν; οὐκ ἀνοίξετε;

ΕΡΜΗΣ.

πόθεν βροτοῦ με προσέβαλ'; ὦναξ Ἡράκλεις,
τουτὶ τί ἐστι τὸ κακόν;

ΤΡΥΓΑΙΟΣ.

ἱπποκάνθαρος.

ΕΡΜΗΣ.

ὦ βδελυρὲ καὶ τολμηρὲ κἀναίσχυντε σὺ
καὶ μιαρὲ καὶ παμμίαρέ καὶ μιαρώτατε,
πῶς δεῦρ' ἀνῆλθες, ὦ μιαρῶν μιαρώτατε;
τί σοί ποτ' ἔστ' ὄνομ'; οὐκ ἐρεῖς;

ΤΡΥΓΑΙΟΣ.

μιαρώτατος.

ΕΡΜΗΣ.

ποδαπὸς τὸ γένος δ' εἶ; φράζε μοι.

ΤΡΥΓΑΙΟΣ.

μιαρώτατος.

ΕΡΜΗΣ.

πατὴρ δέ σοι τίς ἐστιν;

ΤΡΥΓΑΙΟΣ.

ἐμοί; μιαρώτατος.

ΕΡΜΗΣ.

οὔ τοι μὰ τὴν Γῆν ἔσθ' ὅπως οὐκ ἀποθανεῖ,
εἰ μὴ κατερεῖς μοι τοὔνομ' ὅ τι ποτ' ἔστι σοι.

ΤΡΥΓΑΙΟΣ.

Τρυγαῖος Ἀθμονεύς, ἀμπελουργὸς δεξιός,
οὐ συκοφάντης, οὐδ' ἐραστὴς πραγμάτων.

ΕΡΜΗΣ.

ἥκεις δὲ κατὰ τί;

ΤΡΥΓΑΙΟΣ.

τὰ κρέα ταυτί σοι φέρων.

ΕΡΜΗΣ.

ὦ δειλακρίων, πῶς ἦλθες;

ΤΡΥΓΑΙΟΣ.

ὦ γλίσχρων, ὁρᾷς
ὡς οὐκέτ' εἶναί σοι δοκῶ μιαρώτατος;
ἴθι νυν, κάλεσόν μοι τὸν Δί'.

ΕΡΜΗΣ.

ἰὴ ἰὴ ἰή,
ὅτ' οὐδὲ μέλλεις ἐγγὺς εἶναι τῶν θεῶν·
φροῦδοι γὰρ ἐχθές εἰσιν ἐξῳκισμένοι.

ΤΡΥΓΑΙΟΣ.

ποῖ γῆς;

ΕΡΜΗΣ.

ἰδοὺ γῆς.

ΤΡΥΓΑΙΟΣ.

ἀλλὰ ποῖ;

ΕΡΜΗΣ.

πόρρω πάνυ,
ὑπ' αὐτὸν ἀτεχνῶς τοὐρανοῦ τὸν κύτταρον.

ΤΡΥΓΑΙΟΣ.

πῶς οὖν σὺ δῆτ' ἐνταῦθα κατελείφθης μόνος;

ΕΡΜΗΣ.

τὰ λοιπὰ τηρῶ σκευάρια τὰ τῶν θεῶν,
χυτρίδια καὶ σανίδια κἀμφορείδια.

ΤΡΥΓΑΙΟΣ.

ἐξῳκίσαντο δ' οἱ θεοὶ τίνος οὕνεκα;

ΕΡΜΗΣ.

Ἕλλησιν ὀργισθέντες. εἶτ' ἐνταῦθα μέν,
ἵν' ἦσαν αὐτοί, τὸν Πόλεμον κατῴκισαν,
ὑμᾶς παραδόντες δρᾶν ἀτεχνῶς ὅ τι βούλεται·
αὐτοὶ δ' ἀνῳκίσανθ' ὅπως ἀνωτάτω,
ἵνα μὴ βλέποιεν μαχομένους ὑμᾶς ἔτι
μηδ' ἀντιβολούντων μηδὲν αἰσθανοίατο.

ΤΡΥΓΑΙΟΣ.

τοῦ δ' οὕνεχ' ἡμᾶς ταῦτ' ἔδρασαν; εἰπέ μοι.

ΕΡΜΗΣ.

ὁτιὴ πολεμεῖν ᾑρεῖσθ' ἐκείνων πολλάκις
σπονδὰς ποιούντων· κεἰ μὲν οἱ Λακωνικοὶ
ὑπερβάλοιντο μικρόν, ἔλεγον ἂν ταδί·
ναὶ τὼ σιώ, νῦν ὡττικίων δώσει δίκην.
εἰ δ' αὖ τι πράξαιντ' ἀγαθὸν ἀττικωνικοὶ
κἄλθοιεν οἱ Λάκωνες εἰρήνης πέρι,
ἐλέγετ' ἂν ὑμεῖς εὐθύς· ἐξαπατώμεθα
νὴ τὴν Ἀθηνᾶν, νὴ Δί', οὐχὶ πειστέον·
ἥξουσι καὖθις, ἢν ἔχωμεν τὴν Πύλον.

ΤΡΥΓΑΙΟΣ.

ὁ γοῦν χαρακτὴρ ἡμεδαπὸς τῶν ῥημάτων.

ΕΡΜΗΣ.

ὧν οὕνεκ' οὐκ οἶδ' εἴ ποτ' Εἰρήνην ἔτι
τὸ λοιπὸν ὄψεσθ'.

ΤΡΥΓΑΙΟΣ.

ἀλλὰ ποῖ γὰρ οἴχεται;

ΕΡΜΗΣ.

ὁ Πόλεμος αὐτὴν ἐνέβαλ' εἰς ἄντρον βαθύ.

ΤΡΥΓΑΙΟΣ.

εἰς ποῖον;

ΕΡΜΗΣ.

εἰς τουτὶ τὸ κάτω. κἄπειθ' ὁρᾷς
ὅσους ἄνωθεν ἐπεφόρησε τῶν λίθων,
ἵνα μὴ λάβητε μηδέποτ' αὐτήν.

ΤΡΥΓΑΙΟΣ.

εἰπέ μοι,
ἡμᾶς δὲ δὴ τί δρᾶν παρασκευάζεται;

ΕΡΜΗΣ.

οὐκ οἶδα πλὴν ἕν, ὅτι θυείαν ἑσπέρας
ὑπερφυᾶ τὸ μέγεθος εἰσηνέγκατο.

ΤΡΥΓΑΙΟΣ.

τί δῆτα ταύτῃ τῇ θυείᾳ χρήσεται;

ΕΡΜΗΣ.

τρίβειν ἐν αὐτῇ τὰς πόλεις βουλεύεται.
ἀλλ' εἶμι· καὶ γὰρ ἐξιέναι, γνώμην ἐμὴν,
μέλλει· θορυβεῖ γοῦν ἔνδοθεν.

ΤΡΥΓΑΙΟΣ.

οἴμοι δείλαιος.
φέρ' αὐτὸν ἀποδρῶ· καὶ γὰρ ὥσπερ ᾐσθόμην
καὐτὸς θυείας φθέγμα πολεμιστηρίας.

ΠΟΛΕΜΟΣ.

ἰὼ βροτοὶ βροτοὶ βροτοὶ πολυτλήμονες,
ὡς αὐτίκα μάλα τὰς γνάθους ἀλγήσετε.

ΤΡΥΓΑΙΟΣ.

ὦναξ Ἄπολλον, τῆς θυείας τοῦ πλάτους.
ὅσον κακὸν καὶ τοῦ Πολέμου τοῦ βλέμματος.
ἆρ' οὗτός ἐστ' ἐκεῖνος ὃν καὶ φεύγομεν,
ὁ δεινὸς, ὁ ταλαύρινος, ὁ κατὰ τοῖν σκελοῖν;

ΠΟΛΕΜΟΣ.

ἰὼ Πρασιαὶ τρισάθλιαι καὶ πεντάκις
καὶ πολλοδεκάκις, ὡς ἀπολεῖσθε τήμερον.

ΤΡΥΓΑΙΟΣ.

τουτὶ μὲν, ἄνδρες, οὐδὲν ἡμῖν πρᾶγμά πω·
τὸ γὰρ κακὸν τοῦτ' ἐστὶ τῆς Λακωνικῆς.

ΠΟΛΕΜΟΣ.

ὦ Μέγαρα Μέγαρ', ὡς ἐπιτετρίψεσθ' αὐτίκα
ἁπαξάπαντα καταμεμυττωτευμένα.

ΤΡΥΓΑΙΟΣ.

βαβαὶ βαβαιὰξ, ὡς μεγάλα καὶ δριμέα
τοῖσιν Μεγαρεῦσιν ἐνέβαλεν τὰ κλαύματα.

ΠΟΛΕΜΟΣ.

ἰὼ Σικελία, καὶ σὺ δ' ὡς ἀπόλλυσαι.
οἵα πόλις τάλαινα διακναισθήσεται.
φέρ' ἐπιχέω καὶ τὸ μέλι τουτὶ τἀττικόν.

ΤΡΥΓΑΙΟΣ.

οὗτος, παραινῶ σοι μέλιτι χρῆσθἀτέρῳ.
τετρώβολον τοῦτ' ἔστι· φείδου τἀττικοῦ.

ΠΟΛΕΜΟΣ.

παῖ παῖ Κυδοιμέ.

ΚΥΔΟΙΜΟΣ.

τί με καλεῖς;

ΠΟΛΕΜΟΣ.

κλαύσει μακρά.
ἕστηκας ἀργός; οὑτοσί σοι κόνδυλος.

ΤΡΥΓΑΙΟΣ.

ὡς δριμύς.

ΚΥΔΟΙΜΟΣ.

οἴμοι μοι τάλας, ὦ δέσποτα.

ΤΡΥΓΑΙΟΣ.

μῶν τῶν σκορόδων ἐνέβαλεν εἰς τὸν κόνδυλον;

ΠΟΛΕΜΟΣ.

οἴσεις ἀλετρίβανον τρέχων;

ΚΥΔΟΙΜΟΣ.

ἀλλ', ὦ μέλε,
οὐκ ἔστιν ἡμῖν· ἐχθὲς εἰσῳκίσμεθα.

ΠΟΛΕΜΟΣ.

οὔκουν παρ' Ἀθηναίων γε μεταθρέξει ταχύ;

ΚΥΔΟΙΜΟΣ.

ἔγωγε νὴ Δί'· εἰ δὲ μή γε, κλαύσομαι.

ΤΡΥΓΑΙΟΣ.

ἄγε δὴ, τί δρῶμεν, ὦ πονήρ' ἀνθρώπια;
ὁρᾶτε τὸν κίνδυνον ἡμῖν ὡς μέγας·
εἴπερ γὰρ ἥξει τὸν ἀλετρίβανον φέρων,
τούτῳ ταράξει τὰς πόλεις καθήμενος.
ἀλλ', ὦ Διόνυσ', ἀπόλοιτο καὶ μὴ 'λθοι φέρ[ων]

ΠΟΛΕΜΟΣ.

οὗτος.

ΚΥΔΟΙΜΟΣ.

τί ἔστιν;

ΠΟΛΕΜΟΣ.

οὐ φέρεις;

ΚΥΔΟΙΜΟΣ.

τὸ δεῖνα γὰρ,
ἀπόλωλ' Ἀθηναίοισιν ἀλετρίβανος,
ὁ βυρσοπώλης, ὃς ἐκύκα τὴν Ἑλλάδα.

ΤΡΥΓΑΙΟΣ.

εὖ γ', ὦ πότνια δέσποιν' Ἀθηναία, ποιῶν
ἀπόλωλ' ἐκεῖνος κἀν δέοντι τῇ πόλει.

ΠΟΛΕΜΟΣ.

οὔκουν ἕτερόν γέ τιν' ἐκ Λακεδαίμονος μετ[αθρέξει]
ἀνύσας τι;

ΚΥΔΟΙΜΟΣ.

ταῦτ', ὦ δέσποθ'.

ΠΟΛΕΜΟΣ.

ἧκέ νυν ταχύ.

ΤΡΥΓΑΙΟΣ.

ὦνδρες, τί πεισόμεσθα; νῦν ἀγὼν μέγας.
ἀλλ' εἴ τις ὑμῶν ἐν Σαμοθρᾴκῃ τυγχάνει
μεμυημένος, νῦν ἐστιν εὔξασθαι καλὸν
ἀποστραφῆναι τοῦ μετιόντος τὼ πόδε.

ΚΥΔΟΙΜΟΣ.

οἴμοι τάλας, οἴμοι γε, κἄτ' οἴμοι μάλα.

ΠΟΛΕΜΟΣ.

τί ἔστι; μῶν οὐκ αὖ φέρεις;

ΚΥΔΟΙΜΟΣ.

ἀπόλωλε γὰρ
καὶ τοῖς Λακεδαιμονίοισιν ἀλετρίβανος.

ΠΟΛΕΜΟΣ.

πῶς, ὦ πανοῦργ';

ΚΥΔΟΙΜΟΣ.

ἐς τἀπὶ Θρᾴκης χωρία
χρήσαντες ἑτέροις αὐτὸν εἶτ' ἀπώλεσαν.

ΤΡΥΓΑΙΟΣ.

εὖ γ', εὖ γε ποιήσαντες, ὦ Διοσκόρω.
ἴσως ἂν εὖ γένοιτο· θαρρεῖτ', ὦ βροτοί.

ΠΟΛΕΜΟΣ.

ἀπόφερε τὰ σκεύη λαβὼν ταυτὶ πάλιν·
ἐγὼ δὲ δοίδυκ' εἰσιὼν ποιήσομαι.

ΤΡΥΓΑΙΟΣ.

νῦν τοῦτ' ἐκεῖν' ἥκει τὸ Δάτιδος μέλος,
ὅ δεφόμενός ποτ' ᾖδε τῆς μεσημβρίας,
ὡς ἥδομαι καὶ χαίρομαι κεὐφραίνομαι.
νῦν ἐστιν ἡμῖν, ὦνδρες Ἕλληνες, καλὸν
ἀπαλλαγεῖσι πραγμάτων τε καὶ μαχῶν
ἐξελκύσαι τὴν πᾶσιν Εἰρήνην φίλην,
πρὶν ἕτερον αὖ δοίδυκα κωλῦσαί τινα.

---

Post 272. sequebatur
ἢ πρίν γε τὸν μυττωτὸν ἡμῖν ἐγχέαι.

ἀλλ', ὦ γεωργοὶ κἄμποροι καὶ τέκτονες
καὶ δημιουργοὶ καὶ μέτοικοι καὶ ξένοι
καὶ νησιῶται, δεῦρ' ἴτ', ὦ πάντες λεῴ,
ὡς τάχιστ' ἄμας λαβόντες καὶ μοχλοὺς καὶ σχοινία·
νῦν γὰρ ἡμῖν ἁρπάσαι πάρεστιν ἀγαθοῦ δαίμονος.

ΧΟΡΟΣ.

δεῦρο πᾶς χώρει προθύμως εὐθὺ τῆς σωτηρίας.
ὦ Πανέλληνες, βοηθήσωμεν, εἴπερ πώποτε,
τάξεων ἀπαλλαγέντες καὶ κακῶν φοινικικῶν·
ἡμέρα γὰρ ἐξέλαμψεν ἥδε μισολάμαχος.
πρὸς τάδ' ἡμῖν, εἴ τι χρὴ δρᾶν, φράζε κἀρχιτεκτόνει,
οὐ γὰρ ἔσθ' ὅπως ἀπειπεῖν ἂν δοκῶ μοι τήμερον,
πρὶν μοχλοῖς καὶ μηχαναῖσιν εἰς τὸ φῶς ἀνελκύσαι
τὴν θεῶν πασῶν μεγίστην καὶ φιλαμπελωτάτην.

ΤΡΥΓΑΙΟΣ.

οὐ σιωπήσεσθ', ὅπως μὴ περιχαρεῖς τῷ πράγματι
τὸν Πόλεμον ἐκζωπυρήσετ' ἔνδοθεν κεκραγότες;

ΧΟΡΟΣ.

ἀλλ' ἀκούσαντες τοιούτου χαίρομεν κηρύγματος.
οὐ γὰρ ἦν ἔχοντας ἥκειν σιτί' ἡμερῶν τριῶν.

ΤΡΥΓΑΙΟΣ.

εὐλαβεῖσθέ νυν ἐκεῖνον τὸν κάτωθεν Κέρβερον,
μὴ παφλάζων καὶ κεκραγώς, ὥσπερ ἡνίκ' ἐνθάδ' ἦν,
ἐμποδὼν ἡμῖν γένηται τὴν θεὸν μὴ 'ξελκύσαι.

ΧΟΡΟΣ.

οὔτι καὶ νῦν ἔστιν αὐτὴν ὅστις ἐξαιρήσεται,
ἢν ἅπαξ ἐς χεῖρας ἔλθῃ τὰς ἐμάς. ἰοὺ ἰού.

ΤΡΥΓΑΙΟΣ.

ἐξολεῖτέ μ', ὦνδρες, εἰ μὴ τῆς βοῆς ἀνήσετε·
ἐκδραμὼν γὰρ πάντα ταυτὶ συνταράξει τοῖν ποδοῖν.

ΧΟΡΟΣ.

ὡς κυκάτω καὶ πατείτω πάντα καὶ ταραττέτω,
οὐ γὰρ ἂν χαίροντες ἡμεῖς τήμερον παυσαίμεθ' ἄν.

ΤΡΥΓΑΙΟΣ.

τί τὸ κακόν; τί πάσχετ', ὦνδρες; μηδαμῶς, πρὸς τῶν θεῶν,
πρᾶγμα κάλλιστον διαφθείρητε διὰ τὰ σχήματα.

ΧΟΡΟΣ.

ἀλλ' ἔγωγ' οὐ σχηματίζειν βούλομ', ἀλλ' ὑφ' ἡδονῆς
οὐκ ἐμοῦ κινοῦντος αὐτὼ τὼ σκέλη χορεύετον.

ΤΡΥΓΑΙΟΣ.

μή τι καὶ νυνί γ' ἔτ', ἀλλὰ παῦε παῦ' ὀρχούμενος.

ΧΟΡΟΣ.

ἢν ἰδού, καὶ δὴ πέπαυμαι.

ΤΡΥΓΑΙΟΣ.

φῄς γε, παύει δ' οὐδέπω.

ΧΟΡΟΣ.

ἓν μὲν οὖν τουτί μ' ἔασον ἑλκύσαι, καὶ μηκέτι.

ΤΡΥΓΑΙΟΣ.

τοῦτό νυν, καὶ μηκέτ' ἄλλο μηδὲν ὀρχήσησθ' ἔτι.

ΧΟΡΟΣ.

οὐκ ἂν ὀρχησαίμεθ', εἴπερ ὠφελήσαιμέν τί σε.

ΤΡΥΓΑΙΟΣ.

ἀλλ' ὁρᾶτ', οὔπω πέπαυσθε.

ΧΟΡΟΣ.

τουτογὶ νὴ τὸν Δία
τὸ σκέλος ῥίψαντες ἤδη λήγομεν τὸ δεξιόν.

ΤΡΥΓΑΙΟΣ.

ἐπιδίδωμι τοῦτό γ' ὑμῖν, ὥστε μὴ λυπεῖν ἔτι.

ΧΟΡΟΣ.

ἀλλὰ καὶ τἀριστερόν τοί μοὔστ' ἀναγκαίως ἔχον.
ἥδομαι γὰρ καὶ γέγηθα καὶ πέπορδα καὶ γελῶ
μᾶλλον ἢ τὸ γῆρας ἐκδὺς ἐκφυγὼν τὴν ἀσπίδα.

ΤΡΥΓΑΙΟΣ.

μή τι καὶ νυνί γε χαίρετ'· οὐ γὰρ ἴστε πω σαφῶς·
ἀλλ' ὅταν λάβωμεν αὐτήν, τηνικαῦτα χαίρετε
καὶ βοᾶτε καὶ γελᾶτ'· ἤ-
δη γὰρ ἐξέσται τόθ' ὑμῖν
πλεῖν, μένειν, κινεῖν, καθεύδειν,
ἐς πανηγύρεις θεωρεῖν,
ἑστιᾶσθαι, κοτταβίζειν,
συβαρίζειν,
ἰοὺ ἰοὺ κεκραγέναι.

ΧΟΡΟΣ.

εἰ γὰρ ἐκγένοιτ' ἰδεῖν ταύτην μέ ποτε τὴν ἡμέραν.
πολλὰ γὰρ ἀνεσχόμην
πράγματά τε καὶ στιβάδας,
ἃς ἔλαχε Φορμίων·
κοὐκέτ' ἄν μ' εὕροις δικαστὴν δριμὺν οὐδὲ δύσκολον,
οὐδὲ τοὺς τρόπους γε δήπου σκληρὸν, ὥσπερ καὶ πρὸ τοῦ,
ἀλλ' ἁπαλὸν ἄν μ' ἴδοις
καὶ πολὺ νεώτερον, ἀ-
παλλαγέντα πραγμάτων.
καὶ γὰρ ἱκανὸν χρόνον ἀ-
πολλύμεθα καὶ κατατε-
τρίμμεθα πλανώμενοι
ἐς Λύκειον κἀκ Λυκείου σὺν δόρει σὺν ἀσπίδι.
ἀλλ' ὅ τι μάλιστα χαρι-
ούμεθα ποιοῦντες, ἄγε
φράζε· σὲ γὰρ αὐτοκράτορ'
εἵλετ' ἀγαθή τις ἡμῖν τύχη.

ΤΡΥΓΑΙΟΣ.

φέρε δὴ κατίδω, ποῖ τοὺς λίθους ἀφέλξομεν.

ΕΡΜΗΣ.

ὦ μιαρὲ καὶ τολμηρέ, τί ποιεῖν διανοεῖ;

ΤΡΥΓΑΙΟΣ.

οὐδὲν πονηρόν, ἀλλ' ὅπερ καὶ Κιλλικῶν.

ΕΡΜΗΣ.

ἀπόλωλας, ὦ κακόδαιμον.

ΤΡΥΓΑΙΟΣ.

οὐκοῦν, ἢν λάχω.
Ἑρμῆς γὰρ ὢν κλήρῳ ποιήσεις οἶδ' ὅτι.

ΕΡΜΗΣ.

ἀπόλωλας, ἐξόλωλας.

345—360. == 385—395. == 582—600.

ΤΡΥΓΑΙΟΣ.
ἐς τίν' ἡμέραν;
ΕΡΜΗΣ.
ἐς αὐτίκα μάλ'.
ΤΡΥΓΑΙΟΣ.
ἀλλ' οὐδὲν ἠμπόληκά πω,
οὔτ' ἄλφιτ' οὔτε τυρὸν, ὡς ἀπολούμενος.
ΕΡΜΗΣ.
καὶ μὴν ἐπιτέτριψαί γε.
ΤΡΥΓΑΙΟΣ.
κᾆτα τῷ τρόπῳ
οὐκ ᾐσθόμην ἀγαθὸν τοσουτονὶ λαβών;
ΕΡΜΗΣ.
ἆρ' οἶσθα θάνατον ὅτι προεῖφ' ὁ Ζεὺς ὃς ἂν
ταύτην ἀνορύττων εὑρεθῇ;
ΤΡΥΓΑΙΟΣ.
νῦν ἆρά με
ἅπασ' ἀνάγκη 'στ' ἀποθανεῖν;
ΕΡΜΗΣ.
εὖ ἴσθ' ὅτι.
ΤΡΥΓΑΙΟΣ.
ἐς χοιρίδιόν μοί νυν δάνεισον τρεῖς δραχμάς·
δεῖ γὰρ μυηθῆναί με πρὶν τεθνηκέναι.
ΕΡΜΗΣ.
ὦ Ζεῦ κεραυνοβρόντα.
ΤΡΥΓΑΙΟΣ.
μὴ πρὸς τῶν θεῶν
ἡμῶν κατείπῃς, ἀντιβολῶ σε, δέσποτα.
ΕΡΜΗΣ.
οὐκ ἂν σιωπήσαιμι.
ΤΡΥΓΑΙΟΣ.
ναὶ, πρὸς τῶν κρεῶν
ἁγὼ προθύμως σοι φέρων ἀφικόμην.
ΕΡΜΗΣ.
ἀλλ', ὦ μέλ', ὑπὸ τοῦ Διὸς ἀμαλδυνθήσομαι,
εἰ μὴ τετορήσω ταῦτα καὶ λακήσομαι.
ΤΡΥΓΑΙΟΣ.
μή νυν λακήσῃς, λίσσομαί σ', ὡρμίδιον.
εἰπέ μοι, τί πάσχετ', ὦνδρες; ἕστατ' ἐκπεπληγμένοι.
ὦ πονηροὶ, μὴ σιωπᾶτ'· εἰ δὲ μὴ, λακήσεται.
ΧΟΡΟΣ.
μηδαμῶς, ὦ δέσποθ' Ἑρμῆ, μηδαμῶς, μὴ, μηδαμῶς,
εἴ τι κεχαρισμένον
χοιρίδιον οἶσθα παρ' ἐ-
μοῦ γε κατεδηδοκώς,
τοῦτο μὴ φαῦλον νόμιζ' ἐν τουτῳὶ τῷ πράγματι.
ΤΡΥΓΑΙΟΣ.
οὐκ ἀκούεις οἷα θωπεύουσί σ', ὦναξ δέσποτα;
ΧΟΡΟΣ.
μὴ γένῃ παλίγκοτος
ἀντιβολοῦσιν ἡμῖν,
ὥστε τήνδε μὴ λαβεῖν·
ἀλλὰ χάρισ', ὦ φιλαν-
θρωπότατε καὶ μεγαλο-
δωρότατε δαιμόνων,
εἴ τι Πεισάνδρου βδελύττει τοὺς λόφους καὶ τὰς ὀφρῦς.
καί σε θυσίαισιν ἱε-
ραῖσι προσόδοις τε μεγά-
λαισι διὰ παντὸς, ὦ
δέσποτ', ἀγαλοῦμεν ἡμεῖς ἀεί.
ΤΡΥΓΑΙΟΣ.
ἴθ', ἀντιβολῶ σ', ἐλέησον αὐτῶν τὴν ὄπα,
ἐπεί σε καὶ τιμῶσι μᾶλλον ἢ πρὸ τοῦ.
ΕΡΜΗΣ.
κλέπται τε γὰρ νῦν μᾶλλόν εἰσιν ἢ πρὸ τοῦ.
ΤΡΥΓΑΙΟΣ.
καί σοι φράσω τι πρᾶγμα δεινὸν καὶ μέγα,
ὃ τοῖς θεοῖς ἅπασιν ἐπιβουλεύεται.
ΕΡΜΗΣ.
ἴθι δὴ, κάτειπ'· ἴσως γὰρ ἂν πείσαις ἐμέ.
ΤΡΥΓΑΙΟΣ.
ἡ γὰρ Σελήνη χὡ πανοῦργος Ἥλιος,
ὑμῖν ἐπιβουλεύοντε πολὺν ἤδη χρόνον,
τοῖς βαρβάροισι προδίδοτον τὴν Ἑλλάδα.
ΕΡΜΗΣ.
ἵνα τί δὲ τοῦτο δρᾶτον;
ΤΡΥΓΑΙΟΣ.
ὁτιὴ νὴ Δία
ἡμεῖς μὲν ὑμῖν θύομεν, τούτοισι δὲ
οἱ βάρβαροι θύουσι. διὰ τοῦτ' εἰκότως
βούλοιντ' ἂν ὑμᾶς πάντας ἐξολωλέναι,
ἵνα τὰς τελετὰς αὐτοὶ λάβοιεν τῶν θεῶν.
ΕΡΜΗΣ.
ταῦτ' ἄρα πάλαι τῶν ἡμερῶν παρεκλεπτέτην
καὶ τοῦ κύκλου παρέτρωγον ὑφ' ἁρματωλίας;
ΤΡΥΓΑΙΟΣ.
ναὶ μὰ Δία. πρὸς ταῦτ', ὦ φίλ' Ἑρμῆ, ξύλλαβε
ἡμῖν προθύμως τήνδε καὶ ξυνέλκυσον.
καί σοι τὰ μεγάλ' ἡμεῖς Παναθήναι' ἄξομεν,
πάσας τε τὰς ἄλλας τελετὰς τὰς τῶν θεῶν,
Μυστήρι' Ἑρμῇ, Διπόλει', Ἀδώνια·
ἄλλαι τέ σοι πόλεις πεπαυμέναι κακῶν
ἀλεξικάκῳ θύσουσιν Ἑρμῇ πανταχοῦ.
χἄτερ' ἔτι πόλλ' ἕξεις ἀγαθά. πρῶτον δέ σοι
δῶρον δίδωμι τήνδ', ἵνα σπένδειν ἔχῃς.
ΕΡΜΗΣ.
οἴμ' ὡς ἐλεήμων εἴμ' ἀεὶ τῶν χρυσίδων.
ὑμέτερον ἐντεῦθεν ἔργον, ὦνδρες. ἀλλ' ἅμαις
εἰσιόντες ὡς τάχιστα τοὺς λίθους ἀφέλκετε.
ΧΟΡΟΣ.
ταῦτα δράσομεν· σὺ δ' ἡμῖν, ὦ θεῶν σοφώτατε,
ἅττα χρὴ ποιεῖν ἐφεστὼς φράζε δημιουργικῶς·
τἄλλα δ' εὑρήσεις ὑπουργεῖν ὄντας ἡμᾶς οὐ κακούς.
ΤΡΥΓΑΙΟΣ.
ἄγε δὴ, σὺ ταχέως ὕπεχε τὴν φιάλην, ὅπως
ἔργῳ φιαλοῦμεν, εὐξάμενοι τοῖσιν θεοῖς.
ΕΡΜΗΣ.
σπονδὴ σπονδή·
εὐφημεῖτε εὐφημεῖτε.
ΤΡΥΓΑΙΟΣ.
σπένδοντες εὐχώμεσθα τὴν νῦν ἡμέραν
Ἕλλησιν ἄρξαι πᾶσι πολλῶν κἀγαθῶν.
χὤστις προθύμως ξυλλάβοι τῶν σχοινίων,
τοῦτον τὸν ἄνδρα μὴ λαβεῖν ποτ' ἀσπίδα.

ΧΟΡΟΣ.
μὰ Δί', ἀλλ' ἐν εἰρήνῃ διάξειν τὸν βίον,
ἔχονθ' ἑταίραν καὶ σκαλεύοντ' ἄνθρακας.
ΤΡΥΓΑΙΟΣ.
ὅστις δὲ πόλεμον μᾶλλον εἶναι βούλεται,
μηδέποτε παύσασθ' αὐτὸν, ὦ Διόνυσ' ἄναξ,
ἐκ τῶν ὀλεκράνων ἀκίδας ἐξαιρούμενον.
ΧΟΡΟΣ.
κεἴ τις ἐπιθυμῶν ταξιαρχεῖν σοὶ φθονεῖ
εἰς φῶς ἀνελθεῖν, ὦ πότνι', ἐν ταῖσιν μάχαις
πάσχοι γε τοιαῦθ' οἷάπερ Κλεώνυμος.
ΤΡΥΓΑΙΟΣ.
κεἴ τις δορυξὸς ἢ κάπηλος ἀσπίδων,
ἵν' ἐμπολᾷ βέλτιον, ἐπιθυμεῖ μαχῶν,
ληφθεὶς ὑπὸ λῃστῶν ἐσθίοι κριθὰς μόνας.
ΧΟΡΟΣ.
κεἴ τις στρατηγεῖν βουλόμενος μὴ ξυλλάβῃ,
ἢ δοῦλος αὐτομολεῖν παρεσκευασμένος,
ἐπὶ τοῦ τροχοῦ γ' ἕλκοιτο μαστιγούμενος·
ἡμῖν δ' ἀγαθὰ γένοιτ'. ἰὴ παιὼν, ἰή.
ΤΡΥΓΑΙΟΣ.
ἄφελε τὸ παίειν, ἀλλ' ἰὴ μόνον λέγε.
ΧΟΡΟΣ.
ἰὴ ἰὴ τοίνυν, ἰὴ μόνον λέγω.
ΤΡΥΓΑΙΟΣ.
Ἑρμῇ, Χάρισιν, Ὥραισιν, Ἀφροδίτῃ, Πόθῳ.
ΧΟΡΟΣ.
Ἄρει δὲ μή;
ΤΡΥΓΑΙΟΣ.
μή.
ΧΟΡΟΣ.
μηδ' Ἐνυαλίῳ γε;
ΤΡΥΓΑΙΟΣ.
μή.
ΧΟΡΟΣ.
ὑπότεινε δὴ πᾶς, καὶ κάταγε τοῖσιν κάλῳς.
ΕΡΜΗΣ.
ὢ εἶα.
ΧΟΡΟΣ.
εἶα μάλα.
ΕΡΜΗΣ.
ὢ εἶα.
ΧΟΡΟΣ.
ἔτι μάλα.
ΕΡΜΗΣ.
ὢ εἶα, ὢ εἶα.
ΤΡΥΓΑΙΟΣ.
ἀλλ' οὐχ ἕλκουσ' ἄνδρες ὁμοίως.
οὐ ξυλλήψεσθ'; οἷ' ὀγκύλλεσθ'·
οἰμώξεσθ' οἱ Βοιωτοί.
ΕΡΜΗΣ.
εἶα νῦν.
ΤΡΥΓΑΙΟΣ.
εἶα ὤ.
ΧΟΡΟΣ.
ἀλλ' ἄγεθ' ἕλκετον ** καὶ σφώ.
ΤΡΥΓΑΙΟΣ.
οὔκουν ἕλκω κἀξαρτῶμαι
κἀπεμπίπτω καὶ σπουδάζω;
ΧΟΡΟΣ.
πῶς οὖν οὐ χωρεῖ τοὔργον;
ΤΡΥΓΑΙΟΣ.
ὦ Λάμαχ', ἀδικεῖς ἐμποδὼν καθήμενος.
οὐδὲν δεόμεθ', ὤνθρωπε, τῆς σῆς μορμόνος.
ΕΡΜΗΣ.
οὐδ' οἵδε γ' εἷλκον οὐδὲν ἀργεῖοι πάλαι,
ἀλλ' ἢ κατεγέλων τῶν ταλαιπωρουμένων,
καὶ ταῦτα διχόθεν μισθοφοροῦντες ἄλφιτα.
ΤΡΥΓΑΙΟΣ.
ἀλλ' οἱ Λάκωνες, ὠγάθ', ἕλκουσ' ἀνδρικῶς.
ΧΟΡΟΣ.
ἆρ' οἶσθ' ὅσοι γ' αὐτῶν ἔχονται τοῦ ξύλου,
μόνοι προθυμοῦντ'· ἀλλ' ὁ χαλκεὺς οὐκ ἐᾷ.
ΕΡΜΗΣ.
οὐδ' οἱ Μεγαρῆς δρῶσ' οὐδέν· ἕλκουσιν δ' ὅμως;
γλισχρότατα σαρκάζοντες ὥσπερ κυνίδια,
ὑπὸ τοῦ γε λιμοῦ νὴ Δί' ἐξολωλότες.
ΤΡΥΓΑΙΟΣ.
οὐδὲν ποιοῦμεν, ὦνδρες, ἀλλ' ὁμοθυμαδὸν
ἅπασιν ἡμῖν αὖθις ἀντιληπτέον.
ΕΡΜΗΣ.
ὢ εἶα.
ΤΡΥΓΑΙΟΣ.
εἶα μάλα.
ΕΡΜΗΣ.
ὢ εἶα.
ΤΡΥΓΑΙΟΣ.
εἶα νὴ Δία.
ΕΡΜΗΣ.
μικρόν γε κινοῦμεν.
ΤΡΥΓΑΙΟΣ.
οὔκουν δεινὸν * * * *
τοὺς μὲν τείνειν, τοὺς δ' ἀντισπᾶν;
πληγὰς λήψεσθ', ὠργεῖοι.
ΕΡΜΗΣ.
εἶα νῦν.
ΤΡΥΓΑΙΟΣ.
εἶα ὤ.
ΧΟΡΟΣ.
ὡς κακόνοι τινές εἰσιν ἐν ἡμῖν.
ΤΡΥΓΑΙΟΣ.
ὑμεῖς μέν γ' οὖν οἱ κιττῶντες
τῆς εἰρήνης σπᾶτ' ἀνδρείως.
ΧΟΡΟΣ.
ἀλλ' εἴσ' οἳ κωλύουσιν.
ΤΡΥΓΑΙΟΣ.
ἄνδρες Μεγαρῆς, οὐκ ἐς κόρακας ἐρρήσετε;
μισεῖ γὰρ ὑμᾶς ἡ θεὸς μεμνημένη·
πρῶτοι γὰρ αὐτὴν τοῖς σκορόδοις ἠλείψατε.
καὶ τοῖς Ἀθηναίοισι παύσασθαι λέγω
ἐντεῦθεν ἐχομένοις ὅθεν νῦν ἕλκετε·
οὐδὲν γὰρ ἄλλο δρᾶτε πλὴν δικάζετε.
ἀλλ' εἴπερ ἐπιθυμεῖτε τήνδ' ἐξελκύσαι,
πρὸς τὴν θάλατταν ὀλίγον ὑποχωρήσατε.
ΧΟΡΟΣ.
ἄγ', ὦνδρες, αὐτοὶ δὴ μόνοι λαβώμεθ' οἱ γεωργοί.

459—472. == 486—499.

ΕΡΜΗΣ.

χωρεῖ γέ τοι τὸ πρᾶγμα πολλῷ μᾶλλον, ὦνδρες, ὑμῖν.

ΧΟΡΟΣ.

χωρεῖν τὸ πρᾶγμά φησιν· ἀλλὰ πᾶς ἀνὴρ προθυμοῦ.

ΤΡΥΓΑΙΟΣ.

οἵ τοι γεωργοὶ τοὔργον ἐξέλκουσι, κἄλλος οὐδείς.

ΧΟΡΟΣ.

ἄγε νυν, ἄγε πᾶς·
καὶ μὴν ὁμοῦ 'στιν ἤδη.
μή νυν ἀνῶμεν, ἀλλ' ἐπεν-
τείνωμεν ἀνδρικώτερον.
ἤδη 'στὶ τοῦτ' ἐκεῖνο.
ὢ εἶα νῦν, ὢ εἶα πᾶς.
ὢ εἶα, εἶα, εἶα, εἶα, εἶα, εἶα.
ὢ εἶα, εἶα, εἶα, εἶα, εἶα πᾶς.

ΤΡΥΓΑΙΟΣ.

ὦ πότνια βοτρυόδωρε, τί προσείπω σ' ἔπος;
πόθεν ἂν λάβοιμι ῥῆμα μυριάμφορον
ὅτῳ προσείπω σ'; οὐ γὰρ εἶχον οἴκοθεν.
ὦ χαῖρ' Ὀπώρα, καὶ σὺ δ', ὦ Θεωρία.
οἷον δ' ἔχεις τὸ πρόσωπον, ὦ Θεωρία·
οἷον δὲ πνεῖς, ὡς ἡδὺ κατὰ τῆς καρδίας,
γλυκύτατον, ὥσπερ ἀστρατείας καὶ μύρου.

ΕΡΜΗΣ.

μῶν οὖν ὅμοιον καὶ γυλίου στρατιωτικοῦ;

ΧΟΡΟΣ.

ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον πλέκος.
τοῦ μὲν γὰρ ὄζει κρομμυοξυρεγμίας,
ταύτης δ' ὀπώρας, ὑποδοχῆς, Διονυσίων,
αὐλῶν, τραγῳδῶν, Σοφοκλέους μελῶν, κιχλῶν,
ἐπυλλίων Εὐριπίδου,

ΤΡΥΓΑΙΟΣ.

κλαύσἄρα σὺ
ταύτης καταψευδόμενος· οὐ γὰρ ἥδεται
αὕτη ποιητῇ ῥηματίων δικανικῶν.

ΧΟΡΟΣ.

κιττοῦ, τρυγοίπου, προβατίων βληχωμένων,
κόλπου γυναικῶν διατρεχουσῶν εἰς ἀγρὸν,
δούλης μεθυούσης, ἀνατετραμμένου χοὸς,
ἄλλων τε πολλῶν κἀγαθῶν.

ΕΡΜΗΣ.

ἴθι νυν, ἄθρει
οἷον πρὸς ἀλλήλας λαλοῦσιν αἱ πόλεις
διαλλαγεῖσαι καὶ γελῶσιν ἄσμεναι,
καὶ ταῦτα δαιμονίως ὑπωπιασμέναι
ἀπαξάπασαι καὶ κυάθοις προσκείμεναι.

ΤΡΥΓΑΙΟΣ.

καὶ τῶνδε τοίνυν τῶν θεωμένων σκόπει
τὰ πρόσωφ', ἵνα γνῷς τὰς τέχνας.

ΕΡΜΗΣ.

αἰβοῖ τάλας,
ἐκεινονὶ γοῦν τὸν λοφοποιὸν οὐχ ὁρᾷς
τίλλονθ' ἑαυτόν; ὁ δέ γε τὰς σμινύας ποιῶν
κατέπαρδεν ἄρτι τοῦ ξιφουργοῦ 'κεινουί.

ΤΡΥΓΑΙΟΣ.

ὁ δὲ δρεπανουργὸς οὐχ ὁρᾷς ὡς ἥδεται
καὶ τὸν δορυξὸν οἷον ἐσκιμάλισεν;

ΕΡΜΗΣ.

ἴθι νυν, ἄνειπε τοὺς γεωργοὺς ἀπιέναι.

ΤΡΥΓΑΙΟΣ.

ἀκούετε λεῴ· τοὺς γεωργοὺς ἀπιέναι
τὰ γεωργικὰ σκεύη λαβόντας εἰς ἀγρὸν
ὡς τάχιστ' ἄνευ δορατίου καὶ ξίφους κἀκοντίο
ὡς ἅπαντ' ἤδη 'στὶ μεστὰ τἀνθάδ' εἰρή σαπρᾶς.
ἀλλὰ πᾶς χώρει πρὸς ἔργον εἰς ἀγρὸν πα νίσας.

ΧΟΡΟΣ.

ὦ ποθεινὴ τοῖς δικαίοις καὶ γεωργοῖς ἡμέρα,
ἄσμενός σ' ἰδὼν προσειπεῖν βούλομαι τὰς ἀ πέλους·
τάς τε συκᾶς, ἃς ἐγὼ 'φύτευον ὢν νεώτερος,
ἀσπάσασθαι θυμὸς ἡμῖν ἐστι πολλοστῷ χρόν

ΤΡΥΓΑΙΟΣ.

νῦν μὲν οὖν, ὦνδρες, προσευξώμεσθα πρῶ τῇ θεῷ,
ἥπερ ἡμῶν τοὺς λόφους ἀφεῖλε καὶ τὰς Γ γόνας·
εἶθ' ὅπως λιταργιοῦμεν οἴκαδ' εἰς τὰ χωρία,
ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον.

ΕΡΜΗΣ.

ὦ Πόσειδον, ὡς καλὸν τὸ στῖφος αὐτῶν φ νεται
καὶ πυκνὸν καὶ γοργὸν ὥσπερ μᾶζα καὶ π δαισία.

ΤΡΥΓΑΙΟΣ.

νὴ Δί' ἡ γὰρ σφῦρα λαμπρὸν ἦν ἄρ' ἐξω σμένη,
αἵ τε θρίνακες διαστίλβουσι πρὸς τὸν ἥλιον.
ἦ καλῶς αὐτῶν ἀπαλλάξειεν ἂν μετόρχιον.
ὥστ' ἔγωγ' ἤδη 'πιθυμῶ καὐτὸς ἐλθεῖν εἰς ἀ
καὶ τριαινοῦν τῇ δικέλλῃ διὰ χρόνου τὸ γή
ἀλλ' ἀναμνησθέντες, ὦνδρες,
τῆς διαίτης τῆς παλαιᾶς,
ἣν παρεῖχ' αὕτη ποθ' ἡμῖν,
τῶν τε παλασίων ἐκείνων,
τῶν τε σύκων, τῶν τε μύρτων,
τῆς τρυγός τε τῆς γλυκείας,
τῆς ἰωνιᾶς τε τῆς πρὸς
τῷ φρέατι, τῶν τ' ἐλαῶν,
ὧν ποθοῦμεν,
ἀντὶ τούτων τήνδε νυνὶ
τὴν θεὸν προσείπατε.

ΧΟΡΟΣ.

χαῖρε χαῖρ', ὡς ἦλθες ἡμῖν ἀσμένοις, ὦ φ τάτη.
σῷ γὰρ ἐδάμην πόθῳ,
δαιμόνια βουλόμενος
εἰς ἀγρὸν ἀνερπύσαι.
ἦσθα γὰρ μέγιστον ἡμῖν κέρδος, ὦ ποθουμ
* * * * * * * * * μόνη γὰρ ἡμᾶς ὠφέλεις
* * * * * * * * *
πᾶσιν ὁπόσοι βίον ἐ-
τρίβομεν γεωργικόν.
πολλὰ γὰρ ἐπάσχομεν
πρίν ποτ' ἐπὶ σοῦ γλυκέα
κἀδάπανα καὶ φίλα.

τοῖς ἀγροίκοισιν γὰρ ἦσθα χῖδρα καὶ σωτηρία.
ὥστε σὲ τά τ' ἀμπέλια
καὶ τὰ νέα συκίδια
τἄλλα θ' ὁπόσ' ἐστὶ φυτὰ
προσγελάσεται λαβόντ' ἄσμενα.
ἀλλὰ ποῦ ποτ' ἦν ἀφ' ἡμῶν τὸν πολὺν τοῦτον χρόνον
ἥδε τοῦθ' ἡμᾶς δίδαξον, ὦ θεῶν εὐνούστατε.

ΕΡΜΗΣ.

ὦ σοφώτατοι γεωργοὶ, τἀμὰ δὴ ξυνίετε
ῥήματ', εἰ βούλεσθ' ἀκοῦσαι τήνδ' ὅπως ἀπώλετο.
πρῶτα μὲν γὰρ ἦρξεν ἄτης Φειδίας πράξας κακῶς·
εἶτα Περικλέης φοβηθεὶς μὴ μετάσχοι τῆς τύχης,
τὰς φύσεις ὑμῶν δεδοικὼς καὶ τὸν αὐτοδὰξ τρόπον,
πρὶν παθεῖν τι δεινὸν, αὐτὸς ἐξέφλεξε τὴν πόλιν,
ἐμβαλὼν σπινθῆρα μικρὸν Μεγαρικοῦ ψηφίσματος,
κἀξεφύσησεν τοσοῦτον πόλεμον ὥστε τῷ καπνῷ
πάντας Ἕλληνας δακρῦσαι, τούς τ' ἐκεῖ τούς τ' ἐνθάδε.
ὡς δ' ἅπαξ τὸ πρῶτον ἄκουσ' ἐψόφησεν ἄμπελος
καὶ πίθος πληγεὶς ὑπ' ὀργῆς ἀντελάκτισεν πίθῳ,
οὐκέτ' ἦν οὐδεὶς ὁ παύσων, ἥδε δ' ἠφανίζετο.

ΤΡΥΓΑΙΟΣ.

ταῦτα τοίνυν μὰ τὸν Ἀπόλλω 'γὼ πεπύσμην οὐδενὸς,
οὐδ' ὅπως αὐτῇ προσήκοι Φειδίας ἠκηκόη.

ΧΟΡΟΣ.

οὐδ' ἔγωγε, πλήν γε νυνί. ταῦτ' ἄρ' εὐπρόσωπος ἦν,
οὖσα συγγενὴς ἐκείνου. πολλά γ' ἡμᾶς λανθάνει.

ΕΡΜΗΣ.

κᾆτ' ἐπειδὴ 'γνωσαν ὑμᾶς αἱ πόλεις ὧν ἤρχετε
ἠγριωμένους ἐπ' ἀλλήλοισι καὶ σεσηρότας,
πάντ' ἐμηχανῶντ' ἐφ' ὑμῖν, τοὺς φόρους φοβούμεναι,
κἀνέπειθον τῶν Λακώνων τοὺς μεγίστους χρήμασιν.
οἱ δ' ἅτ' ὄντες αἰσχροκερδεῖς καὶ διειρωνόξενοι
τήνδ' ἀπορρίψαντες αἰσχρῶς τὸν πόλεμον ἀνήρπασαν·
κᾆτα τἀκείνων γε κέρδη τοῖς γεωργοῖς ἦν κακά·
αἱ γὰρ ἐνθένδ' αὖ τριήρεις ἀντιτιμωρούμεναι
οὐδὲν αἰτίων ἂν ἀνδρῶν τὰς κράδας κατήσθιον.

ΤΡΥΓΑΙΟΣ.

ἐν δίκῃ μὲν οὖν, ἐπεί τοι καὶ κορώνεών γέ μου
ἐξέκοψαν, ἣν ἐγὼ 'φύτευσα κἀξεθρεψάμην.

ΧΟΡΟΣ.

νὴ Δί', ὦ μέλ', ἐνδίκως γε δῆτ', ἐπεὶ κἀμοῦ λίθον
ἐμβαλόντες ἑξμέδιμνον κυψέλην ἀπώλεσαν.

ΕΡΜΗΣ.

κᾆτα δ' ὡς ἐκ τῶν ἀγρῶν ξυνῆλθεν οὑργάτης λεὼς,
τὸν τρόπον πωλούμενος τὸν αὐτὸν οὐκ ἐμάνθανεν,
ἀλλ' ἅτ' ὢν ἄνευ γιγάρτων καὶ φιλῶν τὰς ἰσχάδας
ἔβλεπεν πρὸς τοὺς λέγοντας· οἱ δὲ γιγνώσκοντες εὖ
τοὺς πένητας ἀσθενοῦντας κἀποροῦντας ἀλφίτων,
τήνδε μὲν δικροῖς ἐώθουν τὴν θεὸν κεκράγμασιν,
πολλάκις φανεῖσαν αὐτὴν τῆσδε τῆς χώρας πόθῳ,
τῶν δὲ συμμάχων ἔσειον τοὺς παχεῖς καὶ πλουσίους,
αἰτίας ἂν προστιθέντες, ὡς φρονοῖ τὰ Βρασίδου.
εἶτ' ἂν ὑμεῖς τοῦτον ὥσπερ κυνίδι' ἐσπαράττετε·
ἡ πόλις γὰρ ὠχριῶσα κἀν φόβῳ καθημένη
ἅττα διαβάλοι τις αὐτῇ, ταῦτ' ἂν ἥδιστ' ἤσθιεν.
οἱ δὲ τὰς πληγὰς ὁρῶντες ἃς ἐτύπτονθ', οἱ ξένοι
χρυσίῳ τῶν ταῦτα ποιούντων ἐβύνουν τὸ στόμα,
ὥστ' ἐκείνους μὲν ποιῆσαι πλουσίους, ἡ δ' Ἑλλὰς ἂν
ἐξερημωθεῖσ' ἂν ὑμᾶς ἔλαθε. ταῦτα δ' ἦν ὁ δρῶν
βυρσοπώλης.

ΤΡΥΓΑΙΟΣ.

παῦε παῦ', ὦ δέσποθ' Ἑρμῆ, μὴ λέγε,
ἀλλ' ἔα τὸν ἄνδρ' ἐκεῖνον οὗπερ ἔστ' εἶναι κάτω.
οὐ γὰρ ἡμέτερος ἔτ' ἔστ' ἐκεῖνος ἀνὴρ, ἀλλὰ σός.
ἅττ' ἂν οὖν λέγῃς ἐκεῖνον,
κεἰ πανοῦργος ἦν, ὅτ' ἔζη,
καὶ λάλος καὶ συκοφάντης
καὶ κύκηθρον καὶ τάρακτρον,
ταῦθ' ἁπαξάπαντα νυνὶ
τοὺς σεαυτοῦ λοιδορεῖς.
ἀλλ' ὅ τι σιωπᾷς, ὦ πότνια, κάτειπέ μοι.

ΕΡΜΗΣ.

ἀλλ' οὐκ ἂν εἴποι πρός γε τοὺς θεωμένους·
ὀργὴν γὰρ αὐτοῖς ὧν ἔπαθε πολλὴν ἔχει.

ΤΡΥΓΑΙΟΣ.

ἡ δ' ἀλλὰ πρὸς σὲ μικρὸν εἰπάτω μόνον.

ΕΡΜΗΣ.

εἴφ' ὅ τι νοεῖς αὐτοῖσι πρὸς ἔμ', ὦ φιλτάτη.
ἴθ' ὦ γυναικῶν μισοπορπακιστάτη.
εἶεν, ἀκούω. ταῦτ' ἐπικαλεῖς; μανθάνω.
ἀκούσαθ' ὑμεῖς ὧν ἕνεκα μομφὴν ἔχει.
ἐλθοῦσά φησιν αὐτομάτη μετὰ τὰν Πύλῳ
σπονδῶν φέρουσα τῇ πόλει κίστην πλέαν
ἀποχειροτονηθῆναι τρὶς ἐν τἠκκλησίᾳ.

ΤΡΥΓΑΙΟΣ.

ἡμάρτομεν ταῦτ'· ἀλλὰ συγγνώμην ἔχε·
ὁ νοῦς γὰρ ἡμῶν ἦν τότ' ἐν τοῖς σκύτεσιν.

ΕΡΜΗΣ.

ἴθι νυν, ἄκουσον οἷον ἄρτι μ' ἤρετο·
ὅστις κακόνους αὐτῇ μάλιστ' ἦν ἐνθάδε,
χὤστις φίλος κἄσπευδεν εἶναι μὴ μάχας.

ΤΡΥΓΑΙΟΣ.

εὐνούστατος μὲν ἦν μακρῷ Κλεώνυμος.

ΕΡΜΗΣ.

ποῖός τις οὖν εἶναι δοκεῖ τὰ πολεμικὰ
ὁ Κλεώνυμος;

ΤΡΥΓΑΙΟΣ.

ψυχὴν ἄριστος, πλήν γ' ὅτι
οὐκ ἦν ἄρ' οὗπέρ φησιν εἶναι τοῦ πατρός.
εἰ γάρ ποτ' ἐξέλθοι στρατιώτης, εὐθέως
ἀποβολιμαῖος τῶν ὅπλων ἐγίγνετο.

ΕΡΜΗΣ.

ἔτι νῦν ἄκουσον οἷον ἄρτι μ' ἤρετο·
ὅστις κρατεῖ νῦν τοῦ λίθου τοῦ 'ν τῇ πυκνί.

ΤΡΥΓΑΙΟΣ.

Ὑπέρβολος νῦν τοῦτ' ἔχει τὸ χωρίον.

αὕτη, τί ποιεῖς; τὴν κεφαλὴν ποῖ περιάγεις;

ΕΡΜΗΣ.

ἀποστρέφεται τὸν δῆμον ἀχθεσθεῖσ' ὅτι
αὑτῷ πονηρὸν προστάτην ἐπεγράψατο.

ΤΡΥΓΑΙΟΣ.

ἀλλ' οὐκέτ' αὐτῷ χρησόμεθ' οὐδέν, ἀλλὰ νῦν
ἀπορῶν ὁ δῆμος ἐπιτρόπου καὶ γυμνὸς ὢν
τοῦτον τέως τὸν ἄνδρα περιεζώσατο.

ΕΡΜΗΣ.

πῶς οὖν ξυνοίσει ταῦτ', ἐρωτᾷ, τῇ πόλει;

ΤΡΥΓΑΙΟΣ.

εὐβουλότεροι γενησόμεσθα.

ΕΡΜΗΣ.

τίνι τρόπῳ;

ΤΡΥΓΑΙΟΣ.

ὅτι τυγχάνει λυχνοποιὸς ὤν. πρὸ τοῦ μὲν οὖν
ἐψηλαφῶμεν ἐν σκότῳ τὰ πράγματα,
νυνὶ δ' ἅπαντα πρὸς λύχνον βουλεύσομεν.

ΕΡΜΗΣ.

ὢ ὤ,
οἷά μ' ἐκέλευσεν ἀναπυθέσθαι σου.

ΤΡΥΓΑΙΟΣ.

τὰ τί;

ΕΡΜΗΣ.

πάμπολλα, καὶ τἀρχαῖ' ἃ κατέλιπεν τότε.
πρῶτον δ' ὅ τι πράττει Σοφοκλέης ἀνήρετο.

ΤΡΥΓΑΙΟΣ.

εὐδαιμονεῖ· πάσχει δὲ θαυμαστόν.

ΕΡΜΗΣ.

τὸ τί;

ΤΡΥΓΑΙΟΣ.

ἐκ τοῦ Σοφοκλέους γίγνεται Σιμωνίδης.

ΕΡΜΗΣ.

Σιμωνίδης; πῶς;

ΤΡΥΓΑΙΟΣ.

ὅτι γέρων ὢν καὶ σαπρὸς
κέρδους ἕκατι κἂν ἐπὶ ῥιπὸς πλέοι.

ΕΡΜΗΣ.

τί δαί; Κρατῖνος ὁ σοφὸς ἔστιν;

ΤΡΥΓΑΙΟΣ.

ἀπέθανεν,
ὅθ' οἱ Λάκωνες ἐνέβαλον.

ΕΡΜΗΣ.

τί παθών;

ΤΡΥΓΑΙΟΣ.

ὅ τι;
ὡρακιάσας· οὐ γὰρ ἐξηνέσχετο
ἰδὼν πίθον καταγνύμενον οἴνου πλέων.
χἄτερα πόσ' ἄττ' οἴει γεγενῆσθ' ἐν τῇ πόλει;
ὥστ' οὐδέποτ', ὦ δέσποιν', ἀφησόμεσθά σου.

ΕΡΜΗΣ.

ἴθι νυν, ἐπὶ τούτοις τὴν Ὀπώραν λάμβανε
γυναῖκα σαυτῷ τήνδε· κἆτ' ἐν τοῖς ἀγροῖς
ταύτῃ ξυνοικῶν ἐκποιοῦ σαυτῷ βότρυς.

ΤΡΥΓΑΙΟΣ.

ὦ φιλτάτη, δεῦρ' ἐλθὲ καὶ δός μοι κύσαι.
ἆρ' ἂν βλαβῆναι διὰ χρόνου τί σοι δοκῶ,
ὦ δέσποθ' Ἑρμῆ, τῆς Ὀπώρας κατελάσας;

ΕΡΜΗΣ.

οὔκ, εἴ γε κυκεῶν' ἐπιπίοις βληχωνίαν.

ἀλλ' ὡς τάχιστα τήνδε τὴν Θεωρίαν
ἀπάγαγε τῇ βουλῇ λαβών, ἧσπέρ ποτ' ἦν.

ΤΡΥΓΑΙΟΣ.

ὦ μακαρία βουλὴ σὺ τῆς Θεωρίας,
ὅσον ῥοφήσει ζωμὸν ἡμερῶν τριῶν,
ὅσας δὲ κατέδει χόλικας ἑφθὰς καὶ κρέα.
ἀλλ', ὦ φίλ' Ἑρμῆ, χαῖρε πολλά.

ΕΡΜΗΣ.

καὶ σύ γε,
ὤνθρωπε, χαίρων ἄπιθι καὶ μέμνησό μου.

ΤΡΥΓΑΙΟΣ.

ὦ κάνθαρ', οἴκαδ' οἴκαδ' ἀποπετώμεθα.

ΕΡΜΗΣ.

οὐκ ἐνθάδ', ὦ τᾶν, ἔστι.

ΤΡΥΓΑΙΟΣ.

ποῖ γὰρ οἴχεται;

ΕΡΜΗΣ.

ὑφ' ἅρματ' ἐλθὼν Ζηνὸς ἀστραπηφορεῖ.

ΤΡΥΓΑΙΟΣ.

πόθεν οὖν ὁ τλήμων ἐνθάδ' ἕξει σιτία;

ΕΡΜΗΣ.

τὴν τοῦ Γανυμήδους ἀμβροσίαν σιτήσεται.

ΤΡΥΓΑΙΟΣ.

πῶς δῆτ' ἐγὼ καταβήσομαι;

ΕΡΜΗΣ.

θάρρει, καλῶς·
τηδὶ παρ' αὐτὴν τὴν θεόν.

ΤΡΥΓΑΙΟΣ.

δεῦρ', ὦ κόραι,
ἕπεσθον ἅμ' ἐμοὶ θᾶττον, ὡς πολλοὶ πάνυ
ποθοῦντες ὑμᾶς ἀναμένουσ' ἐστυκότες.

ΧΟΡΟΣ.

ἀλλ' ἴθι χαίρων· ἡμεῖς δὲ τέως τάδε τὰ σ
παραδόντες
τοῖς ἀκολούθοις δῶμεν σώζειν, ὡς εἰώ
μάλιστα
περὶ τὰς σκηνὰς πλεῖστοι κλέπται κυπτάζειν
κακοποιεῖν.
ἀλλὰ φυλάττετε ταῦτ' ἀνδρείως· ἡμεῖς δ'
τοῖσι θεαταῖς,
ἣν ἔχομεν ὁδὸν λόγων εἴπωμεν, ὅσα τε νοῦς
Χρῆν μὲν τύπτειν τοὺς ῥαβδούχους, εἴ τις
μῳδοποιητὴς
αὑτὸν ἐπῄνει πρὸς τὸ θέατρον παραβὰς ἐν
ἀναπαίστοις.
εἰ δ' οὖν εἰκός τινα τιμῆσαι, θύγατερ
ὅστις ἄριστος
κωμῳδοδιδάσκαλος ἀνθρώπων καὶ κλεινότ
γεγένηται,
ἄξιος εἶναί φησ' εὐλογίας μεγάλης ὁ διδάσκ
ἡμῶν.
πρῶτον μὲν γὰρ τοὺς ἀντιπάλους μόνος ἀν
πων κατέπαυσεν
εἰς τὰ ῥάκια σκώπτοντας ἀεὶ καὶ τοῖς φθει
πολεμοῦντας·
τούς θ' Ἡρακλέας τοὺς μάττοντας, καὶ
πεινῶντας ἐκείνους,
τοὺς φεύγοντας κἀξαπατῶντας καὶ τυπτομέ
ἐπίτηδες,

ἐξήλασ' ἀτιμώσας πρῶτος, καὶ τοὺς δούλους παρέλυσεν,
οὓς ἐξῆγον κλάοντας ἀεὶ, καὶ τούτους οὕνεκα τουδὶ,
ἵν' ὁ σύνδουλος σκώψας αὐτοῦ τὰς πληγὰς, εἶτ' ἀνέροιτο,
ὦ κακόδαιμον, τί τὸ δέρμ' ἔπαθες; μῶν ὑστριχὶς εἰσέβαλέν σοι
εἰς τὰς πλευρὰς πολλῇ στρατιᾷ κἀδενδροτόμησε τὸ νῶτον;
τοιαῦτ' ἀφελὼν κακὰ καὶ φόρτον καὶ βωμολοχεύματ' ἀγεννῆ,
ἐποίησε τέχνην μεγάλην ἡμῖν κἀπύργωσ' οἰκοδομήσας
ἔπεσιν μεγάλοις καὶ διανοίαις καὶ σκώμμασιν οὐκ ἀγοραίοις,
οὐκ ἰδιώτας ἀνθρωπίσκους κωμῳδῶν οὐδὲ γυναῖκας,
ἀλλ' Ἡρακλέους ὀργήν τιν' ἔχων τοῖσι μεγίστοις ἐπεχείρει,
διαβὰς βυρσῶν ὀσμὰς δεινὰς κἀπειλὰς βορβοροθύμους.
καὶ πρῶτον μὲν μάχομαι πάντων αὐτῷ τῷ καρχαρόδοντι,
οὗ δεινόταται μὲν ἀπ' ὀφθαλμῶν Κύννης ἀκτῖνες ἔλαμπον,
ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωξομένων ἐλιχμῶντο
περὶ τὴν κεφαλὴν, φωνὴν δ' εἶχεν χαράδρας ὄλεθρον τετοκυίας,
φώκης δ' ὀσμὴν, Λαμίας ὄρχεις ἀπλύτους, πρωκτὸν δὲ καμήλου.
τοιοῦτον ἰδὼν τέρας οὐ κατέδεισ', ἀλλ' ὑπὲρ ὑμῶν πολεμίζων
ἀντεῖχον ἀεὶ καὶ τῶν ἄλλων νήσων. ὧν οὕνεκα νυνὶ
ἀποδοῦναί μοι τὴν χάριν ὑμᾶς εἰκὸς καὶ μνήμονας εἶναι.
καὶ γὰρ πρότερον πράξας κατὰ νοῦν οὐχὶ παλαίστρας περινοστῶν
παῖδας ἐπείρων, ἀλλ' ἀράμενος τὴν σκευὴν εὐθὺς ἐχώρουν,
παῦρ' ἀνιάσας, πόλλ' εὐφράνας, πάντα παρασχὼν τὰ δέοντα.
πρὸς ταῦτα χρεὼν εἶναι μετ' ἐμοῦ
καὶ τοὺς ἄνδρας καὶ τοὺς παῖδας·
καὶ τοῖς φαλακροῖσι παραινοῦμεν
ξυσπουδάζειν περὶ τῆς νίκης.
πᾶς γάρ τις ἐρεῖ νικῶντος ἐμοῦ
κἀπὶ τραπέζῃ καὶ ξυμποσίοις,
φέρε τῷ φαλακρῷ, δὸς τῷ φαλακρῷ
τῶν τρωγαλίων, καὶ μὴ ἀφαίρει
γενναιοτάτου τῶν ποιητῶν
ἀνδρὸς τὸ μέτωπον ἔχοντος.
Μοῦσα, σὺ μὲν πολέμους ἀπωσαμένη μετ' ἐμοῦ
τοῦ φίλου χόρευσον,
κλείουσα θεῶν τε γάμους ἀνδρῶν τε δαῖτας
καὶ θαλίας μακάρων· σοὶ γὰρ τάδ' ἐξ ἀρχῆς μέλει.
ἢν δέ σε Καρκίνος ἐλθὼν
ἀντιβολῇ μετὰ τῶν παίδων χορεῦσαι,
μήθ' ὑπάκουε μήτ' ἔλ-
θῃς συνέριθος αὐτοῖς,
ἀλλὰ νόμιζε πάντας
ὄρτυγας οἰκογενεῖς, γυλιαύχενας ὀρχηστὰς
ναννοφυεῖς, σφυράδων ἀποκνίσματα, μηχανοδίφας.
καὶ γὰρ ἔφασχ' ὁ πατὴρ ὃ παρ' ἐλπίδας
εἶχε τὸ δρᾶμα γαλῆν τῆς
ἑσπέρας ἀπάγξαι.
τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων
τὸν σοφὸν ποιητὴν
ὑμνεῖν, ὅταν ἠρινὰ μὲν φωνῇ χελιδὼν
ἑζομένη κελαδῇ, χορὸν δὲ μὴ 'χῃ Μόρσιμος
μηδὲ Μελάνθιος, οὗ δὴ
πικροτάτην ὄπα γηρύσαντος ἤκουσ',
ἡνίκα τῶν τραγῳδῶν
τὸν χορὸν εἶχον ἀδελ-
φός τε καὶ αὐτὸς, ἄμφω
Γοργόνες ὀψοφάγοι, βατιδοσκόποι, ἅρπυιαι,
γραοσόβαι, μιαροὶ, τραγομάσχαλοι, ἰχθυολῦμαι·
ὧν καταχρεμψαμένη μέγα καὶ πλατὺ
Μοῦσα θεὰ μετ' ἐμοῦ ξύμ-
παιζε τὴν ἑορτήν.

775—796. == 797—817.

ΤΡΥΓΑΙΟΣ.

ὡς χαλεπὸν ἐλθεῖν ἦν ἄρ' εὐθὺ τῶν θεῶν.
ἔγωγέ τοι πεπόνηκα κομιδῇ τὼ σκέλη.
μικροὶ δ' ὁρᾶν ἄνωθεν ἦστ'. ἔμοιγέ τοι
ἀπὸ τοὐρανοῦ 'φαίνεσθε κακοήθεις πάνυ,
ἐντευθενὶ δὲ πολύ τι κακοηθέστεροι.

ΟΙΚΕΤΗΣ.

ὦ δέσποθ', ἥκεις;

ΤΡΥΓΑΙΟΣ.

ὡς ἐγὼ 'πυθόμην τινός.

ΟΙΚΕΤΗΣ.

τί δ' ἔπαθες;

ΤΡΥΓΑΙΟΣ.

ἤλγουν τὼ σκέλη μακρὰν ὁδὸν
διεληλυθώς.

ΟΙΚΕΤΗΣ.

ἴθι νυν, κάτειπέ μοι,

ΤΡΥΓΑΙΟΣ.

τὸ τί;

ΟΙΚΕΤΗΣ.

ἄλλον τιν' εἶδες ἄνδρα κατὰ τὸν ἀέρα
πλανώμενον πλὴν σαυτόν;

ΤΡΥΓΑΙΟΣ.

οὔκ, εἰ μή γέ που
ψυχὰς δύ' ἢ τρεῖς διθυραμβοδιδασκάλων.

ΟΙΚΕΤΗΣ.

τί δ' ἔδρων;

ΤΡΥΓΑΙΟΣ.

ξυνελέγοντ' ἀναβολὰς ποτώμεναι,
τὰς ἐνδιαεριανερινηχέτους τινάς.

ΟΙΚΕΤΗΣ.

οὐκ ἦν ἄρ' οὐδ' ἃ λέγουσι κατὰ τὸν ἀέρα,
ὡς ἀστέρες γιγνόμεθ', ὅταν τις ἀποθάνῃ;

ΤΡΥΓΑΙΟΣ.

μάλιστα.

ΟΙΚΕΤΗΣ.

καὶ τίς ἐστιν ἀστὴρ νῦν ἐκεῖ;

ΤΡΥΓΑΙΟΣ.

Ἴων ὁ Χῖος, ὅσπερ ἐποίησεν πάλαι
ἐνθάδε τὸν Ἀοῖόν ποθ'· ὡς δ' ἦλθ', εὐθέως
Ἀοῖον αὐτὸν πάντες ἐκάλουν ἀστέρα.

ΟΙΚΕΤΗΣ.

τίνες γάρ εἰσ' οἱ διατρέχοντες ἀστέρες,
οἳ καόμενοι θέουσιν;

ΤΡΥΓΑΙΟΣ.

ἀπὸ δείπνου τινὲς
τῶν πλουσίων οὗτοι βαδίζουσ' ἀστέρων,
ἰπνοὺς ἔχοντες, ἐν δὲ τοῖς ἰπνοῖσι πῦρ.
ἀλλ' εἴσαγ' ὡς τάχιστα ταυτηνὶ λαβών,
καὶ τὴν πύελον κατάκλυζε, καὶ θέρμαιν' ὕδωρ·
στόρνυ τ' ἐμοὶ καὶ τῇδε κουρίδιον λέχος.
καὶ ταῦτα δράσας ἧκε δεῦρ' αὖθις πάλιν·
ἐγὼ δ' ἀποδώσω τήνδε τῇ βουλῇ τέως.

ΟΙΚΕΤΗΣ.

πόθεν δ' ἔλαβες ταύτα σύ;

ΤΡΥΓΑΙΟΣ.

πόθεν; ἐκ τοὐρανοῦ.

ΟΙΚΕΤΗΣ.

οὐκ ἂν ἔτι δοίην τῶν θεῶν τριώβολον,
εἰ πορνοβοσκοῦσ' ὥσπερ ἡμεῖς οἱ βροτοί.

ΤΡΥΓΑΙΟΣ.

οὔκ, ἀλλὰ κἀκεῖ ζῶσιν ἀπὸ τούτων τινές.

ΟΙΚΕΤΗΣ.

ἄγε νυν ἴωμεν. εἰπέ μοι, δῶ καταφαγεῖν
ταύτῃ τι;

ΤΡΥΓΑΙΟΣ.

μηδέν· οὐ γὰρ ἐθελήσει φαγεῖν
οὔτ' ἄρτον οὔτε μᾶζαν, εἰωθυῖ' ἀεὶ
παρὰ τοῖς θεοῖσιν ἀμβροσίαν λείχειν ἄνω.

ΟΙΚΕΤΗΣ.

λείχειν ἄρ' αὐτῇ κἀνθάδε σκευαστέον.

ΧΟΡΟΣ.

εὐδαιμονικῶς γ' ὁ πρεσ-
βύτης, ὅσα γ' ὧδ' ἰδεῖν,
τὰ νῦν τάδε πράττει.

ΤΡΥΓΑΙΟΣ.

τί δῆτ', ἐπειδὰν νυμφίον μ' ὁρᾶτε λαμπρὸν ὄντα;

ΧΟΡΟΣ.

ζηλωτὸς ἔσει, γέρον,
αὖθις νέος ὢν πάλιν,
μύρῳ κατάλειπτος.

ΤΡΥΓΑΙΟΣ.

οἶμαι. τί δῆθ', ὅταν ξυνὼν τῶν τιτθίων ἔχωμαι;

ΧΟΡΟΣ.

εὐδαιμονέστερος φανεῖ τῶν Καρκίνου στροβίλων.

ΤΡΥΓΑΙΟΣ.

οὔκουν δικαίως; ὅστις εἰς
ὄχημα κανθάρου 'πιβὰς
ἔσωσα τοὺς Ἕλληνας, ὥστ'
ἐν τοῖς ἀγροῖς
ἅπαντας ὄντας ἀσφαλῶς
κινεῖν τε καὶ καθεύδειν.

ΟΙΚΕΤΗΣ.

ἡ παῖς λέλουται καὶ τὰ τῆς πυγῆς καλά·
ὁ πλακοῦς πέπεπται, σησαμῆ ξυμπλάττεται,
καὶ τἄλλ' ἁπαξάπαντα· τοῦ πέους δὲ δεῖ.

856—867. = 909—921.

ΤΡΥΓΑΙΟΣ.

ἴθι νυν ἀποδῶμεν τήνδε τὴν Θεωρίαν
ἀνύσαντε τῇ βουλῇ τι ταυτηί.

ΟΙΚΕΤΗΣ.

τί φῄς;
αὕτη Θεωρία 'στίν, ἣν ἡμεῖς ποτε
ἐπαίομεν Βραυρῶνάδ' ὑποπεπωκότες;

ΤΡΥΓΑΙΟΣ.

σάφ' ἴσθι, κἀλήφθη γε μόλις.

ΟΙΚΕΤΗΣ.

ὦ δέσποτα,
ὅσην ἔχει τὴν πρωκτοπεντετηρίδα.

ΤΡΥΓΑΙΟΣ.

εἶεν, τίς ἔσθ' ὑμῶν δίκαιος, τίς ποτε,
τίς διαφυλάξει τήνδε τῇ βουλῇ λαβών;
οὗτος, τί περιγράφεις;

ΟΙΚΕΤΗΣ.

τὸ δεῖν', εἰς Ἴσθμια
σκηνὴν ἐμαυτοῦ τῷ πέει καταλαμβάνω.

ΤΡΥΓΑΙΟΣ.

οὔπω λέγεθ' ὑμεῖς τίς ὁ φυλάξων; δεῦρο σύ·
καταθήσομαι γὰρ αὐτὸς εἰς μέσους ἄγων.

ΟΙΚΕΤΗΣ.

ἐκεινοσὶ νεύει.

ΤΡΥΓΑΙΟΣ.

τίς;

ΟΙΚΕΤΗΣ.

ὅστις; Ἀριφράδης,
ἄγειν παρ' αὐτὸν ἀντιβολῶν.

ΤΡΥΓΑΙΟΣ.

ἀλλ', ὦ μέλε,
τὸν ζωμὸν αὐτῆς προσπεσὼν ἐκλάψεται.
ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί.
βουλή, πρυτάνεις, ὁρᾶτε τὴν Θεωρίαν.
σκέψασθ' ὅσ' ὑμῖν ἀγαθὰ παραδώσω φέρων,
ὥστ' εὐθέως ἄραντας ὑμᾶς τὼ σκέλη
ταύτης μετέωρα καταγαγεῖν ἀνάρρυσιν.
τουτὶ δ' ὁρᾶ τοὐπτάνιον ἡμῖν ὡς καλόν.
διὰ ταῦτα καὶ κεκάπνικ' ἄρ'· ἐντεῦθεν γὰρ
πρὸ τοῦ πολέμου τὰ λάσανα τῇ βουλῇ ποτέ.
ἔπειτ' ἀγῶνα δ' εὐθὺς ἐξέσται ποιεῖν
ταύτην ἔχουσιν αὔριον καλὸν πάνυ,
ἐπὶ γῆς παλαίειν, τετραποδηδὸν ἑστάναι,
πλαγίαν καταβάλλειν, ἐς γόνατα κύβδ' ἑστάναι
καὶ παγκράτιόν γ' ὑπαλειψαμένοις νεανικῶς
παίειν, ὀρύττειν, πὺξ ὁμοῦ καὶ τῷ πέει·
τρίτῃ δὲ μετὰ ταῦθ' ἱπποδρομίαν ἄξετε,
ἵνα δὴ κέλης κέλητα παρακελητιεῖ,
ἅρματα δ' ἐπ' ἀλλήλοισιν ἀνατετραμμένα
φυσῶντα καὶ πνέοντα προσκινήσεται,
ἕτεροι δὲ κείσονταί γ' ἀπεψωλημένοι
περὶ ταῖσι καμπαῖς ἡνίοχοι πεπτωκότες.
ἀλλ', ὦ πρυτάνεις, δέχεσθε τὴν Θεωρίαν.
θᾶσθ' ὡς προθύμως ὁ πρύτανις παρεδέξατο.
ἀλλ' οὐκ ἄν, εἴ τι προῖκα προσαγαγεῖν σ' ἔδει,
ἀλλ' εὗρον ἄν σ' ὑπέχοντα τὴν ἐκεχειρίαν.

ΧΟΡΟΣ.

ἦ χρηστὸς ἀνὴρ πολί-
της ἐστὶν ἅπασιν ὅσ-
τις γ' ἐστὶ τοιοῦτος.

ΤΡΥΓΑΙΟΣ.
ὅταν τρυγᾶτ', εἴσεσθε πολλῷ μᾶλλον οἷός εἰμι.
ΧΟΡΟΣ.
καὶ νῦν σύ γε δῆλος εἶ·
σωτὴρ γὰρ ἅπασιν ἀν-
θρώποις γεγένησαι.
ΤΡΥΓΑΙΟΣ.
φήσεις γ', ἐπειδὰν ἐκπίῃς οἴνου νέου λεπαστήν.
ΧΟΡΟΣ.
καὶ πλήν γε τῶν θεῶν ἀεί σ' ἡγησόμεσθα πρῶτον.
ΤΡΥΓΑΙΟΣ.
πολλῶν γὰρ ὑμῖν ἄξιος
Τρυγαῖος ἀθμονεὺς ἐγώ,
δεινῶν ἀπαλλάξας πόνων
τὸν δημότην
καὶ τὸν γεωργικὸν λεών,
Ὑπέρβολόν τε παύσας.
ΧΟΡΟΣ.
ἄγε δή, τί νῷν ἐντευθενὶ ποιητέον;
ΤΡΥΓΑΙΟΣ.
τί δ' ἄλλο γ' ἢ ταύτην χύτραις ἱδρυτέον;
ΧΟΡΟΣ.
χύτραισιν, ὥσπερ μεμφόμενον Ἑρμίδιον;
ΤΡΥΓΑΙΟΣ.
τί δαὶ δοκεῖ; βούλεσθε λαρινῷ βοΐ;
ΧΟΡΟΣ.
βοΐ; μηδαμῶς, ἵνα μὴ βοηθεῖν ποι δέοι.
ΤΡΥΓΑΙΟΣ.
ἀλλ' ὑῒ παχείᾳ καὶ μεγάλῃ;
ΧΟΡΟΣ.
μὴ μή.
ΤΡΥΓΑΙΟΣ.
τιή;
ΧΟΡΟΣ.
ἵνα μὴ γένηται Θεογένους ὑηνία.
ΤΡΥΓΑΙΟΣ.
τῷ δὴ δοκεῖ σοι δῆτα τῶν λοιπῶν;
ΧΟΡΟΣ.
ὄΐ.
ΤΡΥΓΑΙΟΣ.
ὄΐ;
ΧΟΡΟΣ.
ναὶ μὰ Δί'.
ΤΡΥΓΑΙΟΣ.
ἀλλὰ τοῦτό γ' ἔστ' Ἰωνικὸν
τὸ ῥῆμ'.
ΧΟΡΟΣ.
ἐπίτηδές οὖν, ἵν' ἐν τἠκκλησίᾳ
ὡς χρὴ πολεμεῖν λέγων τις οἱ καθήμενοι
ὑπὸ τοῦ δέους λέγωσ' Ἰωνικῶς οἴ,
ΤΡΥΓΑΙΟΣ.
εὖ τοι λέγεις.
ΧΟΡΟΣ.
καὶ τἄλλα γ' ὦσιν ἤπιοι.
ὥστ' ἐσόμεθ' ἀλλήλοισιν ἀμνοὶ τοὺς τρόπους
καὶ τοῖσι συμμάχοισι πρᾳότεροι πολύ.
ΤΡΥΓΑΙΟΣ.
ἴθι νυν, ἄγ' ὡς τάχιστα τὸ πρόβατον λαβών·
ἐγὼ δὲ ποριῶ βωμὸν ἐφ' ὅτου θύσομεν.
ΧΟΡΟΣ.
ὡς πάνθ' ὅσ' ἂν θεὸς θέλῃ χἠ τύχη κατορθοῖ,
939—955. == 1023—1038.

χωρεῖ κατὰ νοῦν, ἕτερον δ' ἑτέρῳ
τούτων κατὰ καιρὸν ἀπαντᾷ.
ΤΡΥΓΑΙΟΣ.
ὡς ταῦτα δῆλά γ' ἔσθ'· ὁ γὰρ βωμὸς θύρασι
καὶ δή.
ΧΟΡΟΣ.
ἐπείγετε νῦν ἐν ὅσῳ
σοβαρὰ θεόθεν κατέχει
πολέμου μετάτροπος αὔρα.
νῦν γὰρ δαίμων φανερῶς
ἐς ἀγαθὰ μεταβιβάζει.
ΤΡΥΓΑΙΟΣ.
τὸ κανοῦν πάρεστ' ὀλὰς ἔχον καὶ στέμμα καὶ μάχαιραν,
καὶ πῦρ γε τουτί, κοὐδὲν ἴσχει πλὴν τὸ πρόβατον ἡμᾶς.
ΧΟΡΟΣ.
οὔκουν ἁμιλλήσεσθον; ὡς
ἢν Χαῖρις ὑμᾶς ἴδῃ,
πρόσεισιν αὐλῶν ἄκλη-
τος, κᾆτα σάφ' οἶδ' ὅτι
φυσῶντι καὶ πονουμένῳ
προσδώσετε δήπου.
ΤΡΥΓΑΙΟΣ.
ἄγε δή, τὸ κανοῦν λαβὼν σὺ καὶ τὴν χέρνιβα
περίιθι τὸν βωμὸν ταχέως ἐπιδέξια.
ΟΙΚΕΤΗΣ.
ἰδού· λέγοις ἂν ἄλλο· περιελήλυθα.
ΤΡΥΓΑΙΟΣ.
φέρε δή, τὸ δαλίον τόδ' ἐμβάψω λαβών.
σείου σὺ ταχέως· σὺ δὲ πρότεινε τῶν ὀλῶν,
καὐτός τε χερνίπτου, παραδοὺς ταύτην ἐμοί,
καὶ τοῖς θεαταῖς ῥῖπτε τῶν κριθῶν.
ΟΙΚΕΤΗΣ.
ἰδού.
ΤΡΥΓΑΙΟΣ.
ἔδωκας ἤδη;
ΟΙΚΕΤΗΣ.
νὴ τὸν Ἑρμῆν, ὥστε γε
τούτων ὅσοιπέρ εἰσι τῶν θεωμένων
οὐκ ἔστιν οὐδεὶς ὅστις οὐ κριθὴν ἔχει.
ΤΡΥΓΑΙΟΣ.
οὐχ αἱ γυναῖκές γ' ἔλαβον.
ΟΙΚΕΤΗΣ.
ἀλλ' εἰς ἑσπέραν
δώσουσιν αὐτοῖς ἄνδρες.
ΤΡΥΓΑΙΟΣ.
ἀλλ' εὐχώμεθα.
τίς τῇδε; ποῦ ποτ' εἰσὶ πολλοὶ κἀγαθοί;
ΟΙΚΕΤΗΣ.
τοισδὶ φέρε δῶ· πολλοὶ γάρ εἰσι κἀγαθοί.
ΤΡΥΓΑΙΟΣ.
τούτους ἀγαθοὺς ἐνόμισας;
ΟΙΚΕΤΗΣ.
οὐ γάρ, οἵτινες
ἡμῶν καταχεόντων ὕδωρ τοσουτονὶ
ἐς ταὐτὸ τοῦθ' ἑστᾶσ' ἰόντες χωρίον;
ΤΡΥΓΑΙΟΣ.
ἀλλ' ὡς τάχιστ' εὐχώμεθ', εὐχώμεσθα δή.
ὦ σεμνοτάτη βασίλεια θεά,
πότνι' Εἰρήνη,

δέσποινα χορῶν, δέσποινα γάμων,
δέξαι θυσίαν τὴν ἡμετέραν.

ΟΙΚΕΤΗΣ.

δέξαι δῆτ', ὦ πολυτιμήτη,
νὴ Δία, καὶ μὴ ποίει γ' ἅπερ αἱ
μοιχευόμεναι δρῶσι γυναῖκες.
καὶ γὰρ ἐκεῖναι παρακλίνασαι
τῆς αὐλείας παρακύπτουσιν·
κἄν τις προσέχῃ τὸν νοῦν αὐταῖς,
ἀναχωροῦσιν·
κᾆτ' ἢν ἀπίῃ, παρακύπτουσιν.
τούτων σὺ ποίει μηδὲν ἔθ' ἡμᾶς.

ΤΡΥΓΑΙΟΣ.

μὰ Δί', ἀλλ' ἀπόφηνον ὅλην σαυτὴν
γενναιοπρεπῶς τοῖσιν ἐρασταῖς
ἡμῖν, οἳ σου τρυχόμεθ' ἤδη
τρία καὶ δέκ' ἔτη.
λῦσον δὲ μάχας καὶ κορκορυγάς,
ἵνα Λυσιμάχην σε καλῶμεν.
παῦσον δ' ἡμῶν τὰς ὑπονοίας
τὰς περικόμψους,
αἷς στωμυλλόμεθ' εἰς ἀλλήλους·
μῖξον δ' ἡμᾶς τοὺς Ἕλληνας
πάλιν ἐξ ἀρχῆς
φιλίας χυλῷ, καὶ συγγνώμῃ
τινὶ πρᾳοτέρᾳ κέρασον τὸν νοῦν·
καὶ τὴν ἀγορὰν ἡμῖν ἀγαθῶν
ἐμπλησθῆναι μεγάλων, σκορόδων,
σικύων πρῴων, μήλων, ῥοιῶν,
δούλοισι χλανισκιδίων μικρῶν·
κἀκ Βοιωτῶν γε φέροντας ἰδεῖν
χῆνας, νήττας, φάττας, τροχίλους·
καὶ Κωπᾴδων ἐλθεῖν σπυρίδας,
καὶ περὶ ταύτας ἡμᾶς ἀθρόους
ὀψωνοῦντας τυρβάζεσθαι
Μορύχῳ, Τελέᾳ, Γλαυκέτῃ, ἄλλοις
τένθαις πολλοῖς· κᾆτα Μελάνθιον
ἥκειν ὕστερον εἰς τὴν ἀγοράν,
τὰς δὲ πεπρᾶσθαι, τὸν δ' ὀτοτύζειν,
εἶτα μονῳδεῖν ἐκ Μηδείας,
ὀλόμαν ὀλόμαν, ἀποχηρωθεὶς
τᾶς ἐν τεύτλοισι λοχευομένας·
τοὺς δ' ἀνθρώπους ἐπιχαίρειν.
ταῦτ', ὦ πολυτίμητ', εὐχομένοις ἡμῖν δίδου. /

ΟΙΚΕΤΗΣ.

λαβὲ τὴν μάχαιραν· εἶθ' ὅπως μαγειρικῶς
σφάξεις τὸν οἶν.

ΤΡΥΓΑΙΟΣ.

ἀλλ' οὐ θέμις.

ΤΡΥΓΑΙΟΣ.

τιὴ τί δή;

ΤΡΥΓΑΙΟΣ.

οὐχ ἥδεται δήπουθεν Εἰρήνη σφαγαῖς,
οὐδ' αἱματοῦται βωμός. ἀλλ' εἴσω φέρων
θύσας τὰ μηρί' ἐξελὼν δεῦρ' ἔκφερε,
χοὔτω τὸ πρόβατον τῷ χορηγῷ σώζεται.

ΧΟΡΟΣ.

σέ τοι θύρασι χρὴ * * μένοντα τοίνυν
σχίζας δευρὶ τιθέναι ταχέως
τά τε πρόσφορα πάντ' ἐπὶ τούτοις.

ΤΡΥΓΑΙΟΣ.

οὔκουν δοκῶ σοι μαντικῶς τὸ φρύγανον τίθεσ[θαι;]

ΧΟΡΟΣ.

πῶς δ' οὐχί; τί γάρ σε πέφευγ'
ὅσα χρὴ σοφὸν ἄνδρα; τί δ' οὐ
σὺ φρονεῖς, ὁπόσα χρεὼν τὸν
σοφῇ * * δόκιμον
φρενὶ πορίμῳ τε τόλμῃ;

ΤΡΥΓΑΙΟΣ.

ἡ σχίζα γοῦν ἐνημμένη τὸν Στιλβίδην πιέζ[ει,]
καὶ τὴν τράπεζαν οἴσομαι, καὶ παιδὸς οὐ δε[ήσει.]

ΧΟΡΟΣ.

τίς οὖν ἂν οὐκ ἐπαινέσει-
εν ἄνδρα τοιοῦτον, ὅσ-
τις πόλλ' ἀνατλὰς ἔσω-
σε τὴν ἱερὰν πόλιν;
ὥστ' οὐχὶ μὴ παύσει ποτ' ὢν
ζηλωτὸς ἅπασιν.

ΟΙΚΕΤΗΣ.

ταυτὶ δέδραται. τίθεσο τὼ μηρὼ λαβών.
ἐγὼ δ' ἐπὶ σπλάγχν' εἶμι καὶ θυλήματα.

ΤΡΥΓΑΙΟΣ.

ἐμοὶ μελήσει ταῦτά γ'· ἀλλ' ἥκειν ἐχρῆν.

ΟΙΚΕΤΗΣ.

ἰδού, πάρειμι. μῶν ἐπισχεῖν σοι δοκῶ;

ΤΡΥΓΑΙΟΣ.

ὄπτα καλῶς νυν αὐτά· καὶ γὰρ οὑτοσὶ
προσέρχεται δάφνῃ τις ἐστεφανωμένος.
τίς ἄρα ποτ' ἐστίν;

ΟΙΚΕΤΗΣ.

ὡς ἀλαζὼν φαίνεται·
μάντις τίς ἐστιν.

ΤΡΥΓΑΙΟΣ.

οὐ μὰ Δί', ἀλλ' Ἱεροκλέ[ης]

ΟΙΚΕΤΗΣ.

οὗτός γέ πού 'σθ' ὁ χρησμολόγος οὑξ Ὠρεο[ῦ.]
τί ποτ' ἄρα λέξει;

ΤΡΥΓΑΙΟΣ.

δῆλός ἐσθ' οὗτός γ' ὅτ[ι]
ἐναντιώσεταί τι ταῖς διαλλαγαῖς.

ΟΙΚΕΤΗΣ.

οὔκ, ἀλλὰ κατὰ τὴν κνῖσαν εἰσελήλυθεν.

ΤΡΥΓΑΙΟΣ.

μή νυν ὁρᾶν δοκῶμεν αὐτόν.

ΟΙΚΕΤΗΣ.

εὖ λέγεις.

ΙΕΡΟΚΛΗΣ.

τίς ἡ θυσία ποθ' αὑτηὶ καὶ τῷ θεῶν;

ΤΡΥΓΑΙΟΣ.

ὄπτα σὺ σιγῇ, κἄπαγ' ἀπὸ τῆς ὀσφύος.

ΙΕΡΟΚΛΗΣ.

ὅτῳ δὲ θύετ' οὐ φράσεθ';

ΤΡΥΓΑΙΟΣ.

ἡ κέρκος ποιεῖ
καλῶς.

ΟΙΚΕΤΗΣ.

καλῶς δῆτ', ὦ πότνι' Εἰρήνη φίλ[η.]

ΙΕΡΟΚΛΗΣ.

ἄγε νυν ἀπάρχου, κᾆτα δὸς τἀπάργματα.

ΤΡΥΓΑΙΟΣ.

ὀπτᾶν ἄμεινον πρῶτον.

ΙΕΡΟΚΛΗΣ.
ἀλλὰ ταυταγὶ
ἤδη 'στὶν ὀπτά.
ΤΡΥΓΑΙΟΣ.
πολλὰ πράττεις, ὅστις εἶ.
κατάτεμνε. ποῦ τράπεζα; τὴν σπονδὴν φέρε.
ΙΕΡΟΚΛΗΣ.
ἡ γλῶττα χωρὶς τέμνεται.
ΤΡΥΓΑΙΟΣ.
μεμνήμεθα.
ἀλλ' οἶσθ' ὃ δρᾶσον;
ΙΕΡΟΚΛΗΣ.
ἢν φράσῃς.
ΤΡΥΓΑΙΟΣ.
μὴ διαλέγου
νῷν μηδέν· Εἰρήνῃ γὰρ ἱερὰ θύομεν.
ΙΕΡΟΚΛΗΣ.
ὦ μέλεοι θνητοὶ καὶ νήπιοι,
ΤΡΥΓΑΙΟΣ.
ἐς κεφαλὴν σοί.
ΙΕΡΟΚΛΗΣ.
οἵτινες ἀφραδίῃσι θεῶν νόον οὐκ ἀΐοντες
συνθήκας πεποίησθ' ἄνδρες χαροποῖσι πιθήκοις,
ΟΙΚΕΤΗΣ.
αἰβοῖ βοῖ.
ΤΡΥΓΑΙΟΣ.
τί γελᾷς;
ΟΙΚΕΤΗΣ.
ἥσθην χαροποῖσι πιθήκοις.
ΙΕΡΟΚΛΗΣ.
καὶ κέπφοι τρήρωνες ἀλωπεκιδεῦσι πέπεισθε,
ὧν δόλιαι ψυχαί, δόλιαι φρένες.
ΤΡΥΓΑΙΟΣ.
εἴθε σου εἶναι
ὤφελεν, ὠλαζών, οὑτωσὶ θερμὸς ὁ πλεύμων.
ΙΕΡΟΚΛΗΣ.
εἰ γὰρ μὴ Νύμφαι γε θεαὶ Βάκιν ἐξαπάτασχον,
μηδὲ Βάκις θνητούς, μηδ' αὖ Νύμφαι Βάκιν
αὐτόν,
ΤΡΥΓΑΙΟΣ.
ἐξώλης ἀπόλοι', εἰ μὴ παύσαιο βακίζων.
ΙΕΡΟΚΛΗΣ.
οὔπω θέσφατον ἦν Εἰρήνης δέσμ' ἀναλῦσαι,
ἀλλὰ τόδε πρότερον
ΤΡΥΓΑΙΟΣ.
τοῖς ἁλσί γε παστέα ταυτί.
ΙΕΡΟΚΛΗΣ.
οὐ γάρ πω τοῦτ' ἐστὶ φίλον μακάρεσσι θεοῖσιν,
φυλόπιδος λῆξαι, πρίν κεν λύκος οἶν ὑμεναιοῖ.
ΤΡΥΓΑΙΟΣ.
καὶ πῶς, ὦ κατάρατε, λύκος ποτ' ἂν οἶν ὑμε-
ναιοῖ.
ΙΕΡΟΚΛΗΣ.
ὡς ἡ σφονδύλη φεύγουσα πονηρότατον βδεῖ,
χἠ κώδων ἀκαλανθὶς ἐπειγομένη τυφλὰ τίκτει,
τουτάκις οὔπω χρῆν τὴν εἰρήνην πεποιῆσθαι.
ΤΡΥΓΑΙΟΣ.
ἀλλὰ τί χρῆν ἡμᾶς; οὐ παύσασθαι πολεμοῦντας,
ἢ διακαυνιάσαι πότεροι κλαυσούμεθα μεῖζον,
ἐξὸν σπεισαμένοις κοινῇ τῆς Ἑλλάδος ἄρχειν;
ΙΕΡΟΚΛΗΣ.
οὔποτε ποιήσεις τὸν καρκίνον ὀρθὰ βαδίζειν.
ΤΡΥΓΑΙΟΣ.
οὔποτε δειπνήσεις ἔτι τοῦ λοιποῦ 'ν πρυτανείῳ,
οὐδ' ἐπὶ τῷ πραχθέντι ποιήσεις ὕστερον οὐδέν.
ΙΕΡΟΚΛΗΣ.
οὐδέποτ' ἂν θείης λεῖον τὸν τραχὺν ἐχῖνον.
ΤΡΥΓΑΙΟΣ.
ἆρα φενακίζων ποτ' Ἀθηναίους ἔτι παύσει;
ΙΕΡΟΚΛΗΣ.
ποῖον γὰρ κατὰ χρησμὸν ἐκαύσατε μῆρα θεοῖσιν;
ΤΡΥΓΑΙΟΣ.
ὅνπερ κάλλιστον δήπου πεποίηκεν Ὅμηρος·
ὣς οἱ μὲν νέφος ἐχθρὸν ἀπωσάμενοι πολέμοιο
Εἰρήνην εἵλοντο καὶ ἱδρύσανθ' ἱερείῳ.
αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη καὶ σπλάγχν' ἐπά-
σαντο,
ἔσπενδον δεπάεσσιν· ἐγὼ δ' ὁδὸν ἡγεμόνευον·
χρησμολόγῳ δ' οὐδεὶς ἐδίδου κώθωνα φαεινόν.
ΙΕΡΟΚΛΗΣ.
οὐ μετέχω τούτων· οὐ γὰρ ταῦτ' εἶπε Σίβυλλα.
ΤΡΥΓΑΙΟΣ.
ἀλλ' ὁ σοφός τοι νὴ Δί' Ὅμηρος δεξιὸν εἶπεν·
ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.
ΙΕΡΟΚΛΗΣ.
φράζεο δή, μή πώς σε δόλῳ φρένας ἐξαπατήσας
ἰκτῖνος μάρψῃ
ΤΡΥΓΑΙΟΣ.
τουτὶ μέντοι σὺ φυλάττου,
ὡς οὗτος φοβερὸς τοῖς σπλάγχνοις ἐστὶν ὁ χρη-
σμός.
ἔγχει δὴ σπονδὴν καὶ τῶν σπλάγχνων φέρε
δευρί.
ΙΕΡΟΚΛΗΣ.
ἀλλ' εἰ ταῦτα δοκεῖ, κἀγὼ 'μαυτῷ βαλανεύσω.
ΤΡΥΓΑΙΟΣ.
σπονδὴ σπονδή.
ΙΕΡΟΚΛΗΣ.
ἔγχει δὴ κἀμοὶ καὶ σπλάγχνων μοῖραν ὄρεξον.
ΤΡΥΓΑΙΟΣ.
ἀλλ' οὔπω τοῦτ' ἐστὶ φίλον μακάρεσσι θεοῖσιν·
ἀλλὰ τόδε πρότερον, σπένδειν ἡμᾶς, σὲ δ' ἀπελ-
θεῖν.
ὦ πότνι' Εἰρήνη, παράμεινον τὸν βίον ἡμῖν.
ΙΕΡΟΚΛΗΣ.
πρόσφερε τὴν γλῶτταν.
ΤΡΥΓΑΙΟΣ.
σὺ δὲ τὴν σαυτοῦ γ' ἀπένεγκον.
ΙΕΡΟΚΛΗΣ.
σπονδή.
ΤΡΥΓΑΙΟΣ.
καὶ ταυτὶ μετὰ τῆς σπονδῆς λαβὲ θᾶττον.
ΙΕΡΟΚΛΗΣ.
οὐδεὶς προσδώσει μοι σπλάγχνων;
ΤΡΥΓΑΙΟΣ.
ου γὰρ οἷόν τε
ἡμῖν προσδιδόναι, πρίν κεν λύκος οἶν ὑμεναιοῖ.

ΙΕΡΟΚΛΗΣ.

καὶ πρὸς τῶν γονάτων.

ΤΡΥΓΑΙΟΣ.

ἄλλως, ὦ τᾶν, ἱκετεύεις·
οὐ γὰρ ποιήσεις λεῖον τὸν τραχὺν ἐχῖνον.
ἄγε δή, θεαταί, δεῦρο συσπλαγχνεύετε
μετὰ νῷν.

ΙΕΡΟΚΛΗΣ.

τί ἐγὼ δέ;

ΤΡΥΓΑΙΟΣ.

τὴν Σίβυλλαν ἔσθιε.

ΙΕΡΟΚΛΗΣ.

οὔ τοι μὰ τὴν Γῆν ταῦτα κατέδεσθον μόνω,
ἀλλ' ἁρπάσομαι σφῷν αὐτά· κεῖται δ' ἐν μέσῳ.

ΤΡΥΓΑΙΟΣ.

ὦ παῖε παῖε τὸν Βάκιν.

ΙΕΡΟΚΛΗΣ

μαρτύρομαι.

ΤΡΥΓΑΙΟΣ.

κἀγωγ', ὅτι τένθης εἶ σὺ κἀλαζὼν ἀνήρ.
παῖ' αὐτὸν ἐπέχων τῷ ξύλῳ τὸν ἀλαζόνα.

ΟΙΚΕΤΗΣ.

σὺ μὲν οὖν· ἐγὼ δὲ τουτονὶ τῶν κῳδίων,
ἁλάμβαν' αὐτὸς ἐξαπατῶν, ἐκβολβιῶ.
οὐ καταβαλεῖς τὰ κῴδι', ὦ θυηπόλε;
ἤκουσας; ὁ κόραξ οἷος ἦλθ' ἐξ Ὠρεοῦ.
οὐκ ἀποπετήσει θᾶττον εἰς Ἐλύμνιον;

ΧΟΡΟΣ.

ἥδομαί γ', ἥδομαι
κράνους ἀπηλλαγμένος
τυροῦ τε καὶ κρομμύων.
οὐ γὰρ φιληδῶ μάχαις,
ἀλλὰ πρὸς πῦρ διέλ-
κων μετ' ἀνδρῶν ἑταί-
ρων φίλων, ἐκκέας
τῶν ξύλων ἅττ' ἂν ᾖ
δανότατα τοῦ θέρους
ἐκπεπρισμένα,
κἀνθρακίζων τοὐρεβίνθου,
τήν τε φηγὸν ἐμπυρεύων,
χἄμα τὴν Θρᾷτταν κυνῶν,
τῆς γυναικὸς λουμένης.
οὐ γὰρ ἔσθ' ἥδιον ἢ τυχεῖν μὲν ἤδη 'σπαρμένα,
τὸν θεὸν δ' ἐπιψακάζειν, καί τιν' εἰπεῖν γείτονα,
εἰπέ μοι, τί τηνικαῦτα δρῶμεν, ὦ Κωμαρχίδη;
ἐμπιεῖν ἔμοιγ' ἀρέσκει, τοῦ θεοῦ δρῶντος καλῶς.
ἀλλ' ἄφευε τῶν φασήλων, ὦ γύναι, τρεῖς χοίνικας,
τῶν τε πυρῶν μῖξον αὐτοῖς, τῶν τε σύκων ἔξελε,
τόν τε Μανῆν ἡ Σύρα βωστρησάτω 'κ τοῦ χωρίου.
οὐ γὰρ οἷόν τ' ἐστὶ πάντως οἰναρίζειν τήμερον
οὐδὲ τυντλάζειν, ἐπειδὴ παρδακὸν τὸ χωρίον·
κἀξ ἐμοῦ δ' ἐνεγκάτω τις τὴν κίχλην καὶ τὼ σπίνω·
ἦν δὲ καὶ πυὸς τις ἔνδον καὶ λαγῷα τέτταρα,
εἴ τι μὴ 'ξήνεγκεν αὐτῶν ἡ γαλῆ τῆς ἑσπέρας·
ἐψόφει γοῦν ἔνδον οὐκ οἶδ' ἅττα κἀκυδοιδόπα·
ὧν ἔνεγκ', ὦ παῖ, τρί' ἡμῖν, ἓν δὲ δοῦναι τῷ πατρί·
μυρρίνας τ' αἴτησον ἐξ Αἰσχινάδου τῶν καρπίμων·
χἄμα τῆς αὐτῆς ὁδοῦ Χαρινάδην τις βωσάτω,
ὡς ἂν ἐμπίῃ μεθ' ἡμῶν,
εὖ ποιοῦντος κὠφελοῦντος
τοῦ θεοῦ τἀρώματα.
ἡνίκ' ἂν δ' ἀχέτας
ᾄδῃ τὸν ἡδὺν νόμον,
διασκοπῶν ἥδομαι
τὰς Λημνίας ἀμπέλους,
εἰ πεπαίνουσιν ἤ-
δη· τὸ γὰρ φῖτυ πρῷ-
ον φύει· τόν τε φή-
ληχ' ὁρῶν οἰδάνοντ'·
εἶθ' ὁπόταν ᾖ πέπων,
ἐσθίω κἀπέχω,
χἄμα φήμ', Ὧραι φίλαι· καὶ
τοῦ θύμου τρίβων κυκῶμαι·
κᾆτα γίγνομαι παχὺς
τηνικαῦτα τοῦ θέρους
μᾶλλον ἢ θεοῖσιν ἐχθρὸν ταξίαρχον προσβλ[...]
τρεῖς λόφους ἔχοντα καὶ φοινικίδ' ὀξεῖαν π[...]
ἣν ἐκεῖνός φησιν εἶναι βάμμα Σαρδιανικόν·
ἢν δέ που δέῃ μάχεσθ' ἔχοντα τὴν φοινικίδ[...]
τηνικαῦτ' αὐτὸς βέβαπται βάμμα Κυζικηνικ[...]
κᾆτα φεύγει πρῶτος, ὥσπερ ξουθὸς ἱππαλεκτ[...]
τοὺς λόφους σείων· ἐγὼ δ' ἕστηκα λινοπτώμ[...]
ἡνίκ' ἂν δ' οἴκοι γένωνται, δρῶσιν οὐκ ἀνεκ[...]
τοὺς μὲν ἐγγράφοντες ἡμῶν, τοὺς δ' ἄν[...] καὶ κάτω
ἐξαλείφοντες δὶς ἢ τρίς. αὔριον δ' ἔσθ' ἡ 'ξο[...]
τῷ δὲ σιτί' οὐκ ἐώνητ'· οὐ γὰρ ᾔδειν ἐξιώ[...]
εἶτα προστὰς πρὸς τὸν ἀνδριάντα τὸν Πανδί[...]
εἶδεν αὐτόν, κἀπορῶν θεῖ τῷ κακῷ βλέπων ὀ[...]
ταῦτα δ' ἡμᾶς τοὺς ἀγροίκους δρῶσι, τοὺς δ[...] ἄστεως
ἧττον, οἱ θεοῖσιν οὗτοι κἀνδράσιν ῥιψάσπιδ[...]
ὧν ἔτ' εὐθύνας ἐμοὶ δώσουσιν, ἢν θεὸς θέ[...]
πολλὰ γὰρ δή μ' ἠδίκησαν,
ὄντες οἴκοι μὲν λέοντες,
ἐν μάχῃ δ' ἀλώπεκες.

ΤΡΥΓΑΙΟΣ.

ἰοὺ ἰού.
ὅσον τὸ χρῆμ' ἐπὶ δεῖπνον ἦλθ' ἐς τοὺς γά[...]
ἔχ', ἀποκάθαιρε τὰς τραπέζας ταυτηί·
πάντως γὰρ οὐδὲν ὄφελός ἐστ' αὐτῆς ἔτι.
ἔπειτ' ἐπείσφερε τοὺς ἀμύλους καὶ τὰς κίχλ[...]
καὶ τῶν λαγῴων πολλὰ καὶ τοὺς κολλάβους.

ΔΡΕΠΑΝΟΥΡΓΟΣ.

ποῦ ποῦ Τρυγαῖός ἐστιν;

ΤΡΥΓΑΙΟΣ.

ἀναβράττω κίχλ[...]

ΔΡΕΠΑΝΟΥΡΓΟΣ.

ὦ φίλτατ', ὦ Τρυγαῖ', ὅσ' ἡμᾶς τἀγαθὰ
δέδρακας, εἰρήνην ποιήσας· ὡς πρὸ τοῦ
οὐδεὶς ἐπρίατ' ἂν δρέπανον οὐδὲ κολλύβου,
νυνὶ δὲ πεντήκοντα δραχμῶν ἐμπολῶ·
ὁδὶ δὲ τριδράχμους τοὺς κάδους εἰς τοὺς ἀγ[...]
ἀλλ', ὦ Τρυγαῖε, τῶν δρεπάνων τε λάμβα[...]
καὶ τῶνδ' ὅ τι βούλει προῖκα· καὶ ταυτὶ δ[...]
ἀφ' ὧν γὰρ ἀπεδόμεσθα κἀκερδάναμεν
τὰ δῶρα ταυτί σοι φέρομεν εἰς τοὺς γάμους.

ΤΡΥΓΑΙΟΣ.

ἴθι νυν, καταθέμενοι παρ' ἐμοὶ ταῦτ' εἴσιτ[...]

1127 — 1158. = 1159 — 1190.

ἐπὶ δεῖπνον ὡς τάχιστα· καὶ γὰρ οὑτοσὶ
ὅπλων κάπηλος ἀχθόμενος προσέρχεται.

ΛΟΦΟΠΟΙΟΣ.
οἴμ' ὡς προθέλυμνόν μ', ὦ Τρυγαῖ', ἀπώλεσας.

ΤΡΥΓΑΙΟΣ.
τί δ' ἔστιν, ὦ κακόδαιμον; οὔ τί που λοφᾷς;

ΛΟΦΟΠΟΙΟΣ.
ἀπώλεσάς μου τὴν τέχνην καὶ τὸν βίον,
καὶ τουτουὶ καὶ τοῦ δορυξοῦ 'κεινουί.

ΤΡΥΓΑΙΟΣ.
τί δῆτα τουτοιὶ καταθῶ σοι τοῖν λόφοιν;

ΛΟΦΟΠΟΙΟΣ.
αὐτὸς σὺ τί δίδως;

ΤΡΥΓΑΙΟΣ.
ὅ τι δίδωμ'; αἰσχύνομαι.
ὅμως δ' ὅτι τὸ σφήκωμ' ἔχει πόνον πολύν,
δοίην ἂν αὐτοῖν ἰσχάδων τρεῖς χοίνικας,
ἵν' ἀποκαθαίρω τὴν τράπεζαν τουτῳί.

ΛΟΦΟΠΟΙΟΣ.
ἔνεγκε τοίνυν εἰσιὼν τὰς ἰσχάδας·
κρεῖττον γάρ, ὦ τᾶν, ἐστὶν ἢ μηδὲν λαβεῖν.

ΤΡΥΓΑΙΟΣ.
ἀπόφερ' ἀπόφερ' ἐς κόρακας ἀπὸ τῆς οἰκίας.
τριχορρυεῖτον, οὐδέν ἐστον τὼ λόφω.
οὐκ ἂν πριαίμην οὐδ' ἂν ἰσχάδος μιᾶς.

ΘΩΡΑΚΟΠΩΛΗΣ.
τί δαὶ δεκάμνῳ τῷδε θώρακος κύτει
ἐνημμένῳ κάλλιστα χρήσομαι τάλας;

ΤΡΥΓΑΙΟΣ.
οὗτος μὲν οὐ μή σοι ποιήσει ζημίαν.
ἀλλ' αἶρέ μοι τοῦτόν γε τῆς ἰσωνίας·
ἐναποπατεῖν γὰρ ἔστ' ἐπιτήδειος πάνυ

ΘΩΡΑΚΟΠΩΛΗΣ.
παῦσαί μ' ὑβρίζων τοῖς ἐμοῖσι χρήμασιν.

ΤΡΥΓΑΙΟΣ.
ὡδί, παραθέντι τρεῖς λίθους. οὐ δεξιῶς;

ΘΩΡΑΚΟΠΩΛΗΣ.
ποίᾳ δ' ἀποψήσει ποτ', ὠμαθέστατε;

ΤΡΥΓΑΙΟΣ.
τηδί, διεὶς τὴν χεῖρα διὰ τῆς θαλαμιᾶς
καὶ τῇδ'.

ΘΩΡΑΚΟΠΩΛΗΣ.
ἅμ' ἀμφοῖν δῆτ';

ΤΡΥΓΑΙΟΣ.
ἔγωγε νὴ Δία,
ἵνα μή γ' ἁλῷ τρύπημα κλέπτων τῆς νεώς.

ΘΩΡΑΚΟΠΩΛΗΣ.
ἔπειτ' ἐπὶ δεκάμνῳ χεσεῖ καθήμενος;

ΤΡΥΓΑΙΟΣ.
ἔγωγε νὴ Δί', ὦπίτριπτ'. οἴει γὰρ ἂν
τὸν πρωκτὸν ἀποδόσθαι με χιλιῶν δραχμῶν;

ΘΩΡΑΚΟΠΩΛΗΣ.
ἴθι δή, 'ξένεγκε τἀργύριον.

ΤΡΥΓΑΙΟΣ.
ἀλλ', ὠγαθέ,
θλίβει τὸν ὄρρον. ἀπόφερ', οὐκ ὠνήσομαι.

ΣΑΛΠΙΓΓΟΠΟΙΟΣ.
τί δ' ἆρα τῇ σάλπιγγι τῇδε χρήσομαι,
ἥν ἐπριάμην δραχμῶν ποθ' ἑξήκοντ' ἐγώ;

ΤΡΥΓΑΙΟΣ.
μόλυβδον εἰς τουτὶ τὸ κοῖλον ἐγχέας,
ἔπειτ' ἄνωθεν ῥάβδον ἐνθεὶς ὑπόμακρον,
γενήσεταί σοι τῶν κατακτῶν κοττάβων.

ΣΑΛΠΙΓΓΟΠΟΙΟΣ.
οἴμοι καταγελᾷς.

ΤΡΥΓΑΙΟΣ.
ἀλλ' ἕτερον παραινέσω.
τὸν μὲν μόλυβδον, ὥσπερ εἶπον, ἔγχεον,
ἐντευθενὶ δὲ σπαρτίοις ἠρτημένην
πλάστιγγα πρόσθες, χαὐτό σοι γενήσεται
τὰ σῦκ' ἐν ἀγρῷ τοῖς οἰκέταισιν ἱστάναι.

ΚΡΑΝΟΠΟΙΟΣ.
ὦ δυσκάθαρτε δαῖμον, ὥς μ' ἀπώλεσας,
ὅτ' ἀντέδωκά γ' ἀντὶ τῶνδε μνᾶν ποτέ·
καὶ νῦν τί δράσω; τίς γὰρ αὔτ' ὠνήσεται;

ΤΡΥΓΑΙΟΣ.
πώλει βαδίζων αὐτὰ τοῖς Αἰγυπτίοις·
ἔστιν γὰρ ἐπιτήδεια συρμαίαν μετρεῖν.

ΔΟΡΥΞΟΣ.
οἴμ', ὦ κρανοποιέ, ὡς ἀθλίως πεπράγαμεν.

ΤΡΥΓΑΙΟΣ.
οὗτος μὲν οὐ πέπονθεν οὐδέν.

ΔΟΡΥΞΟΣ.
ἀλλὰ τί
ἔτ' ἐστὶ τοῖσι κράνεσιν ὅ τι τις χρήσεται;

ΤΡΥΓΑΙΟΣ.
ἐὰν τοιαυτασὶ μάθῃ λαβὰς ποιεῖν,
ἄμεινον ἢ νῦν αὔτ' ἀποδώσεται πολύ.

ΚΡΑΝΟΠΟΙΟΣ.
ἀπίωμεν, ὦ δορυξέ.

ΤΡΥΓΑΙΟΣ.
μηδαμῶς γ', ἐπεὶ
τούτῳ γ' ἐγὼ τὰ δόρατα ταῦτ' ὠνήσομαι.

ΔΟΡΥΞΟΣ.
πόσον δίδως δῆτ';

ΤΡΥΓΑΙΟΣ.
εἰ διαπρισθεῖεν δίχα,
λάβοιμ' ἂν αὔτ' ἐς χάρακας, ἑκατὸν τῆς δραχμῆς.

ΔΟΡΥΞΟΣ.
ὑβριζόμεθα. χωρῶμεν, ὦ τᾶν, ἐκποδών.

ΤΡΥΓΑΙΟΣ.
νὴ τὸν Δί', ὡς τὰ παιδί' ἤδη 'ξέρχεται
οὐρησόμενα τὰ τῶν ἐπικλήτων δεῦρ', ἵνα
ἅττ' ᾄσεται προαναβάληταί μοι δοκεῖ.
ἀλλ' ὅ τι περ ᾄδειν ἐπινοεῖς, ὦ παιδίον,
αὐτοῦ παρ' ἐμὲ στὰν πρότερον ἀναβαλοῦ 'νθαδί.

ΠΑΙΣ ΛΑΜΑΧΟΥ.
Νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα

ΤΡΥΓΑΙΟΣ.
παῦσαι
ὁπλοτέρους ᾄδων, καὶ ταῦτ', ὦ τρισκακόδαιμον,
εἰρήνης γ' οὔσης· ἀμαθές γ' εἶ καὶ κατάρατον.

ΠΑΙΣ ΛΑΜΑΧΟΥ.
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
σύν ῥ' ἔβαλον ῥινούς τε καὶ ἀσπίδας ὀμφαλοέσσας.

ΤΡΥΓΑΙΟΣ.
ἀσπίδας; οὐ παύσει μεμνημένον ἀσπίδος ἡμῖν;

ΠΑΙΣ ΛΑΜΑΧΟΥ.
Ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν

ΤΡΥΓΑΙΟΣ.
ἀνδρῶν οἰμωγή; κλαύσει νὴ τὸν Διόνυσον

οἰμωγὰς ᾆδον, καὶ ταύτας ὀμφαλοέσσας.

ΠΑΙΣ ΛΑΜΑΧΟΥ.

ἀλλὰ τί δῆτ' ᾄδω; σὺ γὰρ εἰπέ μοι οἷστισι χαίρεις.

ΤΡΥΓΑΙΟΣ.

Ὣς οἱ μὲν δαίνυντο βοῶν κρέα, καὶ τὰ τοιαυτί.
Ἄριστον προτίθεντο καὶ ἅτθ' ἥδιστα πάσασθαι.

ΠΑΙΣ ΛΑΜΑΧΟΥ.

Ὣς οἱ μὲν δαίνυντο βοῶν κρέα, καὐχένας ἵππων
ἔκλυον ἱδρώοντας, ἐπεὶ πολέμου ἐκόρεσθεν.

ΤΡΥΓΑΙΟΣ.

εἶεν· ἐκόρεσθεν τοῦ πολέμου κᾆτ' ἤσθιον.
ταῦτ' ᾆδε, ταῦθ', ὡς ἤσθιον κεκορημένοι.

ΠΑΙΣ ΛΑΜΑΓΟΥ.

Θωρήσσοντ' ἄρ' ἔπειτα πεπαυμένοι.

ΤΡΥΓΑΙΟΣ.

ἄσμενοι, οἶμαι.

ΠΑΙΣ ΛΑΜΑΧΟΥ.

Πύργων δ' ἐξεχέοντο, βοὴ δ' ἄσβεστος ὀρώρει.

ΤΡΥΓΑΙΟΣ.

κάκιστ' ἀπόλοιο, παιδάριον, αὐταῖς μάχαις·
οὐδὲν γὰρ ᾄδεις πλὴν πολέμους. τοῦ καί ποτ' εἶ;

ΠΑΙΣ ΛΑΜΑΧΟΥ.

ἐγώ;

ΤΡΥΓΑΙΟΣ.

σὺ μέντοι νὴ Δί'.

ΠΑΙΣ ΛΑΜΑΧΟΥ.

υἱὸς Λαμάχου.

ΤΡΥΓΑΙΟΣ.

αἰβοῖ·
ἦ γὰρ ἐγὼ θαύμαζον ἀκούων, εἰ σὺ μὴ εἴης
ἀνδρὸς βουλομάχου καὶ κλαυσιμάχου τινὸς υἱός.
ἄπερρε καὶ τοῖς λογχοφόροισιν ᾆδ' ἰών.
ποῦ μοι τὸ τοῦ Κλεωνύμου 'στὶ παιδίον;
ᾆσον πρὶν εἰσιέναι τι· σὺ γὰρ εὖ οἶδ' ὅτι
οὐ πράγματ' ᾄσει· σώφρονος γὰρ εἶ πατρός.

ΠΑΙΣ ΚΛΕΩΝΥΜΟΥ.

Ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ
ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων.

ΤΡΥΓΑΙΟΣ.

εἰπέ μοι, ὦ πόσθων, εἰς τὸν σαυτοῦ πατέρ' ᾄδεις;

ΠΑΙΣ ΚΛΕΩΝΥΜΟΥ.

Ψυχὴν δ' ἐξεσάωσα,

ΤΡΥΓΑΙΟΣ.

κατῄσχυνας δὲ τοκῆας.
ἀλλ' εἰσίωμεν. εὖ γὰρ οἶδ' ἐγὼ σαφῶς
ὅτι ταῦθ' ὅσ' ᾖσας ἄρτι περὶ τῆς ἀσπίδος
οὐ μὴ 'πιλάθῃ ποτ', ὢν ἐκείνου τοῦ πατρός.
ὑμῶν τὸ λοιπὸν ἔργον ἤδη 'νταῦθα τῶν μενόντων
φλᾶν ταῦτα πάντα καὶ σποδεῖν, καὶ μὴ κενὰς παρέλκειν.
ἀλλ' ἀνδρικῶς ἐμβάλλετον,
καὶ σμώχετ' ἀμφοῖν ταῖν γνάθοιν· οὐδὲν γάρ, ὦ πονηροί,
λευκῶν ὀδόντων ἔργον ἔστ', ἢν μή τι καὶ μασῶνται.

ΧΟΡΟΣ.

ἡμῖν μελήσει ταῦτά γ'· εὖ ποιεῖς δὲ καὶ σὺ φράζων.

ΤΡΥΓΑΙΟΣ.

ἀλλ', ὦ πρὸ τοῦ πεινῶντες, ἐμβάλλεσθε τῶν λαγῴων·
ὡς οὐχὶ πᾶσαν ἡμέραν
πλακοῦσιν ἔστιν ἐντυχεῖν πλανωμένοις ἐρήμοι[ς]
πρὸς ταῦτα βρύκετ', ἢ τάχ' ὑμῖν φημι μεταμ[ε]λήσειν.

ΧΟΡΟΣ.

εὐφημεῖν χρὴ καὶ τὴν νύμφην ἔξω τινὰ δεῖ κομίζειν,
δᾷδάς τε φέρειν, καὶ πάντα λεὼν ξυγχαίρ[ειν] κἀπιχορεύειν.
καὶ τὰ σκεύη πάλιν εἰς τὸν ἀγρὸν νυνὶ [χρὴ] πάντα κομίζειν
ὀρχησαμένους καὶ σπείσαντας καὶ Ὑπέρβο[λον] ἐξελάσαντας,
κἀπευξαμένους τοῖσι θεοῖσιν
διδόναι πλοῦτον τοῖς Ἕλλησιν,
κριθάς τε ποιεῖν ἡμᾶς πολλὰς
πάντας ὁμοίως οἶνόν τε πολὺν,
σῦκά τε τρώγειν,
τάς τε γυναῖκας τίκτειν ἡμῖν,
καὶ τἀγαθὰ πάνθ' ὅσ' ἀπωλέσαμεν
συλλέξασθαι πάλιν ἐξ ἀρχῆς,
λῆξαί τ' αἴθωνα σίδηρον.

ΤΡΥΓΑΙΟΣ.

δεῦρ', ὦ γύναι, εἰς ἀγρὸν,
χὤπως μετ' ἐμοῦ καλὴ
καλῶς κατακείσει.

ΧΟΡΟΣ.

ὦ τρισμάκαρ, ὡς δικαί-
ως τἀγαθὰ νῦν ἔχεις.
Ὑμὴν, Ὑμέναι' ὦ,
Ὑμὴν, Ὑμέναι' ὦ.
τί δράσομεν αὐτήν;
τί δράσομεν αὐτήν;
τρυγήσομεν αὐτὴν,
τρυγήσομεν αὐτήν.
ἀλλ' ἀράμενοι φέρω-
μεν οἱ προτεταγμένοι
τὸν νυμφίον, ὦνδρες.
Ὑμὴν, Ὑμέναι' ὦ,
Ὑμὴν, Ὑμέναι' ὦ.

ΤΡΥΓΑΙΟΣ.

οἰκήσετε γοῦν καλῶς
οὐ πράγματ' ἔχοντες, ἀλ-
λὰ συκολογοῦντες.
Ὑμὴν, Ὑμέναι' ὦ,
Ὑμὴν, Ὑμέναι' ὦ.

ΧΟΡΟΣ.

τοῦ μὲν μέγα καὶ παχὺ,
τῆς δ' ἡδὺ τὸ σῦκον.

ΤΡΥΓΑΙΟΣ.

φήσεις γ', ὅταν ἐσθίῃς
οἶνόν τε πίῃς πολύν.
Ὑμὴν, Ὑμέναι' ὦ,
Ὑμὴν, Ὑμέναι' ὦ.
ὦ χαίρετε χαίρετ', ἄν-
δρες, κἂν ξυνέπησθέ μοι,
πλακοῦντας ἔδεσθε.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΟΡΝΙΘΕΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΕΥΕΛΠΙΔΗΣ.*
*ΠΕΙΣΘΕΤΑΙΡΟΣ.*
*ΤΡΟΧΙΛΟΣ, θεράπων Ἔποπος.*
*ΕΠΟΨ.*
*ΧΟΡΟΣ ΟΡΝΙΘΩΝ.*
*ΦΟΙΝΙΚΟΠΤΕΡΟΣ.*
*ΚΗΡΥΚΕΣ.*
*ΙΕΡΕΥΣ.*
*ΠΟΙΗΤΗΣ.*
*ΧΡΗΣΜΟΛΟΓΟΣ.*
*ΜΕΤΩΝ γεωμέτρης.*
*ΕΠΙΣΚΟΠΟΣ.*
*ΨΗΦΙΣΜΑΤΟΠΩΛΗΣ.*
*ΑΓΓΕΛΟΙ.*
*ΙΡΙΣ.*
*ΠΑΤΡΑΛΟΙΑΣ.*
*ΚΙΝΗΣΙΑΣ διθυραμβοποιός.*
*ΣΥΚΟΦΑΝΤΗΣ.*
*ΠΡΟΜΗΘΕΥΣ.*
*ΠΟΣΕΙΔΩΝ.*
*ΤΡΙΒΑΛΛΟΣ.*
*ΗΡΑΚΛΗΣ.*
*ΟΙΚΕΤΗΣ Πεισθεταίρου.*

## *ΥΠΟΘΕΣΙΣ.*

*ὺο εἰσὶν Ἀθήνηθεν ἐκκεχωρηκότες πρεσβῦται διὰ τὰς δίκας. πορεύονται δὲ πρὸς τὸν Τηρέα ἔποπα*
*ὁμενον, πευσόμενοι παρ' αὐτοῦ ποία ἐστὶ πόλις εἰς κατοικισμὸν βελτίστη. χρῶνται δὲ τῆς ὁδοῦ καθη-*
*ιόσιν ὀρνέοις, ὁ μὲν κορώνῃ, ὁ δὲ κολοιῷ. ὀνομάζονται δὲ ὁ μὲν Πεισθέταιρος, ὁ δὲ Εὐελπίδης, ὃς*
*πρότερος ἄρχεται. ἡ σκηνὴ ἐν Ἀθήναις. τὸ δρᾶμα τοῦτο τῶν ἄγαν δυνατῶς πεποιημένων.*

*Ἐδιδάχθη ἐπὶ Χαβρίου διὰ Καλλιστράτου ἐν ἄστει, ὃς ἦν δεύτερος τοῖς Ὄρνισι, πρῶτος Ἀμει-*
*ς Κωμασταῖς, τρίτος Φρύνιχος Μονοτρόπῳ. ἔστι δὲ λε. φοβερὰ δὲ τότε τοῖς Ἀθηναίοις τὰ πράγματα.*
*τε γὰρ ναυτικὸν ἀπώλετο περὶ Σικελίαν, Λάμαχος οὐκ ἔτι ἦν, Νικίας ἐτεθνήκει, Δεκέλειαν ἦσαν*
*ίσαντες Λακεδαιμόνιοι, Ἆγις ὁ Λακεδαιμονίων στρατηγὸς περιεκάθητο τὴν Ἀττικὴν, Ἀλκιβιάδης τὰ*
*κεδαιμονίων ἐφρόνει καὶ ἐκκλησιάζων συνεβούλευε τὰ χρηστὰ Λακεδαιμονίοις. ταῦτα αἱ Ἀθηναίων*
*φοραὶ, διὰ ταῦτα αἱ Ἀθηναίων φυγαί. καὶ ὅμως οὐκ ἀπείχοντο τοῦ κακοπραγμονεῖν καὶ συκοφαντεῖν.*

## *ΑΛΛΩΣ.*

*Τῆς τῶν Ἀθηναίων πολιτείας τὸ μέγιστον ἦν κλέος αὐτόχθοσι γενέσθαι, καὶ αὕτη φιλοτιμία πρώ-*
*ὸ μηδέπω μηδεμιᾶς πόλεως φανείσης αὐτὴν πρῶτον ἀναβλαστῆσαι. ἀλλὰ τῷ χρόνῳ ὑπὸ προεστώτων*
*ρῶν καὶ πολιτῶν δυσχερῶν ἀνετέτραπτο, καὶ διωρθοῦτο πάλιν. ἐπὶ οὖν τοῦ Δεκελεικοῦ πολέμου,*
*ρῶν τινῶν τὰ πράγματα ἐγχειρισθέντων, ἐπισφαλὴς γέγονεν ἡ παρ' αὐτῶν κατάστασις. καὶ ἐν μὲν*
*ις δράμασι διὰ τῆς κωμῳδικῆς ἀδείας ἤλεγχεν Ἀριστοφάνης τοὺς κακῶς πολιτευομένους, φανερῶς*
*οὐδαμῶς, οὐ γὰρ ἐπὶ τούτῳ ἦν, λεληθότως δὲ, ὅσον ἀνῆκεν ἀπὸ κωμῳδίας προσκρούειν. ἐν δὲ τοῖς*
*ισι καὶ μέγα τι διανενόηται. ὡς γὰρ ἀδιόρθωτον ἤδη νόσον τῆς πολιτείας νοσούσης καὶ διεφθαρμένης*
*τῶν προεστώτων, ἄλλην τινὰ πολιτείαν αἰνίττεται, ὡσανεὶ συγκεχυμένων τῶν καθεστώτων· οὐ μόνον*
*ῦτο, ἀλλὰ καὶ τὸ σχῆμα ὅλον καὶ τὴν φύσιν, εἰ δέοι, συμβουλεύει μετατίθεσθαι πρὸς τὸ ἠρεμαίως*

βιοῦν. καὶ ἡ μὲν ἀπότασις αὕτη. τὰ δὲ κατὰ θεῶν βλάσφημα ἐπιτηδείως ᾠκονόμηται. καινῶν γάρ φη τὴν πόλιν προσδεῖσθαι θεῶν, ἀφροντιστούντων τῆς κατοικίας Ἀθηνῶν τῶν ὄντων καὶ παντελῶς ἠλ τριωκότων αὐτοὺς τῆς χώρας. ἀλλ' ὁ μὲν καθόλου στίχος τοιοῦτος. ἕκαστον δὲ τῶν κατὰ μέρος οὐκ ἐλ ἀλλ' ἄντικρυς Ἀθηναίων καὶ τῶν παρ' αὐτοῖς ἐγχειριζομένων τὰ κοινὰ ἐλέγχει τὴν φαύλην διάθεσιν, ἐπ θυμίαν ἐγκατασπείρων τοῖς ἀκούουσιν ἀπαλλαγῆναι τῆς ἐνεστώσης μοχθηρᾶς πολιτείας. ὑποτίθεται γ περὶ τὸν ἀέρα πόλιν, τῆς γῆς ἀπαλλάσσων· ἀλλὰ καὶ βουλὰς καὶ συνόδους ὀρνίθων, ταῖς Ἀθηναί δυσχεραίνων. ἀλλὰ καὶ ὅσα παίζει, ἐπίσκοπον, ἢ ψηφισματογράφον, ἢ τοὺς λοιποὺς εἰσάγων, οὐχ ἀπλ ἀλλὰ γυμνοῖ τὰς πάντων προαιρέσεις, ὡς αἰσχροκερδείας ἕνεκεν χρηματίζονται. εἶθ' ὕστερον καὶ τὸ θε εἰς ἀπρονοησίαν κωμῳδεῖ. τὰ δὲ ὀνόματα τῶν γερόντων πεποίηται, ὡς εἰ πεποιθοίη ἕτερος τῷ ἑτέρῳ ἐλπίζοι ἔσεσθαι ἐν βελτίοσι. τινὲς δέ φασι τὸν ποιητὴν τὰς ἐν ταῖς τραγῳδίαις τερατολογίας ἐν μὲν ἄλλ διελέγχειν, ἐν δὲ τοῖς νῦν τὴν τῆς Γιγαντομαχίας συμπλοκὴν ἕωλον ἀποφαίνων, ὄρνισιν ἔδωκε δια ρεσθαι πρὸς θεοὺς περὶ τῆς ἀρχῆς.

Ἐπὶ Χαβρίου τὸ δρᾶμα καθῆκεν εἰς ἄστυ διὰ Καλλιστράτου· εἰς δὲ Λήναια τὸν Ἀμφιάραον ἐ δαξε διὰ Φιλωνίδου. λάβοι δ' ἄν τις τοὺς χρόνους ἐκ τῶν πέρυσι γενομένων ἐπὶ Ἀριστομνήστου τοῦ π Χαβρίου. Ἀθηναῖοι γὰρ πέμπουσι τὴν Σαλαμινίαν, τὸν Ἀλκιβιάδην μεταστελλόμενοι ἐπὶ κρίσει τῆς τ μυστηρίων ἐκμιμήσεως. ὁ δὲ ἄχρι μὲν Θουρίου εἵπετο τοῖς μεθήκουσιν, ἐκεῖθεν δὲ δρασμὸν ποιησάμε εἰς Πελοπόννησον ἐπεραιώθη. τῆς δὲ μετακλήσεως μέμνηται καὶ Ἀριστοφάνης, ἀποκρύπτων μὲν τὸ ὄνο τὸ δὲ πρᾶγμα δηλῶν ἐν οἷς γέ φησι

μηδαμῶς
ἡμῖν παρὰ θάλατταν, ἵν' ἀνακύψεται
κλητῆρ' ἄγουσ' ἕωθεν ἡ Σαλαμινία.

---

## ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Διὰ τὰς δίκας φεύγουσιν Ἀθήνας δύο τινές·
οἳ πρὸς τὸν ἔποπα, τὸν λεγόμενον Τηρέα,
ἐλθόντες ἠρώτων ἀπράγμονα πόλιν.
εἷς δ' ὄρνις ἔποπι συμπαρὼν μετὰ πλειόνων
πτηνῶν διδάσκει, τί δύνατ' ὀρνίθων γένος,
καὶ πῶς, ἐάν περ κατὰ μέσον τὸν ἀέρα
πόλιν κτίσωσι, τῶν θεῶν τὰ πράγματα
αὐτοὶ παραλήψοντ'. ἐκ δὲ τοῦδε φάρμακον
πτέρυγάς τ' ἐποίουν· ἠξίωσαν δ' οἱ θεοί,
ἐπίθεσιν οὐ μικρὰν ὁρῶντες γενομένην.

# ΟΡΝΙΘΕΣ.

ΕΥΕΛΠΙΔΗΣ.

Ὀρθὴν κελεύεις, ᾗ τὸ δένδρον φαίνεται;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

διαῤῥαγείης· ἥδε δ' αὖ κρώζει πάλιν.

ΕΥΕΛΠΙΔΗΣ.

τί, ὦ πονήρ', ἄνω κάτω πλανύττομεν;
ἀπολούμεθ' ἄλλως τὴν ὁδὸν προφορουμένω.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τὸ δ' ἐμὲ κορώνῃ πειθόμενον τὸν ἄθλιον
ὁδοῦ περιελθεῖν στάδια πλεῖν ἢ χίλια.

ΕΥΕΛΠΙΔΗΣ.

τὸ δ' ἐμὲ κολοιῷ πειθόμενον τὸν δύσμορον
ἀποσποδῆσαι τοὺς ὄνυχας τῶν δακτύλων.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἀλλ' οὐδ' ὅπου γῆς ἐσμὲν οἶδ' ἔγωγ' ἔτι.

ΕΥΕΛΠΙΔΗΣ.

ἐντευθενὶ τὴν πατρίδ' ἂν ἐξεύροις σύ που;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐδ' ἂν μὰ Δία γ' ἐντεῦθεν Ἐξηκεστίδης.

ΕΥΕΛΠΙΔΗΣ.

οἴμοι.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

σὺ μὲν, ὦ τᾶν, τὴν ὁδὸν ταύτην ἴθι.

ΕΥΕΛΠΙΔΗΣ.

ἦ δεινὰ νὼ δέδρακεν οὐκ τῶν ὀρνέων,
ὁ πινακοπώλης Φιλοκράτης μελαγχολῶν,
ὃς τώδ' ἔφασκε νῷν φράσειν τὸν Τηρέα,
τὸν ἔποφ', ὃς ὄρνις ἐγένετ' ἐκ τῶν ὀρνέων·
κἀπέδοτο τὸν μὲν Θαῤῥελείδου τουτονὶ
κολοιὸν ὀβολοῦ, τηνδεδὶ τριωβόλου.
τὼ δ' οὐκ ἄρ' ἤστην οὐδὲν ἄλλο πλὴν δάκνειν.
καὶ νῦν τί κέχηνας; ἔσθ' ὅποι κατὰ τῶν πετρῶν
ἡμᾶς ἔτ' ἄξεις; οὐ γάρ ἐστ' ἐνταῦθά τις
ὁδός.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐδὲ μὰ Δί' ἐνταῦθά γ' ἀτραπὸς οὐδαμοῦ.

ΕΥΕΛΠΙΔΗΣ.

ἡ δ' ἡ κορώνη τῆς ὁδοῦ τι λέγει πέρι;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐ ταὐτὰ κρώζει μὰ Δία νῦν τε καὶ τότε.

ΕΥΕΛΠΙΔΗΣ.

τί δὴ λέγει περὶ τῆς ὁδοῦ;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τί δ' ἄλλο γ' ἢ
βρύκουσ' ἀπέδεσθαί φησί μου τοὺς δακτύλους;

ΕΥΕΛΠΙΔΗΣ.

οὐ δεινὸν οὖν δῆτ' ἐστὶν ἡμᾶς δεομένους
ἐς κόρακας ἐλθεῖν καὶ παρεσκευασμένους,
ἔπειτα μὴ 'ξευρεῖν δύνασθαι τὴν ὁδόν;
ἡμεῖς γὰρ, ὦνδρες οἱ παρόντες ἐν λόγῳ,
νόσον νοσοῦμεν τὴν ἐναντίαν Σάκα·
ὁ μὲν γὰρ ὢν οὐκ ἀστὸς εἰσβιάζεται,
ἡμεῖς δὲ φυλῇ καὶ γένει τιμώμενοι,
ἀστοὶ μετ' ἀστῶν, οὐ σοβοῦντος οὐδενὸς
ἀνεπτόμεσθ' ἐκ τῆς πατρίδος ἀμφοῖν ποδοῖν,
αὐτὴν μὲν οὐ μισοῦντ' ἐκείνην τὴν πόλιν
τὸ μὴ οὐ μεγάλην εἶναι φύσει κεὐδαίμονα
καὶ πᾶσι κοινὴν ἐναποτῖσαι χρήματα.
οἱ μὲν γὰρ οὖν τέττιγες ἕνα μῆν' ἢ δύο
ἐπὶ τῶν κραδῶν ᾄδουσ', Ἀθηναῖοι δ' ἀεὶ
ἐπὶ τῶν δικῶν ᾄδουσι πάντα τὸν βίον.
διὰ ταῦτα τόνδε τὸν βάδον βαδίζομεν,
κανοῦν δ' ἔχοντε καὶ χύτραν καὶ μυῤῥίνας
πλανώμεθα ζητοῦντε τόπον ἀπράγμονα,
ὅπου καθιδρυθέντε διαγενοίμεθ' ἄν.
ὁ δὲ στόλος νῷν ἐστι παρὰ τὸν Τηρέα
τὸν ἔποπα, παρ' ἐκείνου πυθέσθαι δεομένω,
εἴ που τοιαύτην εἶδε πόλιν ᾗ 'πέπτατο.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὗτος.

ΕΥΕΛΠΙΔΗΣ.

τί ἔστιν;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἡ κορώνη μοι πάλαι
ἄνω τι φράζει.

ΕΥΕΛΠΙΔΗΣ.

χὠ κολοιὸς οὑτοσὶ
ἄνω κέχηνεν ὡσπερεὶ δεικνύς τί μοι·
κοὐκ ἔσθ' ὅπως οὐκ ἔστιν ἐνταῦθ' ὄρνεα.
εἰσόμεθα δ' αὐτίκ', ἢν ποιήσωμεν ψόφον.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἀλλ' οἶσθ' ὃ δρᾶσον; τῷ σκέλει θένε τὴν πέτραν.

ΕΥΕΛΠΙΔΗΣ.

σὺ δὲ τῇ κεφαλῇ γ', ἵν' ᾖ διπλάσιος ὁ ψόφος.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

σὺ δ' οὖν λίθῳ κόψον λαβών.

ΕΥΕΛΠΙΔΗΣ.

πάνυ γ', εἰ δοκεῖ.
παῖ παῖ.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τί λέγεις, οὗτος; τὸν ἔποπα παῖ καλεῖς;
οὐκ ἀντὶ τοῦ παιδός σ' ἐχρῆν ἐποποῖ καλεῖν;

ΕΥΕΛΠΙΔΗΣ.

ἐποποῖ. ποιήσεις τοί με κόπτειν αὖθις αὖ;
ἐποποῖ.

ΤΡΟΧΙΛΟΣ.

τίνες οὗτοι; τίς ὁ βοῶν τὸν δεσπότην;

ΕΥΕΛΠΙΔΗΣ.

Ἄπολλον ἀποτρόπαιε, τοῦ χασμήματος.

ΤΡΟΧΙΛΟΣ.

οἴμοι τάλας, ὀρνιθοθήρα τουτωί.

ΕΥΕΛΠΙΔΗΣ.

οὕτως τι δεινὸν οὐδὲ κάλλιον λέγειν;

ΤΡΟΧΙΛΟΣ.
ἀπολεῖσθον.
ΕΥΕΛΠΙΔΗΣ.
ἀλλ' οὐκ ἐσμὲν ἀνθρώπω.
ΤΡΟΧΙΛΟΣ.
τί δαί;
ΕΥΕΛΠΙΔΗΣ.
Ὑποδεδιὼς ἔγωγε, Λιβυκὸν ὄρνεον.
ΤΡΟΧΙΛΟΣ.
οὐδὲν λέγεις.
ΕΥΕΛΠΙΔΗΣ.
καὶ μὴν ἐροῦ τὰ πρὸς ποδῶν.
ΤΡΟΧΙΛΟΣ.
ὁδὶ δὲ δὴ τίς ἐστιν ὄρνις; οὐκ ἐρεῖς;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
Ἐπικεχοδὼς ἔγωγε Φασιανικός.
ΕΥΕΛΠΙΔΗΣ.
ἀτὰρ σὺ τί θηρίον ποτ' εἶ πρὸς τῶν θεῶν;
ΤΡΟΧΙΛΟΣ.
ὄρνις ἔγωγε δοῦλος.
ΕΥΕΛΠΙΔΗΣ.
ἡττήθης τινὸς
ἀλεκτρυόνος;
ΤΡΟΧΙΛΟΣ.
οὔκ, ἀλλ' ὅτε περ ὁ δεσπότης
ἔποψ ἐγένετο, τότε γενέσθαι μ' ηὔξατο
ὄρνιν, ἵν' ἀκόλουθον διάκονόν τ' ἔχῃ.
ΕΥΕΛΠΙΔΗΣ.
δεῖται γὰρ ὄρνις καὶ διακόνου τινός;
ΤΡΟΧΙΛΟΣ.
οὗτός γ', ἅτ', οἶμαι, πρότερον ἄνθρωπός ποτ' ὤν,
τοτὲ μὲν ἐρᾷ φαγεῖν ἀφύας Φαληρικάς·
τρέχω 'π' ἀφύας ἐγὼ λαβὼν τὸ τρυβλίον.
ἔτνους δ' ἐπιθυμεῖ, δεῖ τορύνης καὶ χύτρας·
τρέχω 'πὶ τορύνην.
ΕΥΕΛΠΙΔΗΣ.
τροχίλος ὄρνις οὑτοσί.
οἶσθ' οὖν ὃ δρᾶσον, ὦ τροχίλε; τὸν δεσπότην
ἡμῖν κάλεσον.
ΤΡΟΧΙΛΟΣ.
ἀλλ' ἀρτίως νὴ τὸν Δία
εὕδει καταφαγὼν μύρτα καὶ σέρφους τινάς.
ΕΥΕΛΠΙΔΗΣ.
ὅμως ἐπέγειρον αὐτόν.
ΤΡΟΧΙΛΟΣ.
οἶδα μὲν σαφῶς
ὅτι ἀχθέσεται, σφῷν δ' αὐτὸν οὕνεκ' ἐπεγερῶ.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
κακῶς σύ γ' ἀπόλοι', ὥς μ' ἀπέκτεινας δέει.
ΕΥΕΛΠΙΔΗΣ.
οἴμοι κακοδαίμων, χὠ κολοιός μ' οἴχεται
ὑπὸ τοῦ δέους.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ὦ δειλότατον σὺ θηρίον,
δείσας ἀφῆκας τὸν κολοιόν;
ΕΥΕΛΠΙΔΗΣ.
εἰπέ μοι,
σὺ δὲ τὴν κορώνην οὐκ ἀφῆκας καταπεσών;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
μὰ Δί' οὐκ ἔγωγε.
ΕΥΕΛΠΙΔΗΣ.
ποῦ γάρ ἐστιν;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ἀπέπτατο.
ΕΥΕΛΠΙΔΗΣ.
οὐκ ἄρ' ἀφῆκας· ὦγάθ', ὡς ἀνδρεῖος εἶ.
ΕΠΟΨ.
ἄνοιγε τὴν ὕλην, ἵν' ἐξέλθω ποτέ.
ΕΥΕΛΠΙΔΗΣ.
ὦ Ἡράκλεις, τουτὶ τί ποτ' ἐστὶ θηρίον;
τίς ἡ πτέρωσις; τίς ὁ τρόπος τῆς τριλοφίας;
ΕΠΟΨ.
τίνες εἰσί μ' οἱ ζητοῦντες;
ΕΥΕΛΠΙΔΗΣ.
οἱ δώδεκα θεοὶ
εἴξασιν ἐπιτρῖψαί σε.
ΕΠΟΨ.
μῶν με σκώπτετον
ὁρῶντε τὴν πτέρωσιν; ἦ γάρ, ὦ ξένοι,
ἄνθρωπος.
ΕΥΕΛΠΙΔΗΣ.
οὐ σοῦ καταγελῶμεν.
ΕΠΟΨ.
ἀλλὰ τοῦ;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
τὸ ῥάμφος ἡμῖν σου γέλοιον φαίνεται.
ΕΠΟΨ.
τοιαῦτα μέντοι Σοφοκλέης λυμαίνεται
ἐν ταῖς τραγῳδίαισιν ἐμὲ τὸν Τηρέα.
ΕΥΕΛΠΙΔΗΣ.
Τηρεὺς γὰρ εἶ σύ; πότερον ὄρνις ἢ ταώς;
ΕΠΟΨ.
ὄρνις ἔγωγε.
ΕΥΕΛΠΙΔΗΣ.
κᾆτά σοι ποῦ τὰ πτερά;
ΕΠΟΨ.
ἐξερρύηκε.
ΕΥΕΛΠΙΔΗΣ.
πότερον ὑπὸ νόσου τινός;
ΕΠΟΨ.
οὔκ, ἀλλὰ τὸν χειμῶνα πάντα τὤρνεα
πτερορρυεῖ τε κᾆθις ἕτερα φύομεν.
ἀλλ' εἴπατόν μοι, σφὼ τίν' ἐστόν;
ΕΥΕΛΠΙΔΗΣ.
νώ; βροτ
ΕΠΟΨ.
ποδαπὼ τὸ γένος δ';
ΕΥΕΛΠΙΔΗΣ.
ὅθεν αἱ τριήρεις αἱ κα
ΕΠΟΨ.
μῶν ἡλιαστά;
ΕΥΕΛΠΙΔΗΣ.
μᾶλλὰ θατέρου τρόπου,
ἀπηλιαστά.
ΕΠΟΨ.
σπείρεται γὰρ τοῦτ' ἐκεῖ
τὸ σπέρμ';

ΕΥΕΛΠΙΔΗΣ.
ὀλίγον ζητῶν ἂν ἐξ ἀγροῦ λάβοις.
ΕΠΟΨ.
πράγους δὲ δὴ τοῦ δεομένω δεῦρ' ἤλθετον;
ΕΥΕΛΠΙΔΗΣ.
σοὶ ξυγγενέσθαι βουλομένω.
ΕΠΟΨ.
τίνος πέρι;
ΕΥΕΛΠΙΔΗΣ.
ὅτι πρῶτα μὲν ἦσθ' ἄνθρωπος, ὥσπερ νώ, ποτέ,
κἀργύριον ὠφείλησας, ὥσπερ νώ, ποτέ,
κοὐκ ἀποδιδοὺς ἔχαιρες, ὥσπερ νώ, ποτέ·
εἶτ' αὖθις ὀρνίθων μεταλλάξας φύσιν,
καὶ γῆν ἐπεπέτου καὶ θάλατταν ἐν κύκλῳ,
καὶ πάνθ' ὅσαπερ ἄνθρωπος ὅσα τ' ὄρνις φρονεῖς·
ταῦτ' οὖν ἱκέται νὼ πρὸς σὲ δεῦρ' ἀφίγμεθα,
εἴ τινα πόλιν φράσειας ἡμῖν εὔερον,
ὥσπερ σισύραν ἐγκατακλινῆναι μαλθακήν.
ΕΠΟΨ.
ἔπειτα μείζω τῶν Κραναῶν ζητεῖς πόλιν;
ΕΥΕΛΠΙΔΗΣ.
μείζω μὲν οὐδέν, προσφορωτέραν δὲ νῷν.
ΕΠΟΨ.
ἀριστοκρατεῖσθαι δῆλος εἶ ζητῶν.
ΕΥΕΛΠΙΔΗΣ.
ἐγώ;
ἥκιστα· καὶ τὸν Σκελλίου βδελύττομαι.
ΕΠΟΨ.
ποίαν τιν' οὖν ἥδιστ' ἂν οἰκοῖτ' ἂν πόλιν;
ΕΥΕΛΠΙΔΗΣ.
ὅπου τὰ μέγιστα πράγματ' εἴη τοιαδί·
ἐπὶ τὴν θύραν μου πρῴ τις ἐλθὼν τῶν φίλων
λέγοι ταδί· πρὸς τοῦ Διὸς τοὐλυμπίου,
ὅπως παρέσει μοι καὶ σὺ καὶ τὰ παιδία
λουσάμενα πρῴ· μέλλω γὰρ ἑστιᾶν γάμους·
καὶ μηδαμῶς ἄλλως ποιήσῃς· εἰ δὲ μή,
μή μοι τότε γ' ἔλθῃς, ὅταν ἐγὼ πράττω κακῶς.
ΕΠΟΨ.
νὴ Δία ταλαιπώρων γε πραγμάτων ἐρᾷς.
τί δαὶ σύ;
ΠΕΙΣΘΕΤΑΙΒΟΣ.
τοιούτων ἐρῶ κἀγώ.
ΕΠΟΨ.
τίνων;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ὅπου ξυναντῶν μοι ταδί τις μέμψεται
ὥσπερ ἀδικηθεὶς παιδὸς ὡραίου πατήρ·
καλῶς γέ μου τὸν υἱόν, ὦ Στιλβωνίδη,
εὑρὼν ἀπιόντ' ἀπὸ γυμνασίου λελουμένον
οὐκ ἔκυσας, οὐ προσεῖπας, οὐ προσηγάγου,
οὐκ ὠρχιπέδησας, ὢν ἐμοὶ πατρικὸς φίλος.
ΕΠΟΨ.
ὦ δειλακρίων σὺ τῶν κακῶν οἵων ἐρᾷς.
ἀτὰρ ἔστι γ' ὁποίαν λέγετον εὐδαίμων πόλις
παρὰ τὴν ἐρυθρὰν θάλατταν.
ΕΥΕΛΠΙΔΗΣ.
οἴμοι, μηδαμῶς
ἡμῖν γε παρὰ θάλατταν, ἵν' ἀνακύψεται
κλητῆρ' ἄγουσ' ἕωθεν ἡ Σαλαμινία.
Ἑλληνικὴν δὲ πόλιν ἔχεις ἡμῖν φράσαι

ΕΠΟΨ.
τί οὐ τὸν Ἠλεῖον Λέπρεον οἰκίζετον
ἐλθόνθ';
ΕΥΕΛΠΙΔΗΣ.
ὁτιὴ νὴ τοὺς θεούς, ὃς οὐκ ἰδὼν
βδελύττομαι τὸν Λέπρεον ἀπὸ Μελανθίου.
ΕΠΟΨ.
ἀλλ' εἰσὶν ἕτεροι τῆς Λοκρίδος Ὀπούντιοι,
ἵνα χρὴ κατοικεῖν.
ΕΥΕΛΠΙΔΗΣ.
ἀλλ' ἔγωγ' Ὀπούντιος
οὐκ ἂν γενοίμην ἐπὶ ταλάντῳ χρυσίου.
οὗτος δὲ δὴ τίς ἔσθ' ὁ μετ' ὀρνίθων βίος;
σὺ γὰρ οἶσθ' ἀκριβῶς.
ΕΠΟΨ.
οὐκ ἄχαρις ἐς τὴν τριβήν·
ου πρῶτα μὲν δεῖ ζῆν ἄνευ βαλαντίου.
ΕΥΕΛΠΙΔΗΣ.
πολλήν γ' ἀφεῖλες τοῦ βίου κιβδηλίαν.
ΕΠΟΨ.
νεμόμεσθα δ' ἐν κήποις τὰ λευκὰ σήσαμα
καὶ μύρτα καὶ μήκωνα καὶ σισύμβρια.
ΕΥΕΛΠΙΔΗΣ.
ὑμεῖς μὲν ἄρα ζῆτε νυμφίων βίον.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
φεῦ φεῦ·
ἢ μέγ' ἐνορῶ βούλευμ' ἐν ὀρνίθων γένει,
καὶ δύναμιν ἣ γένοιτ' ἄν, εἰ πίθοισθέ μοι.
ΕΠΟΨ.
τί σοι πιθώμεσθ';
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ὅ τι πίθησθε; πρῶτα μὲν
μὴ περιπέτεσθε πανταχῇ κεχηνότες·
ὡς τοῦτ' ἄτιμον τοὔργον ἐστίν. αὐτίκα
ἐκεῖ παρ' ἡμῖν τοὺς πετομένους ἢν ἔρῃ,
τίς ὄρνις οὗτος; ὁ Τελέας ἐρεῖ ταδί·
ἄνθρωπος ὄρνις ἀστάθμητος πετόμενος,
ἀτέκμαρτος, οὐδὲν οὐδέποτ' ἐν ταὐτῷ μένων.
ΕΠΟΨ.
νὴ τὸν Διόνυσον, εὖ γε μωμᾷ ταυταγί.
τί ἂν οὖν ποιοῖμεν;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
οἰκίσατε μίαν πόλιν.
ΕΠΟΨ.
ποίαν δ' ἂν οἰκίσαιμεν ὄρνιθες πόλιν;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ἄληθες, ὦ σκαιότατον εἰρηκὼς ἔπος,
βλέψον κάτω.
ΕΠΟΨ.
καὶ δὴ βλέπω.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
βλέπε νῦν ἄνω.
ΕΠΟΨ.
βλέπω.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
περίαγε τὸν τράχηλον.
ΕΠΟΨ.
νὴ Δία,
ἀπολαύσομαί τι δ', εἰ διαστραφήσομαι.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

εἶδές τι;

ΕΠΟΨ.

τὰς νεφέλας γε καὶ τὸν οὐρανόν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐχ οὗτος οὖν δήπου 'στὶν ὀρνίθων πόλος;

ΕΠΟΨ.

πόλος; τίνα τρόπον;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὥσπερ εἴποι τις τόπος.
ὅτιὴ δὲ πολεῖται τοῦτο καὶ διέρχεται
ἅπαντα, διὰ τοῦτό γε καλεῖται νῦν πόλος·
ἢν δ' οἰκίσητε τοῦτο καὶ φράξηθ' ἅπαξ,
ἐκ τοῦ πόλου τούτου κεκλήσεται πόλις.
ὥστ' ἄρξετ' ἀνθρώπων μὲν ὥσπερ παρνόπων,
τοὺς δ' αὖ θεοὺς ἀπολεῖτε λιμῷ Μηλίῳ.

ΕΠΟΨ.

πῶς;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἐν μέσῳ δήπουθεν ἀήρ ἐστι γῆς.
εἶθ' ὥσπερ ἡμεῖς, ἢν ἰέναι βουλώμεθα
Πυθῶδε, Βοιωτοὺς δίοδον αἰτούμεθα,
οὕτως, ὅταν θύσωσιν ἄνθρωποι θεοῖς,
ἢν μὴ φόρον φέρωσιν ὑμῖν οἱ θεοί,
διὰ τῆς πόλεως τῆς ἀλλοτρίας καὶ τοῦ χάους
τῶν μηρίων τὴν κνῖσαν οὐ διαφρήσετε.

ΕΠΟΨ.

ἰοὺ ἰού·
μὰ γῆν, μὰ παγίδας, μὰ νεφέλας, μὰ δίκτυα,
μὴ 'γὼ νόημα κομψότερον ἤκουσά πω·
ὥστ' ἂν κατοικίζοιμι μετὰ σοῦ τὴν πόλιν,
εἰ ξυνδοκοίη τοῖσιν ἄλλοις ὀρνέοις.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τίς ἂν οὖν τὸ πρᾶγμ' αὐτοῖς διηγήσαιτο;

ΕΠΟΨ.

σύ.
ἐγὼ γὰρ αὐτοὺς βαρβάρους ὄντας πρὸ τοῦ
ἐδίδαξα τὴν φωνήν, ξυνὼν πολὺν χρόνον.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

πῶς δῆτ' ἂν αὐτοὺς ξυγκαλέσειας;

ΕΠΟΨ.

ῥᾳδίως.
δευρὶ γὰρ ἐμβὰς αὐτίκα μάλ' ἐς τὴν λόχμην,
ἔπειτ' ἀνεγείρας τὴν ἐμὴν ἀηδόνα,
καλοῦμεν αὐτούς· οἱ δὲ νῷν τοῦ φθέγματος
ἐάνπερ ἐπακούσωσι, θεύσονται δρόμῳ.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὦ φίλτατ' ὀρνίθων σύ, μή νυν ἵσταθι·
ἀλλ' ἀντιβολῶ σ', ἄγ' ὡς τάχιστ' ἐς τὴν λόχμην
ἔσβαινε κἀνέγειρε τὴν ἀηδόνα.

ΕΠΟΨ.

ἄγε σύννομέ μοι, παῦσαι μὲν ὕπνου,
λῦσον δὲ νόμους ἱερῶν ὕμνων,
οὓς διὰ θείου στόματος θρηνεῖς,
τὸν ἐμὸν καὶ σὸν πολύδακρυν Ἴτυν
ἐλελιζομένη διεροῖς μέλεσιν
γένυος ξουθῆς·
καθαρὰ χωρεῖ διὰ φυλλοκόμου
μίλακος ἠχὼ πρὸς Διὸς ἕδρας,
ἵν' ὁ χρυσοκόμας Φοῖβος ἀκούων
τοῖς σοῖς ἐλέγοις ἀντιψάλλων
ἐλεφαντόδετον φόρμιγγα, θεῶν
ἵστησι χορούς·
διὰ δ' ἀθανάτων στομάτων χωρεῖ
ξύμφωνος ὁμοῦ
θεία μακάρων ὀλολυγή.
(αὐλεῖ.)

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὦ Ζεῦ βασιλεῦ, τοῦ φθέγματος τοὐρνιθίου·
οἷον κατεμελίτωσε τὴν λόχμην ὅλην.

ΕΥΕΛΠΙΔΗΣ.

οὗτος.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τί ἐστιν;

ΕΥΕΛΠΙΔΗΣ.

οὐ σιωπήσει;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τί δαί;

ΕΥΕΛΠΙΔΗΣ.

οὔποψ μελῳδεῖν αὖ παρασκευάζεται.

ΕΠΟΨ.

ἐποποποποποποποποποποῖ,
ἰὼ ἰώ, ἰτὼ ἰτὼ ἰτὼ
ἴτω τις ὧδε τῶν ἐμῶν ὁμοπτέρων·
ὅσοι τ' εὐσπόρους ἀγροίκων γύας
νέμεσθε, φῦλα μυρία κριθοτράγων
σπερμολόγων τε γένη
ταχὺ πετόμενα, μαλθακὴν ἱέντα γῆρυν·
ὅσα τ' ἐν ἄλοκι θαμὰ
βῶλον ἀμφιτιττυβίζεθ' ὧδε λεπτὸν
ἡδομένᾳ φωνᾷ·
τιὸ τιὸ τιὸ τιὸ τιὸ τιὸ τιὸ τιό·
ὅσα θ' ὑμῶν κατὰ κήπους ἐπὶ κισσοῦ
κλάδεσι νομὸν ἔχει,
τά τε κατ' ὄρεα, τά τε κοτινοτράγα, τά τε κο
ροφάγα,
ἀνύσατε πετόμενα πρὸς ἐμὰν ἀοιδάν·
τριοτὸ τριοτὸ τοτοβρίξ·
οἵ θ' ἑλείας παρ' αὐλῶνας ὀξυστόμους
ἐμπίδας κάπτεθ', ὅσα τ' εὐδρόσους γῆς τόπ
ἔχετε λειμῶνά τ' ἐρόεντα Μαραθῶνος,
ὄρνις τε πτεροποίκιλος
ἀτταγᾶς ἀτταγᾶς.
ὧν τ' ἐπὶ πόντιον οἶδμα θαλάσσης
φῦλα μετ' ἀλκυόνεσσι ποτᾶται,
δεῦρ' ἴτε πευσόμενοι τὰ νεώτερα,
πάντα γὰρ ἐνθάδε φῦλ' ἀθροΐζομεν
οἰωνῶν ταναοδείρων.
ἥκει γάρ τις δριμὺς πρέσβυς,
καινὸς γνώμην,
καινῶν ἔργων τ' ἐγχειρητής.
ἀλλ' ἴτ' ἐς λόγους ἅπαντα,
δεῦρο δεῦρο δεῦρο δεῦρο.
τοροτοροτοροτοροτίξ.
κικκαβαῦ κικκαβαῦ.
τοροτοροτοροτορολιλιλίξ.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὁρᾷς τιν' ὄρνιν;

ΕΥΕΛΠΙΔΗΣ.

μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ·
καίτοι κέχηνά γ' εἰς τὸν οὐρανὸν βλέπων.

*ΠΕΙΣΘΕΤΑΙΡΟΣ.*

ἄλλως ἄρ' οὔποψ, ὡς ἔοικ', ἐς τὴν λόχμην
ἐμβὰς ἐπῶζε, χαραδριὸν μιμούμενος.

*ΦΟΙΝΙΚΟΠΤΕΡΟΣ.*

τοροτὶξ τοροτίξ.

*ΠΕΙΣΘΕΤΑΙΡΟΣ.*

ὠγάθ', ἀλλὰ χοὐτοσὶ καὶ δή τις ὄρνις ἔρχεται.

*ΕΥΕΛΠΙΔΗΣ.*

νὴ Δί' ὄρνις δῆτα. τίς ποτ' ἐστίν; οὐ δήπου ταῶς;

*ΠΕΙΣΘΕΤΑΙΡΟΣ.*

οὗτος αὐτὸς νῷν φράσει· τίς ἐστιν ὄρνις οὑτοσί;

*ΕΠΟΨ.*

οὗτος οὐ τῶν ἠθάδων τῶνδ' ὧν ὁρᾶθ' ὑμεῖς ἀεί,
ἀλλὰ λιμναῖος.

*ΠΕΙΣΘΕΤΑΙΡΟΣ.*

βαβαί, καλός γε καὶ φοινικιοῦς.

*ΕΠΟΨ.*

εἰκότως· καὶ γὰρ ὄνομ' αὐτῷ γ' ἐστὶ φοινικόπτερος.

*ΕΥΕΛΠΙΔΗΣ.*

οὗτος, ὦ σέ τοι.

*ΠΕΙΣΘΕΤΑΙΡΟΣ.*

τί βωστρεῖς;

*ΕΥΕΛΠΙΔΗΣ.*

ἕτερος ὄρνις οὑτοσί.

*ΠΕΙΣΘΕΤΑΙΡΟΣ.*

νὴ Δί' ἕτερος δῆτα χοὗτος ἔξεδρον χώραν ἔχων.
τίς ποτ' ἔσθ' ὁ μουσόμαντις ἄτοπος ὄρνις ὀριβάτης;

*ΕΠΟΨ.*

ὄνομα τούτῳ Μῆδός ἐστι.

*ΠΕΙΣΘΕΤΑΙΡΟΣ.*

Μῆδος; ὦναξ Ἡράκλεις·
εἶτα πῶς ἄνευ καμήλου Μῆδος ὢν εἰσέπτατο;

*ΕΥΕΛΠΙΔΗΣ.*

ἕτερος αὖ λόφον κατειληφώς τις ὄρνις οὑτοσί.

*ΠΕΙΣΘΕΤΑΙΡΟΣ.*

τί τὸ τέρας τουτί ποτ' ἐστίν; οὐ σὺ μόνος ἄρ' ἦσθ' ἔποψ,
ἀλλὰ χοὗτος ἕτερος;

*ΕΠΟΨ.*

ἀλλ' οὗτος μέν ἐστι Φιλοκλέους
ἐξ ἔποπος, ἐγὼ δὲ τούτου πάππος, ὥσπερ εἰ λέγοις
Ἱππόνικος Καλλίου κἀξ Ἱππονίκου Καλλίας.

*ΠΕΙΣΘΕΤΑΙΡΟΣ.*

Καλλίας ἄρ' οὗτος οὔρνις ἐστίν· ὡς πτερορρυεῖ.

*ΕΠΟΨ.*

ἅτε γὰρ ὢν γενναῖος ὑπὸ τῶν συκοφαντῶν τίλλεται,
αἵ τε θήλειαι προσεκτίλλουσιν αὐτοῦ τὰ πτερά.

*ΠΕΙΣΘΕΤΑΙΡΟΣ.*

ὦ Πόσειδον, ἕτερος αὖ τις βαπτὸς ὄρνις οὑτοσί.
τίς ὀνομάζεταί ποθ' οὗτος;

*ΕΠΟΨ.*

οὑτοσὶ κατωφαγᾶς.

*ΠΕΙΣΘΕΤΑΙΡΟΣ.*

ἔστι γὰρ κατωφαγᾶς τις ἄλλος ἢ Κλεώνυμος;

*ΕΥΕΛΠΙΔΗΣ.*

πῶς ἂν οὖν Κλεώνυμός γ' ὢν οὐκ ἀπέβαλε τὸν λόφον;

*ΠΕΙΣΘΕΤΑΙΡΟΣ.*

ἀλλὰ μέντοι τίς ποθ' ἡ λόφωσις ἡ τῶν ὀρνέων;
ἢ 'πὶ τὸν δίαυλον ἦλθον;

*ΕΠΟΨ,*

ὥσπερ οἱ Κᾶρες μὲν οὖν
ἐπὶ λόφων οἰκοῦσιν, ὠγάθ', ἀσφαλείας οὕνεκα.

*ΠΕΙΣΘΕΤΑΙΡΟΣ.*

ὦ Πόσειδον, οὐχ ὁρᾷς ὅσον συνείλεκται κακὸν
ὀρνέων;

*ΕΥΕΛΠΙΔΗΣ.*

ὦναξ Ἄπολλον, τοῦ νέφους. ἰοὺ ἰού·
οὐδ' ἰδεῖν ἔτ' ἔσθ' ὑπ' αὐτῶν πετομένων τὴν εἴσοδον.

*ΠΕΙΣΘΕΤΑΙΡΟΣ.*

οὑτοσὶ πέρδιξ, ἐκεινοσὶ δὲ νὴ Δί' ἀτταγᾶς,
οὑτοσὶ δὲ πηνέλοψ, ἐκεινοσὶ δέ γ' ἀλκυών.

*ΕΥΕΛΠΙΔΗΣ.*

τίς γάρ ἐσθ' οὔπισθεν αὐτῆς;

*ΠΕΙΘΕΤΣΑΙΡΟΣ.*

ὅστις ἐστί; κειρύλος.

*ΕΥΕΛΠΙΔΗΣ.*

κειρύλος γάρ ἐστιν ὄρνις;

*ΠΕΙΣΘΕΤΑΙΡΟΣ.*

οὐ γάρ ἐστι Σποργίλος;
χαὐτηί γε γλαῦξ.

*ΕΥΕΛΠΙΔΗΣ.*

τί φῄς; τίς γλαῦκ' Ἀθήναζ' ἤγαγε;

*ΠΕΙΣΘΕΤΑΙΡΟΣ.*

κίττα, τρυγών, κορυδός, ἐλεᾶς, ὑποθυμίς, περιστερά,
νέρτος, ἱέραξ, φάττα, κόκκυξ, ἐρυθρόπους, κεβλήπυρις,
πορφυρίς, κερχνῄς, κολυμβίς, ἀμπελίς, φήνη, δρύοψ.

*ΕΥΕΛΠΙΔΗΣ.*

ἰοὺ ἰοὺ τῶν ὀρνέων,
ἰοὺ ἰοὺ τῶν κοψίχων·
οἷα πιππίζουσι καὶ τρέχουσι διακεκραγότες.
ἆρ' ἀπειλοῦσίν γε νῷν; οἴμοι, κεχήνασίν γέ τοι
καὶ βλέπουσιν εἰς σὲ κἀμέ.

*ΠΕΙΣΘΕΤΑΙΡΟΣ.*

τοῦτο μὲν κἀμοὶ δοκεῖ.

*ΧΟΡΟΣ.*

ποποποποποποποποῦ μ' ἄρ' ὃς ἐκάλεσε; τίνα τόπον ἄρα νέμεται;

*ΕΠΟΨ.*

οὑτοσὶ πάλαι πάρειμι κοὐκ ἀποστατῶ φίλων.

*ΧΟΡΟΣ.*

τιτιτιτιτιτιτιτιτιτίνα λόγον ἄρα ποτὲ πρὸς ἐμὲ φίλον ἔχων;

*ΕΠΟΨ.*

κοινόν, ἀσφαλῆ, δίκαιον, ἡδύν, ὠφελήσιμον.
ἄνδρε γὰρ λεπτὼ λογιστὰ δεῦρ' ἀφῖχθον ὡς ἐμέ.

*ΧΟΡΟΣ.*

ποῦ; πᾶ; πῶς φῄς;

*ΕΠΟΨ.*

φήμ' ἀπ' ἀνθρώπων ἀφῖχθαι δεῦρο πρεσβύτα δύο·
ἥκετον δ' ἔχοντε πρέμνον πράγματος πελωρίου

ΧΟΡΟΣ.
ὦ μέγιστον ἐξαμαρτὼν ἐξ ὅτου 'τράφην ἐγὼ,
πῶς λέγεις;
ΕΠΟΨ.
μήπω φοβηθῇς τὸν λόγον.
ΧΟΡΟΣ.
τί μ' εἰργάσω;
ΕΠΟΨ.
ἄνδρ' ἐδεξάμην ἐραστὰ τῆσδε τῆς ξυνουσίας.
ΧΟΡΟΣ.
καὶ δέδρακας τοῦτο τοὔργον;
ΕΠΟΨ.
καὶ δεδρακώς γ' ἥδομαι.
ΧΟΡΟΣ.
κἄστὸν ἤδη που παρ' ἡμῖν;
ΕΠΟΨ.
ἴ παρ' ὑμῖν εἴμ' ἐγώ.
ΧΟΡΟΣ.
ἔα ἔα,
προδεδόμεθ' ἀνόσιά τ' ἐπάθομεν·
ὃς γὰρ φίλος ἦν, ὁμότροφά θ' ἡμῖν
ἐνέμετο πεδία παρ' ἡμῖν
παρέβη μὲν θεσμοὺς ἀρχαίους,
παρέβη δ' ὅρκους ὀρνίθων·
ἐς δὲ δόλον ἐκάλεσε, παρέβαλέ τ' ἐμὲ παρὰ
γένος ἀνόσιον, ὅπερ ἐξότ' ἐγένετ' ἐπ' ἐμοὶ
πολέμιον ἐτράφη.
ἀλλὰ πρὸς τοῦτον μὲν ἡμῖν ἐστιν ὕστερος λόγος·
τὼ δὲ πρεσβύτα δοκεῖ μοι τώδε δοῦναι τὴν δίκην
διαφορηθῆναί θ' ὑφ' ἡμῶν.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ὡς ἀπωλόμεσθ' ἄρα.
ΕΥΕΛΠΙΔΗΣ.
αἴτιος μέντοι σὺ νῷν εἶ τῶν κακῶν τούτων μόνος.
ἐπὶ τί γάρ μ' ἐκεῖθεν ἦγες;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ἵν' ἀκολουθοίης ἐμοί.
ΕΥΕΛΠΙΔΗΣ.
ἵνα μὲν οὖν κλάοιμι μεγάλα.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
τοῦτο μὲν ληρεῖς ἔχων
κάρτα· πῶς κλαυσεῖ γὰρ, ἢν ἅπαξ γε τὠφθαλμὼ 'κκοπῇς;
ΧΟΡΟΣ.
ἰὼ ἰὼ,
ἔπαγ', ἔπιθ', ἐπίφερε πολέμιον
ὁρμὰν φονίαν, πτέρυγά τε παντᾷ
περίβαλε περί τε κύκλωσαι·
ὡς δεῖ τώδ' οἰμώζειν ἄμφω
καὶ δοῦναι ῥύγχει φορβάν.
οὔτε γὰρ ὄρος σκιερὸν οὔτε νέφος αἰθέριον
οὔτε πολιὸν πέλαγος ἔστιν ὅ τι δέξεται
τώδ' ἀποφυγόντε με.
ἀλλὰ μὴ μέλλωμεν ἤδη τώδε τίλλειν καὶ δάκνειν.
ποῦ 'σθ' ὁ ταξίαρχος; ἐπαγέτω τὸ δεξιὸν κέρας.
ΕΥΕΛΠΙΔΗΣ.
τοῦτ' ἐκεῖνο· ποῖ φύγω δύστηνος;
827—835. == 843—851.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
οὗτος, οὐ μενεῖ
ΕΥΕΛΠΙΔΗΣ.
ἵν' ὑπὸ τούτων διαφορηθῶ;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
πῶς γὰρ ἂν τούτους δοι
ἐκφυγεῖν;
ΕΥΕΛΠΙΔΗΣ.
οὐκ οἶδ' ὅπως ἄν.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ἀλλ' ἐγώ τοί σοι λ
ὅτι μένοντε δεῖ μάχεσθαι λαμβάνειν τι τ
χυτρῶν.
ΕΥΕΛΠΙΔΗΣ.
τί δὲ χύτρα νὼ γ' ὠφελήσει;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
γλαῦξ μὲν οὐ πρόσεισι
ΕΥΕΛΠΙΔΗΣ.
τοῖς δὲ γαμψώνυξι τοισδί;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
τὸν ὀβελίσκον ἁρπ
εἶτα κατάπηξον πρὸς αὑτόν.
ΕΥΕΛΠΙΔΗΣ.
τοῖσι δ' ὀφθαλμοῖσι
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ὀξύβαφον ἐντευθενὶ πρόσθου λαβὼν ἢ τρυβλ
ΕΥΕΛΠΙΔΗΣ.
ὦ σοφώτατ', εὖ γ' ἀνεῦρες αὐτὸ καὶ στρατηγ
ὑπερακοντίζεις σύ γ' ἤδη Νικίαν ταῖς μηχαν
ΧΟΡΟΣ.
ἐλελελεῦ, χώρει, κάθες τὸ ῥύγχος· οὐ μένειν ἐχ
ἕλκε, τίλλε, παῖε, δεῖρε, κόπτε πρώτην τὴν χύτ
ΕΠΟΨ.
εἰπέ μοι τί μέλλετ', ὦ πάντων κάκιστα θηρ
ἀπολέσαι, παθόντες οὐδὲν, ἄνδρε καὶ διασ
τῆς ἐμῆς γυναικὸς ὄντε ξυγγενῆ καὶ φυλέτ
ΧΟΡΟΣ.
φεισόμεσθα γάρ τι τῶνδε μᾶλλον ἡμεῖς ἢ λύ
ἢ τίνας τισαίμεθ' ἄλλους τῶνδ' ἂν ἐχθίους
ΕΠΟΨ.
εἰ δὲ τὴν φύσιν μὲν ἐχθροὶ, τὸν δὲ νοῦν δ
φίλοι,
καὶ διδάξοντές τι δεῦρ' ἥκουσιν ὑμᾶς χρήσι
ΧΟΡΟΣ.
πῶς δ' ἂν οἵδ' ἡμᾶς τι χρήσιμον διδάξειαν
ἢ φράσειαν, ὄντες ἐχθροὶ τοῖσι πάπποις τοῖς ἐμ
ΕΠΟΨ.
ἀλλ' ἀπ' ἐχθρῶν δῆτα πολλὰ μανθάνουσιν
σοφοί.
ἡ γὰρ εὐλάβεια σώζει πάντα. παρὰ μὲν οὖν φί
οὐ μάθοις ἂν τοῦθ', ὁ δ' ἐχθρὸς εὐθὺς ἐξηνάγκ
αὐτίχ' αἱ πόλεις παρ' ἀνδρῶν γ' ἔμαθον ἐχθ
κοὺ φίλων
ἐκπονεῖν θ' ὑψηλὰ τείχη ναῦς τε κεκτῆσθαι μακ
τὸ δὲ μάθημα τοῦτο σώζει παῖδας, οἶκον, χρήμα
ΧΟΡΟΣ.
ἔστι μὲν λόγων ἀκοῦσαι πρῶτον, ὡς ἡμῖν δο
χρήσιμον· μάθοι γὰρ ἄν τις κἀπὸ τῶν ἐχθ
σοφόν.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
οἵδε τῆς ὀργῆς χαλᾶν εἴξασιν. ἄναγ' ἐπὶ σκέλ

ΕΠΟΨ.
καὶ δίκαιόν γ' ἐστὶ, κἀμοὶ δεῖ νέμειν ὑμᾶς χάριν.
ΧΟΡΟΣ.
ἀλλὰ μὴν οὐδ' ἄλλο σοί πω πρᾶγμ' ἐνηντιώμεθα.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
μᾶλλον εἰρήνην ἄγουσιν ἡμίν· ὥστε τὴν χύτραν
τώ τε τρυβλίω καθίει·
καὶ τὸ δόρυ χρὴ, τὸν ὀβελίσκον,
περιπατεῖν ἔχοντας ἡμᾶς
τῶν ὅπλων ἐντὸς, παρ' αὐτὴν
τὴν χύτραν ἄκραν ὁρῶντας
ἐγγύς· ὡς οὐ φευκτέον νῷν.
ΕΥΕΛΠΙΔΗΣ.
ἐτεὸν, ἢν δ' ἄρ' ἀποθάνωμεν,
κατορυχησόμεσθα ποῦ γῆς;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ὁ Κεραμεικὸς δέξεται νώ.
δημόσια γὰρ ἵνα ταφῶμεν,
φήσομεν πρὸς τοὺς στρατηγοὺς
μαχομένω τοῖς πολεμίοισιν
ἀποθανεῖν ἐν Ὀρνεαῖς.
ΧΟΡΟΣ.
ἄναγ' ἐς τάξιν πάλιν ἐς ταὐτὸν,
καὶ τὸν θυμὸν κατάθου κύψας
παρὰ τὴν ὀργὴν ὥσπερ ὁπλίτης·
κἀναπυθώμεθα τούσδε, τίνες ποτὲ,
καὶ πόθεν ἔμολον,
ἐπὶ τίνα τ' ἐπίνοιαν.
ἰὼ ἔποψ, σέ τοι καλῶ.
ΕΠΟΨ.
καλεῖς δὲ τοῦ κλύειν θέλων;
ΧΟΡΟΣ.
τίνες ποθ' οἵδε καὶ πόθεν;
ΕΠΟΨ.
ξένω σοφῆς ἀφ' Ἑλλάδος.
ΧΟΡΟΣ.
τύχη δὲ ποία κομί-
ζει ποτ' αὐτὼ πρὸς ὄρ-
νιθας ἐλθεῖν;
ΕΠΟΨ.
ἔρως
βίου διαίτης τε καὶ
σοῦ ξυνοικεῖν τέ σοι
καὶ ξυνεῖναι τὸ πᾶν.
ΧΟΡΟΣ.
τί φῄς;
λέγουσι δὲ δὴ τίνας λόγους;
ΕΠΟΨ.
ἄπιστα καὶ πέρα κλύειν.
ΧΟΡΟΣ.
ὁρᾷ τι κέρδος ἐνθάδ' ἄξιον μονῆς,
ὅτῳ πέποιθέ μοι ξυνὼν
κρατεῖν ἂν ἢ τὸν ἐχθρὸν ἢ
φίλοισιν ὠφελεῖν ἔχειν;
ΕΠΟΨ.
λέγει μέγαν τιν' ὄλβον οὔ-
τε λεκτὸν οὔτε πιστὸν, ὡς
σὰ ταῦτα πάντα καὶ
τὸ τῇδε καὶ τὸ κεῖσε, καὶ
τὸ δεῦρο προσβιβᾷ λέγων.
ΧΟΡΟΣ.
πότερα μαινόμενος;
ΕΠΟΨ.
ἄφατον ὡς φρόνιμος.
ΧΟΡΟΣ.
ἔνι σοφόν τι φρενί;
ΕΠΟΨ.
πυκνότατον κίναδος,
σόφισμα, κύρμα, τρίμμα, παιπάλημ' ὅλον.
ΧΟΡΟΣ.
λέγειν λέγειν κέλευέ μοι.
κλύων γὰρ ὧν σύ μοι λέγεις
λόγων ἀνεπτέρωμαι.
ΕΠΟΨ.
ἄγε δὴ σὺ καὶ σὺ τὴν πανοπλίαν μὲν πάλιν
ταύτην λαβόντε κρεμάσατον τὐχἀγαθῇ
εἰς τὸν ἰπνὸν εἴσω, πλησίον τοὐπιστάτου·
σὺ δὲ τούσδ' ἐφ' οἷσπερ τοῖς λόγοις συνέλεξ' ἐγὼ,
φράσον, δίδαξον.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ,
ἢν μὴ διάθωνταί γ' οἵδε διαθήκην ἐμοὶ
ἥνπερ ὁ πίθηκος τῇ γυναικὶ διέθετο,
ὁ μαχαιροποιὸς, μήτε δάκνειν τούτους ἐμὲ
μήτ' ὀρχίπεδ' ἕλκειν μήτ' ὀρύττειν
ΧΟΡΟΣ.
οὔ τί που
τόν; οὐδαμῶς.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
οὔκ, ἀλλὰ τὠφθαλμὼ λέγω.
ΧΟΡΟΣ.
διατίθεμαι 'γώ.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
κατόμοσόν νυν ταῦτά μοι.
ΧΟΡΟΣ.
ὄμνυμ' ἐπὶ τούτοις πᾶσι νικᾶν τοῖς κριταῖς
καὶ τοῖς θεαταῖς πᾶσιν.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ἔσται ταυταγί.
ΧΟΡΟΣ.
εἰ δὲ παραβαίην, ἑνὶ κριτῇ νικᾶν μόνον.
ΚΗΡΥΞ.
ἀκούετε λεῴ· τοὺς ὁπλίτας νυνμενὶ
ἀνελομένους θὤπλ' ἀπιέναι πάλιν οἴκαδε,
σκοπεῖν δ' ὅ τι ἂν προγράφωμεν ἐν τοῖς πινακίοις.
ΧΟΡΟΣ.
δολερὸν μὲν ἀεὶ κατὰ πάντα δὴ τρόπον
πέφυκεν ἄνθρωπος· σὺ δ' ὅμως λέγε μοι.
τάχα γὰρ τύχοις ἂν
χρηστὸν ἐξειπὼν ὅ τι μοι παρορᾷς, ἢ
δύναμίν τινα μείζω
παραλειπομένην ὑπ' ἐμῆς φρενὸς ἀξυνέτου·
σὺ δὲ τοῦθ' ὁρᾷς. λέγ' εἰς κοινόν.
ὃ γὰρ ἂν σὺ τύχῃς μοι
ἀγαθὸν πορίσας, τοῦτο κοινὸν ἔσται.
ἀλλ' ἐφ' ὅτῳπερ πράγματι τὴν σὴν ἥκεις γνώμην ἀναπείσας,

451—459. == 539—547.

λέγε θαρρήσας· ὡς τὰς σπονδὰς οὐ μὴ πρότερον παραβῶμεν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

καὶ μὴν ὀργῶ νὴ τὸν Δία καὶ προπεφύραται λόγος εἷς μοι,
ὃν διαμάττειν οὐ κωλύει· φέρε παῖ στέφανον· καταχεῖσθαι
κατὰ χειρὸς ὕδωρ φερέτω ταχύ τις.

ΧΟΡΟΣ.

δειπνήσειν μέλλομεν, ἢ τί;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

μὰ Δί', ἀλλὰ λέγειν ζητῶ τι πάλαι μέγα καὶ λαρινὸν ἔπος τι,
ὅ τι τὴν τούτων θραύσει ψυχήν· οὕτως ὑμῶν ὑπεραλγῶ,
οἵτινες ὄντες πρότερον βασιλῆς

ΧΟΡΟΣ.

ἡμεῖς βασιλῆς; τίνος;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὑμεῖς
πάντων ὁπόσ' ἔστιν, ἐμοῦ πρῶτον, τουδὶ, καὶ τοῦ Διὸς αὐτοῦ,
ἀρχαιότεροι πρότεροί τε Κρόνου καὶ Τιτάνων ἐγένεσθε
καὶ γῆς.

ΧΟΡΟΣ.

καὶ γῆς;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

νὴ τὸν Ἀπόλλω.

ΧΟΡΟΣ.

τουτὶ μὰ Δί' οὐκ ἐπεπύσμην.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἀμαθὴς γὰρ ἔφυς κοὐ πολυπράγμων, οὐδ' Αἴσωπον πεπάτηκας,
ὃς ἔφασκε λέγων κορυδὸν πάντων πρώτην ὄρνιθα γενέσθαι,
προτέραν τῆς γῆς, κἄπειτα νόσῳ τὸν πατέρ' αὐτῆς ἀποθνήσκειν·
γῆν δ' οὐκ εἶναι, τὸν δὲ προκεῖσθαι πεμπταῖον· τὴν δ' ἀποροῦσαν
ὑπ' ἀμηχανίας τὸν πατέρ' αὐτῆς ἐν τῇ κεφαλῇ κατορύξαι.

ΕΥΕΛΠΙΔΗΣ.

ὁ πατὴρ ἄρα τῆς κορυδοῦ νυνὶ κεῖται τεθνεὼς Κεφαλῆσιν.

ΕΠΟΨ.

οὔκουν δῆτ' εἰ πρότεροι μὲν γῆς, πρότεροι δὲ θεῶν ἐγένοντο,
ὡς πρεσβυτάτων αὐτῶν ὄντων ὀρθῶς ἔσθ' ἡ βασιλεία;

ΕΥΕΛΠΙΔΗΣ.

νὴ τὸν Ἀπόλλω· πάνυ τοίνυν χρὴ ῥύγχος βόσκειν σε τὸ λοιπόν·
οὐκ ἀποδώσει ταχέως ὁ Ζεὺς τὸ σκῆπτρον τῷ δρυκολάπτῃ.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὡς οὐχὶ θεοὶ τοίνυν ἦρχον τῶν ἀνθρώπων τὸ παλαιὸν,
ἀλλ' ὄρνιθες, κἀβασίλευον, πόλλ' ἐστὶ τεκμήρια τούτων.
αὐτίκα δ' ὑμῖν πρῶτ' ἐπιδείξω τὸν ἀλεκτρυό... ὡς ἐτυράννει
ἦρχέ τε Περσῶν πρῶτον πάντων, Δαρείου ... Μεγαβάζου,
ὥστε καλεῖται Περσικὸς ὄρνις ἀπὸ τῆς ἀρχῆς ἐκείνης.

ΕΥΕΛΠΙΔΗΣ.

διὰ ταῦτ' ἄρ' ἔχων καὶ νῦν ὥσπερ βασιλεὺ... μέγας διαβάσκει
ἐπὶ τῆς κεφαλῆς τὴν κυρβασίαν τῶν ὀρνί... μόνος ὀρθήν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὕτω δ' ἴσχυέ τε καὶ μέγας ἦν τότε καὶ πο... ὥστ' ἔτι καὶ νῦν
ὑπὸ τῆς ῥώμης τῆς τότ' ἐκείνης, ὁπόταν μό... ὄρθριον ᾄσῃ,
ἀναπηδῶσιν πάντες ἐπ' ἔργον, χαλκῆς, κε...μῆς, σκυλοδέψαι,
σκυτῆς, βαλανῆς, ἀλφιταμοιβοὶ, τορνευτο...σπιδοπηγοί·
οἱ δὲ βαδίζουσ' ὑποδησάμενοι νύκτωρ.

ΕΥΕΛΠΙΔΗΣ.

ἐμὲ τοῦτό γ' ἐρώ...
χλαῖναν γὰρ ἀπώλεσ' ὁ μοχθηρὸς Φρυγίων ἐ... διὰ τοῦτον.
ἐς δεκάτην γάρ ποτε παιδαρίου κληθεὶς ὑπ...νον ἐν ἄστει,
κἄρτι καθεῦδον· καὶ πρὶν δειπνεῖν τοὺς ἄλλ... οὗτος ἄρ' ᾖσε,
κἀγὼ νομίσας ὄρθρον ἐχώρουν Ἁλιμοῦντ... κἄρτι προκύπτω
ἔξω τείχους, καὶ λωποδύτης παίει ῥοπάλ... τὸ νῶτον·
κἀγὼ πίπτω, μέλλω τε βοᾶν· ὁ δ' ἀπέβ... θοἰμάτιόν μου.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἰκτῖνος δ' οὖν τῶν Ἑλλήνων ἦρχεν τότε κ...σίλευε.

ΕΠΟΨ.

τῶν Ἑλλήνων;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

καὶ κατέδειξέν γ' οὗτος πρῶτος βασιλεύ...
προκυλινδεῖσθαι τοῖς ἰκτίνοις.

ΕΥΕΛΠΙΔΗΣ.

νὴ τὸν Διόνυσον, ἐγὼ γ'...
ἐκυλινδούμην ἰκτῖνον ἰδών· κᾆθ' ὕπτιος ... ἀναχάσκων
ὀβολὸν κατεβρόχθισα· κᾆτα κενὸν τὸν θύλακ... οἴκαδ' ἀφεῖλκον.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

Αἰγύπτου δ' αὖ καὶ Φοινίκης πάσης κόκκυξ β...σιλεὺς ἦν·
χὠπόθ' ὁ κόκκυξ εἴποι κόκκυ, τότε γ' οἱ Φο...νικες ἅπαντες
τοὺς πυροὺς ἂν καὶ τὰς κριθὰς ἐν τοῖς πεδίο... ἐθέριζον.

ΕΥΕΛΠΙΔΗΣ.

τοῦτ' ἄρ' ἐκεῖν' ἦν τοὔπος ἀληθῶς· κόκκυ· ψ...λοὶ πεδίονδε.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ἦρχον δ' οὕτω σφόδρα τὴν ἀρχὴν, ὥστ' εἴ τις καὶ βασιλεύοι
ἐν ταῖς πόλεσιν τῶν Ἑλλήνων, Ἀγαμέμνων ἢ Μενέλαος,
ἐπὶ τῶν σκήπτρων ἐκάθητ' ὄρνις, μετέχων ὅ τι δωροδοκοίη.

ΕΥΕΛΠΙΔΗΣ.
τουτὶ τοίνυν οὐκ ᾔδη 'γώ· καὶ δῆτά μ' ἐλάμβανε θαῦμα,
ὁπότ' ἐξέλθοι Πρίαμός τις ἔχων ὄρνιν ἐν τοῖσι τραγῳδοῖς·
ὁ δ' ἄρ' εἱστήκει τὸν Λυσικράτη τηρῶν ὅ τι δωροδοκοίη.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ὃ δὲ δεινότατόν γ' ἐστὶν ἁπάντων, ὁ Ζεὺς γὰρ ὁ νῦν βασιλεύων
αἰετὸν ὄρνιν ἕστηκεν ἔχων ἐπὶ τῆς κεφαλῆς, βασιλεὺς ὤν·
ἡ δ' αὖ θυγάτηρ γλαῦχ', ὁ δ' Ἀπόλλων ὥσπερ θεράπων ἱέρακα.

ΕΥΕΛΠΙΔΗΣ.
νὴ τὴν Δήμητρ' εὖ ταῦτα λέγεις. τίνος οὕνεκα ταῦτ' ἄρ' ἔχουσιν;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ἵν' ὅταν θύων τις ἔπειτ' αὐτοῖς εἰς τὴν χεῖρ', ὡς νόμος ἐστὶ,
τὰ σπλάγχνα διδῷ, τοῦ Διὸς αὐτοὶ πρότεροι τὰ σπλάγχνα λάβωσιν.
ὤμνυ τ' οὐδεὶς τότ' ἂν ἀνθρώπων θεὸν, ἀλλ' ὄρνιθας ἅπαντες.
Λάμπων δ' ὄμνυσ' ἔτι καὶ νυνὶ τὸν χῆν', ὅταν ἐξαπατᾷ τι·
οὕτως ὑμᾶς πάντες πρότερον μεγάλους ἁγίους τ' ἐνόμιζον,
νῦν δ' ἀνδράποδ', ἠλιθίους, Μανᾶς.
ὥσπερ δ' ἤδη τοὺς μαινομένους
βάλλουσ' ὑμᾶς, κἀν τοῖς ἱεροῖς
πᾶς τις ἐφ' ὑμῖν ὀρνιθευτὴς
ἵστησι βρόχους, παγίδας, ῥάβδους,
ἕρκη, νεφέλας, δίκτυα, πηκτάς·
εἶτα λαβόντες πωλοῦσ' ἀθρόους·
οἱ δ' ὠνοῦνται βλιμάζοντες·
κοὐδ' οὖν, εἴπερ ταῦτα δοκεῖ δρᾶν,
ὀπτησάμενοι παρέθενθ' ὑμᾶς,
ἀλλ' ἐπικνῶσιν τυρὸν, ἔλαιον,
σίλφιον, ὄξος, καὶ τρίψαντες
κατάχυσμ' ἕτερον γλυκὺ καὶ λιπαρὸν,
κἄπειτα κατεσκέδασαν θερμὸν
τοῦτο καθ' ὑμῶν
αὐτῶν ὥσπερ κινεβρείων.

ΧΟΡΟΣ.
πολὺ δὴ πολὺ δὴ χαλεπωτάτους λόγους
ἤνεγκας, ἄνθρωπ'· ὡς ἐδάκρυσά γ' ἐμῶν
πατέρων κάκην, οἳ
τάσδε τὰς τιμὰς προγόνων παραδόντων,
ἐπ' ἐμοῦ κατέλυσαν.
σὺ δέ μοι κατὰ δαίμονα καὶ κατὰ συντυχίαν
ἀγαθὴν ἥκεις ἐμοὶ σωτήρ.
ἀναθεὶς γὰρ ἐγώ σοι
τά τε νοττία κἀμαυτὸν οἰκήσω.
ἀλλ' ὅ τι χρὴ δρᾶν, σὺ δίδασκε παρών· ὡς ζῆν οὐκ ἄξιον ἡμῖν,
εἰ μὴ κομιούμεθα παντὶ τρόπῳ τὴν ἡμετέραν βασιλείαν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
καὶ δὴ τοίνυν πρῶτα διδάσκω μίαν ὀρνίθων πόλιν εἶναι,
κἄπειτα τὸν ἀέρα πάντα κύκλῳ καὶ πᾶν τουτὶ τὸ μεταξὺ
περιτειχίζειν μεγάλαις πλίνθοις ὀπταῖς ὥσπερ Βαβυλῶνα.

ΕΠΟΨ.
ὦ Κεβριόνα καὶ Πορφυρίων, ὡς σμερδαλέον τὸ πόλισμα.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
κἄπειτ' ἢν τοῦτ' ἐπανεστήκῃ, τὴν ἀρχὴν τὸν Δί' ἀπαιτεῖν·
κἂν μὲν μὴ φῇ μηδ' ἐθελήσῃ. μηδ' εὐθὺς γνωσιμαχήσῃ,
ἱερὸν πόλεμον πρωυδᾶν αὐτῷ, καὶ τοῖσι θεοῖσιν ἀπειπεῖν
διὰ τῆς χώρας τῆς ὑμετέρας ἐστυκόσι μὴ διαφοιτᾶν,
ὥσπερ πρότερον μοιχεύσοντες τὰς Ἀλκμήνας κατέβαινον
καὶ τὰς Ἀλόπας καὶ τὰς Σεμέλας· ἤνπερ δ' ἐπίωσ', ἐπιβάλλειν
σφραγῖδ' αὐτοῖς ἐπὶ τὴν ψωλὴν, ἵνα μὴ βινῶσ' ἔτ' ἐκείνας.
τοῖς δ' ἀνθρώποις ὄρνιν ἕτερον πέμψαι κήρυκα κελεύω,
ὡς ὀρνίθων βασιλευόντων θύειν ὄρνισι τὸ λοιπόν·
κἄπειτα θεοῖς ὕστερον αὖθις· προσνείμασθαι δὲ πρεπόντως
τοῖσι θεοῖσιν τῶν ὀρνίθων ὃς ἂν ἁρμόζῃ καθ' ἕκαστον·
ἢν Ἀφροδίτῃ θύῃ, πυροὺς ὄρνιθι φαληρίδι θύειν·
ἢν δὲ Ποσειδῶνί τις οἶν θύῃ, νήττῃ πυροὺς καθαγίζειν·
ἢν δ' Ἡρακλέει θύῃ τις βοῦν, λάρῳ ναστοὺς μελιτούττας·
κἂν Διὶ θύῃ βασιλεῖ κριὸν, βασιλεύς ἐστ' ὀρχίλος ὄρνις,
ᾧ προτέρῳ δεῖ τοῦ Διὸς αὐτοῦ σέρφον ἐνόρχην σφαγιάζειν.

ΕΥΕΛΠΙΔΗΣ.
ἥσθην σέρφῳ σφαγιαζομένῳ. βροντάτω νῦν ὁ μέγας Ζάν.

ΕΠΟΨ.
καὶ πῶς ἡμᾶς νομιοῦσι θεοὺς ἄνθρωποι κοὐχὶ κολοιοὺς,
οἳ πετόμεσθα πτέρυγάς τ' ἔχομεν;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ληρεῖς· καὶ νὴ Δί' ὅ γ' Ἑρμῆς
πέτεται θεὸς ὢν πτέρυγάς τε φορεῖ, χἄλλοι γε θεοὶ πάνυ πολλοί.

αὐτίκα Νίκη πέτεται πτερύγοιν χρυσαῖν, καὶ νὴ Δί' Ἔρως γε·
Ἶριν δέ γ' Ὅμηρος ἔφασκ' ἰκέλην εἶναι τρήρωνι πελείῃ.

ΕΠΟΨ.

ὁ Ζεὺς δ' ἡμῖν οὐ βροντήσας πέμπει πτερόεντα κεραυνόν;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἢν δ' οὖν ὑμᾶς μὲν ὑπ' ἀγνοίας εἶναι νομίσωσι τὸ μηδέν,
τούτους δὲ θεοὺς τοὺς ἐν Ὀλύμπῳ, τότε χρὴ στρουθῶν νέφος ἀρθὲν
καὶ σπερμολόγων ἐκ τῶν ἀγρῶν τὸ σπέρμ' αὐτῶν ἀνακάψαι·
κᾆπειτ' αὐτοῖς ἡ Δημήτηρ πυροὺς πεινῶσι μετρείτω.

ΕΥΕΛΠΙΔΗΣ.

οὐκ ἐθελήσει μὰ Δί', ἀλλ' ὄψει προφάσεις αὐτὴν παρέχουσαν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οἱ δ' αὖ κόρακες τῶν ζευγαρίων, οἷσιν τὴν γῆν καταροῦσιν,
καὶ τῶν προβάτων τοὺς ὀφθαλμοὺς ἐκκοψάντων ἐπὶ πείρᾳ·
εἶθ' ὁ γ' Ἀπόλλων ἰατρός γ' ὢν ἰάσθω· μισθοφορεῖ δέ.

ΕΥΕΛΠΙΔΗΣ.

μή, πρίν γ' ἂν ἐγὼ τὼ βοιδαρίω τὠμὼ πρώτιστ' ἀποδῶμαι.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἢν δ' ἡγῶνται σὲ θεόν, σὲ βίον, σὲ δὲ Γῆν, σὲ Κρόνον, σὲ Ποσειδῶ,
ἀγάθ' αὐτοῖσιν πάντα παρέσται.

ΕΠΟΨ.

λέγε δή μοι τῶν ἀγαθῶν ἕν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

πρῶτα μὲν αὐτῶν τὰς οἰνάνθας οἱ πάρνοπες οὐ κατέδονται,
ἀλλὰ γλαυκῶν λόχος εἷς αὐτοὺς καὶ κερχνήδων ἐπιτρίψει.
εἶθ' οἱ κνῖπες καὶ ψῆνες ἀεὶ τὰς συκᾶς οὐ κατέδονται,
ἀλλ' ἀναλέξει πάντας καθαρῶς αὐτοὺς ἀγέλη μία κιχλῶν.

ΕΠΟΨ.

πλουτεῖν δὲ πόθεν δώσομεν αὐτοῖς; καὶ γὰρ τούτου σφόδρ' ἐρῶσι.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τὰ μέταλλ' αὐτοῖς μαντευομένοις οὗτοι δώσουσι τὰ χρηστὰ
τάς τ' ἐμπορίας τὰς κερδαλέας πρὸς τὸν μάντιν κατεροῦσιν,
ὥστ' ἀπολεῖται τῶν ναυκλήρων οὐδείς.

ΕΠΟΨ.

πῶς οὐκ ἀπολεῖται;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

προερεῖ τις ἀεὶ τῶν ὀρνίθων μαντευομένῳ περὶ τοῦ πλοῦ·
νυνὶ μὴ πλεῖ, χειμὼν ἔσται· νυνὶ πλεῖ, κέρδος ἐπέσται.

ΕΥΕΛΠΙΔΗΣ.

γαῦλον κτῶμαι καὶ ναυκληρῶ, κοὐκ ἂν μείνι παρ' ὑμῖν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τοὺς θησαυρούς τ' αὐτοῖς δείξουσ' οὓς οἱ π τερον κατέθεντο
τῶν ἀργυρίων· οὗτοι γὰρ ἴσασι· λέγουσι δὲ τάδε πάντες,
οὐδεὶς οἶδεν τὸν θησαυρὸν τὸν ἐμὸν πλὴν εἰ ἄρ' ὄρνις.

ΕΥΕΛΠΙΔΗΣ.

πωλῶ γαῦλον, κτῶμαι σμινύην, καὶ τὰς ὑδ ἀνορύττω.

ΕΠΟΨ.

πῶς δ' ὑγίειαν δώσουσ' αὐτοῖς, οὖσαν π τοῖσι θεοῖσιν;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἢν εὖ πράττωσ', οὐχ ὑγιεία μεγάλη τοῦτ' ἐ σάφ' ἴσθι,
ὡς ἄνθρωπός γε κακῶς πράττων ἀτεχνῶς οὐ ὑγιαίνει.

ΕΠΟΨ.

πῶς δ' εἰς γῆράς ποτ' ἀφίξονται; καὶ γὰρ τ ἔστ' ἐν Ὀλύμπῳ·
ἢ παιδάρι' ὄντ' ἀποθνήσκειν δεῖ;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

μὰ Δί', ἀλλὰ τριακόσι' α
ἔτι προσθήσουσ' ὄρνιθες ἔτη.

ΕΠΟΨ.

παρὰ τοῦ;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

παρὰ τοῦ; παρ' ἑα
οὐκ οἶσθ' ὅτι πέντ' ἀνδρῶν γενεὰς ζώει ρυζα κορώνη;

ΕΥΕΛΠΙΔΗΣ.

αἰβοῖ, ὡς πολλῷ κρείττους οὗτοι τοῦ Διὸς βασιλεύειν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐ γὰρ πολλῷ; . . . . . . . .
καὶ πρῶτα μὲν οὐχὶ νεὼς ἡμᾶς
οἰκοδομεῖν δεῖ λιθίνους αὐτοῖς,
οὐδὲ θυρῶσαι χρυσαῖσι θύραις,
ἀλλ' ὑπὸ θάμνοις καὶ πρινιδίοις
οἰκήσουσιν. τοῖς δ' αὖ σεμνοῖς
τῶν ὀρνίθων δένδρον ἐλάας
ὁ νεὼς ἔσται· κοὐκ εἰς Δελφοὺς
οὐδ' εἰς Ἄμμων' ἐλθόντες ἐκεῖ
θύσομεν, ἀλλ' ἐν ταῖσιν κομάροις
καὶ τοῖς κοτίνοις στάντες ἔχοντες
κριθάς, πυρούς, εὐξόμεθ' αὐτοῖς
ἀνατείνοντες τὼ χεῖρ' ἀγαθῶν
διδόναι τι μέρος· καὶ ταῦθ' ἡμῖν
παραχρῆμ' ἔσται
πυροὺς ὀλίγους προβαλοῦσιν.

ΧΟΡΟΣ.

ὦ φίλτατ' ἐμοὶ πολὺ πρεσβυτῶν ἐξ ἐχθ μεταπίπτων,
οὐκ ἔστιν ὅπως ἂν ἐγώ ποθ' ἑκὼν τῆς σῆ μης ἔτ' ἀφείμην.
ἐπαυχήσας δὲ τοῖσι σοῖς λόγοις
ἐπηπείλησα καὶ κατώμοσα,

ἣν σὺ παρ' ἐμὲ θέμενος
ὁμόφρονας λόγους δικαίους,
ἀδόλους, ὁσίους,
ἐπὶ θεοὺς ἴῃς,
ἐμοὶ φρονῶν ξυνῳδὰ, μὴ
πολὺν χρόνον θεοὺς ἔτι
σκῆπτρα τἀμὰ τρίψειν.
ἀλλ' ὅσα μὲν δεῖ ῥώμῃ πράττειν, ἐπὶ ταῦτα τεταξόμεθ' ἡμεῖς·
ὅσα δὲ γνώμῃ δεῖ βουλεύειν, ἐπὶ σοὶ τάδε πάντ' ἀνάκειται.

ΕΠΟΨ.

καὶ μὴν μὰ τὸν Δί' οὐχὶ νυστάζειν γ' ἔτι
ὥρα 'στὶν ἡμῖν οὐδὲ μελλονικιᾶν,
ἀλλ' ὡς τάχιστα δεῖ τι δρᾶν· πρῶτον δέ τε
εἰσέλθετ' εἰς νεοττιάν γε τὴν ἐμὴν
καὶ τἀμὰ κάρφη καὶ τὰ παρόντα φρύγανα,
καὶ τοὔνομ' ἡμῖν φράσατον.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἀλλὰ ῥᾴδιον.
ἐμοὶ μὲν ὄνομα Πεισθέταιρος.

ΕΠΟΨ.

τῳδεδί;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

Εὐελπίδης Κριῶθεν.

ΕΠΟΨ.

ἀλλὰ χαίρετον
ἄμφω.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

δεχόμεσθα.

ΕΠΟΨ.

δεῦρο τοίνυν εἴσιτον.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἴωμεν· εἰσηγοῦ σὺ λαβὼν ἡμᾶς.

ΕΠΟΨ.

ἴθι.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἀτὰρ τὸ δεῖνα δεῦρ' ἐπανάκρουσαι πάλιν.
φέρ' ἴδω, φράσον νῷν, πῶς ἐγώ τε χοὐτοσὶ
ξυνεσόμεθ' ὑμῖν πετομένοις οὐ πετομένω;

ΕΠΟΨ.

καλῶς.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὅρα νυν ὡς ἐν Αἰσώπου λόγοις
ἐστὶν λεγόμενον δή τι, τὴν ἀλώπεχ', ὡς
φλαύρως ἐκοινώνησεν αἰετῷ ποτέ.

ΕΠΟΨ.

μηδὲν φοβηθῇς· ἔστι γάρ τι ῥίζιον,
ὃ διατραγόντ' ἔσεσθον ἐπτερωμένω.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὕτω μὲν εἰσίωμεν. ἄγε δὴ, Ξανθία
καὶ Μανόδωρε, λαμβάνετε τὰ στρώματα.

ΧΟΡΟΣ.

οὗτος, σὲ καλῶ σὲ καλῶ.

ΕΠΟΨ.

τί καλεῖς;

ΧΟΡΟΣ.

τούτους μὲν ἄγων μετὰ σαυτοῦ
ἀρίστιζον εὖ· τὴν δ' ἡδυμελῆ ξύμφωνον ἀηδόνα Μούσαις
κατάλειφ' ἡμῖν δεῦρ' ἐκβιβάσας, ἵνα παίσωμεν μετ' ἐκείνης.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὦ τοῦτο μέντοι νὴ Δί' αὐτοῖσιν πιθοῦ·
ἐκβίβασον ἐκ τοῦ βουτόμου τοὐρνίθιον,
ἐκβίβασον αὐτοῦ πρὸς θεῶν αὐτὴν, ἵνα
καὶ νὼ θεασώμεσθα τὴν ἀηδόνα.

ΕΠΟΨ.

ἀλλ' εἰ δοκεῖ σφῷν, ταῦτα χρὴ δρᾶν. ἡ Πρόκνη
ἔκβαινε, καὶ σαυτὴν ἐπιδείκνυ τοῖς ξένοις.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὦ Ζεῦ πολυτίμηθ', ὡς καλὸν τοὐρνίθιον,
ὡς δ' ἁπαλὸν, ὡς δὲ λευκόν.

ΕΥΕΛΠΙΔΗΣ.

ἆρά γ' οἶσθ' ὅτι
ἐγὼ διαμηρίζοιμ' ἂν αὐτὴν ἡδέως;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὅσον δ' ἔχει τὸν χρυσὸν, ὥσπερ παρθένος.

ΕΥΕΛΠΙΔΗΣ.

ἐγὼ μὲν αὐτὴν καὶ φιλῆσαί μοι δοκῶ.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἀλλ', ὦ κακόδαιμον, ῥύγχος ὀβελίσκοιν ἔχει.

ΕΥΕΛΠΙΔΗΣ.

ἀλλ' ὥσπερ ᾠὸν νὴ Δί' ἀπολέψαντα χρὴ
ἀπὸ τῆς κεφαλῆς τὸ λέμμα κᾆθ' οὕτω φιλεῖν.

ΕΠΟΨ.

ἴωμεν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἡγοῦ δὴ σὺ νῷν τύχἀγαθῇ.

ΧΟΡΟΣ.

ὦ φίλη, ὦ ξουθὴ,
ὦ φίλτατον ὀρνέων,
πάντων ξύννομε τῶν ἐμῶν
ὕμνων ξύντροφ' ἀηδοῖ,
ἦλθες ἦλθες, ὤφθης,
ἡδὺν φθόγγον ἐμοὶ φέρουσ'.
ἀλλ', ὦ καλλιβόαν κρέκουσ'
αὐλὸν φθέγμασιν ἠρινοῖς,
ἄρχου τῶν ἀναπαίστων.
Ἄγε δὴ φύσιν ἄνδρες ἀμαυρόβιοι, φύλλων γενεᾷ προσόμοιοι,
ὀλιγοδρανέες, πλάσματα πηλοῦ, σκιοειδέα φῦλ' ἀμενηνὰ,
ἀπτῆνες ἐφημέριοι, ταλαοὶ βροτοὶ, ἀνέρες εἰκελόνειροι,
πρόσχετε τὸν νοῦν τοῖς ἀθανάτοις ἡμῖν, τοῖς αἰὲν ἐοῦσι,
τοῖς αἰθερίοις, τοῖσιν ἀγήρῳς, τοῖς ἄφθιτα μηδομένοισιν,
ἵν' ἀκούσαντες πάντα παρ' ἡμῶν ὀρθῶς περὶ τῶν μετεώρων,
φύσιν οἰωνῶν γένεσίν τε θεῶν ποταμῶν τ' Ἐρέβους τε Χάους τε
εἰδότες ὀρθῶς παρ' ἐμοῦ Προδίκῳ κλάειν εἴπητε τὸ λοιπόν.
Χάος ἦν καὶ Νὺξ Ἔρεβός τε μέλαν πρῶτον καὶ Τάρταρος εὐρύς·
γῆ δ' οὐδ' ἀὴρ οὐδ' οὐρανὸς ἦν· Ἐρέβους δ' ἐν ἀπείροσι κόλποις

τίκτει πρώτιστον ὑπηνέμιον Νὺξ ἡ μελανόπτερος ᾠόν,
ἐξ οὗ περιτελλομέναις ὥραις ἔβλαστεν Ἔρως ὁ ποθεινὸς,
στίλβων νῶτον πτερύγοιν χρυσαῖν, εἰκὼς ἀνεμώκεσι δίναις.
οὗτος δὲ Χάει πτερόεντι μιγεὶς νυχίῳ κατὰ Τάρταρον εὐρὺν
ἐνεόττευσεν γένος ἡμέτερον, καὶ πρῶτον ἀνήγαγεν ἐς φῶς.
πρότερον δ' οὐκ ἦν γένος ἀθανάτων, πρὶν Ἔρως ξυνέμιξεν ἅπαντα·
ξυμμιγνυμένων δ' ἑτέρων ἑτέροις γένετ' οὐρανὸς ὠκεανός τε
καὶ γῆ πάντων τε θεῶν μακάρων γένος ἄφθιτον. ὧδε μέν ἐσμεν
πολὺ πρεσβύτατοι πάντων μακάρων. ἡμεῖς δ' ὡς ἐσμὲν Ἔρωτος
πολλοῖς δῆλον· πετόμεσθά τε γὰρ καὶ τοῖσιν ἐρῶσι σύνεσμεν·
πολλοὺς δὲ καλοὺς ἀπομωμοκότας παῖδας πρὸς τέρμασιν ὥρας
διὰ τὴν ἰσχὺν τὴν ἡμετέραν διεμήρισαν ἄνδρες ἐρασταὶ,
ὁ μὲν ὄρτυγα δοὺς, ὁ δὲ πορφυρίων', ὁ δὲ χῆν', ὁ δὲ Περσικὸν ὄρνιν.
πάντα δὲ θνητοῖς ἐστὶν ἀφ' ἡμῶν τῶν ὀρνίθων τὰ μέγιστα.
πρῶτα μὲν ὥρας φαίνομεν ἡμεῖς ἦρος, χειμῶνος, ὀπώρας·
σπείρειν μὲν, ὅταν γέρανος κρώζουσ' ἐς τὴν Λιβύην μεταχωρῇ,
καὶ πηδάλιον τότε ναυκλήρῳ φράζει κρεμάσαντι καθεύδειν,
εἶτα δ' Ὀρέστῃ χλαῖναν ὑφαίνειν, ἵνα μὴ ῥιγῶν ἀποδύῃ.
ἰκτῖνος δ' αὖ μετὰ ταῦτα φανεὶς ἑτέραν ὥραν ἀποφαίνει,
ἡνίκα πεκτεῖν ὥρα προβάτων πόκον ἠρινόν· εἶτα χελιδὼν,
ὅτε χρὴ χλαῖναν πωλεῖν ἤδη καὶ ληδάριόν τι πρίασθαι.
ἐσμὲν δ' ὑμῖν Ἄμμων, Δελφοὶ, Δωδώνη, Φοῖβος Ἀπόλλων.
ἐλθόντες γὰρ πρῶτον ἐπ' ὄρνις, οὕτω πρὸς ἅπαντα τρέπεσθε,
πρός τ' ἐμπορίαν καὶ πρὸς βιότου κτῆσιν καὶ πρὸς γάμον ἀνδρός·
ὄρνιν τε νομίζετε πάνθ' ὅσαπερ περὶ μαντείας διακρίνει·
φήμη γ' ὑμῖν ὄρνις ἐστὶ, πταρμόν τ' ὄρνιθα καλεῖτε,
ξύμβολον ὄρνιν, φωνὴν ὄρνιν, θεράποντ' ὄρνιν, ὄνον ὄρνιν.
ἆρ' οὐ φανερῶς ἡμεῖς ὑμῖν ἐσμὲν μαντεῖος Ἀπόλλων;
ἢν οὖν ἡμᾶς νομίσητε θεοὺς,
ἕξετε χρῆσθαι μάντεσι Μούσαις,
αὔραις, ὥραις, χειμῶνι, θέρει,
μετρίῳ πνίγει· κοὐκ ἀποδράντες
καθεδούμεθ' ἄνω σεμνυνόμενοι
παρὰ ταῖς νεφέλαις ὥσπερ χὠ Ζεύς·
ἀλλὰ παρόντες δώσομεν ὑμῖν,
αὐτοῖς, παισὶν, παίδων παισὶν,
πλουθυγιείαν,
εὐδαιμονίαν, βίον, εἰρήνην,
νεότητα, γέλωτα, χοροὺς, θαλίας,
γάλα τ' ὀρνίθων.
ὥστε παρέσται κοπιᾶν ὑμῖν
ὑπὸ τῶν ἀγαθῶν·
οὕτω πλουτήσετε πάντες.
Μοῦσα λοχμαία,
τιὸ τιὸ τιὸ τιὸ τιὸ τιὸ τιοτίγξ,
ποικίλη, μεθ' ἧς ἐγὼ
νάπαισι καὶ κορυφαῖς ἐν ὀρείαις,
τιὸ τιὸ τιὸ τιοτίγξ,
ἱζόμενος μελίας ἐπὶ φυλλοκόμου,
τιὸ τιὼ τιὸ τιοτίγξ,
δι' ἐμῆς γένυος ξουθῆς μελέων
Πανὶ νόμους ἱεροὺς ἀναφαίνω
σεμνά τε μητρὶ χορεύματ' ὀρείᾳ,
τοτοτοτοτοτοτοτοτοτοτίγξ,
ἔνθεν ὥσπερ ἡ μέλιττα
Φρύνιχος ἀμβροσίων μελέων ἀπεβόσκετο καρ... ἀεὶ φέρων γλυκεῖαν ᾠδάν.
τιὸ τιὸ τιὸ τιοτίγξ.
εἴ μετ' ὀρνίθων τις ὑμῶν, ὦ θεαταὶ, βούλεται
διαπλέκειν ζῶν ἡδέως, τὸ λοιπὸν, ὡς ἡμᾶς ἴτω.
ὅσα γάρ ἐστιν ἐνθάδ' αἰσχρὰ τῷ νόμῳ κρατούμενα,
ταῦτα πάντ' ἐστὶν παρ' ἡμῖν τοῖσιν ὄρνισιν καλά.
εἰ γὰρ ἐνθάδ' ἐστὶν αἰσχρὸν τὸν πατέρα τύπτειν νόμῳ,
τοῦτ' ἐκεῖ καλὸν παρ' ἡμῖν ἐστιν, ἤν τις τῷ πατρὶ
προσδραμὼν εἴπῃ πατάξας, αἶρε πλῆκτρον, εἰ μάχει.
εἰ δὲ τυγχάνει τις ὑμῶν δραπέτης ἐστιγμένος,
ἀτταγᾶς οὗτός παρ' ἡμῖν ποικίλος κεκλήσεται.
εἰ δὲ τυγχάνει τις ὢν Φρὺξ μηδὲν ἧττον Σπινθάρου,
φρυγίλος ὄρνις ἐνθάδ' ἔσται, τοῦ Φιλήμονος γένους.
εἰ δὲ δοῦλός ἐστι καὶ Κὰρ ὥσπερ Ἐξηκεστίδης,
φυσάτω πάππους παρ' ἡμῖν, καὶ φανοῦνται φράτορες.
εἰ δ' ὁ Πισίου προδοῦναι τοῖς ἀτίμοις τὰς πύλας
βούλεται, πέρδιξ γενέσθω, τοῦ πατρὸς νεοττίον·
ὡς παρ' ἡμῖν οὐδὲν αἰσχρόν ἐστιν ἐκπερδικίσαι.
τοιάδε, κύκνοι,
τιὸ τιὸ τιὸ τιὸ τιὸ τιὸ τιοτίγξ,
συμμιγῆ βοὴν ὁμοῦ
πτεροῖς κρέκοντες ἴαχον Ἀπόλλω,
τιὸ τιὸ τιὸ τιοτίγξ,
ὄχθῳ ἐφεζόμενοι παρ' Ἕβρον ποταμόν,
τιὸ τιὸ τιὸ τιοτίγξ,
διὰ δ' αἰθέριον νέφος ἦλθε βοά·
πτῆξε δὲ ποικίλα φῦλά τε θηρῶν,
κύματά τ' ἔσβεσε νήνεμος αἴθρη,

737 — 768. = 769 — 800.

τοτοτοτοτοτοτοτοτοτοτίγξ·
πᾶς δ' ἐπεκτύπησ' Ὄλυμπος·
εἷλε δὲ θάμβος ἄνακτας· Ὀλυμπιάδες δὲ μέλος Χάριτες Μοῦ-
σαί τ' ἐπωλόλυξαν.
τιὸ τιὸ τιὸ τιοτίγξ.
οὐδέν ἐστ' ἄμεινον οὐδ' ἥδιον ἢ φῦσαι πτερά.
αὐτίχ' ὑμῶν τῶν θεατῶν εἴ τις ἦν ὑπόπτερος,
εἶτα πεινῶν τοῖς χοροῖσι τῶν τραγῳδῶν ἤχθετο,
ἐκπτόμενος ἂν οὗτος ἠρίστησεν ἐλθὼν οἴκαδε,
κᾆτ' ἂν ἐμπλησθεὶς ἐφ' ἡμᾶς αὖθις αὖ κατέ-
πτατο.
εἴ τε Πατροκλείδης τις ὑμῶν τυγχάνει χεζητιῶν,
οὐκ ἂν ἐξίδισεν ἐς θοἰμάτιον, ἀλλ' ἀνέπτατο,
κἀποπαρδὼν κἀναπνεύσας αὖθις αὖ κατέπτατο·
εἴ τε μοιχεύων τις ὑμῶν ἐστιν ὅστις τυγχάνει,
κᾆθ' ὁρᾷ τὸν ἄνδρα τῆς γυναικὸς ἐν βουλευτικῷ,
οὗτος ἂν πάλιν παρ' ὑμῶν πτερυγίσας ἀνέ-
πτατο,
εἶτα βινήσας ἐκεῖθεν αὖθις αὖ καθέζετο.
ἆρ' ὑπόπτερον γενέσθαι παντός ἐστιν ἄξιον;
ὡς Διιτρέφης γε πυτιναῖα μόνον ἔχων πτερὰ
ᾑρέθη φύλαρχος, εἶθ' ἵππαρχος, εἶτ' ἐξ οὐδενὸς
μεγάλα πράττει, κἀστὶ νυνὶ ξουθὸς ἱππαλε-
κτρυών.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ταυτὶ τοιαυτί· μὰ Δί' ἐγὼ μὲν πρᾶγμά πω
γελοιότερον οὐκ εἶδον οὐδεπώποτε.

ΕΥΕΛΠΙΔΗΣ.

ἐπὶ τῷ γελᾷς;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἐπὶ τοῖσι σοῖς ὠκυπτέροις.
οἶσθ' ᾧ μάλιστ' ἔοικας ἐπτερωμένος;
εἰς εὐτέλειαν χηνὶ συγγεγραμμένῳ.

ΕΥΕΛΠΙΔΗΣ.

σὺ δὲ κοψίχῳ γε σκάφιον ἀποτετιλμένῳ.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ταυτὶ μὲν ᾐκάσμεσθα κατὰ τὸν Αἰσχύλον·
τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς.

ΕΠΟΨ.

ἄγε δὴ τί χρὴ δρᾶν;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

πρῶτον ὄνομα τῇ πόλει
θέσθαι τι μέγα καὶ κλεινόν, εἶτα τοῖς θεοῖς
θῦσαι μετὰ τοῦτο.

ΕΥΕΛΠΙΔΗΣ.

ταῦτα κἀμοὶ συνδοκεῖ.

ΕΠΟΨ.

φέρ' ἴδω, τί δ' ἡμῖν τοὔνομ' ἔσται τῇ πόλει;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ,

βούλεσθε τὸ μέγα τοῦτο τοὐκ Λακεδαίμονος,
Σπάρτην ὄνομα καλῶμεν αὐτήν;

ΕΥΕΛΠΙΔΗΣ.

Ἡράκλεις·
Σπάρτην γὰρ ἂν θείμην ἐγὼ τἠμῇ πόλει;
οὐδ' ἂν χαμεύνῃ πάνυ γε κειρίαν γ' ἔχων.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τί δῆτ' ὄνομ' αὐτῇ θησόμεσθ';

ΕΥΕΛΠΙΔΗΣ.

ἐντευθενὶ
ἐκ τῶν νεφελῶν καὶ τῶν μετεώρων χωρίων
χαῦνόν τι πάνυ.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

βούλει Νεφελοκοκκυγίαν;

ΕΠΟΨ.

ἰοὺ ἰού·
καλὸν γὰρ ἀτεχνῶς καὶ μέγ' εὗρες τοὔνομα.

ΕΥΕΛΠΙΔΗΣ.

ἆρ' ἐστὶν αὑτηγὶ Νεφελοκοκκυγία,
ἵνα καὶ τὰ Θεογένους τὰ πολλὰ χρήματα
τά τ' Αἰσχίνου γ' ἅπαντα;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

καὶ λῷστον μὲν οὖν
τὸ Φλέγρας πεδίον, ἵν' οἱ θεοὶ τοὺς Γηγενεῖς
ἀλαζονευόμενοι καθυπερηκόντισαν.

ΕΥΕΛΠΙΔΗΣ.

λιπαρὸν τὸ χρῆμα τῆς πόλεως. τίς δαὶ θεὸς
πολιοῦχος ἔσται; τῷ ξανοῦμεν τὸν πέπλον;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τί δ' οὐκ Ἀθηναίαν ἐῶμεν πολιάδα;

ΕΥΕΛΠΙΔΗΣ.

καὶ πῶς ἂν ἔτι γένοιτ' ἂν εὔτακτος πόλις,
ὅπου θεός, γυνὴ γεγονυῖα, πανοπλίαν
ἕστηκ' ἔχουσα, Κλεισθένης δὲ κερκίδα;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τίς δαὶ καθέξει τῆς πόλεως τὸ Πελαργικόν;

ΕΠΟΨ.

ὄρνις ἀφ' ἡμῶν τοῦ γένους τοῦ Περσικοῦ,
ὅσπερ λέγεται δεινότατος εἶναι πανταχοῦ
Ἄρεως νεοττός.

ΕΥΕΛΠΙΔΗΣ.

ὦ νεοττὲ δέσποτα·
ὡς δ' ὁ θεὸς ἐπιτήδειος οἰκεῖν ἐπὶ πετρῶν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἄγε νυν, σὺ μὲν βάδιζε πρὸς τὸν ἀέρα,
καὶ τοῖσι τειχίζουσι παραδιακόνει,
χάλικας παραφόρει, πηλὸν ἀποδὺς ὄργασον,
λεκάνην ἀνένεγκε, κατάπεσ' ἀπὸ τῆς κλίμακος,
φύλακας κατάστησαι, τὸ πῦρ ἔγκρυπτ' ἀεί,
κωδωνοφορῶν περίτρεχε, καὶ κάθευδ' ἐκεῖ·
κήρυκα δὲ πέμψον τὸν μὲν εἰς θεοὺς ἄνω,
ἕτερον δ' ἄνωθεν αὖ παρ' ἀνθρώπους κάτω,
κἀκεῖθεν αὖθις παρ' ἐμέ.

ΕΥΕΛΠΙΔΗΣ.

σὺ δέ γ' αὐτοῦ μένων
οἴμωζε παρ' ἔμ'.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἴθ', ὠγάθ', οἷ πέμπω σ' ἐγώ.
οὐδὲν γὰρ ἄνευ σοῦ τῶνδ' ἃ λέγω πεπράξεται.
ἐγὼ δ' ἵνα θύσω τοῖσι καινοῖσιν θεοῖς,
τὸν ἱερέα πέμψοντα τὴν πομπὴν καλῶ.
παῖ παῖ, τὸ κανοῦν αἴρεσθε καὶ τὴν χέρνιβα.

ΧΟΡΟΣ.

ὁμορροθῶ, συνθέλω,
συμπαραινέσας ἔχω
προσόδια μεγάλα
σεμνὰ προσιέναι θεοῖσιν·
ἅμα δὲ προσέτι χάριτος ἕνεκα
προβάτιόν τι θύειν.

851—858. == 895—902.

ἴτω ἴτω, ἴτω δὲ Πυθιὰς βοά·
συνᾳδέτω δὲ Χαῖρις ᾠδάν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

παῦσαι σὺ φυσῶν. Ἡράκλεις, τουτὶ τί ἦν;
τουτὶ μὰ Δί᾽ ἐγὼ πολλὰ δὴ καὶ δείν᾽ ἰδὼν,
οὔπω κόρακ᾽ εἶδον ἐμπεφορβιωμένον.
ἱερεῦ, σὸν ἔργον, θῦε τοῖς καινοῖς θεοῖς.

ΙΕΡΕΥΣ.

δράσω τάδ᾽. ἀλλὰ ποῦ ᾽στιν ὁ τὸ κανοῦν ἔχων;
εὔχεσθε τῇ Ἑστίᾳ τῇ ὀρνιθείῳ, καὶ τῷ ἰκτίνῳ
τῷ ἑστιούχῳ, καὶ ὄρνισιν Ὀλυμπίοις καὶ Ὀλυμ-
πίῃσι πᾶσι καὶ πάσῃσιν,

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὦ Σουνιέρακε, χαῖρ᾽ ἄναξ Πελαργικέ.

ΙΕΡΕΥΣ.

καὶ κύκνῳ Πυθίῳ καὶ Δηλίῳ, καὶ Λητοῖ Ὀρτυ-
γομήτρᾳ, καὶ Ἀρτέμιδι Ἀκαλανθίδι,

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐκέτι Κολαινὶς, ἀλλ᾽ Ἀκαλανθὶς Ἄρτεμις.

ΙΕΡΕΥΣ.

καὶ φρυγίλῳ Σαβαζίῳ, καὶ στρουθῷ μεγάλῃ
μητρὶ θεῶν καὶ ἀνθρώπων,

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

δέσποινα Κυβέλη, στρουθὲ, μῆτερ Κλεοκρίτου.

ΙΕΡΕΥΣ.

διδόναι Νεφελοκοκκυγιεῦσιν ὑγίειαν καὶ σωτη-
ρίαν, αὐτοῖσι καὶ Χίοισι,

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

Χίοισιν ἥσθην πανταχοῦ προσκειμένοις.

ΙΕΡΕΥΣ.

καὶ ἥρωσι [καὶ ὄρνισι] καὶ ἡρώων παισὶ, πορφυ-
ρίωνι, καὶ πελεκᾶντι, καὶ πελεκίνῳ, καὶ φλέξι-
δι, καὶ τέτρακι, καὶ ταῶνι, καὶ ἐλεᾷ, καὶ βάσκᾳ,
καὶ ἐλασᾷ, καὶ ἐρωδιῷ, καὶ καταράκτῃ, καὶ με-
λαγκορύφῳ, καὶ αἰγιθάλλῳ,

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

παῦ᾽ ἐς κόρακας· παῦσαι καλῶν ἰοὺ ἰού.
ἐπὶ ποῖον, ὦ κακόδαιμον, ἱερεῖον καλεῖς
ἁλιαέτους καὶ γῦπας; οὐχ ὁρᾷς ὅτι
ἰκτῖνος εἷς ἂν τουτό γ᾽ οἴχοιθ᾽ ἁρπάσας;
ἄπελθ᾽ ἀφ᾽ ἡμῶν καὶ σὺ καὶ τὰ στέμματα·
ἐγὼ γὰρ αὐτὸς τουτογὶ θύσω μόνος.

ΙΕΡΕΥΣ.

εἶτ᾽ αὖθις αὖ τᾆρα σοι
δεῖ με δεύτερον μέλος
χέρνιβι θεοσεβὲς
ὅσιον ἐπιβοᾶν, καλεῖν δὲ
μάκαρας, ἕνα τινὰ μόνον, εἴπερ
ἱκανὸν ἕξετ᾽ ὄψον.
τὰ γὰρ παρόντα θύματ᾽ οὐδὲν ἄλλο πλὴν
γένειόν ἐστι καὶ κέρατα.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

θύοντες εὐξώμεσθα τοῖς πτερίνοις θεοῖς.

ΠΟΙΗΤΗΣ.

Νεφελοκοκκυγίαν τὰν εὐδαίμονα
κλῇσον, ὦ Μοῦσα,
τεαῖς ἐν ὕμνων ἀοιδαῖς.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τουτὶ τὸ πρᾶγμα ποδαπόν; εἰπέ μοι, τίς εἶ;

ΠΟΙΗΤΗΣ.

ἐγὼ μελιγλώσσων ἐπέων ἱεὶς ἀοιδὰν,
Μουσάων θεράπων ὀτρηρὸς,
κατὰ τὸν Ὅμηρον.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἔπειτα δῆτα δοῦλος ὢν κόμην ἔχεις;

ΠΟΙΗΤΗΣ.

οὔκ, ἀλλὰ πάντες ἐσμὲν οἱ διδάσκαλοι
Μουσάων θεράποντες ὀτρηροὶ,
κατὰ τὸν Ὅμηρον.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐκ ἐτὸς ὀτρηρὸν καὶ τὸ ληδάριον ἔχεις.
ἀτὰρ, ὦ ποιητὰ, κατὰ τί δεῦρ᾽ ἀνεφθάρης;

ΠΟΙΗΤΗΣ.

μέλη πεποίηκ᾽ ἐς τὰς Νεφελοκοκκυγίας
τὰς ὑμετέρας κύκλιά τε πολλὰ καὶ καλὰ,
καὶ παρθένεια, καὶ κατὰ τὰ Σιμωνίδου.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ταυτὶ σὺ πότ᾽ ἐποίησας ἀπὸ ποίου χρόνου;

ΠΟΙΗΤΗΣ.

πάλαι πάλαι δὴ τήνδ᾽ ἐγὼ κλῄζω πόλιν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐκ ἄρτι θύω τὴν δεκάτην ταύτης ἐγὼ,
καὶ τοὔνομ᾽ ὥσπερ παιδίῳ νῦν δὴ ᾽θέμην;

ΠΟΙΗΤΗΣ.

ἀλλά τις ὠκεῖα Μουσάων φάτις
οἱάπερ ἵππων ἀμαρυγά.
σὺ δὲ πάτερ κτίστορ Αἴτνας,
ζαθέων ἱερῶν ὁμώνυμε,
δὸς ἐμὶν ὅ τι περ
τεᾷ κεφαλᾷ θέλεις
πρόφρων δόμεν ἐμὶν τεΐν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τουτὶ παρέξει τὸ κακὸν ἡμῖν πράγματα,
εἰ μή τι τούτῳ δόντες ἀποφευξούμεθα.
οὗτος, σὺ μέντοι σπολάδα καὶ χιτῶν᾽ ἔχεις.
ἀπόδυθι καὶ δὸς τῷ ποιητῇ τῷ σοφῷ.
ἔχε τὴν σπολάδα· πάντως δέ μοι ῥιγῶν δοκεῖς.

ΠΟΙΗΤΗΣ.

τόδε μὲν οὐκ ἀέκουσα φίλα
Μοῦσα τόδε δῶρον δέχεται·
τὺ δὲ τεᾷ φρενὶ μάθε
Πινδάρειον ἔπος·

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἄνθρωπος ἡμῶν οὐκ ἀπαλλαχθήσεται.

ΠΟΙΗΤΗΣ.

νομάδεσσι γὰρ ἐν Σκύθαις
ἀλᾶται Στράτων,
ὃς ὑφαντοδόνητον ἔσθος οὐ πέπαται·
ἀκλεὴς δ᾽ ἔβα σπολὰς ἄνευ χιτῶνος.
ξύνες ὅ τοι λέγω.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ξυνίημ᾽ ὅτι βούλει τὸν χιτωνίσκον λαβεῖν.
ἀπόδυθι· δεῖ γὰρ τὸν ποιητὴν ὠφελεῖν.
ἄπελθε τουτονὶ λαβών.

ΠΟΙΗΤΗΣ.

ἀπέρχομαι,
κἀς τὴν πόλιν γ᾽ ἐλθὼν ποιήσω δὴ ταδί·
κλῇσον, ὦ χρυσόθρονε, τὰν
τρομεράν, κρυεράν·

νιφόβολα πεδία πολύσπορά τ'
ἤλυθον ἀλαλάν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

νὴ τὸν Δί', ἀλλ' ἤδη πέφευγας ταυταγὶ
τὰ κρυερὰ τονδὶ τὸν χιτωνίσκον λαβών.
τουτὶ μὰ Δί' ἐγὼ τὸ κακὸν οὐδέποτ' ἤλπισα,
οὕτω ταχέως τοῦτον πεπύσθαι τὴν πόλιν.
αὖθις σὺ περιχώρει λαβὼν τὴν χέρνιβα.

ΙΕΡΕΥΣ.

εὐφημία 'στω.

ΧΡΗΣΜΟΛΟΓΟΣ.

μὴ κατάρξῃ τοῦ τράγου.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

σὺ δ' εἶ τίς;

ΧΡΗΣΜΟΛΟΓΟΣ.

ὅστις; χρησμολόγος.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οἴμωζέ νυν.

ΧΡΗΣΜΟΛΟΓΟΣ.

ὦ δαιμόνιε, τὰ θεῖα μὴ φαύλως φέρε·
ὡς ἔστι Βάκιδος χρησμὸς ἄντικρυς λέγων
ἐς τὰς Νεφελοκκυγίας.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

κἄπειτα πῶς
ταῦτ' οὐκ ἐχρησμολόγεις σὺ πρὶν ἐμὲ τὴν πόλιν
τήνδ' οἰκίσαι;

ΧΡΗΣΜΟΛΟΓΟΣ.

τὸ θεῖον ἐνεπόδιζέ με.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἀλλ' οὐδὲν οἷόν ἐστ' ἀκοῦσαι τῶν ἐπῶν.

ΧΡΗΣΜΟΛΟΓΟΣ.

Ἀλλ' ὅταν οἰκήσωσι λύκοι πολιαί τε κορῶναι
ἐν ταὐτῷ τὸ μεταξὺ Κορίνθου καὶ Σικυῶνος,

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τί οὖν προσήκει δῆτ' ἐμοὶ Κορινθίων;

ΧΡΗΣΜΟΛΟΓΟΣ.

ᾐνίξαθ' ὁ Βάκις τοῦτο πρὸς τὸν ἀέρα.
πρῶτον Πανδώρᾳ θῦσαι λευκότριχα κριόν·
ὃς δέ κ' ἐμῶν ἐπέων ἔλθῃ πρώτιστα προφήτης,
τῷ δόμεν ἱμάτιον καθαρὸν καὶ καινὰ πέδιλα,

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἔνεστι καὶ τὰ πέδιλα;

ΧΡΗΣΜΟΛΟΓΟΣ.

λαβὲ τὸ βιβλίον.
καὶ φιάλην δοῦναι, καὶ σπλάγχνων χεῖρ' ἐπιπλῆσαι.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

καὶ σπλάγχνα διδόν' ἔνεστι;

ΧΡΗΣΜΟΛΟΓΟΣ.

λαβὲ τὸ βιβλίον.
κἂν μέν, θέσπιε κοῦρε, ποιῇς ταῦθ' ὡς ἐπιτέλλω,
αἰετὸς ἐν νεφέλῃσι γενήσεαι· αἰ δέ κε μὴ δῷς,
οὐκ ἔσει οὐ τρυγὼν οὐδ' αἰετός, οὐ δρυκολάπτης.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

καὶ ταῦτ' ἔνεστ' ἐνταῦθα;

ΧΡΗΣΜΟΛΟΓΟΣ.

λαβὲ τὸ βιβλίον.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐδὲν ἄρ' ὅμοιός ἐσθ' ὁ χρησμὸς τουτῳί,
ὃν ἐγὼ παρὰ τἀπόλλωνος ἐξεγραψάμην·
Αὐτὰρ ἐπὴν ἄκλητος ἰὼν ἄνθρωπος ἀλαζὼν
λυπῇ θύοντας καὶ σπλαγχνεύειν ἐπιθυμῇ,
δὴ τότε χρὴ τύπτειν αὐτὸν πλευρῶν τὸ μεταξύ,

ΧΡΗΣΜΟΛΟΓΟΣ.

οὐδὲν λέγειν οἶμαί σε.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

λαβὲ τὸ βιβλίον.
καὶ φείδου μηδὲν μηδ' αἰετοῦ ἐν νεφέλῃσι,
μήτ' ἢν Λάμπων ᾖ μήτ' ἢν ὁ μέγας Διοπείθης.

ΧΡΗΣΜΟΛΟΓΟΣ.

καὶ ταῦτ' ἔνεστ' ἐνταῦθα;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

λαβὲ τὸ βιβλίον.
οὐκ εἶ θύραζ' ἐς κόρακας;

ΧΡΗΣΜΟΛΟΓΟΣ.

οἴμοι δείλαιος.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὔκουν ἑτέρωσε χρησμολογήσεις ἐκτρέχων;

ΜΕΤΩΝ.

ἥκω παρ' ὑμᾶς

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἕτερον αὖ τουτὶ κακόν.
τί δ' αὖ σὺ δράσων; τίς δ' ἰδέα βουλήματος;
τίς ἡ 'πίνοια, τίς ὁ κόθορνος, τῆς ὁδοῦ;

ΜΕΤΩΝ.

γεωμετρῆσαι βούλομαι τὸν ἀέρα
ὑμῖν, διελεῖν τε κατὰ γύας.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

πρὸς τῶν θεῶν,
σὺ δ' εἶ τίς ἀνδρῶν;

ΜΕΤΩΝ.

ὅστις εἴμ' ἐγώ; Μέτων,
ὃν οἶδεν Ἑλλὰς χὠ Κολωνός.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

εἰπέ μοι,
ταυτὶ δέ σοι τί ἔστι;

ΜΕΤΩΝ.

κανόνες ἀέρος.
αὐτίκα γὰρ ἀήρ ἐστι τὴν ἰδέαν ὅλος
κατὰ πνιγέα μάλιστα. προσθεὶς οὖν ἐγὼ
τὸν κανόν' ἄνωθεν τουτονὶ τὸν καμπύλον,
ἐνθεὶς διαβήτην — μανθάνεις;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐ μανθάνω.

ΜΕΤΩΝ.

ὀρθῷ μετρήσω κανόνι προστιθείς, ἵνα
ὁ κύκλος γένηταί σοι τετράγωνος, κἂν μέσῳ
ἀγορά, φέρουσαι δ' ὦσιν εἰς αὐτὴν ὁδοὶ
ὀρθαὶ πρὸς αὐτὸ τὸ μέσον, ὥσπερ δ' ἀστέρος,
αὐτοῦ κυκλοτεροῦς ὄντος, ὀρθαὶ πανταχῇ
ἀκτῖνες ἀπολάμπωσιν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἅνθρωπος Θαλῆς.
Μέτων,

ΜΕΤΩΝ.

τί ἔστιν;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
οἶσθ' ὁτιὴ φιλῶ σ' ἐγώ;
κἀμοὶ πιθόμενος ὑπαποκίνει τῆς ὁδοῦ.
ΜΕΤΩΝ.
τί δ' ἐστὶ δεινόν;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ὥσπερ ἐν Λακεδαίμονι
ξενηλατοῦνται καὶ κεκίνηνταί τινες
πληγαὶ συχναὶ κατ' ἄστυ.
ΜΕΤΩΝ.
μῶν στασιάζετε;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
μὰ τὸν Δί' οὐ δῆτ'.
ΜΕΤΩΝ.
ἀλλὰ πῶς;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ὁμοθυμαδὸν
σποδεῖν ἅπαντας τοὺς ἀλαζόνας δοκεῖ.
ΜΕΤΩΝ.
ὑπάγοιμί τἄρ' ἄν.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
νὴ Δί', ὡς οὐκ οἶδ' ἄρ' εἰ
φθαίης ἄν· ἐπίκεινται γὰρ ἐγγὺς αὑταιί.
ΜΕΤΩΝ.
οἴμοι κακοδαίμων.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
οὐκ ἔλεγον ἐγὼ πάλαι;
οὐκ ἀναμετρήσεις σαυτὸν ἀπιὼν ἀλλαχῇ;
ΕΠΙΣΚΟΠΟΣ.
ποῦ πρόξενοι;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
τίς ὁ Σαρδανάπαλλος οὑτοσί;
ΕΠΙΣΚΟΠΟΣ.
ἐπίσκοπος ἥκω δεῦρο τῷ κυάμῳ λαχὼν
ἐς τὰς Νεφελοκοκκυγίας.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ἐπίσκοπος;
ἔπεμψε δὲ τίς σε δεῦρο;
ΕΠΙΣΚΟΠΟΣ.
φαῦλον βιβλίον
Τελέου.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
τί; βούλει δῆτα τὸν μισθὸν λαβὼν
μὴ πράγματ' ἔχειν, ἀλλ' ἀπιέναι;
ΕΠΙΣΚΟΠΟΣ.
νὴ τοὺς θεούς.
ἐκκλησιάσαι δ' οὖν ἐδεόμην οἴκοι μένων.
ἔστιν γὰρ ἃ δι' ἐμοῦ πέπρακται Φαρνάκῃ.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ἄπιθι λαβών· ἔστιν δ' ὁ μισθὸς οὑτοσί.
ΕΠΙΣΚΟΠΟΣ.
τουτὶ τί ἦν;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ἐκκλησία περὶ Φαρνάκου.
ΕΠΙΣΚΟΠΟΣ.
μαρτύρομαι τυπτόμενος ὢν ἐπίσκοπος.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
οὐκ ἀποσοβήσεις; οὐκ ἀποίσεις τὼ κάδω;
οὐ δεινά; καὶ πέμπουσιν ἤδη 'πισκόπους
ἐς τὴν πόλιν, πρὶν καὶ τεθύσθαι τοῖς θεοῖς.

ΨΗΦΙΣΜΑΤΟΠΩΛΗΣ.
Ἐὰν δ' ὁ Νεφελοκοκκυγιεὺς τὸν Ἀθηναῖ[ον]
ἀδικῇ
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
τουτὶ τί ἔστιν αὖ κακὸν τὸ βιβλίον;
ΨΗΦΙΣΜΑΤΟΠΩΛΗΣ.
ψηφισματοπώλης εἰμί, καὶ νόμους νέους
ἥκω παρ' ὑμᾶς δεῦρο πωλήσων.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
τὸ τί,
ΨΗΦΙΣΜΑΤΟΠΩΛΗΣ.
Χρῆσθαι Νεφελοκοκκυγιᾶς τοῖσδε τοῖς μέτ[ροις]
καὶ σταθμοῖσι καὶ ψηφίσμασι, καθάπερ Ὀλ[ο-]
φύξιοι.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
σὺ δέ γ' οἷσπερ ὠτοτύξιοι χρήσει τάχα.
ΨΗΦΙΣΜΑΤΟΠΩΛΗΣ.
οὗτος, τί πάσχεις;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
οὐκ ἀποίσεις τοὺς νόμους;
πικροὺς ἐγώ σοι τήμερον δείξω νόμους.
ΕΠΙΣΚΟΠΟΣ.
καλοῦμαι Πεισθέταιρον ὕβρεως ἐς τὸν μου[νι-]
χιῶνα μῆνα.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ἄληθες, οὗτος; ἔτι γὰρ ἐνταῦθ' ἦσθα σύ;
ΨΗΦΙΣΜΑΤΟΠΩΛΗΣ.
Ἐὰν δέ τις ἐξελαύνῃ τοὺς ἄρχοντας, καὶ [μὴ]
δέχηται κατὰ τὴν στήλην,
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
οἴμοι κακοδαίμων, καὶ σὺ γὰρ ἐνταῦθ' ἦσθ' ἔ[τι;]
ΕΠΙΣΚΟΠΟΣ.
ἀπολῶ σε, καὶ γράφω σε μυρίας δραχμάς.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ἐγὼ δὲ σοῦ γε τὼ κάδω διασκεδῶ.
ΕΠΙΣΚΟΠΟΣ.
μέμνησ' ὅτε τῆς στήλης κατετίλας ἑσπέρας;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
αἰβοῖ· λαβέτω τις αὐτόν. οὗτος, οὐ μενεῖς;
ΙΕΡΕΥΣ.
ἀπίωμεν ἡμεῖς ὡς τάχιστ' ἐντευθενὶ
θύσοντες εἴσω τοῖς θεοῖσι τὸν τράγον.
ΧΟΡΟΣ.
ἤδη μοι τῷ παντόπτᾳ
καὶ παντάρχᾳ θνητοὶ πάντες
θύσουσ' εὐκταίαις εὐχαῖς.
πᾶσαν μὲν γὰρ γᾶν ὀπτεύω,
σώζω δ' εὐθαλεῖς καρποὺς,
κτείνων παμφύλων γένναν
θηρῶν, οἳ πάντ' ἐν γαίᾳ
ἐκ κάλυκος αὐξανόμενα γένυσιν πολυφάγοις
δένδρεσί τ' ἐφεζόμενα καρπὸν ἀποβόσκεται·
κτείνω δ' οἳ κήπους εὐώδεις
φθείρουσιν λύμαις ἐχθίσταις·
ἑρπετά τε καὶ δάκετα πάνθ' ὅσαπερ
ἔστιν ὑπ' ἐμᾶς πτέρυγος ἐν φοναῖς ὄλλυται.
τῇδε μέντοι θἠμέρᾳ μάλιστ' ἐπαναγορεύεται,
ἢν ἀποκτείνῃ τις ὑμῶν Διαγόραν τὸν Μήλιο[ν,]
λαμβάνειν τάλαντον, ἤν τε τῶν τυράννων τίς τι[ς]
τῶν τεθνηκότων ἀποκτείνῃ, τάλαντον λαμβάν[ειν.]

1058 — 1067. = 1068 — 1117.

βουλόμεσθ᾽ οὖν νῦν ἀνειπεῖν ταῦτα χἠμεῖς ἐνθάδε·
ἢν ἀποκτείνῃ τις ὑμῶν Φιλοκράτη τὸν Στρούθιον,
λήψεται τάλαντον· ἢν δὲ ζῶντά γ᾽ ἀγάγῃ, τέτταρα,
ὅτι συνείρων τοὺς σπίνους πωλεῖ καθ᾽ ἑπτὰ τοὐβολοῦ,
εἶτα φυσῶν τὰς κίχλας δείκνυσι καὶ λυμαίνεται,
τοῖς τε κοψίχοισιν εἰς τὰς ῥῖνας ἐγχεῖ τὰ πτερά,
τὰς περιστεράς θ᾽ ὁμοίως ξυλλαβὼν εἵρξας ἔχει,
κἀπαναγκάζει παλεύειν δεδεμένας ἐν δικτύῳ.
ταῦτα βουλόμεσθ᾽ ἀνειπεῖν· κεἴ τις ὄρνιθας τρέφει
εἱργμένους ὑμῶν ἐν αὐλῇ, φράζομεν μεθιέναι.
ἢν δὲ μὴ πείθησθε, συλληφθέντες ὑπὸ τῶν ὀρνέων
αὖθις ὑμεῖς αὖ παρ᾽ ἡμῖν δεδεμένοι παλεύσετε.
εὔδαιμον φῦλον πτηνῶν
οἰωνῶν, οἳ χειμῶνος μὲν
χλαίνας οὐκ ἀμπισχοῦνται·
οὐδ᾽ αὖ θερμὴ πνίγους ἡμᾶς
ἀκτὶς τηλαυγὴς θάλπει·
ἀλλ᾽ ἀνθηρῶν λειμώνων
φύλλων ἐν κόλποις ναίω,
ἡνίκ᾽ ἂν ὁ θεσπέσιος ὀξὺ μέλος ἀχέτας
θάλπεσι μεσημβρινοῖς ἡλιομανὴς βοᾷ.
χειμάζω δ᾽ ἐν κοίλοις ἄντροις,
Νύμφαις οὐρείαις ξυμπαίζων·
ἠρινά τε βοσκόμεθα παρθένια
λευκότροφα μύρτα, Χαρίτων τε κηπεύματα.
τοῖς κριταῖς εἰπεῖν τι βουλόμεσθα τῆς νίκης πέρι,
ὅσ᾽ ἀγάθ᾽, ἢν κρίνωσιν ἡμᾶς, πᾶσιν αὐτοῖς δώσομεν,
ὥστε κρείττω δῶρα πολλῷ τῶν Ἀλεξάνδρου λαβεῖν.
πρῶτα μὲν γὰρ οὗ μάλιστα πᾶς κριτὴς ἐφίεται,
γλαῦκες ὑμᾶς οὔποτ᾽ ἐπιλείψουσι Λαυριωτικαί·
ἀλλ᾽ ἐνοικήσουσιν ἔνδον, ἔν τε τοῖς βαλαντίοις
ἐννεοττεύσουσι κἀκλέψουσι μικρὰ κέρματα.
εἶτα πρὸς τούτοισιν ὥσπερ ἐν ἱεροῖς οἰκήσετε.
τὰς γὰρ ὑμῶν οἰκίας ἐρέψομεν πρὸς αἐτόν·
κἂν λαχόντες ἀρχίδιον εἶθ᾽ ἁρπάσαι βούλησθέ τι,
ὀξὺν ἱερακίσκον ἐς τὰς χεῖρας ὑμῖν δώσομεν.
ἢν δέ που δειπνῆτε, πρηγορῶνας ὑμῖν πέμψομεν.
ἢν δὲ μὴ κρίνητε, χαλκεύεσθε μηνίσκους φορεῖν
ὥσπερ ἀνδριάντες· ὡς ὑμῶν ὃς ἂν μὴ μῆν᾽ ἔχῃ,
ὅταν ἔχητε χλανίδα λευκήν, τότε μάλισθ᾽ οὕτω δίκην
δώσεθ᾽ ἡμῖν, πᾶσι τοῖς ὄρνισι κατατιλώμενοι.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τὰ μὲν ἱέρ᾽ ἡμῖν ἐστιν, ὤρνιθες, καλά·
ἀλλ᾽ ὡς ἀπὸ τοῦ τείχους πάρεστιν ἄγγελος
οὐδεὶς ὅτου πευσόμεθα τἀκεῖ πράγματα.
ἀλλ᾽ οὑτοσὶ τρέχει τις Ἀλφειὸν πνέων.

ΑΓΓΕΛΟΣ Α.

ποῦ ποῦ ᾽στι, ποῦ ποῦ ποῦ ᾽στι, ποῦ ποῦ ποῦ ᾽στι, ποῦ
ποῦ Πεισθέταιρός ἐστιν ἄρχων;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὑτοσί.

ΑΓΓΕΛΟΣ Α.

ἐξῳκοδόμηταί σοι τὸ τεῖχος.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

εὖ λέγεις.

ΑΓΓΕΛΟΣ Α.

κάλλιστον ἔργον καὶ μεγαλοπρεπέστατον·
ὥστ᾽ ἂν ἐπάνω μὲν Προξενίδης ὁ Κομπασεὺς
καὶ Θεογένης ἐναντίω δύ᾽ ἅρματε,
ἵππων ὑπόντων μέγεθος ὅσον ὁ δούριος,
ὑπὸ τοῦ πλάτους ἂν παρελασαίτην.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

Ἡράκλεις.

ΑΓΓΕΛΟΣ Α.

τὸ δὲ μῆκός ἐστι, καὶ γὰρ ἐμέτρησ᾽ αὔτ᾽ ἐγώ,
ἑκατοντορόγυιον.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὦ Πόσειδον, τοῦ μάκρους.
τίνες ᾠκοδόμησαν αὐτὸ τηλικουτονί;

ΑΓΓΕΛΟΣ Α.

ὄρνιθες, οὐδεὶς ἄλλος, οὐκ Αἰγύπτιος
πλινθοφόρος, οὐ λιθουργός, οὐ τέκτων παρῆν,
ἀλλ᾽ αὐτόχειρες, ὥστε θαυμάζειν ἐμέ.
ἐκ μέν γε Λιβύης ἧκον ὡς τρισμύριαι
γέρανοι, θεμελίους καταπεπωκυῖαι λίθους.
τούτους δ᾽ ἐτύκιζον αἱ κρέκες τοῖς ῥύγχεσιν.
ἕτεροι δ᾽ ἐπλινθοποίουν πελαργοὶ μύριοι·
ὕδωρ δ᾽ ἐφόρουν κάτωθεν ἐς τὸν ἀέρα
οἱ χαραδριοὶ καὶ τἄλλα ποτάμι᾽ ὄρνεα.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἐπηλοφόρουν δ᾽ αὐτοῖσι τίνες;

ΑΓΓΕΛΟΣ Α.

ἐρωδιοὶ
λεκάναισι.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τὸν δὲ πηλὸν ἐνεβάλλοντο πῶς;

ΑΓΓΕΛΟΣ Α.

τοῦτ᾽, ὦγάθ᾽, ἐξεύρητο καὶ σοφώτατα·
οἱ χῆνες ὑποτύπτοντες ὥσπερ ταῖς ἄμαις
ἐς τὰς λεκάνας ἐνέβαλλον αὐτὸν τοῖν ποδοῖν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τί δῆτα πόδες ἂν οὐκ ἂν ἐργασαίατο;

ΑΓΓΕΛΟΣ Α.

καὶ νὴ Δί᾽ αἱ νῆτταί γε περιεζωσμέναι
ἐπλινθοφόρουν· ἄνω δὲ τὸν ὑπαγωγέα
ἐπέτοντ᾽ ἔχουσαι κατόπιν, ὥσπερ παιδία,
τὸν πηλὸν ἐν τοῖς στόμασιν αἱ χελιδόνες.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τί δῆτα μισθωτοὺς ἂν ἔτι μισθοῖτό τις;
φέρ᾽ ἴδω, τί δαί; τὰ ξύλινα τοῦ τείχους τίνες
ἀπειργάσαντ᾽;

ΑΓΓΕΛΟΣ Α.

ὄρνιθες ἦσαν τέκτονες
σοφώτατοι πελεκᾶντες, οἳ τοῖς ῥύγχεσιν
ἀπεπελέκησαν τὰς πύλας· ἦν δ᾽ ὁ κτύπος
αὐτῶν πελεκώντων ὥσπερ ἐν ναυπηγίῳ.
καὶ νῦν ἅπαντ᾽ ἐκεῖνα πεπύλωται πύλαις,
καὶ βεβαλάνωται καὶ φυλάττεται κύκλῳ,
ἐφοδεύεται, κωδωνοφορεῖται, πανταχῇ

φυλακαὶ καθεστήκασι καὶ φρυκτωρίαι
ἐν τοῖσι πύργοις. ἀλλ' ἐγὼ μὲν ἀποτρέχων
ἀπονίψομαι· σὺ δ' αὐτὸς ἤδη τἄλλα δρᾶ.

ΧΟΡΟΣ.

οὗτος, τί ποιεῖς; ἆρα θαυμάζεις ὅτι
οὕτω τὸ τεῖχος ἐκτετείχισται ταχύ;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

νὴ τοὺς θεοὺς ἔγωγε· καὶ γὰρ ἄξιον·
ἴσα γὰρ ἀληθῶς φαίνεταί μοι ψεύδεσιν.
ἀλλ' ὅδε φύλαξ γὰρ τῶν ἐκεῖθεν ἄγγελος
ἐσθεῖ πρὸς ἡμᾶς δεῦρο, πυρρίχην βλέπων.

ΑΓΓΕΛΟΣ Β.

ἰοὺ ἰού, ἰοὺ ἰού, ἰοὺ ἰού.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τί τὸ πρᾶγμα τουτί;

ΑΓΓΕΛΟΣ Β.

δεινότατα πεπόνθαμεν.
τῶν γὰρ θεῶν τις ἄρτι τῶν παρὰ τοῦ Διὸς
διὰ τῶν πυλῶν εἰσέπτατ' εἰς τὸν ἀέρα,
λαθὼν κολοιοὺς φύλακας ἡμεροσκόπους.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὦ δεινὸν ἔργον καὶ σχέτλιον εἰργασμένος.
τίς τῶν θεῶν;

ΑΓΓΕΛΟΣ Β.

οὐκ ἴσμεν· ὅτι δ' εἶχε πτερά,
τοῦτ' ἴσμεν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὔκουν δῆτα περιπόλους ἐχρῆν
πέμψαι κατ' αὐτὸν εὐθύς;

ΑΓΓΕΛΟΣ Β.

ἀλλ' ἐπέμψαμεν
τρισμυρίους ἱέρακας ἱπποτοξότας,
χωρεῖ δὲ πᾶς τις ὄνυχας ἠγκυλωμένος,
κερχνῄς, τριόρχης, γύψ, κύμινδις, αἰετός·
ῥύμῃ τε καὶ πτεροῖσι καὶ ῥοιζήμασιν
αἰθὴρ δονεῖται τοῦ θεοῦ ζητουμένου·
κἄστ' οὐ μακρὰν ἄπωθεν, ἀλλ' ἐνταῦθά που
ἤδη 'στίν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐκοῦν σφενδόνας δεῖ λαμβάνειν
καὶ τόξα· χώρει δεῦρο πᾶς ὑπηρέτης·
τόξευε, παῖε, σφενδόνην τίς μοι δότω.

ΧΟΡΟΣ.

πόλεμος αἴρεται, πόλεμος οὐ φατὸς
πρὸς ἐμὲ καὶ θεούς. ἀλλὰ φύλαττε πᾶς
ἀέρα περινέφελον, ὃν Ἔρεβος ἐτέκετο,
μή σε λάθῃ θεῶν τις ταύτῃ περῶν·
ἄθρει δὲ πᾶς κύκλῳ σκοπῶν * *,
ὡς ἐγγὺς ἤδη δαίμονος πεδαρσίου
δίνης πτερωτὸς φθόγγος ἐξακούεται.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

αὕτη σὺ ποῖ ποῖ ποῖ πέτει; μέν' ἥσυχος,
ἔχ' ἀτρέμας· αὐτοῦ στῆθ'· ἐπίσχες τοῦ δρόμου.
τίς εἶ; ποδαπή; λέγειν ἐχρῆν ὁπόθεν ποτ' εἶ.

ΙΡΙΣ.

παρὰ τῶν θεῶν ἔγωγε τῶν Ὀλυμπίων.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὄνομα δέ σοι τί ἐστι, πλοῖον, ἢ κυνῆ;

1188—1195. == 1262—1268.

ΙΡΙΣ.

Ἶρις ταχεῖα.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

Πάραλος, ἢ Σαλαμινία;

ΙΡΙΣ.

τί δὲ τοῦτο;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ταυτηνί τις οὐ ξυλλήψεται
ἀναπτάμενος τρίορχος;

ΙΡΙΣ.

ἐμὲ συλλήψεται;
τί ποτ' ἐστὶ τουτὶ τὸ κακόν;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οἰμώξει μακρά.

ΙΡΙΣ.

ἄτοπόν γε τουτὶ πρᾶγμα.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

κατὰ ποίας πύλας
εἰσῆλθες εἰς τὸ τεῖχος, ὦ μιαρωτάτη;

ΙΡΙΣ.

οὐκ οἶδα μὰ Δί' ἔγωγε κατὰ ποίας πύλας.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἤκουσας αὐτῆς οἷον εἰρωνεύεται;
πρὸς τοὺς κολοιάρχους προσῆλθες; οὐ λέγ[…]
σφραγῖδ' ἔχεις παρὰ τῶν πελαργῶν;

ΙΡΙΣ.

τί τὸ κα[…]

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐκ ἔλαβες;

ΙΡΙΣ.

ὑγιαίνεις μέν;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐδὲ σύμβολον
ἐπέβαλεν ὀρνίθαρχος οὐδείς σοι παρών;

ΙΡΙΣ.

μὰ Δί' οὐκ ἔμοιγ' ἐπέβαλεν οὐδείς, ὦ μ[…]

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

κἄπειτα δῆθ' οὕτω σιωπῇ διαπέτει
διὰ τῆς πόλεως τῆς ἀλλοτρίας καὶ τοῦ χά[…]

ΙΡΙΣ.

ποίᾳ γὰρ ἄλλῃ χρὴ πέτεσθαι τοὺς θεούς;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐκ οἶδα μὰ Δί' ἔγωγε· τῇδε μὲν γὰρ οὔ.
ἀδικεῖ δὲ καὶ νῦν. ἆρά γ' οἶσθα τοῦθ', ὅτι
δικαιότατ' ἂν ληφθεῖσα πασῶν Ἰρίδων
ἀπέθανες, εἰ τῆς ἀξίας ἐτύγχανες;

ΙΡΙΣ.

ἀλλ' ἀθάνατός εἰμ'.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἀλλ' ὅμως ἂν ἀπέθανες.
δεινότατα γάρ τοι πεισόμεσθ', ἐμοὶ δοκεῖ,
εἰ τῶν μὲν ἄλλων ἄρχομεν, ὑμεῖς δ' οἱ θε[…]
ἀκολασταινεῖτε, κοὐδέπω γνώσεσθ' ὅτι
ἀκροατέον ὑμῖν ἐν μέρει τῶν κρειττόνων.
φράσον δέ τοί μοι, τὼ πτέρυγε ποῖ ναυστολ[…]

ΙΡΙΣ.

ἐγώ; πρὸς ἀνθρώπους πέτομαι παρὰ τοῦ πα[…]
φράσουσα θύειν τοῖς Ὀλυμπίοις θεοῖς
μηλοσφαγεῖν τε βουθύτοις ἐπ' ἐσχάραις
κνισᾶν τ' ἀγυιάς.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
τί σὺ λέγεις; ποίοις θεοῖς;
ΙΡΙΣ.
ποίοισιν; ἡμῖν, τοῖς ἐν οὐρανῷ θεοῖς.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
θεοὶ γὰρ ὑμεῖς;
ΙΡΙΣ.
τίς γάρ ἐστ' ἄλλος θεός;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ὄρνιθες ἀνθρώποισι νῦν εἰσιν θεοί,
οἷς θυτέον αὐτούς, ἀλλὰ μὰ Δί' οὐ τῷ Διί.
ΙΡΙΣ.
ὦ μῶρε μῶρε, μὴ θεῶν κίνει φρένας
δεινάς, ὅπως μή σου γένος πανώλεθρον
Διὸς μακέλλῃ πᾶν ἀναστρέψῃ Δίκη,
λιγνὺς δὲ σῶμα καὶ δόμων περιπτυχὰς
καταιθαλώσῃ σου Λικυμνίαις βολαῖς.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ἄκουσον αὕτη· παῦε τῶν παφλασμάτων·
ἔχ' ἀτρέμα. φέρ' ἴδω, πότερα Λυδὸν ἢ Φρύγα
ταυτὶ λέγουσα μορμολύττεσθαι δοκεῖς;
ἆρ' οἶσθ' ὅτι Ζεὺς εἴ με λυπήσει πέρα,
μέλαθρα μὲν αὐτοῦ καὶ δόμους Ἀμφίονος
καταιθαλώσω πυρφόροισιν ἀετοῖς,
πέμψω δὲ πορφυρίωνας ἐς τὸν οὐρανὸν
ὄρνις ἐπ' αὐτόν, παρδαλᾶς ἐνημμένους,
πλεῖν ἑξακοσίους τὸν ἀριθμόν; καὶ δή ποτε
εἷς Πορφυρίων αὐτῷ παρέσχε πράγματα.
σὺ δ' εἴ με λυπήσεις τι, τῆς διακόνου
πρώτης ἀνατείνας τὼ σκέλη διαμηριῶ
τὴν Ἶριν αὐτήν, ὥστε θαυμάζειν ὅπως
οὕτω γέρων ὢν στύομαι τριέμβολον.
ΙΡΙΣ.
διαρραγείης, ὦ μέλ', αὐτοῖς ῥήμασιν.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
οὐκ ἀποσοβήσεις; οὐ ταχέως; εὐρὰξ πατάξ.
ΙΡΙΣ.
ἦ μήν σε παύσει τῆς ὕβρεως οὑμὸς πατήρ.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
οἴμοι τάλας. οὔκουν ἑτέρωσε πετομένη
καταιθαλώσεις τῶν νεωτέρων τινά;
ΧΟΡΟΣ.
ἀποκεκλῄκαμεν διογενεῖς θεοὺς
μηκέτι τὴν ἐμὴν διαπερᾶν πόλιν,
μηδέ τιν' ἱερόθυτον ἀνὰ δάπεδον ἔτι
τῇδε βροτὸν θεοῖσι πέμπειν καπνόν.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
δεινόν γε τὸν κήρυκα τὸν παρὰ τοὺς βροτοὺς
οἰχόμενον, εἰ μηδέποτε νοστήσει πάλιν.
ΚΗΡΥΞ.
ὦ Πεισθέταιρ', ὦ μακάρι', ὦ σοφώτατε,
ὦ κλεινότατ', ὦ σοφώτατ', ὦ γλαφυρώτατε,
ὦ τρισμακάρι', ὦ κατακέλευσον.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
τί σὺ λέγεις;
ΚΗΡΥΞ.
στεφάνῳ σε χρυσῷ τῷδε σοφίας οὕνεκα
στεφανοῦσι καὶ τιμῶσιν οἱ πάντες λεῴ.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
δέχομαι. τί δ' οὕτως οἱ λεῴ τιμῶσί με;
ΚΗΡΥΞ.
ὦ κλεινοτάτην αἰθέριον οἰκίσας πόλιν,
οὐκ οἶσθ' ὅσην τιμὴν παρ' ἀνθρώποις φέρει,
ὅσους τ' ἐραστὰς τῆσδε τῆς χώρας ἔχεις.
πρὶν μὲν γὰρ οἰκίσαι σε τήνδε τὴν πόλιν,
ἐλακωνομάνουν ἅπαντες ἄνθρωποι τότε,
ἐκόμων, ἐπείνων, ἐρρύπων, ἐσωκράτων,
σκυτάλι' ἐφόρουν· νυνὶ δ' ὑποστρέψαντες αὖ
ὀρνιθομανοῦσι, πάντα δ' ὑπὸ τῆς ἡδονῆς
ποιουσιν ἅπερ ὄρνιθες ἐκμιμούμενοι,
πρῶτον μὲν εὐθὺς πάντες ἐξ εὐνῆς ἅμα
ἐπέτονθ' ἕωθεν ὥσπερ ἡμεῖς ἐπὶ νομόν·
κἄπειτ' ἂν ἅμα κατῆραν ἐς τὰ βιβλία·
εἶτ' ἀπενέμοντ' ἐνταῦθα τὰ ψηφίσματα.
ὠρνιθομάνουν δ' οὕτω περιφανῶς ὥστε καὶ
πολλοῖσιν ὀρνίθων ὀνόματ' ἦν κείμενα.
πέρδιξ μὲν εἷς κάπηλος ὠνομάζετο
χωλός, Μενίππῳ δ' ἦν χελιδὼν τοὔνομα,
Ὀπουντίῳ δ' ὀφθαλμὸν οὐκ ἔχων κόραξ,
κορυδὸς Φιλοκλέει, χηναλώπηξ Θεογένει,
ἶβις Λυκούργῳ, Χαιρεφῶντι νυκτερίς,
Συρακοσίῳ δὲ κίττα· Μειδίας δ' ἐκεῖ
ὄρτυξ ἐκαλεῖτο· καὶ γὰρ ἦκεν ὄρτυγι
ὑπὸ στυφοκόπου τὴν κεφαλὴν πεπληγμένῳ.
ᾖδον δ' ὑπὸ φιλορνιθίας πάντες μέλη,
ὅπου χελιδὼν ἦν τις ἐμπεποιημένη
ἢ πηνέλοψ ἢ χήν τις ἢ περιστερὰ
ἢ πτέρυγες, ἢ πτεροῦ τι καὶ σμικρὸν προσῆν.
τοιαῦτα μὲν τἀκεῖθεν. ἓν δέ σοι λέγω·
ἥξουσ' ἐκεῖθεν δεῦρο πλεῖν ἢ μύριοι
πτερῶν δεόμενοι καὶ τρόπων γαμψωνύχων·
ὥστε πτερῶν σοι τοῖς ἐποίκοις δεῖ ποθέν.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
οὐκ ἆρα μὰ Δί' ἡμῖν ἔτ' ἔργον ἑστάναι.
ἀλλ' ὡς τάχιστα σὺ μὲν ἰὼν τὰς ἀρρίχους
καὶ τοὺς κοφίνους ἅπαντας ἐμπίπλη πτερῶν·
Μανῆς δὲ φερέτω μοι θύραζε τὰ πτερά·
ἐγὼ δ' ἐκείνων τοὺς προσιόντας δέξομαι.
ΧΟΡΟΣ.
ταχὺ δ' ἂν πολυάνορα τὰν πόλιν
καλοῖ τις ἀνθρώπων.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
τύχη μόνον προσείη.
ΧΟΡΟΣ.
κατέχουσι δ' ἔρωτες ἐμᾶς πόλεως.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
θᾶττον φέρειν κελεύω.
ΧΟΡΟΣ.
τί γὰρ οὐκ ἔνι ταύτῃ
καλὸν ἀνδρὶ μετοικεῖν;
Σοφία, Πόθος, ἀμβρόσιαι Χάριτες,
τό τε τῆς ἀγανόφρονος Ἡσυχίας
εὐάμερον πρόσωπον.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ὡς βλακικῶς διακονεῖς·
οὐ θᾶττον ἐγκονήσεις;
ΧΟΡΟΣ.
φερέτω κάλαθον ταχύ τις πτερῶν,
σὺ δ' αὖθις ἐξόρμα,

1313—1322. == 1325—1334.

τύπτων γε τοῦτον ὡδί.
πάνυ γὰρ βραδύς ἐστί τις ὥσπερ ὄνος.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

Μανῆς γάρ ἐστι δειλός.

ΧΟΡΟΣ.

σὺ δὲ τὰ πτερὰ πρῶτον
διάθες τάδε κόσμῳ·
τά τε μουσίχ' ὁμοῦ τά τε μαντικὰ καὶ
τὰ θαλάττι'. ἔπειτα δ' ὅπως φρονίμως
πρὸς ἄνδρ' ὁρῶν πτερώσεις.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὔ τοι μὰ τὰς κερχνῇδας ἔτι σοῦ σχήσομαι,
οὕτως ὁρῶν σε δειλὸν ὄντα καὶ βραδύν.

ΠΑΤΡΑΛΟΙΑΣ.

γενοίμαν αἰετὸς ὑψιπέτας,
ὡς ἂν ποταθείην ὑπὲρ ἀτρυγέτου γλαυ-
κᾶς ἐπ' οἶδμα λίμνας.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἔοικεν οὐ ψευδαγγελῆς εἶν' ἄγγελος.
ᾄδων γὰρ ὅδε τις αἰετοὺς προσέρχεται.

ΠΑΤΡΑΛΟΙΑΣ.

αἰβοῖ·
οὐκ ἔστιν οὐδὲν τοῦ πέτεσθαι γλυκύτερον·
ἐρῶ δ' ἔγωγε τῶν ἐν ὄρνισιν νόμων.
ὀρνιθομανῶ γὰρ καὶ πέτομαι, καὶ βούλομαι
οἰκεῖν μεθ' ὑμῶν, κἀπιθυμῶ τῶν νόμων.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ποίων νόμων; πολλοὶ γὰρ ὀρνίθων νόμοι.

ΠΑΤΡΑΛΟΙΑΣ.

πάντων· μάλιστα δ' ὅτι καλὸν νομίζεται
τὸν πατέρα τοῖς ὄρνισιν ἄγχειν καὶ δάκνειν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

καὶ νὴ Δί' ἀνδρεῖόν γε πάνυ νομίζομεν,
ὃς ἂν πεπλήγῃ τὸν πατέρα νεοττὸς ὤν.

ΠΑΤΡΑΛΟΙΑΣ.

διὰ ταῦτα μέντοι δεῦρ' ἀνοικισθεὶς ἐγὼ
ἄγχειν ἐπιθυμῶ τὸν πατέρα καὶ πάντ' ἔχειν.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἀλλ' ἔστιν ἡμῖν τοῖσιν ὄρνισιν νόμος
παλαιὸς ἐν ταῖς τῶν πελαργῶν κύρβεσιν·
ἐπὴν ὁ πατὴρ ὁ πελαργὸς ἐκπετησίμους
πάντας ποιήσῃ τοὺς πελαργιδῆς τρέφων,
δεῖ τοὺς νεοττοὺς τὸν πατέρα πάλιν τρέφειν.

ΠΑΤΡΑΛΟΙΑΣ.

ἀπέλαυσά τἄρ' ἂν νὴ Δί' ἐλθὼν ἐνθαδί,
εἴπερ γέ μοι καὶ τὸν πατέρα βοσκητέον.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐδέν γ'. ἐπειδήπερ γὰρ ἦλθες, ὦ μέλε,
εὔνους, πτερώσω σ' ὥσπερ ὄρνιν ὀρφανόν.
σοὶ δ', ὦ νεανίσκ', οὐ κακῶς ὑποθήσομαι,
ἀλλ' οἷάπερ αὐτὸς ἔμαθον ὅτε παῖς ἦ. σὺ γὰρ
τὸν μὲν πατέρα μὴ τύπτε· ταυτηνδὶ λαβὼν
τὴν πτέρυγα, καὶ τουτὶ τὸ πλῆκτρον θἀτέρᾳ,
νομίσας ἀλεκτρυόνος ἔχειν τονδὶ λόφον,
φρούρει, στρατεύου, μισθοφορῶν σαυτὸν τρέφε,
τὸν πατέρ' ἔα ζῆν· ἀλλ' ἐπειδὴ μάχιμος εἶ,
εἰς τἀπὶ Θρᾴκης ἀποπέτου, κἀκεῖ μάχου.

ΠΑΤΡΑΛΟΙΑΣ.

νὴ τὸν Διόνυσον, εὖ γέ μοι δοκεῖς λέγειν,
καὶ πείσομαί σοι.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

νοῦν ἄρ' ἕξεις νὴ Δία.

ΚΙΝΗΣΙΑΣ.

ἀναπέτομαι δὴ πρὸς Ὄλυμπον πτερύγεσσι κ
φαις·
πέτομαι δ' ὁδὸν ἄλλοτ' ἐπ' ἄλλαν μελέων

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τουτὶ τὸ πρᾶγμα φορτίου δεῖται πτερῶν.

ΚΙΝΗΣΙΑΣ.

ἀφόβῳ φρενὶ σώματί τε νέαν ἐφέπων

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἀσπαζόμεσθα φιλύρινον Κινησίαν.
τί δεῦρο πόδα σὺ κυλλὸν ἀνὰ κύκλον κυκλεῖς;

ΚΙΝΗΣΙΑΣ.

ὄρνις γενέσθαι βούλομαι
λιγύφθογγος ἀηδών.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

παῦσαι μελῳδῶν, ἀλλ' ὅ τι λέγεις εἰπέ μοι.

ΚΙΝΗΣΙΑΣ.

ὑπὸ σοῦ πτερωθεὶς βούλομαι μετάρσιος
ἀναπτόμενος ἐκ τῶν νεφελῶν καινὰς λαβεῖν
ἀεροδονήτους καὶ νιφοβόλους ἀναβολάς.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἐκ τῶν νεφελῶν γὰρ ἄν τις ἀναβολὰς λάβοι;

ΚΙΝΗΣΙΑΣ.

κρέμαται μὲν οὖν ἐντεῦθεν ἡμῶν ἡ τέχνη.
τῶν διθυράμβων γὰρ τὰ λαμπρὰ γίγνεται
ἀέριά τινα καὶ σκότια καὶ κυαναυγέα
καὶ πτεροδόνητα· σὺ δὲ κλύων εἴσει τάχα.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐ δῆτ' ἔγωγε.

ΚΙΝΗΣΙΑΣ.

νὴ τὸν Ἡρακλέα σύ γε.
ἅπαντα γὰρ δίειμί σοι τὸν ἀέρα
εἴδωλα πετεινῶν
αἰθεροδρόμων,
οἰωνῶν ταναοδείρων.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὠόπ.

ΚΙΝΗΣΙΑΣ.

τὸν ἁλάδρομον ἁλάμενος
ἅμ' ἀνέμων πνοαῖσι βαίην.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

νὴ τὸν Δί' ἦ 'γώ σου καταπαύσω τὰς πνοάς

ΚΙΝΗΣΙΑΣ.

τοτὲ μὲν νοτίαν στείχων πρὸς ὁδόν,
τοτὲ δ' αὖ βορέᾳ σῶμα πελάζων
ἀλίμενον αἰθέρος αὔλακα τέμνων.
χαρίεντά γ', ὦ πρεσβῦτ', ἐσοφίσω καὶ σοφ

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐ γὰρ σὺ χαίρεις πτεροδόνητος γενόμενος;

ΚΙΝΗΣΙΑΣ.

ταυτὶ πεποίηκας τὸν κυκλιοδιδάσκαλον,
ὃς ταῖσι φυλαῖς περιμάχητός εἰμ' ἀεί;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

βούλει διδάσκειν καὶ παρ' ἡμῖν οὖν μένων
Λεωτροφίδῃ χορὸν πετομένων ὀρνέων
Κεκροπίδα φυλήν;

ΚΙΝΗΣΙΑΣ.

καταγελᾷς μου, δῆλος

ἀλλ' οὖν ἔγωγ' οὐ παύσομαι, τοῦτ' ἴσθ' ὅτι,
πρὶν ἂν πτερωθεὶς διαδράμω τὸν ἀέρα.

ΣΥΚΟΦΑΝΤΗΣ.

ὄρνιθές τινες οἵδ' οὐδὲν ἔχοντες πτεροποίκιλοι,
τανυσίπτερε ποικίλα χελιδοῖ·

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τουτὶ τὸ κακὸν οὐ φαῦλον ἐξεγρήγορεν.
ὅδ' αὖ μινυρίζων δεῦρό τις προσέρχεται.

ΣΥΚΟΦΑΝΤΗΣ.

τανυσίπτερε ποικίλα μάλ' αὖθις.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἐς θοἰμάτιον τὸ σκόλιον ᾄδειν μοι δοκεῖ,
δεῖσθαι δ' ἔοικεν οὐκ ὀλίγων χελιδόνων.

ΣΥΚΟΦΑΝΤΗΣ.

τίς ὁ πτερῶν δεῦρ' ἐστὶ τοὺς ἀφικνουμένους;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὁδὶ πάρεστιν· ἀλλ' ὅτου δεῖ χρὴ λέγειν.

ΣΥΚΟΦΑΝΤΗΣ.

πτερῶν πτερῶν δεῖ· μὴ πύθῃ τὸ δεύτερον.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

μῶν εὐθὺ Πελλήνης πέτεσθαι διανοεῖ;

ΣΥΚΟΦΑΝΤΗΣ.

μὰ Δί', ἀλλὰ κλητήρ εἰμι νησιωτικὸς
καὶ συκοφάντης,

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὦ μακάριε τῆς τέχνης.

ΣΥΚΟΦΑΝΤΗΣ.

καὶ πραγματοδίφης. εἶτα δέομαι πτερὰ λαβὼν
κύκλῳ περισοβεῖν τὰς πόλεις καλούμενος.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὑπὸ πτερύγων τί προσκαλεῖ σοφώτερον;

ΣΥΚΟΦΑΝΤΗΣ.

μὰ Δί', ἀλλ' ἵν' οἱ λῃσταί γε μὴ λυπῶσί με,
μετὰ τῶν γεράνων τ' ἐκεῖθεν ἀναχωρῶ πάλιν,
ἀνθ' ἕρματος πολλὰς καταπεπωκὼς δίκας.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ταυτὶ γὰρ ἐργάζει σὺ τοὔργον; εἰπέ μοι,
νεανίας ὢν συκοφαντεῖς τοὺς ξένους;

ΣΥΚΟΦΑΝΤΗΣ.

τί γὰρ πάθω; σκάπτειν γὰρ οὐκ ἐπίσταμαι.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἀλλ' ἔστιν ἕτερα νὴ Δί' ἔργα σώφρονα,
ἀφ' ὧν διαζῆν ἄνδρα χρῆν τοσουτονὶ
ἐκ τοῦ δικαίου μᾶλλον ἢ δικορραφεῖν.

ΣΥΚΟΦΑΝΤΗΣ.

ὦ δαιμόνιε, μὴ νουθέτει μ', ἀλλὰ πτέρου.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

νῦν τοι λέγων πτερῶ σε.

ΣΥΚΟΦΑΝΤΗΣ.

καὶ πῶς ἂν λόγοις
ἄνδρα πτερώσειας σύ;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

πάντες τοῖς λόγοις
ἀναπτεροῦνται.

ΣΥΚΟΦΑΝΤΗΣ.

πάντες;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐκ ἀκήκοας,
ὅταν λέγωσιν οἱ πατέρες ἑκάστοτε
τοῖς μειρακίοις ἐν τοῖσι κουρείοις ταδί·
δεινῶς γέ μου τὸ μειράκιον Διιτρέφης
λέγων ἀνεπτέρωκεν ὥσθ' ἱππηλατεῖν.
ὁ δέ τις τὸν αὑτοῦ φησιν ἐπὶ τραγῳδίᾳ
ἀνεπτερῶσθαι καὶ πεποτῆσθαι τὰς φρένας.

ΣΥΚΟΦΑΝΤΗΣ.

λόγοισι τἄρα καὶ πτεροῦνται;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

φήμ' ἐγώ.
ὑπὸ γὰρ λόγων ὁ νοῦς τε μετεωρίζεται
ἐπαίρεταί τ' ἄνθρωπος. οὕτω καί σ' ἐγὼ
ἀναπτερώσας βούλομαι χρηστοῖς λόγοις
τρέψαι πρὸς ἔργον νόμιμον.

ΣΥΚΟΦΑΝΤΗΣ.

ἀλλ' οὐ βούλομαι.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τί δαὶ ποιήσεις;

ΣΥΚΟΦΑΝΤΗΣ.

τὸ γένος οὐ καταισχυνῶ.
παππῷος ὁ βίος συκοφαντεῖν ἐστί μοι.
ἀλλὰ πτέρου με ταχέσι καὶ κούφοις πτεροῖς
ἱέρακος, ἢ κερχνῇδος, ὡς ἂν τοὺς ξένους
καλεσάμενος, κᾆτ' ἐγκεκληκὼς ἐνθαδὶ,
κᾆτ' αὖ πέτωμαι πάλιν ἐκεῖσε.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

μανθάνω.
ὡδὶ λέγεις· ὅπως ἂν ὠφλήκῃ δίκην
ἐνθάδε πρὶν ἥκειν ὁ ξένος.

ΣΥΚΟΦΑΝΤΗΣ.

πάνυ μανθάνεις.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

κᾆπειθ' ὁ μὲν πλεῖ δεῦρο, σὺ δ' ἐκεῖσ' αὖ πέτει
ἁρπασόμενος τὰ χρήματ' αὐτοῦ.

ΣΥΚΟΦΑΝΤΗΣ.

πάντ' ἔχεις.
βέμβικος οὐδὲν διαφέρειν δεῖ.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

μανθάνω
βέμβικα· καὶ μὴν ἔστι μοι νὴ τὸν Δία
κάλλιστα Κορκυραῖα τοιαυτὶ πτερά.

ΣΥΚΟΦΑΝΤΗΣ.

οἴμοι τάλας· μάστιγ' ἔχεις.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

πτερὼ μὲν οὖν,
οἷσί σε ποιήσω τήμερον βεμβικιᾶν.

ΣΥΚΟΦΑΝΤΗΣ.

οἴμοι τάλας.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐ πτερυγιεῖς ἐντευθενί;
οὐκ ἀπολιβάξεις, ὦ κάκιστ' ἀπολούμενος;
πικρὰν τάχ' ὄψει στρεψοδικοπανουργίαν.
ἀπίωμεν ἡμεῖς ξυλλαβόντες τὰ πτερά.

ΧΟΡΟΣ.

πολλὰ δὴ καὶ καινὰ καὶ θαυ-
μάστ' ἐπεπτόμεσθα, καὶ
δεινὰ πράγματ' εἴδομεν.
ἔστι γὰρ δένδρον πεφυκὸς
ἔκτοπόν τι, καρδίας ἀ-
ποτέρω, Κλεώνυμος,
χρήσιμον μὲν οὐδὲν, ἄλ-

1470 — 1481. == 1482 — 1493.

*λως δὲ δειλὸν καὶ μέγα.*
*τοῦτο τοῦ μὲν ἦρος ἀεὶ*
*βλαστάνει καὶ συκοφαντεῖ,*
*τοῦ δὲ χειμῶνος πάλιν τὰς*
*ἀσπίδας φυλλορροεῖ.*
*ἔστι δ' αὖ χώρα πρὸς αὐτῷ*
*τῷ σκότῳ πόρρω τις ἐν*
*τῇ λύχνων ἐρημίᾳ,*
*ἔνθα τοῖς ἥρωσιν ἄνθρω-*
*ποι ξυναριστῶσι καὶ ξύν-*
*εισι, πλὴν τῆς ἑσπέρας.*
*τηνικαῦτα δ' οὐκέτ' ἦν*
*ἀσφαλὲς ξυντυγχάνειν.*
*εἰ γὰρ ἐντύχοι τις ἥρῳ*
*τῶν βροτῶν νύκτωρ Ὀρέστῃ,*
*γυμνὸς ἦν πληγεὶς ὑπ' αὐτοῦ*
*πάντα τἀπιδέξια.*

ΠΡΟΜΗΘΕΥΣ.

*οἴμοι τάλας, ὁ Ζεὺς ὅπως μή μ' ὄψεται.*
*ποῦ Πεισθέταιρός ἐστιν;*

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

*ἔα, τουτὶ τί ἦν;*
*τίς οὑγκαλυμμός;*

ΠΡΟΜΗΘΕΥΣ.

*τῶν θεῶν ὁρᾷς τινα*
*ἐμοῦ κατόπιν ἐνταῦθα;*

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

*μὰ Δί' ἐγὼ μὲν οὔ.*
*τίς δ' εἶ σύ;*

ΠΡΟΜΗΘΕΥΣ.

*πηνίκ' ἐστὶν ἄρα τῆς ἡμέρας;*

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

*ὁπηνίκα; σμικρόν τι μετὰ μεσημβρίαν.*
*ἀλλὰ σὺ τίς εἶ;*

ΠΡΟΜΗΘΕΥΣ.

*βουλυτός, ἢ περαιτέρω;*

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

*οἴμ' ὡς βδελύττομαί σε.*

ΠΡΟΜΗΘΕΥΣ.

*τί γὰρ ὁ Ζεὺς ποιεῖ;*
*ἀπαιθριάζει τὰς νεφέλας, ἢ ξυννεφεῖ;*

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

*οἴμωζε μεγάλ'.*

ΠΡΟΜΗΘΕΥΣ.

*οὕτω μὲν ἐκκεκαλύψομαι.*

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

*ὦ φίλε Προμηθεῦ.*

ΠΡΟΜΗΘΕΥΣ.

*παῦε παῦε, μὴ βόα.*

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

*τί γὰρ ἔστι;*

ΠΡΟΜΗΘΕΥΣ.

*σίγα, μὴ κάλει μου τοὔνομα·*
*ἀπὸ γὰρ ὀλεῖ μ', εἴ μ' ἐνθάδ' ὁ Ζεὺς ὄψεται.*
*ἀλλ' ἵνα φράσω σοι πάντα τἄνω πράγματα,*
*τουτὶ λαβών μου τὸ σκιάδειον ὑπέρεχε*
*ἄνωθεν, ὡς ἂν μή μ' ὁρῶσιν οἱ θεοί.*

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

*ἰοὺ ἰού·*
*εὖ γ' ἐπενόησας αὐτὸ καὶ προμηθικῶς.*
*ὑπόδυθι ταχὺ δή, κᾆτα θαρρήσας λέγε.*

ΠΡΟΜΗΘΕΥΣ.

*ἄκουε δή νυν.*

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

*ὡς ἀκούοντος λέγε.*

ΠΡΟΜΗΘΕΥΣ.

*ἀπόλωλεν ὁ Ζεύς.*

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

*πηνίκ' ἄττ' ἀπώλετο;*

ΠΡΟΜΗΘΕΥΣ.

*ἐξ οὗπερ ὑμεῖς ᾠκίσατε τὸν ἀέρα.*
*θύει γὰρ οὐδεὶς οὐδὲν ἀνθρώπων ἔτι*
*θεοῖσιν, οὐδὲ κνῖσα μηρίων ἄπο*
*ἀνῆλθεν ὡς ἡμᾶς ἀπ' ἐκείνου τοῦ χρόνου,*
*ἀλλ' ὡσπερεὶ Θεσμοφορίοις νηστεύομεν*
*ἄνευ θυηλῶν· οἱ δὲ βάρβαροι θεοὶ*
*πεινῶντες ὥσπερ Ἰλλυριοὶ κεκριγότες*
*ἐπιστρατεύσειν φάσ' ἄνωθεν τῷ Διΐ,*
*εἰ μὴ παρέξει τἀμπόρι' ἀνεῳγμένα,*
*ἵν' εἰσάγοιτο σπλάγχνα κατατετμημένα.*

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

*εἰσὶν γὰρ ἕτεροι βάρβαροι θεοί τινες*
*ἄνωθεν ὑμῶν;*

ΠΡΟΜΗΘΕΥΣ.

*οὐ γάρ εἰσι βάρβαροι,*
*ὅθεν ὁ πατρῷός ἐστιν Ἐξηκεστίδῃ;*

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

*ὄνομα δὲ τούτοις τοῖς θεοῖς τοῖς βαρβάροις*
*τί ἐστίν;*

ΠΡΟΜΗΘΕΥΣ.

*ὅ τι ἐστίν; Τριβαλλοί.*

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

*μανθάνω.*
*ἐντεῦθεν ἄρα τοὐπιτριβείης ἐγένετο.*

ΠΡΟΜΗΘΕΥΣ.

*μάλιστα πάντων. ἓν δέ σοι λέγω σαφές·*
*ἥξουσι πρέσβεις δεῦρο περὶ διαλλαγῶν*
*παρὰ τοῦ Διὸς καὶ τῶν Τριβαλλῶν τῶν ἄνω·*
*ὑμεῖς δὲ μὴ σπένδεσθ', ἐὰν μὴ παραδιδῷ*
*τὸ σκῆπτρον ὁ Ζεὺς τοῖσιν ὄρνισιν πάλιν,*
*καὶ τὴν Βασίλειάν σοι γυναῖκ' ἔχειν διδῷ.*

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

*τίς ἐστιν ἡ Βασίλεια;*

ΠΡΟΜΗΘΕΥΣ.

*καλλίστη κόρη,*
*ἥπερ ταμιεύει τὸν κεραυνὸν τοῦ Διὸς*
*καὶ τἄλλ' ἁπαξάπαντα, τὴν εὐβουλίαν,*
*τὴν εὐνομίαν, τὴν σωφροσύνην, τὰ νεώρια,*
*τὴν λοιδορίαν, τὸν κωλακρέτην, τὰ τριώβολα.*

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

*ἅπαντά τἄρ' αὐτῷ ταμιεύει.*

ΠΡΟΜΗΘΕΥΣ.

*φήμ' ἐγώ.*
*ἣν γ' ἢν σὺ παρ' ἐκείνου παραλάβῃς, πάντ' ἔχεις.*
*τούτων ἕνεκα δεῦρ' ἦλθον, ἵνα φράσαιμί σοι·*
*ἀεί ποτ' ἀνθρώποις γὰρ εὔνους εἰμ' ἐγώ.*

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

*μόνον θεῶν γὰρ διὰ σ' ἀπανθρακίζομεν.*

ΠΡΟΜΗΘΕΥΣ.
μισῶ δ' ἅπαντας τοὺς θεούς, ὡς οἶσθα σύ.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
νὴ τὸν Δί' ἀεὶ δῆτα θεομισὴς ἔφυς.
ΠΡΟΜΗΘΕΥΣ.
Τίμων καθαρός. ἀλλ' ὡς ἂν ἀποτρέχω πάλιν,
φέρε τὸ σκιάδειον, ἵνα με κἂν ὁ Ζεὺς ἴδη
ἄνωθεν, ἀκολουθεῖν δοκῶ κανηφόρῳ.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
καὶ τὸν δίφρον γε διφροφόρει τονδὶ λαβών.
ΧΟΡΟΣ.
πρὸς δὲ τοῖς Σκιάποσιν λί-
μνη τις ἔστ', ἄλουτος οὗ
ψυχαγωγεῖ Σωκράτης·
ἔνθα καὶ Πείσανδρος ἦλθε
δεόμενος ψυχὴν ἰδεῖν, ἣ
ζῶντ' ἐκεῖνον προὔλιπε,
σφάγι' ἔχων κάμηλον ἀ-
μνόν τιν', ἧς λαιμοὺς τεμὼν,
ὥσπερ οὑδυσσεὺς ἀπῆλθε,
κᾆτ' ἀνῆλθ' αὐτῷ κάτωθεν
πρὸς τὸ λαῖμα τῆς καμήλου
Χαιρεφῶν ἡ νυκτερίς.
ΠΟΣΕΙΔΩΝ.
τὸ μὲν πόλισμα τῆς Νεφελοκοκκυγίας
ὁρᾶν τοδὶ πάρεστιν, οἷ πρεσβεύομεν.
οὗτος, τί δρᾷς; ἐπ' ἀριστέρ' οὕτως ἀμπέχει;
οὐ μεταβαλεῖς θοἰμάτιον ὧδ' ἐπὶ δεξιάν;
τί, ὦ κακόδαιμον; Λαισποδίας εἶ τὴν φύσιν.
ὦ δημοκρατία, ποῖ προβιβᾷς ἡμᾶς ποτε,
εἰ τουτονί γ' ἐχειροτόνησαν οἱ θεοί;
ΤΡΙΒΑΛΛΟΣ.
ἕξεις ἀτρέμας;
ΠΟΣΕΙΔΩΝ.
οἴμωζε· πολὺ γὰρ δή σ' ἐγὼ
ἑόρακα πάντων βαρβαρώτατον θεῶν.
ἄγε δὴ τί δρῶμεν, Ἡράκλεις;
ΗΡΑΚΛΗΣ.
ἀκήκοας
ἐμοῦ γ' ὅτι τὸν ἄνθρωπον ἄγχειν βούλομαι,
ὅστις ποτ' ἔσθ' ὁ τοὺς θεοὺς ἀποτειχίσας.
ΠΟΣΕΙΔΩΝ.
ἀλλ', ὠγάθ', ᾑρήμεσθα περὶ διαλλαγῶν
πρέσβεις.
ΗΡΑΚΛΗΣ.
διπλασίως μᾶλλον ἄγχειν μοι δοκεῖ.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
τὴν τυρόκνηστίν μοι δότω· φέρε σίλφιον·
τυρὸν φερέτω τις· πυρπόλει τοὺς ἄνθρακας.
ΗΡΑΚΛΗΣ.
τὸν ἄνδρα χαίρειν οἱ θεοὶ κελεύομεν
τρεῖς ὄντες ἡμεῖς.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ἀλλ' ἐπικνῶ τὸ σίλφιον.
ΗΡΑΚΛΗΣ.
τὰ δὲ κρέα τοῦ ταῦτ' ἐστίν;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ὄρνιθές τινες
ἐπανιστάμενοι τοῖς δημοτικοῖσιν ὀρνέοις
ἔδοξαν ἀδικεῖν.
ΗΡΑΚΛΗΣ.
εἶτα δῆτα σίλφιον
ἐπικνῇς πρότερον αὐτοῖσιν;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ὦ χαῖρ', Ἡράκλεις.
τί ἔστι;
ΗΡΑΚΛΗΣ.
πρεσβεύοντες ἡμεῖς ἥκομεν
παρὰ τῶν θεῶν περὶ πολέμου καταλλαγῆς.
ΟΙΚΕΤΗΣ.
ἔλαιον οὐκ ἔνεστιν ἐν τῇ ληκύθῳ.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
καὶ μὴν τά γ' ὀρνίθεια λιπάρ' εἶναι πρέπει.
ΗΡΑΚΛΗΣ.
ἡμεῖς τε γὰρ πολεμοῦντες οὐ κερδαίνομεν,
ὑμεῖς τ' ἂν ἡμῖν τοῖς θεοῖς ὄντες φίλοι
ὄμβριον ὕδωρ ἂν εἴχετ' ἐν τοῖς τέλμασιν,
ἀλκυονίδας τ' ἂν ἤγεθ' ἡμέρας ἀεί.
τούτων περὶ πάντων αὐτοκράτορες ἥκομεν.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ἀλλ' οὔτε πρότερον πώποθ' ἡμεῖς ἤρξαμεν
πολέμου πρὸς ὑμᾶς, νῦν τ' ἐθέλομεν, εἰ δοκεῖ,
ἐὰν τὸ δίκαιον ἀλλὰ νῦν ἐθέλητε δρᾶν,
σπονδὰς ποιεῖσθαι. τὰ δὲ δίκαι' ἐστὶν ταδί·
τὸ σκῆπτρον ἡμῖν τοῖσιν ὄρνισιν πάλιν
τὸν Δί' ἀποδοῦναι· καὶ διαλλαττώμεθα.
ἐπὶ τοῖσδε τοὺς πρέσβεις ἐπ' ἄριστον καλῶ.
ΗΡΑΚΛΗΣ.
ἐμοὶ μὲν ἀπόχρη ταῦτα, καὶ ψηφίζομαι.
ΠΟΣΕΙΔΩΝ.
τί, ὦ κακόδαιμον; ἠλίθιος καὶ γάστρις εἶ.
ἀποστερεῖς τὸν πατέρα τῆς τυραννίδος;
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ἄληθες; οὐ γὰρ μεῖζον ὑμεῖς οἱ θεοὶ
ἰσχύσετ', ἢν ὄρνιθες ἄρξωσιν κάτω;
νῦν μέν γ' ὑπὸ ταῖς νεφέλαισιν ἐγκεκρυμμένοι
κύψαντες ἐπιορκοῦσιν ὑμᾶς οἱ βροτοί·
ἐὰν δὲ τοὺς ὄρνις ἔχητε συμμάχους,
ὅταν ὀμνύῃ τις τὸν κόρακα καὶ τὸν Δία,
ὁ κόραξ παρελθὼν τοὐπιορκοῦντος λάθρα
προσπτάμενος ἐκκόψει τὸν ὀφθαλμὸν θενών.
ΠΟΣΕΙΔΩΝ.
νὴ τὸν Ποσειδῶ, ταῦτά γέ τοι καλῶς λέγεις.
ΗΡΑΚΛΗΣ.
κἀμοὶ δοκεῖ.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
τί δαὶ σὺ φῄς;
ΤΡΙΒΑΛΛΟΣ.
ναβαισατρεῦ.
ΠΕΙΣΘΕΤΑΙΡΟΣ.
ὁρᾷς; ἐπαινεῖ χοὖτος. ἕτερον νῦν ἔτι
ἀκούσαθ' ὅσον ὑμᾶς ἀγαθὸν ποιήσομεν.
ἐάν τις ἀνθρώπων ἱερεῖόν τῳ θεῶν
εὐξάμενος, εἶτα διασοφίζηται λέγων,
μενετοὶ θεοί, κἀποδιδῷ μισητίαν,
ἀναπράξομεν καὶ ταῦτα.
ΠΟΣΕΙΔΩΝ.
φέρ' ἴδω, τῷ τρόπῳ;

1553—1564. — 1694—1705.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὅταν διαριθμῶν ἀργυρίδιον τύχῃ
ἄνθρωπος οὗτος, ἢ καθῆται λούμενος,
καταπτάμενος ἰκτῖνος, ἁρπάσας λάθρα,
προβάτοιν δυοῖν τιμὴν ἀνοίσει τῷ θεῷ.

ΗΡΑΚΛΗΣ.

τὸ σκῆπτρον ἀποδοῦναι πάλιν ψηφίζομαι
τούτοις ἐγώ.

ΠΟΣΕΙΔΩΝ.

καὶ τὸν Τριβαλλόν νυν ἐροῦ.

ΗΡΑΚΛΗΣ.

ὁ Τριβαλλὸς, οἰμώζειν δοκεῖ σοι;

ΤΡΙΒΑΛΛΟΣ.

σαυνάκα
βακταρικροῦσα.

ΗΡΑΚΛΗΣ.

φησὶν εὖ λέγειν πάνυ.

ΠΟΣΕΙΔΩΝ.

εἴ τοι δοκεῖ σφῷν ταῦτα, κἀμοὶ συνδοκεῖ.

ΗΡΑΚΛΗΣ.

οὗτος, δοκεῖ δρᾶν ταῦτα τοῦ σκήπτρου πέρι.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

καὶ νὴ Δί' ἕτερόν γ' ἐστὶν οὗ 'μνήσθην ἐγώ.
τὴν μὲν γὰρ Ἥραν παραδίδωμι τῷ Διὶ,
τὴν δὲ Βασίλειαν τὴν κόρην γυναῖκ' ἐμοὶ
ἐκδοτέον ἐστίν.

ΠΟΣΕΙΔΩΝ.

οὐ διαλλαγῶν ἐρᾷς.
ἀπίωμεν οἴκαδ' αὖθις.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὀλίγον μοι μέλει.
μάγειρε, τὸ κατάχυσμα χρὴ ποιεῖν γλυκύ.

ΗΡΑΚΛΗΣ.

ὦ δαιμόνι' ἀνθρώπων Πόσειδον, ποῖ φέρει;
ἡμεῖς περὶ γυναικὸς μιᾶς πολεμήσομεν;

ΠΟΣΕΙΔΩΝ.

τί δαὶ ποιῶμεν;

ΗΡΑΚΛΗΣ.

ὅ τι; διαλλαττώμεθα.

ΠΟΣΕΙΔΩΝ.

τί, ᾧζύρ'; οὐκ οἶσθ' ἐξαπατώμενος πάλαι;
βλάπτεις δέ τοι σὺ σαυτόν. ἢν γὰρ ἀποθάνῃ
ὁ Ζεὺς, παραδοὺς τούτοισι τὴν τυραννίδα,
πένης ἔσει σύ. σοῦ γὰρ ἅπαντα γίγνεται
τὰ χρήμαθ', ὅσ' ἂν ὁ Ζεὺς ἀποθνήσκων καταλίπῃ.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οἴμοι τάλας, οἷόν σε περισοφίζεται.
δεῦρ' ὡς ἔμ' ἀποχώρησον, ἵνα τί σοι φράσω.
διαβάλλεταί σ' ὁ θεῖος, ὦ πονηρὲ σύ.
τῶν γὰρ πατρῴων οὐδ' ἀκαρῆ μέτεστί σοι
κατὰ τοὺς νόμους· νόθος γὰρ εἶ κοὐ γνήσιος.

ΗΡΑΚΛΗΣ.

ἐγὼ νόθος; τί λέγεις;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

σὺ μέντοι νὴ Δία,
ὤν γε ξένης γυναικός. ἢ πῶς ἄν ποτε
ἐπίκληρον εἶναι τὴν Ἀθηναίαν δοκεῖς,
οὖσαν θυγατέρ', ὄντων ἀδελφῶν γνησίων;

ΗΡΑΚΛΗΣ.

τί δ', ἢν ὁ πατὴρ ἐμοὶ διδῷ τὰ χρήματα
νόθῳ 'ξαποθνήσκων;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ὁ νόμος αὐτὸν οὐκ ἐᾷ.
οὗτος ὁ Ποσειδῶν πρῶτος, ὃς ἐπαίρει σε νῦν,
ἀνθέξεταί σου τῶν πατρῴων χρημάτων
φάσκων ἀδελφὸς αὐτὸς εἶναι γνήσιος.
ἐρῶ δὲ δὴ καὶ τὸν Σόλωνός σοι νόμον·
Νόθῳ δὲ μὴ εἶναι ἀγχιστείαν, παίδων ὄντ
γνησίων. ἐὰν δὲ παῖδες μὴ ὦσι γνήσιοι, τ
ἐγγυτάτω γένους μετεῖναι τῶν χρημάτων.

ΗΡΑΚΛΗΣ.

ἐμοὶ δ' ἄρ' οὐδὲν τῶν πατρῴων χρημάτων
μέτεστιν;

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐ μέντοι μὰ Δία. λέξον δέ μοι,
ἤδη σ' ὁ πατὴρ εἰσήγαγ' ἐς τοὺς φράτορας;

ΗΡΑΚΛΗΣ.

οὐ δῆτ' ἐμέ γε. καὶ δῆτ' ἐθαύμαζον πάλαι.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τί δῆτ' ἄνω κέχηνας αἰκίαν βλέπων;
ἀλλ' ἢν μεθ' ἡμῶν ᾖς, καταστήσω σ' ἐγὼ
τύραννον, ὀρνίθων παρέξω σοι γάλα.

ΗΡΑΚΛΗΣ.

δίκαι' ἔμοιγε καὶ πάλιν δοκεῖς λέγειν
περὶ τῆς κόρης; κἄγωγε παραδίδωμί σοι.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

τί δαὶ σὺ φῄς;

ΠΟΣΕΙΔΩΝ.

τἀναντία ψηφίζομαι.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἐν τῷ Τριβαλλῷ πᾶν τὸ πρᾶγμα. τί σὺ λέγ

ΤΡΙΒΑΛΛΟΣ.

καλάνι κόραυνα καὶ μεγάλα βασιλιναῦ
ὄρνιτο παραδίδωμι.

ΗΡΑΚΛΗΣ.

παραδοῦναι λέγει.

ΠΟΣΕΙΔΩΝ.

μὰ τὸν Δί' οὐχ οὗτός γε παραδοῦναι λέγει,
εἰ μὴ βατίζειν ὥσπερ αἱ χελιδόνες.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

οὐκοῦν παραδοῦναι ταῖς χελιδόσιν λέγει.

ΠΟΣΕΙΔΩΝ.

σφὼ νῦν διαλλάττεσθε καὶ ξυμβαίνετε·
ἐγὼ δ', ἐπειδὴ σφῷν δοκεῖ, σιγήσομαι.

ΗΡΑΚΛΗΣ.

ἡμῖν ἃ λέγεις σὺ πάντα συγχωρεῖν δοκεῖ.
ἀλλ' ἴθι μεθ' ἡμῶν αὐτὸς ἐς τὸν οὐρανὸν,
ἵνα τὴν Βασίλειαν καὶ τὰ πάντ' ἐκεῖ λάβῃς.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἐς καιρὸν ἄρα κατεκόπησαν οὑτοιὶ
ἐς τοὺς γάμους.

ΗΡΑΚΛΗΣ.

βούλεσθε δῆτ' ἐγὼ τέως
ὀπτῶ τὰ κρέα ταυτὶ μένων; ὑμεῖς δ' ἴτε.

ΠΟΣΕΙΔΩΝ.

ὀπτᾷς τὰ κρέα; πολλήν γε τενθείαν λέγεις.
οὐκ εἶ μεθ' ἡμῶν;

ΗΡΑΚΛΗΣ.

εὖ γε μέντἂν διετέθην.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἀλλὰ γαμικὴν χλανίδα δότω τις δεῦρό μοι.

ΧΟΡΟΣ.

ἔστι δ' ἐν Φαναῖσι πρὸς τῇ
Κλεψύδρᾳ πανοῦργον ἐγ-
γλωττογαστόρων γένος,
οἳ θερίζουσίν τε καὶ σπεί-
ρουσι καὶ τρυγῶσι ταῖς γλώτ-
ταισι συκάζουσί τε·
βάρβαροι δ' εἰσὶν γένος,
Γοργίαι τε καὶ Φίλιπποι.
κἀπὸ τῶν ἐγγλωττογαστό-
ρων ἐκείνων τῶν Φιλίππων
πανταχοῦ τῆς Ἀττικῆς ἡ
γλῶττα χωρὶς τέμνεται.

ΑΓΓΕΛΟΣ.

ὦ πάντ' ἀγαθὰ πράττοντες, ὦ μείζω λόγου,
ὦ τρισμακάριον πτηνὸν ὀρνίθων γένος,
δέχεσθε τὸν τύραννον ὀλβίοις δόμοις.
προσέρχεται γὰρ οἷος οὔτε παμφαὴς
ἀστὴρ ἰδεῖν ἔλαμψε χρυσαυγεῖ δόμῳ,
οὔθ' ἡλίου τηλαυγὲς ἀκτίνων σέλας
τοιοῦτον ἐξέλαμψεν, οἷον ἔρχεται
ἔχων γυναικὸς κάλλος οὐ φατὸν λέγειν,
πάλλων κεραυνὸν, πτεροφόρον Διὸς βέλος·
ὀσμὴ δ' ἀνωνόμαστος ἐς βάθος κύκλου
χωρεῖ, καλὸν θέαμα· θυμιαμάτων δ'
αὖραι διαψαίρουσι πλεκτάνην καπνοῦ.
ὁδὶ δὲ καὐτός ἐστιν. ἀλλὰ χρὴ θεᾶς
Μούσης ἀνοίγειν ἱερὸν εὔφημον στόμα.

ΧΟΡΟΣ.

ἄναγε, δίεχε, πάραγε, πάρεχε,
περιπέτεσθε
μάκαρα μάκαρι σὺν τύχᾳ.
ὢ φεῦ φεῦ τῆς ὥρας, τοῦ κάλλους.
ὦ μακαριστὸν σὺ γάμον τῇδε πόλει γήμας.
μεγάλαι μεγάλαι κατέχουσι τύχαι
γένος ὀρνίθων
διὰ τόνδε τὸν ἄνδρ'. ἀλλ' ὑμεναίοις
καὶ νυμφιδίοισι δέχεσθ' ᾠδαῖς
αὐτὸν καὶ τὴν Βασίλειαν.
Ἥρᾳ ποτ' Ὀλυμπίᾳ
τῶν ἠλιβάτων θρόνων
ἄρχοντα θεοῖς μέγαν
Μοῖραι ξυνεκοίμισαν
ἐν τοιῷδ' ὑμεναίῳ.
Ὑμὴν ὦ, Ὑμέναι' ὦ.
ὁ δ' ἀμφιθαλὴς Ἔρως
χρυσόπτερος ἡνίας
εὔθυνε παλιντόνους,
Ζηνὸς πάροχος γάμων
τῆς τ' εὐδαίμονος Ἥρας.
Ὑμὴν ὦ, Ὑμέναι' ὦ.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἐχάρην ὕμνοις, ἐχάρην ᾠδαῖς·
ἄγαμαι δὲ λόγων. ἄγε νυν αὐτοῦ
καὶ τὰς χθονίας κλήσατε βροντὰς,
τάς τε πυρώδεις Διὸς ἀστεροπὰς,
δεινόν τ' ἀργῆτα κεραυνόν.

ΧΟΡΟΣ.

ὦ μέγα χρύσεον ἀστεροπῆς φάος,
ὦ Διὸς ἄμβροτον ἔγχος πυρφόρον,
ὦ χθόνιαι βαρυαχέες
ὀμβροφόροι θ' ἅμα βρονταὶ,
αἷς ὅδε νῦν χθόνα σείει.
διὰ σὲ τὰ πάντα κρατήσας,
καὶ πάρεδρον Βασίλειαν ἔχει Διός.
Ὑμὴν ὦ, Ὑμέναι' ὦ.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ἕπεσθε νῦν γάμοισιν, ὦ
φῦλα πάντα συννόμων
πτεροφόρ', ἐπὶ πέδον Διὸς
καὶ λέχος γαμήλιον.
ὄρεξον, ὦ μάκαιρα, σὴν
χεῖρα, καὶ πτερῶν ἐμῶν
λαβοῦσα συγχόρευσον· αἴ-
ρων δὲ κουφιῶ σ' ἐγώ.

ΧΟΡΟΣ.

ἀλαλαλαὶ, ἰὴ Παιὼν,
τήνελλα καλλίνικος, ὦ
δαιμόνων ὑπέρτατε.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΛΥΣΙΣΤΡΑΤΗ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΛΥΣΙΣΤΡΑΤΗ.*
*ΚΑΛΟΝΙΚΗ.*
*ΜΥΡΡΙΝΗ.*
*ΛΑΜΠΙΤΩ.*
*ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.*
*ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.*
*ΣΤΡΑΤΥΛΛΙΣ.*
*ΠΡΟΒΟΥΛΟΣ.*
*ΓΥΝΑΙΚΕΣ ΤΙΝΕΣ.*
*ΚΙΝΗΣΙΑΣ.*
*ΠΑΙΣ.*
*ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ.*
*ΠΡΕΣΒΕΙΣ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ.*
*ΑΓΟΡΑΙΟΙ ΤΙΝΕΣ.*
*ΘΕΡΑΠΩΝ.*
*ΑΘΗΝΑΙΟΣ ΤΙΣ.*

## *ΥΠΟΘΕΣΙΣ.*

*Λυσιστράτη τις Ἀθήνησι τῶν πολιτίδων καὶ τῶν Πελοποννησίων, ἔτι δὲ καὶ Βοιωτίων γυναικῶν σύλ-γον ἐποιήσατο, διαλλαγὰς μηχανωμένη τοῖς Ἕλλησιν· ὀμόσαι δὲ ἀναπείσασα μὴ πρότερον τοῖς ἀνδ συνουσιάζειν, πρὶν ἂν πολεμοῦντες ἀλλήλοις παύσωνται, τὰς μὲν ἐξωπίους ἐμπριλὰς καταλιποῦσα ὀπ αὐτὴ δὲ πρὸς τὰς κατειληφυίας τὴν ἀκρόπολιν μετὰ τῶν οἰκείων ἀπαντᾷ. συνδραμόντων δὲ πρεσβ πολιτῶν μετὰ λαμπάδων καὶ πυρὸς πρὸς τὰς πύλας, τὴν ἀναστολὴν ποιεῖται ἐξελθοῦσα, καὶ προβου τινὸς μετ' ὀλίγον παραβιάσασθαι μετὰ τοξοτῶν ὁρμήσαντος, εἶτα δὲ ἀποκρουσθέντος καὶ διαπυνθανομ τί βουλόμεναι ταῦτα δεδράκασι, τὸ μὲν πρῶτόν φασιν ὅτι ἐγκρατεῖς γενόμεναι τοῦ ἀργυρίου μὴ ἐπι ψουσι τοῖς ἀνδράσιν ἀπὸ τούτου πολεμεῖν, δεύτερον δὲ ὅτι πολὺ ἄμεινον ταμιεύσονται καὶ τὸν παρ πόλεμον τάχιστα καταπαύσουσιν. οὗτος μὲν οὖν καταπλαγεὶς τοῦ θράσους ὡς τοὺς συμπροβούλους οἴχ ταῦτα μὴ παύσας· οἱ δὲ γέροντες ὑπομένοντες ταῖς γυναιξὶ λοιδοροῦνται. μετὰ ταῦτα αὐτῶν τινες αἰτ λοῦσαι μάλα γελοίως δι' ἀκρασίαν ὡς τοὺς ἄνδρας ἁλίσκονται· ἐγκαρτεροῦσι δὲ Λυσιστράτης ἱκετευοῖ Κινησίας τις τῶν πολιτῶν, ἀκρατῶς ἔχων τῆς γυναικὸς, παραγίνεται· ἡ δὲ χυτροτομοῦσα αὐτὸν ἐκς λεται μὲν, τὰ περὶ τῶν διαλλαγῶν δὲ σπουδάζει. ἀφικνοῦνται δὲ καὶ παρὰ Λακεδαιμονίων περὶ σπου κήρυκες, ἐμφανίζοντες ἅμα καὶ τὰς προτέρας γυναῖκας. συνταχθέντες δὲ σφίσιν οἱ Ἀθηναῖοι πρέ αὐτοκράτορας ἀποστέλλουσιν. οἱ μὲν γέροντες εἰς ταυτὸν ταῖς γυναιξὶν ἀποκαταστάντες ἕνα χορὸν ἐκ διχορίας ἀποστέλλουσι· καὶ Λυσιστράτη τοὺς παραγενομένους πρὸς αὐτὴν ἐκ Λακεδαίμονος πρέσβεις ἐπ τας διαλλάττεσθαι προσέλκει· καὶ ἑκατέρους ἀναμνήσασα (τῆς) παλαιᾶς εἰς ἀλλήλους γενομένης εἰρ διαλλάττει ἐν φανερῷ, καὶ ξενίσασα κοινῇ παραδίδωσι τὰς γυναῖκας ἑκάστοις ἄγεσθαι. ἐδιδάχθη Καλλίου ἄρχοντος τοῦ μετὰ Κλεόκριτον ἄρξαντος. εἰσῆκται δὲ διὰ Καλλιστράτου. ἐκλήθη Λυσιστράτη δ τὸ λῦσαι τὸν στρατόν.*

## *ΑΛΛΩΣ.*

*Λυσιστράτη καλέσασα τὰς πολίτιδας*
*ὑπέθετο φεύγειν μηδὲ μίγνυσθ' ἄρρεσιν,*
*ὅπως, γενομένης νῦν στάσεως ἐμφυλίου,*
*τὸν πρὸς Λάκωνας πόλεμον αἴρωσιν λόγῳ*
*μένωσί τ' οἴκοι πάντες. ὡς δὲ συνέθετο,*
*τινὲς μὲν αὐτῶν τὴν ἀκρόπολιν διεκράτουν,*
*τινὲς δ' ἀπεχώρουν. αἵ τ' ἀπὸ Σπάρτης πάλιν*
*ταυτὸν διεβουλεύοντο. κῆρυξ ἔρχεται*
*λέγων περὶ τούτων· τῆς δ' ὁμονοίας γενομένης,*
*σπονδὰς θέμενοι τὸν πόλεμον ἐξέρρησαν.*

# ΛΥΣΙΣΤΡΑΤΗ.

ΛΥΣΙΣΤΡΑΤΗ.

Ἀλλ' εἴ τις εἰς Βακχεῖον αὐτὰς ἐκάλεσεν,
ἢ 'ς Πανός, ἢ 'πὶ Κωλιάδ', ἢ 'ς Γενετυλλίδος,
οὐδ' ἂν διελθεῖν ἦν ἂν ὑπὸ τῶν τυμπάνων.
νῦν δ' οὐδεμία πάρεστιν ἐνταυθὶ γυνή,
πλὴν ἥ γ' ἐμὴ κωμῆτις ἥδ' ἐξέρχεται.
χαῖρ', ὦ Καλονίκη.

ΚΑΛΟΝΙΚΗ.

καὶ σύ γ', ὦ Λυσιστράτη.
τί συντετάραξαι; μὴ σκυθρώπαζ', ὦ τέκνον.
οὐ γὰρ πρέπει σοι τοξοποιεῖν τὰς ὀφρῦς.

ΛΥΣΙΣΤΡΑΤΗ.

ἀλλ', ὦ Καλονίκη, κάομαι τὴν καρδίαν,
καὶ πόλλ' ὑπὲρ ἡμῶν τῶν γυναικῶν ἄχθομαι,
ὁτιὴ παρὰ μὲν τοῖς ἀνδράσι νενομίσμεθα
εἶναι πανοῦργοι.

ΚΑΛΟΝΙΚΗ.

καὶ γάρ ἐσμεν νὴ Δία.

ΛΥΣΙΣΤΡΑΤΗ.

εἰρημένον δ' αὐταῖς ἀπαντᾶν ἐνθάδε
βουλευσομέναισιν οὐ περὶ φαύλου πράγματος,
εὕδουσι κοὐχ ἥκουσιν.

ΚΑΛΟΝΙΚΗ.

ἀλλ', ὦ φιλτάτη,
ἥξουσι· χαλεπή τοι γυναικῶν ἔξοδος.
ἡ μὲν γὰρ ἡμῶν περὶ τὸν ἄνδρ' ἐκύπτασεν,
ἡ δ' οἰκέτην ἤγειρεν, ἡ δὲ παιδίον
κατέκλινεν, ἡ δ' ἔλουσεν, ἡ δ' ἐψώμισεν.

ΛΥΣΙΣΤΡΑΤΗ.

ἀλλ' ἕτερα γὰρ ἦν τῶνδε προὐργιαίτερα
αὐταῖς.

ΚΑΛΟΝΙΚΗ.

τί δ' ἐστίν, ὦ φίλη Λυσιστράτη,
ἐφ' ὅ τι ποθ' ἡμᾶς τὰς γυναῖκας συγκαλεῖς;
τί τὸ πρᾶγμα; πηλίκον τι;

ΛΥΣΙΣΤΡΑΤΗ.

μέγα.

ΚΑΛΟΝΙΚΗ.

μῶν καὶ παχύ;

ΛΥΣΙΣΤΡΑΤΗ.

καὶ νὴ Δία παχύ.

ΚΑΛΟΝΙΚΗ.

κᾆτα πῶς οὐχ ἥκομεν;

ΛΥΣΙΣΤΡΑΤΗ.

οὐχ οὗτος ὁ τρόπος· ταχὺ γὰρ ἂν ξυνήλθομεν.
ἀλλ' ἔστιν ὑπ' ἐμοῦ πρᾶγμ' ἀνεζητημένον,
πολλαῖσί τ' ἀγρυπνίαισιν ἐρριπτασμένον.

ΚΑΛΟΝΙΚΗ.

ἦ πού τι λεπτόν ἐστι τοὐρριπτασμένον.

ΛΥΣΙΣΤΡΑΤΗ.

οὕτω γε λεπτὸν ὥσθ' ὅλης τῆς Ἑλλάδος
ἐν ταῖς γυναιξίν ἐστιν ἡ σωτηρία.

ΚΑΛΟΝΙΚΗ.

ἐν ταῖς γυναιξίν; ἐπ' ὀλίγου γὰρ εἴχετο.

ΛΥΣΙΣΤΡΑΤΗ.

ὡς ἔστ' ἐν ἡμῖν τῆς πόλεως τὰ πράγματα,
ἢ μηκέτ' εἶναι μήτε Πελοποννησίους

ΚΑΛΟΝΙΚΗ.

βέλτιστα τοίνυν μηκέτ' εἶναι νὴ Δία.

ΛΥΣΙΣΤΡΑΤΗ.

Βοιωτίους τε πάντας ἐξολωλέναι.

ΚΑΛΟΝΙΚΗ.

μὴ δῆτα πάντας γ', ἀλλ' ἄφελε τὰς ἐγχέλεις.

ΛΥΣΙΣΤΡΑΤΗ.

περὶ τῶν Ἀθηνῶν δ' οὐκ ἐπιγλωττήσομαι
τοιοῦτον οὐδέν· ἀλλ' ὑπονόησον σύ μοι.
ἢν δὲ ξυνέλθωσ' αἱ γυναῖκες ἐνθάδε,
αἵ τ' ἐκ Βοιωτῶν αἵ τε Πελοποννησίων
ἡμεῖς τε, κοινῇ σώσομεν τὴν Ἑλλάδα.

ΚΑΛΟΝΙΚΗ.

τί δ' ἂν γυναῖκες φρόνιμον ἐργασαίατο
ἢ λαμπρόν, αἳ καθήμεθ' ἐξηνθισμέναι,
κροκωτὰ φοροῦσαι καὶ κεκαλλωπισμέναι
καὶ Κιμβερίκ' ὀρθοστάδια καὶ περιβαρίδας;

ΛΥΣΙΣΤΡΑΤΗ.

ταῦτ' αὐτὰ γάρ τοι κἄσθ' ἃ σώσειν προσδοκῶ,
τὰ κροκωτίδια καὶ τὰ μύρα χαἰ περιβαρίδες
χἠ 'γχουσα καὶ τὰ διαφανῆ χιτώνια.

ΚΑΛΟΝΙΚΗ.

τίνα δὴ τρόπον ποθ';

ΛΥΣΙΣΤΡΑΤΗ.

ὥστε τῶν νῦν μηδένα
ἀνδρῶν ἐπ' ἀλλήλοισιν αἴρεσθαι δόρυ,

ΚΑΛΟΝΙΚΗ.

κροκωτὸν ἄρα νὴ τὼ θεὼ 'γὼ βάψομαι.

ΛΥΣΙΣΤΡΑΤΗ.

μήτ' ἀσπίδα λαβεῖν

ΚΑΛΟΝΙΚΗ.

Κιμβερικὸν ἐνδύσομαι.

ΛΥΣΙΣΤΡΑΤΗ.

μήτε ξιφίδιον.

ΚΑΛΟΝΙΚΗ.

κτήσομαι περιβαρίδας.

ΛΥΣΙΣΤΡΑΤΗ.

ἆρ' οὐ παρεῖναι τὰς γυναῖκας δῆτ' ἐχρῆν;

ΚΑΛΟΝΙΚΗ.

οὐ γὰρ μὰ Δί' ἀλλὰ πετομένας ἥκειν πάλαι.

ΛΥΣΙΣΤΡΑΤΗ.

ἀλλ', ὦ μέλ', ὄψει τοι σφόδρ' αὐτὰς Ἀττικάς,
ἅπαντα δρώσας τοῦ δέοντος ὕστερον.

ἀλλ' οὐδὲ Παράλων οὐδεμία γυνὴ πάρα,
οὐδ' ἐκ Σαλαμῖνος.

ΚΑΛΟΝΙΚΗ.

ἀλλ' ἐκεῖναί γ' οἶδ' ὅτι
ἐπὶ τῶν κελήτων διαβεβήκασ' ὄρθριαι.

ΛΥΣΙΣΤΡΑΤΗ.

οὐδ' ἃς προσεδόκων κἀλογιζόμην ἐγὼ
πρώτας παρέσεσθαι δεῦρο τὰς Ἀχαρνέων
γυναῖκας, οὐχ ἥκουσιν.

ΚΑΛΟΝΙΚΗ.

ἡ γοῦν Θεογένους
ὡς δεῦρ' ἰοῦσα θοὐκάτειον ἤρετο.
ἀτὰρ αἵδε καὶ δή σοι προσέρχονταί τινες·
αἱ δ' αὖθ' ἕτεραι χωροῦσί τινες. ἰοὺ ἰοὺ,
πόθεν εἰσίν;

ΛΥΣΙΣΤΡΑΤΗ.

Ἀναγυρουντόθεν.

ΚΑΛΟΝΙΚΗ.

νὴ τὸν Δία·
ὁ γοῦν ἀνάγυρός μοι κεκινῆσθαι δοκεῖ.

ΜΥΡΡΙΝΗ.

μῶν ὕστεραι πάρεσμεν, ὦ Λυσιστράτη;
τί φῄς; τί σιγᾷς;

ΛΥΣΙΣΤΡΑΤΗ.

οὐκ ἐπαινῶ, Μυρρίνη,
ἥκουσαν ἄρτι περὶ τοιούτου πράγματος.

ΜΥΡΡΙΝΗ.

μόλις γὰρ εὗρον ἐν σκότῳ τὸ ζώνιον.
ἀλλ' εἴ τι πάνυ δεῖ, ταῖς παρούσαισιν λέγε.

ΛΥΣΙΣΤΡΑΤΗ.

μὰ Δί', ἀλλ' ἐπαναμείνωμεν ὀλίγου γ' οὕνεκα
τάς τ' ἐκ Βοιωτῶν τάς τε Πελοποννησίων
γυναῖκας ἐλθεῖν.

ΜΥΡΡΙΝΗ.

πολὺ σὺ κάλλιον λέγεις.
ἡδὶ δὲ καὶ δὴ Λαμπιτὼ προσέρχεται.

ΛΥΣΙΣΤΡΑΤΗ.

ὦ φιλτάτη Λάκαινα, χαῖρε, Λαμπιτοῖ.
οἷον τὸ κάλλος, γλυκυτάτη, σου φαίνεται.
ὡς δ' εὐχροεῖς, ὡς δὲ σφριγᾷ τὸ σῶμά σου.
κἂν ταῦρον ἄγχοις.

ΛΑΜΠΙΤΩ.

μάλα γὰρ οἰῶ ναὶ σιώ·
γυμνάδδομαί γα καὶ ποτὶ πυγὰν ἅλλομαι.

ΛΥΣΙΣΤΡΑΤΗ.

ὡς δὴ καλὸν τὸ χρῆμα τιτθίων ἔχεις.

ΛΑΜΠΙΤΩ.

ᾇπερ ἱερεῖόν τοί μ' ὑποψαλάσσετε.

ΛΥΣΙΣΤΡΑΤΗ.

ἡδὶ δὲ ποδαπή 'σθ' ἡ νεᾶνις ἡτέρα;

ΛΑΜΠΙΤΩ.

πρέσβειρά τοι ναὶ τὼ σιὼ Βοιωτία
ἵκει ποθ' ὑμέ.

ΛΥΣΙΣΤΡΑΤΗ.

νὴ Δί', ὦ Βοιωτία,
καλόν γ' ἔχουσα τὸ πεδίον.

ΚΑΛΟΝΙΚΗ.

καὶ νὴ Δία
κομψότατα τὴν βληχώ γε παρατετιλμένη.

ΛΥΣΙΣΤΡΑΤΗ.

τίς δ' ἡτέρα παῖς;

ΛΑΜΠΙΤΩ.

χαΐα ναὶ τὼ σιὼ,
Κορινθία δ' αὖ.

ΛΥΣΙΣΤΡΑΤΗ.

χαΐα νὴ τὸν Δία
δήλη 'στὶν οὖσα ταυταγὶ τἀντευθενί.

ΛΑΜΠΙΤΩ.

τίς δ' αὖ ξυναλίαξε τόνδε τὸν στόλον.
τὸν τᾶν γυναικῶν;

ΛΥΣΙΣΤΡΑΤΗ.

ἥδ' ἐγώ.

ΛΑΜΠΙΤΩ.

μύσιδδέ τοι
ὅ τι λῇς ποθ' ἁμέ.

ΛΥΣΙΣΤΡΑΤΗ.

νὴ Δί', ὦ φίλη γύναι.

ΜΥΡΡΙΝΗ.

λέγε δῆτα τὸ σπουδαῖον ὅ τι τοῦτ' ἐστί σοι.

ΛΥΣΙΣΤΡΑΤΗ.

λέγοιμ' ἂν ἤδη. πρὶν λέγειν δ', ὑμᾶς τοδὶ
ἐπερήσομαί τι μικρόν.

ΜΥΡΡΙΝΗ.

ὅ τι βούλει γε σύ.

ΛΥΣΙΣΤΡΑΤΗ.

τοὺς πατέρας οὐ ποθεῖτε τοὺς τῶν παιδίων
ἐπὶ στρατιᾶς ἀπόντας; εὖ γὰρ οἶδ' ὅτι
πάσαισιν ὑμῖν ἐστιν ἀποδημῶν ἀνήρ.

ΚΑΛΟΝΙΚΗ.

ὁ γοῦν ἐμὸς ἀνὴρ πέντε μῆνας, ὦ τάλαν,
ἄπεστιν ἐπὶ Θρᾴκης φυλάττων Εὐκράτη.

ΛΥΣΙΣΤΡΑΤΗ.

ὁ δ' ἐμός γε τελέους ἑπτὰ μῆνας ἐν Πύλῳ.

ΛΑΜΠΙΤΩ.

ὁ δ' ἐμός γα, κἂν ἐκ τᾶς ταγᾶς ἔλσῃ ποκα,
πορπακισάμενος φροῦδος ἀμπτάμενος ἔβα.

ΛΥΣΙΣΤΡΑΤΗ.

ἀλλ' οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ.
ἐξ οὗ γὰρ ἡμᾶς προὔδοσαν Μιλήσιοι,
οὐκ εἶδον οὐδ' ὄλισβον ὀκτωδάκτυλον,
ὃς ἦν ἂν ἡμῖν σκυτίνη 'πικουρία.
ἐθέλοιτ' ἂν οὖν, εἰ μηχανὴν εὕροιμ' ἐγὼ,
μετ' ἐμοῦ καταλῦσαι τὸν πόλεμον;

ΜΥΡΡΙΝΗ.

νὴ τὼ θεὼ
ἐγὼ δέ γ' ἂν κἂν εἴ με χρείη τοὔγκυκλον
τουτὶ καταθεῖσαν ἐκπιεῖν αὐθημερόν.

ΚΑΛΟΝΙΚΗ.

ἐγὼ δέ γ' ἂν κἂν ὡσπερεὶ ψῆτταν δοκῶ
δοῦναι ἂν ἐμαυτῆς παρταμοῦσα θἤμισυ.

ΛΑΜΠΙΤΩ.

ἐγὼ δὲ καί κα ποττὸ Ταΰγετόν γ' ἄνω
ἔλσοιμ', ὅπα μέλλοιμί γ' εἰράναν ἰδεῖν.

ΛΥΣΙΣΤΡΑΤΗ.

λέγοιμ' ἄν· οὐ δεῖ γὰρ κεκρύφθαι τὸν λόγον.
ἡμῖν γὰρ, ὦ γυναῖκες, εἴπερ μέλλομεν
ἀναγκάσειν τοὺς ἄνδρας εἰρήνην ἄγειν,
ἀφεκτέ' ἐστὶ

ΜΥΡΡΙΝΗ.
τοῦ; φράσον.
ΛΥΣΙΣΤΡΑΤΗ.
ποιήσετ' οὖν;
ΜΥΡΡΙΝΗ.
ποιήσομεν, κἂν ἀποθανεῖν ἡμᾶς δέῃ.
ΛΥΣΙΣΤΡΑΤΗ.
ἀφεκτέα τοίνυν ἡμίν ἐστι τοῦ πέους.
τί μοι μεταστρέφεσθε; ποῖ βαδίζετε;
αὗται; τί μοι μυᾶτε κἀνανεύετε;
τί χρὼς τέτραπται; τί δάκρυον κατείβεται;
ποιήσετ', ἢ οὐ ποιήσετ'; ἢ τί μέλλετε;
ΜΥΡΡΙΝΗ.
οὐκ ἂν ποιήσαιμ', ἀλλ' ὁ πόλεμος ἑρπέτω.
ΚΑΛΟΝΙΚΗ.
μὰ Δί' οὐδ' ἐγὼ γάρ, ἀλλ' ὁ πόλεμος ἑρπέτω.
ΛΥΣΙΣΤΡΑΤΗ.
ταυτὶ σὺ λέγεις, ὦ ψῆττα; καὶ μὴν ἄρτι γε
ἔφησθα σαυτῆς κἂν παρατεμεῖν θἤμισυ.
ΚΑΛΟΝΙΚΗ.
ἄλλ' ἄλλ' ὅ τι βούλει· κἂν με χρῇ, διὰ τοῦ πυρὸς
ἐθέλω βαδίζειν· τοῦτο μᾶλλον τοῦ πέους.
οὐδὲν γὰρ οἷον, ὦ φίλη Λυσιστράτη.
ΛΥΣΙΣΤΡΑΤΗ.
τί δαὶ σύ;
ΜΥΡΡΙΝΗ.
κἀγὼ βούλομαι διὰ τοῦ πυρός.
ΛΥΣΙΣΤΡΑΤΗ.
ὦ παγκατάπυγον θἠμέτερον ἅπαν γένος.
οὐκ ἐτὸς ἀφ' ἡμῶν εἰσιν αἱ τραγῳδίαι.
οὐδὲν γάρ ἐσμεν πλὴν Ποσειδῶν καὶ σκάφη.
ἀλλ', ὦ φίλη Λάκαινα, σὺ γὰρ ἐὰν γένῃ
μόνη μετ' ἐμοῦ, τὸ πρᾶγμ' ἀνασωσαίμεσθ' ἔτ' ἄν,
ξυμψήφισαί μοι.
ΛΑΜΠΙΤΩ.
χαλεπὰ μὲν ναὶ τὼ σιὼ
γυναῖκάς ἐσθ' ὑπνῶν ἄνευ ψωλᾶς μόνας.
ὅμως γα μάν· δεῖ τᾶς γὰρ εἰράνας μάλ' αὖ.
ΛΥΣΙΣΤΡΑΤΗ.
ὦ φιλτάτη σὺ καὶ μόνη τούτων γυνή.
ΚΑΛΟΝΙΚΗ.
εἰ δ' ὡς μάλιστ' ἀπεχοίμεθ' οὗ σὺ δὴ λέγεις,
ὃ μὴ γένοιτο, μᾶλλον ἂν διὰ τουτογὶ
γένοιτ' ἂν εἰρήνη;
ΛΥΣΙΣΤΡΑΤΗ.
πολύ γε νὴ τὼ θεώ.
εἰ γὰρ καθήμεθ' ἔνδον ἐντετριμμέναι
κἀν τοῖς χιτωνίοισι τοῖς ἀμοργίνοις
γυμναὶ παρίοιμεν, δέλτα παρατετιλμέναι,
στύοιντ' ἂν ἅνδρες κἀπιθυμοῖεν πλεκοῦν,
ἡμεῖς δὲ μὴ προσίοιμεν, ἀλλ' ἀπεχοίμεθα,
σπονδὰς ποιήσαιντ' ἂν ταχέως, εὖ οἶδ' ὅτι.
ΛΑΜΠΙΤΩ.
ὁ γῶν Μενέλαος τᾶς Ἑλένας τὰ μᾶλά πο
γυμνᾶς παρενιδὼν ἐξέβαλ', οἰῶ, τὸ ξίφος.
ΚΑΛΟΝΙΚΗ.
τί δ', ἢν ἀφίωσ' ἄνδρες ἡμᾶς, ὦ μέλε;
ΛΥΣΙΣΤΡΑΤΗ.
τὸ τοῦ Φερεκράτους, κύνα δέρειν δεδαρμένην.
ΚΑΛΟΝΙΚΗ.
φλυαρία ταῦτ' ἐστὶ τὰ μεμιμημένα.
ἐὰν λαβόντες δ' ἐς τὸ δωμάτιον βίᾳ
ἕλκωσιν ἡμᾶς;
ΛΥΣΙΣΤΡΑΤΗ.
ἀντέχου σὺ τῶν θυρῶν.
ΚΑΛΟΝΙΚΗ.
ἐὰν δὲ τύπτωσιν, τί;
ΛΥΣΙΣΤΡΑΤΗ.
παρέχειν χρὴ κακῶς.
οὐ γὰρ ἔνι τούτοις ἡδονὴ τοῖς πρὸς βίαν,
κἄλλως ὀδυνᾶν χρή· κἀμέλει ταχέως πάνυ
ἀπεροῦσιν. οὐ γὰρ οὐδέποτ' εὐφρανθήσεται
ἀνήρ, ἐὰν μὴ τῇ γυναικὶ συμφέρῃ.
ΚΑΛΟΝΙΚΗ.
εἴ τοι δοκεῖ σφῷν ταῦτα, χἠμῖν ξυνδοκεῖ.
ΛΑΜΠΙΤΩ.
καὶ τὼς μὲν ἁμῶν ἄνδρας ἁμὲς πείσομες
παντᾷ δικαίως ἄδολον εἰράναν ἄγειν·
τὸν τῶν Ἀσαναίων γα μὰν ῥυάχετον
πᾷ καί τις ἂν πείσειεν αὖ μὴ πλαδδιῆν;
ΛΥΣΙΣΤΡΑΤΗ.
ἡμεῖς ἀμέλει σοι τά γε παρ' ἡμῖν πείσομεν.
ΛΑΜΠΙΤΩ.
οὐχ ἇς σποδᾶς ἔχωντι ταὶ τριήρεες
καὶ τἀργύριον τὤβυσσον ᾖ παρὰ τᾷ σιῷ.
ΛΥΣΙΣΤΡΑΤΗ.
ἀλλ' ἔστι καὶ τοῦτ' εὖ παρεσκευασμένον·
καταληψόμεθα γὰρ τὴν ἀκρόπολιν τήμερον.
ταῖς πρεσβυτάταις γὰρ προστέτακται τοῦτο δρᾶν,
ἕως ἂν ἡμεῖς ταῦτα συντιθώμεθα,
θύειν δοκούσαις καταλαβεῖν τὴν ἀκρόπολιν.
ΛΑΜΠΙΤΩ.
παντᾷ κ' ἔχοι, καὶ τᾷδε γὰρ λέγεις, καλῶς.
ΛΥΣΙΣΤΡΑΤΗ.
τί δῆτα ταῦτ' οὐχ ὡς τάχιστα, Λαμπιτοῖ,
ξυνωμόσαμεν, ὅπως ἂν ἀρρήκτως ἔχῃ;
ΛΑΜΠΙΤΩ.
πάρφαινε μὰν τὸν ὅρκον, ὡς ὀμιώμεθα.
ΛΥΣΙΣΤΡΑΤΗ.
καλῶς λέγεις. ποῦ 'σθ' ἡ Σκύθαινα; ποῖ βλέπεις;
θὲς ἐς τὸ πρόσθεν ὑπτίαν τὴν ἀσπίδα,
καί μοι δότω τὰ τόμιά τις.
ΚΑΛΟΝΙΚΗ.
Λυσιστράτη,
τίν' ὅρκον ὁρκώσεις ποθ' ἡμᾶς;
ΛΥΣΙΣΤΡΑΤΗ.
ὅντινα;
εἰς ἀσπίδ', ὥσπερ φάσ' ἐν Αἰσχύλῳ ποτέ,
μηλοσφαγούσας.
ΚΑΛΟΝΙΚΗ.
μὴ σύ γ', ὦ Λυσιστράτη,
εἰς ἀσπίδ' ὀμόσῃς μηδὲν εἰρήνης πέρι.
ΛΥΣΙΣΤΡΑΤΗ.
τίς ἂν οὖν γένοιτ' ἂν ὅρκος

ΚΑΛΟΝΙΚΗ.

εἰ λευκόν ποθεν
ἵππον λαβοῦσαι τόμιον ἐντεμοίμεθα.

ΛΥΣΙΣΤΡΑΤΗ.

ποῖ λευκὸν ἵππον;

ΚΑΛΟΝΙΚΗ.

ἀλλὰ πῶς ὀμούμεθα
ἡμεῖς;

ΛΥΣΙΣΤΡΑΤΗ.

ἐγώ σοι νὴ Δί', ἢν βούλῃ, φράσω.
θεῖσαι μέλαιναν κύλικα μεγάλην ὑπτίαν,
μηλοσφαγοῦσαι Θάσιον οἴνου σταμνίον,
ὀμόσωμεν ἐς τὴν κύλικα μὴ 'πιχεῖν ὕδωρ.

ΛΑΜΠΙΤΩ.

φεῦ δᾶ, τὸν ὅρκον ἄφατον ὡς ἐπαινιῶ.

ΛΥΣΙΣΤΡΑΤΗ.

φερέτω κύλικά τις ἔνδοθεν καὶ σταμνίον.

ΚΑΛΟΝΙΚΗ.

ὦ φίλταται γυναῖκες, ὁ κεραμὼν ὅσος.
ταύτην μὲν ἄν τις εὐθὺς ἡσθείη λαβών.

ΛΥΣΙΣΤΡΑΤΗ.

καταθεῖσα ταύτην προσλαβοῦ μοι τοῦ κάπρου.
δέσποινα Πειθοῖ καὶ κύλιξ φιλοτησία,
τὰ σφάγια δέξαι ταῖς γυναιξὶν εὐμενής.

ΚΑΛΟΝΙΚΗ.

εὔχρων γε θαῖμα κἀποπυτίζει καλῶς.

ΛΑΜΠΙΤΩ.

καὶ μὰν ποτόδδει γ' ἀδὺ ναὶ τὸν Κάστορα.

ΛΥΣΙΣΤΡΑΤΗ.

ἐᾶτε πρώτην μ', ὦ γυναῖκες, ὀμνύναι.

ΚΑΛΟΝΙΚΗ.

μὰ τὴν Ἀφροδίτην οὐκ, ἐάν γε μὴ λάχῃς.

ΛΥΣΙΣΤΡΑΤΗ.

λάζυσθε πᾶσαι τῆς κύλικος, ὦ Λαμπιτοῖ·
λεγέτω δ' ὑπὲρ ὑμῶν μί' ἅπερ ἂν κἀγὼ λέγω·
ὑμεῖς δ' ἐπομεῖσθε ταὐτὰ κἀμπεδώσετε.
Οὐκ ἔστιν οὐδεὶς οὔτε μοιχὸς οὔτ' ἀνὴρ

ΚΑΛΟΝΙΚΗ.

οὐκ ἔστιν οὐδεὶς οὔτε μοιχὸς οὔτ' ἀνὴρ

ΛΥΣΙΣΤΡΑΤΗ.

ὅστις πρὸς ἐμὲ πρόσεισιν ἐστυκώς. λέγε.

ΚΑΛΟΝΙΚΗ.

ὅστις πρὸς ἐμὲ πρόσεισιν ἐστυκώς. παπαῖ,
ὑπολύεταί μου τὰ γόνατ', ὦ Λυσιστράτη.

ΛΥΣΙΣΤΡΑΤΗ.

οἴκοι δ' ἀταυρώτη διάξω τὸν βίον

ΚΑΛΟΝΙΚΗ.

οἴκοι δ' ἀταυρώτη διάξω τὸν βίον

ΛΥΣΙΣΤΡΑΤΗ.

κροκωτοφοροῦσα καὶ κεκαλλωπισμένη,

ΚΑΛΟΝΙΚΗ.

κροκωτοφοροῦσα καὶ κεκαλλωπισμένη,

ΛΥΣΙΣΤΡΑΤΗ.

ὅπως ἂν ἀνὴρ ἐπιτυφῇ μάλιστά μου·

ΚΑΛΟΝΙΚΗ.

ὅπως ἂν ἀνὴρ ἐπιτυφῇ μάλιστά μου·

ΛΥΣΙΣΤΡΑΤΗ.

κοὐδέποθ' ἑκοῦσα τἀνδρὶ τὠμῷ πείσομαι.

ΚΑΛΟΝΙΚΗ.

κοὐδέποθ' ἑκοῦσα τἀνδρὶ τὠμῷ πείσομαι.

ΛΥΣΙΣΤΡΑΤΗ.

ἐὰν δέ μ' ἄκουσαν βιάζηται βίᾳ,

ΚΑΛΟΝΙΚΗ.

ἐὰν δέ μ' ἄκουσαν βιάζηται βίᾳ,

ΛΥΣΙΣΤΡΑΤΗ.

κακῶς παρέξω κοὐχὶ προσκινήσομαι.

ΚΑΛΟΝΙΚΗ.

κακῶς παρέξω κοὐχὶ προσκινήσομαι.

ΛΥΣΙΣΤΡΑΤΗ.

οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰ Περσικά.

ΚΑΛΟΝΙΚΗ.

οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰ Περσικά.

ΛΥΣΙΣΤΡΑΤΗ.

οὐ στήσομαι λέαιν' ἐπὶ τυροκνήστιδος.

ΚΑΛΟΝΙΚΗ.

οὐ στήσομαι λέαιν' ἐπὶ τυροκνήστιδος.

ΛΥΣΙΣΤΡΑΤΗ.

ταῦτ' ἐμπεδοῦσα μὲν πίοιμ' ἐντευθενί·

ΚΑΛΟΝΙΚΗ.

ταῦτ' ἐμπεδοῦσα μὲν πίοιμ' ἐντευθενί·

ΛΥΣΙΣΤΡΑΤΗ.

εἰ δὲ παραβαίην, ὕδατος ἐμπλῇθ' ἡ κύλιξ.

ΚΑΛΟΝΙΚΗ.

εἰ δὲ παραβαίην, ὕδατος ἐμπλῇθ' ἡ κύλιξ.

ΛΥΣΙΣΤΡΑΤΗ.

ξυνεπόμνυθ' ὑμεῖς ταῦτα πᾶσαι;

ΜΥΡΡΙΝΗ

νὴ Δία.

ΛΥΣΙΣΤΡΑΤΗ.

φέρ' ἐγὼ καθαγίσω τήνδε.

ΚΑΛΟΝΙΚΗ.

τὸ μέρος γ', ὦ φ
ὅπως ἂν ὦμεν εὐθὺς ἀλλήλων φίλαι.

ΛΑΜΠΙΤΩ.

τίς ὠλολυγά;

ΛΥΣΙΣΤΡΑΤΗ.

τοῦτ' ἐκεῖν' οὑγὼ 'λεγον·
αἱ γὰρ γυναῖκες τὴν ἀκρόπολιν τῆς θεοῦ
ἤδη κατειλήφασιν. ἀλλ', ὦ Λαμπιτοῖ,
σὺ μὲν βάδιζε καὶ τὰ παρ' ὑμῶν εὖ τίθει,
τασδὶ δ' ὁμήρους κατάλιφ' ἡμῖν ἐνθάδε·
ἡμεῖς δὲ ταῖς ἄλλαισι ταῖσιν ἐν πόλει
ξυνεμβάλωμεν εἰσιοῦσαι τοὺς μοχλούς.

ΚΑΛΟΝΙΚΗ.

οὔκουν ἐφ' ἡμᾶς ξυμβοηθήσειν οἴει
τοὺς ἄνδρας εὐθύς;

ΛΥΣΙΣΤΡΑΤΗ.

ὀλίγον αὐτῶν μοι μέλει.
οὐ γὰρ τοσαύτας οὔτ' ἀπειλὰς οὔτε πῦρ
ἥξουσ' ἔχοντες ὥστ' ἀνοῖξαι τὰς πύλας
ταύτας, ἐὰν μὴ 'φ' οἷσιν ἡμεῖς εἴπομεν.

ΚΑΛΟΝΙΚΗ.

μὰ τὴν Ἀφροδίτην οὐδέποτέ γ'· ἄλλως γὰρ
ἄμαχοι γυναῖκες καὶ μιαραὶ κεκλήμεθ' ἄν.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

χώρει, Δράκης, ἡγοῦ βάδην, εἰ καὶ τὸν ὦμον
ἀλγεῖς
κορμοῦ τοσουτονὶ βάρος χλωρᾶς φέρων ἐλάας.
ἦ πόλλ' ἄελπτ' ἔνεστιν ἐν τῷ μακρῷ βίῳ, φ

256—265. = 271—280.

ἐπεὶ τίς ἄν ποτ' ἤλπισ', ὦ Στρυμόδωρ', ἀκοῦσαι
γυναῖκας, ἃς ἐβόσκομεν
κατ' οἶκον ἐμφανὲς κακὸν,
κατὰ μὲν ἅγιον ἔχειν βρέτας,
κατὰ δ' ἀκρόπολιν ἐμὰν λαβεῖν,
μοχλοῖς δὲ καὶ κλῄθροισιν
τὰ προπύλαια πακτοῦν;
ἀλλ' ὡς τάχιστα πρὸς πόλιν σπεύσωμεν, ὦ Φιλοῦργε,
ὅπως ἂν αὐταῖς ἐν κύκλῳ θέντες τὰ πρέμνα ταυτὶ,
ὅσαι τὸ πρᾶγμα τοῦτ' ἐνεστήσαντο καὶ μετῆλθον,
μίαν πυρὰν νήσαντες ἐμπρήσωμεν αὐτόχειρες
πάσας ὑπὸ ψήφου μιᾶς, πρώτην δὲ τὴν Λύκωνος.
οὐ γὰρ μὰ τὴν Δήμητρ' ἐμοῦ ζῶντος ἐγχανοῦνται·
ἐπεὶ οὐδὲ Κλεομένης, ὃς αὐτὴν κατέσχε πρῶτος,
ἀπῆλθεν ἀψάλακτος, ἀλλ'
ὅμως Λακωνικὸν πνέων
ᾤχετο θὤπλα παραδοὺς ἐμοὶ,
σμικρὸν ἔχων πάνυ τριβώνιον,
πινῶν, ῥυπῶν, ἀπαράτιλτος,
ἓξ ἐτῶν ἄλουτος.
οὕτως ἐπολιόρκησ' ἐγὼ τὸν ἄνδρ' ἐκεῖνον ὠμῶς
ἐφ' ἑπτακαίδεκ' ἀσπίδων πρὸς ταῖς πύλαις καθεύδων.
τασδὶ δὲ τὰς Εὐριπίδῃ θεοῖς τε πᾶσιν ἐχθρὰς
ἐγὼ οὐκ ἄρα σχήσω παρὼν τολμήματος τοσούτου;
μή νυν ἔτ' ἐν τετραπόλει τοὐμὸν τροπαῖον εἴη.
ἀλλ' αὐτὸ γάρ μοι τῆς ὁδοῦ
λοιπόν ἐστι χωρίον
τὸ πρὸς πόλιν, τὸ σιμὸν, οἷ σπουδὴν ἔχω·
χὤπως ποτ' ἐξαμπρεύσομεν
τοῦτ' ἄνευ κανθηλίου.
ὡς ἐμοῦ γε τὼ ξύλω τὸν ὦμον ἐξιπώκατον·
ἀλλ' ὅμως βαδιστέον,
καὶ τὸ πῦρ φυσητέον,
μή μ' ἀποσβεσθὲν λάθῃ πρὸς τῇ τελευτῇ τῆς ὁδοῦ.
φῦ φῦ.
ἰοὺ ἰοὺ τοῦ καπνοῦ.
ὡς δεινὸν, ὦναξ Ἡράκλεις,
προσπεσόν μ' ἐκ τῆς χύτρας
ὥσπερ κύων λυττῶσα τὠφθαλμὼ δάκνει·
κἄστιν γε Λήμνιον τὸ πῦρ
τοῦτο πάσῃ μηχανῇ.
οὐδὲ γάρ ποθ' ὧδ' ὀδὰξ ἔβρυκε τὰς λήμας ἐμοῦ.
σπεῦδε πρόσθεν ἐς πόλιν,
καὶ βοήθει τῇ θεῷ,
ἢ πότ' αὐτῇ μᾶλλον ἢ νῦν, ὦ Λάχης, ἀρήξομεν;
φῦ φῦ.
ἰοὺ ἰοὺ τοῦ καπνοῦ.
τουτὶ τὸ πῦρ ἐγρήγορεν θεῶν ἕκατι καὶ ζῇ.
οὔκουν ἂν, εἰ τὼ μὲν ξύλω θείμεσθα πρῶτον αὐτοῦ,
τῆς ἀμπέλου δ' ἐς τὴν χύτραν τὸν φανὸν ἐγκαθέντες
ἅψαντες εἶτ' ἐς τὴν θύραν κριηδὸν ἐμπέσοιμεν;
κἂν μὴ καλούντων τοὺς μοχλοὺς χαλῶσιν αἱ γυναῖκες,

286—295. == 296—305.

ἐμπιμπράναι χρὴ τὰς θύρας καὶ τῷ καπνῷ πιέζειν.
θώμεσθα δὴ τὸ φορτίον. φεῦ τοῦ καπνοῦ, βαβαιάξ.
τίς ξυλλάβοιτ' ἂν τοῦ ξύλου τῶν ἐν Σάμῳ στρατηγῶν;
ταυτὶ μὲν ἤδη τὴν ῥάχιν θλίβοντά μου πέπαυται.
σὸν δ' ἐστὶν ἔργον, ὦ χύτρα, τὸν ἄνθρακ' ἐξεγείρειν,
τὴν λαμπάδ' ἡμμένην ὅπως πρώτως ἐμοὶ προσοίσεις.
δέσποινα Νίκη ξυγγενοῦ, τῶν τ' ἐν πόλει γυναικῶν
τοῦ νῦν παρεστῶτος θράσους θέσθαι τροπαῖον ἡμᾶς.

## ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

λιγνὺν δοκῶ μοι καθορᾶν καὶ καπνὸν, ὦ γυναῖκες,
ὥσπερ πυρὸς καομένου· σπευστέον ἐστὶ θᾶττον.
πέτου πέτου, Νικοδίκη,
πρὶν ἐμπεπρῆσθαι Καλύκην
τε καὶ Κρίτυλλαν περιφυσήτω
ὑπό τε νόμων ἀργαλέων
ὑπό τε γερόντων ὀλέθρων.
ἀλλὰ φοβοῦμαι τόδε. μῶν ὑστερόπους βοηθῶ;
νῦν δὴ γὰρ ἐμπλησαμένη τὴν ὑδρίαν κνεφαία
μόγις ἀπὸ κρήνης ὑπ' ὄχλου καὶ θορύβου καὶ πατάγου χυτρείου,
δούλαισιν ὠστιζομένη

* * *

στιγματίαις θ', ἁρπαλέως
ἀραμένη, ταῖσιν ἐμαῖς
δημότισιν καομέναις
φέρουσ' ὕδωρ βοηθῶ.
ἤκουσα γὰρ τυφογέρον-
τας ἄνδρας ἔρρειν, στελέχη
φέροντας, ὥσπερ βαλανεύσοντας,
ἐς πόλιν, ὡς τριτάλαντον βάρος,
δεινότατ' ἀπειλοῦντας ἐπῶν,
ὡς πυρὶ χρὴ τὰς μυσαρὰς γυναῖκας ἀνθρακεύειν.
ἅς, ὦ θεὰ, μή ποτ' ἐγὼ πιμπραμένας ἴδοιμι,
ἀλλὰ πολέμου καὶ μανιῶν ῥυσαμένας Ἑλλάδα καὶ πολίτας,
ἐφ' οἷσπερ, ὦ χρυσολόφα
πολιοῦχε, σὰς ἔσχον ἕδρας.
καί σε καλῶ ξύμμαχον, ὦ
Τριτογένει', ἤν τις ἐκεί-
νας ὑποπίμπρησιν ἀνὴρ,
φέρειν ὕδωρ μεθ' ἡμῶν.

## ΣΤΡΑΤΥΛΛΙΣ.

ἔασον ὦ.

## ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

τουτὶ τί ἦν; ὦνδρες πόνῳ πονηροί·
οὐ γὰρ ποτ' ἂν χρηστοί γ' ἔδρων, οὐδ' εὐσεβεῖς τάδ' ἄνδρες.

## ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

τουτὶ τὸ πρᾶγμ' ἡμῖν ἰδεῖν ἀπροσδόκητον ἥκει·
ἑσμὸς γυναικῶν οὑτοσὶ θύρασιν αὖ βοηθεῖ.

321—334. == 335—349.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

τί βδύλλεϑ' ἡμᾶς; οὔ τί που πολλαὶ δοκοῦμεν εἶναι;
καὶ μὴν μέρος γ' ἡμῶν ὁρᾶτ' οὔπω τὸ μυριοστόν.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

ὦ Φαιδρία, ταύτας λαλεῖν ἐάσομεν τοσαυτί;
οὐ περικατάξαι τὸ ξύλον τύπτοντ' ἐχρῆν τιν' αὐτάς;

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

ϑώμεσϑα δὴ τὰς κάλπιδας χἠμεῖς χαμᾶζ', ὅπως ἄν,
ἢν προσφέρῃ τὴν χεῖρά τις, μὴ τοῦτό μ' ἐμποδίζῃ.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

εἰ νὴ Δί' ἤδη τὰς γνάϑους τούτων τις ἢ δὶς ἢ τρὶς
ἔκοψεν ὥσπερ Βουπάλου, φωνὴν ἂν οὐκ ἂν εἶχον.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

καὶ μὴν ἰδοὺ παταξάτω τις· στᾶσ' ἐγὼ παρέξω,
κοὐ μή ποτ' ἄλλη σου κύων τῶν ὄρχεων λάβηται.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

εἰ μὴ σιωπήσει, ϑενὼν ἐκκοκκιῶ τὸ γῆρας.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

ἅπτου μόνον Στρατυλλίδος τῷ δακτύλῳ προσελϑών.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

τί δ', ἢν σποδῶ τοῖς κονδύλοις, τί μ' ἐργάσει τὸ δεινόν;

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

βρύκουσά σου τοὺς πλεύμονας καὶ τἄντερ' ἐξαμήσω.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

οὐκ ἔστ' ἀνὴρ Εὐριπίδου σοφώτερος ποιητής·
οὐδὲν γὰρ ὧδε ϑρέμμ' ἀναιδές ἐστιν ὡς γυναῖκες.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

αἰρώμεϑ' ἡμεῖς ϑοὔδατος τὴν κάλπιν, ὦ 'Ροδίππη.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

τί δ', ὦ ϑεοῖς ἐχϑρά, σὺ δεῦρ' ὕδωρ ἔχουσ' ἀφίκου;

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

τί δαὶ σὺ πῦρ, ὦ τύμβ', ἔχων; ὡς σαυτὸν ἐμπυρεύσων;

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

ἐγὼ μέν, ἵνα νήσας πυρὰν τὰς σὰς φίλας ὑφάψω.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

ἐγὼ δέ γ', ἵνα τὴν σὴν πυρὰν τούτῳ κατασβέσαιμι.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

τοὐμὸν σὺ πῦρ κατασβέσεις;

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

τοὔργον τάχ' αὐτὸ δείξει.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

οὐκ οἶδά σ' εἰ τῇδ' ὡς ἔχω τῇ λαμπάδι σταϑεύσω.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

εἰ ῥύμμα τυγχάνεις ἔχων, λουτρὸν ἐγὼ παρέξω.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

ἐμοὶ σὺ λουτρόν, ὦ σαπρά;

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

καὶ ταῦτα νυμφικόν γ'

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

ἤκουσας αὐτῆς τοῦ ϑράσους;

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

ἐλευϑέρα γάρ εἰμ.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

σχήσω σ' ἐγὼ τῆς νῦν βοῆς.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

ἀλλ' οὐκ ἔϑ' ἡλιάζ[ει]

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

ἔμπρησον αὐτῆς τὰς κόμας.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

σὸν ἔργον, ὠχελῶ[ε]

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

οἴμοι τάλας.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

μῶν ϑερμὸν ἦν;

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

ποῖ ϑερμόν; οὐ παύσει; τί δρᾷς;

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

ἄρδω σ', ὅπως ἂν βλαστάνῃς.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

ἀλλ' αὗός εἰμ' ἤδη τρέμων.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

οὐκοῦν ἐπειδὴ πῦρ ἔχεις, σὺ χλιανεῖς σεαυτό[ν]

ΠΡΟΒΟΥΛΟΣ.

ἆρ' ἐξέλαμψε τῶν γυναικῶν ἡ τρυφὴ
χὠ τυμπανισμὸς χοἰ πυκνοὶ Σαβάζιοι,
ὅ τ' Ἀδωνιασμὸς οὗτος οὑπὶ τῶν τεγῶν,
οὗ 'γώ ποτ' ὢν ἤκουον ἐν τἠκκλησίᾳ;
ἔλεγεν δ' ὁ μὴ ὥρασι μὲν Δημόστρατος
πλεῖν εἰς Σικελίαν, ἡ γυνὴ δ' ὀρχουμένη,
αἰαῖ Ἄδωνιν, φησίν, ὁ δὲ Δημόστρατος
ἔλεγεν ὁπλίτας καταλέγειν Ζακυνϑίων·
ἡ δ' ὑποπεπωκυῖ', ἡ γυνὴ 'πὶ τοῦ τέγους,
κόπτεσϑ' Ἄδωνιν, φησίν· ὁ δ' ἐβιάζετο
ὁ ϑεοῖσιν ἐχϑρὸς καὶ μιαρὸς Χολοζύγης.
τοιαῦτ' ἀπ' αὐτῶν ἐστιν ἀκολαστάσματα.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

τί δῆτ' ἄν, εἰ πύϑοιο καὶ τὴν τῶνδ' ὕβριν;
αἳ τἄλλα ϑ' ὑβρίκασι κἀκ τῶν καλπίδων
ἔλουσαν ἡμᾶς, ὥστε ϑαἰματίδια
σείειν πάρεστιν ὥσπερ ἐνεουρηκότας.

ΠΡΟΒΟΥΛΟΣ.

νὴ τὸν Ποσειδῶ τὸν ἁλυκόν, δίκαιά γε.
ὅταν γὰρ αὐτοὶ ξυμπονηρευώμεϑα
ταῖσιν γυναιξὶ καὶ διδάσκωμεν τρυφᾶν,
τοιαῦτ' ἀπ' αὐτῶν βλαστάνει βουλεύματα.
οἳ λέγομεν ἐν τῶν δημιουργῶν τοιαδί·
ὦ χρυσοχόε, τὸν ὅρμον ὃν ἐπεσκεύασας,
ὀρχουμένης μου τῆς γυναικὸς ἑσπέρας
ἡ βάλανος ἐκπέπτωκεν ἐκ τοῦ τρήματος.
ἐμοὶ μὲν οὖν ἔστ' ἐς Σαλαμῖνα πλευστέα·
σὺ δ' ἢν σχολάσῃς, πάσῃ τέχνῃ πρὸς ἑσπέρ[αν]
ἐλϑὼν ἐκείνῃ τὴν βάλανον ἐνάρμοσον.
ἕτερος δέ τις πρὸς σκυτοτόμον ταδὶ λέγει
νεανίαν καὶ πέος ἔχοντ' οὐ παιδικόν·

ὦ σκυτοτόμε, τῆς μου γυναικὸς τοὺς πόδας,
τὸ δακτυλίδιον πιέζει τὸ ζυγὸν,
ἅθ' ἁπαλὸν ὄν· τοῦτ' οὖν σὺ τῆς μεσημβρίας
ἐλθὼν χάλασον, ὅπως ἂν εὐρυτέρως ἔχῃ.
τοιαῦτ' ἀπήντηκ' εἰς τοιαυτὶ πράγματα,
ὅτε γ' ὢν ἐγὼ πρόβουλος, ἐκπορίσας ὅπως
κωπῆς ἔσονται, τἀργυρίου νυνὶ δέον,
ὑπὸ τῶν γυναικῶν ἀποκέκλεισμαι τῶν πυλῶν.
ἀλλ' οὐδὲν ἔργον ἑστάναι. φέρε τοὺς μοχλοὺς
ὅπως ἂν αὐτὰς τῆς ὕβρεως ἐγὼ σχέθω.
τί κέχηνας, ὦ δύστηνε; ποῖ δ' αὖ σὺ βλέπεις,
οὐδὲν ποιῶν ἀλλ' ἢ καπηλεῖον σκοπῶν;
οὐχ ὑποβαλόντες τοὺς μοχλοὺς ὑπὸ τὰς πύλας
ἐντεῦθεν ἐκμοχλεύσετ'; ἐνθενδὶ δ' ἐγὼ
ξυνεκμοχλεύσω.

ΛΥΣΙΣΤΡΑΤΗ.

μηδὲν ἐκμοχλεύετε·
ἐξέρχομαι γὰρ αὐτομάτη. τί δεῖ μοχλῶν;
οὐ γὰρ μοχλῶν δεῖ μᾶλλον ἢ νοῦ καὶ φρενῶν.

ΠΡΟΒΟΥΛΟΣ.

ἄληθες, ὦ μιαρὰ σύ; ποῦ 'σθ' ὁ τοξότης;
ξυλλάμβαν' αὐτὴν κὠπίσω τὼ χεῖρε δεῖ.

ΛΥΣΙΣΤΡΑΤΗ.

εἴ τἄρα νὴ τὴν Ἄρτεμιν τὴν χεῖρά μοι
ἄκραν προσοίσει, δημόσιος ὢν κλαύσεται.

ΠΡΟΒΟΥΛΟΣ.

ἔδεισας, οὗτος; οὐ ξυναρπάσει μέσην
καὶ σὺ μετὰ τούτου κἀνύσαντε δήσετον;

ΣΤΡΑΤΥΛΛΙΣ.

εἴ τἄρα νὴ τὴν Πάνδροσον ταύτῃ μόνον
τὴν χεῖρ' ἐπιβαλεῖς, ἐπιχεσεῖ πατούμενος.

ΠΡΟΒΟΥΛΟΣ.

ἰδού γ' ἐπιχεσεῖ. ποῦ 'στιν ἕτερος τοξότης;
ταύτην προτέραν ξύνδησον, ὁτιὴ καὶ λαλεῖ.

ΛΥΣΙΣΤΡΑΤΗ.

εἴ τἄρα νὴ τὴν Φωσφόρον τὴν χεῖρ' ἄκραν
ταύτῃ προσοίσεις, κύαθον αἰτήσεις τάχα.

ΠΡΟΒΟΥΛΟΣ.

τουτὶ τί ἦν; ποῦ τοξότης; ταύτης ἔχου.
παύσω τιν' ὑμῶν τῆσδ' ἐγὼ τῆς ἐξόδου.

ΣΤΡΑΤΥΛΛΙΣ.

εἴ τἄρα νὴ τὴν Ταυροπόλον ταύτῃ πρόσει,
ἐκκοκκιῶ σου τὰς στενοκωκύτους τρίχας.

ΠΡΟΒΟΥΛΟΣ.

οἴμοι κακοδαίμων· ἐπιλέλοιφ' ὁ τοξότης.
ἀτὰρ οὐ γυναικῶν οὐδέποθ' ἔσθ' ἡττητέα
ἡμῖν· ὁμόσε χωρῶμεν αὐταῖς, ὦ Σκύθαι,
ξυνταξάμενοι.

ΛΥΣΙΣΤΡΑΤΗ.

νὴ τὼ θεὼ γνώσεσθ' ἄρα
ὅτι καὶ παρ' ἡμῖν εἰσι τέτταρες λόχοι
μαχίμων γυναικῶν ἔνδον ἐξωπλισμένων.

ΠΡΟΒΟΥΛΟΣ.

ἀποστρέφετε τὰς χεῖρας αὐτῶν, ὦ Σκύθαι.

ΛΥΣΙΣΤΡΑΤΗ.

ὦ ξύμμαχοι γυναῖκες, ἐκθεῖτ' ἔνδοθεν,
ὦ σπερμαγοραιολεκιθολαχανοπώλιδες,
ὦ σκοροδοπανδοκευτριαρτοπώλιδες,
οὐχ ἕλξετ', οὐ παιήσετ', οὐκ ἀρήξετε;
οὐ λοιδορήσετ', οὐκ ἀναισχυντήσετε;
παύεσθ', ἐπαναχωρεῖτε, μὴ σκυλεύετε.

ΠΡΟΒΟΥΛΟΣ.

οἴμ' ὡς κακῶς πέπραγέ μου τὸ τοξικόν.

ΛΥΣΙΣΤΡΑΤΗ.

ἀλλὰ τί γὰρ ᾤου; πότερον ἐπὶ δούλας τινὰς
ἥκειν ἐνόμισας, ἢ γυναιξὶν οὐκ οἴει
χολὴν ἐνεῖναι;

ΠΡΟΒΟΥΛΟΣ.

νὴ τὸν Ἀπόλλω καὶ μάλα
πολλήν γ', ἐάνπερ πλησίον κάπηλος ᾖ.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

ὦ πόλλ' ἀναλώσας ἔπη, πρόβουλε τῆσδε τῆς γῆς,
τί τοῖσδε σαυτὸν ἐς λόγον τοῖς θηρίοις συνά-
πτεις;
οὐκ οἶσθα λουτρὸν οἷον αἵδ' ἡμᾶς ἔλουσαν ἄρτι
ἐν τοῖσιν ἱματιδίοις, καὶ ταῦτ' ἄνευ κονίας;

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

ἀλλ', ὦ μέλ', οὐ χρὴ προσφέρειν τοῖς πλησίοι-
σιν εἰκῇ
τὴν χεῖρ'· ἐὰν δὲ τοῦτο δρᾷς, κυλοιδιᾶν ἀνάγκη.
ἐπεὶ θέλω 'γὼ σωφρόνως ὥσπερ κόρη καθῆσθαι,
λυποῦσα μηδέν' ἐνθαδί, κινοῦσα μηδὲ κάρφος,
ἢν μή τις ὥσπερ σφηκιὰν βλίττῃ με κἀρεθίζῃ.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

ὦ Ζεῦ, τί ποτε χρησόμεθα τοῖσδε τοῖς κνω-
δάλοις;
οὐ γὰρ ἔστ' ἀνεκτὰ τάδ', ἀλλὰ βασανιστέον
τόδε σοι τὸ πάθος μετ' ἐμοῦ
ὅ τι βουλόμεναί ποτε τὴν
Κραναὰν κατέλαβον,
ἐφ' ὅ τι τε μεγαλόπετρον, ἄβατον ἀκρόπολιν,
ἱερὸν τέμενος.
ἀλλ' ἀνερώτα, καὶ μὴ πείθου, καὶ πρόσφερε
πάντας ἐλέγχους.
ὡς αἰσχρὸν ἀκωδώνιστον ἐᾶν τὸ τοιοῦτον πρᾶ-
γμα μεθέντας.

ΠΡΟΒΟΥΛΟΣ.

καὶ μὴν αὐτῶν τοῦτ' ἐπιθυμῶ νὴ τὸν Δία
πρῶτα πυθέσθαι,
ὅ τι βουλόμεναι τὴν πόλιν ἡμῶν ἀπεκλείσατε
τοῖσι μοχλοῖσιν.

ΛΥΣΙΣΤΡΑΤΗ.

ἵνα τἀργύριον σῶν παρέχοιμεν καὶ μὴ πολε-
μοῖτε δι' αὐτό.

ΠΡΟΒΟΥΛΟΣ.

διὰ τἀργύριον πολεμοῦμεν γάρ;

ΛΥΣΙΣΤΡΑΤΗ.

καὶ τἄλλα γε πάντ' ἐκυκήθη.
ἵνα γὰρ Πείσανδρος ἔχοι κλέπτειν χοἰ ταῖς ἀρ-
χαῖς ἐπέχοντες,
ἀεί τινα κορκορυγὴν ἐκύκων. οἱ δ' οὖν τοῦδ'
οὕνεκα δρώντων
ὅ τι βούλονται· τὸ γὰρ ἀργύριον τοῦτ' οὐκέτι
μὴ καθέλωσιν.

ΠΡΟΒΟΥΛΟΣ.

ἀλλὰ τί δράσεις;

ΛΥΣΙΣΤΡΑΤΗ.

τοῦτό μ' ἐρωτᾷς; ἡμεῖς ταμιεύσομεν αὐτό.

476—483. = 541—548.

ΠΡΟΒΟΥΛΟΣ.
ὑμεῖς ταμιεύσετε τἀργύριον;

ΛΥΣΙΣΤΡΑΤΗ.
τί δὲ δεινὸν τοῦτο νομίζεις;
οὐ καὶ τἄνδον χρήματα πάντως ἡμεῖς ταμιεύομεν ὑμῖν;

ΠΡΟΒΟΥΛΟΣ.
ἀλλ' οὐ ταυτόν.

ΛΥΣΙΣΤΡΑΤΗ.
πῶς οὐ ταυτόν;

ΠΡΟΒΟΥΛΟΣ.
πολεμητέον ἔστ' ἀπὸ τούτου.

ΛΥΣΙΣΤΡΑΤΗ.
ἀλλ' οὐδὲν δεῖ πρῶτον πολεμεῖν.

ΠΡΟΒΟΥΛΟΣ.
πῶς γὰρ σωθησόμεθ' ἄλλως;

ΛΥΣΙΣΤΡΑΤΗ.
ἡμεῖς ὑμᾶς σώσομεν.

ΠΡΟΒΟΥΛΟΣ.
ὑμεῖς;

ΛΥΣΙΣΤΡΑΤΗ.
ἡμεῖς μέντοι.

ΠΡΟΒΟΥΛΟΣ.
σχέτλιόν γε.

ΛΥΣΙΣΤΡΑΤΗ.
ὡς σωθήσει, κἂν μὴ βούλῃ.

ΠΡΟΒΟΥΛΟΣ.
δεινόν γε λέγεις.

ΛΥΣΙΣΤΡΑΤΗ.
ἀγανακτεῖς·
ἀλλὰ ποιητέα ταῦτ' ἐστὶν ὅμως.

ΠΡΟΒΟΥΛΟΣ.
νὴ τὴν Δήμητρ' ἄδικόν γε.

ΛΥΣΙΣΤΡΑΤΗ.
σωστέον, ὦ τᾶν.

ΠΡΟΒΟΥΛΟΣ.
κεἰ μὴ δέομαι;

ΛΥΣΙΣΤΡΑΤΗ.
τοὐδ' οὕνεκα καὶ πολὺ μᾶλλον.

ΠΡΟΒΟΥΛΟΣ.
ὑμῖν δὲ πόθεν περὶ τοῦ πολέμου τῆς τ' εἰρήνης ἐμέλησεν;

ΛΥΣΙΣΤΡΑΤΗ.
ἡμεῖς φράσομεν.

ΠΡΟΒΟΥΛΟΣ.
λέγε δὴ ταχέως, ἵνα μὴ κλάῃς.

ΛΥΣΙΣΤΡΑΤΗ.
ἀκροῶ δή,
καὶ τὰς χεῖρας πειρῶ κατέχειν.

ΠΡΟΒΟΥΛΟΣ.
ἀλλ' οὐ δύναμαι· χαλεπὸν γὰρ
ὑπὸ τῆς ὀργῆς αὐτὰς ἴσχειν.

ΛΥΣΙΣΤΡΑΤΗ.
κλαύσει τοίνυν πολὺ μᾶλλον.

ΠΡΟΒΟΥΛΟΣ.
τοῦτο μὲν, ὦ γραῦ, σαυτῇ κρώξαις· σὺ δέ μοι λέγε.

ΛΥΣΙΣΤΡΑΤΗ.
ταῦτα ποιήσω.
ἡμεῖς τὸν μὲν πρότερον πόλεμον καὶ τὸν χρόνον ἠνεχόμεσθα
ὑπὸ σωφροσύνης τῆς ἡμετέρας, τῶν ἀνδ[...] ἅττ' ἐποιεῖτε.
οὐ γὰρ γρύζειν εἰᾶθ' ἡμᾶς. κᾆτ' οὐκ ἠρέ[...] γ' ἡμᾶς.
ἀλλ' ᾐσθανόμεσθα καλῶς ὑμῶν· καὶ πο[...] ἔνδον ἂν οὖσαι
ἠκούσαμεν ἄν τι κακῶς ὑμᾶς βουλευσαμ[...] μέγα πρᾶγμα·
εἶτ' ἀλγοῦσαι τἄνδοθεν ὑμᾶς ἐπανηρόμεθ[...] γελάσασαι,
τί βεβούλευται περὶ τῶν σπονδῶν ἐν τῇ [...] παραγράψαι
ἐν τῷ δήμῳ τήμερον ὑμῖν; τί δέ σοι ταῦ[...] δ' ὃς ἂν ἀνήρ,
οὐ σιγήσει; κἀγὼ 'σίγων.

ΓΥΝΗ.
ἀλλ' οὐκ ἂν ἐγώ ποτ' ἐσ[...]

ΠΡΟΒΟΥΛΟΣ.
κἂν ᾤμωξάς γ', εἰ μὴ 'σίγας.

ΛΥΣΙΣΤΡΑΤΗ.
τοιγὰρ ἔγωγ' ἔνδον ἐσ[...]
ἕτερόν τι πονηρότερον δήπου βούλευμ' ἐπ[...]σμεθ' ἂν ὑμῶν·
εἶτ' ἠρόμεθ' ἄν· πῶς ταῦτ', ὦνερ, διαπρά[...] ὧδ' ἀνοήτως;
ὁ δέ μ' εὐθὺς ὑποβλέψας ἂν ἔφασκ', εἰ μ[...] στήμονα νήσω,
ὀτοτύξεσθαι μακρὰ τὴν κεφαλήν· πόλεμο[...] ἄνδρεσσι μελήσει.

ΠΡΟΒΟΥΛΟΣ.
ὀρθῶς γε λέγων νὴ Δί' ἐκεῖνος.

ΛΥΣΙΣΤΡΑΤΗ.
πῶς ὀρθῶς, ὦ κακόδα[...]
εἰ μηδὲ κακῶς βουλευομένοις ἐξῆν ὑμῖ[...] θέσθαι;
ὅτε δὴ δ' ὑμῶν ἐν ταῖσιν ὁδοῖς φανερῶς ἠ[...] μεν ἤδη,
οὐκ ἔστιν ἀνὴρ ἐν τῇ χώρᾳ μὰ Δί' οὐ[...] ἔσθ' ἕτερός τις·
μετὰ ταῦθ' ἡμῖν εὐθὺς ἔδοξεν σῶσαι τὴ[...]λάδα κοινῇ
ταῖσι γυναιξὶν συλλεχθείσαις. ποῖ γὰρ κα[...] ἀναμεῖναι;
ἢν οὖν ἡμῶν χρηστὰ λεγουσῶν ἐθελήσητ' [...]κροᾶσθαι
κἀντισιωπᾶν ὥσπερ χἠμεῖς, ἐπανορθώσαι[...] ὑμᾶς.

ΠΡΟΒΟΥΛΟΣ.
ὑμεῖς ἡμᾶς; δεινόν γε λέγεις κοὐ τλητὸν ἔμοιγ[...]

ΛΥΣΙΣΤΡΑΤΗ.
[...]

ΠΡΟΒΟΥΛΟΣ.
σοί γ', ὦ κατάρατε, σιωπῶ 'γώ, καὶ ταῦτ[...]λυμμα φορούσῃ
περὶ τὴν κεφαλήν; μή νυν ζῴην.

ΛΥΣΙΣΤΡΑΤΗ.
ἀλλ' εἰ τοῦτ' ἐμπόδιο[...]
παρ' ἐμοῦ τουτὶ τὸ κάλυμμα λαβὼν
ἔχε καὶ περίθου περὶ τὴν κεφαλήν,
κᾆτα σιώπα,

καὶ τοῦτον τὸν καλαθίσκον·
κᾆτα ξαίνειν συζωσάμενος,
κυάμους τρώγων·
πόλεμος δὲ γυναιξὶ μελήσει.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

αἴρεσθ', ὦ γυναῖκες, ἀπὸ τῶν καλπίδων, ὅπως ἂν
ἐν τῷ μέρει χἠμεῖς τι ταῖς φίλαισι συλλάβωμεν.
ἐγὼ γὰρ * οὔποτε κάμοιμ' ἂν ὀρχουμένη,
οὐδὲ τὰ γόνατα κόπος ἕλοι καματηρός μου.
ἐθέλω δ' ἐπὶ πᾶν ἰέναι
μετὰ τῶνδ' ἀρετῆς ἕνεχ' αἷς
ἔνι φύσις, ἔνι χάρις,
ἔνι θράσος, ἔνι δὲ σοφὸν, ἔνι δὲ φιλόπολις
ἀρετὴ φρόνιμος.
ἀλλ', ὦ τηθῶν ἀνδρειοτάτη καὶ μητριδίων ἀκαληφῶν,
χωρεῖτ' ὀργῇ καὶ μὴ τέγγεσθ'· ἔτι γὰρ νῦν οὔρια θεῖτε.

ΛΥΣΙΣΤΡΑΤΗ.

ἀλλ' ἤνπερ ὅ τε γλυκύθυμος Ἔρως χἠ Κυπρογένει' Ἀφροδίτη
ἵμερον ἡμῶν κατὰ τῶν κόλπων καὶ τῶν μηρῶν καταπνεύσῃ,
κᾆτ' ἐντέξῃ τέτανον τερπνὸν τοῖς ἀνδράσι καὶ ῥοπαλισμοὺς,
οἶμαί ποτε Λυσιμάχας ἡμᾶς ἐν τοῖς Ἕλλησι καλεῖσθαι.

ΠΡΟΒΟΥΛΟΣ.

τί ποιησάσας;

ΛΥΣΙΣΤΡΑΤΗ.

ἢν παύσωμεν πρώτιστον μὲν ξὺν ὅπλοισιν
ἀγοράζοντας καὶ μαινομένους.

ΓΥΝΗ.

νὴ τὴν Παφίαν Ἀφροδίτην.

ΛΥΣΙΣΤΡΑΤΗ.

νῦν μὲν γὰρ δὴ καὶ ταῖσι χύτραις καὶ τοῖς λαχάνοισιν ὁμοίως
περιέρχονται κατὰ τὴν ἀγορὰν ξὺν ὅπλοις, ὥσπερ Κορύβαντες.

ΠΡΟΒΟΥΛΟΣ.

νὴ Δία· χρὴ γὰρ τοὺς ἀνδρείους.

ΛΥΣΙΣΤΡΑΤΗ.

καὶ μὴν τό γε πρᾶγμα γέλοιον,
ὅταν ἀσπίδ' ἔχων καὶ Γοργόνα τις κᾆτ' ὠνῆται κορακίνους.

ΓΥΝΗ.

νὴ Δί' ἐγὼ γοῦν ἄνδρα κομήτην φυλαρχοῦντ' εἶδον ἐφ' ἵππου
ἐς τὸν χαλκοῦν ἐμβαλλόμενον πῖλον λέκιθον παρὰ γραός·
ἕτερος δ' αὖ Θρᾷξ πέλτην σείων κἀκόντιον, ὥσπερ ὁ Τηρεὺς,
ἐδεδίσκετο τὴν ἰσχαδόπωλιν καὶ τὰς δρυπέπεις κατέπινε.

ΠΡΟΒΟΥΛΟΣ.

πῶς οὖν ὑμεῖς δυναταὶ παῦσαι τεταραγμένα πράγματα πολλὰ
ἐν ταῖς χώραις καὶ διαλῦσαι;

ΛΥΣΙΣΤΡΑΤΗ.

φαύλως πάνυ.

ΠΡΟΒΟΥΛΟΣ.

πῶς; ἀπόδειξον.

ΛΥΣΙΣΤΡΑΤΗ.

ὥσπερ κλωστῆρ', ὅταν ἡμῖν ᾖ τεταραγμένος, ὧδε λαβοῦσαι,
ὑπενεγκοῦσαι τοῖσιν ἀτράκτοις τὸ μὲν ἐνταυθὶ, τὸ δ' ἐκεῖσε,
οὕτως καὶ τὸν πόλεμον τοῦτον διαλύσομεν, ἤν τις ἐάσῃ,
διενεγκοῦσαι διὰ πρεσβειῶν τὸ μὲν ἐνταυθὶ, τὸ δ' ἐκεῖσε.

ΠΡΟΒΟΥΛΟΣ.

ἐξ ἐρίων δὴ καὶ κλωστήρων καὶ ἀτράκτων πράγματα δεινὰ
παύσειν οἴεσθ', ὦ ἀνόητοι;

ΛΥΣΙΣΤΡΑΤΗ.

κἂν ὑμῖν γ' εἴ τις ἐνῆν νοῦς,
ἐκ τῶν ἐρίων τῶν ἡμετέρων ἐπολιτεύεσθ' ἂν ἅπαντα.

ΠΡΟΒΟΥΛΟΣ.

πῶς δή; φέρ' ἴδω.

ΛΥΣΙΣΤΡΑΤΗ.

πρῶτον μὲν ἐχρῆν, ὥσπερ πόκον ἐν βαλανείῳ,
ἐκπλύναντας τὴν οἰσπώτην, ἐκ τῆς πόλεως ἐπικλινεῖς
ἐκραβδίζειν τοὺς μοχθηροὺς καὶ τοὺς τριβόλους ἀπολέξαι,
καὶ τούς γε συνισταμένους τούτους καὶ τοὺς πιλοῦντας ἑαυτοὺς
ἐπὶ ταῖς ἀρχαῖσι διαξῆναι καὶ τὰς κεφαλὰς ἀποτῖλαι·
εἶτα ξαίνειν εἰς καλαθίσκον κοινὴν εὔνοιαν ἅπαντας,
καταμιγνύντας τούς τε μετοίκους κεἴ τις ξένος ἢ φίλος ὑμῖν,
κεἴ τις ὀφείλει τῷ δημοσίῳ, καὶ τούτους ἐγκαταμῖξαι·
καὶ νὴ Δία τάς γε πόλεις, ὁπόσαι τῆς γῆς τῆσδ' εἰσὶν ἄποικοι,
διαγιγνώσκειν ὅτι ταῦθ' ἡμῖν ὥσπερ τὰ κατάγματα κεῖται
χωρὶς ἕκαστον· κᾆτ' ἀπὸ τούτων πάντων τὸ κάταγμα λαβόντας
δεῦρο ξυνάγειν καὶ συναθροίζειν εἰς ἓν, κἄπειτα ποιῆσαι
τολύπην μεγάλην, κᾆτ' ἐκ ταύτης τῷ Δήμῳ χλαῖναν ὑφῆναι.

ΠΡΟΒΟΥΛΟΣ.

οὔκουν δεινὸν ταυτὶ ταύτας ῥαβδίζειν καὶ τολυπεύειν,
αἷς οὐδὲ μετῆν πάνυ τοῦ πολέμου;

ΛΥΣΙΣΤΡΑΤΗ.

καὶ μὴν, ὦ παγκατάρατε,
πλεῖν ἢ 'κ διπλοῦν αὐτὸν φέρομεν. πρώτιστον μέν γε τεκοῦσαι
κἀκπέμψασαι παῖδας ὁπλίτας.

ΠΡΟΒΟΥΛΟΣ.

σίγα, μὴ μνησικακήσῃς.

*ΛΥΣΙΣΤΡΑΤΗ.*

εἶθ' ἡνίκα χρῆν εὐφρανθῆναι καὶ τῆς ἥβης ἀπολαῦσαι,
μονοκοιτοῦμεν διὰ τὰς στρατιάς. καὶ θἡμέτερον μὲν ἐᾶτε,
περὶ τῶν δὲ κορῶν ἐν τοῖς θαλάμοις γηρασκουσῶν ἀνιῶμαι.

*ΠΡΟΒΟΥΛΟΣ.*

οὔκουν χἄνδρες γηράσκουσιν;

*ΛΥΣΙΣΤΡΑΤΗ.*

μὰ Δί', ἀλλ' οὐκ εἶπας ὅμοιον.
ὁ μὲν ἥκων γάρ, κἂν ᾖ πολιός, ταχὺ παῖδα κόρην γεγάμηκεν·
τῆς δὲ γυναικὸς μικρὸς ὁ καιρός, κἂν τούτου μὴ 'πιλάβηται,
οὐδεὶς ἐθέλει γῆμαι ταύτην, ὀττευομένη δὲ κάθηται.

*ΠΡΟΒΟΥΛΟΣ.*

ἀλλ' ὅστις ἔτι στῦσαι δυνατὸς

*ΛΥΣΙΣΤΡΑΤΗ.*

σὺ δὲ δὴ τί μαθὼν οὐκ ἀποθνήσκεις;
χωρίον ἔσται· σορὸν ὠνήσει·
μελιτοῦτταν ἐγὼ καὶ δὴ μάξω.
λαβὲ ταυτὶ καὶ στεφάνωσαι.

*ΓΥΝΗ Α.*

καὶ ταυτασὶ δέξαι παρ' ἐμοῦ.

*ΓΥΝΗ Β.*

καὶ τουτονγὶ λαβὲ τὸν στέφανον.

*ΛΥΣΙΣΤΡΑΤΗ.*

τοῦ δεῖ; τί ποθεῖς; χώρει 'ς τὴν ναῦν·
ὁ Χάρων σε καλεῖ,
σὺ δὲ κωλύεις ἀνάγεσθαι.

*ΠΡΟΒΟΥΛΟΣ.*

εἶτ' οὐχὶ ταῦτα δεινὰ πάσχειν ἔστ' ἐμέ;
νὴ τὸν Δί' ἀλλὰ τοῖς προβούλοις ἄντικρυς
ἐμαυτὸν ἐπιδείξω βαδίζων ὡς ἔχω.

*ΛΥΣΙΣΤΡΑΤΗ.*

μῶν ἐγκαλεῖς ὅτι οὐχὶ προὐθέμεσθά σε;
ἀλλ' ἐς τρίτην γοῦν ἡμέραν σοὶ πρῷ πάνυ
ἥξει παρ' ἡμῶν τὰ τρίτ' ἐπεσκευασμένα.

*ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.*

οὐκ ἔτ' ἔργον ἐγκαθεύδειν, ὅστις ἔστ' ἐλεύθερος·
ἀλλ' ἐπαποδυώμεθ', ἄνδρες, τουτῳὶ τῷ πράγματι.
ἤδη γὰρ ὄζειν ταδὶ μειζόνων καὶ πλειόνων
πραγμάτων μοι δοκεῖ,
καὶ μάλιστ' ὀσφραίνομαι τῆς Ἱππίου τυραννίδος·
καὶ πάνυ δέδοικα μὴ τῶν Λακώνων τινὲς
δεῦρο συνεληλυθότες ἄνδρες ἐς Κλεισθένους
τὰς θεοῖς ἐχθρὰς γυναῖκας ἐξεπαίρωσιν δόλῳ
καταλαβεῖν τὰ χρήμαθ' ἡμῶν τόν τε μισθόν,
ἔνθεν ἔζων ἐγώ.
δεινὰ γάρ τοι τάσδε γ' ἤδη τοὺς πολίτας νουθετεῖν,
καὶ λαλεῖν γυναῖκας οὔσας ἀσπίδος χαλκῆς πέρι,
καὶ διαλλάττειν πρὸς ἡμᾶς ἀνδράσιν Λακωνικοῖς,
οἷσι πιστὸν οὐδέν, εἰ μή περ λύκῳ κεχηνότι.
ἀλλὰ ταῦθ' ὕφηναν ἡμῖν, ἄνδρες, ἐπὶ τυραννίδι.

614 — 635. = 636 — 657.

ἀλλ' ἐμοῦ μὲν οὐ τυραννεύσουσ', ἐπεὶ φυ[...]ξομαι,
καὶ φορήσω τὸ ξίφος τὸ λοιπὸν ἐν μύ[...] κλαδί,
ἀγοράσω τ' ἐν τοῖς ὅπλοις ἑξῆς Ἀριστογείτον[...]
ὧδέ θ' ἑστήξω παρ' αὐτόν· αὐτὸ γάρ μοι [...]γνεται
τῆς θεοῖς ἐχθρᾶς πατάξαι τῆσδε γραὸς [...] γνάθον.

*ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.*

οὐ γὰρ εἰσιόντας οἴκαδ' ἡ τεκοῦσα γνώσεται[...]
ἀλλὰ θώμεσθ', ὦ φίλαι γρᾶες, ταδὶ πρ[...] χαμαί.
ἡμεῖς γάρ, ὦ πάντες ἀστοί, λόγων κατάρχ[...]
τῇ πόλει χρησίμων·
εἰκότως, ἐπεὶ χλιδῶσαν ἀγλαῶς ἔθρεψέ μ[...]
ἑπτὰ μὲν ἔτη γεγῶσ' εὐθὺς ἠρρηφόρουν·
εἶτ' ἀλετρὶς ἢ δεκέτις οὖσα τἀρχηγέτι·
κᾆτ' ἔχουσα τὸν κροκωτὸν ἄρκτος ἢ Β[...]ρωνίοις·
κἀκανηφόρουν ποτ' οὖσα παῖς καλή, 'χουσ'
ἰσχάδων ὁρμαθόν·
ἆρα προὐφείλω τι χρηστὸν τῇ πόλει παραιν[...]
εἰ δ' ἐγὼ γυνὴ πέφυκα, τοῦτο μὴ φθον[...] μοι,
ἢν ἀμείνω γ' εἰσενέγκω τῶν παρόντων [...]γμάτων.
τοὐράνου γάρ μοι μέτεστι· καὶ γὰρ ἄν[...] εἰσφέρω,
τοῖς δὲ δυστήνοις γέρουσιν οὐ μέτεσθ' [...] ἐπεὶ
τὸν ἔρανον τὸν λεγόμενον παππῷον ἐκ [...] Μηδικῶν
εἶτ' ἀναλώσαντες οὐκ ἀντεισφέρετε τὰς [...]φοράς,
ἀλλ' ὑφ' ὑμῶν διαλυθῆναι προσέτι κ[...]νεύομεν.
ἆρα γρυκτόν ἐστιν ὑμῖν; εἰ δὲ λυπήσεις τί[...]
τῷδέ γ' ἀψήκτῳ πατάξω τῷ κοθόρνῳ [...] γνάθον.

*ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.*

ταῦτ' οὖν οὐχ ὕβρις τὰ πράγματ' ἐστὶ
πολλή; κἀπιδώσειν μοι δοκεῖ τὸ χρῆμα μᾶλ[...]
ἀλλ' ἀμυντέον τὸ πρᾶγμ' ὅστις γ' ἐνόρχης [...] ἀνήρ.
ἀλλὰ τὴν ἐξωμίδ' ἐκδυώμεθ', ὡς τὸν ἄνδρα [...]
ἀνδρὸς ὄζειν εὐθύς, ἀλλ' οὐκ ἐντεθριω[...] πρέπει.
ἀλλ' ἄγετε, λυκόποδες, οἵπερ ἐπὶ Λειψύδ[...]
ἤλθομεν, ὅτ' ἦμεν ἔτι,
νῦν δεῖ, νῦν ἀνηβῆσαι πάλιν κἀναπτερῶσαι
πᾶν τὸ σῶμα κἀποσείσασθαι τὸ γῆρας τόδε.
εἰ γὰρ ἐνδώσει τις ἡμῶν ταῖσδε κἂν σμι[...] λαβήν,
οὐδὲν ἐλλείψουσιν αὗται λιπαροῦς χειρουργί[...]
ἀλλὰ καὶ ναῦς τεκτανοῦνται, κἀπιχειρήσουσ[...]
ναυμαχεῖν καὶ πλεῖν ἐφ' ἡμᾶς, ὥσπερ Ἀ[...]μισία·

658 — 681. = 682 — 705.

ἢν δ' ἐφ' ἱππικὴν τράπωνται, διαγράφω τοὺς ἱππέας.
ἱππικώτατον γάρ ἐστι χρῆμα κἄποχον γυνή.
κοὐκ ἂν ἀπολίσθοι τρέχοντος· τὰς δ' Ἀμαζόνας σκόπει,
ἃς Μίκων ἔγραψ' ἐφ' ἵππων μαχομένας τοῖς ἀνδράσιν.
ἀλλὰ τούτων χρῆν ἁπασῶν ἐς τετρημένον ξύλον
ἐγκαθαρμόσαι λαβόντας τουτονὶ τὸν αὐχένα.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

εἰ νὴ τὼ θεώ με ζωπυρήσεις,
λύσω τὴν ἐμαυτῆς ὗν ἐγὼ δή, καὶ ποιήσω
τήμερον τοὺς δημότας βωστρεῖν σ' ἐγὼ πεκτούμενον.
ἀλλὰ χἠμεῖς, ὦ γυναῖκες, θᾶττον ἐκδυώμεθα,
ὡς ἂν ὄζωμεν γυναικῶν αὐτοδὰξ ὠργισμένων.
νῦν πρὸς ἔμ' ἴτω τις, ἵνα μή ποτε φάγῃ σκόροδα, μηδὲ κυάμους μέλανας.
ὡς εἰ καὶ μόνον κακῶς ἐρεῖς, ὑπερχολῶ γάρ,
αἰετὸν τίκτοντα κάνθαρός σε μαιεύσομαι.
οὐ γὰρ ὑμῶν φροντίσαιμ' ἄν, ἢν ἐμοὶ ζῇ Λαμπιτὼ
ἥ τε Θηβαία φίλη παῖς εὐγενὴς Ἰσμηνία.
οὐ γὰρ ἔσται δύναμις, οὐδ' ἢν ἑπτάκις σὺ ψηφίσῃ,
ὅστις, ὦ δύστην', ἀπήχθου πᾶσι καὶ τοῖς γείτοσιν.
ὥστε κἀχθὲς θἠκάτῃ ποιοῦσα παιγνίαν ἐγὼ
τοῖσι παισὶ τὴν ἑταίραν ἐκάλεσ' ἐκ τῶν γειτόνων,
παῖδα χρηστὴν κἀγαπητὴν ἐκ Βοιωτῶν ἔγχελυν·
οἱ δὲ πέμψειν οὐκ ἔφασκον διὰ τὰ σὰ ψηφίσματα.
κοὐχὶ μὴ παύσησθε τῶν ψηφισμάτων τούτων, πρὶν ἂν
τοῦ σκέλους ὑμᾶς λαβών τις ἐκτραχηλίσῃ φέρων.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

ἄνασσα πράγους τοῦδε καὶ βουλεύματος,
τί μοι σκυθρωπὸς ἐξελήλυθας δόμων;

ΛΥΣΙΣΤΡΑΤΗ.

κακῶν γυναικῶν ἔργα καὶ θήλεια φρὴν
ποιεῖ μ' ἄθυμον περιπατεῖν τ' ἄνω κάτω.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

τί φῄς; τί φῄς;

ΛΥΣΙΣΤΡΑΤΗ.

ἀληθῆ, ἀληθῆ.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

τί δ' ἐστὶ δεινόν; φράζε ταῖς σαυτῆς φίλαις.

ΛΥΣΙΣΤΡΑΤΗ.

ἀλλ' αἰσχρὸν εἰπεῖν καὶ σιωπῆσαι βαρύ.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

μή νύν με κρύψῃς ὅ τι πεπόνθαμεν κακόν.

ΛΥΣΙΣΤΡΑΤΗ.

βινητιῶμεν, ἧ βράχιστον τοῦ λόγου.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

ἰὼ Ζεῦ.

ΛΥΣΙΣΤΡΑΤΗ.

τί Ζῆν' ἀϋτεῖς; ταῦτα δ' οὖν οὕτως ἔχει.
ἐγὼ μὲν οὖν αὐτὰς ἀποσχεῖν οὐκέτι
οἵα τ' ἀπὸ τῶν ἀνδρῶν· ἀποδιδράσκουσι γάρ.
τὴν μέν γε πρώτην διαλέγουσαν τὴν ὀπὴν
κατέλαβον ἣ τοῦ Πανός ἐστι ταὐλίον,
τὴν δ' ἐκ τροχιλίας αὖ κατειλυσπωμένην,
τὴν δ' αὐτομολοῦσαν, τὴν δ' ἐπὶ στρουθοῦ μίαν
ἤδη πέτεσθαι διανοουμένην κάτω
ἐς Ὀρσιλόχου χθὲς τῶν τριχῶν κατέσπασα.
πάσας τε προφάσεις ὥστ' ἀπελθεῖν οἴκαδε
ἕλκουσιν. ἤδη γοῦν τις αὐτῶν ἔρχεται.
αὕτη σὺ ποῖ θεῖς;

ΓΥΝΗ Α.

οἴκαδ' ἐλθεῖν βούλομαι.
οἴκοι γάρ ἐστιν ἔριά μοι Μιλήσια
ὑπὸ τῶν σέων κατακοπτόμενα.

ΛΥΣΙΣΤΡΑΤΗ.

ποίων σέων;
οὐκ εἶ πάλιν;

ΓΥΝΗ Α.

ἀλλ' ἥξω ταχέως νὴ τὼ θεώ,
ὅσον διαπετάσασ' ἐπὶ τῆς κλίνης μόνον.

ΛΥΣΙΣΤΡΑΤΗ.

μὴ διαπετάννυ, μηδ' ἀπέλθῃς μηδαμῇ.

ΓΥΝΗ Α.

ἀλλ' ἐῶ 'πολέσθαι τἄρι';

ΛΥΣΙΣΤΡΑΤΗ.

ἢν τούτου δέῃ.

ΓΥΝΗ Β.

τάλαιν' ἐγώ, τάλαινα τῆς ἀμόργιδος,
ἣν ἄλοπον οἴκοι καταλέλοιπ'.

ΛΥΣΙΣΤΡΑΤΗ.

αὕτη 'τέρα
ἐπὶ τὴν ἄμοργιν τὴν ἄλοπον ἐξέρχεται.
χώρει πάλιν δεῦρ'.

ΓΥΝΗ Β.

ἀλλὰ νὴ τὴν Φωσφόρον
ἔγωγ' ἀποδείρασ' αὐτίκα μάλ' ἀπέρχομαι.

ΛΥΣΙΣΤΡΑΤΗ.

μὴ μἀποδείρῃς. ἢν γὰρ ἄρξῃ τουτουί,
ἑτέρα γυνὴ ταὐτὸν ποιεῖν βουλήσεται.

ΓΥΝΗ Γ.

ὦ πότνι' Εἰλείθυι', ἐπίσχες τοῦ τόκου.
ἕως ἂν εἰς ὅσιον μόλω 'γὼ χωρίον.

ΛΥΣΙΣΤΡΑΤΗ.

τί ταῦτα ληρεῖς;

ΓΥΝΗ Γ.

αὐτίκα μάλα τέξομαι.

ΛΥΣΙΣΤΡΑΤΗ.

ἀλλ' οὐκ ἐκύεις σύ γ' ἐχθές.

ΓΥΝΗ Γ.

ἀλλὰ τήμερον.
ἀλλ' οἴκαδέ μ' ὡς τὴν μαῖαν, ὦ Λυσιστράτη,
ἀπόπεμψον ὡς τάχιστα.

ΛΥΣΙΣΤΡΑΤΗ.

τίνα λόγον λέγεις;
τί τοῦτ' ἔχεις τὸ σκληρόν;

ΓΥΝΗ Γ.

ἄρρεν παιδίον.

ΛΥΣΙΣΤΡΑΤΗ.

μὰ τὴν Ἀφροδίτην οὐ σύ γ', ἀλλ' ἢ χαλκίον
ἔχειν τι φαίνει κοῖλον· εἴσομαι δ' ἐγώ.
ὦ καταγέλαστ', ἔχουσα τὴν ἱερὰν κυνῆν
κυεῖν ἔφασκες;

ΓΥΝΗ Γ.
καὶ κυῶ γε νὴ Δία.
ΛΥΣΙΣΤΡΑΤΗ.
τί δῆτα ταύτην εἶχες;
ΓΥΝΗ Γ.
ἵνα μ' εἰ καταλάβοι
ὁ τόκος ἔτ' ἐν πόλει, τέκοιμ' ἐς τὴν κυνῆν
ἐσβᾶσα ταύτην, ὥσπερ αἱ περιστεραί.
ΛΥΣΙΣΤΡΑΤΗ.
τί λέγεις; προφασίζει· περιφανῆ τὰ πράγματα.
οὐ τἀμφιδρόμια τῆς κυνῆς αὐτοῦ μενεῖς;
ΓΥΝΗ Γ.
ἀλλ' οὐ δύναμαι 'γωγ' οὐδὲ κοιμᾶσθ' ἐν πόλει,
ἐξ οὗ τὸν ὄφιν εἶδον τὸν οἰκουρόν ποτε.
ΓΥΝΗ Δ.
ἐγὼ δ' ὑπὸ γλαυκῶν γε τάλαιν' ἀπόλλυμαι
ταῖς ἀγρυπνίαισι κακκαβιζουσῶν ἀεί.
ΛΥΣΙΣΤΡΑΤΗ.
ὦ δαιμόνιαι, παύσασθε τῶν τερατευμάτων.
ποθεῖτ' ἴσως τοὺς ἄνδρας· ἡμᾶς δ' οὐκ οἴει
ποθεῖν ἐκείνους; ἀργαλέας εὖ οἶδ' ὅτι
ἄγουσι νύκτας. ἀλλ' ἀνάσχεσθ', ὠγαθαί,
καὶ προσταλαιπωρήσατ' ἔτ' ὀλίγον χρόνον,
ὡς χρησμὸς ἡμῖν ἐστιν ἐπικρατεῖν, ἐὰν
μὴ στασιάσωμεν· ἔστι δ' ὁ χρησμὸς οὑτοσί.
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.
λέγ' αὐτὸν ἡμῖν ὅ τι λέγει.
ΛΥΣΙΣΤΡΑΤΗ.
σιγᾶτε δή.
ἀλλ' ὁπόταν πτήξωσι χελιδόνες εἰς ἕνα χῶρον,
τοὺς ἔποπας φεύγουσαι, ἀπόσχωνταί τε φαλήτων,
παῦλα κακῶν ἔσται, τὰ δ' ὑπέρτερα νέρτερα θήσει
Ζεὺς ὑψιβρεμέτης,
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.
ἐπάνω κατακεισόμεθ' ἡμεῖς;
ΛΥΣΙΣΤΡΑΤΗ.
ἢν δὲ διαστῶσιν καὶ ἀναπτῶνται πτερύγεσσιν
ἐξ ἱεροῦ ναοῖο χελιδόνες, οὐκέτι δόξει
ὄρνεον οὐδ' ὁτιοῦν καταπυγωνέστερον εἶναι.
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.
σαφής γ' ὁ χρησμὸς νὴ Δί'. ὦ πάντες θεοί,
μή νυν ἀπείπωμεν ταλαιπωρούμεναι,
ἀλλ' εἰσίωμεν. καὶ γὰρ αἰσχρὸν τουτογί,
ὦ φίλταται, τὸν χρησμὸν εἰ προδώσομεν.
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.
μῦθον
βούλομαι λέξαι τιν' ὑμῖν, ὅν ποτ' ἤκουσ'
αὐτὸς ἔτι παῖς ὤν,
οὕτως.
ἦν νεανίσκος Μελανίων τις, ὃς
φεύγων γάμον ἀφίκετ' ἐς ἐρημίαν,
κἀν τοῖς ὄρεσιν ᾤκει·
κᾆτ' ἐλαγοθήρει
πλεξάμενος ἄρκυς,
καὶ κύνα τιν' εἶχεν,
κοὐκέτι κατῆλθε πάλιν οἴκαδ' ὑπὸ μίσους.
οὕτω
τὰς γυναῖκας ἐβδελύχθη
781—804. == 805—828.

κεῖνος, ἡμεῖς τ' οὐδὲν ἧττον
τοῦ Μελανίωνος οἱ σώφρονες.
ΓΕΡΩΝ.
βούλομαί σε, γραῦ, κύσαι,
ΓΥΝΗ.
κρόμμυόν τἄρ' οὐκ ἔδει.
ΓΕΡΩΝ.
κἀνατείνας λακτίσαι.
ΓΥΝΗ.
τὴν λόχμην πολλὴν φορεῖς.
ΓΕΡΩΝ.
καὶ Μυρωνίδης γὰρ ἦν
τραχὺς ἐντεῦθεν μελάμπυ-
γός τε τοῖς ἐχθροῖς ἅπασιν,
ὣς δὲ καὶ Φορμίων.
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.
κἀγὼ
βούλομαι μῦθόν τιν' ὑμῖν ἀντιλέξαι
τῷ Μελανίωνι.
Τίμων
ἦν τις ἀΐδρυτος ἀβάτοισιν ἐν
σκώλοισι τὸ πρόσωπον περιειργμένος,
Ἐρινύων ἀπορρώξ.
οὗτος οὖν ὁ Τίμων
ᾤχεθ' ὑπὸ μίσους
πολλὰ καταρασάμενος ἀνδράσι πονηροῖς.
οὕτω
κεῖνος ὑμῶν ἀντεμίσει
τοὺς πονηροὺς ἄνδρας ἀεί,
ταῖσι δὲ γυναιξὶν ἦν φίλτατος.
ΓΥΝΗ.
τὴν γνάθον βούλει θένω;
ΓΕΡΩΝ.
μηδαμῶς· ἔδεισά γε.
ΓΥΝΗ.
ἀλλὰ κρούσω τῷ σκέλει;
ΓΕΡΩΝ.
τὸν σάκανδρον ἐκφανεῖς.
ΓΥΝΗ.
ἀλλ' ὅμως ἂν οὐκ ἴδοις
καίπερ οὔσης γραὸς ὄντ' αὐ-
τὸν κομήτην, ἀλλ' ἀπεψι-
λωμένον τῷ λύχνῳ.
ΛΥΣΙΣΤΡΑΤΗ.
ἰοὺ ἰού, γυναῖκες, ἴτε δεῦρ' ὡς ἐμὲ
ταχέως.
ΓΥΝΗ Α.
τί δ' ἔστιν; εἰπέ μοι, τίς ἡ βοή;
ΛΥΣΙΣΤΡΑΤΗ.
ἄνδρ' ἄνδρ', ὁρῶ προσιόντα παραπεπληγμένον
τοῖς τῆς Ἀφροδίτης ὀργίοις εἰλημμένον.
ΓΥΝΗ Β.
ὦ πότνια, Κύπρου καὶ Κυθήρων καὶ Πάφου
μεδέουσ', ἴθ' ὀρθὴν ἥνπερ ἔρχει τὴν ὁδόν.
ΓΥΝΗ Α.
ποῦ δ' ἐστίν, ὅστις ἐστί;
ΛΥΣΙΣΤΡΑΤΗ.
παρὰ τὸ τῆς Χλόης.
ΓΥΝΗ Α.
ὦ νὴ Δί' ἐστὶ δῆτα. τίς κἄστίν ποτε;

ΛΥΣΙΣΤΡΑΤΗ.
ὁρᾶτε· γιγνώσκει τις ὑμῶν;
ΜΥΡΡΙΝΗ.
νὴ Δία,
ἔγωγε· κἀστὶν οὑμὸς ἀνὴρ Κινησίας.
ΛΥΣΙΣΤΡΑΤΗ.
σὸν ἔργον εἴη τοῦτον ὀπτᾶν καὶ στρέφειν,
κἀξηπεροπεύειν, καὶ φιλεῖν καὶ μὴ φιλεῖν,
καὶ πάνθ' ὑπέχειν πλὴν ὧν σύνοιδεν ἡ κύλιξ.
ΜΥΡΡΙΝΗ.
ἀμέλει, ποιήσω ταῦτ' ἐγώ.
ΛΥΣΙΣΤΡΑΤΗ.
καὶ μὴν ἐγὼ
συνηπεροπεύσω παραμένουσά γ' ἐνθαδί,
καὶ ξυσταθεύσω τοῦτον. ἀλλ' ἀπέλθετε.
ΚΙΝΗΣΙΑΣ.
οἴμοι κακοδαίμων, οἷος ὁ σπασμός μ' ἔχει
χὠ τέτανος ὥσπερ ἐπὶ τροχοῦ στρεβλούμενον.
ΛΥΣΙΣΤΡΑΤΗ.
τίς οὗτος οὑντὸς τῶν φυλάκων ἑστώς;
ΚΙΝΗΣΙΑΣ.
ἐγώ.
ΛΥΣΙΣΤΡΑΤΗ.
ἀνήρ;
ΚΙΝΗΣΙΑΣ.
ἀνὴρ δῆτ'.
ΛΥΣΙΣΤΡΑΤΗ.
οὐκ ἄπει δῆτ' ἐκποδών;
ΚΙΝΗΣΙΑΣ.
σὺ δ' εἶ τίς ἡ 'κβάλλουσά μ';
ΛΥΣΙΣΤΡΑΤΗ.
ἡμεροσκόπος.
ΚΙΝΗΣΙΑΣ.
πρὸς τῶν θεῶν νυν ἐκκάλεσόν μοι Μυρρίνην.
ΛΥΣΙΣΤΡΑΤΗ.
ἰδού, καλέσω τὴν Μυρρίνην σοι; σὺ δὲ τίς εἶ;
ΚΙΝΗΣΙΑΣ.
ἀνὴρ ἐκείνης, Παιονίδης Κινησίας.
ΛΥΣΙΣΤΡΑΤΗ.
ὦ χαῖρε φίλτατ'· οὐ γὰρ ἀκλεὲς τοὔνομα
τὸ σὸν παρ' ἡμῖν ἐστιν οὐδ' ἀνώνυμον.
ἀεὶ γὰρ ἡ γυνή σ' ἔχει διὰ στόμα.
κἂν ᾠὸν ἢ μῆλον λάβῃ, Κινησίᾳ
τουτὶ γένοιτο, φησίν.
ΚΙΝΗΣΙΑΣ.
ὦ πρὸς τῶν θεῶν.
ΛΥΣΙΣΤΡΑΤΗ.
νὴ τὴν Ἀφροδίτην· κἂν περὶ ἀνδρῶν γ' ἐμπέσῃ
λόγος τις, εἴρηκ' εὐθέως ἡ σὴ γυνὴ
ὅτι λῆρός ἐστι τἄλλα πρὸς Κινησίαν.
ΚΙΝΗΣΙΑΣ.
ἴθι νυν, κάλεσον αὐτήν.
ΛΥΣΙΣΤΡΑΤΗ.
τί οὖν; δώσεις τί μοι;
ΚΙΝΗΣΙΑΣ.
ἔγωγέ σοι νὴ τὸν Δί', ἢν βούλῃ γε σύ·
ἔχω δὲ τοῦθ'· ὅπερ οὖν ἔχω, δίδωμί σοι.
ΛΥΣΙΣΤΡΑΤΗ.
φέρε νυν καλέσω καταβᾶσά σοι.
ΚΙΝΗΣΙΑΣ.
ταχύ νυν πάνυ.
ὡς οὐδεμίαν ἔχω γε τῷ βίῳ χάριν,
ἐξ οὗπερ αὐτὴ 'ξῆλθεν ἐκ τῆς οἰκίας·
ἀλλ' ἄχθομαι μὲν εἰσιών, ἔρημα δὲ
εἶναι δοκεῖ μοι πάντα, τοῖς δὲ σιτίοις
χάριν οὐδεμίαν οἶδ' ἐσθίων· ἔστυκα γάρ.
ΜΥΡΡΙΝΗ.
φιλῶ φιλῶ 'γὼ τοῦτον· ἀλλ' οὐ βούλεται
ὑπ' ἐμοῦ φιλεῖσθαι. σὺ δ' ἐμὲ τούτῳ μὴ κάλει.
ΚΙΝΗΣΙΑΣ.
ὦ γλυκύτατον Μυρρινίδιον, τί ταῦτα δρᾷς;
κατάβηθι δεῦρο.
ΜΥΡΡΙΝΗ.
μὰ Δί' ἐγὼ μὲν αὐτόσ' οὔ.
ΚΙΝΗΣΙΑΣ.
ἐμοῦ καλοῦντος οὐ καταβήσει, Μυρρίνη;
ΜΥΡΡΙΝΗ.
οὐ γὰρ δεόμενος οὐδὲν ἐκκαλεῖς ἐμέ.
ΚΙΝΗΣΙΑΣ.
ἐγὼ οὐ δεόμενος; ἐπιτετριμμένος μὲν οὖν.
ΜΥΡΡΙΝΗ.
ἄπειμι.
ΚΙΝΗΣΙΑΣ.
μὴ δῆτ', ἀλλὰ τῷ γοῦν παιδίῳ,
ὑπάκουσον· οὗτος, οὐ καλεῖς τὴν μαμμίαν;
ΠΑΙΣ.
μαμμία, μαμμία, μαμμία.
ΚΙΝΗΣΙΑΣ.
αὕτη, τί πάσχεις; οὐδ' ἐλεεῖς τὸ παιδίον
ἄλουτον ὂν κἄθηλον ἕκτην ἡμέραν;
ΜΥΡΡΙΝΗ.
ἔγωγ' ἐλεῶ δῆτ'· ἀλλ' ἀμελὴς αὐτῷ πατὴρ
ἔστιν.
ΚΙΝΗΣΙΑΣ.
κατάβηθ', ὦ δαιμονία, τῷ παιδίῳ.
ΜΥΡΡΙΝΗ.
οἷον τὸ τεκεῖν· καταβατέον. τί γὰρ πάθω;
ΚΙΝΗΣΙΑΣ.
ἐμοὶ γὰρ αὕτη καὶ νεωτέρα δοκεῖ
πολλῷ γεγενῆσθαι κἀγανώτερον βλέπειν·
χἂ δυσκολαίνει πρὸς ἐμὲ καὶ βρενθύεται,
ταῦτ' αὐτὰ δή 'σθ' ἃ κἄμ' ἐπιτρίβει τῷ πόθῳ.
ΜΥΡΡΙΝΗ.
ὦ γλυκύτατον σὺ τεκνίδιον κακοῦ πατρός,
φέρε σε φιλήσω γλυκύτατον τῇ μαμμίᾳ.
ΚΙΝΗΣΙΑΣ.
τί, ὦ πονηρά, ταῦτα ποιεῖς χἀτέραις
πείθει γυναιξί, κἀμέ τ' ἄχθεσθαι ποιεῖς
αὐτή τε λυπεῖ;
ΜΥΡΡΙΝΗ.
μὴ πρόσαγε τὴν χεῖρά μοι.
ΚΙΝΗΣΙΑΣ.
τὰ δ' ἔνδον ὄντα τἀμὰ καὶ σὰ χρήματα
χεῖρον διατίθης.
ΜΥΡΡΙΝΗ.
ὀλίγον αὐτῶν μοι μέλει.
ΚΙΝΗΣΙΑΣ.
ὀλίγον μέλει σοι τῆς κρόκης φορουμένης
ὑπὸ τῶν ἀλεκτρυόνων;
ΜΥΡΡΙΝΗ.
ἔμοιγε νὴ Δία.
ΚΙΝΗΣΙΑΣ.
τὰ τῆς Ἀφροδίτης ἱέρ' ἀνοργίαστά σοι
χρόνον τοσοῦτόν ἐστιν. οὐ βαδιεῖ πάλιν

ΜΥΡΡΙΝΗ.
μὰ Δί' οὐκ ἔγωγ', ἢν μὴ διαλλαχθῆτέ γε
καὶ τοῦ πολέμου παύσησθε.
ΚΙΝΗΣΙΑΣ.
τοιγὰρ, ἢν δοκῇ,
ποιήσομεν καὶ ταῦτα.
ΜΥΡΡΙΝΗ.
τοιγὰρ, ἢν δοκῇ,
κἄγωγ' ἄπειμ' ἐκεῖσε· νῦν δ' ἀπομώμοκα.
ΚΙΝΗΣΙΑΣ.
σὺ δ' ἀλλὰ κατακλίνηθι μετ' ἐμοῦ διὰ χρόνου.
ΜΥΡΡΙΝΗ.
οὐ δῆτα· καίτοι σ' οὐκ ἐρῶ γ' ὡς οὐ φιλῶ.
ΚΙΝΗΣΙΑΣ.
φιλεῖς; τί οὖν οὐ κατεκλίνης, ὦ Μύρριον;
ΜΥΡΡΙΝΗ.
ὦ καταγέλαστ', ἐναντίον τοῦ παιδίου;
ΚΙΝΗΣΙΑΣ.
μὰ Δί', ἀλλὰ τουτό γ' οἴκαδ', ὦ Μανῆ, φέρε.
ἰδού, τὸ μέν σοι παιδίον καὶ δὴ 'κποδών·
σὺ δ' οὐ κατακλίνει;
ΜΥΡΡΙΝΗ.
ποῦ γὰρ ἄν τις καί, τάλαν,
δράσειε τοῦθ';
ΚΙΝΗΣΙΑΣ.
ὅπου τὸ τοῦ Πανός, καλόν.
ΜΥΡΡΙΝΗ.
καὶ πῶς ἔθ' ἁγνὴ δῆτ' ἂν ἔλθοιμ' ἐς πόλιν;
ΚΙΝΗΣΙΑΣ.
κάλλιστα δήπου, λουσαμένη τῇ Κλεψύδρᾳ.
ΜΥΡΡΙΝΗ.
ἔπειτ' ὀμόσασα δῆτ' ἐπιορκήσω, τάλαν;
ΚΙΝΗΣΙΑΣ.
εἰς ἐμὲ τράποιτο· μηδὲν ὅρκου φροντίσῃς.
ΜΥΡΡΙΝΗ.
φέρε νυν ἐνέγκω κλινίδιον νῷν.
ΚΙΝΗΣΙΑΣ.
μηδαμῶς.
ἀρκεῖ χαμαὶ νῷν.
ΜΥΡΡΙΝΗ.
μὰ τὸν Ἀπόλλω μή σ' ἐγώ,
καίπερ τοιοῦτον ὄντα, κατακλινῶ χαμαί.
ΚΙΝΗΣΙΑΣ.
ἤ τοι γυνὴ φιλεῖ με, δήλη 'στὶν καλῶς.
ΜΥΡΡΙΝΗ.
ἰδού, κατάκεισ' ἀνύσας τι· κἀγὼ 'κδύομαι.
καίτοι, τὸ δεῖνα, ψίαθός ἐστ' ἐξοιστέα.
ΚΙΝΗΣΙΑΣ.
ποία ψίαθος; μή μοί γε.
ΜΥΡΡΙΝΗ.
νὴ τὴν Ἄρτεμιν,
αἰσχρὸν γὰρ ἐπὶ τόνου γε.
ΚΙΝΗΣΙΑΣ.
δός μοί νυν κύσαι.
ΜΥΡΡΙΝΗ.
ἰδού.
ΚΙΝΗΣΙΑΣ.
παπαιάξ. ἧκέ νυν ταχέως πάνυ.

ΜΥΡΡΙΝΗ.
ἰδοὺ ψίαθος· κατάκεισο, καὶ δὴ 'κδύομαι.
καίτοι, τὸ δεῖνα, προσκεφάλαιον οὐκ ἔχεις.
ΚΓΝΗΣΙΑΣ.
ἀλλ' οὐ δέομ' οὐδὲν ἔγωγε.
ΜΥΡΡΙΝΗ.
νὴ Δί' ἀλλ' ἐγώ.
ΚΙΝΗΣΙΑΣ.
ἀλλ' ἦ τὸ πέος τόδ' Ἡρακλῆς ξενίζεται.
ΜΥΡΡΙΝΗ.
ἀνίστασ', ἀναπήδησον.
ΚΙΝΗΣΙΑΣ.
ἤδη πάντ' ἔχω.
ΜΥΡΡΙΝΗ.
ἅπαντα δῆτα;
ΚΙΝΗΣΙΑΣ.
δεῦρό νυν, ὦ χρύσιον.
ΜΥΡΡΙΝΗ.
τὸ στρόφιον ἤδη λύομαι. μέμνησό νυν·
μή μ' ἐξαπατήσῃς τὰ περὶ τῶν διαλλαγῶν.
ΚΙΝΗΣΙΑΣ.
νὴ Δί' ἀπολοίμην ἄρα.
ΜΥΡΡΙΝΗ.
σισύραν οὐκ ἔχεις.
ΚΙΝΗΣΙΑΣ.
μὰ Δί' οὐ δέομαι 'γωγ', ἀλλὰ βινεῖν βούλομαι.
ΜΥΡΡΙΝΗ.
ἀμέλει, ποιήσεις τοῦτο· ταχὺ γὰρ ἔρχομαι.
ΚΙΝΗΣΙΑΣ.
ἅνθρωπος ἐπιτρίψει με διὰ τὰ στρώματα.
ΜΥΡΡΙΝΗ.
ἔπαιρε σαυτόν.
ΚΙΝΗΣΙΑΣ.
ἀλλ' ἐπῆρται τουτό γε.
ΜΥΡΡΙΝΗ.
βούλει μυρίσω σε;
ΚΙΝΗΣΙΑΣ.
μὰ τὸν Ἀπόλλω μή μέ γε.
ΜΥΡΡΙΝΗ.
νὴ τὴν Ἀφροδίτην, ἤν τε βούλῃ γ' ἤν τε μή.
ΚΙΝΗΣΙΑΣ.
εἴθ' ἐκχυθείη τὸ μύρον, ὦ Ζεῦ δέσποτα.
ΜΥΡΡΙΝΗ.
πρότεινε δὴ τὴν χεῖρα κἀλείφου λαβών.
ΚΙΝΗΣΙΑΣ.
οὐχ ἡδὺ τὸ μύρον μὰ τὸν Ἀπόλλω τουτογί,
εἰ μὴ διατριπτικόν γε, κοὐκ ὄζον γάμων.
ΜΥΡΡΙΝΗ.
τάλαιν' ἐγώ, τὸ Ῥόδιον ἤνεγκον μύρον.
ΚΙΝΗΣΙΑΣ.
ἀγαθόν· ἔα αὔτ', ὦ δαιμονία.
ΜΥΡΡΙΝΗ.
ληρεῖς ἔχων.
ΚΙΝΗΣΙΑΣ.
κάκιστ' ἀπόλοιθ' ὁ πρῶτον ἑψήσας μύρον.
ΜΥΡΡΙΝΗ.
λαβὲ τόνδε τὸν ἀλάβαστον.
ΚΙΝΗΣΙΑΣ.
ἀλλ' ἕτερον ἔχω.

ἀλλ' ὀζυρὰ κατάκεισο καὶ μή μοι φέρε
μηδέν.

ΜΥΡΡΙΝΗ.

ποιήσω ταῦτα νὴ τὴν Ἄρτεμιν.
ὑπολύομαι γοῦν. ἀλλ' ὅπως, ὦ φίλτατε,
σπονδὰς ποιεῖσθαι ψηφιεῖ.

ΚΙΝΗΣΙΑΣ.

βουλεύσομαι.
ἀπολώλεκέν με κἀπιτέτριφεν ἡ γυνή,
τά τ' ἄλλα πάντα κἀποδείρασ' οἴχεται.
οἴμοι τί πάθω; τίνα βινήσω,
τῆς καλλίστης πασῶν ψευσθείς;
πῶς ταύτην παιδοτροφήσω;
ποῦ Κυναλώπηξ;
μίσθωσόν μοι τὴν τιτθήν.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

ἐν δεινῷ γ', ὦ δύστηνε, κακῷ
τείρει ψυχὴν ἐξαπατηθείς.
κἄγωγ' οἰκτείρω σ', αἰαῖ.
ποῖος δ' ἂν νέφρος ἀντίσχοι,
ποία ψυχή, ποῖοι δ' ὄρχεις,
ποία δ' ὀσφύς; ποῖος ἂν ὄρρος
κατατεινόμενος,
καὶ μὴ βινῶν τοὺς ὄρθρους.

ΚΙΝΗΣΙΑΣ.

ὦ Ζεῦ, δεινῶν ἀντισπασμῶν.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

ταυτὶ μέντοι νυνί σ' ἐποίησ'
ἡ παμβδελυρὰ καὶ παμμυσαρά.

ΚΙΝΗΣΙΑΣ.

μὰ Δί' ἀλλὰ φίλη καὶ παγγλυκερά.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

ποία γλυκερά;
μιαρὰ μιαρὰ δῆτ'. ὦ Ζεῦ Ζεῦ,
εἴθ' αὐτήν, ὥσπερ τοὺς θωμούς,
μεγάλῳ τυφῷ καὶ πρηστῆρι
ξυστρέψας καὶ ξυγγογγυλίσας
οἴχοιο φέρων, εἶτα μεθείης,
ἡ δὲ φέροιτ' αὖ πάλιν εἰς τὴν γῆν,
κᾆτ' ἐξαίφνης
περὶ τὴν ψωλὴν περιβαίη.

ΚΗΡΥΞ.

πᾶ τᾶν Ἀσανᾶν ἐστιν ἁ γερωία
ἢ τοὶ πρυτάνιες; λῶ τι μυσίξαι νέον.

ΠΡΟΒΟΥΛΟΣ.

σὺ δ' εἶ πότερον ἄνθρωπος, ἢ Κονίσαλος;

ΚΗΡΥΞ.

κάρυξ ἐγών, ὦ κυρσάνιε, ναὶ τὼ σιὼ
ἔμολον ἀπὸ Σπάρτας περὶ τᾶν διαλλαγᾶν.

ΠΡΟΒΟΥΛΟΣ.

κᾆπειτα δόρυ δῆθ' ὑπὸ μάλης ἥκεις ἔχων;

ΚΗΡΥΞ.

νὴ τὸν Δί' οὐκ ἐγώνγα.

ΠΡΟΒΟΥΛΟΣ.

ποῖ μεταστρέφει;
τί δὴ προβάλλει τὴν χλαμύδ'; ἢ βουβωνιᾷς
ὑπὸ τῆς ὁδοῦ;

ΚΗΡΥΞ.

παλεόρ γα ναὶ τὸν Κάστορα
ὤνθρωπος.

ΠΡΟΒΟΥΛΟΣ.

ἀλλ' ἔστυκας, ὦ μιαρώτατε.

ΚΗΡΥΞ.

οὐ τὸν Δί' οὐκ ἐγώνγα· μηδ' αὖ πλαδδίη.

ΠΡΟΒΟΥΛΟΣ.

τί δ' ἐστί σοι τοδί;

ΚΗΡΥΞ.

σκυτάλα Λακωνικά.

ΠΡΟΒΟΥΛΟΣ.

εἴπερ γε χαὔτη 'στὶ σκυτάλη Λακωνική.
ἀλλ' ὡς πρὸς εἰδότα με σὺ τἀληθῆ λέγε.
τί τὰ πράγμαθ' ὑμῖν ἐστι τὰν Λακεδαίμονι;

ΚΗΡΥΞ.

ὀρσὰ Λακεδαίμων πᾶα καὶ τοὶ σύμμαχοι
ἅπαντες ἐστύκαντι· Πελλάνας δὲ δεῖ.

ΠΡΟΒΟΥΛΟΣ.

ἀπὸ τοῦ δὲ τουτὶ τὸ κακὸν ὑμῖν ἐνέπεσεν;
ἀπὸ Πανός;

ΚΗΡΥΞ.

οὐκ, ἀλλ' ἆρχε μέν, οἰῶ, Λαμπιτώ,
ἔπειτα δ' ἄλλαι ταὶ κατὰ Σπάρταν ἅμα
γυναῖκες ᾇπερ ἀπὸ μιᾶς ὑσπλαγίδος
ἀπήλαον τὼς ἄνδρας ἀπὸ τῶν ὑσσάκων.

ΠΡΟΒΟΥΛΟΣ.

πῶς οὖν ἔχετε;

ΚΗΡΥΞ.

μογίομες. ἂν γὰρ τὰν πόλιν
ᾇπερ λυχνοφορίοντες ἀποκεκύφαμες.
ταὶ γὰρ γυναῖκες οὐδὲ τῶ μύρτω σιγῆν
ἐῶντι, πρὶν ἅπαντες ἐξ ἑνὸς λόγω
σπονδὰς ποιησώμεσθα ποττὰν Ἑλλάδα.

ΠΡΟΒΟΥΛΟΣ.

τουτὶ τὸ πρᾶγμα πανταχόθεν ξυνομώμοται
ὑπὸ τῶν γυναικῶν· ἄρτι νυνὶ μανθάνω.
ἀλλ' ὡς τάχιστα φράζε περὶ διαλλαγῶν
αὐτοκράτορας πρέσβεις ἀποπέμπειν ἐνθαδί.
ἐγὼ δ' ἑτέρους ἐνθένδε τῇ βουλῇ φράσω
πρέσβεις ἑλέσθαι, τὸ πέος ἐπιδείξας τοδί.

ΚΗΡΥΞ.

ποτάομαι· κράτιστα γὰρ παντᾶ λέγεις.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

οὐδέν ἐστι θηρίον γυναικὸς ἀμαχώτερον,
οὐδὲ πῦρ, οὐδ' ὧδ' ἀναιδὴς οὐδεμία πόρδαλις.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

ταῦτα μέντοι σὺ ξυνιεὶς εἶτα πολεμεῖς ἐμοί,
ἐξόν, ὦ πονηρέ, σοὶ βέβαιον ἔμ' ἔχειν φίλην;

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

ὡς ἐγὼ μισῶν γυναῖκας οὐδέποτε παύσομαι.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

ἀλλ' ὅταν βούλῃ σύ· νυνὶ δ' οὔ σε περιόψομαι
γυμνὸν ὄνθ' οὕτως. ὁρῶ γὰρ ὡς καταγέλαστος εἶ.
ἀλλὰ τὴν ἐξωμίδ' ἐνδύσω σε προσιοῦσ' ἐγώ.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

τοῦτο μὲν μὰ τὸν Δί' οὐ πονηρὸν ἐποιήσατε·

ἀλλ' ὑπ' ὀργῆς γὰρ πονηρᾶς καὶ τότ' ἀπέδυν
ἐγώ.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

πρῶτα μὲν φαίνει γ' ἀνήρ· εἶτ' οὐ καταγέλα-
στος εἶ.
κἄν με μὴ 'λύπεις, ἐγώ σου κἂν τόδε τὸ θη-
ρίον
τοὐπὶ τὠφθαλμῷ λαβοῦσ' ἐξεῖλον ἄν, ὃ νῦν ἔνι.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

τοῦτ' ἄρ' ἦν με τοὐπιτρῖβον, δακτύλιος οὑτοσί·
ἐκσκάλευσον αὐτό, κᾆτα δεῖξον ἀφελοῦσά μοι·
ὡς τὸν ὀφθαλμόν γέ μου νὴ τὸν Δία πάλαι
δάκνει.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

ἀλλὰ δράσω ταῦτα· καίτοι δύσκολος ἔφυς ἀνήρ.
ἦ μέγ', ὦ Ζεῦ, χρῆμ' ἰδεῖν τῆς ἐμπίδος ἔνεστί
σοι.
οὐχ ὁρᾷς; οὐκ ἐμπίς ἐστιν ἥδε Τρικορυσία;

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

νὴ Δί' ὤνησάς γέ μ', ὡς πάλαι γέ μ' ἐφρεω-
ρύχει,
ὥστ' ἐπειδὴ 'ξῃρέθη, ῥεῖ μου τὸ δάκρυον πολύ.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

ἀλλ' ἀποψήσω σ' ἐγώ, καίτοι πάνυ πονηρὸς εἶ,
καὶ φιλήσω.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

μὴ φιλήσῃς.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

ἤν τε βούλῃ γ' ἤν τε μή.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

ἀλλὰ μὴ ὥρασ' ἵκοισθ'· ὡς ἐστὲ θωπικαὶ φύσει,
κἄστ' ἐκεῖνο τοὔπος ὀρθῶς κοὐ κακῶς εἰρημένον,
οὔτε σὺν πανωλέθροισιν οὔτ' ἄνευ πανωλέθρων.
ἀλλὰ νυνὶ σπένδομαί σοι, καὶ τὸ λοιπὸν οὐκέτι
οὔτε δράσω φλαῦρον οὐδὲν οὔθ' ὑφ' ὑμῶν πεί-
σομαι.
ἀλλὰ κοινῇ συσταλέντες τοῦ μέλους ἀρξώμεθα.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

οὐ παρασκευαζόμεσθα
τῶν πολιτῶν οὐδέν', ὦνδρες,
φλαῦρον εἰπεῖν οὐδεέν·
ἀλλὰ πολὺ τοὔμπαλιν
πάντ' ἀγαθὰ καὶ λέγειν
καὶ δρᾶν· ἱκανὰ γὰρ τὰ κακὰ
καὶ τὰ παρακείμενα.
ἀλλ' ἐπαγγελλέτω
πᾶς ἀνὴρ καὶ γυνή,
εἴ τις ἀργυρίδιον δεῖ-
ται λαβεῖν, μνᾶς ἢ δύ' ἢ τρεῖς,
πόλλ' ἔσω 'στὶ
κἄχομεν βαλάντια.
κἄν ποτ' εἰρήνη φανῇ,
ὅστις ἂν νυνὶ δανείση-
ται παρ' ἡμῶν,
ἂν λάβῃ μηκέτ' ἀποδῷ.
ἑστιᾶν δὲ μέλλομεν ξέ-
νους τινὰς Καρυστίους, ἄν-

1043—1072. == 1188—1215.

δρας καλούς τε κἀγαθούς.
κἄστιν ἔτνος τι, καὶ
δελφάκιον ἦν τί μοι,
καὶ τοῦτο τέθυχ', ὥστε κρέ' ἔ-
δεσθ' ἁπαλὰ καὶ καλά.
ἥκετ' οὖν εἰς ἐμοῦ
τήμερον· πρῲ δὲ χρὴ
τοῦτο δρᾶν λελουμένους, αὐ-
τούς τε καὶ τὰ παιδί', εἶτ' εἴ-
σω βαδίζειν,
μηδ' ἐρέσθαι μηδένα,
ἀλλὰ χωρεῖν ἄντικρυς,
ὥσπερ οἴκαδ' εἰς ἑαυτῶν,
γεννικῶς, ὡς
ἡ θύρα κεκλείσεται.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

καὶ μὴν ἀπὸ τῆς Σπάρτης οἱδὶ πρέσβεις ἕλ-
κοντες ὑπήνας
χωροῦσ', ὥσπερ χοιροκομεῖον περὶ τοῖς μη-
ροῖσιν ἔχοντες.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

ἄνδρες Λάκωνες πρῶτα μέν μοι χαίρετε,
εἶτ' εἴπαθ' ἡμῖν πῶς ἔχοντες ἥκετε.

ΛΑΚΩΝ.

τί δεῖ ποθ' ὔμμε πολλὰ μυσίδδειν ἔπη;
ὁρῆν γὰρ ἔξεσθ' ὡς ἔχοντες ἥκομες.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

βαβαί· νενεύρωται μὲν ἥδε συμφορὰ
δεινῶς· τεθερμῶσθαί γε χεῖρον φαίνεται.

ΛΑΚΩΝ.

ἄφατα. τί κἂν λέγοι τις; ἀλλ' ὅπα σέλει
παντᾶ τις ἐλσὼν ἁμὶν εἰράναν σέτω.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

καὶ μὴν ὁρῶ γε τούσδε τοὺς αὐτόχθονας
ὥσπερ παλαιστὰς ἄνδρας ἀπὸ τῶν γαστέρων
θαἰμάτι' ἀποστέλλοντας· ὥστε φαίνεται
ἀσκητικὸν τὸ χρῆμα τοῦ νοσήματος.

ΑΘΗΝΑΙΟΣ.

τίς ἂν φράσειε ποῦ 'στιν ἡ Λυσιστράτη;
ὡς ἄνδρες ἡμεῖς οὑτοιὶ τοιουτοιί.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

χαὔτη ξυνᾴδει χἀτέρα ταύτῃ νόσῳ.
ἦ που πρὸς ὄρθρον σπασμὸς ὑμᾶς λαμβάνει;

ΑΘΗΝΑΙΟΣ.

μὰ Δί', ἀλλὰ ταυτὶ δρῶντες ἐπιτετρίμμεθα.
ὥστ' εἴ τις ἡμᾶς μὴ διαλλάξει ταχύ,
οὐκ ἔσθ' ὅπως οὐ Κλεισθένη βινήσομεν.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

εἰ σωφρονεῖτε, θαἰμάτια λήψεσθ', ὅπως
τῶν ἑρμοκοπιδῶν μή τις ὑμᾶς ὄψεται.

ΑΘΗΝΑΙΟΣ.

νὴ τὸν Δί' εὖ μέντοι λέγεις.

ΛΑΚΩΝ.

ναὶ τὼ σιώ
παντᾶ γε. φέρε τὸ ἔσθος ἀμβαλώμεθα.

ΑΘΗΝΑΙΟΣ.

ὦ χαίρετ', ὦ Λάκωνες· αἰσχρά γ' ἐπάθομεν.

ΛΑΚΩΝ.

ὦ πολυχαρίδα, δεινά τᾶν ἐπεπόνθεμες.
αἴ κ' εἶδον ἁμὲ τὤνδρες ἀναπεφλασμένως.

ΑΘΗΝΑΙΟΣ.

ἄγε δὴ, Λάκωνες, αὔθ' ἕκαστα χρὴ λέγειν.
ἐπὶ τί πάρεστε δεῦρο;

ΛΑΚΩΝ.

περὶ διαλλαγᾶν
πρέσβεις.

ΑΘΗΝΑΙΟΣ.

καλῶς δὴ λέγετε· χἠμεῖς τουτογί.
τί οὐ καλοῦμεν δῆτα τὴν Λυσιστράτην,
ἥπερ διαλλάξειεν ἡμᾶς ἂν μόνη;

ΛΑΚΩΝ.

ναὶ τὼ σιώ, κἂν λῆτε, τὸν Λυσίστρατον.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

ἀλλ' οὐδὲν ἡμᾶς, ὡς ἔοικε, δεῖ καλεῖν·
αὐτὴ γὰρ, ὡς ἤκουσεν, ἥδ' ἐξέρχεται.
χαῖρ', ὦ πασῶν ἀνδρειοτάτη· δεῖ δὴ νυνί σε γενέσθαι
δεινὴν, ἀγαθὴν, φαύλην, σεμνὴν, ἀγανὴν, * * πολύπειρον·
ὡς οἱ πρῶτοι τῶν Ἑλλήνων τῇ σῇ ληφθέντες ἴυγγι
συνεχώρησάν σοι καὶ κοινῇ τἀγκλήματα πάντ' ἐπέτρεψαν.

ΛΥΣΙΣΤΡΑΤΗ.

ἀλλ' οὐχὶ χαλεπὸν τοὔργον, εἰ λάβοι γέ τις
ὀργῶντας ἀλλήλων τε μὴ 'κπειρωμένους.
τάχα δ' εἴσομαι 'γώ. ποῦ 'στιν ἡ Διαλλαγή;
πρόσαγε λαβοῦσα πρῶτα τοὺς Λακωνικοὺς,
καὶ μὴ χαλεπῇ τῇ χειρὶ μηδ' αὐθαδικῇ,
μηδ' ὥσπερ ἡμῶν ἄνδρες ἀμαθῶς τοῦτ' ἔδρων,
ἀλλ' ὡς γυναῖκας εἰκὸς, οἰκείως πάνυ.
ἢν μὴ διδῷ τὴν χεῖρα, τῆς σάθης ἄγε.
ἴθι καὶ σὺ τούτους τοὺς Ἀθηναίους ἄγε·
οὗ δ' ἂν διδῶσι, πρόσαγε τούτους λαβομένη.
ἄνδρες Λάκωνες, στῆτε παρ' ἐμὲ πλησίον,
ἐνθένδε θ' ὑμεῖς, καὶ λόγων ἀκούσατε.
ἐγὼ γυνὴ μέν εἰμι, νοῦς δ' ἔνεστί μοι·
αὐτὴ δ' ἐμαυτῆς οὐ κακῶς γνώμης ἔχω·
τοὺς δ' ἐκ πατρός τε καὶ γεραιτέρων λόγους
πολλοὺς ἀκούσασ' οὐ μεμούσωμαι κακῶς.
λαβοῦσα δ' ὑμᾶς λοιδορῆσαι βούλομαι
κοινῇ δικαίως, οἳ μιᾶς γε χέρνιβος
βωμοὺς περιρραίνοντες, ὥσπερ ξυγγενεῖς,
Ὀλυμπίασιν, ἐν Πύλαις, Πυθοῖ — πόσους
εἴποιμ' ἂν ἄλλους, εἴ με μηκύνειν δέοι; —
ἐχθρῶν παρόντων βαρβάρων στρατεύμασιν
Ἕλληνας ἄνδρας καὶ πόλεις ἀπόλλυτε.
εἷς μὲν λόγος μοι δεῦρ' ἀεὶ περαίνεται.

ΑΘΗΝΑΙΟΣ.

ἐγὼ δ' ἀπόλλυμαί γ' ἀπεψωλημένος.

ΛΥΣΙΣΤΡΑΤΗ.

εἶτ', ὦ Λάκωνες, πρὸς γὰρ ὑμᾶς τρέψομαι,
οὐκ ἴσθ', ὅτ' ἐλθὼν δεῦρο Περικλείδας ποτὲ
ὁ Λάκων Ἀθηναίων ἱκέτης καθέζετο
ἐπὶ τοῖσι βωμοῖς ὠχρὸς ἐν φοινικίδι,
στρατιὰν προσαιτῶν; ἡ δὲ Μεσσήνη τότε
ὑμῖν ἐπέκειτο, χὠ θεὸς σείων ἅμα.
ἐλθὼν δὲ σὺν ὁπλίταισι τετρακισχιλίοις
Κίμων ὅλην ἔσωσε τὴν Λακεδαίμονα.
ταυτὶ παθόντες τῶν Ἀθηναίων ὕπο
δῃοῦτε χώραν, ἧς ὑπ' εὖ πεπόνθατε;

ΑΘΗΝΑΙΟΣ.

ἀδικοῦσιν οὗτοι νὴ Δί', ὦ Λυσιστράτη.

ΛΑΚΩΝ.

ἀδικοῦμες· ἀλλ' ὁ πρωκτὸς ἄφατος ὡς καλός.

ΛΥΣΙΣΤΡΑΤΗ.

ὑμᾶς δ' ἀφήσειν τοὺς Ἀθηναίους οἴει;
οὐκ ἴσθ' ὅθ' ὑμᾶς οἱ Λάκωνες αὖθις αὖ
κατωνάκας φοροῦντας ἐλθόντες δορὶ
πολλοὺς μὲν ἄνδρας Θετταλῶν ἀπώλεσαν,
πολλοὺς δ' ἑταίρους Ἱππίου καὶ ξυμμάχους,
ξυνεκμαχοῦντες τῇ τόθ' ἡμέρᾳ μόνοι,
κἀλευθέρωσαν, κἀντὶ τῆς κατωνάκης
τὸν δῆμον ὑμῶν χλαῖναν ἠμπισχον πάλιν;

ΛΑΚΩΝ.

οὔπα γυναῖκ' ὄπωπα χαϊωτέραν.

ΑΘΗΝΑΙΟΣ.

ἐγὼ δὲ κύσθον γ' οὐδέπω καλλίονα.

ΛΥΣΙΣΤΡΑΤΗ.

τί δῆθ' ὑπηργμένων τε πολλῶν κἀγαθῶν
μάχεσθε κοὐ παύεσθε τῆς μοχθηρίας;
τί δ' οὐ διηλλάγητε; φέρε, τί τοὐμποδών;

ΛΑΚΩΝ.

ἀμές γε λῶμες, αἴ τις ἀμὶν τοὔγκυκλον
λῇ τοῦτ' ἀποδόμεν.

ΛΥΣΙΣΤΡΑΤΗ.

ποῖον, ὦ τᾶν;

ΛΑΚΩΝ.

τὰν Πύλον,
ἅσπερ πάλαι δεόμεσθα καὶ βλιμάττομες.

ΑΘΗΝΑΙΟΣ.

μὰ τὸν Ποσειδῶ, τοῦτο μέν γ' οὐ δράσετε.

ΛΥΣΙΣΤΡΑΤΗ.

ἄφετ', ὠγάθ', αὐτοῖς.

ΑΘΗΝΑΙΟΣ.

κᾆτα τίνα κινήσομεν;

ΛΥΣΙΣΤΡΑΤΗ.

ἕτερόν γ' ἀπαιτεῖτ' ἀντὶ τούτου χωρίον.

ΑΘΗΝΑΙΟΣ.

τὸ δεῖνα τοίνυν παράδοθ' ἡμῖν τουτονὶ
πρώτιστα τὸν Ἐχινοῦντα καὶ τὸν Μηλιᾶ
κόλπον τὸν ὄπισθεν καὶ τὰ Μεγαρικὰ σκέλη.

ΛΑΚΩΝ.

οὐ τὼ σιώ, οὐχὶ πάντα γ', ὦ λυσσάνιε.

ΛΥΣΙΣΤΡΑΤΗ.

ἐᾶτε, μηδὲν διαφέρου περὶ σκελοῖν.

ΑΘΗΝΑΙΟΣ.

ἤδη γεωργεῖν γυμνὸς ἀποδὺς βούλομαι.

ΛΑΚΩΝ.

ἐγὼ δὲ κοπραγωγῆν γα πρῴ ναὶ τὼ σιώ.

ΛΥΣΙΣΤΡΑΤΗ.

ἐπὴν διαλλαγῆτε, ταῦτα δράσετε.
ἀλλ' εἰ δοκεῖ δρᾶν ταῦτα, βουλεύσασθε καὶ
τοῖς ξυμμάχοις ἐλθόντες ἀνακοινώσατε.

**ΑΘΗΝΑΙΟΣ.**
ποίοισιν, ὦ τᾶν, ξυμμάχοις; ἐστύκαμεν.
οὐ ταὐτὰ δόξει τοῖσι συμμάχοισι νῷν,
βινεῖν ἅπασιν;

**ΛΑΚΩΝ.**
τοῖσι γοῦν ναὶ τὼ σιὼ
ἀμοῖσι.

**ΑΘΗΝΑΙΟΣ.**
καὶ γὰρ ναὶ μὰ Δία Καρυστίοις.

**ΛΥΣΙΣΤΡΑΤΗ.**
καλῶς λέγετε. νῦν οὖν ὅπως ἁγνεύσετε,
ὅπως ἂν αἱ γυναῖκες ὑμᾶς ἐν πόλει
ξενίσωμεν ὧν ἐν ταῖσι κίσταις εἴχομεν.
ὅρκους δ' ἐκεῖ καὶ πίστιν ἀλλήλοις δότε.
κἄπειτα τὴν αὑτοῦ γυναῖχ' ὑμῶν λαβὼν
ἄπεισ' ἕκαστος.

**ΑΘΗΝΑΙΟΣ.**
ἀλλ' ἴωμεν ὡς τάχος.

**ΛΑΚΩΝ.**
ἄγ' ὅπα τυ λῇς.

**ΑΘΗΝΑΙΟΣ.**
νὴ τὸν Δί' ὡς τάχιστά γε.

**ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.**
στρωμάτων δὲ ποικίλων καὶ
χλανιδίων καὶ ξυστίδων καὶ
χρυσίων, ὅσ' ἐστί μοι,
οὐ φθόνος ἔνεστί μοι
πᾶσι παρέχειν φέρειν
τοῖς παισὶν, ὁπόταν τε θυγά-
τηρ τινὶ κανηφορῇ.
πᾶσιν ὑμῖν λέγω
λαμβάνειν τῶν ἐμων
χρημάτων νῦν ἔνδοθεν, καὶ
μηδὲν οὕτως εὖ σεσημάν-
θαι τὸ μὴ οὐχὶ
τοὺς ῥύπους ἀνασπάσαι,
χἄττ' ἂν ἔνδον ᾖ φορεῖν.
ὄψεται δ' οὐδὲν σκοπῶν, εἰ
μή τις ὑμῶν
ὀξύτερον ἐμοῦ βλέπει.
εἰ δέ τῳ μὴ σῖτος ὑμῶν
ἔστι, βόσκει δ' οἰκέτας καὶ
σμικρὰ πολλὰ παιδία,
ἔστι παρ' ἐμοῦ λαβεῖν
πυρίδια λεπτὰ μὲν,
ὁ δ' ἄρτος ἀπὸ χοίνικος ἰ-
δεῖν μάλα νεανίας.
ὅστις οὖν βούλεται
τῶν πενήτων ἴτω
εἰς ἐμοῦ σάκους ἔχων καὶ
κωρύκους, ὡς λήψεται πυ-
ρούς· ὁ Μανῆς δ'
οὑμὸς αὐτοῖς ἐμβαλεῖ.
πρός γε μέντοι τὴν θύραν
προαγορεύω μὴ βαδίζειν
τὴν ἐμὴν, ἀλλ'
εὐλαβεῖσθαι τὴν κύνα.

**ΑΓΟΡΑΙΟΣ.**
ἄνοιγε τὴν θύραν.

**ΘΕΡΑΠΩΝ.**
παραχωρεῖν οὐ θέλεις;
ὑμεῖς τί κάθησθε; μῶν ἐγὼ τῇ λαμπάδι
ὑμᾶς κατακαύσω; φορτικὸν τὸ χωρίον.

**ΑΓΟΡΑΙΟΣ.**
οὐκ ἂν ποιήσαιμ'.

**ΘΕΡΑΠΩΝ.**
εἰ δὲ πάνυ δεῖ τοῦτο δρᾶν,
ὑμῖν χαρίζεσθαι, ταλαιπωρήσομεν.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.**
χἠμεῖς γε μετὰ σοῦ ξυνταλαιπωρήσομεν.

**ΘΕΡΑΠΩΝ.**
οὐκ ἄπιτε; κωκύσεσθε τὰς τρίχας μακρά.
οὐκ ἄπιθ', ὅπως ἂν οἱ Λάκωνες ἔνδοθεν
καθ' ἡσυχίαν ἀπίωσιν εὐωχημένοι;

**ΑΘΗΝΑΙΟΣ.**
οὔπω τοιοῦτον ξυμπόσιον ὄπωπ' ἐγώ.
ἦ καὶ χαρίεντες ἦσαν οἱ Λακωνικοί·
ἡμεῖς δ' ἐν οἴνῳ ξυμπόται σοφώτατοι.

**ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.**
ὀρθῶς γ', ὁτιὴ νήφοντες οὐχ ὑγιαίνομεν·
ἢν τοὺς Ἀθηναίους ἐγὼ πείσω λέγων,
μεθύοντες ἀεὶ πανταχοῦ πρεσβεύσομεν.
νῦν μὲν γὰρ ὅταν ἔλθωμεν ἐς Λακεδαίμονα
νήφοντες, εὐθὺς βλέπομεν ὅ τι ταράξομεν·
ὥσθ' ὅ τι μὲν ἂν λέγωσιν οὐκ ἀκούομεν,
ἃ δ' οὐ λέγουσι, ταῦθ' ὑπονενοήκαμεν.
ἀγγέλλομεν δ' οὐ ταὐτὰ τῶν αὐτῶν κλέα.
νυνὶ δ' ἅπαντ' ἤρεσκεν· ὥστ' εἰ μέν γέ τις
ᾄδοι Τελαμῶνος, Κλειταγόρας ᾄδειν δέῃ,
ἐπηνέσαμεν ἂν καὶ προσεπιωρκήσαμεν.

**ΘΕΡΑΠΩΝ.**
ἀλλ' οὑτοιὶ γὰρ αὖθις ἔρχονται πάλιν
ἐς ταυτόν. οὐκ ἐρρήσετ', ὦ μαστιγίαι;

**ΑΓΟΡΑΙΟΣ.**
νὴ τὸν Δί', ὡς ἤδη γε χωροῦσ' ἔνδοθεν.

**ΛΑΚΩΝ.**
ὦ πολυχαρίδα, λαβὲ τὰ φυσατήρια,
ἵν' ἐγὼ διποδιάξω γε κἀείσω καλὸν
ἐς τὼς Ἀσαναίως τε κἠς ἡμᾶς ἅμα.

**ΑΘΗΝΑΙΟΣ.**
λαβὲ δῆτα τὰς φυσαλλίδας πρὸς τῶν θεῶν.
ὡς ἥδομαί γ' ὑμᾶς ὁρῶν ὀρχουμένους.

**ΧΟΡΟΣ ΛΑΚΩΝΩΝ.**
ὅρμαον
τὼς κυρσανίως, ὦ Μναμόνα,
τὰν τεὰν μῶαν, ἅτις
οἶδεν ἀμὲ τώς τ' Ἀσαναίως,
ὅκα τοὶ μὲν ἐπ' Ἀρταμιτίῳ
πρόκροον θείκελοι
ποττὰ κᾶλα, τὼς Μήδως τ' ἐνίκων.
ἀμὲ δ' αὖ Λεωνίδας
ἆγεν ᾇπερ τὼς κάπρως
θάγοντας, οἰῶ, τὸν ὀδόντα·
πολὺς δ' ἀμφὶ τὰς γένυας ἀφρὸς ἤνσει,
πολὺς δ' ἅμα καττῶν σκελῶν ἀφρὸς ἵετο.
ἦν γὰρ τὤνδρες οὐκ ἐλάσσως
τᾶς ψάμμας, τοὶ Πέρσαι.

ἀγρότερ' Ἄρταμι σηροκτόνε
μόλε δεῦρο, παρσένε σιὰ,
ποττὰς σπονδὰς,
ὡς συνέχῃς πολὺν ἀμὲ χρόνον.
νῦν δ' αὖ
φιλία τ' αἰὲς εὔπορος εἴη
ταῖς συνθήκαις
καὶ τᾶν αἱμυλᾶν ἀλωπέκων
παυσαίμεθ'· ὦ
δεῦρ' ἴθι, δεῦρ', ὦ
κυναγὲ παρσένε.

### ΛΥΣΙΣΤΡΑΤΗ.

ἄγε νυν, ἐπειδὴ τἄλλα πεποίηται καλῶς,
ἀπάγεσθε ταύτας, ὦ Λάκωνες, τασδεδὶ
ὑμεῖς· ἀνὴρ δὲ παρὰ γυναῖκα καὶ γυνὴ
στήτω παρ' ἄνδρα, κᾆτ' ἐπ' ἀγαθαῖς συμφοραῖς
ὀρχησάμενοι θεοῖσιν εὐλαβώμεθα
τὸ λοιπὸν αὖθις μὴ 'ξαμαρτάνειν ἔτι.

### ΧΟΡΟΣ ΑΘΗΝΑΙΩΝ.

πρόσαγε χορὸν, ἔπαγε χάριτας,
ἐπὶ δὲ κάλεσον Ἄρτεμιν·
ἐπὶ δὲ δίδυμον ἀγέχορον ἰήιον
εὔφρον', ἐπὶ δὲ Νύσιον,
ὃς μετὰ Μαινάσι Βάκχιος ὄμμασι
δαίεται,
Δία τε πυρὶ φλεγόμενον,
ἐπί τε πότνιαν ἄλοχον ὀλβίαν,
εἶτα δὲ δαίμονας, οἷς ἐπιμάρτυσι
χρησόμεθ' οὐκ ἐπιλήσμοσιν
ἡσυχίας πέρι τῆς μεγαλόφρονος,
ἣν ἐποίησε θεὰ Κύπρις.
ἀλαλαὶ ἰὴ παιήων·
αἴρεσθ' ἄνω, ἰαῖ,
ὡς ἐπὶ νίκῃ, ἰαῖ.
εὐοῖ εὐοῖ, εὐαῖ εὐαῖ.
Λάκων πρόφαινε δὴ σὺ μοῦσαν
ἐπὶ νέᾳ νέαν.

### ΧΟΡΟΣ ΛΑΚΩΝΩΝ.

Ταΰγετον αὖτ' ἐραννὸν ἐκλιπῶα,
Μῶα μόλε Λάκαινα πρεπτὸν ἁμὶν
κλεῶα τὸν Ἀμύκλαις Ἀπόλλω σιὸν
καὶ χαλκίοικον Ἀσάναν.
Τυνδαρίδας τ' ἀγασὼς,
τοὶ δὴ παρ' Εὐρώταν ψιάδδοντι.
εἶα μάλ' ἔμβη,
ὢϊα κοῦφα πάλλων,
ὡς Σπάρταν ὑμνιῶμες,
τᾷ σιῶν χοροὶ μέλοντι,
καὶ ποδῶν κτύπος,
ᾇτε πῶλοι δ' αἱ κόραι
πὰρ τὸν Εὐρώταν
ἀμπάλλοντι πυκνὰ ποδοῖν
ἀγκονιῶαι,
ταὶ δὲ κόμαι 'σείονθ' ᾇπερ Βακχᾶν
θυρσαδδοᾶν καὶ παιδδοᾶν.
ἀγῆται δ' ἁ Λήδας παῖς
ἁγνὰ χοραγὸς εὐπρεπής.
ἀλλ' ἄγε κόμαν
παραμπύκιδδέ τε
χειρὶ ποδοῖν τε πάδη
ᾇ τις ἔλαφος·
κρότον δ' ἅμα ποί-
η χορωφελέταν.
καὶ τὰν σιὰν δ' αὖ τὰν κρατίσταν
χαλκίοικον ὕμνει
τὰν παμμάχον.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΜΝΗΣΙΛΟΧΟΣ*, Εὐριπίδου κηδεστής.
*ΕΥΡΙΠΙΔΗΣ.*
*ΘΕΡΑΠΩΝ* Ἀγάθωνος.
*ΑΓΑΘΩΝ.*
*ΧΟΡΟΣ* Ἀγάθωνος.
*ΚΗΡΥΞ.*
*ΧΟΡΟΣ ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΩΝ.*
*ΓΥΝΑΙΚΕΣ ΤΙΝΕΣ.*
*ΚΛΕΙΣΘΕΝΗΣ.*
*ΠΡΥΤΑΝΙΣ.*
*ΣΚΥΘΗΣ ΤΟΞΟΤΗΣ.*

---

ΜΝΗΣΙΛΟΧΟΣ.

Ὦ Ζεῦ, χελιδὼν ἆρά ποτε φανήσεται;
ἀπολεῖ μ' ἀλοῶν ἄνθρωπος ἐξ ἑωθινοῦ.
οἷόν τε, πρὶν τὸν σπλῆνα κομιδῇ μ' ἐκβαλεῖν,
παρὰ σοῦ πυθέσθαι, ποῖ μ' ἄγεις, ὦ Εὐριπίδη;

ΕΥΡΙΠΙΔΗΣ.

ἀλλ' οὐκ ἀκούειν δεῖ σε πάνθ' ὅσ' αὐτίκα
ὄψει παρεστώς.

ΜΝΗΣΙΛΟΧΟΣ.

πῶς λέγεις; αὖθις φράσον.
οὐ δεῖ μ' ἀκούειν;

ΕΥΡΙΠΙΔΗΣ.

οὐχ ἅ γ' ἂν μέλλῃς ὁρᾶν.

ΜΝΗΣΙΛΟΧΟΣ.

οὐδ' ἆρ' ὁρᾶν δεῖ μ';

ΕΥΡΙΠΙΔΗΣ.

οὐχ ἅ γ' ἂν ἀκούειν δέῃ.

ΜΝΗΣΙΛΟΧΟΣ.

πῶς μοι παραινεῖς; δεξιῶς μέντοι λέγεις.
οὐ φῂς σὺ χρῆναί μ' οὔτ' ἀκούειν οὔθ' ὁρᾶν.

ΕΥΡΙΠΙΔΗΣ.

χωρὶς γὰρ αὐτοῖν ἑκατέρου 'στὶν ἡ φύσις,
τοῦ μήτ' ἀκούειν μήθ' ὁρᾶν, εὖ ἴσθ' ὅτι.

ΜΝΗΣΙΛΟΧΟΣ.

πῶς χωρίς;

ΕΥΡΙΠΙΔΗΣ.

οὕτω ταῦτα διεκρίθη τότε.
αἰθὴρ γὰρ ὅτε τὰ πρῶτα διεχωρίζετο,
καὶ ζῶ' ἐν αὐτῷ ξυνετέκνου κινούμενα,
ᾧ μὲν βλέπειν χρὴ πρῶτ' ἐμηχανήσατο
ὀφθαλμὸν ἀντίμιμον ἡλίου τροχῷ,
δίκην δὲ χοάνης ὦτα διετετρήνατο,

ΜΝΗΣΙΛΟΧΟΣ.

διὰ τὴν χοάνην οὖν μήτ' ἀκούω μήθ' ὁρῶ;
νὴ τὸν Δί' ἥδομαί γε τουτὶ προσμαθών.
οἷόν τί που 'στὶν αἱ σοφαὶ ξυνουσίαι.

ΕΥΡΙΠΙΔΗΣ.

πόλλ' ἂν μάθοις τοιαῦτα παρ' ἐμοῦ.

ΜΝΗΣΙΛΟΧΟΣ.

πῶς ἂν οὖν
πρὸς τοῖς ἀγαθοῖς τούτοισιν ἐξεύροιμ' ὅπως
ἔτι προσμάθοιμι χωλὸς εἶναι τὼ σκέλη;

ΕΥΡΙΠΙΔΗΣ.

βάδιζε δευρὶ καὶ πρόσεχε τὸν νοῦν.

ΜΝΗΣΙΛΟΧΟΣ.

ἰδού.

ΕΥΡΙΠΙΔΗΣ.

ὁρᾷς τὸ θύριον τοῦτο;

ΜΝΗΣΙΛΟΧΟΣ.

νὴ τὸν Ἡρακλῆ
οἶμαί γε.

ΕΥΡΙΠΙΔΗΣ.

σίγα νυν.

ΜΝΗΣΙΛΟΧΟΣ.

σιωπῶ τὸ θύριον.

ΕΥΡΙΠΙΔΗΣ.

ἄκου'.

ΜΝΗΣΙΛΟΧΟΣ.

ἀκούσω καὶ σιωπῶ τὸ θύριον;

ΕΥΡΙΠΙΔΗΣ.

ἐνθάδ' Ἀγάθων ὁ κλεινὸς οἰκῶν τυγχάνει
ὁ τραγῳδοποιός.

ΜΝΗΣΙΛΟΧΟΣ.

ποῖος οὗτος ἀγάθων;

ΕΥΡΙΠΙΔΗΣ.
ἔστιν τις Ἀγάθων
ΜΝΗΣΙΛΟΧΟΣ.
μῶν ὁ μέλας ὁ καρτερός;
ΕΥΡΙΠΙΔΗΣ.
οὔκ, ἀλλ' ἕτερός τις· οὐχ ἑόρακας πώποτε;
ΜΝΗΣΙΛΟΧΟΣ.
μῶν ὁ δασυπώγων;
ΕΥΡΙΠΙΔΗΣ.
οὐχ ἑόρακας πώποτε;
ΜΝΗΣΙΛΟΧΟΣ.
μὰ τὸν Δί' οὔτοι γ', ὥστε κἀμέ γ' εἰδέναι.
ΕΥΡΙΠΙΔΗΣ.
καὶ μὴν βεβίνηκας σύ γ', ἀλλ' οὐκ οἶσθ' ἴσως.
ἀλλ' ἐκποδὼν πτήξωμεν, ὡς ἐξέρχεται
θεράπων τις αὐτοῦ, πῦρ ἔχων καὶ μυρρίνας.
προθυσόμενος ἔοικε τῆς ποιήσεως.
ΘΕΡΑΠΩΝ.
εὔφημος πᾶς ἔστω λεώς,
στόμα συγκλείσας· ἐπιδημεῖ γὰρ
θίασος Μουσῶν ἔνδον μελάθρων
τῶν δεσποσύνων μελοποιῶν.
ἐχέτω δὲ πνοὰς νήνεμος αἰθήρ,
κῦμα δὲ πόντου μὴ κελαδείτω
γλαυκόν·
ΜΝΗΣΙΛΟΧΟΣ.
βομβάξ.
ΕΥΡΙΠΙΔΗΣ.
σίγα. τί λέγεις;
ΘΕΡΑΠΩΝ.
πτηνῶν τε γένη κατακοιμάσθω,
θηρῶν τ' ἀγρίων πόδες ὑλοδρόμων
μὴ λυέσθων.
ΜΝΗΣΙΛΟΧΟΣ.
βομβαλοβομβάξ.
ΘΕΡΑΠΩΝ.
μέλλει γὰρ ὁ καλλιεπὴς Ἀγάθων,
πρόμος ἡμέτερος
ΜΝΗΣΙΛΟΧΟΣ.
μῶν βινεῖσθαι;
ΘΕΡΑΠΩΝ.
τίς ὁ φωνήσας;
ΜΝΗΣΙΛΟΧΟΣ.
νήνεμος αἰθήρ.
ΘΕΡΑΠΩΝ.
δρυόχους τιθέναι δράματος ἀρχάς.
κάμπτει δὲ νέας ἁψῖδας ἐπῶν.
τὰ δὲ τορνεύει, τὰ δὲ κολλομελεῖ,
καὶ γνωμοτυπεῖ κἀντονομάζει
καὶ κηροχυτεῖ καὶ γογγύλλει
καὶ χοανεύει.
ΜΝΗΣΙΛΟΧΟΣ.
καὶ λαικάζει.
ΘΕΡΑΠΩΝ.
τίς ἀγροιώτας πελάθει θριγκοῖς;
ΜΝΗΣΙΛΟΧΟΣ.
ὃς ἕτοιμος σοῦ τοῦ τε ποιητοῦ
τοῦ καλλιεποῦς, κατὰ τοῦ θριγκοῦ,
συγγογγυλίσας καὶ συστρέψας
τουτὶ τὸ πέος χοανεῦσαι.
ΘΕΡΑΠΩΝ.
ἦ που νέος γ' ὢν ἦσθ' ὑβριστής, ὦ γέρον.
ΕΥΡΙΠΙΔΗΣ.
ὦ δαιμόνιε, τοῦτον μὲν ἔα χαίρειν, σὺ δὲ
Ἀγάθωνά μοι δεῦρ' ἐκκάλεσον πάσῃ τέχνῃ.
ΘΕΡΑΠΩΝ.
μηδὲν ἱκέτευ'· αὐτὸς γὰρ ἔξεισιν τάχα.
καὶ γὰρ μελοποιεῖν ἄρχεται· χειμῶνος οὖν
ὄντος κατακάμπτειν τὰς στροφὰς οὐ ῥᾴδιον,
ἢν μὴ προΐῃ θύρασι πρὸς τὸν ἥλιον.
ΜΝΗΣΙΛΟΧΟΣ.
τί οὖν ἐγὼ δρῶ;
ΕΥΡΙΠΙΔΗΣ.
περίμεν', ὡς ἐξέρχεται.
ὦ Ζεῦ τί δρᾶσαι διανοεῖ με τήμερον;
ΜΝΗΣΙΛΟΧΟΣ.
νὴ τοὺς θεοὺς ἐγὼ πυθέσθαι βούλομαι
τί τὸ πρᾶγμα τουτί. τί στένεις; τί δυσφορεῖς;
οὐ χρῆν σε κρύπτειν, ὄντα κηδεστὴν ἐμόν.
ΕΥΡΙΠΙΔΗΣ.
ἔστιν κακόν μοι μέγα τι προπεφυραμένον.
ΜΝΗΣΙΛΟΧΟΣ.
ποῖόν τι;
ΕΥΡΙΠΙΔΗΣ.
τῇδε θἠμέρᾳ κριθήσεται
εἴτ' ἔστ' ἔτι ζῶν εἴτ' ἀπόλωλ' Εὐριπίδης.
ΜΝΗΣΙΛΟΧΟΣ.
καὶ πῶς; ἐπεὶ νῦν γ' οὔτε τὰ δικαστήρια
μέλλει δικάζειν οὔτε βουλῆς ἐσθ' ἕδρα,
ἐπεὶ τρίτη 'στὶ Θεσμοφορίων ἡ μέση.
ΕΥΡΙΠΙΔΗΣ.
τοῦτ' αὐτὸ γάρ τοι κἀπολεῖν με προσδοκῶ.
αἱ γὰρ γυναῖκες ἐπιβεβουλεύκασί μοι,
κἀν Θεσμοφόροιν μέλλουσι περί μου τήμερον
ἐκκλησιάζειν ἐπ' ὀλέθρῳ.
ΜΝΗΣΙΛΟΧΟΣ.
τιὴ τί δή;
ΕΥΡΙΠΙΔΗΣ.
ὁτιὴ τραγῳδῶ καὶ κακῶς αὐτὰς λέγω.
ΜΝΗΣΙΛΟΧΟΣ.
νὴ τὸν Ποσειδῶ καὶ δίκαι' ἂν πάθοις.
ἀτὰρ τίν' ἐκ ταύτης σὺ μηχανὴν ἔχεις;
ΕΥΡΙΠΙΔΗΣ.
Ἀγάθωνα πεῖσαι τὸν τραγῳδοδιδάσκαλον
ἐς Θεσμοφόροιν ἐλθεῖν.
ΜΝΗΣΙΛΟΧΟΣ.
τί δράσοντ'; εἰπέ μοι.
ΕΥΡΙΠΙΔΗΣ.
ἐκκλησιάσοντ' ἐν ταῖς γυναιξί, κἂν δέῃ,
λέξονθ' ὑπὲρ ἐμοῦ.
ΜΝΗΣΙΛΟΧΟΣ.
πότερα φανερόν, ἢ λάθρα;
ΕΥΡΙΠΙΔΗΣ.
λάθρα, στολὴν γυναικὸς ἠμφιεσμένον.
ΜΝΗΣΙΛΟΧΟΣ.
τὸ πρᾶγμα κομψὸν καὶ σφόδρ' ἐκ τοῦ σοῦ
τρόπου
τοῦ γὰρ τεχνάζειν ἡμέτερος ὁ πυραμοῦς.
ΕΥΡΙΠΙΔΗΣ.
σίγα.

ΜΝΗΣΙΛΟΧΟΣ.

τί δ' ἔστιν;

ΕΥΡΙΠΙΔΗΣ.

ἀγάθων ἐξέρχεται.

ΜΝΗΣΙΛΟΧΟΣ.

καὶ ποῖός ἐστιν οὗτος;

ΕΥΡΙΠΙΔΗΣ.

οὐκκυκλούμενος.

ΜΝΗΣΙΛΟΧΟΣ.

ἀλλ' ἦ τυφλὸς μέν εἰμ'· ἐγὼ γὰρ οὐχ ὁρῶ
ἄνδρ' οὐδέν' ἐνθάδ' ὄντα, Κυρήνην δ' ὁρῶ.

ΕΥΡΙΠΙΔΗΣ.

σίγα· μελῳδεῖν αὖ παρασκευάζεται.

ΜΝΗΣΙΛΟΧΟΣ.

μύρμηκος ἀτραπούς, ἢ τί διαμινύρεται;

ΑΓΑΘΩΝ.

ἱερὰν χθονίαις δεξάμεναι
λαμπάδα κοῦραι ξὺν ἐλευθέρᾳ
πατρίδι χορεύσασθαι βοάν.

ΧΟΡΟΣ.

τίνι δαιμόνων ὁ κῶμος; λέγε νυν.
εὐπίστως δὲ τοὐμὸν
δαίμονας ἔχει σεβίσαι.

ΑΓΑΘΩΝ.

ἄγε νυν ὄλβιζε Μοῦσα
χρυσέων ῥύτορα τόξων
Φοῖβον, ὃς ἱδρύσατο χώρας
γύαλα Σιμουντίδι γᾷ.

ΧΟΡΟΣ.

χαῖρε καλλίσταις ἀοιδαῖς,
Φοῖβ', ἐν εὐμούσοισι τιμαῖς
γέρας ἱερὸν προφέρων.

ΑΓΑΘΩΝ.

τάν τ' ἐν ὄρεσι δρυογόνοισι
κόραν ἀείσατ' Ἄρτεμιν ἀγροτέραν.

ΧΟΡΟΣ.

ἕπομαι κλήζουσα σεμνὸν
γόνον ὀλβίζουσα Λατοῦς
Ἄρτεμιν ἀπειρολεχῆ.

ΑΓΑΘΩΝ.

Λατώ τε, κρούματά τ' Ἀσιάδος
ποδὶ παράρυθμ' εὔρυθμα Φρυγίων
δινεύματα Χαρίτων.

ΧΟΡΟΣ.

σέβομαι Λατώ τ' ἄνασσαν
κίθαρίν τε ματέρ' ὕμνων
ἄρσενι βοᾷ δοκίμῳ·
τᾷ φῶς ἔσσυτο δαιμονίοις ὄμμασιν,
ἡμετέρας τε δι' αἰφνιδίου ὀπός.
ὧν χάριν ἄνακτ' ἄγαλλε Φοῖβον τιμᾷ.
χαῖρ', ὄλβιε παῖ Λατοῦς.

ΜΝΗΣΙΛΟΧΟΣ.

ὡς ἡδὺ τὸ μέλος, ὦ πότνιαι Γενετυλλίδες,
καὶ θηλυδριῶδες καὶ κατεγλωττισμένον
καὶ μανδαλωτόν, ὥστ' ἐμοῦ γ' ἀκροωμένου
ὑπὸ τὴν ἕδραν αὐτὴν ὑπῆλθε γάργαλος.
καί σ', ὦ νεανίσχ', ὅστις εἶ, κατ' Αἰσχύλον
ἐκ τῆς Λυκουργείας ἐρέσθαι βούλομαι,
ποδαπὸς ὁ γύννις; τίς πάτρα; τίς ἡ στολή;
τίς ἡ τάραξις τοῦ βίου; τί βάρβιτος
λαλεῖ κροκωτῷ; τί δὲ λύρα κεκρυφάλῳ;
τί λήκυθος καὶ στρόφιον; ὡς οὐ ξύμφορον.
τίς δαὶ κατόπτρου καὶ ξίφους κοινωνία;
τίς δ' αὐτός, ὦ παῖ; πότερον ὡς ἀνὴρ τρέφει;
καὶ ποῦ πέος; ποῦ χλαῖνα; ποῦ Λακωνικαί;
ἀλλ' ὡς γυνὴ δῆτ'; εἶτα ποῦ τὰ τιτθία;
τί φῄς; τί σιγᾷς; ἀλλὰ δῆτ' ἐκ τοῦ μέλους
ζητῶ σ', ἐπειδή γ' αὐτὸς οὐ βούλει φράσαι.

ΑΓΑΘΩΝ.

ὦ πρέσβυ πρέσβυ, τοῦ φθόνου μὲν τὸν ψόγον
ἤκουσα, τὴν δ' ἄλγησιν οὐ παρεσχόμην·
ἐγὼ δὲ τὴν ἐσθῆθ' ἅμα γνώμῃ φορῶ.
χρὴ γὰρ ποιητὴν ἄνδρα πρὸς τὰ δράματα
ἃ δεῖ ποιεῖν, πρὸς ταῦτα τοὺς τρόπους ἔχειν.
αὐτίκα γυναικεῖ' ἢν ποιῇ τις δράματα,
μετουσίαν δεῖ τῶν τρόπων τὸ σῶμ' ἔχειν.

ΜΝΗΣΙΛΟΧΟΣ.

οὐκοῦν κελητίζεις, ὅταν Φαίδραν ποιῇς;

ΑΓΑΘΩΝ.

ἀνδρεῖα δ' ἢν ποιῇ τις, ἐν τῷ σώματι
ἔνεσθ' ὑπάρχον τοῦθ'. ἃ δ' οὐ κεκτήμεθα,
μίμησις ἤδη ταῦτα συνθηρεύεται.

ΜΝΗΣΙΛΟΧΟΣ.

ὅταν σατύρους τοίνυν ποιῇς, καλεῖν ἐμέ,
ἵνα συμποιῶ σοὔπισθεν ἐστυκὼς ἐγώ.

ΑΓΑΘΩΝ.

ἄλλως τ' ἄμουσόν ἐστι ποιητὴν ἰδεῖν
ἀγρεῖον ὄντα καὶ δασύν· σκέψαι δ' ὅτι
Ἴβυκος ἐκεῖνος κἀνακρέων ὁ Τήιος
κἀλκαῖος, οἵπερ ἁρμονίαν ἐχύμισαν,
ἐμιτροφόρουν τε καὶ διεκλῶντ' Ἰωνικῶς,
καὶ Φρύνιχος, τοῦτον γὰρ οὖν ἀκήκοας,
αὐτός τε καλὸς ἦν καὶ καλῶς ἠμπίσχετο·
διὰ τοῦτ' ἄρ' αὐτοῦ καὶ τὰ δράματ' ἦν καλά·
ὅμοια γὰρ ποιεῖν ἀνάγκη τῇ φύσει.

ΜΝΗΣΙΛΟΧΟΣ.

ταῦτ' ἄρ' ὁ Φιλοκλέης αἰσχρὸς ὢν αἰσχρῶς ποιεῖ,
ὁ δὲ Ξενοκλέης ὢν κακὸς κακῶς ποιεῖ,
ὁ δ' αὖ Θέογνις ψυχρὸς ὢν ψυχρῶς ποιεῖ.

ΑΓΑΘΩΝ.

ἅπασ' ἀνάγκη· ταῦτα γάρ τοι γνοὺς ἐγὼ
ἐμαυτὸν ἐθεράπευσα.

ΜΝΗΣΙΛΟΧΟΣ.

πῶς πρὸς τῶν θεῶν;

ΕΥΡΙΠΙΔΗΣ.

παῦσαι βαΰζων· καὶ γὰρ ἐγὼ τοιοῦτος ἦ
ὢν τηλικοῦτος, ἡνίκ' ἠρχόμην ποιεῖν.

ΜΝΗΣΙΛΟΧΟΣ.

μὰ τὸν Δί', οὐ ζηλῶ σε τῆς παιδεύσεως.

ΕΥΡΙΠΙΔΗΣ.

ἀλλ' ὧνπερ οὕνεκ' ἦλθον, ἔα μ' εἰπεῖν.

ΑΓΑΘΩΝ.

λέ·

ΕΥΡΙΠΙΔΗΣ.

Ἀγάθων, σοφοῦ πρὸς ἀνδρός, ὅστις ἐν βραχεῖ
πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους.
ἐγὼ δὲ καινῇ ξυμφορᾷ πεπληγμένος
ἱκέτης ἀφῖγμαι πρὸς σέ.

ΑΓΑΘΩΝ.

τοῦ χρείαν ἔχων;

ΕΥΡΙΠΙΔΗΣ.
μέλλουσί μ' αἱ γυναῖκες ἀπολεῖν τήμερον
τοῖς Θεσμοφορίοις, ὅτι κακῶς αὐτὰς λέγω.
ΑΓΑΘΩΝ.
τίς οὖν παρ' ἡμῶν ἐστιν ὠφέλειά σοι;
ΕΥΡΙΠΙΔΗΣ.
ἡ πᾶσ'· ἐὰν γὰρ ἐγκαθεζόμενος λάθρα
ἐν ταῖς γυναιξὶν, ὡς δοκεῖν εἶναι γυνὴ,
ὑπεραποκρίνῃ μου, σαφῶς σώσεις ἐμέ.
μόνος γὰρ ἂν λέξειας ἀξίως ἐμοῦ.
ΑΓΑΘΩΝ.
ἔπειτα πῶς οὐκ αὐτὸς ἀπολογεῖ παρών:
ΕΥΡΙΠΙΔΗΣ.
ἐγὼ φράσω σοι. πρῶτα μὲν γιγνώσκομαι·
ἔπειτα πολιός εἰμι καὶ πώγων' ἔχω,
σὺ δ' εὐπρόσωπος, λευκὸς, ἐξυρημένος,
γυναικόφωνος, ἁπαλὸς, εὐπρεπὴς ἰδεῖν.
ΑΓΑΘΩΝ.
Εὐριπίδη,
ΕΥΡΙΠΙΔΗΣ.
τί ἐστιν;
ΑΓΑΘΩΝ.
ἐποίησάς ποτε,
χαίρεις ὁρῶν φῶς, πατέρα δ' οὐ χαίρειν δοκεῖς;
ΕΥΡΙΠΙΔΗΣ.
ἔγωγε.
ΑΓΑΘΩΝ.
μή νυν ἐλπίσῃς τὸ σὸν κακὸν
ἡμᾶς ὑφέξειν. καὶ γὰρ ἂν μαινοίμεθ' ἄν.
ἀλλ' αὐτὸς ὅ γε σόν ἐστιν οἰκείως φέρε.
τὰς συμφορὰς γὰρ οὐχὶ τοῖς τεχνάσμασιν
φέρειν δίκαιον, ἀλλὰ τοῖς παθήμασιν.
ΜΝΗΣΙΛΟΧΟΣ.
καὶ μὴν σύ γ', ὦ κατάπυγον, εὐρύπρωκτος εἶ
οὐ τοῖς λόγοισιν, ἀλλὰ τοῖς παθήμασιν.
ΕΥΡΙΠΙΔΗΣ.
τί δ' ἔστιν ὅ τι δέδοικας ἐλθεῖν αὐτόσε;
ΑΓΑΘΩΝ.
κάκιον ἀπολοίμην ἂν ἢ σύ.
ΕΥΡΙΠΙΔΗΣ.
πῶς;
ΑΓΑΘΩΝ.
ὅπως;
δοκῶν γυναικῶν ἔργα νυκτερείσια
κλέπτειν ὑφαρπάζειν τε θήλειαν Κύπριν.
ΜΝΗΣΙΛΟΧΟΣ.
ἰδού γε κλέπτειν· νὴ Δί, βινεῖσθαι μὲν οὖν.
ἀτὰρ ἡ πρόφασίς γε νὴ Δί' εἰκότως ἔχει.
ΕΥΡΙΠΙΔΗΣ.
τί οὖν; ποιήσεις ταῦτα;
ΑΓΑΘΩΝ.
μὴ δόκει γε σύ.
ΕΥΡΙΠΙΔΗΣ.
ὦ τρισκακοδαίμων, ὡς ἀπόλωλ'.
ΜΝΗΣΙΛΟΧΟΣ.
Εὐριπίδη,
ὦ φίλτατ', ὦ κηδεστὰ, μὴ σαυτὸν προδῷς.
ΕΥΡΙΠΙΔΗΣ.
πῶς οὖν ποιήσω δῆτα;
ΜΝΗΣΙΛΟΧΟΣ.
τοῦτον μὲν μακρὰ
κλάειν κέλευ', ἐμοὶ δ' ὅ τι βούλει χρῶ λαβών.
ΕΥΡΙΠΙΔΗΣ.
ἄγε νυν, ἐπειδὴ σαυτὸν ἐπιδίδως ἐμοὶ,
ἀπόδυθι τουτὶ θοἰμάτιον.
ΜΝΗΣΙΛΟΧΟΣ.
καὶ δὴ χαμαί.
ἀτὰρ τί μέλλεις δρᾶν μ';
ΕΥΡΙΠΙΔΗΣ.
ἀποξυρεῖν ταδὶ,
τα κάτω δ' ἀφεύειν.
ΜΝΗΣΙΛΟΧΟΣ.
ἀλλὰ πρᾶττ', εἴ σοι δοκεῖ·
ἢ μὴ 'πιδιδόναι 'μαυτὸν ὤφελόν ποτε.
ΕΥΡΙΠΙΔΗΣ.
Ἀγάθων, σὺ μέντοι ξυροφορεῖς ἑκάστοτε,
χρῆσόν τι νῦν ἡμῖν ξυρόν.
ΑΓΑΘΩΝ.
αὐτὸς λάμβανε
ἐντεῦθεν ἐκ τῆς ξυροδόκης.
ΕΥΡΙΠΙΔΗΣ.
γενναῖος εἶ·
κάθιζε· φύσα τὴν γνάθον τὴν δεξιάν.
ΜΝΗΣΙΛΟΧΟΣ.
ὤμοι.
ΕΥΡΙΠΙΔΗΣ.
τί κέκραγας; ἐμβαλῶ σοι πάτταλον,
ἢν μὴ σιωπᾷς.
ΜΝΗΣΙΛΟΧΟΣ.
ἀτταταῖ ἰατταταῖ.
ΕΥΡΙΠΙΔΗΣ.
οὗτος σὺ ποῖ θεῖς;
ΜΝΗΣΙΛΟΧΟΣ.
εἰς τὸ τῶν σεμνῶν θεῶν·
οὐ γὰρ μὰ τὴν Δήμητρά γ' ἐνταυθὶ μενῶ
τεμνόμενος.
ΕΥΡΙΠΙΔΗΣ.
οὔκουν καταγέλαστος δῆτ' ἔσει
τὴν ἡμίκραιραν τὴν ἑτέραν ψιλὴν ἔχων;
ΜΝΗΣΙΛΟΧΟΣ.
ὀλίγον μέλει μοι.
ΕΥΡΙΠΙΔΗΣ.
μηδαμῶς, πρὸς τῶν θεῶν,
προδῷς με. χώρει δεῦρο.
ΜΝΗΣΙΛΟΧΟΣ.
κακοδαίμων ἐγώ.
ΕΥΡΙΠΙΔΗΣ.
ἔχ' ἀτρέμα σαυτὸν κἀνάκυπτε. ποῖ στρέφει;
ΜΝΗΣΙΛΟΧΟΣ.
μῦ μῦ.
ΕΥΡΙΠΙΔΗΣ.
τί μύζεις; πάντα πεποίηται καλῶς.
ΜΝΗΣΙΛΟΧΟΣ.
οἴμοι κακοδαίμων, ψιλὸς αὖ στρατεύσομαι.
ΕΥΡΙΠΙΔΗΣ.
μὴ φροντίσῃς· ὡς εὐπρεπὴς φανεῖ πάνυ.
βούλει θεᾶσθαι σαυτόν;
ΜΝΗΣΙΛΟΧΟΣ.
εἰ δοκεῖ, φέρε.

ΕΥΡΙΠΙΔΗΣ.
ὁρᾷς σεαυτόν;
ΜΝΗΣΙΛΟΧΟΣ.
οὐ μὰ Δί', ἀλλὰ Κλεισθένη.
ΕΥΡΙΠΙΔΗΣ.
ἀνίστασ', ἵν' ἀφεύσω σε, κἀγκύψας ἔχε.
ΜΝΗΣΙΛΟΧΟΣ.
οἴμοι κακοδαίμων, δελφάκιον γενήσομαι.
ΕΥΡΙΠΙΔΗΣ.
ἐνεγκάτω τις ἔνδοθεν δᾷδ' ἢ λύχνον.
ἐπίκυπτε· τὴν κέρκον φυλάττου νυν ἄκραν.
ΜΝΗΣΙΛΟΧΟΣ.
ἐμοὶ μελήσει νὴ Δί, πλήν γ' ὅτι κάομαι.
οἴμοι τάλας. ὕδωρ ὕδωρ, ὦ γείτονες,
πρὶν ἀντιλαβέσθαι τόν γε πρωκτὸν τῆς φλογός.
ΕΥΡΙΠΙΔΗΣ.
θάρρει.
ΜΝΗΣΙΛΟΧΟΣ.
τί θαρρῶ καταπεπυρπολημένος;
ΕΥΡΙΠΙΔΗΣ.
ἀλλ' οὐκ ἔτ' οὐδὲν πρᾶγμά σοι· τὰ πλεῖστα γὰρ
ἀποπεπόνηκας.
ΜΝΗΣΙΛΟΧΟΣ.
φεῦ, ἰοὺ τῆς ἀσβόλου.
αἰθὸς γεγένημαι πάντα τὰ περὶ τὴν τράμιν.
ΕΥΡΙΠΙΔΗΣ.
μὴ φροντίσῃς· ἕτερος γὰρ αὐτὰ σπογγιεῖ.
ΜΝΗΣΙΛΟΧΟΣ.
οἰμώξεταἄρ' εἴ τις τὸν ἐμὸν πρωκτὸν πλυνεῖ.
ΕΥΡΙΠΙΔΗΣ.
Ἀγάθων, ἐπειδὴ σαυτὸν ἐπιδοῦναι φθονεῖς,
ἀλλ' ἱμάτιον γοῦν χρῆσον ἡμῖν τουτῳὶ
καὶ στρόφιον· οὐ γὰρ ταῦτά γ' ὡς οὐκ ἔστ' ἐρεῖς.
ΑΓΑΘΩΝ.
λαμβάνετε καὶ χρῆσθ'· οὐ φθονῶ.
ΜΝΗΣΙΛΟΧΟΣ.
τί οὖν λάβω;
ΑΓΑΘΩΝ.
ὅ τι; τὸν κροκωτὸν πρῶτον ἐνδύου λαβών.
ΕΥΡΙΠΙΔΗΣ.
νὴ τὴν Ἀφροδίτην, ἡδύ γ' ὄζει ποσθίου.
ΑΓΑΘΩΝ.
σύζωσον ἀνύσας. αἶρέ νυν στρόφιον.
ΕΥΡΙΠΙΔΗΣ.
ἰδού.
ΜΝΗΣΙΛΟΧΟΣ.
ἴθι νυν κατάστειλόν με τὰ περὶ τὼ σκέλη.
ΕΥΡΙΠΙΔΗΣ.
κεκρυφάλου δεῖ καὶ μίτρας.
ΑΓΑΘΩΝ.
ἡδὶ μὲν οὖν
κεφαλὴ περίθετος, ἣν ἐγὼ νύκτωρ φορῶ.
ΕΥΡΙΠΙΔΗΣ.
νὴ τὸν Δί', ἀλλὰ κἀπιτηδεία πάνυ.
ΜΝΗΣΙΛΟΧΟΣ.
ἆρ' ἁρμόσει μοι;
ΑΓΑΘΩΝ.
νὴ Δί' ἀλλ' ἄριστ' ἔχει.
ΕΥΡΙΠΙΔΗΣ.
φέρ' ἔγκυκλον.
ΑΓΑΘΩΝ.
τουτὶ λάβ' ἀπὸ τῆς κλινίδος.
ΕΥΡΙΠΙΔΗΣ.
ὑποδημάτων δεῖ.
ΑΓΑΘΩΝ.
τἀμὰ ταυτὶ λάμβανε.
ΜΝΗΣΙΛΟΧΟΣ.
ἆρ' ἁρμόσει μοι;
ΕΥΡΙΠΙΔΗΣ.
χαλαρὰ γοῦν χαίρεις φορῶ[n]
ΑΓΑΘΩΝ.
σὺ τοῦτο γίγνωσκ'· ἀλλ' ἔχεις γὰρ ὧν δέει.
εἴσω τις ὡς τάχιστά μ' εἰσκυκλησάτω.
ΕΥΡΙΠΙΔΗΣ.
ἀνὴρ μὲν ἡμῖν οὑτοσὶ καὶ δὴ γυνὴ
τό γ' εἶδος· ἢν λαλῇς δ', ὅπως τῷ φθέγματ[ι]
γυναικιεῖς εὖ καὶ πιθανῶς.
ΜΝΗΣΙΛΟΧΟΣ.
πειράσομαι.
ΕΥΡΙΠΙΔΗΣ.
βάδιζε τοίνυν.
ΜΝΗΣΙΛΟΧΟΣ.
μὰ τὸν Ἀπόλλω οὔκ, ἤν γε μ[ὴ]
ὀμόσῃς ἐμοὶ
ΕΥΡΙΠΙΔΗΣ.
τί χρῆμα;
ΜΝΗΣΙΛΟΧΟΣ.
συσσώσειν ἐμὲ
πάσαις τέχναις, ἤν μοί τι περιπίπτῃ κακόν.
ΕΥΡΙΠΙΔΗΣ.
ὄμνυμι τοίνυν αἰθέρ' οἴκησιν Διός.
ΜΝΗΣΙΛΟΧΟΣ.
τί μᾶλλον ἢ τὴν Ἱπποκράτους ξυνοικίαν;
ΕΥΡΙΠΙΔΗΣ.
ὄμνυμι τοίνυν πάντας ἄρδην τοὺς θεούς.
ΜΝΗΣΙΛΟΧΟΣ.
μέμνησο τοίνυν ταῦθ', ὅτι ἡ φρὴν ὤμοσεν,
ἡ γλῶττα δ' οὐκ ὀμώμοκ'· οὐδ' ὥρκωσ' ἐ[γώ.]
ΕΥΡΙΠΙΔΗΣ.
ἔκσπευδε ταχέως· ὡς τὸ τῆς ἐκκλησίας
σημεῖον ἐν τῷ Θεσμοφορίῳ φαίνεται.
ἐγὼ δ' ἄπειμι.
ΜΝΗΣΙΛΟΧΟΣ.
δεῦρό νυν, ὦ Θρᾶτθ', ἕπου.
ὦ Θρᾶττα, θᾶσαι, καομένων τῶν λαμπάδων
ὅσον τὸ χρῆμ' ἀνέρχεθ' ὑπὸ τῆς λιγνύος.
ἀλλ', ὦ περικαλλῆ Θεσμοφόρω, δέξασθέ μ[ε]
ἀγαθῇ τύχῃ καὶ δεῦρο καὶ πάλιν οἴκαδε.
ὦ Θρᾶττα, τὴν κίστην κάθελε, κᾆτ' ἔξελ[ε]
τὸ πόπανον, ὅπως λαβοῦσα θύσω ταῖν θε[αῖν.]
δέσποινα πολυτίμητε Δήμητερ φίλη
καὶ Φερσέφαττα, πολλὰ πολλάκις μέ σοι
θύειν ἔχουσαν, εἰ δὲ μή, ἀλλὰ νῦν λαθεῖν.
καὶ τὴν θυγατέρα χοῖρον ἀνδρός μοι τυχ[εῖν]
πλουτοῦντος, ἄλλως τ' ἠλιθίου κἀβελτέρου,
καὶ ποσθαλίσκον νοῦν ἔχειν μοι καὶ φρέν[ας.]
ποῦ ποῦ καθίζωμ' ἐν καλῷ, τῶν ῥητόρων
ἵν' ἐξακούω; σὺ δ' ἄπιθ', ὦ Θρᾷττ', ἐκπο[δών·]
δούλοις γὰρ οὐκ ἔξεστ' ἀκούειν τῶν λόγων.

ΚΗΡΥΞ.

εὐφημία 'στω, εὐφημία 'στω. εὔχεσθε ταῖν Θεσμοφόροιν, τῇ Δήμητρι καὶ τῇ Κόρῃ, καὶ τῷ Πλούτῳ, καὶ τῇ Καλλιγενείᾳ, καὶ τῇ Κουροτρόφῳ, τῇ Γῇ, καὶ τῷ Ἑρμῇ, καὶ Χάρισιν, ἐκκλησίαν τήνδε καὶ σύνοδον τὴν νῦν κάλλιστα καὶ ἄριστα ποιῆσαι, πολυωφελῶς μὲν πόλει τῇ Ἀθηναίων, τυχηρῶς δ' ἡμῖν αὐταῖς. καὶ τὴν δρῶσαν καὶ τὴν ἀγορεύουσαν τὰ βέλτιστα περὶ τὸν δῆμον τὸν Ἀθηναίων καὶ τὸν τῶν γυναικῶν, ταύτην νικᾶν. ταῦτ' εὔχεσθε, καὶ ὑμῖν αὐταῖς τἀγαθά. ἰὴ παιών, ἰὴ παιών. χαίρωμεν.

ΧΟΡΟΣ.

δεχόμεσθα καὶ θεῶν γένος
λιτόμεσθα ταῖσδ' ἐπ' εὐχαῖς
φανέντας ἐπιχαρῆναι.
Ζεῦ μεγαλώνυμε χρυσολύρα τε,
Δῆλον ὃς ἔχεις ἱεράν,
καὶ σὺ παγκρατὴς κόρα
γλαυκῶπι χρυσόλογχε
πόλιν οἰκοῦσα περιμάχητον, ἐλθὲ δεῦρο.
καὶ πολυώνυμε, θηροφόνη παῖ,
Λατοῦς χρυσώπιδος ἔρνος.
σύ τε πόντιε σεμνὲ Πόσειδον,
ἁλιμέδον, προλιπὼν
μυχὸν ἰχθυόεντ' οἰστροδόνητον.
Νηρέος εἰνάλιοί τε κόραι,
Νύμφαι τ' ὀρείπλαγκτοι.
χρυσέα τε φόρμιγξ
ἰαχήσειεν ἐπ' εὐχαῖς
ἡμετέραις· τελέως δ'
ἐκκλησιάσαιμεν Ἀθηναίων
εὐγενεῖς γυναῖκες.

ΚΗΡΥΞ.

εὔχεσθε τοῖς θεοῖσι τοῖς Ὀλυμπίοις
καὶ ταῖς Ὀλυμπίαισι, καὶ τοῖς Πυθίοις
καὶ ταῖσι Πυθίαισι, καὶ τοῖς Δηλίοις
καὶ ταῖσι Δηλίαισι, τοῖς τ' ἄλλοις θεοῖς,
εἴ τις ἐπιβουλεύει τι τῷ δήμῳ κακὸν
τῷ τῶν γυναικῶν, ἢ 'πικηρυκεύεται
Εὐριπίδῃ Μήδοις τ' ἐπὶ βλάβῃ τινὶ
τῇ τῶν γυναικῶν, ἢ τυραννεῖν ἐπινοεῖ,
ἢ τὸν τύραννον συγκατάγειν, ἢ παιδίον
ὑποβαλλομένης κατεῖπέ τις, ἢ δούλη τινὸς
προαγωγὸς οὖσ' ἐνετρύλισεν τῷ δεσπότῃ,
ἢ πεμπομένη τις ἀγγελίας ψευδεῖς φέρει,
ἢ μοιχὸς εἴ τις ἐξαπατᾷ ψευδῆ λέγων,
καὶ μὴ δίδωσιν ἃν ὑπόσχηταί ποτε,
ἢ δῶρά τις δίδωσι μοιχῷ γραῦς γυνή,
ἢ καὶ δέχεται προδιδοῦσ' ἑταίρα τὸν φίλον,
κεἴ τις κάπηλος ἢ καπηλὶς τοῦ χοὸς
ἢ τῶν κοτυλῶν τὸ νόμισμα διαλυμαίνεται,
κακῶς ἀπολέσθαι τοῦτον αὐτὸν κᾠκίαν
ἀρᾶσθε, ταῖς δ' ἄλλαισιν ὑμῖν τοὺς θεοὺς
εὔχεσθε πάσαις πολλὰ δοῦναι κἀγαθά.

ΧΟΡΟΣ.

ξυνευχόμεσθα τέλεα μὲν
πόλει, τέλεα δὲ δήμῳ
τάδ' εὔγματα γενέσθαι.
τὰ δ' ἄρισθ' ὅσαις προσήκει
νικᾶν λεγούσαις. ὁπόσαι δ'
ἐξαπατῶσιν παραβαίνουσί τε τοὺς
ὅρκους τοὺς νενομισμένους
κερδῶν οὕνεκ' ἐπὶ βλάβῃ,
ἢ ψηφίσματα καὶ νόμον
ζητοῦσ' ἀντιμεθιστάναι,
τἀπόρρητά τε τοῖσιν ἐ-
χθροῖς τοῖς ἡμετέροις λέγουσ',
ἢ Μήδους ἐπάγουσι τῆς
χώρας οὕνεκ' ἐπὶ βλάβῃ,
ἀσεβοῦσ', ἀδικοῦσί τε τὴν πόλιν.
ἀλλ' ὦ παγκρατὲς
Ζεῦ, ταῦτα κυρώσειας, ὥσθ'
ἡμῖν θεοὺς παραστατεῖν,
καίπερ γυναιξὶν οὔσαις.

ΚΗΡΥΞ.

ἄκουε πᾶς. ἔδοξε τῇ βουλῇ τάδε
τῇ τῶν γυναικῶν· Τιμόκλει' ἐπεστάτει·
Λύσιλλ' ἐγραμμάτευεν, εἶπε Σωστράτη·
ἐκκλησίαν ποιεῖν ἕωθεν τῇ μέσῃ
τῶν Θεσμοφορίων, ᾗ μάλισθ' ἡμῖν σχολή,
καὶ χρηματίζειν πρῶτα περὶ Εὐριπίδου,
ὅ τι χρὴ παθεῖν ἐκεῖνον· ἀδικεῖν γὰρ δοκεῖ
ἡμῖν ἁπάσαις. τίς ἀγορεύειν βούλεται;

ΓΥΝΗ Α.

ἐγώ.

ΚΗΡΥΞ.

περίθου νυν τόνδε πρῶτον πρὶν λέγειν.
σίγα, σιώπα, πρόσεχε τὸν νοῦν· χρέμπτεται γὰρ ἤδη,
ὅπερ ποιοῦσ' οἱ ῥήτορες. μακρὰν ἔοικε λέξειν.

ΓΥΝΗ Α.

φιλοτιμίᾳ μὲν οὐδεμιᾷ μὰ τὼ θεὼ
λέξουσ' ἀνέστην, ὦ γυναῖκες· ἀλλὰ γὰρ
βαρέως φέρω τάλαινα πολὺν ἤδη χρόνον
προπηλακιζομένας ὁρῶσ' ὑμᾶς ὑπὸ
Εὐριπίδου τοῦ τῆς λαχανοπωλητρίας
καὶ πολλὰ καὶ παντοῖ' ἀκουούσας κακά.
τί γὰρ οὗτος ἡμᾶς οὐκ ἐπισμῇ τῶν κακῶν;
ποῦ δ' οὐχὶ διαβέβληχ', ὅπουπερ ἔμβραχυ
εἰσὶν θεαταὶ καὶ τραγῳδοὶ καὶ χοροί,
τὰς μυχοτρόπους, τὰς ἀνδρεραστρίας καλῶν,
τὰς οἰνοπότιδας, τὰς προδότιδας, τὰς λάλους,
τὰς οὐδὲν ὑγιὲς, τὰς μέγ' ἀνδράσιν κακόν.
ὥστ' εὐθὺς εἰσιόντες ἀπὸ τῶν ἰκρίων
ὑποβλέπουσ' ἡμᾶς, σκοποῦνταί τ' εὐθέως,
μὴ μοιχὸς ἔνδον ᾖ τις ἀποκεκρυμμένος.
δρᾶσαι δ' ἔθ' ἡμῖν οὐδὲν ὥσπερ καὶ πρὸ τοῦ
ἔξεστι· τοιαῦθ' οὗτος ἐδίδαξεν κακὰ
τοὺς ἄνδρας ἡμῶν· ὥστ', ἐάν γέ τις πλέκῃ
γυνὴ στέφανον, ἐρᾶν δοκεῖ· κἂν ἐκβάλῃ
σκεῦός τι κατὰ τὴν οἰκίαν πλανωμένη,
ἀνὴρ ἐρωτᾷ, τῷ κατέαγεν ἡ χύτρα;
οὐκ ἔσθ' ὅπως οὐ τῷ Κορινθίῳ ξένῳ.
κάμνει κόρη τις, εὐθὺς ἀδελφὸς λέγει,
τὸ χρῶμα τοῦτό μ' οὐκ ἀρέσκει τῆς κόρης.
εἶεν, γυνή τις ὑποβαλέσθαι βούλεται,
ἀποροῦσα παίδων, οὐδὲ τοῦτ' ἔστιν λαθεῖν.
ἄνδρες γὰρ ἤδη παρακάθηνται πλησίον·
πρὸς τοὺς γέροντάς θ', οἳ πρὸ τοῦ τὰς μείρακας

ἥγοντο, διαβέβληκεν, ὥστ' οὐδεὶς γέρων
γαμεῖν θέλει γυναῖκα διὰ τοὔπος τοδί·
δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή.
εἶτα διὰ τοῦτον ταῖς γυναικωνίτισιν
σφραγῖδας ἐπιβάλλουσιν ἤδη καὶ μοχλοὺς
τηροῦντες ἡμᾶς, καὶ προσέτι Μολοττικοὺς
τρέφουσι μορμολυκεῖα τοῖς μοιχοῖς κύνας.
καὶ ταῦτα μὲν ξυγγνώσθ'· ἃ δ' ἦν ἡμῖν πρὸ
τοῦ,
αὐταῖς ταμιεύεσθαι, προαιρούσαις λαβεῖν
ἄλφιτον, ἔλαιον, οἶνον, οὐδὲ ταῦτ' ἔτι
ἔξεστιν. οἱ γὰρ ἄνδρες ἤδη κλειδία
αὐτοὶ φοροῦσι κρυπτὰ, κακοηθέστατα,
Λακωνίκ' ἄττα, τρεῖς ἔχοντα γομφίους.
πρὸ τοῦ μὲν οὖν ἦν ἀλλ' ὑποῖξαι τὴν θύραν
ποιησαμέναισι δακτύλιον τριωβόλου,
νῦν δ' οὗτος αὐτοὺς ᾠκότριψ Εὐριπίδης
ἐδίδαξε θριπήδεστ' ἔχειν σφραγίδια
ἐξαψαμένους. νῦν οὖν ἐμοὶ τούτῳ δοκεῖ
ὄλεθρόν τιν' ἡμᾶς κυρκανᾶν ἁμωσγέπως,
ἢ φαρμάκοισιν, ἢ μιᾷ γέ τῳ τέχνῃ,
ὅπως ἀπολεῖται. ταῦτ' ἐγὼ φανερῶς λέγω·
τὰ δ' ἄλλα μετὰ τοῦ γραμματέως συγγράψομαι.

ΧΟΡΟΣ.

οὔπω ταύτης ἤκουσα
πολυπλοκωτέρας γυναικὸς
οὐδὲ δεινότερον λεγούσης.
πάντα γὰρ λέγει δίκαια,
πάσας δ' ἰδέας ἐξήτασεν,
πάντα δ' ἐβάστασεν φρενὶ, πυκνῶς τε
ποικίλους λόγους ἀνεῦρεν
εὖ διεζητημένους.
ὥστ' ἂν εἰ λέγοι παρ' αὐτὴν
Ξενοκλέης ὁ Καρκίνου, δο-
κεῖν ἂν αὐτὸν, ὡς ἐγῷμαι,
πᾶσιν ὑμῖν
ἄντικρυς μηδὲν λέγειν.

ΓΥΝΗ Β.

ὀλίγων ἕνεκα κἀυτὴ παρῆλθον ῥημάτων.
τὰ μὲν γὰρ ἄλλ' αὕτη κατηγόρηκεν εὖ·
ἃ δ' ἐγὼ πέπονθα, ταῦτα λέξαι βούλομαι.
ἐμοὶ γὰρ ἀνὴρ ἀπέθανεν μὲν ἐν Κύπρῳ,
παιδάρια πέντε καταλιπὼν, ἁγὼ μόλις
στεφανηπλοκοῦσ' ἔβοσκον ἐν ταῖς μυρρίναις.
τέως μὲν οὖν ἀλλ' ἡμικάκως ἐβοσκόμην·
νῦν δ' οὗτος ἐν ταῖσιν τραγῳδίαις ποιῶν
τοὺς ἄνδρας ἀναπέπεικεν οὐκ εἶναι θεούς·
ὥστ' οὐκέτ' ἐμπολῶμεν οὐδ' εἰς ἥμισυ.
νῦν οὖν ἁπάσαισιν παραινῶ καὶ λέγω
τοῦτον κολάσαι τὸν ἄνδρα πολλῶν οὕνεκα·
ἄγρια γὰρ ἡμᾶς, ὦ γυναῖκες, δρᾷ κακὰ,
ἅτ' ἐν ἀγρίοισι τοῖς λαχάνοις αὐτὸς τραφείς.
ἀλλ' εἰς ἀγορὰν ἄπειμι· δεῖ γὰρ ἀνδράσιν
πλέξαι στεφάνους συνθηματιαίους εἴκοσιν.

ΧΟΡΟΣ.

ἕτερον αὖ τι λῆμα τοῦτο
κομψότερον ἔτ' ἢ τὸ πρότερον ἀναπέφηνεν.
οἷα κατεστωμύλατο
οὐκ ἄκαιρα, φρένας ἔχουσα,

434—442. == 520—530.

καὶ πολύπλοκον νόημ', οὐδ' ἀσύνετ', ἀλλὰ
πιθανὰ πάντα. δεῖ δὲ ταύτης
τῆς ὕβρεος ἡμῖν τὸν ἄνδρα περιφανῶς δοῦ-
ναι δίκην.

ΜΝΗΣΙΛΟΧΟΣ.

τὸ μὲν, ὦ γυναῖκες, ὀξυθυμεῖσθαι σφόδρα
Εὐριπίδῃ, τοιαῦτ' ἀκουούσας κακὰ,
οὐ θαυμάσιόν ἐστ', οὐδ' ἐπιζεῖν τὴν χολήν.
καὐτὴ γὰρ ἔγωγ', οὕτως ὀναίμην τῶν τέκνων,
μισῶ τὸν ἄνδρ' ἐκεῖνον, εἰ μὴ μαίνομαι.
ὅμως δ' ἐν ἀλλήλαισι χρὴ δοῦναι λόγον·
αὐταὶ γάρ ἐσμεν, κοὐδεμί' ἐκφορὰ λόγου.
τί ταῦτ' ἔχουσαι κεῖνον αἰτιώμεθα
βαρέως τε φέρομεν, εἰ δύ' ἡμῶν ἢ τρία
κακὰ ξυνειδὼς εἶπε δρώσας μυρία;
ἐγὼ γὰρ αὐτὴ πρῶτον, ἵνα μἄλλην λέγω,
ξύνοιδ' ἐμαυτῇ πολλὰ δείν'· ἐκεῖνο δ' οὖν
δεινότατον, ὅτε νύμφη μὲν ἦ τρεῖς ἡμέρας,
ὁ δ' ἀνὴρ παρ' ἐμοὶ καθεῦδεν· ἦν δ' ἐμοὶ
φίλος,
ὅσπερ με διεκόρευσεν οὖσαν ἑπτέτιν.
οὗτος πόθῳ μου 'κνυεν ἐλθὼν τὴν θύραν·
κᾆτ' εὐθὺς ἔγνων· εἶτα καταβαίνω λάθρα.
ὁ δ' ἀνὴρ ἐρωτᾷ, ποῖ σὺ καταβαίνεις; — ὅποι;
στρόφος μ' ἔχει τὴν γαστέρ', ὦνερ, κὠδύνη·
ἐς τὸν κοπρῶν' οὖν ἔρχομαι. — βάδιζέ νυν.
κᾆθ' ὁ μὲν ἔτριβεν κεδρίδας, ἄννηθον, σφάκον·
ἐγὼ δὲ καταχέασα τοῦ στροφέως ὕδωρ
ἐξῆλθον ὡς τὸν μοιχόν· εἶτ' ἠρειδόμην
παρὰ τὸν 'Αγυιᾶ, κύβδ' ἐχομένη τῆς δάφνης.
ταῦτ' οὐδεπώποτ' εἶφ', ὁρᾶτ', Εὐριπίδης·
οὐδ' ὡς ὑπὸ τῶν δούλων τε κὠρεωκόμων
σποδούμεθ', ἢν μὴ 'χωμεν ἕτερον, οὐ λέγει·
οὐδ' ὡς, ὅταν μάλισθ' ὑπό του ληκώμεθα
τὴν νύχθ', ἕωθεν σκορόδια μασώμεσθ' ἵνα,
ὀσφραινόμενος ἀνὴρ ἀπὸ τείχους εἰσιὼν
μηδὲν κακὸν δρᾶν ὑποτοπῆται. ταῦθ', ὁρᾷς,
οὐπώποτ' εἶπεν. εἰ δὲ Φαίδραν λοιδορεῖ,
ἡμῖν τί τοῦτ' ἔστ'; οὐδ' ἐκεῖν' εἴρηκέ πω,
ὡς ἡ γυνὴ δεικνῦσα τἀνδρὶ τοὔγκυκλον
ὑπ' αὐγὰς οἷόν ἐστιν, ἐγκεκαλυμμένον
τὸν μοιχὸν ἐξέπεμψεν, οὐκ εἴρηκέ πω.
ἑτέραν δ' ἐγᾦδ' ἣ 'φασκεν ὠδίνειν γυνὴ
δέχ' ἡμέρας, ἕως ἐπρίατο παιδίον·
ὁ δ' ἀνὴρ περιῄρχετ' ὠκυτόκι' ὠνούμενος·
τὸ δ' εἰσέφερε γραῦς ἐν χύτρᾳ τὸ παιδίον,
ἵνα μὴ βοῴη, κηρίῳ βεβυσμένον·
εἶθ' ὡς ἔνευσεν ἡ φέρουσ', εὐθὺς βοᾷ,
ἄπελθ' ἄπελθ', ἤδη γὰρ ὦνέρ μοι δοκῶ
τέξειν· τὸ γὰρ ἦτρον τῆς χύτρας ἐλάκτισεν.
χὠ μὲν γεγηθὼς ἔτρεχεν, ἡ δ' ἐξέσπασεν
ἐκ τοῦ στόματος τοῦ παιδίου, τὸ δ' ἀνέκραγεν.
εἶθ' ἡ μιαρὰ γραῦς, ἣ 'φερεν τὸ παιδίον,
θεῖ μειδιῶσα πρὸς τὸν ἄνδρα καὶ λέγει,
λέων λέων σοι γέγονεν, αὐτέκμαγμα σὸν,
τά τ' ἄλλ' ἀπαξάπαντα καὶ τὸ πόσθιον
τῷ σῷ προσόμοιον, στρεβλὸν ὥσπερ κύτταρον.
ταῦτ' οὐ ποιοῦμεν τὰ κακά; νὴ τὴν Ἄρτεμιν
ἡμεῖς γε. κᾆτ' Εὐριπίδῃ θυμούμεθα,
οὐδὲν παθοῦσαι μεῖζον ἢ δεδράκαμεν;

ΧΟΡΟΣ.

τουτὶ μέντοι θαυμαστὸν,
ὁπόθεν εὑρέθη τὸ χρῆμα,
χἤτις ἐξέθρεψε χώρα
τήνδε τὴν θρασεῖαν οὕτω.
τάδε γὰρ εἰπεῖν τὴν πανοῦργον
κατὰ τὸ φανερὸν ὧδ' ἀναιδῶς
οὐκ ἂν ᾤόμην ἐν ἡμῖν
οὐδὲ τολμῆσαί ποτ' ἄν.
ἀλλ' ἅπαν γένοιτ' ἂν ἤδη·
τὴν παροιμίαν δ' ἐπαινῶ
τὴν παλαιάν· ὑπὸ λίθῳ γὰρ
παντί που χρὴ
μὴ δάκῃ ῥήτωρ ἀθρεῖν.
ἀλλ' οὐ γάρ ἐστι τῶν ἀναισχύντων φύσει γυναικῶν
οὐδὲν κάκιον εἰς ἅπαντα πλὴν ἄρ' ἢ γυναῖκες.

ΓΥΝΗ Γ.

οὔ τοι μὰ τὴν Ἄγλαυρον, ὦ γυναῖκες, εὖ φρονεῖτε,
ἀλλ' ἢ πεφάρμαχθ' ἢ κακόν τι μέγα πεπόνθατ' ἄλλο,
ταύτην ἐῶσαι τὴν φθόρον τοιαῦτα περιυβρίζειν
ἡμᾶς ἁπάσας. εἰ μὲν οὖν τις ἔστιν· εἰ δὲ μὴ, ἡμεῖς
αὐταί γε καὶ τὰ δουλάρια τέφραν ποθὲν λαβοῦσαι
ταύτης ἀποψιλώσομεν τὸν χοῖρον, ἵνα διδαχθῇ
γυνὴ γυναῖκας οὖσα μὴ κακῶς λέγειν τὸ λοιπόν.

ΜΝΗΣΙΛΟΧΟΣ.

μὴ δῆτα τόν γε χοῖρον, ὦ γυναῖκες. εἰ γὰρ οὔσης
παρρησίας κἀξὸν λέγειν ὅσαι πάρεσμεν ἀσταὶ,
εἶτ' εἶπον ἁγίγνωσκον ὑπὲρ Εὐριπίδου δίκαια,
διὰ τοῦτο τιλλομένην με δεῖ δοῦναι δίκην ὑφ' ὑμῶν;

ΓΥΝΗ Γ.

οὐ γάρ σε δεῖ δοῦναι δίκην; ἥτις μόνη τέτληκας
ὑπὲρ ἀνδρὸς ἀντειπεῖν, ὃς ἡμᾶς πολλὰ κακὰ δέδρακεν
ἐπίτηδες εὑρίσκων λόγους, ὅπου γυνὴ πονηρὰ
ἐγένετο, Μελανίππας ποιῶν Φαίδρας τε· Πηνελόπην δὲ
οὐπώποτ' ἐποίησ', ὅτι γυνὴ σώφρων ἔδοξεν εἶναι.

ΜΝΗΣΙΛΟΧΟΣ.

ἐγὼ γὰρ οἶδα ταἴτιον. μίαν γὰρ οὐκ ἂν εἴποις
τῶν νῦν γυναικῶν Πηνελόπην, Φαίδρας δ' ἁπαξαπάσας.

ΓΥΝΗ Γ.

ἀκούετ', ὦ γυναῖκες, οἷ' εἴρηκεν ἡ πανοῦργος
ἡμᾶς ἁπάσας αὖθις αὖ.

ΜΝΗΣΙΛΟΧΟΣ.

καὶ νὴ Δί' οὐδέπω γε
εἴρηχ' ὅσα ξύνοιδ'· ἐπεὶ βούλεσθε πλεῖον εἴπω;

ΓΥΝΗ Γ.

ἀλλ' οὐκ ἂν ἔτ' ἔχοις· ὅσα γὰρ ᾔδεις ἐξέχεας ἅπαντα.

ΜΝΗΣΙΛΟΧΟΣ.

μὰ Δί' οὐδέ πω τὴν μυριοστὴν μοῖραν ὧν ποιοῦμεν.
ἔπειτά γ' οὐκ εἴρηχ', ὁρᾷς, ὡς στλεγγίδας λαβοῦσαι
ἔπειτα σιφωνίζομεν τὸν οἶνον.

ΓΥΝΗ Γ.

ἐπιτριβείης.

ΜΝΗΣΙΛΟΧΟΣ.

ὥς τ' αὖ τὰ κρέ' ἐξ Ἀπατουρίων ταῖς μαστροποῖς διδοῦσαι,
ἔπειτα τὴν γαλῆν φαμὲν

ΓΥΝΗ Γ.

τάλαιν' ἐγὼ, φλυαρεῖς.

ΜΝΗΣΙΛΟΧΟΣ.

οὐδ' ὡς τὸν ἄνδρα τῷ πελέκει γυνὴ κατεσπόδησεν,
οὐκ εἶπον· οὐδ' ὡς φαρμάκοις ἑτέρα τὸν ἄνδρ' ἔμηνεν,
οὐδ' ὡς ὑπὸ τῇ πυέλῳ κατώρυξέν ποτ'

ΓΥΝΗ Γ.

ἐξόλοιο.

ΜΝΗΣΙΛΟΧΟΣ.

Ἀχαρνικὴ τὸν πατέρα.

ΓΥΝΗ Γ.

ταυτὶ δῆτ' ἀνέκτ' ἀκούειν;

ΜΝΗΣΙΛΟΧΟΣ.

οὐδ' ὡς σὺ τῆς δούλης τεκούσης ἄρρεν' εἶτα σαυτῇ
τοῦθ' ὑπεβάλου, τὸ σὸν δὲ θυγάτριον παρῆκας αὐτῇ.

ΓΥΝΗ Γ.

οὔ τοι μὰ τὼ θεὼ σὺ καταπροίξει λέγουσα ταυτὶ,
ἀλλ' ἐκποκιῶ σου τὰς ποκάδας.

ΜΝΗΣΙΛΟΧΟΣ.

οὐ δὴ μὰ Δία σύ γ' ἅψει.

ΓΥΝΗ Γ.

καὶ μὴν ἰδού.

ΜΝΗΣΙΛΟΧΟΣ.

καὶ μὴν ἰδού.

ΓΥΝΗ Γ.

λαβὲ θοἰμάτιον, Φιλίστη.

ΜΝΗΣΙΛΟΧΟΣ.

πρόσθες μόνον, κἀγώ σε νὴ τὴν Ἄρτεμιν

ΓΥΝΗ Γ.

τί δράσεις;

ΜΝΗΣΙΛΟΧΟΣ.

τὸν σησαμοῦνθ' ὃν κατέφαγες, τοῦτον χεσεῖν ποιήσω.

ΧΟΡΟΣ.

παύσασθε λοιδορούμεναι· καὶ γὰρ γυνή τις ἡμῖν
ἐσπουδακυῖα προστρέχει. πρὶν οὖν ὁμοῦ γενέσθαι,
σιγᾶθ', ἵν' αὐτῆς κοσμίως πυθώμεθ' ἅττα λέξει.

ΚΛΕΙΣΘΕΝΗΣ.

φίλαι γυναῖκες, ξυγγενεῖς τοὐμοῦ τρόπου,
ὅτι μὲν φίλος εἴμ' ὑμῖν, ἐπίδηλος ταῖς γνάθοις.
γυναικομανῶ γὰρ προξενῶ θ' ὑμῶν ἀεί.
καὶ νῦν ἀκούσας πρᾶγμα περὶ ὑμῶν μέγα
ὀλίγῳ τι πρότερον κατ' ἀγορὰν λαλούμενον,
ἥκω φράσων τοῦτ' ἀγγελῶν θ' ὑμῖν, ἵνα

σκοπῆτε καὶ τηρῆτε μὴ καὶ προσπέσῃ
ὑμῖν ἀφράκτοις πρᾶγμα δεινὸν καὶ μέγα.

ΧΟΡΟΣ.

τί δ' ἔστιν, ὦ παῖ; παῖδα γάρ σ' εἰκὸς καλεῖν,
ἕως ἂν οὕτως τὰς γνάθους ψιλὰς ἔχῃς.

ΚΛΕΙΣΘΕΝΗΣ.

Εὐριπίδην φάσ' ἄνδρα κηδεστήν τινα
αὑτοῦ, γέροντα, δεῦρ' ἀναπέμψαι τήμερον.

ΧΟΡΟΣ.

πρὸς ποῖον ἔργον, ἢ τίνος γνώμης χάριν;

ΚΛΕΙΣΘΕΝΗΣ.

ἵν' ἅττα βουλεύοισθε καὶ μέλλοιτε δρᾶν,
ἐκεῖνος εἴη τῶν λόγων κατάσκοπος.

ΧΟΡΟΣ.

καὶ πῶς λέληθεν ἐν γυναιξὶν ὢν ἀνήρ;

ΚΛΕΙΣΘΕΝΗΣ.

ἀφεῦσεν αὐτὸν κἀπέτιλ' Εὐριπίδης
καὶ τἄλλ' ἅπανθ' ὥσπερ γυναῖκ' ἐσκεύασεν.

ΜΝΗΣΙΛΟΧΟΣ.

πείθεσθε τούτῳ ταῦτα; τίς δ' οὕτως ἀνὴρ
ἠλίθιος ὅστις τιλλόμενος ἠνείχετ' ἄν;
οὐκ οἴομαι 'γωγ', ὦ πολυτιμήτω θεώ.

ΚΛΕΙΣΘΕΝΗΣ.

ληρεῖς· ἐγὼ γὰρ οὐκ ἂν ἦλθον ἀγγελῶν,
εἰ μὴ πεπύσμην ταῦτα τῶν σάφ' εἰδότων.

ΧΟΡΟΣ.

τὸ πρᾶγμα τουτὶ δεινὸν εἰσαγγέλλεται.
ἀλλ', ὦ γυναῖκες, οὐκ ἐλινύειν ἐχρῆν,
ἀλλὰ σκοπεῖν τὸν ἄνδρα καὶ ζητεῖν ὅπου
λέληθεν ἡμᾶς κρυπτὸς ἐγκαθήμενος.
καὶ σὺ ξυνέξευρ' αὐτὸν, ὡς ἂν τὴν χάριν
ταύτην τε κἀκείνην ἔχῃς, ὦ πρόξενε.

ΚΛΕΙΣΘΕΝΗΣ.

φέρ' ἴδω· τίς εἶ πρώτη σύ;

ΜΝΗΣΙΛΟΧΟΣ.

ποῖ τις τρέψεται;

ΚΛΕΙΣΘΕΝΗΣ.

ζητητέαι γάρ ἐστε.

ΜΝΗΣΙΛΟΧΟΣ.

κακοδαίμων ἐγώ.

ΓΥΝΗ Δ.

ἔμ' ἥτις εἴμ' ἤρου; Κλεωνύμου γυνή.

ΚΛΕΙΣΘΕΝΗΣ.

γιγνώσκεθ' ὑμεῖς ἥτις ἔσθ' ἥδ' ἡ γυνή;

ΧΟΡΟΣ.

γιγνώσκομεν δῆτ'. ἀλλὰ τὰς ἄλλας ἄθρει.

ΚΛΕΙΣΘΕΝΗΣ.

ἡδὶ δὲ δὴ τίς ἐστιν ἡ τὸ παιδίον
ἔχουσα;

ΓΥΝΗ Δ.

τιτθὴ νὴ Δί' ἐμή.

ΜΝΗΣΙΛΟΧΟΣ.

διοίχομαι.

ΚΛΕΙΣΘΕΝΗΣ.

αὕτη σὺ ποῖ στρέφει; μέν' αὐτοῦ. τί τὸ κακόν;

ΜΝΗΣΙΛΟΧΟΣ.

ἔασον οὐρῆσαί μ'.

ΚΛΕΙΣΘΕΝΗΣ.

ἀναίσχυντός τις εἶ.
σὺ δ' οὖν ποίει τοῦτ'. ἀναμένω γὰρ ἐνθάδε.

ΧΟΡΟΣ.

ἀνάμενε δῆτα, καὶ σκόπει γ' αὐτὴν σφόδρα·
μόνην γὰρ αὐτὴν, ὦνερ, οὐ γιγνώσκομεν.

ΚΛΕΙΣΘΕΝΗΣ.

πολύν γε χρόνον οὐρεῖς σύ.

ΜΝΗΣΙΛΟΧΟΣ.

νὴ Δί', ὦ μέλε·
στραγγουριῶ γάρ· ἐχθὲς ἔφαγον κάρδαμα.

ΚΛΕΙΣΘΕΝΗΣ.

τί καρδαμίζεις; οὐ βαδιεῖ δεῦρ' ὡς ἐμέ;

ΜΝΗΣΙΛΟΧΟΣ.

τί δῆτά μ' ἕλκεις ἀσθενοῦσαν;

ΚΛΕΙΣΘΕΝΗΣ.

εἰπέ μοι,
τίς ἔστ' ἀνήρ σοι;

ΜΝΗΣΙΛΟΧΟΣ.

τὸν ἐμὸν ἄνδρα πυνθάνει;
τὸν δεῖνα γιγνώσκεις, τὸν ἐκ Κοθωκιδῶν;

ΚΛΕΙΣΘΕΝΗΣ.

τὸν δεῖνα; ποῖον;

ΜΝΗΣΙΛΟΧΟΣ.

ἔσθ' ὁ δεῖν', ὃς καί ποτε
τὸν δεῖνα::τὸν τοῦ δεῖνα

ΚΛΕΙΣΘΕΝΗΣ.

ληρεῖν μοι δοκεῖς.
ἀνῆλθες ἤδη δεῦρο πρότερον;

ΜΝΗΣΙΛΟΧΟΣ.

νὴ Δία,
ὁσέτη γε.

ΚΛΕΙΣΘΕΝΗΣ.

καὶ τίς σοὐστὶ συσκηνήτρια;

ΜΝΗΣΙΛΟΧΟΣ.

ἡ δεῖν' ἔμοιγ'.

ΚΛΕΙΣΘΕΝΗΣ.

οἴμοι τάλας.

ΓΥΝΗ Ε.

οὐδὲν λέγεις.
ἄπελθ'. ἐγὼ γὰρ βασανιῶ ταύτην καλῶς
ἐκ τῶν ἱερῶν τῶν πέρυσι· σὺ δ' ἀπόστηθί μοι
ἵνα μὴ 'πακούσῃς ὢν ἀνήρ. σὺ δ' εἰπέ μοι
ὅ τι πρῶτον ἡμῖν τῶν ἱερῶν ἐδείκνυτο.

ΜΝΗΣΙΛΟΧΟΣ.

φέρ' ἴδω, τί μέντοι πρῶτον ἦν; ἐπίνομεν.

ΓΥΝΗ Ε.

τί δὲ μετὰ τοῦτο δεύτερον;

ΜΝΗΣΙΛΟΧΟΣ.

προὐπίνομεν.

ΓΥΝΗ Ε.

ταυτὶ μὲν ἤκουσάς τινος· τί δαὶ τρίτον;

ΜΝΗΣΙΛΟΧΟΣ.

σκάφιον Ξένυλλ' ᾔτησεν· οὐ γὰρ ἦν ἁμίς.

ΓΥΝΗ Ε.

οὐδὲν λέγεις. δεῦρ' ἐλθὲ, δεῦρ', ὦ Κλείσθενες·
ὅδ' ἐστὶν ἀνὴρ ὃν λέγεις.

ΚΛΕΙΣΘΕΝΗΣ.

τί οὖν ποιῶ;

ΓΥΝΗ Ε.

ἀπόδυσον αὐτόν· οὐδὲν ὑγιὲς γὰρ λέγει.

ΜΝΗΣΙΛΟΧΟΣ.
κἄπειτ' ἀποδύσει' ἐννέα παίδων μητέρα;
ΚΛΕΙΣΘΕΝΗΣ.
χάλα ταχέως τὸ στρόφιον, ὠναίσχυντε σύ.
ΓΥΝΗ Ε.
ὡς καὶ στιβαρά τις φαίνεται καὶ καρτερά·
καὶ νὴ Δί' τιτθούς γ' ὥσπερ ἡμεῖς οὐκ ἔχει.
ΜΝΗΣΙΛΟΧΟΣ.
στεριφὴ γάρ εἰμι κοὐκ ἐκύησα πώποτε.
ΓΥΝΗ Ε.
νῦν· τότε δὲ μήτηρ ἦσθα παίδων ἐννέα.
ΚΛΕΙΣΘΕΝΗΣ.
ἀνίστασ' ὀρθός. ποῖ τὸ πέος ὠθεῖς κάτω;
ΓΥΝΗ Ε.
τοδὶ διέκυψε καὶ μάλ' εὔχρων, ὦ τάλαν.
ΚΛΕΙΣΘΕΝΗΣ.
καὶ ποῦ 'στιν;
ΓΥΝΗ Ε.
αὖθις ἐς τὸ πρόσθεν οἴχεται.
ΚΛΕΙΣΘΕΝΗΣ.
οὐκ ἐνγεταυθί.
ΓΥΝΗ Ε.
μάλλὰ δεῦρ' ἥκει πάλιν.
ΚΛΕΙΣΘΕΝΗΣ.
ἰσθμόν τιν' ἔχεις, ὤνθρωπ'· ἄνω τε καὶ κάτω
τὸ πέος διέλκεις πυκνότερον Κορινθίων.
ΓΥΝΗ Ε.
ὦ μιαρὸς οὗτος· ταῦτ' ἄρ' ὑπὲρ Εὐριπίδου
ἡμῖν ἐλοιδορεῖτο.
ΜΝΗΣΙΛΟΧΟΣ.
κακοδαίμων ἐγώ,
εἰς οἷ' ἐμαυτὸν εἰσεκύλισα πράγματα.
ΓΥΝΗ Ε.
ἄγε δὴ τί δρῶμεν;
ΚΛΕΙΣΘΕΝΗΣ.
τουτονὶ φυλάττετε
καλῶς, ὅπως μὴ διαφυγὼν οἰχήσεται·
ἐγὼ δὲ ταῦτα τοῖς πρυτάνεσιν ἀγγελῶ.
ΧΟΡΟΣ.
ἡμᾶς τοίνυν μετὰ τοῦτ' ἤδη τὰς λαμπάδας ἁψαμένας χρὴ
ξυζωσαμένας εὖ κἀνδρείως τῶν θ' ἱματίων ἀποδύσας
ζητεῖν, εἴ που κἄλλος τις ἀνὴρ ἐσελήλυθε, καὶ περιθρέξαι
τὴν πύκνα πᾶσαν καὶ τὰς σκηνὰς καὶ τὰς διόδους διαθρῆσαι.
εἶα δὴ πρώτιστα μὲν χρὴ κοῦφον ἐξορμᾶν πόδα,
καὶ διασκοπεῖν σιωπῇ πανταχῇ· μόνον δὲ χρὴ
μὴ βραδύνειν, ὡς ὁ καιρός ἐστι μὴ μέλλειν ἔτι,
ἀλλὰ τὴν πρώτην τρέχειν χρὴ ὡς τάχιστ' ἤδη κύκλῳ.
εἶά νυν ἴχνευε, καὶ μάτευε ταχὺ πάντ',
εἴ τις ἐν τόποις ἑδραῖος ἄλλος αὖ λέληθεν ὤν.
πανταχῇ διάριψον ὄμμα,
καὶ τὰ τῇδε καὶ τὰ δεῦρο πάντ' ἀνασκόπει καλῶς.
ἢν γὰρ μὴ λάθῃ δράσας ἀνόσια,
δώσει τε δίκην, καὶ πρὸς τούτῳ
τοῖς ἄλλοις ἅπασιν ἔσται
παράδειγμ' ὕβρεως ἀδίκων τ' ἔργων,
ἀθέων τε τρόπων·
φήσει δ' εἶναί τε θεοὺς φανερῶς,
δείξει τ' ἤδη
πᾶσιν ἀνθρώποις σεβίζειν δαίμονας,
δικαίως τ' ἐφέποντας
ὅσια καὶ νόμιμα μηδομένους ποιεῖν
ὅ τι καλῶς ἔχει.
κἂν μὴ ποιῶσι ταῦτα, τοιάδ' ἔσται·
αὐτῶν ὅταν ληφθῇ τις ὅσια δρῶν,
μανίαις φλέγων,
λύσσῃ παράκοπος,
εἴ τι δρῴη, πᾶσιν ἐμφανὴς ὁρᾶν
ἔστιν γυναιξὶ καὶ βροτοῖς,
ὅτι τὰ παράνομα τά τ' ἀνόσια θεὸς
ἀποτίνεται,
παραχρῆμά τε τίνεται.
ἀλλ' ἔοιχ' ἡμῖν ἅπαντά πως διεσκέφθαι καλῶς.
οὐχ ὁρῶμεν γοῦν ἔτ' ἄλλον οὐδέν' ἐγκαθήμενον.
ΓΥΝΗ Ζ.
ἆ ἆ.
ποῖ ποῖ σὺ φεύγεις; οὗτος οὗτος, οὐ μενεῖς;
τάλαιν' ἐγώ, τάλαινα, καὶ τὸ παιδίον
ἐξαρπάσας μοι φροῦδος ἀπὸ τοῦ τιτθίου.
ΜΝΗΣΙΛΟΧΟΣ.
κέκραχθι· τοῦτο δ' οὐδέποτε σὺ ψωμιεῖς,
ἢν μή μ' ἀφῆτ'· ἀλλ' ἐνθάδ' ἐπὶ τῶν μηρίων
πληγὲν μαχαίρᾳ τῇδε φοινίας φλέβας
καθαιματώσει βωμόν.
ΓΥΝΗ Ζ.
ὦ τάλαιν' ἐγώ.
γυναῖκες, οὐκ ἀρήξετ'; οὐ πολλὴν βοὴν
στήσεσθε καὶ τροπαῖον, ἀλλὰ τοῦ μόνου
τέκνου με περιόψεσθ' ἀποστερουμένην;
ΧΟΡΟΣ.
ἔα ἔα.
ὦ πότνιαι Μοῖραι, τί δὴ δέρκομαι
νεοχμὸν αὖ τέρας;
ὡς ἅπαν γάρ ἐστι τόλμης ἔργα κἀναισχυντίας.
οἷον αὖ δέδρακεν ἔργον, οἷον αὖ, φίλαι, τόδε.
ΜΝΗΣΙΛΟΧΟΣ.
οἷον ὑμῶν ἐξαράξω τὴν ἄγαν αὐθαδίαν.
ΧΟΡΟΣ.
ταῦτα δῆτ' οὐ δεινὰ πράγματ' ἐστὶ καὶ περαιτέρω;
ΓΥΝΗ Ζ.
δεινὰ δῆθ', ὅστις γ' ἔχει μου 'ξαρπάσας τὸ παιδίον.
ΧΟΡΟΣ.
τί ἂν οὖν εἴποι πρὸς ταῦτά τις, ὅτε
τοιαῦτα ποιῶν ὅδ' ἀναισχυντεῖ;
ΜΝΗΣΙΛΟΧΟΣ.
κοὔπω μέντοι γε πέπαυμαι.
ΓΥΝΗ Ζ.
ἀλλ' οὖν ἥκεις ὅθεν ἥκεις,
φαύλως τ' ἀποδρὰς οὐ λέξεις
οἷον δράσας διέδυς ἔργον,
λήψει δὲ κακόν.
ΜΝΗΣΙΛΟΧΟΣ.
τοῦτο μέντοι μὴ γένοιτο μηδαμῶς, ἀπεύχομαι.

ΧΟΡΟΣ.

τίς οὖν σοι, τίς ἂν ξύμμαχος ἐκ θεῶν
ἀθανάτων ἔλθοι ξὺν ἀδίκοις ἔργοις;

ΜΝΗΣΙΛΟΧΟΣ.

μάτην λαλεῖτε· τὴν δ' ἐγὼ οὐκ ἀφήσω.

ΧΟΡΟΣ.

ἀλλ' οὐ μὰ τὼ θεὼ τάχ' οὐ
χαίρων ἴσως ἐνυβριεῖς,
λόγους τε λέξεις ἀνοσίους.
ἀθέοις ἔργοις γὰρ ἀνταμει-
ψόμεσθά σ', ὥσπερ εἰκὸς, ἀντὶ τῶνδε.
τάχα δέ σε μεταβαλοῦσ'
ἐπὶ κακὸν ἑτερότροπον
ἐπέχει τις τύχη.
ἀλλὰ τάσδε μὲν λαβεῖν χρῆν σ', ἐκφέρειν τε τῶν ξύλων,
καὶ καταίθειν τὸν πανοῦργον, πυρπολεῖν θ' ὅσον τάχος.

ΓΥΝΗ Ζ.

ἴωμεν ἐπὶ τὰς κληματίδας, ὦ Μανία,
κἀγώ σ' ἀποδείξω θυμάλωπα τήμερον.

ΜΝΗΣΙΛΟΧΟΣ.

ὕφαπτε καὶ κάταιθε· σὺ δὲ τὸ Κρητικὸν
ἀπόδυθι ταχέως· τοῦ θανάτου δ', ὦ παιδίον,
μόνην γυναικῶν αἰτιῶ τὴν μητέρα.
τουτὶ τί ἐστιν; ἀσκὸς ἐγένεθ' ἡ κόρη
οἴνου πλέως, καὶ ταῦτα Περσικὰς ἔχων.
ὦ θερμόταται γυναῖκες, ὦ ποτίσταται,
κἀκ παντὸς ὑμεῖς μηχανώμεναι πιεῖν,
ὦ μέγα καπήλοις ἀγαθὸν, ἡμῖν δ' αὖ κακὸν,
κακὸν δὲ καὶ τοῖς σκευαρίοις καὶ τῇ κρόκῃ.

ΓΥΝΗ Ζ.

παράβαλλε πολλὰς κληματίδας, ὦ Μανία.

ΜΝΗΣΙΛΟΧΟΣ.

παράβαλλε δῆτα· σὺ δ' ἀπόκριναί μοι τοδί.
τουτὶ τεκεῖν φῄς;

ΓΥΝΗ Ζ.

καὶ δέκα μῆνας αὔτ' ἐγὼ
ἤνεγκον.

ΜΝΗΣΙΛΟΧΟΣ.

ἤνεγκας σύ;

ΓΥΝΗ Ζ.

νὴ τὴν Ἄρτεμιν.

ΜΝΗΣΙΛΟΧΟΣ.

τρικότυλον, ἢ πῶς; εἰπέ μοι.

ΓΥΝΗ Ζ.

τί μ' εἰργάσω;
ἀπέδυσας ὠναίσχυντέ μου τὸ παιδίον,
τυννοῦτον ὄν.

ΜΝΗΣΙΛΟΧΟΣ.

τυννοῦτο;

ΓΥΝΗ Ζ.

μικρὸν νὴ Δία.

ΜΝΗΣΙΛΟΧΟΣ.

πόσ' ἔτη δὲ γέγονε; τρεῖς χόας ἢ τέτταρας;

ΧΟΡΟΣ.

σχεδὸν τοσοῦτον χὤσον ἐκ Διονυσίων.
ἀλλ' ἀπόδος αὐτό.

ΜΝΗΣΙΛΟΧΟΣ.

μὰ τὸν Ἀπόλλω τουτονί.

ΓΥΝΗ Ζ.

ἐμπρήσομεν τοίνυν σε.

ΜΝΗΣΙΛΟΧΟΣ.

πάνυ γ' ἐμπίμπρατε·
αὕτη δ' ἀποσφαγήσεται μάλ' αὐτίκα.

ΓΥΝΗ Ζ.

μὴ δῆθ', ἱκετεύω σ'· ἀλλ' ἔμ' ὅ τι χρῄζεις ποιῶ
ὑπέρ γε τούτου.

ΜΝΗΣΙΛΟΧΟΣ.

φιλότεκνός τις εἶ φύσει.
ἀλλ' οὐδὲν ἧττον ἥδ' ἀποσφαγήσεται.

ΓΥΝΗ Ζ.

οἴμοι τέκνον. δός μοι σφαγεῖον, Μανία,
ἵν' οὖν τό γ' αἷμα τοῦ τέκνου τοὐμοῦ λάβω.

ΜΝΗΣΙΛΟΧΟΣ.

ὕπεχ' αὐτὸ, χαριοῦμαι γὰρ ἕν γε τοῦτό σοι.

ΓΥΝΗ Ζ.

κακῶς ἀπόλοι'· ὡς φθονερὸς εἶ καὶ δυσμενής.

ΜΝΗΣΙΛΟΧΟΣ.

τουτὶ τὸ δέρμα τῆς ἱερείας γίγνεται.

ΓΥΝΗ Ζ.

τί τῆς ἱερείας γίγνεται;

ΜΝΗΣΙΛΟΧΟΣ.

τουτὶ λαβέ.

ΓΥΝΗ Η.

ταλαντάτη Μίκα, τίς ἐξεκόρησέ σε;
τίς τὴν ἀγαπητὴν παῖδά σοὐξηρήσατο;

ΓΥΝΗ Ζ.

ὁ πανοῦργος οὗτος. ἀλλ' ἐπειδήπερ πάρει,
φύλαξον αὐτὸν, ἵνα λαβοῦσα Κλεισθένη
τοῖσιν πρυτάνεσιν ἃ πεποίηχ' οὗτος φράσω.

ΜΝΗΣΙΛΟΧΟΣ.

ἄγε δὴ τίς ἔσται μηχανὴ σωτηρίας;
τίς πεῖρα, τίς ἐπίνοι'; ὁ μὲν γὰρ αἴτιος
κἄμ' ἐσκυλίσας ἐς τοιαυτὶ πράγματα
οὐ φαίνετ' οὔπω. φέρε, τίν' οὖν ἂν ἄγγελον
πέμψαιμ' ἐπ' αὐτόν; οἶδ' ἐγὼ καὶ δὴ πόρον
ἐκ τοῦ Παλαμήδους· ὡς ἐκεῖνος, τὰς πλάτας
ῥίψω γράφων. ἀλλ' οὐ πάρεισί μοι πλάται.
πόθεν οὖν γένοιντ' ἂν ἀθλίῳ πλάται; πόθεν;
τί δ' ἂν, εἰ ταδὶ τἀγάλματ' ἀντὶ τῶν πλατῶν
γράφων διαρρίπτοιμι; βέλτιον πολύ.
ξύλον γέ τοι καὶ ταῦτα κἀκεῖν' ἦν ξύλον.
ὦ χεῖρες ἐμαὶ,
ἐγχειρεῖν χρὴ ἔργῳ πορίμῳ.
ἄγε δὴ πινάκων ξεστῶν δέλτοι,
δέξασθε σμίλης ὁλκοὺς,
κήρυκας ἐμῶν μόχθων· οἴμοι,
τουτὶ τὸ ῥῶ μοχθηρόν·
χωρεῖ χωρεῖ ποίαν αὔλακα;
βάσκετ', ἐπείγετε πάσας καθ' ὁδοὺς,
κείνῃ, ταύτῃ· ταχέως χρή.

ΧΟΡΟΣ.

ἡμεῖς τοίνυν ἡμᾶς αὐτὰς εὖ λέξωμεν παραβᾶσαι.
καίτοι πᾶς τις τὸ γυναικεῖον φῦλον κακὰ πόλλ' ἀγορεύει,
ὡς πᾶν ἐσμὲν κακὸν ἀνθρώποις κἀξ ἡμῶν ἐστιν ἅπαντα,
ἔριδες, νείκη, στάσις, ἀργαλέα λύπη, πόλεμος. φέρε δή νυν,

εἰ κακόν ἐσμεν, τί γαμεῖθ' ἡμᾶς, εἴπερ ἀληθῶς κακόν ἐσμεν,
κἀπαγορεύετε μήτ' ἐξελθεῖν μήτ' ἐγκύψασαν ἁλῶναι,
ἀλλ' οὑτωσὶ πολλῇ σπουδῇ τὸ κακὸν βούλεσθε φυλάττειν;
κἂν ἐξέλθῃ τὸ γύναιόν ποι, κᾆθ' εὕρητ' αὐτὸ θύρασιν,
μανίας μαίνεσθ', οὓς χρῆν σπένδειν καὶ χαίρειν, εἴπερ ἀληθῶς
ἔνδοθεν εὕρετε φροῦδον τὸ κακὸν καὶ μὴ κατελαμβάνετ' ἔνδον.
κἂν καταδάρθωμεν ἐν ἀλλοτρίων παίζουσαι καὶ κοπιῶσαι,
πᾶς τις τὸ κακὸν τοῦτο ζητεῖ περὶ τὰς κλίνας περινοστῶν.
κἂν ἐκ θυρίδος παρακύπτωμεν, ζητεῖ τὸ κακὸν τεθεᾶσθαι·
κἂν αἰσχυνθεῖσ' ἀναχωρήσῃ, πολὺ μᾶλλον πᾶς ἐπιθυμεῖ
αὖθις παρακύψαν ἰδεῖν τὸ κακόν. οὕτως ἡμεῖς ἐπιδήλως
ὑμῶν ἐσμὲν πολὺ βελτίους· βάσανός τε πάρεστιν ἰδέσθαι.
βάσανον δῶμεν, πότεροι χείρους. ἡμεῖς μὲν γάρ φαμεν ὑμᾶς,
ὑμεῖς δ' ἡμᾶς. σκεψώμεθα δὴ κἀντιτιθῶμεν πρὸς ἕκαστον,
παραβάλλουσαι τῆς τε γυναικὸς καὶ τἀνδρὸς τοὔνομ' ἕκαστον.
Ναυσιμάχης μέν γ' ἥττων ἐστὶν Χαρμῖνος· δῆλα δὲ τἄργα.
καὶ μὲν δὴ καὶ Κλεοφῶν χείρων πάντως δήπου Σαλαβακχοῦς.
πρὸς Ἀριστομάχην δὲ χρόνου πολλοῦ, πρὸς ἐκείνην τὴν Μαραθῶνι,
καὶ Στρατονίκην ὑμῶν οὐδεὶς οὐδ' ἐγχειρεῖ πολεμίζειν.
ἀλλ' Εὐβούλης τῶν πέρυσίν τις βουλευτής ἐστιν ἀμείνων,
παραδοὺς ἑτέρῳ τὴν βουλείαν; οὐδ' αὐτὸς τοῦτό γε φήσεις.
οὕτως ἡμεῖς πολὺ βελτίους τῶν ἀνδρῶν εὐχόμεθ' εἶναι.
οὐδ' ἂν κλέψασα γυνὴ ζεύγει κατὰ πεντήκοντα τάλαντα
ἐς πόλιν ἔλθοι τῶν δημοσίων· ἀλλ' ἢν τὰ μέγισθ' ὑφέληται,
φορμὸν πυρῶν τἀνδρὸς κλέψασ' αὐθήμερον αὔτ' ἀπέδωκεν.
ἀλλ' ἡμεῖς ἂν πολλοὺς τούτων
ἀποδείξαιμεν ταῦτα ποιοῦντας.
καὶ πρὸς τούτοις γάστριδας ἡμῶν
ὄντας μᾶλλον καὶ λωποδύτας
καὶ βωμολόχους κἀνδραποδιστάς.
καὶ μὴν δήπου καὶ τὰ πατρῷά γε
χείρους ἡμῶν εἰσὶν σώζειν.
ἡμῖν μὲν γὰρ σῶν ἔτι καὶ νῦν
τἀντίον, ὁ κανὼν, οἱ καλαθίσκοι,
τὸ σκιάδειον·
τοῖς δ' ἡμετέροις ἀνδράσι τούτοις
ἀπόλωλεν μὲν πολλοῖς ὁ κανὼν
ἐκ τῶν οἴκων αὐτῇ λόγχῃ,
πολλοῖς δ' ἑτέροις ἀπὸ τῶν ὤμων
ἐν ταῖς στρατιαῖς
ἔρριπται τὸ σκιάδειον.
πόλλ' ἂν αἱ γυναῖκες ἡμεῖς ἐν δίκῃ μεμψαίμεθ' ἂν
τοῖσιν ἀνδράσιν δικαίως· ἓν δ' ὑπερφυέστατον.
χρῆν γὰρ, ἡμῶν εἰ τέκοι τις ἄνδρα χρηστὸν τῇ πόλει,
ταξίαρχον ἢ στρατηγὸν, λαμβάνειν τιμήν τινα,
προεδρίαν τ' αὐτῇ δίδοσθαι Στηνίοισι καὶ Σκίροις
ἔν τε ταῖς ἄλλαις ἑορταῖς αἷσιν ἡμεῖς ἤγομεν·
εἰ δὲ δειλὸν καὶ πονηρὸν ἄνδρα τις τέκοι γυνὴ,
ἢ τριήραρχον πονηρὸν, ἢ κυβερνήτην κακὸν,
ὑστέραν αὐτὴν καθῆσθαι, σκάφιον ἀποκεκαρμένην,
τῆς τὸν ἀνδρεῖον τεκούσης. τῷ γὰρ εἰκὸς, ὦ πόλις,
τὴν Ὑπερβόλου καθῆσθαι μητέρ' ἠμφιεσμένην
λευκὰ καὶ κόμας καθεῖσαν πλησίον τῆς Λαμάχου,
καὶ δανείζειν χρήμαθ', ᾗ χρῆν, εἰ δανείσειέν τινι
καὶ τόκον πράττοιτο, διδόναι μηδέν' ἀνθρώπων τόκον,
ἀλλ' ἀφαιρεῖσθαι βίᾳ τὰ χρήματ', εἰπόντας τοδί·
ἀξία γοῦν εἶ τόκου, τεκοῦσα τοιοῦτον τόκον.

ΜΝΗΣΙΛΟΧΟΣ.

ἰλλὸς γεγένημαι προσδοκῶν· ὁ δ' οὐδέπω.
τί δῆτ' ἂν εἴη τοὐμποδών; οὐκ ἔσθ' ὅπως
οὐ τὸν Παλαμήδην ψυχρὸν ὄντ' αἰσχύνεται.
τῷ δῆτ' ἂν αὐτὸν προσαγαγοίμην δράματι;
ἐγᾦδα· τὴν καινὴν Ἑλένην μιμήσομαι.
πάντως ὑπάρχει μοι γυναικεία στολή.

ΓΥΝΗ Η.

τί αὖ σὺ κυκανᾷς, ἢ τί κοικύλλεις ἔχων;
πικρὰν Ἑλένην ὄψει τάχ', εἰ μὴ κοσμίως
ἕξεις, ἕως ἂν τῶν πρυτάνεών τις φανῇ.

ΜΝΗΣΙΛΟΧΟΣ ὡς Ἑλένη.

Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαὶ,
ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέδον
λευκῆς νοτίζει μελανοσυρμαῖον λεών.

ΓΥΝΗ Η.

πανοῦργος εἶ νὴ τὴν Ἑκάτην τὴν φωσφόρον.

ΜΝΗΣΙΛΟΧΟΣ.

ἐμοὶ δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος,
Σπάρτη, πατὴρ δὲ Τυνδάρεως.

ΓΥΝΗ Η.

σοί γ', ὤλεθρε,
πατὴρ ἐκεῖνός ἐστι; Φρυνώνδας μὲν οὖν.

ΜΝΗΣΙΛΟΧΟΣ.

Ἑλένη δ' ἐκλήθην.

ΓΥΝΗ Η.

αὖθις αὖ γίγνει γυνὴ,
πρὶν τῆς ἑτέρας δοῦναι γυναικίσεως δίκην;

ΜΝΗΣΙΛΟΧΟΣ.

ψυχαὶ δὲ πολλαὶ δι' ἔμ' ἐπὶ Σκαμανδρίαις
ῥοαῖσιν ἔθανον.

ΓΥΝΗ Η.
ὤφελες δὲ καὶ σύ γε.
ΜΝΗΣΙΛΟΧΟΣ.
κἀγὼ μὲν ἐνθάδ' εἰμ'· ὁ δ' ἄθλιος πόσις
οὑμὸς Μενέλεως οὐδέπω προσέρχεται.
τί οὖν ἔτι ζῶ τῶν κοράκων πονηρίᾳ;
ἀλλ' ὥσπερ αἰκάλλει τι καρδίαν ἐμήν,
μὴ ψεῦσον, ὦ Ζεῦ, τῆς ἐπιούσης ἐλπίδος.
ΕΥΡΙΠΙΔΗΣ ὡς Μενέλαος.
τίς τῶνδ' ἐρυμνῶν δωμάτων ἔχει κράτος,
ὅστις ξένους δέξαιτο ποντίῳ σάλῳ
κάμνοντας ἐν χειμῶνι καὶ ναυαγίαις;
ΜΝΗΣΙΛΟΧΟΣ.
Πρωτέως τάδ' ἐστὶ μέλαθρα.
ΕΥΡΙΠΙΔΗΣ.
ποίου Πρωτέως;
ΓΥΝΗ Η.
ὦ τρισκακόδαιμον, ψεύδεται νὴ τὼ θεώ,
ἐπεὶ τέθνηκε Πρωτέας ἔτη δέκα.
ΕΥΡΙΠΙΔΗΣ.
ποίαν δὲ χώραν εἰσεκέλσαμεν σκάφει;
ΜΝΗΣΙΛΟΧΟΣ.
Αἴγυπτον.
ΕΥΡΙΠΙΔΗΣ.
ὦ δύστηνος, οἷ πεπλώκαμεν.
ΓΥΝΗ Η.
πείθει τι τούτῳ τῷ κακῶς ἀπολουμένῳ
ληροῦντι λῆρον; Θεσμοφόριον τουτογί.
ΕΥΡΙΠΙΔΗΣ.
αὐτὸς δὲ Πρωτεὺς ἔνδον ἔστ', ἢ 'ξώπιος;
ΓΥΝΗ Η.
οὐκ ἔσθ' ὅπως οὐ ναυτιᾷς ἔτ', ὦ ξένε,
ὅστις γ' ἀκούσας ὅτι τέθνηκε Πρωτέας
ἔπειτ' ἐρωτᾷς, ἔνδον ἔστ', ἢ 'ξώπιος.
ΕΥΡΙΠΙΔΗΣ.
αἰαῖ, τέθνηκε. ποῦ δ' ἐτυμβεύθη τάφῳ;
ΜΝΗΣΙΛΟΧΟΣ.
τόδ' ἐστὶν αὐτοῦ σῆμ', ἐφ' ᾧ καθήμεθα.
ΓΥΝΗ Η.
κακῶς τ' ἄρ' ἐξόλοιο κἀξολεῖ γέ τοι,
ὅστις γε τολμᾷς σῆμα τὸν βωμὸν καλεῖν.
ΕΥΡΙΠΙΔΗΣ.
τί δαὶ σὺ θάσσεις τάσδε τυμβήρεις ἕδρας
φάρει καλυπτός, ὦ ξένη;
ΜΝΗΣΙΛΟΧΟΣ.
βιάζομαι
γάμοισι Πρωτέως παιδὶ συμμῖξαι λέχος.
ΓΥΝΗ Η.
τί, ὦ κακόδαιμον, ἐξαπατᾷς αὖ τὸν ξένον;
οὗτος πανουργῶν δεῦρ' ἀνῆλθεν, ὦ ξένε,
ὡς τὰς γυναῖκας ἐπὶ κλοπῇ τοῦ χρυσίου.
ΜΝΗΣΙΛΟΧΟΣ.
βάϋζε, τοὐμὸν σῶμα βάλλουσα ψόγῳ.
ΕΥΡΙΠΙΔΗΣ.
ξένη, τίς ἡ γραῦς ἡ κακορροθοῦσά σε;
ΜΝΗΣΙΛΟΧΟΣ.
αὕτη Θεονόη Πρωτέως.
ΓΥΝΗ Η.
μὰ τὼ θεώ,
εἰ μὴ Κρίτυλλά γ' Ἀντιθέου Γαργηττόθεν·
σὺ δ' εἶ πανοῦργος.
ΜΝΗΣΙΛΟΧΟΣ.
ὁπόσα τοι βούλει, λέγε.
οὐ γὰρ γαμοῦμαι σῷ κασιγνήτῳ ποτέ,
προδοῦσα Μενέλεων τὸν ἐμὸν ἐν Τροίᾳ πόσ
ΕΥΡΙΠΙΔΗΣ.
γύναι, τί εἶπας; στρέψον ἀνταυγεῖς κόρας.
ΜΝΗΣΙΛΟΧΟΣ.
αἰσχύνομαί σε τὰς γνάθους ὑβρισμένη.
ΕΥΡΙΠΙΔΗΣ.
τουτὶ τί ἔστιν; ἀφασία τίς τοί μ' ἔχει.
ὦ θεοί, τίν' ὄψιν εἰσορῶ; τίς εἶ, γύναι;
ΜΝΗΣΙΛΟΧΟΣ.
σὺ δ' εἶ τίς; αὐτὸς γάρ σε κἄμ' ἔχει λόγος.
ΕΥΡΙΠΙΔΗΣ.
Ἑλληνὶς εἶ τις ἢ 'πιχωρία γυνή;
ΜΝΗΣΙΛΟΧΟΣ.
Ἑλληνίς. ἀλλὰ καὶ τὸ σὸν θέλω μαθεῖν.
ΕΥΡΙΠΙΔΗΣ.
Ἑλένῃ σ' ὁμοίαν δὴ μάλιστ' εἶδον, γύναι.
ΜΝΗΣΙΛΟΧΟΣ.
ἐγὼ δὲ Μενέλεῳ σ', ὅσα γ' ἐκ τῶν ἰφύων.
ΕΥΡΙΠΙΔΗΣ.
ἔγνως ἄρ' ὀρθῶς ἄνδρα δυστυχέστατον.
ΜΝΗΣΙΛΟΧΟΣ.
ὦ χρόνιος ἐλθὼν σῆς δάμαρτος ἐς χέρας,
λαβέ με, λαβέ με, πόσι·
περίβαλλε δὲ χέρας.
φέρε, σὲ κύσω. ἄπαγέ μ' ἄπαγ' ἄπαγ' ἄπε
λαβὼν ταχὺ πάνυ.
ΓΥΝΗ Η.
κλαύσετ' ἄρα νὴ τὼ θεώ
ὅστις σ' ἀπάξει, τυπτόμενος τῇ λαμπάδι.
ΕΥΡΙΠΙΔΗΣ.
σὺ τὴν ἐμὴν γυναῖκα κωλύεις ἐμέ,
τὴν Τυνδάρειον παῖδ', ἐπὶ Σπάρτην ἄγειν;
ΓΥΝΗ Η.
οἴμ' ὡς πανοῦργος καὐτὸς εἶναί μοι δοκεῖς
καὶ τοῦδέ τις ξύμβουλος. οὐκ ἐτὸς πάλαι
ἠγυπτιάζετ'. ἀλλ' ὅδε μὲν δώσει δίκην.
προσέρχεται γὰρ ὁ πρύτανις χὠ τοξότης.
ΕΥΡΙΠΙΔΗΣ.
τουτὶ πονηρόν· ἀλλ' ὑπαποκινητέον.
ΜΝΗΣΙΛΟΧΟΣ.
ἐγὼ δ' ὁ κακοδαίμων τί δρῶ;
ΕΥΡΙΠΙΔΗΣ.
μέν' ἥσυχ·
οὐ γὰρ προδώσω οὐδέποτέ σ', ἥνπερ ἐμπ
ἢν μὴ προλίπωσ' αἱ μυρίαι με μηχαναί.
ΓΥΝΗ Η.
αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν.
ΠΡΥΤΑΝΙΣ.
ὅδ' ἔσθ' ὁ πανοῦργος ὃν ἔλεγ' ἡμῖν Κλεισθέ

οὗτος, τί κύπτεις; δῆσον αὐτὸν, εἰσάγων,
ὦ τοξότ', ἐν τῇ σανίδι, κἄπειτ' ἐνθαδὶ
στήσας φύλαττε καὶ προσιέναι μηδένα
ἔα πρὸς αὐτὸν, ἀλλὰ τὴν μάστιγ' ἔχων
παῖ', ἢν προσίῃ τις.

ΓΥΝΗ Η.

νὴ Δί', ὡς νῦν δῆτ' ἀνὴρ
ὀλίγου μ' ἀφείλετ' αὐτὸν ἱστιορράφος.

ΜΝΗΣΙΛΟΧΟΣ.

ὦ πρύτανι, πρὸς τῆς δεξιᾶς, ἥνπερ φιλεῖς
κοίλην προτείνειν, ἀργύριον ἤν τις διδῷ,
χάρισαι βραχύ τι μοι, καίπερ ἀποθανουμένῳ.

ΠΡΥΤΑΝΙΣ.

τί σοι χαρίσωμαι;

ΜΝΗΣΙΛΟΧΟΣ.

γυμνὸν ἀποδύσαντά με
κέλευε πρὸς τῇ σανίδι δεῖν τὸν τοξότην,
ἵνα μὴ 'ν κροκωτοῖς καὶ μίτραις γέρων ἀνὴρ
γέλωτα παρέχω τοῖς κόραξιν ἑστιῶν.

ΠΡΥΤΑΝΙΣ.

ἔχοντα ταῦτ' ἔδοξε τῇ βουλῇ σε δεῖν,
ἵνα τοῖς παριοῦσι δῆλος ᾖς πανοῦργος ὤν.

ΜΝΗΣΙΛΟΧΟΣ.

ἰατταταιάξ· ὦ κροκώθ', οἷ' εἴργασαι·
κοὐκ ἔστιν ἔτ' ἐλπὶς οὐδεμία σωτηρίας.

ΧΟΡΟΣ.

ἄγε νυν ἡμεῖς παίσωμεν ἅπερ νόμος ἐνθάδε
ταῖσι γυναιξὶν,
ὅταν ὄργια σεμνὰ θεαῖν ἱεραῖς ὥραις ἀνέχωμεν,
ἅπερ καὶ
Παύσων σέβεται, καὶ νηστεύει,
πολλάκις αὐταῖν ἐκ τῶν ὡρῶν
ἐς τὰς ὥρας ξυνεπευχόμενος
τοιαῦτα μέλειν θάμ' ἑαυτῷ.
ὅρμα, χώρει
κοῦφα ποσὶν, ἄγ' ἐς κύκλον,
χειρὶ σύναπτε χεῖρα,
ῥυθμὸν χορείας ὕπαγε πᾶσα· βαῖνε
καρπαλίμοιν ποδοῖν.
ἐπισκοπεῖν δὲ
πανταχῇ κυκλοῦσαν ὄμμα χρὴ χοροῦ κατάστασιν.
ἅμα δὲ καὶ
γένος Ὀλυμπίων θεῶν
μέλπε καὶ γέραιρε φωνῇ πᾶσα χορομανεῖ τρόπῳ.
εἰ δέ τις
προσδοκᾷ κακῶς ἐρεῖν
ἐν ἱερῷ γυναῖκά μ' οὖσαν ἄνδρας, οὐκ ὀρθῶς
φρονεῖ.
ἀλλὰ χρὴ
ὥσπερ ἔργον αὖ τι καινὸν
πρῶτον εὐκύκλου χορείας εὐφυᾶ στῆσαι βάσιν.
πρόβαινε ποσὶ τὸν εὐλύραν
μέλπουσα καὶ τὴν τοξοφόρον
Ἄρτεμιν, ἄνασσαν ἁγνήν.
χαῖρ', ὦ Ἑκάεργε,
ὄπαζε δὲ νίκην.

959 — 961. = 962 — 965. = 966 — 968.
969 — 971. = 977 — 979.
972 — 974. = 980 — 982. = 987 — 989.

Ἥραν δὲ τὴν τελείαν
μέλψωμεν ὥσπερ εἰκὸς,
ἣ πᾶσι τοῖς χοροῖσιν ἐμπαίζει τε καὶ
κλῇδας γάμου φυλάττει.
Ἑρμῆν τε Νόμιον ἄντομαι
καὶ Πᾶνα καὶ Νύμφας φίλας
ἐπιγελάσαι προθύμως
ταῖς ἡμετέραισι
χαρέντα χορείαις.
ἔξαιρε δὴ προθύμως
διπλῆν χάριν χορείας.
παίσωμεν, ὦ γυναῖκες, οἷάπερ νόμος·
νηστεύομεν δὲ πάντως·
ἀλλ' εἶ' ἐπ' ἄλλ' ἀνάστρεφ' εὐρύθμῳ ποδὶ,
τόρευε πᾶσαν ᾠδήν·
ἡγοῦ δέ γ' ὧδ' αὐτὸς
σὺ κισσοφόρε Βάκχειε
δέσποτ'· ἐγὼ δὲ κώμοις
σὲ φιλοχόροισι μέλψω
Εὔιον, ὦ Διόνυσε,
Βρόμιε καὶ Σεμέλας παῖ,
χοροῖς τερπόμενος
* * κατ' ὄρεα Νυμφᾶν ἐρατοῖς ἐν ὕμνοις
Εὔιον Εὔιον, εὐοῖ
* * ἀναχορεύων.
ἀμφὶ δὲ σοὶ κτυπεῖται
Κιθαιρώνιος ἠχὼ,
μελάμφυλλά τ' ὄρη
δάσκια καὶ νάπαι πετρώδεις * * βρέμονται·
κύκλῳ δὲ περὶ σὲ κισσὸς
εὐπέταλος ἕλικι θάλλει.

ΤΟΞΟΤΗΣ.

ἐνταῦτα νῦν οἰμῶξι πρὸς τὴν αἰτρίαν.

ΜΝΗΣΙΛΟΧΟΣ.

ὦ τοξόθ', ἱκετεύω σε.

ΤΟΞΟΤΗΣ.

μή μ' ἱκέτευε σύ.

ΜΝΗΣΙΛΟΧΟΣ.

χάλασον τὸν ἧλον.

ΤΟΞΟΤΗΣ.

ἀλλὰ ταῦτα δρᾶς ἐγώ.

ΜΝΗΣΙΛΟΧΟΣ.

οἴμοι κακοδαίμων, μᾶλλον ἐπικρούσεις σύ γε.

ΤΟΞΟΤΗΣ.

ἔτι μᾶλλο βουλῇς.

ΜΝΗΣΙΛΟΧΟΣ.

ἀτιαταῖ ἰατταταῖ·
κακῶς ἀπόλοιο.

ΤΟΞΟΤΗΣ.

σῖγα, κακοδαίμων γέρον.
πέρ' ἐγὼ 'ξενίγκι πορμὸς, ἵνα πυλάξι σοι.

ΜΝΗΣΙΛΟΧΟΣ.

ταυτὶ τὰ βέλτιστ' ἀπολέλαυκ' Εὐριπίδου.
ἔα· θεοὶ, Ζεῦ σῶτερ, εἰσὶν ἐλπίδες.
ἀνὴρ ἔοικεν οὐ προδώσειν, ἀλλά μοι

975 976. = 983 984. = 985 986.
990 — 994. = 995 — 1000

ASHMOLEAN OXFORD

σημεῖον ὑπεδήλωσε Περσεὺς ἐκδραμὼν,
ὅτι δεῖ με γίγνεσθ' Ἀνδρομέδαν· πάντως δέ μοι
τὰ δέσμ' ὑπάρχει. δῆλον οὖν ἔτ' ἔσθ' ὅτι
ἥξει με σώσων· οὐ γὰρ ἂν παρέπτατο.

ΕΥΡΙΠΙΔΗΣ ὡς Περσεύς.

φίλαι παρθένοι, φίλαι,
πῶς ἂν ἐπέλθοιμι καὶ
τὸν Σκύθην λάθοιμι;
κλύοις ὦ
πρὸς Αἰδοῦς σὲ τὰν ἐν ἄντροις,
κατάνευσον, ἔασον ὡς
τὴν γυναῖκά μ' ἐλθεῖν.

ΜΝΗΣΙΛΟΧΟΣ.

ἄνοικτος ὅς μ' ἔδησε τὸν
πολυπονώτατον βροτῶν.
μόλις δὲ γραῖαν ἀποφυγὼν
σαπρὰν, ἀπωλόμην ὅμως.
ὅδε γὰρ ὁ Σκύθης φύλαξ
πάλαι ἐφέστηκ', ὀλοὸν,
ἄφιλον ἐκρέμασε κόραξι
δεῖπνον· ὁρᾷς; οὐ χοροῖσιν,
οὐδ' ὑφ' ἡλίκων νεανίδων
ψήφων κημὸν ἕστηκ' ἔχουσ',
ἀλλ' ἐν πυκνοῖς δεσμοῖσιν ἐμ-
πεπλεγμένη κήτει βορὰ
Γλαυκέτῃ πρόκειμαι.
γαμηλίῳ μὲν οὐ ξὺν
παιῶνι, δεσμίῳ δὲ,
γοᾶσθέ μ', ὦ γυναῖκες, ὡς
μέλεα μὲν πέπονθα, μέλεος,
ὦ τάλας ἐγὼ, τάλας,
ἀπὸ δὲ συγγόνων, ἀλλ' ἂν
ἄνομα πάθεα φῶτα λιτομέναν.
πολυδάκρυτον Ἀΐδα γόον φλέγουσαν,
αἰαῖ, αἰαῖ, ἒ ἔ,
ὃς ἔμ' ἀπεξύρησε πρῶτον,
ὃς ἐμὲ κροκόεντ' ἐνέδυσεν·
ἐπὶ δὲ τοῖσδε τόδ' ἀνέπεμψεν
ἱερὸν, ἔνθα γυναῖκες.
ἰώ μοι μοίρας ἄτεγκτε δαίμων·
ὦ κατάρατος ἐγώ· τίς ἐμὸν οὐκ ἐπόψεται
πάθος ἀμέγαρτον ἐπὶ κακῶν παρουσίᾳ;
εἴθε με πυρφόρος αἰθέρος ἀστὴρ
τὸν βάρβαρον ἐξολέσειεν.
οὐ γὰρ ἔτ' ἀθανάταν φλόγα λεύσσειν
ἐστὶν ἐμοὶ φίλον, ὡς ἐκρεμάσθην,
λαιμότμητ' ἄχη δαιμονῶν, αἰόλαν
νέκυσιν ἐπὶ πορείαν.

ΕΥΡΙΠΙΔΗΣ ὡς Ἠχώ.

χαῖρ', ὦ φίλη παῖ· τὸν δὲ πατέρα Κηφέα,
ὅς σ' ἐξέθηκεν, ἀπολέσειαν οἱ θεοί.

ΜΝΗΣΙΛΟΧΟΣ ὡς Ἀνδρομέδα.

σὺ δ' εἶ τίς, ἥτις τοὐμὸν ᾤκτειρας πάθος;

ΕΥΡΙΠΙΔΗΣ.

Ἠχὼ, λόγων ἀντῳδὸς ἐπικοκκάστρια,
ἥπερ πέρυσιν ἐν τῷδε ταὐτῷ χωρίῳ
Εὐριπίδῃ καὐτὴ ξυνηγωνιζόμην.
ἀλλ', ὦ τέκνον, σὲ μὲν τοσαῦτα χρὴ ποιεῖν,
κλαίειν ἐλεινῶς.

ΜΝΗΣΙΛΟΧΟΣ.

σὲ δ' ἐπικλαίειν ὕστερον.

ΕΥΡΙΠΙΔΗΣ.

ἐμοὶ μελήσει ταῦτά γ'. ἀλλ' ἄρχου λόγων.

ΜΝΗΣΙΛΟΧΟΣ.

ὦ Νὺξ ἱερὰ,
ὡς μακρὸν ἵππευμα διώκεις,
ἀστεροειδέα νῶτα διφρεύουσ'
αἰθέρος ἱερᾶς,
τοῦ σεμνοτάτου δι' Ὀλύμπου.

ΕΥΡΙΠΙΔΗΣ.

δι' Ὀλύμπου.

ΜΝΗΣΙΛΟΧΟΣ.

τί ποτ' Ἀνδρομέδα περίαλλα κακῶν
μέρος ἐξέλαχον;

ΕΥΡΙΠΙΔΗΣ.

μέρος ἐξέλαχον;

ΜΝΗΣΙΛΟΧΟΣ.

θανάτου τλήμων.

ΕΥΡΙΠΙΔΗΣ.

θανάτου τλήμων.

ΜΝΗΣΙΛΟΧΟΣ.

ἀπολεῖς μ', ὦ γραῦ, στωμυλλομένη.

ΕΥΡΙΠΙΔΗΣ.

στωμυλλομένη.

ΜΝΗΣΙΛΟΧΟΣ.

νὴ Δί' ὀχληρά γ' εἰσήρρηκας
λίαν.

ΕΥΡΙΠΙΔΗΣ.

λίαν.

ΜΝΗΣΙΛΟΧΟΣ.

ὠγάθ', ἔασόν με μονῳδῆσαι,
καὶ χαριεῖ μοι. παῦσαι.

ΕΥΡΙΠΙΔΗΣ.

παῦσαι.

ΜΝΗΣΙΛΟΧΟΣ.

βάλλ' ἐς κόρακας.

ΕΥΡΙΠΙΔΗΣ.

βάλλ' ἐς κόρακας.

ΜΝΗΣΙΛΟΧΟΣ.

τί κακόν;

ΕΥΡΙΠΙΔΗΣ.

τί κακόν;

ΜΝΗΣΙΛΟΧΟΣ.

ληρεῖς.

ΕΥΡΙΠΙΔΗΣ.

ληρεῖς.

ΜΝΗΣΙΛΟΧΟΣ.

οἴμωζ'.

ΕΥΡΙΠΙΔΗΣ.

οἴμωζ'.

ΜΝΗΣΙΛΟΧΟΣ.

ὀτότυζ'.

ΕΥΡΙΠΙΔΗΣ.

ὀτότυζ'.

ΤΟΞΟΤΗΣ.
οὗτος, σί λαλεῖς;
ΕΥΡΙΠΙΔΗΣ.
οὗτος, σί λαλεῖς;
ΤΟΞΟΤΗΣ.
πρυτάνεις καλέσω.
ΕΥΡΙΠΙΔΗΣ.
πρυτάνεις καλέσω.
ΤΟΞΟΤΗΣ.
σί κακόν;
ΕΥΡΙΠΙΔΗΣ.
σί κακόν;
ΤΟΞΟΤΗΣ.
πωτετοπωνή;
ΕΥΡΙΠΙΔΗΣ.
πωτετοπωνή;
ΤΟΞΟΤΗΣ.
σὺ λαλεῖς;
ΕΥΡΙΠΙΔΗΣ.
σὺ λαλεῖς;
ΤΟΞΟΤΗΣ.
κλαύσει.
ΕΥΡΙΠΙΔΗΣ.
κλαύσει.
ΤΟΞΟΤΗΣ.
κακκάσκῃ μοι;
ΕΥΡΙΠΙΔΗΣ.
κακκάσκῃ μοι;
ΜΝΗΣΙΛΟΧΟΣ.
μὰ Δί' ἀλλὰ γυνὴ πλησίον αὕτη.
ΕΥΡΙΠΙΔΗΣ.
πλησίον αὕτη.
ΤΟΞΟΤΗΣ.
ποῦ 'σθ' ἡ μιαρά; καὶ δὴ φεύγει.
ποῖ ποῖ φεύγεις;
ΕΥΡΙΠΙΔΗΣ.
ποῖ ποῖ φεύγεις;
ΤΟΞΟΤΗΣ.
οὐκ αἰρήσεις;
ΕΥΡΙΠΙΔΗΣ.
οὐκ αἰρήσεις;
ΤΟΞΟΤΗΣ.
ἔτι γὰρ γρύζεις;
ΕΥΡΙΠΙΔΗΣ.
ἔτι γὰρ γρύζεις;
ΤΟΞΟΤΗΣ.
λαβὲ τῇ μιαρᾷ.
ΕΥΡΙΠΙΔΗΣ.
λαβὲ τῇ μιαρᾷ.
ΤΟΞΟΤΗΣ.
λάλο καὶ κατάρατο γύναικο.
ΕΥΡΙΠΙΔΗΣ ὡς Περσεύς.
ὦ θεοί, τίν' ἐς γῆν βαρβάρων ἀφίγμεθα
ταχεῖ πεδίλῳ; διὰ μέσου γὰρ αἰθέρος
τέμνων κέλευθον, πόδα τίθημ' ὑπόπτερον,
Περσεύς, πρὸς Ἄργος ναυστολῶν, τὸ Γοργόνος
κάρα κομίζων.
ΤΟΞΟΤΗΣ.
τί λέγι Γοργόνος πέρι;
τὸ γραμματέο σὺ τῇ κεπαλῇ τὴν Γοργόνος;
ΕΥΡΙΠΙΔΗΣ.
ἔγωγε φημί.
ΤΟΞΟΤΗΣ.
Γοργό τοι κἀγὼ λέγι.
ΕΥΡΙΠΙΔΗΣ.
ἔα· τίν' ὄχθον τόνδ' ὁρῶ, καὶ παρθένον
θεαῖς ὁμοίαν ναῦν ὅπως ὡρμισμένην;
ΜΝΗΣΙΛΟΧΟΣ.
ὦ ξένε, κατοίκτειρόν με τὴν παναθλίαν·
λῦσόν με δεσμῶν.
ΤΟΞΟΤΗΣ.
οὐκὶ μὴ λαλῆσι σύ.
κατάρατο τόλμας· ἀποτανουμένη λαλᾷς;
ΕΥΡΙΠΙΔΗΣ.
ὦ παρθέν', οἰκτείρω σὲ κρεμαμένην ὁρῶν.
ΤΟΞΟΤΗΣ.
οὐ παρτέν' ἐστὶν, ἀλλ' ἁμαρτωλὴ γέρων,
καὶ κλέπτο καὶ πανοῦργο.
ΕΥΡΙΠΙΔΗΣ.
ληρεῖς, ὦ Σκύθα.
αὕτη γάρ ἐστιν Ἀνδρομέδα παῖς Κηφέως.
ΤΟΞΟΤΗΣ.
σκέψαι τὸ πόστη· μή τι μικτὸν παίνεται;
ΕΥΡΙΠΙΔΗΣ.
φέρε δεῦρό μοι τὴν χεῖρ', ἵν' ἅψωμαι κόρης·
φέρε, Σκύθ'· ἀνθρώποισι γὰρ νοσήματα
ἅπασιν ἐστίν· ἐμὲ δὲ καὐτὸν τῆς κόρης
ταύτης ἔρως εἴληφεν.
ΤΟΞΟΤΗΣ.
οὐ ζηλῶ σι σέ·
ἀτὰρ εἰ τὸ πρωκτὸ δεῦρο περιεστραμμένον,
οὐκ ἐπτόνησά σ' αὐτὸ, πυγίζεις ἄγων.
ΕΥΡΙΠΙΔΗΣ.
τί δ' οὐκ ἐᾷς λύσαντά μ' αὐτὴν, ὦ Σκύθα,
πεσεῖν ἐς εὐνὴν καὶ γαμήλιον λέχος;
ΤΟΞΟΤΗΣ.
εἰ σπόδρ' ἐπιτυμεῖς τῇ γεροντοπύγισο,
τῇ σανίδο τρήσας ἐξόπιστο πρώκτισον.
ΕΥΡΙΠΙΔΗΣ.
μὰ Δί', ἀλλὰ λύσω δεσμά.
ΤΟΞΟΤΗΣ.
μαστιγῶ σ' ἄρα.
ΕΥΡΙΠΙΔΗΣ.
καὶ μὴν ποιήσω τοῦτο.
ΤΟΞΟΤΗΣ.
τὸ κεπαλή σ' ἄρα
τὸ ξιπομάκαιραν ἀποκεκόψι τουτοΐ.
ΕΥΡΙΠΙΔΗΣ.
αἰαῖ· τί δράσω; πρὸς τίνας στρεφθῶ λόγους;
ἀλλ' οὐκ ἂν ἐνδέξαιτο βάρβαρος φύσις.
σκαιοῖσι γάρ τοι καινὰ προσφέρων σοφὰ

μάτην ἀναλίσκοις ἄν, ἀλλ' ἄλλην τινὰ
τούτῳ πρέπουσαν μηχανὴν προσοιστέον.

ΤΟΞΟΤΗΣ.

μιαρὸς ἀλώπηξ, οἷον ἐπιτήκιζέ μοι.

ΜΝΗΣΙΛΟΧΟΣ.

μέμνησο Περσεῦ μ' ὡς καταλείπεις ἀθλίαν.

ΤΟΞΟΤΗΣ.

ἔτι γὰρ σὺ τὴ μάστιγαν ἐπιτυμεῖς λαβεῖν.

ΧΟΡΟΣ.

Παλλάδα τὴν φιλόχορον ἐμοὶ
δεῦρο καλεῖν νόμος ἐς χορὸν,
παρθένον, ἄζυγα κούρην,
ἣ πόλιν ἡμετέραν ἔχει,
καὶ κράτος φανερὸν μόνη,
κληδοῦχός τε καλεῖται.
φάνηθ', ὦ τυράννους
στυγοῦσ', ὥσπερ εἰκός.
δῆμός τοί σε καλεῖ γυναι-
κῶν· ἔχουσα δέ μοι μόλοις
εἰρήνην φιλέορτον.
ἥκετ' εὔφρονες, ἵλαοι,
πότνιαι, ἄλσος ἐς ὑμέτερον·
οὗ δὴ ἀνδράσιν οὐ θεμιτὸν εἰσορᾶν
ὄργια σεμνὰ θεαῖν, ἵνα λαμπάσι φαίνετον ἄμ-
βροτον ὄψιν.
μόλετον, ἔλθετον, ἀντόμεθ', ὦ
Θεσμοφόρω πολυποτνία.
εἰ καὶ πρότερόν ποτ' ἐπηκόω
ἤλθετον, νῦν ἀφίκεσθον, ἱκετεύομεν, ἐνθάδ'
ἡμῖν.

ΕΥΡΙΠΙΔΗΣ.

γυναῖκες, εἰ βούλεσθε τὸν λοιπὸν χρόνον
σπονδὰς ποιήσασθαι πρὸς ἐμὲ, νυνὶ πάρα,
ἐφ' ᾧτ' ἀκοῦσαι μηδὲν ὑπ' ἐμοῦ μηδαμὰ
κακὸν τὸ λοιπὸν, ταῦτ' ἐπικηρυκεύομαι.

ΧΟΡΟΣ.

χρεία δὲ ποίᾳ τόνδ' ἐπεισφέρεις λόγον;

ΕΥΡΙΠΙΔΗΣ.

ὅδ' ἐστὶν, οὑν τῇ σανίδι, κηδεστὴς ἐμός.
ἢν οὖν κομίσωμαι τοῦτον, οὐδὲν μή ποτε
κακῶς ἀκούσητ'· ἢν δὲ μὴ πείθησθέ μοι,
ἃ νῦν ὑποικουρεῖτε, τοῖσιν ἀνδράσιν
ἀπὸ τῆς στρατιᾶς παροῦσιν ὑμῶν διαβαλῶ.

ΧΟΡΟΣ.

τὰ μὲν παρ' ἡμῶν ἴσθι σοι πεπεισμένα·
τὸν βάρβαρον δὲ τοῦτον αὐτὸς πεῖθε σύ.

ΕΥΡΙΠΙΔΗΣ ὡς γραῦς.

ἐμὸν ἔργον ἐστίν· καὶ σὸν, ὠλάφιον, ἅ σοι
καθ' ὁδὸν ἔφραζον, ταῦτα μεμνῆσθαι ποιεῖν.
πρῶτον μὲν οὖν δίελθε κἀνακόλπασον.
σὺ δ', ὦ Τερηδὼν, ἐπαναφύσα Περσικόν.

ΤΟΞΟΤΗΣ.

τί τὸ βόμβο τοῦτο; κῶμο τίς ἀνεγείρι μοι,

ΕΥΡΙΠΙΔΗΣ.

ἡ παῖς ἔμελλε προμελετᾶν, ὦ τοξότα.
ὀρχησομένη γὰρ ἔρχεθ' ὡς ἄνδρας τινάς.

ΤΟΞΟΤΗΣ.

ὀρχῆσι καὶ μελετῆσι, οὐ κωλύσ' ἐγώ.
ὡς ἐλαπρὸς, ὥσπερ ψύλλο κατὰ τὸ κώδιο.

ΕΥΡΙΠΙΔΗΣ.

φέρε θοἰμάτιον ἄνωθεν, ὦ τέκνον, τοδί·
καθιζομένη δ' ἐπὶ τοῖσι γόνασι τοῦ Σκύθου,
τὼ πόδε πρότεινον, ἵν' ὑπολύσω.

ΤΟΞΟΤΗΣ.

ναιχὶ ναὶ
κάτησο, κάτησο, ναιχὶ ναὶ, τυγάτριον.
οἴμ' ὡς στέριπο τὸ τιττί', ὥσπερ γογγύλη.

ΕΥΡΙΠΙΔΗΣ.

αὔλει σὺ θᾶττον· ἔτι δέδοικας τὸν Σκύθην;

ΤΟΞΟΤΗΣ.

καλό γε τὸ πυγή.

ΕΥΡΙΠΙΔΗΣ.

κλαύσετ', ἢν μὴ 'νδον μένῃ.

ΤΟΞΟΤΗΣ.

εἶεν· καλὴ τὸ σχῆμα περὶ τὸ πόστιον.

ΕΥΡΙΠΙΔΗΣ.

καλῶς ἔχει. λαβὲ θοἰμάτιον· ὥρα 'στὶ νῷν
ἤδη βαδίζειν.

ΤΟΞΟΤΗΣ.

οὐχὶ πιλήσει πρῶτά με;

ΕΥΡΙΠΙΔΗΣ.

πάνυ γε· φίλησον αὐτόν.

ΤΟΞΟΤΗΣ.

ὂ ὂ ὂ, παπαπαπαῖ
ὡς γλυκερὸ τὸ γλῶσσ', ὥσπερ Ἀττικὸς μέλι.
τί οὐ κατεύδει παρ' ἐμέ;

ΕΥΡΙΠΙΔΗΣ.

χαῖρε, τοξότα·
οὐ γὰρ γένοιτ' ἂν τοῦτο.

ΤΟΞΟΤΗΣ.

ναὶ ναὶ, γράδιον,
ἐμοὶ χάρισο σὺ τοῦτο.

ΕΥΡΙΠΙΔΗΣ.

δώσεις οὖν δραχμήν;

ΤΟΞΟΤΗΣ.

ναὶ ναιχὶ δῶ σοι.

ΕΥΡΙΠΙΔΗΣ.

τἀργύριον τοίνυν φέρε.

ΤΟΞΟΤΗΣ.

ἀλλ' οὐκ ἔχ' ὠδέν· ἀλλὰ τὸ συβίνην λαβέ.

ΕΥΡΙΠΙΔΗΣ.

ἔπειτα κομίζεις αὖθις.

ΤΟΞΟΤΗΣ.

ἀκολούτει, τέκνον.
σὺ δὲ τοῦτο τήρει τῇ γέροντο γράδιο.
ὄνομα δέ σοι τί ἐστίν;

ΕΥΡΙΠΙΔΗΣ.

Ἀρτεμισία.

ΤΟΞΟΤΗΣ.

μεμνῆσι τοίνυν τοὔνομ'· Ἀρταμουξία.

ΕΥΡΙΠΙΔΗΣ.

Ἑρμῆ δόλιε, ταυτὶ μὲν ἔτι καλῶς ποιεῖς.

σὺ μὲν οὖν ἀπότρεχε, παιδάριον τουτὶ λαβών·
ἐγὼ δὲ λύσω τόνδε. σὺ δ' ὅπως ἀνδρικῶς,
ὅταν λυθῇς τάχιστα, φεύξει, καὶ τενεῖς
ὡς τὴν γυναῖκα καὶ τὰ παιδί' οἴκαδε.

ΜΝΗΣΙΛΟΧΟΣ.

ἐμοὶ μελήσει ταῦτά γ', ἢν ἅπαξ λυθῶ.

ΕΥΡΙΠΙΔΗΣ.

λέλυσο. σὸν ἔργον, φεῦγε, πρὶν τὸν τοξότην
ἥκοντα καταλαβεῖν.

ΜΝΗΣΙΛΟΧΟΣ.

ἐγὼ δὴ τοῦτο δρῶ.

ΤΟΞΟΤΗΣ.

ὦ γρᾴδι', ὡς χαρίεντό σοι τὸ τυγάτριον,
κοὐ δύσκολ', ἀλλὰ πρᾶο. — ποῦ τὸ γρᾴδιο;
οἴμ' ὡς ἀπόλωλον· ποῦ τὸ γέροντ' ἐντευτενί;
ὦ γρᾴδι', ὦ γραῦ. οὐκ ἐπαινῶ, γρᾴδιο.
Ἀρταμουξία.
διέβαλέ μ' ὠ γραῦς. ἀπότρεχ' ὡς τάκιστα σύ·
ὀρτῶς δὲ συβίνη 'στί· καταβινῆσι γάρ.
οἴμοι, τί δράσει; ποῖ τὸ γρᾴδιο;
Ἀρταμουξία.

ΧΟΡΟΣ.

τὴν γραῦν ἐρωτᾷς, ἣ 'φερεν τὰς πηκτίδας;

ΤΟΞΟΤΗΣ.

ναὶ ναικί. εἶδες αὐτό;

ΧΟΡΟΣ.

ταύτῃ γ' οἴχεται
αὐτή τ' ἐκείνη καὶ γέρων τις εἵπετο.

ΤΟΞΟΤΗΣ.

κροκῶτ' ἔχοντο τῇ γέροντο;

ΧΟΡΟΣ.

φήμ' ἐγώ.
ἔτ' ἂν καταλάβοις, εἰ διώκοις ταυτηί.

ΤΟΞΟΤΗΣ.

ὦ μιαρὸ γρᾳο· πότερα τρέξι τὴν ὁδό;
Ἀρταμουξία.

ΧΟΡΟΣ.

ὀρθὴν ἄνω δίωκε. ποῖ θεῖς; οὐ πάλιν
τηδὶ διώξει; τοὔμπαλιν τρέχεις σύ γε.

ΤΟΞΟΤΗΣ.

κακόδαιμον· ἀλλὰ τρέξι Ἀρταμουξία.

ΧΟΡΟΣ.

τρέχε νυν τρέχε νυν κατὰ τοὺς κόρακας ἐπουρίσας.
ἀλλὰ πέπαισται μετρίως ἡμῖν·
ὥσθ' ὥρα δῆτ' ἐστὶ βαδίζειν
οἴκαδ' ἑκάστῃ.
τὼ Θεσμοφόρω δ' ἡμῖν ἀγαθὴν
τούτων χάριν ἀνταποδοῖτον.

---

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΒΑΤΡΑΧΟΙ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΞΑΝΘΙΑΣ.*
*ΔΙΟΝΥΣΟΣ.*
*ΗΡΑΚΛΗΣ.*
*ΝΕΚΡΟΣ.*
*ΧΑΡΩΝ.*
*ΠΑΡΑΧΟΡΗΓΗΜΑ ΒΑΤΡΑΧΩΝ.*
*ΧΟΡΟΣ ΜΥΣΤΩΝ.*
*ΑΙΑΚΟΣ.*
*ΘΕΡΑΠΑΙΝΑ ΠΕΡΣΕΦΟΝΗΣ.*
*ΠΑΝΔΟΚΕΥΤΡΙΑΙ ΔΥΟ.*
*ΕΥΡΙΠΙΔΗΣ.*
*ΑΙΣΧΥΛΟΣ.*
*ΠΛΟΥΤΩΝ.*

## *ΥΠΟΘΕΣΙΣ.*

*Μαθὼν παρ' Ἡρακλέους Διόνυσος τὴν ὁδὸν*
*πρὸς τοὺς κατοιχομένους πορεύεται, λαβὼν*
*τὸ δέρμα καὶ τὸ σκύταλον, ἀνάγειν θέλων*
*Εὐριπίδην· λίμνην τε διέβαινεν κάτω.*
*καὶ τῶν βατράχων ἀνέκραγεν εὔφημος χορός.*
*ἔπειτα μυστῶν ἐκδοχή. Πλούτων δ' ἰδὼν*
*ὡς Ἡρακλεῖ προσέκρουσε διὰ τὸν Κέρβερον.*
*ὡς δ' ἀνεφάνη, τίθεται τραγῳδίας ἀγών,*
*καὶ δὴ στεφανοῦταί γ' Αἰσχύλος. τοῦτον δ' ἄγει*
*Διόνυσος εἰς φῶς, οὐχὶ μὰ Δί' Εὐριπίδην.*

## *ΑΛΛΩΣ.*

*Διόνυσός ἐστι μετὰ θεράποντος Ξανθίου κατὰ Εὐριπίδου πόθον εἰς Ἅιδου κατιών· ἔχει δὲ λεοντ*
*καὶ ῥόπαλον πρὸς τὸ τοῖς ἐντυγχάνουσιν ἔκπληξιν παρέχειν. ἐλθὼν δὲ ὡς τὸν Ἡρακλέα πρότερον, ἵ*
*ἐξετάσῃ τὰ κατὰ τὰς ὁδούς, ᾗ καὶ αὐτὸς ἐπὶ τὸν Κέρβερον ᾤχετο, καὶ ὀλίγα ἄλλα περὶ τῶν τραγικ*
*τούτῳ διαλεχθεὶς ὁρμᾶται πρὸς τὸ προκείμενον. ἐπεὶ δὲ πρὸς τῇ Ἀχερουσίᾳ λίμνῃ γίνεται, ὁ μὲν Ξανθί*
*διὰ τὸ μὴ συννεναυμαχηκέναι τὴν περὶ Ἀργινούσας ναυμαχίαν, ὑπὸ τοῦ Χάρωνος οὐκ ἀναληφθεὶς π*
*τὴν λίμνην κύκλῳ πορεύεται. ὁ δὲ Διόνυσος δύο ὀβολῶν περαιοῦται, προσπαίζων ἅμα τοῖς κατὰ τὸν π*
*ρον ᾄδουσι βατράχοις καὶ γελωτοποιῶν. μετὰ ταῦτα ἐν Ἅιδου τῶν πραγμάτων ἤδη χειριζομένων οἱ τε μ*
*σται χορεύοντες ἐν τῷ προφανεῖ καὶ τὸν Ἴακχον ᾄδοντες ἐν χοροῦ σχήματι καθορῶνται, ὅ τε Διόνυ*
*μετὰ τοῦ θεράποντος εἰς ταυτὸν ἔρχεται τούτοις. τῶν δὲ προηδικημένων ὑπὸ Ἡρακλέους προσπλεκομέν*
*τῷ Διονύσῳ διὰ τὴν ἐκ τῆς σκευῆς ἄγνοιαν, μέχρι μέν τινος οὐκ ἀγελοίως χειμάζονται, εἶτα μέντοι π*
*τὸν Πλούτωνα καὶ τὴν Περσέφατταν παραχθέντες ἀλεωρῆς τυγχάνουσιν. ἐν δὲ τούτῳ ὁ μὲν τῶν μυστ*
*χορὸς περὶ τοῦ τὴν πολιτείαν ἐξισῶσαι καὶ τοὺς ἀτίμους ἐντίμους ποιῆσαι χἀτέρων τινῶν πρὸς τὴν Ἀθ*
*ναίων πόλιν διαλέγεται. τὰ δὲ λοιπὰ τοῦ δράματος μονόκωλα, ἄλλως δὲ τερπνὴν καὶ φιλόλογον λαμβ*
*σύστασιν. παρεισάγεται γὰρ Εὐριπίδης Αἰσχύλῳ περὶ τῆς τραγικῆς διαφερόμενος, τὸ μὲν ἔμπροσθεν Αἰ*
*σχύλου παρὰ τῷ Ἅιδῃ βραβεῖον ἔχοντος, τότε δὲ Εὐριπίδου τῆς τιμῆς καὶ τοῦ τραγῳδικοῦ θρόνου ἀν*
*ποιησαμένου. συστήσαντος δὲ τοῦ Πλούτωνος αὐτοῖς τὸν Διόνυσον διακούειν ἑκάτερος αὐτοῖν λόγους π*
*λοὺς καὶ ποικίλους ποιεῖται, καὶ τέλος πάντα ἔλεγχον καὶ πᾶσαν βάσανον οὐκ ἀπιθάνως ἑκατέρου κα*
*τῆς θατέρου ποιήσεως προσαγαγόντος, κρίνας παρὰ προσδοκίαν ὁ Διόνυσος Αἰσχύλον νικᾶν, ἔχων αὐ*
*ὡς τοὺς ζῶντας ἀνέρχεται.*

*Τὸ δὲ δρᾶμα τῶν εὖ πάνυ καὶ φιλοπόνως πεποιημένων. ἐδιδάχθη ἐπὶ Καλλίου τοῦ μετὰ Ἀντιγ*
*διὰ Φιλωνίδου εἰς Λήναια. πρῶτος ἦν· Φρύνιχος δεύτερος Μούσαις· Πλάτων τρίτος Κλεοφῶντι. οὕ*
*δὲ ἐθαυμάσθη τὸ δρᾶμα διὰ τὴν ἐν αὐτῷ παράβασιν ὥστε καὶ ἀνεδιδάχθη, ὥς φησι Δικαίαρχος. οὐ*
*δήλωται μὲν ὅπου ἐστὶν ἡ σκηνή, εὐλογώτατον δ' ἐν Θήβαις· καὶ γὰρ ὁ Διόνυσος ἐκεῖθεν καὶ πρὸς*
*Ἡρακλέα ἀφικνεῖται Θηβαῖον ὄντα.*

# ΒΑΤΡΑΧΟΙ.

ΞΑΝΘΙΑΣ.
Εἴπω τι τῶν εἰωθότων, ὦ δέσποτα,
ἐφ' οἷς ἀεὶ γελῶσιν οἱ θεώμενοι;
ΔΙΟΝΥΣΟΣ.
νὴ τὸν Δί' ὅ τι βούλει γε, πλὴν πιέζομαι,
τοῦτο δὲ φύλαξαι· πάνυ γάρ ἐστ' ἤδη χολή.
ΞΑΝΘΙΑΣ.
μηδ' ἕτερον ἀστεῖόν τι;
ΔΙΟΝΥΣΟΣ.
πλήν γ', ὡς θλίβομαι.
ΞΑΝΘΙΑΣ.
τί δαί; τὸ πάνυ γέλοιον εἴπω;
ΔΙΟΝΥΣΟΣ.
νὴ Δία
θαρρῶν γ'· ἐκεῖνο μόνον ὅπως μὴ 'ρεῖς,
ΞΑΝΘΙΑΣ.
τὸ τί;
ΔΙΟΝΥΣΟΣ.
μεταβαλλόμενος τἀνάφορον ὅτι χεζητιᾷς.
ΞΑΝΘΙΑΣ.
μηδ' ὅτι τοσοῦτον ἄχθος ἐπ' ἐμαυτῷ φέρων,
εἰ μὴ καθαιρήσει τις, ἀποπαρδήσομαι;
ΔΙΟΝΥΣΟΣ.
μὴ δῆθ', ἱκετεύω, πλήν γ' ὅταν μέλλω 'ξεμεῖν.
ΞΑΝΘΙΑΣ.
τί δῆτ' ἔδει με ταῦτα τὰ σκεύη φέρειν,
εἴπερ ποιήσω μηδὲν ὧνπερ Φρύνιχος
εἴωθε ποιεῖν καὶ Λύκις κἀμειψίας;
[σκεύη φέρουσ' ἑκάστοτ' ἐν κωμῳδίᾳ.]
ΔΙΟΝΥΣΟΣ.
μή νυν ποιήσῃς· ὡς ἐγὼ θεώμενος,
ὅταν τι τούτων τῶν σοφισμάτων ἴδω,
πλεῖν ἢ 'νιαυτῷ πρεσβύτερος ἀπέρχομαι.
ΞΑΝΘΙΑΣ.
ὢ τρισκακοδαίμων ἄρ' ὁ τράχηλος οὑτοσί,
ὅτι θλίβεται μέν, τὸ δὲ γέλοιον οὐκ ἐρεῖ.
ΔΙΟΝΥΣΟΣ.
εἶτ' οὐχ ὕβρις ταῦτ' ἐστὶ καὶ πολλὴ τρυφή,
ὅτ' ἐγὼ μὲν ὢν Διόνυσος, υἱὸς Σταμνίου,
αὐτὸς βαδίζω καὶ πονῶ, τοῦτον δ' ὀχῶ,
ἵνα μὴ ταλαιπωροῖτο μηδ' ἄχθος φέροι;
ΞΑΝΘΙΑΣ.
οὐ γὰρ φέρω 'γώ;
ΔΙΟΝΥΣΟΣ.
πῶς φέρεις γάρ, ὅς γ' ὀχεῖ;
ΞΑΝΘΙΑΣ.
φέρων γε ταυτί.
ΔΙΟΝΥΣΟΣ.
τίνα τρόπον;
ΞΑΝΘΙΑΣ.
βαρέως πάνυ.
ΔΙΟΝΥΣΟΣ.
οὔκουν τὸ βάρος τοῦθ', ὃ σὺ φέρεις, οὖνος φέρει;
ΞΑΝΘΙΑΣ.
οὐ δῆθ' ὅ γ' ἔχω 'γὼ καὶ φέρω, μὰ τὸν Δί' οὔ.
ΔΙΟΝΥΣΟΣ.
πῶς γὰρ φέρεις, ὅς γ' αὐτὸς ὑφ' ἑτέρου φέρει;
ΞΑΝΘΙΑΣ.
οὐκ οἶδ'· ὁ δ' ὦμος οὑτοσὶ πιέζεται.
ΔΙΟΝΥΣΟΣ.
σὺ δ' οὖν ἐπειδὴ τὸν ὄνον οὐ φῄς σ' ὠφελεῖν,
ἐν τῷ μέρει σὺ τὸν ὄνον ἀράμενος φέρε.
ΞΑΝΘΙΑΣ.
οἴμοι κακοδαίμων· τί γὰρ ἐγὼ οὐκ ἐναυμάχουν;
ἦ τἄν σε κωκύειν ἂν ἐκέλευον μακρά.
ΔΙΟΝΥΣΟΣ.
κατάβα, πανοῦργε. καὶ γὰρ ἐγγὺς τῆς θύρας
ἤδη βαδίζων εἰμὶ τῆσδ', οἷ πρῶτά με
ἔδει τραπέσθαι. παιδίον, παῖ, ἠμί, παῖ.
ΗΡΑΚΛΗΣ.
τίς τὴν θύραν ἐπάταξεν; ὡς κενταυρικῶς
ἐνήλαθ' ὅστις· εἰπέ μοι, τουτὶ τί ἦν;
ΔΙΟΝΥΣΟΣ.
ὁ παῖς.
ΞΑΝΘΙΑΣ.
τί ἔστιν;
ΔΙΟΝΥΣΟΣ.
οὐκ ἐνεθυμήθης;
ΞΑΝΘΙΑΣ.
τὸ τί;
ΔΙΟΝΥΣΟΣ.
ὡς σφόδρα μ' ἔδεισε.
ΞΑΝΘΙΑΣ.
νὴ Δί, μὴ μαίνοιό γε.
ΗΡΑΚΛΗΣ.
οὔ τοι μὰ τὴν Δήμητρα δύναμαι μὴ γελᾶν·
καίτοι δάκνω γ' ἐμαυτόν· ἀλλ' ὅμως γελῶ.
ΔΙΟΝΥΣΟΣ.
ὦ δαιμόνιε, πρόσελθε· δέομαι γάρ τί σου.
ΗΡΑΚΛΗΣ.
ἀλλ' οὐχ οἷός τ' εἴμ' ἀποσοβῆσαι τὸν γέλων,
ὁρῶν λεοντῆν ἐπὶ κροκωτῷ κειμένην.
τίς ὁ νοῦς; τί κόθορνος καὶ ῥόπαλον ξυνηλθέτην;
ποῖ γῆς ἀπεδήμεις;
ΔΙΟΝΥΣΟΣ.
ἐπεβάτευον Κλεισθένει.
ΗΡΑΚΛΗΣ.
κἀναυμάχησας;
ΔΙΟΝΥΣΟΣ.
καὶ κατεδύσαμέν γε ναῦς
τῶν πολεμίων ἢ δώδεκ' ἢ τρισκαίδεκα.
ΗΡΑΚΛΗΣ.
σφώ;

ΔΙΟΝΥΣΟΣ.
νὴ τὸν Ἀπόλλω.
ΗΡΑΚΛΗΣ.
κᾆτ' ἔγωγ' ἐξηγρόμην.
ΔΙΟΝΥΣΟΣ.
καὶ δῆτ' ἐπὶ τῆς νεὼς ἀναγιγνώσκοντί μοι
τὴν Ἀνδρομέδαν πρὸς ἐμαυτὸν ἐξαίφνης πόθος
τὴν καρδίαν ἐπάταξε πῶς οἴει σφόδρα;
ΗΡΑΚΛΗΣ.
πόθος; πόσος τις;
ΔΙΟΝΥΣΟΣ.
μικρὸς, ἡλίκος Μόλων.
ΗΡΑΚΛΗΣ.
γυναικός;
ΔΙΟΝΥΣΟΣ.
οὐ δῆτ'.
ΗΡΑΚΛΗΣ.
ἀλλὰ παιδός;
ΔΙΟΝΥΣΟΣ.
οὐδαμῶς.
ΗΡΑΚΛΗΣ.
ἀλλ' ἀνδρός;
ΔΙΟΝΥΣΟΣ.
ἀτταταῖ.
ΗΡΑΚΛΗΣ.
ξυνεγένου Κλεισθένει;
ΔΙΟΝΥΣΟΣ.
μὴ σκῶπτέ μ', ὠδέλφ'· οὐ γὰρ ἀλλ' ἔχω κακῶς·
τοιοῦτος ἵμερός με διαλυμαίνεται.
ΗΡΑΚΛΗΣ.
ποῖός τις, ὠδελφίδιον;
ΔΙΟΝΥΣΟΣ.
οὐκ ἔχω φράσαι.
ὅμως γε μέντοι σοι δι' αἰνιγμῶν ἐρῶ.
ἤδη ποτ' ἐπεθύμησας ἐξαίφνης ἔτνους;
ΗΡΑΚΛΗΣ.
ἔτνους; βαβαιὰξ, μυριάκις ἐν τῷ βίῳ.
ΔΙΟΝΥΣΟΣ.
ἆρ' ἐκδιδάσκω τὸ σαφὲς, ἢ 'τέρᾳ φράσω;
ΗΡΑΚΛΗΣ.
μὴ δῆτα περὶ ἔτνους γε· πάνυ γὰρ μανθάνω.
ΔΙΟΝΥΣΟΣ.
τοιουτοσὶ τοίνυν με δαρδάπτει πόθος
Εὐριπίδου, καὶ ταῦτα τοῦ τεθνηκότος,
κοὐδείς γέ μ' ἂν πείσειεν ἀνθρώπων τὸ μὴ οὐκ
ἐλθεῖν ἐπ' ἐκεῖνον.
ΗΡΑΚΛΗΣ.
πότερον εἰς Ἅιδου κάτω;
ΔΙΟΝΥΣΟΣ.
καὶ νὴ Δί' εἴ τί γ' ἔστιν ἔτι κατωτέρω.
ΗΡΑΚΛΗΣ.
τί βουλόμενος;
ΔΙΟΝΥΣΟΣ.
δέομαι ποιητοῦ δεξιοῦ.
οἱ μὲν γὰρ οὐκέτ' εἰσὶν, οἱ δ' ὄντες κακοί.
ΗΡΑΚΛΗΣ.
τί δ'; οὐκ Ἰοφῶν ζῇ;
ΔΙΟΝΥΣΟΣ.
τοῦτο γάρ τοι καὶ μόνον
ἔτ' ἐστὶ λοιπὸν ἀγαθὸν, εἰ καὶ τοῦτ' ἄρα·
οὐ γὰρ σάφ' οἶδ' οὐδ' αὐτὸ τοῦθ' ὅπως ἔχει.
ΗΡΑΚΛΗΣ.
εἶτ' οὐ Σοφοκλέα, πρότερον ὄντ' Εὐριπίδου,
μέλλεις ἀνάγειν, εἴπερ γ' ἐκεῖθεν δεῖ σ' ἄγειν;
ΔΙΟΝΥΣΟΣ.
οὔ, πρίν γ' ἂν Ἰοφῶντ', ἀπολαβὼν αὐτὸν μόνον,
ἄνευ Σοφοκλέους ὅ τι ποιεῖ κωδωνίσω.
κἄλλως ὁ μέν γ' Εὐριπίδης, πανοῦργος ὤν,
κἂν ξυναποδρᾶναι δεῦρ' ἐπιχειρήσειέ μοι·
ὁ δ' εὔκολος μὲν ἐνθάδ', εὔκολος δ' ἐκεῖ.
ΗΡΑΚΛΗΣ.
Ἀγάθων δὲ ποῦ 'στιν;
ΔΙΟΝΥΣΟΣ.
ἀπολιπών μ' ἀποίχεται,
ἀγαθὸς ποιητὴς καὶ ποθεινὸς τοῖς φίλοις.
ΗΡΑΚΛΗΣ.
ποῖ γῆς ὁ τλήμων;
ΔΙΟΝΥΣΟΣ.
ἐς μακάρων εὐωχίαν.
ΗΡΑΚΛΗΣ.
ὁ δὲ Ξενοκλέης;
ΔΙΟΝΥΣΟΣ.
ἐξόλοιτο νὴ Δία.
ΗΡΑΚΛΗΣ.
Πυθάγγελος δέ;
ΞΑΝΘΙΑΣ.
περὶ ἐμοῦ δ' οὐδεὶς λόγος
ἐπιτριβομένου τὸν ὦμον οὑτωσὶ σφόδρα.
ΗΡΑΚΛΗΣ.
οὔκουν ἕτερ' ἔστ' ἐνταῦθα μειρακύλλια
τραγῳδίας ποιοῦντα πλεῖν ἢ μύρια,
Εὐριπίδου πλεῖν ἢ σταδίῳ λαλίστερα;
ΔΙΟΝΥΣΟΣ.
ἐπιφυλλίδες ταῦτ' ἐστὶ καὶ στωμύλματα,
χελιδόνων μουσεῖα, λωβηταὶ τέχνης,
ἃ φροῦδα θᾶττον, ἢν μόνον χορὸν λάβῃ,
ἅπαξ προσουρήσαντα τῇ τραγῳδίᾳ.
γόνιμον δὲ ποιητὴν ἂν οὐχ εὕροις ἔτι
ζητῶν ἂν, ὅστις ῥῆμα γενναῖον λάκοι.
ΗΡΑΚΛΗΣ.
πῶς γόνιμον;
ΔΙΟΝΥΣΟΣ.
ὡδὶ γόνιμον, ὅστις φθέγξεται
τοιουτονί τι παρακεκινδυνευμένον,
αἰθέρα Διὸς δωμάτιον, ἢ χρόνου πόδα,
ἢ φρένα μὲν οὐκ ἐθέλουσαν ὀμόσαι καθ' ἱερῶν,
γλῶτταν δ' ἐπιορκήσασαν ἰδίᾳ τῆς φρενός.
ΗΡΑΚΛΗΣ.
σὲ δὲ ταῦτ' ἀρέσκει;
ΔΙΟΝΥΣΟΣ.
μάλλὰ πλεῖν ἢ μαίνομαι.
ΗΡΑΚΛΗΣ.
ἦ μὴν κόβαλά γ' ἐστὶν, ὡς καὶ σοὶ δοκεῖ.
ΔΙΟΝΥΣΟΣ.
μὴ τὸν ἐμὸν οἴκει νοῦν· ἔχεις γὰρ οἰκίαν.
ΗΡΑΚΛΗΣ.
καὶ μὴν ἀτεχνῶς γε παμπόνηρα φαίνεται.
ΔΙΟΝΥΣΟΣ.
δειπνεῖν με δίδασκε.

ΞΑΝΘΙΑΣ.
περὶ ἐμοῦ δ' οὐδεὶς λόγος.
ΔΙΟΝΥΣΟΣ.
ἀλλ' ὧνπερ ἕνεκα τήνδε τὴν σκευὴν ἔχων
ἦλθον κατὰ σὴν μίμησιν, ἵνα μοι τοὺς ξένους
τοὺς σοὺς φράσειας, εἰ δεοίμην, οἷσι σὺ
ἐχρῶ τόθ', ἡνίκ' ἦλθες ἐπὶ τὸν Κέρβερον,
τούτους φράσον μοι, λιμένας, ἀρτοπώλια,
πορνεῖ', ἀναπαύλας, ἐκτροπάς, κρήνας, ὁδούς,
πόλεις, διαίτας, πανδοκευτρίας, ὅπου
κόρεις ὀλίγιστοι.
ΞΑΝΘΙΑΣ.
περὶ ἐμοῦ δ' οὐδεὶς λόγος.
ΗΡΑΚΛΗΣ.
ὦ σχέτλιε, τολμήσεις γὰρ ἰέναι;
ΔΙΟΝΥΣΟΣ.
καὶ σύ γε
μηδὲν ἔτι πρὸς ταῦτ', ἀλλὰ φράζε τῶν ὁδῶν
ὅπως τάχιστ' ἀφιξόμεθ' εἰς Ἅιδου κάτω·
καὶ μήτε θερμὴν μήτ' ἄγαν ψυχρὰν φράσῃς.
ΗΡΑΚΛΗΣ.
φέρε δή, τίν' αὐτῶν σοι φράσω πρώτην; τίνα;
μία μὲν γάρ ἐστιν ἀπὸ κάλω καὶ θρανίου,
κρεμάσαντι σαυτόν.
ΔΙΟΝΥΣΟΣ.
παῦε, πνιγηρὰν λέγεις.
ΗΡΑΚΛΗΣ.
ἀλλ' ἔστιν ἀτραπὸς ξύντομος τετριμμένη,
ἡ διὰ θυείας.
ΔΙΟΝΥΣΟΣ.
ἆρα κώνειον λέγεις;
ΗΡΑΚΛΗΣ.
μάλιστά γε.
ΔΙΟΝΥΣΟΣ.
ψυχράν γε καὶ δυσχείμερον·
εὐθὺς γὰρ ἀποπήγνυσι τἀντικνήμια.
ΗΡΑΚΛΗΣ.
βούλει ταχεῖαν καὶ κατάντη σοι φράσω;
ΔΙΟΝΥΣΟΣ.
νὴ τὸν Δί', ὡς ὄντος γε μὴ βαδιστικοῦ.
ΗΡΑΚΛΗΣ.
καθέρπυσόν νυν ἐς Κεραμεικόν.
ΔΙΟΝΥΣΟΣ.
εἶτα τί;
ΗΡΑΚΛΗΣ.
ἀναβὰς ἐπὶ τὸν πύργον τὸν ὑψηλὸν
ΔΙΟΝΥΣΟΣ.
τί δρῶ;
ΗΡΑΚΛΗΣ.
ἀφιεμένην τὴν λαμπάδ' ἐντεῦθεν θεῶ,
κἄπειτ' ἐπειδὰν φῶσιν οἱ θεώμενοι
εἶναι, τόθ' εἶναι καὶ σὺ σαυτόν.
ΔΙΟΝΥΣΟΣ.
ποῖ;
ΗΡΑΚΛΗΣ.
κάτω.
ΔΙΟΝΥΣΟΣ.
ἀλλ' ἀπολέσαιμ' ἂν ἐγκεφάλου θρίω δύο.
οὐκ ἂν βαδίσαιμι τὴν ὁδὸν ταύτην.
ΗΡΑΚΛΗΣ.
τί δαί;
ΔΙΟΝΥΣΟΣ.
ἥνπερ σὺ τότε κατῆλθες.
ΗΡΑΚΛΗΣ.
ἀλλ' ὁ πλοῦς πολύς.
εὐθὺς γὰρ ἐπὶ λίμνην μεγάλην ἥξεις πάνυ
ἄβυσσον.
ΔΙΟΝΥΣΟΣ.
εἶτα πῶς περαιωθήσομαι;
ΗΡΑΚΛΗΣ.
ἐν πλοιαρίῳ τυννουτῳὶ σ' ἀνὴρ γέρων
ναύτης διάξει δύ' ὀβολὼ μισθὸν λαβών.
ΔΙΟΝΥΣΟΣ.
φεῦ. ὡς μέγα δύνασθον πανταχοῦ τὼ δύ' ὀβολώ.
πῶς ἠλθέτην κἀκεῖσε;
ΗΡΑΚΛΗΣ.
Θησεὺς ἤγαγεν.
μετὰ ταῦτ' ὄφεις καὶ θηρί' ὄψει μυρία
δεινότατα.
ΔΙΟΝΥΣΟΣ.
μή μ' ἔκπληττε μηδὲ δειμάτου·
οὐ γάρ μ' ἀποτρέψεις.
ΗΡΑΚΛΗΣ.
εἶτα βόρβορον πολὺν
καὶ σκῶρ ἀείνων· ἐν δὲ τούτῳ κειμένους
εἴ που ξένον τις ἠδίκησε πώποτε,
ἢ παῖδα κινῶν τἀργύριον ὑφείλετο,
ἢ μητέρ' ἠλόησεν, ἢ πατρὸς γνάθον
ἐπάταξεν, ἢ 'πίορκον ὅρκον ὤμοσεν,
ἢ Μορσίμου τις ῥῆσιν ἐξεγράψατο.
ΔΙΟΝΥΣΟΣ.
νὴ τοὺς θεοὺς ἐχρῆν γε πρὸς τούτοισι κεἰ
τὴν πυρρίχην τις ἔμαθε τὴν Κινησίου.
ΗΡΑΚΛΗΣ.
ἐντεῦθεν αὐλῶν τίς σε περίεισιν πνοή,
ὄψει τε φῶς κάλλιστον, ὥσπερ ἐνθάδε,
καὶ μυρρινῶνας, καὶ θιάσους εὐδαίμονας
ἀνδρῶν γυναικῶν, καὶ κρότον χειρῶν πολύν.
ΔΙΟΝΥΣΟΣ.
οὗτοι δὲ δὴ τίνες εἰσίν;
ΗΡΑΚΛΗΣ.
οἱ μεμυημένοι,
ΞΑΝΘΙΑΣ.
νὴ τὸν Δί' ἐγὼ γοῦν ὄνος ἄγων μυστήρια.
ἀτὰρ οὐ καθέξω ταῦτα τὸν πλείω χρόνον.
ΗΡΑΚΛΗΣ.
οἵ σοι φράσουσ' ἁπαξάπανθ' ὧν ἂν δέῃ.
οὗτοι γὰρ ἐγγύτατα παρ' αὐτὴν τὴν ὁδὸν
ἐπὶ ταῖσι τοῦ Πλούτωνος οἰκοῦσιν θύραις.
καὶ χαῖρε πόλλ', ὦδελφέ.
ΔΙΟΝΥΣΟΣ.
νὴ Δί καὶ σύ γε
ὑγίαινε. σὺ δὲ τὰ στρώματ' αὖθις λάμβανε.
ΞΑΝΘΙΑΣ.
πρὶν καὶ καταθέσθαι;
ΔΙΟΝΥΣΟΣ.
καὶ ταχέως μέντοι πάνυ.
ΞΑΝΘΙΑΣ.
μὴ δῆθ', ἱκετεύω σ', ἀλλὰ μίσθωσαί τινα
τῶν ἐκφερομένων, ὅστις ἐπὶ τοῦτ' ἔρχεται.

ΔΙΟΝΥΣΟΣ.
ἐὰν δὲ μὴ 'χω;
ΞΑΝΘΙΑΣ.
τότε μ' ἄγειν.
ΔΙΟΝΥΣΟΣ.
καλῶς λέγεις.
καὶ γάρ τιν' ἐκφέρουσι τουτονὶ νεκρόν.
οὗτος, σὲ λέγω μέντοι, σὲ τὸν τεθνηκότα·
ἄνθρωπε, βούλει σκευάρι' εἰς Ἅιδου φέρειν;
ΝΕΚΡΟΣ.
πόσ' ἄττα;
ΔΙΟΝΥΣΟΣ.
ταυτί.
ΝΕΚΡΟΣ.
δύο δραχμὰς μισθὸν τελεῖς;
ΔΙΟΝΥΣΟΣ.
μὰ Δί', ἀλλ' ἔλαττον.
ΝΕΚΡΟΣ.
ὑπάγεθ' ὑμεῖς τῆς ὁδοῦ.
ΔΙΟΝΥΣΟΣ.
ἀνάμεινον, ὦ δαιμόνι', ἐὰν ξυμβῶ τί σοι.
ΝΕΚΡΟΣ.
εἰ μὴ καταθήσεις δύο δραχμάς, μὴ διαλέγου.
ΔΙΟΝΥΣΟΣ.
λάβ' ἐννέ' ὀβολούς.
ΝΕΚΡΟΣ.
ἀναβιῴην νυν πάλιν.
ΞΑΝΘΙΑΣ.
ὡς σεμνὸς ὁ κατάρατος· οὐκ οἰμώξεται;
ἐγὼ βαδιοῦμαι.
ΔΙΟΝΥΣΟΣ.
χρηστὸς εἶ καὶ γεννάδας.
χωρῶμεν ἐπὶ τὸ πλοῖον.
ΧΑΡΩΝ.
ὠόπ, παραβαλοῦ.
ΞΑΝΘΙΑΣ.
τουτὶ τί ἐστι;
ΔΙΟΝΥΣΟΣ.
τοῦτο λίμνη νὴ Δία
αὕτη 'στὶν ἣν ἔφραζε, καὶ πλοῖόν γ' ὁρῶ.
ΞΑΝΘΙΑΣ.
νὴ τὸν Ποσειδῶ, κἄστι γ' ὁ Χάρων οὑτοσί.
ΔΙΟΝΥΣΟΣ.
χαῖρ' ὦ Χάρων, χαῖρ' ὦ Χάρων, χαῖρ' ὦ Χάρων.
ΧΑΡΩΝ.
τίς εἰς ἀναπαύλας ἐκ κακῶν καὶ πραγμάτων;
τίς εἰς τὸ Λήθης πεδίον, ἢ 'ς ὄνου πόκας,
ἢ 'ς Κερβερίους, ἢ 'ς κόρακας, ἢ 'πὶ Ταίναρον;
ΔΙΟΝΥΣΟΣ.
ἐγώ.
ΧΑΡΩΝ.
ταχέως ἔμβαινε.
ΔΙΟΝΥΣΟΣ.
ποῖ σχήσειν δοκεῖς;
ἐς κόρακας ὄντως;
ΧΑΡΩΝ.
ναὶ μὰ Δία, σοῦ γ' οὕνεκα.
ἔμβαινε δή.
ΔΙΟΝΥΣΟΣ.
παῖ, δεῦρο.
ΧΑΡΩΝ.
δοῦλον οὐκ ἄγω,
εἰ μὴ νεναυμάχηκε τὴν περὶ τῶν κρεῶν.
ΞΑΝΘΙΑΣ.
μὰ τὸν Δί', οὐ γὰρ ἀλλ' ἔτυχον ὀφθαλμιῶν.
ΧΑΡΩΝ.
οὔκουν περιθρέξει δῆτα τὴν λίμνην κύκλῳ;
ΞΑΝΘΙΑΣ.
ποῦ δῆτ' ἀναμενῶ;
ΧΑΡΩΝ.
παρὰ τὸν Αὑαίνου λίθον,
ἐπὶ ταῖς ἀναπαύλαις.
ΔΙΟΝΥΣΟΣ.
μανθάνεις;
ΞΑΝΘΙΑΣ.
πάνυ μανθά[νω].
οἴμοι κακοδαίμων, τῷ ξυνέτυχον ἐξιών;
ΧΑΡΩΝ.
κάθιζ' ἐπὶ κώπην. εἴ τις ἔτι πλεῖ, σπευδέτω.
οὗτος, τί ποιεῖς;
ΔΙΟΝΥΣΟΣ.
ὅ τι ποιῶ; τί δ' ἄλλο γ' ἢ
ἵζω 'πὶ κώπην, οἷπερ ἐκέλευσάς με σύ;
ΧΑΡΩΝ.
οὔκουν καθεδεῖ δῆτ' ἐνθαδί, γάστρων;
ΔΙΟΝΥΣΟΣ.
ἰδού.
ΧΑΡΩΝ.
οὔκουν προβαλεῖ τὼ χεῖρε κἀκτενεῖς;
ΔΙΟΝΥΣΟΣ.
ἰδού.
ΧΑΡΩΝ.
οὐ μὴ φλυαρήσεις ἔχων, ἀλλ' ἀντιβὰς
ἐλᾷς προθύμως;
ΔΙΟΝΥΣΟΣ.
κᾆτα πῶς δυνήσομαι,
ἄπειρος, ἀθαλάττωτος, ἀσαλαμίνιος
ὤν, εἶτ' ἐλαύνειν;
ΧΑΡΩΝ.
ῥᾷστ'· ἀκούσει γὰρ μέλη
κάλλιστ', ἐπειδὰν ἐμβάλῃς ἅπαξ.
ΔΙΟΝΥΣΟΣ.
τίνων;
ΧΑΡΩΝ.
βατράχων κύκνων θαυμαστά.
ΔΙΟΝΥΣΟΣ.
κατακέλευε δή.
ΧΑΡΩΝ.
ὠὸπ ὄπ ὠὸπ ὄπ.
ΒΑΤΡΑΧΟΙ.
βρεκεκεκὲξ κοὰξ κοάξ,
βρεκεκεκὲξ κοὰξ κοάξ.
λιμναῖα κρηνῶν τέκνα,
ξύναυλον ὕμνων βοὰν
φθεγξώμεθ', εὔγηρυν ἐμὰν ἀοιδάν,
κοὰξ κοάξ,
ἣν ἀμφὶ Νυσήιον
Διὸς Διώνυσον ἐν
Λίμναισιν ἰαχήσαμεν,
ἡνίχ' ὁ κραιπαλόκωμος

τοῖς ἱεροῖσι χύτροισι
χωρεῖ κατ' ἐμὸν τέμενος λαῶν ὄχλος.
βρεκεκεκὲξ κοὰξ κοάξ.

ΔΙΟΝΥΣΟΣ.

ἐγὼ δέ γ' ἀλγεῖν ἄρχομαι
τὸν ὄρρον, ὦ κοὰξ κοάξ·
ὑμῖν δ' ἴσως οὐδὲν μέλει.

ΒΑΤΡΑΧΟΙ.

βρεκεκεκὲξ κοὰξ κοάξ.

ΔΙΟΝΥΣΟΣ.

ἀλλ' ἐξόλοισθ' αὐτῷ κοάξ·
οὐδὲν γάρ ἐστ' ἀλλ' ἢ κοάξ.

ΒΑΤΡΑΧΟΙ.

εἰκότως γ', ὦ πολλὰ πράτ-
των· ἐμὲ γὰρ ἔστερξαν εὔλυροί τε Μοῦσαι
καὶ κεροβάτας Πὰν, ὁ καλαμόφθογγα παίζων·
προσεπιτέρπεται δ' ὁ φορμικτὰς Ἀπόλλων,
ἕνεκα δόνακος, ὃν ὑπολύριον
ἔνυδρον ἐν λίμναις τρέφω.
βρεκεκεκὲξ κοὰξ κοάξ.

ΔΙΟΝΥΣΟΣ.

ἐγὼ δὲ φλυκταίνας γ' ἔχω,
χὠ πρωκτὸς ἰδίει πάλαι,
κᾆτ' αὐτίκ' ἐγκύψας ἐρεῖ
βρεκεκεκὲξ κοὰξ κοάξ.
ἀλλ', ὦ φιλῳδὸν γένος,
παύσασθε.

ΒΑΤΡΑΧΟΙ.

μᾶλλον μὲν οὖν
φθεγξόμεσθ', εἰ δή ποτ' εὐ-
ηλίοις ἐν ἀμέραισιν
ἡλάμεσθα διὰ κυπείρου
καὶ φλέω, χαίροντες ᾠδῆς
ἐν πολυκολύμβοισι μέλεσιν,
ἢ Διὸς φεύγοντες ὄμβρον
ἔνυδρον ἐν βυθῷ χορείαν
αἰόλαν ἐφθεγξάμεσθα
πομφολυγοπαφλάσμασιν.
βρεκεκεκὲξ κοὰξ κοάξ.

ΔΙΟΝΥΣΟΣ.

τουτὶ παρ' ὑμῶν λαμβάνω.

ΒΑΤΡΑΧΟΙ.

δεινά τἄρα πεισόμεσθα.

ΔΙΟΝΥΣΟΣ.

δεινότερα δ' ἔγωγ', ἐλαύνων
εἰ διαρραγήσομαι.

ΒΑΤΡΑΧΟΙ.

βρεκεκεκὲξ κοὰξ κοάξ.

ΔΙΟΝΥΣΟΣ.

οἰμώζετ'· οὐ γάρ μοι μέλει.

ΒΑΤΡΑΧΟΙ.

ἀλλὰ μὴν κεκραξόμεσθά γ'
ὁπόσον ἡ φάρυγξ ἂν ἡμῶν
χανδάνῃ δι' ἡμέρας
βρεκεκεκὲξ κοὰξ κοάξ.

ΔΙΟΝΥΣΟΣ.

τούτῳ γὰρ οὐ νικήσετε.

ΒΑΤΡΑΧΟΙ.

οὐδὲ μὴν ἡμᾶς σὺ πάντως.

ΔΙΟΝΥΣΟΣ.

οὐδέποτε· κεκράξομαι γὰρ,
κἄν με δῇ δι' ἡμέρας,
ἕως ἂν ὑμῶν ἐπικρατήσω τοῦ κοὰξ,
βρεκεκεκὲξ κοὰξ κοάξ.
ἔμελλον ἄρα παύσειν ποθ' ὑμᾶς τοῦ κοάξ.

ΧΑΡΩΝ.

ὦ παῦε παῦε, παραβαλοῦ τῷ κωπίῳ.
ἔκβαιν', ἀπόδος τὸν ναῦλον.

ΔΙΟΝΥΣΟΣ.

ἔχε δὴ τὠβολώ.

ΔΙΟΝΥΣΟΣ.

ὁ Ξανθίας. ποῦ Ξανθίας; ἢ Ξανθίας;

ΞΑΝΘΙΑΣ.

ἰαῦ.

ΔΙΟΝΥΣΟΣ.

βάδιζε δεῦρο.

ΞΑΝΘΙΑΣ.

χαῖρ', ὦ δέσποτα.

ΔΙΟΝΥΣΟΣ.

τί ἐστι τἀνταυθί;

ΞΑΝΘΙΑΣ.

σκότος καὶ βόρβορος.

ΔΙΟΝΥΣΟΣ.

κατεῖδες οὖν που τοὺς πατραλοίας αὐτόθι,
καὶ τοὺς ἐπιόρκους, οὓς ἔλεγεν ἡμῖν;

ΞΑΝΘΙΑΣ.

σὺ δ' οὔ;

ΔΙΟΝΥΣΟΣ.

νὴ τὸν Ποσειδῶ 'γωγε, καὶ νυνί γ' ὁρῶ.
ἄγε δὴ, τί δρῶμεν;

ΞΑΝΘΙΑΣ.

προϊέναι βέλτιστα νῷν,
ὡς οὗτος ὁ τόπος ἐστὶν οὗ τὰ θηρία
τὰ δείν' ἔφασκ' ἐκεῖνος.

ΔΙΟΝΥΣΟΣ.

ὡς οἰμώξεται.
ἠλαζονεύεθ', ἵνα φοβηθείην ἐγὼ,
εἰδώς με μάχιμον ὄντα, φιλοτιμούμενος.
οὐδὲν γὰρ οὕτω γαῦρόν ἐσθ' ὡς Ἡρακλῆς.
ἐγὼ δέ γ' εὐξαίμην ἂν ἐντυχεῖν τινι,
λαβεῖν τ' ἀγώνισμ' ἄξιόν τι τῆς ὁδοῦ.

ΞΑΝΘΙΑΣ.

νὴ τὸν Δία καὶ μὴν αἰσθάνομαι ψόφου τινός.

ΔΙΟΝΥΣΟΣ.

ποῦ ποῦ 'στιν;

ΞΑΝΘΙΑΣ.

ἐξόπισθεν.

ΔΙΟΝΥΣΟΣ.

ἐξόπισθ' ἴθι.

ΞΑΝΘΙΑΣ.

ἀλλ' ἐστὶν ἐν τῷ πρόσθε.

ΔΙΟΝΥΣΟΣ.

πρόσθε νυν ἴθι.

ΞΑΝΘΙΑΣ.

καὶ μὴν ὁρῶ νὴ τὸν Δία θηρίον μέγα.

ΔΙΟΝΥΣΟΣ.

ποῖόν τι;

ΞΑΝΘΙΑΣ.

δεινόν· παντοδαπὸν γοῦν γίγνεται·

ποτὲ μέν γε βοῦς, νυνὶ δ' ὀρεύς, ποτὲ δὲ γυνὴ
ὡραιοτάτη τις.

ΔΙΟΝΥΣΟΣ.

ποῦ 'στι; φέρ' ἐπ' αὐτὴν ἴω.

ΞΑΝΘΙΑΣ.

ἀλλ' οὐκέτ' αὖ γυνή 'στιν, ἀλλ' ἤδη κύων.

ΔΙΟΝΥΣΟΣ.

Ἔμπουσα τοίνυν ἐστί.

ΞΑΝΘΙΑΣ.

πυρὶ γοῦν λάμπεται
ἅπαν τὸ πρόσωπον.

ΔΙΟΝΥΣΟΣ.

καὶ σκέλος χαλκοῦν ἔχει.

ΞΑΝΘΙΑΣ.

νὴ τὸν Ποσειδῶ, καὶ βολίτινον θάτερον,
σάφ' ἴσθι.

ΔΙΟΝΥΣΟΣ.

ποῖ δῆτ' ἂν τραποίμην;

ΞΑΝΘΙΑΣ.

ποῖ δ' ἐγώ;

ΔΙΟΝΥΣΟΣ.

ἱερεῦ, διαφύλαξόν μ', ἵν' ὦ σοι ξυμπότης.

ΞΑΝΘΙΑΣ.

ἀπολούμεθ', ὦναξ Ἡράκλεις.

ΔΙΟΝΥΣΟΣ.

οὐ μὴ καλεῖς μ',
ὤνθρωφ', ἱκετεύω, μηδὲ κατερεῖς τοὔνομα.

ΞΑΝΘΙΑΣ.

Διόνυσε τοίνυν.

ΔΙΟΝΥΣΟΣ.

τοῦτ' ἔθ' ἧττον θατέρου.

ΞΑΝΘΙΑΣ.

ἴθ' ᾗπερ ἔρχει. δεῦρο δεῦρ', ὦ δέσποτα.

ΔΙΟΝΥΣΟΣ.

τί δ' ἔστι;

ΞΑΝΘΙΑΣ.

θάρρει· πάντ' ἀγαθὰ πεπράγαμεν,
ἔξεστί θ' ὥσπερ Ἡγέλοχος ἡμῖν λέγειν·
ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν' ὁρῶ.
ἥμπουσα φρούδη.

ΔΙΟΝΥΣΟΣ.

κατόμοσον.

ΞΑΝΘΙΑΣ.

νὴ τὸν Δία.

ΔΙΟΝΥΣΟΣ.

κᾆυθις κατόμοσον.

ΞΑΝΘΙΑΣ.

νὴ Δί'.

ΔΙΟΝΥΣΟΣ.

ὄμοσον.

ΞΑΝΘΙΑΣ.

νὴ Δία.

ΔΙΟΝΥΣΟΣ.

οἴμοι τάλας, ὡς ὠχρίασ' αὐτὴν ἰδών·
ὁδὶ δὲ δείσας ὑπερεπυρρίασέ μου.
οἴμοι, πόθεν μοι τὰ κακὰ ταυτὶ προσέπεσεν;
τίν' αἰτιάσωμαι θεῶν μ' ἀπολλύναι;
αἰθέρα Διὸς δωμάτιον, ἢ χρόνου πόδα;

ΞΑΝΘΙΑΣ.

οὗτος.

ΔΙΟΝΥΣΟΣ.

τί ἔστιν;

ΞΑΝΘΙΑΣ.

οὐ κατήκουσας;

ΔΙΟΝΥΣΟΣ.

τίνος;

ΞΑΝΘΙΑΣ.

αὐλῶν πνοῆς.

ΔΙΟΝΥΣΟΣ.

ἔγωγε, καὶ δᾴδων γέ με
αὔρα τις εἰσέπνευσε μυστικωτάτη.
ἀλλ' ἠρεμὶ πτήξαντες ἀκροασώμεθα.

ΧΟΡΟΣ.

Ἴακχ', ὦ Ἴακχε.
Ἴακχ', ὦ Ἴακχε.

ΞΑΝΘΙΑΣ.

τοῦτ' ἔστ' ἐκεῖν', ὦ δέσποθ', οἱ μεμυημένοι
ἐνταῦθά που παίζουσιν, οὓς ἔφραζε νῷν.
ᾄδουσι γοῦν τὸν Ἴακχον ὅνπερ Διαγόρας.

ΔΙΟΝΥΣΟΣ.

κἀμοὶ δοκοῦσιν. ἡσυχίαν τοίνυν ἄγειν
βέλτιστόν ἐστιν, ὡς ἂν εἰδῶμεν σαφῶς.

ΧΟΡΟΣ.

Ἴακχ', ὦ πολυτίμητ' ἐν ἕδραις ἐνθάδε ναίων
Ἴακχ', ὦ Ἴακχε,
ἐλθὲ τόνδ' ἀνὰ λειμῶνα χορεύσων,
ὁσίους ἐς θιασώτας,
πολύκαρπον μὲν τινάσσων
περὶ κρατὶ σῷ βρύοντα
στέφανον μύρτων· θρασεῖ δ' ἐγκατακρούων
ποδὶ τὰν ἀκόλαστον
φιλοπαίγμονα τιμάν,
χαρίτων πλεῖστον ἔχουσαν μέρος, ἁγνάν, ἱερὰν
ὁσίοις μύσταις χορείαν.

ΞΑΝΘΙΑΣ.

ὦ πότνια πολυτίμητε Δήμητρος κόρη,
ὡς ἡδύ μοι προσέπνευσε χοιρείων κρεῶν.

ΔΙΟΝΥΣΟΣ.

οὔκουν ἀτρέμ' ἕξεις, ἤν τι καὶ χορδῆς λάβῃς;

ΧΟΡΟΣ.

ἔγειρε φλογέας λαμπάδας ἐν χερσὶ τινάσσων,
Ἴακχ', ὦ Ἴακχε,
νυκτέρου τελετῆς φωσφόρος ἀστήρ.
φλογὶ φέγγεται δὲ λειμών·
γόνυ πάλλεται γερόντων·
ἀποσείονται δὲ λύπας
χρονίους τ' ἐτῶν παλαιῶν ἐνιαυτούς,
ἱερᾶς ὑπὸ τιμᾶς.
σὺ δὲ λαμπάδι φέγγων
προβάδην ἔξαγ' ἐπ' ἀνθηρὸν ἕλειον δάπεδον
χοροποιόν, μάκαρ, ἥβαν.
εὐφημεῖν χρὴ κἀξίστασθαι τοῖς ἡμετέροισι
ῥοῖσιν
ὅστις ἄπειρος τοιῶνδε λόγων, ἢ γνώμῃ μὴ
θαρεύει,
ἢ γενναίων ὄργια Μουσῶν μήτ' εἶδεν μήτ'
ἐχόρευσεν,
μηδὲ Κρατίνου τοῦ ταυροφάγου γλώττης βακ-
χεῖ' ἐτελέσθη,

324—336. = 340—353.

ἢ βωμολόχοις ἔπεσιν χαίρει, μὴ 'ν καιρῷ τοῦτο ποιοῦσιν,
ἢ στάσιν ἐχθρὰν μὴ καταλύει, μηδ' εὔκολός ἐστι πολίταις,
ἀλλ' ἀνεγείρει καὶ ῥιπίζει, κερδῶν ἰδίων ἐπιθυμῶν,
ἢ τῆς πόλεως χειμαζομένης ἄρχων καταδωροδοκεῖται,
ἢ προδίδωσιν φρούριον ἢ ναῦς, ἢ τἀπόρρητ' ἀποπέμπει
ἐξ Αἰγίνης Θωρυκίων ὤν, εἰκοστολόγος κακοδαίμων,
ἀσκώματα καὶ λίνα καὶ πίτταν διαπέμπων εἰς Ἐπίδαυρον,
ἢ χρήματα ταῖς τῶν ἀντιπάλων ναυσὶν παρέχειν τινὰ πείθει,
ἢ κατατιλᾷ τῶν Ἑκαταίων, κυκλίοισι χοροῖσιν ὑπᾴδων
ἢ τοὺς μισθοὺς τῶν ποιητῶν ῥήτωρ ὢν εἶτ' ἀποτρώγει,
κωμῳδηθεὶς ἐν ταῖς πατρίοις τελεταῖς ταῖς τοῦ Διονύσου·
τούτοις αὐδῶ καὖθις ἀπαυδῶ καὖθις τὸ τρίτον μάλ' ἀπαυδῶ
ἐξίστασθαι μύσταισι χοροῖς· ὑμεῖς δ' ἀνεγείρετε μολπὴν
καὶ παννυχίδας τὰς ἡμετέρας, αἳ τῇδε πρέπουσιν ἑορτῇ.
χώρει νυν πᾶς ἀνδρείως
εἰς τοὺς εὐανθεῖς κόλπους
λειμώνων ἐγκρούων
κἀπισκώπτων
καὶ παίζων καὶ χλευάζων.
ἠρίστηται δ' ἐξαρκούντως.
ἀλλ' ἔμβα χὤπως ἀρεῖς
τὴν Σώτειραν γενναίως
τῇ φωνῇ μολπάζων,
ἣ τὴν χώραν
σώζειν φήσ' ἐς τὰς ὥρας,
κἂν Θωρυκίων μὴ βούληται.
ἄγε νυν ἑτέραν ὕμνων ἰδέαν τὴν καρποφόρον βασίλειαν,
Δήμητρα θεὰν, ἐπικοσμοῦντες ζαθέαις μολπαῖς κελαδεῖτε.
Δήμητερ, ἁγνῶν ὀργίων
ἄνασσα, συμπαραστάτει,
καὶ σῶζε τὸν σαυτῆς χορόν·
καί μ' ἀσφαλῶς πανήμερον
παῖσαί τε καὶ χορεῦσαι·
καὶ πολλὰ μὲν γέλοιά μ' εἰ-
πεῖν, πολλὰ δὲ σπουδαῖα, καὶ
τῆς σῆς ἑορτῆς ἀξίως
παίσαντα καὶ σκώψαντα νι-
κήσαντα ταινιοῦσθαι.
ἄγ' εἶα
νῦν καὶ τὸν ὡραῖον θεὸν παρακαλεῖτε δεῦρο
ᾠδαῖσι, τὸν ξυνέμπορον τῆσδε τῆς χορείας.

372—376. = 377—381.
384—388. = 389—393.
394—397. = 440—444. = 444—447.

Ἴακχε πολυτίμητε, μέλος ἑορτῆς
ἥδιστον εὑρὼν, δεῦρο συνακολούθει
πρὸς τὴν θεὸν καὶ δεῖξον ὡς
ἄνευ πόνου πολλὴν ὁδὸν περαίνεις.
Ἴακχε φιλοχορευτά, συμπρόπεμπέ με.
σὺ γὰρ κατεσχίσω μὲν ἐπὶ γέλωτι
κἀπ' εὐτελείᾳ τόν τε σανδαλίσκον
καὶ τὸ ῥάκος, κἀξεῦρες ὥστ'
ἀζημίους παίζειν τε καὶ χορεύειν.
Ἴακχε φιλοχορευτά, συμπρόπεμπέ με.
καὶ γὰρ παραβλέψας τι μειρακίσκης
νῦν δὴ κατεῖδον, καὶ μάλ' εὐπροσώπου,
συμπαιστρίας χιτωνίου
παραρραγέντος τιτθίον προκύψαν.
Ἴακχε φιλοχορευτά, συμπρόπεμπέ με.

ΔΙΟΝΥΣΟΣ.

ἐγὼ δ' ἀεί πως φιλακόλουθός εἰμι καὶ μετ' αὐτῆς
παίζων χορεύειν βούλομαι.

ΞΑΝΘΙΑΣ.

κἄγωγε πρός.

ΧΟΡΟΣ.

βούλεσθε δῆτα κοινῇ
σκώψωμεν Ἀρχέδημον;
ὃς ἑπτέτης ὢν οὐκ ἔφυσε φράτορας,
νυνὶ δὲ δημαγωγεῖ
ἐν τοῖς ἄνω νεκροῖσι,
κἄστιν τὰ πρῶτα τῆς ἐκεῖ μοχθηρίας.
τὸν Κλεισθένη δ' ἀκούω
ἐν ταῖς ταφαῖσι πρωκτὸν
τίλλειν ἑαυτοῦ καὶ σπαράττειν τὰς γνάθους·
κἀκόπτετ' ἐγκεκυφώς,
κἄκλαε, κἀκεκράγει
Σεβῖνον, ὅστις ἐστὶν Ἀναφλύστιος.
καὶ Καλλίαν γέ φασι
τοῦτον τὸν Ἱπποβίνου
κύσθου λεοντῆν ναυμαχεῖν ἐνημμένον.

ΔΙΟΝΥΣΟΣ.

ἔχοιτ' ἂν οὖν φράσαι νῷν
Πλούτων' ὅπου 'νθάδ' οἰκεῖ;
ξένω γάρ ἐσμεν ἀρτίως ἀφιγμένω.

ΧΟΡΟΣ.

μηδὲν μακρὰν ἀπέλθῃς,
μηδ' αὖθις ἐπανέρῃ με,
ἀλλ' ἴσθ' ἐπ' αὐτὴν τὴν θύραν ἀφιγμένος.

ΔΙΟΝΥΣΟΣ.

αἴροι' ἂν αὖθις, ὦ παῖ.

ΞΑΝΘΙΑΣ.

τουτὶ τί ἦν τὸ πρᾶγμα
ἀλλ' ἢ Διὸς Κόρινθος ἐν τοῖς στρώμασιν;

ΧΟΡΟΣ.

χωρεῖτε
νῦν ἱρὸν ἀνὰ κύκλον θεᾶς, ἀνθοφόρον ἀν' ἄλσος
παίζοντες οἷς μετουσία θεοφιλοῦς ἑορτῆς.

ΔΙΟΝΥΣΟΣ.

ἐγὼ δὲ σὺν ταῖσιν κόραις εἶμι καὶ γυναιξὶν,
οὗ παννυχίζουσιν θεᾷ, φέγγος ἱρὸν οἴσων.

ΧΟΡΟΣ.

χωρῶμεν ἐς πολυρρόδους

448—453. = 454—459.

λειμῶνας ἀνθεμώδεις,
τὸν ἡμέτερον τρόπον,
τὸν καλλιχορώτατον,
παίζοντες, ὃν ὄλβιαι
Μοῖραι ξυνάγουσιν.
μόνοις γὰρ ἡμῖν ἥλιος
καὶ φέγγος ἱλαρόν ἐστιν,
ὅσοι μεμυήμεθ' εὐ-
σεβῆ τε διήγομεν
τρόπον περὶ τοὺς ξένους
καὶ τοὺς ἰδιώτας.

ΔΙΟΝΥΣΟΣ.

ἄγε δὴ τίνα τρόπον τὴν θύραν κόψω; τίνα;
πῶς ἐνθάδ' ἄρα κόπτουσιν οὑπιχώριοι;

ΞΑΝΘΙΑΣ.

οὐ μὴ διατρίψεις, ἀλλὰ γεύσει τῆς θύρας,
καθ' Ἡρακλέα τὸ σχῆμα καὶ τὸ λῆμ' ἔχων;

ΔΙΟΝΥΣΟΣ.

παῖ παῖ.

ΑΙΑΚΟΣ.

τίς οὗτος;

ΔΙΟΝΥΣΟΣ.

Ἡρακλῆς ὁ καρτερός.

ΑΙΑΚΟΣ.

ὦ βδελυρὲ κἀναίσχυντε καὶ τολμηρὲ σὺ
καὶ μιαρὲ καὶ παμμίαρε καὶ μιαρώτατε,
ὃς τὸν κύν' ἡμῶν ἐξελάσας τὸν Κέρβερον
ἀπῇξας ἄγχων κἀποδρὰς ᾤχου λαβών,
ὃν ἐγὼ 'φύλαττον. ἀλλὰ νῦν ἔχει μέσος·
τοία Στυγός σε μελανοκάρδιος πέτρα
Ἀχερόντιός τε σκόπελος αἱματοσταγὴς
φρουροῦσι, Κωκυτοῦ τε περίδρομοι κύνες,
Ἔχιδνά θ' ἑκατογκέφαλος, ἣ τὰ σπλάγχνα σου
διασπαράξει, πνευμόνων τ' ἀνθάψεται
Ταρτησία μύραινα· τὼ νεφρὼ δέ σου
αὐτοῖσιν ἐντέροισιν ἡματωμένω
διασπάσονται Γοργόνες Τιθράσιαι,
ἐφ' ἃς ἐγὼ δρομαῖον ὁρμήσω πόδα.

ΞΑΝΘΙΑΣ.

οὗτος, τί δέδρακας;

ΔΙΟΝΥΣΟΣ.

ἐγκέχοδα· κάλει θεόν.

ΞΑΝΘΙΑΣ.

ὦ καταγέλαστ', οὔκουν ἀναστήσει ταχὺ
πρίν τινά σ' ἰδεῖν ἀλλότριον;

ΔΙΟΝΥΣΟΣ.

ἀλλ' ὡρακιῶ.
ἀλλ' οἶσε πρὸς τὴν καρδίαν μου σπογγιάν.

ΞΑΝΘΙΑΣ.

ἰδοὺ λαβέ.

ΔΙΟΝΥΣΟΣ.

πρόσθου.

ΞΑΝΘΙΑΣ.

ποῦ 'στιν; ὦ χρυσοῖ θεοί,
ἐνταῦθ' ἔχεις τὴν καρδίαν;

ΔΙΟΝΥΣΟΣ.

δείσασα γὰρ
εἰς τὴν κάτω μου κοιλίαν καθείρπυσεν.

ΞΑΝΘΙΑΣ.

ὦ δειλότατε θεῶν σὺ κἀνθρώπων.

ΔΙΟΝΥΣΟΣ.

ἐγώ;
πῶς δειλὸς, ὅστις σπογγιὰν ᾔτησά σε;
οὔκουν ἕτερός γ' αὔτ' εἰργάσατ' ἀνήρ.

ΞΑΝΘΙΑΣ.

ἀλλὰ

ΔΙΟΝΥΣΟΣ.

κατέκειτ' ἂν ὀσφραινόμενος, εἴπερ δειλὸς ἦν·
ἐγὼ δ' ἀνέστην καὶ προσέτ' ἀπεψησάμην.

ΞΑΝΘΙΑΣ.

ἀνδρεῖά γ', ὦ Πόσειδον.

ΔΙΟΝΥΣΟΣ.

οἶμαι νὴ Δία.
σὺ δ' οὐκ ἔδεισας τὸν ψόφον τῶν ῥημάτων
καὶ τὰς ἀπειλάς.

ΞΑΝΘΙΑΣ.

οὐ μὰ Δί' οὐδ' ἐφρόντισα.

ΔΙΟΝΥΣΟΣ.

ἴθι νυν, ἐπειδὴ ληματιᾷς κἀνδρεῖος εἶ,
σὺ μὲν γενοῦ 'γώ, τὸ ῥόπαλον τουτὶ λαβὼν
καὶ τὴν λεοντῆν, εἴπερ ἀφοβόσπλαγχνος εἶ·
ἐγὼ δ' ἔσομαί σοι σκευοφόρος ἐν τῷ μέρει.

ΞΑΝΘΙΑΣ.

φέρε δὴ ταχέως αὔτ'· οὐ γὰρ ἀλλὰ πειστέον·
καὶ βλέψον εἰς τὸν Ἡρακλειοξανθίαν,
εἰ δειλὸς ἔσομαι καὶ κατὰ σὲ τὸ λῆμ' ἔχων.

ΔΙΟΝΥΣΟΣ.

μὰ Δί' ἀλλ' ἀληθῶς οὐκ Μελίτης μαστιγίας.
φέρε νυν, ἐγὼ τὰ στρώματ' αἴρωμαι ταδί.

ΘΕΡΑΠΑΙΝΑ.

ὦ φίλταθ' ἥκεις Ἡράκλεις; δεῦρ' εἴσιθι.
ἡ γὰρ θεός σ' ὡς ἐπύθεθ' ἥκοντ', εὐθέως
ἔπεττεν ἄρτους, ἧψε κατερικτῶν χύτρας
ἔτνους δύ' ἢ τρεῖς, βοῦν ἀπηνθράκιζ' ὅλον,
πλακοῦντας ὤπτα, κολλάβους. ἀλλ' εἴσιθι.

ΞΑΝΘΙΑΣ.

κάλλιστ', ἐπαινῶ.

ΘΕΡΑΠΑΙΝΑ.

μὰ τὸν Ἀπόλλω οὐ μή σ'
περιόψομἀπελθόντ', ἐπεί τοι καὶ κρέα
ἀνέβραττεν ὀρνίθεια, καὶ τραγήματα
ἔφρυγε, κῷνον ἀνεκεράννυ γλυκύτατον.
ἀλλ' εἴσιθ' ἅμ' ἐμοί.

ΞΑΝΘΙΑΣ.

πάνυ καλῶς.

ΘΕΡΑΠΑΙΝΑ.

ληρεῖς ἔχων·
οὐ γάρ σ' ἀφήσω. καὶ γὰρ αὐλητρίς γέ σοι
ἤδη 'νδον ἔσθ' ὡραιοτάτη κὠρχηστρίδες
ἕτεραι δύ' ἢ τρεῖς.

ΞΑΝΘΙΑΣ.

πῶς λέγεις; ὀρχηστρίδες;

ΘΕΡΑΠΑΙΝΑ.

ἡβυλλιῶσαι κἄρτι παρατετιλμέναι.
ἀλλ' εἴσιθ', ὡς ὁ μάγειρος ἤδη τὰ τεμάχη
ἤμελλ' ἀφαιρεῖν χἠ τράπεζ' εἰσῄρετο.

ΞΑΝΘΙΑΣ.

ἴθι νυν, φράσον πρώτιστα ταῖς ὀρχηστρίσιν
ταῖς ἔνδον οὔσαις αὐτὸς ὡς εἰσέρχομαι.
ὁ παῖς, ἀκολούθει δεῦρο τὰ σκεύη φέρων.

ΔΙΟΝΥΣΟΣ.

ἐπίσχες οὗτος. οὔ τί που σπουδὴν ποιεῖ,
ὁτιή σε παίζων Ἡρακλέα 'νεσκεύασα;
οὐ μὴ φλυαρήσεις ἔχων, ὦ Ξανθία,
ἀλλ' ἀράμενος οἴσεις πάλιν τὰ στρώματα;

ΞΑΝΘΙΑΣ.

τί δ' ἔστιν; οὐ δή πού μ' ἀφελέσθαι διανοεῖ
ἅδωκας αὐτός;

ΔΙΟΝΥΣΟΣ.

οὐ τάχ', ἀλλ' ἤδη ποιῶ.
κατάθου τὸ δέρμα.

ΞΑΝΘΙΑΣ.

ταῦτ' ἐγὼ μαρτύρομαι
καὶ τοῖς θεοῖσιν ἐπιτρέπω.

ΔΙΟΝΥΣΟΣ.

ποίοις θεοῖς;
τὸ δὲ προσδοκῆσαί σ' οὐκ ἀνόητον καὶ κενὸν
ὡς δοῦλος ὢν καὶ θνητὸς Ἀλκμήνης ἔσει;

ΞΑΝΘΙΑΣ.

ἀμέλει, καλῶς· ἔχ' αὔτ'. ἴσως γάρ τοί ποτε
ἐμοῦ δεηθείης ἄν, εἰ θεὸς θέλοι.

ΧΟΡΟΣ.

ταῦτα μὲν πρὸς ἀνδρός ἐστι
νοῦν ἔχοντος καὶ φρένας καὶ
πολλὰ περιπεπλευκότος,
μετακυλινδεῖν αὑτὸν ἀεὶ
πρὸς τὸν εὖ πράττοντα τοῖχον
μᾶλλον ἢ γεγραμμένην
εἰκόν' ἑστάναι, λαβόνθ' ἓν
σχῆμα· τὸ δὲ μεταστρέφεσθαι
πρὸς τὸ μαλθακώτερον
δεξιοῦ πρὸς ἀνδρός ἐστι
καὶ φύσει Θηραμένους.

ΔΙΟΝΥΣΟΣ.

οὐ γὰρ ἂν γέλοιον ἦν, εἰ
Ξανθίας μὲν δοῦλος ὢν ἐν
στρώμασιν Μιλησίοις
ἀνατετραμμένος κυνῶν ὀρ-
χηστρίδ', εἶτ' ᾔτησεν ἀμίδ', ἐ-
γὼ δὲ πρὸς τοῦτον βλέπων
τοὐρεβίνθου 'δραττόμην· οὗ-
τος δ' ἅτ' ὢν αὐτὸς πανοῦργος
εἶδε, κᾆτ' ἐκ τῆς γνάθου
πὺξ πατάξας μοὐξέκοψε
τοὺς χοροὺς τοὺς προσθίους;

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Α.

Πλαθάνη, Πλαθάνη, δεῦρ' ἔλθ', ὁ πανοῦργος οὑτοσί,
ὃς εἰς τὸ πανδοκεῖον εἰσελθών ποτε
ἑκκαίδεκ' ἄρτους κατέφαγ' ἡμῶν.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Β.

νὴ Δία,
ἐκεῖνος αὐτὸς δῆτα.

ΞΑΝΘΙΑΣ.

κακὸν ἥκει τινί.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Α.

καὶ κρέα γε πρὸς τούτοισιν ἀνάβραστ' εἴκοσιν
ἀν' ἡμιωβολιαῖα.

534 — 548. == 590 — 604.

ΞΑΝΘΙΑΣ.

δώσει τις δίκην.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Α.

καὶ τὰ σκόροδα τὰ πολλά.

ΔΙΟΝΥΣΟΣ.

ληρεῖς, ὦ γύναι,
κοὐκ οἶσθ' ὅ τι λέγεις.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Α.

οὐ μὲν οὖν με προσεδόκας,
ὁτιὴ κοθόρνους εἶχες, ἂν γνῶναί σ' ἔτι;
τί δαί; τὸ πολὺ τάριχος οὐκ εἴρηκά πω.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Β.

μὰ Δί', οὐδὲ τὸν τυρόν γε τὸν χλωρὸν, τάλαν,
ὃν οὗτος αὐτοῖς τοῖς ταλάροις κατήσθιεν.
κᾄπειτ' ἐπειδὴ τἀργύριον ἐπραττόμην,
ἔβλεψεν εἴς με δριμὺ κἀμυκᾶτό γε.

ΞΑΝΘΙΑΣ.

τούτου πάνυ τοὔργον, οὗτος ὁ τρόπος πανταχοῦ.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Β.

καὶ τὸ ξίφος γ' ἐσπᾶτο, μαίνεσθαι δοκῶν.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Α.

νὴ Δία, τάλαινα.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Β.

νὼ δὲ δείσασαί γέ που
ἐπὶ τὴν κατήλιφ' εὐθὺς ἀνεπηδήσαμεν·
ὁ δ' ᾤχετ' ἐξάξας γε τοὺς ψιάθους λαβών.

ΞΑΝΘΙΑΣ.

καὶ τοῦτο τούτου τοὔργον. ἀλλ' ἐχρῆν τι δρᾶν.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Α.

ἴθι δὴ κάλεσον τὸν προστάτην Κλέωνά μοι.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Β.

σὺ δ' ἔμοιγ', ἐάνπερ ἐπιτύχῃς, Ὑπέρβολον,
ἵν' αὐτὸν ἐπιτρίψωμεν.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Α.

ὦ μιαρὰ φάρυγξ,
ὡς ἡδέως ἄν σου λίθῳ τοὺς γομφίους
κόπτοιμ' ἄν, οἷς μου κατέφαγες τὰ φορτία.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Β.

ἐγὼ δέ γ' ἐς τὸ βάραθρον ἐμβάλοιμί σε.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Α.

ἐγὼ δὲ τὸν λάρυγγ' ἂν ἐκτέμοιμί σου,
δρέπανον λαβοῦσ', ᾧ τὰς χόλικας κατέσπασας.
ἀλλ' εἶμ' ἐπὶ τὸν Κλέων', ὃς αὐτοῦ τήμερον
ἐκπηνιεῖται ταῦτα προσκαλούμενος.

ΔΙΟΝΥΣΟΣ.

κάκιστ' ἀπολοίμην, Ξανθίαν εἰ μὴ φιλῶ.

ΞΑΝΘΙΑΣ.

οἶδ' οἶδα τὸν νοῦν· παῦε παῦε τοῦ λόγου.
οὐκ ἂν γενοίμην Ἡρακλῆς ἄν.

ΔΙΟΝΥΣΟΣ.

μηδαμῶς,
ὦ Ξανθίδιον.

ΞΑΝΘΙΑΣ.

καὶ πῶς ἂν Ἀλκμήνης ἐγὼ
υἱὸς γενοίμην, δοῦλος ἅμα καὶ θνητὸς ὤν;

ΔΙΟΝΥΣΟΣ.

οἶδ' οἶδ' ὅτι θυμοῖ, καὶ δικαίως αὐτὸ δρᾷς·
κἂν εἴ με τύπτοις, οὐκ ἂν ἀντείποιμί σοι.
ἀλλ' ἤν σε τοῦ λοιποῦ ποτ' ἀφέλωμαι χρόνου,

πρόρριζος αὐτὸς, ἡ γυνὴ, τὰ παιδία,
κάκιστ' ἀπολοίμην, κἀρχέδημος ὁ γλάμων.

ΞΑΝΘΙΑΣ.

δέχομαι τὸν ὅρκον, κἀπὶ τούτοις λαμβάνω.

ΧΟΡΟΣ.

νῦν σὸν ἔργον ἔστ', ἐπειδὴ
τὴν στολὴν εἴληφας, ἥνπερ
εἶχες ἐξ ἀρχῆς, πάλιν
ἀνανεάζειν * *
καὶ βλέπειν αὖθις τὸ δεινὸν,
τοῦ θεοῦ μεμνημένον
ᾧπερ εἰκάζεις σεαυτόν.
εἰ δὲ παραληρῶν ἁλώσει
καὶ βαλεῖς τι μαλθακὸν,
αὖθις αἴρεσθαί σ' ἀνάγκη
'στὶν πάλιν τὰ στρώματα.

ΞΑΝΘΙΑΣ.

οὐ κακῶς, ὦνδρες, παραινεῖτ',
ἀλλὰ καὐτὸς τυγχάνω ταῦτ'
ἄρτι συννοούμενος.
ὅτι μὲν οὖν, ἢν χρηστὸν ᾖ τι,
ταῦτ' ἀφαιρεῖσθαι πάλιν πει-
ράσεταί μ' εὖ οἶδ' ὅτι.
ἀλλ' ὅμως ἐγὼ παρέξω
'μαυτὸν ἀνδρεῖον τὸ λῆμα
καὶ βλέποντ' ὀρίγανον.
δεῖν δ' ἔοικεν, ὡς ἀκούω
τῆς θύρας καὶ δὴ ψόφον.

ΑΙΑΚΟΣ.

ξυνδεῖτε ταχέως τουτονὶ τὸν κυνοκλόπον,
ἵνα δῷ δίκην· ἀνύετον.

ΔΙΟΝΥΣΟΣ.

ἥκει τῳ κακόν.

ΞΑΝΘΙΑΣ.

οὐκ ἐς κόρακας; οὐ μὴ πρόσιτον;

ΑΙΑΚΟΣ.

εἶεν, μαχεῖ;
ὁ Διτύλας χὠ Σκεβλίας χὠ Παρδόκας
χωρεῖτε δευρὶ καὶ μάχεσθε τουτῳί.

ΔΙΟΝΥΣΟΣ.

εἶτ' οὐχὶ δεινὰ ταῦτα, τύπτειν τουτονὶ
κλέπτοντα πρὸς τἀλλότρια;

ΞΑΝΘΙΑΣ.

μάλλ' ὑπερφυᾶ.

ΑΙΑΚΟΣ.

σχέτλια μὲν οὖν καὶ δεινά.

ΞΑΝΘΙΑΣ.

καὶ μὴν νὴ Δία,
εἰ πώποτ' ἦλθον δεῦρ', ἐθέλω τεθνηκέναι,
ἢ 'κλεψα τῶν σῶν ἄξιόν τι καὶ τριχός.
καί σοι ποιήσω πρᾶγμα γενναῖον πάνυ·
βασάνιζε γὰρ τὸν παῖδα τουτονὶ λαβὼν,
κἄν ποτέ μ' ἕλῃς ἀδικοῦντ', ἀπόκτεινόν μ'
ἄγων.

ΑΙΑΚΟΣ.

καὶ πῶς βασανίζω;

ΞΑΝΘΙΑΣ.

πάντα τρόπον, ἐν κλίμακι
δήσας, κρεμάσας, ὑστριχίδι μαστιγῶν, δέρων,
στρεβλῶν, ἔτι δ' ἐς τὰς ῥῖνας ὄξος ἐγχέων,
πλίνθους ἐπιτιθεὶς, πάντα τἄλλα, πλὴν πρό
μὴ τύπτε τοῦτον μηδὲ γητείῳ νέῳ.

ΑΙΑΚΟΣ.

δίκαιος ὁ λόγος· κἄν τι πηρώσω γέ σοι
τὸν παῖδα τύπτων, τἀργύριόν σοι κείσεται.

ΞΑΝΘΙΑΣ.

μὴ δῆτ' ἔμοιγ'. οὕτω δὲ βασάνιζ' ἀπαγαγών.

ΑΙΑΚΟΣ.

αὐτοῦ μὲν οὖν, ἵνα σοὶ κατ' ὀφθαλμοὺς λέγῃ
κατάθου σὺ τὰ σκεύη ταχέως, χὤπως ἐρεῖς
ἐνταῦθα μηδὲν ψεῦδος.

ΔΙΟΝΥΣΟΣ.

ἀγορεύω τινὶ
ἐμὲ μὴ βασανίζειν ἀθάνατον ὄντ'· εἰ δὲ μή,
αὐτὸς σεαυτὸν αἰτιῶ.

ΑΙΑΚΟΣ.

λέγεις δὲ τί;

ΔΙΟΝΥΣΟΣ.

ἀθάνατος εἶναί φημι Διόνυσος Διὸς,
τοῦτον δὲ δοῦλον.

ΑΙΑΚΟΣ.

ταῦτ' ἀκούεις;

ΞΑΝΘΙΑΣ.

φήμ' ἐγώ.
καὶ πολύ γε μᾶλλόν ἐστι μαστιγωτέος·
εἴπερ θεὸς γάρ ἐστιν, οὐκ αἰσθήσεται.

ΔΙΟΝΥΣΟΣ.

τί δῆτ', ἐπειδὴ καὶ σὺ φῂς εἶναι θεὸς,
οὐ καὶ σὺ τύπτει τὰς ἴσας πληγὰς ἐμοί;

ΞΑΝΘΙΑΣ.

δίκαιος ὁ λόγος· χὠπότερον ἂν νῷν ἴδῃς
κλαύσαντα πρότερον ἢ προτιμήσαντά τι
τυπτόμενον, εἶναι τοῦτον ἡγοῦ μὴ θεόν.

ΑΙΑΚΟΣ.

οὐκ ἔσθ' ὅπως οὐκ εἶ σὺ γεννάδας ἀνήρ·
χωρεῖς γὰρ εἰς τὸ δίκαιον. ἀποδύεσθε δή.

ΞΑΝΘΙΑΣ.

πῶς οὖν βασανιεῖς νὼ δικαίως;

ΑΙΑΚΟΣ.

ῥᾳδίως·
πληγὴν παρὰ πληγὴν ἑκάτερον.

ΞΑΝΘΙΑΣ.

καλῶς λέγεις.
ἰδοὺ, σκόπει νυν ἤν μ' ὑποκινήσαντ' ἴδῃς.

ΑΙΑΚΟΣ.

ἤδη 'πάταξά σ'.

ΞΑΝΘΙΑΣ.

οὐ μὰ Δί'.

ΑΙΑΚΟΣ.

οὐδ' ἐμοὶ δοκεῖς.
ἀλλ' εἶμ' ἐπὶ τονδὶ καὶ πατάξω.

ΔΙΟΝΥΣΟΣ.

πηνίκα;

ΑΙΑΚΟΣ.

καὶ δὴ 'πάταξα.

ΔΙΟΝΥΣΟΣ.

κᾆτα πῶς οὐκ ἔπταρον;

ΑΙΑΚΟΣ.

οὐκ οἶδα· τουδὶ δ' αὖθις ἀποπειράσομαι.

ΞΑΝΘΙΑΣ.
οὔκουν ἀνύσεις; ἰατταταῖ.
ΑΙΑΚΟΣ.
τί τάτταταῖ;
μῶν ὠδυνήθης;
ΞΑΝΘΙΑΣ.
οὐ μὰ Δί', ἀλλ' ἐφρόντισα
ὁπόθ' Ἡράκλεια τὰν Διομείοις γίγνεται.
ΑΙΑΚΟΣ.
ἄνθρωπος ἱερός. δεῦρο πάλιν βαδιστέον.
ΔΙΟΝΥΣΟΣ.
ἰοὺ ἰού.
ΑΙΑΚΟΣ.
τί ἔστιν;
ΔΙΟΝΥΣΟΣ.
ἱππέας ὁρῶ.
ΑΙΑΚΟΣ.
τί δῆτα κλάεις;
ΔΙΟΝΥΣΟΣ.
κρομμύων ὀσφραίνομαι.
ΑΙΑΚΟΣ.
ἐπεὶ προτιμᾷς γ' οὐδέν.
ΔΙΟΝΥΣΟΣ.
οὐδέν μοι μέλει.
ΑΙΑΚΟΣ.
βαδιστέον τἄρ' ἐστὶν ἐπὶ τονδὶ πάλιν.
ΞΑΝΘΙΑΣ.
οἴμοι.
ΑΙΑΚΟΣ.
τί ἔστι;
ΞΑΝΘΙΑΣ.
τὴν ἄκανθαν ἔξελε.
ΑΙΑΚΟΣ.
τί τὸ πρᾶγμα τουτί; δεῦρο πάλιν βαδιστέον.
ΔΙΟΝΥΣΟΣ.
Ἄπολλον, ὅς που Δῆλον ἢ Πύθων' ἔχεις.
ΞΑΝΘΙΑΣ.
ἤλγησεν· οὐκ ἤκουσας;
ΔΙΟΝΥΣΟΣ.
οὐκ ἔγωγ', ἐπεὶ
ἴαμβον Ἱππώνακτος ἀνεμιμνησκόμην.
ΞΑΝΘΙΑΣ.
οὐδὲν ποιεῖς γάρ, ἀλλὰ τὰς λαγόνας σπόδει.
ΑΙΑΚΟΣ.
μὰ τὸν Δί', ἀλλ' ἤδη πάρεχε τὴν γαστέρα.
ΔΙΟΝΥΣΟΣ.
Πόσειδον,
ΞΑΝΘΙΑΣ.
ἤλγησέ τις.
ΔΙΟΝΥΣΟΣ.
ὃς Αἰγαίου πρῶνας ἢ γλαυκᾶς μέδεις
ἁλὸς ἐν βένθεσιν.
ΑΙΑΚΟΣ.
οὔ τοι μὰ τὴν Δήμητρα δύναμαί πω μαθεῖν
ὁπότερος ὑμῶν ἐστι θεός. ἀλλ' εἴσιτον·
ὁ δεσπότης γὰρ αὐτὸς ὑμᾶς γνώσεται
χἠ Φερσέφατθ', ἅτ' ὄντε κἀκείνω θεώ.
ΔΙΟΝΥΣΟΣ.
ὀρθῶς λέγεις· ἐβουλόμην δ' ἂν τοῦτό σε
πρότερον ποιῆσαι, πρὶν ἐμὲ τὰς πληγὰς λαβεῖν.

ΧΟΡΟΣ.
Μοῦσα χορῶν ἱερῶν ἐπίβηθι καὶ ἔλθ' ἐπὶ τέρψιν ἀοιδᾶς ἐμᾶς,
τὸν πολὺν ὀψομένη λαῶν ὄχλον, οὗ σοφίαι
μυρίαι κάθηνται,
φιλοτιμότεραι Κλεοφῶντος, ἐφ' οὗ δὴ χείλεσιν ἀμφιλάλοις
δεινὸν ἐπιβρέμεται
Θρῃκία χελιδὼν,
ἐπὶ βάρβαρον ἑζομένη πέταλον·
ῥύζει δ' ἐπίκλαυτον ἀηδόνιον νόμον, ὡς ἀπολεῖται,
κἂν ἴσαι γένωνται.
τὸν ἱερὸν χορὸν δίκαιόν ἐστι χρηστὰ τῇ πόλει
ξυμπαραινεῖν καὶ διδάσκειν. πρῶτον οὖν ἡμῖν δοκεῖ
ἐξισῶσαι τοὺς πολίτας κἀφελεῖν τὰ δείματα.
κεἴ τις ἥμαρτε σφαλείς τι Φρυνίχου παλαίσμασιν,
ἐγγενέσθαι φημὶ χρῆναι τοῖς ὀλισθοῦσιν τότε
αἰτίαν ἐκθεῖσι λῦσαι τὰς πρότερον ἁμαρτίας.
εἶτ' ἄτιμόν φημι χρῆναι μηδέν' εἶν' ἐν τῇ πόλει.
καὶ γὰρ αἰσχρόν ἐστι τοὺς μὲν ναυμαχήσαντας μίαν
καὶ Πλαταιᾶς εὐθὺς εἶναι κἀντὶ δούλων δεσπότας.
κοὐδὲ ταῦτ' ἔγωγ' ἔχοιμ' ἂν μὴ οὐ καλῶς φάσκειν ἔχειν,
ἀλλ' ἐπαινῶ· μόνα γὰρ αὐτὰ νοῦν ἔχοντ' ἐδράσατε.
πρὸς δὲ τούτοις εἰκὸς ὑμᾶς, οἳ μεθ' ὑμῶν πολλὰ δὴ
χοἰ πατέρες ἐναυμάχησαν καὶ προσήκουσιν γένει,
τὴν μίαν ταύτην παρεῖναι ξυμφορὰν αἰτουμένοις.
ἀλλὰ τῆς ὀργῆς ἀνέντες, ὦ σοφώτατοι φύσει,
πάντας ἀνθρώπους ἑκόντες συγγενεῖς κτησώμεθα
κἀπιτίμους καὶ πολίτας, ὅστις ἂν ξυνναυμαχῇ.
εἰ δὲ τοῦτ' ὀγκωσόμεσθα κἀποσεμνυνούμεθα
τὴν πόλιν, καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις,
ὑστέρῳ χρόνῳ ποτ' αὖθις εὖ φρονεῖν οὐ δόξομεν.
εἰ δ' ἐγὼ ὀρθὸς ἰδεῖν βίον ἀνέρος ἢ τρόπον ὅστις ἔτ' οἰμώξεται,
οὐ πολὺν οὐδ' ὁ πίθηκος οὗτος ὁ νῦν ἐνοχλῶν,
Κλειγένης ὁ μικρὸς,
ὁ πονηρότατος βαλανεὺς ὁπόσοι κρατοῦσι κυκησιτέφρου
ψευδονίτρου κονίας
καὶ Κιμωλίας γῆς,
χρόνον ἐνδιατρίψει· ἰδὼν δὲ τάδ' οὐκ
εἰρηνικὸς ἔσθ', ἵνα μή ποτε κἀποδυθῇ μεθύων ἄνευ ξύλου βαδίζων.
πολλάκις γ' ἡμῖν ἔδοξεν ἡ πόλις πεπονθέναι
ταυτὸν ἔς τε τῶν πολιτῶν τοὺς καλούς τε κἀγαθοὺς,
ἔς τε τἀρχαῖον νόμισμα καὶ τὸ καινὸν χρυσίον.
οὔτε γὰρ τούτοισιν οὖσιν οὐ κεκιβδηλευμένοις,
ἀλλὰ καλλίστοις ἁπάντων, ὡς δοκεῖ, νομισμάτων,
καὶ μόνοις ὀρθῶς κοπεῖσι καὶ κεκωδωνισμένοις
ἔν τε τοῖς Ἕλλησι καὶ τοῖς βαρβάροισι πανταχοῦ,

675 — 705. = 706 — 737.

χρώμεθ' οὐδὲν, ἀλλὰ τούτοις τοῖς πονηροῖς χαλκίοις,
χθές τε καὶ πρώην κοπεῖσι τῷ κακίστῳ κόμματι,
τῶν πολιτῶν θ' οὓς μὲν ἴσμεν εὐγενεῖς καὶ σώφρονας
ἄνδρας ὄντας καὶ δικαίους καὶ καλούς τε κἀγαθοὺς,
καὶ τραφέντας ἐν παλαίστραις καὶ χοροῖς καὶ μουσικῇ,
προυσελοῦμεν, τοῖς δὲ χαλκοῖς καὶ ξένοις καὶ πυρρίαις
καὶ πονηροῖς κἀκ πονηρῶν εἰς ἅπαντα χρώμεθα
ὑστάτοις ἀφιγμένοισιν, οἷσιν ἡ πόλις πρὸ τοῦ
οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως ἐχρήσατ' ἄν.
ἀλλὰ καὶ νῦν, ὠνόητοι, μεταβαλόντες τοὺς τρόπους,
χρῆσθε τοῖς χρηστοῖσιν αὖθις· καὶ κατορθώσασι γὰρ
εὔλογον· κἄν τι σφαλῆτ', ἐξ ἀξίου γοῦν τοῦ ξύλου,
ἤν τι καὶ πάσχητε, πάσχειν τοῖς σοφοῖς δοκήσετε.

ΑΙΑΚΟΣ.

νὴ τὸν Δία τὸν σωτῆρα, γεννάδας ἀνὴρ
ὁ δεσπότης σου.

ΞΑΝΘΙΑΣ.

πῶς γὰρ οὐχὶ γεννάδας,
ὅστις γε πίνειν οἶδε καὶ βινεῖν μόνον;

ΑΙΑΚΟΣ.

τὸ δὲ μὴ πατάξαι σ' ἐξελεγχθέντ' ἄντικρυς,
ὅτι δοῦλος ὢν ἔφασκες εἶναι δεσπότης.

ΞΑΝΘΙΑΣ.

ᾤμωξε μέντἄν.

ΑΙΑΚΟΣ.

τοῦτο μέντοι δουλικὸν
εὐθὺς πεποίηκας, ὅπερ ἐγὼ χαίρω ποιῶν.

ΞΑΝΘΙΑΣ.

χαίρεις, ἱκετεύω;

ΑΙΑΚΟΣ.

μάλλ' ἐποπτεύειν δοκῶ,
ὅταν καταράσωμαι λάθρα τῷ δεσπότῃ.

ΞΑΝΘΙΑΣ.

τί δὲ τονθορύζων, ἡνίκ' ἂν πληγὰς λαβὼν
πολλὰς ἀπίῃς θύραζε;

ΑΙΑΚΟΣ.

καὶ τοῦθ' ἥδομαι.

ΞΑΝΘΙΑΣ.

τί δὲ πολλὰ πράττων;

ΑΙΑΚΟΣ.

ὡς μὰ Δί' οὐδὲν οἶδ' ἐγώ.

ΞΑΝΘΙΑΣ.

ὁμόγνιε Ζεῦ· καὶ παρακούων δεσποτῶν
ἅττ' ἂν λαλῶσι;

ΑΙΑΚΟΣ.

μάλλὰ πλεῖν ἢ μαίνομαι.

ΞΑΝΘΙΑΣ.

τί δὲ τοῖς θύραζε ταῦτα καταλαλῶν;

ΑΙΑΚΟΣ.

ἐγώ;
μὰ Δί', ἀλλ' ὅταν δρῶ τοῦτο, κἀκμιαίνομαι.

ΞΑΝΘΙΑΣ.

ὦ Φοῖβ' Ἄπολλον, ἔμβαλέ μοι τὴν δεξιάν,
καὶ δὸς κύσαι καὐτὸς· κύσον, καί μοι φράσον,
πρὸς Διὸς, ὃς ἡμῖν ἐστιν ὁμομαστιγίας,
τίς οὗτος οὔνδον ἐστὶ θόρυβος χἠ βοὴ
χὠ λοιδορησμός;

ΑΙΑΚΟΣ.

Αἰσχύλου κεὐριπίδου.

ΞΑΝΘΙΑΣ.

ἆ.

ΑΙΑΚΟΣ.

πρᾶγμα πρᾶγμα μέγα κεκίνηται μέγα
ἐν τοῖς νεκροῖσι καὶ στάσις πολλὴ πάνυ.

ΞΑΝΘΙΑΣ.

ἐκ τοῦ;

ΑΙΑΚΟΣ.

νόμος τις ἐνθάδ' ἐστὶ κείμενος
ἀπὸ τῶν τεχνῶν, ὅσαι μεγάλαι καὶ δεξιαὶ,
τὸν ἄριστον ὄντα τῶν ἑαυτοῦ συντέχνων
σίτησιν αὐτὸν ἐν πρυτανείῳ λαμβάνειν,
θρόνον τε τοῦ Πλούτωνος ἑξῆς,

ΞΑΝΘΙΑΣ.

μανθάνω.

ΑΙΑΚΟΣ.

ἕως ἀφίκοιτο τὴν τέχνην σοφώτερος
ἕτερός τις αὐτοῦ· τότε δὲ παραχωρεῖν ἔδει.

ΞΑΝΘΙΑΣ.

τί δῆτα τουτὶ τεθορύβηκεν Αἰσχύλον;

ΑΙΑΚΟΣ.

ἐκεῖνος εἶχε τὸν τραγῳδικὸν θρόνον,
ὡς ὢν κράτιστος τὴν τέχνην.

ΞΑΝΘΙΑΣ.

νυνὶ δὲ τίς;

ΑΙΑΚΟΣ.

ὅτε δὴ κατῆλθ' Εὐριπίδης, ἐπεδείκνυτο
τοῖς λωποδύταις καὶ τοῖς βαλαντιητόμοις
καὶ τοῖσι πατραλοίαισι καὶ τοιχωρύχοις,
ὅπερ ἔστ' ἐν Ἅιδου πλῆθος, οἱ δ' ἀκροώμενοι
τῶν ἀντιλογιῶν καὶ λυγισμῶν καὶ στροφῶν
ὑπερεμάνησαν, κἀνόμισαν σοφώτατον·
κἄπειτ' ἐπαρθεὶς ἀντελάβετο τοῦ θρόνου,
ἵν' Αἰσχύλος καθῆστο.

ΞΑΝΘΙΑΣ.

κοὐκ ἐβάλλετο;

ΑΙΑΚΟΣ.

μὰ Δί', ἀλλ' ὁ δῆμος ἀνεβόα κρίσιν ποιεῖν
ὁπότερος εἴη τὴν τέχνην σοφώτερος.

ΞΑΝΘΙΑΣ.

ὁ τῶν πανούργων;

ΑΙΑΚΟΣ.

νὴ Δί', οὐράνιόν γ' ὅσον.

ΞΑΝΘΙΑΣ.

μετ' Αἰσχύλου δ' οὐκ ἦσαν ἕτεροι σύμμαχοι;

ΑΙΑΚΟΣ.

ὀλίγον τὸ χρηστόν ἐστιν, ὥσπερ ἐνθάδε.

ΞΑΝΘΙΑΣ.

τί δῆθ' ὁ Πλούτων δρᾶν παρασκευάζεται;

ΑΙΑΚΟΣ.

ἀγῶνα ποιεῖν αὐτίκα μάλα καὶ κρίσιν
κἄλεγχον αὐτῶν τῆς τέχνης.

ΞΑΝΘΙΑΣ.
κἄπειτα πῶς
οὐ καὶ Σοφοκλέης ἀντελάβετο τοῦ θρόνου;
ΑΙΑΚΟΣ.
μὰ Δί' οὐκ ἐκεῖνος, ἀλλ' ἔκυσε μὲν Αἰσχύλον,
ὅτε δὴ κατῆλθε, κἀνέβαλε τὴν δεξιὰν,
κἀκεῖνος ὑπεχώρησεν αὐτῷ τοῦ θρόνου·
νυνὶ δ' ἔμελλεν, ὡς ἔφη Κλειδημίδης,
ἔφεδρος καθεδεῖσθαι· κἂν μὲν Αἰσχύλος κρατῇ,
ἕξειν κατὰ χώραν· εἰ δὲ μὴ, περὶ τῆς τέχνης
διαγωνιεῖσθ' ἔφασκε πρός γ' Εὐριπίδην.
ΞΑΝΘΙΑΣ.
τί χρῆμ' ἄρ' ἔσται;
ΑΙΑΚΟΣ.
νὴ Δί', ὀλίγον ὕστερον
κἀνταῦθα δὴ τὰ δεινὰ κινηθήσεται.
καὶ γὰρ ταλάντῳ μουσικὴ σταθμήσεται.
ΞΑΝΘΙΑΣ.
τί δέ; μειαγωγήσουσι τὴν τραγῳδίαν;
ΑΙΑΚΟΣ.
καὶ κανόνας ἐξοίσουσι καὶ πήχεις ἐπῶν,
καὶ πλαίσια ξύμπηκτα πλινθεύσουσί γε
καὶ διαμέτρους καὶ σφῆνας. ὁ γὰρ Εὐριπίδης
κατ' ἔπος βασανιεῖν φησι τὰς τραγῳδίας.
ΞΑΝΘΙΑΣ.
ἦ που βαρέως οἶμαι τὸν Αἰσχύλον φέρειν.
ΑΙΑΚΟΣ.
ἔβλεψε δ' οὖν ταυρηδὸν ἐγκύψας κάτω.
ΞΑΝΘΙΑΣ.
κρινεῖ δὲ δὴ τίς ταῦτα;
ΑΙΑΚΟΣ.
τοῦτ' ἦν δύσκολον·
σοφῶν γὰρ ἀνδρῶν ἀπορίαν εὑρισκέτην.
οὔτε γὰρ Ἀθηναίοισι συνέβαιν' Αἰσχύλος,
ΞΑΝΘΙΑΣ.
πολλοὺς ἴσως ἐνόμιζε τοὺς τοιχωρύχους.
ΑΙΑΚΟΣ.
λῆρόν τε τἆλλ' ἡγεῖτο τοῦ γνῶναι πέρι
φύσεις ποιητῶν· εἶτα τῷ σῷ δεσπότῃ
ἐπέτρεψαν, ὁτιὴ τῆς τέχνης ἔμπειρος ἦν.
ἀλλ' εἰσίωμεν· ὡς ὅταν γ' οἱ δεσπόται
ἐσπουδάκωσι, κλαύμαθ' ἡμῖν γίγνεται.
ΧΟΡΟΣ.
ἦ που δεινὸν ἐριβρεμέτας χόλον ἔνδοθεν ἕξει,
ἡνίκ' ἂν ὀξυλάλου περ ἴδῃ θήγοντος ὀδόντας
ἀντιτέχνου· τότε δὴ μανίας ὑπὸ δεινῆς
ὄμματα στροβήσεται.
ἔσται δ' ἱππολόφων τε λόγων κορυθαίολα νείκη,
σχινδαλάμων τε παραξόνια, σμιλεύματά τ' ἔργων,
φωτὸς ἀμυνομένου φρενοτέκτονος ἀνδρὸς
ῥήμαθ' ἱπποβάμονα.
φρίξας δ' αὐτοκόμου λοφιᾶς λασιαύχενα χαίτην,
δεινὸν ἐπισκύνιον ξυνάγων βρυχώμενος ἥσει
ῥήματα γομφοπαγῆ, πινακηδὸν ἀποσπῶν
γηγενεῖ φυσήματι·
ἔνθεν δὴ στοματουργὸς ἐπῶν βασανίστρια λίσπη
γλῶσσ', ἀνελισσομένη φθονεροὺς κινοῦσα χαλι-
νοὺς,
ῥήματα δαιομένη καταλεπτολογήσει
πνευμόνων πολὺν πόνον.

ΕΥΡΙΠΙΔΗΣ.
οὐκ ἂν μεθείμην τοῦ θρόνου, μὴ νουθέτει.
κρείττων γὰρ εἶναί φημι τούτου τὴν τέχνην.
ΔΙΟΝΥΣΟΣ.
Αἰσχύλε, τί σιγᾷς; αἰσθάνει γὰρ τοῦ λόγου.
ΕΥΡΙΠΙΔΗΣ.
ἀποσεμνυνεῖται πρῶτον, ἅπερ ἑκάστοτε
ἐν ταῖς τραγῳδίαισιν ἐτερατεύετο.
ΔΙΟΝΥΣΟΣ.
ὦ δαιμόνι' ἀνδρῶν, μὴ μεγάλα λίαν λέγε.
ΕΥΡΙΠΙΔΗΣ.
ἐγῷδα τοῦτον καὶ διέσκεμμαι πάλαι,
ἄνθρωπον ἀγριοποιὸν, αὐθαδόστομον,
ἔχοντ' ἀχάλινον ἀκρατὲς ἀθύρωτον στόμα,
ἀπεριλάλητον, κομποφακελορρήμονα.
ΑΙΣΧΥΛΟΣ.
ἄληθες, ὦ παῖ τῆς ἀρουραίας θεοῦ;
σὺ δή με ταῦτ', ὦ στωμυλιοσυλλεκτάδη
καὶ πτωχοποιὲ καὶ ῥακιοσυρραπτάδη;
ἀλλ' οὔ τι χαίρων αὔτ' ἐρεῖς.
ΔΙΟΝΥΣΟΣ.
παῦ', Αἰσχύλε,
καὶ μὴ πρὸς ὀργὴν σπλάγχνα θερμήνῃς κότῳ.
ΑΙΣΧΥΛΟΣ.
οὐ δῆτα, πρίν γ' ἂν τοῦτον ἀποφήνω σαφῶς
τὸν χωλοποιὸν, οἷος ὢν θρασύνεται.
ΔΙΟΝΥΣΟΣ.
ἄρν' ἄρνα μέλαιναν παῖδες ἐξενέγκατε·
τυφὼς γὰρ ἐκβαίνειν παρασκευάζεται.
ΑΙΣΧΥΛΟΣ.
ὦ Κρητικὰς μὲν συλλέγων μονῳδίας,
γάμους δ' ἀνοσίους εἰσφέρων εἰς τὴν τέχνην,
ΔΙΟΝΥΣΟΣ.
ἐπίσχες οὗτος, ὦ πολυτίμητ' Αἰσχύλε.
ἀπὸ τῶν χαλαζῶν δ', ὦ πονήρ' Εὐριπίδη,
ἄπαγε σεαυτὸν ἐκποδὼν, εἰ σωφρονεῖς,
ἵνα μὴ κεφαλαίῳ τὸν κρόταφόν σου ῥήματι
θενὼν ὑπ' ὀργῆς ἐκχέῃ τὸν Τήλεφον·
σὺ δὲ μὴ πρὸς ὀργὴν, Αἰσχύλ', ἀλλὰ πραόνως
ἔλεγχ', ἐλέγχου· λοιδορεῖσθαι δ' οὐ θέμις
ἄνδρας ποιητὰς ὥσπερ ἀρτοπώλιδας.
σὺ δ' εὐθὺς ὥσπερ πρῖνος ἐμπρησθεὶς βοᾷς.
ΕΥΡΙΠΙΔΗΣ.
ἕτοιμός εἰμ' ἔγωγε, κοὐκ ἀναδύομαι,
δάκνειν, δάκνεσθαι πρότερος, εἰ τούτῳ δοκεῖ,
τἄπη, τὰ μέλη, τὰ νεῦρα τῆς τραγῳδίας,
καὶ νὴ Δί τὸν Πηλέα γε καὶ τὸν Αἴολον
καὶ τὸν Μελέαγρον, κἄτι μάλα τὸν Τήλεφον.
ΔΙΟΝΥΣΟΣ.
σὺ δὲ δὴ τί βουλεύει ποιεῖν; λέγ', Αἰσχύλε.
ΑΙΣΧΥΛΟΣ.
ἐβουλόμην μὲν οὐκ ἐρίζειν ἐνθάδε·
οὐκ ἐξ ἴσου γάρ ἐστιν ἀγὼν νῷν.
ΔΙΟΝΥΣΟΣ.
τί δαί;
ΑΙΣΧΥΛΟΣ.
ὅτι ἡ ποίησις οὐχὶ συντέθνηκέ μοι,
τούτῳ δὲ συντέθνηκεν, ὥσθ' ἕξει λέγειν.
ὅμως δ' ἐπειδή σοι δοκεῖ, δρᾶν ταῦτα χρή.

ΔΙΟΝΥΣΟΣ.
ἴθι νυν λιβανωτὸν δεῦρό τις καὶ πῦρ δότω,
ὅπως ἂν εὔξωμαι πρὸ τῶν σοφισμάτων,
ἀγῶνα κρῖναι τόνδε μουσικώτατα·
ὑμεῖς δὲ ταῖς Μούσαις τι μέλος ὑπᾴσατε.
ΧΟΡΟΣ.
ὦ Διὸς ἐννέα παρθένοι ἁγναὶ
Μοῦσαι, λεπτολόγους ξυνετὰς φρένας αἳ καθο-
ρᾶτε
ἀνδρῶν γνωμοτύπων, ὅταν εἰς ἔριν ὀξυμερίμνοις
ἔλθωσι στρεβλοῖσι παλαίσμασιν ἀντιλογοῦντες,
ἔλθετ' ἐποψόμεναι δύναμιν
δεινοτάτοιν στομάτοιν πορίσασθαι
ῥήματα καὶ παραπρίσματ' ἐπῶν.
νῦν γὰρ ἀγὼν σοφίας ὁ μέγας χωρεῖ πρὸς ἔρ-
γον ἤδη.
ΔΙΟΝΥΣΟΣ.
εὔχεσθε δὴ καὶ σφώ τι, πρὶν τἄπη λέγειν.
ΑΙΣΧΥΛΟΣ.
Δήμητερ ἡ θρέψασα τὴν ἐμὴν φρένα,
εἶναί με τῶν σῶν ἄξιον μυστηρίων.
ΔΙΟΝΥΣΟΣ.
ἴθι νυν ἐπίθες δὴ καὶ σὺ λιβανωτόν.
ΕΥΡΙΠΙΔΗΣ.
καλῶς·
ἕτεροι γάρ εἰσιν οἷσιν εὔχομαι θεοῖς.
ΔΙΟΝΥΣΟΣ.
ἴδιοί τινές σοι, κόμμα καινόν;
ΕΥΡΙΠΙΔΗΣ.
καὶ μάλα.
ΔΙΟΝΥΣΟΣ.
ἴθι νυν προσεύχου τοῖσιν ἰδιώταις θεοῖς.
ΕΥΡΙΠΙΔΗΣ.
αἰθὴρ, ἐμὸν βόσκημα, καὶ γλώττης στρόφιγξ,
καὶ ξύνεσι καὶ μυκτῆρες ὀσφραντήριοι,
ὀρθῶς μ' ἐλέγχειν ὧν ἂν ἅπτωμαι λόγων.
ΧΟΡΟΣ.
καὶ μὴν ἡμεῖς ἐπιθυμοῦμεν
παρὰ σοφοῖν ἀνδροῖν ἀκοῦσαι τίνα λόγων
ἔπιτε δαΐαν ὁδόν.
γλῶσσα μὲν γὰρ ἠγρίωται,
λῆμα δ' οὐκ ἄτολμον ἀμφοῖν,
οὐδ' ἀκίνητοι φρένες.
προσδοκᾶν οὖν εἰκός ἐστι
τὸν μὲν ἀστεῖόν τι λέξειν
καὶ κατερρινημένον,
τὸν δ' ἀνασπῶντ' αὐτοπρέμνοις
τοῖς λόγοισιν
ἐμπεσόντα συσκεδᾶν πολ-
λὰς ἀλινδήθρας ἐπῶν.
ΔΙΟΝΥΣΟΣ.
ἀλλ' ὡς τάχιστα χρὴ λέγειν· οὕτω δ' ὅπως
ἐρεῖτον
ἀστεῖα καὶ μήτ' εἰκόνας μήθ' οἷ' ἂν ἄλλος εἴποι.
ΕΥΡΙΠΙΔΗΣ.
καὶ μὴν ἐμαυτὸν μέν γε, τὴν ποίησιν οἷός εἰμι,
ἐν τοῖσιν ὑστάτοις φράσω, τοῦτον δὲ πρῶτ'
ἐλέγξω,
ὡς ἦν ἀλαζὼν καὶ φέναξ, οἵοις τε τοὺς θεατὰς
ἐξηπάτα, μώρους λαβὼν παρὰ Φρυνίχῳ τραφέντας.

895 — 904. = 992 — 1003.

πρώτιστα μὲν γὰρ ἕνα τιν' ἂν καθῖσεν ἐγ[κα]-
λύψας,
Ἀχιλλέα τιν' ἢ Νιόβην, τὸ πρόσωπον [οὐχὶ]
δεικνὺς,
πρόσχημα τῆς τραγῳδίας, γρύζοντας οὐδὲ του[τί].
ΔΙΟΝΥΣΟΣ.
μὰ τὸν Δί' οὐ δῆθ'.
ΕΥΡΙΠΙΔΗΣ.
ὁ δὲ χορός γ' ἤρειδεν ὁρμαθοὺς
μελῶν ἐφεξῆς τέτταρας ξυνεχῶς ἄν· οἱ δ' ἐσί[γων].
ΔΙΟΝΥΣΟΣ.
ἐγὼ δ' ἔχαιρον τῇ σιωπῇ, καί με τοῦτ' ἔτερ[πεν]
οὐχ ἧττον ἢ νῦν οἱ λαλοῦντες.
ΕΥΡΙΠΙΔΗΣ.
ἠλίθιος γὰρ ἦ[σθα],
σάφ' ἴσθι.
ΔΙΟΝΥΣΟΣ.
κἀμαυτῷ δοκῶ. τί δὲ ταῦτ' ἔδρασ' ὁ δεῖ[να];
ΕΥΡΙΠΙΔΗΣ.
ὑπ' ἀλαζονείας, ἵν' ὁ θεατὴς προσδοκῶν [κα]-
θοῖτο,
ὁπόθ' ἡ Νιόβη τι φθέγξεται· τὸ δρᾶμα δ'
διήει.
ΔΙΟΝΥΣΟΣ.
ὢ παμπόνηρος, οἷ' ἄρ' ἐφενακιζόμην ὑπ' αὐ[τοῦ].
τί σκορδινᾷ καὶ δυσφορεῖς;
ΕΥΡΙΠΙΔΗΣ.
ὅτι αὐτὸν ἐξελ[έγχω].
κἄπειτ' ἐπειδὴ ταῦτα ληρήσειε καὶ τὸ δρᾶμα
ἤδη μεσοίη, ῥήματ' ἂν βόεια δώδεκ' εἶπεν,
ὀφρῦς ἔχοντα καὶ λόφους, δείν' ἄττα μορ[μο]-
ρωπὰ,
ἄγνωτα τοῖς θεωμένοις.
ΑΙΣΧΥΛΟΣ.
οἴμοι τάλας.
ΔΙΟΝΥΣΟΣ.
σιώπα.
ΕΥΡΙΠΙΔΗΣ.
σαφὲς δ' ἂν εἶπεν οὐδὲν
ΔΙΟΝΥΣΟΣ.
μὴ πρῖε τοὺς ὀδόντ[ας].
ΕΥΡΙΠΙΔΗΣ.
ἀλλ' ἢ Σκαμάνδρους, ἢ τάφρους, ἢ 'π' ἀσπί[δων]
ἐπόντας
γρυπαέτους χαλκηλάτους, καὶ ῥήμαθ' ἱππόκρη[μνα],
ἃ ξυμβαλεῖν οὐ ῥᾴδιον.
ΔΙΟΝΥΣΟΣ.
νὴ τοὺς θεοὺς, ἐγ[ὼ γοῦν]
ἤδη ποτ' ἐν μακρῷ χρόνῳ νυκτὸς διηγρύπ[νησα]
τὸν ξουθὸν ἱππαλεκτρυόνα ζητῶν, τίς ἐ[στιν]
ὄρνις.
ΑΙΣΧΥΛΟΣ.
σημεῖον ἐν ταῖς ναυσὶν, ὦμαθέστατ', ἐν[εγέ]-
γραπτο.
ΔΙΟΝΥΣΟΣ.
ἐγὼ δὲ τὸν Φιλοξένου γ' ᾤμην Ἔρυξιν εἶν[αι].
ΕΥΡΙΠΙΔΗΣ.
εἶτ' ἐν τραγῳδίαις ἐχρῆν κἀλεκτρυόνα ποιῆσ[αι];
ΑΙΣΧΥΛΟΣ.
σὺ δ', ὦ θεοῖσιν ἐχθρὲ, ποῖ' ἅττ' ἐστὶν ἅττ' ἐπ[οίεις];

ΕΥΡΙΠΙΔΗΣ.

οὐχ ἱππαλεκτρυόνας μὰ Δί᾽ οὐδὲ τραγελάφους, ἅπερ σὺ,
ἃν τοῖσι παραπετάσμασιν τοῖς Μηδικοῖς γράφουσιν·
ἀλλ᾽ ὡς παρέλαβον τὴν τέχνην παρὰ σοῦ τὸ πρῶτον εὐθὺς
οἰδοῦσαν ὑπὸ κομπασμάτων καὶ ῥημάτων ἐπαχθῶν,
ἴσχνανα μὲν πρώτιστον αὐτὴν καὶ τὸ βάρος ἀφεῖλον
ἐπυλλίοις καὶ περιπάτοις καὶ τευτλίοισι λευκοῖς,
χυλὸν διδοὺς στωμυλμάτων, ἀπὸ βιβλίων ἀπηθῶν·
εἶτ᾽ ἀνέτρεφον μονῳδίαις, Κηφισοφῶντα μιγνύς·
εἶτ᾽ οὐκ ἐλήρουν ὅ τι τύχοιμ᾽, οὐδ᾽ ἐμπεσὼν ἔφυρον,
ἀλλ᾽ οὑξιὼν πρώτιστα μέν μοι τὸ γένος εἶπ᾽ ἂν εὐθὺς
τοῦ δράματος.

ΑΙΣΧΥΛΟΣ.

κρεῖττον γάρ ἦν σοι νὴ Δί᾽ ἢ τὸ σαυτοῦ.

ΕΥΡΙΠΙΔΗΣ.

ἔπειτ᾽ ἀπὸ τῶν πρώτων ἐπῶν οὐδὲν παρῆκ᾽ ἂν ἀργὸν,
ἀλλ᾽ ἔλεγεν ἡ γυνή τέ μοι χὡ δοῦλος οὐδὲν ἧττον,
χὡ δεσπότης χἠ παρθένος χἠ γραῦς ἄν.

ΑΙΣΧΥΛΟΣ.

εἶτα δῆτα
οὐκ ἀποθανεῖν σε ταῦτ᾽ ἐχρῆν τολμῶντα;

ΕΥΡΙΠΙΔΗΣ.

μὰ τὸν Ἀπόλλω·
δημοκρατικὸν γὰρ αὔτ᾽ ἔδρων.

ΔΙΟΝΥΣΟΣ.

τοῦτο μὲν ἔασον, ὦ τᾶν·
οὐ σοὶ γάρ ἐστι περίπατος κάλλιστα περί γε τούτου.

ΕΥΡΙΠΙΔΗΣ.

ἔπειτα τουτουσὶ λαλεῖν ἐδίδαξα

ΑΙΣΧΥΛΟΣ.

φημὶ κἀγώ.
ὡς πρὶν διδάξαι γ᾽ ὤφελες μέσος διαρραγῆναι.

ΕΥΡΙΠΙΔΗΣ.

λεπτῶν τε κανόνων εἰσβολὰς ἐπῶν τε γωνιασμοὺς,
νοεῖν, ὁρᾶν, ξυνιέναι, στρέφειν, ἐρᾶν, τεχνάζειν,
κάχ᾽ ὑποτοπεῖσθαι, περινοεῖν ἅπαντα

ΑΙΣΧΥΛΟΣ.

φημὶ κἀγώ.

ΕΥΡΙΠΙΔΗΣ.

οἰκεῖα πράγματ᾽ εἰσάγων, οἷς χρώμεθ᾽, οἷς ξύνεσμεν,
ἐξ ὧν γ᾽ ἂν ἐξηλεγχόμην· ξυνειδότες γὰρ οὗτοι
ἤλεγχον ἄν μου τὴν τέχνην· ἀλλ᾽ οὐκ ἐκομπολάκουν
ἀπὸ τοῦ φρονεῖν ἀποσπάσας, οὐδ᾽ ἐξέπληττον αὐτοὺς,
Κύκνους ποιῶν καὶ Μέμνονας κωδωνοφαλαροπώλους.
γνώσει δὲ τοὺς τούτου τε κἀμοῦ γ᾽ ἑκατέρου μαθητάς.
τουτουμενὶ Φορμίσιος Μεγαίνετός θ᾽ ὁ Μάγνης,
σαλπιγγολογχυπηνάδαι, σαρκασμοπιτυοκάμπται,
οὑμοὶ δὲ Κλειτοφῶν τε καὶ Θηραμένης ὁ κομψός.

ΔΙΟΝΥΣΟΣ.

Θηραμένης; σοφός γ᾽ ἀνὴρ καὶ δεινὸς ἐς τὰ πάντα,
ὃς ἢν κακοῖς που περιπέσῃ καὶ πλησίον παραστῇ,
πέπτωκεν ἔξω τῶν κακῶν, οὐ Χῖος, ἀλλὰ Κεῖος.

ΕΥΡΙΠΙΔΗΣ.

τοιαῦτα μέντοὐγὼ φρονεῖν
τούτοισιν εἰσηγησάμην,
λογισμὸν ἐνθεὶς τῇ τέχνῃ
καὶ σκέψιν, ὥστ᾽ ἤδη νοεῖν
ἅπαντα καὶ διειδέναι
τά τ᾽ ἄλλα καὶ τὰς οἰκίας
οἰκεῖν ἄμεινον ἢ πρὸ τοῦ,
κἀνασκοπεῖν, πῶς τοῦτ᾽ ἔχει;
ποῦ μοι τοδί; τίς τοῦτ᾽ ἔλαβε;

ΔΙΟΝΥΣΟΣ.

νὴ τοὺς θεοὺς, νῦν γοῦν Ἀθηναίων ἅπας τις εἰσιὼν
κέκραγε πρὸς τοὺς οἰκέτας
ζητεῖ τε, ποῦ ᾿στιν ἡ χύτρα;
τίς τὴν κεφαλὴν ἀπεδήδοκεν
τῆς μαινίδος; τὸ τρυβλίον
τὸ περυσινὸν τέθνηκέ μοι·
ποῦ τὸ σκόροδον τὸ χθιζινόν;
τίς τῆς ἐλάας παρέτραγεν;
τέως δ᾽ ἀβελτερώτατοι,
κεχηνότες Μαμμάκυθοι,
Μελητίδαι καθῆντο.

ΧΟΡΟΣ.

τάδε μὲν λεύσσεις, φαίδιμ᾽ Ἀχιλλεῦ·
σὺ δὲ τί, φέρε, πρὸς ταῦτα λέξεις; μόνον ὅπως
μή σ᾽ ὁ θυμὸς ἁρπάσας
ἐκτὸς οἴσει τῶν ἐλαῶν·
δεινὰ γὰρ κατηγόρηκεν.
ἀλλ᾽ ὅπως, ὦ γεννάδα,
μὴ πρὸς ὀργὴν ἀντιλέξεις,
ἀλλὰ συστείλας, ἄκροισι
χρώμενος τοῖς ἱστίοις,
εἶτα μᾶλλον μᾶλλον ἄξεις,
καὶ φυλάξεις,
ἡνίκ᾽ ἂν τὸ πνεῦμα λεῖον
καὶ καθεστηκὸς λάβῃς.
ἀλλ᾽ ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα σεμνὰ
καὶ κοσμήσας τραγικὸν λῆρον, θαρρῶν τὸν κρουνὸν ἀφίει.

ΑΙΣΧΥΛΟΣ.

θυμοῦμαι μὲν τῇ ξυντυχίᾳ, καί μου τὰ σπλάγχν᾽ ἀγανακτεῖ,
εἰ πρὸς τοῦτον δεῖ μ᾽ ἀντιλέγειν· ἵνα μὴ φάσκῃ δ᾽ ἀπορεῖν με,
ἀπόκριναί μοι, τίνος οὕνεκα χρὴ θαυμάζειν ἄνδρα ποιητήν;

ΕΥΡΙΠΙΔΗΣ.

δεξιότητος καὶ νουθεσίας, ὅτι βελτίους τε ποιοῦμεν
τοὺς ἀνθρώπους ἐν ταῖς πόλεσιν.

ΑΙΣΧΥΛΟΣ.
τοῦτ' οὖν εἰ μὴ πεποίηκας,
ἀλλ' ἐκ χρηστῶν καὶ γενναίων μοχθηροτάτους ἀπέδειξας,
τί παθεῖν φήσεις ἄξιος εἶναι;
ΔΙΟΝΥΣΟΣ.
τεθνάναι· μὴ τοῦτον ἐρώτα.
ΑΙΣΧΥΛΟΣ.
σκέψαι τοίνυν οἵους αὐτοὺς παρ' ἐμοῦ παρεδέξατο πρῶτον,
εἰ γενναίους καὶ τετραπήχεις, καὶ μὴ διαδρασιπολίτας,
μηδ' ἀγοραίους μηδὲ κοβάλους, ὥσπερ νῦν, μηδὲ πανούργους,
ἀλλὰ πνέοντας δόρυ καὶ λόγχας καὶ λευκολόφους τρυφαλείας
καὶ πήληκας καὶ κνημῖδας καὶ θυμοὺς ἑπταβοείους.
ΕΥΡΙΠΙΔΗΣ.
καὶ δὴ χωρεῖ τουτὶ τὸ κακόν· κρανοποιῶν αὖ μ' ἐπιτρίψει.
ΔΙΟΝΥΣΟΣ.
καὶ τί σὺ δράσας οὕτως αὐτοὺς γενναίους ἐξεδίδαξας;
Αἰσχύλε, λέξον, μηδ' αὐθαδῶς σεμνυνόμενος χαλέπαινε.
ΑΙΣΧΥΛΟΣ.
δρᾶμα ποιήσας Ἄρεως μεστόν.
ΔΙΟΝΥΣΟΣ.
ποῖον;
ΑΙΣΧΥΛΟΣ.
τοὺς ἑπτ' ἐπὶ Θήβας·
ὃ θεασάμενος πᾶς ἄν τις ἀνὴρ ἠράσθη δάϊος εἶναι.
ΔΙΟΝΥΣΟΣ.
τουτὶ μέν σοι κακὸν εἴργασται· Θηβαίους γὰρ πεποίηκας
ἀνδρειοτέρους εἰς τὸν πόλεμον· καὶ τούτου γ' οὕνεκα τύπτου.
ΑΙΣΧΥΛΟΣ.
ἀλλ' ὑμῖν αὔτ' ἐξῆν ἀσκεῖν, ἀλλ' οὐκ ἐπὶ τοῦτ' ἐτράπεσθε.
εἶτα διδάξας Πέρσας μετὰ τοῦτ' ἐπιθυμεῖν ἐξεδίδαξα
νικᾶν ἀεὶ τοὺς ἀντιπάλους, κοσμήσας ἔργον ἄριστον.
ΔΙΟΝΥΣΟΣ.
ἐχάρην γοῦν, ἡνίκ' ἀπηγγέλθη περὶ Δαρείου τεθνεῶτος,
ὁ χορὸς δ' εὐθὺς τὼ χεῖρ' ὡδὶ συγκρούσας εἶπεν ἰαυοῖ.
ΑΙΣΧΥΛΟΣ.
ταῦτα γὰρ ἄνδρας χρὴ ποιητὰς ἀσκεῖν. σκέψαι γὰρ ἀπ' ἀρχῆς,
ὡς ὠφέλιμοι τῶν ποιητῶν οἱ γενναῖοι γεγένηνται.
Ὀρφεὺς μὲν γὰρ τελετάς θ' ἡμῖν κατέδειξε φόνων τ' ἀπέχεσθαι,
Μουσαῖος δ' ἐξακέσεις τε νόσων καὶ χρησμούς, Ἡσίοδος δὲ
γῆς ἐργασίας, καρπῶν ὥρας, ἀρότους· ὁ δὲ θεῖος Ὅμηρος
ἀπὸ τοῦ τιμὴν καὶ κλέος ἔσχεν πλὴν τοῦδ' ὅτι χρήστ' ἐδίδαξε,
τάξεις, ἀρετάς, ὁπλίσεις ἀνδρῶν;
ΔΙΟΝΥΣΟΣ.
καὶ μὴν οὐ Παντακλέα
ἐδίδαξεν ὅμως τὸν σκαιότατον· πρώην γοῦν, ἡνίκ' ἔπεμπεν,
τὸ κράνος πρῶτον περιδησάμενος τὸν λόφ ἤμελλ' ἐπιδήσειν.
ΑΙΣΧΥΛΟΣ.
ἀλλ' ἄλλους τοι πολλοὺς ἀγαθούς, ὧν ἦν καὶ Λ μαχος ἥρως·
ὅθεν ἡμὴ φρὴν ἀπομαξαμένη πολλὰς ἀρε ἐποίησεν,
Πατρόκλων, Τεύκρων θυμολεόντων, ἵν' ἐπ ροιμ' ἄνδρα πολίτην
ἀντεκτείνειν αὑτὸν τούτοις, ὁπόταν σάλπιγ ἀκούσῃ.
ἀλλ' οὐ μὰ Δί' οὐ Φαίδρας ἐποίουν πό οὐδὲ Σθενεβοίας,
οὐδ' οἶδ' οὐδεὶς ἥντιν' ἐρῶσαν πώποτ' ἐποί γυναῖκα.
ΕΥΡΙΠΙΔΗΣ.
μὰ Δί', οὐδὲ γὰρ ἦν τῆς Ἀφροδίτης οὐδέν σ
ΑΙΣΧΥΛΟΣ.
μηδέ γ' ἐπ
ἀλλ' ἐπί σοί τοι καὶ τοῖς σοῖσιν πολλὴ π λοῦ 'πικαθῆτο,
ὥστε γε καὐτόν σε κατ' οὖν ἔβαλεν.
ΔΙΟΝΥΣΟΣ.
νὴ τὸν Δία τοῦτό γέ τοι
ἃ γὰρ ἐς τὰς ἀλλοτρίας ἐποίεις, αὐτὸς τούτοι ἐπλήγης.
ΕΥΡΙΠΙΔΗΣ.
καὶ τί βλάπτουσ', ὦ σχέτλι' ἀνδρῶν, τὴν πό ἁμαὶ Σθενέβοιαι;
ΑΙΣΧΥΛΟΣ.
ὅτι γενναίας καὶ γενναίων ἀνδρῶν ἀλόχους ἀ πεισας
κώνεια πιεῖν, αἰσχυνθείσας διὰ τοὺς σοὺς Β λεροφόντας.
ΕΥΡΙΠΙΔΗΣ.
πότερον δ' οὐκ ὄντα λόγον τοῦτον περὶ Φαίδρας ξυνέθηκα;
ΑΙΣΧΥΛΟΣ.
μὰ Δί', ἀλλ' ὄντ'· ἀλλ' ἀποκρύπτειν χ πονηρὸν τόν γε ποιητήν,
καὶ μὴ παράγειν μηδὲ διδάσκειν. τοῖς μὲν παιδαρίοισιν
ἔστι διδάσκαλος ὅστις φράζει, τοῖς ἡβῶσι ποιηταί.
πάνυ δὴ δεῖ χρηστὰ λέγειν ἡμᾶς.
ΕΥΡΙΠΙΔΗΣ.
ἢν οὖν σὺ λέγῃς Λυκαβηττ
καὶ Παρνασῶν ἡμῖν μεγέθη, τοῦτ' ἐστὶ τὸ χ στὰ διδάσκειν,
ὃν χρὴ φράζειν ἀνθρωπείως;
ΑΙΣΧΥΛΟΣ.
ἀλλ', ὦ κακόδαιμον, ἀνά
μεγάλων γνωμῶν καὶ διανοιῶν ἴσα καὶ τὰ μ ματα τίκτειν.
κἄλλως εἰκὸς τοὺς ἡμιθέους τοῖς ῥήμασι μεί χρῆσθαι·

καὶ γὰρ τοῖς ἱματίοις ἡμῶν χρῶνται πολὺ σεμνοτέροισιν.
ἐμοῦ χρηστῶς καταδείξαντος διελυμήνω σύ.

ΕΥΡΙΠΙΔΗΣ.

τί δράσας;

ΑΙΣΧΥΛΟΣ.

πρῶτον μὲν τοὺς βασιλεύοντας ῥάκι' ἀμπισχών, ἵν' ἐλεινοὶ
τοῖς ἀνθρώποις φαίνοιντ' εἶναι.

ΕΥΡΙΠΙΔΗΣ.

τοῦτ' οὖν ἔβλαψα τί δράσας;

ΑΙΣΧΥΛΟΣ.

οὔκουν ἐθέλει γε τριηραρχεῖν πλουτῶν οὐδεὶς διὰ ταῦτα,
ἀλλὰ ῥακίοις περιειλόμενος κλάει καὶ φησὶ πένεσθαι.

ΔΙΟΝΥΣΟΣ.

νὴ τὴν Δήμητρα, χιτῶνά γ' ἔχων οὔλων ἐρίων ὑπένερθε·
κἂν ταῦτα λέγων ἐξαπατήσῃ, παρὰ τοὺς ἰχθῦς ἀνέκυψεν.

ΑΙΣΧΥΛΟΣ.

εἶτ' αὖ λαλιὰν ἐπιτηδεῦσαι καὶ στωμυλίαν ἐδίδαξας,
ἣ 'ξεκένωσεν τάς τε παλαίστρας καὶ τὰς πυγὰς ἐνέτριψε
τῶν μειρακίων στωμυλλομένων, καὶ τοὺς παράλους ἀνέπεισεν
ἀνταγορεύειν τοῖς ἄρχουσιν. καίτοι τότε γ', ἡνίκ' ἐγὼ 'ζων,
οὐκ ἠπίσταντ' ἀλλ' ἢ μᾶζαν καλέσαι καὶ ῥυππαπαὶ εἰπεῖν.

ΔΙΟΝΥΣΟΣ.

νὴ τὸν Ἀπόλλω, καὶ προσπαρδεῖν γ' εἰς τὸ στόμα τῷ θαλάμακι,
καὶ μινθῶσαι τὸν ξύσσιτον, κἀκβὰς τινὰ λωποδυτῆσαι·
νῦν δ' ἀντιλέγειν κοὐκέτ' ἐλαύνειν,
καὶ πλεῖν δευρὶ καὖθις ἐκεῖσε.

ΑΙΣΧΥΛΟΣ.

ποίων δὲ κακῶν οὐκ αἴτιός ἐστ';
οὐ προαγωγοὺς κατέδειξ' οὗτος,
καὶ τικτούσας ἐν τοῖς ἱεροῖς,
καὶ μιγνυμένας τοῖσιν ἀδελφοῖς,
καὶ φασκούσας οὐ ζῆν τὸ ζῆν;
κᾆτ' ἐκ τούτων ἡ πόλις ἡμῶν
ὑπὸ γραμματέων ἀνεμεστώθη,
καὶ βωμολόχων δημοπιθήκων,
ἐξαπατώντων τὸν δῆμον ἀεί·
λαμπάδα δ' οὐδεὶς οἷός τε φέρειν
ὑπ' ἀγυμνασίας ἔτι νυνί.

ΔΙΟΝΥΣΟΣ.

μὰ Δί' οὐ δῆθ', ὥστ' ἐπαφαυάνθην
Παναθηναίοισι γελῶν, ὅτε δὴ
βραδὺς ἄνθρωπός τις ἔθει κύψας
λευκὸς, πίων, ὑπολειπόμενος,
καὶ δεινὰ ποιῶν· κᾆθ' οἱ Κεραμῆς
ἐν ταῖσι πύλαις παίουσ' αὐτοῦ
γαστέρα, πλευρὰς, λαγόνας, πυγήν·
ὁ δὲ τυπτόμενος ταῖσι πλατείαις
ὑποπερδόμενος
φυσῶν τὴν λαμπάδ' ἔφευγε.

ΧΟΡΟΣ.

μέγα τὸ πρᾶγμα, πολὺ τὸ νεῖκος, ἁδρὸς ὁ πόλεμος ἔρχεται.
χαλεπὸν οὖν ἔργον διαιρεῖν,
ὅταν ὁ μὲν τείνῃ βιαίως,
ὁ δ' ἐπαναστρέφειν δύνηται κἀπερείδεσθαι τορῶς.
ἀλλὰ μὴ 'ν ταὐτῷ καθῆσθον·
εἰσβολαὶ γάρ εἰσι πολλαὶ χἄτεραι σοφισμάτων.
ὅ τι περ οὖν ἔχετον ἐρίζειν,
λέγετον, ἔπιτον, ἀναδέρεσθον,
τά τε παλαιὰ καὶ τὰ καινὰ,
κἀποκινδυνεύετον λεπτόν τι καὶ σοφὸν λέγειν.
εἰ δὲ τοῦτο καταφοβεῖσθον, μή τις ἀμαθία προσῇ
τοῖς θεωμένοισιν, ὡς τὰ
λεπτὰ μὴ γνῶναι λεγόντοιν,
μηδὲν ὀρρωδεῖτε τοῦθ'· ὡς οὐκ ἔθ' οὕτω ταῦτ' ἔχει.
ἐστρατευμένοι γάρ εἰσι,
βιβλίον τ' ἔχων ἕκαστος μανθάνει τὰ δεξιά·
αἱ φύσεις τ' ἄλλως κράτισται,
νῦν δὲ καὶ παρηκόνηνται.
μηδὲν οὖν δείσητον, ἀλλὰ
πάντ' ἐπέξιτον, θεατῶν γ' οὕνεχ', ὡς ὄντων σοφῶν.

ΕΥΡΙΠΙΔΗΣ.

καὶ μὴν ἐπ' αὐτοὺς τοὺς προλόγους σοι τρέψομαι,
ὅπως τὸ πρῶτον τῆς τραγῳδίας μέρος
πρώτιστον αὐτοῦ βασανιῶ τοῦ δεξιοῦ.
ἀσαφὴς γὰρ ἦν ἐν τῇ φράσει τῶν πραγμάτων.

ΔΙΟΝΥΣΟΣ.

καὶ ποῖον αὐτοῦ βασανιεῖς;

ΕΥΡΙΠΙΔΗΣ.

πολλοὺς πάνυ.
πρῶτον δέ μοι τὸν ἐξ Ὀρεστείας λέγε.

ΔΙΟΝΥΣΟΣ.

ἄγε δὴ σιώπα πᾶς ἀνήρ. λέγ', Αἰσχύλε.

ΑΙΣΧΥΛΟΣ.

Ἑρμῆ χθόνιε, πατρῷ' ἐποπτεύων κράτη,
σωτὴρ γενοῦ μοι σύμμαχός τ' αἰτουμένῳ.
ἥκω γὰρ ἐς γῆν τήνδε καὶ κατέρχομαι.

ΔΙΟΝΥΣΟΣ.

τούτων ἔχεις ψέγειν τι;

ΕΥΡΙΠΙΔΗΣ.

πλεῖν ἢ δώδεκα.

ΔΙΟΝΥΣΟΣ.

ἀλλ' οὐδὲ πάντα ταῦτά γ' ἔστ' ἀλλ' ἢ τρία.

ΕΥΡΙΠΙΔΗΣ.

ἔχει δ' ἕκαστον εἴκοσίν γ' ἁμαρτίας.

ΔΙΟΝΥΣΟΣ.

Αἰσχύλε, παραινῶ σοι σιωπᾶν· εἰ δὲ μὴ,
πρὸς τρισὶν ἰαμβείοισι προσοφείλων φανεῖ.

ΑΙΣΧΥΛΟΣ.

ἐγὼ σιωπῶ τῷδ';

ΔΙΟΝΥΣΟΣ.

ἐὰν πείθῃ γ' ἐμοί.

ΕΥΡΙΠΙΔΗΣ.

εὐθὺς γὰρ ἡμάρτηκεν οὐράνιόν γ' ὅσον.

ΑΙΣΧΥΛΟΣ.

ὁρᾷς ὅτι ληρεῖς.

1099 — 1108. == 1109 — 1118.

ΔΙΟΝΥΣΟΣ.
ἀλλ' ὀλίγον γέ μοι μέλει.
ΑΙΣΧΥΛΟΣ.
πῶς φῄς μ' ἁμαρτεῖν;
ΕΥΡΙΠΙΔΗΣ.
αὖθις ἐξ ἀρχῆς λέγε.
ΑΙΣΧΥΛΟΣ.
Ἑρμῆ χθόνιε, πατρῷ' ἐποπτεύων κράτη.
ΕΥΡΙΠΙΔΗΣ.
οὔκουν Ὀρέστης τοῦτ' ἐπὶ τῷ τύμβῳ λέγει
τῷ τοῦ πατρὸς τεθνεῶτος;
ΑΙΣΧΥΛΟΣ.
οὐκ ἄλλως λέγω.
ΕΥΡΙΠΙΔΗΣ.
πότερ' οὖν τὸν Ἑρμῆν, ὡς ὁ πατὴρ ἀπώλετο
αὐτοῦ βιαίως ἐκ γυναικείας χερὸς
δόλοις λαθραίοις, ταῦτ' ἐποπτεύειν ἔφη;
ΔΙΟΝΥΣΟΣ.
οὐ δῆτ' ἐκεῖνον, ἀλλὰ τὸν Ἐριούνιον
Ἑρμῆν χθόνιον προσεῖπε, κἀδήλου λέγων
ὁτιὴ πατρῷον τοῦτο κέκτηται γέρας.
ΕΥΡΙΠΙΔΗΣ.
ἔτι μεῖζον ἐξήμαρτες ἢ 'γὼ 'βουλόμην·
εἰ γὰρ πατρῷον τὸ χθόνιον ἔχει γέρας,
ΔΙΟΝΥΣΟΣ.
οὕτω γ' ἂν εἴη πρὸς πατρὸς τυμβωρύχος.
ΑΙΣΧΥΛΟΣ.
Διόνυσε, πίνεις οἶνον οὐκ ἀνθοσμίαν.
ΔΙΟΝΥΣΟΣ.
λέγ' ἕτερον αὐτῷ· σὺ δ' ἐπιτήρει τὸ βλάβος.
ΑΙΣΧΥΛΟΣ.
σωτὴρ γενοῦ μοι σύμμαχός τ' αἰτουμένῳ.
ἥκω γὰρ ἐς γῆν τήνδε καὶ κατέρχομαι.
ΕΥΡΙΠΙΔΗΣ.
δὶς ταυτὸν ἡμῖν εἶπεν ὁ σοφὸς Αἰσχύλος.
ΔΙΟΝΥΣΟΣ.
πῶς δίς;
ΕΥΡΙΠΙΔΗΣ.
σκόπει τὸ ῥῆμ'· ἐγὼ δέ σοι φράσω.
ἥκω γὰρ ἐς γῆν, φησί, καὶ κατέρχομαι·
ἥκω δὲ ταυτόν ἐστι τῷ κατέρχομαι.
ΔΙΟΝΥΣΟΣ.
νὴ τὸν Δί', ὥσπερ γ' εἴ τις εἴποι γείτονι,
χρῆσον σὺ μάκτραν, εἰ δὲ βούλει, κάρδοπον.
ΑΙΣΧΥΛΟΣ.
οὐ δῆτα τοῦτό γ', ὦ κατεστωμυλμένε
ἄνθρωπε, ταὔτ' ἔστ', ἀλλ' ἄριστ' ἐπῶν ἔχον.
ΔΙΟΝΥΣΟΣ.
πῶς δή; δίδαξον γάρ με καθ' ὅ τι δὴ λέγεις.
ΑΙΣΧΥΛΟΣ.
ἐλθεῖν μὲν εἰς γῆν ἔσθ' ὅτῳ μετῇ πάτρας·
χωρὶς γὰρ ἄλλης συμφορᾶς ἐλήλυθεν·
φεύγων δ' ἀνὴρ ἥκει τε καὶ κατέρχεται.
ΔΙΟΝΥΣΟΣ.
εὖ νὴ τὸν Ἀπόλλω. τί σὺ λέγεις, Εὐριπίδη;
ΕΥΡΙΠΙΔΗΣ.
οὔ φημι τὸν Ὀρέστην κατελθεῖν οἴκαδε·
λάθρα γὰρ ἦλθεν, οὐ πιθὼν τοὺς κυρίους.
ΔΙΟΝΥΣΟΣ.
εὖ νὴ τὸν Ἑρμῆν· ὅ τι λέγεις δ' οὐ μανθάνω.
ΕΥΡΙΠΙΔΗΣ.
πέραινε τοίνυν ἕτερον.
ΔΙΟΝΥΣΟΣ.
ἴθι πέραινε σύ,
Αἰσχύλ', ἀνύσας· σὺ δ' εἰς τὸ κακὸν ἀπόβιει
ΑΙΣΧΥΛΟΣ.
τύμβου δ' ἐπ' ὄχθῳ τῷδε κηρύσσω πατρὶ
κλύειν, ἀκοῦσαι.
ΕΥΡΙΠΙΔΗΣ.
τοῦθ' ἕτερον αὖθις λέγει,
κλύειν, ἀκοῦσαι, ταυτὸν ὂν σαφέστατα.
ΔΙΟΝΥΣΟΣ.
τεθνηκόσιν γὰρ ἔλεγεν, ὦ μοχθηρὲ σύ,
οἷς οὐδὲ τρὶς λέγοντες ἐξικνούμεθα.
ΑΙΣΧΥΛΟΣ.
σὺ δὲ πῶς ἐποίεις τοὺς προλόγους;
ΕΥΡΙΠΙΔΗΣ.
ἐγὼ φράσ
κἄν που δὶς εἴπω ταυτόν, ἢ στοιβὴν ἴδῃς
ἐνοῦσαν ἔξω τοῦ λόγου, κατάπτυσον.
ΔΙΟΝΥΣΟΣ.
ἴθι δὴ λέγ'· οὐ γάρ μοὔστιν ἀλλ' ἀκουστέα
τῶν σῶν προλόγων τῆς ὀρθότητος τῶν ἐπῶν.
ΕΥΡΙΠΙΔΗΣ.
ἦν Οἰδίπους τὸ πρῶτον εὐδαίμων ἀνήρ,
ΑΙΣΧΥΛΟΣ.
μὰ τὸν Δί' οὐ δῆτ', ἀλλὰ κακοδαίμων φύσει,
ὅντινά γε, πρὶν φῦναι μέν, Ἀπόλλων ἔφη
ἀποκτενεῖν τὸν πατέρα, πρὶν καὶ γεγονέναι,
πῶς οὗτος ἦν τὸ πρῶτον εὐδαίμων ἀνήρ;
ΕΥΡΙΠΙΔΗΣ.
εἶτ' ἐγένετ' αὖθις ἀθλιώτατος βροτῶν.
ΑΙΣΧΥΛΟΣ.
μὰ τὸν Δί' οὐ δῆτ', οὐ μὲν οὖν ἐπαύσατο.
πῶς γάρ; ὅτε δὴ πρῶτον μὲν αὐτὸν γενόμεν
χειμῶνος ὄντος ἐξέθεσαν ἐν ὀστράκῳ,
ἵνα μὴ 'κτραφεὶς γένοιτο τοῦ πατρὸς φονεύς·
εἶθ' ὡς Πόλυβον ἤρρησεν οἰδῶν τὼ πόδε·
ἔπειτα γραῦν ἔγημεν αὐτὸς ὢν νέος,
καὶ πρός γε τούτοις τὴν ἑαυτοῦ μητέρα·
εἶτ' ἐξετύφλωσεν αὑτόν.
ΔΙΟΝΥΣΟΣ.
εὐδαίμων ἄρ' ἦν,
εἰ κἀστρατήγησέν γε μετ' Ἐρασινίδου.
ΕΥΡΙΠΙΔΗΣ.
ληρεῖς· ἐγὼ δὲ τοὺς προλόγους καλῶς ποιῶ.
ΑΙΣΧΥΛΟΣ.
καὶ μὴν μὰ τὸν Δί' οὐ κατ' ἔπος γέ σου κνίσω
τὸ ῥῆμ' ἕκαστον, ἀλλὰ σὺν τοῖσιν θεοῖς
ἀπὸ ληκυθίου σου τοὺς προλόγους διαφθερῶ.
ΕΥΡΙΠΙΔΗΣ.
ἀπὸ ληκυθίου σὺ τοὺς ἐμούς;
ΑΙΣΧΥΛΟΣ.
ἑνὸς μόνου.
ποιεῖς γὰρ οὕτως ὥστ' ἐναρμόττειν ἅπαν,
καὶ κῳδάριον καὶ ληκύθιον καὶ θυλάκιον,
ἐν τοῖς ἰαμβείοισι. δείξω δ' αὐτίκα.
ΕΥΡΙΠΙΔΗΣ.
ἰδού, σὺ δείξεις;

ΑΙΣΧΥΛΟΣ.
φημί.
ΔΙΟΝΥΣΟΣ.
καὶ δὴ χρὴ λέγειν.
ΕΥΡΙΠΙΔΗΣ.
Αἴγυπτος, ὡς ὁ πλεῖστος ἔσπαρται λόγος,
ξὺν παισὶ πεντήκοντα ναυτίλῳ πλάτῃ
Ἄργος κατασχὼν
ΑΙΣΧΥΛΟΣ.
ληκύθιον ἀπώλεσεν.
ΕΥΡΙΠΙΔΗΣ.
τουτὶ τί ἦν τὸ ληκύθιον; οὐ κλαύσεται;
ΔΙΟΝΥΣΟΣ.
λέγ' ἕτερον αὐτῷ πρόλογον, ἵνα καὶ γνῶ πάλιν.
ΕΥΡΙΠΙΔΗΣ.
Διόνυσος, ὃς θύρσοισι καὶ νεβρῶν δοραῖς
καθαπτὸς ἐν πεύκαισι Παρνασὸν κάτα
πηδᾷ χορεύων,
ΑΙΣΧΥΛΟΣ.
ληκύθιον ἀπώλεσεν.
ΔΙΟΝΥΣΟΣ.
οἴμοι πεπλήγμεθ' αὖθις ὑπὸ τῆς ληκύθου.
ΕΥΡΙΠΙΔΗΣ.
ἀλλ' οὐδὲν ἔσται πρᾶγμα· πρὸς γὰρ τουτονὶ
τὸν πρόλογον οὐχ ἕξει προσάψαι λήκυθον.
οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ·
ἢ γὰρ πεφυκὼς ἐσθλὸς οὐκ ἔχει βίον,
ἢ δυσγενὴς ὢν
ΑΙΣΧΥΛΟΣ.
ληκύθιον ἀπώλεσεν.
ΔΙΟΝΥΣΟΣ.
Εὐριπίδη,
ΕΥΡΙΠΙΔΗΣ.
τί ἔστιν;
ΔΙΟΝΥΣΟΣ.
ὑφέσθαι μοι δοκεῖ.
τὸ ληκύθιον γὰρ τοῦτο πνευσεῖται πολύ.
ΕΥΡΙΠΙΔΗΣ.
οὐδ' ἂν μὰ τὴν Δήμητρα φροντίσαιμί γε·
νυνὶ γὰρ αὐτοῦ τοῦτό γ' ἐκκεκόψεται.
ΔΙΟΝΥΣΟΣ.
ἴθι δὴ λέγ' ἕτερον κἀπέχου τῆς ληκύθου.
ΕΥΡΙΠΙΔΗΣ.
Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπὼν
Ἀγήνορος παῖς
ΑΙΣΧΥΛΟΣ.
ληκύθιον ἀπώλεσεν.
ΔΙΟΝΥΣΟΣ.
ὦ δαιμόνι' ἀνδρῶν, ἀποπρίω τὴν λήκυθον,
ἵνα μὴ διακναίσῃ τοὺς προλόγους ἡμῶν.
ΕΥΡΙΠΙΔΗΣ.
τὸ τί;
ἐγὼ πρίωμαι τῷδ';
ΔΙΟΝΥΣΟΣ.
ἐὰν πείθῃ γ' ἐμοί.
ΕΥΡΙΠΙΔΗΣ.
οὐ δῆτ', ἐπεὶ πολλοὺς προλόγους ἕξω λέγειν
ἵν' οὗτος οὐχ ἕξει προσάψαι λήκυθον.
Πέλοψ ὁ Ταντάλειος εἰς Πῖσαν μολὼν
θοαῖσιν ἵπποις
ΑΙΣΧΥΛΟΣ.
ληκύθιον ἀπώλεσεν.
ΔΙΟΝΥΣΟΣ.
ὁρᾷς, προσῆψεν αὖθις αὖ τὴν λήκυθον.
ἀλλ', ὦγάθ', ἔτι καὶ νῦν ἀπόδου πάσῃ τέχνῃ·
λήψει γὰρ ὀβολοῦ πάνυ καλήν τε κἀγαθήν.
ΕΥΡΙΠΙΔΗΣ.
μὰ τὸν Δί' οὔπω γ'· ἔτι γὰρ εἰσί μοι συχνοί.
Οἰνεύς ποτ' ἐκ γῆς
ΑΙΣΧΥΛΟΣ.
ληκύθιον ἀπώλεσεν.
ΕΥΡΙΠΙΔΗΣ.
ἔασον εἰπεῖν πρῶθ' ὅλον με τὸν στίχον.
Οἰνεύς ποτ' ἐκ γῆς πολύμετρον λαβὼν στάχυν,
θύων ἀπαρχὰς
ΑΙΣΧΥΛΟΣ.
ληκύθιον ἀπώλεσεν.
ΔΙΟΝΥΣΟΣ.
μεταξὺ θύων; καὶ τίς αὔθ' ὑφείλετο;
ΕΥΡΙΠΙΔΗΣ.
ἔασον, ὦ τᾶν· πρὸς τοδὶ γὰρ εἰπάτω.
Ζεύς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο,
ΔΙΟΝΥΣΟΣ.
ἀπολεῖ σ'· ἐρεῖ γάρ, ληκύθιον ἀπώλεσεν.
τὸ ληκύθιον γὰρ τοῦτ' ἐπὶ τοῖς προλόγοισί σου
ὥσπερ τὰ σῦκ' ἐπὶ τοῖσιν ὀφθαλμοῖς ἔφυ.
ἀλλ' ἐς τὰ μέλη πρὸς τῶν θεῶν αὐτοῦ τραποῦ.
ΕΥΡΙΠΙΔΗΣ.
καὶ μὴν ἔχω γ' ὡς αὐτὸν ἀποδείξω κακὸν
μελοποιὸν ὄντα καὶ ποιοῦντα ταὔτ' ἀεί.
ΧΟΡΟΣ.
τί ποτε πρᾶγμα γενήσεται;
φροντίζειν γὰρ ἔγωγ' ἔχω,
τίν' ἄρα μέμψιν ἐποίσει
ἀνδρὶ τῷ πολὺ πλεῖστα δὴ
καὶ κάλλιστα μέλη ποιή-
σαντι τῶν ἔτι νυνί.
θαυμάζω γὰρ ἔγωγ' ὅπῃ
μέμψεταί ποτε τοῦτον
τὸν βακχεῖον ἄνακτα,
καὶ δέδοιχ' ὑπὲρ αὐτοῦ.
ΕΥΡΙΠΙΔΗΣ.
πάνυ γε μέλη θαυμαστά· δείξει δὴ τάχα.
εἰς ἓν γὰρ αὐτοῦ πάντα τὰ μέλη ξυντεμῶ.
ΔΙΟΝΥΣΟΣ.
καὶ μὴν λογιοῦμαι ταῦτα τῶν ψήφων λαβών.
ΕΥΡΙΠΙΔΗΣ.
Φθιῶτ' Ἀχιλεῦ, τί ποτ' ἀνδροδάϊκτον ἀκούων,
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν;
Ἑρμᾶν μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμναν.
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν.
ΔΙΟΝΥΣΟΣ.
δύο σοὶ κόπω, Αἰσχύλε, τούτω.

ΕΥΡΙΠΙΔΗΣ.

κύδιστ᾽ Ἀχαιῶν Ἀτρέως πολυκοίρανε μάνθανε παῖ.
ἰήκοπον οὐ πελάθεις ἐπ᾽ ἀρωγάν.

ΔΙΟΝΥΣΟΣ.

τρίτος, Αἰσχύλε, σοὶ κόπος οὗτος.

ΕΥΡΙΠΙΔΗΣ.

εὐφαμεῖτε μελισσονόμοι δόμον Ἀρτέμιδος πέλας οἴγειν.
ἰήκοπον οὐ πελάθεις ἐπ᾽ ἀρωγάν.
κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν.
ἰήκοπον οὐ πελάθεις ἐπ᾽ ἀρωγάν.

ΔΙΟΝΥΣΟΣ.

ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν κόπων ὅσον.
ἐγὼ μὲν οὖν εἰς τὸ βαλανεῖον βούλομαι·
ὑπὸ τῶν κόπων γὰρ τὼ νεφρὼ βουβωνιῶ.

ΕΥΡΙΠΙΔΗΣ.

μὴ, πρίν γ᾽ ἂν ἀκούσῃς χἀτέραν στάσιν μελῶν
ἐκ τῶν κιθαρῳδικῶν νόμων εἰργασμένην.

ΔΙΟΝΥΣΟΣ.

ἴθι δὴ πέραινε, καὶ κόπον μὴ προστίθει.

ΕΥΡΙΠΙΔΗΣ.

ὅπως Ἀχαιῶν δίθρονον κράτος, Ἑλλάδος ἥβας,
τοφλαττόθρατ τοφλαττόθρατ,
Σφίγγα δυσαμερίαν, πρύτανιν κύνα, πέμπει,
τοφλαττόθρατ τοφλαττόθρατ,
σὺν δορὶ καὶ χερὶ πράκτορι θούριος ὄρνις,
τοφλαττόθρατ τοφλαττόθρατ,
κυρεῖν παρασχὼν ἰταμαῖς κυσὶν ἀεροφοίτοις,
τοφλαττόθρατ τοφλαττόθρατ,
τὸ συγκλινὲς ἐπ᾽ Αἴαντι,
τοφλαττόθρατ τοφλαττόθρατ.

ΔΙΟΝΥΣΟΣ.

τί τὸ φλαττόθρατ τοῦτ᾽ ἐστίν; ἐκ Μαραθῶνος, ἢ
πόθεν συνέλεξας ἱμονιοστρόφου μέλη;

ΑΙΣΧΥΛΟΣ.

ἀλλ᾽ οὖν ἐγὼ μὲν ἐς τὸ καλὸν ἐκ τοῦ καλοῦ
ἤνεγκον αὔθ᾽, ἵνα μὴ τὸν αὐτὸν Φρυνίχῳ
λειμῶνα Μουσῶν ἱερὸν ὀφθείην δρέπων·
οὗτος δ᾽ ἀπὸ πάντων μὲν φέρει πορνιδίων,
σκολίων Μελήτου, Καρικῶν αὐλημάτων,
θρήνων, χορείων. τάχα δὲ δηλωθήσεται.
ἐνεγκάτω τις τὸ λύριον. καίτοι τί δεῖ
λύρας ἐπὶ τοῦτον; ποῦ ᾽στιν ἡ τοῖς ὀστράκοις
αὕτη κροτοῦσα; δεῦρο Μοῦσ᾽ Εὐριπίδου,
πρὸς ἥνπερ ἐπιτήδεια τάδ᾽ ἐστ᾽ ᾄδειν μέλη.

ΔΙΟΝΥΣΟΣ.

αὕτη ποθ᾽ ἡ Μοῦσ᾽ οὐκ ἐλεσβίαζεν, οὔ.

ΑΙΣΧΥΛΟΣ.

ἀλκυόνες, αἳ παρ᾽ ἀενάοις θαλάσσης
κύμασι στωμύλλετε,
τέγγουσαι νοτίαις πτερῶν
ῥανίσι χρόα δροσιζόμεναι·
αἵ θ᾽ ὑπωρόφιοι κατὰ γωνίας
εἱειειειειειλίσσετε δακτύλοις φάλαγγες
ἱστότονα πηνίσματα,
κερκίδος ἀοιδοῦ μελέτας,
ἵν᾽ ὁ φίλαυλος ἔπαλλε δελ-
φὶς πρῴραις κυανεμβόλοις
μαντεῖα καὶ σταδίους.
οἰνάνθας γάνος ἀμπέλου,
βότρυος ἕλικα παυσίπονον.
περίβαλλ᾽, ὦ τέκνον, ὠλένας.
ὁρᾷς τὸν πόδα τοῦτον; .

ΔΙΟΝΥΣΟΣ.

ὁρῶ.

ΑΙΣΧΥΛΟΣ.

τί δαί; τοῦτον ὁρᾷς;

ΔΙΟΝΥΣΟΣ.

ὁρῶ.

ΑΙΣΧΥΛΟΣ.

τοιαυτὶ μέντοι σὺ ποιῶν
τολμᾷς τἀμὰ μέλη ψέγειν,
ἀνὰ τὸ δωδεκαμήχανον
Κυρήνης μελοποιῶν;
τὰ μὲν μέλη σου ταῦτα· βούλομαι δ᾽ ἔτι
τὸν τῶν μονῳδιῶν διεξελθεῖν τρόπον.
ὦ Νυκτὸς κελαινοφαὴς
ὄρφνα, τίνα μοι
δύστανον ὄνειρον
πέμπεις ἐξ ἀφανοῦς,
Ἀΐδα πρόπολον,
ψυχὰν ἄψυχον ἔχοντα,
μελαίνας Νυκτὸς παῖδα,
φρικώδη δεινὰν ὄψιν,
μελανονεκυείμονα,
φόνια φόνια δερκόμενον,
μεγάλους ὄνυχας ἔχοντα.
ἀλλά μοι ἀμφίπολοι λύχνον ἅψατε
κάλπισί τ᾽ ἐκ ποταμῶν δρόσον ἄρατε, θέρμ
δ᾽ ὕδωρ,
ὡς ἂν θεῖον ὄνειρον ἀποκλύσω.
ἰὼ πόντιε δαῖμον,
τοῦτ᾽ ἐκεῖν᾽· ἰὼ ξύνοικοι,
τάδε τέρατα θεάσασθε.
τὸν ἀλεκτρυόνα μου συναρπάσασα
φρούδη Γλύκη.
Νύμφαι ὀρεσσίγονοι,
ὦ Μανία, ξύλλαβε.
ἐγὼ δ᾽ ἁ τάλαινα προσέχουσ᾽ ἔτυχον
ἐμαυτῆς ἔργοισι,
λίνου μεστὸν ἄτρακτον
εἱειειειειειλίσσουσα χεροῖν,
κλωστῆρα ποιοῦσ᾽, ὅπως
κνεφαῖος εἰς ἀγορὰν
φέρουσ᾽ ἀποδοίμαν·
ὁ δ᾽ ἀνέπτατ᾽ ἀνέπτατ᾽ ἐς αἰθέρα
κουφοτάταις πτερύγων ἀκμαῖς·
ἐμοὶ δ᾽ ἄχε᾽ ἄχεα κατέλιπε,
δάκρυα δάκρυά τ᾽ ἀπ᾽ ὀμμάτων
ἔβαλον ἔβαλον ἁ τλάμων.
ἀλλ᾽, ὦ Κρῆτες, Ἴδας τέκνα,
τὰ τόξα λαβόντες ἐπαμύνατε,
τὰ κῶλά τ᾽ ἀμπάλλετε, κυ-
κλούμενοι τὴν οἰκίαν.
ἅμα δὲ Δίκτυννα παῖς
Ἄρτεμις καλὰ
τὰς κυνίσκας ἔχουσ᾽ ἐλθέτω

διὰ δόμων πανταχῇ.
σὺ δ', ὦ Διὸς, διπύρους ἀνέχουσα
λαμπάδας ὀξυτάταιν χει-
ροῖν, Ἑκάτα, παράφηνον
ἐς Γλύκης, ὅπως ἂν
εἰσελθοῦσα φωράσω.

ΔΙΟΝΥΣΟΣ.

παύσασθον ἤδη τῶν μελῶν.

ΑΙΣΧΥΛΟΣ.

κἄμοιγ' ἅλις.
ἐπὶ τὸν σταθμὸν γὰρ αὐτὸν ἀγαγεῖν βούλομαι,
ὅσπερ γ' ἐλέγξει τὴν ποίησιν νῷν μόνος·
τὸ γὰρ βάρος νῷν βασανιεῖ τῶν ῥημάτων.

ΔΙΟΝΥΣΟΣ.

ἴτε δεῦρό νυν, εἴπερ γε δεῖ καὶ τοῦτό με
ἀνδρῶν ποιητῶν τυροπωλῆσαι τέχνην.

ΧΟΡΟΣ.

ἐπίπονοί γ' οἱ δεξιοί.
τόδε γὰρ ἕτερον αὖ τέρας
νεοχμὸν, ἀτοπίας πλέων,
ὃ τίς ἂν ἐπενόησεν ἄλλος;
μὰ τὸν, ἐγὼ μὲν οὐδ' ἂν εἴ τις
ἔλεγέ μοι τῶν ἐπιτυχόντων,
ἐπιθόμην, ἀλλ' ᾠόμην ἂν
αὐτὸν αὐτὰ ληρεῖν.

ΔΙΟΝΥΣΟΣ.

ἴθι νυν παρίστασθον παρὰ τὼ πλάστιγγ',

ΑΙΣΧΥΛΟΣ καὶ ΕΥΡΙΠΙΔΗΣ.

ἰδού·

ΔΙΟΝΥΣΟΣ.

καὶ λαβομένω τὸ ῥῆμ' ἑκάτερος εἴπατον,
καὶ μὴ μεθῆσθον, πρὶν ἂν ἐγὼ σφῷν κοκκύσω.

ΑΙΣΧΥΛΟΣ καὶ ΕΥΡΙΠΙΔΗΣ.

ἐχόμεθα.

ΔΙΟΝΥΣΟΣ.

τοὔπος νῦν λέγετον εἰς τὸν σταθμόν.

ΕΥΡΙΠΙΔΗΣ.

εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος.

ΑΙΣΧΥΛΟΣ.

Σπερχειὲ ποταμὲ βουνόμοι τ' ἐπιστροφαί.

ΔΙΟΝΥΣΟΣ.

κόκκυ, μεθεῖτε· καὶ πολύ γε κατωτέρω
χωρεῖ τὸ τοῦδε.

ΕΥΡΙΠΙΔΗΣ.

καὶ τί ποτ' ἐστὶ ταἴτιον;

ΔΙΟΝΥΣΟΣ.

ὅτι εἰσέθηκε ποταμὸν, ἐριοπωλικῶς
ὑγρὸν ποιήσας τοὔπος ὥσπερ τἄρια,
σὺ δ' εἰσέθηκας τοὔπος ἐπτερωμένον.

ΕΥΡΙΠΙΔΗΣ.

ἀλλ' ἕτερον εἰπάτω τι κἀντιστησάτω.

ΔΙΟΝΥΣΟΣ.

λάβεσθε τοίνυν αὖθις.

ΑΙΣΧΥΛΟΣ καὶ ΕΥΡΙΠΙΔΗΣ.

ἦν' ἰδού.

ΔΙΟΝΥΣΟΣ.

λέγε.

ΕΥΡΙΠΙΔΗΣ.

οὐκ ἔστι Πειθοῦς ἱρὸν ἄλλο πλὴν λόγος.

ΑΙΣΧΥΛΟΣ.

μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ.

ΔΙΟΝΥΣΟΣ.

μεθεῖτε μεθεῖτε· καὶ τὸ τοῦδέ γ' αὖ ῥέπει·
θάνατον γὰρ εἰσέθηκε βαρύτατον κακῶν.

ΕΥΡΙΠΙΔΗΣ.

ἐγὼ δὲ πειθώ γ', ἔπος ἄριστ' εἰρημένον.

ΔΙΟΝΥΣΟΣ.

πειθὼ δὲ κοῦφόν ἐστι καὶ νοῦν οὐκ ἔχον.
ἀλλ' ἕτερον αὖ ζήτει τι τῶν βαρυσιάθμων,
ὅ τι σοι καθέλξει, καρτερόν τε καὶ μέγα.

ΕΥΡΙΠΙΔΗΣ.

φέρε ποῦ τοιοῦτο δῆτά μοὐστί; ποῦ;

ΔΙΟΝΥΣΟΣ.

φράσω·
βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα.
λέγοιτ' ἄν, ὡς αὕτη 'στὶ λοιπὴ σφῷν στάσις.

ΕΥΡΙΠΙΔΗΣ.

σιδηροβριθές τ' ἔλαβε δεξιᾷ ξύλον.

ΑΙΣΧΥΛΟΣ.

ἐφ' ἅρματος γὰρ ἅρμα καὶ νεκρῷ νεκρός.

ΔΙΟΝΥΣΟΣ.

ἐξηπάτηκεν αὖ σὲ καὶ νῦν.

ΕΥΡΙΠΙΔΗΣ.

τῷ τρόπῳ;

ΔΙΟΝΥΣΟΣ.

δύ' ἅρματ' εἰσήνεγκε καὶ νεκρὼ δύο,
οὓς οὐκ ἂν ἄραιντ' οὐδ' ἑκατὸν Αἰγύπτιοι.

ΑΙΣΧΥΛΟΣ.

καὶ μηκέτ' ἔμοιγε κατ' ἔπος, ἀλλ' ἐς τὸν σταθμὸν
αὐτὸς, τὰ παιδί', ἡ γυνὴ, Κηφισοφῶν,
ἐμβὰς καθήσθω συλλαβὼν τὰ βιβλία·
ἐγὼ δὲ δύ' ἔπη τῶν ἐμῶν ἐρῶ μόνα.

ΔΙΟΝΥΣΟΣ.

ἄνδρες σοφοὶ, κἀγὼ μὲν αὐτοὺς οὐ κρινῶ.
οὐ γὰρ δι' ἔχθρας οὐδετέρῳ γενήσομαι.
τὸν μὲν γὰρ ἡγοῦμαι σοφὸν, τῷ δ' ἥδομαι.

ΠΛΟΥΤΩΝ.

οὐδὲν ἄρα πράξεις ὧνπερ ἦλθες οὕνεκα;

ΔΙΟΝΥΣΟΣ.

ἐὰν δὲ κρίνω;

ΠΛΟΥΤΩΝ.

τὸν ἕτερον λαβὼν ἄπει,
ὁπότερον ἂν κρίνῃς, ἵν' ἔλθῃς μὴ μάτην.

ΔΙΟΝΥΣΟΣ.

εὐδαιμονοίης. φέρε, πύθεσθέ μου ταδί.
ἐγὼ κατῆλθον ἐπὶ ποιητήν.

ΕΥΡΙΠΙΔΗΣ.

τοῦ χάριν;

ΔΙΟΝΥΣΟΣ.

ἵν' ἡ πόλις σωθεῖσα τοὺς χοροὺς ἄγῃ.
ὁπότερος οὖν ἂν τῇ πόλει παραινέσειν
μέλλῃ τι χρηστὸν, τοῦτον ἄξειν μοι δοκῶ.
πρῶτον μὲν οὖν περὶ Ἀλκιβιάδου τίν' ἔχετον
γνώμην ἑκάτερος; ἡ πόλις γὰρ δυστοκεῖ.

ΕΥΡΙΠΙΔΗΣ.

ἔχει δὲ περὶ αὐτοῦ τίνα γνώμην;

ΔΙΟΝΥΣΟΣ.

τίνα;

1370 — 1377. = 1482 — 1490. = 1491 — 1499.

ποθεῖ μὲν, ἐχθαίρει δὲ, βούλεται δ' ἔχειν.
ἀλλ' ὅ τι νοεῖτον, εἴπατον τούτου πέρι.

ΕΥΡΙΠΙΔΗΣ.

μισῶ πολίτην, ὅστις ὠφελεῖν πάτραν
βραδὺς φανεῖται, μεγάλα δὲ βλάπτειν ταχὺς,
καὶ πόριμον αὑτῷ, τῇ πόλει δ' ἀμήχανον.

ΔΙΟΝΥΣΟΣ.

εὖ γ', ὦ Πόσειδον· σὺ δὲ τίνα γνώμην ἔχεις;

ΑΙΣΧΥΛΟΣ.

[οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν.]
μάλιστα μὲν λέοντα μὴ 'ν πόλει τρέφειν,
ἢν δ' ἐκτρέφῃ τις, τοῖς τρόποις ὑπηρετεῖν.

ΔΙΟΝΥΣΟΣ.

νὴ τὸν Δία τὸν σωτῆρα, δυσκρίτως γ' ἔχω·
ὁ μὲν σοφῶς γὰρ εἶπεν, ὁ δ' ἕτερος σαφῶς.
ἀλλ' ἔτι μίαν γνώμην ἑκάτερος εἴπατον
περὶ τῆς πόλεως ἥντιν' ἔχετον σωτηρίαν.

ΕΥΡΙΠΙΔΗΣ.

[εἴ τις πτερώσας Κλεόκριτον Κινησίᾳ,
αἴροιεν αὖραι πελαγίαν ὑπὲρ πλάκα.

ΔΙΟΝΥΣΟΣ.

γέλοιον ἂν φαίνοιτο· νοῦν δ' ἔχει τίνα;

ΕΥΡΙΠΙΔΗΣ.

εἰ ναυμαχοῖεν, κᾆτ' ἔχοντες ὀξίδας
ῥαίνοιεν ἐς τὰ βλέφαρα τῶν ἐναντίων.]
ἐγὼ μὲν οἶδα, καὶ θέλω φράζειν.

ΔΙΟΝΥΣΟΣ.

λέγε.

ΕΥΡΙΠΙΔΗΣ.

ὅταν τὰ νῦν ἄπιστα πίσθ' ἡγώμεθα,
τὰ δ' ὄντα πίστ' ἄπιστα.

ΔΙΟΝΥΣΟΣ.

πῶς; οὐ μανθάνω.
ἀμαθέστερόν πως εἰπὲ καὶ σαφέστερον.

ΕΥΡΙΠΙΔΗΣ.

εἰ τῶν πολιτῶν οἷσι νῦν πιστεύομεν,
τούτοις ἀπιστήσαιμεν, οἷς δ' οὐ χρώμεθα,
τούτοισι χρησαίμεσθα, σωθείημεν ἄν.
[εἰ νῦν γε δυστυχοῦμεν ἐν τούτοισι, πῶς
τἀναντία πράξαντες οὐ σωζοίμεθ' ἄν;

ΔΙΟΝΥΣΟΣ.

εὖ γ', ὦ Παλάμηδες, ὦ σοφωτάτη φύσις.
ταυτὶ πότερ' αὐτὸς εὗρες ἢ Κηφισοφῶν;

ΕΥΡΙΠΙΔΗΣ.

ἐγὼ μόνος· τὰς δ' ὀξίδας Κηφισοφῶν.]

ΔΙΟΝΥΣΟΣ.

τί δαὶ λέγεις σύ;

ΑΙΣΧΥΛΟΣ.

τὴν πόλιν νῦν μοι φράσον
πρῶτον, τίσι χρῆται· πότερα τοῖς χρηστοῖς;

ΔΙΟΝΥΣΟΣ.

πόθεν;
μισεῖ κάκιστα.

ΑΙΣΧΥΛΟΣ.

τοῖς πονηροῖς δ' ἥδεται;

ΔΙΟΝΥΣΟΣ.

οὐ δῆτ' ἐκείνη γ', ἀλλὰ χρῆται πρὸς βίαν.

ΑΙΣΧΥΛΟΣ.

πῶς οὖν τις ἂν σώσειε τοιαύτην πόλιν,
ᾗ μήτε χλαῖνα μήτε σισύρα συμφέρει;

ΔΙΟΝΥΣΟΣ.

εὕρισκε νὴ Δί', εἴπερ ἀναδύσει πάλιν.

ΑΙΣΧΥΛΟΣ.

ἐκεῖ φράσαιμ' ἄν· ἐνθαδὶ δ' οὐ βούλομαι.

ΔΙΟΝΥΣΟΣ.

μὴ δῆτα σύ γ', ἀλλ' ἐνθένδ' ἀνίει τἀγαθά.

ΑΙΣΧΥΛΟΣ.

τὴν γῆν ὅταν νομίσωσι τὴν τῶν πολεμίων
εἶναι σφετέραν, τὴν δὲ σφετέραν τῶν πολεμίων,
πόρον δὲ τὰς ναῦς, ἀπορίαν δὲ τὸν πόρον.

ΔΙΟΝΥΣΟΣ.

εὖ, πλήν γ' ὁ δικαστὴς αὐτὰ καταπίνει μόνος.

ΠΛΟΥΤΩΝ.

κρίνοις ἄν.

ΔΙΟΝΥΣΟΣ.

αὕτη σφῷν κρίσις γενήσεται.
αἱρήσομαι γὰρ ὅνπερ ἡ ψυχὴ θέλει.

ΕΥΡΙΠΙΔΗΣ.

μεμνημένος νυν τῶν θεῶν, οὓς ὤμοσας,
ἦ μὴν ἀπάξειν μ' οἴκαδ', αἱροῦ τοὺς φίλους.

ΔΙΟΝΥΣΟΣ.

ἡ γλῶττ' ὀμώμοκ', Αἰσχύλον δ' αἱρήσομαι.

ΕΥΡΙΠΙΔΗΣ.

τί δέδρακας, ὦ μιαρώτατ' ἀνθρώπων;

ΔΙΟΝΥΣΟΣ.

ἐγώ;
ἔκρινα νικᾶν Αἰσχύλον. τιὴ γὰρ οὔ;

ΕΥΡΙΠΙΔΗΣ.

αἴσχιστον ἔργον προσβλέπεις μ' εἰργασμένος;

ΔΙΟΝΥΣΟΣ.

τί δ' αἰσχρὸν, ἢν μὴ τοῖς θεωμένοις δοκῇ;

ΕΥΡΙΠΙΔΗΣ.

ὦ σχέτλιε, περιόψει με δὴ τεθνηκότα;

ΔΙΟΝΥΣΟΣ.

τίς οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
τὸ πνεῖν δὲ δειπνεῖν, τὸ δὲ καθεύδειν κῴδιον;

ΠΛΟΥΤΩΝ.

χωρεῖτε τοίνυν, ὦ Διόνυσ', εἴσω.

ΔΙΟΝΥΣΟΣ.

τί δαί;

ΠΛΟΥΤΩΝ.

ἵνα ξενίσω σφὼ πρὶν ἀποπλεῖν.

ΔΙΟΝΥΣΟΣ.

εὖ τοι λέγεις
νὴ τὸν Δί'· οὐ γὰρ ἄχθομαι τῷ πράγματι.

ΧΟΡΟΣ.

μακάριός γ' ἀνὴρ ἔχων
ξύνεσιν ἠκριβωμένην.
πάρα δὲ πολλοῖσιν μαθεῖν.
ὅδε γὰρ εὖ φρονεῖν δοκήσας
πάλιν ἄπεισιν οἴκαδ' αὖ,
ἐπ' ἀγαθῷ μὲν τοῖς πολίταις,
ἐπ' ἀγαθῷ δὲ τοῖς ἑαυτοῦ
ξυγγενέσι τε καὶ φίλοισι,
διὰ τὸ συνετὸς εἶναι.
χαρίεν οὖν μὴ Σωκράτει
παρακαθήμενον λαλεῖν,
ἀποβαλόντα μουσικὴν,
τά τε μέγιστα παραλιπόντα
τῆς τραγῳδικῆς τέχνης.

τὸ δ' ἐπὶ σεμνοῖσιν λόγοισι
καὶ σκαριφισμοῖσι λήρων
διατριβὴν ἀργὸν ποιεῖσθαι,
παραφρονοῦντος ἀνδρός.

ΠΛΟΥΤΩΝ.

ἄγε δὴ χαίρων, Αἰσχύλε, χώρει,
καὶ σῶζε πόλιν τὴν ἡμετέραν
γνώμαις ἀγαθαῖς, καὶ παίδευσον
τοὺς ἀνοήτους· πολλοὶ δ' εἰσίν·
καὶ δὸς τουτὶ Κλεοφῶντι φέρων,
καὶ τουτὶ τοῖσι πορισταῖς,
Μύρμηκί θ' ὁμοῦ καὶ Νικομάχῳ·
τόδε δ' Ἀρχενόμῳ·
καὶ φράζ' αὐτοῖς ταχέως ἥκειν
ὡς ἐμὲ δευρὶ καὶ μὴ μέλλειν·
κἂν μὴ ταχέως ἥκωσιν, ἐγὼ
νὴ τὸν Ἀπόλλω στίξας αὐτοὺς
καὶ συμποδίσας
μετ' Ἀδειμάντου τοῦ Λευκολόφου
κατὰ γῆς ταχέως ἀποπέμψω.

ΑΙΣΧΥΛΟΣ.

ταῦτα ποιήσω· σὺ δὲ τὸν θᾶκον
τὸν ἐμὸν παράδος Σοφοκλεῖ τηρεῖν,
κἀμοὶ σώζειν, ἢν ἄρ' ἐγώ ποτε
δεῦρ' ἀφίκωμαι. τοῦτον γὰρ ἐγὼ
σοφίᾳ κρίνω δεύτερον εἶναι.
μέμνησο δ', ὅπως ὁ πανοῦργος ἀνὴρ
καὶ ψευδολόγος καὶ βωμολόχος
μηδέποτ' εἰς τὸν θᾶκον τὸν ἐμὸν
μηδ' ἄκων ἐγκαθεδεῖται.

ΠΛΟΥΤΩΝ.

φαίνετε τοίνυν ὑμεῖς τούτῳ
λαμπάδας ἱερὰς, χἄμα προπέμπετε
τοῖσιν τούτου τοῦτον μέλεσιν
καὶ μολπαῖσιν κελαδοῦντες.

ΧΟΡΟΣ.

πρῶτα μὲν εὐοδίαν ἀγαθὴν ἀπιόντι ποιητῇ
ἐς φάος ὀρνυμένῳ δότε, δαίμονες οἱ κατὰ γαίας,
τῇ τε πόλει μεγάλων ἀγαθῶν ἀγαθὰς ἐπινοίας.
πάγχυ γὰρ ἐκ μεγάλων ἀχέων παυσαίμεθ' ἂν οὕτως
ἀργαλέων τ' ἐν ὅπλοις ξυνόδων. Κλεοφῶν δὲ μαχέσθω
κἄλλος ὁ βουλόμενος τούτων πατρίοις ἐν ἀρούραις.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΕΚΚΛΗΣΙΑΖΟΥΣΑΙ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΠΡΑΞΑΓΟΡΑ.*
*ΓΥΝΑΙΚΕΣ ΤΙΝΕΣ.*
*ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.*
*ΒΛΕΠΥΡΟΣ.*
*ΑΝΗΡ ΤΙΣ.*
*ΧΡΕΜΗΣ.*
*Ο ΚΑΤΑΘΕΙΣ.*
*Ο ΜΗ ΚΑΤΑΘΕΙΣ.*
*ΚΗΡΥΞ.*
*ΓΡΑΕΣ ΤΙΝΕΣ.*
*ΝΕΑΝΙΣ.*
*ΝΕΑΝΙΑΣ.*
*ΘΕΡΑΠΑΙΝΑ.*
*ΔΕΣΠΟΤΗΣ.*

## *ΥΠΟΘΕΣΙΣ.*

*Αἱ γυναῖκες συνέθεντο πάντα μηχανήσασθαι εἰς τὸ δόξαι ἄνδρες εἶναι καὶ ἐκκλησιάσασαι πεῖσαι πα- δοῦναι σφίσι τὴν πόλιν, δημηγορησάσης μιᾶς ἐξ αὐτῶν. αἱ δὲ μηχαναὶ τοῦ δόξαι αὐτὰς ἄνδρας εἶν τοιαῦται. πώγωνας περιθέτους ποιοῦνται καὶ ἀνδρείαν ἀναλαμβάνουσι στολὴν, προνοήσασαι καὶ προσασκή- σασαι τὸ σῶμα αὐτῶν, ὡς ὅτι μάλιστα ἀνδρικὸν εἶναι δόξαι. μία δὴ ἐξ αὐτῶν Πραξαγόρα λύχνον ἔχουσα προέρχεται κατὰ τὰς συνθήκας καὶ φησὶν, ὦ λαμπρὸν ὄμμα.*

## ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.

*Ἐν τοῖς Σκίροις τὰ γύναι' ἔκρινεν ἐν στολαῖς*
*ἀνέρων προκαθίζοντα, γενομένης ἐκκλησίας,*
*περιθέμεναι πώγωνας ἀλλοτρίων τριχῶν.*
*ἐποίησαν οὕτως. ὑστεροῦντες οὖν στολαῖς*
*ἄνδρες γυναικῶν ἐκάθισαν· καὶ δὴ μία*
*δημηγορεῖ περὶ τοῦ λαβούσας τῶν ὅλων*
*τὴν ἐπιτροπὴν βέλτιον ἄρξειν μυρίῳ·*
*ἐκέλευσέ τ' εἰς τὸ κοινὸν εἰσφέρειν ὅλα*
*τα χρήματ' ἄνδρας· ὡς κεκρίσθαι τοῖς νόμοις.*

# ΕΚΚΛΗΣΙΑΖΟΥΣΑΙ.

ΠΡΑΞΑΓΟΡΑ.

Ὦ λαμπρὸν ὄμμα τοῦ τροχηλάτου λύχνου
κάλλιστ' ἐν εὐσκόποισιν ἐξηρτημένον,
γονάς τε γὰρ σὰς καὶ τύχας δηλώσομεν·
τροχῷ γὰρ ἐλαθεὶς κεραμικῆς ῥύμης ἄπο
μυκτῆρσι λαμπρὰς ἡλίου τιμὰς ἔχεις·
ὅρμα φλογὸς σημεῖα τὰ ξυγκείμενα.
σοὶ γὰρ μόνῳ δηλοῦμεν, εἰκότως, ἐπεὶ
κἀν τοῖσι δωματίοισιν Ἀφροδίτης τρόπων
πειρωμέναισι πλησίον παραστατεῖς,
λορδουμένων τε σωμάτων ἐπιστάτην
ὀφθαλμὸν οὐδεὶς τὸν σὸν ἐξείργει δόμων.
μόνος δὲ μηρῶν εἰς ἀπορρήτους μυχοὺς
λάμπεις, ἀφεύων τὴν ἐπανθοῦσαν τρίχα·
στοάς τε καρποῦ βακχίου τε νάματος
πλήρεις ὑποιγνύσαισι συμπαραστατεῖς·
καὶ ταῦτα συνδρῶν οὐ λαλεῖς τοῖς πλησίον.
ἀνθ' ὧν συνείσει καὶ τὰ νῦν βουλεύματα,
ὅσα Σκίροις ἔδοξε ταῖς ἐμαῖς φίλαις.
ἀλλ' οὐδεμία πάρεστιν ἃς ἥκειν ἐχρῆν.
καίτοι πρὸς ὄρθρον γ' ἐστίν· ἡ δ' ἐκκλησία
αὐτίκα μάλ' ἔσται· καταλαβεῖν δ' ἡμᾶς ἕδρας,
ἃς Φυρόμαχός ποτ' εἶπεν, εἰ μέμνησθ' ἔτι,
δεῖ τὰς ἑτέρας πως κἀγκαθεζομένας λαθεῖν.
τί δῆτ' ἂν εἴη; πότερον οὐκ ἐρραμμένους
ἔχουσι τοὺς πώγωνας, οὓς εἴρητ' ἔχειν;
ἢ θαἰμάτια τἀνδρεῖα κλεψάσαις λαβεῖν
ἦν χαλεπὸν αὐταῖς; ἀλλ' ὁρῶ τονδὶ λύχνον
προσιόντα. φέρε νυν ἐπαναχωρήσω πάλιν,
μὴ καί τις ὢν ἀνὴρ ὁ προσιὼν τυγχάνῃ.

ΓΥΝΗ Α.

ὥρα βαδίζειν, ὡς ὁ κῆρυξ ἀρτίως
ἡμῶν προσιόντων δεύτερον κεκόκκυκεν.

ΠΡΑΞΑΓΟΡΑ.

ἐγὼ δέ γ' ὑμᾶς προσδοκῶσ' ἐγρηγόρη
τὴν νύκτα πᾶσαν. ἀλλὰ φέρε, τὴν γείτονα
τήνδ' ἐκκαλέσωμαι, τρυγονῶσα τὴν θύραν.
δεῖ γὰρ τὸν ἄνδρ' αὐτῆς λαθεῖν.

ΓΥΝΗ Β.

ἤκουσά τοι
ὑποδουμένη τὸ κνῦμά σου τῶν δακτύλων,
ἅτ' οὐ καταδαρθοῦσ'. ὁ γὰρ ἀνήρ, ὦ φιλτάτη,
Σαλαμίνιος γάρ ἐστιν ᾧ ξύνειμ' ἐγώ,
τὴν νύχθ' ὅλην ἤλαυνέ μ' ἐν τοῖς στρώμασιν,
ὥστ' ἄρτι τουτὶ θοἰμάτιον αὐτοῦ λαβεῖν.

ΓΥΝΗ Α.

καὶ μὴν ὁρῶ καὶ Κλειναρέτην καὶ Σωστράτην
παριοῦσαν ἤδη τήνδε καὶ Φιλαινέτην.

ΠΡΑΞΑΓΟΡΑ.

οὔκουν ἐπείξεσθ'; ὡς Γλύκη κατώμοσεν
τὴν ὑστάτην ἥκουσαν οἴνου τρεῖς χόας
ἡμῶν ἀποτίσειν κἀρεβίνθων χοίνικα.

ΓΥΝΗ Α.

τὴν Σμικυθίωνος δ' οὐχ ὁρᾷς Μελιστίχην
σπεύδουσαν ἐν ταῖς ἐμβάσιν; καί μοι δοκεῖ
κατὰ σχολὴν παρὰ τἀνδρὸς ἐξελθεῖν μόνη.

ΓΥΝΗ Β.

τὴν τοῦ καπήλου δ' οὐχ ὁρᾷς Γευσιστράτην,
ἔχουσαν ἐν τῇ δεξιᾷ τὴν λαμπάδα,
καὶ τὴν Φιλοδωρήτου τε καὶ Χαιρητάδου;

ΠΡΑΞΑΓΟΡΑ.

ὁρῶ προσιούσας χἀτέρας πολλὰς πάνυ
γυναῖκας, ὅ τι πέρ ἐστ' ὄφελος ἐν τῇ πόλει.

ΓΥΝΗ Γ.

καὶ πάνυ ταλαιπώρως ἔγωγ', ὦ φιλτάτη,
ἐκδρᾶσα παρέδυν. ὁ γὰρ ἀνὴρ τὴν νύχθ' ὅλην
ἔβηττε, τριχίδων ἑσπέρας ἐμπλήμενος.

ΠΡΑΞΑΓΟΡΑ.

κάθησθε τοίνυν, ὡς ἂν ἀνέρωμαι τάδε
ὑμᾶς, ἐπειδὴ συλλελεγμένας ὁρῶ,
ὅσα Σκίροις ἔδοξεν εἰ δεδράκατε.

ΓΥΝΗ Α.

ἔγωγε. πρῶτον μέν γ' ἔχω τὰς μασχάλας
λόχμης δασυτέρας, καθάπερ ἦν ξυγκείμενον·
ἔπειθ' ὁπόθ' ἁνὴρ εἰς ἀγορὰν οἴχοιτό μου,
ἀλειψαμένη τὸ σῶμ' ὅλον δι' ἡμέρας
ἐχλιαινόμην ἑστῶσα πρὸς τὸν ἥλιον.

ΓΥΝΗ Ε.

κἄγωγε· τὸ ξυρὸν δέ γ' ἐκ τῆς οἰκίας
ἔρριψα πρῶτον, ἵνα δασυνθείην ὅλη
καὶ μηδὲν εἴην ἔτι γυναικὶ προσφερής.

ΠΡΑΞΑΓΟΡΑ.

ἔχετε δὲ τοὺς πώγωνας, οὓς εἴρητ' ἔχειν
πάσαισιν ἡμῖν, ὁπότε συλλεγοίμεθα;

ΓΥΝΗ Α.

νὴ τὴν Ἑκάτην, καλόν γ' ἔγωγε τουτονί.

ΓΥΝΗ Ε.

κἄγωγ' Ἐπικράτους οὐκ ὀλίγῳ καλλίονα.

ΠΡΑΞΑΓΟΡΑ.

ὑμεῖς δὲ τί φατέ;

ΓΥΝΗ Α.

φασί· κατανεύουσι γάρ.

ΠΡΑΞΑΓΟΡΑ.

καὶ μὴν τά γ' ἄλλ' ὑμῖν ὁρῶ πεπραγμένα.
Λακωνικὰς γὰρ ἔχετε καὶ βακτηρίας
καὶ θαἰμάτια τἀνδρεῖα, καθάπερ εἴπομεν.

ΓΥΝΗ Ζ.

ἔγωγέ τοι τὸ σκύταλον ἐξηνεγκάμην
τὸ τοῦ Λαμίου τουτὶ καθεύδοντος λάθρα.

ΠΡΑΞΑΓΟΡΑ.

τοῦτ' ἔστ' ἐκεῖνο τῶν σκυτάλων ὧν πέρδεται.

ΓΥΝΗ Ζ.
νὴ τὸν Δία τὸν σωτῆρ' ἐπιτήδειός γ' ἂν ἦν
τὴν τοῦ Πανόπτου διφθέραν ἐνημμένος
εἴπερ τις ἄλλος βουκολεῖν τὸν δήμιον.
ΠΡΑΞΑΓΟΡΑ.
ἀλλ' ἄγεθ' ὅπως καὶ τἀπὶ τούτοις δράσομεν,
ἕως ἔτ' ἐστὶν ἄστρα κατὰ τὸν οὐρανόν·
ἡκκλησία δ', εἰς ἣν παρεσκευάσμεθα
ἡμεῖς βαδίζειν, ἐξ ἕω γενήσεται.
ΓΥΝΗ Α.
νὴ τὸν Δί', ὥστε δεῖ σε καταλαβεῖν ἕδρας
ὑπὸ τῷ λίθῳ τῶν πρυτάνεων καταντικρύ.
ΓΥΝΗ Η.
ταυτί γέ τοι νὴ τὸν Δί' ἐφερόμην, ἵνα
πληρουμένης ξαίνοιμι τῆς ἐκκλησίας.
ΠΡΑΞΑΓΟΡΑ.
πληρουμένης, τάλαινα;
ΓΥΝΗ Η.
νὴ τὴν Ἄρτεμιν,
ἔγωγε. τί γὰρ ἂν χεῖρον ἀκροῴμην ἄρα
ξαίνουσα; γυμνὰ δ' ἐστί μου τὰ παιδία.
ΠΡΑΞΑΓΟΡΑ.
ἰδού γέ σε ξαίνουσαν, ἣν τοῦ σώματος
οὐδὲν παραφῆναι τοῖς καθημένοις ἔδει.
οὐκοῦν καλά γ' ἂν πάθοιμεν, εἰ πλήρης τύχοι
ὁ δῆμος ὤν, κἄπειθ' ὑπερβαίνουσά τις
ἀναβαλλομένη δείξειε τὸν Φορμίσιον.
ἢν δ' ἐγκαθεζώμεσθα πρότεραι, λήσομεν
ξυστειλάμεναι θαἰμάτια· τὸν πώγωνά τε
ὅταν καθῶμεν, ὃν περιδησόμεσθ' ἐκεῖ,
τίς οὐκ ἂν ἡμᾶς ἄνδρας ἡγήσαιθ' ὁρῶν;
Ἀγύρριος γοῦν τὸν Προνόμου πώγων' ἔχων
λέληθε· καίτοι πρότερον ἦν οὗτος γυνή·
νυνὶ δ', ὁρᾷς, πράττει τὰ μέγιστ' ἐν τῇ πόλει.
τούτου γέ τοι νὴ τὴν ἐπιοῦσαν ἡμέραν
τόλμημα τολμῶμεν τοσοῦτον οὕνεκα,
ἤν πως παραλαβεῖν τῆς πόλεως τὰ πράγματα
δυνώμεθ', ὥστ' ἀγαθόν τι πρᾶξαι τὴν πόλιν·
νῦν μὲν γὰρ οὔτε θέομεν οὔτ' ἐλαύνομεν.
ΓΥΝΗ Η.
καὶ πῶς γυναικῶν θηλύφρων ξυνουσία
δημηγορήσει;
ΠΡΑΞΑΓΟΡΑ.
πολὺ μὲν οὖν ἄριστά που.
λέγουσι γὰρ καὶ τῶν νεανίσκων ὅσοι
πλεῖστα σποδοῦνται, δεινοτάτους εἶναι λέγειν·
ἡμῖν δ' ὑπάρχει τοῦτο κατὰ τύχην τινά.
ΓΥΝΗ Η.
οὐκ οἶδα· δεινὸν δ' ἐστὶν ἡ μὴ 'μπειρία.
ΠΡΑΞΑΓΟΡΑ.
οὐκοῦν ἐπίτηδες ξυνελέγημεν ἐνθάδε,
ὅπως προμελετήσαιμεν ἁκεῖ δεῖ λέγειν.
οὐκ ἂν φθάνοις τὸ γένειον ἂν περιδουμένη,
ἄλλαι θ' ὅσαι λαλεῖν μεμελετήκασί που;
ΓΥΝΗ Θ.
τίς δ', ὦ μέλ', ἡμῶν οὐ λαλεῖν ἐπίσταται;
ΠΡΑΞΑΓΟΡΑ.
ἴθι δὴ σὺ περιδοῦ καὶ ταχέως ἀνὴρ γενοῦ·
ἐγὼ δὲ θεῖσα τοὺς στεφάνους περιδήσομαι
χαὐτὴ μεθ' ὑμῶν, ἤν τί μοι δόξῃ λέγειν.
ΓΥΝΗ Β.
δεῦρ', ὦ γλυκυτάτη Πραξαγόρα, σκέψαι, τάλα
ὡς καὶ καταγέλαστον τὸ πρᾶγμα φαίνεται.
ΠΡΑΞΑΓΟΡΑ.
πῶς καταγέλαστον;
ΓΥΝΗ Β.
ὥσπερ εἴ τις σηπίαις
πώγωνα περιδήσειεν ἐσταθευμέναις.
ΠΡΑΞΑΓΟΡΑ.
ὁ περιστίαρχος, περιφέρειν χρὴ τὴν γαλῆν,
πάριθ' ἐς τὸ πρόσθεν. Ἀρίφραδες, παῖσαι κα
λῶν.
χάθιζε παριών. τίς ἀγορεύειν βούλεται;
ΓΥΝΗ Θ.
ἐγώ.
ΠΡΑΞΑΓΟΡΑ.
περίθου δὴ τὸν στέφανον τύχἀγαθῇ.
ΓΥΝΗ Θ.
ἰδού.
ΠΡΑΞΑΓΟΡΑ.
λέγοις ἄν.
ΓΥΝΗ Θ.
εἶτα πρὶν πιεῖν λέγω;
ΠΡΑΞΑΓΟΡΑ.
ἰδοὺ πιεῖν.
ΓΥΝΗ Θ.
τί γάρ, ὦ μέλ', ἐστεφανωσάμην;
ΠΡΑΞΑΓΟΡΑ.
ἄπιθ' ἐκποδών· τοιαῦτ' ἂν ἡμᾶς εἰργάσω
χἀκεῖ.
ΓΥΝΗ Θ.
τί δ'; οὐ πίνουσι κἀν τἠκκλησίᾳ;
ΠΡΑΞΑΓΟΡΑ.
ἰδού γέ σοι πίνουσι.
ΓΥΝΗ Θ.
νὴ τὴν Ἄρτεμιν,
καὶ ταῦτά γ' εὔζωρον. τὰ γοῦν βουλεύματα
αὐτῶν ὅσ' ἂν πράξωσιν ἐνθυμουμένοις
ὥσπερ μεθυόντων ἐστὶ παραπεπληγμένα.
καὶ νὴ Δία σπένδουσί γ'· ἢ τίνος χάριν
τοσαῦτά γ' εὔχοντ', εἴπερ οἶνος μὴ παρῆν;
καὶ λοιδοροῦνταί γ' ὥσπερ ἐμπεπωκότες,
καὶ τὸν παροινοῦντ' ἐκφέρουσ' οἱ τοξόται.
ΠΡΑΞΑΓΟΡΑ.
σὺ μὲν βάδιζε καὶ κάθησ'· οὐδὲν γὰρ εἶ.
ΓΥΝΗ Θ.
νὴ τὸν Δί', ἦ μοι μὴ γενειᾶν κρεῖττον ἦν·
δίψῃ γάρ, ὡς ἔοικ', ἀφαυανθήσομαι.
ΠΡΑΞΑΓΟΡΑ.
ἔσθ' ἥτις ἑτέρα βούλεται λέγειν;
ΓΥΝΗ Ι.
ἐγώ.
ΠΡΑΞΑΓΟΡΑ.
ἴθι δὴ στεφανοῦ· καὶ γὰρ τὸ χρῆμ' ἐργάζεται
ἄγε νυν ὅπως ἀνδριστὶ καὶ καλῶς ἐρεῖς,
διερεισαμένη τὸ σχῆμα τῇ βακτηρίᾳ.
ΓΥΝΗ Ι.
ἐβουλόμην μὲν ἕτερον ἂν τῶν ἠθάδων
λέγειν τὰ βέλτισθ', ἵν' ἐκαθήμην ἥσυχος·
νῦν δ' οὐκ ἐάσω, κατά γε τὴν ἐμήν, μίαν

ἐν τοῖς καπηλείοισι λάκκους ἐμποιεῖν
ὕδατος. ἐμοὶ μὲν οὐ δοκεῖ μὰ τὼ θεώ.

ΠΡΑΞΑΓΟΡΑ.

μὰ τὼ θεώ; τάλαινα, ποῦ τὸν νοῦν ἔχεις;

ΓΥΝΗ Ι.

τί δ' ἔστιν; οὐ γὰρ δὴ πιεῖν γ' ᾔτησά σε.

ΠΡΑΞΑΓΟΡΑ.

μὰ Δί', ἀλλ' ἀνὴρ ὢν τὼ θεὼ κατώμοσας,
καίτοι τά γ' ἄλλ' εἰποῦσα δεξιώτατα.

ΓΥΝΗ Ι.

ὢ νὴ τὸν Ἀπόλλω.

ΠΡΑΞΑΓΟΡΑ.

παῦε τοίνυν, ὡς ἐγὼ
ἐκκλησιάσουσ' οὐκ ἂν προβαίην τὸν πόδα
τὸν ἕτερον, εἰ μὴ ταῦτ' ἀκριβωθήσεται.

ΓΥΝΗ Ι.

φέρε τὸν στέφανον· ἐγὼ γὰρ αὖ λέξω πάλιν.
οἶμαι γὰρ ἤδη μεμελετηκέναι καλῶς.
ἐμοὶ γὰρ, ὦ γυναῖκες αἱ καθήμεναι,

ΠΡΑΞΑΓΟΡΑ.

γυναῖκας αὖ, δύστηνε, τοὺς ἄνδρας λέγεις;

ΓΥΝΗ Ι.

δι' Ἐπίγονόν γ' ἐκεινονί· βλέψασα γὰρ
ἐκεῖσε πρὸς γυναῖκας ᾠόμην λέγειν.

ΠΡΑΞΑΓΟΡΑ.

ἄπερρε καὶ σὺ καὶ κάθησ' ἐντευθενί.
αὐτὴ γὰρ ὑμῶν ἕνεκά μοι λέξειν δοκῶ,
τονδὶ λαβοῦσα· τοῖς θεοῖς μὲν εὔχομαι
τυχεῖν κατορθώσασα τὰ βεβουλευμένα.
ἐμοὶ δ' ἴσον μὲν τῆσδε τῆς χώρας μέτα
ὅσονπερ ὑμῖν· ἄχθομαι δὲ καὶ φέρω
τὰ τῆς πόλεως ἅπαντα βαρέως πράγματα.
ὁρῶ γὰρ αὐτὴν προστάταισι χρωμένην
ἀεὶ πονηροῖς· κἄν τις ἡμέραν μίαν
χρηστὸς γένηται, δέκα πονηρὸς γίγνεται.
ἐπέτρεψας ἑτέρῳ· πλεῖον' ἔτι δράσει κακά.
χαλεπὸν μὲν οὖν ἄνδρας δυσαρέστους νουθετεῖν,
οἳ τοὺς φιλεῖν μὲν βουλομένους δεδοίκατε,
τοὺς δ' οὐκ ἐθέλοντας ἀντιβολεῖθ' ἑκάστοτε.
ἐκκλησίαισιν ἦν ὅτ' οὐκ ἐχρώμεθα
οὐδὲν τὸ παράπαν· ἀλλὰ τόν γ' Ἀγύρριον
πονηρὸν ἡγούμεσθα· νῦν δὲ χρωμένων
ὁ μὲν λαβὼν ἀργύριον ὑπερεπῄνεσεν,
ὁ δ' οὐ λαβὼν εἶναι θανάτου φήσ' ἀξίους
τοὺς μισθοφορεῖν ζητοῦντας ἐν τἠκκλησίᾳ.

ΓΥΝΗ Α.

νὴ τὴν Ἀφροδίτην, εὖ γε ταυταγὶ λέγεις.

ΠΡΑΞΑΓΟΡΑ.

τάλαιν', Ἀφροδίτην ὠνόμασας. χαρίεντά γ' ἂν
ἔδρασας, εἰ τοῦτ' εἶπας ἐν τἠκκλησίᾳ.

ΓΥΝΗ Α.

ἀλλ' οὐκ ἂν εἶπον.

ΠΡΑΞΑΓΟΡΑ.

μηδ' ἐθίζου νυν λέγειν.
τὸ συμμαχικὸν αὖ τοῦθ', ὅτ' ἐσκοπούμεθα,
εἰ μὴ γένοιτ', ἀπολεῖν ἔφασκον τὴν πόλιν·
ὅτε δὴ δ' ἐγένετ', ἤχθοντο, τῶν δὲ ῥητόρων
ὁ τοῦτ' ἀναπείσας εὐθὺς ἀποδρὰς ᾤχετο.
ναῦς δεῖ καθέλκειν· τῷ πένητι μὲν δοκεῖ,
τοῖς πλουσίοις δὲ καὶ γεωργοῖς οὐ δοκεῖ.
Κορινθίοις ἤχθεσθε, κἀκεῖνοί γέ σοι·
νῦν δ' εἰσὶ χρηστοὶ, καὶ σὺ νῦν χρηστὸς γενοῦ.
Ἀργεῖος ἀμαθὴς, ἀλλ' Ἱερώνυμος σοφός·
σωτηρία παρέκυψεν, ἀλλ' ὀρίζεται·
* * * *
Θρασύβουλος αὐτὸς οὐχὶ παρακαλούμενος.

ΓΥΝΗ Α.

ὡς ξυνετὸς ἀνήρ.

ΠΡΑΞΑΓΟΡΑ.

νῦν καλῶς ἐπῄνεσας.
ὑμεῖς γάρ ἐστ', ὦ δῆμε, τούτων αἴτιοι.
τὰ δημόσια γὰρ μισθοφοροῦντες χρήματα
ἰδίᾳ σκοπεῖσθ' ἕκαστος ὅ τι τις κερδανεῖ·
τὸ δὲ κοινὸν ὥσπερ Αἴσιμος κυλίνδεται.
ἢν οὖν ἐμοὶ πείθησθε, σωθήσεσθ' ἔτι.
ταῖς γὰρ γυναιξὶ φημὶ χρῆναι τὴν πόλιν
ἡμᾶς παραδοῦναι. καὶ γὰρ ἐν ταῖς οἰκίαις
ταύταις ἐπιτρόποις καὶ ταμίαισι χρώμεθα.

ΓΥΝΗ Β.

εὖ γ', εὖ γε νὴ Δί', εὖ γε· λέγε, λέγ', ὦγαθέ.

ΠΡΑΞΑΓΟΡΑ.

ὡς δ' εἰσὶν ἡμῶν τοὺς τρόπους βελτίονες
ἐγὼ διδάξω. πρῶτα μὲν γὰρ τἄρια
βάπτουσι θερμῷ κατὰ τὸν ἀρχαῖον νόμον
ἁπαξάπασαι, κοὐχὶ μεταπειρωμένας
ἴδοις ἂν αὐτάς. ἡ δ' Ἀθηναίων πόλις,
εἰ τοῦτο χρηστῶς εἶχεν, οὐκ ἂν ἐσώζετο,
εἰ μή τι καινὸν ἄλλο περιειργάζετο;
καθήμεναι φρύγουσιν ὥσπερ καὶ πρὸ τοῦ·
ἐπὶ τῆς κεφαλῆς φέρουσιν ὥσπερ καὶ πρὸ τοῦ·
τὰ Θεσμοφόρι' ἄγουσιν ὥσπερ καὶ πρὸ τοῦ·
πέττουσι τοὺς πλακοῦντας ὥσπερ καὶ πρὸ τοῦ·
τοὺς ἄνδρας ἐπιτρίβουσιν ὥσπερ καὶ πρὸ τοῦ·
μοιχοὺς ἔχουσιν ἔνδον ὥσπερ καὶ πρὸ τοῦ·
αὐταῖς παροψωνοῦσιν ὥσπερ καὶ πρὸ τοῦ·
τὸν οἶνον εὔζωρον φιλοῦσ' ὥσπερ πρὸ τοῦ·
βινούμεναι χαίρουσιν ὥσπερ καὶ πρὸ τοῦ.
ταύταισιν οὖν, ὦνδρες, παραδόντες τὴν πόλιν
μὴ περιλαλῶμεν, μηδὲ πυνθανώμεθα
τί ποτ' ἄρα δρᾶν μέλλουσιν, ἀλλ' ἁπλῷ τρόπῳ
ἐῶμεν ἄρχειν, σκεψάμενοι ταυτὶ μόνα,
ὡς τοὺς στρατιώτας πρῶτον οὖσαι μητέρες
σώζειν ἐπιθυμήσουσιν· εἶτα σιτία
τίς τῆς τεκούσης θᾶττον ἐπιπέμψειεν ἄν;
χρήματα πορίζειν εὐπορώτατον γυνὴ,
ἄρχουσά τ' οὐκ ἂν ἐξαπατηθείη ποτέ.
αὐταὶ γάρ εἰσιν ἐξαπατᾶν εἰθισμέναι.
τὰ δ' ἄλλ' ἐάσω· ταῦτα κἂν πείθησθέ μοι,
εὐδαιμονοῦντες τὸν βίον διάξετε.

ΓΥΝΗ Α.

εὖ γ', ὦ γλυκυτάτη Πραξαγόρα, καὶ δεξιῶς.
πόθεν, ὦ τάλαινα, ταῦτ' ἔμαθες οὕτω καλῶς;

ΠΡΑΞΑΓΟΡΑ.

ἐν ταῖς φυγαῖς μετὰ τἀνδρὸς ᾤκησ' ἐν πυκνί·
ἔπειτ' ἀκούουσ' ἐξέμαθον τῶν ῥητόρων.

ΓΥΝΗ Α.

οὐκ ἐτὸς ἄρ', ὦ μέλ', ἦσθα δεινὴ καὶ σοφή·
καί σε στρατηγὸν αἱ γυναῖκες αὐτόθεν
αἱρούμεθ', ἢν ταῦθ' ἁπινοεῖς κατεργάσῃ.
ἀτὰρ ἢν Κέφαλός σοι λοιδορῆται προσφθαρείς,
πῶς ἀντερεῖς πρὸς αὐτὸν ἐν τἠκκλησίᾳ;

ΠΡΑΞΑΓΟΡΑ.

φήσω παραφρονεῖν αὐτόν.

ΓΥΝΗ Α.

ἀλλὰ τοῦτό γε
ἴσασι πάντες.

ΠΡΑΞΑΓΟΡΑ.

ἀλλὰ καὶ μελαγχολᾶν.

ΓΥΝΗ Α.

καὶ τοῦτ' ἴσασιν.

ΠΡΑΞΑΓΟΡΑ.

ἀλλὰ καὶ τὰ τρυβλία
κακῶς κεραμεύειν, τὴν δὲ πόλιν εὖ καὶ καλῶς.

ΓΥΝΗ Α.

τί δ', ἢν Νεοκλείδης ὁ γλάμων σε λοιδορῇ;

ΠΡΑΞΑΓΟΡΑ.

τούτῳ μὲν εἶπον ἐς κυνὸς πυγὴν ὁρᾶν.

ΓΥΝΗ Α.

τί δ', ἢν ὑποκρούσωσίν σε;

ΠΡΑΞΑΓΟΡΑ.

προσκινήσομαι,
ἅτ' οὐκ ἄπειρος οὖσα πολλῶν κρουμάτων.

ΓΥΝΗ Α.

ἐκεῖνο μόνον ἄσκεπτον, ἤν σ' οἱ τοξόται
ἕλκωσιν, ὅ τι δράσεις ποτ'.

ΠΡΑΞΑΓΟΡΑ.

ἐξαγκωνιῶ
ὡδί· μέση γὰρ οὐδέποτε ληφθήσομαι.

ΓΥΝΗ Α.

ἡμεῖς δέ γ', ἢν αἴρωσ', ἐᾶν κελεύσομεν.

ΓΥΝΗ Β.

ταυτὶ μὲν ἡμῖν ἐντεθύμηται καλῶς,
ἐκεῖνο δ' οὐ πεφροντίκαμεν, ὅτῳ τρόπῳ
τὰς χεῖρας αἴρειν μνημονεύσομεν τότε.
εἰθισμέναι γάρ ἐσμεν αἴρειν τὼ σκέλη.

ΠΡΑΞΑΓΟΡΑ.

χαλεπὸν τὸ πρᾶγμ'· ὅμως δὲ χειροτονητέον
ἐξωμισάσαις τὸν ἕτερον βραχίονα.
ἄγε νυν ἀναστέλλεσθ' ἄνω τὰ χιτώνια·
ὑποδεῖσθε δ' ὡς τάχιστα τὰς Λακωνικὰς,
ὥσπερ τὸν ἄνδρα θεᾶσθ', ὅτ' εἰς ἐκκλησίαν
μέλλει βαδίζειν ἢ θύραζ' ἑκάστοτε.
ἔπειτ' ἐπειδὰν ταῦτα πάντ' ἔχῃ καλῶς,
περιδεῖσθε τοὺς πώγωνας. ἡνίκ' ἂν δέ γε
τούτους ἀκριβώσητε περιηρμοσμέναι,
καὶ θαἰμάτια τἀνδρεῖά γ' ἅπερ ἐκλέψατε
ἐπαναβάλεσθε, κᾆτα ταῖς βακτηρίαις
ἐπερειδόμεναι βαδίζετ', ᾄδουσαι μέλος
πρεσβυτικόν τι, τὸν τρόπον μιμούμεναι
τὸν τῶν ἀγροίκων.

ΓΥΝΗ Β.

εὖ λέγεις· ἡμεῖς δέ γε
προΐωμεν αὐτῶν. καὶ γὰρ ἑτέρας οἴομαι
ἐκ τῶν ἀγρῶν ἐς τὴν πύκν' ἥξειν ἄντικρυς
γυναῖκας.

ΠΡΑΞΑΓΟΡΑ.

ἀλλὰ σπεύσαθ', ὡς εἴωθ' ἐκεῖ
τοῖς μὴ παροῦσιν ὀρθρίοις ἐς τὴν πύκνα
ὑπαποτρέχειν ἔχουσι μηδὲ πάτταλον.

ΧΟΡΟΣ.

ὥρα προβαίνειν, ὦνδρες, ἡμῖν ἐστι· τοῦτο γὰρ χρὴ
μεμνημένας ἀεὶ λέγειν, ὡς μή ποτ' ἐξολίσθῃ
ἡμᾶς. ὁ κίνδυνος γὰρ οὐχὶ μικρὸς, ἢν ἁλῶμεν
ἐνδυόμεναι κατὰ σκότον τόλμημα τηλικοῦτον.
χωρῶμεν εἰς ἐκκλησίαν, ὦνδρες· ἠπείλησε γὰρ
ὁ θεσμοθέτης, ὃς ἂν
μὴ πρῴ πάνυ τοῦ κνέφους
ἥκῃ κεκονιμένος,
στέργων σκοροδάλμῃ,
βλέπων ὑπότριμμα, μὴ
δώσειν τὸ τριώβολον.
ἀλλ', ὦ Χαριτιμίδη
καὶ Σμίκυθε καὶ Δράκης,
ἕπου κατεπείγων,
σαυτῷ προσέχων ὅπως
μηδὲν παραχορδιεῖς
ὧν δεῖ σ' ἀποδεῖξαι·
ὅπως δὲ τὸ σύμβολον
λαβόντες ἔπειτα πλη-
σίον καθεδούμεθ', ὡς
ἂν χειροτονῶμεν
ἅπανθ' ὁπόσ' ἂν δέῃ
τὰς ἡμετέρας φίλας.
καίτοι τί λέγω; φίλους
γὰρ χρῆν μ' ὀνομάζειν.
ὅρα δ' ὅπως ὠθήσομεν τούσδε τοὺς ἐξ ἄστεως
ἥκοντας, ὅσοι πρὸ τοῦ
μὲν, ἡνίκ' ἔδει λαβεῖν
ἐλθόντ' ὀβολὸν μόνον,
καθῆντο λαλοῦντες
ἐν τοῖς στεφανώμασιν·
νυνὶ δ' ἐνοχλοῦσ' ἄγαν.
ἀλλ' οὐχὶ, Μυρωνίδης
ὅτ' ἦρχεν ὁ γεννάδας,
οὐδεὶς ἂν ἐτόλμα
τὰ τῆς πόλεως διοι-
κεῖν ἀργύριον λαβών·
ἀλλ' ἧκεν ἕκαστος
ἐν ἀσκιδίῳ φέρων
πιεῖν ἅμα τ' ἄρτον *
* καὶ δύο κρομμύω
καὶ τρεῖς ἂν ἐλάας.
νυνὶ δὲ τριώβολον
ζητοῦσι λαβεῖν ὅταν
πράττωσί τι κοινὸν ὥσ-
περ πηλοφοροῦντες.

ΒΛΕΠΥΡΟΣ.

τί τὸ πρᾶγμα; ποῖ ποθ' ἡ γυνὴ φρούδη 'στί μοι;
ἐπεὶ πρὸς ἕω νῦν γ' ἔστιν, ἡ δ' οὐ φαίνεται.
ἐγὼ δὲ κατάκειμαι πάλαι χεζητιῶν,
τὰς ἐμβάδας ζητῶν λαβεῖν ἐν τῷ σκότῳ
καὶ θοἰμάτιον· ὅτε δὴ δ' ἐκεῖνο ψηλαφῶν
οὐκ ἐδυνάμην εὑρεῖν, ὁ δ' ἤδη τὴν θύραν
ἐπεῖχε κρούων ὁ κοπρεαῖος, λαμβάνω
τουτὶ τὸ τῆς γυναικὸς ἡμιδιπλοίδιον,
καὶ τὰς ἐκείνης Περσικὰς ἱφέλκομαι.
ἀλλ' ἐν καθαρῷ ποῦ ποῦ τις ἂν χέσας τύχοι;
ἢ πανταχοῦ τοι νυκτός ἐστιν ἐν καλῷ;
οὐ γάρ με νῦν χέζοντά γ' οὐδεὶς ὄψεται.
οἴμοι κακοδαίμων, ὅτι γέρων ὢν ἠγόμην

289 — 299. = 300 — 310.

γυναῖχ'· ὅσας εἴμ' ἄξιος πληγὰς λαβεῖν.
οὐ γάρ ποθ' ὑγιὲς οὐδὲν ἐξελήλυθεν
δράσουσ'. ὅμως δ' οὖν ἐστιν ἀποπατητέον.

ΑΝΗΡ.

τίς ἐστιν; οὐ δήπου Βλέπυρος ὁ γειτνιῶν;
νὴ τὸν Δί' αὐτὸς δῆτ' ἐκεῖνος. εἰπέ μοι,
τί τοῦτό σοι τὸ πυρρόν ἐστιν; οὔ τί που
Κινησίας σου κατατετίληκέν ποθεν;

ΒΛΕΠΥΡΟΣ.

οὔκ, ἀλλὰ τῆς γυναικὸς ἐξελήλυθα
τὸ κροκωτίδιον ἀμπισχόμενος, οὐνδύεται.

ΑΝΗΡ.

τὸ δ' ἱμάτιόν σου ποῦ 'στιν;

ΒΛΕΠΥΡΟΣ.

οὐκ ἔχω φράσαι.
ζητῶν γὰρ αὔτ' οὐχ εὗρον ἐν τοῖς στρώμασιν.

ΑΝΗΡ.

εἶτ' οὐδὲ τὴν γυναῖκ' ἐκέλευσάς σοι φράσαι;

ΒΛΕΠΥΡΟΣ.

μὰ τὸν Δί'· οὐ γὰρ ἔνδον οὖσα τυγχάνει,
ἀλλ' ἐκτετρύπηκεν λαθοῦσά μ' ἔνδοθεν·
ὃ καὶ δέδοικα μή τι δρᾷ νεώτερον.

ΑΝΗΡ.

νὴ τὸν Ποσειδῶ, ταὐτὰ τοίνυν ἄντικρυς
ἐμοὶ πέπονθας. καὶ γὰρ ἣ ξύνειμ' ἐγὼ
φρούδη 'στ', ἔχουσα θοἰμάτιον οὑγὼ 'φόρουν.
κοὐ τοῦτο λυπεῖ μ', ἀλλὰ καὶ τὰς ἐμβάδας.
οὔκουν λαβεῖν γ' αὐτὰς ἐδυνάμην οὐδαμοῦ.

ΒΛΕΠΥΡΟΣ.

μὰ τὸν Διόνυσον, οὐδ' ἐγὼ γὰρ τὰς ἐμὰς
Λακωνικὰς, ἀλλ' ὡς ἔτυχον χεζητιῶν,
ἐς τὼ κοθόρνω τὼ πόδ' ἐνθεὶς ἵεμαι,
ἵνα μὴ 'γχέσαιμ' ἐς τὴν σισύραν· φανὴ γὰρ ἦν.

ΑΝΗΡ.

τί δῆτ' ἂν εἴη; μῶν ἐπ' ἄριστον γυνὴ
κέκληκεν αὐτὴν τῶν φίλων;

ΒΛΕΠΥΡΟΣ.

γνώμην γ' ἐμήν.
οὔκουν πονηρά γ' ἐστὶν ὅ τι κἄμ' εἰδέναι.

ΑΝΗΡ.

ἀλλὰ σὺ μὲν ἱμονιάν τιν' ἀποπατεῖς· ἐμοὶ δ'
ὥρα βαδίζειν ἐστὶν εἰς ἐκκλησίαν,
ἤνπερ λάβω θοἰμάτιον, ὅπερ ἦν μοι μόνον.

ΒΛΕΠΥΡΟΣ.

κἄγωγ', ἐπειδὰν ἀποπατήσω· νῦν δέ μου
ἀχράς τις ἐγκλείσασ' ἔχει τὰ σιτία.

ΑΝΗΡ.

μῶν ἣν Θρασύβουλος εἶπε τοῖς Λακωνικοῖς;

ΒΛΕΠΥΡΟΣ.

νὴ τὸν Διόνυσον, ἐνέχεται γοῦν μοι σφόδρα.
ἀτὰρ τί δράσω; καὶ γὰρ οὐδὲ τοῦτό με
μόνον τὸ λυποῦν ἐστιν, ἀλλ' ὅταν φάγω,
ὅποι βαδιεῖταί μοι τὸ λοιπὸν ἡ κόπρος.
νῦν μὲν γὰρ οὗτος βεβαλάνωκε τὴν θύραν,
ὅστις ποτ' ἔστ' ἄνθρωπος, ἀχραδούσιος.
τίς ἂν οὖν ἰατρόν μοι μετέλθοι καὶ τίνα;
τίς τῶν καταπρώκτων δεινός ἐστι τὴν τέχνην;
ἆρ' οἶδ' Ἀμύνων; ἀλλ' ἴσως ἀρνήσεται.
Ἀντισθένη τις καλεσάτω πάσῃ τέχνῃ.
οὗτος γὰρ ἀνὴρ ἕνεκά γε στεναγμάτων
οἶδεν τί πρωκτὸς βούλεται χεζητιῶν.
ὦ πότνι' Εἰλείθυια, μή με περιίδῃς
διαρραγέντα μηδὲ βεβαλανωμένον,
ἵνα μὴ γένωμαι σκωραμὶς κωμῳδική.

ΧΡΕΜΗΣ.

οὗτος, τί ποιεῖς; οὔ τί που χέζεις;

ΒΛΕΠΥΡΟΣ.

ἐγώ;
οὐ δῆτ' ἔτι γε μὰ τὸν Δί', ἀλλ' ἀνίσταμαι;

ΧΡΕΜΗΣ.

τὸ τῆς γυναικὸς δ' ἀμπέχει χιτώνιον;

ΒΛΕΠΥΡΟΣ.

ἐν τῷ σκότῳ γὰρ τοῦτ' ἔτυχον ἔνδον λαβών.
ἀτὰρ πόθεν ἥκεις ἐτεόν;

ΧΡΕΜΗΣ.

ἐξ ἐκκλησίας.

ΒΛΕΠΥΡΟΣ,

ἤδη λέλυται γάρ;

ΧΡΕΜΗΣ.

νὴ Δί', ὄρθριον μὲν οὖν.
καὶ δῆτα πολὺν ἡ μίλτος, ὦ Ζεῦ φίλτατε,
γέλων παρέσχεν, ἣν προσέρραινον κύκλῳ.

ΒΛΕΠΥΡΟΣ.

τὸ τριώβολον δῆτ' ἔλαβες;

ΧΡΕΜΗΣ.

εἰ γὰρ ὤφελον.
ἀλλ' ὕστερος νῦν ἦλθον, ὥστ' αἰσχύνομαι,
μὰ τὸν Δί' οὐδὲν ἄλλο γ' ἢ τὸν θύλακον.

ΒΛΕΠΥΡΟΣ.

τὸ δ' αἴτιον τί;

ΧΡΕΜΗΣ.

πλεῖστος ἀνθρώπων ὄχλος,
ὅσος οὐδεπώποτ' ἦλθ' ἀθρόος ἐς τὴν πύκνα.
καὶ δῆτα πάντας σκυτοτόμοις ᾐκάζομεν
ὁρῶντες αὐτούς. οὐ γὰρ ἀλλ' ὑπερφυῶς
ὡς λευκοπληθὴς ἦν ἰδεῖν ἡκκλησία·
ὥστ' οὐκ ἔλαβον οὔτ' αὐτὸς οὔτ' ἄλλοι συχνοί.

ΒΛΕΠΥΡΟΣ.

οὐδ' ἄρ' ἂν ἐγὼ λάβοιμι νῦν ἐλθών;

ΧΡΕΜΗΣ.

πόθεν;
οὐδ' εἰ μὰ Δία τότ' ἦλθες, ὅτε τὸ δεύτερον
ἀλεκτρυὼν ἐφθέγγετ'.

ΒΛΕΠΥΡΟΣ.

οἴμοι δείλαιος.
Ἀντίλοχ', ἀποίμωξόν με τοῦ τριωβόλου
τὸν ζῶντα μᾶλλον. τἀμὰ γὰρ διοίχεται.
ἀτὰρ τί τὸ πρᾶγμ' ἦν, ὅτι τοσοῦτον χρῆμ' ὄχλου
οὕτως ἐν ὥρᾳ ξυνελέγη;

ΧΡΕΜΗΣ.

τί δ' ἄλλο γ' ἢ
ἔδοξε τοῖς πρυτάνεσι περὶ σωτηρίας
γνώμας καθεῖναι τῆς πόλεως; κᾆτ' εὐθέως
πρῶτος Νεοκλείδης ὁ γλάμων παρείρπυσεν.
κᾆπειθ' ὁ δῆμος ἀναβοᾷ πόσον δοκεῖς,
οὐ δεινὰ τολμᾶν τουτονὶ δημηγορεῖν,
καὶ ταῦτα περὶ σωτηρίας προκειμένου,
ὃς αὐτὸς αὑτῷ βλεφαρίδ' οὐκ ἐσώσατο;

ὁ δ' ἀναβοήσας καὶ περιβλέψας ἔφη·
τί δαί με χρῆν δρᾶν;

ΒΛΕΠΥΡΟΣ.

σκόροδ' ὁμοῦ τρίψαντ' ὀπῷ
τιθύμαλλον ἐμβαλόντα τοῦ Λακωνικοῦ
σαυτοῦ παραλείφειν τὰ βλέφαρα τῆς ἑσπέρας,
ἔγωγ' ἂν εἶπον, εἰ παρὼν ἐτύγχανον.

ΧΡΕΜΗΣ.

μετὰ τοῦτον Εὐαίων ὁ δεξιώτατος
παρῆλθε γυμνὸς, ὡς ἐδόκει τοῖς πλείοσιν·
αὐτός γε μέντοὔφασκεν ἱμάτιον ἔχειν,
κἄπειτ' ἔλεξε δημοτικωτάτους λόγους·
ὁρᾶτε μέν με δεόμενον σωτηρίας
τετραστατήρου καὐτόν· ἀλλ' ὅμως ἐρῶ
ὡς τὴν πόλιν καὶ τοὺς πολίτας σώσετε.
ἢν γὰρ παρέχωσι τοῖς δεομένοις οἱ κναφῆς
χλαίνας, ἐπειδὰν πρῶτον ἥλιος τραπῇ,
πλευρῖτις ἡμῶν οὐδέν' ἂν λάβοι ποτέ.
ὅσοις δὲ κλίνη μή 'στι μηδὲ στρώματα,
ἰέναι καθευδήσοντας ἀπονενιμμένους
ἐς τῶν σκυλοδεψῶν· ἢν δ' ἀποκλείῃ τῇ θύρᾳ
χειμῶνος ὄντος, τρεῖς σισύρας ὀφειλέτω.

ΒΛΕΠΥΡΟΣ.

νὴ τὸν Διόνυσον, χρηστά γ'· εἰ δ' ἐκεῖνά γε
προσέθηκεν, οὐδεὶς ἀντεχειροτόνησεν ἂν,
τοὺς ἀλφιταμοιβοὺς τοῖς ἀπόροις τρεῖς χοίνικας
δεῖπνον παρέχειν ἅπασιν, ἢ κλάειν μακρὰ,
ἵνα τοῦτ' ἀπέλαυσαν Ναυσικύδους τἀγαθόν.

ΧΡΕΜΗΣ.

μετὰ τοῦτο τοίνυν εὐπρεπὴς νεανίας
λευκός τις ἀνεπήδησ', ὅμοιος Νικίᾳ,
δημηγορήσων, κἀπεχείρησεν λέγειν
ὡς χρὴ παραδοῦναι ταῖς γυναιξὶ τὴν πόλιν.
εἶτ' ἐθορύβησαν κἀνέκραγον ὡς εὖ λέγοι,
τὸ σκυτοτομικὸν πλῆθος· οἱ δ' ἐκ τῶν ἀγρῶν
ἀνεβορβόρυξαν.

ΒΛΕΠΥΡΟΣ.

νοῦν γὰρ εἶχον νὴ Δία.

ΧΡΕΜΗΣ.

ἀλλ' ἦσαν ἥττους· ὁ δὲ κατεῖχε τῇ βοῇ,
τὰς μὲν γυναῖκας πόλλ' ἀγαθὰ λέγων, σὲ δὲ
πολλὰ κακά.

ΒΛΕΠΥΡΟΣ.

καὶ τί εἶπε;

ΧΡΕΜΗΣ.

πρῶτον μέν σ' ἔφη
εἶναι πανοῦργον.

ΒΛΕΠΥΡΟΣ.

καὶ σέ;

ΧΡΕΜΗΣ.

μή πω τοῦτ' ἔρῃ.
κἄπειτα κλέπτην.

ΒΛΕΠΥΡΟΣ.

ἐμὲ μόνον;

ΧΡΕΜΗΣ.

καὶ νὴ Δία
καὶ συκοφάντην.

ΒΛΕΠΥΡΟΣ.

ἐμὲ μόνον;

ΧΡΕΜΗΣ.

καὶ νὴ Δία
τωνδὶ τὸ πλῆθος.

ΒΛΕΠΥΡΟΣ.

τίς δὲ τοῦτ' ἄλλως λέγει;

ΧΡΕΜΗΣ.

γυναῖκα δ' εἶναι πρᾶγμ' ἔφη νουβυστικὸν
καὶ χρηματοποιόν· κοὔτε τἀπόρρητ' ἔφη
ἐκ Θεσμοφόροιν ἑκάστοτ' αὐτὰς ἐκφέρειν,
σὲ δὲ κἀμὲ βουλεύοντε τοῦτο δρᾶν ἀεί.

ΒΛΕΠΥΡΟΣ.

καὶ νὴ τὸν Ἑρμῆν τοῦτό γ' οὐκ ἐψεύσατο.

ΧΡΕΜΗΣ.

ἔπειτα συμβάλλειν πρὸς ἀλλήλας ἔφη
ἱμάτια, χρυσί', ἀργύριον, ἐκπώματα,
μόνας μόναις οὐ μαρτύρων γ' ἐναντίον·
καὶ ταῦτ' ἀποφέρειν πάντα κοὐκ ἀποστερεῖν·
ἡμῶν δὲ τοὺς πολλοὺς ἔφασκε τοῦτο δρᾶν.

ΒΛΕΠΥΡΟΣ.

νὴ τὸν Ποσειδῶ, μαρτύρων γ' ἐναντίον.

ΧΡΕΜΗΣ.

οὐ συκοφαντεῖν, οὐ διώκειν, οὐδὲ τὸν
δῆμον καταλύειν, ἀλλὰ πολλὰ κἀγαθὰ,
ἕτερά τε πλεῖστα τὰς γυναῖκας εὐλόγει.

ΒΛΕΠΥΡΟΣ.

τί δῆτ' ἔδοξεν;

ΧΡΕΜΗΣ.

ἐπιτρέπειν γε τὴν πόλιν
ταύταις. ἐδόκει γὰρ τοῦτο μόνον ἐν τῇ πόλει
οὔπω γεγενῆσθαι.

ΒΛΕΠΥΡΟΣ.

καὶ δέδοκται;

ΧΡΕΜΗΣ.

φήμ' ἐγώ.

ΒΛΕΠΥΡΟΣ.

ἅπαντά τ' αὐταῖς ἐστι προστεταγμένα
ἃ τοῖσιν ἀστοῖς ἔμελεν;

ΧΡΕΜΗΣ.

οὕτω ταῦτ' ἔχει.

ΒΛΕΠΥΡΟΣ.

οὐδ' εἰς δικαστήριον ἄρ' εἶμ', ἀλλ' ἡ γυνή;

ΧΡΕΜΗΣ.

οὐδ' ἔτι σὺ θρέψεις οὓς ἔχεις, ἀλλ' ἡ γυνή.

ΒΛΕΠΥΡΟΣ.

οὐδὲ στένειν τὸν ὄρθρον ἔτι πρᾶγμ' ἆρά μοι;

ΧΡΕΜΗΣ.

μὰ Δί', ἀλλὰ ταῖς γυναιξὶ ταῦτ' ἤδη μέλει·
σὺ δ' ἀστενακτὶ περδόμενος οἴκοι μενεῖς.

ΒΛΕΠΥΡΟΣ.

ἐκεῖνο δεινὸν τοῖσιν ἡλίκοισι νῷν,
μὴ παραλαβοῦσαι τῆς πόλεως τὰς ἡνίας
ἔπειτ' ἀναγκάζωσι πρὸς βίαν

ΧΡΕΜΗΣ.

τί δρᾶν;

ΒΛΕΠΥΡΟΣ.

κινεῖν ἑαυτάς.

ΧΡΕΜΗΣ.

ἢν δὲ μὴ δυνώμεθα;

ΒΛΕΠΥΡΟΣ.

ἄριστον οὐ δώσουσι.

ΧΡΕΜΗΣ.
σὺ δέ γε νὴ Δία
δρᾷ ταῦθ', ἵν' ἀριστᾷς τε καὶ κινῇς ἅμα.
ΒΛΕΠΥΡΟΣ.
τὸ πρὸς βίαν δεινότατον.
ΧΡΕΜΗΣ.
ἀλλ' εἰ τῇ πόλει
τοῦτο ξυνοίσει, ταῦτα χρὴ πάντ' ἄνδρα δρᾶν.
λόγος γέ τοί τις ἔστι τῶν γεραιτέρων,
ὅσ' ἂν ἀνόητ' ἢ μῶρα βουλευσώμεθα,
ἅπαντ' ἐπὶ τὸ βέλτιον ἡμῖν ξυμφέρειν.
καὶ ξυμφέροι γ', ὦ πότνια Παλλὰς καὶ θεοί.
ἀλλ' εἶμι· σὺ δ' ὑγίαινε.
ΒΛΕΠΥΡΟΣ.
καὶ σύ γ', ὦ Χρέμης.
ΧΟΡΟΣ.
ἔμβα, χώρει.
ἆρ' ἔστι τῶν ἀνδρῶν τις ἡμῖν ὅστις ἐπακολουθεῖ;
στρέφου, σκόπει,
φύλαττε σαυτὴν ἀσφαλῶς, πολλοὶ γὰρ οἱ πανοῦργοι,
μή πού τις ἐκ τοὔπισθεν ὢν τὸ σχῆμα καταφυλάξῃ·
ἀλλ' ὡς μάλιστα τοῖν ποδοῖν ἐπικτυπῶν βάδιζε.
ἡμῖν δ' ἂν αἰσχύνην φέροι
πάσαισι παρὰ τοῖς ἀνδράσιν τὸ πρᾶγμα τοῦτ' ἐλεγχθέν.
πρὸς ταῦτα συστέλλου σεαυτήν, καὶ περισκοπουμένη
* * τἀκεῖσε καὶ
τὰκ δεξιᾶς, μὴ ξυμφορὰ γενήσεται τὸ πρᾶγμα.
ἀλλ' ἐγκονῶμεν· τοῦ τόπου γὰρ ἐγγύς ἐσμεν ἤδη
ὅθενπερ εἰς ἐκκλησίαν ὡρμώμεθ', ἡνίκ' ᾖμεν·
τὴν δ' οἰκίαν ἔξεσθ' ὁρᾶν ὅθενπερ ἡ στρατηγὸς
ἔσθ' ἡ τὸ πρᾶγμ' εὑροῦσ' ὃ νῦν ἔδοξε τοῖς πολίταις.
ὥστ' εἰκὸς ἡμᾶς μὴ βραδύνειν ἔστ' ἐπαναμενούσας,
πώγωνας ἐξηρτημένας,
μή καί τις ἡμᾶς ὄψεται χἠμῶν ἴσως κατείπῃ.
ἀλλ' εἶα δεῦρ' ἐπὶ σκιᾶς
ἐλθοῦσα πρὸς τὸ τειχίον,
παραβλέπουσα θατέρῳ,
πάλιν μετασκεύαζε σαυτὴν αὖθις ἥπερ ἦσθα,
καὶ μὴ βράδυν'· ὡς τήνδε καὶ δὴ τὴν στρατηγὸν ἡμῶν
χωροῦσαν ἐξ ἐκκλησίας ὁρῶμεν. ἀλλ' ἐπείγου
ἅπασα καὶ μίσει σάκον πρὸς ταῖν γνάθοιν ἔχουσα·
χαὖται γὰρ ἥκουσιν πάλαι τὸ σχῆμα τοῦτ' ἔχουσαι.
ΠΡΑΞΑΓΟΡΑ.
ταυτὶ μέν, ὦ γυναῖκες, ἡμῖν εὐτυχῶς
τὰ πράγματ' ἐκβέβηκεν ἁβουλεύσαμεν.
ἀλλ' ὡς τάχιστα, πρίν τιν' ἀνθρώπων ἰδεῖν,
ῥιπτεῖτε χλαίνας, ἐμβὰς ἐκποδὼν ἴτω,
χάλα συναπτοὺς ἡνίας Λακωνικάς,
βακτηρίας ἄφεσθε· καὶ μέντοι σὺ μὲν
ταύτας κατευτρέπιζ'· ἐγὼ δὲ βούλομαι
εἴσω παρερπύσασα, πρὶν τὸν ἄνδρα με
ἰδεῖν, καταθέσθαι θοἰμάτιον αὐτοῦ πάλιν
ὅθενπερ ἔλαβον τἄλλα θ' ἁξηνεγκάμην.
ΧΟΡΟΣ.
* κεῖται δὴ πάνθ' ἅπερ εἶπας· σὸν δ' ἔργον τἄλλα διδάσκειν,
ὅ τι σοι δρῶσαι ξύμφορον ἡμεῖς δόξομεν ὀρθῶς ὑπακούειν.
οὐδεμιᾷ γὰρ δεινοτέρᾳ σου ξυμμίξασ' οἶδα γυναικί.
ΠΡΑΞΑΓΟΡΑ.
περιμείνατέ νυν, ἵνα τῆς ἀρχῆς, ἣν ἄρτι κεχειροτόνημαι,
ξυμβούλοισιν πάσαις ὑμῖν χρήσωμαι. καὶ γὰρ ἐκεῖ μοι
ἐν τῷ θορύβῳ καὶ τοῖς δεινοῖς ἀνδρειόταται γεγένησθε.
ΒΛΕΠΥΡΟΣ.
αὕτη, πόθεν ἥκεις, Πραξαγόρα;
ΠΡΑΞΑΓΟΡΑ.
τί δ', ὦ μέλε,
σοὶ τοῦθ';
ΒΛΕΠΥΡΟΣ.
ὅ τί μοι τοῦτ' ἐστίν; ὡς εὐηθικῶς.
ΠΡΑΞΑΓΟΡΑ.
οὔ τοι παρὰ τοῦ μοιχοῦ γε φήσεις.
ΒΛΕΠΥΡΟΣ.
οὐκ ἴσως
ἑνός γε.
ΠΡΑΞΑΓΟΡΑ.
καὶ μὴν βασανίσαι τουτί γέ σοι
ἔξεστι.
ΒΛΕΠΥΡΟΣ.
πῶς;
ΠΡΑΞΑΓΟΡΑ.
εἰ τῆς κεφαλῆς ὄζω μύρου.
ΒΛΕΠΥΡΟΣ.
τί δ'; οὐχὶ βινεῖται γυνὴ κἄνευ μύρου;
ΠΡΑΞΑΓΟΡΑ.
οὐ δῆ τάλαιν' ἔγωγε.
ΒΛΕΠΥΡΟΣ.
πῶς οὖν ὄρθριον
ᾤχου σιωπῇ θοἰμάτιον λαβοῦσά μου;
ΠΡΑΞΑΓΟΡΑ.
γυνή μέ τις νύκτωρ ἑταίρα καὶ φίλη
μετεπέμψατ' ὠδίνουσα.
ΒΛΕΠΥΡΟΣ.
κᾆτ' οὐκ ἦν ἐμοὶ
φράσασαν ἰέναι;
ΠΡΑΞΑΓΟΡΑ.
τῆς λεχοῦς δ' οὐ φροντίσαι,
οὕτως ἐχούσης, ὦνερ;
ΒΛΕΠΥΡΟΣ.
εἰποῦσάν γέ μοι.
ἀλλ' ἔστιν ἐνταῦθά τι κακόν.
ΠΡΑΞΑΓΟΡΑ.
μὰ τὼ θεώ,
ἀλλ' ὥσπερ εἶχον ᾠχόμην· ἐδεῖτο δὲ
ἥπερ μεθῆκέ μ' ἐξιέναι πάσῃ τέχνῃ.
ΒΛΕΠΥΡΟΣ.
εἶτ' οὐ τὸ σαυτῆς ἱμάτιον ἐχρῆν σ' ἔχειν;

483—492. == 493—503.

ἀλλ' ἔμ' ἀποδύσασ', ἐπιβαλοῦσα τοὔγκυκλον,
ᾤχου καταλιποῦσ' ὥσπερεὶ προκείμενον,
μόνον οὐ στεφανώσασ' οὐδ' ἐπιθεῖσα λήκυθον.
ΠΡΑΞΑΓΟΡΑ.
ψῦχος γὰρ ἦν, ἐγὼ δὲ λεπτὴ κἀσθενής·
ἔπειθ' ἵν' ἀλεαίνοιμι, τοῦτ' ἠμπισχόμην·
σὲ δ' ἐν ἀλέᾳ κατακείμενον καὶ στρώμασιν
κατέλιπον, ὦνερ.
ΒΛΕΠΥΡΟΣ.
αἱ δὲ δὴ Λακωνικαὶ
ᾤχοντο μετὰ σοῦ κατὰ τί χἠ βακτηρία;
ΠΡΑΞΑΓΟΡΑ.
ἵνα θοἰμάτιον σώσαιμι, μεθυπεδησάμην
μιμουμένη σε καὶ κτυποῦσα τοῖν ποδοῖν
καὶ τοὺς λίθους παίουσα τῇ βακτηρίᾳ.
ΒΛΕΠΥΡΟΣ.
οἶσθ' οὖν ἀπολωλεκυῖα πυρῶν ἑκτέα,
ὃν χρῆν ἔμ' ἐξ ἐκκλησίας εἰληφέναι;
ΠΡΑΞΑΓΟΡΑ.
μὴ φροντίσῃς· ἄρρεν γὰρ ἔτεκε παιδίον.
ΒΛΕΠΥΡΟΣ.
ἡκκλησία;
ΠΡΑΞΑΓΟΡΑ.
μὰ Δί', ἀλλ' ἐφ' ἣν ἐγῳχόμην.
ἀτὰρ γεγένηται;
ΒΛΕΠΥΡΟΣ.
ναὶ μὰ Δί'. οὐκ ᾔδησθά με
φράσαντά σοι χθές;
ΠΡΑΞΑΓΟΡΑ.
ἄρτι γ' ἀναμιμνῄσκομαι.
ΒΛΕΠΥΡΟΣ.
οὐδ' ἄρα τὰ δόξαντ' οἶσθα;
ΠΡΑΞΑΓΟΡΑ.
μὰ Δί' ἐγὼ μὲν οὔ.
ΒΛΕΠΥΡΟΣ.
κάθησο τοίνυν σηπίας μασωμένη.
ὑμῖν δέ φασι παραδεδόσθαι τὴν πόλιν.
ΠΡΑΞΑΓΟΡΑ.
τί δρᾶν; ὑφαίνειν;
ΒΛΕΠΥΡΟΣ.
οὐ μὰ Δί', ἀλλ' ἄρχειν.
ΠΡΑΞΑΓΟΡΑ.
τίνων;
ΒΛΕΠΥΡΟΣ.
ἁπαξαπάντων τῶν κατὰ πόλιν πραγμάτων.
ΠΡΑΞΑΓΟΡΑ.
νὴ τὴν Ἀφροδίτην, μακαρία τἄρ' ἡ πόλις
ἔσται τὸ λοιπόν.
ΒΛΕΠΥΡΟΣ.
κατὰ τί;
ΠΡΑΞΑΓΟΡΑ.
πολλῶν οὕνεκα.
οὐ γὰρ ἔτι τοῖς τολμῶσιν αὐτὴν αἰσχρὰ δρᾶν
ἔσται τὸ λοιπόν, οὐδαμοῦ δὲ μαρτυρεῖν,
οὐ συκοφαντεῖν.
ΒΛΕΠΥΡΟΣ.
μηδαμῶς πρὸς τῶν θεῶν
τουτὶ ποιήσῃς μηδ' ἀφέλῃ μου τὸν βίον.
ΑΝΗΡ.
ὦ δαιμόνι' ἀνδρῶν, τὴν γυναῖκ' ἔα λέγειν.
ΠΡΑΞΑΓΟΡΑ.
μὴ λωποδυτῆσαι, μὴ φθονεῖν τοῖς πλησίον,
μὴ γυμνὸν εἶναι, μὴ πένητα μηδένα,
μὴ λοιδορεῖσθαι, μὴ 'νεχυραζόμενον φέρειν.
ΑΝΗΡ.
νὴ τὸν Ποσειδῶ, μεγάλα γ', εἰ μὴ ψεύσεται.
ΠΡΑΞΑΓΟΡΑ.
ἀλλ' ἀποφανῶ τοῦθ', ὥστε σέ γέ μοι μαρτυ
καὶ τοῦτον αὐτὸν μηδὲν ἀντειπεῖν ἐμοί.
ΧΟΡΟΣ.
νῦν δὴ δεῖ σε πυκνὴν φρένα καὶ φιλόσο
ἐγείρειν
φροντίδ' ἐπισταμένην
ταῖσι φίλαισιν ἀμύνειν.
κοινῇ γὰρ ἐπ' εὐτυχίαισιν
ἔρχεται γλώττης ἐπίνοια, πολίτην
δῆμον ἐπαγλαϊοῦσα
μυρίαισιν ὠφελίαισι βίου, δη-
λοῦν ὅ τί περ δύναται. και-
ρὸς δέ· δεῖται γάρ τι σοφοῦ τινὸς ἐξευ-
ρήματος ἡ πόλις ἡμῶν.
ἀλλὰ πέραινε μόνον
μήτε δεδραμένα μήτ' εἰ-
ρημένα πω πρότερον· μι-
σοῦσι γὰρ ἢν τὰ παλαιὰ
πολλάκις θεῶνται.
ἀλλ' οὐ μέλλειν, ἀλλ' ἅπτεσθαι καὶ δὴ χρὴ τ
διανοίαις,
ὡς τὸ ταχύνειν χαρίτων μετέχει πλεῖστον πα
τοῖσι θεαταῖς.
ΠΡΑΞΑΓΟΡΑ.
καὶ μὴν ὅτι μὲν χρηστὰ διδάξω πιστεύω· τ
δὲ θεατάς,
εἰ καινοτομεῖν ἐθελήσουσιν καὶ μὴ τοῖς ἠθ
λίαν
τοῖς ἀρχαίοις ἐνδιατρίβειν, τοῦτ' ἔσθ' ὃ μά
στα δέδοικα.
ΒΛΕΠΥΡΟΣ.
περὶ μὲν τοίνυν τοῦ καινοτομεῖν μὴ δεί
τοῦτο γὰρ ἡμῖν
δρᾶν ἀντ' ἄλλης ἀρχῆς ἐστιν, τῶν δ' ἀρχα
ἀμελῆσαι.
ΠΡΑΞΑΓΟΡΑ.
μή νυν πρότερον μηδεὶς ὑμῶν ἀντείπῃ μ
ὑποκρούσῃ,
πρὶν ἐπίστασθαι τὴν ἐπίνοιαν καὶ τοῦ φρα
τος ἀκοῦσαι.
κοινωνεῖν γὰρ πάντας φήσω χρῆναι πάντω
τέχοντας,
κἀκ ταὐτοῦ ζῆν καὶ μὴ τὸν μὲν πλουτεῖν,
δ' ἄθλιον εἶναι,
μηδὲ γεωργεῖν τὸν μὲν πολλήν, τῷ δ' 
μηδὲ ταφῆναι·
μηδ' ἀνδραπόδοις τὸν μὲν χρῆσθαι πολλοῖ
δ' οὐδ' ἀκολούθῳ·
ἀλλ' ἕνα ποιῶ κοινὸν πᾶσιν βίοτον καὶ τοῦ
ὅμοιον.
ΒΛΕΠΥΡΟΣ.
πῶς οὖν ἔσται κοινὸς ἅπασιν;

ΠΡΑΞΑΓΟΡΑ.
κατέδει σπέλεθον πρότερός μου.
ΒΛΕΠΥΡΟΣ.
καὶ τῶν σπελέθων κοινωνοῦμεν;
ΠΡΑΞΑΓΟΡΑ.
μὰ Δί', ἀλλ' ἔφθης μ' ὑποκρούσας.
τοῦτο γὰρ ἤμελλον ἐγὼ λέξειν· τὴν γῆν πρώτιστα ποιήσω
κοινὴν πάντων καὶ τἀργύριον καὶ τἄλλ' ὁπόσ' ἐστὶν ἑκάστῳ.
εἶτ' ἀπὸ τούτων κοινῶν ὄντων ἡμεῖς βοσκήσομεν ὑμᾶς
ταμιευόμεναι καὶ φειδόμεναι καὶ τὴν γνώμην προσέχουσαι.
ΒΛΕΠΥΡΟΣ.
πῶς οὖν ὅστις μὴ κέκτηται γῆν ἡμῶν, ἀργύριον δὲ
καὶ Δαρεικοὺς, ἀφανῆ πλοῦτον;
ΠΡΑΞΑΓΟΡΑ.
τοῦτ' ἐς τὸ μέσον καταθήσει,
καὶ μὴ καταθεὶς ψευδορκήσει.
ΒΛΕΠΥΡΟΣ.
κἀκτήσατο γὰρ διὰ τοῦτο.
ΠΡΑΞΑΓΟΡΑ.
ἀλλ' οὐδέν τοι χρήσιμον ἔσται πάντως αὐτῷ.
ΒΛΕΠΥΡΟΣ.
κατὰ δὴ τί;
ΠΡΑΞΑΓΟΡΑ.
οὐδεὶς οὐδὲν πενίᾳ δράσει· πάντα γὰρ ἕξουσιν ἅπαντες,
ἄρτους, τεμάχη, μάζας, χλαίνας, οἶνον, στεφάνους, ἐρεβίνθους.
ὥστε τί κέρδος μὴ καταθεῖναι; σὺ γὰρ ἐξευρὼν ἀπόδειξον.
ΒΛΕΠΥΡΟΣ.
οὔκουν καὶ νῦν οὗτοι μᾶλλον κλέπτουσ', οἷς ταῦτα πάρεστι;
ΠΡΑΞΑΓΟΡΑ.
πρότερόν γ', ὦταῖρ', ὅτε τοῖσι νόμοις διεχρώμεθα τοῖς προτέροισιν·
νῦν δ', ἔσται γὰρ βίος ἐκ κοινοῦ, τί τὸ κέρδος μὴ καταθεῖναι;
ΒΛΕΠΥΡΟΣ.
ἢν μείρακ' ἰδὼν ἐπιθυμήσῃ καὶ βούληται σκαλαθῦραι,
ἕξει τούτων ἀφελὼν δοῦναι· τῶν ἐκ κοινοῦ δὲ μεθέξει
ξυγκαταδαρθών.
ΠΡΑΞΑΓΟΡΑ.
ἀλλ' ἐξέσται προῖκ' αὐτῷ ξυγκαταδαρθεῖν.
καὶ ταύτας γὰρ κοινὰς ποιῶ τοῖς ἀνδράσι συγκατακεῖσθαι
καὶ παιδοποιεῖν τῷ βουλομένῳ.
ΒΛΕΠΥΡΟΣ.
πῶς οὖν, εἰ πάντες ἴασιν
ἐπὶ τὴν ὡραιοτάτην αὐτῶν καὶ ζητήσουσιν ἐρείδειν;
ΠΡΑΞΑΓΟΡΑ.
αἱ φαυλότεραι καὶ σιμότεραι παρὰ τὰς σεμνὰς καθεδοῦνται·
κᾆτ' ἢν ταύτης ἐπιθυμήσῃ, τὴν αἰσχρὰν πρῶθ' ὑποκρούσει.
ΒΛΕΠΥΡΟΣ.
καὶ πῶς ἡμᾶς τοὺς πρεσβύτας, ἢν ταῖς αἰσχραῖσι συνῶμεν,
οὐκ ἐπιλείψει τὸ πέος πρότερον πρὶν ἐκεῖσ' οἷ φῂς ἀφικέσθαι;
ΠΡΑΞΑΓΟΡΑ.
οὐχὶ μαχοῦνται.
ΒΛΕΠΥΡΟΣ.
περὶ τοῦ;
ΠΡΑΞΑΓΟΡΑ.
θάρρει, μὴ δείσῃς, οὐχὶ μαχοῦνται.
ΒΛΕΠΥΡΟΣ.
περὶ τοῦ;
ΠΡΑΞΑΓΟΡΑ.
τοῦ μὴ ξυγκαταδαρθεῖν. καὶ σοὶ τοιοῦτον ὑπάρχει.
ΒΛΕΠΥΡΟΣ.
τὸ μὲν ὑμέτερον γνώμην τιν' ἔχει· προβεβούλευται γὰρ, ὅπως ἂν
μηδεμιᾶς ᾖ τρύπημα κενόν· τὸ δὲ τῶν ἀνδρῶν τί ποιήσει;
φεύξονται γὰρ τοὺς αἰσχίους, ἐπὶ τοὺς δὲ καλοὺς βαδιοῦνται.
ΠΡΑΞΑΓΟΡΑ.
ἀλλὰ φυλάξουσ' οἱ φαυλότεροι τοὺς καλλίους ἀπιόντας
ἀπὸ τοῦ δείπνου καὶ τηρήσουσ' ἐπὶ τοῖσιν δημοσίοισιν
[οἱ φαυλότεροι]· κοὐκ ἐξέσται παρὰ τοῖσι καλοῖς καταδαρθεῖν
ταῖσι γυναιξὶν πρὶν τοῖς αἰσχροῖς καὶ τοῖς μικροῖς χαρίσωνται.
ΒΛΕΠΥΡΟΣ.
ἡ Λυσικράτους ἄρα νυνὶ ῥὶς ἴσα τοῖσι καλοῖσι φρονήσει.
ΠΡΑΞΑΓΟΡΑ.
νὴ τὸν Ἀπόλλω· καὶ δημοτική γ' ἡ γνώμη καὶ καταχήνη
τῶν σεμνοτέρων ἔσται πολλὴ καὶ τῶν σφραγῖδας ἐχόντων,
ὅταν ἐμβάδ' ἔχων εἴπῃ, πρότερος παραχώρει, κᾆτ' ἐπιτήρει,
ὅταν ἤδη 'γὼ διαπραξάμενος παραδῶ σοι δευτεριάζειν.
ΒΛΕΠΥΡΟΣ.
πῶς οὖν οὕτω ζώντων ἡμῶν τοὺς αὑτοῦ παῖδας ἕκαστος
ἔσται δυνατὸς διαγιγνώσκειν;
ΠΡΑΞΑΓΟΡΑ.
τί δὲ δεῖ; πατέρας γὰρ ἅπαντας
τοὺς πρεσβυτέρους αὐτῶν εἶναι τοῖσι χρόνοισιν νομιοῦσιν.
ΒΛΕΠΥΡΟΣ.
οὐκοῦν ἄγξουσ' εὖ καὶ χρηστῶς ἑξῆς τὸν πάντα γέροντα
διὰ τὴν ἄγνοιαν, ἐπεὶ καὶ νῦν γιγνώσκοντες πατέρ' ὄντα
ἄγχουσι. τί δῆθ', ὅταν ἄγνως ᾖ, πῶς οὐ τότε κἀπιχεσοῦνται;

ΠΡΑΞΑΓΟΡΑ.
ἀλλ' ὁ παρεστὼς οὐκ ἐπιτρέψει· τότε δ' αὐτοῖς οὐκ ἔμελ' οὐδὲν
τῶν ἀλλοτρίων, ὅστις τύπτοι· νῦν δ' ἢν πληγέντος ἀκούσῃ,
μὴ αὐτὸν ἐκεῖνον τύπτῃ δεδιὼς, τοῖς δρῶσιν τοῦτο μαχεῖται.

ΒΛΕΠΥΡΟΣ.
τὰ μὲν ἄλλα λέγεις οὐδὲν σκαιῶς· εἰ δὲ προσελθὼν Ἐπίκουρος,
ἢ Λευκολόφας, πάππαν με καλοῖ, τοῦτ' ἤδη δεινὸν ἀκοῦσαι.

ΠΡΑΞΑΓΟΡΑ.
πολὺ μέντοι δεινότερον τούτου τοῦ πράγματός ἐστι

ΒΛΕΠΥΡΟΣ.
τὸ ποῖον;

ΠΡΑΞΑΓΟΡΑ.
εἴ σε φιλήσειεν Ἀρίστυλλος, φάσκων αὐτοῦ πατέρ' εἶναι.

ΒΛΕΠΥΡΟΣ.
οἰμώζοι γ' ἂν καὶ κωκύοι.

ΠΡΑΞΑΓΟΡΑ.
σὺ δέ γ' ὄζοις ἂν καλαμίνθης.
ἀλλ' οὗτος μὲν προτερον γέγονεν, πρὶν τὸ ψήφισμα γενέσθαι,
ὥστ' οὐχὶ δέος μή σε φιλήσῃ.

ΒΛΕΠΥΡΟΣ.
δεινὸν μέντἂν ἐπεπόνθη.
τὴν γῆν δὲ τίς ἔσθ' ὁ γεωργήσων;

ΠΡΑΞΑΓΟΡΑ.
οἱ δοῦλοι. σοὶ δὲ μελήσει,
ὅταν ᾖ δεκάπουν τὸ στοιχεῖον, λιπαρῶς χωρεῖν ἐπὶ δεῖπνον.

ΒΛΕΠΥΡΟΣ.
περὶ δ' ἱματίων τίς πόρος ἔσται; καὶ γὰρ τοῦτ' ἔστιν ἐρέσθαι.

ΠΡΑΞΑΓΟΡΑ.
τὰ μὲν ὄνθ' ὑμῖν πρῶτον ὑπάρξει, τὰ δὲ λοίφ' ἡμεῖς ὑφανοῦμεν.

ΒΛΕΠΥΡΟΣ.
ἕν ἔτι ζητῶ· πῶς, ἤν τις ὄφλῃ παρὰ τοῖς ἄρχουσι δίκην τῳ,
πόθεν ἐκτίσει ταύτην; οὐ γὰρ τῶν κοινῶν γ' ἐστὶ δίκαιον.

ΠΡΑΞΑΓΟΡΑ.
ἀλλ' οὐδὲ δίκαι πρῶτον ἔσονται.

ΒΛΕΠΥΡΟΣ.
τουτὶ δὲ πόσους ἐπιτρίψει;

ΠΡΑΞΑΓΟΡΑ.
κἀγὼ ταύτῃ γνώμην ἐθέμην. τοῦ γὰρ, τάλαν, οὕνεκ' ἔσονται;

ΒΛΕΠΥΡΟΣ.
πολλῶν ἕνεκεν νὴ τὸν Ἀπόλλω· πρῶτον δ' ἑνὸς οὕνεκα δήπου,
ἤν τις ὀφείλων ἐξαρνῆται.

ΠΡΑΞΑΓΟΡΑ.
πόθεν οὖν ἐδάνεισ' ὁ δανείσας
ἐν τῷ κοινῷ πάντων ὄντων; κλέπτων δήπου 'στ' ἐπίδηλος.

ΒΛΕΠΥΡΟΣ.
νὴ τὴν Δήμητρ' εὖ γε διδάσκεις. τουτὶ τοίν φρασάτω μοι,
τῆς αἰκίας οἱ τύπτοντες πόθεν ἐκτίσουσιν, ἐπειὶ
εὐωχηθέντες ὑβρίζωσιν; τοῦτο γὰρ οἶμαί σ' ἀπ ρήσειν.

ΠΡΑΞΑΓΟΡΑ.
ἀπὸ τῆς μάζης ἧς σιτεῖται· ταύτην γὰρ ὅταν ἀφαιρῇ,
οὐχ ὑβριεῖται φαύλως οὕτως αὖθις τῇ γασ κολασθείς.

ΒΛΕΠΥΡΟΣ.
οὐδ' αὖ κλέπτης οὐδεὶς ἔσται;

ΠΡΑΞΑΓΟΡΑ.
πῶς γὰρ κλέψει μετὸν αὐτ

ΒΛΕΠΥΡΟΣ.
οὐδ' ἀποδύσουσ' ἄρα τῶν νυκτῶν;

ΠΡΑΞΑΓΟΡΑ.
οὐκ, ἢν οἴκοι γε καθεύ
οὐδ' ἤν γε θύραζ', ὥσπερ πρότερον. βί γὰρ πᾶσιν ὑπάρξει.
ἢν δ' ἀποδύῃ γ', αὐτὸς δώσει. τί γὰρ αὐ πρᾶγμα μάχεσθαι;
ἕτερον γὰρ ἰὼν ἐκ τοῦ κοινοῦ κρεῖττον ἐκεί κομιεῖται.

ΒΛΕΠΥΡΟΣ.
οὐδὲ κυβεύσουσ' ἄρ' ἄνθρωποι;

ΠΡΑΞΑΓΟΡΑ.
περὶ τοῦ γὰρ τοῦτο ποιή

ΒΛΕΠΥΡΟΣ.
τὴν δὲ δίαιταν τίνα ποιήσεις;

ΠΡΑΞΑΓΟΡΑ.
κοινὴν πᾶσιν. τὸ γὰρ ἄσ
μίαν οἴκησίν φημι ποιήσειν συῤῥήξασ' εἰς ἅπαντα,
ὥστε βαδίζειν εἰς ἀλλήλους.

ΒΛΕΠΥΡΟΣ.
τὸ δὲ δεῖπνον ποῦ παραθήσ

ΠΡΑΞΑΓΟΡΑ.
τὰ δικαστήρια καὶ τὰς στοιὰς ἀνδρῶνας πάν ποιήσω.

ΒΛΕΠΥΡΟΣ.
τὸ δὲ βῆμα τί σοι χρήσιμον ἔσται;

ΠΡΑΞΑΓΟΡΑ.
τοὺς κρατῆρας καταθή
καὶ τὰς ὑδρίας, καὶ ῥαψῳδεῖν ἔσται τοῖς παι ρίοισιν
τοὺς ἀνδρείους ἐν τῷ πολέμῳ, κεἴ τις δει γεγένηται,
ἵνα μὴ δειπνῶσ' αἰσχυνόμενοι.

ΒΛΕΠΥΡΟΣ.
νὴ τὸν Ἀπόλλω χαρίεν
τὰ δὲ κληρωτήρια ποῖ τρέψεις;

ΠΡΑΞΑΓΟΡΑ.
εἰς τὴν ἀγορὰν καταθήσ
κἆτα στήσασα παρ' Ἁρμοδίῳ κληρώσω πάντ ἕως ἂν
εἰδὼς ὁ λαχὼν ἀπίῃ χαίρων ἐν ὁποίῳ γράμμα δειπνεῖ·

καὶ κηρύξει τοὺς ἐκ τοῦ βῆτ' ἐπὶ τὴν στοιὰν ἀκολουθεῖν
τὴν βασίλειον δειπνήσοντας· τὸ δὲ θῆτ' ἐς τὴν παρὰ ταύτην,
τοὺς δ' ἐκ τοῦ κάππ' ἐς τὴν στοιὰν χωρεῖν τὴν ἀλφιτόπωλιν.

ΒΛΕΠΥΡΟΣ.

ἵνα κάπτωσιν;

ΠΡΑΞΑΓΟΡΑ.

μὰ Δί', ἀλλ' ἵν' ἐκεῖ δειπνῶσιν.

ΒΛΕΠΥΡΟΣ.

ὅτῳ δὲ τὸ γράμμα
μὴ 'ξελκυσθῇ καθ' ὃ δειπνήσει, τούτους ἀπελῶσιν ἅπαντες.

ΠΡΑΞΑΓΟΡΑ.

ἀλλ' οὐκ ἔσται τοῦτο παρ' ἡμῖν.
πᾶσι γὰρ ἄφθονα πάντα παρέξομεν·
ὥστε μεθυσθεὶς αὐτῷ στεφάνῳ
πᾶς τις ἄπεισιν τὴν δᾷδα λαβών.
αἱ δὲ γυναῖκες κατὰ τὰς διόδους
προσπίπτουσαι τοῖς ἀπὸ δείπνου
τάδε λέξουσιν· δεῦρο παρ' ἡμᾶς·
ἐνθάδε μεῖραξ ἔσθ' ὡραία.
παρ' ἐμοὶ δ', ἑτέρα
φήσει τις ἄνωθ' ἐξ ὑπερῴου,
καὶ καλλίστη καὶ λευκοτάτη·
πρότερον μέντοι δεῖ σε καθεύδειν
αὐτῆς παρ' ἐμοί.
τοῖς εὐπρεπέσιν δ' ἀκολουθοῦντες
καὶ μειρακίοις οἱ φαυλότεροι
τοιάδ' ἐροῦσιν· ποῖ θεῖς οὗτος;
πάντως οὐδὲν δράσεις ἐλθών·
τοῖς γὰρ σιμοῖς καὶ τοῖς αἰσχροῖς
ἐψήφισται προτέροις βινεῖν,
ὑμᾶς δὲ τέως θρῖα λαβόντας
διφόρου συκῆς
ἐν τοῖς προθύροισι δέφεσθαι.
φέρε νυν, φράσον μοι, ταῦτ' ἀρέσκει σφῷν;

ΒΛΕΠΥΡΟΣ.

πάνυ.

ΠΡΑΞΑΓΟΡΑ.

βαδιστέον τἄρ' ἐστὶν εἰς ἀγορὰν ἐμοί,
ἵν' ἀποδέχωμαι τὰ προσιόντα χρήματα,
λαβοῦσα κηρύκαιναν εὔφωνόν τινα.
ἐμὲ γὰρ ἀνάγκη ταῦτα δρᾶν ᾑρημένην
ἄρχειν, καταστῆσαί τε τὰ ξυσσίτια,
ὅπως ἂν εὐωχῆσθε πρῶτον τήμερον.

ΒΛΕΠΥΡΟΣ.

ἤδη γὰρ εὐωχησόμεσθα;

ΠΡΑΞΑΓΟΡΑ.

φήμ' ἐγώ.
ἔπειτα τὰς πόρνας καταπαῦσαι βούλομαι
ἁπαξαπάσας.

ΒΛΕΠΥΡΟΣ.

ἵνα τί;

ΠΡΑΞΑΓΟΡΑ.

δῆλον τουτογί·
ἵνα τῶν νέων ἔχωσιν αὗται τὰς ἀκμάς.
καὶ τάς γε δούλας οὐχὶ δεῖ κοσμουμένας
τὴν τῶν ἐλευθέρων ὑφαρπάζειν Κύπριν,
ἀλλὰ παρὰ τοῖς δούλοισι κοιμᾶσθαι μόνον
κατωνάκῃ τὸν χοῖρον ἀποτετιλμένας.

ΒΛΕΠΥΡΟΣ.

φέρε νυν ἐγώ σοι παρακολουθῶ πλησίον,
ἵν' ἀποβλέπωμαι καὶ λέγωσί μοι ταδί·
τὸν τῆς στρατηγοῦ τοῦτον οὐ θαυμάζετε;

(ΧΟΡΟΥ.)

ΑΝΗΡ Α.

ἐγὼ δ', ἵν' εἰς ἀγορὰν γε τὰ σκεύη φέρω,
προχειριοῦμαι κἀξετάσω τὴν οὐσίαν.
χώρει σὺ δεῦρο κιναχύρα καλὴ καλῶς
τῶν χρημάτων θύραζε πρώτη τῶν ἐμῶν,
ὅπως ἂν ἐντετριμμένη κανηφορῇς,
πολλοὺς κάτω δὴ θυλάκους στρέψασ' ἐμούς.
ποῦ 'σθ' ἡ διφροφόρος; ἡ χύτρα δεῦρ' ἔξιθι,
νὴ Δία μέλαινά γ', οὐδ' ἂν εἰ τὸ φάρμακον
ἕψουσ' ἔτυχες ᾧ Λυσικράτης μελαίνεται.
ἵστω παρ' αὐτήν, δεῦρ' ἴθ' ἡ κομμώτρια·
φέρε δεῦρο ταύτην τὴν ὑδρίαν, ὑδριαφόρε,
ἐνταῦθα· σὺ δὲ δεῦρ' ἡ κιθαρῳδὸς ἔξιθι,
πολλάκις ἀναστήσασά μ' εἰς ἐκκλησίαν
ἀωρὶ νύκτωρ διὰ τὸν ὄρθριον νόμον.
ὁ τὴν σκάφην λαβὼν προΐτω, τὰ κηρία
κόμιζε, τοὺς θαλλοὺς καθίστη πλησίον,
καὶ τὼ τρίποδ' ἐξένεγκε καὶ τὴν λήκυθον·
τὰ χυτρίδι' ἤδη καὶ τὸν ὄχλον ἀφίετε.

ΑΝΗΡ Β.

ἐγὼ καταθήσω τἀμά; κακοδαίμων ἄρα
ἀνὴρ ἔσομαι καὶ νοῦν ὀλίγον κεκτημένος.
μὰ τὸν Ποσειδῶ οὐδέποτέ γ', ἀλλὰ βασανιῶ
πρώτιστον αὐτὰ πολλάκις καὶ σκέψομαι.
οὐ γὰρ τὸν ἐμὸν ἱδρῶτα καὶ φειδωλίαν
οὐδὲν πρὸς ἔπος οὕτως ἀνοήτως ἐκβαλῶ,
πρὶν ἐκπύθωμαι πᾶν τὸ πρᾶγμ' ὅπως ἔχει.
οὗτος, τί τὰ σκευάρια ταυτὶ βούλεται;
πότερον μετοικιζόμενος ἐξενήνοχας
αὔτ', ἢ φέρεις ἐνέχυρα θήσων;

ΑΝΗΡ Α.

οὐδαμῶς.

ΑΝΗΡ Β.

τί δῆτ' ἐπὶ στοίχου 'στὶν οὕτως; οὔ τι μὴ
Ἱέρωνι τῷ κήρυκι πομπὴν πέμπετε;

ΑΝΗΡ Α.

μὰ Δί', ἀλλ' ἀποφέρειν αὐτὰ μέλλω τῇ πόλει
εἰς τὴν ἀγορὰν κατὰ τοὺς δεδογμένους νόμους.

ΑΝΗΡ Β.

μέλλεις ἀποφέρειν;

ΑΝΗΡ Α.

πάνυ γε.

ΑΝΗΡ Β.

κακοδαίμων ἄρ' εἶ
νὴ τὸν Δία τὸν σωτῆρα.

ΑΝΗΡ Α.

πῶς;

ΑΝΗΡ Β.

πῶς; ῥᾳδίως.

ΑΝΗΡ Α.

τί δ'; οὐχὶ πειθαρχεῖν με τοῖς νόμοισι δεῖ;

ΑΝΗΡ Β.

ποίοισιν, ὦ δύστηνε;

ΑΝΗΡ Α.
τοῖς δεδογμένοις.
ΑΝΗΡ Β.
δεδογμένοισιν; ὡς ἀνόητος ἦσθ' ἄρα.
ΑΝΗΡ Α.
ἀνόητος;
ΑΝΗΡ Β.
οὐ γάρ; ἠλιθιώτατος μὲν οὖν
ἁπαξαπάντων.
ΑΝΗΡ Α.
ὅτι τὸ ταττόμενον ποιῶ;
ΑΝΗΡ Β.
τὸ ταττόμενον γὰρ δεῖ ποιεῖν τὸν σώφρονα;
ΑΝΗΡ Α.
μάλιστα πάντων.
ΑΝΗΡ Β.
τὸν μὲν οὖν ἀβέλτερον.
ΑΝΗΡ Α.
σὺ δ' οὐ καταθεῖναι διανοεῖ;
ΑΝΗΡ Β.
φυλάξομαι,
πρὶν ἄν γ' ἴδω τὸ πλῆθος ὅ τι βουλεύεται.
ΑΝΗΡ Α.
τί γὰρ ἄλλο γ' ἢ φέρειν παρεσκευασμένοι
τὰ χρήματ' εἰσίν;
ΑΝΗΡ Β.
ἀλλ' ἰδὼν ἐπειθόμην.
ΑΝΗΡ Α.
λέγουσι γοῦν ἐν ταῖς ὁδοῖς.
ΑΝΗΡ Β.
λέξουσι γάρ.
ΑΝΗΡ Α.
καί φασιν οἴσειν ἀράμενοι.
ΑΝΗΡ Β.
φήσουσι γάρ.
ΑΝΗΡ Α.
ἀπολεῖς ἀπιστῶν πάντ'.
ΑΝΗΡ Β.
ἀπιστήσουσι γάρ.
ΑΝΗΡ Α.
ὁ Ζεύς σέ γ' ἐπιτρίψειεν.
ΑΝΗΡ Β.
ἐπιτρίψουσι γάρ.
οἴσειν δοκεῖς τιν' ὅστις αὐτῶν νοῦν ἔχει;
οὐ γὰρ πάτριον τοῦτ' ἐστὶν, ἀλλὰ λαμβάνειν
ἡμᾶς μόνον δεῖ νὴ Δί. καὶ γὰρ οἱ θεοί·
γνώσει δ' ἀπὸ τῶν χειρῶν γε τῶν ἀγαλμάτων,
ὅταν γὰρ εὐχώμεσθα διδόναι τἀγαθὰ,
ἕστηκεν ἐκτείνοντα τὴν χεῖρ' ὑπτίαν,
οὐχ ὥς τι δώσοντ', ἀλλ' ὅπως τι λήψεται.
ΑΝΗΡ Α.
ὦ δαιμόνι' ἀνδρῶν, ἔα με τῶν προὔργου τι δρᾶν.
ταυτὶ γάρ ἐστι συνδετέα. ποῦ μοὔσθ' ἱμάς;
ΑΝΗΡ Β.
ὄντως γὰρ οἴσεις;
ΑΝΗΡ Α.
ναὶ μὰ Δία, καὶ δὴ μὲν οὖν
τωδὶ ξυνάπτω τὼ τρίποδε.
ΑΝΗΡ Β.
τῆς μωρίας,
τὸ μηδὲ περιμείναντα τοὺς ἄλλους ὅ τι
δράσουσιν, εἶτα τηνικαῦτ' ἤδη
ΑΝΗΡ Α.
τί δρᾶν;
ΑΝΗΡ Β.
ἐπαναμένειν, ἔπειτα διατρίβειν ἔτι.
ΑΝΗΡ Α.
ἵνα δὴ τί;
ΑΝΗΡ Β.
σεισμὸς εἰ γένοιτο πολλάκις,
ἢ πῦρ ἀπότροπον, ἢ διάξειεν γαλῆ,
παύσαιντ' ἂν εἰσφέροντες, ὠμβρόντητε σύ.
ΑΝΗΡ Α.
χαρίεντα γοῦν πάθοιμ' ἄν, εἰ μὴ 'χοιμ' ὅποι
ταῦτα καταθείην.
ΑΝΗΡ Β.
μὴ γὰρ οὐ λάβοις ὅποι.
θάρρει, καταθήσεις, κἂν ἔνης ἔλθῃς.
ΑΝΗΡ Α.
τί;
ΑΝΗΡ Β.
ἐγῷδα τούτους χειροτονοῦντας μὲν ταχύ,
ἅττ' ἂν δὲ δόξῃ, ταῦτα πάλιν ἀρνουμένους.
ΑΝΗΡ Α.
οἴσουσιν, ὦ τᾶν.
ΑΝΗΡ Β.
ἢν δὲ μὴ κομίσωσι, τί;
ΑΝΗΡ Α.
ἀμέλει κομιοῦσιν.
ΑΝΗΡ Β.
ἢν δὲ μὴ κομίσωσι, τί;
ΑΝΗΡ Α.
μαχούμεθ' αὐτοῖς.
ΑΝΗΡ Β.
ἢν δὲ κρείττους ὦσι, τί;
ΑΝΗΡ Α.
ἄπειμ' ἐάσας.
ΑΝΗΡ Β.
ἢν δὲ πωλῶσ' αὐτά, τί;
ΑΝΗΡ Α.
διαρραγείης.
ΑΝΗΡ Β.
ἢν διαρραγῶ δὲ, τί;
ΑΝΗΡ Α.
καλῶς ποιήσεις.
ΑΝΗΡ Β.
σὺ δ' ἐπιθυμήσεις φέρειν;
ΑΝΗΡ Α.
ἔγωγε· καὶ γὰρ τοὺς ἐμαυτοῦ γείτονας
ὁρῶ φέροντας.
ΑΝΗΡ Β.
πάνυ γ' ἂν οὖν Ἀντισθένης
αὐτ' εἰσενέγκοι· πολὺ γὰρ ἐμμελέστερον
πρότερον χέσαι πλεῖν ἢ τριάκονθ' ἡμέρας.
ΑΝΗΡ Α.
οἴμωζε.
ΑΝΗΡ Β.
Καλλίμαχος δ' ὁ χοροδιδάσκαλος
αὐτοῖσιν εἰσοίσει τί;

*ΑΝΗΡ Α.*

πλείω Καλλίου.

*ΑΝΗΡ Β.*

ἄνθρωπος οὗτος ἀποβαλεῖ τὴν οὐσίαν.

*ΑΝΗΡ Α.*

δεινά γε λέγεις.

*ΑΝΗΡ Β.*

τί δεινόν; ὥσπερ οὐχ ὁρῶν
ἀεὶ τοιαῦτα γιγνόμενα ψηφίσματα.
οὐκ οἶσθ' ἐκεῖν' οὔδοξε, τὸ περὶ τῶν ἁλῶν;

*ΑΝΗΡ Α.*

ἔγωγε.

*ΑΝΗΡ Β.*

τοὺς χαλκοῦς δ' ἐκείνους ἡνίκα
ἐψηφισάμεθ', οὐκ οἶσθα;

*ΑΝΗΡ Α.*

καὶ κακόν γέ μοι
τὸ κόμμ' ἐγένετ' ἐκεῖνο. πωλῶν γὰρ βότρυς
μεστὴν ἀπῆρα τὴν γνάθον χαλκῶν ἔχων,
κἄπειτ' ἐχώρουν εἰς ἀγορὰν ἐπ' ἄλφιτα.
ἔπειθ' ὑπέχοντος ἄρτι μου τὸν θύλακον,
ἀνέκραγ' ὁ κῆρυξ, μὴ δέχεσθαι μηδένα
χαλκὸν τὸ λοιπόν· ἀργύρῳ γὰρ χρώμεθα.

*ΑΝΗΡ Β.*

τὸ δ' ἔναγχος οὐχ ἅπαντες ἡμεῖς ὤμνυμεν
τάλαντ' ἔσεσθαι πεντακόσια τῇ πόλει
τῆς τετταρακοστῆς, ἣν ἐπόρισ' Εὐριπίδης;
κεὐθὺς κατεχρύσου πᾶς ἀνὴρ Εὐριπίδην·
ὅτε δὴ δ' ἀνασκοπουμένοις ἐφαίνετο
ὁ Διὸς Κόρινθος καὶ τὸ πρᾶγμ' οὐκ ἤρκεσεν,
πάλιν κατεπίττου πᾶς ἀνὴρ Εὐριπίδην.

*ΑΝΗΡ Α.*

οὐ ταυτὸν, ὦ τᾶν. τότε μὲν ἡμεῖς ἤρχομεν,
νῦν δ' αἱ γυναῖκες.

*ΑΝΗΡ Β.*

ἃς ἐγὼ φυλάξομαι
νὴ τὸν Ποσειδῶ μὴ κατουρήσωσί μου.

*ΑΝΗΡ Α.*

οὐκ οἶδ' ὅ τι ληρεῖς. φέρε σὺ τἀνάφορον ὁ παῖς.

*ΚΗΡΥΞ.*

ὦ πάντες ἀστοὶ, νῦν γὰρ οὕτω ταῦτ' ἔχει,
χωρεῖτ', ἐπείγεσθ' εὐθὺ τῆς στρατηγίδος,
ὅπως ἂν ὑμῖν ἡ τύχη κληρουμένοις
φράσῃ καθ' ἕκαστον ἄνδρ' ὅποι δειπνήσετε·
ὡς αἱ τράπεζαί γ' εἰσὶν ἐπινενησμέναι
ἀγαθῶν ἁπάντων καὶ παρεσκευασμέναι,
κλῖναί τε σισυρῶν καὶ δαπίδων νενασμέναι.
κρατῆρα συγκιρνᾶσιν, αἱ μυροπώλιδες,
ἑστᾶσ' ἐφεξῆς· τὰ τεμάχη ῥιπίζεται,
λαγῷ' ἀναπηγνύασι, πόπανα πέττεται,
στέφανοι πλέκονται, φρύγεται τραγήματα,
χύτρας ἔτνους ἕψουσιν αἱ νεώταται·
Σμοῖος δ' ἐν αὐταῖς ἱππικὴν στολὴν ἔχων
τὰ τῶν γυναικῶν διακαθαίρει τρύβλια.
Γέρων δὲ χωρεῖ χλανίδα καὶ κονίποδα
ἔχων, καχάζων μεθ' ἑτέρου νεανίου·
ἐμβὰς δὲ κεῖται καὶ τρίβων ἐρριμμένος.
πρὸς ταῦτα χωρεῖθ', ὡς ὁ τὴν μᾶζαν φέρων
ἕστηκεν· ἀλλὰ τὰς γνάθους διοίγνυτε.

*ΑΝΗΡ Α.*

οὐκοῦν βαδιοῦμαι δῆτα. τί γὰρ ἕστηκ' ἔχων
ἐνταῦθ', ἐπειδὴ ταῦτα τῇ πόλει δοκεῖ;

*ΑΝΗΡ Α.*

καὶ ποῖ βαδιεῖ σὺ μὴ καταθεὶς τὴν οὐσίαν;

*ΑΝΗΡ Β.*

ἐπὶ δεῖπνον.

*ΑΝΗΡ Α.*

οὐ δῆτ', ἤν γ' ἐκείναις νοῦς ἐνῇ,
πρίν γ' ἂν ἀπενέγκῃς.

*ΑΝΗΡ Β.*

ἀλλ' ἀποίσω.

*ΑΝΗΡ Α.*

πηνίκα;

*ΑΝΗΡ Β.*

οὐ τοὐμὸν, ὦ τᾶν, ἐμποδὼν ἔσται.

*ΑΝΗΡ Α.*

τί δή;

*ΑΝΗΡ Β.*

ἑτέρους ἀποίσειν φήμ' ἔθ' ὑστέρους ἐμοῦ.

*ΑΝΗΡ Α.*

βαδιεῖ δὲ δειπνήσων ὅμως;

*ΑΝΗΡ Β.*

τί γὰρ πάθω;
τὰ δυνατὰ γὰρ δεῖ τῇ πόλει ξυλλαμβάνειν
τοὺς εὖ φρονοῦντας.

*ΑΝΗΡ Α.*

ἢν δὲ κωλύσωσι, τί;

*ΑΝΗΡ Β.*

ὁμόσ' εἶμι κύψας.

*ΑΝΗΡ Α.*

ἢν δὲ μαστιγῶσι, τί;

*ΑΝΗΡ Β.*

καλούμεθ' αὐτάς.

*ΑΝΗΡ Α.*

ἢν δὲ καταγελῶσι, τί;

*ΑΝΗΡ Β.*

ἐπὶ ταῖς θύραις ἑστὼς

*ΑΝΗΡ Α.*

τί δράσεις; εἰπέ μοι.

*ΑΝΗΡ Β.*

τῶν εἰσφερόντων ἁρπάσομαι τὰ σιτία.

*ΑΝΗΡ Α.*

βάδιζε τοίνυν ὕστερος· σὺ δ', ὦ Σίκων
καὶ Παρμένων, αἴρεσθε τὴν παμπησίαν.

*ΑΝΗΡ Β.*

φέρε νυν ἐγώ σοι ξυμφέρω.

*ΑΝΗΡ Α.*

μὴ, μηδαμῶς.
δέδοικα γὰρ μὴ καὶ παρὰ τῇ στρατηγίδι,
ὅταν κατατιθῶ, προσποιῇ τῶν χρημάτων.

*ΑΝΗΡ Β.*

νὴ τὸν Δία δεῖ γοῦν μηχανήματός τινος,
ὅπως τὰ μὲν ὄντα χρήμαθ' ἕξω, τοῖσδε δὲ
τῶν ματτομένων κοινῇ μεθέξω πως ἐγώ.
ὀρθῶς ἔμοιγε φαίνεται· βαδιστέον
ὁμόσ' ἐστὶ δειπνήσοντα κοὐ μελλητέον.

*ΓΡΑΥΣ Α.*

τί ποθ' ἄνδρες οὐχ ἥκουσιν; ὥρα δ' ἦν πάλαι·
ἐγὼ δὲ καταπεπλασμένη ψιμυθίῳ

ἕστηκα καὶ κροκωτὸν ἠμφιεσμένη,
ἀργὸς, μινυρομένη τι πρὸς ἐμαυτὴν μέλος,
παίζουσ', ὅπως ἂν περιλάβοιμ' αὐτῶν τινὰ
παριόντα. Μοῦσαι, δεῦρ' ἴτ' ἐπὶ τοὐμὸν στόμα,
μελύδριον εὑροῦσαί τι τῶν Ἰωνικῶν.

ΝΕΑΝΙΣ.

νῦν μέν με παρακύψασα προὔφθης, ὦ σαπρά.
ᾤου δ' ἐρήμας οὐ παρούσης ἐνθάδε
ἐμοῦ τρυγήσειν καὶ προσάξεσθαί τινα
ᾄδουσ'· ἐγὼ δ', ἢν τοῦτο δρᾷς, ἀντᾴσομαι.
κεἰ γὰρ δι' ὄχλου τοῦτ' ἐστὶ τοῖς θεωμένοις,
ὅμως ἔχει τερπνόν τι καὶ κωμῳδικόν.

ΓΡΑΥΣ Α.

τούτῳ διαλέγου κἀποχώρησον· σὺ δὲ,
φιλοττάριον αὐλητὰ, τοὺς αὐλοὺς λαβὼν
ἄξιον ἐμοῦ καὶ σοῦ προσαύλησον μέλος.
εἴ τις ἀγαθὸν βούλεται πα-
θεῖν τι, παρ' ἐμοὶ χρὴ καθεύδειν.
οὐ γὰρ ἐν νέαις τὸ σοφὸν ἔν-
εστιν, ἀλλ' ἐν ταῖς πεπείροις·
οὐδέ τις στέργειν ἂν ἐθέλοι
μᾶλλον ἢ 'γὼ τὸν φίλον
ᾧπερ ξυνείην·
ἀλλ' ἐφ' ἕτερον ἂν πέτοιτο.

ΝΕΑΝΙΣ.

μὴ φθόνει ταῖς νέαισι.
τὸ τρυφερὸν γὰρ ἐμπέφυκε
τοῖς ἁπαλοῖσι μηροῖς,
κἀπὶ τοῖς μήλοις ἐπαν-
θεῖ· σὺ δ', ὦ γραῦ, παραλέλεξαι κἀντέτριψαι,
τῷ θανάτῳ μέλημα.

ΓΡΑΥΣ Α.

ἐκπέσοι σου τὸ τρῆμα,
τό τ' ἐπίκλιντρον ἀποβάλοιο,
βουλομένη σποδεῖσθαι,
κἀπὶ τῆς κλίνης ὄφιν
εὕροις καὶ προσελκύσαιο
βουλομένη φιλῆσαι.

ΝΕΑΝΙΣ.

αἰαῖ, τί ποτε πείσομαι;
οὐχ ἥκει μοὐταῖρος·
μόνη δ' αὐτοῦ λείπομ'· ἡ
γάρ μοι μήτηρ ἄλλῃ βέβηκε
καὶ τἄλλ' οὐδέν με ταῦτα δεῖ λέγειν.
ἀλλ', ὦ μαῖ', ἱκετεύομαι,
κάλει τὸν Ὀρθαγόραν, ὅπως
σαυτῆς κατόναι', ἀντιβολῶ σε.

ΓΡΑΥΣ Α.

ἤδη τὸν ἀπ' Ἰωνίας
τρόπον τάλαινα κνησιᾷς·
δοκεῖς δέ μοι καὶ λάβδα κατὰ τοὺς Λεσβίους.
ἀλλ' οὐκ ἄν ποθ' ὑφαρπάσαιο
τἀμὰ παίγνια· τὴν δ' ἐμὴν
ὥραν οὐκ ἀπολεῖς οὐδ' ἀπολήψει.

ΝΕΑΝΙΣ.

ᾆδ' ὁπόσα βούλει καὶ παράκυφθ' ὥσπερ γαλῆ·
οὐδεὶς γὰρ ὡς σὲ πρότερον εἴσεισ' ἀντ' ἐμοῦ.

900—905. = 906—911.
912—917. = 918—923.

ΓΡΑΥΣ Α.

οὔκουν ἐπ' ἐκφοράν γε.

ΝΕΑΝΙΣ.

καινόν γ', ὦ σαπρά.

ΓΡΑΥΣ Α.

οὐ δῆτα.

ΝΕΑΝΙΣ.

τί γὰρ ἂν γρᾳῒ καινά τις λέγοι;

ΓΡΑΥΣ Α.

οὐ τοὐμὸν ὀδυνήσει σε γῆρας.

ΝΕΑΝΙΣ Α.

ἀλλὰ τί;
ἤγχουσα μᾶλλον καὶ τὸ σὸν ψιμύθιον;

ΓΡΑΥΣ Α.

τί μοι διαλέγει;

ΝΕΑΝΙΣ.

σὺ δὲ τί διακύπτεις;

ΓΡΑΥΣ Α.

ἐγώ;
ᾄδω πρὸς ἐμαυτὴν Ἐπιγένει τὠμῷ φίλῳ.

ΝΕΑΝΙΣ.

σοὶ γὰρ φίλος τίς ἐστιν ἄλλος ἢ Γέρης;

ΓΡΑΥΣ Α.

δείξει γε καὶ σοί. τάχα γὰρ εἶσιν ὡς ἐμέ.
ὁδὶ γὰρ αὐτός ἐστιν.

ΝΕΑΝΙΣ.

οὐ σοῦ γ', ὤλεθρε,
δεόμενος οὐδέν.

ΓΡΑΥΣ Α.

νὴ Δί', ὦ φθίνυλλα σύ.

ΝΕΑΝΙΣ.

δείξει τάχ' αὐτὸς, ὡς ἔγωγ' ἀπέρχομαι.

ΓΡΑΥΣ Α.

κἄγωγ', ἵνα γνῷς ὡς πολύ σου μεῖζον φρονῶ.

ΝΕΑΝΙΑΣ.

εἴθ' ἐξῆν παρὰ τῇ νέᾳ καθεύδειν,
καὶ μὴ 'δει πρότερον διασποδῆσαι
ἀνάσιμον ἢ πρεσβυτέραν·
οὐ γὰρ ἀνασχετὸν τοῦτό γ' ἐλευθέρῳ.

ΓΡΑΥΣ Α.

οἰμώζων ἄρα νὴ Δία σποδήσεις.
οὐ γὰρ τἀπὶ Χαριξένης τάδ' ἐστίν.
κατὰ τὸν νόμον ταῦτα ποιεῖν
ἔστι δίκαιον, εἰ δημοκρατούμεθα.
ἀλλ' εἶμι τηρήσουσ' ὅ τι καὶ δράσει ποτέ.

ΝΕΑΝΙΑΣ.

εἴθ', ὦ θεοὶ, λάβοιμι τὴν καλὴν μόνην,
ἐφ' ἣν πεπωκὼς ἔρχομαι πάλαι ποθῶν.

ΝΕΑΝΙΣ.

ἐξηπάτησα τὸ κατάρατον γρᾴδιον·
φρούδη γάρ ἐστιν οἰομένη μ' ἔνδον μενεῖν.

ΓΡΑΥΣ Α.

ἀλλ' ουτοσὶ γὰρ αὐτὸς οὗ μεμνήμεθα.
δεῦρο δὴ δεῦρο δή,

938—941. = 942—945.
951—959. = 960—968.

φίλον ἐμὸν, δεῦρό μοι
πρόσελθε καὶ ξύνευνός μοι
τὴν εὐφρόνην ὅπως ἔσει.
πάνυ γάρ τις ἔρως με δονεῖ
τῶνδε τῶν σῶν βοστρύχων.
ἄτοπος δ' ἔγκειταί μοί τις πόθος,
ὅς με διακναίσας ἔχει.
μέθες, ἱκνοῦμαί σ', Ἔρως,
καὶ ποίησον τόνδ' ἐς εὐνὴν
τὴν ἐμὴν ἱκέσθαι.

ΝΕΑΝΙΑΣ.

δεῦρο δὴ δεῦρο δὴ,
καὶ σύ μοι καταδραμοῦ-
σα τὴν θύραν ἄνοιξον
τήνδ'· εἰ δὲ μὴ, καταπεσὼν κείσομαι.
φίλον, ἀλλ' ἐν τῷ σῷ
βούλομαι κόλπῳ
πληκτίζεσθαι μετὰ τῆς σῆς πυγῆς.
Κύπρι, τί μ' ἐκμαίνεις ἐπὶ ταύτῃ;
μέθες, ἱκνοῦμαί σ', Ἔρως,
καὶ ποίησον τήνδ' ἐς εὐνὴν
τὴν ἐμὴν ἱκέσθαι.
καὶ ταῦτα μέντοι μετρίως πρὸς τὴν ἐμὴν ἀνάγκην
εἰρημέν' ἐστίν. σὺ δέ μοι, φίλτατον, ὦ ἱκετεύω,
ἄνοιξον, ἀσπάζου με·
διά τοι σὲ πόνους ἔχω.
ὦ χρυσοδαίδαλτον ἐμὸν μέλημα, Κύπριδος ἔρνος,
μέλιττα Μούσης, Χαρίτων θρέμμα, Τρυφῆς
πρόσωπον,
ἄνοιξον, ἀσπάζου με·
διά τοι σὲ πόνους ἔχω.

ΓΡΑΥΣ Α.

οὗτος, τί κόπτεις; μῶν ἐμὲ ζητεῖς;

ΝΕΑΝΙΑΣ.

πόθεν;

ΓΡΑΥΣ Α.

καὶ τὴν θύραν γ' ἤραττες.

ΝΕΑΝΙΑΣ.

ἀποθάνοιμ' ἄρα.

ΓΡΑΥΣ Α.

τοῦ δαὶ δεόμενος δᾷδ' ἔχων ἐλήλυθας;

ΝΕΑΝΙΑΣ.

Ἀναφλύστιον ζητῶν τιν' ἄνθρωπον.

ΓΡΑΥΣ Α.

τίνα;

ΝΕΑΝΙΑΣ.

οὐ τὸν Σεβῖνον, ὃν σὺ προσδοκᾷς ἴσως.

ΓΡΑΥΣ Α.

νὴ τὴν Ἀφροδίτην, ἤν τε βούλῃ γ' ἤν τε μή.

ΝΕΑΝΙΑΣ.

ἀλλ' οὐχὶ νυνὶ τὰς ὑπερεξηκοντέτεις
εἰσάγομεν, ἀλλ' εἰσαῦθις ἀναβεβλήμεθα.
τὰς ἐντὸς εἴκοσιν γὰρ ἐκδικάζομεν.

ΓΡΑΥΣ Α.

ἐπὶ τῆς προτέρας ἀρχῆς γε ταῦτ' ἦν, ὦ γλύκων·
νυνὶ δὲ πρῶτον εἰσάγειν ἡμᾶς δοκεῖ.

969—972. = 973—976.

ΝΕΑΝΙΑΣ.

τῷ βουλομένῳ γε, κατὰ τὸν ἐν πεττοῖς νόμον.

ΓΡΑΥΣ Α.

ἀλλ' οὐδὲ δειπνεῖς κατὰ τὸν ἐν πεττοῖς νόμον.

ΝΕΑΝΙΑΣ.

οὐκ οἶδ' ὅ τι λέγεις· τηνδεδί μοι κρουστέον.

ΓΡΑΥΣ Α.

ὅταν γε κρούσῃς τὴν ἐμὴν πρῶτον θύραν.

ΝΕΑΝΙΑΣ.

ἀλλ' οὐχὶ νυνὶ κρησέραν αἰτούμεθα.

ΓΡΑΥΣ Α.

οἶδ' ὅτι φιλοῦμαι· νῦν δὲ θαυμάζεις ὅτι
θύρασί μ' εὗρες· ἀλλὰ πρόσαγε τὸ στόμα.

ΝΕΑΝΙΑΣ.

ἀλλ', ὦ μέλ', ὀρρωδῶ τὸν ἐραστήν σου.

ΓΡΑΥΣ Α.

τίνα;

ΝΕΑΝΙΑΣ.

τὸν τῶν γραφέων ἄριστον.

ΓΡΑΥΣ Α.

οὗτος δ' ἔστι τίς;

ΝΕΑΝΙΑΣ.

ὃς τοῖς νεκροῖσι ζωγραφεῖ τὰς ληκύθους.
ἀλλ' ἄπιθ', ὅπως μή σ' ἐπὶ θύραισιν ὄψεται.

ΓΡΑΥΣ Α.

οἶδ' οἶδ' ὅ τι βούλει.

ΝΕΑΝΙΑΣ.

καὶ γὰρ ἐγώ σε νὴ Δία.

ΓΡΑΥΣ Α.

μὰ τὴν Ἀφροδίτην, ἥ μ' ἔλαχε κληρουμένη,
μὴ 'γώ σ' ἀφήσω.

ΝΕΑΝΙΑΣ.

παραφρονεῖς, ὦ γρᾴδιον.

ΓΡΑΥΣ Α.

ληρεῖς· ἐγὼ δ' ἄξω σ' ἐπὶ τἀμὰ στρώματα.

ΝΕΑΝΙΑΣ.

τί δῆτα κρεάγρας τοῖς κάδοις ὠνοίμεθ' ἄν,
ἐξὸν καθέντα γρᾴδιον τοιουτονὶ
ἐκ τῶν φρεάτων τοὺς κάδους ξυλλαμβάνειν;

ΓΡΑΥΣ Α.

μὴ σκῶπτέ μ', ὦ τάλαν, ἀλλ' ἕπου δεῦρ' ὡς
ἐμέ.

ΝΕΑΝΙΑΣ.

ἀλλ' οὐκ ἀνάγκη μοὐστὶν, εἰ μὴ τῶν ἐτῶν
τὴν πεντακοσιοστὴν κατέθηκας τῇ πόλει.

ΓΡΑΥΣ Α.

νὴ τὴν Ἀφροδίτην, δεῖ γε μέντοι σ'. ὡς ἐγὼ
τοῖς τηλικούτοις ξυγκαθεύδουσ' ἥδομαι.

ΝΕΑΝΙΑΣ.

ἐγὼ δὲ ταῖς γε τηλικαύταις ἄχθομαι,
κοὐκ ἂν πιθοίμην οὐδέποτ'.

ΓΡΑΥΣ Α.

ἀλλὰ νὴ Δία
ἀναγκάσει τουτί σε.

ΝΕΑΝΙΑΣ.

τοῦτο δ' ἔστι τί;

*ΓΡΑΥΣ Α.*
ψήφισμα, καθ' ὅ σε δεῖ βαδίζειν ὡς ἐμέ.
*ΝΕΑΝΙΑΣ.*
λέγ' αὐτὸ τί ποτε κἄστι.
*ΓΡΑΥΣ Β.*
καὶ δή σοι λέγω.
ἔδοξε ταῖς γυναιξὶν, ἦν ἀνὴρ νέος
νέας ἐπιθυμῇ, μὴ σποδεῖν αὐτὴν πρὶν ἂν
τὴν γραῦν προκρούσῃ πρῶτον· ἢν δὲ μὴ θέλῃ
πρότερον προκρούειν, ἀλλ' ἐπιθυμῇ τῆς νέας,
ταῖς πρεσβυτέραις γυναιξὶν ἔστω τὸν νέον
ἕλκειν ἀνατὶ λαβομένας τοῦ παττάλου.
*ΝΕΑΝΙΑΣ.*
οἴμοι· Προκρούστης τήμερον γενήσομαι.
*ΓΡΑΥΣ Α.*
τοῖς γαρ νόμοις τοῖς ἡμετέροισι πειστέον.
*ΝΕΑΝΙΑΣ.*
τί δ', ἢν ἀφαιρῆταί μ' ἀνὴρ τῶν δημοτῶν
ἢ τῶν φίλων ἐλθών τις;
*ΓΡΑΥΣ Α.*
ἀλλ' οὐ κύριος
ὑπὲρ μέδιμνόν ἐστ' ἀνὴρ οὐδεὶς ἔτι.
*ΝΕΑΝΙΑΣ.*
ἐξωμοσία δ' οὐκ ἔστιν;
*ΓΡΑΥΣ Α.*
οὐ γὰρ δεῖ στροφῆς.
*ΝΕΑΝΙΑΣ.*
ἀλλ' ἔμπορος εἶναι σκήψομαι.
*ΓΡΑΥΣ Β.*
κλάων γε σύ.
*ΝΕΑΝΙΑΣ.*
τί δῆτα χρὴ δρᾶν;
*ΓΡΑΥΣ Α.*
δεῦρ' ἀκολουθεῖν ὡς ἐμέ.
*ΝΕΑΝΙΑΣ.*
καὶ ταῦτ' ἀνάγκη μοὐστί;
*ΓΡΑΥΣ Α.*
Διομήδειά γε.
*ΝΕΑΝΙΑΣ.*
ὑποστόρεσαί νυν πρῶτα τῆς ὀριγάνου,
καὶ κλήμαθ' ὑπόθου συγκλάσασα τέτταρα,
καὶ ταινίωσαι, καὶ παράθου τὰς ληκύθους,
ὕδατός τε κατάθου τοὔστρακον πρὸ τῆς θύρας.
*ΓΡΑΥΣ Α.*
ἦ μὴν ἔτ' ὠνήσει σὺ καὶ στεφάνην ἐμοί.
*ΝΕΑΝΙΑΣ.*
νὴ τὸν Δί', ἤνπερ ᾖ γέ που τῶν κηρίνων.
οἶμαι γὰρ ἔνδον διαπεσεῖσθαί σ' αὐτίκα.
*ΝΕΑΝΙΣ.*
ποῖ τοῦτον ἕλκεις σύ;
*ΓΡΑΥΣ Α.*
τὸν ἐμαυτῆς εἰσάγω.
*ΝΕΑΝΙΣ.*
οὐ σωφρονοῦσά γ'. οὐ γὰρ ἡλικίαν ἔχει
παρὰ σοὶ καθεύδειν τηλικοῦτος ὤν, ἐπεὶ
μήτηρ ἂν αὐτῷ μᾶλλον εἴης ἢ γυνή.
ὥστ' εἰ καταστήσεσθε τοῦτον τὸν νόμον,
τὴν γῆν ἅπασαν Οἰδιπόδων ἐμπλήσετε.
*ΓΡΑΥΣ Α.*
ὦ παμβδελυρὰ, φθονοῦσα τόνδε τὸν λόγον
ἐξεῦρες· ἀλλ' ἐγώ σε τιμωρήσομαι.
*ΝΕΑΝΙΑΣ.*
νὴ τὸν Δία τὸν σωτῆρα, κεχάρισαί γέ μοι,
ὦ γλυκύτατον, τὴν γραῦν ἀπαλλάξασά μου·
ὥστ' ἀντὶ τούτων τῶν ἀγαθῶν εἰς ἑσπέραν
μεγάλην ἀποδώσω καὶ παχεῖάν σοι χάριν.
*ΓΡΑΥΣ Β.*
αὕτη σὺ, ποῖ παραβᾶσα τόνδε τὸν νόμον
ἕλκεις, παρ' ἐμοὶ τῶν γραμμάτων εἰρηκότων
πρότερον καθεύδειν αὐτόν;
*ΝΕΑΝΙΑΣ.*
οἴμοι δείλαιος.
πόθεν ἐξέκυψας, ὦ κάκιστ' ἀπολουμένη;
τοῦτο γὰρ ἐκείνου τὸ κακὸν ἐξωλέστερον.
*ΓΡΑΥΣ Β.*
βάδιζε δεῦρο.
*ΝΕΑΝΙΑΣ.*
μηδαμῶς με περιίδῃς
ἑλκόμενον ὑπὸ τῆσδ', ἀντιβολῶ σ'.
*ΓΡΑΥΣ Β.*
ἀλλ' οὐκ ἐ
ἀλλ' ὁ νόμος ἕλκει σ'.
*ΝΕΑΝΙΑΣ.*
οὐκ ἔμεγ', ἀλλ' ἔμπουσά
ἐξ αἵματος φλύκταιναν ἠμφιεσμένη.
*ΓΡΑΥΣ Β.*
ἕπου, μαλακίων, δεῦρ' ἀνύσας καὶ μὴ λάλει.
*ΝΕΑΝΙΑΣ.*
ἴθι νυν ἔασον εἰς ἄφοδον πρώτιστά με
ἐλθόντα θαρρῆσαι πρὸς ἐμαυτόν· εἰ δὲ μὴ,
αὐτοῦ τι δρῶντα πυῤῥὸν ὄψει μ' αὐτίκα
ὑπὸ τοῦ δέους.
*ΓΡΑΥΣ Β.*
θάρρει, βάδιζ'· ἔνδον χεσεῖ.
*ΝΕΑΝΙΑΣ.*
δέδοικα κἀγὼ μὴ πλέον ἤπερ βούλομαι.
ἀλλ' ἐγγυητάς σοι καταστήσω δύο
ἀξιόχρεως.
*ΓΡΑΥΣ Β.*
μή μοι καθίστη.
*ΓΡΑΥΣ Γ.*
ποῖ σὺ, ποῖ
χωρεῖς μετὰ ταύτης;
*ΝΕΑΝΙΑΣ.*
οὐκ ἔγωγ', ἀλλ' ἕλκομαι.
ἀτὰρ ἥτις εἶ γε, πόλλ' ἀγαθὰ γένοιτό σοι,
ὅτι μ' οὐ περιεῖδες ἐπιτριβέντ'. ὦ Ἡράκλεις,
ὦ Πᾶνες, ὦ Κορύβαντες, ὦ Διοσκόρω,
τοῦτ' αὖ πολὺ τούτου τὸ κακὸν ἐξωλέστερον.
ἀτὰρ τί τὸ πρᾶγμ' ἔστ', ἀντιβολῶ, τουτὶ τί
πότερον πίθηκος ἀνάπλεως ψιμυθίου,
ἢ γραῦς ἀνεστηκυῖα παρὰ τῶν πλειόνων;
*ΓΡΑΥΣ Γ.*
μὴ σκῶπτέ μ', ἀλλὰ δεῦρ' ἕπου.

*ΓΡΑΥΣ Β.*
δευρὶ μὲν οὖν.
*ΓΡΑΥΣ Γ.*
ὡς οὐκ ἀφήσω οὐδέποτέ σ'.
*ΓΡΑΥΣ Β.*
οὐδὲ μὴν ἐγώ.
*ΝΕΑΝΙΑΣ.*
διασπάσεσθέ μ', ὦ κακῶς ἀπολούμεναι.
*ΓΡΑΥΣ Β.*
ἐμοὶ γὰρ ἀκολουθεῖν σ' ἔδει κατὰ τὸν νόμον.
*ΓΡΑΥΣ Γ.*
οὔκ, ἢν ἑτέρα γε γραῦς ἔτ' αἰσχίων φανῇ.
*ΝΕΑΝΙΑΣ.*
ἢν οὖν ὑφ' ὑμῶν πρῶτον ἀπόλωμαι κακῶς,
φέρε, πῶς ἐπ' ἐκείνην τὴν καλὴν ἀφίξομαι;
*ΓΡΑΥΣ Γ.*
αὐτὸς σκόπει σύ· τάδε δέ σοι ποιητέον.
*ΝΕΑΝΙΑΣ.*
ποτέρας προτέρας οὖν κατελάσας ἀπαλλαγῶ;
*ΓΡΑΥΣ Β.*
οὐκ οἶσθα; βαδιεῖ δεῦρ'.
*ΝΕΑΝΙΑΣ.*
ἀφέτω νύν μ' αὑτηί.
*ΓΡΑΥΣ Γ.*
δευρὶ μὲν οὖν ἴθ' ὡς ἔμ'.
*ΝΕΑΝΙΑΣ.*
ἢν ἡδί μ' ἀφῇ.
*ΓΡΑΥΣ Β.*
ἀλλ' οὐκ ἀφήσω μὰ Δία σ'.
*ΓΡΑΥΣ Γ.*
οὐδὲ μὴν ἐγώ.
*ΝΕΑΝΙΑΣ.*
χαλεπαί γ' ἂν ἦτε γενόμεναι πορθμῆς.
*ΓΡΑΥΣ Β.*
τιή;
*ΝΕΑΝΙΑΣ.*
ἕλκοντε τοὺς πλωτῆρας ἂν ἀπεκναίετε.
*ΓΡΑΥΣ Β.*
σιγῇ βάδιζε δεῦρο.
*ΓΡΑΥΣ Γ.*
μὰ Δί' ἀλλ' ὡς ἐμέ.
*ΝΕΑΝΙΑΣ.*
τουτὶ τὸ πρᾶγμα κατὰ τὸ Καννώνου σαφῶς
ψήφισμα, βινεῖν δεῖ με διαλελημμένον.
πῶς οὖν δικωπεῖν ἀμφοτέρας δυνήσομαι;
*ΓΡΑΥΣ Β.*
καλῶς, ἐπειδὰν καταφάγῃς βολβῶν χύτραν.
*ΝΕΑΝΙΑΣ.*
οἴμοι κακοδαίμων, ἐγγὺς ἤδη τῆς θύρας
ἑλκόμενος εἴμ'.
*ΓΡΑΥΣ Γ.*
ἀλλ' οὐδὲν ἔσται σοι πλέον.
ξυνεισπεσοῦμαι γὰρ μετὰ σοῦ.
*ΝΕΑΝΙΑΣ.*
μὴ πρὸς θεῶν.
ἑνὶ γὰρ ξυνέχεσθαι κρεῖττον ἢ δυοῖν κακοῖν.
*ΓΡΑΥΣ Γ.*
νὴ τὴν Ἑκάτην, ἐάν τε βούλῃ γ' ἤν τε μή.
*ΝΕΑΝΙΑΣ.*
ὢ τρισκακοδαίμων, εἰ γυναῖκα δεῖ σαπρὰν
βινεῖν ὅλην τὴν νύκτα καὶ τὴν ἡμέραν,
κἄπειτ' ἐπειδὰν τῆσδ' ἀπαλλαγῶ, πάλιν
Φρύνην ἔχουσαν λήκυθον πρὸς ταῖς γνάθοις.
ἆρ' οὐ κακοδαίμων εἰμί; βαρυδαίμων μὲν οὖν
νὴ τὸν Δία τὸν σωτῆρ' ἀνὴρ καὶ δυστυχής,
ὅστις τοιούτοις θηρίοις συνείξομαι.
ὅμως δ' ἐάν τι πολλὰ πολλάκις πάθω
ὑπὸ ταῖνδε ταῖν κασαλβάδοιν, δεῦρ' εἰσπλέων,
θάψαι μ' ἐπ' αὐτῷ τῷ στόματι τῆς εἰσβολῆς·
καὶ τὴν ἄνωθεν ἐπιπολῆς τοῦ σήματος
ζῶσαν καταπιττώσαντες, εἶτα τὼ πόδε
μολυβδοχοήσαντας κύκλῳ περὶ τὰ σφυρά,
ἄνω 'πιθεῖναι πρόφασιν ἀντὶ ληκύθου.
*ΘΕΡΑΠΑΙΝΑ.*
ὦ μακάριος μὲν δῆμος, εὐδαίμων δ' ἐγώ,
αὐτή τέ μοι δέσποινα μακαριωτάτη,
ὑμεῖς δ' ὅσαι παρέστατ' ἐπὶ ταῖσιν θύραις,
οἵ γείτονές τε πάντες οἵ τε δημόται,
ἐγώ τε πρὸς τούτοισιν ἡ διάκονος,
ἥτις μεμύρωμαι τὴν κεφαλὴν μυρώμασιν
ἀγαθοῖσιν, ὦ Ζεῦ· πολὺ δ' ὑπερπέπαικεν αὖ
τούτων ἁπάντων τὰ Θάσι' ἀμφορείδια.
ἐν τῇ κεφαλῇ γὰρ ἐμμένει πολὺν χρόνον·
τὰ δ' ἄλλ' ἀπανθήσαντα πάντ' ἀπέπτατο·
ὥστ' ἐστὶ πολὺ βέλτιστα, πολὺ δῆτ', ὦ θεοί.
κέρασον ἄκρατον, εὐφρανεῖ τὴν νύχθ' ὅλην
ἐκλεγομένας ὅ τι ἂν μάλιστ' ὀσμὴν ἔχῃ.
ἀλλ', ὦ γυναῖκες, φράσατέ μοι τὸν δεσπότην,
τὸν ἄνδρ', ὅπου 'στί, τῆς ἐμῆς κεκτημένης.
*ΧΟΡΟΣ.*
αὐτοῦ μένουσ' ἡμῖν γ' ἂν ἐξευρεῖν δοκεῖς.
*ΘΕΡΑΠΑΙΝΑ.*
μάλισθ'· ὁδὶ γὰρ ἐπὶ τὸ δεῖπνον ἔρχεται.
ὦ δέσποτ', ὦ μακάριε καὶ τρισόλβιε.
*ΔΕΣΠΟΤΗΣ.*
ἐγώ;
*ΘΕΡΑΠΑΙΝΑ.*
σὺ μέντοι νὴ Δί' ὥς γ' οὐδεὶς ἀνήρ.
τίς γὰρ γένοιτ' ἂν μᾶλλον ὀλβιώτερος,
ὅστις πολιτῶν πλεῖον ἢ τρισμυρίων
ὄντων τὸ πλῆθος οὐ δεδείπνηκας μόνος;
*ΧΟΡΟΣ.*
εὐδαιμονικόν γ' ἄνθρωπον εἴρηκας σαφῶς.
*ΘΕΡΑΠΑΙΝΑ.*
ποῖ ποῖ βαδίζεις;
*ΔΕΣΠΟΤΗΣ.*
ἐπὶ τὸ δεῖπνον ἔρχομαι.
*ΘΕΡΑΠΑΙΝΑ.*
νὴ τὴν Ἀφροδίτην, πολύ γ' ἁπάντων ὕστατος.
ὅμως δ' ἐκέλευε συλλαβοῦσάν μ' ἡ γυνὴ
ἄγειν σε καὶ τασδὶ μετὰ σοῦ τὰς μείρακας.
οἶνος δὲ Χῖός ἐστι περιλελειμμένος
καὶ τἄλλ' ἀγαθά. πρὸς ταῦτα μὴ βραδύνετε,
καὶ τῶν θεατῶν εἴ τις εὔνους τυγχάνει,
καὶ τῶν κριτῶν εἰ μή τις ἑτέρωσε βλέπει,

ἴτω μεθ' ἡμῶν· πάντα γὰρ παρέξομεν.
οὔκουν ἅπασι δῆτα γενναίως ἐρεῖς
καὶ μὴ παραλείψεις μηδέν', ἀλλ' ἐλευθέρως
καλεῖν γέροντα, μειράκιον, παιδίσκον; ὡς
τὸ δεῖπνον αὐτοῖς ἔστ' ἐπεσκευασμένον
ἀπαξάπασιν; ἢν ἀπίωσιν οἴκαδε.

ΧΟΡΟΣ.

ἐγὼ δὲ πρὸς τὸ δεῖπνον ἤδη 'πείξομαι,
ἔχω δέ τοι καὶ δᾷδα ταυτηνὶ καλῶς.
τί δῆτα διατρίβεις ἔχων, ἀλλ' οὐκ ἄγεις
τασδὶ λαβών; ἐν ὅσῳ δὲ καταβαίνεις, ἐγὼ
ἐπᾴσομαι μέλος τι μελλοδειπνικόν.
σμικρὸν δ' ὑποθέσθαι τοῖς κριταῖσι βούλομαι·
τοῖς σοφοῖς μὲν, τῶν σοφῶν μεμνημένοις κρί-
νειν ἐμέ·
τοῖς γελῶσι δ' ἡδέως, διὰ τὸν γέλων κρίνειν
ἐμέ·
σχεδὸν ἅπαντας οὖν κελεύω δηλαδὴ κρίνειν ἐμέ.
μηδὲ τὸν κλῆρον γενέσθαι μηδὲν ἡμῖν αἴτιον,
ὅτι προείληχ'· ἀλλ' ἅπαντα ταῦτα χρὴ μεμνη-
μένους
μὴ 'πιορκεῖν, ἀλλὰ κρίνειν τοὺς χοροὺς ὀρθῶς
ἀεὶ,
μηδὲ ταῖς κακαῖς ἑταίραις τὸν τρόπον προσει-
κέναι,
αἳ μόνον μνήμην ἔχουσι τῶν τελευταίων ἀεί.
ὢ ὢ ὥρα δὴ,
ὦ φίλαι γυναῖκες, εἴπερ μέλλομεν τὸ χρῆμα
δρᾶν,
ἐπὶ τὸ δεῖπνον ὑπανακινεῖν. Κρητικῶς οὖν
πόδε
καὶ σὺ κίνει.

ΗΜΙΧΟΡΙΟΝ.

τοῦτο δρῶ.

ΗΜΙΧΟΡΙΟΝ.

καὶ τάσδε νῦν λαγαρὰς
τοῖν σκελίσκοιν τὸν ῥυθμόν. τάχα γὰρ ἔπεισι
λεπαδοτεμαχοσελαχογαλεο-
κρανιολειψανοδριμυποτριμματο-
σιλφιοπαραομελιτοκατακεχυμενο-
κιχλεπικοσσυφοφαττοπεριστερα-
λεκτρυονοπτεγκεφαλοκιγκλοπε-
λειολαγωοσιραιοβαφητραγανοπτερύγων.
σὺ δὲ ταῦτ' ἀκροασάμενος
ταχὺ καὶ ταχέως λαβὲ τρυβλίον.
εἶτα κόνισαι λαβὼν
λέκιθον, ἵν' ἐπιδειπνῇς.

ΗΜΙΧΟΡΙΟΝ.

ἀλλὰ λαιμάττουσί που.

ΧΟΡΟΣ.

αἴρεσθ' ἄνω, ἰαὶ, εὐαί.
δειπνήσομεν, εὐοῖ, εὐαὶ,
εὐαὶ, ὡς ἐπὶ νίκῃ·
εὐαὶ εὐαὶ εὐαὶ εὐαί.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΠΛΟΥΤΟΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

*ΚΑΡΙΩΝ.*
*ΧΡΕΜΥΛΟΣ.*
*ΠΛΟΥΤΟΣ.*
*ΧΟΡΟΣ ΑΓΡΟΙΚΩΝ.*
*ΒΛΕΨΙΔΗΜΟΣ.*
*ΠΕΝΙΑ.*
*ΓΥΝΗ ΧΡΕΜΥΛΟΥ.*
*ΔΙΚΑΙΟΣ ΑΝΗΡ.*
*ΣΥΚΟΦΑΝΤΗΣ.*
*ΓΡΑΥΣ.*
*ΝΕΑΝΙΑΣ.*
*ΕΡΜΗΣ.*
*ΙΕΡΕΥΣ ΔΙΟΣ.*

## ΥΠΟΘΕΣΙΣ.

*ωλόμενος Ἀριστοφάνης σκῶψαι τοὺς Ἀθηναίους ἀδικίᾳ καὶ συκοφαντίᾳ καὶ τοῖς τοιούτοις συνόντας, καὶ
τοῦτο πλουτοῦντας, πλάττει πρεσβύτην τινὰ γεωργὸν Χρεμύλον τοὔνομα, δίκαιον μὲν ὄντα καὶ τοὺς
πους χρηστὸν, πένητα δὲ ἄλλως· ὃς μετά τινος αὐτῷ θεράποντος ἐλθὼν εἰς Ἀπόλλω ἐρωτᾷ περὶ τοῦ
ν παιδὸς, εἰ χρὴ τουτονὶ τρόπων χρηστῶν ἀμελήσαντα ἀδικίας ἀντιποιεῖσθαι καὶ ταὐτὰ τοῖς ἄλλοις
τηδεύειν, ἐπειδήπερ οἱ μὲν τοιοῦτοι ἐπλούτουν, οἱ δὲ τὰ ἀγαθὰ πράττοντες πένητες ἦσαν, καθάπερ
ὸς οὗτος ὁ Χρεμύλος. ἔχρησεν οὖν αὐτῷ ὁ θεὸς σαφὲς μὲν οὐδὲν, ὅτῳ δὲ ἐξιὼν ἐντύχοι, τούτῳ ἕπε-
ι. καὶ ὃς γέροντι ἐντυγχάνει τυφλῷ, ἦν δὲ οὗτος ὁ Πλοῦτος, καὶ ἀκολουθεῖ κατὰ τὰς μαντείας, μὴ
ὼς ὅτι ὁ Πλοῦτός ἐστι. δυσχεραίνων δὲ ἐπὶ τούτῳ καθ' ἑαυτὸν ὁ θεράπων μόλις αὐτὸν ἐρωτᾷ τίνος
α τούτῳ ἀκολουθοῦσι. καὶ ὁ Χρεμύλος λέγει αὐτῷ τὴν μαντείαν. ἔπειτα μανθάνουσι παρ' αὐτοῦ τοῦ
ύτου ὅστις ἐστὶ καὶ ὅτου χάριν τυφλὸς ἐγεγόνει παρὰ τοῦ Διός. οἱ δὲ ἀκούσαντες ἥσθησάν τε καὶ βου-
ἐβουλεύσαντο ἀπαγαγεῖν αὐτὸν εἰς Ἀσκληπιοῦ καὶ τὴν τῶν ὀφθαλμῶν θεραπεῦσαι πήρωσιν. καὶ ἵνα
ἐν μέσῳ παρῶ, τάς τε τοῦ Βλεψιδήμου ἀντιλογίας καὶ τῆς Πενίας αὐτῆς, ἀπήγαγόν τε αὐτὸν ὅ τι
ιστα καὶ ὑγιᾶ ἐπανήγαγον οἴκαδε, ἐπλούτησάν τε ἱκανῶς οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ ὅσοι βίου χρη-
ῦ πρόσθεν ἀντεχόμενοι πένητες ἦσαν.*

*Ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀντιπάτρου, ἀνταγωνιζομένου αὐτῷ Νικοχάρους μὲν Λάκωσιν, Ἀριστομένους Ἀδμήτῳ, Νικοφῶντος δὲ Ἀδώνιδι, Ἀλκαίου δὲ Πασιφάῃ. τελευταίαν δὲ διδάξας τὴν κωμῳδίαν ταύτην τῷ ἰδίῳ ὀνόματι, [καὶ] τὸν υἱὸν αὐτοῦ συστῆσαι Ἀραρότα [δι' αὐτῆς] τοῖς θεαταῖς βουλόμενος, τὰ λοιπὰ δύο δι' ἐκείνου καθῆκε, Κώκαλον καὶ Αἰολοσίκωνα.*

# Π Λ Ο Υ Τ Ο Σ.

ΚΑΡΙΩΝ.

Ὡς ἀργαλέον πρᾶγμ' ἐστὶν, ὦ Ζεῦ καὶ θεοὶ,
δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου.
ἢν γὰρ τὰ βέλτισθ' ὁ θεράπων λέξας τύχῃ,
δόξῃ δὲ μὴ δρᾶν ταῦτα τῷ κεκτημένῳ,
μετέχειν ἀνάγκη τὸν θεράποντα τῶν κακῶν.
τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον
κρατεῖν ὁ δαίμων, ἀλλὰ τὸν ἐωνημένον.
καὶ ταῦτα μὲν δὴ ταῦτα. τῷ δὲ Λοξίᾳ,
ὃς θεσπιῳδεῖ τρίποδος ἐκ χρυσηλάτου,
μέμψιν δικαίαν μέμφομαι ταύτην, ὅτι
ἰατρὸς ὢν καὶ μάντις, ὥς φασιν, σοφὸς,
μελαγχολῶντ' ἀπέπεμψέ μου τὸν δεσπότην,
ὅστις ἀκολουθεῖ κατόπιν ἀνθρώπου τυφλοῦ,
τοὐναντίον δρῶν ἢ προσῆκ' αὐτῷ ποιεῖν.
οἱ γὰρ βλέποντες τοῖς τυφλοῖς ἡγούμεθα·
οὗτος δ' ἀκολουθεῖ, κἀμὲ προσβιάζεται,
καὶ ταῦτ' ἀποκρινομένῳ τὸ παράπαν οὐδὲ γρῦ.
ἐγὼ μὲν οὖν οὐκ ἔσθ' ὅπως σιγήσομαι,
ἢν μὴ φράσῃς ὅ τι τῷδ' ἀκολουθοῦμέν ποτε,
ὦ δέσποτ', ἀλλά σοι παρέξω πράγματα.
οὐ γάρ με τυπτήσεις στέφανον ἔχοντά γε.

ΧΡΕΜΥΛΟΣ.

μὰ Δί', ἀλλ' ἀφελὼν τὸν στέφανον, ἢν λυπῇς τί με,
ἵνα μᾶλλον ἀλγῇς.

ΚΑΡΙΩΝ.

λῆρος· οὐ γὰρ παύσομαι
πρὶν ἂν φράσῃς μοι τίς ποτ' ἐστὶν οὑτοσί·
εὔνους γὰρ ὢν σοι πυνθάνομαι πάνυ σφόδρα.

ΧΡΕΜΥΛΟΣ.

ἀλλ' οὔ σε κρύψω· τῶν ἐμῶν γὰρ οἰκετῶν
πιστότατον ἡγοῦμαί σε καὶ κλεπτίστατον.
ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνὴρ
κακῶς ἔπραττον καὶ πένης ἦν.

ΚΑΡΙΩΝ.

οἶδά τοι.

ΧΡΕΜΥΛΟΣ.

ἕτεροι δ' ἐπλούτουν, ἱερόσυλοι, ῥήτορες
καὶ συκοφάνται καὶ πονηροί.

ΚΑΡΙΩΝ.

πείθομαι.

ΧΡΕΜΥΛΟΣ.

ἐπερησόμενος οὖν ᾠχόμην ὡς τὸν θεὸν,
τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου σχεδὸν
ἤδη νομίζων ἐκτετοξεῦσθαι βίον,
τὸν δ' υἱὸν, ὅσπερ ὢν μόνος μοι τυγχάνει,
πευσόμενος εἰ χρὴ μεταβαλόντα τοὺς τρόπους
εἶναι πανοῦργον, ἄδικον, ὑγιὲς μηδὲ ἕν,
ὡς τῷ βίῳ τοῦτ' αὐτὸ νομίσας συμφέρειν.

ΚΑΡΙΩΝ.

τί δῆτα Φοῖβος ἔλακεν ἐκ τῶν στεμμάτων;

ΧΡΕΜΥΛΟΣ.

πεύσει. σαφῶς γὰρ ὁ θεὸς εἶπέ μοι τοδί·
ὅτῳ ξυναντήσαιμι πρῶτον ἐξιὼν,
ἐκέλευσε τούτου μὴ μεθίεσθαί μ' ἔτι,
πείθειν δ' ἐμαυτῷ ξυνακολουθεῖν οἴκαδε.

ΚΑΡΙΩΝ.

καὶ τῷ ξυναντᾷς δῆτα πρώτῳ;

ΧΡΕΜΥΛΟΣ.

τουτῳί.

ΚΑΡΙΩΝ.

εἶτ' οὐ ξυνίης τὴν ἐπίνοιαν τοῦ θεοῦ,
φράζουσαν ὦ σκαιότατέ σοι σαφέστατα
ἀσκεῖν τὸν υἱὸν τὸν ἐπιχώριον τρόπον;

ΧΡΕΜΥΛΟΣ.

τῷ τοῦτο κρίνεις;

ΚΑΡΙΩΝ.

δῆλον ὁτιὴ καὶ τυφλῷ
γνῶναι δοκεῖ τοῦθ', ὡς σφόδρ' ἐστὶ συμφέρον
τὸ μηδὲν ἀσκεῖν ὑγιὲς ἐν τῷ νῦν βίῳ.

ΧΡΕΜΥΛΟΣ.

οὐκ ἔσθ' ὅπως ὁ χρησμὸς εἰς τοῦτο ῥέπει,
ἀλλ' εἰς ἕτερόν τι μεῖζον. ἢν δ' ἡμῖν φράσῃ
ὅστις ποτ' ἐστὶν οὑτοσὶ καὶ τοῦ χάριν
καὶ τοῦ δεόμενος ἦλθε μετὰ νῷν ἐνθαδὶ,
πυθοίμεθ' ἂν τὸν χρησμὸν ἡμῶν ὅ τι νοεῖ.

ΚΑΡΙΩΝ.

ἄγε δὴ, σὺ πρότερον σαυτὸν ὅστις εἶ φράσον,
ἢ τἀπὶ τούτοις δρῶ. λέγειν χρὴ ταχὺ πάνυ.

ΠΛΟΥΤΟΣ.

ἐγὼ μὲν οἰμώζειν λέγω σοι.

ΚΑΡΙΩΝ.

μανθάνεις
ὅς φησιν εἶναι;

ΧΡΕΜΥΛΟΣ.

σοὶ λέγει τοῦτ', οὐκ ἐμοί.
σκαιῶς γὰρ αὐτοῦ καὶ χαλεπῶς ἐκπυνθάνει.
ἀλλ' εἴ τι χαίρεις ἀνδρὸς εὐόρκου τρόποις,
ἐμοὶ φράσον.

ΠΛΟΥΤΟΣ.

κλάειν ἔγωγέ σοι λέγω.

ΚΑΡΙΩΝ.

δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ.

ΧΡΕΜΥΛΟΣ.

οὔ τοι μὰ τὴν Δήμητρα χαιρήσεις ἔτι.

ΚΑΡΙΩΝ.

εἰ μὴ φράσεις γὰρ, ἀπό σ' ὀλῶ κακὸν κακῶς.

ΠΛΟΥΤΟΣ.

ὦ τᾶν, ἀπαλλάχθητον ἀπ' ἐμοῦ.

ΧΡΕΜΥΛΟΣ.

πώμαλα.

ΚΑΡΙΩΝ.

καὶ μὴν ὃ λέγω βέλτιστόν ἐστ', ὦ δέσποτα·

ἀπολῶ τὸν ἄνθρωπον κάκιστα τουτονί.
ἀναθεὶς γὰρ ἐπὶ κρημνόν τιν᾽ αὐτὸν καταλιπὼν
ἄπειμ᾽, ἵν᾽ ἐκεῖθεν ἐκτραχηλισθῇ πεσών.

ΧΡΕΜΥΛΟΣ.
ἀλλ᾽ αἶρε ταχέως.

ΠΛΟΥΤΟΣ.
μηδαμῶς.

ΧΡΕΜΥΛΟΣ.
οὔκουν ἐρεῖς;

ΠΛΟΥΤΟΣ.
ἀλλ᾽ ἢν πύθησθέ μ᾽ ὅστις εἴμ᾽, εὖ οἶδ᾽ ὅτι
κακόν τί μ᾽ ἐργάσεσθε κοὐκ ἀφήσετον.

ΧΡΕΜΥΛΟΣ.
νὴ τοὺς θεοὺς ἡμεῖς γ᾽, ἐὰν βούλῃ γε σύ.

ΠΛΟΥΤΟΣ.
μέθεσθέ νύν μου πρῶτον.

ΧΡΕΜΥΛΟΣ.
ἤν, μεθίεμεν.

ΠΛΟΥΤΟΣ.
ἀκούετον δή. δεῖ γὰρ ὡς ἔοικέ με
λέγειν ἃ κρύπτειν ἢ παρεσκευασμένος.
ἐγὼ γάρ εἰμι Πλοῦτος.

ΧΡΕΜΥΛΟΣ.
ὦ μιαρώτατε
ἀνδρῶν ἁπάντων, εἶτ᾽ ἐσίγας Πλοῦτος ὤν;

ΚΑΡΙΩΝ.
σὺ Πλοῦτος, οὕτως ἀθλίως διακείμενος;

ΧΡΕΜΥΛΟΣ.
ὦ Φοῖβ᾽ Ἄπολλον καὶ θεοὶ καὶ δαίμονες
καὶ Ζεῦ, τί φῄς; ἐκεῖνος ὄντως εἶ σύ;

ΠΛΟΥΤΟΣ.
ναί.

ΧΡΕΜΥΛΟΣ.
ἐκεῖνος αὐτός;

ΠΛΟΥΤΟΣ.
αὐτότατος.

ΧΡΕΜΥΛΟΣ.
πόθεν οὖν, φράσον,
αὐχμῶν βαδίζεις;

ΠΛΟΥΤΟΣ.
ἐκ Πατροκλέους ἔρχομαι,
ὃς οὐκ ἐλούσατ᾽ ἐξ ὅτουπερ ἐγένετο.

ΧΡΕΜΥΛΟΣ.
τουτὶ δὲ τὸ κακὸν πῶς ἔπαθες; κάτειπέ μοι.

ΠΛΟΥΤΟΣ.
ὁ Ζεύς με ταῦτ᾽ ἔδρασεν ἀνθρώποις φθονῶν.
ἐγὼ γὰρ ὢν μειράκιον ἠπείλησ᾽ ὅτι
ὡς τοὺς δικαίους καὶ σοφοὺς καὶ κοσμίους
μόνους βαδιοίμην· ὁ δέ μ᾽ ἐποίησεν τυφλόν,
ἵνα μὴ διαγιγνώσκοιμι τούτων μηδένα.
οὕτως ἐκεῖνος τοῖσι χρηστοῖσι φθονεῖ.

ΧΡΕΜΥΛΟΣ.
καὶ μὴν διὰ τοὺς χρηστούς γε τιμᾶται μόνους
καὶ τοὺς δικαίους.

ΠΛΟΥΤΟΣ.
ὁμολογῶ σοι.

ΧΡΕΜΥΛΟΣ.
φέρε, τί οὖν;
εἰ πάλιν ἀναβλέψειας ὥσπερ καὶ πρὸ τοῦ,
φεύγοις ἂν ἤδη τοὺς πονηρούς;

ΠΛΟΥΤΟΣ.
φήμ᾽ ἐγώ.

ΧΡΕΜΥΛΟΣ.
ὡς τοὺς δικαίους δ᾽ ἂν βαδίζοις;

ΠΛΟΥΤΟΣ.
πάνυ μὲν οὖν·
πολλοῦ γὰρ αὐτοὺς οὐχ ἑόρακά πω χρόνου.

ΧΡΕΜΥΛΟΣ.
καὶ θαῦμά γ᾽ οὐδέν· οὐδ᾽ ἐγὼ γὰρ ὁ βλέπων.

ΠΛΟΥΤΟΣ.
ἄφετόν με νῦν. ἴστον γὰρ ἤδη τἀπ᾽ ἐμοῦ.

ΧΡΕΜΥΛΟΣ.
μὰ Δί᾽, ἀλλὰ πολλῷ μᾶλλον ἑξόμεσθά σου.

ΠΛΟΥΤΟΣ.
οὐκ ἠγόρευον ὅτι παρέξειν πράγματα
ἐμέλλετόν μοι;

ΧΡΕΜΥΛΟΣ.
καὶ σύ γ᾽, ἀντιβολῶ, πιθοῦ,
καὶ μή μ᾽ ἀπολίπῃς· οὐ γὰρ εὑρήσεις ἐμοῦ
ζητῶν ἔτ᾽ ἄνδρα τοὺς τρόπους βελτίονα·
μὰ τὸν Δί᾽· οὐ γὰρ ἔστιν ἄλλος πλὴν ἐγώ.

ΠΛΟΥΤΟΣ.
ταυτὶ λέγουσι πάντες· ἡνίκ᾽ ἂν δέ μου
τύχωσ᾽ ἀληθῶς καὶ γένωνται πλούσιοι,
ἀτεχνῶς ὑπερβάλλουσι τῇ μοχθηρίᾳ.

ΧΡΕΜΥΛΟΣ.
ἔχει μὲν οὕτως, εἰσὶ δ᾽ οὐ πάντες κακοί.

ΠΛΟΥΤΟΣ.
μὰ Δί᾽, ἀλλ᾽ ἁπαξάπαντες.

ΚΑΡΙΩΝ.
οἰμώξει μακρά.

ΧΡΕΜΥΛΟΣ.
σοὶ δ᾽ ὡς ἂν εἰδῇς ὅσα, παρ᾽ ἡμῖν ἢν μένῃς,
γενήσετ᾽ ἀγαθά, πρόσεχε τὸν νοῦν, ἵνα πύθῃ.
οἶμαι γάρ, οἶμαι, σὺν θεῷ δ᾽ εἰρήσεται,
ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας,
βλέψαι ποιήσας.

ΠΛΟΥΤΟΣ.
μηδαμῶς τοῦτ᾽ ἐργάσῃ.
οὐ βούλομαι γὰρ πάλιν ἀναβλέψαι.

ΧΡΕΜΥΛΟΣ.
τί φῄς;

ΚΑΡΙΩΝ.
ἄνθρωπος οὗτός ἐστιν ἄθλιος φύσει.

ΠΛΟΥΤΟΣ.
ὁ Ζεὺς μὲν οὖν οἶδ᾽ ὡς τὰ τούτων μῶρ᾽ ἔμ᾽ εἰ
πύθοιτ᾽ ἂν ἐπιτρίψειε.

ΧΡΕΜΥΛΟΣ.
νῦν δ᾽ οὐ τοῦτο δρᾷ,
ὅστις σε προσπταίοντα περινοστεῖν ἐᾷ;

ΠΛΟΥΤΟΣ.
οὐκ οἶδ᾽· ἐγὼ δ᾽ ἐκεῖνον ὀρρωδῶ πάνυ.

ΧΡΕΜΥΛΟΣ.
ἄληθες, ὦ δειλότατε πάντων δαιμόνων;
οἴει γὰρ εἶναι τὴν Διὸς τυραννίδα,
καὶ τοὺς κεραυνοὺς ἀξίους τριωβόλου,
ἐὰν ἀναβλέψῃς σὺ κἂν μικρὸν χρόνον;

ΠΛΟΥΤΟΣ.
ἆ, μὴ λέγ᾽, ὦ πονηρέ, ταῦτ᾽.

ΧΡΕΜΥΛΟΣ.

ἔχ' ἥσυχος.
ἐγὼ γὰρ ἀποδείξω σε τοῦ Διὸς πολὺ
μεῖζον δυνάμενον.

ΠΛΟΥΤΟΣ.

ἐμὲ σύ;

ΧΡΕΜΥΛΟΣ.

νὴ τὸν οὐρανόν.
αὐτίκα γὰρ ἄρχει διὰ τίν' ὁ Ζεὺς τῶν θεῶν;

ΚΑΡΙΩΝ.

διὰ τἀργύριον· πλεῖστον γάρ ἐστ' αὐτῷ.

ΧΡΕΜΥΛΟΣ.

φέρε,
τίς οὖν ὁ παρέχων ἐστὶν αὐτῷ τοῦθ';

ΚΑΡΙΩΝ.

ὁδί.

ΧΡΕΜΥΛΟΣ.

θύουσι δ' αὐτῷ διὰ τίν'; οὐ διὰ τουτονί;

ΚΑΡΙΩΝ.

καὶ νὴ Δί' εὔχονταί γε πλουτεῖν ἄντικρυς.

ΧΡΕΜΥΛΟΣ.

οὔκουν ὅδ' ἐστὶν αἴτιος, καὶ ῥᾳδίως
παύσει' ἄν, εἰ βούλοιτο, ταῦθ';

ΠΛΟΥΤΟΣ.

ὁτιὴ τί δή;

ΧΡΕΜΥΛΟΣ.

ὅτι οὐδ' ἂν εἷς θύσειεν ἀνθρώπων ἔτι,
οὐ βοῦν ἄν, οὐχὶ ψαιστόν, οὐκ ἄλλ' οὐδὲν,
μὴ βουλομένου σοῦ.

ΠΛΟΥΤΟΣ.

πῶς;

ΧΡΕΜΥΛΟΣ.

ὅπως; οὐκ ἔσθ' ὅπως
ὠνήσεται δήπουθεν, ἢν σὺ μὴ παρὼν
αὐτὸς διδῷς τἀργύριον, ὥστε τοῦ Διὸς
τὴν δύναμιν, ἢν λυπῇ τι, καταλύσεις μόνος.

ΠΛΟΥΤΟΣ.

τί λέγεις; δι' ἐμὲ θύουσιν αὐτῷ;

ΧΡΕΜΥΛΟΣ.

φήμ' ἐγώ.
καὶ νὴ Δί' εἴ τί γ' ἔστι λαμπρὸν καὶ καλὸν
ἢ χάριεν ἀνθρώποισι, διὰ σὲ γίγνεται.
ἅπαντα τῷ πλουτεῖν γάρ ἐσθ' ὑπήκοα.

ΚΑΡΙΩΝ.

ἔγωγέ τοι διὰ μικρὸν ἀργυρίδιον
δοῦλος γεγένημαι, διὰ τὸ μὴ πλουτεῖν ἴσως.

ΧΡΕΜΥΛΟΣ.

καὶ τάς γ' ἑταίρας φασὶ τὰς Κορινθίας,
ὅταν μὲν αὐτάς τις πένης πειρῶν τύχῃ,
οὐδὲ προσέχειν τὸν νοῦν, ἐὰν δὲ πλούσιος,
τὸν πρωκτὸν αὐτὰς εὐθὺς ὡς τοῦτον τρέπειν.

ΚΑΡΙΩΝ.

καὶ τούς γε παῖδας φασὶ ταὐτὸ τοῦτο δρᾶν,
οὐ τῶν ἐραστῶν, ἀλλὰ τἀργυρίου χάριν.

ΧΡΕΜΥΛΟΣ.

οὐ τούς γε χρηστούς, ἀλλὰ τοὺς πόρνους· ἐπεὶ
αἰτοῦσιν οὐκ ἀργύριον οἱ χρηστοί.

ΚΑΡΙΩΝ.

τί δαί;

ΧΡΕΜΥΛΟΣ.

ὁ μὲν ἵππον ἀγαθὸν, ὁ δὲ κύνας θηρευτικούς.

ΚΑΡΙΩΝ.

αἰσχυνόμενοι γὰρ ἀργύριον αἰτεῖν ἴσως
ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν.

ΧΡΕΜΥΛΟΣ.

τέχναι δὲ πᾶσαι διὰ σὲ καὶ σοφίσματα,
ἐν τοῖσιν ἀνθρώποισίν ἐσθ' εὑρημένα.
ὁ μὲν γὰρ αὐτῶν σκυτοτομεῖ καθήμενος,
ἕτερος δὲ χαλκεύει τις, ὁ δὲ τεκταίνεται.
ὁ δὲ χρυσοχοεῖ γε, χρυσίον παρὰ σοῦ λαβών,
ὁ δὲ λωποδυτεῖ γε νὴ Δί', ὁ δὲ τοιχωρυχεῖ,
ὁ δὲ γναφεύει γ', ὁ δέ γε πλύνει κῴδια,
ὁ δὲ βυρσοδεψεῖ γ', ὁ δέ γε πωλεῖ κρόμμυα,
ὁ δ' ἁλοὺς γε μοιχὸς διὰ σέ που παρατίλλεται.

ΠΛΟΥΤΟΣ.

οἴμοι τάλας, ταυτί μ' ἐλάνθανεν πάλαι.

ΚΑΡΙΩΝ.

μέγας δὲ βασιλεὺς οὐχὶ διὰ τοῦτον κομᾷ;
ἐκκλησία δ' οὐχὶ διὰ τοῦτον γίγνεται;
τί δέ; τὰς τριήρεις οὐ σὺ πληροῖς; εἰπέ μοι.
τὸ δ' ἐν Κορίνθῳ ξενικὸν οὐχ οὗτος τρέφει;
ὁ Πάμφιλος δ' οὐχὶ διὰ τοῦτον κλαύσεται;
ὁ Βελονοπώλης δ' οὐχὶ μετὰ τοῦ Παμφίλου;
Ἀγύρριος δ' οὐχὶ διὰ τοῦτον πέρδεται;
Φιλέψιος δ' οὐχ ἕνεκα σοῦ μύθους λέγει;
ἡ ξυμμαχία δ' οὐ διὰ σὲ τοῖς Αἰγυπτίοις;
ἐρᾷ δὲ Λαῒς οὐ διὰ σὲ Φιλωνίδου;
ὁ Τιμοθέου δὲ πύργος

ΧΡΕΜΥΛΟΣ.

ἐμπέσοι γέ σοι.
τὰ δὲ πράγματ' οὐχὶ διὰ σὲ πάντα πράττεται;
μονώτατος γὰρ εἶ σὺ πάντων αἴτιος,
καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν, εὖ ἴσθ' ὅτι.

ΚΑΡΙΩΝ.

κρατοῦσι γοῦν κἂν τοῖς πολέμοις ἑκάστοτε
ἐφ' οἷς ἂν οὗτος ἐπικαθέζηται μόνον.

ΠΛΟΥΤΟΣ.

ἐγὼ τοσαῦτα δυνατός εἰμ' εἷς ὢν ποιεῖν;

ΧΡΕΜΥΛΟΣ.

καὶ ναὶ μὰ Δία τούτων γε πολλῷ πλείονα·
ὥστ' οὐδὲ μεστὸς σοῦ γέγον' οὐδεὶς πώποτε.
τῶν μὲν γὰρ ἄλλων ἐστὶ πάντων πλησμονή·
ἔρωτος

ΚΑΡΙΩΝ.

ἄρτων

ΧΡΕΜΥΛΟΣ.

μουσικῆς

ΚΑΡΙΩΝ.

τραγημάτων

ΧΡΕΜΥΛΟΣ.

τιμῆς

ΚΑΡΙΩΝ.

πλακούντων

ΧΡΕΜΥΛΟΣ.

ἀνδραγαθίας

ΚΑΡΙΩΝ.

ἰσχάδων

ΧΡΕΜΥΛΟΣ.

φιλοτιμίας

ΚΑΡΙΩΝ.
μάζης
ΧΡΕΜΥΛΟΣ.
στρατηγίας
ΚΑΡΙΩΝ.
φακῆς.
ΧΡΕΜΥΛΟΣ.
σοῦ δ' ἐγένετ' οὐδεὶς μεστὸς οὐδεπώποτε.
ἀλλ' ἢν τάλαντά τις λάβῃ τριακαίδεκα,
πολὺ μᾶλλον ἐπιθυμεῖ λαβεῖν ἑκκαίδεκα·
κἂν ταῦτ' ἀνύσηται, τετταράκοντα βούλεται,
ἤ φησιν οὐ βιωτὸν αὑτῷ τὸν βίον.
ΠΛΟΥΤΟΣ.
εὖ τοι λέγειν ἔμοιγε φαίνεσθον πάνυ·
πλὴν ἓν μόνον δέδοικα.
ΧΡΕΜΥΛΟΣ.
φράζε τοῦ πέρι.
ΠΛΟΥΤΟΣ.
ὅπως ἐγὼ τὴν δύναμιν ἣν ὑμεῖς φατὲ
ἔχειν με, ταύτης δεσπότης γενήσομαι.
ΧΡΕΜΥΛΟΣ.
νὴ τὸν Δί'· ἀλλὰ καὶ λέγουσι πάντες ὡς
δειλότατόν ἐσθ' ὁ πλοῦτος.
ΠΛΟΥΤΟΣ.
ἥκιστ', ἀλλά με
τοιχωρύχος τις διέβαλ'. εἰσδὺς γάρ ποτε
οὐκ εἶχεν εἰς τὴν οἰκίαν οὐδὲν λαβεῖν,
εὑρὼν ἀπαξάπαντα κατακεκλειμένα·
εἶτ' ὠνόμασέ μου τὴν πρόνοιαν δειλίαν.
ΧΡΕΜΥΛΟΣ.
μή νυν μελέτω σοι μηδέν· ὡς, ἐὰν γένῃ
ἀνὴρ πρόθυμος αὐτὸς εἰς τὰ πράγματα,
βλέποντ' ἀποδείξω σ' ὀξύτερον τοῦ Λυγκέως.
ΠΛΟΥΤΟΣ.
πῶς οὖν δυνήσει τοῦτο δρᾶσαι θνητὸς ὤν;
ΧΡΕΜΥΛΟΣ.
ἔχω τιν' ἀγαθὴν ἐλπίδ' ἐξ ὧν εἶπέ μοι
ὁ Φοῖβος αὐτὸς Πυθικὴν σείσας δάφνην.
ΠΛΟΥΤΟΣ.
κἀκεῖνος οὖν σύνοιδε ταῦτα;
ΧΡΕΜΥΛΟΣ.
φήμ' ἐγώ.
ΠΛΟΥΤΟΣ.
ὁρᾶτε.
ΧΡΕΜΥΛΟΣ.
μὴ φρόντιζε μηδέν, ὦγαθέ.
ἐγὼ γάρ, εὖ τοῦτ' ἴσθι, κἂν δῇ μ' ἀποθανεῖν,
αὐτὸς διαπράξω ταῦτα.
ΚΑΡΙΩΝ.
κἂν βούλῃ γ', ἐγώ.
ΧΡΕΜΥΛΟΣ.
πολλοὶ δ' ἔσονται χἄτεροι νῷν ξύμμαχοι,
ὅσοις δικαίοις οὖσιν οὐκ ἦν ἄλφιτα.
ΠΛΟΥΤΟΣ.
παπαῖ, πονηρούς γ' εἶπας ἡμῖν συμμάχους.
ΧΡΕΜΥΛΟΣ.
οὔκ, ἤν γε πλουτήσωσιν ἐξ ἀρχῆς πάλιν.
ἀλλ' ἴθι σὺ μὲν ταχέως δραμὼν
ΚΑΡΙΩΝ.
τί δρῶ; λέγε.
ΧΡΕΜΥΛΟΣ.
τοὺς ξυγγεώργους κάλεσον, εὑρήσεις δ' ἴσως
ἐν τοῖς ἀγροῖς αὐτοὺς ταλαιπωρουμένους,
ὅπως ἂν ἴσον ἕκαστος ἐνταυθὶ παρὼν
ἡμῖν μετάσχῃ τοῖδε τοῦ Πλούτου μέρος.
ΚΑΡΙΩΝ.
καὶ δὴ βαδίζω· τουτοδὶ κρεάδιον
τῶν ἔνδοθέν τις εἰσενεγκάτω λαβών.
ΧΡΕΜΥΛΟΣ.
ἐμοὶ μελήσει τοῦτό γ'· ἀλλ' ἀνύσας τρέχε.
σὺ δ', ὦ κράτιστε Πλοῦτε πάντων δαιμόνων,
εἴσω μετ' ἐμοῦ δεῦρ' εἴσιθ'· ἡ γὰρ οἰκία
αὕτη 'στὶν ἣν δεῖ χρημάτων σε τήμερον
μεστὴν ποιῆσαι καὶ δικαίως κἀδίκως.
ΠΛΟΥΤΟΣ.
ἀλλ' ἄχθομαι μὲν εἰσιὼν νὴ τοὺς θεοὺς
εἰς οἰκίαν ἑκάστοτ' ἀλλοτρίαν πάνυ·
ἀγαθὸν γὰρ ἀπέλαυσ' οὐδὲν αὐτοῦ πώποτε.
ἢν μὲν γὰρ εἰς φειδωλὸν εἰσελθὼν τύχω,
εὐθὺς κατώρυξέν με κατὰ τῆς γῆς κάτω·
κἄν τις προσέλθῃ χρηστὸς ἄνθρωπος φίλος
αἰτῶν λαβεῖν τι μικρὸν ἀργυρίδιον,
ἔξαρνός ἐστι μηδ' ἰδεῖν με πώποτε.
ἢν δ' ὡς παραπλῆγ' ἄνθρωπον εἰσελθὼν τύχω,
πόρναισι καὶ κύβοισι παραβεβλημένος
γυμνὸς θύραζ' ἐξέπεσον ἐν ἀκαρεῖ χρόνῳ.
ΧΡΕΜΥΛΟΣ.
μετρίου γὰρ ἀνδρὸς οὐκ ἐπέτυχες πώποτε.
ἐγὼ δὲ τούτου τοῦ τρόπου πώς εἰμ' ἀεί.
χαίρω τε γὰρ φειδόμενος ὡς οὐδεὶς ἀνὴρ
πάλιν τ' ἀναλῶν, ἡνίκ' ἂν τούτου δέῃ.
ἀλλ' εἰσίωμεν, ὡς ἰδεῖν σε βούλομαι
καὶ τὴν γυναῖκα καὶ τὸν υἱὸν τὸν μόνον,
ὃν ἐγὼ φιλῶ μάλιστα μετὰ σέ.
ΠΛΟΥΤΟΣ.
πείθομαι.
ΧΡΕΜΥΛΟΣ.
τί γὰρ ἄν τις οὐχὶ πρὸς σὲ τἀληθῆ λέγοι;
ΚΑΡΙΩΝ.
ὦ πολλὰ δὴ τῷ δεσπότῃ ταυτὸν θύμον φαγόντες,
ἄνδρες φίλοι καὶ δημόται καὶ τοῦ πονεῖν ἐρασταί,
ἴτ' ἐγκονεῖτε, σπεύδεθ', ὡς ὁ καιρὸς οὐχὶ μέλλειν,
ἀλλ' ἔστ' ἐπ' αὐτῆς τῆς ἀκμῆς, ᾗ δεῖ παρόντ' ἀμύνειν.
ΧΟΡΟΣ.
οὔκουν ὁρᾷς ὁρμωμένους ἡμᾶς πάλαι προθύμως,
ὡς εἰκός ἐστιν ἀσθενεῖς γέροντας ἄνδρας ἤδη;
σὺ δ' ἀξιοῖς ἴσως με θεῖν, πρὶν ταῦτα καὶ φράσαι μοι
ὅτου χάριν μ' ὁ δεσπότης ὁ σὸς κέκληκε δεῦρο.
ΚΑΡΙΩΝ.
οὔκουν πάλαι δήπου λέγω; σὺ δ' αὐτὸς οὐκ ἀκούεις.
ὁ δεσπότης γάρ φησιν ὑμᾶς ἡδέως ἅπαντας
ψυχροῦ βίου καὶ δυσκόλου ζήσειν ἀπαλλαγέντας.
ΧΟΡΟΣ.
ἔστιν δὲ δὴ τί καὶ πόθεν τὸ πρᾶγμα τοῦθ' ὅ φησιν;

ΚΑΡΙΩΝ.

ἔχων ἀφῖκται δεῦρο πρεσβύτην τιν', ὦ πονηροί,
ῥυπῶντα, κυφὸν, ἄθλιον, ῥυσὸν, μαδῶντα, νωδόν·
οἶμαι δὲ νὴ τὸν οὐρανὸν καὶ ψωλὸν αὐτὸν εἶναι.

ΧΟΡΟΣ.

ὦ χρυσὸν ἀγγελίας ἐπῶν, πῶς φῄς; πάλιν φράσον μοι.
δηλοῖς γὰρ αὐτὸν σωρὸν ἥκειν χρημάτων ἔχοντα.

ΚΑΡΙΩΝ.

πρεσβυτικῶν μὲν οὖν κακῶν ἔγωγ' ἔχοντα σωρόν.

ΧΟΡΟΣ.

μῶν ἀξιοῖς φενακίσας ἡμᾶς ἀπαλλαγῆναι
ἀζήμιος, καὶ ταῦτ' ἐμοῦ βακτηρίαν ἔχοντος;

ΚΑΡΙΩΝ.

πάντως γὰρ ἄνθρωπον φύσει τοιοῦτον εἰς τὰ πάντα
ἡγεῖσθέ μ' εἶναι κοὐδὲν ἂν νομίζεθ' ὑγιὲς εἰπεῖν;

ΧΟΡΟΣ.

ὡς σεμνὸς οὑπίτριπτος· αἱ κνῆμαι δέ σου βοῶσιν
ἰοὺ ἰοὺ, τὰς χοίνικας καὶ τὰς πέδας ποθοῦσαι.

ΚΑΡΙΩΝ.

ἐν τῇ σορῷ νυνὶ λαχὸν τὸ γράμμα σου δικάζειν,
σὺ δ' οὐ βαδίζεις; ὁ δὲ Χάρων τὸ ξύμβολον δίδωσιν.

ΧΟΡΟΣ.

διαρραγείης. ὡς μόθων εἶ καὶ φύσει κόβαλος,
ὅστις φενακίζεις, φράσαι δ' οὔπω τέτληκας ἡμῖν
ὅτου χάριν μ' ὁ δεσπότης ὁ σὸς κέκληκε δεῦρο·
οἳ πολλὰ μοχθήσαντες, οὐκ οὔσης σχολῆς, προθύμως
δεῦρ' ἤλθομεν, πολλῶν θύμων ῥίζας διεκπερῶντες.

ΚΑΡΙΩΝ.

ἀλλ' οὐκέτ' ἂν κρύψαιμι. τὸν Πλοῦτον γὰρ, ὦνδρες, ἥκει
ἄγων ὁ δεσπότης, ὃς ὑμᾶς πλουσίους ποιήσει.

ΧΟΡΟΣ.

ὄντως γὰρ ἔστι πλουσίοις ἅπασιν ἡμῖν εἶναι;

ΚΑΡΙΩΝ.

νὴ τοὺς θεοὺς, Μίδας μὲν οὖν, ἢν ὦτ' ὄνου λάβητε.

ΧΟΡΟΣ.

ὡς ἥδομαι καὶ τέρπομαι καὶ βούλομαι χορεῦσαι
ὑφ' ἡδονῆς, εἴπερ λέγεις ὄντως σὺ ταῦτ' ἀληθῆ.

ΚΑΡΙΩΝ.

καὶ μὴν ἐγὼ βουλήσομαι θρετταναλὸ τὸν Κύκλωπα
μιμούμενος καὶ τοῖν ποδοῖν ὡδὶ παρενσαλεύων
ὑμᾶς ἄγειν. ἀλλ' εἶα τέκεα θαμίν' ἐπαναβοῶντες
βληχώμενοί τε προβατίων
αἰγῶν τε κιναβρώντων μέλη,
ἕπεσθ' ἀπεψωλημένοι· τράγοι δ' ἀκρατιεῖσθε.

ΧΟΡΟΣ.

ἡμεῖς δέ γ' αὖ ζητήσομεν θρετταναλὸ τὸν Κύκλωπα
βληχώμενοι, σὲ τουτονὶ πινῶντα καταλαβόντες,
πήραν ἔχοντα λάχανά τ' ἄγρια δροσερὰ, κραιπαλῶντα,
ἡγούμενον τοῖς προβατίοις,
εἰκῇ δὲ καταδαρθόντα που,
μέγαν λαβόντες ἡμμένον σφηκίσκον ἐκτυφλῶσαι

ΚΑΡΙΩΝ.

ἐγὼ δὲ τὴν Κίρκην γε τὴν τὰ φάρμακ' ἀνακυκῶσαν,
ἣ τοὺς ἑταίρους τοῦ Φιλωνίδου ποτ' ἐν Κορίνθῳ
ἔπεισεν ὡς ὄντας κάπρους
μεμαγμένον σκῶρ ἐσθίειν, αὐτὴ δ' ἔματτε αὐτοῖς,
μιμήσομαι πάντας τρόπους·
ὑμεῖς δὲ γρυλίζοντες ὑπὸ φιληδίας
ἕπεσθε μητρὶ χοῖροι.

ΧΟΡΟΣ.

οὐκοῦν σε τὴν Κίρκην γε τὴν τὰ φάρμακ' ἀνακυκῶσαν
καὶ μαγγανεύουσαν μολύνουσάν τε τοὺς ἑταίρους
λαβόντες ὑπὸ φιληδίας
τὸν Λαρτίου μιμούμενοι τῶν ὄρχεων κρεμῶμεν,
μινθώσομέν θ' ὥσπερ τράγου
τὴν ῥῖνα· σὺ δ' Ἀρίστυλλος ὑποχάσκων ἐρεῖς·
ἕπεσθε μητρὶ χοῖροι.

ΚΑΡΙΩΝ.

ἀλλ' εἶα νῦν τῶν σκωμμάτων ἀπαλλαγέντες ἤδη
ὑμεῖς ἐπ' ἄλλ' εἶδος τρέπεσθ',
ἐγὼ δ' ἰὼν ἤδη λάθρα
βουλήσομαι τοῦ δεσπότου
λαβών τιν' ἄρτον καὶ κρέας
μασώμενος τὸ λοιπὸν οὕτω τῷ κόπῳ ξυνεῖναι.

ΧΡΕΜΥΛΟΣ.

χαίρειν μὲν ὑμᾶς ἐστιν, ὦνδρες δημόται,
ἀρχαῖον ἤδη προσαγορεύειν καὶ σαπρόν·
ἀσπάζομαι δ', ὁτιὴ προθύμως ἥκετε
καὶ συντεταμένως κοὐ κατεβλακευμένως.
ὅπως δέ μοι καὶ τἄλλα συμπαραστάται
ἔσεσθε καὶ σωτῆρες ὄντως τοῦ θεοῦ.

ΧΟΡΟΣ.

θάρρει· βλέπειν γὰρ ἄντικρυς δόξεις μ' Ἄρη.
δεινὸν γὰρ, εἰ τριωβόλου μὲν οὕνεκα
ὠστιζόμεσθ' ἑκάστοτ' ἐν τἠκκλησίᾳ,
αὐτὸν δὲ τὸν Πλοῦτον παρείην τῳ λαβεῖν.

ΧΡΕΜΥΛΟΣ.

καὶ μὴν ὁρῶ καὶ Βλεψίδημον τουτονὶ
προσιόντα· δῆλος δ' ἐστὶν ὅτι τοῦ πράγματος
ἀκήκοέν τι τῇ βαδίσει καὶ τῷ τάχει.

ΒΛΕΨΙΔΗΜΟΣ.

τί ἂν οὖν τὸ πρᾶγμ' εἴη; πόθεν καὶ τίνι τρόπῳ
Χρεμύλος πεπλούτηκ' ἐξαπίνης; οὐ πείθομαι.
καίτοι λόγος γ' ἦν νὴ τὸν Ἡρακλέα πολὺς
ἐπὶ τοῖσι κουρείοισι τῶν καθημένων,
ὡς ἐξαπίνης ἀνὴρ γεγένηται πλούσιος.
ἔστιν δέ μοι τοῦτ' αὐτὸ θαυμάσιον, ὅπως
χρηστόν τι πράττων τοὺς φίλους μεταπέμπεται.
οὔκουν ἐπιχώριόν γε πρᾶγμ' ἐργάζεται.

ΧΡΕΜΥΛΟΣ.

ἀλλ' οὐδὲν ἀποκρύψας ἐρῶ νὴ τοὺς θεούς.
ὦ Βλεψίδημ', ἄμεινον ἢ χθὲς πράττομεν.
ὥστε μετέχειν ἔξεστιν· εἶ γὰρ τῶν φίλων.

ΒΛΕΨΙΔΗΜΟΣ.

γέγονας δ' ἀληθῶς, ὡς λέγουσι, πλούσιος;

ΧΡΕΜΥΛΟΣ.
ἔσομαι μὲν οὖν αὐτίκα μάλ', ἢν θεὸς θέλῃ.
ἔνι γάρ τις, ἔνι κίνδυνος ἐν τῷ πράγματι.
ΒΛΕΨΙΔΗΜΟΣ.
ποῖός τις;
ΧΡΕΜΥΛΟΣ.
οἷος,
ΒΛΕΨΙΔΗΜΟΣ.
λέγ' ἀνύσας ὅ τι φῄς ποτε.
ΧΡΕΜΥΛΟΣ.
ἢν μὲν κατορθώσωμεν, εὖ πράττειν ἀεί·
ἢν δὲ σφαλῶμεν, ἐπιτετρίφθαι τὸ παράπαν.
ΒΛΕΨΙΔΗΜΟΣ.
τουτὶ πονηρὸν φαίνεται τὸ φορτίον,
καί μ' οὐκ ἀρέσκει. τό τε γὰρ ἐξαίφνης ἄγαν
οὕτως ὑπερπλουτεῖν τό τ' αὖ δεδοικέναι
πρὸς ἀνδρὸς οὐδὲν ὑγιές ἐστ' εἰργασμένου.
ΧΡΕΜΥΛΟΣ.
πῶς δ' οὐδὲν ὑγιές;
ΒΛΕΨΙΔΗΜΟΣ.
εἴ τι κεκλοφὼς νὴ Δία
ἐκεῖθεν ἥκεις ἀργύριον ἢ χρυσίον
παρὰ τοῦ θεοῦ, κἄπειτ' ἴσως σοι μεταμέλει.
ΧΡΕΜΥΛΟΣ.
Ἄπολλον ἀποτρόπαιε, μὰ Δί' ἐγὼ μὲν οὔ.
ΒΛΕΨΙΔΗΜΟΣ.
παῦσαι φλυαρῶν, ὠγάθ'· οἶδα γὰρ σαφῶς.
ΧΡΕΜΥΛΟΣ.
σὺ μηδὲν εἰς ἔμ' ὑπονόει τοιοῦτο.
ΒΛΕΨΙΔΗΜΟΣ.
φεῦ·
ὡς οὐδὲν ἀτεχνῶς ὑγιές ἐστιν οὐδενὸς,
ἀλλ' εἰσὶ τοῦ κέρδους ἅπαντες ἥττονες.
ΧΡΕΜΥΛΟΣ.
οὔ τοι μὰ τὴν Δήμητρ' ὑγιαίνειν μοι δοκεῖς.
ΒΛΕΨΙΔΗΜΟΣ.
ὡς πολὺ μεθέστηχ' ὧν πρότερον εἶχεν τρόπων.
ΧΡΕΜΥΛΟΣ.
μελαγχολᾷς, ὤνθρωπε, νὴ τὸν οὐρανόν.
ΒΛΕΨΙΔΗΜΟΣ.
ἀλλ' οὐδὲ τὸ βλέμμ' αὐτὸ κατὰ χώραν ἔχει,
ἀλλ' ἐστὶν ἐπίδηλόν τι πεπανουργηκότι.
ΧΡΕΜΥΛΟΣ.
σὺ μὲν οἶδ' ὃ κρώζεις· ὡς ἐμοῦ τι κεκλοφότος
ζητεῖς μεταλαβεῖν.
ΒΛΕΨΙΔΗΜΟΣ.
μεταλαβεῖν ζητῶ; τίνος;
ΧΡΕΜΥΛΟΣ.
τὸ δ' ἐστὶν οὐ τοιοῦτον, ἀλλ' ἑτέρως ἔχον.
ΒΛΕΨΙΔΗΜΟΣ.
μῶν οὐ κέκλοφας, ἀλλ' ἥρπακας;
ΧΡΕΜΥΛΟΣ.
κακοδαιμονᾷς.
ΒΛΕΨΙΔΗΜΟΣ.
ἀλλ' οὐδὲ μὴν ἀπεστέρηκάς γ' οὐδένα;
ΧΡΕΜΥΛΟΣ.
οὐ δῆτ' ἔγωγ'.
ΒΛΕΨΙΔΗΜΟΣ.
ὦ Ἡράκλεις, φέρε, ποῖ τις ἂν
τράποιτο; τἀληθὲς γὰρ οὐκ ἐθέλεις φράσαι.
ΧΡΕΜΥΛΟΣ.
κατηγορεῖς γὰρ πρὶν μαθεῖν τὸ πρᾶγμά μου.
ΒΛΕΨΙΔΗΜΟΣ.
ὦ τᾶν, ἐγώ τοι τοῦτ' ἀπὸ σμικροῦ πάνυ
ἐθέλω διαπρᾶξαι πρὶν πυθέσθαι τὴν πόλιν,
τὸ στόμ' ἐπιβύσας κέρμασιν τῶν ῥητόρων.
ΧΡΕΜΥΛΟΣ.
καὶ μὴν φίλως γ' ἄν μοι δοκεῖς νὴ τοὺ θεοὺς
τρεῖς μνᾶς ἀναλώσας λογίσασθαι δώδεκα.
ΒΛΕΨΙΔΗΜΟΣ.
ὁρῶ τιν' ἐπὶ τοῦ βήματος καθεδούμενον,
ἱκετηρίαν ἔχοντα μετὰ τῶν παιδίων
καὶ τῆς γυναικὸς, κοὐ διοίσοντ' ἄντικρυς
τῶν Ἡρακλειδῶν οὐδ' ὁτιοῦν τῶν Παμφίλου.
ΧΡΕΜΥΛΟΣ.
οὒκ, ὦ κακόδαιμον, ἀλλὰ τοὺς χρηστοὺς μόνους
ἔγωγε καὶ τοὺς δεξιοὺς καὶ σώφρονας
ἀπαρτὶ πλουτῆσαι ποιήσω.
ΒΛΕΨΙΔΗΜΟΣ.
τί σὺ λέγεις;
οὕτω πάνυ πολλὰ κέκλοφας;
ΧΡΕΜΥΛΟΣ.
οἴμοι τῶν κακῶν,
ἀπολεῖς.
ΒΛΕΨΙΔΗΜΟΣ.
σὺ μὲν οὖν σεαυτὸν, ὥς γ' ἐμοὶ δοκεῖς.
ΧΡΕΜΥΛΟΣ.
οὐ δῆτ', ἐπεὶ τὸν Πλοῦτον, ὦ μοχθηρὲ σὺ,
ἔχω.
ΒΛΕΨΙΔΗΜΟΣ.
σὺ Πλοῦτον; ποῖον;
ΧΡΕΜΥΛΟΣ.
αὐτὸν τὸν θεόν.
ΒΛΕΨΙΔΗΜΟΣ.
καὶ ποῦ 'στιν;
ΧΡΕΜΥΛΟΣ.
ἔνδον.
ΒΛΕΨΙΔΗΜΟΣ.
ποῦ;
ΧΡΕΜΥΛΟΣ.
παρ' ἐμοί.
ΒΛΕΨΙΔΗΜΟΣ.
παρὰ σοί;
ΧΡΕΜΥΛΟΣ.
πάνυ.
ΒΛΕΨΙΔΗΜΟΣ.
οὐκ ἐς κόρακας; Πλοῦτος παρὰ σοί;
ΧΡΕΜΥΛΟΣ.
νὴ τοὺς θεούς.
ΒΛΕΨΙΔΗΜΟΣ.
λέγεις ἀληθῆ;
ΧΡΕΜΥΛΟΣ.
φημί.
ΒΛΕΨΙΔΗΜΟΣ.
πρὸς τῆς Ἑστίας;
ΧΡΕΜΥΛΟΣ.
νὴ τὸν Ποσειδῶ.
ΒΛΕΨΙΔΗΜΟΣ.
τὸν θαλάττιον λέγεις;

ΧΡΕΜΥΛΟΣ.
εἰ δ' ἔστιν ἕτερός τις Ποσειδῶν, τὸν ἕτερον.
ΒΛΕΨΙΔΗΜΟΣ.
εἶτ' οὐ διαπέμπεις καὶ πρὸς ἡμᾶς τοὺς φίλους;
ΧΡΕΜΥΛΟΣ.
οὐκ ἔστι πω τὰ πράγματ' ἐν τούτῳ.
ΒΛΕΨΙΔΗΜΟΣ.
τί φῄς;
οὐ τῷ μεταδοῦναι;
ΧΡΕΜΥΛΟΣ.
μὰ Δία. δεῖ γὰρ πρῶτα
ΒΛΕΨΙΔΗΜΟΣ.
τί;
ΧΡΕΜΥΛΟΣ.
βλέψαι ποιῆσαι νώ
ΒΛΕΨΙΔΗΜΟΣ.
τίνα βλέψαι; φράσον.
ΧΡΕΜΥΛΟΣ.
τὸν Πλοῦτον ὥσπερ πρότερον ἑνί γέ τῳ τρόπῳ.
ΒΛΕΨΙΔΗΜΟΣ.
τυφλὸς γὰρ ὄντως ἐστί;
ΧΡΕΜΥΛΟΣ.
νὴ τὸν οὐρανόν.
ΒΛΕΨΙΔΗΜΟΣ.
οὐκ ἐτὸς ἄρ' ὡς ἔμ' ἦλθεν οὐδεπώποτε.
ΧΡΕΜΥΛΟΣ.
ἀλλ' ἢν θεοὶ θέλωσι, νῦν ἀφίξεται.
ΒΛΕΨΙΔΗΜΟΣ.
οὔκουν ἰατρὸν εἰσαγαγεῖν ἐχρῆν τινά;
ΧΡΕΜΥΛΟΣ.
τίς δῆτ' ἰατρός ἐστι νῦν ἐν τῇ πόλει;
οὔτε γὰρ ὁ μισθὸς οὐδέν ἐστ' οὔθ' ἡ τέχνη.
ΒΛΕΨΙΔΗΜΟΣ.
σκοπῶμεν.
ΧΡΕΜΥΛΟΣ.
ἀλλ' οὐκ ἔστιν.
ΒΛΕΨΙΔΗΜΟΣ.
οὐδ' ἐμοὶ δοκεῖ.
ΧΡΕΜΥΛΟΣ.
μὰ Δί', ἀλλ' ὅπερ πάλαι παρεσκευαζόμην
ἐγώ, κατακλίνειν αὐτὸν εἰς Ἀσκληπιοῦ
κράτιστόν ἐστι.
ΒΛΕΨΙΔΗΜΟΣ.
πολὺ μὲν οὖν νὴ τοὺς θεούς.
μή νυν διάτριβ', ἀλλ' ἄνυε πράττων ἕν γέ τι.
ΧΡΕΜΥΛΟΣ.
καὶ μὴν βαδίζω.
ΒΛΕΨΙΔΗΜΟΣ.
σπεῦδέ νυν.
ΧΡΕΜΥΛΟΣ.
τοῦτ' αὐτὸ δρῶ.
ΠΕΝΙΑ.
ὦ θερμὸν ἔργον κἀνόσιον καὶ παράνομον
τολμῶντε δρᾶν ἀνθρωπαρίω κακοδαίμονε,
ποῖ ποῖ; τί φεύγετ'; οὐ μενεῖτον;
ΒΛΕΨΙΔΗΜΟΣ.
Ἡράκλεις.
ΠΕΝΙΑ.
ἐγὼ γὰρ ὑμᾶς ἐξολῶ κακοὺς κακῶς·
τόλμημα γὰρ τολμᾶτον οὐκ ἀνασχετόν,
ἀλλ' οἷον οὐδεὶς ἄλλος οὐδεπώποτε
οὔτε θεὸς οὔτ' ἄνθρωπος· ὥστ' ἀπολώλατον.
ΧΡΕΜΥΛΟΣ.
σὺ δ' εἶ τίς; ὠχρὰ μὲν γὰρ εἶναί μοι δοκεῖς.
ΒΛΕΨΙΔΗΜΟΣ.
ἴσως Ἐρινύς ἐστιν ἐκ τραγῳδίας·
βλέπει γέ τοι μανικόν τι καὶ τραγῳδικόν.
ΧΡΕΜΥΛΟΣ.
ἀλλ' οὐκ ἔχει γὰρ δᾷδας.
ΒΛΕΨΙΔΗΜΟΣ.
οὐκοῦν κλαύσεται.
ΠΕΝΙΑ.
οἴεσθε δ' εἶναι τίνα με;
ΧΡΕΜΥΛΟΣ.
πανδοκεύτριαν,
ἢ λεκιθόπωλιν. οὐ γὰρ ἂν τοσουτονὶ
ἐνέκραγες ἡμῖν οὐδὲν ἠδικημένη.
ΠΕΝΙΑ.
ἄληθες; οὐ γὰρ δεινότατα δεδράκατον,
ζητοῦντες ἐκ πάσης με χώρας ἐκβαλεῖν;
ΧΡΕΜΥΛΟΣ.
οὔκουν ὑπόλοιπον τὸ βάραθρόν σοι γίγνεται;
ἀλλ' ἥτις εἶ λέγειν σ' ἐχρῆν αὐτίκα μάλα.
ΠΕΝΙΑ.
ἣ σφὼ ποιήσω τήμερον δοῦναι δίκην
ἀνθ' ὧν ἐμὲ ζητεῖτον ἐνθένδ' ἀφανίσαι.
ΒΛΕΨΙΔΗΜΟΣ.
ἆρ' ἐστὶν ἡ καπηλὶς ἡκ τῶν γειτόνων,
ἣ ταῖς κοτύλαις ἀεί με διαλυμαίνεται;
ΠΕΝΙΑ.
Πενία μὲν οὖν, ἣ σφῷν ξυνοικῶ πόλλ' ἔτη.
ΒΛΕΨΙΔΗΜΟΣ.
ἄναξ Ἄπολλον καὶ θεοί, ποῖ τις φύγῃ;
ΧΡΕΜΥΛΟΣ.
οὗτος, τί δρᾷς; ὦ δειλότατον σὺ θηρίον,
οὐ παραμενεῖς;
ΒΛΕΨΙΔΗΜΟΣ.
ἥκιστα πάντων.
ΧΡΕΜΥΛΟΣ.
οὐ μενεῖς;
ἀλλ' ἄνδρε δύο γυναῖκα φεύγομεν μίαν;
ΒΛΕΨΙΔΗΜΟΣ.
Πενία γάρ ἐστιν, ὦ πονήρ', ἧς οὐδαμοῦ
οὐδὲν πέφυκε ζῷον ἐξωλέστερον.
ΧΡΕΜΥΛΟΣ.
στῆθ', ἀντιβολῶ σε, στῆθι.
ΒΛΕΨΙΔΗΜΟΣ.
μὰ Δί' ἐγὼ μὲν οὔ.
ΧΡΕΜΥΛΟΣ.
καὶ μὴν λέγω, δεινότατον ἔργον παρὰ πολὺ
ἔργων ἁπάντων ἐργασόμεθ', εἰ τὸν θεὸν
ἔρημον ἀπολιπόντε ποι φευξούμεθα
τηνδὶ δεδιότε, μηδὲ διαμαχούμεθα.
ΒΛΕΨΙΔΗΜΟΣ.
ποίοις ὅπλοισιν ἢ δυνάμει πεποιθότες;
ποῖον γὰρ οὐ θώρακα, ποίαν δ' ἀσπίδα
οὐκ ἐνέχυρον τίθησιν ἡ μιαρωτάτη;
ΧΡΕΜΥΛΟΣ.
θάρρει· μόνος γὰρ ὁ θεὸς οὗτος οἶδ' ὅτι
τροπαῖον ἂν στήσαιτο τῶν ταύτης τρόπων.

ΠΕΝΙΑ.
γρύζειν δὲ καὶ τολμᾶτον, ὦ καθάρματε,
ἐπ' αὐτοφώρῳ δεινὰ δρῶντ' εἰλημμένω;
ΧΡΕΜΥΛΟΣ.
σὺ δ', ὦ κάκιστ' ἀπολουμένη, τί λοιδορεῖ
ἡμῖν προσελθοῦσ' οὐδ' ὁτιοῦν ἀδικουμένη;
ΠΕΝΙΑ.
οὐδὲν γὰρ, ὦ πρὸς τῶν θεῶν, νομίζετε
ἀδικεῖν με τὸν Πλοῦτον ποιεῖν πειρωμένω
βλέψαι πάλιν;
ΧΡΕΜΥΛΟΣ.
τί οὖν ἀδικοῦμεν τοῦτό σε,
εἰ πᾶσιν ἀνθρώποισιν ἐκπορίζομεν
ἀγαθόν;
ΠΕΝΙΑ.
τί δ' ἂν ὑμεῖς ἀγαθὸν ἐξεύροιθ';
ΧΡΕΜΥΛΟΣ.
ὅ τι;
σὲ πρῶτον ἐκβαλόντες ἐκ τῆς Ἑλλάδος.
ΠΕΝΙΑ.
ἔμ' ἐκβαλόντες; καὶ τί ἂν νομίζετον
κακὸν ἐργάσασθαι μεῖζον ἀνθρώπους;
ΧΡΕΜΥΛΟΣ.
ὅ τι;
εἰ τοῦτο δρᾶν μέλλοντες ἐπιλαθοίμεθα.
ΠΕΝΙΑ.
καὶ μὴν περὶ τούτου σφῷν ἐθέλω δοῦναι λόγον
τὸ πρῶτον αὐτοῦ· κἂν μὲν ἀποφήνω μόνην
ἀγαθῶν ἁπάντων οὖσαν αἰτίαν ἐμὲ
ὑμῖν δι' ἐμέ τε ζῶντας ὑμᾶς· εἰ δὲ μή,
ποεεῖτον ἤδη τοῦθ' ὅ τι ἂν ὑμῖν δοκῇ.
ΧΡΕΜΥΛΟΣ.
ταυτὶ σὺ τολμᾷς, ὦ μιαρωτάτη, λέγειν;
ΠΕΝΙΑ.
καὶ σύ γε διδάσκου· πάνυ γὰρ οἶμαι ῥᾳδίως
ἅπανθ' ἁμαρτάνοντά σ' ἀποδείξειν ἐγὼ,
εἰ τοὺς δικαίους φῄς ποιήσειν πλουσίους.
ΒΛΕΨΙΔΗΜΟΣ.
ὦ τύμπανα καὶ κύφωνες οὐκ ἀρήξετε;
ΠΕΝΙΑ.
οὐ δεῖ σχετλιάζειν καὶ βοᾶν πρὶν ἂν μάθῃς.
ΒΛΕΨΙΔΗΜΟΣ.
καὶ τίς δύναιτ' ἂν μὴ βοᾶν ἰοὺ ἰοὺ
τοιαῦτ' ἀκούων;
ΠΕΝΙΑ.
ὅστις ἐστὶν εὖ φρονῶν.
ΧΡΕΜΥΛΟΣ.
τί δῆτά σοι τίμημ' ἐπιγράψω τῇ δίκῃ,
ἐὰν ἁλῷς;
ΠΕΝΙΑ.
ὅ τι σοι δοκεῖ.
ΧΡΕΜΥΛΟΣ.
καλῶς λέγεις.
ΠΕΝΙΑ.
τὸ γὰρ αὔτ', ἐὰν ἡττᾶσθε, καὶ σφὼ δεῖ παθεῖν.
ΒΛΕΨΙΔΗΜΟΣ.
ἱκανοὺς νομίζεις δῆτα θανάτους εἴκοσιν;
ΧΡΕΜΥΛΟΣ.
[illegible] μοι· νῦν δὲ δύ' ἀποχρήσουσιν μόνω.

ΠΕΝΙΑ.
οὐκ ἂν φθάνοιτον τοῦτο πράττοντ'· ἢ τί γὰρ
ἔχοι τις ἂν δίκαιον ἀντειπεῖν ἔτι;
ΧΟΡΟΣ.
ἀλλ' ἤδη χρῆν τι λέγειν ὑμᾶς σοφὸν ᾧ νικήσετε τηνδὶ
ἐν τοῖσι λόγοις ἀντιλέγοντες· μαλακὸν δ' ἐνδώσετε μηδέν.
ΧΡΕΜΥΛΟΣ.
φανερὸν μὲν ἔγωγ' οἶμαι γνῶναι τοῦτ' εἶναι πᾶσιν ὁμοίως,
ὅτι τοὺς χρηστοὺς τῶν ἀνθρώπων εὖ πράττειν ἐστὶ δίκαιον,
τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους τούτων τἀναντία δήπου.
τοῦτ' οὖν ἡμεῖς ἐπιθυμοῦντες μόλις εὕρομεν ὥστε γενέσθαι
βούλημα καλὸν καὶ γενναῖον καὶ χρήσιμον εἰς ἅπαν ἔργον.
ἢν γὰρ ὁ Πλοῦτος νυνὶ βλέψῃ καὶ μὴ τυφλὸς ὢν περινοστῇ,
ὡς τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων βαδιεῖται κοὐκ ἀπολείψει,
τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους φευξεῖται· κᾆτα ποιήσει
πάντας χρηστοὺς καὶ πλουτοῦντας δήπου τά τε θεῖα σέβοντας.
καίτοι τούτου τοῖς ἀνθρώποις τίς ἂν ἐξεύροι ποτ' ἄμεινον;
ΒΛΕΨΙΔΗΜΟΣ.
οὐδεὶς ἄν· ἐγὼ τούτου μάρτυς· μηδὲν ταύτην γ' ἀνερώτα.
ΧΡΕΜΥΛΟΣ.
ὡς μὲν γὰρ νῦν ἡμῖν ὁ βίος τοῖς ἀνθρώποις διάκειται,
τίς ἂν οὐχ ἡγοῖτ' εἶναι μανίαν, κακοδαιμονίαν τ' ἔτι μᾶλλον;
πολλοὶ μὲν γὰρ τῶν ἀνθρώπων ὄντες πλουτοῦσι πονηροὶ,
ἀδίκως αὐτὰ ξυλλεξάμενοι· πολλοὶ δ' ὄντες πάνυ χρηστοὶ
πράττουσι κακῶς καὶ πεινῶσιν μετὰ σοῦ τε τὰ πλεῖστα σύνεισιν.
οὔκουν εἶναί φημ', εἰ παύσαι ταύτην βλέψας ποθ' ὁ Πλοῦτος,
ὁδὸν ἥντιν' ἰὼν τοῖς ἀνθρώποις ἀγάθ' ἂν μείζω πορίσειεν.
ΠΕΝΙΑ.
ἀλλ' ὦ πάντων ῥᾷστ' ἀνθρώπων ἀναπεισθέντ' οὐχ ὑγιαίνειν
δύο πρεσβύτα, ξυνθιασώτα τοῦ ληρεῖν καὶ παραπαίειν,
εἰ τοῦτο γένοιθ' ὃ ποθεῖθ' ὑμεῖς, οὔ φημ' ἂν λυσιτελεῖν σφῷν.
εἰ γὰρ ὁ Πλοῦτος βλέψειε πάλιν διανείμειέν τ' ἴσον αὐτὸν,
οὔτε τέχνην ἂν τῶν ἀνθρώπων οὔτ' ἂν σοφίαν μελετῴη
οὐδείς· ἀμφοῖν δ' ὑμῖν τούτοιν ἀφανισθέντοιν ἐθελήσει

τίς χαλκεύειν ἢ ναυπηγεῖν ἢ ῥάπτειν ἢ τροχοποιεῖν
ἢ σκυτοτομεῖν ἢ πλινθουργεῖν ἢ πλύνειν ἢ σκυλοδεψεῖν
ἢ γῆς ἀρότροις ῥήξας δάπεδον καρπὸν Δηοῦς θερίσασθαι,
ἢν ἐξῇ ζῆν ἀργοῖς ὑμῖν τούτων πάντων ἀμελοῦσιν;

ΧΡΕΜΥΛΟΣ.

λῆρον ληρεῖς. ταῦτα γὰρ ἡμῖν πάνθ' ὅσα νῦν δὴ κατέλεξας
οἱ θεράποντες μοχθήσουσιν.

ΠΕΝΙΑ.

πόθεν οὖν ἕξεις θεράποντας

ΧΡΕΜΥΛΟΣ.

ὠνησόμεθ' ἀργυρίου δήπου.

ΠΕΝΙΑ.

τίς δ' ἔσται πρῶτον ὁ πωλῶν,
ὅταν ἀργύριον κἀκεῖνος ἔχῃ;

ΧΡΕΜΥΛΟΣ.

κερδαίνειν βουλόμενός τις
ἔμπορος ἥκων ἐκ Θετταλίας παρὰ πλείστων ἀνδραποδιστῶν.

ΠΕΝΙΑ.

ἀλλ' οὐδ' ἔσται πρῶτον ἁπάντων οὐδεὶς οὐδ' ἀνδραποδιστὴς
κατὰ τὸν λόγον ὃν σὺ λέγεις δήπου. τίς γὰρ πλουτῶν ἐθελήσει
κινδυνεύων περὶ τῆς ψυχῆς τῆς αὑτοῦ τοῦτο ποιῆσαι;
ὥστ' αὐτὸς ἀροῦν ἐπαναγκασθεὶς καὶ σκάπτειν τἄλλα τε μοχθεῖν
ὀδυνηρότερον τρίψεις βίοτον πολὺ τοῦ νῦν.

ΧΡΕΜΥΛΟΣ.

ἐς κεφαλὴν σοί.

ΠΕΝΙΑ.

ἔτι δ' οὐχ ἕξεις οὔτ' ἐν κλίνῃ καταδαρθεῖν· οὐ γὰρ ἔσονται·
οὔτ' ἐν δάπισιν· τίς γὰρ ὑφαίνειν ἐθελήσει χρυσίου ὄντος;
οὔτε μύροισιν μυρίσαι στακτοῖς, ὁπόταν νύμφην ἀγάγησθον·
οὔθ' ἱματίων βαπτῶν δαπάναις κοσμῆσαι ποικιλομόρφων.
καίτοι τί πλέον πλουτεῖν ἐστιν πάντων τούτων ἀποροῦντα;
παρ' ἐμοῦ δ' ἔστιν ταῦτ' εὔπορα πάνθ' ὑμῖν ὧν δεῖσθον· ἐγὼ γὰρ
τὸν χειροτέχνην ὥσπερ δέσποιν' ἐπαναγκάζουσα κάθημαι
διὰ τὴν χρείαν καὶ τὴν πενίαν ζητεῖν ὁπόθεν βίον ἕξει.

ΧΡΕΜΥΛΟΣ.

σὺ γὰρ ἂν πορίσαι τί δύναι' ἀγαθὸν, πλὴν φῴδων ἐκ βαλανείου
καὶ παιδαρίων ὑποπεινώντων καὶ γραϊδίων κολοσυρτόν;
φθειρῶν τ' ἀριθμὸν καὶ κωνώπων καὶ ψυλλῶν οὐδὲ λέγω σοι
ὑπὸ τοῦ πλήθους, αἳ βομβοῦσαι περὶ τὴν κεφαλὴν ἀνιῶσιν,
ἐπεγείρουσαι καὶ φράζουσαι, πεινήσεις, ἀλ ἐπανίστω.
πρὸς δέ γε τούτοις ἀνθ' ἱματίου μὲν ἔχειν ῥά κος· ἀντὶ δὲ κλίνης
στιβάδα σχοίνων κόρεων μεστὴν, ἣ τοὺς εὕδ τας ἐγείρει·
καὶ φορμὸν ἔχειν ἀντὶ τάπητος σαπρόν· ἀν δὲ προσκεφαλαίου,
λίθον εὐμεγέθη πρὸς τῇ κεφαλῇ· σιτεῖσθαι ἀντὶ μὲν ἄρτων
μαλάχης πτόρθους, ἀντὶ δὲ μάζης φυλλεῖ' ἰσχν ῥαφανίδων,
ἀντὶ δὲ θράνους στάμνου κεφαλὴν κατεαγότ ἀντὶ δὲ μάκτρας
πιθάκνης πλευρὰν ἐρρωγυῖαν καὶ ταύτην. ἆρ γε πολλῶν
ἀγαθῶν πᾶσιν τοῖς ἀνθρώποις ἀποφαίν αἴτιον οὖσαν;

ΠΕΝΙΑ.

σὺ μὲν οὐ τὸν ἐμὸν βίον εἴρηκας, τὸν τῶν πτ χῶν δ' ὑπεκρούσω.

ΧΡΕΜΥΛΟΣ.

οὐκοῦν δήπου τῆς πτωχείας πενίαν φαμὲν εἶν ἀδελφήν.

ΠΕΝΙΑ.

ὑμεῖς γ' οἵπερ καὶ Θρασυβούλῳ Διονύσιον εἶ ὅμοιον.
ἀλλ' οὐχ οὑμὸς τοῦτο πέπονθεν βίος οὐ μὰ Δ οὐδέ γε μέλλει.
πτωχοῦ μὲν γὰρ βίος, ὃν σὺ λέγεις, ζῆν ἐστ μηδὲν ἔχοντα·
τοῦ δὲ πένητος ζῆν φειδόμενον καὶ τοῖς ἔργ προσέχοντα,
περιγίγνεσθαι δ' αὐτῷ μηδὲν, μὴ μέντοι μη ἐπιλείπειν.

ΧΡΕΜΥΛΟΣ.

ὡς μακαρίτην, ὦ Δάματερ, τὸν βίον αὐ κατέλεξας,
εἰ φεισάμενος καὶ μοχθήσας καταλείψει μη ταφῆναι.

ΠΕΝΙΑ.

σκώπτειν πειρᾷ καὶ κωμῳδεῖν τοῦ σπουδά ἀμελήσας,
οὐ γιγνώσκων ὅτι τοῦ Πλούτου παρέχω βελτί νας ἄνδρας
καὶ τὴν γνώμην καὶ τὴν ἰδέαν. παρὰ τῷ μ γὰρ ποδαγρῶντες
καὶ γαστρώδεις καὶ παχύκνημοι καὶ πίονές εἰ ἀσελγῶς,
παρ' ἐμοὶ δ' ἰσχνοὶ καὶ σφηκώδεις καὶ τ ἐχθροῖς ἀνιαροί.

ΧΡΕΜΥΛΟΣ.

ἀπὸ τοῦ λιμοῦ γὰρ ἴσως αὐτοῖς τὸ σφηκ σὺ πορίζεις.

ΠΕΝΙΑ.

περὶ σωφροσύνης ἤδη τοίνυν περανῶ σφῷ ναδιδάξω
ὅτι κοσμιότης οἰκεῖ μετ' ἐμοῦ, τοῦ Πλούτ ἐστὶν ὑβρίζειν.

ΧΡΕΜΥΛΟΣ.

πάνυ γοῦν κλέπτειν κόσμιόν ἐστιν καὶ τοὺς τοίχους διορύττειν.

ΠΕΝΙΑ.

σκέψαι τοίνυν ἐν ταῖς πόλεσιν τοὺς ῥήτορας, ὡς ὁπόταν μὲν
ὦσι πένητες, περὶ τὸν δῆμον καὶ τὴν πόλιν εἰσὶ δίκαιοι,
πλουτήσαντες δ' ἀπὸ τῶν κοινῶν παραχρῆμ' ἄδικοι γεγένηνται,
ἐπιβουλεύουσί τε τῷ πλήθει καὶ τῷ δήμῳ πολεμοῦσιν.

ΧΡΕΜΥΛΟΣ.

ἀλλ' οὐ ψεύδει τούτων γ' οὐδὲν, καίπερ σφόδρα βάσκανος οὖσα.
ἀτὰρ οὐχ ἧττόν γ' οὐδὲν κλαύσει, μηδὲν ταύτῃ γε κομήσῃς,
ὁτιὴ ζητεῖς τοῦτ' ἀναπείσειν ἡμᾶς, ὡς ἔστιν ἀμείνων
πενία πλούτου.

ΠΕΝΙΑ.

καὶ σύ γ' ἐλέγξαι μ' οὔπω δύνασαι περὶ τούτου,
ἀλλὰ φλυαρεῖς καὶ πτερυγίζεις.

ΧΡΕΜΥΛΟΣ.

καὶ πῶς φεύγουσί σ' ἅπαντες;

ΠΕΝΙΑ.

ὅτι βελτίους αὐτοὺς ποιῶ. σκέψασθαι δ' ἔστι μάλιστα
ἀπὸ τῶν παίδων· τοὺς γὰρ πατέρας φεύγουσι, φρονοῦντας ἄριστα
αὐτοῖς. οὕτω διαγιγνώσκειν χαλεπὸν πρᾶγμ' ἐστὶ δίκαιον.

ΧΡΕΜΥΛΟΣ.

τὸν Δία φήσεις ἆρ' οὐκ ὀρθῶς διαγιγνώσκειν τὸ κράτιστον·
κἀκεῖνος γὰρ τὸν πλοῦτον ἔχει.

ΒΛΕΨΙΔΗΜΟΣ.

ταύτην δ' ἡμῖν ἀποπέμπει.

ΠΕΝΙΑ.

ἀλλ' ὦ Κρονικαῖς λήμαις ὄντως λημῶντες τὰς φρένας ἄμφω,
ὁ Ζεὺς δήπου πένεται, καὶ τοῦτ' ἤδη φανερῶς σε διδάξω.
εἰ γὰρ ἐπλούτει, πῶς ἂν ποιῶν τὸν Ὀλυμπικὸν αὐτὸς ἀγῶνα,
ἵνα τοὺς Ἕλληνας ἅπαντας ἀεὶ δι' ἔτους πέμπτου ξυναγείρει,
ἀνεκήρυττεν τῶν ἀσκητῶν τοὺς νικῶντας στεφανώσας
κοτινῷ στεφάνῳ; καίτοι χρυσῷ μᾶλλον ἐχρῆν, εἴπερ ἐπλούτει.

ΧΡΕΜΥΛΟΣ.

οὐκοῦν τούτῳ δήπου δηλοῖ τιμῶν τὸν πλοῦτον ἐκεῖνος·
φειδόμενος γὰρ καὶ βουλόμενος τούτου μηδὲν δαπανᾶσθαι,
λήροις ἀναδῶν τοὺς νικῶντας τὸν πλοῦτον ἐᾷ παρ' ἑαυτῷ.

ΠΕΝΙΑ.

πολὺ τῆς πενίας πρᾶγμ' αἴσχιον ζητεῖς αὐτῷ περιάψαι,
εἰ πλούσιος ὢν ἀνελεύθερός ἐσθ' οὑτωσὶ καὶ φιλοκερδής.

ΧΡΕΜΥΛΟΣ.

ἀλλὰ σέ γ' ὁ Ζεὺς ἐξολέσειεν κοτινῷ στεφάνῳ στεφανώσας.

ΠΕΝΙΑ.

τὸ γὰρ ἀντιλέγειν τολμᾶν ὑμᾶς ὡς οὐ πάντ' ἔστ' ἀγάθ' ὑμῖν
διὰ τὴν Πενίαν.

ΧΡΕΜΥΛΟΣ.

παρὰ τῆς Ἑκάτης ἔξεστιν τοῦτο πυθέσθαι,
εἴτε τὸ πλουτεῖν εἴτε τὸ πεινῆν βέλτιον. φησὶ γὰρ αὕτη
τοὺς μὲν ἔχοντας καὶ πλουτοῦντας δεῖπνον κατὰ μῆν' ἀποπέμπειν,
τοὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν πρὶν καταθεῖναι.
ἀλλὰ φθείρου καὶ μὴ γρύξῃς
ἔτι μηδ' ὁτιοῦν.
οὐ γὰρ πείσεις, οὐδ' ἢν πείσῃς.

ΠΕΝΙΑ.

ὦ πόλις Ἄργους, κλύεθ' οἷα λέγει.

ΧΡΕΜΥΛΟΣ.

Παύσωνα κάλει τὸν ξύσσιτον.

ΠΕΝΙΑ.

τί πάθω τλήμων;

ΧΡΕΜΥΛΟΣ.

ἔρρ' ἐς κόρακας θᾶττον ἀφ' ἡμῶν.

ΠΕΝΙΑ.

εἶμι δὲ ποῖ γῆς;

ΧΡΕΜΥΛΟΣ.

ἐς τὸν κύφων'· ἀλλ' οὐ μέλλειν
χρή σ', ἀλλ' ἀνύειν.

ΠΕΝΙΑ.

ἦ μὴν ὑμεῖς γ' ἔτι μ' ἐνταυθὶ
μεταπέμψεσθον.

ΧΡΕΜΥΛΟΣ.

τότε νοστήσεις· νῦν δὲ φθείρου.
κρεῖττον γάρ μοι πλουτεῖν ἐστὶν,
σὲ δ' ἐᾶν κλάειν μακρὰ τὴν κεφαλήν.

ΒΛΕΨΙΔΗΜΟΣ.

νὴ Δί' ἔγωγ' οὖν ἐθέλω πλουτῶν
εὐωχεῖσθαι μετὰ τῶν παίδων
τῆς τε γυναικὸς, καὶ λουσάμενος
λιπαρὸς χωρῶν ἐκ βαλανείου
τῶν χειροτεχνῶν
καὶ τῆς Πενίας καταπαρδεῖν.

ΧΡΕΜΥΛΟΣ.

αὕτη μὲν ἡμῖν ἠπίτριπτος οἴχεται.
ἐγὼ δὲ καὶ σύ γ' ὡς τάχιστα τὸν θεὸν
ἐγκατακλινοῦντ' ἄγωμεν εἰς Ἀσκληπιοῦ.

ΒΛΕΨΙΔΗΜΟΣ.

καὶ μὴ διατρίβωμέν γε, μὴ πάλιν τις αὖ
ἐλθὼν διακωλύσῃ τι τῶν προὔργου ποιεῖν.

---

**Post v. 565. sequebatur**

ΒΛ. νὴ τὸν Δί' εἰ δεῖ λαθεῖν αὐτὸν, πῶς οὐχὶ κόσμιόν ἐστιν;

ΧΡΕΜΥΛΟΣ.

παῖ Καρίων, τὰ στρώματ' ἐκφέρειν σ' ἐχρῆν,
αὐτόν τ' ἄγειν τὸν Πλοῦτον, ὡς νομίζεται,
καὶ τἄλλ' ὅσ' ἐστὶν ἔνδον ηὐτρεπισμένα.

ΚΑΡΙΩΝ.

ὦ πλεῖστα Θησείοις μεμυστιλημένοι
γέροντες ἄνδρες ἐπ' ὀλιγίστοις ἀλφίτοις,
ὡς εὐτυχεῖθ', ὡς μακαρίως πεπράγατε,
ἄλλοι θ' ὅσοις μέτεστι τοῦ χρηστοῦ τρόπου.

ΧΟΡΟΣ.

τί δ' ἔστιν ὦ βέλτιστε τῶν σαυτοῦ φίλων;
φαίνει γὰρ ἥκειν ἄγγελος χρηστοῦ τινος.

ΚΑΡΙΩΝ.

ὁ δεσπότης πέπραγεν εὐτυχέστατα,
μᾶλλον δ' ὁ Πλοῦτος αὐτός· ἀντὶ γὰρ τυφλοῦ
ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας,
Ἀσκληπιοῦ παιῶνος εὐμενοῦς τυχών.

ΧΟΡΟΣ.

λέγεις μοι χαρὰν, λέγεις μοι βοάν.

ΚΑΡΙΩΝ.

πάρεστι χαίρειν, ἤν τε βούλησθ' ἤν τε μή.

ΧΟΡΟΣ.

ἀναβοάσομαι τὸν εὔπαιδα καὶ
μέγα βροτοῖσι φέγγος Ἀσκληπιόν.

ΓΥΝΗ.

τίς ἡ βοή ποτ' ἐστίν; ἆρ' ἀγγέλλεται
χρηστόν τι; τοῦτο γὰρ ποθοῦσ' ἐγὼ πάλαι
ἔνδον κάθημαι περιμένουσα τουτονί.

ΚΑΡΙΩΝ.

ταχέως ταχέως φέρ' οἶνον, ὦ δέσποιν', ἵνα
καὐτὴ πίῃς· φιλεῖς δὲ δρῶσ' αὐτὸ σφόδρα·
ὡς ἀγαθὰ συλλήβδην ἅπαντά σοι φέρω.

ΓΥΝΗ.

καὶ ποῦ 'στιν;

ΚΑΡΙΩΝ.

ἐν τοῖς λεγομένοις εἴσει τάχα.

ΓΥΝΗ.

πέραινε τοίνυν ὅ τι λέγεις ἀνύσας ποτέ.

ΚΑΡΙΩΝ.

ἄκουε τοίνυν, ὡς ἐγὼ τὰ πράγματα
ἐκ τῶν ποδῶν ἐς τὴν κεφαλήν σοι πάντ' ἐρῶ.

ΓΥΝΗ.

μὴ δῆτ' ἔμοιγ' ἐς τὴν κεφαλήν.

ΚΑΡΙΩΝ.

μὴ τἀγαθὰ
ἃ νῦν γεγένηται;

ΓΥΝΗ.

μὴ μὲν οὖν τὰ πράγματα.

ΚΑΡΙΩΝ.

ὡς γὰρ τάχιστ' ἀφικόμεθα πρὸς τὸν θεὸν
ἄγοντες ἄνδρα τότε μὲν ἀθλιώτατον,
νῦν δ' εἴ τιν' ἄλλον μακάριον κεὐδαίμονα,
πρῶτον μὲν αὐτὸν ἐπὶ θάλατταν ἤγομεν,
ἔπειτ' ἐλοῦμεν.

ΓΥΝΗ.

νὴ Δί' εὐδαίμων ἄρ' ἦν
ἀνὴρ γέρων ψυχρᾷ θαλάττῃ λούμενος.

ΚΑΡΙΩΝ.

ἔπειτα πρὸς τὸ τέμενος ἦμεν τοῦ θεοῦ.
ἐπεὶ δὲ βωμῷ πόπανα καὶ προθύματα
καθωσιώθη, πέλανος Ἡφαίστου φλογὶ,
κατεκλίναμεν τὸν Πλοῦτον, ὥσπερ εἰκὸς ἦν·
ἡμῶν δ' ἕκαστος στιβάδα παρεκαττύετο.

ΓΥΝΗ.

ἦσαν δέ τινες κἄλλοι δεόμενοι τοῦ θεοῦ;

ΚΑΡΙΩΝ.

εἷς μέν γε Νεοκλείδης, ὅς ἐστι μὲν τυφλὸς,
κλέπτων δὲ τοὺς βλέποντας ὑπερηκόντικεν·
ἕτεροί τε πολλοὶ παντοδαπὰ νοσήματα
ἔχοντες· ὡς δὲ τοὺς λύχνους ἀποσβέσας
ἡμῖν παρήγγειλεν καθεύδειν τοῦ θεοῦ
ὁ πρόπολος, εἰπὼν, ἤν τις αἴσθηται ψόφου,
σιγᾶν, ἅπαντες κοσμίως κατεκείμεθα.
κἀγὼ καθεύδειν οὐκ ἐδυνάμην, ἀλλά με
ἀθάρης χύτρα τις ἐξέπληττε κειμένη
ὀλίγον ἄπωθεν τῆς κεφαλῆς του γρᾳδίου,
ἐφ' ἣν ἐπεθύμουν δαιμονίως ἐφερπύσαι.
ἔπειτ' ἀναβλέψας ὁρῶ τὸν ἱερέα
τοὺς φθοῖς ἀφαρπάζοντα καὶ τὰς ἰσχάδας
ἀπὸ τῆς τραπέζης τῆς ἱερᾶς. μετὰ τοῦτο δὲ
περιῆλθε τοὺς βωμοὺς ἅπαντας ἐν κύκλῳ,
εἴ που πόπανον εἴη τι καταλελειμμένον·
ἔπειτα ταῦθ' ἥγιζεν εἰς σάκταν τινά.
κἀγὼ νομίσας πολλὴν ὁσίαν τοῦ πράγματος
ἐπὶ τὴν χύτραν τὴν τῆς ἀθάρης ἀνίσταμαι.

ΓΥΝΗ.

ταλάνταθ' ἀνδρῶν, οὐκ ἐδεδοίκεις τὸν θεόν;

ΚΑΡΙΩΝ.

νὴ τοὺς θεοὺς ἔγωγε μὴ φθάσειέ με
ἐπὶ τὴν χύτραν ἐλθὼν ἔχων τὰ στέμματα.
ὁ γὰρ ἱερεὺς αὐτοῦ με προὐδιδάξατο.
τὸ γρᾴδιον δ' ὡς ᾐσθάνετό μου τὸν ψόφον,
τὴν χεῖρ' ὑφῄρει· κᾆτα συρίξας ἐγὼ
ὀδὰξ ἐλαβόμην, ὡς παρείας ὢν ὄφις.
ἡ δ' εὐθέως τὴν χεῖρα πάλιν ἀνέσπασε,
κατέκειτο δ' αὑτὴν ἐντυλίξασ' ἡσυχῇ,
ὑπὸ τοῦ δέους βδέουσα δριμύτερον γαλῆς.
κἀγὼ τότ' ἤδη τῆς ἀθάρης πολλὴν ἔφλων·
ἔπειτ' ἐπειδὴ μεστὸς ἦν, ἀνεπαυόμην.

ΓΥΝΗ.

ὁ δὲ θεὸς ὑμῖν οὐ προσῄειν;

ΚΑΡΙΩΝ.

οὐδέπω.
μετὰ τοῦτο δ' ἤδη καὶ γελοῖον δῆτά τι
ἐποίησα. προσιόντος γὰρ αὐτοῦ μέγα πάνυ
ἀπέπαρδον· ἡ γαστὴρ γὰρ ἐπεφύσητό μου.

ΓΥΝΗ.

ἦ πού σε διὰ τοῦτ' εὐθὺς ἐβδελύττετο.

ΚΑΡΙΩΝ.

οὔκ, ἀλλ' Ἰασὼ μέν τις ἀκολουθοῦσ' ἅμα
ὑπηρυθρίασε χἠ Πανάκει' ἀπεστράφη
τὴν ῥῖν' ἐπιλαβοῦσ'· οὐ λιβανωτὸν γὰρ βδέω.

ΓΥΝΗ.

αὐτὸς δ' ἐκεῖνος;

ΚΑΡΙΩΝ.

οὐ μὰ Δί' οὐδ' ἐφρόντισεν.

ΓΥΝΗ.

λέγεις ἄγροικον ἄρα σύ γ' εἶναι τὸν θεόν.

ΚΑΡΙΩΝ.

μὰ Δί' οὐκ ἔγωγ', ἀλλὰ σκατοφάγον.

ΓΥΝΗ.

αἶ τάλαν.

ΚΑΡΙΩΝ.

μετὰ ταῦτ' ἐγὼ μὲν εὐθὺς ἐνεκαλυψάμην
δείσας, ἐκεῖνος δ' ἐν κύκλῳ τὰ νοσήματα
σκοπῶν περιῄει πάντα κοσμίως πάνυ.
ἔπειτα παῖς αὐτῷ λίθινον θυείδιον
παρέθηκε καὶ δοίδυκα καὶ κιβώτιον.

ΓΥΝΗ.

λίθινον;

ΚΑΡΙΩΝ.

μὰ Δί' οὐ δῆτ', οὐχὶ τό γε κιβώτιον.

ΓΥΝΗ.

σὺ δὲ πῶς ἑώρας, ὦ κάκιστ' ἀπολούμενε,
ὃς ἐγκεκαλύφθαι φῄς;

ΚΑΡΙΩΝ.

διὰ τοῦ τριβωνίου.
ὀπὰς γὰρ εἶχεν οὐκ ὀλίγας μὰ τὸν Δία.
πρῶτον δὲ πάντων τῷ Νεοκλείδῃ φάρμακον
καταπλαστὸν ἐνεχείρησε τρίβειν, ἐμβαλὼν
σκορόδων κεφαλὰς τρεῖς Τηνίων. ἔπειτ' ἔφλα
ἐν τῇ θυείᾳ συμπαραμιγνύων ὀπὸν
καὶ σχῖνον· εἶτ' ὄξει διέμενος Σφηττίῳ,
κατέπλασεν αὐτοῦ τὰ βλέφαρ' ἐκστρέψας, ἵνα
ὀδυνῷτο μᾶλλον. ὁ δὲ κεκραγὼς καὶ βοῶν
ἔφευγ' ἀνᾴξας· ὁ δὲ θεὸς γελάσας ἔφη·
ἐνταῦθα νῦν κάθησο καταπεπλασμένος,
ἵν' ἐπομνύμενον παύσω σε τῆς ἐκκλησίας.

ΓΥΝΗ.

ὡς φιλόπολίς τίς ἐσθ' ὁ δαίμων καὶ σοφός.

ΚΑΡΙΩΝ.

μετὰ τοῦτο τῷ Πλούτωνι παρεκαθέζετο,
καὶ πρῶτα μὲν δὴ τῆς κεφαλῆς ἐφήψατο,
ἔπειτα καθαρὸν ἡμιτύβιον λαβὼν
τὰ βλέφαρα περιέψησεν· ἡ Πανάκεια δὲ
κατεπέτασ' αὐτοῦ τὴν κεφαλὴν φοινικίδι
καὶ πᾶν τὸ πρόσωπον· εἶθ' ὁ θεὸς ἐπόππυσεν.
ἐξηξάτην οὖν δύο δράκοντ' ἐκ τοῦ νεὼ
ὑπερφυεῖς τὸ μέγεθος.

ΓΥΝΗ.

ὦ φίλοι θεοί.

ΚΑΡΙΩΝ.

τούτω δ' ὑπὸ τὴν φοινικίδ' ὑποδύνθ' ἡσυχῇ
τὰ βλέφαρα περιέλειχον, ὥς γ' ἐμοὐδόκει·
καὶ πρίν σε κοτύλας ἐκπιεῖν οἴνου δέκα
ὁ Πλοῦτος, ὦ δέσποιν', ἀνεστήκει βλέπων·
ἐγὼ δὲ τὼ χεῖρ' ἀνεκρότησ' ὑφ' ἡδονῆς,
τὸν δεσπότην τ' ἤγειρον. ὁ θεὸς δ' εὐθέως
ἠφάνισεν αὑτὸν οἵ τ' ὄφεις εἰς τὸν νεών.
οἱ δ' ἐγκατακείμενοι παρ' αὐτῷ πῶς δοκεῖς
τὸν Πλοῦτον ἠσπάζοντο καὶ τὴν νύχθ' ὅλην
ἐγρηγόρεσαν, ἕως διέλαμψεν ἡμέρα.
ἐγὼ δ' ἐπῄνουν τὸν θεὸν πάνυ σφόδρα,
ὅτι βλέπειν ἐποίησε τὸν Πλοῦτον ταχύ,
τὸν δὲ Νεοκλείδην μᾶλλον ἐποίησεν τυφλόν.

ΓΥΝΗ.

ὅσην ἔχεις τὴν δύναμιν, ὦναξ δέσποτα.
ἀτὰρ φράσον μοι, ποῦ 'σθ' ὁ Πλοῦτος;

ΚΑΡΙΩΝ.

ἔρχεται.
ἀλλ' ἦν περὶ αὐτὸν ὄχλος ὑπερφυὴς ὅσος.
οἱ γὰρ δίκαιοι πρότερον ὄντες καὶ βίον
ἔχοντες ὀλίγον αὐτὸν ἠσπάζοντο καὶ
ἐδεξιοῦνθ' ἅπαντες ὑπὸ τῆς ἡδονῆς·
ὅσοι δ' ἐπλούτουν οὐσίαν τ' εἶχον συχνὴν
οὐκ ἐκ δικαίου τὸν βίον κεκτημένοι,
ὀφρῦς συνῆγον ἐσκυθρώπαζόν θ' ἅμα.
οἱ δ' ἠκολούθουν κατόπιν ἐστεφανωμένοι,
γελῶντες, εὐφημοῦντες· ἐκτυπεῖτο δὲ
ἐμβὰς γερόντων εὐρύθμοις προβήμασιν.
ἀλλ' εἶ' ἁπαξάπαντες ἐξ ἑνὸς λόγου
ὀρχεῖσθε καὶ σκιρτᾶτε καὶ χορεύετε·
οὐδεὶς γὰρ ὑμῖν εἰσιοῦσιν ἀγγελεῖ
ὡς ἄλφιτ' οὐκ ἔνεστιν ἐν τῷ θυλάκῳ.

ΓΥΝΗ.

νὴ τὴν Ἑκάτην, κἀγὼ δ' ἀναδῆσαι βούλομαι
εὐαγγέλιά σε κριβανωτῶν ὁρμαθῷ,
τοιαῦτ' ἀπαγγείλαντα.

ΚΑΡΙΩΝ.

μή νυν μέλλ' ἔτι,
ὡς ἄνδρες ἐγγύς εἰσιν ἤδη τῶν θυρῶν.

ΓΥΝΗ.

φέρε νυν ἰοῦσ' εἴσω κομίσω καταχύσματα
ὥσπερ νεωνήτοισιν ὀφθαλμοῖς ἐγώ.

ΚΑΡΙΩΝ.

ἐγὼ δ' ἀπαντῆσαί γ' ἐκείνοις βούλομαι.

ΠΛΟΥΤΟΣ.

καὶ προσκυνῶ γε πρῶτα μὲν τὸν Ἥλιον,
ἔπειτα σεμνῆς Παλλάδος κλεινὸν πέδον,
χώραν τε πᾶσαν Κέκροπος, ἥ μ' ἐδέξατο.
αἰσχύνομαι δὲ τὰς ἐμαυτοῦ συμφοράς,
οἵοις ἄρ' ἀνθρώποις ξυνὼν ἐλάνθανον,
τοὺς ἀξίους δὲ τῆς ἐμῆς ὁμιλίας
ἔφευγον, εἰδὼς οὐδέν· ὦ τλήμων ἐγώ.
ὡς οὔτ' ἐκεῖν' ἄρ' οὔτε ταῦτ' ὀρθῶς ἔδρων·
ἀλλ' αὐτὰ πάντα πάλιν ἀναστρέψας ἐγὼ
δείξω τὸ λοιπὸν πᾶσιν ἀνθρώποις ὅτι
ἄκων ἐμαυτὸν τοῖς πονηροῖς ἐνεδίδουν.

ΧΡΕΜΥΛΟΣ.

βάλλ' ἐς κόρακας· ὡς χαλεπόν εἰσιν οἱ φίλοι
οἱ φαινόμενοι παραχρῆμ' ὅταν πράττῃ τις εὖ.
νύττουσι γὰρ καὶ φλῶσι τἀντικνήμια,
ἐνδεικνύμενος ἕκαστος εὔνοιάν τινα.
ἐμὲ γὰρ τίς οὐ προσεῖπε; ποῖος οὐκ ὄχλος
περιεστεφάνωσεν ἐν ἀγορᾷ πρεσβυτικός;

ΓΥΝΗ.

ὦ φίλτατ' ἀνδρῶν, καὶ σὺ καὶ σὺ χαίρετον.
φέρε νυν, νόμος γάρ ἐστι, τὰ καταχύσματα
ταυτὶ καταχέω σου λαβοῦσα.

ΠΛΟΥΤΟΣ.

μηδαμῶς.
ἐμοῦ γὰρ εἰσιόντος εἰς τὴν οἰκίαν
πρώτιστα καὶ βλέψαντος οὐδὲν ἐκφέρειν
πρεπῶδές ἐστιν, ἀλλὰ μᾶλλον εἰσφέρειν.

ΓΥΝΗ.

εἶτ' οὐχὶ δέξει δῆτα τὰ καταχύσματα;

ΠΛΟΥΤΟΣ.

ἔνδον γε παρὰ τὴν ἑστίαν, ὥσπερ νόμος·
ἔπειτα καὶ τὸν φόρτον ἐκφύγοιμεν ἄν.
οὐ γὰρ πρεπῶδές ἐστι τῷ διδασκάλῳ

ἰσχάδια καὶ τρωγάλια τοῖς θεωμένοις
προβαλόντ', ἐπὶ τούτοις εἶτ' ἀναγκάζειν γελᾶν.

ΓΥΝΗ.

εὖ πάνυ λέγεις· ὡς Δεξίνικος οὑτοσὶ
ἀνίσταθ' ὡς ἁρπασόμενος τὰς ἰσχάδας.

ΚΑΡΙΩΝ.

ὡς ἡδὺ πράττειν, ὦνδρες, ἔστ' εὐδαιμόνως,
καὶ ταῦτα μηδὲν ἐξενεγκόντ' οἴκοθεν.
ἡμῖν γὰρ ἀγαθῶν σωρὸς εἰς τὴν οἰκίαν
ἐπεισπέπαικεν οὐδὲν ἠδικηκόσιν.
ἡ μὲν σιπύη μεστὴ 'στι λευκῶν ἀλφίτων,
οἱ δ' ἀμφορῆς οἴνου μέλανος ἀνθοσμίου.
ἅπαντα δ' ἡμῖν ἀργυρίου καὶ χρυσίου
τὰ σκευάρια πλήρη 'στίν, ὥστε θαυμάσαι.
τὸ φρέαρ δ' ἐλαίου μεστόν· αἱ δὲ λήκυθοι
μύρου γέμουσι, τὸ δ' ὑπερῷον ἰσχάδων.
ὀξὶς δὲ πᾶσα καὶ λοπάδιον καὶ χύτρα
χαλκῆ γέγονε· τοὺς δὲ πινακίσκους τοὺς σαπροὺς
τοὺς ἰχθυηροὺς ἀργυροῦς πάρεσθ' ὁρᾶν.
ὁ δ' ἰπνὸς γέγον' ἡμῖν ἐξαπίνης ἐλεφάντινος.
στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν
χρυσοῖς, ἀποψώμεσθα δ' οὐ λίθοις ἔτι,
ἀλλὰ σκοροδίοις ὑπὸ τρυφῆς ἑκάστοτε.
καὶ νῦν ὁ δεσπότης μὲν ἔνδον βουθυτεῖ
ὗν καὶ τράγον καὶ κριὸν ἐστεφανωμένος,
ἐμὲ δ' ἐξέπεμψεν ὁ καπνός. οὐχ οἷός τε γὰρ
ἔνδον μένειν ἦν. ἔδακνε γὰρ τὰ βλέφαρά μου.

ΔΙΚΑΙΟΣ.

ἕπου μετ' ἐμοῦ παιδάριον, ἵνα πρὸς τὸν θεὸν
ἴωμεν.

ΧΡΕΜΥΛΟΣ.

ἔα, τίς ἔσθ' ὁ προσιὼν οὑτοσί;

ΔΙΚΑΙΟΣ.

ἀνὴρ πρότερον μὲν ἄθλιος, νῦν δ' εὐτυχής.

ΧΡΕΜΥΛΟΣ.

δῆλον ὅτι τῶν χρηστῶν τις, ὡς ἔοικας, εἶ.

ΔΙΚΑΙΟΣ.

μάλιστ'.

ΧΡΕΜΥΛΟΣ.

ἔπειτα τοῦ δέει;

ΔΙΚΑΙΟΣ.

πρὸς τὸν θεὸν
ἥκω· μεγάλων γάρ μοὔστὶν ἀγαθῶν αἴτιος.
ἐγὼ γὰρ ἱκανὴν οὐσίαν παρὰ τοῦ πατρὸς
λαβὼν ἐπήρκουν τοῖς δεομένοις τῶν φίλων,
εἶναι νομίζων χρήσιμον πρὸς τὸν βίον.

ΧΡΕΜΥΛΟΣ.

ἦ πού σε ταχέως ἐπέλιπεν τὰ χρήματα.

ΔΙΚΑΙΟΣ.

κομιδῆ μὲν οὖν.

ΧΡΕΜΥΛΟΣ.

οὐκοῦν μετὰ ταῦτ' ἦσθ' ἄθλιος.

ΔΙΚΑΙΟΣ.

κομιδῆ μὲν οὖν. κἀγὼ μὲν ᾤμην οὓς τέως
εὐηργέτησα δεομένους ἕξειν φίλους
ὄντως βεβαίους, εἰ δεηθείην ποτέ·
οἱ δ' ἐξετρέποντο κοὐκ ἐδόκουν ὁρᾶν μ' ἔτι.

ΧΡΕΜΥΛΟΣ.

καὶ κατεγέλων δ', εὖ οἶδ' ὅτι.

ΔΙΚΑΙΟΣ.

κομιδῆ μὲν οὖ
αὐχμὸς γὰρ ὢν τῶν σκευαρίων μ' ἀπώλεσεν.

ΧΡΕΜΥΛΟΣ.

ἀλλ' οὐχὶ νῦν.

ΔΙΚΑΙΟΣ.

ἀνθ' ὧν ἐγὼ πρὸς τὸν θεὸν
προσευξόμενος ἥκω δικαίως ἐνθάδε.

ΧΡΕΜΥΛΟΣ.

τὸ τριβώνιον δὲ τί δύναται πρὸς τὸν θεόν,
ὃ φέρει μετὰ σοῦ τὸ παιδάριον τουτί; φράσον

ΔΙΚΑΙΟΣ.

καὶ τοῦτ' ἀναθήσων ἔρχομαι πρὸς τὸν θεόν.

ΧΡΕΜΥΛΟΣ.

μῶν ἐνεμυήθης δῆτ' ἐν αὐτῷ τὰ μεγάλα;

ΔΙΚΑΙΟΣ.

οὔκ, ἀλλ' ἐνερρίγωσ' ἔτη τριακαίδεκα.

ΧΡΕΜΥΛΟΣ.

τὰ δ' ἐμβάδια;

ΔΙΚΑΙΟΣ.

καὶ ταῦτα συνεχειμάζετο.

ΧΡΕΜΥΛΟΣ.

καὶ ταῦτ' ἀναθήσων ἔφερες οὖν;

ΔΙΚΑΙΟΣ.

νὴ τὸν Δία.

ΧΡΕΜΥΛΟΣ.

χαρίεντά γ' ἥκεις δῶρα τῷ θεῷ φέρων.

ΣΥΚΟΦΑΝΤΗΣ.

οἴμοι κακοδαίμων, ὡς ἀπόλωλα δείλαιος,
καὶ τρὶς κακοδαίμων καὶ τετράκις καὶ πεντάκις
καὶ δωδεκάκις καὶ μυριάκις· ἰοὺ ἰού.
οὕτω πολυφόρῳ συγκέκραμαι δαίμονι.

ΧΡΕΜΥΛΟΣ.

Ἄπολλον ἀποτρόπαιε καὶ θεοὶ φίλοι,
τί ποτ' ἐστὶν ὅ τι πέπονθεν ἄνθρωπος κακόν;

ΣΥΚΟΦΑΝΤΗΣ.

οὐ γὰρ σχέτλια πέπονθα νυνὶ πράγματα,
ἀπολωλεκὼς ἅπαντα τἀκ τῆς οἰκίας
διὰ τὸν θεὸν τοῦτον, τὸν ἐσόμενον τυφλὸν
πάλιν αὖθις, ἤνπερ μὴ 'λλίπωσιν αἱ δίκαι;

ΔΙΚΑΙΟΣ.

ἐγὼ σχεδὸν τὸ πρᾶγμα γιγνώσκειν δοκῶ.
προσέρχεται γάρ τις κακῶς πράττων ἀνήρ,
ἔοικε δ' εἶναι τοῦ πονηροῦ κόμματος.

ΧΡΕΜΥΛΟΣ.

νὴ Δία, καλῶς τοίνυν ποιῶν ἀπόλλυται.

ΣΥΚΟΦΑΝΤΗΣ.

ποῦ ποῦ 'σθ' ὁ μόνος ἅπαντας ἡμᾶς πλουσίους
ὑποσχόμενος οὗτος ποιήσειν εὐθέως,
εἰ πάλιν ἀναβλέψειεν ἐξ ἀρχῆς; ὁ δὲ
πολὺ μᾶλλον ἐνίους ἐστὶν ἐξολωλεκώς.

ΧΡΕΜΥΛΟΣ.

καὶ τίνα δέδρακε δῆτα τοῦτ';

ΣΥΚΟΦΑΝΤΗΣ.

ἐμὲ τουτονί;

ΧΡΕΜΥΛΟΣ.

ἦ τῶν πονηρῶν ἦσθα καὶ τοιχωρύχων;

---

Post 805. sequebatur
οὕτω τὸ πλουτεῖν ἐστιν ἡδὺ πρᾶγμα δή.

ΣΥΚΟΦΑΝΤΗΣ.
μὰ Δί', οὐ μὲν οὖν ἔσθ' ὑγιὲς ὑμῶν οὐδενὸς,
κοὐκ ἔσθ' ὅπως οὐκ ἔχετέ μου τὰ χρήματα.
ΚΑΡΙΩΝ.
ὡς σοβαρὸς, ὦ Δάματερ, εἰσελήλυθεν
ὁ συκοφάντης. δῆλον ὅτι βουλιμιᾷ.
ΣΥΚΟΦΑΝΤΗΣ.
σὺ μὲν εἰς ἀγορὰν ἰὼν ταχέως οὐκ ἂν φθάνοις;
ἐπὶ τοῦ τροχοῦ γὰρ δεῖ σ' ἐκεῖ στρεβλούμενον
εἰπεῖν ἃ πεπανούργηκας.
ΚΑΡΙΩΝ.
οἰμώξἄρα σύ.
ΔΙΚΑΙΟΣ.
νὴ τὸν Δία τὸν σωτῆρα, πολλοῦ γ' ἄξιος
ἅπασι τοῖς Ἕλλησιν ὁ θεὸς οὗτος, εἰ
τοὺς συκοφάντας ἐξολεῖ κακοὺς κακῶς.
ΣΥΚΟΦΑΝΤΗΣ.
οἴμοι τάλας· μῶν καὶ σὺ μετέχων καταγελᾷς;
ἐπεὶ πόθεν θοἰμάτιον εἴληφας τοδί;
ἐχθὲς δ' ἔχοντ' εἶδόν σ' ἐγὼ τριβώνιον.
ΔΙΚΑΙΟΣ.
οὐδὲν προτιμῶ σου. φορῶ γὰρ πριάμενος
τὸν δακτύλιον τονδὶ παρ' Εὐδήμου δραχμῆς.
ΧΡΕΜΥΛΟΣ.
ἀλλ' οὐκ ἔνεστι συκοφάντου δήγματος.
ΣΥΚΟΦΑΝΤΗΣ.
ἆρ' οὐχ ὕβρις ταῦτ' ἐστὶ πολλή; σκώπτετον,
ὅ τι δὲ ποιεῖτον ἐνθάδ' οὐκ εἰρήκατον.
οὐκ ἐπ' ἀγαθῷ γὰρ ἐνθάδ' ἐστὸν οὐδενί.
ΧΡΕΜΥΛΟΣ.
μὰ τὸν Δί' οὔκουν τῷ γε σῷ, σάφ' ἴσθ' ὅτι.
ΣΥΚΟΦΑΝΤΗΣ.
ἀπὸ τῶν ἐμῶν γὰρ ναὶ μὰ Δία δειπνήσετον.
ΧΡΕΜΥΛΟΣ.
ὡς δὴ 'π' ἀληθείᾳ σὺ μετὰ τοῦ μάρτυρος
διαρραγείης, μηδενός γ' ἐμπλήμενος.
ΣΥΚΟΦΑΝΤΗΣ.
ἀρνεῖσθον; ἔνδον ἐστὶν, ὦ μιαρωτάτω,
πολὺ χρῆμα τεμαχῶν καὶ κρεῶν ὠπτημένων.
ὖ ὖ ὖ ὖ ὖ ὖ ὖ ὖ ὖ ὖ ὖ ὖ.
ΧΡΕΜΥΛΟΣ.
κακόδαιμον, ὀσφραίνει τι;
ΔΙΚΑΙΟΣ.
τοῦ ψύχους γ' ἴσως,
ἐπεὶ τοιοῦτόν γ' ἀμπέχεται τριβώνιον.
ΣΥΚΟΦΑΝΤΗΣ.
ταῦτ' οὖν ἀνασχέτ' ἐστὶν, ὦ Ζεῦ καὶ θεοὶ,
τούτους ὑβρίζειν εἰς ἔμ'; οἴμ' ὡς ἄχθομαι
ὅτι χρηστὸς ὢν καὶ φιλόπολις πάσχω κακῶς.
ΧΡΕΜΥΛΟΣ.
σὺ φιλόπολις καὶ χρηστός;
ΣΥΚΟΦΑΝΤΗΣ.
ὡς οὐδείς γ' ἀνήρ.
ΧΡΕΜΥΛΟΣ.
καὶ μὴν ἐπερωτηθεὶς ἀπόκριναί μοι,
ΣΥΚΟΦΑΝΤΗΣ.
τὸ τί;
ΧΡΕΜΥΛΟΣ.
γεωργὸς εἶ;
ΣΥΚΟΦΑΝΤΗΣ.
μελαγχολᾶν μ' οὕτως οἴει;
ΧΡΕΜΥΛΟΣ.
ἀλλ' ἔμπορος;
ΣΥΚΟΦΑΝΤΗΣ.
ναὶ, σκήπτομαί γ', ὅταν τύχω.
ΧΡΕΜΥΛΟΣ.
τί δαί; τέχνην τιν' ἔμαθες;
ΣΥΚΟΦΑΝΤΗΣ.
οὐ μὰ τὸν Δία.
ΧΡΕΜΥΛΟΣ.
πῶς οὖν διέζης ἢ πόθεν μηδὲν ποιῶν;
ΣΥΚΟΦΑΝΤΗΣ.
τῶν τῆς πόλεώς εἰμ' ἐπιμελητὴς πραγμάτων
καὶ τῶν ἰδίων πάντων.
ΧΡΕΜΥΛΟΣ.
σύ; τί μαθών;
ΣΥΚΟΦΑΝΤΗΣ.
βούλομαι.
ΧΡΕΜΥΛΟΣ.
πῶς οὖν ἂν εἴης χρηστὸς, ὦ τοιχωρύχε,
εἴ σοι προσῆκον μηδὲν εἶτ' ἀπεχθάνει;
ΣΥΚΟΦΑΝΤΗΣ.
οὐ γὰρ προσήκει τὴν ἐμαυτοῦ μοι πόλιν
εὐεργετεῖν, ὦ κέπφε, καθ' ὅσον ἂν σθένω;
ΧΡΕΜΥΛΟΣ.
εὐεργετεῖν οὖν ἐστι τὸ πολυπραγμονεῖν;
ΣΥΚΟΦΑΝΤΗΣ.
τὸ μὲν οὖν βοηθεῖν τοῖς νόμοις τοῖς κειμένοις
καὶ μὴ 'πιτρέπειν ἐάν τις ἐξαμαρτάνῃ.
ΧΡΕΜΥΛΟΣ.
οὔκουν δικαστὰς ἐξεπίτηδες ἡ πόλις
ἄρχειν καθίστησιν;
ΣΥΚΟΦΑΝΤΗΣ.
κατηγορεῖ δὲ τίς;
ΧΡΕΜΥΛΟΣ.
ὁ βουλόμενος.
ΣΥΚΟΦΑΝΤΗΣ.
οὐκοῦν ἐκεῖνός εἰμ' ἐγώ.
ὥστ' εἰς ἔμ' ἥκει τῆς πόλεως τὰ πράγματα.
ΧΡΕΜΥΛΟΣ.
νὴ Δία, πονηρόν τἄρα προστάτην ἔχει.
ἐκεῖνο δ' οὐ βούλοι' ἂν, ἡσυχίαν ἔχων
ζῆν ἀργός;
ΣΥΚΟΦΑΝΤΗΣ.
ἀλλὰ προβατίου βίον λέγεις,
εἰ μὴ φανεῖται διατριβή τις τῷ βίῳ.
ΧΡΕΜΥΛΘΣ.
οὐδ' ἂν μεταμάθοις;
ΣΥΚΟΦΑΝΤΗΣ.
οὐδ' ἂν εἰ δοίης γέ μοι
τὸν Πλοῦτον αὐτὸν καὶ τὸ Βάττου σίλφιον.
ΧΡΕΜΥΛΟΣ.
κατάθου ταχέως θοἰμάτιον.
ΚΑΡΙΩΝ.
οὗτος, σοὶ λέγει.
ΧΡΕΜΥΛΟΣ.
ἔπειθ' ὑπόλυσαι.
ΚΑΡΙΩΝ.
πάντα ταῦτα σοὶ λέγει.

ΣΥΚΟΦΑΝΤΗΣ.
καὶ μὴν προσελθέτω πρός ἔμ' ὑμῶν ἐνθαδὶ
ὁ βουλόμενος.
ΚΑΡΙΩΝ.
οὐκοῦν ἐκεῖνός εἰμ' ἐγώ.
ΣΥΚΟΦΑΝΤΗΣ.
οἴμοι τάλας, ἀποδύομαι μεθ' ἡμέραν.
ΚΑΡΙΩΝ.
σὺ γὰρ ἀξιοῖς τἀλλότρια πράττων ἐσθίειν.
ΣΥΚΟΦΑΝΤΗΣ.
ὁρᾷς ἃ ποιεῖ; ταῦτ' ἐγὼ μαρτύρομαι.
ΧΡΕΜΥΛΟΣ.
ἀλλ' οἴχεται φεύγων ὃν εἶχες μάρτυρα.
ΣΥΚΟΦΑΝΤΗΣ.
οἴμοι περιείλημμαι μόνος.
ΚΑΡΙΩΝ.
νυνὶ βοᾷς;
ΣΥΚΟΦΑΝΤΗΣ.
οἴμοι μάλ' αὖθις.
ΚΑΡΙΩΝ.
δός σύ μοι τὸ τριβώνιον,
ἵν' ἀμφιέσω τὸν συκοφάντην τουτονί.
ΔΙΚΑΙΟΣ.
μὴ δῆθ'· ἱερὸν γάρ ἐστι τοῦ Πλούτου πάλαι.
ΚΑΡΙΩΝ.
ἔπειτα ποῦ κάλλιον ἀνατεθήσεται
ἢ περὶ πονηρὸν ἄνδρα καὶ τοιχωρύχον;
Πλοῦτον δὲ κοσμεῖν ἱματίοις σεμνοῖς πρέπει.
ΔΙΚΑΙΟΣ.
τοῖς δ' ἐμβαδίοις τί χρήσεταί τις; εἰπέ μοι.
ΚΑΡΙΩΝ.
καὶ ταῦτα πρὸς τὸ μέτωπον αὐτίκα δὴ μάλα
ὥσπερ κοτίνῳ προσπατταλεύσω τουτῳί.
ΣΥΚΟΦΑΝΤΗΣ.
ἄπειμι· γιγνώσκω γὰρ ἥττων ὢν πολὺ
ὑμῶν· ἐὰν δὲ σύζυγον λάβω τινὰ
καὶ σύκινον, τοῦτον τὸν ἰσχυρὸν θεὸν
ἐγὼ ποιήσω τήμερον δοῦναι δίκην,
ὁτιὴ καταλύει περιφανῶς εἷς ὢν μόνος
τὴν δημοκρατίαν, οὔτε τὴν βουλὴν πιθὼν
τὴν τῶν πολιτῶν οὔτε τὴν ἐκκλησίαν.
ΔΙΚΑΙΟΣ.
καὶ μὴν ἐπειδὴ τὴν πανοπλίαν τὴν ἐμὴν
ἔχων βαδίζεις, εἰς τὸ βαλανεῖον τρέχε·
ἔπειτ' ἐκεῖ κορυφαῖος ἑστηκὼς θέρου.
κἀγὼ γὰρ εἶχον τὴν στάσιν ταύτην ποτέ.
ΧΡΕΜΥΛΟΣ.
ἀλλ' ὁ βαλανεὺς ἕλξει θύραζ' αὐτὸν λαβὼν
τῶν ὀρχιπέδων· ἰδὼν γὰρ αὐτὸν γνώσεται
ὅτι ἔστ' ἐκείνου τοῦ πονηροῦ κόμματος.
νὼ δ' εἰσίωμεν, ἵνα προσεύξῃ τὸν θεόν.
ΓΡΑΥΣ.
ἆρ', ὦ φίλοι γέροντες, ἐπὶ τὴν οἰκίαν
ἀφίγμεθ' ὄντως τοῦ νέου τούτου θεοῦ,
ἢ τῆς ὁδοῦ τὸ παράπαν ἡμαρτήκαμεν;
ΧΟΡΟΣ.
ἀλλ' ἴσθ' ἐπ' αὐτὰς τὰς θύρας ἀφιγμένη,
ὦ μειρακίσκη· πυνθάνει γὰρ ὡρικῶς.
ΓΡΑΥΣ.
φέρε νυν ἐγὼ τῶν ἔνδοθεν καλέσω τινά.
ΧΡΕΜΥΛΟΣ.
μὴ δῆτ'· ἐγὼ γὰρ αὐτὸς ἐξελήλυθα.
ἀλλ' ὅ τι μάλιστ' ἐλήλυθας λέγειν σ' ἐχρῆν.
ΓΡΑΥΣ.
πέπονθα δεινὰ καὶ παράνομ', ὦ φίλτατε·
ἀφ' οὗ γὰρ ὁ θεὸς οὗτος ἤρξατο βλέπειν,
ἀβίωτον εἶναί μοι πεποίηκε τὸν βίον.
ΧΡΕΜΥΛΟΣ.
τί δ' ἔστιν; ἤ που καὶ σὺ συκοφάντρια
ἐν ταῖς γυναιξὶν ἦσθα;
ΓΡΑΥΣ.
μὰ Δί' ἐγὼ μὲν οὔ.
ΧΡΕΜΥΛΟΣ.
ἀλλ' οὐ λαχοῦσ' ἔπινες ἐν τῷ γράμματι;
ΓΡΑΥΣ.
σκώπτεις· ἐγὼ δὲ κατακέκνισμαι δειλάκρα.
ΧΡΕΜΥΛΟΣ.
οὔκουν ἐρεῖς ἀνύσασα τὸν κνισμὸν τίνα;
ΓΡΑΥΣ.
ἄκουέ νυν. ἦν μοί τι μειράκιον φίλον,
πενιχρὸν μέν, ἄλλως δ' εὐπρόσωπον καὶ καλὸν
καὶ χρηστόν· εἰ γάρ του δεηθείην ἐγώ,
ἅπαντ' ἐποίει κοσμίως μοι καὶ καλῶς·
ἐγὼ δ' ἐκείνῳ ταὐτὰ πάνθ' ὑπηρέτουν.
ΧΡΕΜΥΛΟΣ.
τί δ' ἦν ὅ τι σου μάλιστ' ἐδεῖθ' ἑκάστοτε;
ΓΡΑΥΣ.
οὐ πολλά· καὶ γὰρ ἐκνομίως μ' ᾐσχύνετο.
ἀλλ' ἀργυρίου δραχμὰς ἂν ᾔτησ' εἴκοσιν
εἰς ἱμάτιον, ὀκτὼ δ' ἂν εἰς ὑποδήματα·
καὶ ταῖς ἀδελφαῖς ἀγοράσαι χιτώνιον
ἐκέλευσεν ἄν, τῇ μητρί θ' ἱματίδιον·
πυρῶν τ' ἂν ἐδεήθη μεδίμνων τεττάρων.
ΧΡΕΜΥΛΟΣ.
οὐ πολλὰ τοίνυν μὰ τὸν Ἀπόλλω ταῦτά γε
εἴρηκας, ἀλλὰ δῆλον ὅτι σ' ᾐσχύνετο.
ΓΡΑΥΣ.
καὶ ταῦτα τοίνυν οὐχ ἕνεκεν μισητίας
αἰτεῖν μ' ἔφασκεν, ἀλλὰ φιλίας οὕνεκα,
ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῇτό μου.
ΧΡΕΜΥΛΟΣ.
λέγεις ἐρῶντ' ἄνθρωπον ἐκνομιώτατα.
ΓΡΑΥΣ.
ἀλλ' οὐχὶ νῦν ἔθ' ὁ βδελυρὸς τὸν νοῦν ἔχει
τὸν αὐτόν, ἀλλὰ πολὺ μεθέστηκεν πάνυ.
ἐμοῦ γὰρ αὐτῷ τὸν πλακοῦντα τουτονὶ
καὶ τἄλλα τἀπὶ τοῦ πίνακος τραγήματα
ἐπόντα πεμψάσης ὑπειπούσης θ' ὅτι
εἰς ἑσπέραν ἥξοιμι,
ΧΡΕΜΥΛΟΣ.
τί σ' ἔδρασ'; εἰπέ μοι.
ΓΡΑΥΣ.
ἄμητα προσαπέπεμψεν ἡμῖν τουτονί,
ἐφ' ᾧ τ' ἐκεῖσε μηδέποτέ μ' ἐλθεῖν ἔτι,
καὶ πρὸς ἐπὶ τούτοις εἶπεν ἀποπέμπων ὅτι
πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.
ΧΡΕΜΥΛΟΣ.
δῆλον ὅτι τοὺς τρόπους τις οὐ μοχθηρὸς ἦν.
ἔπειτα πλουτῶν οὐκέθ' ἥδεται φακῇ·
πρὸ τοῦ δ' ὑπὸ τῆς πενίας ἅπαντ' ἐπήσθιεν.

ΓΡΑΥΣ.
καὶ μὴν πρὸ τοῦ γ' ὁσημέραι νὴ τὼ θεὼ
ἐπὶ τὴν θύραν ἐβάδιζεν ἀεὶ τὴν ἐμήν.
ΧΡΕΜΥΛΟΣ.
ἐπ' ἐκφοράν;
ΓΡΑΥΣ.
μὰ Δί', ἀλλὰ τῆς φωνῆς μόνον
ἐρῶν ἀκοῦσαι.
ΧΡΕΜΥΛΟΣ.
τοῦ λαβεῖν μὲν οὖν χάριν.
ΓΡΑΥΣ.
καὶ νὴ Δί' εἰ λυπουμένην αἴσθοιτό με,
νηττάριον ἂν καὶ φάττιον ὑπεκορίζετο.
ΧΡΕΜΥΛΟΣ.
ἔπειτ' ἴσως ᾔτησ' ἂν εἰς ὑποδήματα.
ΓΡΑΥΣ.
μυστηρίοις δὲ τοῖς μεγάλοις ὀχουμένην
ἐπὶ τῆς ἁμάξης ὅτι προσέβλεψέν μέ τις,
ἐτυπτόμην διὰ τοῦθ' ὅλην τὴν ἡμέραν.
οὕτω σφόδρα ζηλότυπος ὁ νεανίσκος ἦν.
ΧΡΕΜΥΛΟΣ.
μόνος γὰρ ἥδεθ', ὡς ἔοικεν, ἐσθίων.
ΓΡΑΥΣ.
καὶ τάς γε χεῖρας παγκάλους ἔχειν μ' ἔφη.
ΧΡΕΜΥΛΟΣ.
ὁπότε προτείνοιέν γε δραχμὰς εἴκοσιν.
ΓΡΑΥΣ.
ὄζειν τε τῆς χρόας ἔφασκεν ἡδύ μου,
ΧΡΕΜΥΛΟΣ.
εἰ Θάσιον ἐνέχεις, εἰκότως γε νὴ Δία.
ΓΡΑΥΣ.
τὸ βλέμμα θ' ὡς ἔχοιμι μαλακὸν καὶ καλόν.
ΧΡΕΜΥΛΟΣ.
οὐ σκαιὸς ἦν ἄνθρωπος, ἀλλ' ἠπίστατο
γραὸς καπρώσης τἀφόδια κατεσθίειν.
ΓΡΑΥΣ.
ταῦτ' οὖν ὁ θεὸς, ὦ φίλ' ἄνερ, οὐκ ὀρθῶς ποιεῖ,
φάσκων βοηθεῖν τοῖς ἀδικουμένοις ἀεί.
ΧΡΕΜΥΛΟΣ.
τί γὰρ ποιήσει; φράζε, καὶ πεπράξεται.
ΓΡΑΥΣ.
ἀναγκάσαι δίκαιόν ἐστι νὴ Δία
τὸν εὖ παθόνθ' ὑπ' ἐμοῦ πάλιν μ' ἀντευποιεῖν·
ἢ μηδ' ὁτιοῦν ἀγαθὸν δίκαιός ἐστ' ἔχειν.
ΧΡΕΜΥΛΟΣ.
οὔκουν καθ' ἑκάστην ἀπεδίδου τὴν νύκτα σοι;
ΓΡΑΥΣ.
ἀλλ' οὐδέποτέ με ζῶσαν ἀπολείψειν ἔφη.
ΧΡΕΜΥΛΟΣ.
ὀρθῶς γε· νυνδὶ σ' οὐκέτι ζῆν οἴεται.
ΓΡΑΥΣ.
ὑπὸ τοῦ γὰρ ἄλγους κατατέτηκ', ὦ φίλτατε.
ΧΡΕΜΥΛΟΣ.
οὐκ, ἀλλὰ κατασέσηπας, ὥς γ' ἐμοὶ δοκεῖς.
ΓΡΑΥΣ.
διὰ δακτυλίου μὲν οὖν ἔμεγ' ἂν διελκύσαις.
ΧΡΕΜΥΛΟΣ.
εἰ τυγχάνοι γ' ὁ δακτύλιος ὢν τηλία.
ΓΡΑΥΣ.
καὶ μὴν τὸ μειράκιον τοδὶ προσέρχεται,
οὗπερ πάλαι κατηγοροῦσα τυγχάνω·
ἔοικε δ' ἐπὶ κῶμον βαδίζειν.
ΧΡΕΜΥΛΟΣ.
φαίνεται.
στεφάνους γέ τοι καὶ δᾷδ' ἔχων πορεύεται.
ΝΕΑΝΙΑΣ.
ἀσπάζομαι.
ΓΡΑΥΣ.
τί φησιν;
ΝΕΑΝΙΑΣ.
ἀρχαία φίλη,
πολιὰ γεγένησαι ταχύ γε νὴ τὸν οὐρανόν.
ΓΡΑΥΣ.
τάλαιν' ἐγὼ τῆς ὕβρεος ἧς ὑβρίζομαι.
ΧΡΕΜΥΛΟΣ.
ἔοικε διὰ πολλοῦ χρόνου σ' ἑορακέναι.
ΓΡΑΥΣ.
ποίου χρόνου, ταλάνταθ', ὃς παρ' ἐμοὶ χθὲς ἦν;
ΧΡΕΜΥΛΟΣ.
τοὐναντίον πέπονθε τοῖς πολλοῖς ἄρα·
μεθύων γὰρ, ὡς ἔοικεν, ὀξύτερον βλέπει.
ΓΡΑΥΣ.
οὔκ, ἀλλ' ἀκόλαστός ἐστιν ἀεὶ τοὺς τρόπους.
ΝΕΑΝΙΑΣ.
ὦ Ποντοπόσειδον καὶ θεοὶ πρεσβυτικοὶ,
ἐν τῷ προσώπῳ τῶν ῥυτίδων ὅσας ἔχει.
ΓΡΑΥΣ.
ἆ ἆ,
τὴν δᾷδα μή μοι πρόσφερ'.
ΧΡΕΜΥΛΟΣ.
εὖ μέντοι λέγει.
ἐὰν γὰρ αὐτὴν εἷς μόνος σπινθὴρ λάβῃ,
ὥσπερ παλαιὰν εἰρεσιώνην καύσεται.
ΝΕΑΝΙΑΣ.
βούλει διὰ χρόνου πρός με παῖσαι;
ΓΡΑΥΣ.
ποῖ, τάλαν;
ΝΕΑΝΙΑΣ.
αὐτοῦ, λαβοῦσα κάρυα.
ΓΡΑΥΣ.
παιδιὰν τίνα;
ΝΕΑΝΙΑΣ.
πόσους ἔχεις ὀδόντας.
ΧΡΕΜΥΛΟΣ.
ἀλλὰ γνώσομαι
κἄγωγ'· ἔχει γὰρ τρεῖς ἴσως ἢ τέτταρας.
ΝΕΑΝΙΑΣ.
ἀπότισον· ἕνα γὰρ γόμφιον μόνον φορεῖ.
ΓΡΑΥΣ.
ταλάντατ' ἀνδρῶν, οὐχ ὑγιαίνειν μοι δοκεῖς,
πλυνόν με ποιῶν ἐν τοσούτοις ἀνδράσιν.
ΝΕΑΝΙΑΣ.
ὄναιο μέντἄν, εἴ τις ἐκπλύνειέ σε.

ΧΡΕΜΥΛΟΣ.
οὐ δῆτ', ἐπεὶ νῦν μὲν καπηλικῶς ἔχει,
εἰ δ' ἐκπλυνεῖται τοῦτο τὸ ψιμύθιον,
ὄψει κατάδηλα τοῦ προσώπου τὰ ῥάκη.

ΓΡΑΥΣ.
γέρων ἀνὴρ ὢν οὐχ ὑγιαίνειν μοι δοκεῖς.

ΝΕΑΝΙΑΣ.
πειρᾷ μὲν οὖν ἴσως σε καὶ τῶν τιτθίων
ἐφάπτεταί σου λανθάνειν δοκῶν ἐμέ.

ΓΡΑΥΣ.
μὰ τὴν Ἀφροδίτην, οὐκ ἐμοῦ γ', ὦ βδελυρὲ σύ.

ΧΡΕΜΥΛΟΣ.
μὰ τὴν Ἑκάτην, οὐ δῆτα· μαινοίμην γὰρ ἄν.
ἀλλ', ὦ νεανίσκ', οὐκ ἐῶ τὴν μείρακα
μισεῖν σε ταύτην.

ΝΕΑΝΙΑΣ.
ἀλλ' ἔγωγ' ὑπερφιλῶ.

ΧΡΕΜΥΛΟΣ.
καὶ μὴν κατηγορεῖ γέ σου.

ΝΕΑΝΙΑΣ.
τί κατηγορεῖ;

ΧΡΕΜΥΛΟΣ.
εἶναί σ' ὑβριστήν φησι καὶ λέγειν ὅτι
πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

ΝΕΑΝΙΑΣ.
ἐγὼ περὶ ταύτης οὐ μαχοῦμαί σοι.

ΧΡΕΜΥΛΟΣ.
τὸ τί;

ΝΕΑΝΙΑΣ.
αἰσχυνόμενος τὴν ἡλικίαν τὴν σήν, ἐπεὶ
οὐκ ἄν ποτ' ἄλλῳ τοῦτό γ' ἐπέτρεπον ποιεῖν·
νῦν δ' ἄπιθι χαίρων συλλαβὼν τὴν μείρακα.

ΧΡΕΜΥΛΟΣ.
οἶδ' οἶδα τὸν νοῦν· οὐκέτ' ἀξιοῖς ἴσως
εἶναι μετ' αὐτῆς.

ΓΡΑΥΣ.
ὁ δ' ἐπιτρέψων ἐστὶ τίς;

ΝΕΑΝΙΑΣ.
οὐκ ἂν διαλεχθείην διεσπλεκωμένῃ
ὑπὸ μυρίων ἐτῶν τε καὶ τρισχιλίων.

ΧΡΕΜΥΛΟΣ.
ὅμως δ' ἐπειδὴ καὶ τὸν οἶνον ἠξίους
πίνειν, συνεκποτέ' ἐστί σοι καὶ τὴν τρύγα.

ΝΕΑΝΙΑΣ.
ἀλλ' ἔστι κομιδῇ τρὺξ παλαιὰ καὶ σαπρά.

ΧΡΕΜΥΛΟΣ.
οὐκοῦν τρύγοιπος ταῦτα πάντ' ἰάσεται.

ΝΕΑΝΙΑΣ.
ἀλλ' εἴσιθ' εἴσω· τῷ θεῷ γὰρ βούλομαι
ἐλθὼν ἀναθεῖναι τοὺς στεφάνους τουσδ' οὓς ἔχω.

ΓΡΑΥΣ.
ἐγὼ δέ γ' αὐτῷ καὶ φράσαι τι βούλομαι.

ΝΕΑΝΙΑΣ.
ἐγὼ δέ γ' οὐκ εἴσειμι.

ΧΡΕΜΥΛΟΣ.
θάρρει, μὴ φοβοῦ.
οὐ γὰρ βιάσεται.

ΝΕΑΝΙΑΣ.
πάνυ καλῶς τοίνυν λέγεις.
ἱκανὸν γὰρ αὐτὴν πρότερον ὑπεπίττουν χρόνῳ

ΓΡΑΥΣ.
βάδιζ'· ἐγὼ δέ σου κατόπιν εἰσέρχομαι.

ΧΡΕΜΥΛΟΣ.
ὡς εὐτόνως, ὦ Ζεῦ βασιλεῦ, τὸ γρᾴδιον
ὥσπερ λεπὰς τῷ μειρακίῳ προσίσχεται.

ΚΑΡΙΩΝ.
τίς ἔσθ' ὁ κόπτων τὴν θύραν; τουτὶ τί ἦν;
οὐδεὶς ἔοικεν· ἀλλὰ δῆτα τὸ θύριον
φθεγγόμενον ἄλλως κλαυσιᾷ.

ΕΡΜΗΣ.
σέ τοι λέγω,
ὦ Καρίων, ἀνάμεινον.

ΚΑΡΙΩΝ.
οὗτος, εἰπέ μοι,
σὺ τὴν θύραν ἔκοπτες οὑτωσὶ σφόδρα;

ΕΡΜΗΣ.
μὰ Δί', ἀλλ' ἔμελλον· εἶτ' ἀνέῳξάς με φθάσας
ἀλλ' ἐκκάλει τὸν δεσπότην τρέχων ταχὺ,
ἔπειτα τὴν γυναῖκα καὶ τὰ παιδία,
ἔπειτα τοὺς θεράποντας, εἶτα τὴν κύνα,
ἔπειτα σαυτὸν, εἶτα τὴν ὗν.

ΚΑΡΙΩΝ.
εἰπέ μοι,
τί δ' ἔστιν;

ΕΡΜΗΣ.
ὁ Ζεὺς, ὦ πονηρὲ, βούλεται
ἐς ταυτὸν ὑμᾶς συγκυκήσας τρυβλίον
ἁπαξάπαντας εἰς τὸ βάραθρον ἐμβαλεῖν.

ΚΑΡΙΩΝ.
ἡ γλῶττα τῷ κήρυκι τούτων τέμνεται.
ἀτὰρ διὰ τί δὴ ταῦτ' ἐπιβουλεύει ποιεῖν
ἡμᾶς;

ΕΡΜΗΣ.
ὁτιὴ δεινότατα πάντων πραγμάτων
εἴργασθ'. ἀφ' οὗ γὰρ ἤρξατ' ἐξ ἀρχῆς βλέπειν
ὁ Πλοῦτος, οὐδεὶς οὐ λιβανωτὸν, οὐ δάφνην,
οὐ ψαιστὸν, οὐχ ἱερεῖον, οὐκ ἄλλ' οὐδὲν
ἡμῖν ἐπιθύει τοῖς θεοῖς.

ΚΑΡΙΩΝ.
μὰ Δί', οὐδέ γε
θύσει. κακῶς γὰρ ἐπεμελεῖσθ' ἡμῶν τότε.

ΕΡΜΗΣ.
καὶ τῶν μὲν ἄλλων μοι θεῶν ἧττον μέλει,
ἐγὼ δ' ἀπόλωλα κἀποτέτριμμαι.

ΚΑΡΙΩΝ.
σωφρονεῖς.

ΕΡΜΗΣ.
πρότερον γὰρ εἶχον μὲν παρὰ ταῖς καπηλίσιν
πάντ' ἀγάθ' ἕωθεν εὐθὺς, οἰνοῦτταν, μέλι,
ἰσχάδας, ὅσ' εἰκός ἐστιν Ἑρμῆν ἐσθίειν·
νυνὶ δὲ πεινῶν ἀναβάδην ἀναπαύομαι.

ΚΑΡΙΩΝ.
οὔκουν δικαίως, ὅστις ἐποίεις ζημίαν
ἐνίοτε τοιαῦτ' ἀγάθ' ἔχων;

ΕΡΜΗΣ.

οἴμοι τάλας,

οἴμοι πλακοῦντος τοῦ 'ν τετράδι πεπεμμένου.

ΚΑΡΙΩΝ.

ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς.

ΕΡΜΗΣ.

οἴμοι δὲ κωλῆς ἧς ἐγὼ κατήσθιον·

ΚΑΡΙΩΝ.

ἀσκωλίαζ' ἐνταῦθα πρὸς τὴν αἰθρίαν.

ΕΡΜΗΣ.

σπλάγχνων τε θερμῶν ὧν ἐγὼ κατήσθιον.

ΚΑΡΙΩΝ.

ὀδύνη σε πρὸς τὰ σπλάγχν' ἔοιχ' ἐπιστρέφειν.

ΕΡΜΗΣ.

οἴμοι δὲ κύλικος ἴσον ἴσῳ κεκραμένης.

ΚΑΡΙΩΝ.

ταύτην ἐπιπιὼν ἀποτρέχων οὐκ ἂν φθάνοις;

ΕΡΜΗΣ.

ἆρ' ὠφελήσαις ἄν τι τὸν σαυτοῦ φίλον;

ΚΑΡΙΩΝ.

εἴ του δέει γ' ὧν δυνατός εἰμί σ' ὠφελεῖν.

ΕΡΜΗΣ.

εἴ μοι πορίσας ἄρτον τιν' εὖ πεπεμμένον
δοίης καταφαγεῖν καὶ κρέας νεανικὸν
ὧν θύεθ' ὑμεῖς ἔνδον.

ΚΑΡΙΩΝ.

ἀλλ' οὐκ ἔκφορα.

ΕΡΜΗΣ.

καὶ μὴν ὁπότε τι σκευάριον τοῦ δεσπότου
ὑφέλοι', ἐγώ σε λανθάνειν ἐποίουν ἀεί.

ΚΑΡΙΩΝ.

ἐφ' ᾧ τε μετέχειν καὐτὸς, ὦ τοιχωρύχε.
ἧκεν γὰρ ἄν σοι ναστὸς εὖ πεπεμμένος.

ΕΡΜΗΣ.

ἔπειτα τοῦτόν γ' αὐτὸς ἂν κατήσθιες.

ΚΑΡΙΩΝ.

οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγὰς ἐμοὶ,
ὁπότε τι ληφθείην πανουργήσας ἐγώ.

ΕΡΜΗΣ.

μὴ μνησικακήσῃς, εἰ σὺ Φυλὴν κατέλαβες.
ἀλλὰ ξύνοικον πρὸς θεῶν δέξασθέ με.

ΚΑΡΙΩΝ.

ἔπειτ' ἀπολιπὼν τοὺς θεοὺς ἐνθάδε μενεῖς;

ΕΡΜΗΣ.

τὰ γὰρ παρ' ὑμῖν ἐστι βελτίω πολύ.

ΚΑΡΙΩΝ.

τί δέ; ταὐτομολεῖν ἀστεῖον εἶναί σοι δοκεῖ;

ΕΡΜΗΣ.

πατρὶς γάρ ἐστι πᾶσ' ἵν' ἂν πράττῃ τις εὖ.

ΚΑΡΙΩΝ.

τί δῆτ' ἂν εἴης ὄφελος ἡμῖν ἐνθάδ' ὤν;

ΕΡΜΗΣ.

παρὰ τὴν θύραν στροφαῖον ἱδρύσασθέ με.

ΚΑΡΙΩΝ.

στροφαῖον; ἀλλ' οὐκ ἔργον ἔστ' οὐδὲν στροφῶν.

ΕΡΜΗΣ.

ἀλλ' ἐμπολαῖον.

ΚΑΡΙΩΝ.

ἀλλὰ πλουτοῦμεν· τί οὖν
Ἑρμῆν παλιγκάπηλον ἡμᾶς δεῖ τρέφειν;

ΕΡΜΗΣ.

ἀλλὰ δόλιον τοίνυν.

ΚΑΡΙΩΝ.

δόλιον; ἥκιστά γε·
οὐ γὰρ δόλου νῦν ἔργον, ἀλλ' ἁπλῶν τρόπων.

ΕΡΜΗΣ.

ἀλλ' ἡγεμόνιον.

ΚΑΡΙΩΝ.

ἀλλ' ὁ θεὸς ἤδη βλέπει,
ὥσθ' ἡγεμόνος οὐδὲν δεησόμεσθ' ἔτι.

ΕΡΜΗΣ.

ἐναγώνιος τοίνυν ἔσομαι. καὶ τί ἔτ' ἐρεῖς;
Πλούτῳ γάρ ἐστι τοῦτο συμφορώτατον,
ποιεῖν ἀγῶνας μουσικοὺς καὶ γυμνικούς.

ΚΑΡΙΩΝ.

ὡς ἀγαθόν ἐστ' ἐπωνυμίας πολλὰς ἔχειν·
οὗτος γὰρ ἐξεύρηκεν αὑτῷ βιότιον.
οὐκ ἐτὸς ἅπαντες οἱ δικάζοντες θαμὰ
σπεύδουσιν ἐν πολλοῖς γεγράφθαι γράμμασιν.

ΕΡΜΗΣ.

οὐκοῦν ἐπὶ τούτοις εἰσίω;

ΚΑΡΙΩΝ.

καὶ πλῦνέ γε
αὐτὸς προσελθὼν πρὸς τὸ φρέαρ τὰς κοιλίας,
ἵν' εὐθέως διακονικὸς εἶναι δοκῇς.

ΙΕΡΕΥΣ.

τίς ἂν φράσειε ποῦ 'στι Χρεμύλος μοι σαφῶς;

ΧΡΕΜΥΛΟΣ.

τί δ' ἔστιν, ὦ βέλτιστε;

ΙΕΡΕΥΣ.

τί γὰρ ἀλλ' ἢ κακῶς;
ἀφ' οὗ γὰρ ὁ Πλοῦτος οὗτος ἤρξατο βλέπειν,
ἀπόλωλ' ὑπὸ λιμοῦ. καταφαγεῖν γὰρ οὐκ ἔχω,
καὶ ταῦτα τοῦ σωτῆρος ἱερεὺς ὢν Διός.

ΧΡΕΜΥΛΟΣ.

ἡ δ' αἰτία τίς ἐστιν, ὦ πρὸς τῶν θεῶν;

ΙΕΡΕΥΣ.

θύειν ἔτ' οὐδεὶς ἀξιοῖ.

ΧΡΕΜΥΛΟΣ.

τίνος οὕνεκα;

ΙΕΡΕΥΣ.

ὅτι πάντες εἰσὶ πλούσιοι· καίτοι τότε,
ὅτ' εἶχον οὐδὲν, ὁ μὲν ἂν ἥκων ἔμπορος
ἔθυσεν ἱερεῖόν τι σωθεὶς, ὁ δέ τις ἂν
δίκην ἀποφυγών· ὁ δ' ἂν ἐκαλλιερεῖτό τις,
κἀμέ γ' ἐκάλει τὸν ἱερέα· νῦν δ' οὐδὲ εἷς
θύει τὸ παράπαν οὐδὲν, οὐδ' εἰσέρχεται,
πλὴν ἀποπατησόμενοί γε πλεῖν ἢ μυρίοι.

ΧΡΕΜΥΛΟΣ.

οὔκουν τὰ νομιζόμενα σὺ τούτων λαμβάνεις;

ΙΕΡΕΥΣ.

τὸν οὖν Δία τὸν σωτῆρα καὐτός μοι δοκῶ
χαίρειν ἐάσας ἐνθάδ' αὐτοῦ καταμενεῖν.

ΧΡΕΜΥΛΟΣ.

θάρρει· καλῶς ἔσται γάρ, ἢν θεὸς θέλῃ.
ὁ Ζεὺς ὁ σωτὴρ γὰρ πάρεστιν ἐνθάδε,
αὐτόματος ἥκων.

ΙΕΡΕΥΣ.

πάντ' ἀγαθὰ τοίνυν λέγεις.

ΧΡΕΜΥΛΟΣ.

ἱδρυσόμεθ' οὖν αὐτίκα μάλ', ἀλλὰ περίμενε,
τὸν Πλοῦτον, οὗπερ πρότερον ἦν ἱδρυμένος,
τὸν ὀπισθόδομον ἀεὶ φυλάττων τῆς θεοῦ.
ἀλλ' ἐκδότω τις δεῦρο δᾷδας ἡμμένας,
ἵν' ἔχων προηγῇ τῷ θεῷ σύ.

ΙΕΡΕΥΣ.

πάνυ μὲν οὖν
δρᾶν ταῦτα χρή.

ΧΡΕΜΥΛΟΣ.

τὸν Πλοῦτον ἔξω τις καλεῖ.

ΓΡΑΥΣ.

ἐγὼ δὲ τί ποιῶ;

ΧΡΕΜΥΛΟΣ.

τὰς χύτρας, αἷς τὸν θεὸν
ἱδρυσόμεθα, λαβοῦσ' ἐπὶ τῆς κεφαλῆς φέρε
σεμνῶς· ἔχουσα δ' ἦλθες αὐτὴ ποικίλα.

ΓΡΑΥΣ.

ὧν δ' οὕνεκ' ἦλθον;

ΧΡΕΜΥΛΟΣ.

πάντα σοι πεπράξεται.
ἥξει γὰρ ὁ νεανίσκος ὥς σ' εἰς ἑσπέραν.

ΓΡΑΥΣ.

ἀλλ' εἴ γε μέντοι νὴ Δί' ἐγγυᾷ σύ μοι
ἥξειν ἐκεῖνον ὥς ἔμ', οἴσω τὰς χύτρας.

ΧΡΕΜΥΛΟΣ.

καὶ μὴν πολὺ τῶν ἄλλων χυτρῶν τἀναντία
αὗται ποιοῦσι· ταῖς μὲν ἄλλαις γὰρ χύτραις
ἡ γραῦς ἔπεστ' ἀνωτάτω, ταύτης δὲ νῦν
τῆς γραὸς ἐπιπολῆς ἔπεισιν αἱ χύτραι.

ΧΟΡΟΣ.

οὐκ ἔτι τοίνυν εἰκὸς μέλλειν οὐδ' ἡμᾶς, ἀλλ'
ἀναχωρεῖν
εἰς τοὔπισθεν· δεῖ γὰρ κατόπιν τούτων ᾄδοντας
ἕπεσθαι.

ASHMOLEAN OXFORD MUSEUM

# ΑΠΟΣΠΑΣΜΑΤΙΑ.

# ΑΙΣΧΥΛΟΥ.

## ΑΘΑΜΑΣ.

1

Athenaeus II. p. 37 f. et Eustathius p. 740, 10. Ὅτι ἀρχαῖον δύο γένη τριπόδων ἦσαν, οἱ καὶ λέβη- ;. — Αἰσχύλος
*Τὸν μὲν τρίπους ἐδέξατ' οἰκεῖος λέβης·*
*ἀεὶ φυλάσσων τὴν ὑπὲρ πυρὸς στάσιν.*
Athenaeus VII. p. 316 b. Καὶ τρίπουν δὲ λέβητα σχύλος εἴρηκεν ἐν Ἀθάμαντι ἀπὸ ἁπλοῦ τοῦ πούς. Quae repetit Eustathius p. 1541, 29.

2

Hesychius, Ἀήτους: μεγάλας. Αἰσχύλος Ἀθά- ντι. Codex ἀθάμαντας.

3

Hesychius, Ἀπαρτί: ἀπηρτισμένως, ἀκριβῶς. σχύλος Ἀθάμαντι. Codex ἀπαρτιᾶ.

4

Hesychius, Βρυαζούσης λεαίνης: ἐν Ἀθά- ντι (Aeschyli an Sophoclis?) ἀκμαζούσης, ἢ ἐγκύ- νος.

## ΑΙΤΝΑΙΑΙ.

5

Macrobius Saturnal. V, 19. *Aeschyli tragoedia est, quae inscribitur Aetna. In hac, quum de Palicis loqueretur, sic ait:*
*Τί δῆθεν αὐτοῖς ὄνομα θήσονται βροτοί;*
*σεμνοὺς Παλίκους Ζεὺς ἐφίεται καλεῖν.*
*ἦ καὶ Παλίκων εὐλόγως μένει φάτις·*
*πάλιν γὰρ ἵκουσ' ἐκ σκότους τόδ' ἐς φάος.*
Stephanus Byzant. Παλική: πόλις Σικελίας. — σίον δὲ αὐτῆς ἱερὸν Παλικῶν, οἳ εἰσι δαίμονές ς, οὓς Αἰσχύλος ἐν Αἴτνᾳ γενεαλογεῖ Διὸς Θαλείας τῆς Ἡφαίστου· — κληθῆναι δὲ αὐτοὺς λικούς διὰ τὸ ἀποθανόντες πάλιν εἰς ἀνθρώ- ς ἱκέσθαι. Conf. Hesych. h. v.

6

Scholiasta Homeri Iliad. π, 183. Τὸν κάλαμον βελῶν φασι καὶ Αἰσχύλος ἐν Αἴτναις τοὺς ἀμοὺς πολυηλακάτους φησί.

7

Hesychius, Κρείττονας: τοὺς ἥρωας οὕτω νοσι. δοκοῦσι δὲ κακότυχοί τινες εἶναι. διὸ το καὶ οἱ παριόντες τὰ ἡρῷα σιγὴν ἔχουσι, μὴ λαβῶσι. καὶ οἱ θεοὶ δέ. Αἰσχύλος Αἰτναίαις. ex αἰτναίας.

8

Hesychius, Αἰμοί: δρυμοί. Αἰσχύλος Αἰτναίαις Codex αἰτιναίαις). Corrupte Eustathius p. 1851, 27. ους τοὺς δρόμους Αἰσχύλος λέγει. et Suidas ιους τὰς δρόσους φησὶν ὁ Αἰσχύλος. Emen- grammaticus Bekkeri I. p. 360, 30.

9

Hesychius, Ἀναξίαν: βασιλείαν. Αἰσχύλος Αἰτναίαις. Codex λιανοίαις.

10

Lydus de mensibus p. 274. ed. Hasii, Καὶ βασι- λεῦσαι δὲ αὐτὸν (τὸν Κρόνον) ἡ ἱστορία παραδίδω- σι — κατά τε τὴν Λιβύην καὶ Σικελίαν, ***** πους (οἰκίσαι τε τοὺς τόπους Hasius) καὶ πόλιν κτί- σαι, ὡς ὁ Χάραξ φησὶ, τὴν τότε μὲν λεγομένην Κρονίαν, νῦν δὲ Ἱερὰν πόλιν, ὡς Ἰσίγονος περὶ Ἑλ- ληνικῶν θεῶν καὶ Πολέμων καὶ Αἰσχύλος ἐν τῇ Αἴτνῃ (codex ειτνη) παραδιδόασιν.

## ΑΜΥΜΩΝΗ.

11

Ammonius in γῆμαι p. 37, Αἰσχύλος ἐν Ἀμυμώνῃ
*Σοὶ μὲν γαμεῖσθαι μόρσιμον, γαμεῖν δ' ἐμοί.*
Vulgo γαμεῖν δὲ μή. Emendatum ex Bachmanni Anecd. II. p. 375, 9. Apud Herodianum MS. περὶ ἀκυρολο- γίας est ἐμοὶ δὲ γαμεῖν.

12

Athenaeus XV. p. 690 c. Αἰσχύλος ἐν Ἀμυμώνῃ
*Κἄγωγε τὰς σὰς βακκάρεις τε καὶ μύρα.*

13

Hesychius, Θρώσκων κνώδαλα: ἐκθορίζων καὶ σπερματίζων, γεννῶν. Αἰσχύλος Ἀμυμώνῃ.

## ΑΡΓΕΙΟΙ.

14

Harpocratio, Χλῆδος: — Αἰσχύλος Ἀργείοις (ἀργίαις codex Vratisl.)
*Καὶ παλτὰ κἀγκυλητὰ καὶ χλῆδον βαλών.*

15

Etymolog. M. p. 341, 5. Ἐνηλύσια: εὐκίνητα. καὶ ἤλυσιν τὴν ἔλευσιν. Αἰσχύλος ἐν Ἀργείοις „Κα- πανεύς μου καταλείπεται λοιποῖς ἀκέραυνος ἀρούρων ἐπηλυσίων (ἐνηλυσίων Stanleius) ἀπέλιπεν.“ οἱ δὲ τὰ κατασκηφθέντα. Hesychius, Ἐνηλύσια: τὰ κατασκηφθέντα χωρία ἐνηλύσια λέγεται. ἔνιοι δὲ εὐκίνητα, παρὰ τὴν ἔλευσιν.

16

Hesychius, Ἀπόσκημμα: ἀπέρεισμα. Αἰσχύ- λος Ἀργείοις. Codex ἀργίας.

17

Hesychius, Ἐμμέλεια: εἶδος ὀρχήσεως. καὶ Πλάτων ἐπαινεῖ τὴν ὄρχησιν καὶ φησιν (exciderunt Platonis verba de Leg. VII. p. 816 b.). ἢ ἀπὸ τοῦ μέλους ὠνομάσθη ἢ ἀπὸ τοῦ πρὸς τὰ μέλη γίνεσθαι. τραγικὴ δὲ ἡ ὄρχησις. Ἀργείοις (codex ἀργυρίοις) δὲ Αἰσχύλος ἀντὶ τοῦ σατυρικὴ, ἥ ἐστι σίκιννις (co- dex σικήνης).

## ΒΑΣΣΑΡΙΔΕΣ.

Fuit tetralogiae Lycurgeae: vide infra ad Lycurgum.

Eratosthenes catast. c. 24. Ὅς (Orpheus) τὸν μὲν Διόνυσον οὐκ ἐτίμα, τὸν δὲ Ἥλιον μέγιστον τῶν θεῶν ἐνόμιζεν εἶναι, ὃν καὶ Ἀπόλλωνα προσηγόρευσεν· ἐπεγειρόμενός τε τῆς νυκτὸς κατὰ τὴν ἑωθινὴν ἐπὶ τὸ ὄρος τὸ καλούμενον Πάγγαιον, προσέμενε τὰς ἀνατολάς, ἵνα ἴδῃ τὸν Ἥλιον πρῶτον. ὅθεν ὁ Διόνυσος ὀργισθεὶς αὐτῷ ἔπεμψε τὰς Βασσαρίδας, ὥς φησιν Αἰσχύλος ὁ ποιητής, αἵτινες αὐτὸν διέσπασαν, καὶ τὰ μέλη διέρριψαν χωρὶς ἕκαστον· αἱ δὲ Μοῦσαι συναγαγοῦσαι ἔθαψαν ἐπὶ τοῖς καλουμένοις Λειβήθροις. De quo loco dixerunt Valckenarius ad Callimachi fragm. p. 186. et Gaisfordus ad Hephaestion. p. 71.

18

Hesychius, Ἐλλόμενον: εἰργόμενον. Αἰσχύλος Βασσαρίσι. Codex βάσσαρες.

19

Schol. ad Nicandri Theriaca v. 288. Ψόλον — καὶ Αἰσχύλος ἐν Βασσαρίσι.

Σκάρφει (κάρφει) παλαιῷ κἀπιβωμίῳ ψόλῳ.

---

## ΓΛΑΥΚΟΣ.

De Glaucis dissertatio Hermanni in Opusculis vol. II. p. 59.

---

## ΓΛΑΥΚΟΣ ΠΟΝΤΙΟΣ.

20

Pausanias IX. 22, 6. Τούτων τε δή ἐστι τῇ Ἀνθηδόνι μνήματα, καὶ ἐπὶ τῇ θαλάσσῃ καλούμενον Γλαύκου πήδημα. εἶναι δὲ αὐτὸν ἁλιέα, καὶ ἐπεὶ τῆς πόας ἔφαγε, δαίμονα ἐν θαλάσσῃ γενέσθαι καὶ ἀνθρώποις τὰ ἐσόμενα ἐς τόδε προλέγειν οἵ τε ἄλλοι πιστὰ ἥγηνται καὶ οἱ τὴν θάλασσαν πλέοντες πλεῖστα ἀνθρώπων ἐς τὴν Γλαύκου μαντικὴν κατὰ ἔτος ἕκαστον λέγουσι. Πινδάρῳ δὲ καὶ Αἰσχύλῳ πυνθανομένοις παρὰ Ἀνθηδονίων· τῷ μὲν οὐκ ἐπὶ πολὺ ἐπῆλθεν ᾆσαι τὰ ἐς Γλαῦκον, Αἰσχύλῳ δὲ καὶ ἐς ποίησιν δράματος ἐξήρκεσε.

21

Phrynichus Bekkeri I. p. 5, 21. Ἀνθρωποειδὲς θηρίον ὕδατι συζῶν: ἐπὶ τοῦ Γλαύκου ἀναφανέντος ἐκ τῆς θαλάσσης. Αἰσχύλος.

22

Athenaeus III. p. 87 a. Ἀρσενικῶς (κόγχοι) δ' Αἰσχύλος ἐν Ποντίῳ Γλαύκῳ

Κόγχοι, μύες κὤστρεια.

23

Vita Arati in Petavii Uranologio p. 269 a. (apud Buhlium vol. II. p. 430.) Εἰσὶ δὲ καὶ τῆς Εὐβοίας Ἀθῆναι Διάδες, ὧν μέμνηται ἐν Γλαύκῳ Ποντίῳ Αἰσχύλος

Κἄπειτ' Ἀθήνας Διάδας παρεκπερῶν.

24

Strabo X. p. 447. Ὑπὸ τοιοῦδε πάθους (σεισμοῦ) καὶ ἡ ὁμώνυμος τῇ νήσῳ (Εὐβοίᾳ) πόλις καταποθῆναι λέγεται, ἧς μέμνηται καὶ Αἰσχύλος ἐν τῷ Ποντίῳ Γλαύκῳ

Εὐβοΐδα καμπὴν ἀμφὶ Κηναίου Διὸς
ἀκτήν, κατ' αὐτὸν τύμβον ἀθλίου Λίχα.

25

Scholiasta Pindari Pyth. I, 152. Ἱμέρας ποταμ[οῦ] Σικελίας, περὶ οὗ καὶ Αἰσχύλος φησὶν ἐν Γλαύκ[ῳ]

Καλοῖσι λουτροῖς ἐκλέλουμαι δέμας
εἰς ὑψίκρημνον Ἱμέραν δ' ἀφικόμην.

Heynius ἐκλελουμένος, deleto δ'.

26

Schol. Theocr. IV, 62. Τοὺς Σατύρους (ἀκρατ[...] ex scholio inferiore addidit Casaubonus de satyr. p[...] I, 5.) οἱ πλείονές φασιν, ὡς καὶ τοὺς Σειληνούς κ[αὶ] Πᾶνας, ὡς Αἰσχύλος μὲν ἐν Γλαύκῳ, Σοφοκλῆς [ἐν] Ἀνδρομέδᾳ.

27

Etymol. M. p. 250, 1. Δαυλίς: πόλις ἐν τ[ῷ] Παρνασῷ κειμένη. μῦθος δὲ ἐκεῖ γέγονε τὰ κα[τὰ] τὸν Τηρέα καὶ τὰς ἀδελφὰς Πρόκνην καὶ Φιλομή[λαν]. εἴρηται δὲ διὰ τὸ πολὺ δάσος ἔχειν. δαυλ[ὸν] γὰρ τὸ δασύ. Αἰσχύλος

Δαῦλος ὑπήνη καὶ γενειάδος πυθμήν.

Scribe Δαῦλος δ' ex Eustathio p. 274, 24. Δαῦλ[ον] γὰρ τὸ δασὺ ἔλεγον προπερισπωμένως, ὡς δηλ[οῖ] Παυσανίας, εἰπὼν δαῦλον τὸ δασύ. ἡ προτέρα π[ε]ρισπᾶται. Αἰσχύλος „Δαῦλος δ' ὑπήνη." Pa[u]sanias X. 4, 7. Τοῖς δέ ἐστιν εἰρημένον ὡς τὸ χω[ρ]ίον, ἔνθα ἡ πόλις ᾠκίσθη, παρείχετο συνεχῆ δέν[δ]ρα; καλεῖσθαι δὲ τὰ δασέα ὑπὸ τῶν πάλαι δαῦ[λα]· ἐπὶ τούτῳ δὲ καὶ Αἰσχύλον τοῦ Γλαύκου τ[οῦ] Ἀνθηδονίου γένεια ὑπήνην ὠνομακέναι δαῦλον.

28

Grammaticus Bekkeri I. p. 347, 22. — Καὶ κα[τὰ] σύνθεσιν ἀείζων, ὡς Αἰσχύλος Γλαύκῳ Ποντίῳ

Ὁ τὴν ἀείζων ἄφθιτον πόαν φαγών.

— — ζωός — ἧς ἡ γενικὴ ζωοῦ, ἣν Αἰσχύλος κα[τὰ] σύνθεσιν προάγει εἰπὼν

Καὶ γεύομαί πως τῆς ἀειζώου πόας.

De herba illa Iacobsius Athenaei locos memorat VI p. 679 a. VII. p. 296 f.

---

## ΓΛΑΥΚΟΣ ΠΟΤΝΙΕΥΣ.

Phineus, Persae, Glaucus Potniensis, Prometheus (πυρφόρος) una tetralogia comprehensae: vide argumentum Persarum.

29

Schol. Euripidis Phoeniss. 1194. Matth. Ἄξονί τ' ἐπ' ἄξοσι: καὶ παρὰ τῷ Αἰσχύλῳ ἐν Γλαύκῳ Ποτνιεῖ

Ἐφ' ἅρματος γὰρ ἅρμα καὶ νεκρῷ νεκρός,
ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένοι.

Priorem versum affert Aristophanes in Ranis v. 1403 (1447.) ubi scholiasta, τὸ δέ, ἐφ' ἅρματος ἅρμα, ἐκ Γλαύκου Ποτνιέως τοῦ Αἰσχύλου.

30

Scholiasta Homeri Iliad. ν, 198. (Eustathius p. 92[...] 39.) Αἰσχύλος περὶ Γλαύκου

Εἷλκον δ' ἄνω λυκηδόν, ὥστε διπλόοι
λύκοι νεβρὸν φέρουσιν ἀμφὶ μασχάλαις.

δ' addidit Hermannus p. 63.

31

Scholiasta Aristoph. Ran. v. 1576. *Εὐοδίαν:* ὑπολίαν περὶ τὴν ὁδόν. ταῦτα δὲ παρὰ τὰ ἐν Γλαύκῳ Ποτνιεῖ Αἰσχύλου „Εὐοδίαν μὲν πρῶτα πρῶτον Butlerus) ἀπὸ στόματος χέομεν."

32

Hesychius, *Ἀμφίσωπον:* περίωπον, πάντοθεν κατεπτεμένον. Αἰσχύλος Γλαύκῳ Ποτνιεῖ.

33

Hesychius, *Εὐφήμοις γόοις:* δυσφήμοις, τὰ ἀντίφρασιν. Αἰσχύλος Γλαύκῳ Ποτνιεῖ.

34

Hesychius, *Ἴτηλον:* τὸ ἔμμονον καὶ οὐκ ἐξίτηλον. Αἰσχύλος Γλαύκῳ Ποτνιεῖ. Photius p. 118, 3. *τηλον:* τὸν οὐκ ἐξίτηλον, ἀλλ' ἀνεξάλειπτον. ὡς Αἰσχύλος.

35

Hesychius, *Σιφίρου λιμήν:* Αἰσχύλος Γλαύκῳ Ποτνιεῖ (Ποντίῳ Hermannus p. 69.). ὁ πορθμός. ...ὰ γὰρ πάντα τὰ περὶ Ῥήγιον ὡρείων. τῶν περὶ ...ήγιον ὁρίων Valesius. τῶν — νεωρίων Alberti.

36

Scholiasta Platonis p. 16. Ruhnk. (370. Bekker.) ...γὼν πρόφασιν οὐκ ἀναμένει. — Αἰσχύλος δέ φησι ...αύκῳ Ποτνιεῖ

Ἀγὼν γὰρ ἄνδρας οὐ μένει λελειμμένους.

---

## ΔΑΝΑΙΔΕΣ.

Dissertatio Hermanni in Opusc. vol. II. p. 319.

37

Scholiasta Pindari Pyth. III, 27. Τὸ ὑποκουρίζε...ι ἀοιδαῖς εἶπε διὰ τὸ τοὺς ὑμνοῦντας ἐπευφημι...ένους λέγειν σὺν κόροις τε καὶ κόραις. Αἰσχύ... Δαναΐσι

Ἔπειτα δ' εἶσι λαμπρὸν ἡλίου φάος,
ὡς ἐγείρω πρευμενεῖς τοὺς νυμφίους
...όμοισι θέντων σὺν κόροις τε καὶ κόραις.

38

Athenaeus XIII. p. 600 a. Καὶ ὁ σεμνότατος δ' ...χύλος ἐν ταῖς Δαναΐσιν αὐτὴν παράγει τὴν Ἀφρο...ην λέγουσαν

...ρᾷ μὲν ἁγνὸς οὐρανὸς τρῶσαι χθόνα,
...ρως δὲ γαῖαν λαμβάνει γάμου τυχεῖν·
...μβρος δ' ἀπ' εὐνάεντος οὐρανοῦ πεσὼν
...υσε γαῖαν· ἡ δὲ τίκτεται βροτοῖς
...ήλων τε βοσκὰς καὶ βίον Δημήτριον·
...ενδρῶτις ὥρα δ' ἐκ νοτίζοντος γάμου
...λειός ἐστι. τῶν δ' ἐγὼ παραίτιος.

39

Hesychius, *Καθαίρομαι γῆρας:* ἐκδύομαι. ...χύλος Δαναΐσι. Codex δαίσι.

---

## ΔΙΚΤΥΟΥΛΚΟΙ.

40

Aelianus N. A. VII, 47. Τῶν δὲ ὑστρίχων καὶ τοιούτων ἀγρίων τὰ ἔκγονα ὄβρια καλεῖται. καὶ μέμνηται Εὐριπίδης ἐν Πελιάσι τοῦ ὀνόματος καὶ Αἰσχύλος ἐν Ἀγαμέμνονι (143.) καὶ Δικτυουλκοῖς. Photius p. 314, 28. *Ὄβρια καὶ ὀβρίκαλα:* τὰ τῶν λεόντων καὶ λύκων σκύμνια. Αἰσχύλος Δικτυουλκοῖς. Codex a pr. m. ut videtur δικτυουλικοῖς.

41

Hesychius, *Θῶσθαι:* δαίνυσθαι (codex δύνασθαι). θωνᾶσθαι (θωρᾶσθαι ex Etymolog. Parisino Bastius ad Gregor. p. 358.), εὐωχεῖσθαι. Αἰσχύλος Δικτυουλκοῖς.

42

Pollux VII, 35. Ὕφασμα δέ ἐστι λεπτὸν, εὐυφὲς, ἰσχνὸν, εὐήτριον, εὔπλοκον. τὸ δὲ εὐήτριον ἐν Δικτυουλκοῖς Αἰσχύλος εἰ καὶ μὴ ἐπὶ ἐσθῆτος, ἀλλ' οὖν εἴρηκε „Δικτύου δ' εὐήτρια." Vulgo δικτυουργικοῖς. Correctum ex codice Falckenburgii. Δικτυουργοὶ scribitur in Catalogo.

---

## ΔΙΟΝΥΣΟΥ ΤΡΟΦΟΙ.

43

Schol. Aristoph. Equit. v. 1318. Ὥσπερ ἡ Μήδεια λέγεται, ὡς μὲν Αἰσχύλος ἱστορεῖ, τὰς τροφοὺς τοῦ Διονύσου ἀφεψήσασα ἀνανεάσαι ποιῆσαι μετὰ τῶν ἀνδρῶν αὐτῶν. Scriptor argumenti Medeae Euripidis, Αἰσχύλος δ' ἐν ταῖς τοῦ Διονύσου Τροφοῖς ἱστορεῖ ὅτι καὶ τὰς Διονύσου τροφοὺς μετὰ τῶν ἀνδρῶν αὐτῶν ἀνεψήσασα ἐνεοποίησε.

44

Hesychius, *Δίκρα ὄψις:* ἡ διπλῆ. Αἰσχύλος Τροφοῖς.

45

Hesychius, *Πεδοίκου χελιδόνος:* συνοίκου. Αἰσχύλος Τροφοῖς.

46

Photius p. 47, 10. *Ἐψιοῦσα:* τροφὰς διδοῦσα χόνδρου καὶ τὰ ἑψητά. Αἰσχύλος Τροφοῖς „Βιοτὴν αὔξιμον ἐψιοῦσα." Ἱππῶναξ.

---

## ΕΛΕΥΣΙΝΙΟΙ.

47

Hesychius, *Ἀοζήσω* (codex ἀοξήσω): διακονήσω, ὑπουργήσω. Αἰσχύλος Ἐλευσινίοις.

48

Plutarchus in Theseo c. 29. p. 14 a. Συνέπραξε δὲ (Θησεὺς) καὶ Ἀδράστῳ τὴν ἀναίρεσιν τῶν ὑπὸ τῇ Καδμείᾳ πεσόντων, οὐχ, ὡς Εὐριπίδης ἐποίησεν ἐν τραγῳδίᾳ, μάχῃ τῶν Θηβαίων κρατήσας, ἀλλὰ πείσας καὶ σπεισάμενος· οὕτω γὰρ οἱ πλεῖστοι λέγουσι· Φιλόχορος δὲ καὶ σπονδὰς περὶ νεκρῶν ἀναιρέσεως γενέσθαι πρώτας ἐκείνας. ὅτι δὲ Ἡρακλῆς πρῶτος ἀπέδωκε νεκροὺς τοῖς πολεμίοις ἐν τοῖς περὶ Ἡρακλέους γέγραπται. ταφαὶ δὲ τῶν μὲν πολλῶν ἐν Ἐλευθεραῖς δείκνυνται, τῶν δὲ ἡγεμόνων περὶ Ἐλευσῖνα, καὶ τοῦτο Θησέως Ἀδράστῳ χαρισαμένου. καταμαρτυροῦσι δὲ τῶν Εὐριπίδου Ἱκετίδων οἱ Αἰσχύλου Ἐλευσίνιοι, ἐν οἷς καὶ ταῦτα λέγων ὁ Θησεὺς πεποίηται.

## ΕΠΙΓΟΝΟΙ.

49

Scholiasta Pindari Isthm. VI, 10. *Τὸν δὲ τρίτον κρατῆρα Διὸς σωτῆρος ἔλεγον. — τὸν μὲν γὰρ πρῶτον Διὸς Ὀλυμπίου ἐκίρνασαν, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον Διὸς σωτῆρος. καθὰ καὶ Αἰσχύλος ἐν Ἐπιγόνοις*

*Λοιβὰς Διὸς μὲν πρῶτον ὡραίου γάμου*
*Ἥρας τε.*

*εἶτα*

*τὴν δευτέραν γε κρᾶσιν ἥρωσιν νέμω.*

*εἶτα*

*τρίτον Διὸς σωτῆρος εὐκταίαν λίβα.*

50

Hesychius, *Τιμαλφής: ἔντιμος, τιμὴν ἀλφάνουσα, διὰ τιμῆς ἀγομένη. — Αἰσχύλος δὲ ἐν Ἐπιγόνοις ἐπὶ τοῦ ἐντίμου.*

51

Apud Athenaeum XIII. p. 584 d. Andronicus histrio versum ex Epigonis recitasse memoratur

*Ὀλόμενε παίδων, ποῖον εἴρηκας λόγον;*

Dubitatur utrum Aeschyli an Sophoclis Epigonos dicat. Andronicus autem Demosthenis oratoris aetate vixit.

---

## ΕΥΡΩΠΗ Η ΚΑΡΕΣ.

52

Stobaeus LI, 26. *Αἰσχύλου Καρῶν*

*Ἀλλ' Ἄρης φιλεῖ*
*ἀεὶ τὰ λῷστα πάντα τἀνθρώπων στρατοῦ.*

Erfurdtius ad Sophoclis Philoct. 437. p. 223 *παντὸς ἀνατρέπων.* Poterat hoc facilius *πάντ' ἀνατρέπων.* Similia de Marte dicta poetarum collegit Valckenarius Diatrib. Eurip. p 225.

53

Stephanus Byz., *Μύλασα: πόλις Καρίας, ἀπὸ Μυλάσου — λέγεται καὶ Μύλας, ὡς Αἰσχύλος ἐν Καρσὶν ἢ Εὐρώπῃ.* Haec nominis forma fortasse restituenda Machoni apud Athenaeum VIII. p. 336 c. ubi nunc Aegyptiae urbis nomen *Μύλωνα* in fine trimetri legitur: nisi aut elisionem admisit, aut *Μύλων* scripsit. *Μύλασσα* male scribitur ibid. p. 348 d. Corrige *Μύλασα.*

---

## ΗΔΩΝΟΙ.

Fuit tetralogiae Lycurgeae: vide infra ad Lycurgum.

54

Strabo X. p. 470. *Τούτοις δ' ἔοικε καὶ τὰ παρὰ τοῖς Θρᾳξὶ τά τε Κοτύττια καὶ τὰ Βενδίδεια, παρ' οἷς καὶ τὰ Ὀρφικὰ τὴν καταρχὴν ἔσχε. τῆς μὲν οὖν Κότυος τῆς ἐν τοῖς Ἠδωνοῖς Αἰσχύλος μέμνηται καὶ τῶν περὶ αὐτὴν ὀργάνων. εἰπὼν γὰρ*

*Σεμνὰ Κότυς ἐν τοῖς Ἠδωνοῖς,*
*ὄρεια δ' ὄργαν' ἔχοντας* (Aeschyli igitur verba fuerunt *ὄρει' ὄργαν' ἔχοντες*) *τοὺς περὶ τὸν Διόνυσον, εὐθέως ἐπιφέρει*

*Ὁ μὲν ἐν χερσὶν*
*βόμβυκας ἔχων, τόρνου κάματον,*
*δακτυλόδεικτον πίμπλησι μέλος,*
*μανίας ἐπαγωγὸν ὁμοκλάν·*
*ὁ δὲ χαλκοδέτοις κοτύλαις ὀτοβεῖ.*

*καὶ πάλιν*

*Ψαλμὸς δ' ἀλαλάζει·*
*ταυρόφθογγοι δ' ὑπομηκῶνται*
*ποθὲν ἐξ ἀφανοῦς φοβεροὶ μῖμοι,*
*τυπάνου δ' εἰκὼν ὥσθ' ὑπογείου*
*βροντῆς φέρεται βαρυταρβής.*

Scholiasta Venetus Iliad. ψ, 34. *Καθόλου δὲ κοτύ[λας] ἐκάλουν πάντα τὰ κοῖλα. καὶ Αἰσχύλος ἐν Ἠδων[οῖς] τὰ κύμβαλα „Ὁ δὲ χαλκοδέτοις κοτύλαις στο[βεῖ]."* Corrige *ὀτοβεῖ* ex Eustathio p. 1282, 16. qui nom[en] fabulae omisit. Attulit hunc versum Athenaeus XI. p. 479 b.

55

Scholiasta Aristophanis Thesmophor. v. 135. *Λέ[γει] δὲ (Λυκοῦργος) ἐν τοῖς Ἠδωνοῖς πρὸς τὸν συ[λ]ληφθέντα Διόνυσον „Ποδαπὸς ὁ γύννις;"*

56

Aristophanes in Avibus v. 277.

*Τίς ποτ' ἔσθ' ὁ μουσόμαντις ἄτοπος ὄρνις ὀρειβάτης;*

ubi scholiasta, *Τοῦτο εἶπεν εἰς τὸ τερατῶδες τοῦ ὄρνιθος ἀφορῶν, οὐδὲν πρὸς τὸ προσκείμενον. παρὰ τὸ ἐξ Ἠδωνῶν Αἰσχύλου „Τί ποτ' ἔσται ὁ μουσόμαντις ἄλαλος ἀβρατεὺς ὃν σθένει."* Suidas, *Μουσόμαντις: κομπώδης. τοιοῦτοι γὰρ οἱ μάντεις καὶ οἱ ποιηταί. παρὰ τὸ ἐξ Ἠδωνῶν Αἰσχύλου „Τί ποτ' ἔσται ὁ μουσόμαντις ἄλλος ἀβρατεύς."*

57

Erotianus p. 190. *Ἴκταρ: ἐγγύς, παρὰ τοῖς Ἀττικοῖς, ὡς καὶ Αἰσχύλος ἐν Εὐμενίσι φησί —. μέμνηται ὁ αὐτὸς τῆς λέξεως καὶ ἐν Ἠδωνοῖς.*

58

Hesychius, *Ἄδασμος: οὐδένα δασμὸν ἐκτίουσα, οἷον τελοῦσα ἐνοίκιον. Αἰσχύλος Ἠδωνοῖς* (codex *ἡδονήν*). Photius p. 8, 4. *Ἄδασμος: οὐδένα δασμὸν ἐκτίνουσα, οὐδὲ μερίζουσα δασμὸν τῆς οἰκήσεως. οὕτως Αἰσχύλος.*

59

Hesychius et Suidas, *Αἰγίζειν: διασπᾶν. ἐκ μεταφορᾶς, παρ' ὃ καὶ τὸ αἰγίζεσθαι ἀπὸ τῶν αἰγίδων. Αἰσχύλος. ὁ δ' αὐτὸς ἐν Ἠδωνοῖς* (*ἡδωνῆς* codex Hesychii) *καὶ τὰς νεβρίδας οὕτω λέγει.* Haec partim repetuntur infra apud Suidam, *Ἠδωνὶς Ἠδωνίδος: χώρα οὕτω λέγεται. καὶ Ἠδωνοὶ ὄνομα ἔθνους. Αἰσχύλος. ὁ δ' αὐτὸς ἐν Ἠδωνοῖς καὶ τὰς νεβρίδας οὕτως καλεῖ. καὶ ἔστιν ἐν τῷ αἰγίζειν.*

60

Hesychius, *Ἀμφίδρομος: Αἰσχύλος Σεμέλῃ ἔπλασε δαίμονα καινὸν περὶ τὰ Ἀμφιδρόμια, ὡς εἰ ἔλεγες τὸν γενέθλιον. δηλοῖ δὲ καὶ ἐξ ἑκατέρου μέρους θεώμενον ἢ προηγούμενον, ἢ ὁρμᾶν δυνάμενον, ὡς Αἰσχύλος Ἠδωνοῖς* (codex *ἡδωνῆς*).

61

Hesychius, *Ἄσσιστα: ἔγγιστα. Αἰσχύλος Ἠδωνοῖς* (codex *ἡδωνῶν*).

62

Scholiasta Homeri Iliad. ι, 535. *Ξενοφῶντα δὲ γένος τι Ἰνδῶν φάναι τὸν χλούνην εἶναι, καθάπερ καὶ παρ' Αἰσχύλῳ ἐν Ἠδωνοῖς*

*Μακροσκελὴς μὲν ἄραμα χλούνης τις εἶ.*
'ocabulum *χλούνης* ex Aeschylo memorat Eustathius . 772, 53. *Ὅτι δὲ καὶ ἐντομίαν ὁ χλούνης δηλοῖ οὐ όνον Αἰσχύλος δίδωσι χρῆσιν* —. *χλοῦνις* legitur in umen. v. 188.

---

## *ΗΛΙΑΔΕΣ.*

Dissertatio Hermanni in Opusc. vol. III. p. 130.

63

Grammaticus Bekkeri I. p. 346, 9. *Ἀδριαναὶ υναῖκες: Αἰσχύλος ἐν Ἡλιάσιν*
*Ἀδριαναί τε γυναῖκες τρόπον ἕξουσι γόων.*
*δριηναί* Hermannus p. 138.

64

Athenaeus XI. p. 469 f. *Ὅτι ὁ ἥλιος ἐπὶ ποτηρίου εκομίζετο ἐπὶ τὴν δύσιν — φησὶν — Αἰσχύλος ἐν λιάσιν „Ἔνθ' ἐπὶ δυσμαῖς ἴσου πατρὸς Ἡφαιστο-υχὲς δέπας ἐν τῷ διαβάλλει πολὺν οἰδματόεντα ρει δρόμου πόρον οὐδ' εἰς μελανίππου προφυ-ὼν ἱερᾶς νυκτὸς ἀμολγόν.“* Quae Hermannus p. 137. ı corrigit

*Ἔνθ'*
*ἐπὶ δυσμαῖσι τεοῦ*
*πατρὸς Ἡφαιστοτυχὲς*
*δέπας, ἐν τῷ διαβάλλει*
*πολὺν οἰδματόεντ' ἀμφίδρομον*
*πόρον, εἰς μελανίππου*
*προφυγὼν ἱερᾶς νυκτὸς ἀμολγόν.*

65

Athenaeus X. p. 424 d. *Τούτῳ ὅμοιόν ἐστι τὸ ηρέστερον καὶ τὸ ἐν Ἡλιάσιν Αἰσχύλου „Ἀφθο-πέρα λίβα.“* Epitome *ἀφθονέστερον λίβα.* Recte saubonus *ἀφθονεστέραν λίβα.* Sic *εὐκταίαν λίβα* gm. 49.

66

Scholiasta Sophoclis Oed. Col. v. 1248. *Ἀπὸ πᾶν: τὰ ἀπὸ τῶν ὀρῶν φησι τῶν προσαγορευο-των Ῥιπῶν. τινὲς δὲ οὕτω καλοῦσι Ῥίπαια ὄρη.* — *ινηται καὶ ἐν Ἡλιάσιν Αἰσχύλος „Ῥῖπαι μὲν δὴ ρός.“*

---

## *ΗΡΑΚΛΕΙΔΑΙ.*

67

Stobaeus CXXII, 2. *Αἰσχύλου Ἡρακλειδῶν*
*λὺ γάρ τι μεῖζον ἄλλο τοῦδε πείσομαι.*

68

Hesychius, *Ἀμφιμήτορες: οἱ ἐκ πολλῶν έρων γεγονότες ἀδελφοί. Αἰσχύλος Ἡρακλείδαις.* ias, *Ἀμφιμήτωρ: ὁ ἑτερομήτωρ. Αἰσχύλος.*

69

Hesychius, *Ἐπιγλωσσῶ: ἐποιωνίζου διὰ γλώτ-* *Αἰσχύλος Ἡρακλείδαις.*

---

## *ΘΑΛΑΜΟΠΟΙΟΙ.*

70

Pollux VII, 122. *Καὶ Λέσβιον δὲ καὶ ἐκφατνώ-α καὶ κῦμα μέρη ἔργων ἐν Αἰσχύλου Θαλαμο-οῖς*

*Ἀλλ' ὁ μέν τις Λέσβιον*
*κῦμ' ἐν τριγώνοις ἐκπεραινέτω ῥυθμοῖς.*

*τάχα δὲ καὶ οἱ θαλαμοποιοὶ εἶδος τέχνης.* Delevi quod post *Λέσβιον* legebatur *φάτνωμά τι*, temere in verba poetae illatum, ut *φασγάνῳ* in versum Euripidis X, 145.

---

## *ΘΕΩΡΟΙ Η ΙΣΘΜΙΑΣΤΑΙ.*

71

Athenaeus XIV. p. 629 f. *Αἰσχύλος ἐν Θεωροῖς*
*Καὶ μὴν παλαιῶν τῶνδέ σοι σκωπευμάτων.*
Hesychius, *Σκωπευμάτων: σχῆμα τῆς χειρὸς πρὸς τὸ μέτωπον τιθεμένης, ὥσπερ ἀποσκοπούντων.* Photius p. 527, 6. *Σκώπευμα: σχῆμα σατυρικὸν, ὡς καὶ ὁ σκωπός. οὕτως Αἰσχύλος.* Hesychius, *Ὑπόσκοπον χέρα: Αἰσχύλος. ὥσπερ οἱ ἀποσκοποῦντες οὕτω κελεύει σχηματίσαι τὴν χεῖρα, καθάπερ τοὺς Πᾶνας ποιοῦσι. σχῆμα δέ ἐστιν ὀρχηστικὸν ὁ σκοπός.*

72

Hesychius, *Ἰαμβίς: Αἰσχύλος Θεωροῖς ἢ Ἰσθμιασταῖς. τοῖς κιθαρίζουσιν ὁ αὐλὸς συνήει, καὶ αἱ τοιαῦται κιθαρίσεις ἐλέγοντο παριαμβίδες.*

73

Hesychius, *Ἀποστάς: φυγών. Αἰσχύλος Ἰσθμιασταῖς* (codex *ἰσθάσταις*) *καὶ Ἀλκμήνῃ.*

74

Photius p. 655, 12. — *Πλέω γράσου γε καὶ ψοθοίου καὶ ῥύπου. Αἰσχύλος Θεωροῖς.* Ita hic versus emendandus videtur, de quo dixi ad Aristophanis fragm. 706.

---

## *ΘΡΗΙΣΣΑΙ.*

75

Hesychius, *Ἀγαῖς: ζηλώσεσιν. Αἰσχύλος Θρήσσαις.*

76

Scholiasta Sophoclis Aiac. v. 134. *Τὸ δὲ τῶν αἰχμαλώτων κηδεμονικὸν μὲν, ὡς Αἰσχύλος ἐν Θρήσσαις, οὐ μὴν εὐπρόσωπον.*

77

Aristophanes Ranar. v. 1329. *Τὸ συγκλινὲς ἐπ' Αἴαντι.* ubi scholiasta, *Τιμαχίδας φησὶ τοῦτο ἐν ἐνίοις μὴ γράφεσθαι. Ἀπολλώνιος δέ φησιν ἐκ Θρησσῶν αὐτὸ εἶναι.*

78

Scholiasta Sophoclis Aiac. v. 815. *Μετάκειται ἡ σκηνὴ ἐπὶ ἐρήμου τινὸς χωρίου, ἔνθα ὁ Αἴας εὐτρεπίσας τὸ ξίφος ῥῆσίν τινα πρὸ τοῦ θανάτου προφέρεται, ἐπεὶ γελοῖον ἦν κωφὸν εἰσελθόντα περιπεσεῖν τῷ ξίφει. ἔστι δὲ τὰ τοιαῦτα παρὰ τοῖς παλαιοῖς σπάνια· εἰώθασι γὰρ τὰ πεπραγμένα δι' ἀγγέλων ἀπαγγέλλειν. τί οὖν τὸ αἴτιον; φθάνει Αἰσχύλος ἐν Θρήσσαις τὴν ἀναίρεσιν Αἴαντος δι' ἀγγέλου ἀπαγγείλας. ἴσως οὖν καινοτομεῖν βουλόμενος* (ὁ *Σοφοκλῆς*) *καὶ μὴ κατακολουθεῖν τοῖς ἑτέρου τινὸς ὑπ' ὄψιν ἔθηκε τὸ δρώμενον· ἢ μᾶλλον ἐκπλῆξαι βουλόμενος· εἰκῆ γὰρ κατηγορεῖν ἀνδρὸς παλαιοῦ οὐχ ὅσιον.* Idem ad v. 833. *Παραδεδομένου δὲ καθ' ἱστορίαν ὅτι κατὰ τὸ ἄλλο σῶμα*

ἄτρωτος ἦν ὁ Αἴας, κατὰ δὲ τὴν μασχάλην τρωτὸς, διὰ τὸ τὸν Ἡρακλέα τῇ λεοντῇ αὐτὸν σκεπάσαντα κατὰ τοῦτο τὸ μέρος ἀσκέπαστον ἐᾶσαι διὰ τὸν γωρυτὸν ὃν περιέκειτο. φησὶ δὲ περὶ αὐτοῦ Αἰσχύλος ὅτι καὶ τὸ ξίφος ἐκάμπτετο οὐδαμῇ ἐνδιδόντος τοῦ χρωτὸς τῇ σφαγῇ· τόξον ὥς τις ἐντείνων, πρὶν δή τις, φησὶ, παροῦσα δαίμων ἔδειξεν αὐτῷ κατὰ ποῖον μέρος δεῖ χρήσασθαι τῇ σφαγῇ.

---

*ΙΕΡΕΙΑΙ.*

79

Macrobius Saturnal. V, 22. *In tertio Aeneidos libro cursim legitur, neque unde translatum sit quaeritur „Quae Phoebo pater omnipotens, mihi Phoebus Apollo praedixit.“ —— Sed affirmo doctissimum vatem etiam in hoc Aeschylum eminentissimum tragoediarum scriptorem secutum, qui in fabula quae Latina lingua* SACERDOTES *inscribitur sic ait*

*Στέλλειν ὅπως τάχιστα· ταῦτα γὰρ πατὴρ*
*Ζεὺς ἐγκαθίει Λοξίᾳ θεσπίσματα.*

Attulit etiam scholiasta Sophoclis Oedip. Col. v. 793, omisso *θεσπίσματα.*

80

Hesychius, *Κασωλάβα: οἱ μὲν πόλις, οἱ δὲ κώμη. Αἰσχύλος Ἱερείαις.*

81

Aristoteles Ethic. Nicom. III, 2. *Ὃ δὲ πράττει ἀγνοήσειεν ἄν τις, οἷον λέγοντές φασιν ἐκπεσεῖν αὐτοῖς, ἢ οὐκ εἰδέναι ὅτι ἀπόρρητα ἦν, ὥσπερ Αἰσχύλος τὰ μυστικά.* ubi Eustratius p. 40 a. *Δοκεῖ γὰρ Αἰσχύλος λέγειν μυστικά τινα ἔν τε ταῖς Τοξότισι καὶ Ἱερείαις καὶ ἐν Σισύφῳ πετροκυλιστῇ καὶ ἐν Ἰφιγενείᾳ καὶ ἐν Οἰδίποδι. ἐν γὰρ τούτοις πᾶσι περὶ Δημήτρας λέγων τῶν μυστικωτέρων περιεργότερον ἅπτεσθαι ἔοικε. λέγει δὲ καὶ περὶ Αἰσχύλου καὶ Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ πρώτῳ περὶ Ὁμήρου ὡς κινδυνεύοντος ἐπὶ σκηνῆς ἀναιρεθῆναι ἐπὶ τῷ τῶν μυστικῶν περιφέρειν τινὰ δοκεῖν, εἰ μὴ προαισθόμενος κατέφυγεν ἐπὶ τὸν τοῦ Διονύσου βωμόν.* cet. Aelianus V. H. V, 19. *Αἰσχύλος ὁ τραγῳδὸς ἐκρίνετο ἀσεβείας ἐπί τινι δράματι. ἑτοίμων οὖν ὄντων Ἀθηναίων βάλλειν αὐτὸν λίθοις Ἀμεινίας ὁ νεώτερος ἀδελφὸς διακαλυψάμενος τὸ ἱμάτιον ἔδειξε τὸν πῆχυν ἔρημον τῆς χειρός. ἔτυχε δὲ ἀριστεύων ἐν Σαλαμῖνι ὁ Ἀμεινίας, ἀποβεβληκὼς τὴν χεῖρα, καὶ πρῶτος Ἀθηναίων τῶν ἀριστείων ἔτυχεν. ἐπεὶ δὲ εἶδον οἱ δικασταὶ τοῦ ἀνδρὸς τὸ πάθος, ὑπεμνήσθησαν τῶν ἔργων αὐτοῦ καὶ ἀφῆκαν τὸν Αἰσχύλον.* Clemens Alexandr. Strom. II. p. 387. *Ὡς Αἰσχύλος τὰ μυστήρια ἐπὶ σκηνῆς ἐξειπὼν ἐν Ἀρείῳ πάγῳ κριθεὶς οὕτως ἀφείθη, ἐπιδείξας αὐτὸν μὴ μεμνημένον.* Vide Lobeckii Aglaoph. p. 77.

---

*ΙΞΙΩΝ.*

82

Stobaeus CXXI, 16. *Αἰσχύλου Ἰξίονος*
*Βίου πονηροῦ θάνατος εὐκλεέστερος.*

83

Hesychius, *Ἱερῖτιν: καθαρμοῦ δεομένην, ἱκ[έ]τιν. Αἰσχύλος Ἰξίονι.* Codex *ἱερείτην.*

84

Scholiasta Pindari Pyth. II, 39. *Τὸν Ἰξίονα [...] μὲν Ἀντίονος γενεαλογοῦσιν, ὡς Αἰσχύλος.*

85

Athenaeus IV. p. 182 c. *Οἴδαμεν δὲ καὶ το[ὺς] ἡμιόπους (αὐλοὺς) καλουμένους. — εἰσὶ δ' [...] αὐλοὶ οὗτοι ἐλάσσονες τῶν τελείων. Αἰσχύλος γο[ῦν] κατὰ μεταφορὰν ἐν Ἰξίονί φησι*

*Τὸν δ' ἡμίοπον καὶ τὸν ἐλάσσονα*
*ταχέως ὁ μέγας καταπίνει.*

*καὶ τὸν ἐλάσσω* Porsonus. Haec verba delet Bothi[us] *ἡμίοπον αὐλὸν* ex Aeschylo memorat Pollux VI, 1[...]

---

*ΙΦΙΓΕΝΕΙΑ.*

De profanatis mysteriis fragm. 81.

86

Scholiasta Sophoclis Aiac. v. 722. *Κυδάζεται [...] λοιδορεῖται, ὑβρίζεται ὑπὸ πάντων. — καὶ Αἰσχύλ[ος] ἐν Ἰφιγενείᾳ*

*Οὔ τοι γυναιξὶ δεῖ κυδάζεσθαι· τί γάρ;*

Exscripsit haec Suidas, apud quem *οὔτοι γυνα[ιξὶ] κυδάζεται* tantum legitur.

87

Aristophanes Ranar. v. 1302.

*Κύδιστ' Ἀχαιῶν, Ἀτρέως*
*πολυκοίρανε μάνθανέ μοι παῖ.*

ubi scholiasta, *Ἀρίσταρχος καὶ Ἀπολλώνιος, ἐπισ[κέ]ψασθε πόθεν εἰσί· Τιμαχίδας δὲ ἐκ Τηλέφου Αἰσχύλου, Ἀσκληπιάδης δὲ ἐξ Ἰφιγενείας.*

---

*ΚΑΒΕΙΡΟΙ.*

88

Athenaeus IX. p. 373 d. *Ὄρνιθα ἐπὶ τοῦ ἀρσ[ενι]κοῦ — Αἰσχύλος Καβείροις*

*Ὄρνιθα δ' οὐ ποιῶ σε τῆς ἐμῆς ὁδοῦ.*

89

Scholiasta Pindari Pyth. IV, 303. *Πάντας Σοφ[ο]κλῆς ἐν ταῖς Λημνιάσι τῷ δράματι καταλέγει [...] εἰς τὸ Ἀργῷον εἰσελθόντας σκάφος, καὶ Αἰσχύ[λος] Καβείροις.* Libri *κιβήραις.*

90

Athenaeus X. p. 428 f. *Καὶ τὸν Αἰσχύλον [...] φαίην ἂν τοῦτο διαμαρτάνειν· πρῶτος γὰρ ἐκεῖ[νος] καὶ οὐχ, ὡς ἔνιοί φασιν, Εὐριπίδης παρή[γαγε] τὴν τῶν μεθυόντων ὄψιν εἰς τραγῳδίαν. ἐν γὰρ τ[οῖς] Καβείροις εἰσάγει τοὺς περὶ τὸν Ἰάσονα μεθύοντ[ας].*

91

Pollux VI, 23. *Οἰνηρὸς — καὶ Αἰσχύλος*

*Μηδὲ κρωσσοὺς*
*μήτ' οἰνηροὺς μήθ' ὑδατηροὺς*
*λείπειν ἀφνεοῖσι δόμοισι.*

Phrynichus Bekkeri I. p. 115, 3. *Ὑδρηροὺς [...] θους καὶ οἰνηρούς: Αἰσχύλος καιείροις.* Plutarch. Moral. p. 632 f. *Εἴ τις ἀντιστρέψας αἰτιῷτο τ[...] Αἰσχύλου Καβείρους ὄξους σπανίζειν δῶμα ποιοῦ[ντος]*

ις, ὥσπερ αὐτοὶ παίζοντες ἠπείλησαν. Vide Lobeck. Aglaoph. p. 1207.

## ΚΑΛΛΑΙΣΤΩ.

92

Hesychius, *Πανίας βήσσας*: ὡς ἀπὸ τοῦ Πανός. Αἰσχύλος Καλλιστοῖ. Codex ὡς ἐπὶ τοῦ. Photius p. 377, 17. *Πανιὰς αἶσαι* ἀπὸ τοῦ Πανός.

## ΚΕΡΚΥΩΝ.

93

Hesychius, *Ἄμβωνες*: αἱ προσαναβάσεις τῶν ὀρῶν. Αἰσχύλος Κερκύονι (codex κερκύονι) καὶ Σισύφῳ. Erotianus p. 86. καὶ γὰρ οἱ Ῥόδιοι ἄμβωνας καλοῦσι τὰς ὀφρυώδεις τῶν ὀρῶν ἀναβάσεις. μνηται τῆς λέξεως καὶ Αἰσχύλος.

94

Pollux X, 175. Εἴεν δ' ἂν καὶ ἀμφωτίδες ἐκ ἐν σκευῶν — εἰπόντος — ἐν Κερκύονι Αἰσχύλου Ἀμφωτίδες τοι τοῖς ἐνωτίοις πέλας.

95

Hesychius, *Ἀπεψύχη*: ἀπεπνευματίσθη. Αἰσχύλος Κερκύονι σατυρικῷ. Codex κερκυόνη σατυρικῷ.

96

Hesychius, *Ἀτίσεις*: ἀτιμάσεις. Αἰσχύλος Κερκύονι.

97

Hesychius, *Εὐλημματεῖ*: λήματος καὶ ἀνδρείας ἔχει. Αἰσχύλος Κερκύονι (codex κερκυόνῃ) σατυρικῷ.

98

Harpocratio, *Ὄρον*: σκεῦός τι γεωργικόν — μήτι μέντοι τὸ ὄρον παρά τε Αἰσχύλῳ ἐν Κερκύονι (codices κεραυνῶνι) καὶ παρὰ Μενάνδρῳ σημαίνει ... ον τι, ᾧ τὴν πεπατημένην σταφυλὴν πιέζουσιν. ... nomen omiserunt Suidas, apud quem ὄρον ...ptum, et Photius p. 349, 18.

## ΚΗΡΥΚΕΣ.

99

Pollux IX, 136. Φαῦλον τὸ *λογγάζειν* ἐν τοῖς Κήρυξι τοῖς Αἰσχύλου. De hoc vocabulo dixi ad ...tophanis fragm. 641. p. 233. Photius p. 228, 22. *Λογγάσω*: στραγγεύσομαι· ὃ ἡμεῖς λαγγάσω καὶ ...γονεύσω λέγομεν. Αἰσχύλος. Quibus quae adduntur ... δὲ ἐξ ὧν τὰ ἀπόγεια δοῦσιν λογγάσια alius glossae fragmentum sunt, qua de vocabulo λογγῶνες exstatum fuit.

100

Pollux X, 68. Μήποτ' οὖν βέλτιον στενόστομον ὁ καλεῖν. εἴρηται δὲ τοὔνομα ἐπὶ ἀμφορέως ἐν ...υρικῷ δράματι Κήρυξι τοῖς Αἰσχύλου „Στενόστομον τὸ τεῦχος."

101

Pollux X, 186. Φαίης δ' ἂν καὶ σισύρναν, Αἰσχύλου ἐν Κήρυξι σατύροις λέγοντος
Καὶ τῆς σισύρνης τῆς λεοντείας.

Alii codices κατὰ pro καὶ et λεοντίας. δορᾶς addebat Toupius Emend. vol. II. p. 166. comparatis Hesychii et Suidae glossis Λεόντειος δορά et Λεοντεία δορά.

102

Antiatticista Bekkeri I. p. 102, 14. *Κακοποιεῖν*: Αἰσχύλος Κήρυξιν.

103

Antiatticista Bekkeri I. p. 109, 22. *Νοσσόν*: χωρὶς τοῦ ε Αἰσχύλος Κήρυξιν.

104

Photius p. 477, 11. *Πυρσοκόρσου λέοντος*: Αἰσχύλος ἐν Κάρυξι σατύροις. Hesychius, *Πυρσοκόρσου λέοντος*: Πυρροκεφάλου, ξανθοτρίχου.

## ΚΙΡΚΗ.

105

Hesychius, *Αὐτόφορβος*: αὐτοφάγος. Αἰσχύλος Κίρκῃ.

106

Hesychius, *Ζυγώσω*: δαμάσω, κλείσω, καθέξω. Αἰσχύλος Κίρκῃ σατυρικῇ. Photius p. 55, 8. *Ζυγώσω*: καθέξω, δαμάσω.

## ΚΡΗΣΣΑΙ.

107

Athenaeus II. p. 51 d. *Μόρα* — ἐν δὲ Κρήσσαις (Αἰσχύλου) καὶ τὰ τῆς βάτου
Λευκοῖς τε γὰρ μόροισι καὶ μελαγχίμοις
καὶ μιλτοπρέπτοις βρίθεται ταὐτοῦ χρόνου.
Negligentius haec repetiit Eustathius p. 1254, 24. Pollux VI, 46. *Συκάμινα*. ταῦτα δὲ καὶ μόρα Αἰσχύλος ὠνόμαζε, τὰ ἄγρια οὕτως ὀνομάσας τὰ ἐκ τῆς βάτου.

108

Hesychius, *Ἀτόπαστον*: ἀνείκαστον. τοπάζειν γὰρ το εἰκάζειν. καὶ τὸ ὑποτοπῆσαι δὲ ἐνθένδε λέγεται. Αἰσχύλος Κρήσσαις.

109

Hesychius, *Ἐπιξενοῦσθαι*: μαρτύρεσθαι, πορεύεσθαι.

109 b

Hesychius, *Αὐτορέγμονος πότμου*: ὃν ἑαυτῷ ἔρεξε. — Αἰσχύλος κρῆ. Corrige Κρήσσαις.

110

Photius p. 430, 24. *Πισσοκωνήτῳ πυρί*: τῷ εὐκαύτῳ· ἐπεὶ τὰ καιόμενα πίσσῃ χρίεται. Αἰσχύλος Κρήσσαις. Hesychius, *Κωνῆσαι*: πισσοκοπῆσαι, καὶ κύκλῳ περιενεγκεῖν. καὶ πισσοκώνητον μόρον λέγουσιν, ὅταν πίσσῃ καταχρισθέντες τινὲς ὑπὸ πυρὸς ἀποθάνωσιν. Αἰσχύλος Κρήσσαις καὶ Κρατῖνος. Codex αἰσχύλος καὶ κρατῖνος κρήσαις.

## ΛΑΙΟΣ.

111

Hesychius, *Ἀράχνου*: ἀπὸ εὐθείας ἀράχνης. Αἰσχύλος Λαΐῳ.

112

Harpocratio, *Μαλκιῶμεν*: — ὅπερ δηλοῖ τὸν ὄρρον φρίττειν. Αἰσχύλος ἐν Λαΐῳ (codices ἑλλαδίῳ)

„Κεχμῆτι μαλκιῶν (codices μαλακίων) ποδί.“ De hoc verbo dixit Buttmannus gr. Gr. vol. I. p. 504.

113

Scholiasta Aristophanis Vespar. v. 288. in codice Veneto, Ἐγχυτριεῖς: ἀπὸ τῶν ἐκτιθεμένων παιδίων ἐν χύτραις. διὸ καὶ Σοφοκλῆς ἀποκτεῖναι χυτρίζειν ἔλεγεν ἐν Πριάμῳ καὶ Αἰσχύλος Λαΐῳ (codex λάξω) καὶ Φερεκράτης.

---

## ΛΕΩΝ.

114

Stephanus Byzant. Χώρα: —— ὅθεν τὸ χωρίτης — καὶ Αἰσχύλος ἐν Λέοντι σατυρικῷ

Ὁδοιπόρων δήλημα χωρίτης δράκων.

---

## ΛΥΚΟΥΡΓΟΣ.

115

Aristophanes Thesmophor. v. 135.

Καί σ', ὦ νεανίσχ', ὅστις εἶ κατ' Αἰσχύλον
ἐκ τῆς Λυκουργείας ἐρέσθαι βούλομαι.

ubi scholiasta Ravennas, τὴν τετραλογίαν λέγει Λυκουργίαν, Ἠδωνοὺς, Βασσαρίδας, Νεανίσκους, Λυκοῦργον τὸν σατυρικόν. λέγει δὲ ἐν τοῖς Ἠδωνοῖς πρὸς τὸν συλληφθέντα Διόνυσον „Ποδαπὸς ὁ γύννις;“ Ex his apparet nullam ab Aeschylo editam esse tragoediam Lycurgi nomine inscriptam, sed Λυκούργειαν veteres dixisse tres illas, quas scholiasta nominat, tragoedias, quemadmodum Agamemno Choephoroe et Eumenides Ὀρέστεια appellantur.

116

Athenaeus X. p. 447 c. Τὸν δὲ κρίθινον οἶνον καὶ βρῦτον τινὲς καλοῦσιν. — μνημονεύει τοῦ πώματος Αἰσχύλος ἐν Λυκούργῳ

Κὰκ τῶνδ' ἔπινε βρῦτον ἰσχναίνων χρόνῳ,
κἀσεμνοκόμπει τοῦτ' ἐν ἀνδρείᾳ στέγῃ.

117

Schol. Aristoph. Equitum v. 1147. Αἰσχύλος ἐν Λυκούργῳ ἀλληγορικῶς τοὺς δεσμοὺς κημοὺς εἴρηκε διὰ τούτων

Καὶ τούσδε κημοὺς στόματος.

118

Schol. Sophoclis Oed. Colon. v. 674. Ἀνέχουσα: ἄνω ἔχουσα. ὡς ἐν Λυκούργῳ Αἰσχύλος „Ἄκουε δ' ἀν' οὖς ἔχων.“ Suidas, Ἀν' οὖς ἔχων: ἀντὶ τοῦ ἄνω τὸ οὖς ἔχων. Aut in fine versus positum fuit Ἄκουε δὲ, aut cum Butlero Ἄκου' ἀν' οὖς ἔχων scribendum.

119

Hesychius, Ἀνούτατος: ἄτρωτος ἐκ χειρός. Αἰσχύλος Λυκούργῳ.

120

Longinus περὶ ὕψους XV, 6. Καὶ παρὰ μὲν Αἰσχύλῳ παραδόξως τὰ τοῦ Λυκούργου βασίλεια κατὰ τὴν ἐπιφάνειαν τοῦ Διονύσου θεοφορεῖται,

Ἐνθουσιᾷ δὴ δῶμα, βακχεύει στέγη.

121

Scholiasta Theocriti X, 18. Ἀρίσταρχος γὰρ ἐ[...] ὑπομνήματι Λυκούργου Αἰσχύλου (Αἰσχύλου ali[...] codices omittunt) τὴν ἀκρίδα φησὶ ταύτην (μάντιν) εἰ προσβλέψει τινὶ τῶν ζώων, ἐκείνῳ κακὸν γενέσθαι[...]

---

## ΜΥΡΜΙΔΟΝΕΣ.

122

Harpocratio, Προπεπωκότες: ἀντὶ τοῦ προ[...] δεδωκότες· ἐκ μεταφορᾶς δὲ λέγεται. — ἐν ἀρχῇ [...] τῶν Μυρμιδόνων Αἰσχύλος

Τάδε μὲν λεύσσεις, φαίδιμ' Ἀχιλλεῦ,
δοριλυμάντους Δαναῶν μόχθους,
οὓς ** εἴσω κλισίας.

Primum versum attulit Aristophanes Ranar. v. 10[...] ubi scholiasta, Ἔστι δὲ ἀρχὴ Μυρμιδόνων Αἰσχύλου[...] V. 3. σὺ προπίνεις supplet Blomfildus in praefatione ad Persas p. XIV. Ad hanc fabulam Aristophanis locum in Ranis v. 942. male retulit scholiasta, cuius verba infra ad Phryges apponentur.

123

Aristophanes Avium v. 808.

Ταυτὶ μὲν ᾐκάσμεσθα κατὰ τὸν Αἰσχύλον,
τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὐτῶν πτεροῖς.

ubi scholiasta, Αἰσχύλον: ἐκεῖνος γὰρ Λιβυστι[...]κὴν αὐτὴν καλεῖ παροιμίαν,

Ὡς δ' ἐστὶ μύθων τῶν Λιβυστικῶν λόγος
πληγέντ' ἀτράκτῳ τοξικῷ τὸν αἰετὸν
εἰπεῖν ἰδόντα μηχανὴν πτερώματος,
τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὐτῶν πτεροῖς
ἁλισκόμεσθα.

πεποίηκε γὰρ ὁ Αἰσχύλος ἀετὸν τρωννύμενον [...] λέγοντα ταῦτα, ἐπειδὴ εἶδε τὸ βέλος ἐπτερωμένον καὶ ἐμπεπαρμένον αὐτῷ, καὶ ἡμεῖς οὖν, φησὶν, ο[...] ὑπ' ἄλλων πάσχομεν ταῦτα, ἀλλὰ τῇ ἑαυτῶν γν[ώ]μῃ. τοῖς αὐτῶν πτεροῖς: ὅλον τοῦτο ἐκ Μυρμιδόνων Αἰσχύλου. Scholiastam exscripsit Suidas [...] ταυτὶ μὲν, ubi v. 1. ὁ δὲ pro ὡς δ' scriptum [...] in οὐχ ὑπ' ἄλλων, ubi prima poetae verba omis[...] Postrema verba Τάδ' — πτεροῖς in proverbium abie[...]runt, quo plures scriptores utuntur, quorum locos C[a]saubonus ad Athen. XI. p. 494 b. et Porsonus ad Euripidis Medeam 139. VIII. indicarunt. Aristidem II. 15, 16. Iebb. memoravit Stanleius.

124

Grammaticus Bekkeri I. p. 321, 19. Suidas, Ἀβδέλυκτα: ἀμύσακτα, ἀμίαντα, τὰ μὴ μιαίνοντα. οὐκ ἄν τις βδελυχθείη καὶ δυσχεράνειε. τρα[γικω]τέρα δὲ ἡ λέξις. Αἰσχύλος Μυρμιδόσι (Μυρμιδόσι om. grammaticus Bekkeri)

Καὶ μὴν φιλῶ γε κἀβδέλυκτά μοι τάδε.

Codicis sui et Suidae scripturam γὰρ ἀβδέλυκτ' [...] correxit Bekkerus.

125

Aristophanes Ranar. v. 1295.

Φθιῶτ' Ἀχιλεῦ, τί ποτ' ἀνδροδάϊκτον ἀκούων
ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν;

ubi scholiasta, Τοῦτο μὲν ἀπὸ τῶν πρεσβευ[...] Ἀχιλλέα Αἰσχύλος πεποίηκεν. ἔστι δὲ ἐκ Μυρμιδ[...]

ων. προφέρει καὶ Εὐριπίδης εἰς γέλωτα ἄλλα ἐξ
λλων δραμάτων συναγαγών. διὸ καὶ ἀσαφῆ μίαν
ρμονίαν οὐκ ἔχοντα. οὐκ ἄρα τὰ μὴ ξυνετὰ ζητη-
ῖον. Et ad v. 1297. προφέρει δὲ οὐκ ἐφεξῆς τὰ
ντὰ μέλη αὐτοῦ, ἀλλ' ὡς ἔτυχεν ἄλλο ἄλλοθεν,
αὶ ἐπιλέγει τὸ ἰήκοπον, κυρίως ἐκείνων τῶν στίχων
, τοῦ „Φθιῶτ' Ἀχιλεῦ."

126

Aristophanes Ranar. v. 1447.
Βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα.
i scholiasta, Ἐκ Μυρμιδόνων. πεποίηκε γὰρ αὐ-
ὺς κυβεύοντας. ἔθος δὲ τοῖς κυβεύουσιν οὕτω λέ-
ιν· β΄, δ΄, γ΄, ε΄. τοῦτο δὲ λέγει ὁ Διόνυσος, δει-
ὺς ὡς Αἰσχύλος νενίκηκε. Ex alius scholiastae an-
tatione intelligitur alios hunc versum ex Euripidis
elepho, alios aliunde sumptum credidisse.

127

Aristophanes Ecclesiaz. v. 392.
Ἀντίλοχ', ἀποίμωξόν με τοῦ τριωβόλου
τὸν ζῶντα μᾶλλον· τἀμὰ γὰρ διοίχεται.
i scholiasta et Suidas in ἀποίμωξον, Παρὰ τὰ ἐξ
Αἰσχύλου Μυρμιδόνων
Ἀντίλοχ', ἀποίμωξόν με τοῦ τεθνηκότος
τὸν ζῶντα μᾶλλον.
Verba esse Achillis respondentis Antilocho, qui pri-
us ei Patrocli interfecti nuntium attulerat, ut etiam
Homer. Il. σ, 18. monuit Porson. ad Med. Eurip.
750." Butler.

128

Athenaeus XIII. p. 602 e. Παρὰ δὲ Σπαρτιάταις
πρὸ τῶν γάμων ταῖς παρθένοις ὡς παιδικοῖς
μος ἐστὶν ὁμιλεῖν. — Αἰσχύλος Μυρμιδόσι
Σέβας δὲ μηρῶν ἁγνὸν οὐκ ἐπῃδέσω,
ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων.
Plutarchus Moral. p. 751 c. Πρόσλαβε δὲ τῷ Σόλωνι
καὶ τὸν Αἰσχύλον λέγοντα „Σέβας δὲ μηρῶν οὐ
ἐπῃδέσω, ὦ δυσχάριστε τῶν πικρῶν φιλημάτων."
Alterum versum attulit idem p. 61 a. Achillis ad Pa-
trocli cadaver verba esse vidit Porsonus ad Medeam
750 et recte eo retulisse videtur versum ab Luciano
l. II. p. 457. allatum, Στένων γοῦν Ἀχιλλεὺς τὸν
Πατρόκλου θάνατον ἀταμιεύτῳ πάθει πρὸς τὴν ἀλή-
θειαν ἀπερράγη,
Μηρῶν τε τῶν σῶν εὐσεβὴς ὁμιλία.
i quod post ὁμιλία in libris additur καλλίων vel
λλίω nihil aliud esse videtur quam κλαίων. Et
corrigebat etiam Dobraeus in Appendice ad Ari-
ph. p. (129). Ad Achillis et Patrocli amorem
hac fabula descriptum spectat Athenaei locus XIII.
601 a. Καὶ Αἰσχύλος μέγας ὢν ποιητὴς καὶ Σο-
κλῆς ἦγον εἰς τὰ θέατρα διὰ τῶν τραγῳδιῶν τοὺς
ωτας, ὁ μὲν τὸν Ἀχιλλέως πρὸς Πάτροκλον, ὁ δ'
τῇ Νιόβῃ τὸν τῶν παίδων. Plato in Convivio p.
0 a. Αἰσχύλος δὲ φλυαρεῖ φάσκων Ἀχιλλέα Πα-
όκλου ἐρᾶν, ὃς ἦν καλλίων οὐ μόνον Πατρόκλου,
λὰ καὶ τῶν ἡρώων ἁπάντων καὶ ἔτι ἀγένειος,
ειτα νεώτερος πολύ, ὥς φησιν Ὅμηρος.

129

Scholiasta Aristoph. Avium v. 1256. Τριέμβο-
λον: πολλάκις ἐμβαλεῖν δυνάμενον. μήποτε δὲ καὶ
πλοίου τις ἦν κατασκευή. καὶ γὰρ δεκέμβολον Αἰ-
σχύλος εἶπε τὴν τοῦ Νέστορος ναῦν ἐν Μυρμιδόσιν.

130

Scholiasta Aristophanis Pacis v. 1177. Ὥσπερ
ξουθὸς ἱππαλεκτρυών: ὡς φοινικᾶ πτερὰ
ἔχοντα δηλοῖ. ὅτι τοῦ παρ' Αἰσχύλῳ πολλάκις κλη-
θέντος ἱππαλεκτρυόνος, ὃν ἀεὶ κωμῳδοῦσιν, ἐν Μυρ-
μιδόσι μέμνηται. Ἄλλως. ὁ Αἰσχύλος „ἀπὸ δ' αὖτε
ξουθὸς ἱππαλεκτρυὼν στάζει κηρ * θέντων φαρμά-
κων πολὺς πόνος." Quae duorum versuum frag-
menta sunt. Aristophanes Avium v. 800. κἄστι νυνὶ
ξουθὸς ἱππαλεκτρυών. ubi scholiasta, Παρὰ τὰ γρα-
φέντα ἐκ Μυρμιδόνων Αἰσχύλου. Aristophanes Ra-
nar. v. 959. (940.)

ΔΙΟΝΥΣΟΣ.

Νὴ τοὺς θεούς, ἐγὼ γοῦν
ἤδη ποτ' ἐν μακρῷ χρόνῳ νυκτὸς διηγρύπνησα
τὸν ξουθὸν ἱππαλεκτρυόνα ζητῶν τίς ἐστιν ὄρνις.

ΑΙΣΧΥΛΟΣ.

σημεῖον ἐν ταῖς ναυσὶν, ὠμαθέστατ', ἐνεγέγραπτο.

131

Hesychius, Ἀγρέμονα: τὸν κάμακα, ἀπὸ τοῦ
αἱρεῖν καὶ λαμβάνειν, ἤγουν ἀγρεύειν. ἢ λαμπάδα,
ἢ δόρυ. Αἰσχύλος δὲ ἐν Μυρμιδόσιν ἀγρέμονα τὸν
ἐπιμήνιον.

132

Hesychius, Κουράς: ἡ ἐν τοῖς ὀροφήμασι γρα-
φή, ὀροφικὸς πίναξ. παρὰ δὲ Αἰσχύλῳ ἐν Μυρμι-
δόσιν ἀμφιβάλλει ἐγκουράδι. ἔστι δὲ ἐγκουρὰς ὀρο-
φικὸς πίναξ. Idem, Ἐγκουράδες: — οἱ ἐν ταῖς
ὀροφαῖς γραφικοὶ προσώπων πίνακες. ἔστι γὰρ κου-
ρὰς ἡ κορυφὴ (ὀροφὴ Struvius in Supplementis Schnei-
deri p. 117.) καὶ ὁ γραπτὸς πίναξ, ἐγκουρὰς δὲ
γεγραμμένος. Αἰσχύλος Μυρμιδόσιν.

133

Scholiasta Aristoph. Avium v. 1420. Πτερῶν
πτερῶν δεῖ: παρὰ τὸ Αἰσχύλου ἐκ Μυρμιδόνων
„Ὅπλων ὅπλων δεῖ."

---

ΜΥΣΟΙ.

134

Strabo XIII. p. 616. Ῥεῖ δ' ἐκ τοῦ Τήμνου ποτα-
μὸς Μύσιος, ἐμβάλλων εἰς τὸν Κάϊκον ὑπὸ ταῖς
πηγαῖς αὐτοῦ· ἀφ' οὗ δέχονταί τινες εἰπεῖν Αἰσχύ-
λον κατὰ τὴν εἰσβολὴν τοῦ ἐν Μυρμιδόσι (recte
Pauwius Μυσοῖς) προλόγου
Ἰὼ Κάϊκε Μύσιαί τ' ἐπιρροαί.
Macrobius Saturnal. V, 20. *Hoc in loco ad fidem sensui faciendam, quod uliginosa sint non tantum Gargara pro vicinia montis, sed et universa Mysiae arva, adhiberi potest testis Aeschylus*, Ἰὼ Κάϊκε Μίσιαί τ' ἐπιρροαί.

135

Photius p. 344. et Suidas, Ὀργεῶνες: — ἤδη
δὲ μεταφέροντες καὶ τοὺς ἱερέας οὕτω καλοῦσιν. —

*Αἰσχύλος ἐν Μυσοῖς, τὸν ἱερέα τοῦ Καΐκου προσαγορεύων,*

*Ποταμοῦ Καΐκου χαῖρε πρῶτος ὀργεών·*
*εὐχαῖς δὲ σώζοις δεσπότας παιωνίαις.*

Apud Suidam est *σώσεις — παιονίας.* Ad hunc locum spectat etiam Harpocratio in *ὀργεῶνες.*

136

Stephanus Byzant. *Οἶος: πολίχνιον Τεγέας. Αἰσχύλος Μυσοῖς.*

137

Aristoteles de Poetic. c. 44. p. 94. Tyrwh. (XXV. p. 69. Herm.) *Ὥσπερ ἐν Ἠλέκτρᾳ οἱ Πύθια ἀπαγγέλλοντες ἢ ἐν Μυσοῖς ὁ ἄφωνος (Τήλεφος) ἐκ Τεγέας εἰς τὴν Μυσίαν ἥκων.*

## ΝΕΑΝΙΣΚΟΙ.

Fuit tetralogiae Lycurgeae: vide ad Lycurgum.

138

Athenaeus XI. p. 503 c. *Νίκανδρος δ' ὁ Θυατειρηνὸς καλεῖσθαί φησι ψυκτῆρας καὶ τοὺς ἀλσώδεις καὶ συσκίους τόπους τοὺς τοῖς θεοῖς ἀνειμένους ἐν οἷς ἔστιν ἀναψῦξαι. Αἰσχύλος Νεανίσκοις*

*Σαύρας ὑποσκίοισιν ἐν ψυκτηρίοις.*

*Αὔρας* Valckenarius ad Hippolytum p. 184 b.

139

Hesychius, *Ἀρείφατον λῆμα: ἰσχυρὸν, ἀντὶ, Ἄρει ἐοικός. Αἰσχύλος Νεανίσκοις.*

140

Hesychius, *Ἀφοίβαντον: ἀκάθαρτον. Αἰσχύλος Νεανίσκοις.*

141

Photius p. 326, 15. *Ὀκτώπαν ποταμὸν Αἰσχύλος διαπέπλευκε Νεανίσκοις.* Hesychius, *Ὀκτώπας: ποταμός.*

## ΝΗΡΗΙΔΕΣ.

142

Scholiasta Euripidis Phoeniss. v. 209. *Αἰσχύλος Νηρεῖσι*

*Δελφινοφόρον πόντου πεδίον*
*διαμειψάμεναι.*

143

Scholiasta Pindari Nem. VI, 85. *Δίκρουν γὰρ ὥστε δύο ἀκμὰς ἔχειν, καὶ μιᾷ βολῇ ὥστε δισσὰ τὰ τραύματα ἀπεργάζεσθαι. καὶ Αἰσχύλος ἐν Νηρεῖσι „κάμακος εἶσι κάμακος γλώσσημα διπλάσιον.“* Aeschyli versus videtur fuisse

*Κάμακος δ' εἶσι γλώσσημα διπλοῦν.*

aut *Εἶσιν κάμακος γλ. δ.*

144

Hesychius, *Ἐναραφόρος: σκυλοφόρος· ἐναροκτάντας δὲ φθογγ... κότος ὑψοῦ τέλος ἀθανάτων ἀπολείψει (ἀπολείψει* Musurus) *Αἰσχύλος ἐν Νηρεῖσιν. οἱ ὑπομνηματισταὶ παρὰ τὸ* (Odyss. *χ*, 412.)

*Οὐχ ὁσίη φθιμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι·*

*ἵνα ᾖ ὁ νοῦς, ὁ δὲ ἐναροκτάντας θάνατόν μοι (μὴ* codex) *ἐπιχαυχώμενος τὸ ἐκ τῶν θεῶν τέλος ὑψοῦ ἀπολείψει, τὰ τῶν ἀθανάτων ὕψη, καὶ ἐπὶ τοὺς ἐχθροὺς ἥξει.* Eustathius p. 487, 20. *Ἐκ τοῦ ἐνάρ... καὶ κτείνειν ἐναροκτάντας ὁ θάνατος.*

145

Hesychius, *Ἀθήρ: ἐπιδορατίς. μεταφορικῶς Αἰσχύλος Νηρεῖ.*

## ΝΙΟΒΗ.

Dissertatio Hermanni in Opusc. vol. III. p. 37.

146

Strabo XII. p. 580. *Αἰσχύλος δὲ συγχεῖ ἐν τῇ Νιόβῃ· φησὶ γὰρ ἐκείνη μνησθήσεσθαι τῶν περὶ Τάνταλον*

*Οἷς ἐν Ἰδαίῳ πάγῳ*
*Διὸς πατρῴου βωμός ἐστι.*

*καὶ πάλιν „Σίπυλον Ἰδαίαν ἀνὰ | χθόνα.“ καὶ ὁ Τάνταλος λέγει*

*Σπείρω δ' ἄρουραν δώδεχ' ἡμερῶν ὁδὸν,*
*Βερέκυντα χῶρον, ἔνθ' Ἀδραστείας ἕδος*
*Ἴδης τε μυκηθμοῖσι καὶ βρυχήμασιν*
*ἔρπουσι μήλων πᾶν δ' ὀρεχθεῖ πέδον.*

Primum locum attulit Plato de Republ. III. p. 391 ... *Πᾶς γὰρ ἑαυτῷ συγγνώμην ἕξει κακῷ ὄντι, πεισθεὶς ὡς ἄρα τοιαῦτα πράττουσί τε καὶ ἔπραττον καὶ*

*Οἱ θεῶν ἀγχίσποροι*
*οἱ Ζηνὸς ἐγγὺς, ὧν κατ' Ἰδαῖον πάγον*
*Διὸς πατρῴου βωμός ἐστ' ἐν αἰθέρι,*
*κοὔπω* (libri *καὶ οὔπω*) *σφιν ἐξίτηλον αἷμα δαι-*
*μόνων.*

Lucianus vol. III. p. 501. *Μανίᾳ σώφρονι τῶν ... χῶν, ὅσαι Ζηνὸς ἐγγὺς καὶ θεῶν ἀγχίσποροι, φησὶ ὁ τραγικός.* Plutarchus Moral. p. 603 a. *Τί γὰρ ... πλατεῖα χώρα πρὸς τὸν ἄλυπον βίον; οὐκ ἀκούει... τοῦ Ταντάλου λέγοντος ἐν τῇ τραγῳδίᾳ*

*Σπείρω δ' ἄρουραν δώδεχ' ἡμερῶν ὁδὸν,*
*Βερέκυντα χῶρον.*

(haec verba attulit etiam p. 778 b.) *εἶτα μετ' ὀλίγον λέγοντος*

*Οὑμὸς δὲ πότμος οὐρανῷ κυρῶν ἄνω*
*ἔραζε πίπτει καί με προσφωνεῖ τάδε,*
*γίγνωσκε τἀνθρώπεια μὴ σέβειν ἄγαν.*

Ita enim Porsonus in Miscell. p. 212. librorum scripturam correxit *θυμὸς δὲ ποθ' ἁμὸς οὐρανῷ —.* ... igitur in his versibus agendum superest quam ut potero... mus apud Strabonem versus emendetur, ubi *δ'* in uno libro omissum, in duobus autem *ἐρέχθεον* scriptum est.

147

Stobaeus CXVIII, 1. *Αἰσχύλου Νιόβης*

*Μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ,*
*οὔτ' ἄν τι θύων οὔτ' ἐπισπένδων ἄνοις,*
*οὐ βωμός ἐστιν οὐδὲ παιωνίζεται.*
*μόνου δὲ Πειθὼ δαιμόνων ἀποστατεῖ.*

Primum versum affert Aristophanes Ranar. v. 1392. scholiasta Sophoclis Electr. v. 139. Suidas in *ἀε...νος*, scholiasta Euripidis Alcest. v. 56. tres primos versus scholiasta Homeri Iliad. *ι*, 159. et Eustathius p. 744, 2. ubi v. 3. scriptum *οὐδ' ἔστι βωμὸς*, et v. 2. *λάβοις.* Apud Stobaeum *ναοῖς:* unde Dobraeus *ἄνοις.* Primo versui apud scholiastam Sophoclis et Suidam subiiciuntur verba *Μόνος οὐ δέχεται ... μέρος ἐλπίδος*, quae unde sumpta sint nescitur.

148

Aristophanes Avium v. 1246.
Ἆρ' οἶσθ' ὅτι Ζεὺς εἴ με λυπήσει πέρα,
μέλαθρα μὲν αὐτοῦ καὶ δόμους Ἀμφίονος
καταιθαλώσω πυρφόροισιν αἰετοῖς;
ubi scholiasta corrupte, Καὶ δόμους Ἀμφίονος: ἐκ Νιόβης Αἰσχύλου. ἐξέρριπται δέ τ' Ἀμφίονς ἐκ μονῳδίας.

149

Hesychius, Ἐπῴζειν: ἐπικαθῆσθαι τοῖς ᾠοῖς. Ἰσχύλος Νιόβῃ μεταφορικῶς
Ἐφημένη τάφον
τέκνοις ἐπῴζε τοῖς τεθνηκόσιν.
Niobe sepulcro liberorum assidente vide quae infra Phryges afferentur et scholiastam Promethei v. 433. ustathium p. 1343, 62. 1940, 64. De quibus dixit ermannus p. 42. 43.

150

Hephaestio p. 7. ed. Gaisf. ubi de correpta phthongo agit, Αἰσχύλος ἐν Νιόβῃ
Ἴστρος τοιαύτας παρθένους λοχεύεται.
ferunt omisso fabulae nomine Priscianus p. 562. (I. 47. Krehl.) et Eustathius p. 1665, 38. Apud Eustaum μνηστεύεται.

151

Plato de Republ. II. p. 380 a. Οὐδ' αὖ, ὡς Αἰσχύς λέγει, ἐατέον ἀκούειν τοὺς νέους ὅτι
Θεὸς μὲν αἰτίαν φύει βροτοῖς,
ὅταν κακῶσαι δῶμα παμπήδην θέλῃ.
ἐὰν τις ποιῇ, ἐν οἷς ταῦτα τὰ ἰαμβεῖα ἔνεστι τῆς Νιόβης πάθη —. Omisso poetae et fabulae nomine attulerunt Plutarchus Moral. p. 17 b. 1065 e. haeus II, 7.

152

Hesychius, Κάκαλα: τείχη. Αἰσχύλος Νιόβῃ. itius p. 125, 4. Κάκαλον: τεῖχος.

153

Hesychius, Ἠμορίς: κενή, ἐστερημένη. Αἰσχύ- Νιόβῃ.

154

Scholiasta Euripidis Phoenissar. v. 159. Περὶ δὲ πλήθους τῶν Νιοβιδῶν αὐτὸς Εὐριπίδης ἐν σφόντῃ φησὶ „Καὶ δὶς ἑπτ' αὐτῆς τέκνα Νιόβης ὄντα Λοξίου τοξεύμασιν.“ ὁμοίως καὶ Αἰσχύλος Νιόβῃ καὶ Ἀριστοφάνης δὲ ἐν δράματι Νιόβης Δράμασιν ἢ Νιόβῳ fragm. 272. p. 131.) ὁμοίως υτὰς λέγουσιν, εἶναι δὲ ἑπτὰ καὶ τοὺς ἄρρενας.

---

ΞΑΝΤΡΙΑΙ.

Ad hanc fabulam Elmsleius ad Euripidis Bacchas 15. retulit Philostrati locum Imagin. I. p. 790. δὲ ξαίνουσι τὸ θήραμα, μήτηρ ἐκείνη καὶ ἀδελμητρός, αἱ μὲν ἀπορρηγνῦσαι τὰς χεῖρας, ἡ δὲ πῶσα τὸν υἱὸν τῆς χαίτης.

155

Photius p. 326, 19. et Suidas, Ὀκτώπουν: τῖνος Θρᾴτταις „Ὀκτώπουν ἀνεγείρεις“ ἀντὶ σκορπίον. παροιμία γάρ, Σκορπίον ὀκτώπουν εἴρεις. ἐν δὲ ταῖς Αἰσχύλου Ξαντρίαις ἡ Λύσσα ιιάζουσα ταῖς Βάκχαις φησὶν

Ἐκ ποδῶν δ' ἄνω
ὑπέρχεται σπαραγμὸς εἰς ἄκρον κάρα
κέντημα γλώσσης, σκορπίου βέλος λέγω.

156

Pollux X, 117. Τὰς μέντοι λαμπάδας καὶ κάμακας εἴρηκεν ἐν Ξαντρίαις Αἰσχύλος
Κάμακες πεύκης οἱ πυρίφλεκτοι.

157

Aeschylus Eumenid. v. 24.
Βρόμιος δ' ἔχει τὸν χῶρον, οὐδ' ἀμνημονῶ,
ἐξ οὗτε Βάκχαις ἐστρατήγησεν θεός,
λαγὼ δίκην Πενθεῖ καταρράψας μόρον.
ubi scholiasta, Νῦν φησιν ἐν Παρνασῷ εἶναι τὰ κατὰ Πενθέα· ἐν δὲ ταῖς Ξαντρίαις ἐν Κιθαιρῶνι.

158

Galenus ad Hippocr. Epidem. vol. V. p. 455. ed. Bas. vol. IX. p. 385. Chart. Ἐπὶ δὲ τῶν ἀκτίνων αὐτῶν δοκεῖ χρῆσθαι τῷ τῆς πέμφιγος ὀνόματι Σοφοκλῆς — οὕτω καὶ Αἰσχύλος ἐν Ξαντρίαις
Ἃς οὔτε πέμφιξ ἡλίου προσδέρκεται
οὔτ' ἀστερωπὸν ὄμμα Λητῴας κόρης.
Photius p. 409, 10. Πέμφιξ: πνοή. Αἰσχύλος ἐν Ξαντρίαις ἐπὶ τῶν ἀκτίνων.

159

Apud Aristophanem in Ranis Aeschylus inter Euripidis monodiarum particulas recitat v. 1385. (1357. ed. meae) Νύμφαι ὀρεσσίγονοι. ubi scholiasta, Ἐκ τῶν Ξαντριῶν Εὐριπίδου, φησὶν Ἀσκληπιάδης. εὗρε δὲ Ἀθήνησιν ἔν τινι τῶν διαθέντων. Νύμφαι ὀρεσιγόνιαι θεαῖσιν ἀγείρω Ἰνάχου Ἀργείου ὑπὸ ποταμοῦ παισὶ βιοδώροις. ἔοικε δὲ τὸ ὅλον ἐπιτηδεύειν ἀνυπότακτα. ἄλλως οὐδὲ παρ' Αἰσχύλου ταῦτα ἥρμοζε λαμβάνεσθαι. Quibus Valckenarius in Diatribe p. 11. admovit Platonis locum de Republ. II. p. 381 d. Μηδὲ Πρωτέως καὶ Θέτιδος καταψευδέσθω μηδεὶς μηδ' ἐν τραγῳδίαις μηδ' ἐν τοῖς ἄλλοις ποιήμασιν εἰσαγέτω Ἥραν ἠλλοιωμένην ὡς ἱέρειαν ἀγείρουσαν Ἰνάχου Ἀργείου ποταμοῦ παισὶν βιοδώροις. cui nunc accessit Diogenes epi tola quinta in Notices et Extraits des MSS. vol. V, 2. p. 241. Οἵτινες (tragici) Ἥραν τε τὴν Διὸς παράκοιτιν ἔφασαν τὴν ἱέρειαν μεταμορφωθεῖσαν τοιοῦτον βίου σχῆμα ἀναλαβεῖν, νύμφαις κρήναισιν (κρηναίαισιν Boissonadius) κυδραῖς θεαῖς ἀγείρουσαν Ἰνάχου Ἀργείαις ποταμοῦ παισὶν βιοδώροις. Valde diversae sunt criticorum de hoc fragmento opiniones, quas sciens praetereo. Solus partem veri vidit Valckenarius, qui quum Xantrias Euripidem scripsisse recte negasset, ex Aeschyli fabula hos versus sumptos esse suspicatus est, hoc etiam usus argumento, quod Plato in vicinia illius loci similia Aeschyli peccata plura notaverit, nullum Euripidis. Bene haec Valckenarius, nisi quod neque ostendit quomodo Aristophanes Aeschylum sua ipsius verba deridentem potuerit introducere, et ex optimis hexametris malos fecit versus, fortasse non facturus, si Diogenis loco uti potuisset, et gravissimum sententiae suae testem, ad quem alii non magis attenderunt, neglexit, Pausaniam, qui non dubium est quin ad hunc ipsum Aeschyli locum spectaverit VIII. 6, 6. Ὁ δὲ Ἴναχος ἐφ' ὅσον μὲν πρόεισι κατὰ τὴν ὁδὸν τὴν διὰ τοῦ ὄρους, τοῦτο

ἐστιν Ἀργείοις καὶ Μαντινεῦσιν ὅρος τῆς χώρας· ἀποστρέψας δὲ ἐκ τῆς ὁδοῦ τὸ ὕδωρ διὰ τῆς Ἀργείας ἤδη τὸ ἀπὸ τούτου κάτεισι, καὶ ἐπὶ τούτῳ τὸν Ἴναχον ἄλλοι τε καὶ Αἰσχύλος ποταμὸν καλοῦσιν Ἀργεῖον. Aeschyli igitur versus fuerunt

*Νύμφαις κρηναίαις κυδραῖσι θεαῖσιν ἀγείρω,*
*Ἰνάχου Ἀργείου ποταμοῦ παισὶν βιοδώροις.*

Euripidis autem est *Νύμφαι ὀρεσσίγονοι*, cuius verba integra, fortasse ex Aeschyleis expressa, ab antiquo grammatico apposita nunc cum illis coaluerunt in scholio et corrupto et defecto. Ita etiam intelligitur quam originem mirum illud *Νύμφαι ὀρεσιγόνιαι* habeat, in quo syllabae *Νύμφαι ὀρεσιγον* ad Euripidis, proxima *ιαι θεαῖσιν* ad Aeschyli locum pertinent. Iunonis quae partes in Aeschyli fabula fuerint nescitur. Nos hoc tantum ostendere voluimus, Aeschyli illos esse versus, non Euripidis: e Xantriis an aliunde sint in medio relinquimus.

## ΟΙΔΙΠΟΥΣ.

De profanatis mysteriis fragm. 81.

160

Scholiasta Sophoclis Oedip. Tyrann. v. 733. *Περὶ Δαυλίδα φησὶ τὴν σχιστὴν ὁδὸν, ὁ δὲ Αἰσχύλος περὶ Ποτνίας οὕτως*

*Ἐπῆμεν τῆς ὁδοῦ τροχήλατον*
*σχιστῆς κελεύθου τρίοδον, ἔνθα συμβολὰς*
*τριῶν κελεύθων Ποτνιάδων ἠμείβομεν.*

Ad Oedipum retulit Valckenarius ad Phoeniss. v. 38.

## ΟΠΛΩΝ ΚΡΙΣΙΣ.

161

Scholiasta Sophoclis Aiacis v. 190. *Αἰσχύλος ἐν Ὅπλων κρίσει*

*Ἀλλ' Ἀντικλείας ἆσσον ἦλθε Σίσυφος,*
*τῆς σῆς λέγω τοι μητρὸς, ἥ σ' ἐγείνατο.*

162

Stobaeus XI, 8. *Αἰσχύλου Ὅπλων κρίσεως*

*Ἁπλᾶ γάρ ἐστι τῆς ἀληθείας ἔπη.*

163

Stobaeus CXXI, 23. *Αἰσχύλου ἐν Ὅπλων κρίσει*

*Τί γὰρ καλὸν ζῆν βίοτον ὃς λύπας φέρει;*

*βίοτον* Stanleius. Libri *βίον*.

164

Aristophanes Acharn. v. 883. *Πρέσβειρα πεντήκοντα Κωπάδων κορᾶν.* ubi scholiasta, *Ὁ στίχος ἀπὸ δράματος Αἰσχύλου Ὅπλων κρίσεως οὕτως ἐπιγεγραμμένου, ἐν ᾧ ἐπικαλεῖται τὰς Νηρηΐδας τις ἐξελθούσας πρὸς τὴν Θέτιν λέγων*

*Δέσποινα πεντήκοντα Νηρήδων κορῶν.*

*κορῶν* Bentleius. Vulgo *χορόν*.

## ΟΣΤΟΛΟΓΟΙ.

Photius p. 353, 15. *Ὀστολόγοι: παρ' Ἐπιλύκῳ. καὶ δρᾶμα Αἰσχύλου Ὀστολόγοι.*

165

Athenaeus XV. p. 667 c. *Καὶ Αἰσχύλος δ' ἐν Ὀστολόγοις ἀγκυλητοὺς λέγει κοττάβους διὰ τούτων*

*Εὐρύμαχος οὐκ ἄλλος οὐδὲν ἥσσονας*
*ὕβριζ' ὑβρισμοὺς, οὐκ ἐναισίους ἐμοί.*
*ἦν μὲν γὰρ αὐτῷ κότταβος ἀεὶ τοὐμὸν κάρα,*
*τοῦ δ' ἀγκυλητοῦ κοσσάβιός ἐστι σκοπὸς*
*ἐκτεμὼν ἡβῶσα χεὶρ ἐφίετο.*

166

Athenaeus I. p. 17 c. *Αἰσχύλος ἀπρεπῶς που π[...]ράγει μεθύοντας τοὺς Ἕλληνας, ὡς καὶ τὰς ἀμί[...] ἀλλήλοις περικαταγνύναι. λέγει γοῦν*

*Ὅδ' ἐστὶν ὅς ποτ' ἀμφ' ἐμοὶ βέλος*
*γελωτοποιὸν, τὴν κάκοσμον οὐράνην,*
*ἔρριψεν οὐδ' ἥμαρτε. περὶ δ' ἐμῷ κάρᾳ*
*πληγεῖσ' ἐναυάγησεν ὀστρακουμένη*
*χωρὶς μυρηρῶν τευχέων πνέουσ' ἐμοί.*

Scholiasta Lycophronis v. 778. *Παρ' Αἰσχύλῳ φα[ί]νεταί τις τὸν Ὀδυσσέα τύψας ὀστράκῳ, οὐ μὴν κα[...] Ὁμήρῳ. οὐράνην* ex Aeschylo memorat Pollux X, [...]

## ΠΑΛΑΜΗΔΗΣ.

Ad Aeschyli Palamedem ab Platone de Repu[bl.] VII. p. 522 d. respici putabat Butlerus. De Platoni[s] loco dixit Aristides vol. II. p. 260.

167

Schol. Homeri Iliad. *δ*, 319. ubi de aoristo ἔκτα[ν] agit, *Αἰσχύλος Παλαμήδη*

*Τίνος κατέκτας ἕνεκα παῖδ' ἐμὸν βλάβης;*

168

Athenaeus I. p. 11 e. *Ἔστι δ' ἡ τάξις καὶ πα[ρ'] Αἰσχύλῳ τῶν ὀνομάτων, ἐν οἷς ὁ Παλαμήδης π[ε]ποίηται λέγων*

*Καὶ ταξιάρχας καὶ στρατάρχας καὶ ἑκατοντάρχας*
*ἔταξα, σῖτον δ' εἰδέναι διώρισα,*
*ἄριστα, δεῖπνα, δόρπα θ' αἱρεῖσθαι τρίτα.*

unde sua duxit Eustathius p. 242, 22. 1358, 4. 14[...] 5. 1791, 45. 1833, 4. V. 1. *καὶ ταξιάρχας χιλιαρ[χας καὶ ἑκατον]τάρχας στρατῷ* Porsonus. Conf. Sophoclis fragm. 37[...] V. 3. *τρία* Eustathius locis quattuor prioribus, qu[o]rum primo adiicit, *ἢ μάλιστα τρίτα κατὰ τοὺς πα[λ]αιούς:* omisit scholiasta Iliad. *β*, 381. et Odys. [...] 20. Ad hunc locum spectat Phrynichus Bekkeri p. 23, 2[...]

## ΠΕΝΘΕΥΣ.

Scriptor argumenti Baccharum Euripidis, *Ἡ μυθ[ο]ποιία κεῖται παρ' Αἰσχύλῳ ἐν Πενθεῖ.*

169

Galenus loco supra ad fr. 158 indicato, *Πέμφ[ιγα] ἐπὶ δὲ τῆς ῥανίδος ὁ αὐτὸς — ἐν Πενθεῖ*

*Μηδ' αἵματος πέμφιγα πρὸς πέδῳ βάλῃς.*

## ΠΕΡΡΑΙΒΙΔΕΣ.

*Περραιβίδες* hanc fabulam inscriptam fuisse, n[on] *Περραιβοὶ*, ostendi praefatione ad Athenaeum I. p. I[...]

170

Athenaeus XI. p. 476 c. *Αἰσχύλος δ' ἐν Περρ[αιβίσιν]*

ῖς τοὺς Περραιβοὺς παρίστησιν ἀντὶ ποτηρίων τοῖς ρασι χρωμένους διὰ τούτων

ʼΑργυρηλάτοις

ʼκέρασι χρυσᾶ στόμια προσβεβλημένοις.

ιοβεβλημένοις epitome et Eustathius p. 917, 63.

171

Athenaeus XI. p. 499 a. *Αἰσχύλος ἐν Περραιβίσι*

*Ποῦ μοι τὰ πολλὰ δῶρα κἀκροθίνια;*

*ποῦ χρυσότευκτα κἀργυρᾶ σκυφώματα;*

172

Hesychius, *Ἀπαιόλη: ἀπάτη, ἀποστέρησις.* ʼσχύλος Περραιβίσιν (codex περρέβην). Eustathius 352, 33. *ἰστέον δὲ ὅτι ἀπὸ τοῦ ῥηθέντος αἰόλλω* ι *ἀπαιόλη γίνεται ἡ ἀπάτη καὶ ἀποστέρησις. Αἰ-*ύλος

*Τέθνηκεν αἰσχρὸς χρημάτων ἀπαιόλῃ.*

ηχρῶς Butlerus.

---

## ΠΗΝΕΛΟΠΗ.

173

Etymol. M. p. 31, 5. *Αἰδοιέστατος: ἰστέον* ι *τὸ ἀρχέστατον, ὡς παρὰ Αἰσχύλῳ ἐν Πηνελόπῃ,* ιν

*Ἐγὼ γένος μέν εἰμι Κρὴς ἀρχέστατον,*

ι *τὸ αἰδοιέστατον καὶ ἀφθονέστατον ποιητικά εἰσι* τ' *ἔθος Ἰώνων γινόμενα.*

---

## ΠΡΟΜΗΘΕΥΣ ΠΥΡΦΟΡΟΣ.

Pollux IX, 156. *Ὁ δ' ἐμπρήσας τάχ' ἂν πυρ-*εὺς *ὀνομάζοιτο κατ' Αἰσχύλον καὶ Σοφοκλέα, οὕ-*ς *ἐπιγράψαντας τὰ δράματα, τὸν μὲν τὸν Προ-*θέα, *τὸν δὲ τὸν Ναύπλιον. Πυρκαεὺς* parum um Prometheo nomen: aptissimum *πυρφόρος.* uamobrem vereor ne *πυρκαεὺς* ab Polluce per rorem, etiam infra X, 64. repetitum, dictus sit. ı Iosephus *Τρικάρανον* Theopompi *Τριπολιτικὸν* tit, quum Dicaearchi hoc nomine liber menti ob-rsaretur. *Προμηθέα πυρφόρον* recte dicunt cata- gi fabularum scriptor, Gellius, scholiasta Promethei ıcti v. 94. *Τὸν μυριετῆ: ἐν γὰρ τῷ πυρφόρῳ* εῖς *μυριάδας φησὶ δεδέσθαι αὐτόν.* cuius verbis ermannus in dissertatione de Prometheo soluto p. 7. hibuit Hygini locum Poet. Astron. 15. p. 456. *ometheum autem in monte Scythiae nomine Caucaso* *rea catena vinxit: quem alligatum ad triginta* *llia annorum Aeschylus tragoediarum scriptor ait.* tralogia ad quam *Προμηθεὺς πυρφόρος*, satyricum ma, pertinuit, indicata supra ad Glaucum Potnien-n.

174

Gellius N. A. XIII, 18. „*Id quoque animadver-*ıus *apud Aeschylum ἐν τῷ πυρφόρῳ Προμηθεῖ, et* ud *Euripidem in tragoedia quae inscripta est Ἰνὼ* idem *esse versum absque paucis syllabis. Aeschy-*ı *sic*

*Σιγῶν θ' ὅπου δεῖ καὶ λέγων τὰ καίρια.*

*ripides autem sic „Σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν* ʼ *ἀσφαλές.*“ Similem sententiam ex Aeschylo affert scholiasta Aristidis vol. III. p. 501, 17. *Αἰσχύλος δὲ ἐν Προμηθεῖ δεσμώτῃ*

*Πολλοῖς γάρ ἐστι κέρδος ἡ σιγὴ βροτῶν.*

Quae non leguntur in Prometheo vincto.

175

Pollux X, 64. *Ὠμόλινον — Αἰσχύλου ἐν Προμηθεῖ πυρκαεῖ*

*Λινᾶ δὲ, πίσσα κὠμολίνου μακροὶ τόνοι.*

176

Plutarchus Moral. p. 86 f. *Τοῦ δὲ σατύρου τὸ πῦρ, ὡς πρῶτον ὤφθη, βουλομένου φιλῆσαι καὶ περιβαλεῖν ὁ Προμηθεύς,*

*Τράγος γένειον ἄρα πενθήσεις σύ γε.*

*καίει τὸν ἁψάμενον, ἀλλὰ φῶς παρέχει καὶ θερμότητα.* Eustathius p. 415, 7. *Ἥλιος ἀντὶ τοῦ ὦ Ἥλιε, ὁποῖον σὺν ἄλλοις καὶ τὸ „Τράγος γένειον ἄρα πενθήσεις σύ γε“ ἀντὶ τοῦ, ὦ τράγε πάνυ στερήσῃ γενείου, εἰ τὴν φλόγα φιλήσεις.* Praeterea ad hanc fabulam fuerunt qui referrent fragmenta 289. 362.

---

## ΠΡΟΜΗΘΕΥΣ ΛΥΟΜΕΝΟΣ.

Hermanni dissertatio Lipsiae edita a. 1828.

177

Arrianus in Periplo Ponti Euxini p. 19. *Αἰσχύλος ἐν Προμηθεῖ λυομένῳ τὸν Φᾶσιν ὅρον τῆς Εὐρώπης καὶ τῆς Ἀσίας ποιεῖ. λέγουσι γοῦν αὐτῷ οἱ Τιτᾶνες πρὸς τὸν Προμηθέα ὅτι*

*Ἥκομεν — —*

*τοὺς σοὺς ἄθλους τούσδε, Προμηθεῦ,*

*δεσμοῦ τε πάθος τόδ' ἐποψόμενοι.*

*ἔπειτα καταλέγουσιν ὅσην χώραν ἐπῆλθον*

*τῇ μὲν δίδυμον χθονὸς Εὐρώπης*

*μέγαν ἠδ' Ἀσίας τέρμονα Φᾶσιν.*

Minus integra haec afferuntur in Periplo Ponti Euxini et Maeotidis paludis p. 1. Spectat ad hunc locum Procopius Histor. Goth. IV, 6. p. 336, 11.

178

Strabo I. p. 33. *Οὕτω τὰ μεσημβρινὰ πάντα Αἰθιοπίαν καλεῖσθαι τὰ πρὸς Ὠκεανῷ. μαρτυρεῖ δὲ τὰ τοιαῦτα. ὅ τε γὰρ Αἰσχύλος ἐν Προμηθεῖ τῷ λυομένῳ φησὶν οὕτω*

*Φοινικόπεδόν τ' ἐρυθρᾶς ἱερὸν*

*χεῦμα θαλάσσης,*

*χαλκοκέραυνόν τε παρ' Ὠκεανῷ*

*λίμναν παντοτρόφον Αἰθιόπων,*

*ἵν' ὁ παντόπτας Ἥλιος αἰεὶ*

*χρῶτ' ἀθάνατον κάματόν θ' ἵππων*

*θερμαῖς ὕδατος*

*μαλακοῦ προχοαῖς ἀναπαύει.*

179

Cicero Quaest. Tusc. II, 10. *Veniat Aeschylus non poeta solum, sed etiam Pythagoreus: sic enim accepimus. Quomodo fert apud eum Prometheus dolorem, quem excipit ob furtum Lemnium,*

*unde ignis cluet mortalibus clam*

*divisus: eum dictus Prometheus*

*clepisse dolo, poenasque Iovi*

*fato expendisse supremo.*

*Has igitur poenas pendens affixus ad Caucasum haec dicit*

*Titanum suboles, socia nostri sanguinis,*
*generata caelo, aspicite religatum asperis*
*vinctumque saxis: navem ut horrisono freto*
*noctem paventes timidi adnectunt navitae;*
*Saturnius me sic infixit Iuppiter,*
*Iovisque numen Mulcibri arcivit manus,*
*hos ille cuneos fabrica crudeli inserens*
*perrupit artus: qua miser sollertia*
*transverberatus castrum hoc Furiarum incolo.*
*iam tertio me quoque funesto die*
*tristi advolatu aduncis lacerans unguibus,*
*Iovis satelles pastu dilaniat fero.*
*tum iecore opimo farta et satiata affatim*
*clangorem fundit vastum, et sublime avolans*
*pinnata cauda nostrum adulat sanguinem.*
*quum vero adesum inflatu renovatum est iecur,*
*tum rursus tetros avida se ad pastus refert.*
*sic hunc custodem maesti cruciatus alo,*
*qui me perenni vivum foedat miseria.*
*namque, ut videtis, vinclis constrictus Iovis*
*arcere nequeo diram volucrem a pectore.*
*sic me ipse viduus pestes excipio anxias,*
*amore mortis terminum anquirens mali:*
*sed longe a leto numine aspellor Iovis.*
*atque haec vetusta saeclis glomerata horridis*
*luctifica clades nostro infixa est corpori,*
*ex quo liquatae solis ardore excidunt*
*guttae, quae saxa assidue instillant Caucasi.*

Haec ex Prometheo soluto Cicero vertit: quattuor quos praemisit versus anapaesticos ex Attii Philocteta sumpsit. Ad versum 11. Schuetzius probabiliter refert Hesychii locum fragm. 185.

180

Plutarchus Moral. p. 98 c. *Νῦν δὲ οὐκ ἀπὸ τύχης οὐδὲ αὐτομάτως περίεσμεν αὐτῶν καὶ κρατοῦμεν, ἀλλ' ὁ Προμηθεὺς, τουτέστιν ὁ λογισμὸς, αἴτιος,*

*Ἱππῶν ὄνων τ' ὀχεῖα καὶ ταύρων γονὰς*
*δοὺς ἀντίδουλα καὶ πόνων ἐκδέκτορα.*

*κατ' Αἰσχύλον.* Libri *ἀντίδωρα.* Idem p. 964 f. *Οὐ γὰρ ἀδικοῦσιν οἱ τὰ μὲν ἄμικτα καὶ βλαβερὰ κομιδῇ κολάζοντες καὶ ἀποκτιννύοντες, τὰ δὲ ἥμερα καὶ φιλάνθρωπα ποιούμενοι τιθασὰ καὶ συνεργὰ χρείας πρὸς ἣν ἕκαστον εὖ πέφυκεν, „Ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονὰς," ὧν ὁ Αἰσχύλου Προμηθεὺς δοῦναι ἡμῖν φησιν „Ἀντίδουλα καὶ πόνων ἀνδέκτορα."* Attulit etiam Porphyrius de Abstin. III, 18. p. 257. ubi *ἐκδέκτορα.*

181

Galenus vol. V. p. 454. ed. Basil. vol. IX. p. 385. Charter. *Δοκεῖ μὲν γὰρ αὐτὴν (τὴν πέμφιγα) ἐπὶ τῆς πνοῆς Σοφοκλῆς — λέγειν — Αἰσχύλος δὲ ἐν Προμηθεῖ δεσμώτῃ*

*Εὐθεῖαν ἕρπε τήνδε· καὶ πρώτιστα μὲν*
*Βορεάδας ἥξεις πρὸς πνοὰς, ἵν' εὐλαβοῦ*
*βρόμον καταιγίζοντα, μή σ' ἀναρπάσῃ*
*δυσχειμέρῳ πέμφιγι συστρέψας ἄφνω. —*

*ἐπὶ δὲ τῆς ῥανίδος ὁ αὐτός φησιν ἐν Προμηθεῖ*

*Ἐξευλαβοῦ δὲ μή σε προσβάλῃ στόμα*
*πέμφιξ· πικροὶ γὰρ κοὺ διὰ ζόης ἀτμοί.*

*Προμηθέα δεσμώτην* aut memoriae errore nomi[nat] aut exciderunt hi versus ex illa fabula. Vide He[r]mannum p. 22.

182

Strabo IV. p. 182. 183. *Μεταξὺ τῆς Μασσαλί[ας] καὶ τῶν ἐκβολῶν τοῦ Ῥοδανοῦ πεδίον ἐστὶ τῆς θαλάττης διέχον εἰς ἑκατὸν σταδίους, τοσοῦτον δὲ τὴ[ν] διάμετρον, κυκλοτερὲς τὸ σχῆμα· καλεῖται δὲ λιθ[ώ]δες ἀπὸ τοῦ συμβεβηκότος. μεστὸν γάρ ἐστι λίθων χειροπληθῶν, ὑποπεφυκυῖαν ἐχόντων αὐτοῖς ἄγρωστιν· ἀφ' ἧς ἄφθονοι νομαὶ βοσκήμασίν εἰσιν. ἐ[ν] μέσῳ δ' ὕδατα καὶ ἁλυκίδες ἐνίστανται καὶ ἁλ[ες]* (Sequuntur Aristotelis et Posidonii sententiae.) — *τ[ὸ] μέντοι δυσαπολόγητον Αἰσχύλος καταμαθὼν ἢ πα[ρ'] ἄλλου παραλαβὼν εἰς μῦθον ἐξετόπισε. φησὶ γο[ῦν] Προμηθεὺς παρ' αὐτῷ καθηγούμενος Ἡρακλεῖ τῶ[ν] ὁδῶν τῶν ἀπὸ τοῦ Καυκάσου πρὸς τὰς Ἑσπερίδας*

*Ἥξεις δὲ Λιγύων εἰς ἀτάρβητον στρατὸν,*
*ἔνθ' οὐ μάχης, σάφ' οἶδα, καὶ θοῦρός περ ὢ[ν]*
*μέμψει· πέπρωται γάρ σε καὶ βέλη λιπεῖν*
*ἐνταῦθ'· ἑλέσθαι δ' οὔτιν' ἐκ γαίας λίθον*
*ἕξεις, ἐπεὶ πᾶς χῶρός ἐστι μαλθακός.*
*ἰδὼν δ' ἀμηχανοῦντά σ' ὁ Ζεὺς οἰκτερεῖ,*
*νεφέλην δ' ὑποσχὼν νιφάδι γογγύλων πέτρων*
*ὑπόσκιον θήσει χθόν', οἷς ἔπειτα σὺ*
*βαλὼν διώσεις ῥᾳδίως Λίγυν στρατόν.*

Versus 1 — 3. attulit Dionysius Hal. Antiq. I, 41. ubi *εὖ οἶδα* scriptum. V. 7. Libri *στρογγύλων.* Correxit Porsonus in Miscellaneis p. 212. Ad hunc locum spectat Hyginus Poet. Astron. II, 6. p. 437. et non nominato auctore Theo ad Arati Phaen. v. 75.

183

Scholiasta Apollonii IV, 284. *Τὸν Ἴστρον φησὶ ἐκ τῶν Ὑπερβορέων καταφέρεσθαι καὶ τῶν Ῥιπαίων ὀρῶν. οὕτω δὲ εἶπεν ἀκολουθῶν Αἰσχύλῳ ἐν λυομένῳ Προμηθεῖ λέγοντι τοῦτο.*

184

Stephanus Byzant. in *Ἄβιοι. Αἰσχύλος τε Γαβίους διὰ τοῦ γ ἐν λυομένῳ Προμηθεῖ*

*Ἔπειτα δ' ἥξει δῆμον ἐνδικώτατον*
** * ἁπάντων καὶ φιλοξενώτατον,*
*Γαβίους, ἵν' οὔτ' ἄροτρον οὔτε γατόμος*
*τέμνει δίκελλ' ἄρουραν, ἀλλ' αὐτόσποροι*
*γύαι φέρουσι βίοτον ἄφθονον βροτοῖς.*

V. I. *ἥξεις* Stanleius. V. 2. *βροτῶν* addit Hermannus p. 21. *Γαβίους* ex Aeschylo memorant scholia Homeri Iliad. *ν*, 6. et Eustathius p. 916, 24.

185

Hesychius, *Εἰσαφάσματα: εἰσπτήματα. ἀπὸ τοῦ εἰσαφιέναι. ἢ σπαράγματα. Αἰσχύλος Προμηθεῖ λυομένῳ.*

186

Eustathius p. 600, 43. *Σχίσματα γάρ πως οἱ θύσανοι, ὅθεν ἀρειθύσανοι κατὰ Παυσανίαν* [illegible] *θύσανοι, οἱονεὶ ἀποσχίσματα, παρ' Αἰσχύλῳ ἐν Προμηθεῖ λυομένῳ.* Hesychius, *Ἀρθύσανοι· ἀποσχήματα καὶ ἀποβλαστήματα. Ἀρειθύσανοι· ἡνίοχοι.*

187

Plutarchus in vita Pompeii p. 619 b. Πρὸς δὲ ...μπήιον ἔοικε τοῦτο παθεῖν ὁ Ῥωμαίων δῆμος ...ὡς ἐξ ἀρχῆς, ὅπερ ὁ Αἰσχύλου Προμηθεὺς πρὸς ...Ἡρακλέα, σωθεὶς ὑπ' αὐτοῦ λέγων

Ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον.

188

Strabo I. p. 43. Ἡσιόδου δ' οὐκ ἄν τις αἰτιάσαιτο ...νοιαν — οὐδ' Αἰσχύλου κυνοκεφάλους καὶ στερ...φθάλμους καὶ μονομμάτους (ἱστοροῦντος). Ea... VII. p. 299. ubi additum ἐν τῷ Προμηθεῖ.

189

Strabo VII. p. 300. Καὶ Αἰσχύλος δ' ἐμφαίνει ...ηγορῶν τῷ ποιητῇ, φήσας περὶ τῶν Σκυθῶν

Ἀλλ' ἱππάκης βρωτῆρες εὔνομοι Σκύθαι,

190

Athenaeus XV. p. 674 d. Αἰσχύλος δ' ἐν τῷ λυο...ῳ Προμηθεῖ σαφῶς φησιν ὅτι ἐπὶ τιμῇ τοῦ Προ...θέως τὸν στέφανον περιτίθεμεν τῇ κεφαλῇ, ἀν...οινα τοῦ ἐκείνου δεσμοῦ.

191

Plutarchus Moral. p. 757 d. Ὁ δ' Ἡρακλῆς ἕτερον ...ν παρακαλεῖ μέλλων ἐπὶ τὸν ὄρνιν αἴρεσθαι τὸ ...ον, ὡς Αἰσχύλος φησὶν

Ἀγρεὺς δ' Ἀπόλλων ὀρθὸν ἰθύνοι βέλος.

192

Antiatticista Bekkeri I. p. 116, 7. Χερσά: τὰ γεωργούμενα. Αἰσχύλος Προμηθεῖ. Dubium quam ...llam dicat.

---

*ΠΡΟΠΟΜΠΟΙ.*

193

Hesychius, Δίπολοι: Αἰσχύλος διπλαῖ Προ...μποῖς.

---

*ΠΡΩΤΕΥΣ.*

Pertinuit ad Oresteam: vide didascaliam Agamemno...ei schol. Aristoph. Ranar. v. 1155. Acta igitur est ...p. LXXX, 2.

194

Athenaeus IX. p. 394 a. Φάψ — Αἰσχύλου ἐν τραγικῷ (i. q. σατυρικῷ) Πρωτεῖ οὕτω μνημο...νεύοντος τοῦ ὄρνιθος

Σιτουμένην δύστηνον ἀθλίαν φάβα,

μέσακτα πλευρὰ πρὸς πτύοις πεπλεγμένην.

195

Herodianus περὶ μονήρους λέξεως p. 35, 19. Γάρος ...Αἰσχύλος Πρωτεῖ σατυρικῷ „Καὶ τὸν ἰχθύων γάρον.“ ...isto nomine fabulae affertur ab Athenaeo II. p. 67 c. ...f. Herodianum Piersoni p. 437.

196

Scholiasta Homeri Odyss. δ, 366. Εἰδοθέη: ...ὶ τῆς εἰδήσεως καὶ ἐπιστήμης τοῦ πατρὸς τὸ ὄνο... καὶ Αἰσχύλος δὲ ἐν Πρωτεῖ Εἰδοθέαν αὐτὴν ...εῖ. Etymolog. Gudian. p. 316, 30. ex codice Pa...io 2638. correctum, Κερδώ: ὑποκοριστικῶς, ὡς ...ἰ Αἰσχύλῳ ἡ Εἰδὼ καὶ Ὑψὼ ἀντὶ τοῦ Εἰδοθέα ...Ὑψιπύλη. Conf. Bekkeri Anecd. II. p. 857, 9.

197

Hesychius, Ἄελπτοι: δεινοὶ καὶ ἄαπτοι. Αἰσχύλος Πρωτεῖ.

198

Hesychius, Ἄμαλα: τὴν ναῦν, ἀπὸ τοῦ ἀμᾶν τὴν ἅλα. Αἰσχύλος Πρωτεῖ σατυρικῷ. Corrupte Etymolog. M. p. 75, 22. Ἀμάδα τὴν ναῦν Αἰσχύλος.

199

Hesychius, Ἐπάσω: ἐκτήσω. Αἰσχύλος Πρωτεῖ σατυρικῷ.

---

*ΣΑΛΑΜΙΝΙΑΙ.*

200

Herodianus περὶ μονήρους λέξεως p. 36, 19. Οἱ μέντοι τραγικοὶ ἐπίσης ἐκτείνουσι τοῦ προκειμένου ὀνόματος (φᾶρος) τὸ ᾱ καὶ συστέλλουσιν, ὡς παρ' Αἰσχύλῳ ἐν Σαλαμινίαις

Εἴ μοι γένοιτο φᾶρος ἶσον οὐρανῷ.

Codex ἐν οὐρανῷ. Ex Herodiano περὶ διχρόνων edidit Brunckius in lexico Sophocleo in φᾶρος. ubi ἐμοὶ est pro εἴ μοι. Ex eodem fonte Draco Straton. p. 35, 11. et grammaticus Hermanni p. 443.

201

Hesychius, Ἔκλογον: διήγησιν. Αἰσχύλος Σαλαμινίαις.

202

Hesychius, Κανθύλας: τὰς ἀνοιδήσεις. Αἰσχύλος Σαλαμινίαις.

203

Hesychius, Ἀναρροιβδοῖ: ἀναρροφεῖ. Αἰσχύλος Σαλαμινίαις ἀντὶ τοῦ διαπνεῖ.

204

Hesychius, Ἀνήρης: ἀνδρώδης. Αἰσχύλος Σαλαμινίαις.

---

*ΣΕΜΕΛΗ Η ΥΔΡΟΦΟΡΟΙ.*

205

Hesychius, Ἀνταία: ἐναντία, ἱκέσιος. Αἰσχύλος Σεμέλῃ.

206

Hesychius, Ἄστερκτα: τὰ οὐ δυνάμενα κατασχεθῆναι. Αἰσχύλος Σεμέλῃ. Corrigunt Ἄστεκτα.

207

Hesychius, Ἀμφίδρομος: Αἰσχύλος Σεμέλῃ ἔπλασε δαίμονα καινὸν περὶ τὰ ἀμφιδρόμια, ὡς εἰ ἔλεγε τὸν γενέθλιον.

208

Scholiasta Homeri Iliad. δ, 319. ubi de aoristo ἔκταν agit, Αἰσχύλος — ἐν Σεμέλῃ ἢ Ὑδροφόροις „Ζεὺς ὃς κατέκτα τοῦτον.“

209

Schol. Apollon. Rhod. I, 636. Θυάσιν ὠμοβόροις: Μαινάσιν. ἔνθεν καὶ τὴν Σεμέλην Θυώνην καλοῦσιν, ἐπειδὴ Αἰσχύλος ἔγκυον αὐτὴν παρεισήγαγεν οὖσαν καὶ ἐνθεαζομένην, ὁμοίως δὲ καὶ τὰς ἐφαπτομένας τῆς γαστρὸς αὐτῆς ἐνθεαζομένας.

### ΣΙΣΥΦΟΣ.

Sisyphus duplex fuit: alter *Δραπέτης*, quem memorat catalogi fabularum scriptor, alter *Πετροκυλιστής*, de quo infra.

210

Pollux X, 77. *Ἔξεστι δὲ καὶ σκάφην ὀνομάσαι κατ' Αἰσχύλον που σκάφην εἰπόντα ἐν Σισύφῳ*

*Καὶ νίπτρα δὴ χρὴ θεοφόρων ποδῶν φέρειν.*
*λεοντοβάμων ποῦ σκάφη χαλκήλατος;*

*νίπτρα* ex Aeschylo memorat Pollux VII, 40.

211

Pollux X, 20. *Σταθμοῦχος εἴρηται ἐν Αἰσχύλου Σισύφῳ*

*Σὺ δ' ὁ σταθμοῦχος ἐγκατιλλώψας ἄθρει.*

212

Aelianus N. A. XII, 5. *Ἔτι γὰρ καὶ τοὺς Αἰολέας καὶ τοὺς Τρῶας τὸν μῦν προσαγορεύειν σμίνθον, ὥσπερ οὖν Αἰσχύλος ἐν τῷ Σισύφῳ „Ἀλλ' ἀρουραῖός (τις* addit Gronovius) *ἐστι σμίνθος ὡς ὑπερφυής."*

213

Erotianus p. 118. *Διόπῳ: τῷ τῆς νηὸς ἐπιμελητῇ, παρὰ τὸ διοπτεύειν. Ἀττικὴ δὲ ἡ λέξις, κειμένη — παρ' Αἰσχύλῳ ἐν Σισύφῳ.* Conf. fragm. 245.

214

*Ἄμβωνες:* vide fragm. 93.

215

Etymologicon Gudianum p. 227. *Ζαγρεύς: — τινὲς δὲ τὸν Ζαγρέα υἱὸν Ἅιδου φασίν, ὡς Αἰσχύλος ἐν Σκύφῳ „Ζαγρεῖ τε νῦν με καὶ πολυξένῳ χαίρειν."*

216

Etymologicon Gudianum p. 321. *Κίκυς, ἡ δύναμις. Ἀπολλόδωρος ἰκμάς — καὶ Αἰσχύλος ἐν Σισύφῳ, καὶ θανόντων εἰσὶν οὐκ ἐνεστιγμάσει τὰ* (hoc est *οἷσιν οὐκ ἔνεστ' ἰκμασία*) *σοὶ δ' οὐκ ἔνεστι κίκις οὐδ' αἱμόρρυτοι φλέβες θανόντων φησὶν ἀψύχοις.* Valde haec perturbata, sed ut agnoscas tamen Aeschyli verba

*Σοὶ δ' οὐκ ἔνεστι κῖκυς οὐδ' αἱμόρρυτοι*
*φλέβες.*

---

### ΣΙΣΥΦΟΣ ΠΕΤΡΟΚΥΛΙΣΤΗΣ.

De profanatis mysteriis fragm. 81.

217

Hesychius, *Θώψεις: θωπεύσεις. Αἰσχύλος Σισύφῳ πετροκυλιστῇ.*

218

Schol. Aristoph. Pacis v. 73. *Αἰσχύλος ἐν Σισύφῳ πετροκυλιστῇ*

*Αἰτναῖός ἐστι κάνθαρος βίᾳ πόνων (πονῶν?).*

---

### ΣΦΙΓΞ.

219

Athenaeus XV. p. 674 d. post verba supra fragm. 190. apposita ita pergit, *καίτοι ἐν τῇ ἐπιγραφομένῃ Σφιγγὶ εἰπὼν*

*Τῷ δὲ ξένῳ γε στέφανος, ἀρχαῖον στέφος,*
*δεσμῶν ἄριστος, ἐκ Προμηθέως λόγου.*

Libri *στέφανον.* Correxit Grotius.

220

Aristophanes Ranar. v. 1319.

*Σφίγγα δυσαμερίαν πρύτανιν κύνα πέμπει.*

ubi scholiasta, *ταῦτα δὲ ἐκ Σφιγγὸς Αἰσχύλου.*

221

Hesychius, *Κνοῦς: ὁ ἐκ τοῦ ἄξονος ἦχος. λέγεται δὲ καὶ κνόη. καὶ ὁ τῶν ποδῶν ψόφος, ὡ[ς] Αἰσχύλος Σφιγγί.*

---

### ΤΗΛΕΦΟΣ.

222

Plato Phaedon. p. 108 a. *Ἔστι δὲ ἄρα ἡ πορεία οὐχ ὡς ὁ Αἰσχύλου Τήλεφος λέγει· ἐκεῖνος μὲν γὰρ ἁπλῆν οἶμόν φησιν εἰς Ἅιδου φέρειν —.* Clemens Alex. Strom. VI. p. 359. *Οὐκ ἔστιν οὖν κατὰ τὸν Αἰσχύλου Τήλεφον νοεῖν ἁπλῆν οἶμον εἰς Ἅιδου φέρειν,*

*Ὁδοὶ δὲ πολλαὶ κἀπάγουσ' ἁμαρτίας.*

Dionysius Halic. Artis rhetor. VI, 5. vol. V. p. 2[..] Reisk. *Μία γὰρ καὶ ἡ αὐτὴ οἶμος, κατὰ τὸν Αἰσχύλον, εἰς Ἅιδου φέρουσα.*

223

Hesychius, *Ἀμφιδεξίοις χερσί: ταῖς τ[ῶν] τόξων, διὰ τὸ ἑκατέραν χεῖρα ἐνεργεῖν ἐν τῷ τοξεύειν. Αἰσχύλος Τηλέφῳ.*

---

### ΤΟΞΟΤΙΔΕΣ.

De profanatis mysteriis fragm. 81.

224

Antigonus Carystius Hist. mirab. cap. 127. p. 17[.] *Τῶν δὲ θηλέων ζώων τροπικώτερόν φησιν εἶναι πρὸς τὴν συνουσίαν ἵππον —. φαίνεται δὲ καὶ Αἰσχύλος ἱστορικῶς τὸ τοιοῦτον οὕτως πως εἰρηκέναι πρὸς τὰς παρθένους ἐν ταῖς Τοξότισιν*

*Ἄδων ταῖς ἁγναῖς παρθένοις γαμηλίων*
*λέκτρων αστει μη βλεμμάτων ῥεπιβουλη.*

*καὶ διαλιπὼν προσέθηκεν*

*Οὔ με μὴ λάθῃ φλέγων*
*ὀφθαλμὸς, ἥτις ἀνδρὸς ᾖ γεγευμένη.*
*ἔχων δὲ τούτων θυμὸν ἱππογνώμονα.*

V. 1. et 2. nondum emendati, nisi quod Salmasius re[ctius] *ῥέπει βολή* correxit. V. 3. supplendum *νέας γυναι*[]*κὸς* ex Plutarchi Moral. p. 81 d. 767 b. qui hunc [et] sequentem versum sine fabulae nomine attulit. V. [.] *ἔχω* Salmasius. *θυμὸν ἱππογνώμονα* ex hoc ver[su] sumpsit Etymolog. M. p. 209, 48. 474, 45.

225

Grammaticus Bekkeri I. p. 351, 4. ex Phrynich[o] *Ἄθηρος ἡμέρα: — Αἰσχύλος ἐν Τοξότισι (codd. τοξότησι) — ἐπὶ Ἀκταίωνος*

*Οὔπω τις Ἀκταίων' ἄθηρος ἡμέρα*
*κενὸν πόνου πλουτοῦντ' ἔπεμψεν ἐς δόμους.*

Aeschylus *Ἀκτέων'* scripserat. De Actaeone scholiasta Homeri Iliad. ι, 593. *Ὁ δὲ Αἰσχύλος ἐπὶ τοῦ διαφθείρειν ψιλῶς τέταχε (τὸ ἀμαθύνειν) περὶ τοῦ Ἀκταίωνος λέγων*

*Κύνες διημάθυνον ἄνδρα δεσπότην.*

llux V, 47. *Τὰ μὲν δὴ τῶν Ἀχταίονος κυνῶν ͘ματα κατὰ τὴν Αἰσχύλου δόξαν Κόραξ, Ἅρπυια, ͘ιρων, Λυκιάς.*

226

Hesychius, *Πεζοφόροις ζώμασιν: Αἰσχύ- : Τοξότισιν, ὥσπερ πέζαν ἐχόντων τῶν χιτώνων, ͘ς δὲ ποδήρεσι. Πεζοφόρα ζώματα* ex Aeschylo morat Pollux VII, 51.

---

*ΤΡΟΦΟΙ.*

Vide *ΔΙΟΝΥΣΟΥ ΤΡΟΦΟΙ.*

---

*ΥΨΙΠΥΛΗ.*

*Υψὼ* pro *Ὑψιπύλη* dixit: vide ad fragm. 196.

227

Hesychius, *Ἀποκορσωσαμέναις: ἀποκει- ιένοις. κόρσας γὰρ τὰς τρίχας. Αἰσχύλος Ὑψι- λῃ.*

228

Scholiasta Apollonii I, 773. *Αἰσχύλος δ' ἐν Ὑψι- λῃ ἐν ὅπλοις φησὶν αὐτὰς (τὰς Λημνίας) ἐπελ- ͘σας χειμαζομένοις τοῖς Ἀργοναύταις, μέχρις οὗ ͘ον ἔλαβον παρ' αὐτῶν ἀποβᾶσι μιγήσεσθαι αὐ- ͘ς.*

---

*ΦΙΛΟΚΤΗΤΗΣ.*

Dissertatio Hermanni in Opusc. vol. III. p. 113. Aeschyli Sophoclis et Euripidis Philoctetа dispu- it Dio Chrysostomus orat. LII. cuius verba emen- ͘it Hermannus p. 113. 114.

229

Stobaeus CXX, 12.

*Ὦ Θάνατε Παιάν, μή μ' ἀτιμάσῃς μολεῖν·*
*μόνος γὰρ εἶ σὺ τῶν ἀνηκέστων κακῶν*
*ἰατρός, ἄλγος δ' οὐδὲν ἅπτεται νεκροῦ.*

ximus Tyrius XIII. p. 241. Reisk. *Ὦ πούς, ἀφή- σει; ὁ Φιλοκτήτης λέγει· ἄνθρωπε ἄφες καὶ μὴ ͘ μηδὲ λοιδοροῦ τοῖς φιλτάτοις μηδὲ ἐνόχλει τὴν ͘μνίων γῆν· ὦ Θάνατε Παιάν.* Versu tertio uti- Plutarchus Moral. p. 109 f.

230

Suidas

*Ἔνθ' οὔτε μίμνειν ἄνεμος οὔτ' ἐκπλεῖν ἐᾷ.*

*τῶν δυσχρήστοις παραπεσόντων τοῦτο λέγεται. ͘ δὲ αὐτὸ παρ' Αἰσχύλῳ ὁ Φιλοκτήτης.* Versus verbialis apud Plutarchum Moral. p. 476 b. apud ͘genian. IV, 88. Apostolium VIII, 30. p. 94.

231

Aristotelis Poet. c. 37. (22, 13.) *Οἷον τὸ αὐτὸ ͘ήσαντος ἰαμβεῖον Αἰσχύλου καὶ Εὐριπίδου, ἓν δὲ ͘ον ὄνομα μεταθέντος ἀντὶ κυρίου εἰωθότος γλῶτ- ͘, τὸ μὲν φαίνεται καλὸν, τὸ δὲ εὐτελές. Αἰσχύ- μὲν γὰρ ἐν τῷ Φιλοκτήτῃ ἐποίησε*

*Φαγέδαιναν, ἥ μου σάρκας ἐσθίει ποδός.*

*͘ ἀντὶ τοῦ ἐσθίει τὸ θοινᾶται μετέθηκε.*

232

Athenaeus IX. p. 394 a. *Κὰν Φιλοκτήτῃ δὲ κατὰ ͘κὴν κλίσιν φαβῶν εἴρηκεν (Αἰσχύλος).*

233

Aristophanes Ranar. v. 1430.

*Σπερχειὲ ποταμὲ βούνομοί τ' ἐπιστροφαί.*

ubi scholiasta, *Ἔστι δὲ ἐκ Φιλοκτήτου Αἰσχύλου.*

234

Plutarchus Moral. p. 1087 f. *Ἐκ δὲ τοῦ πόνου μάρτυς ὁ Αἰσχύλου Φιλοκτήτης ἱκανός.*

*Οὐ γὰρ ὁ δράκων (φησὶν) ἐνῆκεν, ἀλλ' ἐνῴκισε*
*δεινὴν στομωτὸν ἔκφυσιν ποδὸς λαβών.*

235

Scholiasta Homeri Odyss. ξ, 12. *Ὁ δὲ Κράτης τὴν τῶν δασυτάτων φυτῶν μελάνδρυόν φησιν, ὡς καὶ Αἰσχύλος φησὶ Φιλοκτήτῃ*

*Κρεμάσασα τόξον πίτυος ἐκ μελανδρύου.*

Apud Eustathium p. 1748, 57. est *κρεμάσας.* Hermannus p. 121. *κρεμαστὰ τόξα.*

236

Photius p. 326, 9. *Ὀκόρνους: τοὺς πάρνοπας. Αἰσχύλος Φιλοκτήτῃ.*

---

*ΦΙΝΕΥΣ.*

237

Athenaeus X. p. 421 f. *Αἰσχύλος ἐν Φινεῖ*

*Καὶ ψευδόδειπνα πολλὰ μαργώσης γνάθου*
*ἐρρυσίαζον στόματος ἐν πρώτῃ χαρᾷ.*

---

*ΦΟΙΝΙΣΣΑΙ.*

238

Pollux VII, 91. *Ἃ δὲ πόδεια Κριτίας καλεῖ, εἴτε πίλους αὐτὰ οἰητέον εἴτε περιειλήματα ποδῶν, ταῦτα πέλλυτρα καλεῖ ἐν Φοινίσσαις Αἰσχύλος*

*Πέλλυτρ' ἔχουσιν εὐθέτοις ἐν ἀρβύλαις.*

*τὰ δὲ πέλυντρα εἶδος ὑποδήματος, ὥσπερ αὖ τὰ πόδεια ταυτὸν ἦν ταῖς ἀναξυρίσιν, ἃς σκελέας ἔνιοι ὀνομάζουσι. Πέλλυτρα* memorat idem X, 50. et ex Aeschylo II, 96.

239

Scholiasta Euripidis Phoeniss. v. 942. *Οἱ περιλειφθέντες τῶν σπαρτῶν (ἐν τῇ πρὸς Κάδμον μάχῃ), ὡς Αἰσχύλος φησίν, ἦσαν Χθόνιος, Οὐδαῖος, Πέλωρος, Ὑπερήνωρ καὶ Ἐχίων.* In aliquot codicibus *Ἀγήνωρ* pro *Πέλωρος* scriptum.

---

*ΦΟΡΚΙΔΕΣ.*

240

Athenaeus IX. p. 402 b. *Ἀσχέδωρον —· Αἰσχύλος ἐν Φορκίσι παρεικάζων τὸν Περσέα τῷ ἀγρίῳ συΐ φησιν*

*Ἔδυ δ' ἐς ἄντρον ἀσχέδωρος ὥς.*

Attulit Eustathius p. 1872, 6. Grammaticus Bekkeri I. p. 457, 21. *Ἀσχέδωρος: παρ' Αἰσχύλῳ ὁ ἐκ τῆς ἰδίας ἀλκῆς ἄσχετα δωρούμενος, οἷον βίαιος. Ἰταλιῶται τὸν σύαγρον ἀσχέδωρον καλοῦσιν.*

241

Eratosthenes in Catasterismis c. 22. *Περσεύς. — δοκεῖ δὲ καὶ ἅρπην παρ' Ἡφαίστου λαβεῖν ἐξ ἀδάμαντος, ὡς Αἰσχύλος ἐν Φορκίσι φησὶν ὁ τῶν τραγῳ-*

διῶν ποιητής. **Eadem tradit Hyginus Poet. Astron. II, 12.**

---

## ΦΡΥΓΕΣ Η ΕΚΤΟΡΟΣ ΛΥΤΡΑ.

**Scriptor vitae Aeschyli,** *Διὰ τὸ πλεονάζειν τῷ βάρει τῶν προσώπων κωμῳδεῖται παρὰ Ἀριστοφάνους. ἐν μὲν γὰρ τῇ Νιόβῃ ἕως τρίτης ἡμέρας (τρίτου μέρους* **P. Victorius apud Spanhemium ad Aristoph. Ranar. v. 942**) *ἐπικαθημένη τῷ τάφῳ τῶν παίδων οὐδὲν φθέγγεται ἐγκεκαλυμμένη. ἐν δὲ δὴ τοῖς Ἕκτορος λύτροις Ἀχιλλεὺς ὁμοίως ἐγκεκαλυμμένος οὐ φθέγγεται, πλὴν ἐν ἀρχαῖς ὀλίγα πρὸς Ἑρμῆν ἀμοιβαῖα.* **Aristophanes Ranar. v. 942.**

*Πρώτιστα μὲν γὰρ ἕνα τιν' ἂν καθῖσεν ἐγκαλύψας,*
*Ἀχιλλέα τιν' ἢ Νιόβην, τὸ πρόσωπον οὐχὶ δεικνὺς,*
*πρόσχημα τῆς τραγῳδίας, γρύζοντας οὐδὲ τουτί.*

**ubi schol.** *ὡς αὐτοῦ εἰσφέροντος ἐν δράμασί τινα κεκαλυμμένον. ὁ Ἀχιλλεὺς δὲ καθήμενός ἐστι καὶ οὐκ ἀποκρινόμενος παρ' Αἰσχύλῳ ἐν δράματι ἐπιγραφομένῳ Φρυξὶν ἢ Ἕκτορος λύτροις. οὐδὲν δὲ ὁ Ἀχιλλεὺς φθέγγεται. Ἄλλως. εἰκὸς τὸν ἐν τοῖς Φρυξὶν Ἀχιλλέα ἢ Ἕκτορος λύτροις, ἢ τὸν ἐν Μυρμιδόσιν* (**de hoc non cogitandum**), *ὃς μέχρι τριῶν ἡμερῶν* (**id Victorius haud dubie** *μερῶν* **erat scripturus**) *οὐδὲν φθέγγεται.*

242

**Pollux VII, 131.** *Τῷ φορτηγῷ ἐπὶ τῶν τὰ φορτία ἀγόντων ἐμπόρων κέχρηται Αἰσχύλος ἐν Φρυξὶν ἢ Λύτροις*

*Ἀλλὰ ναυβάτην*
*φορτηγὸν, ὅστις ῥῶπον ἐξάγει χθονός.*

243

**Stobaeus CXXV, 7.** *Αἰσχύλου Ἕκτορος*

*Καὶ τοὺς θανόντας εἰ θέλεις εὐεργετεῖν,*
*τὸ γοῦν κακουργεῖν ἀμφιδεξίως ἔχει*
*καὶ μήτε χαίρειν μήτε λυπεῖσθαι πάρα.*
*ἡμῶν γε μέντοι Νέμεσίς ἐσθ' ὑπερτέρα*
*καὶ τοῦ θανόντος ἡ δίκη πράσσει κότον.*

**V. 2. Codices** *δ γοῦν.*

244

**Athenaeus II. p. 51 c.** *Μόρα δὲ τὰ συκάμινα καὶ παρ' Αἰσχύλῳ ἐν Φρυξὶν ἐπὶ τοῦ Ἕκτορος*

*Ἀνὴρ δ' ἐκεῖνος ἦν πεπαίτερος μόρων.*

**Ad hunc versum respiciunt Pollux VI, 46. Photius p. 275, 19. Eustathius p. 211, 17.**

245

**Hesychius,** *Ἀδίοπον: ἄναρχον, ἀφύλακτον. Αἰσχύλος Φρυξί. δίοποι οἱ τῆς νεὼς φύλακες.* **Conf. fragm. 213.**

246

**Hesychius,** *Ἄροτον: τὸν ὁλκὸν τοῦ Ἕκτορος, ἢ τὸ ἀντίσταθμον. Αἰσχύλος Φρυξί.*

247

**Hesychius,** *Διαπεφρούρηται βίος: Αἰσχύλος Φρυξίν. οἷον ἡ διὰ τοῦ βίου φρουρὰ* (**codex** *φθορὰ*) *συντετέλεσται· ἢ διελήλυθεν ὁ χρόνος.*

248

**Hesychius,** *Ἐπιστροφαί: διατριβαί, δίαιτ[αι] Αἰσχύλος Φρυξί.*

249

**Hesychius,** *Ἀγαστά: ἃ ἄν τις ἀγάσαιτο, ὡ[ς] ἀρεστά. Αἰσχύλος Φρυξί.* **Codex** *φρά.*

250

**Schol. Euripidis Androm. v. 1.** *Ἔνθα καὶ τ[ὴν] Χρύσην καὶ τὴν Λυρνησὸν ἐν τῷ τῆς Θήβης πεδ[ίῳ] τάσσουσιν, ὡς ὁ Αἰσχύλος Λυρνησίδα προσαγορ[εύ]σας τὴν Ἀνδρομάχην ἐν τοῖς Φρυξίν· ὅθεν κ[αὶ] ξένως ἱστορεῖ Ἀνδραίμονος αὐτὴν λέγων*

*Ἀνδραίμονος γένεθλον ** Λυρνησίου,*
*ὅθενπερ Ἕκτωρ ἄλοχον ἤγαγεν φίλην.*

251

**Schol. Homeri Iliad. χ, 351.** *Ὁ δὲ Αἰσχύλος ἐ[κ] ἀληθείας ἀνθιστάμενον χρυσὸν πεποίηκε πρὸς [τὸ] Ἕκτορος σῶμα ἐν Φρυξίν.*

252

*Τιτῆναι: βασιλίδες (Αἰσχύλος ἐν Φρυξὶν* ... **Sopingius**) *ἢ Ἕκτορος Λύτροις.*

253

**Athenaeus I. p. 21 f.** *Ἀριστοφάνης ποιεῖ αὐτ[ὸν] τὸν Αἰσχύλον λέγοντα „Τοῖσι χοροῖς αὐτὸς τὰ σχ[ή]ματ' ἐποίουν." καὶ πάλιν „Τοὺς Φρύγας οἶ[δα] θεωρῶν, | ὅτε τῷ Πριάμῳ συλλυσόμενοι τὸν παῖ[δ'] ἦλθον τεθνεῶτα | πολλὰ τοιαυτὶ καὶ τοιαυτὶ κ[αὶ] δεῦρο σχηματίσαντες."* **De his dixi ad Aristoph[anis] fragmenta p. 24.**

254

**Schol. Homeri Iliad. β, 862.** *Οἱ νεώτεροι τ[ὴν] Τροίαν καὶ τὴν Φρυγίαν τὴν αὐτὴν λέγουσιν, ὁ [δὲ] Ὅμηρος οὐχ οὕτως. Αἰσχύλος δὲ συνέχει.* **Eade[m] Eustathius p. 364, 42.**

---

## ΨΥΧΑΓΩΓΟΙ.

**Phrynichus Bekkeri I. p. 73, 10.** *Ψυχαγωγο[ί] — οἱ ἀρχαῖοι τοὺς τὰς ψυχὰς τῶν τεθνηκότων ... τελείαις τισὶν ἄγοντας. τῆς αὐτῆς ἐννοίας καὶ τ[ὸ] Αἰσχύλου τὸ δρᾶμα Ψυχαγωγός.*

255

**Scholiasta Homeri Odyss. λ, 134.** *Αἰσχύλος Ψυχαγωγοῖς*

*Ἐρρωδιὸς γὰρ ὑψόθεν ποτώμενος*
*ὄνθῳ σε πλήξει, νηδύος χειλώμασιν.*
*ἐκ τοῦδ' ἄκανθα ποντίου βοσκήματος*
*σήψει παλαιὸν δέρμα καὶ τριχορρυές.*

**Vide Valckenar. Diatrib. p. 286.**

256

**Aristophanes Ranar. v. 1297.**

*Ἑρμᾶν μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμν[αν]*

**ubi scholiasta,** *ἐκ τῶν Αἰσχύλου Ψυχαγωγῶν.*

257

**Hesychius,** *Δρώπτειν: διακόπτειν, ἢ δια[κό]πτειν. Αἰσχύλος Ψυχαγωγοῖς.*

258

**Pollux X, 10.** *Αὐτὸ μὲν γὰρ τοὔνομα τῆς σκ[ευο]θήκης εὕροις ἂν ἐν τοῖς Αἰσχύλου Ψυχαγωγοῖς*

*Καὶ σκευοθηκῶν ναυτικῶν τ' ἐρειπίων.*

259

Photius p. 534, 1. *Σταθερόν: — τινὲς καὶ ἐπὶ οῦ στασίμου, ὡς Αἰσχύλος ἐν Ψυχαγωγοῖς „Σταθεροῦ χεύματος."* Apud Suidam *χρήματος.*

260

Schol. Apollon. III, 846. *Ὅτι δὲ τὴν Δαῖραν Περσεφόνην καλοῦσι Τιμοσθένης ἐν τῷ Ἐξηγητικῷ συγκαιτίθεται καὶ Αἰσχύλος ἐν Ψυχαγωγοῖς ἐμφαίνει, ἡν Περσεφόνην ἐκδεχόμενος Δαῖραν.* Conf. Eustathium p. 648, 40.

---

## ΨΥΧΟΣΤΑΣΙΑ.

261

Plutarchus Moral. p. 17 a. *Οἷον ἐπὶ τοῦ Διὸς ἰρηκότος Ὁμήρου*

*Ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο,*
*τὴν μὲν Ἀχιλλῆος, τὴν δ' Ἕκτορος ἱπποδάμοιο,*
*ἕλκε δὲ μέσσα λαβών, ῥέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ,*
*ᾤχετο δ' εἰς Ἀΐδαο, λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων,*

*τραγῳδίαν ὁ Αἰσχύλος ὅλην τῷ μύθῳ περιέθηκεν, ἐπιγράψας Ψυχοστασίαν, καὶ παραστήσας ταῖς πλάστιγξι τοῦ Διὸς ἔνθεν μὲν τὴν Θέτιν, ἔνθεν δὲ τὴν Ἠῶ, δεομένας ὑπὲρ τῶν υἱέων μαχομένων.* Pollux IV, 130. *Ἀπὸ δὲ τοῦ θεολογείου ὄντος ὑπὲρ τὴν σκηνὴν ἐν ὕψει ἐπιφαίνονται θεοί, ὡς ὁ Ζεὺς καὶ οἱ περὶ αὐτὸν ἐν Ψυχοστασίᾳ. ἡ δὲ γέρανος μηχάνημά τί ἐστιν ἐκ μετεώρου καταφερόμενον ἐφ' ἁρπαγῇ σώματος, ᾧ κέχρηται ἡ Ἠὼς ἁρπάζουσα τὸ σῶμα τοῦ Μέμνονος.*

262

Hesychius, *Ἀνηκίδοτοι: ἄνευ ἀκίδος. Αἰσχύλος Ψυχοστασίᾳ.* Grammaticus Bekkeri I. p. 402, 25. *Ἀνηκίδωτοι: ἄνευ ἀκίδος.* Quae vera scriptura est. Simplex *ἀκιδωτός* memorat idem grammaticus p. 371, 24.

263

Hesychius, *Αὐριβάτας: Αἰσχύλος τὸ αὖρι ἐπὶ τοῦ ταχέως τίθησι. καὶ ὁ αὐτὸς Ψυχοστασίᾳ οὕτως φησὶ τὸ ὄνομα ταχυβήλων* (*ταχυβήμων* Salmasius). Conf. Bekkeri Anecdota I. p. 464, 8.

264

Strabo XV. p. 728. *Λέγονται δὲ καὶ Κίσσιοι οἱ Σούσιοι. φησὶ δὲ καὶ Αἰσχύλος τὴν μητέρα Μέμνονος Κισσίαν.* Ad *Ψυχοστασίαν* refert Butlerus.

---

## ΩΡΕΙΘΥΙΑ.

265

Longinus *περὶ ὕψους* III.

* * *

*καὶ μὴ καμίνου σχῶσι μάκιστον σέλας.*
*εἰ γάρ τιν' ἑστιοῦχον ὄψομαι μόνον*
*μίαν παρείρας πλεκτάνην χειμάρροον*
*στέγην πυρώσω καὶ κατανθρακώσομαι.*
*νῦν δ' οὐ κέκραγά πω τὸ γενναῖον μέλος.*

*τραγικὰ ἔτι ταῦτα, ἀλλὰ παρατράγῳδα, αἱ πλεκτάναι καὶ τὸ πρὸς οὐρανὸν ἐξεμεῖν καὶ τὸ τὸν Βορέαν αὐλητὴν ποιεῖν καὶ τὰ ἄλλα ἑξῆς.* Ioannes Siceliota apud Ruhnken. ad h. l. *Φαίνεται δὲ ἡ ἀτοπία τοῦ ποιητοῦ* (Aeschyli) *ἐν τῷ τῆς Ὠρειθυίας δράματι, ὅπου ταῖς δυσὶ σιαγόσι φυσῶν ὁ Βορέας κυκᾷ τὴν θάλασσαν· οὐ γὰρ φέρω ἐπὶ μνήμης τὰ ἰαμβεῖα, ἐπιλαθόμενος. διὸ καὶ Σοφοκλῆς* (*οὐ* add. Ruhnk.) *μιμεῖται. λέγει δὲ περὶ τούτων Λογγῖνος ἀκριβέστερον ἐν τῷ κά τῶν φιλολόγων.* V. 1. *μὴ* addidit Tollius.

---

## ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ.

266

Plato de Republica II. p. 383 a. *Πολλὰ ἄρα Ὁμήρου ἐπαινοῦντες ἄλλα τοῦτο οὐκ ἐπαινεσόμεθα τὴν τοῦ ἐνυπνίου πομπὴν ὑπὸ Διὸς τῷ Ἀγαμέμνονι, οὐδ' Αἰσχύλου, ὅταν φῇ ἡ Θέτις τὸν Ἀπόλλω ἐν τοῖς αὐτῆς γάμοις ᾄδοντα ἐνδατεῖσθαι τὰς ἑὰς εὐπαιδίας*

*νόσων τ' ἀπείρους καὶ μακραίωνας βίους,*
*ξύμπαντά τ' εἰπὼν θεοφιλεῖς ἐμὰς τύχας*
*παιᾶν' ἐπευφήμησεν εὐθυμῶν ἐμέ.*
*κἀγὼ τὸ Φοίβου θεῖον ἀψευδὲς στόμα*
*ἤλπιζον εἶναι, μαντικῇ βρύον τέχνῃ,*
*ὁ δ' αὐτὸς ὑμνῶν, αὐτὸς ἐν θοίνῃ παρών,*
*αὐτὸς τάδ' εἰπών, αὐτός ἐστιν ὁ κτανὼν*
*τὸν παῖδα τὸν ἐμόν.*

267

Stobaeus Eclog. Phys. I, 4. vol. I. p. 118. Heeren. (p. 9. Canter.) *Αἰσχύλου*

*Δράσαντι γάρ τοι καὶ παθεῖν ὀφείλεται.*

268

Theophilus ad Autolycum II, 54. p. 256. ed. Wolf. *Καὶ ὅτι μέλλει ἡ τοῦ θεοῦ κρίσις γίνεσθαι καὶ τὰ κακὰ τοὺς πονηροὺς αἰφνιδίως καταλαμβάνειν καὶ τοῦτο Αἰσχύλος ἐσήμανε λέγων*

*Τό τοι κακὸν ποδῶκες ἔρχεται βροτοῖς*
*καὶ τἀμπλάκημα τῷ περῶντι τὴν θέμιν.*

269

*Ὁρᾷς δίκην ἄναυδον οὐχ ὁρωμένην*
*εὕδοντι καὶ στείχοντι καὶ καθημένῳ·*
*ἑξῆς δ' ὀπηδεῖ δόχμιον, ἄλλοθ' ὕστερον.*
*οὐδ' ἐγκαλύπτει νὺξ κακῶς εἰργασμένα,*
*ὅ τι δ' ἂν ποιῇς, νόμιζ' ὁρᾶν θεούς τινα.*

Affert hos versus, in quibus plura sunt minime Aeschylea, Theophilus ibidem et omisso nomine poëtae et quibusdam aliter scriptis Stobaeus l. l.

270

Stobaeus Eclog. phys. II. 8, 10. vol. II. p. 340. *Αἰσχύλου*

*Κοινὸν τύχη, γνώμη δὲ τῶν κεκτημένων.*

271

Stobaeus Florileg. III, 1.

[*Ἃ δεῖ παρὼν φρόντιζε, μὴ παρὼν ἀπῇς.*]
*Ὁ χρήσιμ' εἰδώς, οὐχ ὁ πόλλ' εἰδώς, σοφός.*

Priorem versum, qui non videtur Aeschyli esse, omittit codex optimus.

272

Stobaeus IV, 16.

*Ἦ βαρὺ φόρημ' ἄνθρωπος εὐτυχῶν ἄφρων.*

273

Stobaeus IX, 23. scholiasta Homeri Iliad. β, 114. Eustathius p. 188, 44.

*Ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός.*

Attulit etiam Sextus in Fabricii Biblioth. vol. XII. p. 626. addito alio Aeschyli versu

*Ψευδῶν δὲ καιρὸν ἔσθ᾽ ὅπου τιμᾷ θεός.*

274

Stobaeus XVIII, 13.

*Κάτοπτρον εἴδους χαλκός ἐστ᾽, οἶνος δὲ νοῦ.*

275

Stobaeus XX, 13.

*Ὀργῆς ματαίας εἰσὶν αἴτιοι λόγοι.*

Ex Promethei v. 378. *Ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι* detortus putatur.

276

Stobaeus XXVII, 2.

*Οὐκ ἀνδρὸς ὅρκοι πίστις, ἀλλ᾽ ὅρκων ἀνήρ.*

277

Stobaeus XXIX, 21.

*Φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός.*

Euripidi tribuit Trincavelli editio et Apostolius XIX, 98. Fortasse excidit Aeschyli Persarum versus 742. *Ἀλλ᾽ ὅταν σπεύδῃ τις αὐτός, χὠ θεὸς συλλαμβάνει.*

278

Stobaeus XXIX, 24.

*Καλὸν δὲ καὶ γέροντα μανθάνειν σοφά.*

279

Stobaeus XXXIV, 5.

*Πρὸ τῶν τοιούτων χρὴ λόγων δάκνειν στόμα.*

280

Clemens Alexandr. Strom. VI. p. 620.

*Οἴκοι μένειν δεῖ τὸν καλῶς εὐδαίμονα*
*καὶ τὸν κακῶς πράσσοντα καὶ τοῦτον μένειν.*

Priorem versum affert Stobaeus XXXIX, 14. Sophocli tributum.

281

Stobaeus XLV, 14.

*Κακοὶ γὰρ εὖ πράσσοντες οὐκ ἀνασχετοί.*

282

Stobaeus XCVIII, 49.

*Τὸ γὰρ βρότειον σπέρμ᾽ ἐφήμερα φρονεῖ*
*καὶ πιστὸν οὐδὲν μᾶλλον ἢ καπνοῦ σκιά.*

283

Stobaeus CXV, 10.

*Γῆρας γὰρ ἥβης ἐστὶν ἐνδικώτερον.*

284

Athenaeus VII. p. 303 c. *Μνημονεύει δὲ τοῦ θύννου καὶ Αἰσχύλος λέγων*

*Σφύρας δέχεσθαι κἀπιχαλκεύειν μύδρους*
*ὃς ἀστενακτὶ θυννὸς ὣς ἠνέσχετο*
*ἄναυδος.*

*καὶ ἀλλαχοῦ*

*Τὸ σκαιὸν ὄμμα παραβαλὼν θύννου δίκην.*

*ὡς τοῦ θύννου τῷ σκαιῷ ὀφθαλμῷ οὐ βλέποντος.* Versum postremum afferunt Aelianus de N. A. IX, 42. Plutarchus Moral. p. 979 e. Apostolius Proverb. X, 38.

285

Athenaeus XI. p. 491 a.

*Αἱ δ᾽ ἑπτ᾽ Ἄτλαντος παῖδες ὠνομασμέναι*
*πατρὸς μέγιστον ἆθλον οὐρανοστεγῆ*
*κλαίεσκον, ἔνθα νυκτέρων φαντασμάτων*
*ἔχουσι μορφὰς ἄπτεροι Πελειάδες.*

*ἀπτέρους αὐτὰς εἴρηκε διὰ τὴν πρὸς τὰς ὀρνι[θας] ὁμωνυμίαν.* Ad Heliades refert Hermannus in Opusc. vol. III. p. 141.

286

Eusebius Praep. Evang. XIII, 3.

*Ἀλλ᾽ οὔτε πολλὰ τραύματ᾽ ἐν στέρνοις λαβὼν*
*θνήσκει τις, εἰ μὴ τέρμα συντρέχοι βίου,*
*οὔτ᾽ ἐν στέγῃ τις ἥμενος παρ᾽ ἑστίᾳ*
*φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον.*

287

Plutarchus Moral. p. 106 c.

*Ὡς οὐ δικαίως θάνατον ἔχθουσιν βροτοί,*
*ὅσπερ μέγιστον ῥῦμα τῶν πολλῶν κακῶν.*

288

Plutarchus in vita Demetrii c. 35. p. 905 d. *Ἀ[...]*
*καί φασιν αὐτὸν ἐν ταῖς χείροσι μεταβολαῖς πρ[ὸς]*
*τὴν τύχην ἀναφθέγγεσθαι τὸ Αἰσχύλειον*

*Σύ τοί μ᾽ ἔφυσας, σύ με καταίθειν μοι δοκεῖς.*

Repetit haec in Moral. p. 827 c. ubi *με φύσας* scriptum et *μοι* omissum. Grotius *καταφθιεῖν δοκεῖς.*

289

Aelian. de N. A. XII, 8. *Ζῷόν ἐστιν ὁ πυραύστης ὀπεροῦν χαίρει μὲν τῇ λαμπηδόνι τοῦ πυρὸς κα[ὶ] προσπέταται τοῖς λύχνοις ἐν ἀκμαζούσῃ ἔτι τῇ φλ[ο]γὶ, καὶ δοκεῖ τι λήψεσθαι, ἐμπεσὼν δὲ ὑπὸ ὁρμ[ῆς] εἶτα μέντοι καταπέφλεκται. μέμνηται δὲ αὐτοῦ κα[ὶ] ὁ Αἰσχύλος ὁ τῆς τραγῳδίας ποιητὴς λέγων*

*Δέδοικα μῶρον κάρτα πυραύστου μόρον.*

Attulerunt Suidas in *πυραύστου*, Zenobius V, 7[...] Apostolius XX, 65.

290

Scriptor dissertationis de Nilo, quae libro secund[o] Athenaei subiecta est p. 165. ed. nostrae, *Αἰσχύλος*

*Γένος μὲν αἰνεῖν ἐκμαθὼν ἐπίσταμαι*
*Αἰθιοπίδος γῆς, Νεῖλος ἔνθ᾽ ἑπτάρροος*
*γαῖαν κυλίνδει πνευμάτων ἐπομβρίᾳ,*
*ἥλιος ἐν ᾗ πυρωπὸς ἐκλάμψας χθονὶ*
*τήκει πετραίαν χιόνα· πᾶσα δ᾽ εὐθαλὴς*
*Αἴγυπτος ἁγνοῦ νάματος πληρουμένη*
*φερέσβιον Δήμητρος ἀντέλλει στάχυν.*

V. 2. correxi librorum scripturam *ἔνθα Νεῖλος ἑπτ[άρ]ρους.*

291

Aristoteles H. A. IX, 49. *Μεταβάλλει δὲ κα[ὶ ὁ] ἔποψ τὸ χρῶμα καὶ τὴν ἰδέαν, ὥσπερ ὁ Αἰσχύλ[ος] πεποίηκεν ἐν τοῖσδε*

*Τοῦτον δ᾽ ἐπόπτην ἔποπα τῶν αὐτοῦ κακῶν*
*πεποικίλωκε κἀποδηλώσας ἔχει*
*θρασὺν πετραῖον ὄρνιν ἐν παντευχίᾳ,*
*ὃς ἦρι μὲν φαίνοντι διαπάλλει πτερὸν*
*κίρκου λεπάργου. δύο γὰρ οὖν μορφὰς φανεῖ*
*παιδός τε χαὐτοῦ νηδύος μιᾶς ἄπο.*
*νέας δ᾽ ὀπώρας ἡνίκ᾽ ἂν ξανθῇ στάχυς,*
*στικτή νιν αὖθις ἀμφινωμήσει πτέρυξ.*
*ἀεὶ δὲ μίσει τῶνδ᾽ ἀπ᾽ ἄλλον εἰς τόπον*
*δρυμοὺς ἐρήμους ἢ πάγους ἀποικιεῖ.*

292

Clemens Alexandr. Strom. IV. p. 494.
Τῷ πονοῦντι δ' ἐκ θεῶν
ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος.

293

Clemens Alexandr. Strom. V. p. 558.
ἀλλ' ἔστι κἀμοὶ κλῇς ἐπὶ γλώσσῃ φύλαξ.

294

Plutarchus Moral. p. 950 e. Τὸ γὰρ ὕδωρ ὁ μὲν σχύλος εἰ καὶ τραγικῶς, ἀλλ' ἀληθῶς εἶπε „Παῦ' ωρ δίκην πυρός."

295

Clemens Alexandr. Strom. V. p. 603.
Ζεύς ἐστιν αἰθήρ, Ζεὺς δὲ γῆ, Ζεὺς δ' οὐρανός.
Ζεύς τοι τὰ πάντα χὤ τι τῶνδ' ὑπέρτερον.
2. χὤ τι] χωρεῖ Euseb. Praep. Evang. XIII. p. l.

296

Aristides II. p. 292. Μὴ μὲν οὖν ἔμοιγε κατ' σχύλον μήτε παρασπιστὴς μήτ' ἐγγὺς εἴη ὅστις φίλος τῷ ἀνδρὶ τούτῳ μηδὲ τιμᾷ τὰ πρέποντα.

297

Plutarchus Moral. p. 36 e.
Θάρσει· πόνου γὰρ ἄκρον οὐκ ἔχει χρόνον.

298

Scholiasta Homeri Iliad. π, 542.
Ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ δίκη,
ποία ξυνωρὶς τῶνδε καρτερωτέρα;

299

Scholiasta Aristoph. Nubium v. 1128.
δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι.
t nominato auctore afferunt Stephanus Byz. in Αἴγυπτος, Suidas in δεινοί, Zenobius III, 37. Diogenianus IV, 35.

300

Scholiasta Nubium v. 1367. Μυρρίνης γὰρ κλάδον ἔχοντες ᾖδον τὰ Αἰσχύλου, ὥσπερ τὰ Ὁμήρου τὰ δάφνης. παρὰ τὸ Αἰσχύλου, οὕνεκ' ἐκεῖ ἀνθεμώνια.

301

Aristophanes Ranar. v. 716.
Τὴν πόλιν καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις.
scholiasta, Δίδυμός φησι παρὰ τὸ Αἰσχύλου
Ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις.

302

Eustathius p. 641, 59.
Οὔτε δῆμος οὔτ' ἔτης ἀνήρ.

303

Eustathius p. 1484, 48. Αἴθιοπα γοῦν φωνὴν Αἰσχύλος λέγει, καί,
Πότερα γυνή τις Αἰθίοψ φανήσεται;

304

Eustathius p. 1625, 43.
λεοντοχόρταν βούβαλιν νεαίρετον.
ebatur νεαίτερον. νεαίρετος dixit in Agam. 1063. 15.

305

Eustathius p. 1923, 61. Αἰσχύλος „Ὡς λέγει γέρον γράμμα."

306

Athenaeus II. p. 67 f. Παρ' Αἰσχύλῳ „Διαβρέχεις τάρτύματα."

307

Athenaeus III. p. 99 b. Αἰσχύλος τὸν Ἅιδην ἀγησίλαον εἶπε.

308

Athenaeus XIV. p. 632 c.
Εἶτ' οὖν σοφιστὴς καλὰ παραπαίων χέλυν.

309

Athenaeus IX. p. 375 d. Αἰσχύλος φησὶν
Ἐγὼ δὲ χοῖρον καὶ μάλ' εὐθηλούμενον
τόνδ' ἐν ῥοθοῦντι κριβάνῳ θήσω. τί γὰρ
ὄψον γένοιτ' ἂν ἀνδρὶ τοῦδε βέλτερον;
καὶ πάλιν
Λευκὸς, τί δ' οὐχί; καὶ καλῶς ἠφευμένος
ὁ χοῖρος. ἕψου, μηδὲ λυπηθῇς πυρί.
καὶ ἔτι
Θύσας δὲ χοῖρον τόνδε τῆς αὐτῆς ὑὸς,
ἣ πολλά μ' ἐν δόμοισιν εἴργασται κακὰ
δονοῦσα καὶ τρέπουσα τύρβ' ἄνω κάτω.

310

Athenaeus XII. p. 528 c. Τοὺς δὲ Κουρῆτας Φύλαρχος διὰ τῆς ἑνδεκάτης τῶν ἱστοριῶν Αἰσχύλον ἱστορεῖν διὰ τὴν τρυφὴν τυχεῖν τῆς προσηγορίας·
Χλιδῶν τε πλόκαμος ὥστε παρθένοις ἁβραῖς·
ὅθεν καλεῖν Κουρῆτα λαὸν ᾔνεσαν.
παρθένου ἁβρᾶς epitome et Eustathius p. 1292, 55.

311

Athenaeus XIII. p. 573 b. Καταλέξω δέ σοι, Ἰωνικήν τινα ῥῆσιν ἐκτείνας κατὰ τὸν Αἰσχύλον περὶ ἑταιρῶν —.

312

Philo p. 886 d.
Ποῦ δ' ἐστὶν Ἀργοῦς ἱρὸν, αὐδᾶσον, ξύλον;
Hyginus Poet. Astron. II, 37. *Homerus hunc eundem locum (Pagasas) in Thessaliae finibus esse demonstrat; Aeschylus autem et nonnulli aiunt a Minerva quandam materiam loquentem eodem esse coniunctam.*

313

Strabo VI. p. 258. Ὠνομάσθη δὲ Ῥήγιον εἴθ', ὥς φησιν Αἰσχύλος, διὰ τὸ συμβὰν πάθος τῇ χώρᾳ ταύτῃ· ἀπορραγῆναι γὰρ ἀπὸ τῆς ἠπείρου τὴν Σικελίαν ὑπὸ σεισμῶν ἄλλοι τε κἀκεῖνος εἴρηκεν „Ἀφ' οὗ δὴ Ῥήγιον κικλήσκεται."

314

Strabo VIII. p. 341. Καὶ Αἰσχύλος
Κύπρου Πάφου τ' ἔχουσα πάντα κλῆρον.
Ex Strabone Eustathius p. 305, 34.

315

Strabo VIII. p. 387. Τῶν δὲ λοιπῶν πόλεων τῶν Ἀχαϊκῶν εἴτε μερίδων Ῥύπες μὲν οὐκ οἰκοῦνται· τὴν δὲ χώραν Ῥυπίδα καλουμένην ἔσχον Αἰγιεῖς καὶ Φαρεῖς. καὶ Αἰσχύλος δὲ λέγει που
Βουρὰν θ' ἱερὰν τε καὶ κεραυνίας Ῥύπας.
Casaubonus Ἱερὰν τε Βοῦραν καὶ — Photius p. 492, 10. Ῥύπες: τῶν Ὠλενίων Ἀχαιῶν. οὕτως Αἰσχύλος.

316

Strabo IX. p. 393. Αἰσχύλος εἴρηκεν
Αἴγινα δ' αὕτη πρὸς νότου κεῖται πνοάς.

317

Aristophanes Ranar. v. 1280. ex Aeschylo

*Κύδιστ' Ἀχαιῶν Ἀτρέως πολυκοίρανε μάνθανέ μου παῖ.*

et v. 1283.

*Εὐφαμεῖτε μελισσονόμοι δόμον Ἀρτέμιδος πέλας οἴγειν.*

318

Aristophanes apud Pollucem VI, 80. ex Aeschylo

*Ὀξυγλύκειάν τἄρα κοκκιεῖς ῥόαν.*

319

Scholiasta Pindari Nem. X, 31.

*Ἥρα τελεία, Ζηνὸς εὐναία δάμαρ.*

320

Pollux VII, 78.

*Σὺ δὲ σπαθητοῖς τριμιτίνοις ὑφάσμασι.*

321

Pollux VII, 167. *Αἰσχύλος δ' ἂν ἐοίκοι τὰ βαλανεῖα λουτήρια λέγειν*

*Λοῦταί γε μὲν δὴ λουτρὸν αὐτὸ δεύτερον.*
*Ἀλλ' ἐκ μεγίστων εὐμαρῶς λουτηρίων.*

Alter versus aperte Aeschyli est: prior, cuius vera scriptura Falckenburgii libro debetur, ad praecedentia Pollucis verba pertinet, sive Aeschyli sive alius est. Ad Glaucum Pontium haec refert Hermannus Opusc. vol. II. p. 69.

322

Etymolog. M. p. 149. extr.

*Τοσαῦτα, κῆρυξ, ἐξ ἐμοῦ διάρτασον.*

323

Etymolog. M. p. 271, 18. — *Οἱ δέ φασι σπιδέος, πολλοῦ καὶ μακροῦ. καὶ γὰρ Αἰσχύλος πολλάκις οὕτως ἔχειν τὴν λέξιν τίθεται· οἷον „Σπίδιον μῆκος ὁδοῦ.“ Σπίδιον πεδίον* ex Aeschylo Eustathius p. 882, 58.

324

Etymolog. M. p. 450, 36. *Θίς: — καὶ ἐπὶ τοῦ σωροῦ θηλυκῶς παρὰ Αἰσχύλῳ „Θινὸς ἐμβολὰς ἁλός.“*

325

Etymolog. M. p. 537, 47. — *Καὶ νεοκρᾶτας σπονδὰς Αἰσχύλος τὰς νεωστὶ ἐγχυθείσας.*

326

Plato de Republ. VIII. p. 563 b. *Οὐκοῦν κατ' Αἰσχύλον, ἔφη, ἐροῦμεν ὅ τι νῦν ἦλθ' ἐπὶ στόμα.* Hoc Aeschyli dicto utuntur Plutarchus Moral. p. 763 b. Themistius p. 52 b.

327

Plato de Republ. VIII. p. 550 c.

*Ἄλλον ἄλλῃ πρὸς πόλει τεταγμένον.*

328

Etymolog. M. p. 490, 11. *Ὁ δὲ Αἰσχύλος τὰ δόλια πάντα καλεῖ κάπηλα „Κάπηλα προσφέρων τεχνήματα.“* Eadem Suidas in *κάπηλος*.

329

Eustathius p. 1183, 18. *Σημείωσαι δὲ ὅτι ἐπιτήδειος ἐδόκει πρὸς κάθαρμὸν ὁ σῦς, ὡς δηλοῖ Αἰσχύλος ἐν τῷ*

*Πρὶν ἂν παλαγμοῖς αἵματος χοιροκτόνου*
*αὐτός σε χράνῃ Ζεὺς καταστάξας χεροῖν.*

330

Eustathius p. 1157, 33. *Αἰσχύλος δέ φησι καὶ τὴν τάφρον αὐλῶνα, ἔνθα καὶ φιμοὺς λέγει αὐλωτοὺς, διὰ τὸ κώδωνας, φησὶ, προσῆφθαι αὐτοῖς, ὡς ἐμφυσῶντες οἱ ἵπποι ὡς φωνὴν σάλπιγγος προΐεντο. γράφει οὖν οὕτως*

*Ὃς εἶχε πώλους τέσσαρας ζυγηφόρους*
*φιμοῖσιν αὐλωτοῖσιν ἐστομωμένας.*

Ad Glaucum Potniensem refert Hermannus Opusc. vol. II. p. 64. Conf. Hesych. in *αὐλωτοὶ φιμοί.*

331

Schol. Aristoph. Equitum v. 361. *Σχελίδες· βοὸς πλευρά. ἢ ἁπλῶς τὰ πλευρικὰ, ὡς Αἰσχύλος.*

332

Schol. Aristoph. Acharn. v. 75. *Ὦ Κραναὰ πόλις: τοῦτο τέτριπται ὑπὸ τῶν παλαιῶν. καὶ Αἰσχύλος γὰρ καὶ Σοφοκλῆς ἐχρήσαντο τῇ λέξει.*

333

*Τὸ ψιλὴς ψιλῆτος παρ' Αἰσχύλῳ* memorant scholiasta Homeri Iliad. ε, 9. et Eustathius p. 515, 11.

334

Eustathius p. 706, 50. *Αἰσχύλος φησὶν „Ἐν δυσρυμίᾳ πῶλοι.“*

335

Eustathius p. 1538, 50. *Στόμις παρ' Αἰσχύλῳ ὥσπερ στόματι ἀντερείδων χαλινοῖς (ἵππος).*

336

Pollux II, 100. *Ἄστομον δὲ ἵππον Αἰσχύλος εἴρηκε τὸν τραχύν.*

337

*Μυχθίζειν* ex Aeschylo affert Eustathius p. 4[illegible] 25. 1695, 49. *ἀναμυχθίζει* est in Prometheo v. 743.

338

Stephanus Byz. *Αἴνηθος: ὄρος. Αἰσχύλος.*

339

Tzetzes ad Lycophr. v. 1247. *Θέοινος ὁ Διόνυσος, ὡς θεὸς οἴνου εὑρετὴς, ὡς καὶ Αἰσχύλος φησί*

*Πάτερ Θέοινε, Μαινάδων ζευκτήριε.*

Ad hunc versum spectat Harpocratio in *Θεοίνιον.*

340

Pollux II, 125. *Ἀπεριλάλητος παρ' Αἰσχύλῳ.*

341

Pollux VI, 40. *Παμπόνηρος δὲ ὁ παρὰ τῷ Μυρτίλῳ τῷ κωμικῷ καταφαγὰς, εἰ καὶ Αἰσχύλος ἐχρήσατο.*

342

Pollux VII, 60. *Ἡ δὲ μανδύη ὅμοιόν τι τῇ καλουμένῳ φαινόλῃ. τίνων δέ ἐστιν, ὡς μὴ παρέχώμεθα Κρῆτας ἢ Πέρσας, Αἰσχύλος ἐρεῖ*

*Λιβυρνικῆς μίμημα μανδύης χιτών.*

343

Pollux VII, 177. *Καὶ τὸν τὰς ἀλαβάστρους φέροντα Αἰσχύλος εἴρηκεν ἀλαβαστροφόρον.*

344

Pollux X, 180. *Αἰσχύλον εἰπόντα „Ὀστέων [illegible] γαστρον.“* Fortasse Suidas in *Ὀστολόγοις.*

345

Hesychius, *Ἐδανοῖς: βρωσίμοις. Αἰσχύλος.* *Ἐδανὸν* est in Agam. v. 1407.

346

Hesychius, *Ἠριγένεια: — καὶ παρ' Αἰσχύλῳ ἡ λέαινα ἠριγένεια, ἢ ἡ ἐν τῷ ἀέρι τίκτουσα, ἢ ἐν τῷ ἔαρι.*

347

Hesychius, *Ἴττυγα: ἐκπληκτικὰ Αἰσχύλος.*

348

Hesychius, *Κεχρηματεῖσθαι(?): πεφρύχθαι.* sarus *κεχρηματίσθαι.* Fort. *κεχρωματίσθαι.*

349

Hesychius, *Σαυροβριθὲς ἔγχος: ἐκ τοῦ* ῥωτῆρος *βαρύ. καὶ Αἰσχύλος ὀπισθοβριθὲς ἔγχος* ͱ.

350

Etymol. M. p. 93, 49. *Ἄμφις: τοῦτο οὐ συγκο-* ἀλλὰ *μετασχηματισμός. ἀπὸ γὰρ τοῦ Ἀμφιά-* ς *Ἄμφις, ὡς παρὰ Αἰσχύλῳ.*

351

Etymol. M. p. 151, 48. *Ἀσαλής: ὁ ἀμέριμνος.* χύλος *„Ἀσαλὴς μανία.“* Eadem grammaticus Bek- i I. p. 450, 28.

352

Etymol. M. p. 161, 15. *Ἀσχαδές: ἀκατάστα-* . *Αἰσχύλος.*

353

Etymol. M. p. 182. extr. *Ἄχνη: — Αἰσχύλος δὲ* *καπνόν.*

354

Etymol. M. p. 279, 17. *Τρισόζωος παρὰ Αἰσχύλῳ.* tymolog. Gud. p. 585, 14. *Τρισόζυος παρ᾽ Αἰσχύ-* Sylburgius *τρισσόζωος.*

355

Etymol. M. p. 346. extr. *Ἐξαυστήρ: σημαίνει* ὕός *τι. παρὰ τὸ αὔω, αὔσω, αὐστὴρ καὶ ἐξαυ-* ρ. *Αἰσχύλος.* Vide Valckenar. Anim. ad Ammon. 3.

356

Etymol. M. p. 674, 20. *Πλάστιγξ: ἡ μάστιξ* *τοῦ πλήσσειν, παρ᾽ Αἰσχύλῳ.*

357

Photius p. 52, 20. *Αἰσχύλος „Ζεῦγος τεθρίππων.“* f. Etymolog. M. p. 409, 46.

358

Plutarchus Moral. p. 116 f. *Καὶ ὁ τραγικὸς Αἰ-* λος

*νδρῶν γάρ ἐστιν ἐνδίκων τε καὶ σοφῶν*
*ν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς.*

ipidi haec tribuuntur ab Stobaeo CVIII, 43. ubi *ρῶν τάδ᾽ ἐστὶν —.*

359

Plutarchus Moral. p. 625 d. *Οἱ γὰρ πρεσβύτεροι* *ρω τὰ γράμματα τῶν ὀμμάτων ἀπάγοντες ἀνα-* *ισκουσιν, ἐγγύθεν δ᾽ οὐ δύνανται. καὶ τοῦτο* *αδηλῶν ὁ Αἰσχύλος φησὶν*

*Σὺ δὲ*
*πωθεν εἶδες αὐτόν· οὐ γὰρ ἐγγύθεν*
*ρᾷς, γέρων δὲ γραμματεὺς γενοῦ σαφής.*

360

Plutarchus Moral. p. 434 a. *Καὶ μετάλλων ἴσμεν* *ταυρώσεις γεγονέναι καινάς, ὡς τῶν περὶ τὴν* *ικὴν ἀργυρείων καὶ τῆς ἐν Εὐβοίᾳ χαλκίτιδος, ἐξ* *ἐδημιουργεῖτο τὰ ψυχρήλατα τῶν ξιφῶν, ὡς* *χύλος εἴρηκε*

*λαβὼν γὰρ αὐτόθακτον Εὐβοικὸν ξίφος.*

ander *αὐτόθηκτον.*

361

Plutarchus Moral. p. 454 e. *Καθάπερ οὖν τὴν φλόγα θριξὶ λαγῴαις ἀναπτομένην καὶ θρυαλλίσι καὶ συρφετῷ ῥᾴδιόν ἐστιν ἐπισχεῖν, ἐὰν δ᾽ ἐπιλάβηται τῶν στερεῶν καὶ βάθος ἐχόντων, ταχὺ διέφθειρε καὶ συνεῖλεν*

*Ὑψηλὸν ἡ βάσασα τεκτόνων πόνον,*

*ὥς φησιν Αἰσχύλος —. ἡβήσασα* Heathius.

362

Proclus ad Hesiodi *Ἔργ.* v. 176. *Τουτέστι τὸ ἐκ Πανδώρας γένος, ἥτις ἦν κατὰ τὸν Αἰσχύλον*

*Τοῦ πηλοπλάστου σπέρματος θνητὴ γυνή.*

Pertinet ad Prometheum: vide Hermann. de Prometheo soluto p. 20.

363

Plutarchus Moral. p. 1057 f. *Γέγονεν ἐκ ῥυσοῦ καὶ ὠχροῦ καὶ κατ᾽ Αἰσχύλον*

*Ἐξ ὀσφυαλγοῦς κὠδυνοσπάδος λυγροῦ*
*γέροντος*
*εὐπρεπής, θεοειδής, καλλίμορφος.*

364

Suidas, *Ἀποφώλιοι: ξένοι* (*ξένιοι* grammaticus Bekkeri I. p. 439, 12.), *οἱ φυλὴν μὴ νέμοντες. οὕτως Αἰσχύλος. ἢ ἀπαίδευτοι. φωλεοὶ γὰρ τὰ παιδευτήρια, ὥς φασιν οἱ Ἴωνες.* Hesychius, *Ἀποφύλιοι: ξένοι οἱ μὴ ἔχοντες φυλήν. Αἰσχύλος* (excidit nomen fabulae) *σατυρικῷ.*

365

Plutarchus Moral. p. 358 e.

*Ἀποπτύσαι δεῖ καὶ καθήρασθαι στόμα,*

*κατ᾽ Αἰσχύλον.*

366

Plutarchus Moral. p. 293 a. *Τί τὸ φυξίμηλον; τῶν μικρῶν ἐστι καὶ χαμαιζήλων φυτῶν, ὧν ἐπιόντα τοὺς βλαστοὺς τὰ βοσκήματα κολούει καὶ ἀδικεῖ καὶ λυμαίνεται τὴν αὔξησιν. ὅταν γοῦν ἀναδραμόντα μέγεθος λάβῃ, καὶ διαφύγῃ τὸ βλάπτεσθαι ὑπὸ τῶν ἐπιγενομένων, φυξίμηλα καλεῖται. τὸ δὲ μαρτύριον Αἰσχύλος.*

367

Hesychius, *Ἄνω ποταμῶν: παροιμία ἐπὶ τῶν ἐπ᾽ ἐναντία γινομένων. κέχρηνται καὶ Αἰσχύλος καὶ Εὐριπίδης.*

368

Orio Etymolog. p. 26, 4. *Τὰ εἰς ξ μὴ ὄντα ἐθνικὰ ὁμοίως λέγεται καὶ ἐπὶ θηλυκῶν. Αἰσχύλος*

*Δέσποινα νύμφη δυσχίμων ὀρῶν ἄναξ.*

Suidas, *Ἄναξ: θηλυκῶς. οὕτως Αἰσχύλος.*

369

Pollux VII, 61. *Καὶ χλαῖναν δὲ παχεῖαν, ἣν χειμάμυναν Αἰσχύλος κέκληκεν.* Conf. Hesychium h. v.

370

Etymol. M. p. 118, 22. *Ἀπάργματα: λέγεται τὰ ὑπὸ τῶν τραγῳδῶν λεγόμενα μασχαλίσματα. ταῦτα δέ ἐστι τὰ τοῦ φονευθέντος ἀκρωτηριάσματα. ἦν γάρ τι νομικὸν τοῖς δολοφονήσασιν ἀφοσιῶσαι τὸν φόνον, διὰ τοῦ δολοφονηθέντος ἀκρωτηριασμοῦ. — ὅτι δὲ καὶ ἐγεύοντο τοῦ αἵματος καὶ ἀπέπτυον Αἰσχύλος μαρτυρεῖ.*

371

Schol. Soph. Electr. v. 283. *Ἐπικουφίζεται γὰρ τοῖς δακρύοις ἡ συμφορά. Αἰσχύλος*

*Οἵ τε στεναγμοὶ τῶν πόνων ἐρείσματα.*

Schol. Homeri Iliad. ψ, 10. *Αἰσχύλος*

*Οἵ τοι στεναγμοὶ τῶν πόνων ἰάματα.*

372

Schol. Soph. Oed. Col. v. 1047. *Τὰ ἐν Ἐλευσῖνι τέλη φησὶ, καὶ εἴη ἂν λαμπάσιν ἀκταῖς λέγων ταῖς λαμπαδευομέναις καὶ καταλαμπομέναις ὑπὸ τῆς μυστικῆς φλογὸς καὶ τῶν ἱερῶν δᾴδων, περὶ ὧν Αἰσχύλος φησὶ*

*Λαμπραῖσιν ἀστραπαῖσι λαμπάδων σθένει.*

373

Schol. Soph. Oed. Col. v. 1049. *Τέλη δὲ τὰς τελετάς· καὶ Αἰσχύλος*

*Ἔφριξ᾽ ἔρως δὲ τοῦδε μυστικοῦ τέλους.*

*ἔρωτι* Brunckius.

374

Schol. Theocriti II, 36. *Ἱδρύοντο δὲ αὐτὴν (τὴν Ἑκάτην) καὶ πρὸ τῶν θυρῶν, ὥς φησιν Αἰσχύλος*

*Δέσποιν᾽ Ἑκάτη*
*τῶν βασιλείων πρόδρομος μελάθρων.*

unus liber *πρόδομος*. Aristides vol. I. p. 17. *Ἀλλ᾽ ὦ τῶν βασιλείων πρόδρομος μελάθρων, Αἰσχύλῳ χορὸς ᾖσε, τῶν τε οὐρανίων καὶ τῶν (τῶν* omittunt codices) *πατρῴων καὶ τῶν ἐν τῇ ἡμετέρᾳ μεγίστων ἃ νύκτωρ μοι προὔφαινες.*

375

Schol. Pind. Pyth. II, 18. *Ἐναγώνιος δὲ ὁ Ἑρμῆς, ὡς τῶν ἀγώνων προστάτης, ὡς καὶ Αἰσχύλος „Ἐναγώνιε Μαίας καὶ Διὸς Ἑρμᾶ.“*

376

Schol. Apollon. Rhod. I, 473. *Αἰσχύλος τὰς Βάκχας χαλιμάδας ἔφη.* De hoc vocabulo dixit Naekius in libro de Choerilo p. 217. *χαλίκρητοι σπονδαὶ* ex Aeschylo Eustathius p. 1471, 2.

377

Schol. Apollon. Rhod. IV, 1348. *Στέρφεσιν αἰγείοις: τοῖς δέρμασιν· ἔνθεν καὶ στερφῶσαι. Ἴβυκος δὲ στερφωτῆρα στρατὸν εἴρηκε τὸν ἔχοντα δέρματα. ὅθεν καὶ παρ᾽ Αἰσχύλῳ ἀξιοῦσι γράφειν μελανοστέρφων γένος, οὐχ, ὥς τινες, μελανοστέρνων· οὐ γὰρ μόνα τὰ στέρνα μέλανα ἔχουσιν, ἀλλὰ καὶ ὅλον τὸ σῶμα. ὅθεν καὶ τὸ κεράμιον στέρφος λέγεται.*

378

Eustathius p. 827, 31. *Οὕτω δὲ καὶ Αἰσχύλου μάχλον, φασὶν, ἄμπελον εἰπόντος τὴν ῥεομένην, ἡ κωμῳδία μάχλον εἶπε τὸν ὑπὸ καταφερείας δίυγρον.*

379

Athenaeus III. p. 86 b. *Αἰσχύλος δὲ ἐν Πέρσαις τίς ἀνήρει τοὺς νήσους* (corr. *Πέρσαις τινὰς νήσους*) *νηριτοτρόφους εἴρηκεν.* Neque haec in Persis leguntur neque vocabulum *ὑπόξυλος*, quod ex hac fabula attulit scholiasta Hermogenis, cuius verba Bastius ad Gregor. p. 241. et Bekkerus in Anecdotis III. p. 1073. ex codice Parisino ediderunt. Conf. Hermann. Opu vol. II. p. 84. Blomfild. praef. ad Persas p. XXVII

380

Ammonius p. 69. *Θεωρὸς καὶ θεατὴς διαφέ θεωρὸς μὲν γάρ ἐστιν ὁ εἰς θεοὺς πεμπόμενος, θε τὴς δὲ ὁ ἀγώνων καὶ θεάτρων. — καὶ Αἰσχύλος*

*Βοῆς τοιοῦδε πράγματος θεωρὸς ὤν.*

381

Plutarchus Moral. p. 389 a.

*Μιξοβόαν γὰρ, Αἰσχύλος φησὶ, πρέπει*
*διθύραμβον ὁμαρτεῖν*
*σύγκοινον Διονύσῳ.*

*σύγκωμον* Porsonus ad Toupium vol. IV. p. 480.

382

Aristophanes Ranar. v. 913. 914.

*Δήμητερ ἡ θρέψασα τὴν ἐμὴν φρένα,*
*εἶναί με τῶν σῶν ἄξιον μυστηρίων.*

ubi scholiasta, *Παρόσον Ἐλευσίνιος τὸν δῆμον ὁ Αἰσχύλος ἦν· ἢ ὅτι ἐν τοῖς Ἐλευσινίοις ἐμυεῖτο ... δράματα τοῦ Αἰσχύλου. ἐστὶ δὲ τοῦτο τὸ ἔπος Αἰσχύλου.*

383

Macrobius Saturnal. I, 18. Euripides in Licym Apollinem Liberumque unum eundemque deum e significans scribit —. Ad eandem sententiam Aeschy lus „*Ὁ κισσεὺς Ἀπόλλων, ὁ Καβαῖος ὁ μάντις* ... *Σαβαῖος* Barnesius ad Eurip. Bacchar. v. 408. Con Lobeck. Aglaoph. p. 80.

384

Stobaeus CXXI, 17. *Αἰσχύλου* (?)

*Ζωῆς πονηρᾶς θάνατος εὐπορώτερος·*
*τὸ μὴ γενέσθαι δ᾽ ἐστὶν ἢ πεφυκέναι*
*κρεῖσσον κακῶς πάσχοντα.*

385

Photius p. 188, 24. *Κυντερώτατα καὶ κύντατα λέγουσιν. Εὔβουλος — Φερεκράτης — καὶ Αἰσχύλος.*

386

Photius p. 206, 18. *Λαμπουρίς: ἡ ... παρ᾽ Αἰσχύλῳ.* Aeschyli nomen omittit Hesychius.

387

Photius p. 246, 23. *Μαραθώνιον πολίτην Αἰσχύλος. εὐδοκίμησε γὰρ ἐν τῷ Μαραθῶνι σὺν ἀδελφῷ Κυναιγείρῳ.*

388

Photius p. 286, 8. *Ναρᾶς τε Δίρκης: ... κῆς. Αἰσχύλος.*

389

Photius p. 331, 2. *Ὀμάμαιτα: τὰ οὐρήματα Αἰσχύλος.* Hesychius, *Ὀμίχματα: οὐρήματα.*

390

Photius p. 353, 17. *Ὀστράκων: τῶν τῶν ὠῶν Αἰσχύλος.* Hesychius, *Ὀστράκων:*

*Ἀπτῆνα, τυτθὸν, ἄρτι γυμνὸν ὀστράκων.*

*ἀντὶ τοῦ ὠῶν. τινὲς δὲ κελύφων.*

391

Photius p. 361, 11. *Οὐρανίζειν: ... οὐρανὸν διικνεῖσθαι. Αἰσχύλος. Οὐρανίζει ... πρὸς τὸν οὐρανὸν διικνεῖτο.*

392

Photius p. 427, 9. *Πεφρασμένος: ...*

ιωσαμένος εἰς τὸ φρασθῆναι, προσεκτικὴν ἔχων ἔννοιαν. Αἰσχύλος. Aeschyli nomen omisit Hesy-m.

393

Photius p. 447, 14. Πρέψαι: τὸ ὁμοιῶσαι. σχύλος.

394

Photius p. 497, 14. Σάλα: φροντίς. οὕτως Αἰσχύ-. Similis formae vox est μάνα, de qua Photius 246, 4.

395

Schol. Homeri Iliad. ξ, 200. Ὁμοίως δὲ καὶ Αἰ-λος τὰς ἐν κύκλῳ ἑστώσας ἐν ἀπείρονι σχήματί σιν ἵστασθαι

Ὑμεῖς δὲ βωμὸν τόνδε καὶ πυρὸς σέλας κύκλῳ περίστητ', ἐν λόχῳ τ' ἀπείρονι εὔξασθε.

ἴσο παρίστατε. Correxit Hermannus Opusc. vol. p. 325. Eadem in schol. ad Odyss. κ, 98. ubi ίστατε.

396

Eustathius p. 995, 1. Τρωτὸς ὅλον ἦν ὁ Αἴας τὸ μα καὶ οὐ μόνον τὰ περὶ μασχάλην κατὰ Αἰσχύ-' καὶ ἄλλους.

397

Schol. Aristoph. Avium v. 1679. Καὶ Αἰσχύλος τὸ βαρίζειν χελιδονίζειν φησί. Conf. Agam. v. 1050. λιδόνος δίκην ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη.

398

Pausanias VIII, 37, 6. Δήμητρος δὲ Ἄρτεμιν θυ-τέρα εἶναι, καὶ οὐ Λητοῦς, ὄντα Αἰγυπτίων τὸν ον Αἰσχύλος ἐδίδαξεν Εὐφορίωνος τοὺς Ἕλληνας.

399

Hesychius, Ἀλαιός: ὁ παλαιός, ἄφρων. Αἰ-λος. Immo ἀλεός.

400

Athenaeus VIII. p. 362 f. Τὰς δὲ τοιαύτας εὐω-' Αἰσχύλος καὶ Εὐριπίδης εἰλαπίνας ἀπὸ τοῦ ιάχθαι.

401

Etymolog. Gudianum p. 378, 38. Μανὸν ἔλεγον ἀραιόν, ὡς καὶ Αἰσχύλος „Ἐν μανοστήμοις πέ-ς" τοῦτ' ἔστιν ἀραιοῖς. Eadem ex aliis codici-ediderunt Salmasius ad Tertullianum de pallio p. Ruhnkenius ad Timaeum p. 177. Blochius ad Ety-g. M. II. p. 957. μανοστήμοις ex hoc loco rchius. Id prima syllaba correpta dixisse poeta tur. Quo non refutatur Phrynichi (in Bekkeri :dotis I. p. 51.) praeceptum de prosodia adiectivi ς.

402

Iesychius, Ἀσκεύοις: ψιλοῖς, ἀπαρασκεύοις. ύλος Ἀγαμέμνονι. Fortasse in perdita Choepho-a parte lectum fuit. Ita γονίας, quod in Choe-. v. 1067. legitur, ex Agamemnone affert Hesy-, in qua fabula id non magis legitur quam quae maticus Bekkeri p. 353, 11. attulit, χαλκὸν ἀθέ-ν ἀσπίδος (ἀθέριστον ἀσπίδων Blomfildus) ὑπερ-. De qua re dixit Blomfildus in praefat. ad Aga-. p. IX. X.

403

Proverbium ab Zenobio VI, 14. ex Aeschyli Aiace Locrensi allatum ad Sophocleam fabulam retuli. Contrario errore scholiasta Promethei v. 435. Phryges Aeschyli Sophocli tribuit.

404

Etymolog. Gudian. p. 85, 44. Ἀστεμφής: — παρὰ τὸ στέμβω, ὃ σημαίνει τὸ κινεῖν συνεχῶς, οὗ μέμνηται Αἰσχύλος. Ita haec emendanda ex codicibus Parisinis apud Bastium ad Gregor. p. 828.

405

Phrynichus Bekkeri p. 6, 13. Ἀτεγκτος παρηγορήμασιν: Αἰσχύλος. δοτικῇ ἀντὶ γενικῆς Ἀττικῷ ἐχρήσατο ἤθει.

406

Phrynichus Bekkeri p. 6, 16. Ἀπαίρειν: τὸ μὲν πλεῖστον οἱ Ἀττικοὶ ἐπὶ πλοῦ τιθέασι, πλὴν καὶ ἐπὶ τῆς ὁδοιπορίας, ὡς Αἰσχύλος καὶ Ἀριστοφάνης.

407

Phrynichus Bekkeri, p. 20, 18. Ἀναγκόδακρυς: ὁ πρὸς ἀνάγκην δακρύων καὶ μὴ ἐκ πάθους τινὸς ἢ συμφορᾶς. Αἰσχύλος.

408

Phrynichus Bekkeri p. 23, 12. Ἀκταινῶσαι: — Αἰσχύλος „οὐκέτ' ἀκταίνω" φησί, βαρυτόνως, οἷον οὐκέτι ὀρθοῦν δύναμαι ἐμαυτήν. Ad Eumenid. v. 36. ὡς μήτε σωκεῖν μήτε μ' ἀκταίνειν βάσιν retulit Ruhnkenius ad Timaeum p. 21. qui aliorum grammaticorum de hoc verbo locos indicat.

409

Phrynichus Bekkeri p. 48, 21. Αἰσχύλος „Μὴ κακοῖς ἰῶ κακά."

410

Grammaticus Bekkeri I. p. 337, 8. Αἰσχύλος δέ φησι καὶ „φρὴν ἀγέλαστος".

411

Grammaticus Bekkeri I, p. 347, 32. Ἄειλα: τὰ πολύσκια χωρία κατὰ στέρησιν τῆς ἕλης. οὕτως Αἰσχύλος.

412

Grammaticus Bekkeri I. p. 349, 6. Ἀηδόνειος θρῆνος: Αἰσχύλος

Θρηνεῖ δὲ γόον τὸν ἀηδόνιον.

Codex ἀηδόνειον.

413

Grammaticus Bekkeri I. p. 363, 17. Αἰῶ τὸν αἰῶνα κατὰ ἀποκοπὴν Αἰσχύλος εἶπεν.

414

Grammaticus Bekkeri I. p. 368, 29. Ἀκνίσωτος οἶκος: ὁ ἄνευ πυρὸς καὶ κνίσης. οὕτως Αἰσχύλος.

415

Grammaticus Bekkeri I, p. 372, 9. Ἄκουε τὰς ἐμὰς ἐπιστολάς: ἀντὶ τοῦ τῶν ἐμῶν ἐπιστολῶν. οὕτως Αἰσχύλος.

416

Grammaticus Bekkeri I. p. 382, 30. Αἰσχύλος „μέγαν ἀλάστορον" εἶπεν.

417

Grammaticus Bekkeri I. p. 383, 31. Ἀλκάθω

*καὶ ἀλκάθειν* (immo *ἀλκαθεῖν*)*: Σοφοκλῆς καὶ Αἰσχύλος. σημαίνει δὲ τὸ βοηθεῖν.*

418

Grammaticus Bekkeri I. p. 421, 5. *Ἀπέλλητοι: ἀνταγωνισταί. οὕτως Αἰσχύλος.*

419

Grammaticus Bekkeri I. p. 450, 4. *Ἀρχῆθεν: οὐκ ἔστι παρὰ τοῖς Ἀττικοῖς πλὴν παρ' Αἰσχύλῳ.*

420

Grammaticus Bekkeri I. p. 450, 30. *Ἆσαι: βλάψαι. οὕτως Αἰσχύλος.*

421

Grammaticus Bekkeri I. p. 467, 9. *Αὐτόκρανον λόγον: τὸν ἐξ ἑαυτοῦ τὸ τέλος ἐπιφέροντα. οὕτως Αἰσχύλος.*

422

Choeroboscus Bekkeri III. p. 1196. *Τοῦ βοῦς ἡ γενικὴ οὐ μόνον βοός, ἀλλὰ καὶ τοῦ βοῦ παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ καὶ παρὰ τῷ Αἰσχύλῳ.*

423

Choeroboscus Bekkeri p. 1391. *Κραταίπιλος ὁ ἰσχυρὸν πίλιον ἔχων παρὰ Αἰσχύλῳ.*

424

Choeroboscus Bekkeri p. 1408. *Πάλαμυς Παλάμυος· τὸ γὰρ Παλάμυδος διὰ τοῦ δος κλιθὲν παρ' Αἰσχύλῳ ἡμάρτηται. ἔστι δὲ ὄνομα κύριον βασιλέως.*

425

Scholiasta Aristophanis Lysistr. v. 1259. *Πολὺ[s] δ' ἀμφὶ τὰς γένυας ἀφρὸς ἤνσει: κα[τὰ] τοὺς παρὰ τῷ Ἀρχιλόχῳ· πολὺς δὲ ἀφρὸς ἐν τῷ στόμα. καὶ Σοφοκλῆς* (Electr. v. 719.)*. Αἰσχύλ[ος] δὲ „Ἀφρὸς βορῆς ἐρρυηκότα στόμα.“* Porson
*Ἀφρὸς βρότειος ἐρρύη κατὰ στόμα.*

426

Aeschyli de Saturno locus quidam memoratur i[n] scholio lacero codicis Vaticani ad Rhesum v. 36.

---

*ΕΛΕΓΕΙΑ.*

427

Plutarchus Moral. p. 334 d. *Ἤσκει διὰ τῶν ὅπλ[ων] δεινὸς εἶναι καὶ κατὰ τὸν Αἰσχύλον*
*Βριθὺς ὁπλιτοπάλας, δαΐος ἀντιπάλοις.*
Utitur hoc loco Plutarchus modo addito modo o[mi]s[so] nomine poetae Moral. p. 317 e. 640 a. Vitar. p. 86[?]

428

Theophrastus Histor. Pl. IX, 15. p. 313. ed. Schne[i]der. *Καὶ γὰρ Αἰσχύλος ἐν ταῖς ἐλεγείαις ὡς πολυ[φ]άρμακον λέγει τὴν Τυρρηνίαν*
*Τυρρηνὸν γενεάν, φαρμακοποιὸν ἔθνος.*

---

Epigramma Aeschylo tributum vide in Antholog. Palat. VII, 255.

# ΣΟΦΟΚΛΕΟΥΣ.

## *ΑΘΑΜΑΣ Α. Β.*

1

[H]esychius, *Καταγνῶναι: ἐπιγνῶναι, μέμψασθαι. Σοφοκλῆς Ἀθάμαντι α΄.*

2

Scholia ad Aristophanis Nubium v. 257. *Ἀθάμαντα ... ἡ Νεφέλη δίκην αὐτῇ δώσειν διὰ τοὺς παῖδας ἐποίηκε. προσαχθεὶς οὖν στεφανηφορῶν ἐν τῷ βωμῷ τοῦ Διὸς σφαγησόμενος, ὑπὸ Ἡρακλέους σέσωται. οὕτω γὰρ Σοφοκλῆς ἐν δράματι πεποίηκε.* Conf. schol. Pindari Pyth. IV, 288. Apostolium XIII, ...) *Ἄλλως. ἐν Ἀθάμαντι Σοφοκλέους ὑπόκειται ...θάμας στεφανηφορῶν, ὥσπερ ἱερεῖον, δίκας εἰσ...πραττόμενος παρὰ Φρίξου. Ἄλλως. τοῦτο πρὸς τὸν ...ερον Ἀθάμαντα Σοφοκλέους ἀποτεινόμενος λέγει. ... γάρ τοι Σοφοκλῆς πεποίηκε τὸν Ἀθάμαντα ἐστε...νωμένον καὶ παρεστῶτα τῷ βωμῷ τοῦ Διὸς σφα...ασθησόμενον. μέλλοντα δὲ ἀποσφάττεσθαι αὐτὸν, ...παραγενόμενον Ἡρακλέα, καὶ τοῦ θανάτου ῥυόμε...ν, λέγοντα ὡς σώζοιτο ὁ Φρῖξος, δι' ὃν ἔμελλεν ...εῖνος τεθνήξεσθαι.*

3

Hesychius, *Ἕρκεσι: δικτύοις. Σοφοκλῆς Ἀθά...μαντι β΄.*

4

Hesychius, *Ἑψία: — ὁμιλία. Σοφοκλῆς Ἀθά...μαντι β΄.*

5

Choeroboscus Bekkeri III. p. 1304. *Ἀγύναιξ — ...ν*

*Ὡς ὢν ἄπαις τε κἀγύναιξ κἀνέστιος.*

*...ρὰ Σοφοκλεῖ ἐν Ἀθάμαντι.*

6

Hesychius, *Ἀγχήρης: ὁ ἐγγύς. Σοφοκλῆς Ἀθά...μαντι.*

7

Harpocratio in *Ἔπιπλον, — τὰ κατὰ τὴν οἰκίαν ...ὴ ἔπιπλα λέγουσι — Σοφοκλῆς Ἀθάμαντι.*

8

Hesychius, *Ἐπιστήγματα: ἐπικελεύματα. Σο...κλῆς Ἀθάμαντι.* ubi Ruhnkenius apud Valckenarium Theocriti VI, 29. *ἐπισίγματα* corrigit.

9

Hesychius, *Ἐχρωματίσθη: συνεχρώσθη. Σο...κλῆς Ἀθάμαντι.*

10

Antiatticista Bekkeri p. 106, 33. *Λευκὴν ἡμέ...ν: τὴν ἀγαθήν. Σοφοκλῆς Ἀθάμαντι.*

---

De Hesychii loco *βρυαζούσης λεαίνης* vide ad ...chyli fragm. 4.

## *ΑΙΑΣ ΛΟΚΡΟΣ.*

11

Stobaeus Ecl. phys. I, 4. vol. I. p. 130. Heeren. *Σοφοκλέους* (*αἴαντι* margo Canteri)

*Εἰ δείν' ἔδρασας, δεινὰ καὶ παθεῖν σε δεῖ.*
*Δίκας δ' ἐξέλαμψεν ὅσιον φάος.*

Priorem versum ex Sophocle affert Theophilus ad Autolyc. II, 54. p. 258. Alter si est Sophoclis, ex alio loco petitus est. Similis sententia *Σοφοκλέους Αἴαντι* tribuitur apud Stobaeum l. l. p. 124.

*Τὸ χρύσεον δὲ τᾶς Δίκας*
*δέδορκεν ὄμμα, τὸν δ' ἄδικον ἀμείβεται.*

Athenaeus XII. p. 546 b. *Καί πού τις καὶ ποιητὴς ἐφθέγξατο — „Τὸ χρύσεον ὄμμα τὸ τᾶς Δίκας."*

12

Stobaeus Floril. XLVIII, 5. *Εὐριπίδου*

*Σοφοὶ τύραννοι τῶν σοφῶν ξυνουσίᾳ.*

„Senarium hunc Sophoclis esse ex Aiace Locro testantur Aristides tom. II. p. 288. Libanius Epist. XXXIII. Zenobius Prov. V. 98. Agellius XIII. 18. Platonis errorem, aliis iam antea notatum, ostendit Gatakerus, qui de hoc senario copiose agit tom. I. p. 173." Brunck. Alia dedi ad Aristophanis fragm. 289.

13

Stobaeus XCVIII, 14. *Σοφοκλῆς Αἴαντι*

*Ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον.*

14

Stobaeus CXIV, 6. *Σοφοκλέους Οἰδίποδι*

*Τοὺς δ' αὖ μεγίστους καὶ σοφωτάτους φρενὶ*
*τοιούσδ' ἴδοις ἂν, οἷός ἐστι νῦν ὅδε,*
*καλῶς κακῶς πράσσοντι συμπαραινέσαι·*
*ὅταν δὲ δαίμων ἀνδρὸς εὐτυχοῦς τὸ πρὶν*
*μάστιγ' ἐρείσῃ τοῦ βίου παλίντροπον,*
*τὰ πολλὰ φροῦδα καὶ καλῶς εἰρημένα.*

Ex Aiace Locro esse ostendit Cicero Tuscul. III. 29. *„Itaque Oïleus ille apud Sophoclem, qui Telamonem antea de Aiacis morte consolatus esset, is quum audisset de sui, fractus est. De cuius commutata mente sic dicitur*

*Nec vero tanta praeditus sapientia*
*quisquam est, qui aliorum aerumnam dictis allevans,*
*non idem, quum fortuna mutata impetum*
*convertat, clade subita frangatur sua;*
*ut illa ad alios dicta et praecepta excidant."*

15

Schol. Euripidis ad Alcestin 453. *Καὶ παρὰ Σοφοκλεῖ ἐν Αἴαντι Λοκρῷ*

*Καὶ πεζὰ καὶ φορμικτά.*

*καὶ πεζαὶ δέ τινες ἑταῖραι λέγονται, αἳ χωρὶς ὀργάνου εἰς τὰ συμπόσια φοιτῶσι.*

16

Schol. Aristophanis ad Aves 934. *Σπολὰς, διφθέρα ὁποιαοῦν. Σοφοκλῆς Αἴαντι Λοκρῷ*

*Καταστίκτου κυνὸς*
*σπολὰς Λίβυσσα, παρδαληφόρον δέρος.*

*τὸ δὲ Σοφόκλειον ἐπὶ τοῦ δέρματος εἴρηται, τοῦ κρεμαμένου πρὸς τῇ τοῦ Ἀντήνορος οἰκίᾳ.* Pollux VII, 70. *σπολὰς — Σοφοκλῆς δ' αὐτὴν Λίβυσσαν ὀνομάζει „Σπολὰς Λίβυσσα, παρδαληφόρον δέρος."*

17

Antiatticista p. 97, 4. *Ἐλλάς: ὁ ἀνήρ. Σοφοκλῆς Αἴαντι Λοκρῷ.*

18

Zenobius VI, 14. *Τί σοι ὁ Ἀπόλλων κεκιθάρικεν;: τὸ κεκιθάρικεν οἷον ἐμαντεύσατο, ὥς φησιν Αἰσχύλος (Σοφοκλῆς?) ἐν Αἴαντι Λοκρῷ.*

---

## *ΑΙΓΕΥΣ.*

19

Strabo IX. p. 392. *Τὴν δ' εἰς τέτταρα μέρη διανομὴν ἄλλων ἄλλως εἰρηκότων, ἀρκεῖ ταῦτα παρὰ Σοφοκλέους λαβεῖν. φησὶ δ' ὁ Αἰγεὺς ὅτι ὁ πατὴρ ὥρισεν ἐμοὶ μὲν ἀπελθεῖν εἰς ἀκτὰς τῆσδε γῆς πρεσβεῖα νείμας, τῷ δὲ Λύκῳ*

*τὸν ἀντίπλευρον κῆπον Εὐβοίας νέμων·*
*Νίσῳ δὲ τὴν ὅμαυλον ἐξαιρεῖ χθόνα*
*Σκείρωνος ἀκτῆς· τῆς δὲ γῆς τὸ πρὸς νότον*
*ὁ σκληρὸς οὗτος καὶ γίγαντας ἐκτρέφων*
*εἴληχε Πάλλας.*

Quod v. 2. restitui *ὅμαυλον* in libris aliis aliter est corruptum: proxime ad verum accedit codicis Parisini *ὅμαυδον.*

20

Athenaeus III. p. 122 f. *Τὸ δὲ Ταύρειον ὕδωρ ὠνόμασεν Σοφοκλῆς ἐν Αἰγεῖ* (libri *ἐν γαι*) *ἀπὸ τοῦ περὶ Τροιζῆνα ποταμοῦ Ταύρου, παρ' ᾧ καὶ κρήνη τις Ὑόεσσα καλεῖται.* unde corruptum Hesychii locum in *Ταύρειον πόμα* correxerunt critici. *αἷμα ταύρου* ex Helena affertur: de quo infra. Id ad hanc fabulam retulit Brunckius.

21

Pollux X, 160. *Καὶ κέστρα δὲ σφύρας τινὸς εἶδος σιδηρᾶς, ὡς ἐν Αἰγεῖ Σοφοκλῆς*

*Κέστρᾳ σιδηρᾷ πλευρὰ καὶ κατὰ ῥάχιν*
*ἤλαυνε παίων.*

22

Stephanus, *Χώρα: — ἢ ἀπὸ τοῦ χώρα χωρίτης — Σοφοκλῆς Αἰγεῖ*

*ἐκλύομεν. οὐκ ἔγωγε χωρίτην σ' ὁρῶ.*

23

Schol. Pindari Pyth. II, 62. *Πειρατὰς, τοὺς κατὰ πέλαγος λῃστὰς λέγομεν· κυρίως δὲ τοὺς ἐν ὁδῷ κακουργοῦντας· παρ' ὃ δὴ καὶ ὁδουροὺς αὐτοὺς λέγουσιν — Σοφοκλῆς ἐν Αἰγεῖ*

*Πῶς δῆθ' ὁδουρὸν οἷος ἐξέβης λαθών;*

24

Schol. Homeri Odyss. η, 106. *Σοφοκλῆς ἐν Αἰγεῖ* (libri *ἐν Ἄργει*)

*Ὥσπερ γὰρ ἐν φύλλοισιν αἰγείρου μακρᾶς,*
*κἂν ἄλλο μηδὲν, ἀλλὰ τοὐκείνης κάρα*
*κινήσῃς αὔραις, ἀνακουφίζει πτερόν.*

25

Hesychius, *Ἀρύθμων: ἀσυμφώνων. Σοφοκλῆς* ~~*θω*~~ *αἰγί.* Ita codex. Musurus *Αἰγίσθῳ.* Aut *Αἰγεῖ* aut *Αἰθίοψι* scribendum videtur.

---

## *ΑΙΘΙΟΠΕΣ.*

26

Athenaeus III. p. 122 c. et ex eo partim Eustathius p. 752.

*Τοιαῦτά τοί σοι πρὸς χάριν τε κοὐ βίᾳ*
*λέγω, σὺ δ' αὐτὸς ὥσπερ οἱ σοφοὶ τὰ μὲν*
*δίκαι' ἐπαίνει, τοῦ δὲ κερδαίνειν ἔχου.*

27

Photius p. 22, 15. *Ἐσφηκωμένον: ἐσφιγμένον. ἀπὸ τῶν σφηκῶν, οἳ κατὰ μέσον εἰσὶν ἐσφιγμένοι· ἔνθεν καὶ ὁ σφήν. Σοφοκλῆς Αἰθίοψι τοὺς ἐσφιγμένους μύρμηκας τῇ σαρκώσει*

*Τετράπτεροι γὰρ νῶτον ἐν δεσμώμασι*
*σφηκοὶ κελαινόρινες.*

Eadem Etymolog. M. p. 385, 3, omisso nomine fabulae et male scripto *μελαινόρινες.*

28

Hesychius, *Ἄναρκτον: ἀνυπότακτον, οὗ οὐδεὶς ἦρξε. Σοφοκλῆς Αἰθίοψι.*

29

Hesychius, *Ἀνθοβοσκόν: ἀνθοτρόφον. Σοφοκλῆς Αἰθίοψι.*

30

Hesychius, *Ἀπιστεῖ: ἀπειθεῖ. Σοφοκλῆς Αἰθίοψι.*

31

Photius p. 346, 19. *Ὀρθόπτερον: Σοφοκλῆς Αἰθίοψιν. ὀρθοὺς ἔχοντα κολωνούς. τὰ γὰρ εἰς ὕψος ἀνέχοντα πτερὰ ἔλεγον.* Conf. Hesych.

---

## *ΑΙΧΜΑΛΩΤΙΔΕΣ.*

„Argumentum e Troiana historia sumptum docet auctor hypotheseos Aiacis. Agebant in eo Troianae mulieres captivae, ut in Troasin Euripidis: sed diversa fuit tractandi ratio quam iniit Sophocles. Quantum enim ex exiguis reliquiis coniicere licet, satyricum fuit hoc drama." Brunck.

32

Harpocratio in *ἀπομάττων. Σοφοκλῆς ἐν Αἰχμαλωτίσι*

*Στρατοῦ καθαρτὴς κἀπομαγμάτων ἴδρις.*

*καὶ πάλιν*

*Δεινότατος ἀπομάκτης τε μεγάλων συμφορῶν.*

Hesychius, *Ἀπομάκτης: παρακαθάρτης.*

33

Pollux X, 190. *Αὐτὸ δὲ τὸ πήλινον, ὃ περιέληφε τὰ πλασθέντα κήρινα, ἃ κατὰ τὴν τοῦ πυρὸς προσφορὰν τήκεται, καὶ πολλὰ ἐκείνῳ τρήματα ἐναπολείπεται, ἠμύλιγδος καλεῖται· ὅθεν καὶ Σοφοκλῆς ἔφη ἐν Αἰχμαλωτίσιν*

*Ἀσπὶς μὲν ἡμίλιγδος ὡς πυκνὸν πατεῖ.*
d hunc locum spectat Hesychius in *γλίδου χοάναι.*

34

Schol. Aristoph. ad Ranas 233. *Ὅτι οἱ ἀρχαῖοι ›λάμῳ ἀντὶ κερατίου ἐχρῶντο. Σοφοκλῆς Αἰχμαλωτίσιν*
*Ὑφηρέθη σου κάλαμος ὡσπερεὶ λύρας.*
omen fabulae om. Pollux IV, 62.

35

Suidas in *Ὑπὸ παντὶ λίθῳ — Σοφοκλῆς Αἰχμαλωτίσι*
*Ἐν παντὶ γάρ τοι σκορπίος φρουρεῖ λίθῳ.*
Laudat hunc versum scholiastes quoque Nicandri ad heriac. 19. Notissimum proverbium ad quod alludit micus Thesmoph. 528.“ Brunck.

36

Stephanus in *Βωμοὶ — τὸ τοπικὸν βώμιος, καὶ τὰ παραγωγὴν βωμιαῖος. Σοφοκλῆς Αἰχμαλωτίσι*
*Καὶ βωμιαῖον ἐσχάρας λαβών.*

37

Stephanus in *Εὐρώπη — λέγεται καὶ Εὐρώπεια, ἀ διὰ τοῦ ι Εὐρωπία παρὰ Σοφοκλεῖ ἐν Αἰχμαλωτίσι*
*Καὶ νησιώτας καὶ μακρὰς Εὐρωπίας.*
ακρὰν Brunckius.

38

Stephanus, *Χρύση, ἡ πόλις τοῦ Ἀπόλλωνος ἐγ›ς Λήμνου. Σοφοκλῆς — ἐν Αἰχμαλωτίσιν*
*Ταύτην ἐγὼ Κίλλαν τε καὶ Χρύσην.*

39

Photius p. 643, 7. Etymolog. M. p. 789, 43. *Φαῦ›ν: — τεθείη δ' ἂν καὶ ἐπὶ τοῦ μεγάλου Σ. Α.*
*Εἰ μικρὸς ὢν τὰ φαῦλα νικήσας ἔχω.*

40

Herodianus *περὶ μονήρους λέξεως* p. 9, 9. *Παρὰ ›φοκλεῖ ἐν Αἰχμαλωτίσιν εἴρηται Σαρπηδὼν ἀκτή.*

41

Hesychius, *Αἰχμόδετος: αἰχμάλωτος. Σοφο›ῆς Αἰχμαλωτίσιν.*

42

Hesychius, *Ἀλιτρία Σοφοκλῆς Αἰχμαλωτίσι λέγει.*

43

Hesychius, *Ἀμφίλινα κρούπαλα: Σοφο›ῆς Αἰχμαλωτίσι „Πατὴρ δὲ χρυσδὺς ἀμφίλινα ›ούπαλα.“*

44

Hesychius, *Ἀνηκές: ἀνῆκον. Σ. Α.* Codex ›κές et *ἄηκον.*

45

Hesychius, *Ἀπειθής: ἀνυπότακτος, ἄπιστος. Α.*

46

Grammaticus Bekkeri I. p. 447, 7. *Ἀρτάνη: Σ. ἐν Α. ἐπὶ τοῦ δεσμοῦ.*

47

Hesychius, *Ἄσεπτον: ἀσεβές. Σ. Α.*

48

Hesychius, *Ἄχνην Λυδῆς κερκίδος. Σ. Α.*

49

Suidas, *Βαιαί: μικραί. καὶ βαιὸς ἰδίως ἀντὶ τοῦ εἰς. Σοφοκλῆς — ἐν Αἰχμαλωτίσι*
*Ἔσπεισα βαιᾶς κύλικος ὥστε δεύτερα.*

50

Hesychius, *Ἐμπλεύρους: ἐνάλλου εἰς τὰς πλευράς. Σ. Α.*

51

Etymolog. M. p. 344, 47. *Ἐνόπαις: τοῖς ἐνωτίοις. ἀπὸ τοῦ ταῖς τῶν ὤτων ὀπαῖς κεῖσθαι. Σοφοκλῆς.* Vulgo *Ἐνοπαῖς.* Nomen fabulae et prosodia vocabuli cognoscitur ex loco corrupto Hesychii in *ἐνώταις.*

52

Hesychius, *Ἐνστερνομαντίαις: ἐγγαστριμύθοις. Σ. Α.* Pollux II, 162. schol. Platonis p. 372. et Suidas in *ἐγγαστρίμυθος στερνόμαντιν* ex Sophocle memorant.

53

Hesychius, *Ἐπιμάσσεται: ἐπαύξεται ἐπὶ πλέον. — Σ. Α.*

54

Hesychius, *Ἴαννα: ἐν μὲν Αἰχμαλωτίσι Σοφοκλέους ἀπέδοσαν Ἑλληνική· ἐπεὶ Ἴαννας τοὺς Ἕλληνας λέγουσιν. ἐν δὲ Τριπτολέμῳ ἐπὶ γυναικὸς, ὡς καὶ ἐν Ποιμέσι. τινὲς δὲ τὴν Ἑλένην. ἐπιεικῶς δὲ οἱ βάρβαροι τοὺς Ἕλληνας Ἴωνας λέγουσιν. ἐν δὲ Τρωίλῳ βάρβαρον θρήνημα τὸ ἰαί. ἢ ὄνομα γυναικός.*

55

Hesychius, *Ἱερόλας: ἴσισυς* (*ἱερεύς* Heringa). *Σ. Α. ὡς καὶ τὸν γέροντα γεροιδὰν ἢ γεροῦντος λέγει.* Fortasse *ὡς καὶ τὸν γέροντα γηρόλαν λέγει. Ἱερόλας* si ex trimetro est, *ἱρόλας* potius scribendum.

56

Hesychius, *Ἰκτορεύσομεν: ἱκετεύσομεν. Σ. Α.*

57

Choeroboscus Bekkeri III. p. 1399. *Μύνης: — Σ. Μύνου ἔκλινεν Αἰχμαλωτίσιν εἰπὼν „Μύνου τι ἐπιστρέφου γε.“* Huc spectat Eustathius p. 1017, 10.

---

## *ΑΚΡΙΣΙΟΣ Η ΛΑΡΙΣΣΑΙΟΙ.*

58

Stobaeus VIII, 2. *Σ. Ἀκρισίῳ*
*Βοᾷ τις· ὢ ἀκούετ'· ἢ μάτην ὑλακτῶ;*
*ἅπαντα γάρ τοι τῷ φοβουμένῳ ψοφεῖ.*
*ὑλῶ* Hermannus Elem. d. m. p. 50.

59

Stobaeus XII, 2. *Σ. Ἀκρισίῳ*
*Ἀλλ' οὐδὲν ἕρπει ψεῦδος εἰς γῆρας χρόνου.*

60

Stobaeus LXII, 30.
*Δοῦλον γὰρ ἐν δεσμοῖσι δραπέτης ἀνὴρ*
*κῶλον ποδισθεὶς πᾶν πρὸς ἡδονὴν λέγει.*

61

Stobaeus LXXIV, 28. *Σ. Ἀκρισίῳ*
*Ἄλλως τε καὶ κόρη τε κἀργεία γένος,*
*αἷς κόσμος ἡ σιγή τε καὶ τὰ παῦρ' ἔπη.*

62

Stobaeus LXXIX, 24. *Σ. Ἀκρισίῳ*
*Ῥῆσις βραχεῖα τοῖς φρονοῦσι σώφρονα*
*πρὸς τοὺς τεκόντας καὶ φυτεύσαντας πρέπει.*

63

Stobaeus CVIII, 56. *Σ. Ἀκρισίῳ*

*Θάρσει, γύναι· τὰ πολλὰ τῶν δεινῶν, ὄναρ*
*πνεύσαντα νυκτὸς, ἡμέρας μαλάσσεται.*

64

Stobaeus CXIX, 7. *Σ. Ἀκρισίῳ*

*Τοῦ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ.*

65

Stobaeus CXIX, 12. *Σ. Ἀκρισίῳ*

*Τὸ ζῆν γὰρ, ὦ παῖ, παντὸς ἥδιστον γέρας.*
*θανεῖν γὰρ οὐκ ἔξεστι τοῖς αὐτοῖσι δίς.*

66

Stobaeus CXXV, 11. *Σ. Α.*

*Μηδὲ τῷ τεθνηκότι*
*τὸν ζῶντ' ἐπαρκεῖν αὐτὸν ὡς θανούμενον.*

*ἐπαυχεῖν* Tyrwhittus.

67

Hesychius in v. *ὡς, Σοφοκλῆς Λαρισσαίοις ἀντὶ τοῦ λίαν „Ὡς καὶ τύραννι * πᾶς ἐγγίζεται φυγεῖν.“* Brunckius

*Ὡς καὶ τύραννον πᾶς ἐφίεται φυγεῖν.*

68

Athenaeus X. p. 466 b. *Ὁ δὲ παρὰ Σοφοκλεῖ ἐν τοῖς Λαρισσαίοις Ἀκρίσιος καὶ αὐτὸς ἐκπώματα ὅσα πλεῖστα εἶχεν, ὥς φησιν ὁ τραγικὸς*

*Πολὺν δ' ἀγῶνα πάγξεν' ἀγκηρύσσεται,*
*χαλκηλάτους λέβητας ἐκτιθεὶς φέρειν*
*καὶ κοῖλα χρυσόκολλα καὶ πανάργυρα*
*ἐκπώματ', εἰς ἀριθμὸν ἑξήκοντα δίς.*

V. 1. Libri *πάνξενα κηρύσσεται.* Casaubonus *πανξένοις κηρύσσεται.*

69

Stephanus in *Δώτιον, — ὁ πολίτης Δωτιεύς. Σοφ. Λαρισσαίοις*

*Κἀμοὶ τρίτον ῥίπτοντι Δωτιεὺς ἀνὴρ*
*ἀγχοῦ προσῆψεν ἐλαφρὸς ἐν δισκήματι.*

70

Stephanus, *Κράνεια: χωρίον Ἀμβρακιωτῶν. τὸ ἐθνικὸν Κρανειάτης, ὡς Μαρειάτης, ὥς φησι Σοφοκλῆς Λαρισσαίοις.*

71

Hesychius, *Ἄδοξαι παράδοξα, καὶ ἃ οὐκ ἄν τις ἐδόξασεν. Σ. Α.*

72

Hesychius, *Ἀκτίτης λίθος: ἀπὸ τῆς ἐν Πελοποννήσῳ ἀκτῆς. Σ. Α.*

73

Hesychius, *Ἄλοιμα: χρῖσμα τοίχων* (codex *οι τειχων*). *Σ. Α.*

74

Hesychius, *Ἀνταίαν: ἔκτοπον, χαλεπήν. Σοφοκλῆς Ἀκρισίῳ.* Codex *τισίω.*

75

Hesychius, *Ἀπόδρομον: ἐλαττούμενον τοῖς δρόμοις, ἢ παλίνδρομον, ἢ μετ' ἐπάνοδον. Σ. Α.*

76

Hesychius, *Ἀποφανθείς: ἐν τῷ φανερῷ καταστάς. Σ. Α.*

77

Hesychius, *Ἀρώματα: ἀροτριάματα. καὶ ἐπὶ τοῦ ἀροῦν τὰ ἄλφιτα οὕτω λέγεται. Σ. Α.*

78

Hesychius, *Ἄστομος: ὁ μὴ δυνάμενος λέγειν. Σ. Α.*

79

Hesychius, *Βίδην: εἶδος κρούματος. Σοφοκλῆς Ἀκρισίῳ „Ὡς ἐπιψάλλειν βίδην τε καὶ ξυνωδίαν.“ ἄλλοι βίθυν.* Idem, *Βυδοί: οἱ μουσικοί. ἢ κρῖμά τι. Σοφοκλῆς Κρησίν.* ubi dubitatur utrum *Ἀκρισίῳ* an *Κρίσει* corrigendum sit. *Ἀκρισίῳ* in *ἀκρισίῳ* corruptum in Hesychii codice in v. *ἄδοξα*, in *ἀκμ*... in v. *ἀρώματα*, in *ἀκρησίῳ* in v. *ἀπόδρομον.*

80

Hesychius, *Ἰλλάδας: γονὰς ἀγελαίας, καὶ τὰς συστροφάς. Εὐριπίδης Φρίξῳ καὶ Σοφοκλῆς Ἀκρισίῳ.*

---

## *ΑΛΕΞΑΝΔΡΟΣ.*

81

Stephanus in *Ἄστυ — ἀπὸ τοῦ ἀστὸς τὸ ἀστίτης. Σοφ. Ἀλεξάνδρῳ*

*Οὐ γάρ τι θεσμὰ τοῖσιν ἀστίταις πρέπει.*

*καὶ -*

*Βοτῆρα νικᾶν ἄνδρας ἀστίτας.*

82

Stephanus in *Ἔφεσος. — τὸ ἐθνικὸν Ἐφέσιος εὕρηται καὶ Ἐφέσεια διὰ διφθόγγου. οὕτω γὰρ ἐν Ἀλεξάνδρῳ Σοφοκλῆς.*

83

Scholiasta Homeri Iliad. *ε*, 158. et Eustathius p. 533, 40. *Τὸ παρὰ Σοφοκλεῖ ἐν Ἀλεξάνδρῳ „Στείχων ἀγρώστην ὄχλον“ παρώνυμόν ἐστι.*

84

Hesychius, *Δύσαυλος: δυσαύλιστος. Σ. Ἀλεξάνδρῳ.*

85

Hesychius, *Θηλάστρια: τροφός. ἔστι δὲ Ἰακόν. Σ. Ἀλεξάνδρῳ.*

86

Antiatticista Bekkeri p. 108, 31. *Μαιεύτριαν ἀντὶ τοῦ μαῖαν. Σ. Ἀλεξάνδρῳ.*

87

Antiatticista p. 107, 25. *Μνείαν: τὴν μνήμην. Σ. Ἀλεξάνδρῳ.* Conf. Photium p. 272, 17. et Suidam.

---

## *ΑΛΗΤΗΣ.*

88

Stobaeus III, 8.

*Ψυχὴ γὰρ εὔνους καὶ φρονοῦσα τοὔνδικον,*
*κρείσσων σοφιστοῦ παντός ἐστιν εὑρέτις.*

89

Stobaeus XXXV, 4.

*Βραχεῖ λόγῳ καὶ πολλὰ πρόσκειται σοφά.*

90

Stobaeus XXXVI, 16.

*Ἀνὴρ γὰρ ὅστις ἥδεται λέγων ἀεί,*
*λέληθεν αὐτὸν τοῖς ξυνοῦσιν ὢν βαρύς.*

91

Stobaeus LXXXVIII, 11.

*Ἀλλ' εἴπερ εἶ γενναῖος, ὡς αὐτὸς λέγεις,*
*σήμαιν' ὅτου τ' εἶ χὦπόθεν. τὸ γὰρ καλῶς*
*πεφυκὸς οὐδεὶς ἂν μιάνειεν λόγος.*

92

Stobaeus LXXXIX, 8.

*Ἀλλ' ἀξίως ἔλεξας, οὐδὲ μὴν πικρῶς.*
*γένος γὰρ εἰς ἔλεγχον ἐξιὸν καλὸν*
*εὔκλειαν ἂν κτήσαιτο μᾶλλον ἢ ψόγον.*

93

Stobaeus CV, 42.

*Τίς δή ποτ' ὄλβον ἢ μέγαν θείη βροτῶν,*
*ἢ σμικρὸν, ἢ τὸν μηδαμοῦ τιμώμενον;*
*οὐ γάρ ποτ' αὐτῶν οὐδὲν ἐν ταὐτῷ μένει.*

94

Stobaeus CVI, 11.

*Δεινόν γε τοὺς μὲν δυσσεβεῖς κακῶν ἄπο*
*βλαστόντας, εἶτα τούσδε μὲν πράσσειν καλῶς,*
*τοὺς δ' ὄντας ἐσθλοὺς ἔκ τε γενναίων ἅμα*
*γεγῶτας εἶτα δυστυχεῖς πεφυκέναι.*
*οὐ χρῆν τάδ' οὕτω δαίμονας θνητῶν πέρι*
*πράσσειν· ἐχρῆν γὰρ τοὺς μὲν εὐσεβεῖς βροτῶν*
*ἔχειν τι κέρδος ἐμφανὲς θεῶν πάρα,*
*τοὺς δ' ὄντας ἀδίκους τοῖσδε τὴν ἐναντίαν*
*δίκην κακῶν τιμωρὸν ἐμφανῆ τίνειν.*
*κοὐδεὶς ἂν οὕτως εὐτύχει κακὸς γεγώς.*

---

## *ΑΛΚΜΑΙΩΝ.*

95

Porphyrius Quaest. Homer. I. et omisso nomine ...bulae Eustathius p. 1448, 6. *Σοφ. Ἀλκμαίωνι*

*Εἴθ' εὖ φρονήσαντ' εἰσίδοιμί πως φρενῶν*
*ἐπήβολον καλῶν σε.*

...ς om. Eustathius. Fortasse praestat *καί.*

96

Hesychius, *Αἰνῶ: παρίημι, παραιτοῦμαι. καὶ αἰνῶ. Σ. Ἀλκμαίωνι.* Grammaticus Bekkeri I. p. ...8, 28. *Αἰνῶ: παραιτοῦμαι. Σοφοκλῆς. καὶ ἐπαι-*... (*καὶ αἰνῶ σε* addit Suidas).

97

Hesychius, *Ἀραίας: βλαβεράς. Σ. Ἀ.*

---

Ad hanc fabulam Valckenarius in Diatr. p. 150. ...ert versus duo, quos Plutarchus Moral. p. 35 f. 88 f. ...que poetae nomine attulit.

---

## *ΑΛΩΑΔΑΙ.*

Apud grammaticos plerumque *Ἀλεάδαι* scriptum: ...le Valcken. Diatr. p. 15.

98

Stobaeus IV, 37.

*Ενταῦθα μέντοι πάντα τἀνθρώπων νοσεῖ,*
*κακοῖς ὅταν θέλωσιν ἰᾶσθαι κακά.*

99

Stobaeus IX, 4.

*Τοῖς γὰρ δικαίοις ἀντέχειν οὐ ῥᾴδιον.*

100

Stobaeus XII, 3.

*Κακὸν τὸ κεύθειν κοὐ πρὸς ἀνδρὸς εὐγενοῦς.*

101

Stobaeus XIII, 6.

*Καὶ γὰρ δικαία γλῶσσ' ἔχει κράτος μέγα.*

102

Stobaeus XXXIII, 3.

*Ὦ παῖ, σιώπα· πόλλ' ἔχει σιγὴ καλά.*

Sine auctoris nomine attulit Plutarchus Moral. p. 502 e. Menandro tribuit Apostolius XXI, 16. Menandri est qui apud Stobaeum praecedit versus.

103

Stobaeus XXXVI, 11.

*Τί ταῦτα πολλῶν ῥημάτων ἔτ' ἐστί σοι;*
*τὰ γὰρ περισσὰ πανταχοῦ λυπήρ' ἔπη.*

104

Stobaeus XLI, 4.

*Μὴ πάντ' ἐρεύνα· πολλὰ καὶ λαθεῖν καλόν.*

Ita Blomfildus. Vulgo *λαλεῖν καλόν.*

105

Stobaeus XLIII, 6.

*Κοὐκ οἶδ' ὅ τι χρὴ πρὸς ταῦτα λέγειν,*
*ὅταν οἵ τ' ἀγαθοὶ πρὸς τῶν ἀγενῶν*
*κατανικῶνται,*
*ποία πόλις ἂν τάδ' ἐνέγκοι;*

106

Stobaeus LIV, 21.

*Δοκῶ μὲν, οὐδείς· ἀλλ' ὅρα μὴ κρεῖσσον ᾖ*
*καὶ δυσσεβοῦντα τῶν ἐναντίων κρατεῖν*
*ἢ δοῦλον αὐτὸν ὄντα τῶν πέλας κλύειν.*

107

Stobaeus LXXVI, 9.

*Παῦσαι. καταρκεῖ τοῦδε κεκλῆσθαι πατρὸς,*
*εἴπερ πέφυκά γ'· εἰ δὲ μὴ, μείων βλάβη.*
*τό τοι νομισθὲν τῆς ἀληθείας κρατεῖ.*

108

Stobaeus LXXVII, 9.

*Ὁ δὴ νόθος τοῖς γνησίοις ἴσον σθένει.*
*ἅπαν τὸ χρηστὸν γνησίαν ἔχει φύσιν.*

„Versum alterum profert Clemens Strom. VI. p. 741. sed interpolatum.“ Brunck.

109

Stobaeus XCI, 27. et (v. 6—12.) Plutarchus Moral. p. 21.

*Τὰ χρήματ' ἀνθρώποισιν εὑρίσκει φίλους,*
*αὖθις δὲ τιμὰς, εἶτα τῆς ὑπερτάτης*
*τυραννίδος θακοῦσιν αἰσχίστην ἕδραν.*
*ἔπειτα δ' οὐδεὶς ἐχθρὸς οὔτε φύεται*
*πρὸς χρήμαθ' οἵ τε φύντες ἀρνοῦνται στυγεῖν.*
*δεινὸς γὰρ ἕρπειν πλοῦτος ἔς τε τἄβατα*
*καὶ πρὸς τὰ βατὰ, χὠπόθεν πένης ἀνὴρ*
*μηδ' ἐντυχὼν δύναιτ' ἂν ὧν ἐρᾷ τυχεῖν.*
*καὶ γὰρ δυσειδὲς σῶμα καὶ δυσώνυμον,*
*γλώσσῃ σοφὸν τίθησιν εὔμορφόν τ' ἰδεῖν.*
*μόνῳ δὲ χαίρειν καὶ νοσεῖν ἐξουσία*
*πάρεστιν αὐτῷ κἀπικρύψασθαι κακά.*

110

Aelianus N. A. VII, 39. *Ὅσοι λέγουσι θῆλυν ἔλαφον τὰ κέρατα οὐ φύειν, οὐκ αἰδοῦνται τοὺς τοῦ ἐναντίου μάρτυρας· Σοφοκλέα μὲν εἰπόντα,*

*Νομὰς δέ τις κεροῦσσ' ἀπ' ὀρθίων πάγων*
*καθεῖρπεν ἔλαφος.*

*καὶ πάλιν*

*Ἄρασα μύξας * * καὶ κερασφόρους*
*στόρθυγγας εἷρφ' ἔχηλος.*

*καὶ ταῦτα μὲν ὁ τοῦ Σοφίλου ἐν τοῖς Ἀλωάδαις.*

111

Hesychius, *Ἐφυμνεῖς: ἐπᾴδεις. Σ. Ἀ.*

112

*Φρονεῖν* vide fragm. 121.

---

## *ΑΜΥΚΟΣ.*

113

Athenaeus IX. p. 400 b. *Τῇ δὲ τὸν λαγὸν ἐνικῇ αἰτιατικῇ ἀκόλουθός ἐστιν ἡ παρὰ Σοφοκλεῖ ἐν Ἀμύκῳ σατυρικῷ πληθυντικὴ ὀνομαστικὴ*

*Γέρανοι, χελῶναι, γλαῦκες, ἰκτῖνοι, λαγοί.*

*ἰκτῖνοι* epitome: ceteri libri *ἴκτινοι. ἰκτῖνες* Eustathius p. 1534, 15. *ἰκτῖνοι καὶ* grammaticus Hermanni p. 320. *ἰκτὶς καὶ* grammaticus MS. apud Brunckium. Athenaeus paullo post, *λέγουσι δὲ καὶ Ἀττικοὶ λαγὸς, ὡς ὁ Σοφοκλῆς*

*Γέρανοι, κορῶναι, γλαῦκες, λαγοί.*

114

Athenaeus III. p. 94 e. *Σιαγόνος — Σοφοκλῆς Ἀμύκῳ „Σιαγόνας τε δὴ μαλθακὰς τίθησι.“*

---

## *ΑΜΦΙΑΡΕΩΣ.*

115

Schol. Aristoph. ad Ranas 484. *Ὠρακιᾶσαι λέγεται τὸ ὑπὸ φόβου ὠχριᾶσαι, ἀπὸ τοῦ τὴν ὥραν αἰκίζειν. τοῦτο δὲ Σοφοκλῆς εἶπεν ἐν Ἀμφιαράῳ σατυρικῷ*

*Τὸ δ' ὠχριάσθαι θλιβομένης τῆς καρδίας.*

*δ'* addidit Brunckius.

116

Schol. ad Vespas 1501. *Σοφοκλῆς Ἀμφιαράῳ*

*Ὁ πιννοτήρης τοῦδε μάντεως χοροῦ.*

117

„Athenaeus X. p. 454 f. postquam tragicorum *ῥήσεις* aliquot protulit, in quibus homines rustici literarumque rudes, describentes literarum figuras, aenigmatice personarum nomina designant, Sophoclis meminit rusticum inducentis, qui literarum formas non verbis, sed schematibus et gestu saltando exprimeret: *Καὶ Σοφοκλῆς δὲ τούτῳ παραπλήσιον ἐποίησεν ἐν Ἀμφιαράῳ σατυρικῷ τὰ γράμματα παράγων ὀρχούμενον.*“ Brunck.

118

Scholiasta Platonis p. 378. *Παροιμία „ὁ ἁλιεὺς πληγεὶς νοῦν φύσει“ —. κέχρηται Σοφοκλῆς ἐν Ἀμφιαράῳ σατυρικῷ λέγων „ἔτ' αὖ * * ὥσπερ ἁλιεὺς πληγεὶς * * ενων διδάσκαλος.“* Conf. Zenobium II, 14.

119

Hesychius, *Ἁγνίσαι: ἀποθῦσαι. Βουσίριδι* (Euripidis?) *καὶ διαφθεῖραι. Σοφοκλῆς Ἀμφιαράῳ.* Bekkeri Anecd. p. 339, 8. *Ἁγνίσαι: τὸ θῦσαι. διαφθεῖραι κατ' ἀντίφρασιν. οὕτω Σοφοκλῆς.*

120

Hesychius, *Ἀλεξαίθριον: θερμὸν σκέπασμα. Σ. Ἀ.*

121

Erotianus p. 210. *Φρονεῖν ἔλεγον οἱ παλαιοὶ τὸ νοεῖν. — μέμνηται καὶ Σοφοκλῆς ἐν Ἀχαιάδι καὶ ἐν Ἀμφιαράῳ. Ἀχαιάδι* Brunckius in *Ἀλωάδαις* mutabat. Igitur ex *Ἀλεάδαις* corruptum.

122

Erotianus p. 306. *Πέλον: ὑπόφαιον —. ὡς κ… Σοφοκλῆς ἐν Ποιμέσι καὶ ἐν Ἀμφιαράῳ φησὶ „Κ… νὸς πέλης τε μηκάδος βοὸς ῥινόν.“* Libri *ῥινίων* … *ῥηνέων.* Brunckius *ῥινὸν βοός*, recte, nisi *βοὸς* i… fine versus positum fuit.

123

Scholiasta Aeliani N. A. III, 10. *Τρασιὰ λέγετ… ὁ τόπος ἔνθα τὰ σῦκα ξηραίνεται, παρὰ τὸ τερσαί… νειν. ὁ δὲ Σοφοκλῆς ἐν* (*τῷ ἑτέρῳ* addit Zonaras p. 1742.) *Ἀμφιαράῳ ἐπὶ τῆς ἅλω ἐτίθη τὴν λέξιν.*

---

## *ΑΜΦΙΤΡΥΩΝ.*

124

Scholiasta Oedip. Col. 390. *Εὔσοιάν φασι τὴ… εὐθένειαν, καθάπερ καὶ ἐν Ἀμφιτρύωνι*

*Ἐπεὶ δὲ βλάστοι, τῶν τριῶν μίαν λαβεῖν*
*εὔσοιαν ἀρκεῖ.*

125

Hesychius, *Ἀμφιτέρμως: ἀποτετερματισμέ… νως. Σ. Ἀ.*

126

Hesychius, *Ἄτμητον: ἀμέριστον, ἀτραυμάτι… στον. Σ. Ἀ.*

---

## *ΑΝΔΡΟΜΑΧΗ.*

127

Etymolog. M. p. 652, 12. *Παρασάγγαι — παρὰ Σοφοκλεῖ ἐν Ἀνδρομάχῃ* (*ἀνδρομάχῳ* Etymol. Gud. p. 452, 31.) *ἐπὶ τοῦ ἀγγέλου εἴρηται.* Andro… macham Sophoclis nemo praeter Etymologum memora… cuius auctoritatem valde dubiam reddit locus gramma… tici in appendice Photii p. 674, 25. *σαγγάναι δὲ ο… ἀποστελλόμενοι καλοῦνται. Σοφοκλῆς δὲ ἐν τοῖ… Ποιμέσι καὶ Εὐριπίδης ἐν Σκυρίαις παρασάγγας αὐ… τοὺς κεκλήκασιν.*

---

## *ΑΝΔΡΟΜΕΔΑ.*

128

Eratosthenes Catasterism. 16. *Τὴν Κασσιέπειαν… ἱστορεῖ Σοφοκλῆς ὁ τῆς τραγῳδίας ποιητὴς ἐν Ἀν… δρομέδᾳ, ἐρίσασαν περὶ κάλλους ταῖς Νηρηΐσι… εἰσελθεῖν εἰς τὸ σύμπτωμα καὶ Ποσειδῶνα διαφθεῖ… ραι τὴν χώραν, κῆτος ἐπιπέμψαντα.* — Idem 3… *Τοῦτο τὸ κῆτός ἐστιν ὃ Ποσειδῶν ἐπεμψε Κηφεῖ… διὰ τὸ Κασσιέπειαν ἐρίσαι περὶ κάλλους ταῖς Νηρηΐ… σι· Περσεὺς δ' αὐτὸ ἀνεῖλε, καὶ διὰ τοῦτο εἰς τ… ἄστρα ἐτέθη, ὑπόμνημα τῆς πράξεως αὐτοῦ· ἱστορ… δὲ ταῦτα Σοφοκλῆς ὁ τῶν τραγῳδιῶν ποιητὴς ἐ… τῇ Ἀνδρομέδᾳ.*

129

Athenaeus XI. p. 482 d. *Ὅτι δὲ καὶ πλοῖον … κύμβη Σοφοκλῆς ἐν Ἀνδρομέδᾳ φησὶν*

*Ἵπποισιν, ἢ κύμβαισι ναυστολεῖς χθόνα;*

Attulit Eustathius p. 1205, 56. Photius p. 187, … *Κύνβη: πλοίου εἶδος. Σοφοκλῆς.*

130

Phrynichus p. 374. Lobeck. *Πολλὴν διατριβὴ…*

ιοιησάμην ἐπισκοπούμενος, εἰ μόνον λέγεται πρόσ-πος νεκρὸς καὶ μὴ πρόσφατον πρᾶγμα. εὑρίσκετο Σοφοκλῆς ἐν τῇ Ἀνδρομέδᾳ τιθεὶς οὕτω.

*Μηδὲν φοβεῖσθαι προσφάτους ἐπιστολάς.*

131

**Schol. Theocriti IV, 62.** *Τοὺς σατύρους ἀκρατεῖς οἱ* ιείονές φασιν, ὡς καὶ τοὺς Σειληνοὺς καὶ Πᾶνας, *Αἰσχύλος μὲν ἐν Γλαύκῳ, Σοφοκλῆς δὲ ἐν Ἀν-ομέδᾳ.*

132

**Hesychius,** *Κουρίον: Σοφ. Ἀνδρομέδᾳ*

*ἡμιουτὸν κόριον ἠρέθη πόλει.*
*νόμος γάρ ἐστι τοῖς βαρβάροις*
*θυηπολεῖν βρότειον ἀρχῆθεν γέρος τῷ Κρόνῳ.*

**ae Scaliger sic correxit**

*Αἱμόρρυτον κούρειον ἠρέθη πόλει·*
*νόμος γάρ ἐστι τοῖσι βαρβάροις Κρόνῳ*
*θυηπολεῖν βρότειον ἀρχῆθεν γένος.*

**3.** *γέρας* **Buttmannus in Actis Acad. Boruss. a. 14. p. 174.**

133

**Pollux X, 120.** *Σοφοκλῆς δ' ἐν Ἀνδρομέδᾳ αὐ-γειλέσι* (*αὐτολίθοισι* **Hemsterhusius**) *ληκύθοις ἔφη, λῶν ἀλαβάστους μονολίθους.*

134

**Hesychius,** *Ἀμβλύσκει: ἐξαπλοῖ. κυρίως δὲ ἀμπέλου. καὶ ἐκτιτρώσκει. Σ. Ἀνδρομέδᾳ.*

135

**Hesychius,** *Ἀμφίπρυμνον: πλοῖον ἑκατέρω-ν πρύμνας ἔχον. Σ. Ἀνδρομέδᾳ.*

136

**Hesychius,** *Ζευξίλεως: ζευκτὸς λαός. ἢ ᾧ ἐζευγμένοι εἰσὶ λαοί. Σ. Ἀνδρομέδᾳ.* **Conf. Pho-n p. 53, 8.**

137

**Etymolog. M. p. 272, 3.** *Δίγονος μάσθλης: ιλοῦς ἱμάς. ἢ ὅτι οὐ μόνον κατὰ τὴν βαφὴν ἦν οὗτος, ἀλλὰ καὶ ἀπὸ τοῦ αἵματος ἐκέχρωστο. φοκλῆς Ἀνδρομέδᾳ „Ἰδοὺ δὲ φοίνιον | μάσθλητα γονον."* *φοίνιον* **Brunckius pro** *φοινόν.* **Hesy-ius,** *Μάσθλης: Σοφοκλῆς Ἀνδρομέδᾳ καὶ Συν-ίπνοις.*

138

**Photius p. 317, 7.** *Οἰήτας: τοὺς κωμήτας. Σο-κλῆς Ἀνδρομέδᾳ.* **Conf. Hesychii interpretes vol. p. 721.**

139

**Hesychius,** *Σαλητόν: Σοφοκλῆς Ἀνδρομέδᾳ. τὶ πατρὸς* (**corrigunt** *σαράπιδος*)*. ἢ βαρβαρικὸν τῶνα. οἱ δὲ καὶ μεσόλευκον αὐτὸν εἶναί φασι.* **em** *Σάρητον: ὁ σάραπις. καὶ εἶδος χιτῶνος.*

---

## *ΑΝΤΗΝΟΡΙΔΑΙ.*

140

**Eustathius p. 405. e Strabone p. 608.** *Σοφοκλῆς ιορεῖ ἐν ἁλώσει Ἰλίου παρδαλέην τῆς θύρας προ-θῆναι τοῦ Ἀντήνορος, σύμβολον τοῦ ἀπόρθητον θῆναι τὴν οἰκίαν· τὸν δὲ ἅμα παισὶ μετὰ τῶν ριγενομένων Ἐνετῶν εἰς Θρᾴκην περισωθῆναι, ἐκεῖθεν διεκπεσεῖν εἰς τὴν ἐν τῷ Ἀδρίᾳ Ἐνετικήν.*

141

**Athenaeus IX. p. 373 d.** *Σοφοκλῆς Ἀντηνορίδαις*

*Ὄρνιθα καὶ κήρυκα καὶ διάκονον.*

142

**Hesychius,** *Ἀφεψιασάμην: ἀφωμίλησα. Σ. Ἀντηνορίδαις.*

143

**Hesychius,** *Ἐκβαβάξαι: ἐκσαλεῦσαι. Σ. ἐν Ἀντηνορίδαις.*

---

## *ΑΤΡΕΥΣ Η ΜΥΚΗΝΑΙΑΙ.*

144

**Scholiasta Euripidis Hippolyti 309.** *Σ. Μυκηναίοις*

*Μὰ τὴν ἐκείνου δειλίαν, ἣ βόσκεται,*
*θῆλυς μὲν αὐτὸς, ἄρσενας δ' ἐχθροὺς ἔχων.*

145

**Hesychius,** *Ἐπισπάσει: ἐπιτεύξεται. Σ. Ἀτρεῖ ἢ Μυκηναίαις* (**codex** *μυκήναις*)*. ἐπὶ τῶν τοῖς λίνοις λαμβανόντων.*

---

## *ΑΧΑΙΩΝ ΣΥΛΛΟΓΟΣ Η ΣΥΝΔΕΙ-ΠΝΟΝ Η ΣΥΝΔΕΙΠΝΟΙ.*

**Cicero ad Quintum fratrem II, 16.** *Συνδείπνους Σοφοκλέους, quamquam a te actam fabellam video esse festive, nullo modo probavi.* **Athenaeus VIII. p. 365 b.** *Σύνδειπνον εἴρηκεν ἐπὶ συμποσίου Λυσίας — διόπερ τινὲς καὶ τὸ Σοφοκλέους δρᾶμα κατὰ τὸ οὐδέτερον ἐπιγράφειν ἀξιοῦσι ΣΥΝΔΕΙΠΝΟΝ.* **Fuit drama satyricum. Aristot. Rhet. II. 26. p. 382. ed. Cant. ab Gaisfordo indicatus,** *Εἴ τις φαίη „τὸ ἐπὶ δεῖπνον κληθῆναι τιμιώτατον· διὰ γὰρ τὸ μὴ κληθῆναι ὁ Ἀχιλλεὺς ἐμήνισε τοῖς Ἀχαιοῖς ἐν Τενέδῳ· ὁ δ' ὡς ἀτιμαζόμενος ἐμήνισε· συνέβη δὲ τοῦτο ἐπὶ τοῦ μὴ κληθῆναι."* **ubi editor Cantabrigiensis: „Unde fabulae argumentum sumpsit Sophocles quam vocavit** *συνδείπνους.*"

146

**Stobaeus XXVI, 1.** *Σ. ἐκ Συνδείπνου*

*Λάθα Πιερίσι στυγερὰ καὶ ἀνάρετος*
*ὠδυνάσεις θανάτοις εὐποτμότατε,*
*μελέων ἀνέχουσα βίου βραχὺν ἰσθμόν.*

147

**Athenaeus I. p. 17 d. (ex eo Eustathius p. 1828, 28.)** *Σ. ἐν Ἀχαιῶν συνδείπνῳ*

*Ἀλλ' ἀμφὶ θυμῷ τὴν κάκοσμον οὐράνην*
*ἔρριψεν οὐδ' ἥμαρτε· περὶ δ' ἐμῷ κάρᾳ*
*κατάγνυται τὸ τεῦχος οὐ μύρου πνέον·*
*ἐδειματούμην δ' οὐ φίλης ὀσμῆς ὕπο.*

148

**Athenaeus XV. p. 679 a.** *Σ. Συνδείπνοις*

*Οὔτοι γένειον ὧδε χρὴ διηλιφὲς*
*φοροῦντα κἀντίπαιδα καὶ γένει μέγαν*
*γαστρὸς καλεῖσθαι παῖδα, τοῦ πατρὸς παρόν.*

149

**Athenaeus XV. p. 686 a.** *Τοῖς παισὶ παρακελεύομαι κατὰ τὸν Σοφοκλέα, ὃς ἐν Συνδείπνοις φησὶ*

*Φορεῖτε, μασσέτω τις, ἐγχείτω βαθὺν*
*κρητῆρ'· ὅδ' ἀνὴρ οὐ πρὶν ἂν φάγῃ καλῶς*
*ὅμοια καὶ βοῦς ἐργάτης ἐργάζεται.*

150

Schol. Pindari Isthm. II, 68. Τὸ γὰρ ἀπόνειμον ἀντὶ τοῦ ἀνάγνωθι. Σοφοκλῆς ἐν Ἀχαιῶν συλλόγῳ

*Σὺ δ' ἐν θρόνοισι γραμμάτων πτύχας ἔχων*
*ἀπόνειμον.*

(καὶ πάλιν addit Brunckius)

*Νέμει τίς οὐ πάρεστι, τίς ξυνώμοσε.*

V. 1. Boeckhius πτυχὰς, recte, nisi ἔχων πτύχας scripsit poeta. Non attigit hunc locum Matthiae ad Eurip. Bacchar. v. 62.

151

Pollux X, 133. Τὰ δὲ ναυτικὰ σκεύη — πλῆκτρα, ὡς Σοφοκλῆς ἐν Ἀχαιῶν συλλόγῳ

*Ὡς ναοφύλακες νυκτέρου ναυκληρίας*
*πλήκτροις ἀπευθύνουσιν οὐρίαν τρόπιν.*

152

Plutarchus Moral. p. 74 a. Ὁ παρὰ Σοφοκλεῖ τὸν Ἀχιλλέα παροξύνων Ὀδυσσεὺς οὔ φησιν ὀργίζεσθαι διὰ τὸ δεῖπνον, ἀλλά φησιν

*Ἤδη τὰ Τροίας εἰσορῶν ἐδώλια*
*δέδοικας.*

καὶ πρὸς ταῦτα πάλιν τοῦ Ἀχιλλέως διαγανακτοῦντος καὶ ἀποπλεῖν λέγοντος

*Ἐγῷδ' ὃ φεύγεις, οὐ τὸ μὴ κλύειν κακῶς·*
*ἀλλ' ἐγγὺς Ἕκτωρ ἐστίν· οὐ μένειν καλόν.*

V. ultimo alii libri θυμαίνειν καλόν.

153

Herodianus περὶ σχημάτων p. 57. 58. Ἀστεϊσμὸς δέ ἐστι προσποίησις πιθανὴ τοῦ μὴ λέγειν ἢ μνημονεύειν ἡμᾶς ἃ λέγομεν, ὡς παρὰ Σοφοκλεῖ εἰσῆκται λέγων Ὀδυσσεὺς τῷ Διομήδει

*Ἐγὼ δ' ἐρῶ σοι δεινὸν οὐδὲν, οὐθ' ὅπως*
*φυγὰς πατρῴας ἐξελήλασαι χθονὸς*
*οὐθ' ὡς ὁ Τυδεὺς ἀνδρὸς αἷμα συγγενοῦς*
*κτείνας ἐν Ἄργει ξεῖνος ὢν οἰκίζεται,*
*οὐθ' ὡς πρὸ Θηβῶν ὠμοβρῶς ἐδαίσατο*
*τὸν Ἀστάκειον παῖδα διὰ κάρα τεμών.*

154

Schol. Sophoclis Oedip. Col. v. 9. et Etymolog. M. p. 194, 5. Σοφοκλῆς ἐν Συνδείπνῳ βέβηλον τὸν ἰδιώτην φησί.

155

Schol. Sophoclis Aiac. v. 190. Τὸν Ὀδυσσέα Σισύφου συνήθως φησὶ Σοφοκλῆς καὶ ἐν Συνδείπνῳ

*Ὦ πάντα πράσσων, ὡς ὁ Σίσυφος πολὺς*
*ἔνδηλος ἐν σοὶ πανταχοῦ, μητρὸς πατήρ.*

156

Hesychius, Ἀζειῶται: ἔθνος τῆς Τρῳάδος. Σ. Συνδείπνῳ.

157

Hesychius, Ἐκκεκώπηται (codex ἐκκεκό—): ἐξήρτυται. Σ. Συλλόγῳ.

158

Hesychius, Ἐπιξενοῦσθαι: πορεύεσθαι. Σ. Ἀχαιῶν Συλλόγῳ.

159

Hesychius, Ἐπισειούσης: ἐπικελευομένης. ἀπὸ τῶν τὰς ἡνίας ἐπιχαλώντων. Σ. Ἀχαιῶν Συλλόγῳ.

160

Μάσθλη: vide fragm. 137.

161

Hesychius, Ξυμβόλους: — τὰς διὰ τῆς φήμ[ης] γινομένας μαντείας, ἃς Φιλόχορός φησι Δήμητρ[α] εὑρεῖν. Σ. Ἀχαιῶν Συλλόγῳ.

---

## ΑΧΙΛΛΕΩΣ ΕΡΑΣΤΑΙ.

162

Stobaeus LXIV, 13.

*Νόσημ' ἔρωτος τοῦτ' ἐφίμερον κακόν·*
*ἔχοιμ' ἂν αὐτὸ μὴ κακῶς ἀπεικάσαι,*
*ὅταν πάγου φανέντος αἰθρίου χεροῖν*
*κρύσταλλον ἁρπάσωσι παῖδες ἀσταγῆ.*
*τὰ πρῶτ' ἔχουσιν ἡδονὰς ποταινίους,*
*τέλος δ' ὁ χυμὸς οὔθ' ὅπως ἀφῇ θέλει*
*οὔτ' ἐν χεροῖν τὸ κτῆμα σύμφορον μένειν.*
*οὕτω γε τοὺς ἐρῶντας αὑτὸς ἵμερος*
*δρᾶν καὶ τὸ μὴ δρᾶν πολλάκις προΐεται.*

Plutarchus Moral. p. 508 c. Ὥσπερ οἱ παῖδες τὸ[ν] κρύσταλλον οὔτε κατέχειν οὔτε ἀφεῖναι θέλουσι. Ze[]nobius V, 58. Ὁ παῖς τὸν κρύσταλλον. ἐπὶ τῶν μή[τε] κατέχειν δυναμένων μήτε μεθεῖναι βουλομένων [] παροιμία εἴρηται. μέμνηται αὐτῆς Σοφοκλῆς Ἀχι[λ]λέως ἐρασταῖς.

163

Scholiasta Pindari Nem. III, 60. Διωκομένη ἡ Θέ[]τις ὑπὸ τοῦ Πηλέως μετέβαλλε τὰς μορφὰς, ὁτὲ μὲν εἰς πῦρ, ὁτὲ δὲ εἰς θηρία. ὁ δὲ καρτερῶ[ν] περιγέγονε, περὶ δὲ τῆς μεταμορφώσεως αὐτῆς [καὶ] Σοφοκλῆς φησιν — ἐν Ἀχιλλέως ἐρασταῖς

*Τίς γάρ με μόχθος οὐκ ἐπεστάτει; λέων*
*δράκων τε, πῦρ, ὕδωρ.*

Schol. Aristophanis Nubium 1064. et schol. Apollon[ii] Rh. IV, 816. Σοφοκλῆς δὲ ἐν Ἀχιλλέως ἐρασταῖ[ς] φησιν ὑπὸ Πηλέως λοιδορηθεῖσαν τὴν Θέτιν κατα[]λιπεῖν αὐτόν.

164

Schol. Pindari Nem. VI, 90. Οὐκ ἐκ παραδρομῆ[ς] δὲ ζάκοτον εἶπε τὸ δόρυ τοῦ Ἀχιλλέως — ἀλλ' ὅτ[ι] ἰδιώτερον παρὰ τὰ ἄλλα κατεσκεύαστο. δίκρουν γὰ[ρ] ὥστε δύο αἰχμὰς ἔχειν καὶ μιᾷ βολῇ δισσὰ τὰ τραύ[]ματα ἀπεργάζεσθαι. — Σοφοκλῆς ἐν Ἀχιλλέως ἐρα[]σταῖς „Ἡ δορὸς διχόστομον πλᾶκτρον· δίπτυχ[οι] γὰρ ὀδύναι μιν ἤρικον Ἀχιλληΐου δόρατος."

165

Scholiasta Aristoph. Vespar. 1021. Παιδικὰ ἐπ[ὶ] ἀρρένων καὶ ἐν τοῖς Ἀχιλλέως ἐρασταῖς ἐξείρηται· ἐπιδόντων γάρ τι τῶν σατύρων εἰς τὴν γυναικῶ[ν] ἐπιθυμίαν φησὶν ὁ Φοῖνιξ

*Παπαῖ, τὰ παιδίχ', ὡς ὁρᾷς, ἀπώλεσας.*

Eadem Photius p. 369, 10. Suidas in παιδικά. Gram[]maticus Coislinianus apud Bachmannum Anecd. I. p. 3[]4 ex quo Montefalcon. p. 474. ὡς ὁρῶσ' ἀπώλεσας e[] dit, Bachmannus, ex coniectura ut videtur, ὡς ἐ[] σ' ἀπώλεσαν.

166

Athenaeus IX. p. 401 d. Τίς μνημονεύει. κα[ὶ] τὸ σύνθετον ὁμοίως ἡμῖν, συάγρου, ἐπὶ τοῦ []

υός; Σοφοκλῆς μὲν γὰρ ἐν Ἀχιλλέως ἐρασταῖς ἐπὶ υνὸς ἔταξε τοὔνομα, ἀπὸ τοῦ σῦς ἀγρεύειν, λέγων

Σὺ δ', ὦ σύαγρε, Πηλιωτικὸν τρέφος.

pitome et Eustathius p. 1872, 12. βρέφος.

167

Scholiasta Sophoclis Oedip. Col. v. 481. Ὕδατος, ελίσσης: ὕδατος καὶ μέλιτος. ἀπὸ γὰρ τοῦ οιοῦντος τὸ ποιούμενον. καὶ ἐν Ἐρασταῖς

Γλώσσης μελίσσης τῷ κατερρυηκότι.

168

Choeroboscus Bekkeri III. p. 1267. — ἀρῶξιν παρὰ όφοκλεῖ ἐν Ἀχιλλέως ἐρασταῖς

Ὁ δ' ἔνθ' ὅπλοις ἀρῶξιν Ἡφαίστου τεχνίτου.

ῦτο γὰρ κατὰ μεταπλασμὸν ἀπὸ τοῦ ἀρρήκτοις νόμενον —. Codex ὁ δὲ ἔνθ'. τεχνίτου in τέχνῃ itandum videtur.

169

Hesychius, Ὀμμάτειος πόθος: διὰ τὸ ἐκ ῦ ὁρᾶν ἀλίσκεσθαι ἔρωτι. ἐκ τοῦ γὰρ ἐσορᾶν νεται ἀνθρώποις ἐρᾶν. καὶ ἐν Ἀχιλλέως ἐρασταῖς ματοπάλογχα φησίν. ὄμματ' ἀπόλογχα Is. Voss. Alia tentant Blomfildus ad Aeschyli Agam. p. 0. et Erfurdtius in horreo Regimont. III. p. 468.

---

## ΔΑΙΔΑΛΟΣ.

170

Pollux VII, 117. Ἐπεὶ δὲ καὶ τοὺς οἰκοδόμους ιηρος τέκτονας καλεῖ, καὶ ἀρχιτέκτων εἴρηται παρὰ άτωνι. βιαία γὰρ ἡ ἐν τῷ Σοφοκλέους Δαιδάλῳ Γεκτόναρχος Μοῦσα."

171

Schol. Platonis p. 396. Σαρδάνιος γέλως — Σιμωνής δὲ ἀπὸ Τάλω τοῦ χαλκοῦ, ὃν Ἥφαιστος ἐδημιούργησε Μίνῳ, φύλακα τῆς νήσου ποιήσασθαι, ψυχον ὄντα, τοὺς πελάζοντάς φησι κατακαίοντα ιρεῖν. ὅθεν ἀπὸ τοῦ σεσηρέναι διὰ τὴν φλόγα ' σαρδάνιόν φησι λεχθῆναι γέλωτα. ὁμοίως καὶ φοκλῆς ἐν Δαιδάλῳ. Confer paroemiographos in ρδώνιος γέλως.

172

Schol. Apollonii Rhodii IV, 1638. Τάλως δὲ ἦν ' τοῦ γένους ἐκείνου τοῦ χαλκοῦ. ὅλος δὲ χαλ-ς ὢν σύριγγα εἶχεν ἐπὶ τοῦ σφυροῦ ὑμένι περιειένην. σῦριγξ δέ ἐστιν ἡ περόνη. ῥαγείσης οὖν σύριγγος εἵμαρτο ἁλῶναι αὐτόν. τοῦτο δὲ καὶ φοκλῆς φησιν ἐν Τάλῳ. Brunckius ἐν Δαιδάλῳ.

173

Scholiasta Aristoph. Pacis v. 73. Μεγάλοι λέγονεἶναι κατὰ τὴν Αἴτνην κάνθαροι. — Σοφοκλῆς ιδάλῳ „Ἀλλ' οὐδὲ μὲν δὴ κάνθαρος τῶν Αἰτναίων ντων." λέγει δὲ πάντα εἰκάζων εἰς μέγαν.

174

Hesychius, Γοργάδων: ἁλιάδων. Σ. Δαιδάλῳ.

175

Hesychius, Ἐσέφθην: ἐσεβάσθην, ἡσυχάσας ύνθην. Σ. Δαιδάλῳ (codex παιδάλῳ). ἐσέφθην Sophocle Choeroboscus Bekkeri p. 1418. et Photius 19, 7.

---

## ΔΑΝΑΗ.

176

Scholiasta Aiacis v. 1. et Suidas in πεῖρα, Πεῖρα γὰρ ἡ βλάβη, ὡς καὶ ἐν Δανάῃ

Οὐκ οἶδα τὴν σὴν πεῖραν· ἓν δ' ἐπίσταμαι,
τοῦ παιδὸς ὄντος τοῦδ' ἐγὼ διόλλυμαι.

177

Hesychius, Ἀνθήμερον: σήμερον ἡμέρα. Σ. Δανάῃ. Brunckius Αὐθημερόν. Praecedit apud Hesychium, Ἀνθ' ἡμέρας: δι' ὅλης τῆς ἡμέρας.

178

Hesychius, Ἀφροδισία ἄγρα: Σ. Δανάῃ

Γόνον τε μήλων κἀφροδισίαν ἄγραν.

Codex γόνοιον μήλων.

179

Antiatticista p. 85, 18. Βράχιστον: βραχύτατον. Σ. Δανάῃ.

180

Antiatticista p. 90, 31. Δαιμονίζεσθαι: Σ. Δανάῃ. δεδαιμονισμένον ἀντὶ τοῦ τεθεωμένον.

181

Antiatticista p. 97, 31. Ζῆ: ἀντὶ τοῦ ζῆθι. — Σ. Δανάῃ

Ζῆ, πῖνε, φέρβου.

---

## ΔΙΟΝΥΣΙΑΚΟΣ.

182

Grammaticus Bekkeri p. 385, 18. Ἄλυπον ἄνθος ἀνίας: εἰ θέλοις εἰπεῖν ἐπί τινος πράγματος ὃ λύπης ἀπαλλάττει, οὕτως ἂν χρήσαιο, ὡς καὶ Σ. ἐν τῷ Διονυσιακῷ σατυρικῷ ἐπὶ οἴνου πρῶτον γευσαμένων τῶν κατὰ τὸν χορὸν σατύρων

Πόθεν ποτ' ἄλυπον ὧδε
εὗρον ἄνθος ἀνίας;

ὅλον δὲ τὸ μελύδριον πολιτικὸν ἄγαν γέγονε. μετὰ γὰρ τῆς ἄλλης ἐναργείας λελυμένην ἔχει τὴν ἑρμηνείαν καὶ μεθύουσιν ἁρμόττουσαν.

183

Hesychius, Θωχθείς: θωρηχθεὶς, μεθυσθείς. Σ. Διονυσιακῷ.

---

## ΔΟΛΟΠΕΣ.

184

Photius p. 36, 12. et Etymol. M. p. 393, 43. Εὐναῖος: ἐγκεκρυμμένος. Σ. Δόλοψιν

Εὐναῖος εἴη δραπέτιν στέγην ἔχων.

Apud Etymolog. δραπέτην. Hesychius, Εὐναῖος: λαγώς. Σ. Δόλοψι. καταπτηχής.

---

## ΕΛΕΝΗ. ΕΛΕΝΗΣ ΑΡΠΑΓΗ. ΕΛΕΝΗΣ ΑΠΑΙΤΗΣΙΣ. ΕΛΕΝΗΣ ΓΑΜΟΣ.

Aristides vol. II. p. 307. Αὐτὴν μὲν γὰρ ἐὰν ἴδωσι τὴν Ἑλένην, Ἑλένην λέγω; θεράπαιναν μὲν οὖν ὁποίαν ἐποίησε Μένανδρος τὴν Φρυγίαν, τῷ ὄντι παιδιὰν ἀποφαίνουσι τοὺς σατύρους τοῦ Σοφοκλέους.

„Fabulas quibus argumentum praebuit Helenae historia, omnes coniungo; nescio quatuorne dicam, an tres, an solummodo duas. *ΕΛΕΝΗ* citatur nude a comici enarratore ad Equites 84. *ΕΛΕΝΗΣ ΑΡΠΑΓΗ* laudatur ab auctore argumenti Aiacis, et ita quidem, ut intelligatur exhiberi in hoc dramate, si modo scriptum fuit unquam, debuisse Helenam e Troia ereptam, non autem Thesei facinus, qui illam necdum maturam rapuerat. Reliquarum duarum certior est auctoritas." Brunck.

185

Schol. Aristoph. Equit. 84. *Βέλτιστον ἡμῖν αἷμα ταύρειον πιεῖν*: — ἔστι γοῦν ἀπὸ Σοφοκλέους Ἑλένης

*Ἐμοὶ δὲ λῷστον αἷμα ταύρου γ' ἐκπιεῖν,*
*καὶ μή γε πλείω τῶνδ' ἔχειν δυσφημίας.*

τινὲς δέ φασιν ὅτι Σοφοκλῆς περὶ Θεμιστοκλέους τοῦτό φησι. ψεύδονται δέ· οὐ γάρ ἐστι πιθανόν. V. 1. Mirum si poeta hoc scribere maluit quam *αἷμα ταύρειον πιεῖν*. V. 2. γε] με? Ceterum conf. fragm. 20.

186

Schol. Euripidis Phoeniss. 312. *Εἰ γὰρ καὶ Ἑλληνικῶς ἐλάλουν αἱ Φοίνισσαι, ἀλλ' οὖν γε τὴν πάτριον ἀπήχησιν ἔσωζον τῆς φωνῆς, ὡς Σοφοκλῆς ἐν Ἑλένης ἀπαιτήσει*

*Καὶ γὰρ χαρακτὴρ αὐτὸς ἐν γλώσσῃ τί με*
*παρηγορεῖ Λάκωνος ὀσμᾶσθαι λόγου.*

187

Erotianus p. 180. *Θράσσει*: — ἔστι δὲ ὀχλεῖ, ὡς καὶ Σοφοκλῆς ἐν Ἑλένης ἀπαιτήσει φησὶ

*Γυναῖκα δ' ἐξελόντες, ἣ θράσσει γένυν*
*τε ὡς τοῦ μὲν αἰόλον γραφίοις ἐνημμένοις.*

V. 2. alii libri ἔωλον.

188

Strabo XIV. p. 643. *Οἱ δὲ τὸν Κάλχαντά φασιν ἀποθανεῖν ὑπὸ λύπης καὶ κατά τι λόγιον. λέγει δ' αὐτὸ Σοφοκλῆς ἐν Ἑλένης ἀπαιτήσει, ὡς εἱμαρμένον εἴη ἀποθανεῖν, ὅταν κρείττονι ἑαυτοῦ μάντει περιτύχῃ.*

189

Hesychius, *Ἀναχαιτίζειν*: ἀναπεῖθειν, ἀναχαλινοῦν. ἀνακρούεται, ἀναποδίζει. κυρίως δὲ ἐπὶ τῶν ἵππων. Σ. Ἑλένης ἀπαιτήσει. Suidas, *Ἀναχαιτίζει*: αἰτιατικῇ. ἀναποδίζει, ἐγκόπτει. ἀναχαιτίζειν Σοφοκλῆς τὸ ἀπειθεῖν καὶ ἀντιτείνειν.

190

Athenaeus III. p. 76 d. *Σοφοκλῆς ἐν Ἑλένης γάμῳ τροπικῶς τῷ τοῦ δένδρου ὀνόματι τὸν καρπὸν ἐκάλεσεν εἰπὼν*

*Πέπων ἐρινὸς * * ἀχρεῖος ὢν*
*ἐς βρῶσιν ἄλλους ἐξερινάζεις λόγῳ.*

Ex Athenaeo Eustathius p. 1205, 3.

191

Etymolog. M. p. 601, 20. *Νένωται*: γενόηται. παρὰ Σοφοκλεῖ Ἑλένης γάμῳ.

192

Photius p. 371, 21. *Πανόν*: ἀπὸ τοῦ πάντα φαίνειν σχηματισθέντα, κατὰ μεταβολὴν τοῦ φ. Σ. Ἑλένης γάμῳ.

193

Grammaticus in appendice ad Photium p. 674, 2[illegible] *Ὀροσάγγαι οἱ σωματοφύλακες, ὡς Ἑλένης γάμῳ κ[illegible] Τρωίλῳ.*

---

*ΕΠΙΓΟΝΟΙ.*

194

Stobaeus XXXVIII, 27.

*Φιλεῖ γὰρ ἡ δύσκλεια τοῖς φθονουμένοις*
*νικᾶν ἐπ' αἰσχροῖς, ἢ 'πὶ τοῖς καλοῖς πλέον.*

195

Stobaeus LXXIII, 51.

*Ὦ πᾶν σὺ τολμήσασα καὶ πέρα, γύναι*
*κάκιον ἄλλ' οὐκ ἔστιν οὐδ' ἔσται ποτὲ*
*γυναικὸς, εἴ τι πῆμα γίγνεται βροτοῖς.*

196

„Sophoclis Epigonos Latine expresserat Attius, cu[illegible] versum laudat Cicero Tuscul. II. 24. *Tum Cleanth[illegible] quum pede terram percussisset, versum ex Epigon[illegible] ferunt dixisse:*

*Audisne haec, Amphiarae sub terram abdite!*

Sophoclis Epigonorum ab Attio conversorum [illegible] Cicero in libro de oratorum optimo genere cap. VI [illegible] *Nec Andromacham igitur aut Antiopam, aut Epig[illegible] nos Latinos recipiant. Sed tamen Ennium, et Pac[illegible] vium, et Attium potius quam Euripidem et Sophocle[illegible] legunt.* Euripidis Andromacham apud Romanos doc[illegible] Ennius: Antiopam Pacuvius: Sophoclis Epigonos Atti[illegible] Hinc erroris arguitur Davisius, qui ad Tusc. II. e[illegible] Aeschyli dramate conversos fuisse ait Attii Epigonos." Brunck.

197

Scholiasta Sophoclis Oedip. Col. v. 378. *Κοῖλον* [illegible] τὸ Ἄργος κοῖλόν φασι, καθάπερ καὶ ἐν Ἐπιγόνοι[illegible]

*Τὸ κοῖλον Ἄργος οὐ κατοικήσαντ' ἔτι.*

198

De loco Athenaei XIII. p. 584 d. vide ad Aeschyl[illegible] fragm. 51.

---

*ΕΡΙΣ.*

199

Athenaeus XIV. p. 646 d. *Σοφοκλῆς Ἔριδι*

*Ἐγὼ δὲ πεινῶσ' αὖ πρὸς ἴτρια βλέπω.*

200

Hesychius, *Εὔωρος γάμος*: Σ. Ἔριδι. [illegible] ὥριος ἢ ὀλίγωρος. οὕτω γὰρ λέγουσι κατὰ ἐπίτ[illegible] αιν, ὡς ὁ αὐτὸς ἐν Σκυρίαις χρῆται τῷ εὐ[illegible]

201

Antiatticista p. 108, 9. *Μίαν μίαν*: ἀντὶ τ[illegible] κατὰ μίαν. Σ. Ἔριδι.

---

*ΕΡΙΦΥΛΗ.*

202

Stobaeus I, 1.

*Ἀρετῆς βέβαιαι δ' εἰσὶν αἱ κτήσεις μόναι.*

203

Stobaeus VII, 7.

*Ἀνδρῶν γὰρ ἐσθλῶν στέρνον οὐ μαλάσσεται.*

204

Stobaeus XLIII, 7.

Ὅπου δὲ μὴ τἄριστ' ἐλευθέρως λέγειν
ἔξεστι, νικᾷ δ' ἐν πόλει τὰ χείρονα,
ἁμαρτίαι σφάλλουσι τὴν σωτηρίαν.

205

Stobaeus XCIX, 20.

Πῶς οὖν μάχωμαι θνητὸς ὢν θείᾳ τύχῃ,
ὅπου τὸ δεινὸν ἐλπὶς οὐδὲν ὠφελεῖ;

206

Stobaeus CXVII, 3.

Γήρᾳ προσήκων σῶζε τὴν εὐφημίαν.

207

Clemens Strom. VI. p. 741.

Ἄπελθ'· ἐκείνης ὕπνος ἰατρὸς νόσου.

ι Clemente legitur ἄπελθ' ἐκείνης ὕπνον ἰατρὸν νό-ιυ. Correxit Valckenar. ad Hippolyt. p. 313.

208

Appendix Vat. Proverb. II, 49. *Καὶ γὰρ Ἀρ-ἰίους ὁρᾷς:* αὕτη Σοφόκλειος. πεποίηται γὰρ ριφύλη πρὸς Ἀλκμαίωνα λέγουσα

Καὶ γὰρ Ἀργείους ὁρῶ.

ρηται δὲ ἐπὶ τῶν ἐκτενῶς πρὸς ὁτιοῦν βλεπόντων ὶ καταπλησίον (καταπληκτικόν Brunck.) τι δο-ύντων ὁρᾶν. οἱ δὲ ἐπὶ τῶν εἰς κλοπὴν ὑπονοου-'νων. κωμῳδοῦνται γὰρ Ἀργεῖοι ἐπὶ κλοπῇ, ὡς ὶ Σοφοκλῆς ἐχρήσατο.

209

Ioannes Damasc. in Gaisfordi appendice ad Stobaeum l. IV. p. 13. Σοφοκλέους Ἐριφύλῃ

* γλῶσσ' ἐν οἶσιν ἀνδράσιν τιμὴν ἔχεις,
ὅπου λόγοι σθένουσι τῶν ἔργων πλέον.

1. Ἡ supplet Brunckius et ἔχει scribit. Fort. Ὦ ῶσσ'.

---

## ΕΡΜΙΟΝΗ.

210

Eustathius p. 1479. (conf. schol. Odyss. δ, 4.) φοκλῆς δὲ, φασὶν, ἐν Ἑρμιόνῃ ἱστορεῖ, ἐν Τροίᾳ ος ἔτι Μενελάου ἐκδοθῆναι τὴν Ἑρμιόνην ὑπὸ ῖ Τυνδάρεω τῷ Ὀρέστῃ· εἶτα ὕστερον ἀφαιρεθεῖ-' αὐτοῦ ἐκδοθῆναι τῷ Νεοπτολέμῳ κατὰ τὴν ἐν οίᾳ ὑπόσχεσιν· αὐτοῦ δὲ Πυθοῖ ἀναιρεθέντος ὶ Μαχαιρέως, ὅτε τὸν Ἀπόλλω τινύμενος τὸν τοῦ τρὸς ἐξεδίκει φόνον, ἀποκαταστῆναι αὖθις αὐτὴν Ὀρέστῃ· ἐξ ὧν γενέσθαι τὸν Τισαμενὸν, φερω-ιως οὕτω κληθέντα παρὰ τὴν μετὰ μένους τίσιν, ὶ ὁ πατὴρ Ὀρέστης ἐτίσατο τοὺς φονεῖς τοῦ Ἀγα-ινονος. „Confer interpretem Hygini ad fab. CXXIII. ex his Eustathii verbis corrigitur scholiastes Euri-is ad Orest. 1687.“ Brunck.

211

Stephanus, *Ἀγυιά:* τόπος δηλῶν τὴν ἐν τῇ πό-πορευτὴν ὁδὸν — τὸ τοπικὸν ἀγυιαῖος. Σοφ. ιιόνῃ

Ἀλλ' ὦ πατρῴας γῆς ἀγυιαίου πέδον.

212

Antiatticista p. 87, 25. *Γνωστός:* ἀντὶ τοῦ γνώ-ος. Σ. Ἑρμιόνῃ.

## ΕΥΜΗΛΟΣ.

213

Hesychius, *Αἵματος ἆσαι Ἄρηα:* αἵματος κορέσαι τὸ δόρυ. ἢ αἵματι μολῦναι καὶ χρῶσαι αὐτό. ἄση γὰρ ἡ ῥυπαρία. ὅθεν καὶ ἀσάμινθος (codex ἀσάμεθα), ἐν ᾗ τὴν ἄσην μινύθοντες ἐνεορεῖ (corrigunt ἐλούοντο ex Suida in ἀσάμινθος). Σοφοκλῆς Εὐμήλῳ. Codex ἀμήλῳ.

214

Harpocratio, *Καθελών:* Δημοσθένης — ἀντὶ τοῦ ἀνελὼν ἢ ἀποκτείνας. ἐχρήσαντο δὲ οὕτω τῷ ὀνόματι καὶ ἄλλοι, ὡς καὶ Στησίχορος ἐν Ἰλίου περσίδι καὶ Σοφοκλῆς ἐν Εὐμήλῳ. Similiter Photius p. 122, 1. Sed omisso nomine fabulae.

---

## ΕΥΡΥΑΛΟΣ.

215

Euryalus filius fuit Ulyssis et Euippes, quem ab ipso patre Ulysse interfectum alii narrant, alii vero Telemacho. Vide Parthenii Erotica cap. III. cuius inscriptio est: Περὶ Εὐίππης. ἱστορεῖ Σοφοκλῆς Εὐρυάλῳ.

Eustathius p. 1796, 52. Σοφοκλῆς δὲ ἐκ τῆς αὐτῆς (Κίρκης) Εὐρύαλον ἱστορεῖ, ὃν ἀπέκτεινε Τελέμαχος.

---

## ΖΩΣΤΗΡΕΣ (?).

216

Pollux VII, 68. Ὅ τε τῆς Ἀμαζόνος Ζωστὴρ, καὶ ἡ ἐν ταῖς Σοφοκλέους Ζωστῆρσιν ἐπιζώστρα. λέγει γοῦν „Ἔχοντας εὐζώνους ἔστασαν ἱματίων ἐπιζώστρας.“

---

## ΗΡΑΚΛΗΣ ΕΠΙ ΤΑΙΝΑΡΩΙ.

217

Athenaeus IX. p. 375 d. Χοῖρον δὲ Ἴωνες καλοῦσι τὴν θήλειαν, ὡς Ἱππῶναξ — καὶ Σοφοκλῆς ἐπὶ Ταιναρίοις

Τοιγὰρ Ἰὼ δεῖ φυλάξαι χοῖρον ὥστε δεσμίαν.

Libri τοιγαριώδη φυλάξαι χοῖρος ὥς τε δεσμίων.

218

Pollux X, 110. Προσθετέον δὲ τῷ μαγείρῳ καὶ ξύλα καύσιμα καὶ κληματίδας καὶ ἐκκαύματα, εἰπόντος Σοφοκλέους ἐν Ἡρακλεῖ σατυρικῷ

Συνέλεγον τὰ ξύλ' ὡς ἐκκαυμάτων
μή μοι μεταξὺ προσδεήσειεν.

Vulgo ἐκκαύματα. Idem VII, 109. Ἐκλυμάδας Σοφοκλῆς ἐν Ἡρακλεῖ σατυρικῷ „Συνέλεγον τὰ ξύλα ὡς ἐκλυμάδων.“

219

Stephanus, *Χώρα:* — χωρίτης — Σοφοκλῆς — ἐν Ἡρακλεῖ

Στρέφουσι κρήνης φύλακα χωρίτην ὄφιν.

Iacobsius Ἡρακλεῖ σ. (i. e. σατυρικῷ), Τρέφουσι—. Conf. infra ad fragm. 333.

220

Hesychius, *Ἀλαλίαν:* πονηρίαν, ἀταξίαν. Σ.

ἐπὶ Ταιναρίοις. Codex ἐπὶ παιενάροις. Videntur grammatici hanc fabulam Ἐπιταιναρίους dixisse, satyros intelligentes.

221

Hesychius, Ἀργέμωνι: τῶν ἐν τοῖς ὀφθαλμοῖς λευκωμάτων. οἱ δὲ ὀφθαλμιῶν (codex ὀφθαλμῶν). Σ. ἐπὶ Ταινάρῳ σατυρικῷ.

222

Hesychius, Κύκλους καὶ τροχούς: τὰ τείχη. τροχὸν δὲ τὸ τεῖχος, ὡς Σ. Ἡρακλεῖ „Κυκλώπειον τροχόν."

223

Photius p. 359, 25. Οὐκ ὤφιξεν: οὐ βλάπτει. Σ. ἐν ἐπὶ τεράρῳ σατύροις. Corrigendum οὐ κωφεῖ, de quo dixerunt Hesychii interpretes ad glossas κωφεῖ et οὐ κωφεῖ. Brunckius Οὐ κωφίζει.

224

„Ad hanc fabulam respexisse videtur Aristides II. p. 310. Ἤδη δέ τις καὶ σάτυρος τῶν ἐπὶ σκηνῆς κατηράσατο τῷ Ἡρακλεῖ, εἶτά γ' ἔκυψε προσιόντος κάτω." Brunck.

---

## ΗΡΙΓΟΝΗ.

225

Etymolog. M. p. 762, 12. Τοπάζειν: στοχάζεσθαι, ἐνθυμεῖσθαι, ὑπονοεῖν. καὶ παρὰ Σοφοκλεῖ ἐν Ἠριγόνῃ

Ἃ δὲ
δόξῃ τοπάζω, ταῦτ' ἰδεῖν σαφῶς θέλω.

Similiter Photius p. 595, 7. et Suidas.

226

Erotianus p. 374. Ὑπόφρον: κρυφαῖον, ὥς φησιν ὁ Ταραντῖνος. μαρτυρεῖ γὰρ ὁ Σοφοκλῆς ἐν Σμηριγόνῃ λέγων

Νῦν δ' εἰρὴ ὕποφρος ἐξ αὐτῶν ἕως
ἀπώλεσέν τε καὐτὸς ἐξαπώλετο.

μέμνηται ὁ αὐτὸς καὶ ἐν Ἰφιγενείᾳ.

---

## ΘΑΜΥΡΙΣ.

Athenaeus I. p. 20. Σοφοκλῆς δὲ πρὸς τῷ καλὸς γεγενῆσθαι τὴν ὥραν ἦν καὶ ὀρχηστικὴν δεδιδαγμένος, καὶ μουσικὴν ἔτι παῖς ὢν παρὰ Λάμπρῳ — καὶ τὸν Θάμυριν διδάσκων αὐτὸς ἐκιθάρισεν. ἄκρως δὲ ἐσφαίρισεν, ὅτε τὴν Ναυσικάαν καθῆκε.

227

Pollux IV, 75. Μόναυλος εὕρημα μέν ἐστιν Αἰγυπτίων, μέμνηται δὲ αὐτοῦ Σ. ἐν Θαμύρι. Athenaeus IV. p. 175. Τοῦ δὲ μοναύλου μνημονεύει Σοφοκλῆς μὲν ἐν Θαμύρᾳ οὕτως

Ὤιχωκε γὰρ κροτητὰ πηκτίδων μέλη,
λύρα μοναύλοις τε χειμωντεως
ναος στέρημα κωμασάσης.

228

Athenaeus XIV. p. 637 a. Σοφοκλῆς δ' ἐν Θαμύρᾳ

Πηκταὶ δὲ λύραι καὶ μαγάδιδες
τά τ' ἐν Ἕλλησι ξόαν' ἡδυμελῆ.

Photius p. 239, 15. Μάγαδις: ψαλτικὸν ὄργανον. οὕτω Σοφοκλῆς. De alio instrumento, τριγώνῳ, quod ex Thamyra memoratur, vide infra fragm. 361.

229

Eustathius p. 358, 40. Ὅτι δὲ Θρᾳκικὸς καὶ ὁ Ἄθως, οὗ μνεία παρὰ τῷ ποιητῇ, δηλοῖ, φασί, Σοφοκλῆς ἐν Θαμύριδι εἰπὼν

Θρῇσσαν σκοπιὰν Ζηνὸς Ἀθῴου.

230

Scholiasta Oedipodis Colon. 378. Ἄργος κοῖλον — καὶ ἐν Θαμύρᾳ

Ἐκ μὲν Ἐριχθονίου ποτιμάστιον ἔσχεθε κοῦρον
Αὐτόλυκον, πολέων κτεάνων σίνιν Ἄργεϊ κοίλῳ.

231

Antiatticista p. 105, 27. Κάνναβις: Σ. Θαμύρᾳ.

232

Plutarchus Moral. p. 455 d. Ἀλλ' ὀργιζόμεθα καὶ πολεμίοις καὶ φίλοις, καὶ τέκνοις καὶ γονεῦσι, καὶ θεοῖς νὴ Δία, καὶ θηρίοις καὶ ἀψύχοις σκεύεσιν, ὡς ὁ Θάμυρις

Ῥηγνὺς χρυσόδετον κέρας,
ῥηγνὺς ἁρμονίαν χορδοτόνου λύρας.

---

## ΘΗΣΕΥΣ.

233 a

„Ad hoc drama pertinere videntur ista in prolegomenis ad Pindari Isthmia: Τὸν τῶν Ἰσθμίων ἀγῶνα οἱ μὲν ἐπὶ Σίνιδι τῷ Προκρούστῃ διαθεῖναί φασι τὸν Θησέα, ἀνελόντα αὐτὸν, ὅτε περ καὶ τοὺς ἄλλους, ὥς φησι Σοφοκλῆς, λέγων περὶ αὐτοῦ

Ὃς παρακτίαν
στείχων ἀνημέρωσα κνωδάλων ὁδόν."

Brunck.

233 b

Suidas et Photius p. 342, 11. Ὄμπνιον (Ὄμπνιον Photius) νέφος: μέγα, πολὺ, ηὐξημένον. Σ. Θησεῖ. Photius p. 335, 9. Ὀμπνίου νέφους: μεγίστου.

---

## ΘΥΕΣΤΗΣ ΕΝ ΣΙΚΥΩΝΙ Η ΣΙΚΥΩΝΙΟΣ. ΘΥΕΣΤΗΣ ΔΕΥΤΕΡΟΣ.

„Duo fuerunt dramata. Prioris actio transigitur Sicyone, posterioris Argis. Utriusque argumentum colligi potest ex Hygini fabula LXXXVIII." Brunck.

234

Stobaeus Eclog. phys. I, 5. p. 156. Heer.
Πρὸς τὴν ἀνάγκην οὐδ' Ἄρης ἀνθίσταται.

235

Stobaeus Floril. XXIX, 1.

Ὡς νυν τάχος στείχωμεν. οὐ γὰρ ἔσθ' ὅπως
σπουδῆς δικαίας μῶμος ἅπτεταί ποτε.

236

Stobaeus CVIII, 21.

Ἔχει μὲν ἀλγεῖν', οἶδα, πειρᾶσθαι δὲ χρὴ
ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν.
ἐκ τῶν τοιούτων χρή τιν' ἴασιν λαβεῖν.

237

Stobaeus CXIII, 12.

Ἔνεστι γάρ τις καὶ λόγοισιν ἡδονὴ,
λήθην ὅταν ποιῶσι τῶν ὄντων κακῶν.

238

Stobaeus CXV, 16.

Καίπερ γέρων ὢν, ἀλλὰ τῷ γήρᾳ φιλεῖ
χὼ νοῦς ὁμαρτεῖν καὶ τὸ βουλεύειν ἃ δεῖ.

239

Scholiasta Euripidis Phoenissar. 227. *Σοφοκλῆς ἐν Θυέστῃ ἱστορεῖ καὶ παρ' Εὐβοεῦσιν ὁμοίαν πελον εἶναι τῇ ἐν Παρνασῷ, λέγων οὕτως*

*Ἔστι γάρ τις ἐναλία*
*γῆς Εὐβοείας· τῇδε Βάκχειος βότρυς*
*ἐπ' ἦμαρ ἕρπει· πρῶτα μὲν λαμπρᾶς ἕω*
*κεκλημάτωται χῶρος εὐανθὲς δέμας·*
*εἶτ' ἦμαρ αὔξει μέσσον ὄμφακος τύπον,*
*καὶ κλίνεταί γε κἀποπερκοῦται βότρυς·*
*δείλῃ δὲ πᾶσα τέμνεται βλαστουμένη*
*καλῶς ὀπώρα, κἀνακίρναται ποτόν.*

240

Hesychius, *Ἀκήρυκτον: ἄγνωστον. ἀφανὲς Σ. Θ.*

241

Hesychius, *Ἄλογα: ἄρρητα. Σ. Θ.*

242

Hesychius, *Ἀλωπός: ἀλωπεκώδης, πανοῦργος. Θυέστῃ καὶ Ἰνάχῳ. οἱ δὲ ἀφανὴς κατὰ τὴν ἰσοψιν.*

243

Hesychius, *Ἀμόρφωτον: ἀδιατύπωτον. Σ. ἔστῃ τῷ ἐν Σικυῶνι.*

244

Hesychius, *Ἀνταίρουσιν: ἀντιλέγουσιν. Σ. Θ.*

245

Hesychius, *Ἀπείρονας: ἀπειράτους. Σ. Θ.*

246

Hesychius, *Ἀπόθεα: ἄθεα, ἐκτὸς θεῶν. Σ. Θ.*

247

Hesychius, *Ἀποπλήκτῳ ποδί: μανιώδει. Θ. Σικυωνίῳ.*

248

Hesychius, *Ἀτελῆ: ἀδάπανα, οὐκ ἔχοντα τε-ατα. Σ. Θ.*

249

Hesychius, *Αὐτόμοιρος: μονόμοιρος. Σ. Θ. ωνίῳ.*

250

Hesychius, *Αὐτόφορτοι: αὐτοδιάκονοι. κυ- δὲ οἱ ἐν τοῖς ἰδίοις πλοίοις. Σ. Θ. Σικυωνίῳ.*

251

Hesychius, *Ἀφωσιωμέναι: ἀνόσιαι, ἄπωθεν ὁσίου γεγενημέναι. Σ. Θυέστῃ δευτέρῳ.*

252

Antiatticista p. 94, 8. *Ἐντέλλω: ἀντὶ τοῦ ἐν-ομαι. Σ. Θ.*

253

Hesychius, *Ἐπαίνους: τὰς κρίσεις, καὶ τὰς ουλίας, καὶ τὰς ἀρχαιρεσίας. Σ. Θ. Σικυωνίῳ.* s in cod. haec adduntur, *καὶ ἀλκέοι ταῖς ἐπαι- ε ισιν.*

254

Hesychius, *Ἡγόμην: διῆγον. Σ. Θ. δευτέρῳ.*

---

## *ΙΝΑΧΟΣ.*

De argumento vide Toupium Epist. Crit. p. 51. et ludum ante eum perspexerat fabulam fuisse satyricam, Tib. Hemsterhusium ad Aristoph. Plutum p. 248." Brunck.

255

Stobaeus XLVI, 13.

*Ἐπήνεσ'· ἴσθι δ', ὥσπερ ἡ παροιμία,*
*ἐκ κάρτα βαιῶν γνωτὸς ἂν γένοιτ' ἀνήρ.*

Versum alterum corrupte exhibet Apostolius VII, 95.

256

Dionysius Halic. Antiq. I, 25. *Σοφοκλεῖ δ' ἐν Ἰνάχῳ δράματι ἀνάπαιστον ὑπὸ τοῦ χοροῦ λεγόμενον πεποίηται ὧδε*

*Ἴναχε γεννᾶτορ, παῖ κρηνῶν*
*πατρὸς Ὠκεανοῦ, μέγα πρεσβεύων*
*Ἄργους τε γύαις, Ἥρας τε πάγοις*
*καὶ Τυρσηνοῖσι Πελασγοῖς.*

Scholiasta Apollonii Rh. I, 580. *Ὅτι δὲ οἱ αὐτοὶ Πελασγοὶ καὶ Ἀργεῖοι καὶ Σ. ἐν Ἰνάχῳ μαρτυρεῖ. καὶ οἱ Τυρρηνοὶ δὲ Πελασγοί.*

257

Athenaeus XV. p. 668 b. *Σοφοκλῆς ἐν Ἰνάχῳ ἀφροδισίαν εἴρηκε τὴν λάταγα „Ξανθὴ δ' ἀφροδισία λάταξ παισὶν ἐπεισκύπτει δόμοις."* Quae Toupius II. p. 471. in trimetros redegit

*Ξένη δὲ κἀφροδισία*
*λάταξ ἅπασι νῦν ἐπεισκύπτει δόμοις.*

258

Pollux IX, 50. *Μέρη δὲ πόλεως, καὶ πανδοκεῖον, καὶ ξενὼν, καὶ, ὡς ἐν Ἰνάχῳ Σοφοκλῆς „Πανδόκος ξενόστασις."*

259

Schol. Aristoph. Pluti 727. *Τὸν Πλοῦτον Πλούτωνα εἶπε παίζων· ἢ ὅτι καὶ Πλούτωνα αὐτὸν ὑποκοριστικῶς ἐκάλεσεν, ὡς Σοφοκλῆς Ἰνάχῳ „Πλούτωνος δ' ἐπείσοδος." καὶ πάλιν*

*Τοιόνδ' ἐμὸν Πλούτων' ἀμεμφίας χάριν.*

Idem ad v. 807. *Σιπύη δὲ, ἡ ἀρτοθήκη. ταῦτα δὲ ἐξ Ἰνάχου Σοφοκλέους, ὅτε τοῦ Διὸς εἰσελθόντος πάντα μεστὰ ἀγαθῶν ἐγένετο.*

260

Scholiasta Equitum 1147. *Κημὸς — ἦν παρόμοιος χώνῃ, ὡς καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ.*

261 262

Scholiasta Avium 1203. *Κυνῆ δὲ, ὅτι ἔχει περικεφαλαίαν τὸν πέτασον· ὡς Ἑρμῆς ἄγγελος ὢν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ ἐπὶ τῆς Ἴριδος*

*Γυνὴ τίς ἥδε; κυκλὰς Ἀρκάδος κυνῆς.*

Hesychius, *Ἀρκὰς κυνῆ: Ἀρκαδικὸς πῖλος. Σ. Ἰ.*

263

Scholiasta Aristoph. Ecclesiaz. 80. *Τοῦ Πανόπτου τοῦ τὴν Ἰὼ φυλάττοντος. αἰνίττεται δὲ ὡς ὄντος αὐτοῦ δεσμοφύλακος. ἀναφέρει δὲ τοῦτον ἐπὶ τὸν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ Ἄργον.*

264

Scholiasta Aeschyli Prom. 576. *Σοφοκλῆς ἐν Ἰνάχῳ καὶ ᾄδοντα τὸν Ἄργον εἰσάγει.*

265

Strabo VI. p. 271. *Εἰ δὲ τοῦτο δυνατὸν, τά γε*

προειρημένα ἀδύνατα καὶ τὰ περὶ τοῦ Ἰνάχου μύθῳ παραπλήσια,

'Ρεῖ γὰρ ἀπ' ἄκρας
Πίνδου (φησὶν ὁ Σ.) Λάκμου τ' ἀπὸ Περραιβῶν
εἰς Ἀμφιλόχους καὶ Ἀκαρνᾶνας,
μίσγει δ' ὕδασιν τοῖς Ἀχελῴου.

καὶ ὑποβὰς

Ἔνθεν ἐς Ἄργος διὰ κῦμα τεμὼν
ἥκει δῆμον τὸν Λυρκείου.

266

Herodianus περὶ μονήρους λέξεως p. 35, 10. Λαρὸς, ἔνθεν θηλυκὸν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ καὶ σασχυτρίνων λαρὸς εὖτατ' ἐπὶ κῦμα ἐκροὰς ἐπώμοσα λαρὸς ἀνήρ. Ita codex.

267

Scholiasta Aristophanis Pacis 530. Σοφοκλέους μελῶν: ὅτι ἡδέα τὰ μέλη Σοφοκλέους. περιέργως δέ τινες εἰς τὰ ἐν τῷ Ἰνάχῳ περὶ τοῦ ἀρχαίου βίου καὶ τῆς εὐδαιμονίας „Εὐδαίμονες οἱ τότε γενεᾶς ἀφθίτου λαχόντες θείου". θείου ex θέασαι, quod apud scholiastam sequitur, ortum videtur.

268

Hesychius, Ἀντίπλαστον: Σ. Ἰνάχῳ

Πατὴρ δὲ ποταμὸς Ἴναχος
τὸν ἀντίπλαστον νόμον ἔχει κεκμηκότων.

ἀντὶ τοῦ ἰσόπλαστον, ὅμοιον.

269

Suidas et grammaticus Bekkeri p. 442, 3. Ἀράχνης: — θηλυκῶς δὲ Σ. Ἰ.

Πάντα δ' ἐρίθων ἀραχνᾶν βρίθει.

270

Hesychius, Ἐπίκρουμα: ἐπίπληγμα, ἢ ἐπιχάραγμα. διὰ τὸ παρωνομάσθαι τῷ ἔργῳ (Ἄργῳ Toupius)

Ἐπίκρουμα χθονὸς Ἀργείας.

271

Hesychius, Κυάμῳ πατρίῳ: Σοφοκλῆς Μελεάγρῳ, ὡς καὶ τῶν Αἰτωλῶν τὰς ἀρχὰς κυαμευόντων. διεκλήρουν δὲ αὐτὰς κυάμῳ, καὶ ὁ τὸν λευκὸν λαβὼν ἐλάγχανεν. ἀνάγει δὲ τοὺς χρόνους, ὡς καὶ ἐν Ἰνάχῳ „Κυαμοβόλον δικαστήν". Codex κυαμοβόλως δικιστήν.

272

Harpocratio, Παλίνσκιον: ζοφερόν. Σ. Ἰνάχῳ

Χειμῶνι σὺν παλινσκίῳ.

Glossam παλινσκίῳ habent Photius p. 373, 25. et Suidas.

273

Hesychius, Ἀελλόθριξ: ποικιλόθριξ. ἢ παρεώρους καὶ συνεχεῖς ἔχουσα τὰς τρίχας. παρὰ τὴν ἄελλαν. Σ. Ἰ.

274

Hesychius, Ἀναιδείας φάρος: χιτών. Σ. Ἰ. παρὰ τὸ „Χλαῖνάν τ' ἠδὲ χιτῶνα, τά τ' αἰδῶ ἀμφικαλύπτει".

275

Hesychius, Ἄναντα: — Σ. δὲ Ἰνάχῳ τὰ μὴ κεκολλημένα. παρὰ τὸ αἴνειν (vulgo αἰνεῖν), ὅ ἐστι κατακόπτοντα πτίσσειν.

276

Ἀλωπόσε vide fragm. 242.

277

Antiatticista p. 84, 18. Βοῦ: ἀντὶ τοῦ βοός. Σ. Ἰνάχῳ. Similiter Choeroboscus apud Bekkerum p. 119[illegible]

278

Erotianus p. 200. Παρὰ τοῖς Ἀττικοῖς κεγχρώδ[illegible] ἀγγεῖα λέγεται τὰ τραχείας ἀνωμαλίας ἔχοντα, [illegible] καὶ Σοφοκλῆς περὶ τῆς ἀποταυρουμένης φησὶν Ἰ[illegible]

Τραχὺς χελώνης κέρχνος ἐξανίσταται.

Ita Elmsleius in Edinburgh Review vol. XVII. p. 23[illegible] Vulgo φησὶν ἰχθὺς τραχὺς ὦ χελώνης —.

---

## ΙΞΙΩΝ.

279

Schol. Apollonii Argon. IV, 14. Παρὰ τὸ [illegible] Σοφοκλῆς ἐν Ἰξίονι δίψιον φησὶ τὸ βεβλαμμέν[ον] καὶ Ὅμηρος „Πολυδίψιον Ἄργος ἱκοίμην" πολ[λά]κις βεβλαμμένον.

---

## ΙΟΒΑΤΗΣ.

„Iobates rex Lyciae pater fuit Stheneboeae. Vid. Apollodori Biblioth. II. 3. et Hygini fab. LVII." Brunck.

280

Stobaeus CXIX, 6.

Τὸν Ἀΐδαν γὰρ οὐδὲ γῆρας οἶδε φιλεῖν.

281

Hesychius, Ἀφύλλωτον πέτραν: ἄπορο[ν] ἄδενδρον, οἷον λεωπετρίαν. Σ. Ἰοβάτῃ.

---

## ΙΟΛΑΟΣ.

282

Aristophanes Equitibus 496.

Ἀλλ' ἴθι χαίρων, καὶ πράξειας
κατὰ νοῦν τὸν ἐμόν.

ταῦτα δὲ, inquit scholiastes, παρὰ τὰ Σοφοκλέου[ς] ἐξ Ἰολάου (Ἰοβάτου Gottholdus).

---

[ΙΠΠΟΔΑΜΕΙΑ. Vide ΟΙΝΟΜΑΟΣ]

---

## ΙΠΠΟΝΟΟΣ.

283

Pollux IV, 111. Τραγικὸν δὲ οὐκ ἔστιν (ἡ παρέ[κ]βασις), ἀλλ' Εὐριπίδης αὐτὸ πεποίηκεν ἐν πολ[λοῖς] δράμασιν. ἐν μέν γε τῇ Δανάῃ τὸν χορὸν τὰς [γυ]ναῖκας ὑπὲρ αὐτοῦ τι ποιήσας παρειπεῖν, ἐκλα[θό]μενος, ὡς ἄνδρας λέγειν ἐποίησε τῷ σχήματι τῆ[ς] λέξεως τὰς γυναῖκας. καὶ Σοφοκλῆς δὲ αὐτὸ ἐκ τῆ[ς] πρὸς ἐκεῖνον ἁμίλλης ποιεῖ σπανιάκις, ὥσπερ ἐ[ν] Ἱππόνῳ.

284

Stobaeus Eclog. phys. I, 9. p. 230. et qui nom[en] fabulae addunt Clemens Stromat. IV. p. 742. et Ge[l]lius XII, 11.

Πρὸς ταῦτα κρύπτε μηδὲν, ὡς ὁ πάνθ' ὁρῶν
καὶ πάντ' ἀκούων πάντ' ἀναπτύσσει χρόνος.

285

Stephanus, Ὤλενος: πόλις Ἀχαΐας, καὶ Αἰτω[λ]ίας, θηλυκῶς λεγομένη. Σοφ. ἐν Ἱππόνῳ

Ἐξ Ὠλένου γῆς φορβάδος κομίζομαι.

286

Hesychius, Ἀπαλέξασθαι: ἀποφυλάξασθαι. Σ. Ἱππόνῳ.

287

Hesychius, Ἀπαρθένευτος: ἀκέραιος, καθαρά. Σ. Ἱππόνῳ.

## ΙΦΙΓΕΝΕΙΑ.

288

Stobaeus XXX, 6.

Τίκτει γὰρ οὐδὲν ἐσθλὸν εἰκαῖα σχολή·
θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται.

289

Athenaeus XII. p. 513 d.

Νοῦν δεῖ πρὸς ἀνδρὶ, σῶμα πουλύπους ὅπως
πέτρᾳ, τραπέσθαι γνησίου φρονήματος.

οῦν δεῖ Porsonus. Codex νόει.

290

Hesychius, Ἀκρουχεῖ: ἄκρον ἔχει. Ἄκρον ὄρος τῆς Ἀργείας, ἐφ' οὗ Ἀρτέμιδος ἱερὸν ἱδρύπο Μελάμπους, καθάρας τὰς Προιτίδας, ἤγουν ὡς Χάρισι. Σ. Ἰφιγενείᾳ.

291

Hesychius in ἀπυνδάκωτος, Σοφοκλῆς ἐν Ἰφιγενείᾳ ὑνδακα τοῦ ξίφους τὴν λαβὴν ἔφη. Eadem Suidas, d omisso nomine fabulae.

292

Hesychius, Βασίλη: βασίλεια. Σ. Ἰφιγενείᾳ. ι corrigenda codicis scriptura, βασιλ, ἡ βασίλεια. rmam vocis βασίλη annotavit Stephanus Byz. in γάμεια. Ea fortasse restituenda Pindaro Nem. I, . ubi vulgo βασίλεια, Boeckhius βασιλῆ.

293

Photius p. 410, 10. et Suidas in πενθερὸς, Σοφοῆς εἶπε πενθερὸν τὸν γαμβρὸν ἐν Ἰφιγενείᾳ

Σὺ δ' ὦ μεγίστων τυγχάνουσα πενθερῶν.

τὶ γαμβρῶν. Ad hunc locum spectat Etymolog. M. 220, 40.

294

Ὕποφρον: vide fragm. 226.

## ΙΧΝΕΥΤΑΙ.

295

Pollux X, 34. Μέρη δὲ κλίνης καὶ ἐνήλατα. Σ. Ἰχνευταῖς σατύροις ἔφη „Ἐνήλατα ξύλα τρίγομφα πορεῦσαί σε δεῖται". Verba corrupta, de quibus et alios coniecturas protulit Lobeckius ad Phrynich. 178.

296

Athenaeus II. p. 62 f. Ἀττικοὶ δ' εἰσὶν οἱ λέγοντες ὀρμενον τὸν ἀπὸ τῆς κράμβης ἐξηνθηκότα. Σ. νευταῖς

Κάξορμενίζει κοὐκ ἐπισχολάζεται
βλάστῃ.

ρὰ τὸ ἐξορμεῖν καὶ βλαστάνειν. Eustathius p. 9, 17.

297

Photius p. 489, 1. et Suidas, Ῥικνοῦσθαι: τὸ διέλκεσθαι καὶ παντοδαπῶς διαστρέφεσθαι κατ' εἶδος· λέγεται δὲ καὶ ῥιγνοῦσθαι τὸ καμπύλον γίγνεσθαι ἀσχημόνως καὶ κατὰ συνουσίαν καὶ ὄρχησιν κάμπτοντα τὴν ὀσφῦν. Σ. Ἰχνευταῖς.

## ΙΩΝ.

De fragmento ad hanc fabulam non recte relato dixi infra ad Oeneum fragm. 417. Superest igitur solum Stobaei testimonium: cuius in libris videndum est ne Ἴωνος ex Σίνωνος sit corruptum.

298

Stobaeus CIII, 10. Σοφοκλέους Ἴωνος

Ἐν Διὸς κήποις ἀροῦσθαι μόνον εὐδαίμονας ὄλβους.

## ΚΑΜΙΚΙΟΙ Η ΜΙΝΩΣ.

„Oppidum Siciliae est Camicus: vide Stephanum in Κάμικος. Argumentum erat mors Minois a Cocali filiabus interempti. Videndi praeter Diodorum Sicul. in Daedali historia scholiastes Pindari ad Nem. IV, 95. et Pausan. X, 17, 4." Brunck.

299

Athenaeus III. p. 86 d. Τῶν στραβήλων μνημονεύει καὶ Σοφ. ἐν Καμικίοις οὕτως

Ἀλίας στραβήλου τῆσδε τέκνον εἴ τινα
δυναίμεθ' εὑρεῖν.

300

Athenaeus IX. p. 388 f. Πέρδιξ· τοῦ ὀνόματος ἔνιοι συστέλλουσι τὴν μέσην συλλαβὴν, ὡς Ἀρχίλοχος· πολὺ δέ ἐστι τὸ ἐκτεινόμενον παρὰ τοῖς Ἀττικοῖς. Σοφ. Καμικίοις

Ὄρνιθος ἦλθ' ἐπώνυμος
Πέρδικος ἐν κλεινοῖς Ἀθηναίων πάγοις.

301

Photius p. 413, 15. et Suidas in Πέρδικος ἱερὸν — Σοφοκλῆς δὲ ἐν Καμικίοις (libri κωμικοῖς) τὸν ὑπὸ Δαιδάλου ἀναιρεθέντα Πέρδικα εἶναι τοὔνομα.

302

Clemens Alex. Strom. VI. p. 741.

Οὐκ ἔστι τοῖς μὴ δρῶσι σύμμαχος τύχη.

303

Hesychius, Κωχεύουσιν: ὀχοῦσι, μετεωρίζουσι. πιστοί με σοφοκλῆς καμίκην κωχεύουσιν ἐμφοραιδέσμας. Paullo emendatius Etymolog. MS. apud Ruhnkenium in Auctario, Κωχεύουσιν: ὀ. μ. Σ. καμικοῖς „πιστοί με κωχεύουσιν ἐν φοραὶ δέμας". Recte, nisi quod ἐν φορᾷ scribendum. Ruhnkenio ἀμφορεῖ placebat, comparata Hesychii glossa, Ἀμφορεῖ: τῷ (codex ἀμφορείῳ) φορτίῳ.

304

Ioannes Damasc. in Gaisfordi append. ad Stobaeum vol. IV. p. 36. Εὐριπίδου Κωμικοῦ

Ὅστις νέος ὢν μουσῶν ἀμελεῖ
τόν τε παρελθόντ' ἀπόλωλε χρόνον
καὶ τὸν μέλλοντα τέθνηκε.

Probabiliter Gaisfordius Σοφοκλέους Καμικίων.

## *ΚΗΔΑΛΙΩΝ.*

305

Herodianus *περὶ μονήρους λέξεως* p. 30, 27. *Σοφοκλῆς ἐν Κηδαλίωνι σατυρικῷ φησι*

*Καὶ δή τι καὶ παρεῖκα τῶν ἀρτυμάτων*
*ὑπὸ τοῦ δέατος.*

*ἀντὶ τοῦ δέους.* V. 1. *τῶν ἀρτυμάτων.*] Conf. fragm. 608. Hesychius, *Δέατος: δέους. Σ. Κηδαλίωνι.*

306

Hesychius, *Αὐτοκτίτους* (codex *αὐτοκτίστους*) *δόμους: οὐ κατεσκευασμένους, ἀλλ' ἐκ ταὐτομάτου γεγενημένους, ἢ τοὺς οὐκ οἰκουμένους. Σ. Κηδαλίωνι.*

307

Photius p. 217, 9. et scholiasta Platonis p. 323. et Suidas, *Λευκὴ στάθμη: ἐπὶ τῶν ἄδηλα ἀδήλοις σημειουμένων, ἢ ἐπὶ τῶν μηδὲν συνιέντων. Σοφοκλῆς Κηδαλίωνι*

*Τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι,*
*οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴ στάθμη.*

308

Photius p. 338, 15. et Suidas, *Ὄνου σκιά: καὶ, περὶ ὄνου σκιᾶς. Σοφοκλῆς Κηδαλίωνι*

*Ὅτι ἄν τι γίγνηται, τὰ πάντ' ὄνου σκιά.*

Photius *γίνηται.* Suidas *γένηται.*

309

Athenaeus IV. p. 164 a. *Κατὰ γὰρ τὸν Σοφοκλέους Κηδαλίωνα ἐστὲ*

*Μαστιγίαι, κέντρωνες, ἀλλοτριοφάγοι.*

---

## *ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ (?).*

310

Erotianus p. 62. *Ἀνταῖον θεόν: τὸν βλάβης ὑπονοούμενον αἴτιον ἔσεσθαι ἄνθρωπον. ἀνταῖον δ' ἐκάλουν οἱ παλαιοὶ τὸν σώφρονα, ὡς καὶ Σοφοκλῆς ἐν Κλυταιμνήστρᾳ λέγων „Τὸν δὲ ἀνταῖον περιδινέοντα οὐχ ὁρᾶτε, καὶ δεῖμα προσπνέοντα* (codex Cantabrigiensis *προσπαίοντα*) *ἀνταίας θεοῦ.*"

---

## *ΚΟΛΧΙΔΕΣ.*

Auctor argumenti Promethei Aeschylei: *Κεῖται δὲ ἡ μυθοποιία ἐν παρεκβάσει παρὰ Σοφοκλεῖ ἐν Κόλχοις.*

311

Stobaeus XXII, 23.

*Καλὸν φρονεῖν τὸν θνητὸν ἀνθρώποις ἴσα.*

312

Athenaeus XIII. p. 602 e. *Σοφοκλῆς ἐν Κολχίσι περὶ Γανυμήδους τινὰ λόγον ποιούμενος*

*Μηροῖς ὑπαίθων τὴν Διὸς τυραννίδα.*

313

Grammaticus Bekkeri p. 404, 19. et Suidas, *Ἀνθυπουργῆσαι χάριν: τὸ ἀνταποδοῦναι. Σ. Κολχίσιν*

*Ἦ φὴς ὑπομνὺς ἀνθυπουργῆσαι χάριν;*

314

Schol. Apollonii Rhodii III, 1371. *Σοφοκλῆς ἐν Κολχίσι πεποίηκε τοῦ ἀγγέλου τὸν Αἰήτην πυθ... νον περὶ τῶν προειρημένων οὕτως·*

*Ἦ βλαστὸς οὐκ ἔβλαστεν οὑπιχώριος,*
*καὶ κάρτα φρίξας εὐλόφῳ σφηκώματι,*
*χαλκηλάτοις ὅπλοισι μητρὸς ἐξέδυ;*

315

De morte Apsyrti: vide fragm. 491.

316

Hesychius, *Ἐπαλλαχθεῖσαι: ἐπαλλάξασαι.* ... *Κολχίσιν.*

317

Etymolog. M. p. 439, 1. *Σοφοκλῆς Κόλχοις*

*Ὑμεῖς μὲν οὐκ ἄρ' ἦστε τὸν Προμηθέα.*

*ἀντὶ τοῦ ᾔδειτε.*

318

Athenaeus II. p. 70 a. *Κινάρα: ταύτην Σοφο-κλῆς ἐν Κολχίσι κυνάραν καλεῖ.* Ex epitome Eus... thius p. 1822, 17.

319

Galenus vol. IX. p. 385. Charter. (V. p. 454. B... sil.) *Δοκεῖ μὲν γὰρ αὐτὴν (τὴν πέμφιγα) ἐπὶ τ... πνοῆς Σοφοκλῆς ἐν Κόλχοις λέγειν*

*Ἀπῇξε πέμφιξιν οὐ πέλας φόρου.*

*— ἐπὶ δὲ τῶν ἀκτίνων αὐτῶν δοκεῖ χρῆσθαι τ... ὀνόματι Σ. ἐν Κόλχοις κατὰ τάδε τὰ ἔπη*

*Κἂν ἐθαύμασας*
*τηλέσκοπον πέμφιγα χρυσέαν ἰδών.*

Versum primum Hermannus in dissertatione de Aeschyl... Prometheo soluto p. 24. ita corrigit, *Ἀπῇξε πέμφ... ὡς ἵπνοῦ σελασφόρου.* Idem in altero loco em... davit vulgatum *ἐθαύμασα.*

320

Scholiasta Pindari Pyth. IV, 398. *Τοὺς πυρίπνο... ταύρους Ἀντίμαχος ἐν Λύδῃ Ἡφαιστοτεύκτους λέγει καὶ Σοφοκλῆς δὲ χαλκοῦς βοῦς ἀδερμάτους φησίν*

*Χαλκοσκελεῖς γὰρ — —*
*— — ἐκπνέουσι πνευμάτων ἄπο·*
*φλέγει δὲ μυκτὴρ, ὡς — —*

---

## *ΚΡΕΟΥΣΑ.*

321

Stobaeus IV, 38.

*Ταῦτ' ἐστὶν ἄλγιστ', ἦν παρὸν θέσθαι καλῶς*
*αὐτός τις αὐτῷ τὴν βλάβην προσθῇ φέρων.*

322

Stobaeus VII, 8.

*Ὅστις δὲ τόλμῃ πρὸς τὸ δεινὸν ἔρχεται,*
*ὀρθὴ μὲν ἡ γλῶσσ' ἐστὶν, ἀσφαλὴς δ' ὁ νοῦς.*

V. 1. *τόλμης* Elmsl. ad Medeam p. 146.

323

Stobaeus XII, 4.

*Καλὸν μὲν οὖν οὐκ ἔστι τὰ ψευδῆ λέγειν·*
*ὅτῳ δ' ὄλεθρον δεινὸν ἀλήθει' ἄγει,*
*συγγνωστὸν εἰπεῖν ἐστι καὶ τὸ μὴ καλόν.*

324

Stobaeus XXXVIII, 26.

*Οὔτε γὰρ γάμον, ὦ φίλαι,*
*οὔτ' ἂν ὄλβον ἔκμετρον*
*ἔνδον εὐξαίμαν ἔχειν·*
*φθονεροὶ γὰρ ὁδοί.*

325

Stobaeus XCI, 28.

*Καὶ μή τι θαυμάσῃς με τοῦ κέρδους, ἄναξ,*
*ὧδ' ἀντέχεσθαι. καὶ γὰρ οἳ μακρὸν βίον*
*θνητῶν ἔχουσι, τοῦ γε κερδαίνειν ὅμως*
*ἀπρὶξ ἔχονται· χἄστι πρὸς τὰ χρήματα*
*θνητοῖσι τἄλλα δεύτερ'· εἰσὶ δ' οἵτινες*
*αἰνοῦσιν ἄνοσον ἄνδρ', ἐμοὶ δ' οὐδεὶς δοκεῖ*
*εἶναι πένης ὢν ἄνοσος, ἀλλ' ἀεὶ νοσεῖν.*

326

Stobaeus CIII, 15.

*Κάλλιστόν ἐστι τοὔνδικον πεφυκέναι·*
*λῷστον δὲ τὸ ζῆν ἄνοσον· ἥδιστον δ' ὅτῳ*
*πάρεστι λῆψις ὧν ἐρᾷ καθ' ἡμέραν.*

327

Grammaticus Bekkeri p. 373, 5. *Ἀκουστά: ὡς* *τῇ* (codex *τῷ*) *Κρεούσῃ*

*Ἄπελθ' ἄπελθε, παῖ· τάδ' οὐκ ἀκουστά σοι.*

οι om. codex) *καὶ Εὐριπίδης δὲ πολλάκις. ὁ μέν* *Σοφοκλῆς ἀκούσιμά φησι.*

328

Hesychius, *Ἀνέκτημαι: ἀνείληφα. Σ. Κ.*

329

Pollux VI, 174. *Τὸ δὲ ἰσοθάνατον Σοφοκλέους εἰπόντος ἐν Κρεούσῃ οὐ πάνυ ἀνεκτόν.*

---

## *ΚΡΙΣΙΣ.*

330

Athenaeus XV. p. 687 c. *Σοφοκλῆς ὁ ποιητὴς* *Κρίσει* (codex *κρησὶ*) *τῷ δράματι τὴν μὲν Ἀφροδίτην ἡδονήν τινα οὖσαν δαίμονα μύρῳ τε ἀλειφομένην παράγει καὶ κατοπτριζομένην, τὴν δ' Ἀθηνᾶν φρόνησιν οὖσαν καὶ νοῦν, ἔτι δ' ἀρετὴν, ἐλαίῳ χριομένην καὶ γυμναζομένην.*

331

Herodianus *περὶ διχρόνων*, exscriptus ab Dracone dicitur p. 35, 5. et grammatico Hermanni p. 444. ρος *συστέλλον τὸ α, ὡς παρὰ Σοφοκλεῖ ἐν Κρίσει σατυρικῇ*

*Καὶ δὴ φάρει τῷδ' ὡς ἐμῷ καλύπτομαι.*

Herodiani libro *περὶ μονήρους λέξεως* p. 36, 24. c partim in lacunam inciderunt: unde postrema tan- verba supersunt *τῷδ' ὡς ἐμῷ καλύπτομαι.*

332

Hesychius, *Βυδοί: οἱ μουσικοί. ἢ κροῦμά τι.* *Κρίσει.* Codex *σοφῶς κρησίν.*

---

## *ΚΩΦΟΙ.*

333

Scholiasta Nicandri Ther. 343. *Ἄλλοι δὲ οὕτω τὸν* ον *φασίν. Προμηθέα τὸ πῦρ κλέψαντα καὶ τοῖς* ρώποις *δωρησάμενον οἱ λαβόντες ἐμήνυσαν, οὐ* ν *τῆς χάριτος τίνοντες ἀμοιβήν· ἐφ' οἷς τὸν* *φασὶν ἐπαινέσαντα φάρμακον αὐτοῖς ἀγηρασίας* αι· *τοὺς δὲ λαβόντας ἀποφέρειν τὸ δωρηθὲν* ὄνου· *τὸν δὲ δίψει τειρόμενον ἐλθεῖν εἰς κρή-* ῆν *ἐφύλασσεν ὄφις· καὶ τοῦ ποτοῦ ὀρεγόμενος* οτο *τοῦ γήρως τὸ φάρμακον· διὸ πάντας μὲν* *τοὺς ὄφεις καθ' ἕκαστον νεάζειν ἐνιαυτὸν, ἀποδυομένους τὸ γῆρας, τὸν δὲ ὄφιν τῆς κρήνης φύλακα καταλαβεῖν τὸ δίψος. ὅθεν τοῖς δηχθεῖσιν ἐμποιεῖ δίψαν. ἔστι δὲ ὁ μῦθος παρὰ Σοφοκλεῖ ἐν Κωφοῖς.* Eamdem fabulam narrat Aelianus de Nat. Anim. VI, 51. omisso nomine dramatis. *Κρήνης φύλακα χωρίτην ὄφιν* memorat poeta supra fragm. 219.

334

Schol. Apollonii Rhodii I, 972. *Λέγεται δὲ ἴουλος καὶ ζῶόν τι, θηρίδιον πολύπουν· ἑκατέρωθεν γὰρ ἔχει πολλοὺς πόδας, ὥσπερ ἡ σκολόπενδρα. Θεόφραστός δὲ ἐν τῇ πρὸς Φανίαν ἐπιστολῇ καὶ ὄνον φησὶν αὐτὸν καλεῖσθαι, ὡς παρὰ Σοφοκλεῖ ἐν Κωφοῖς σατύροις*

*Κυλισθεὶς ὥς τις ὄνος ἰσόσπριος.*

Codex Paris. *ὥσπερ ὄνος.* Hesychius, *Ὄνος ἰσόσπριος: ἔστι δὲ ζῶον πολύπουν, ὀσπρίῳ ὅμοιον, ὃ καὶ ἴουλον τινὲς φασίν.*

335

Schol. Apollonii Rhodii I, 1126. *Ὅτι δὲ Νύμφη τις Οἰαξίδος γῆς δραξαμένη τοὺς καλουμένους Ἰδαίους Δακτύλους ἐποίησε παρὰ Στησιμβρότου εἴληφε· καὶ ὅτι διὰ τὸ φῦναι αὐτοὺς διὰ τῶν χειρῶν, Δάκτυλοι ἐκλήθησαν. Σοφοκλῆς δὲ αὐτοὺς Φρύγας καλεῖ ἐν Κωφοῖς σατύροις.* „Confer Zenobium Prov. IV, 80. *Κέλμις ἐν σιδήρῳ*, ubi male citatur Sophocles *ἐν Σατύροις*, et Wesselingium ad Diodorum Sic. tom. I. p. 331, 4.“ Brunck.

---

## *ΛΑΚΑΙΝΑΙ.*

„Fabulae argumentum e parva Iliade sumptum testatur Aristoteles de Poëtica cap. 23.“ Brunck.

336

Pollux IX, 49. *Ἔστι δὲ ἡ ψαλὶς, εἶδος οἰκοδομήματος. ἧπου καὶ Σοφ. ἐν Λακαίναις λέγει*

*Στενὴν δ' ἔδυμεν ψαλίδα κοὐκ ἀβάρβαρον.*

*ἀβόρβορον* Blomfildus.

337

Priscianus XVIII. p. 197. Krehl. Attici, *ἄρχω τοῦδε καὶ τόδε, ἀντὶ τοῦ κατάρχω. Σοφ. Λακαίναις*

*Θεοῖς ἄρ' οὔποτ', εἴ τι χρὴ βροτὸν λέγειν,*
*ἄρξασι Φρυξὶ τὴν κατ' Ἀργείους ὕβριν*
*ξυναινῶ ταῦτα. μὴ μάχου βίᾳ.*

Codex Monac. *ΞΥΝΑΙΝΕωΤΑΤΑΥΤΑ.* Ergo initium versus fuit *ξυναινέσω.*

338

Herodianus *περὶ μονήρους λέξεως* p. 40, 11. *Τὸ παρὰ Σοφοκλεῖ ἐν Λακαίναις δανοτὴς εἰρημένον* „*Ἐν ᾗ παύσετ'* (*παύσαιθ'* ?) *ἀμερίων μόχθων τε καὶ δανοτῆτος.*“

339

Strabo VIII. p. 364. *Τὴν δὲ Λᾶν οἱ Διόσκουροι ποτὲ ἐκ πολιορκίας ἑλεῖν ἱστοροῦνται, ἀφ' οὗ δὴ Λαπέρσαι προσηγορεύθησαν. καὶ Σοφοκλῆς λέγει που*

*Νὴ τὼ Λαπέρσα, νὴ τὸν Εὐρώταν τρίτον,*
*νὴ τοὺς ἐν Ἄργει καὶ κατὰ Σπάρτην θεούς.*

Conf. Hesychii interpretes ad *Λαπέρσαι.*

## *ΛΑΟΚΟΩΝ.*

340

Harpocratio, scholiasta Aristoph. Vespar. 870. grammaticus Bekkeri p. 332, 5. et Suidas in *ἀγυιαί*, *Ἀγυιεὺς δέ ἐστι κίων εἰς ὀξὺ λήγων, ὃν ἱστᾶσι πρὸ τῶν θυρῶν — εἶεν ἂν καὶ παρὰ τοῖς Ἀττικοῖς λεγόμενοι ἀγυιεῖς, οἱ πρὸ τῶν οἰκιῶν βωμοὶ, ὥς φασι Κρατῖνος καὶ Μένανδρος, καὶ Σοφοκλῆς ἐν τῷ Λαοκόωντι, μετάγων τὰ Ἀθηναίων ἔθη εἰς Τροίαν, φησὶ*

*Λάμπει δ' ἀγυιεὺς βωμὸς ἀτμίζων πυρὶ*
*σμύρνης σταλαγμοὺς, βαρβάρους εὐοσμίας.*

Harpocratio *βαρβάρων*.

341

Scholiasta Aristophanis Ranar. 678. *Παρὰ τὰ Σ. ἐκ Λαοκόωντος „Πόσειδον, ὃς Αἰγαίου μέδεις πρῶνας* (*πρωνὸς* Brunckius) *ἢ γλαυκᾶς μέδεις* (*μέδεις* delet Blomfildus) *εὐανέμου λίμνας ἐφ' ὑψηλαῖς σπιλάδεσσι στομάτων.*"

342

Dionysius Halic. Antiq. I, 48. *Σοφοκλῆς μὲν ὁ τραγῳδιοποιὸς ἐν Λαοκόωντι δράματι, μελλούσης ἁλίσκεσθαι τῆς πόλεως, πεποίηκε τὸν Αἰνείαν ἀνασκευαζόμενον εἰς τὴν Ἴδην, κελευσθέντα ὑπὸ τοῦ πατρὸς Ἀγχίσου, κατὰ τὴν μνήμην ὧν Ἀφροδίτη ἐπέσκηψε καὶ ἀπὸ τῶν νεωστὶ γενομένων περὶ τοὺς Λαοκοωντίδας σημείων τὸν μέλλοντα ὄλεθρον τῆς πόλεως συντεκμηράμενον. ἔχει δὲ αὐτῷ τὰ ἰαμβεῖα ἐν ἄλλῳ προσώπῳ λεγόμενα ὧδε*

*Νῦν δ' ἐν πύλαισιν Αἰνέας ὁ τῆς θεοῦ*
*πάρεστ', ἐπ' ὤμων πατέρ' ἔχων κεραυνίου*
*νώτου καταστάζοντα βύσσινον φάρος.*
*κυκλεῖ δὲ πᾶσαν οἰκετῶν παμπληθίαν·*
*συμπλάζεται δὲ πλῆθος, οὐχ ὅσον δοκεῖς,*
*οἳ τῆσδ' ἐρῶσι τῆς ἀποικίας, Φρυγῶν.*

V. 3. *μοτοῦ* Plutarchus Moral. p. 109 d.

343

Stobaeus XXIX, 37.

*Μόχθου γὰρ οὐδεὶς τοῦ παρελθόντος λόγος.*

344

Hesychius, *Καταρράκτης: ὀχετὸς, ῥύαξ. καὶ ὁ ἀετός. Σ. Λαοκόωντι.*

---

[*ΛΑΡΙΣΣΑΙΟΙ.* Vide *ΑΚΡΙΣΙΟΣ.*]

---

## *ΛΗΜΝΙΑΙ.*

345

„Notum dramatis argumentum, Argonautarum in Lemnum appulsus, cum Lemniis mulieribus congressus, quem narrat Argonauticorum poeta lib. I. v. 609. Correctum fuisse videtur post primam emissionem, iterumque in scenam inductum. Nam a Stephano in *Δώτιον* laudantur *Λήμνιαι πρότεραι,*

*Φερητίδης τ' Ἄδμητος ἠδ' ὁ Δωτιεὺς*
*Λαπίθης Κορωνός.*"

Brunck.

346

Schol. Pindari Pyth. IV, 303. *Πάντας Σοφοκλῆς ἐν ταῖς Λημνιάσι τῷ δράματι καταλέγει τοὺς εἰς τὸ Ἀργῷον εἰσελθόντας σκάφος.*

347

Schol. Apollonii Rhodii I, 773. *Ὅτι δὲ ἐμίγησαν οἱ Ἀργοναῦται ταῖς Λημνίαις Ἡρόδωρος ἱστορεῖ. Αἰσχύλος δὲ ἐν Ὑψιπύλῃ ἐν ὅπλοις φησὶν αὐτὰς ἐπελθούσας χειμαζομένοις τοῖς Ἀργοναύταις, μέχρι οὗ ὅρκον ἔλαβον παρ' αὐτῶν ἀποβάντας μιγῆναι αὐταῖς. Σοφοκλῆς δὲ ἐν Λημνίαις καὶ μάχην ἰσχυρὰν αὐτὰς συνάψαι φησίν.*

348

Etymol. M. p. 26, 16. *Ἄθως: ἀκρωτήριον Θρᾴκης. Σοφοκλῆς*

*Ἄθως σκιάζει νῶτα Λημνίας βοός.*

*ἐν γὰρ τῇ Λήμνῳ βοῦς χαλκῆ ἵδρυται, ἐφ' ἣν τὴν Ἄθω ἡ σκιὰ φθάνει.* Diversae sunt huius versus apud alios scriptores lectiones, *καλύψει* (vel *καλύπτει*) pro *σκιάζει*, et *ἁλὸς* pro *βοός*: de quibus dixerunt Ruhnkenius Ep. crit. p. 197. et Piersonus ad Moeridem p. 267.

349

Stephanus, *Χρύση: ἡ πόλις τοῦ Ἀπόλλωνος ἐγγὺς Λήμνου. Σ. Λημνίαις*

*Ὦ Λῆμνε Χρύσης τ' ἀγχιτέρμονες πάγοι.*

350

Hesychius, *Ἀξύμβλητον: ὃ μηδενὶ ἀπεικάσαι δυνατὸν, ἢ ἀσυνάντητον. Σ. Λημνίαις.* Versum omisso fabulae nomine attulit Eustathius p. 1405, 58.

*Ἄπλαστον, ἀξύμβλητον ἐξεθρεψάμην.*

351

Hesychius, *Ἀσάλπικτον ὥραν: τὸ μεσονύκτιον. ἑσπέρας γὰρ καὶ ὄρθρου ἐσάλπιζον. Σ. Λ.*

352

Scholiasta Platonis p. 393. *Αὐτὸ δείξει: μέμνηται δὲ τῆς παροιμίας Σοφοκλῆς ἐν Λημνίαις οὕτως*

*Ταχὺ δ' αὐτὸ δείξει τοὔργον, ὡς ἐγὼ, σαφῶς.*

---

[*ΜΑΝΤΕΙΣ.* Vide *ΠΟΛΥΙΔΟΣ.*]

---

## *ΜΕΛΕΑΓΡΟΣ.*

353

Hesychius, *Ἀντίβοιον: ἰσόβοιον, ἀντὶ βοὸς καθαγιαζόμενον. Σ. Μελεάγρῳ.*

354

Hesychius, *Ἰξοφόρους δρύας: τὰς ἰξὸν φερούσας. Σ. Μ.*

355

*Κυάμῳ πατρίῳ* (*τῶν Αἰτωλῶν*): vide fragm. 271.

356

Hermogenes de formis orat. p. 412. *Φιλοσόφου που τὴν Ἀταλάντην εἶπεν ὁ Σοφοκλῆς διὰ τὸ ἀσπάζεσθαι σὺν ἀνδράσιν εἶναι, ἡμῶν πάντων ἐπ' ἄλλου πράγματος ταττόντων τοὔνομα τοῦτο.*

357

Lucian. vol. III. p. 437. *Εἰ δὲ δείπνου ἕνεκα γίζεσθαί σοι δοκῶ, τὸ κατὰ τὸν Οἰνέα ἐπιστάμενος, ὅψει γὰρ καὶ τὴν Ἄρτεμιν ἀγανακτοῦσαν, ὅτι μόνην αὐτὴν οὐ παρέλαβεν ἐκεῖνος ἐπὶ τὴν θυσίαν*

ὺς ἄλλους θεοὺς ἑστιῶν. φησὶ δὲ περὶ αὐτῶν Σο-
κλῆς

*Συὸς μέγιστον χρῆμ' ἐπ' Οἰνέως γύαις*
*ἀνῆκε Λητοῦς παῖς ἑκηβόλος θεά.*

---

## *ΜΕΜΝΩΝ.*

**Dramatis huius meminit auctor argumenti Aiacis.**

---

[*ΜΙΝΩΣ.* Vide *ΚΑΜΙΚΙΟΙ.*]

[*ΜΥΚΗΝΑΙΑΙ.* Vide *ΑΤΡΕΥΣ.*]

---

## *ΜΥΣΟΙ.*

**358**

**Stobaeus XXVI, 4.**

*Ὡς τοῖς κακῶς πράσσουσιν ἡδὺ καὶ βραχὺν*
*χρόνον λαθέσθαι τῶν παρεστώτων κακῶν.*

**359**

**Stobaeus XCVIII, 23.**

*Ἄμοχθος γὰρ οὐδείς· ὁ δ' ἥκιστ'*
*ἔχων μακάρτατος.*

**360**

**Strabo VIII. p. 356.**

*Ἀσία μὲν ἡ σύμπασα κλῄζεται, ξένε,*
*πόλις δὲ Μυσῶν Μυσία προσήγορος.*

**361**

**Athenaeus IV. p. 183 e.** *Μνημονεύει δὲ τοῦ τρι-
ώνου τούτου καὶ Σοφοκλῆς ἐν μὲν Μυσοῖς οὕτως*

*Πολὺς δὲ Φρὺξ τρίγωνος ἀντίσπαστά τε*
*Λυδῆς ἐφυμνεῖ πηκτίδος συγχορδία.*

ὶ ἐν Θαμύρᾳ.

**362**

**Pollux X, 186.** *Φαίης δ' ἂν καὶ σισύρναν, Σο-
κλέους ἐν Μυσοῖς λέγοντος*

*Ψαλίδας, τιάρας καὶ σισυρνώδη στολήν.*

**363**

**Antiatticista p. 83, 22.** *Ἄβολον ἵππον·* *Σ.*
*υσοῖς* (codex *μούσαις*).

**364**

**Hesychius,** *Ἀποβάθραι: ἀποβατηρία. ἢ κλῖ-
ξ νεώς. Σ. Μ.*

**365**

**Hesychius,** *Ἀποσύρει: ἀποσπᾷ. Σ. Μ.*

**366**

**Hesychius,** *Ἀπύρου: ἀθύτου. Σ. Μ.*

**367**

**Hesychius,** *Ἀστραφής: σκληρός. Σ. Μ.*

**368**

**Hesychius,** *Ἀφθίτους γνώμας: ἀμετατρέ-
ους. Σ. Μ.*

---

## *ΜΩΜΟΣ.*

**369**

**Hesychius,** *Ἀλώπηξ: ὄρχησίς τις. καὶ ἀλω-
κίαι Μώμῳ* (codex *μώμων*) *Σοφοκλῆς, ὅπερ
ὶν ἐν σώματι πάθος γενόμενον.*

**370**

**Hesychius,** *Ἄμφιον: ἔνδυμα. Σ. Μώμῳ.*

**371**

**Hesychius,** *Ἀναστῦψαι: ἐπᾶραι τὸ αἰδοῖον.
πυγνάσαι. Σ. Μώμῳ.*

**372**

**Hesychius,** *Ἄνθρωσκε: ἄνω θρῶσκε, ὀρχοῦ.
Σ. Μώμῳ* (codex *κώμῳ*).

**373**

**Hesychius,** *Ἀποσκόλυπτε: ἀπολέπιζε καὶ
ἀποκόλουε. φασὶ καὶ τὸν περιτετμημένον τὸ αἰδοῖον
ἀπεσκολυμμένον. Σ. Μώμῳ.* **Grammaticus Bekkeri
p. 435, 24.** *Ἀποσκολύψαι: ἀφελεῖν τὸ δέρμα.
ἢ ἀπογυμνῶσαι. Σοφοκλῆς δὲ τὸ ἀποκόλουε ἐν Με-
νελάῳ.*

**374 a**

**Grammaticus Bekkeri p. 446, 12.** *Ἄρπην: δρέ-
πανον. Σ. Νόμῳ σατυρικῷ.*

**374 b**

**Choeroboscus Bekkeri p. 1364.** *Τὸ σὺν δόρει σὺν
ἀσπίδι, ὅπερ Ἀριστοφάνης παρεμφαίνει ἐν Εἰρήνῃ*
(v. 357.) *ἐν Μώμῳ Σοφοκλέους προκείμενον, ὡς
ἀπὸ τοῦ δορός ἐστιν* (corr. *δόρος ἐστίν*). **In scho-
lio ad versum Aristophanis ex Achaei** *Μώμῳ*, **quam
fabulam ab nemine veterum memoratam vidi, affertur
versus integer**

*Ἄρης ὁ λῃστὴς σὺν δορὶ σὺν ἀσπίδι.*

---

## *ΝΑΥΠΛΙΟΣ ΚΑΤΑΠΛΕΩΝ. ΝΑΥ-ΠΛΙΟΣ ΠΥΡΚΑΕΥΣ.*

**Pollucis testimonium de** *Ναυπλίῳ πυρκαεῖ* **ad
Aeschyli Promethei igniferi fragmenta exhibuimus.**

**375**

**Schol. Pindari Isthm. V, 10.** *Τὸν δὲ τρίτον κρα-
τῆρα Διὸς Σωτῆρος ἔλεγον, καθὰ καὶ Σοφοκλῆς ἐν
Ναυπλίῳ*

*Ζεῦ πανσίλυπε καὶ Διὸς σωτηρίου*
*σπονδὴ τρίτου κρατῆρος.*

**Hesychius,** *Τρίτος κρατήρ: Σ. Ναυπλίῳ κατα-
πλέοντι.*

**376**

**Stephanus in** *Ἀσπὶς — Σοφοκλῆς ἐν Ναυπλίῳ κα-
ταπλέοντι*

*Ἀλλ' ἀσπιδίτην ὄντα καὶ πεφραγμένον,*
*ὡς ἀσπιδοῦχος, ἢ Σκύθης τοξεύμασι.*

**377**

**Stobaeus CIV, 3.** *Σ. Ν.*

*Τῷ γὰρ κακῶς πράσσοντι μυρία μία*
*νύξ ἐστιν· εὖ παθόντα εἶθ' ἑτέρα θανεῖν.*

*εἶθ' ἑτέρα*] *θἠτέρᾳ* **Brunckius.**

**378**

**Aristides I. p. 259.** *Ποίας Ναυπλίου πάγας ὑπο-
πύρους, ὡς ἔφη Σοφοκλῆς, ἄξιον τῇ πυρκαϊᾷ ταύτῃ
παραβαλεῖν;*

**379**

**Achilles Tatius Isag. ad Arati Phaenom. cap. I.**
*Σοφοκλῆς δὲ Παλαμήδει ἀνατίθησιν. λέγοντα γὰρ
Ναύπλιον εἰσάγει*

*Οὗτος δ' ἐφεῦρε τεῖχος Ἀργείων στρατῷ,*
*σταθμῶν, ἀριθμῶν καὶ μέτρων εὑρήματα·*
*κἀκεῖν' ἔτευξε πρῶτος ἐξ ἑνὸς δέκα,*
*κἀκ τῶνδέ γ' αὖθις εὗρε πεντηκοντάδας*
*εἰς χίλι'· οὗτος εἰς στρατῷ φρυκτωρίαν,*
*ὕπνου φυλάξεις, ἔς θ' ἕω σημάντρια*

ἔδειξε, κἀνέφηνεν οὐ δεδειγμένα·
ἐφεῦρε δ' ἄστρων μέτρα καὶ περιστροφὰς,
τάξεις τε ταύτας, οὐράνιά τε σήματα,
ναῶν τε ποιμαντῆρσιν ἐνθαλασσίων
Ἄρκτου στροφάς τε καὶ Κυνὸς ψυχρὰν δύσιν.

380

**Eustathius p. 228.** *Παλαμήδους ἐπινοησαμένου κυβείαν καὶ πεττείαν ἐν Ἰλίῳ εἰς παραμύθιον λιμοῦ κατασχόντος τὴν στρατιὰν, λίθος ἐκεῖ ἐδείκνυτο, ἐφ' οὗ ἐπέσσευον. τῆς δὲ τοιαύτης ἐπινοίας τοῦ Παλαμήδους, καὶ τῆς εὑρέσεως δὲ τοῦ χρόνου, ἣν καὶ αὐτὴν ἐκεῖνος ἐσοφίσατο, μάρτυρα παράγουσι Σοφοκλῆν, ὃς ἐν δράματι ὁμωνύμῳ τῷ εὑρετῇ Παλαμήδει φησὶν*

Οὐ λιμὸν οὗτος τῶνδ' ἄπωσε, ξὺν θεῷ
εἰπεῖν, χρόνου τε διατριβὰς σοφωτάτας
ἐφεῦρε, φλοίσβου μετὰ κοπὴν καθημένοις,
πεσσοὺς, κύβους τε, τερπνὸν ἀργίας ἄκος;

„Nihil tam apertum est quam hos versus ad eamdem Nauplii *ῥῆσιν* pertinere, cuius partem ab Achille Tatio servatam supra protulimus. Proinde sunt itidem ex Nauplio: aut si Eustathii fidem sequimur, licet dramatum quibus nunc caremus nullum ipse viderit, ad Palamedem priores alteri etiam referendi sunt.“ Brunck. Versum ultimum ex Palamede rursus affert Eustathius p. 1397, 8.

381

**Hesychius,** *Πεσσὰ πεντέγραμμα καὶ κύβων βολάς· Σ. Ναυπλίῳ πυρκαεῖ, παρόσον πέντε γραμμαῖς ἔπαιζον.* Versum integrum *Καὶ πεσσὰ πεντέγραμμα καὶ κύβων βολαί* ex Sophocle attulit Pollux IX, 97. Conf. Etymol. M. p. 666, 18. Orionem p. 127, 1. Eustathium p. 1396, 60. Ad eandem, ut videtur, fabulam spectat Pollux VII, 203. *πεττεία, ἢ πεσσεία, ὡς Σοφοκλῆς.*

382

**Herodianus** *περὶ μονήρους λέξεως* p. 31, 21. *Σπίζα· ἔστι δὲ εἶδος ὀρνέου. Σ. ἐν Ναυπλίῳ πυρκαεῖ*
*Κάτω κρέμανται σπίζ' ὅπως ἐν ἕρκεσι.*

383

**Photius p. 150, 9.** *Κατουλάδα: Σ. Ναυπλίῳ*
*Ἐπεύχομαι δὲ νυκτὶ τῇ κατουλάδι.*
*τὴν κατίλλουσαν καὶ κατείργουσαν.*

384

**Hesychius,** *Ἀνόρεος πόλεμος: ἀνδρεῖος, ὁ πρὸς τοὺς ἄνδρας. Σ. Ν.*

385

**Schol. Aristoph. Pacis 1126.** *Ἐλύμνιον: — μέμνηται καὶ Σοφοκλῆς „Πρὸς πέτραις Ἐλυμνίαις“, καὶ ἐν Ναυπλίῳ „Νυμφικὸν Ἐλύμνιον.“*

386

**Hesychius,** *Ἐπίκοτα: ἐπίμομφα, ἃ πᾶς ἂν τις μέμψαιτο. Σ. Ν. καταπλέοντι.*

387

**Hesychius,** *Ναύκληρον πλάτην: ναυτικήν. Σ. Ν. πυρκαεῖ.*

388

**Pollux X, 134.** *Οἰκία τὰ πηδάλια Σ. ἐν Ναυπλίῳ ὠνόμασε.*

---

## ΝΑΥΣΙΚΑΑ Η ΠΛΥΝΤΡΙΑΙ.

389

**Eustathius p. 1553, 63.** *Μάλιστα δὲ, φασὶν, ἐπεμελήθησαν ὕστερον σφαιριστικῆς πόλεων μὲν καὶ Λακεδαιμόνιοι, βασιλέων δὲ ὁ μέγας Ἀλέξανδρος, ἰδιωτῶν δὲ Σοφοκλῆς ὁ τραγικός. ὃς καὶ ὅτε, φασὶ, τὰς Πλυντρίας ἐδίδασκε, τὸ τῆς Ναυσικάας πρόσωπον σφαίρᾳ παιζούσης ὑποκρινόμενος, ἰσχυρῶς εὐδοκίμησεν.* (Conf. p. 381, 10.) **Athenaeus I. p. 20 e.** *Σοφοκλῆς ἄκρως ἐσφαίρισεν, ὅτε τὴν Ναυσικάαν καθῆκε.*

390

**Hesychius,** *Ἀναρροιβδεῖ: — Σ. ἐν Ναυσικάᾳ ἀντὶ τοῦ ἀναρρίπτει.*

391

**Pollux VII, 45.** *Ἐπενδύτης — ληπτέον ἐκ τῶν Σ. Πλυντριῶν*
*Πέπλους τε νῆσαι νεοπλυνεῖς τ' ἐπενδύτας.*

392

**Pollux X, 52.** *Λαμπήνη ἐν τῇ Σ. Ναυσικάᾳ.* **Hesychius,** *Λαμπήνη: εἶδος ἁμάξης, ἐφ' ἧς ὀχοῦνται.*

---

## ΝΙΟΒΗ.

393

**Athenaeus XIII. p. 601 a.** *Αἰσχύλος μέγας ὢν ποιητὴς καὶ Σοφοκλῆς ἦγον εἰς τὰ θέατρα διὰ τῶν τραγῳδιῶν τοὺς τῶν παίδων ἔρωτας· ὁ μὲν τὸν Ἀχιλλέως πρὸς Πάτροκλον, ὁ δ' ἐν τῇ Νιόβῃ τὸν τῶν Νιόβης παίδων.* **Plutarchus Moral. p. 760 e.** *Τῶν τοῦ Σοφοκλέους Νιοβιδῶν βαλλομένων καὶ θνησκόντων ἀνακαλεῖταί τις οὐδένα βοηθὸν ἄλλον οὐδὲ σύμμαχον ἢ τὸν ἐραστὴν „Ὦ ἀμφ' ἐμοῦ στεῖλαι.“*

394

**Eustathius p. 1367, 21.** *Τῆς Νιόβης ἡ συμφορὰ κατὰ μέν τινας ἐν Λυδίᾳ, κατὰ δέ τινας ἐν Θήβαις γενέσθαι λέγεται. Σοφοκλῆς δὲ τοὺς μὲν παῖδας αὐτῇ ἐν Θήβαις ἀπολέσθαι φησίν· αὐτὴν δὲ εἰς Λυδίαν ἐλθεῖν.* **Lutatius ad Statii Theb. lib. VI.** *Niobe secundum Homerum, duodecim filios habuit. Sophocles autem dicit eam quatuordecim habuisse.* Vide Hermann. Opusc. vol. III. p. 38.

395

**Diogenes Laërt. in vita Zenonis VII, 28.** *Ἐτελεύτα δὲ οὕτως. ἐκ τῆς σχολῆς ἀπιὼν προσέπταισε καὶ τὸν δάκτυλον περιέρρηξε. παίσας δὲ τὴν γῆν τῇ χειρὶ, φησὶ τὸ ἐκ τῆς Νιόβης „Ἔρχομαι, τί μ' αὔεις;“* Eadem Suidas in *αὔεις.*

396

**Schol. Oedip. Colon. 684.** *Κὰν τῇ Νιόβῃ ὁ Σ. τὸν κρόκον ἄντικρυς τῇ Δήμητρι ἀνατίθεται.*

397

**Harpocratio,** *Δερμιστής: Δίδυμος μὲν ἀποδίδωσι τὴν σκώληκα οὕτω λέγεσθαι τῷ Σοφοκλεῖ ἐν Νιόβῃ. Ἀρίσταρχος δὲ τὸ Σοφόκλειον ἐξηγούμενος τὸν ὄφιν ἀπέδωκε. μήποτε δὲ μᾶλλον ἂν εἴη τὰ τὰ δέρματα ἐσθίει δερμιστής.* Conf. fragm. 562. Bekkeri Anecd. p. 240, 14.

398

Athenaeus IV. p. 176 f. *Τοὺς ἐλύμους αὐλούς, ν μνημονεύει Σ. ἐν Νιόβῃ τε κἀν Τυμπανισταῖς, ις ἄλλους τινὰς εἶναι ἀκούομεν ἢ τοὺς Φρυγίους.*

399

Scholiasta Homeri Iliad. ε, 533. et Odyss. ϑ, 186. *[— ἀντὶ τοῦ ἦν — Σ. ἐν τῇ Νιόβῃ*

*Ἡ γὰρ φίλη ᾿γὼ τῶνδε τοῦ προφερτέρου.*

400

Plutarchus Moral. p. 691 d. *Αὐτοὺς παραλογιζόμεθα, θερμὸν εὐθὺς εἶναι τὸ θερμαῖνον ὑπολαμβάνοντες· καὶ ταῦθ᾿ ὁρῶντες ὅτι ταὐτὸ ἱμάτιον ἐν χειμῶνι θερμαίνει, ἐν δὲ ἡλίῳ ψύχειν λέγομεν, ὥσπερ ἡ τραγικὴ τροφὸς ἐκείνη τὰ τῆς Νιόβης τέκνα θηνεῖται*

*λεπτοσπαθήτων χλανιδίων ἐρειπίοις*
*θάλπουσα καὶ ψύχουσα, καὶ πόνῳ πόνον*
*ἐκ νυκτὸς ἀλλάσσουσα τὸν καθ᾿ ἡμέραν.*

Extrema *καὶ πόνῳ — ἡμέραν* addita ex eodem p. 6 e. ubi *σπαργάνων* scriptum pro *χλανιδίων*. Ad Sophocleam fabulam haec retulit Valckenar. ad Phalarem p. X.

---

*ΝΙΠΤΡΑ Η ΟΔΥΣΣΕΥΣ ΑΚΑΝΘΟΠΛΗΞ.*

401

Stephanus in *Δωδώνη — λέγεται καὶ Δωδών, ἧς ν γενικὴν Σοφ. Ὀδυσσεῖ ἀκανθοπλῆγι*

*Νῦν δ᾿ οὔτε μ᾿ εἰς Δωδῶνος οὔτε Πυθικὰς*
*γυ.. τις ἂν πείσειεν.*

ν codex Coislinianus, ceteris adustis. Montefalcon. νή. Vulgo *γύας.*) *καὶ δοτικὴν*

*Δωδῶνι ναίων Ζεὺς ὁμέστιος βροτῶν.*

*μέντοι Δωδώνης, Δωδωναῖος· καὶ τὸ θῆλυ Δωνίς. Σοφ. Ὀδυσσεῖ ἀκανθοπλῆγι*

*Τὰς θεσπιῳδοὺς ἱερίας Δωδωνίδας.*

mes Alexandr. *τονικῶν παραγγελμ.* p. 12, 2. *Δωνι Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι*

*Καὶ τὸν ἐν Δωδῶνι παῦσον δαίμον᾿ εὐλογούμενον.*

402

Scholiasta MS. Homeri Iliad. α', 135. apud Koen. Gregor. Cor. p. 49. *Καὶ Σοφ. ἐν Ὀδυσσεῖ ἀκαντλῆγι*

*Εἰ μέν τις οὖν ἔξεισιν· εἰ δὲ μή, λέγε.*

cf. Eustathium p. 66, 31.

403

Schol. Dionysii Thracis in Bekkeri Anecd. II. p. , 19. *Σοφοκλῆς ἐν Ὀδυσσεῖ ἀκανθοπλῆγι τῷ ποτὸς ἀντὶ τοῦ ποῖος χρησάμενος ἀκριβολογεῖ*

*Ποδαπὸν τὸ δῶρον ἀμφὶ φαιδίμοις ἔχων*
*ὤμοις.*

404

Hesychius, *Ἀθηρόβρωτον ὄργανον: τὴν ύνην, ἢ τὴν ἀθήραν ἀνακινοῦσι. Σ. Ὀδυσσεῖ ινθοπλῆγι.* Versum integrum, sed omisso nomine ulae, servarunt scholiasta Homeri Odyss. λ, 128. Eustathius p. 1675, 52.

*Ὤμοις ἀθηρόβρωτον ὄργανον φέρων.*

405

Hesychius, *Ἐλαιάεσσα νηδύς: Σ. Ὀδυσσεῖ ἀκανθοπλῆγι. ἤτοι λαιάεσσα ἀντὶ τοῦ σκαιά, ἀγρία. ἢ ἀπὸ τοῦ ληΐζεσθαι, πάντα ληιζομένη καὶ κατεσθίουσα. ἢ ἀπὸ τοῦ ἐλαίου λιπαρά.* Photius p. 298, 1. *Νηδὺς ἐλαιάεσσα: ἐπὶ Κύκλωπος. Σικελή. ἀπὸ Ὕβλης τῆς ἐλαιηρᾶς.*

406

Photius p. 400, 5. et Suidas, *Παρουσία: — καὶ ἐπὶ τοῦ παρεῖναι τάσσεται, ὡς ἐν τοῖς Νίπτροις Σοφοκλέους*

*Τὴν παρουσίαν*
*τῶν ἐγγὺς ὄντων.*

407 408

Ad hanc fabulam Brunckius duo fragmenta retulit, alterum apud Plutarch. Moral. p. 745 f. *Σοφοκλέους Ὀδυσσεύς φησι Σειρῆνας εἰσαφικέσθαι Φόρκου κόρας αἰθροῦντος τοὺς Ἅιδου νόμους.* Quae Lobeckius ad Sophocl. Aiac. p. 342. metro accommodavit

*Σειρῆνας εἰσαφικόμην*
*Φόρκου κόρας, θροοῦντε τοὺς Ἅιδου νόμους.*

Alterum locum servavit scriptor vitae Sophoclis, *Καὶ τὴν Ὀδύσσειαν ἐν πολλοῖς δράμασιν ἀπογράφεται, παρετυμολογεῖ δὲ καθ᾿ Ὅμηρον καὶ τὸ ὄνομα Ὀδυσσέως*

*Ὀρθῶς δ᾿ Ὀδυσσεύς εἰμ᾿ ἐπώνυμος κακοῖς·*
*πολλοὶ γὰρ ὠδύσαντο δυσσεβεῖς ἐμοί.*

409

Photius p. 240, 10. *Μάγνον: Σ. Ὀδυσσεῖ. τὸν μέγαν. τὸν ἀπομάσσοντα καὶ καθαίροντα.* Dubitatur utrum hanc fabulam dicat an *Ὀδυσσέα μαινόμενον.*

---

*ΞΟΑΝΗΦΟΡΟΙ.*

410

Scholiasta Aeschyli S. c. Th. 310. *Εἴρηται δὴ καὶ ἐν Ξοανηφόροις Σοφοκλέους ὡς οἱ θεοὶ ἀπὸ τῆς Ἰλίου φέρουσιν ἐπὶ τῶν ὤμων τὰ ἑαυτῶν ξόανα, εἰδότες ὅτι ἁλίσκεται.*

---

*ΟΔΥΣΣΕΥΣ ΜΑΙΝΟΜΕΝΟΣ.*

„Argumentum, Ulysses furorem simulans, ne ad Troiam navigare cogeretur, et a Palamede fraudis convictus. *Προσποιούμενον γὰρ αὐτὸν μαίνεσθαι Παλαμήδης ἤλεγξεν*, inquit scholiastes noster ad Philoct. 1025.“ Brunck.

411

Scholiasta Pindari Isthm. V, 86. *Σύντομοι δὲ οὐ μόνον Λάκωνες, ἀλλὰ καὶ Ἀργεῖοι. Σ. Ὀδυσσεῖ μαινομένῳ*

*Πάντ᾿ οἶσθα, πάντ᾿ ἔλεξα τἀντεταλμένα·*
*μῦθος γὰρ Ἀργολιστὶ συντέμνειν βραχύς.*

412

Hesychius, *Ἐμπερής: ἔμπειρος. Σ. Ὀδυσσεῖ μαινομένῳ.*

413

Hesychius, *Ἡμαλάψαι: κρύψαι, ἀφανίσαι. Σ. Ὀ. μ.*

414

Hesychius, *Θρεκτοῖσι νόμοις: ἀντὶ τοῦ τροχαῖος. Σ. Ὀ. μ. ἔνιοι δὲ κρεκτοῖς.*

415

Hesychius, Θριάζειν: φυλλολογεῖν, ἐνθουσιᾶν, ἐνθουσιάζειν. — Σ. Ὀ. μ.

## ΟΙΝΕΥΣ.

Hanc fabulam in duobus Hesychii locis ab Musuro depravatis agnoscere videmur.

416

Hesychius, Ἄλυτον: ἀκατάλυτον, ἀκατάπαυστον. Σοφοκλῆς Οἰνεῖ. Ita corrigenda codicis scriptura ἰνεῖ.

417

Hesychius, Χερσεύει: Σοφοκλῆς Οἰνεῖ (codex οι ει ἰονι) „Κείμενος μὲν βουστάδας * *". ἐπὶ χέρσου, ἢ ἀπὸ χειρῶν ἔχει, ἢ οὕτως ἐμβατεύει. Post βουστάδας indicavi lacunam: nam exciderunt aliquot poetae verba, in quibus χερσεύει fuit.

## ΟΙΝΟΜΑΟΣ Η ΙΠΠΟΔΑΜΕΙΑ.

418

Apollonius de pronomine p. 330 b. ubi de pronomine ἵ agit, ἀξιοπιστότερος ὁ Σοφοκλῆς μάρτυς χρησάμενος ἐν Οἰνομάῳ „ει μεν ωσει θασσονα ειδωσ ειτεκοι παιδα". Scholiasta Homeri Iliad. χ, 410. Σ. Οἰνομάῳ „ἡ μὲν ὡσεὶ θάσσο. ἡ δὲ ὡσιτέξου παῖδα". Sophoclis igitur verba fuerunt

Ἡ μὲν ὡς ἵ θάσσον', ἡ δ' ὡς ἵ τέκοι παῖδα.

Loquitur de duabus matribus, quarum sui utraque filii celeritatem praedicabat. Quod quo consilio fecerint ex fabula notissima de Oenomao apertum est.

419

Stobaeus XXVII, 6. Σ. Ἰ.

Ὅρκου δὲ προστεθέντος, ἐπιμελεστέρα
ψυχὴ κατέστη. δισσὰ γὰρ φυλάσσεται,
φίλων τε μέμψιν κεἰς θεοὺς ἁμαρτάνειν.

420

Athenaeus IX. p. 410 c. Σοφοκλῆς Οἰνομάῳ

Σκυθιστὶ χειρόμακτρον ἐκκεκαρμένος.

Ad hunc v. spectat Hesychii glossa, Σκυθιστὶ χειρόμακτρον.

421

Athenaeus XIII. p. 564 b. Σοφοκλῆς δέ που περὶ τοῦ κάλλους τοῦ Πέλοπος διαλεγομένην ποιήσας τὴν Ἱπποδάμειάν φησιν

Τοιάνδ' ἐν ὄψει λύγγα θηρατηρίαν
ἔρωτος, ἀστραπήν τιν' ὀμμάτων ἔχει·
ἐνθάλπεται μὲν αὐτὸς, ἐξοπτᾷ δ' ἐμὲ,
ἴσον μετρῶν ὀφθαλμὸν, ὥστε τέκτονος
παρὰ στάθμην ἰόντος ὀρθοῦται κανών.

V. 1. λίγγα Erfurdtius.

422

Pollux X, 55. Τὴν ψήκτραν — εἴρηκε Σ. ἐν Οἰνομάῳ

Διὰ ψήκτρας σ' ὁρῶ
ξανθὴν καθαίροντ' ἵππον αὐχμηρᾶς τριχός.

423

Aristophanes Avibus 1337.

Γενοίμαν αἰετὸς ὑψιπέτας,
ὡς ἂν ποταθείην ὑπὲρ ἀτρυγέτου γλαυκᾶς ἐπ'
οἶδμα λίμνας.

Haec e Sophoclis Oenomao esse scholiasta annotavit.

424

Diogenes Laert. in vita Arcesilai IV, 35. Πρὸς δὲ τὸν δανειστικὸν καὶ φιλόλογον εἰπόντα τι ἀγνοεῖ[ν] ἔφη

Λήθουσι γάρ τοι κἀνέμων διέξοδοι
θήλειαν ὄρνιν, πλὴν ὅταν τόκος παρῇ.

ἔστι δὲ ταῦτα ἐκ τοῦ Οἰνομάου Σοφοκλέους. Eadem (ex Diogene) Suidas in Διέξοδοι et in Λήθουσι. Omisso poetae nomine attulit Plutarchus Moral. p. 715 [...] qui Sophoclis scripturam servavit πλήθουσι.

425

Hesychius, Ἀρουραῖος Οἰνόμαος. Δημοσθένης Αἰσχίνην οὕτως ἔφη, ἐπεὶ κατὰ τὴν χώραν περινοστῶν ὑπεκρίνετο Σοφοκλέους τὸν Οἰνόμαον.

## ΠΑΛΑΜΗΔΗΣ.

De loco ab Eustathio ex hac fabula allato vide ad fragm. 380.

426

Ammonius π. Ὁμ. p. 76. in MS. Reg. Mus. Britannici, τάσσουσι δὲ ὅμως καὶ ἐπὶ τοῦ ἰδίου [...] ἴσθι. Σοφοκλῆς ἐν Παλαμήδῃ

Εὔφημος ἴσθι μοῦνον ἐξορμωμένη.

427

Hesychius, Ἄκεστρον: φάρμακον. Σ. Παλαμήδῃ.

428

Hesychius, Δροπά: δρεπτά. Σ. Παλαμήδ[ῃ]. Blomfildus, Ἄδροπα: ἄδρεπτα.

## ΠΑΝΔΩΡΑ Η ΣΦΥΡΟΚΟΠΟΙ.

429

Athenaeus XI. p. 476 c. ubi de voce κέρας pro [pocu]lum significante, Καὶ Σοφοκλῆς Πανδώρᾳ

Καὶ πλῆρες ἐκπιόντι χρύσεον κέρας
τρίψει γέμοντα μαλθακῆς ὑπ' ὠλένης.

430

Pollux X, 44. Ἀμὶς, ἣν Σ. ἐν Πανδώρᾳ ἐνουρήθραν καλεῖ. Lexicon MS. Paris. apud Brunckium Ἀμὶς, σταμνίον, ᾧ ἐνουροῦσι. Σ. δὲ ἐν Πανδώρᾳ ἐνούρηθρον καλεῖ, Αἰσχύλος δὲ οὐράνην.

431

Hesychius, Κεχήλωμαι: πόδας δέδεμαι, ἐρραμμαι τοὺς πόδας. — καὶ χήλευμα τὸ σ[...] Σ. Πανδώρᾳ ἢ Σφυροκόποις. Brunckius χήλευμα.

432

Scholiasta Hippocratis apud Foesium in Oeconomia v. Ὀργασμός: μαλαγμός. μέμνηται τῆς λέξεως καὶ Σοφοκλῆς ἐν Πανδώρᾳ λέγων

Καὶ πρῶτον ἄρχου πηλὸν ὀργάζειν χεροῖν.

ἄρχου Portus in lexico Ionico. ἀρχὸν Heschius in dissertatione de Archilocho p. CCVI. comparatis Horatii verbis Odar. I. 16, 13. Fertur Prometheus addere principi limo —. Fortasse ex eadem fabula est fragmentum apud Etymolog. M. p. 629, 34. ὀργάσαι τὸ πηλοποιῆσαί ἐστι καὶ ὑγρῷ ξηρὸν μῖξαι. Σοφοκλῆς

θέλοιμι πηλὸν ὀργάσαι". ubi Etymol. Gud. p. 432, 3. vitiose ὀργάσασθαι.

## ΠΕΛΙΑΣ (?).

433

Erotianus p. 304. Παιδικὸν πάθος: παιδίαν ἐν τὴν παιδοτροφίαν· ὅθεν καὶ Σοφοκλῆς ἐν Πε- ᾳ φησὶ „Λευκὸν αὐτὴν δδ' ἐπαίδευσεν γάλα."

## ΠΗΛΕΥΣ.

434

Clemens Alex. Strom. VI. p. 748. schol. Aristoph. ubium v. 1419.

Πηλέα τὸν Αἰάκειον οἰκουρὸς μόνη
γεροντανωγῶ κἀναπαιδεύω πάλιν.
πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ.

ersum 2. attulit Trypho in Museo Cantabrig. I. p. ‹. et utitur eo Aristophanes in Equitibus v. 1098.

Καὶ μὴν ἐμαυτὸν ἐπιτρέπω σοι τουτονὶ
γεροντανωγεῖν κἀναπαιδεύειν πάλιν.

435

Aristophanes Avibus v. 852.

Ὁμορροθῶ, συνθέλω,
συμπαραινέσας ἔχω,
προσόδια μεγάλα
σεμνὰ προσιέναι θεοῖσιν.
ἴτω δὲ Πυθιὰς βοὰ τῷ θεῷ.

i scholiasta, Ὁμορροθῶ: Σοφοκλέους ἐκ Πη- ως, ἀντὶ τοῦ τὸ αὐτὸ φρονῶ.

436

Stobaeus CXXI, 9. Σ. Π.

Τὸ μὴ γὰρ εἶναι κρεῖσσον ἢ τὸ ζῆν κακῶς.

437

Harpocratio in ξηραλοιφεῖν, Σ. Π.

Καὶ ξηραλοιφῶν εἵματος διὰ πτυχῶν.

438

Scholiasta Aristophanis Equit. v. 1147. Σ. Π.

Κημοῖσι πλεκτοῖς πορφύρας φθείρει γένος.

439

Stephanus in Δώτιον, Σ. Π.

Βασιλεὺς χώρας τῆς Δωτιάδος.

440

Stephanus, Κυκνῖτις: ἧς ὁ Κύκνος ἐβασίλευ- Σοφοκλῆς ἐν Πηλεῖ καὶ ἐν Ποιμέσι „Βοὴν Κυ- ῖτιν."

441

Antiatticista p. 106, 13. Λιποψυχεῖν: Σ. Πηλεῖ.

442

Antiatticista p. 107, 30. Μὴ νόμισον: ἀντὶ ῦ μὴ νομίσῃς. Σ. Π. καὶ „μὴ ψεῦσον." Locum ›rum ex Peleo servavit scholiasta Aristoph. Thes- ph. v. 870.

Μὴ ψεῦσον, ὦ Ζεῦ· μή μ' ἕλῃς ἄνευ δορός.

[ΠΑΥΝΤΡΙΑΙ. Vide ΝΑΥΣΙΚΑΑ.]

## ΠΟΙΜΕΝΕΣ

443

Tzetzes ad Lycophronem 529. Ἱστορεῖ ὁ Σοφοκλῆς ἐν Ποιμέσιν ὑπὸ τοῦ Ἕκτορος ἀναιρεθῆναι τὸν Πρωτεσίλαον.

444

Sextus Empiricus adversus Grammaticos p. 286. Οὔτε γὰρ ἐκ τέχνης τινὸς μεμαθήκασιν ὅτι οἱ παρὰ τῷ Σοφοκλεῖ ποιμένες, ἰὼ βαλλὴν λέγοντες, ἰὼ βασιλεῦ λέγουσι Φρυγιστί· ἀλλὰ παρ' ἄλλων ἀκούσαντες. Hesychius, Βαλλήν: βασιλεὺς Φρυγιστί.

445

Harpocratio in Νάννιον. Ὅτι γὰρ θαλλῷ χαίρουσιν αἱ αἶγες καὶ Σοφοκλῆς Ποιμέσιν

Ἑωθινὸς γὰρ πρίν τιν' αὐλητῶν ὁρᾶν,
θαλλὸν χιμαίρᾳ προσφέρων νεοσπάδα,
εἶδον στρατὸν στείχοντα παρ' ἀλίαν πέτραν.

„Leguntur hi versus etiam apud Athenaeum XIII. p. 587 a. Ad primum pertinet Hesychii glossa: Αὐλητήν: τὸν τοῦ κόπρου ἐπιμελούμενον τῶν προβάτων. In 3. lego una voce παραλίαν. Sic in Theseo παρακτίαν στείχων." Brunck.

446

Athenaeus VII. p. 319 b. Τῶν πηλαμύδων μνημονεύει καὶ Σοφοκλῆς ἐν Ποιμέσιν

Ἔνθ' ἡ πάροικος πηλαμὺς χειμάζεται,
πάροικος Ἑλλησποντὶς, ὡραία θέρους
τῷ Βοσπορίτῃ, τῷδε γὰρ θαμίζεται.

Hesychius, Θαμίζεται: ὁμιλεῖ.

447

Plutarchus Vit. p. 795 b. Οἱ Σοφοκλέους βοτῆρες ἐπὶ τῶν ποιμνίων λέγουσιν

Τούτοις γὰρ ὄντες δεσπόται δουλεύομεν,
καὶ τῶνδ' ἀνάγκη καὶ σιωπώντων κλύειν.

448

Suidas, Ἀμφήμερον: τὸν ἀμφημερινὸν πυρετόν. Σ. Π.

Κρυμὸν φέρων γνάθοισιν ἐξ ἀμφημέρου.

449

Suidas in θρηνεῖν, Σ. Π.

Λόγῳ γὰρ οὐδὲν ἕλκος οἶδά πω χανόν.

Vulgo πού.

450

Photius p. 307, 17. et Suidas, Ξανῶ: κοπιάσω. Σ. Ποιμέσιν· Ἕκτωρ τοῖς Ἀχαιοῖς βουλόμενος μάχεσθαί φησιν

Ἡδὺ ξανῆσαι καὶ προγυμνάσαι χέρα.

451

Herodianus περὶ μονήρους λέξεως p. 11, 3. Ποσίδειος — Σοφοκλῆς Ποιμέσι

Τειχέων καὶ δὴ τοὺς Ποσιδείους
θριγκοὺς ἀποσεισαμένη.

V. 1. codex τυχῶν, i. e. τειχῶν. V. 2. aut caesuram neglexit poeta aut aliquid omisit grammaticus.

452

Hesychius, Ἀναλῶσαι: ἀφανίσαι. Ποιμέσιν (codex ποιμένεσιν).

453

Antiatticista p. 84, 10. Βᾶρις: κατ' οἰκίας καὶ πλοίου. Σ. ἐν Ποιμέσι βαρίβαν λέγει τὸν ναύτην ἢ τὸν τῆς βάρεως ἐπιβεβηκότα. De hoc vocabulo dixit Lobeckius ad Phrynichum p. 600.

454

Hesychius, *Βερέκυντα βρόμον: Φρύγιον αὐλόν. Σ. Π.*

455

Stephanus, *Γραικός: — Γραῖκες δὲ παρὰ Ἀλκμᾶνι αἱ τῶν Ἑλλήνων μητέρες, καὶ παρὰ Σοφοκλεῖ ἐν Ποιμέσιν.* Conf. fragm. 933.

456

*Ἴαννα:* vide fragm. 54.

457

*Βοὴν Κυκνῖτιν:* vide fragm. 440.

458

*Πέλον:* vide fragm. 122.

459

*Παρασάγγας:* vide fragm. 127.

460

Hesychius, *Φοινικίοις γράμμασιν: Σ. Ποιμέσιν. ἐπεὶ δοκεῖ Κάδμος αὐτὰ ἐκ Φοινίκης κεκομικέναι.*

461

Etymolog. M. p. 405, 32. *Τὸ ψὸ ἐν Ποιμέσι Σοφοκλέους ἐπίφθεγμα.* Memorat etiam Herodianus *περὶ μονήρους λέξεως* p. 46, 18.

---

## *ΠΟΛΥΙΔΟΣ Η ΜΑΝΤΕΙΣ.*

462 a

Etymologicon MS. apud Valckenar. Diatr. Eurip. p. 200. *Πολύϊδος: οὕτω καὶ Ἀπολλώνιος ὁ τοῦ Ἀρχιβίου. καὶ ἔστι, φησὶ, πολυΐδμων μάντις ὤν. οὕτω καὶ τὸ δρᾶμα ἐπιγράφεται παρὰ Ἀριστοφάνει. μαρτυρεῖ δὲ Φιλόξενος. καὶ Σοφοκλῆς δὲ Μάντεσι συνέστειλεν*

*Ὁρῶ πρὸ χειρῶν Πολυΐδου τοῦ μάντεως.*

*καὶ πάλιν*

*Οὐκ ἔστιν εἰ μὴ Πολυΐδῳ τῷ κοιράνῳ.*

Valde corrupta haec in Etymolog. Gud. p. 474. In Etymolog. M. p. 681, 24. *παρὰ Σοφοκλεῖ „Ὁρῶ πρὸ χειρῶν Πολύϊδος τοῦ μάντεως". καὶ πάλιν „Οὐκ ἔστιν εἰ μὴ Πολυείδῳ."*

462 b

Euripidis schol. ad Phoenissas 1256. *Τῆς κύστεως τὸ στόμα ἐρίῳ δεσμοῦντες ἐπετίθεσαν τῷ πυρὶ, καὶ παρετήρουν πῶς ῥαγήσεται καὶ ποῦ τὸ οὖρον ἀκοντίσει. Σοφοκλῆς ἐν Μάντεσι*

*Τὰς μαλλοδετεῖς κύστεις.*

*μαλλοδέτους* Valckenarius.

463

Stobaeus XXIX, 25. *Σ. Μάντεων*

*Οὔτοι ποθ' ἥξει τῶν ἄκρων ἄνευ πόνου.*

464

Porphyrius de Abstinentia II. p. 134. edit. Ultraiectinae. Clemens Al. Stromat. IV. p. 565.

*Ἦν μὲν γὰρ οἰὸς μαλλὸς, ἦν δὲ κἀμπέλου*
*σπονδή τε, καὶ ῥὰξ εὖ τεθησαυρισμένη·*
*ἐνῆν δὲ συμμιγὴς ὀλαῖς παγκαρπία,*
*λίπος τ' ἐλαίας, καὶ τὸ ποικιλώτατον*
*ξουθῆς μελίσσης κηρόπλαστον ὄργανον.*

V. 5. citat schol. Euripidis ad Phoenissas 115.

465

Schol. Aristoph. ad Ranas 596. exscriptus ab Suida in *γλάμων*, *Σοφοκλῆς ἐν Μάντεσιν ἐπί τινων ὀρνέων*

*Τοὺς γλαμυροὺς κατὰ φορβάν.*

466

Hesychius, *Ἀνταίας: πολεμίας, ἐχθρᾶς. Σ. Πολυείδῳ.*

467

Hesychius, *Ἀραῖον: κατάρατον. ὡς τὸ*

*Ὁ πρόσθεν ἐλθὼν ἦν ἀραῖός μοι νέκυς.*

*οἷον ἀρὰν προσετρίβετο. καὶ κατ' εὐχῆς. Σ. Πολυείδῳ.*

---

## *ΠΟΛΥΞΕΝΗ.*

468

Strabo X. p. 470. *Ὁ δ' οὖν Σοφοκλῆς ποιήσας τὸν Μενέλαον ἐκ τῆς Τροίας ἀπαίρειν σπεύδοντα ἐν τῇ Πολυξένῃ, τὸν δ' Ἀγαμέμνονα μικρὸν ἐπιλειφθῆναι βουλόμενον, τοῦ ἐξιλάσασθαι τὴν Ἀθηνᾶν χάριν, εἰσάγει λέγοντα τὸν Μενέλαον*

*Σὺ δ' αὖθι μίμνων τήνδε κατ' Ἰδαίαν χθόνα*
*ποίμνας Ὀλύμπου συναγαγὼν θυηπόλει.*

469

Porphyrius apud Stobaeum Ecl. phys. I, 52. p. 1008. *Ἀχέρων δὲ καὶ Ἀχερουσία λίμνη ταυτὸν, ὡς καὶ Σοφοκλῆς ἐν Πολυξένῃ τὴν τοῦ Ἀχιλλέως ψυχὴν εἰσάγει λέγουσαν*

*Ἀκτὰς ἀπαίωνάς τε καὶ μελαμβαθεῖς*
*λιποῦσα λίμνης ἦλθον ἠχούσης γόους,*
*Ἀχέροντος ὀξυπλῆγος ἄρσενας χοάς.*

*τὰς τῶν νεκρῶν λέγων παιῶνα οὐκ ἐχούσας, ἄρσενας δὲ χοὰς τὰς οὐδὲν ἐκτρεφούσας.*

470

Stobaeus XLIX, 13.

*Οὐ γάρ τις ἂν δύναιτο πρῳρατὴς στρατοῦ*
*τοῖς πᾶσι δεῖξαι καὶ προσαρκέσαι χάριν·*
*ἐπεὶ οὐδ' ὁ κρείσσων Ζεὺς ἐμοῦ τυραννίδι*
*οὔτ' ἐξεπομβρῶν οὔτ' ἐπαυχμήσας φίλος*
*βροτοῖς ἂν ἐλθὼν ἐς λόγον δίκην ὄφλοι·*
*πῶς δῆτ' ἐγὼ θνητός τ' ἂν ἐκ θνητῆς τε φὺς*
*Διὸς γενοίμην εὖ φρονεῖν σοφώτερος;*

471

Schol. Apollonii Rhodii ad II, 1121.

*Ἀπ' αἰθέρος δὲ κἀπὸ λυγαίου νέφους.*

Codex Paris. *λυγαίου σκότους.*

472

„Ad Polyxenam respexisse videtur Longinus XV. 7. [Ruhnkenio iudice] *Ἄκρως δὲ καὶ ὁ Σοφοκλῆς ἐπὶ τοῦ θνήσκοντος Οἰδίπου καὶ ἑαυτὸν μετὰ διοσημείας τινὸς θάπτοντος πεφάντασται, καὶ κατὰ τὸν ἀπόπλουν τῶν Ἑλλήνων, ἐπὶ τοῦ Ἀχιλλέως προφαινομένου τοῖς ἀναγομένοις ὑπὲρ τοῦ τάφου.* Scilicet in hoc dramate inducebatur Achillis umbra, quod quae apud Euripidem narratur initio Hecubae, id Sophocles spectatorum subiecerat oculis." Brunck.

473

Etymolog. M. p. 120, 48. *Ἄπειρος: — λέγει δὲ Ὧρος ὅτι σημαίνει χιτῶνα διέξοδον μὴ ἔχοντα, ὡς παρὰ Σοφοκλεῖ ἐν Πολυξένῃ*

*Χιτών σ' ἄπειρος ἐνδυτήριος κακῶν.*

474

Harpocratio, *Ἠκρωτηριασμένοι τὰς ἑαυτῶν ἕκαστοι πατρίδας: ἀντὶ τοῦ λελυμασμένοι. οἱ γὰρ λυμαινόμενοί τινας εἰώθασι περικόπτειν ὠτῶν τὰ ἄκρα, ὡς καὶ Σ. Πολυξένῃ.*

475

Hesychius, *Παράρυμα: Σ. Πολυξένῃ παράωμα ποδὸς, ὡς κρεμαμένων τινῶν ὑφασμάτων ἐκ τοῦ εἵματος πρὸς κάλλος. τινὲς δὲ σχοινίον ἐν ταῖς ναυσίν. οἱ δὲ ὑπόδημα.*

---

## *ΠΡΙΑΜΟΣ.*

476

Scholiasta Aristoph. Vespar. v. 288. *Ἐγχυτριεῖς: πὸ τῶν ἐκτιθεμένων παιδίων ἐν χύτραις. διὸ καὶ Σοφοκλῆς ἀποκτεῖναι χυτρίζειν ἔλεγεν ἐν Πριάμῳ.*

477

Pollux X, 147. *Οἰκοδόμου δὲ σκεύη, λεῖαι, γλαρίδες, ὡς Σοφοκλῆς ἐν Πριάμῳ.* Idem VII, 118. *Καὶ κτύπους δὲ, Σοφοκλῆς, ὅπου καὶ ἐργαλεῖα τῶν κτύπων ὀνομάζει λείας καὶ γλαρίδας.*

---

## *ΠΡΟΚΡΙΣ.*

478

Pollux IX, 140. *Ἐπιτιμητής — Σοφοκλῆς εἰπὼν ἐν τῇ Προκρίδι „Κολασταὶ κἀπιτιμηταὶ κακῶν."*

---

## *ΡΙΖΟΤΟΜΟΙ.*

479

Macrobius Saturnal. V, 19. *Sophoclis autem tragoedia id, de quo quaerimus, etiam titulo praefert. Inscribitur enim Ῥιζοτόμοι, in qua Medeam describit maleficas herbas secantem, sed aversam, ne vi noxii odoris ipsa interficeretur; et succum quidem herbarum in cados aeneos refundentem, ipsas autem herbas aeneis falcibus exsecantem. Sophoclis versus hi sunt*

*Ἡ δ' ἐξοπίσω χερὸς ὄμμα τρέπουσ'*
*ὀπὸν ἀργινεφῆ στάζοντα τομῆς*
*χαλκέοισι κάδοις δέχεται.*

*paullo post:*

*αἱ δὲ καλυπταὶ*
*κίσται ῥιζῶν κρύπτουσι τομὰς,*
*ἃς ἥδε βοῶσ', ἀλαλαζομένη,*
*γυμνὴ χαλκέοις ἤμα δρεπάνοις.*

480

Schol. Apollonii Rhodii II, 1213. *Ὅτι δὲ ἡ Ἑκάτη δρυΐνῳ κλάδῳ στέφεται καὶ δράκουσι καὶ Σοφοκλῆς Ῥιζοτόμοις παρεισάγει τὸν χορὸν λέγοντα*

*Ἥλιε δέσποτα*
*καὶ πῦρ ἱερὸν, τῆς εἰνοδίας*
*Ἑκάτης ἔγχος, τῷ δι' Ὀλύμπου*
*πολλὴ φέρεται καὶ γῆς, καίουσ'*
*ἱερὰς τριόδους, στεφανωσαμένη*
*δρυσὶ καὶ πλεκτοῖς*
*ὠμῶν σπείραισι δρακόντων.*

4. *καίουσ'* codex Vaticanus.

481

Hesychius, *Ἀϊστώσας: διαχέας καὶ τήξας. Σ. Ῥιζοτόμοις „Κόρον ἀϊστώσας* (codex *ἱστώσας*) *πῦρ".* Brunckius *κόρην ἀϊστώσας πυρί.*

---

## *ΣΑΛΜΩΝΕΥΣ.*

482

Athenaeus XI. p. 487 d. *Καλεῖται δὲ μάνης καὶ τὸ ἐπὶ κοττάβου ἐφεστηκὸς, ἐφ' οὗ τὰς λάταγας ἐν παιδιᾷ ἔπεμπον, ὅπερ ὁ Σοφοκλῆς ἐν Σαλμωνεῖ χάλκειον ἔφη κάρα, λέγων οὕτως*

*Τάδ' ἐστὶ κνισμὸς καὶ φιλημάτων ψόφος,*
*τῷ καλλικοτταβοῦντι νικητήρια*
*τίθημι καὶ βαλόντι χάλκειον κάρα.*

483

Galenus vol. IX. p. 385. *Πέμφιξ δοκεῖ ἐπὶ τῆς πνοῆς Σοφοκλῆς λέγειν — ἐν Σαλμωνεῖ σατύροις*

*Καὶ τάχ' ἂν κεραυνίᾳ*
*πέμφιγι βροντῆς καὶ δυσοσμίαν λάβοι.*

*— ἐπὶ τοῦ νέφους δοκεῖ τετάχθαι κατὰ τόδε τὸ ἔπος ἐν Σαλμωνεῖ σατύροις παρὰ Σοφοκλεῖ*

*Πέμφιγι πλήσας ὄψιν ἀγγέλῳ πυρός.*

Ita Hermannus in dissertatione de Aeschyli Prometheo soluto p. 24. correxit librorum scripturam in priore loco *κεραύνια πέμφιξι* (*πέμφιξ σε* Porsonus) *βροντῆς καὶ δυσοσμίας λάβοι,* in altero *πέμφιγι πᾶσαν ὀψιαγέλων πυρός.*

484

Hesychius, *Θῆμα: θήκη, τάφος, ἀνάθημα. Σ. Σαλμωνεῖ.*

485

Hesychius, *Καρικοὶ τράγοι: ὡς εὐτελῶν ὄντων. Σ. Σαλμωνεῖ. εἰ μὴ ἄρα συγχέων τοὺς Κιλικίους.*

---

## *ΣΙΝΩΝ.*

486

Hesychius, *Αἰθύσσειν: ἀνασείειν· Σίνωνι Σοφοκλῆς.* Idem, *Ἀναιθύσσω: ἀνασείω. Σ. Σίνωνι.*

487

Hesychius, *Ἀξέστους: τραχείας. Σ. Σίνωνι* (codex *σιών* [η]).

488

Hesychius, *Ἄρρητον: ἄφραστον, ἀνιστόρητον, ἀπόρρητον, ἄφωνον, αἰσχρόν. Σ. Σίνωνι.*

489

Hesychius, *Ἐνθρίακτος: ἐνθουσιῶν. καὶ ἐνθέακτος. Σ. Σίνωνι.*

---

## *ΣΙΣΥΦΟΣ.*

490

Hesychius, *Ζεῦγος τριπάρθενον: Εὐριπίδης Ἐρεχθεῖ καὶ Σοφοκλῆς Σισύφῳ „Χαρίτων τριζύγων".*

---

## *ΣΚΥΘΑΙ.*

491

Schol. Apollonii Rhodii IV, 223. *Φερεκύδης δὲ ἐν τῷ τετάρτῳ τὴν Μήδειάν φησιν ἆραι τὸν Ἄψυρτον*

ἐκ τῆς κοίτης μικρὸν ὄντα, Ἰάσονος εἰπόντος εἰς τοὺς Ἀργοναύτας ἐνεγκεῖν αὐτόν· ὡς δὲ ἐδιώκοντο, σφάξαι τε αὐτὸν τοὺς Ἀργοναύτας, καὶ μελίσαντας εἰς τὸν ποταμὸν ἐμβαλεῖν. Σοφοκλῆς ἐν μὲν Κολχίσιν ἐν τῷ Αἰήτου οἴκῳ σφαγῆναί φησι τὸν Ἄψυρτον, ἐν δὲ τοῖς Σκύθαις οὐχ ὁμομήτριόν φησι τὸν Ἄψυρτον τῇ Μηδείᾳ. Οὐ γὰρ ἀπὸ μιᾶς, φησὶ, κοίτης ἔβλαστον, ἀλλ' ὁ μὲν Νηρηίδος τέκνον ἄρτι βλαστάνεσκε, τὴν δ' Ἰδυῖα πρίν ποτε Ὠκεανοῦ κόρη τίκτεν. Ex tetrametris.

492

Schol. Apollon. Rhod. IV, 284. Ἑκαταῖος δὲ ἱστορεῖ μὴ ἐκδιδόναι εἰς τὴν θάλασσαν τὸν Φᾶσιν, οὐδ' ὡς διὰ Ταναΐδος ἔπλευσαν, ἀλλὰ κατὰ τὸν αὐτὸν πλοῦν καθ' ὃν καὶ πρότερον, ὡς Σοφοκλῆς ἐν Σκύθαις ἱστορεῖ.

493

Athenaeus V. p. 189 d. Καλοῦσι δ' ἀρσενικῶς τοὺς αὐλῶνας, ὥσπερ Θουκυδίδης ἐν τῇ τετάρτῃ, καὶ πάντες οἱ καταλογάδην συγγραφεῖς· οἱ δὲ ποιηταὶ θηλυκῶς. Σοφ. Σκύθαις

Κρημνούς τε καὶ σήραγγας ἠδ' ἐπακτίας
αὐλῶνας.

494

Erotianus p. 96. Ἀχιλληίδες: κριθῶν εἶδος, ὧν μέμνηται καὶ Ἀριστοφάνης καὶ Σοφοκλῆς. Hesychius, Ἀχιλλείων Ἱππεῦσιν Ἀριστοφάνης (v. 819.) καὶ Σ. Σκύθαις.

495

Hesychius, Ἀψάλακτος: ἀκίνητος, ἀψηλάφητος, ἀκράτητος. Σ. Σκύθαις.

---

## ΣΚΥΡΙΑΙ.

496

„Notum argumentum fabulae. Vide Hyginum cap. XCVI. et Philostrati iunioris iconem, cui titulus Achilles in Scyro p. 863. ubi Sophoclei dramatis meminit: Σκῦρος, νῆσος, ἣν ὁ θεῖος Σοφοκλῆς ἀνεμώδεα καλεῖ.“ Brunck.

497

Plutarchus Moral. p. 34 d. Τὴν δὲ πρὸς τὸν Ἀχιλλέα τὸν ἐν Σκύρῳ καθήμενον ἐν ταῖς παρθένοις γεγενημένην ἐπίπληξιν ὑπὸ τοῦ Ὀδυσσέως

Σὺ δ' ὦ τὸ λαμπρὸν φῶς ἀποσβεννὺς γένους,
ξαίνεις, ἀρίστου πατρὸς Ἑλλήνων γεγώς;

Iterum hos versus affert Plutarchus p. 72 e. praemissis verbis, Ὁ ἐν τοῖς Σκυρίοις Ὀδυσσεύς. Ubi καταισχύνων pro ἀποσβεννύς scriptum.

498

Stobaeus LI, 24.

Φιλεῖ γὰρ ἄνδρας πόλεμος ἀγρεύειν νέους.

499

Stobaeus LIX, 3.

Οἱ ποντοναῦται τῶν ταλαιπώρων βροτῶν,
οἷς οὔτε δαίμων οὔτε τις θεῶν νέμων
πλούτου ποτ' ἂν νείμειεν ἀξίαν χάριν.
λεπταῖς ἐπὶ ῥοπαῖσιν ἐμπολὰς μακρὰς
ἀεὶ παραρρίπτοντες οἱ πολύφθοροι
ἢ 'σωσαν, ἢ 'κέρδαναν, ἢ διώλεσαν.

500

Stobaeus CXVI, 28. Σοφοκλέους Σκυρίων

Οὐδὲν γὰρ ἄλγος οἷον ἡ πολλὴ ζόη.

Hunc versum duo alii sequuntur sine lemmate,

Πάντ' ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακὰ,
νοῦς φροῦδος, ἔργ' ἀχρεῖα, φροντίδες κεναί.

Versum alterum ex Sophocle affert Clemens Alex. p. 73. ὦτ' ἀχρεῖα exhibens.

501

Stobaeus CXXIV, 17.

Ἀλλ' εἰ μὲν ἦν κλαίουσιν ἰᾶσθαι κακὰ,
καὶ τὸν θανόντα δακρύοις ἀνιστάναι,
ὁ χρυσὸς ἧσσον κτῆμα τοῦ κλαίειν ἂν ἦν.
νῦν δ', ὦ γεραιὲ, ταῦτ' ἀνηνύτως ἔχει,
τὸν μὲν τάφῳ κρυφθέντα πρὸς τὸ φῶς ἄγειν·
κἀμοὶ γὰρ ἂν πατήρ γε δακρύων χάριν
ἀνῆκτ' ἂν εἰς φῶς.

502

Hesychius, Ἀποστιβής (codex ἀποστιβ...): ἀποπεφοιτηκώς. οὐ τὴν αὐτὴν τρίβον στείβων, πανταχόσε φοιτῶν. Σ. Σκυρίαις.

503

Hesychius, Αὐτόσσυτον: αὐτοκέλευστον. Σ. Σκυρίαις. Omisso nomine fabulae grammaticus Bekkeri p. 467, 31.

504

Hesychius, Ἀχρήματον: ἀδάπανον. Σ. Σκυρίαις. Codex ἀχρήματα.

505

Hesychius in εὔωρος — ὡς ὁ αὐτὸς (Σοφοκλῆς) ἐν Σκυρίαις χρῆται τῷ εὐωριάζειν.

---

[ΣΥΝΔΕΙΠΝΟΙ. Vide ΑΧΑΙΩΝ ΣΥΛΛΟΓΟΣ]

[ΣΦΥΡΟΚΟΠΟΙ. Vide ΠΑΝΔΩΡΑ]

---

## ΤΕΥΚΡΟΣ.

506

Stephanus, Κυχρεῖος: πάγος περὶ Σαλαμῖνα. Σοφοκλῆς Τεύκρῳ.

507

Aristophanes Nubibus 583. Βροντὴ δ' ἐρράγη δι' ἀστραπῆς. ubi scholiasta, παρὰ τὰ ἐκ Τεύκρου Σοφοκλέους

Οὐρανοῦ δ' ἄπο
ἤστραψε, βροντὴ δ' ἐρράγη δι' ἀστραπῆς.

508

Stobaeus CXXII, 10.

Ὡς ἄρ', ὦ τέκνον, κενὴν
ἐτερπόμην σου τέρψιν εὐλογουμένου,
ὡς ζῶντος· ἡ δ' ἄρ' ἐν σκότῳ λαθοῦσά με
ἔσαιν' Ἐρινὺς ἡδοναῖς ἐψευσμένον.

---

Ad hanc fabulam Blomfildus refert versus ab Tryphone de tropis p. 48. sine poetae nomine allatos.

---

## ΤΗΛΕΦΟΣ.

509

Hesychius, Ἀειφόρος: ἀειθαλής. Σ. Τηλέφῳ.

510

Pollux V, 76. Σοφοκλῆς κεροῦσσαν τὴν Τηλέφου τροφὸν (προσειπών).

## *ΤΗΡΕΥΣ.*

511

„Ad hoc drama alludit comicus in Avibus 100. bi Epopis rostrum ridenti Euelpidi Epops ait:

*Τοιαῦτα μέντοι Σοφοκλέης λυμαίνεται*
*ἐν ταῖς τραγῳδίαισιν ἐμὲ τὸν Τηρέα.*

d quae sic scholiastes: *ἐν γὰρ τῷ Τηρεῖ Σοφοκλῆς ποίησεν αὐτὸν ἀπωρνιθωμένον, καὶ τὴν Πρόκνην· ν ᾧ ἔσκωψε πολλὰ τὸν Τηρέα.* Idem argumentum ost Sophoclem tractavit Philocles, quem in eadem bula perstringit comicus v. 280. ubi haec habet scholastes: *ὁ Σοφοκλῆς πρῶτος τὸν Τηρέα ἐποίησεν, ἶτα Φιλοκλῆς.*“ Brunck.

512

Stobaeus X, 25.

*Φιλάργυρον μὲν πᾶν τὸ βάρβαρον γένος.*

513

Stobaeus XIII, 5.

*Θάρσει· λέγων τἀληθὲς, οὐ σφαλεῖ ποτε.*

In Vindobon. *Εὐριπ. Τηρεῖ.* eodem errore quo deptus fuit Apostolius Proverb. X, 12.“ Brunck.

514

Stobaeus XX, 32.

*Ἄνους ἐκεῖνος, αἱ δ' ἀνούστεραι ἔτι*
*ἐκεῖνον ἠμύναντο καρτερόν.*
*Ὅστις γὰρ ἐν κακοῖσι θυμωθεὶς βροτῶν*
*μεῖζον προσάπτει τῆς νόσου τὸ φάρμακον,*
*ἰατρός ἐστιν οὐκ ἐπιστήμων κακῶν.*

In Reg. cod. lemma adscriptum 1. versui *Σοφ.* et 3. *ῦ αὐτοῦ Τηρεῖ.* Hoc statim 1. versui appositum in Vinbon. continuatis una serie quinque versibus.“ Brunck.

515

Stobaeus XXII, 22.

*Θνητὴν δὲ φύσιν χρὴ θνητὰ φρονεῖν,*
*τοῦτο κατειδότας, ὡς οὐκ ἔστιν*
*πλὴν Διὸς οὐδεὶς τῶν μελλόντων*
*ταμίας, ὅ τι χρὴ τετελέσθαι.*

1. Ita Grotius. Vulgo *θνητὰ φρονεῖν χρὴ θνητὴν σιν.*

516

Stobaeus XXXIX, 12.

*Πολλά σε ζηλῶ βίου,*
*μάλιστα δ' εἰ γῆς μὴ πεπείρασαι ξένης.*

Perperam in libris *κάλλιστα.*“ Brunck.

517

Stobaeus LXVIII, 19.

*Νῦν δ' οὐδέν εἰμι χωρὶς, ἀλλὰ πολλάκις*
*ἔβλεψα ταύτῃ τὴν γυναικείαν φύσιν,*
*ὡς οὐδέν ἐσμεν· αἳ, νέαι μὲν ἐν πατρὸς*
*ἥδιστον, οἶμαι, ζῶμεν ἀνθρώπων βίον·*
*τερπνῶς γὰρ ἀεὶ πάντας ἀνοία τρέφει.*
*ὅταν δ' ἐς ἥβην ἐξικώμεθ' εὔφρονες,*
*ὠθούμεθ' ἔξω καὶ διεμπολώμεθα*
*θεῶν πατρῴων τῶν τε φυσάντων ἄπο,*
*αἱ μὲν ξένους πρὸς ἄνδρας, αἱ δὲ βαρβάρους,*
*αἱ δ' εἰς ἀήθη δώμαθ', αἱ δ' ἐπίρροθα.*
*καὶ ταῦτ', ἐπειδὰν εὐφρόνη ζεύξῃ μία,*
*χρεὼν ἐπαινεῖν καὶ δοκεῖν καλῶς ἔχειν.*

518

Stobaeus LXXXVI, 12.

*Ἐν φῦλον ἀνθρώπων μί' ἔδειξε πατρὸς καὶ ματρὸς ἡμᾶς*
*ἀμέρα τοὺς πάντας· οὐδεὶς ἔξοχος ἄλλος ἔβλαστεν ἄλλου.*
*βόσκει δὲ τοὺς μὲν μοῖρα δυσαμερίας, τοὺς δ' ὄλβος ἡμῶν,*
*τοὺς δὲ δουλείας ζυγὸν ἔσχεν ἀνάγκας.*

519

Stobaeus XCVIII, 45.

*Τὰν δ' ἀνθρώπου ζόαν*
*ποικιλομήτιδες ἆται*
*πημάτων πάσαις μεταλλάσσουσιν ὥραις.*

520

Stobaeus CV, 21. scholiasta Homeri Iliad. *ϑ*, 5. Cicero ad Atticum IV, 8.

*Μήπω μέγ' εἴπῃς, πρὶν τελευτήσαντ' ἴδῃς.*

521

Stobaeus CVIII, 58.

*Ἀλγεινὰ, Πρόκνη, δῆλον· ἀλλ' ὅμως χρεὼν*
*τὰ θεῖα θνητοὺς ὄντας εὐπετῶς φέρειν.*

522

Aristoteles de Poetica cap. XVI. ubi de variis agnitionibus agit, *Καὶ ἐν τῷ Σοφοκλέους Τηρεῖ ἡ τῆς κερκίδος φωνή.*

523

Scholiasta Homeri Iliad. ο, 705. *Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐν τετάρτῳ Ἀττικῶν ὀνομάτων οὕτως ἔφη· φίλιππος μὲν τῆς μέσης δασυνομένης τὸ προσηγορικόν· οὕτως γὰρ καὶ ἐν Τηρεῖ Σοφοκλέους ἀναγινώσκομεν*

*Ἧλιε φιλίππος Θρῃξὶ πρέσβιστον σέλας.*

*σέβας* Bothius.

524

Hesychius, *Αἴγλη: χλίδων. Σ. Τηρεῖ.* De vocabulo *χλίδων* dixi ad Aristophanis fragm. p. VI.

525

Herodianus *περὶ μονήρους λέξεως* p. 38, 28. exscriptus ab grammaticis ad fragm. 331. indicatis, *Φάρος κατὰ συστολὴν παρὰ Σοφοκλεῖ ἐν Τηρεῖ,*

*Σπεύδουσαν αὐτὴν, ἐν δὲ ποικίλῳ φάρει.*

526

Scholiasta Aeschyli Prometh. v. 128. *Ἐχρῶντο δὲ αὐτοῖς* (versibus Anacreonteis) *οὐκ ἐν παντὶ τόπῳ, ἀλλ' ἐν τοῖς θρηνητικοῖς, ὡς καὶ Σοφοκλῆς Τηρεῖ.*

---

## *ΤΡΙΠΤΟΛΕΜΟΣ.*

527

Dionysius Halic. Antiq. I, 12. *Μαρτυρεῖ δέ μου τῷ λόγῳ Σοφοκλῆς μὲν ὁ τραγῳδοποιὸς ἐν Τριπτολέμῳ δράματι. πεποίηται γὰρ αὐτῷ Δημήτηρ διδάσκουσα Τριπτόλεμον ὅσην χώραν ἀναγκασθήσεται σπείρων τοῖς δοθεῖσιν ὑπ' αὐτῆς καρποῖς διεξελθεῖν. μνησθεῖσα δὲ τῆς ἑῴου πρῶτον Ἰταλίας, ἥ ἐστιν ἀπὸ ἄκρας Ἰαπυγίας μέχρι πορθμοῦ Σικελικοῦ, καὶ μετὰ τοῦτο τῆς ἀντικρὺ ἁψαμένη Σικελίας, ἐπὶ τὴν ἑσπέριον Ἰταλίαν αὖθις ἀναστρέφει, καὶ τὰ μέγιστα τῶν οἰκούντων τὴν παράλιον ταύτην ἐθνῶν διεξέρχεται,*

*τὴν ἀρχὴν ἀπὸ τῆς Οἰνώτρων οἰκήσεως ποιησαμένη. ἀπόχρη δὲ ταῦτα μόνα λεχθέντα τῶν ἰαμβείων, ἐν οἷς φησι*

*Τὰ δ' ἐξόπισθε, χειρὸς εἰς τὰ δεξιὰ*
*Οἰνωτρία τε πᾶσα, καὶ Τυρσηνικὸς*
*κόλπος, Λιγυστική τε γῆ σε δέξεται.*

528

Herodianus *περὶ μονήρους λέξεως* p. 9, 29. *Χαρναβῶν Σοφοκλῆς Τριπτολέμῳ*

*Καὶ Χαρναβῶντος, ὃς Γετῶν ἄρχει τανῦν.*

De hoc versu dixit Lobeckius Aglaoph. p. 215. 1351.

529

Plinius libro XVIII, 12, 1. p. 107. edit. Hard. *Sophocles poeta in fabula Triptolemo frumentum Italicum ante cuncta laudavit, ad verbum translata sententia*

*Et fortunatam Italiam frumento canere candido.*

530

Sophoclis Triptolemi meminit Strabo I. p. 27. ubi docet Homerum in Geographicis accuratiorem esse serioribus poetis.

531

Athenaeus II, p. 67 c. *Μνημονεύει Σοφοκλῆς Τριπτολέμῳ τοῦ ταριχηροῦ γάρου.* Versus integer apud Pollucem VI, 65.

*Οὐδ' ἡ τάλαινα δοῦσα ταριχηροῦ γάρου.*

Herodianus Piersoni p. 437. *Ὁ γάρος ἀρσενικῶς — Σοφοκλῆς.*

532

Athenaeus III. p. 110 e. *Ὀρίνδου δ' ἄρτου μέμνηται Σοφοκλῆς ἐν Τριπτολέμῳ, ἤτοι τοῦ ἐξ ὀρύζης γινομένου, ἢ ἀπὸ τοῦ ἐν Αἰθιοπίᾳ γιγνομένου σπέρματος, ὅ ἐστιν ὅμοιον σησάμῳ.*

533

Athenaeus X. p. 447 b. *Τὸν δὲ κρίθινον οἶνον καὶ βρῦτον τινὲς καλοῦσιν, ὡς Σοφοκλῆς ἐν Τριπτολέμῳ*

*Βρῦτον δὲ τὸν χερσαῖον οὐ δυεῖν.*

534

Harpocratio, *Μελίνη: ὀσπρίου ἐστὶ σπέρμα, καὶ ἀρσενικῶς λέγουσι· θηλυκῶς δὲ Σοφ. Τριπτολέμῳ „Κνήμη μελίνης.“*

535

Scholiasta Pindari Olymp. XI, 1. *Σοφοκλῆς ἐν Τριπτολέμῳ*

*Θὶς δ' ἐν φρενὸς δέλτοισι τοὺς ἐμοὺς λόγους.*

536

Schol. Euripidis Troad. v. 218 *Σοφοκλῆς δὲ ἐπὶ τῶν καιρῶν Τριπτολέμου οἰκισθῆναι (φησὶ) τὴν Καρχηδόνα, ἐν οἷς φησι*

*Καρχηδόνος δὲ κρασπα τιν ἀσπάζομαι.*

Ita codex.

537

Scholiasta Sophoclis Oedip. Col. 504. *Χρῆσται: χρεία ἔσται, κατὰ συναλιφήν, χρῆσται, ἀντὶ τοῦ χρεία ἔσται. δηλοῦται δὲ ταυτὸν τὸ δεήσει. καὶ ἐν Τριπτολέμῳ*

*Χρῆσται δέ σ' ἐνθένδ' αὖτις —.*

Rectius editor Romanus *χρῆ 'σται.*

538

Etymolog. M. p. 395, 11. *Πλίσσεσθαι τὸ βάδην διαβαίνειν, καὶ πλίγμα τὸ διάστημα τῶν ποδῶν. Σ. Τριπτολέμῳ*

*Δράκοντα θαιρὸν ἀμφιπλὶξ εἰληφότες.*

*περιβάδην.* Vulgo *δ' αἶρον. ἀμφιπλὶξ* ex Triptolemo memorant schol. Aristoph. Acharn. v. 217. Suidas in *περιβάδην* et *πλίξ*, Gregor. Corinth. p. 546. ubi Koenius „Apud Etymolog. MS. Leidens. *Σοφοκλῆς, οἷον. δράκοντα δ' αἶρον ἀμφιπλὶξ εἰληφότε,* pro edito *εἰληφότες.* Illud propius abest a Pollucis lectione II, 172. *θαιρὸν ἀμφιπλὶξ εἰληφότα.* — Verior Sophoclis lectio est apud Ruf. Ephes. de partib. hominis. p. 32. *δράκοντε θαιρὸν ἀ. εἰληφότε*“. Hesychius, *Θαιρός: ὁ διήκων ἀπὸ τοῦ ἄνω μέρους ἕως κάτω στροφεὺς τῆς θύρας, ἢ ἄξων. Σ. Τριπτολέμῳ.* Eustathius p. 914, 33. *Ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηται καὶ ὅτι θαιρὸς ὁ ἄξων παρὰ Σοφοκλεῖ.*

539

Hesychius, *Δαίς: Σοφοκλῆς*

*Ἦλθεν δὲ δαὶς θάλεια πρεσβίστη θεῶν.*

*ἢ δι' ἐράνων εὐωχία. ἔνιοι δὲ τὰς Μούσας. Τριπτολέμῳ.*

540

Hesychius, *Ἄμαλλα: δράγματα, δέσμη τῶν ἀσταχύων. Σ. Τριπτολέμῳ.*

541

Pollux X, 79. *Τὴν δὲ ἀπύθμενον κύλικα ἐν Τριπτολέμῳ Σ. ἀπυνδάκωτον ὠνόμασεν*

*Ἀπυνδάκωτος οὐ τραπεζοῦται κύλιξ.*

Sine poetae nomine attulit Demetrius *περὶ ἑρμηνείας* cap. 114. et spectant ad hunc versum Hesychius in *ἀπυνδάκωτος* et Suidas in *πύνδαξ.*

542

Hesychius, *Ἀφράδμων: ἀσύνετος, ἀμαθής. Σ. Τριπτολέμῳ.* Grammaticus Bekkeri p. 472, 13. *Ἀφράσμων: ἀσύνετος. Σοφοκλῆς.*

543

Antiatticista p. 92, 1. *Εἰς ὀρθὸν φρονεῖν: ἀντὶ τοῦ καλῶς φρονεῖν. Σ. Τριπτολέμῳ.*

544

Hesychius, *Ἕλκη: λῦπαι. Σ. Τριπτολέμῳ.*

545

Antiatticista p. 97, 33. *Ζευγηλάτης: Σ. Τριπτολέμῳ.*

546

*Ἴαννα:* vide fragm. 54.

547

Hesychius, *Ἰλλυρὶς γονή: ἀντὶ τοῦ Ἰλλυρὶς γενεά. γράφεται δὲ καὶ γυνή. ὁ δὲ Καλλίστρατος· γῆ ἀντὶ τοῦ γῆ. χρῶνται γὰρ οὕτως. Σ. Τριπτολέμῳ.*

---

## *ΤΡΩΙΛΟΣ.*

548

Schol. Pindari Nem. III, 60. *Περὶ δὲ τῆς μεταμορφώσεως τῆς Θέτιδος καὶ Σοφοκλῆς φησιν ἐν Τρωΐλῳ*

*Ἔγημεν ὡς ἔγημεν ἀφθόγγους γάμους,*
*τῇ παντομόρφῳ Θέτιδι συμπλακεὶς ποτέ.*

649

Pollux X, 165. *Ξίφους δὲ ὄνομα ἔοικεν εἶναι βαρ-αρικὸν ἡ σκαλμὴ, Σοφοκλέους εἰπόντος ἐν Τρωίλῳ*

*Σκαλμῇ γὰρ ὄρχεις βασιλὶς ἐκτέμνουσ' ἐμούς.*

550

Hesychius, *Ἀμάσεται: ἀπὸ τῆς ἀμήσεως. ἰονεὶ σφάξει* (codex *σφάξαι*). *Σ. Τρωίλῳ.*

551

Scholiasta Pindari Pyth. II, 121. *Σοφοκλῆς ἐπὶ οῦ Τρωίλου*

*Τὸν ἀνδρόπαιδα δεσπότης ἀπώλεσα.*

*εσπότην* Blomfildus. Hesychius, *Ἀνδρόπαις: ἀν-ρούμενος ἤδη παῖς, ἢ ἀνδρὸς φρόνησιν ἔχων παῖς. Σ. Τρωίλῳ.*

552

Hesychius, *Ἀπέσκη: τόξον ἀπέσκη. ἔνιοι δὲ υμνὰ θήκαις τόξα. Σ. Τρωίλῳ.* Corrige *θήκης* ex ekkeri Anecd. p. 422, 33. *Ἀπέσκη: γυμνὰ θήκης όξα.*

553

Hesychius, *Ἄπιστος: ἀπαράπιστος, ἀπειθής. Σ. Τρωίλῳ.*

554

Hesychius, *Ἄσας: βλάψας, ἔβλαψας. Σ. Τρωίλῳ.*

555

Hesychius, *Ἀσόλοικον: ἥμερον, προσηνὲς, ὸ βάρβαρον. Σ. Τρωίλῳ.*

556

Hesychius, *Ἐλαιοῦται θρίξ: Σ. Τρωίλῳ. ρίσταρχος, ῥυπαίνεται. βέλτιον δὲ, λαμπρύνεται.*

557

Hesychius, *Ἕρκη: ὅπλα. Σ. Τρωίλῳ.*

558

*Ἰαί:* vide fragm. 54. Hesychius, *Ἰήιος: — λὰ καὶ θρῆνον σημαίνει, ὡς Σ. Τρωίλῳ.*

559

Hesychius, *Καταρβύλοις: χλαίναις ποδήρε-ν, ὥστε καὶ ἐπὶ τὰς ἀρβύλας χαλᾶσθαι. Σ. Τρωί-ῳ.* Ad hunc locum fortasse pertinet glossa *Καθάρ-λος.*

560

Etymolog. M. p. 597, 44. *Ναρόν: τὸ ὑγρόν. — Τρωίλῳ*

*Πρὸς ναρὰ δὲ κρηναῖα χωροῦμεν ποτά.*

onf. Orionem p. 110, 3. Etymolog. Gud. p. 627, 14. Havn. in Sturzii annotatione p. 978.

561

*Ὀροσάγγαι:* vide fragm. 193.

562

Photius p. 497, 3. (conf. Biblioth. Coislin. p. 475.) *ακοδερμίτης: Σ. Τρωίλῳ. οἱ μὲν τὸν ὄφιν, δὲ σκώληκα τὰ δέρματα διεσθίοντα. ἄμεινον δὲ ν ἐπὶ τῷ δέρματι χαλκὸν ἔχοντα, παρ' ὅσον τὰ κη ἐπίχαλκα.* Conf. Hesychium in *σακοδερμιστής* fragm. 397.

---

## ΤΥΜΠΑΝΙΣΤΑΙ.

563

Stobaeus LIX, 12.

*Φεῦ φεῦ, τί τούτου χάρμα μεῖζον ἂν λάβοις*
*τοῦ γῆς ἐπιψαύσαντα κᾆθ' ὑπὸ στέγῃ*
*πυκνῆς ἀκοῦσαι ψακάδος εὑδούσῃ φρενί;*

V. 1. affert Plutarchus Vitar. p. 255 c. V. 2. Cicero ad Atticum II, 7. *Cupio istorum naufragia ex terra intueri: cupio, ut ait tuus amicus Sophocles, κἂν ὑπὸ στέγῃ πυκνῆς ἀκούειν ψεκάδος εὑδούσῃ φρενί.*

564

Stephanus in *Χαλδαῖοι. — Εἰσὶ δὲ Χαλδαῖοι ἔθνος πλησίον τῆς Κολχίδος. Σ. Τυμπανισταῖς*

*Κόλχος τε Χαλδαῖός τε καὶ Σύρων ἔθνος.*

565

Scholiasta Sophoclis Antig. v. 980. *Φινεὺς — μετὰ τὸν Κλεοπάτρας θάνατον ἐπέγημεν Ἰδαίαν τὴν Δαρδάνου, κατὰ δέ τινας Εἰδοθέαν τὴν Κάδμου ἀδελφὴν, ἧς καὶ αὐτὸς Σοφοκλῆς μνημονεύει ἐν Τυμπανισταῖς.*

566

Hesychius, *Ἄδημον: οὐκ ἔνδημον ὄντα. Σ. Τυμπανισταῖς.*

567

Hesychius, *Ἀνετῶς: ἀνατεταμένως. Σ. Τυμπανισταῖς.*

568

Hesychius, *Ἀντιστρέφω: ἀνταξιῶ. Σ. Τυμπανισταῖς.*

569

Etymolog. M. p. 287, 14. *Δράκαυλος: Σ. Τυμπανισταῖς. ἐπεὶ ἡ Ἀθηνᾶ δοκεῖ παρ' αὐταῖς αὐλίσαι τὸν δράκοντα ταῖς Κέκροπος θυγατράσιν. ἢ ὅτι συναυλίζονται κατὰ τὸ εἰκὸς Κέκροπι ὄντι διφυεῖ. ἢ ὅτι συναυλίζεται μία τῷ ἐν τῇ ἀκροπόλει δράκοντι, προσημερεύουσα τῇ θεῷ.* Conf. Hesychium et Suidam.

570

*Ἔλυμοι αὐλοί:* vide fragm. 398.

571

Herodianus *περὶ μονήρους λέξεως* p. 9, 9. *Σαρπηδὼν πέτρα παρὰ Σοφοκλεῖ — ἐν Τυμπανισταῖς*

*Ἡμεῖς δ' ἐν ἄστροις, ἔνθα Σαρπηδὼν πέτρα.*

---

## ΤΥΝΔΑΡΕΩΣ.

572

Stobaeus CV, 3.

*Οὐ χρή ποτ' εὖ πράσσοντος ὀλβίσαι τύχας*
*ἀνδρὸς, πρὶν αὐτῷ παντελῶς ἤδη βίος*
*διεκπερανθῇ, καὶ τελευτήσῃ βίον.*
*ἐν γὰρ βραχεῖ καθεῖλε κὠλίγῳ χρόνῳ*
*πάμπλουτον ὄλβον δαίμονος κακοῦ δόσις,*
*ὅταν μεταστῇ καὶ θεοῖς δοκῇ τάδε.*

V. 2. *βίος*] *χρόνος* Blomfildus.

---

## ΤΥΡΩ Α. Β.

573

Aristoteles de Rhetorica II, 25. *Ἄλλος τόπος, τὸ ἀπὸ τοῦ ὀνόματος κατηγορεῖν, οἷον ὡς ὁ Σοφοκλῆς*

*Σαφῶς Σιδηρὼ καὶ φοροῦσα τοὔνομα.*

Sidero Tyronis noverca.

574

Aristophanes Lysistrata v. 138.

*Οὐκ ἐτὸς ἀφ' ἡμῶν εἰσιν αἱ τραγῳδίαι.*
*οὐδὲν γάρ ἴσμεν πλὴν Ποσειδῶν καὶ σκάφη.*

**ubi scholiasta**, *Εἰς τὴν Σοφοκλέους δὲ Τυρὼ ταῦτα συντείνει, ἐκθεῖσαν τὰ τέκνα εἰς σκάφην.* **Alius:** *Εἰς τὴν Τυρὼ δὲ Σοφοκλέους αἰνίττεται καθεῖσαν τὰ τέκνα εἰς σκάφος — ὁ γὰρ Ποσειδῶν ἐμίγη Τυροῖ, καὶ ἐγέννησε Νηλέα καὶ Πελίαν.*

**575**

**Scholiasta Euripidis ad Orestem in fine:** *Ἡ κατάληξις τῆς τραγῳδίας ἢ εἰς θρῆνον, ἢ εἰς πάθη καταλήγει· ἡ δὲ κωμῳδία γέλωτι καὶ εὐφροσύναις ἐνύφανται. ὅθεν ὁρᾶται τόδε τὸ δρᾶμα κωμικῇ καταλήξει χρησάμενον. διαλλαγαὶ γὰρ πρὸς Μενέλαον καὶ Ὀρέστην. ἀλλὰ καὶ ἐν τῇ Ἀλκήστιδι ἐκ συμφορῶν εἰς εὐφροσύνην, καὶ ἐν Τυροῖ Σοφοκλέους ἀναγνώρισμα κατὰ τὸ τέλος γίνεται.* (*κατὰ τὸ ἀναγνώρισμα γέλως γ.* **Tyrwhitt ad Aristot. Poet. XXVI.**)

**576**

**Aristoteles de Poetica cap. XVI.** *Εἴδη δὲ ἀναγνωρίσεως. πρώτη μὲν ἡ διὰ σημείων. τούτων δὲ τὰ μὲν σύμφυτα, τὰ δὲ ἐπίκτητα· καὶ τούτων τὰ μὲν ἐν τῷ σώματι, οἷον οὐλαί· τὰ δὲ ἐκτὸς, τὰ περιδέραια. καὶ οἷον ἐν τῇ Τυροῖ διὰ τῆς σκάφης.*

**577**

**Pollux IV, 141. ubi describit tragicas personas,** *Τυρὼ πελιδνὴ τὰς παρειὰς παρὰ Σοφοκλεῖ.*

**578**

**Scholiasta Aristophanis Avium v. 276.** *Ἔξεδρον χώραν ἔχων: ἐκ τῆς Σοφοκλέους δευτέρας Τυροῦς ἀρχὴ*

*Τίς ὄρνις οὗτος ἔξεδρον χώραν ἔχων;*

**579**

**Athenaeus III. p. 99 f.** *Σοφοκλῆς τε ἐν Τυροῖ*

*Σίτοισι παγχόρτοισιν ἐξενίζομεν.*

**580**

**Athenaeus XI. p. 475 a.** *Μνημονεύει δὲ τῶν καρχησίων καὶ — Σοφοκλῆς Τυροῖ*

*Προστῆναι μέσην*
*τράπεζαν ἀμφὶ σῖτα καὶ καρχήσια.*

*πρὸς τὴν τράπεζαν φάσκων προσεληλυθέναι τοὺς δράκοντας, καὶ γενέσθαι περὶ τὰ σιτία καὶ τὰ καρχήσια.* **Proferuntur haec etiam a Macrobio Saturn. V, 21.**

**581**

**Stobaeus XX, 29.**

*Πόλλ' ἐν κακοῖσι θυμὸς εὐνηθεὶς ὁρᾷ.*

**582**

**Stobaeus XLVI, 6.**

*Ἄκων δ' ἁμαρτὼν οὔ τις ἀνθρώπων κακός.*

**583**

**Stobaeus LXXXVII, 3.**

*Πολλῶν δ' ἐν πολυπληθίᾳ πέλεται,*
*οὔτ' ἀπ' εὐγενέων ἐσθλὸς οὔτ' ἀχρείων*
*τὸ λίαν κακός· βροτῷ δὲ πιστὸν οὐδέν.*

**584**

**Stobaeus XCIX, 99.**

*Τίκτουσι γάρ τοι καὶ νόσους δυσθυμίαι.*

**585**

**Stobaeus CIX, 2.** *Σοφοκλέους Τυροῦς β'.*

*Μὴ σπεῖρε πολλοῖς τὸν παρόντα δαίμονα·*
*σιγώμενος γάρ ἐστι θρηνεῖσθαι πρέπων.*

**586**

**Stobaeus CXV, 8.**

*Γῆρας διδάσκει πάντα καὶ χρόνου τριβή.*

**587**

**Aelianus de N. A. II, 10.** *Μάλιστα δὲ κομῶσα ἵππος ἁβροτάτη τέ ἐστι καὶ θρυπτικωτάτη. ἀτιμάζει γοῦν ἀναβῆναι τοὺς ὄνους αὐτὴν, ἵππῳ δὲ γαμουμένη ἥδεται, καὶ ἑαυτὴν ἀξιοῖ τῶν μεγίστων. ὅθεν οὖν συνειδότες οἱ βουλόμενοι ἡμιόνους σφίσι γενέσθαι, ἀποθρίσαντες τῆς ἵππου τὴν χαίτην εἰκῇ καὶ ὡς ἔτυχεν, εἶτα μέντοι τοὺς ὄνους ἐπάγουσιν· ἡ δὲ ὑπομένει τὸν ἄδοξον ἤδη γαμέτην, πρῶτον αἰδεσαμένη. καὶ Σοφοκλῆς δὲ ἔοικε μεμνῆσθαι τοῦ πάθους.* (**Conf. Plutarch. Moral. p. 754 a.**) **Morem equas tondendi, quo facilius asinos admittant, tangit rursus XII, 16. versusque Sophoclis profert XI, 18.** *Θήλειαν δὲ ἵππον εἰς ἀφροδίσια λυττήσασαν ... σφόδρα παῦσαι ῥᾳδίως ἐστὶν, ὡς Ἀριστοτέλης λέγει, ἢν τις αὐτῆς ἀποκείρῃ τὰς κατὰ τοῦ τένοντος ... χας. αἰδεῖται γὰρ, καὶ οὐκ ἀγανακτήσει, καὶ παύσεται τῆς ὕβρεως καὶ τοῦ σκιρτήματος τοῦ πολλοῦ, κατηφήσασα ἐπὶ τῇ αἰσχύνῃ. τοῦτό τοι καὶ Σοφοκλῆς αἰνίττεται ἐν τῇ Τυροῖ τῷ δράματι. πεποίηται δέ οἱ αὕτη λέγουσα, καὶ ἃ λέγει, ταῦτά ἐστι*

*Κόμης δὲ πένθος λαγχάνω πώλου δίκην,*
*ἥτις συναρπασθεῖσα βουκόλων ὕπο*
*μάνδραις ἐν ἱππείαισιν ἀγρίᾳ χερὶ*
*θέρος θερισθῇ ξανθὸν αὐχένων ἄπο,*
*σπασθεῖσα δ' ἐν λειμῶνι ποταμίων ποτῶν*
*ἴδῃ σκιᾶς εἴδωλον αὐγασθεῖσ' ὑπὸ*
*κουραῖς ἀτίμως διατετιλμένης φόβης*
*φεῦ, κἂν ἀνοικτίρμων τις οἰκτείρειέ νιν*
*πτήσσουσαν αἰσχύναισιν οἷα μαίνεται*
*πενθοῦσα καὶ κλαίουσα τὴν πάρος φόβην.*

**588**

**Antiatticista p. 89, 19.** *Δυσθυμία: Σ. Τυροῖ.*

**589**

**Photius p. 17, 7.** *Ἐρρηνοβοσκός: ὁ προβατοβοσκὸς ἐν Τυροῖ β' Σοφοκλέους.* **Ἴσως** *ἀπὸ τοῦ ἄρην.* **Conf. Etymolog. M. p. 377, 22. et Hesychium in** *ἀρηνοβοσκός.*

**590 591**

**Hesychius,** *Ἔχθιμα: μισήματα. Σ. Τυροῖ.* (**codex** *τυράννοις*, **correctum ab Piersono ad Moerin p. 436. Idem Hesychius,** *Καρπομανής: ... ρον ἐξυβρίζουσα. Σοφοκλῆς τυριλάω.* **Fortasse** *Τυρ...*

*β (δευτέρᾳ)* **vel** *α.* [with *αι* printed above *β* and above *α*]

**592**

**Antiatticista p. 98, 11.** *Ἤνεγκον: ἐπὶ ... προσώπου. Σ. Τυροῖ.*

**593**

**Hesychius,** *Θεανὴ νῆσος: ἡ ἐκ θεοῦ ... Σ. Τυροῖ α'.*

**594**

**Etymolog. M. p. 747, 49.** *Ταυροφάγον: τὸν Διόνυσον. Σοφοκλῆς ἐν Τυροῖ. ὅτι τοῖς τὸν διθύραμβον νικήσασι βοῦς ἐδίδοτο. ἢ τὸν ...* **Conf. schol. Aristoph. Ranar. v. 360. Photium p. 571, 13. et Suidam in** *Ταυροφάγον.*

## ΥΒΡΙΣ.

595

Stobaeus XXVI, 3. Σ. Ὕβρεως σατύρου

Λήθην τε καὶ τὴν πάντ' ἀπεστερημένην
κωφήν, ἄναυδον.

596

Athenaeus XIV. p. 657 a. Δέλφακα δὲ ἀρσενικῶς εἴρηκε Σ. Ὕβρει

Ἐσθίειν ἐθέλων τὸν δέλφακα.

## ΥΔΡΟΦΟΡΟΙ.

597

Scholiasta Sophocl. Antig. v. 1. Τὸ δὲ κοινὸν Σοφοκλῆς συνεχῶς ἐπὶ τοῦ ἀδελφοῦ τίθησιν, οἷον ὁ ἐν ταῖς Ὑδροφόροις τέταχεν „Πολύκοινον Ἀμφιτρίταν" ἀντὶ τοῦ πολυάδελφον. Attulit Hesychius κοινός, ubi Ἀμφιτρίτην.

598

Schol. Sophocl. Philoct. v. 1199. Ἐν Ὑδροφόροις ... Διόνυσον εἶπε Βακχᾶν ἀντὶ τοῦ Βακχευτάν.

599

Photius p. 366, 13. Ὄχος Ἀκεσσαῖος: ἐδόκουν αἱ Σικελικαὶ ἡμίονοι εἶναι σπουδαῖαι. ἡ γὰρ ...ασα Σικελικὴ πόλις. Σοφοκλῆς Ὑδροφόροις
Ὄχοις Ἀκεσσαίοισιν ἐμβεβὼς πόδα.
...i versus in codice traiectus est p. 365, 1. ad glossa Ὄχανον: unde eodem loco habet Suidas. Conf. ...sychium in ὄχος.

## ΦΑΙΑΚΕΣ.

600 601

Antiatticista p. 82, 32. Ἀρτύματα: οὐχ ἡδύσματα. Σ. Φαίαξιν. Athenaeus II. p. 67 f. Ὅτι ἀρτύματα εὕρηται παρὰ Σοφοκλεῖ „Καὶ βορᾶς ἀρτύματα". — τὸ δὲ ῥῆμα κεῖται παρὰ Σοφοκλεῖ „Ἐγὼ ...γειρος ἀρτύσω σοφῶς". Conf. fragm. 305.

602

Antiatticista p. 83, 21. Ἀποσημῆναι: ἀντὶ ... δηλῶσαι. Σ. Φαίαξιν.

## ΦΑΙΔΡΑ.

603 604

Stobaeus Eclog. phys. I, 6. p. 174. Σ. ἐκ Φαίδρας
... Ἔζης ἄρ' οὐδὲ γῆς ἔνερθ' ᾤχου θανών;
... οὐ γὰρ πρὸ μοίρας ἡ τύχη βιάζεται.
...c lemma in aliquot codicibus adscriptum est poetae ...tasse alius loco ibidem p. 172. „Περιώσι' ἄψυκτά ...μήδεα παντοδαπᾶν βουλᾶν ἀδαμαντίναις ὑφαίνε... κερκίσιν Αἶσα."

605

Stobaeus XVII, 2.

Οὐ γὰρ δίκαιον ἄνδρα γενναῖον φρένας
...τέρπειν, ὅπου μὴ καὶ δίκαια τέρψεται.

606

Stobaeus XLIII, 5. et omisso nomine fabulae scho...sta Luciani vol. II. p. 336.

Οὐ γάρ ποτ' ἂν γένοιτ' ἂν ἀσφαλὴς πόλις,
ἐν ᾗ τὰ μὲν δίκαια καὶ τὰ σώφρονα
λάγδην πατεῖται, κωτίλος δ' ἀνὴρ λαβὼν
πανοῦργα χερσὶ κέντρα κηδεύει πόλιν.

607

Stobaeus LXIII, 25.

Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται,
οὐδ' αὖ γυναῖκας, ἀλλὰ καὶ θεῶν ἄνω
ψυχὰς χαράσσει κἀπὶ πόντον ἔρχεται.
καὶ τόνδ' ἀπείργειν οὐδ' ὁ παγκρατὴς σθένει
Ζεύς, ἀλλ' ὑπείκει καὶ θέλων ἐγκλίνεται.

Tres primos versus Euripidi tribuit Clemens Alex. Strom. VI. p. 745. et v. 3. ταράσσει praebet.

608 *

Stobaeus LXIX, 14.

Οὕτω γυναικὸς οὐδὲν ἂν μεῖζον κακὸν
κακῆς ἀνὴρ κτήσαιτ' ἄν, οὐδὲ σώφρονος
κρεῖσσον· παθὼν δ' ἕκαστος ὧν τύχῃ λέγει.

609

Stobaeus LXXIV, 16.

Σύγγνωτε κἀνάσχεσθε σιγῶσαι. τὸ γὰρ
γυναιξὶν αἰσχρὸν σὺν γυναικὶ δεῖ στέγειν.

Grotius ἐν γυναιξὶ δεῖ.

610

Stobaeus CV, 39.

Τὸ δ' εὐτυχοῦντα πάντ' ἀριθμῆσαι βροτῶν,
οὐκ ἔστιν ὄντως ὄντιν' εὑρήσεις ἕνα.

611

Stobaeus CVIII, 53.

Αἴσχη μέν, ὦ γυναῖκες, οὐδ' ἂν εἷς φύγοι
βροτῶν ποθ', ᾧ καὶ Ζεὺς ἐφορμήσοι κακά.
νόσους δ' ἀνάγκη τὰς θεηλάτους φέρειν.

612

Grammaticus Bekkeri p. 338, 15. Ἀγκῦραι: ἐκ μεταφορᾶς αἱ ἀσφάλειαι. Σοφοκλῆς
Ἀλλ' εἰσὶ μητρὶ παῖδες ἀγκῦραι βίου.
Nomen fabulae, Φαίδρᾳ, addunt Hesychius in ἄγκυραι et Suidas in χαλάσω, sed versum omittunt.

613

Hesychius, Ἄγος: ἅγνισμα θυσίας. Σ. Φαίδρᾳ.

614

Etymolog. M. p. 19, 53. Καὶ ἀελλάδες φωναὶ παρὰ Σοφοκλεῖ ἐν Φαίδρᾳ. Ita codex Leidensis apud Valckenar. ad Hippol. p. 291. Vulgo ἄελλαι.

615

Hesychius, Ἀκλεπτοι: οὐ παραλογιζόμενοι, ἀληθεῖς. Σ. Φαίδρᾳ.

616

Hesychius, Ἀπέπτυσε λόγους: ἀπεμύξατο τοὺς λόγους. ἀντὶ τοῦ ἀπεστράφη. Σ. Φαίδρᾳ.

617

Hesychius, Αὐτομόλως: προδοτικῶς. Σ. Φαίδρᾳ.

618

Hesychius, Ἀψεφές: ἀφρόντιστον. Σ. Φαίδρᾳ. Nomen fabulae om. grammaticus Bekkeri p. 476, 1.

619

Hesychius, Κυλλαίνων κάτω: Σ. Φαίδρᾳ.

* In annotatione ad fragm. 305. numerum 608 muta in 600.

*Οὐκ ἑτὸς ἀφ' ἡμῶν εἰσιν αἱ τραγῳδίαι.*
*οὐδὲν γάρ ἐσμεν πλὴν Ποσειδῶν καὶ σκάφη.*

**ubi scholiasta,** *Εἰς τὴν Σοφοκλέους δὲ Τυρὼ ταῦτα συντείνει, ἐκθεῖσαν τὰ τέκνα εἰς σκάφην.* **Alius:** *Εἰς τὴν Τυρὼ δὲ Σοφοκλέους αἰνίττεται καθεῖσαν τὰ τέκνα εἰς σκάφος — ὁ γὰρ Ποσειδῶν ἐμίγη Τυροῖ, καὶ ἐγέννησε Νηλέα καὶ Πελίαν.*

575

**Scholiasta Euripidis ad Orestem in fine:** *Ἡ κατάληξις τῆς τραγῳδίας ἢ εἰς θρῆνον, ἢ εἰς πάθη καταλήγει· ἡ δὲ κωμῳδία γέλωτι καὶ εὐφροσύναις ἐνύφανται. ὅθεν ὁρᾶται τόδε τὸ δρᾶμα κωμικῇ καταλήξει χρησάμενον. διαλλαγαὶ γὰρ πρὸς Μενέλαον καὶ Ὀρέστην. ἀλλὰ καὶ ἐν τῇ Ἀλκήστιδι ἐκ συμφορῶν εἰς εὐφροσύνην, καὶ ἐν Τυροῖ Σοφοκλέους ἀναγνώρισμα κατὰ τὸ τέλος γίνεται.* (*κατὰ τὸ ἀναγνώρισμα γέλως γ.* **Tyrwhitt ad Aristot. Poet. XXVI.**)

576

**Aristoteles de Poetica cap. XVI.** *Εἴδη δὲ ἀναγνωρίσεως. πρώτη μὲν ἡ διὰ σημείων. τούτων δὲ τὰ μὲν σύμφυτα, τὰ δὲ ἐπίκτητα· καὶ τούτων τὰ μὲν ἐν τῷ σώματι, οἷον οὐλαί· τὰ δὲ ἐκτὸς, τὰ περιδέραια. καὶ οἷον ἐν τῇ Τυροῖ διὰ τῆς σκάφης.*

577

**Pollux IV, 141. ubi describit tragicas personas,** *Τυρὼ πελιδνὴ τὰς παρειὰς παρὰ Σοφοκλεῖ.*

578

**Scholiasta Aristophanis Avium v. 276.** *Ἔξεδρον χώραν ἔχων: ἐκ τῆς Σοφοκλέους δευτέρας Τυροῦς ἀρχὴ*

*Τίς ὄρνις οὗτος ἔξεδρον χώραν ἔχων;*

579

**Athenaeus III. p. 99 f.** *Σοφοκλῆς τε ἐν Τυροῖ*

*Σίτοισι παγχόρτοισιν ἐξενίζομεν.*

580

**Athenaeus XI. p. 475 a.** *Μνημονεύει δὲ τῶν καρχησίων καὶ — Σοφοκλῆς Τυροῖ*

*Προστῆναι μέσην*
*τράπεζαν ἀμφὶ σῖτα καὶ καρχήσια.*

*πρὸς τὴν τράπεζαν φάσκων προσεληλυθέναι τοὺς δράκοντας, καὶ γενέσθαι περὶ τὰ σιτία καὶ τὰ καρχήσια.* **Proferuntur haec etiam a Macrobio Saturn. V, 21.**

581

**Stobaeus XX, 29.**

*Πόλλ' ἐν κακοῖσι θυμὸς εὐνηθεὶς ὁρᾷ.*

582

**Stobaeus XLVI, 6.**

*Ἄκων δ' ἁμαρτὼν οὔ τις ἀνθρώπων κακός.*

583

**Stobaeus LXXXVII, 3.**

*Πολλῶν δ' ἐν πολυπληθίᾳ πέλεται,*
*οὔτ' ἀπ' εὐγενέων ἐσθλὸς οὔτ' ἀχρείων*
*τὸ λίαν κακός· βροτῷ δὲ πιστὸν οὐδέν.*

584

**Stobaeus XCIX, 99.**

*Τίκτουσι γάρ τοι καὶ νόσους δυσθυμίαι.*

585

**Stobaeus CIX, 2.** *Σοφοκλέους Τυροῦς β'.*

*Μὴ σπεῖρε πολλοῖς τὸν παρόντα δαίμονα·*
*σιγώμενος γάρ ἐστι θρηνεῖσθαι πρέπων.*

586

**Stobaeus CXV, 8.**

*Γῆρας διδάσκει πάντα καὶ χρόνου τριβή.*

587

**Aelianus de N. A. II, 10.** *Μάλιστα δὲ κομῶσα ἵππος ἁβροτάτη τέ ἐστι καὶ θρυπτικωτάτη. ἀτιμάζει γοῦν ἀναβῆναι τοὺς ὄνους αὐτὴν, ἵππῳ δὲ γαμουμένη ἥδεται, καὶ ἑαυτὴν ἀξιοῖ τῶν μεγίστων. ὅπερ οὖν συνειδότες οἱ βουλόμενοι ἡμιόνους σφίσι γενέσθαι, ἀποθρίσαντες τῆς ἵππου τὴν χαίτην εἰκῆ καὶ ὡς ἔτυχεν, εἶτα μέντοι τοὺς ὄνους ἐπάγουσιν· ἡ δὲ ὑπομένει τὸν ἄδοξον ἤδη γαμέτην, πρῶτον αἰδουμένη. καὶ Σοφοκλῆς δὲ ἔοικε μεμνῆσθαι τοῦ πάθους.* (**Conf. Plutarch. Moral. p. 754 a.**) **Morem equas tondendi, quo facilius asinos admittant, tangit rursus XII, 16. versusque Sophoclis profert XI, 18.** *Θήλειαν δὲ ἵππον εἰς ἀφροδίσια λυττήσασαν πεσεῖν σφόδρα παῦσαι ῥᾳδίως ἐστὶν, ὡς Ἀριστοτέλης λέγει, ἤν τις αὐτῆς ἀποκείρῃ τὰς κατὰ τοῦ τένοντος τρίχας. αἰδεῖται γὰρ, καὶ οὐκ ἀγανακτήσει, καὶ πεπαύσεται τῆς ὕβρεως καὶ τοῦ σκιρτήματος τοῦ πολλοῦ, κατηφήσασα ἐπὶ τῇ αἰσχύνῃ. τοῦτό τοι καὶ Σοφοκλῆς αἰνίττεται ἐν τῇ Τυροῖ τῷ δράματι. πεποίηται δέ οἱ αὕτη λέγουσα, καὶ ἃ λέγει, ταῦτά ἐστι*

*Κόμης δὲ πένθος λαγχάνω πώλου δίκην,*
*ἥτις συναρπασθεῖσα βουκόλων ὕπο*
*μάνδραις ἐν ἱππείαισιν ἀγρίᾳ χερὶ*
*θέρος θερισθῇ ξανθὸν αὐχένων ἄπο,*
*σπασθεῖσα δ' ἐν λειμῶνι ποταμίων ποτῶν*
*ἴδῃ σκιᾶς εἴδωλον αὐγασθεῖσ' ὑπὸ*
*κουραῖς ἀτίμως διατετιλμένης φόβης·*
*φεῦ, κἂν ἀνοικτίρμων τις οἰκτείρειέ νιν*
*πτήσσουσαν αἰσχύναισιν οἷα μαίνεται*
*πενθοῦσα καὶ κλαίουσα τὴν πάρος φόβην.*

588

**Antiatticista p. 89, 19.** *Δυσθυμία: Σ. Τυροῖ.*

589

**Photius p. 17, 7.** *Ἐρρηνοβοσκός: ὁ προβατοβοσκὸς ἐν Τυροῖ β' Σοφοκλέους. ἴσως ἀπὸ τοῦ ἄρην.* **Conf. Etymolog. M. p. 377, 22. et Hesychium in** *ἀρηνοβοσκός.*

590 591

**Hesychius,** *Ἔχθιμα: μισήματα. Σ. Τυροῖ.* **Codex** *τυράννοις,* **correctum ab Piersono ad Moeridem p. 436. Idem Hesychius,** *Καρπομανής: εἰς ἕτερον ἐξυβρίζουσα. Σοφοκλῆς τυριλάῳ.* **Fortasse** *Τυροῖ β* (*δευτέρᾳ*) **vel** *α.*

592

**Antiatticista p. 98, 11.** *Ἤνεγκον: ἐπὶ προσώπου. Σ. Τυροῖ.*

593

**Hesychius,** *Θεανὴ νῆσος: ἡ ἐκ θεοῦ δοθεῖσα. Σ. Τυροῖ ά.*

594

**Etymolog. M. p. 747, 49.** *Ταυροφάγον: τὸν Διόνυσον. Σοφοκλῆς ἐν Τυροῖ. ὅτι τοῖς τὸν διθύραμβον νικήσασι βοῦς ἐδίδοτο. ἢ τὸν ὠμηστήν.* **Conf. schol. Aristoph. Ranar. v. 360. Photium p. 571, 13. et Suidam in** *Ταυροφάγον.*

ΥΒΡΙΣ.

595

Stobaeus XXVI, 3. Σ. Ὕβρεως σατύρου

Λήθην τε καὶ τὴν πάντ' ἀπεστερημένην
κωφήν, ἄναυδον.

596

Athenaeus XIV. p. 657 a. Δέλφακα δὲ ἀρσενι-
ῆς εἴρηκε Σ. Ὕβρει

Ἐσθίειν ἐθέλων τὸν δέλφακα.

---

ΥΔΡΟΦΟΡΟΙ.

597

Scholiasta Sophocl. Antig. v. 1. Τὸ δὲ κοινὸν Σοφοκλῆς συνεχῶς ἐπὶ τοῦ ἀδελφοῦ τίθησιν, οἷον ὶ ἐν ταῖς Ὑδροφόροις τέταχεν „Πολύκοινον Ἀμ-τρίταν" ἀντὶ τοῦ πολυάδελφον. Attulit Hesychius κοινός, ubi Ἀμφιτρίτην.

598

Schol. Sophocl. Philoct. v. 1199. Ἐν Ὑδροφόροις ν Διόνυσον εἶπε Βακχᾶν ἀντὶ τοῦ Βακχευτάν.

599

Photius p. 366, 13. Ὄχος Ἀκεσσαῖος: ἐδό-νν αἱ Σικελικαὶ ἡμίονοι εἶναι σπουδαῖαι. ἡ γὰρ ιεσσα Σικελικὴ πόλις. Σοφοκλῆς Ὑδροφόροις

Ὄχοις Ἀκεσσαίοισιν ἐμβεβὼς πόδα.

ἰ versus in codice traiectus est p. 365, 1. ad glos-α Ὄχανον: unde eodem loco habet Suidas. Conf. ·sychium in ὄχος.

---

ΦΑΙΑΚΕΣ.

600 601

Antiatticista p. 82, 32. Ἀρτύματα: οὐχ ἡδύ-ατα. Σ. Φαίαξιν. Athenaeus II. p. 67 f. Ὅτι ἀρ-ιατα εὕρηται παρὰ Σοφοκλεῖ „Καὶ βορᾶς ἀρτύ-τα". — τὸ δὲ ῥῆμα κεῖται παρὰ Σοφοκλεῖ „Ἐγὼ γειρος ἀρτύσω σοφῶς". Conf. fragm. 305.

602

Antiatticista p. 83, 21. Ἀποσημῆναι: ἀντὶ ἢ δηλῶσαι. Σ. Φαίαξιν.

---

ΦΑΙΔΡΑ.

603 604

Stobaeus Eclog. phys. I, 6. p. 174. Σ. ἐκ Φαί-ας

ι. Ἔζης ἄρ' οὐδὲ γῆς ἔνερθ' ᾤχου θανών;
ἰ. οὐ γὰρ πρὸ μοίρας ἡ τύχη βιάζεται.

c lemma in aliquot codicibus adscriptum est poetae tasse alius loco ibidem p. 172. „Πειρῶσι' ἄψυκτά μήδεα παντοδαπᾶν βουλᾶν ἀδαμαντίναις ὑφαίνε-ι κερκίσιν Αἶσα."

605

Stobaeus XVII, 2.

Οὐ γὰρ δίκαιον ἄνδρα γενναῖον φρένας
τέρπειν, ὅπου μὴ καὶ δίκαια τέρψεται.

606

Stobaeus XLIII, 5. et omisso nomine fabulae scho-ιta Luciani vol. II. p. 336.

Οὐ γάρ ποτ' ἂν γένοιτ' ἂν ἀσφαλὴς πόλις,
ἐν ᾗ τὰ μὲν δίκαια καὶ τὰ σώφρονα
λάγδην πατεῖται, κωτίλος δ' ἀνὴρ λαβὼν
πανοῦργα χερσὶ κέντρα κηδεύει πόλιν.

607

Stobaeus LXIII, 25.

Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται,
οὐδ' αὖ γυναῖκας, ἀλλὰ καὶ θεῶν ἄνω
ψυχὰς χαράσσει κἀπὶ πόντον ἔρχεται.
καὶ τόνδ' ἀπείργειν οὐδ' ὁ παγκρατὴς σθένει
Ζεύς, ἀλλ' ὑπείκει καὶ θέλων ἐγκλίνεται.

Tres primos versus Euripidi tribuit Clemens Alex. Strom. VI. p. 745. et v. 3. ταράσσει praebet.

608 *

Stobaeus LXIX, 14.

Οὕτω γυναικὸς οὐδὲν ἂν μεῖζον κακὸν
κακῆς ἀνὴρ κτήσαιτ' ἄν, οὐδὲ σώφρονος
κρεῖσσον· παθὼν δ' ἕκαστος ὧν τύχῃ λέγει.

609

Stobaeus LXXIV, 16.

Σύγγνωτε κἀνάσχεσθε σιγῶσαι. τὸ γὰρ
γυναιξὶν αἰσχρὸν σὺν γυναικὶ δεῖ στέγειν.

Grotius ἐν γυναιξὶ δεῖ.

610

Stobaeus CV, 39.

Τὸ δ' εὐτυχοῦντα πάντ' ἀριθμῆσαι βροτῶν,
οὐκ ἔστιν ὄντως ὄντιν' εὑρήσεις ἕνα.

611

Stobaeus CVIII, 53.

Αἴσχη μέν, ὦ γυναῖκες, οὐδ' ἂν εἷς φύγοι
βροτῶν ποθ', ᾧ καὶ Ζεὺς ἐφορμήσοι κακά.
νόσους δ' ἀνάγκη τὰς θεηλάτους φέρειν.

612

Grammaticus Bekkeri p. 338, 15. Ἀγκῦραι: ἐκ μεταφορᾶς αἱ ἀσφάλειαι. Σοφοκλῆς

Ἀλλ' εἰσὶ μητρὶ παῖδες ἀγκῦραι βίου.

Nomen fabulae, Φαίδρᾳ, addunt Hesychius in ἄγκυραι et Suidas in χαλάσω, sed versum omittunt.

613

Hesychius, Ἄγος: ἅγνισμα θυσίας. Σ. Φαίδρᾳ.

614

Etymolog. M. p. 19, 53. Καὶ ἀελλάδες φωναὶ παρὰ Σοφοκλεῖ ἐν Φαίδρᾳ. Ita codex Leidensis apud Valckenar. ad Hippol. p. 291. Vulgo ἄελλαι.

615

Hesychius, Ἀκλεπτοι: οὐ παραλογιζόμενοι, ἀληθεῖς. Σ. Φαίδρᾳ.

616

Hesychius, Ἀπέπτυσε λόγους: ἀπεμύξατο τοὺς λόγους. ἀντὶ τοῦ ἀπεστράφη. Σ. Φαίδρᾳ.

617

Hesychius, Αὐτομόλως: προδοτικῶς. Σ. Φαίδρᾳ.

618

Hesychius, Ἀψεφές: ἀφρόντιστον. Σ. Φαίδρᾳ. Nomen fabulae om. grammaticus Bekkeri p. 476, 1.

619

Hesychius, Κυλλαίνων κάτω: Σ. Φαίδρᾳ.

---

* In annotatione ad fragm. 305. numerum 608 muta in 600.

τὰ ὦτα καταβαλὼν, ὅπερ (codex ἅπερ) οἱ σαίνοντες (κύνες add. Hemsterh.) ποιοῦσιν

Ἔσαιν' ἐπ' οὐρὰν ὦτα κυλλαίνων κάτω.

Codex ἔσται ἐπουρανῶτικυθλάννων καὶ τὸ.

620

Hesychius, Μῶλυς: ὁ ἀμαθής. Σ. Φαίδρᾳ μεμωλυσμένῃ, παρειμένῃ.

---

## ΦΘΙΩΤΙΔΕΣ.

621

Aristoteles Art. poet. XVIII. Τραγῳδία — ἡ μὲν — ἡ δὲ ἠθικὴ, οἷον αἱ Φθιώτιδες καὶ ὁ Πηλεύς.

622

Ioannes Damasc. in Gaisfordi append. ad Stobaeum vol. IV. p. 35. Σοφοκλέους Φθιωτίδων (codex δ φοιωτ)

Νέος πέφυκας· πολλὰ καὶ μαθεῖν σε δεῖ
καὶ πόλλ' ἀκοῦσαι καὶ διδάσκεσθαι μακρά.
ἀεί τι βούλου χρήσιμον προσμανθάνειν.

623

Gellius N. A. XIII, 18. *Sed etiam ille versus non minus notus*

Γέρων γέροντα παιδαγωγήσω σ' ἐγώ

*et in tragoedia Sophocli scriptus est, cui titulus* Φθιώτιδες *et in Bacchis Euripidi.* Φθιώτιδες correctio Casauboni est. Vulgo φυλετίδες, quod alii aliter correxerunt.

624

Grammaticus Bekkeri p. 128, 3. Ἂν (συντάσσεται) παρακειμένοις καὶ ὑπερσυντελίκοις. Σ. Φθιώτισιν.

Ἡ πατροκτόνος δίκη
κέκλητ' ἂν αὐτῷ.

625

Strabo IX. p. 433. Οὕτω καὶ Σοφοκλῆς τὴν Τραχινίαν Φθιῶτιν εἴρηκεν. Ad Phthiotides refert Elmsleius ad Eurip. Heraclid. v. 194. et corrigit τὴν Τραχῖνα.

---

## ΦΙΛΟΚΤΗΤΗΣ ΕΝ ΤΡΟΙΑΙ.

626

Stobaeus CXXI, 7. Σ. Φιλοκτήτου

Ἀλλ' ἴσθ' ὁ θάνατος λοῖσθος ἰατρὸς νόσων.

627

Priscianus XVIII. vol. II. p. 180. ed. Krehl. Σοφοκλῆς ἐν Φιλοκτήτῃ τῷ ἐν Τροίᾳ

Ὀσμῆς μου ὅπως μὴ βαρυνθήσεσθέ μου.

ἀντὶ τοῦ, ὑπὸ τῆς ὀσμῆς. Ita fere codex Monacensis: unde trimeter confieri potest, Ὀσμῆς ὅπως μου μὴ βαρυνθήσεσθέ μου, quem quibus aliis modis restituerint viri docti ex Dobraei Aristophan. p. 183. 184. cognosci potest. Alii dubitant an haec ex fabulae superstitis versu 890. conficta sint, Μὴ βαρυνθῶσιν κακῇ ὀσμῇ πρὸ τοῦ δέοντος.

628

Hesychius, Δράκοντας: τὸ κηρύκιον. Σ. Φιλοκτήτῃ.

629

Hesychius, Δρυοπαγῆ στόλον: τὸν πάσσαλον. Σ. Φιλοκτήτῃ.

630

Hesychius, Ζηλῶ: μακαρίζω. Σ. Φιλοκτήτῃ ἐν Τροίᾳ.

631

Hesychius, Ῥακτηρίοις κέντροισιν: ἀντὶ τοῦ ταῖς κώπαις, διὰ τὸ ἀράττεσθαι. καὶ ἐν Φιλοκτήτῃ τῷ ἐν Τροίᾳ·

Μέλη βοῶν ἄναυδα καὶ ῥακτήρια

ἀντὶ τοῦ ψοφώδη καὶ θορυβώδη.

632

Ad hanc fabulam, quam satyricam fuisse coniicit Hermannus in praefat. ad Philoct. p. X. refert versus duo quos ad Philoctetam dictos sine poetae nomine attulit Plutarchus Vit. p. 89 e. Moral. p. 789 a.

Τίς δ' ἄν σε νύμφη, τίς δὲ παρθένος νέα
δέξαιτ' ἄν; εὖ γοῦν ὡς γαμεῖν ἔχεις τάλας.

---

## ΦΙΝΕΥΣ Α. Β.

633

Scholiasta Apollonii Rhodii II, 178. Ἐπηρώθη δὲ τὰς ὄψεις ὁ Φινεὺς κατὰ μὲν ἐνίους ὑπὸ τοῦ Ἡλίου, διὰ τὸ πολὺν χρόνον αἰτῆσαι μᾶλλον ζῆν, ἢ βλέπειν· κατὰ δὲ ἐνίους, ὅτι ἐπεβούλευσε Περσεῖ. Σοφοκλῆς δὲ, ὅτι τοὺς ἐκ Κλεοπάτρας υἱοὺς ἐτύφλωσεν Ὄαρθον καὶ Κράμβιν, πεισθεὶς διαβολαῖς Ἰδαίας τῆς αὐτῶν μητρυιᾶς. Scholiasta Sophoclis ad Antig. 970. aliis nominibus Cleopatrae filios appellat.

634

Aristophanes Pluto v. 635.

Ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας.

ubi scholiasta, Ἐκ Φινέως Σοφοκλέους ὁ στίχος.

635

Pollux VII, 193. Τὸ δὲ τῶν καπήλων ἐργαστήριον καπηλεῖον εἰρήκασιν οἱ κωμῳδοδιδάσκαλοι, καὶ τὸ κωμῳδούμενον ἐν Σοφοκλέους Φινεῖ

Βλέφαρον κέκληταί γ', ὡς καπηλείου θύρα.

636

Athenaeus III. p. 119 c. Σοφοκλῆς τ' ἐν Φινεῖ ἔφη

Νεκρὸς τάριχος εἰσορᾶν Αἰγύπτιος.

637

Stephanus, Βόσπορος — Σοφοκλῆς δ' ἐν Φινεῖ πρώτῳ διὰ διφθόγγου τὴν πρὸ τέλους φησὶ τὸ χωρίον

Οὐδ' ἂν τὸ Βοσπόρειον ἐν Σκύθαις ὕδωρ.

638

Hesychius, Ἀπενώτισαν: ἀπέστρεψαν τὰ νῶτα. Σ. Φινεῖ.

639

Hesychius, Ἀρτύμασι: τοῖς πρὸς τὴν θοίνην εὐτρεπιζομένοις. Σ. φιμεῖ. Ita codex, ut dubitari ω ω possit utrum Φινεῖ α an β restituendum sit.

640

Hesychius, Ἀχάλκευτα τρύπανα: τὰ φρύγια πυρεῖα. Σ. Φινεῖ δευτέρῳ. Codex φησὶ βα.

641
Hesychius, *Καταρράκτης:* ὀχετὸς, ῥύαξ. καὶ ἀετός. Σ. Λαοκόωντι. καὶ τὰς Ἁρπυίας ἐν Φινεῖ. odex καὶ ταρπυίας ἐν φίνη.

642
Eustathius p. 1496, 53. Ἐν δὲ ῥητορικῷ λεξικῷ ἔρηνται καὶ μάστακες αἱ ἀκρίδες. καὶ λέγεται εῖσθαι τοῦτο παρὰ Σοφοκλεῖ ἐν Φινεῖ. Photius p. 48, 18. Μάστακας: τὰς ἀκρίδας. Σοφοκλῆς.

## ΦΟΙΝΙΞ.

643
Athenaeus II. p. 70 a. Κινάρα. ταύτην Σοφοκλῆς Κολχίσι κυνάραν καλεῖ, ἐν δὲ Φοίνικι κύναρον
Κύναρος ἄκανθα πάντα πληθύει γύην.
xcerpsit Eustathius p. 1822, 17.

644
Irenaeus apud Socratem hist. eccles. III, 7. Παρὰ οφοκλεῖ ἐν τῷ Φοίνικι ἐνέδραν σημαίνειν τὴν ὑπό- ασιν —. Idem omisso nomine fabulae tradit Iulius ollux Hist. phys. p. 376.

645
Eustathius p. 1088, 36. Φορβὰς γυνὴ παρὰ οφοκλεῖ, φασὶν, ἐν Φοίνικι ἡ πολλοῖς προσομι- οῦσα τροφῆς χάριν.

## ΦΡΙΞΟΣ.

646
Etymolog. Gud. p. 330, 43. Κνυζῶ: — Σοφο- ῆς Φρίξῳ „Κυνηδὸν ἐξέπραξαν κνυζούμενον“. nsfildus, Κυνηδὸν ἐξέκραξαν ὡς κνυζούμενοι.

647
Stephanus in Ἄστυ. — προάστιος. οὕτω γὰρ καὶ θηλυκὸν εὑρίσκεται, προαστία γῆ, ἐν Φρίξῳ οφοκλέους
Ὅρια κελεύθου τῆσδε γῆς προαστίας.

648
Antiatticista p. 83, 23. Ἀφελής: Σ. Φρίξῳ.

## ΦΡΥΓΕΣ.

649
Stobaeus VIII, 5.
Τοὺς εὐγενεῖς γὰρ κἀγαθοὺς, ὦ παῖ, φιλεῖ
ἄρης ἐναίρειν· οἱ δὲ τῇ γλώσσῃ θρασεῖς,
φεύγοντες ἄτας, ἐκτός εἰσι τῶν κακῶν.
ἄρης γὰρ οὐδὲν τῶν κακῶν λογίζεται.
„Tragoediam hoc titulo fecit etiam Aeschylus, ad a pertinet observatio scholiastae eiusdem tragici ad netheum 435. in qua mentio fit Phrygum Sopho- ex librarii errore.“ Brunck.

## ΧΡΥΣΗΣ.

650
Scholiasta Aristoph. Ranar. v. 193. Ὅτι δὲ καὶ ς τὸ σῶμα καὶ παρὰ Σοφοκλεῖ ἐν Χρύσῃ
Τοιοῦτος ὢν ἄρξεις τοῦδε τοῦ χρέως.
ckius ἄρξεις σύ.

651
Pollux VI, 83. Ἔστι μέντοι καὶ τὸ τῆς μαγίδος ὄνομα παρὰ Σοφοκλεῖ ἐν Χρύσῃ
Τὰς Ἑκαταίας μαγίδας δόρπων.
Ad hunc locum spectat Helladius apud Photium p. 533 b, 10.

652
Ammonius p. 34. Παρὰ Εὐριπίδῃ ἐσχάρα ἀντὶ τοῦ βωμοῦ κεῖται. — καὶ Σοφοκλῆς ἐν Χρύσῃ. Eadem Eustathius p. 1564, 32.

653
Apollonius lexic. Homer. Ἰονθάδος: — τὰς γὰρ τῶν τριχῶν ῥίζας ἰόνθους λέγει Σ. ἐν Χρύσῃ
Ἐγὼ μίαν μὲν ἐξιονθίζω τρίχα.
Ex hoc versu Hesychii glossa Ἐξιονθίζω τρίχα.

## ΩΡΕΙΘΥΙΑ.

654
Hanc fabulam memorat Ioannes Siceliota, cuius verba ad Aeschyli Orithyiam attulimus.

655
Strabo VII. p. 295. Σοφοκλῆς περὶ τῆς Ὠριθυίας λέγων ὡς ἀναρπαγεῖσα ὑπὸ Βορέου κομισθείη
Ὑπέρ τε πόντον πάντ' ἐπ' ἔσχατα χθονὸς
νυκτός τε πηγὰς οὐρανοῦ τ' ἀναπτυχὰς
Φοίβου τε παλαιὸν κῆπον —·
V. 3. Corrige παλεὸν, de quo in praefatione diximus ad Euripidis Electrae v. 497.

## ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ.

656
Stobaeus Eclog. phys. I, 4. p. 106. Heer.
Θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.
Sophoclis esse constat ex Theophilo ad Autolycum p. 110. ed. Wolf.

657
Stobaeus Eclog. phys. I, 9. p. 222.
Πάντ' ἐκκαλύπτων ὁ χρόνος εἰς τὸ φῶς ἄγει.

658
Stobaeus Eclog. phys. I, 9. p. 230.
Χρόνος αὖ χρόνος ἅμα κραταιᾷ
τερμοσύνᾳ βίου
πόλλ' ἀνευρίσκει σοφὰ μαιομένοις.

659
Stobaeus Eclog. phys. II, 1. p. 6.
Ἀλλ' οὐ γὰρ ἂν τὰ θεῖα κρυπτόντων θεῶν
μάθοις ἂν, οὐδ' εἰ πάντ' ἐπεξέλθοις σκοπῶν.

660
Stobaeus Florileg. II, 18.
Σκαιοῖσι πολλοῖς εἷς σοφὸς διόλλυται.

661
Stobaeus III, 14.
Ἐσθλοῦ γὰρ ἀνδρὸς τοὺς πονοῦντας ὠφελεῖν.

662
Stobaeus III, 15.
Ἀλλ' ἡ φρόνησις ἀγαθὴ θεὸς μέγας.

663
Stobaeus IV, 1. 5. 17.
Ἀλλ' οἱ κακῶς πράσσοντες οὐ κωφοὶ μόνον,

*ἀλλ' οὐδ' ὁρῶντες εἰσορῶσι τἀμφανῆ. —*
*Ὡς δυσπέλαστόν ἐστιν ἀμαθία κακόν. —*
*Ἡ δὲ μωρία*
*μάλιστ' ἀδελφὴ τῆς πονηρίας ἔφυ.*

V. 3. *ἐστιν* Grotius. Libri *ἤ*.

664

Stobaeus V, 5. et Plutarchus Moral. p. 27 f.

*Οὐκ ἔστ' ἀπ' ἔργων μὴ καλῶν ἔπη καλά.*

665

Stobaeus V, 14.

*Χαίρειν ἐπ' αἰσχραῖς ἡδοναῖς οὐ χρή ποτε.*

666

Stobaeus VIII, 11.

*Οὐ τοῖς ἀθύμοις ἡ τύχη ξυλλαμβάνει.*

667

Stobaeus XIII, 9.

*Αἰδὼς γὰρ ἐν κακοῖσιν οὐδὲν ὠφελεῖ.*
*ἡ γὰρ σιωπὴ τῷ λαλοῦντι σύμμαχος.*

668

Stobaeus XVIII, 1.

*Τί ταῦτ' ἐπαινεῖς; πᾶς γὰρ οἰνωθεὶς ἀνὴρ*
*ἥσσων μὲν ὀργῆς ἐστι, τοῦ δὲ νοῦ κενός·*
*φιλεῖ δὲ πολλὴν γλῶσσαν ἐκχέας μάτην,*
*ἄκων ἀκούειν οὓς ἑκὼν εἴπῃ λόγους.*

Hi versus citantur partim a Plutarcho Moral. p. 89 b. et Clemente Al. p. 181.

669

Stobaeus XXIV, 4. 6.

*Κλέπτων δ' ὅταν τις ἐμφανῶς ἐφευρεθῇ,*
*σιγᾶν ἀνάγκη, κἂν καλὸν φέρῃ στόμα. —*
*Ἦ δεινὸν ἆρ' ἦν, ἡνίκ' ἄν τις ἐσθλὸς ὢν*
*αὑτῷ συνειδῇ.*

670

Stobaeus XXVIII, 1.

*Ὅρκοισι γάρ τοι καὶ γυνὴ φεύγει πικρὰν*
*ὠδῖνα παίδων, ἀλλ' ἐπὰν λήξῃ κακοῦ,*
*ἐν τοῖσιν αὐτοῖς δικτύοις ἁλίσκεται,*
*πρὸς τοῦ παρόντος ἱμέρου νικωμένη.*

671

Stobaeus XXVIII, 5.

*Ὅρκος γὰρ οὐδεὶς ἀνδρὶ φηλήτῃ βαρύς.*

672

Stobaeus XXIX, 38.

*Πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς.*

673

Stobaeus XLI, 3.

*Μή μοι κρυφαῖον μηδὲν ἐξείπῃς ἔπος.*
*κλεῖθρον γὰρ οὐδέν. ὡς δ' ἂν εὐπετὲς λάβοις.*
*γλώσσης κρυφαῖον οὐδὲν οὐ διέρχεται.*

674

Stobaeus XLIII, 11. 25.

*Ὅπου γὰρ οἱ φύσαντες ἡσσῶνται τέκνων,*
*οὐκ ἔστιν αὕτη σωφρόνων ἀνδρῶν πόλις. —*
*Νόμοις ἕπεσθαι τοῖσιν ἐγχώροις καλόν.*

675

Stobaeus XLV, 11.

*Πολλῶν καλῶν δεῖ τῷ καλῶς τιμωμένῳ·*
*μικροῦ δ' ἀγῶνος οὐ μέγ' ἔρχεται κλέος.*

676

Stobaeus LIV, 3.

*Γνῶμαι πλέον κρατοῦσιν ἢ σθένος χερῶν.*

677

Stobaeus LXII, 33.

*Εἰ σῶμα δοῦλον, ἀλλ' ὁ νοῦς ἐλεύθερος.*

678

Stobaeus LXIII, 6.

*Ὦ παῖδες, ἥ τοι Κύπρις οὐ Κύπρις μόνον,*
*ἀλλ' ἐστὶ πολλῶν ὀνομάτων ἐπώνυμος.*
*ἔστιν μὲν Ἅιδης, ἔστι δ' ἄφθιτος βία,*
*ἔστιν δὲ λύσσα μανιάς, ἔστι δ' ἵμερος*
*ἄκρατος, ἔστ' οἰμωγμός. ἐν κείνῃ τὸ πᾶν,*
*σπουδαῖον, ἡσυχαῖον, ἐς βίαν ἄγον.*
*ἐντήκεται γὰρ πνευμόνων ὅσοις ἔνι*
*ψυχή. τίς οὐχὶ τῆσδε τῆς θεοῦ βορά;*
*εἰσέρχεται μὲν ἰχθύων πλωτῷ γένει,*
*ἔνεστι δ' ἐν χέρσου τετρασκελεῖ γονῇ·*
*νωμᾷ δ' ἐν οἰωνοῖσι τοὐκείνης πτερόν,*
*ἐν θηρσίν, ἐν βροτοῖσιν, ἐν θεοῖς ἄνω.*
*τίν' οὐ παλαίουσ' ἐς τρὶς ἐκβάλλει θεῶν;*
*εἴ μοι θέμις, θέμις δὲ τἀληθῆ λέγειν,*
*Διὸς τυραννεῖ πνευμόνων· ἄνευ δορὸς,*
*ἄνευ σιδήρου πάντα τοι συντέμνεται*
*Κύπρις τὰ θνητῶν καὶ θεῶν βουλεύματα.*

V. 1—4. *οὐ Κύπρις — μανιάς* affert Plutarchus Moral. p. 757 a. ex quo v. 2. correcta Stobaei scriptura *πάντων* pro *πολλῶν*.

679

Stobaeus LXVII, 5.

*Τίς δ' οἶκος ἐν βροτοῖσιν ὠλβίσθη ποτὲ,*
*γυναικὸς ἐσθλῆς χωρὶς, ὀγκωθεὶς χλιδῇ;*

680

Stobaeus LXXIII, 54.

*Κατ' ὀρφανὸν γὰρ οἶκον ἀνδρόφρων γυνή.*

681

Stobaeus XCVI, 10.

*Πενία δὲ τοῖς ἔχουσιν οὐ σμικρὰ νόσος.*
*πενίας γὰρ οὐδείς ἐστι μείζων πολέμιος.*

682

Stobaeus XCVIII, 1.

*Ὦ θνητὸν ἀνδρῶν καὶ ταλαίπωρον γένος·*
*ὡς οὐδέν ἐσμεν, πλὴν σκιαῖς ἐοικότες,*
*βάρος περισσὸν γῆς ἀναστρωφώμενοι.*

683

Stobaeus XCVIII, 43.

*Οὐ γὰρ θέμις ζῆν πλὴν θεοῖς ἄνευ κακῶν*

684

Stobaeus XCVIII, 44.

*Ὦ δαῖμον, ὡς οὐκ ἔστ' ἀποστροφὴ βροτοῖς*
*τῶν ἐμφύτων τε καὶ θεηλάτων κακῶν.*

685

Stobaeus XCVIII, 46.

*Ζώοι τις ἀνθρώπων, τὸ κατ' ἦμαρ ὅπως*
*ἥδιστα πορσύνων, τὸ δ' ἐς αὔριον ἀεὶ τυφλὸν*
*ἕρπει.*

686

Stobaeus CVIII, 51.

*Στέργειν δὲ τἀκπεσόντα καὶ θέσθαι πρέπει*
*σοφὸν κυβευτὴν, ἀλλὰ μὴ στένειν τύχῃ.*

Versum alterum sine poetae nomine attulit Hesychius in *Κυβευτήν*.

**687**

Stobaeus CX, 14.

*Ἐλπὶς γὰρ ἡ βόσκουσα τοὺς πολλοὺς βροτῶν.*

**688**

Stobaeus CXVII, 4.

*Οὐκ ἔστι γῆρας τῶν σοφῶν, ἐν οἷς ὁ νοῦς*
*θείᾳ ξύνεστιν ἡμέρᾳ τεθραμμένος.*
*προμηθία γὰρ κέρδος ἀνθρώποις μέγα.*

**689**

Stobaeus CXXI, 9.

*Ὅστις γὰρ ἐν κακοῖσιν ἱμείρει βίου,*
*ἢ δειλός ἐστιν, ἢ δυσάλγητος φρένας.*

**690**

Stobaeus CXXII, 11.

*α. Θανόντι κείνῳ συνθανεῖν ἔρως μ' ἔχει.*
*β. ἥξεις, ἐπείγου μηδὲν, εἰς τὸ μόρσιμον.*

**691**

Ioannes Damasc. in Gaisfordi append. ad Stobaeum ..l. IV. p. 76. *Σοφοκλέους*

*Τἀληθὲς ἀεὶ πλεῖστον ἰσχύει λόγου.*

**692**

Porphyrius in libro de Styge apud Stobaeum CV, .. *Ἥ τε γὰρ αἴγειρος, ὥς φασιν ἄλλοι τε καὶ ..λούταρχος, φιλοπενθὴς καὶ ἀτελὴς πρὸς καρπογο..αν. διὸ καὶ Σοφοκλῆς ἔν τισι φησὶν*

*Οὐ χρή ποτ' ἀνθρώπων μέγαν ὄλβον ἀποβλέψαι.*
*τανυφλοίου γὰρ ἰσαμέριος*
*ὅστις αἰγείρου βιοτὰν ἀποβάλλει.*

**693**

Porphyrius de Antro Nympharum cap. XVIII. *Πη..ὶ δὲ καὶ νάματα οἰκεῖα ταῖς ὑδριάσι Νύμφαις, ..ὶ ἔτι γε μᾶλλον Νύμφαις ταῖς ψυχαῖς, ἃς ἰδίως ..λίσσας οἱ παλαιοὶ ἐκάλουν, ἡδονῆς οὔσας ἐργα..κάς. ὅθεν καὶ Σοφοκλῆς οὐκ ἀνοικείως ἐπὶ τῶν ..χῶν ἔφη*

*Βομβεῖ δὲ νεκρῶν σμῆνος, ἔρχεταί τ' ἄλλη.*

..mesius *ἄλλῃ δ' ἔρχεται.*

**694**

Helladius Chrestom. p. 4. editionis Meursii: *Ὅτι ..στίχος ὁ καὶ παροιμιαζόμενος,*

*Ὅρκους ἐγὼ γυναικὸς εἰς ὕδωρ γράφω,*

*..ι μὲν Σοφοκλέους, τοῦτον δὲ παρῳδήσας ὁ Φιλω..ης ἔφη*

*Ὅρκους δὲ μοιχῶν εἰς τέφραν ἐγὼ γράφω.*

*..δὲ τὰς γυναῖκας σκώπτοντές φασιν,*

*Ὅρκους ἐγὼ γυναικὸς εἰς οἶνον γράφω.*

.. ultimum versum, qui Xenarchi comici est, recitat ..henaeus p. 441 e.

**695**

Athenaeus I. p. 23. *Κατακεῖσθαι δὲ λέγεται, καὶ ..κατακεκλίσθαι — ἔστι δὲ εὑρεῖν καὶ ἐπὶ ἐννοίας ..της σπανίως τὸ ἀνακεῖσθαι. Σάτυρος παρὰ Σο..κλεῖ τοῦτό φησιν „Ἐπικαιόμενος τῷ Ἡρακλεῖ ..κειμένῳ μέσον εἰς τὸν αὐχέν' εἰσαλοίμην.“* „Vi..tur ista derivata ex Hercule ad Taenarum.“ Brunck.

**696**

Athenaeus I. p. 33 c.

*Ὦ γλῶσσα σιγήσασα τὸν πολὺν χρόνον,*
*..ῶς δῆτα τλήσει πρᾶγμ' ἐπεξελθεῖν τόδε;*
*.. τῆς ἀνάγκης οὐδὲν ἐμβριθέστερον,*
*..φ' ἧς τὸ κρυφθὲν ἐκφανεῖς ἀνάκτορον.*

**697**

Athenaeus II. p. 39 f. *Ἀπὸ τῆς ἀλλοιούσης τὴν γνώμην καὶ πρὸς τὸ ψευδὲς τρεπούσης εὐθυμίας, ἣ γίνεται κατὰ τὴν μέθην — Σοφοκλῆς φησι „Τὸ μεθύειν πημονῆς λυτήριον.“*

**698**

Grammaticus Bekkeri p. 361, 19. *Αἰγύπτιον γῆρας:*

*Πρῶτον μὲν ὄψει λευκὸν ἀνθοῦντα στάχυν,*
*ἔπειτα φοινίξαντα γογγύλον μόρον,*
*ἔπειτα γῆρας λαμβάνεις Αἰγύπτιον.*

*Σοφοκλῆς.* V. 1. 2. affert Athenaeus II. p. 51 d. et ex eo Eustathius p. 835, 10.

**699**

Athenaeus III. p. 99 d. et ex eo Eustathius p. 1944, 26. *Καὶ Σοφοκλῆς δέ που ὁ ποιητὴς τὸν φύλακα μοχλόν που ὠνόμασεν ἐν τούτοις*

*Θάρσει· μέγας σοι τοὐδ' ἐγὼ φόβου μοχλός.*

*κἀν ἄλλοις δὲ τὴν ἄγκυραν Σοφοκλῆς ἰσχάδα κέκληκεν, διὰ τὸ κατέχειν τὴν ναῦν*

*Ναῦται δ' ἐμηρύσαντο νηὸς ἰσχάδα.*

**700**

Athenaeus VII. p. 277 b.

*Χορὸς δ' ἀναύδων ἰχθύων ἐπερρόθει,*
*σαίνουσιν οὐραίοισι τὴν κεκτημένην.*

V. 1. ex tragico affert Clemens Alex. p. 787. V. 2. Brunckius *σαίνοντες.*

**701**

Athenaeus X. p. 428 a. *Καὶ Σοφοκλῆς ἐν * * σατυρικῷ φησιν ὡς ἄρα*

*Τὸ πίνειν πρὸς βίαν*
*ἴσον κακὸν πέφυκε τῷ διψῆν βίᾳ.*

**702**

Athenaeus X. p. 433 e. *Τὸ δῖψος γὰρ πᾶσιν ἰσχυρὰν ἐπιθυμίαν ἐμποιεῖ τῆς περιττῆς ἀπολαύσεως. διὸ καὶ Σοφοκλῆς φησι*

*Διψῶντι γάρ τοι πάντα προσφέρων σοφὰ*
*οὐκ ἂν πλέον τέρψειας ἢ πιεῖν διδούς.*

**703**

Athenaeus XI. p. 783 f. *Ἀρύβαλλος — λέγουσι δὲ καὶ πρόχουν ἄρυστιν. Σοφοκλῆς*

*Κακῶς σὺ πρὸς θεῶν ὀλουμένη,*
*ἢ τὰς ἀρύστεις ὧδ' ἔχουσ' ἐκώμασας.*

Hesychius, *Ἀρύστεις: τὰς ἀπνευστὶ πόσεις. τὰ δὲ αὐτὰ καὶ ἀρυστῆρας καὶ ἀρυστίχους ἐκάλουν.*

**704**

Athenaeus XV. p. 688 a. *Καὶ ὁ Σοφοκλῆς δὲ τὰς ἀπολελυμένας τοῦ φόβου πεποίηκε λεγούσας*

*Θυμῷ δ' οὔτις φαιδρὰ χορεύει*
*τάρβους θυγάτηρ.*

**705**

Etymol. M. p. 601. extrema, *Νεῖκος: ἡ φιλονεικία, παρὰ τὸ νέοις ἐοικέναι. ἡ γὰρ φιλονεικία τοῖς νεαροῖς ἁρμόζει. Σοφοκλῆς*

*Ὕβρις δέ τοι*
*οὐπώποθ' ἥβης εἰς τὸ σῶφρον ἵκετο,*
*ἀλλ' ἐν νέοις ἀνθεῖ τε καὶ φθίνει πάλιν.*

**706**

Clemens Alex. Paedag. III. p. 286. *Ἀβροδίαιτον ἐπονειδίζων νεανίαν ὁ Σοφοκλῆς λέγει*

*Γυναικομίμοις ἐμπρέπεις ἐσθήμασιν.*

707

**Clemens Strom. V. p. 659.**

*Καὶ τὸν θεὸν τοιοῦτον ἐξεπίσταμαι,*
*σοφοῖς μὲν αἰνικτῆρα θεσφάτων ἀεί,*
*σκαιοῖς δὲ φαῦλον κἀν βραχεῖ διδάσκαλον.*

**V. 2. 3. profert Plutarchus Moral. p. 406 f.**

708

**Clemens Strom. V. p. 716. et Eusebius P. E. p. 680.**

*Τὴν τοῦδε γάρ τοι Ζεὺς ἔγημε μητέρα,*
*οὐ χρυσόμορφος, οὐδ' ἐπημφιεσμένος*
*πτίλον κύκνειον, ὡς κόρην Πλευρωνίαν*
*ὑπημβρύωσεν· ἀλλ' ὁλοσχερὴς ἀνήρ.*
* * * * * *
*ταχὺς δὲ βαθμοῖς νυμφικοῖς ἐπεστάθη*
*ὁ μοιχός —*
*ὁ δ' οὔτε δαιτὸς οὔτε χέρνιβος θιγὼν*
*πρὸς λέκτρον ᾔει καρδίαν ὠδαγμένος·*
*ὅλην δ' ἐκείνην εὐφρόνην ἐθρύπτετο.*

**„E satyrica fabula Hercule ad Taenarum versus hi derivati esse videntur: non enim de alius, quam Herculis natalibus, furtivoque Iovis cum Alcmena concubitu in illis agitur. Iu ultimo versu Eusebius legit** *ἐθόρνυτο.*" **Brunck.**

709

**Clemens Strom. II. p. 494.** *Εὖ γοῦν ἡ τραγῳδία περὶ τοῦ Ἅιδου γράφει*

*Πρὸς δ' οἷον ἥξεις δαίμονα,*
*ὃς οὔτε τοὐπιεικὲς οὔτε τὴν χάριν*
*ᾔδη, μόνην δ' ἔστεργε τὴν ἁπλῶς δίκην.*

710

**Plutarchus Vit. p. 253.** *Τῶν δὲ Τιμολέοντος ἔργων οὐδέν ἐστιν ᾧ μὴ τὰ τοῦ Σοφοκλέους ἐπιφωνεῖν ἔπρεπεν*

*Ὦ θεοί, τίς ἄρα Κύπρις, ἢ τίς Ἵμερος*
*τοῦδε ξυνήψατο;*

711

**Plutarchus Vit. p. 661. et Moral. p. 33 d.**

*Ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται,*
*κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ.*

712

**Plutarchus Vit. p. 667.**

*Πολλῶν χαλινῶν ἔργον οἰάκων θ' ἅμα.*

713

**Plutarchus Vit. p. 911.** *Ὁ Σοφοκλέους Μενέλαος ταύτην εἰκόνα ταῖς αὐτοῦ τύχαις παρατίθησιν*

*Ἀλλ' οὑμὸς ἀεὶ πότμος ἐν πυκνῷ θεοῦ*
*τροχῷ κυκλεῖται καὶ μεταλλάσσει φύσιν.*
*ὥσπερ σελήνης δ' ὄψις εὐφρόνας δύο*
*στῆναι δύναιτ' ἂν οὔποτ' ἐν μορφῇ μιᾷ,*
*ἀλλ' ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα*
*πρόσωπα καλλύνουσα καὶ πληρουμένη,*
*χὤτανπερ αὐτῆς εὐγενεστάτη φανῇ,*
*πάλιν διαρρεῖ κἀπὶ μηδὲν ἔρχεται.*

**V. 5 — 8. attulit Moral. p. 282 b. 517 d. v. 5. 6. Tzetzes ad Hesiodi** *Ἔργ.* **v. 780.**

714

**Plutarchus Vit. p. 1025.**

*Ταχεῖα πειθὼ τῶν κακῶν ὁδοιπορεῖ.*

715

**Plutarchus Moral. p. 16 a.**

*Ἔργου δὲ παντὸς ἤν τις ἄρχηται καλῶς,*
*καὶ τὰς τελευτὰς εἰκός ἐσθ' οὕτως ἔχειν.*

716

**Plutarchus Moral. p. 17 c.**

*Στενωπὸς Ἅιδου καὶ παλιρροία βυθοῦ.*

717

**Plutarchus Moral. p. 21 a.**

*Οὐκ ἐξάγουσι καρπὸν οἱ ψευδεῖς λόγοι.*

718

**Plutarchus Moral. p. 21 b.** *Τὰ Σοφοκλέους, ἃ*
*καὶ ταῦτά ἐστι*

*Γένοιτο κἂν ἄπλουτος ἐν τιμαῖς ἀνήρ.*

*καὶ*

*Οὐδὲν κακίων πτωχὸς, εἰ καλῶς φρονοῖ.*

*καὶ*

*Ἀλλὰ τῶν πολλῶν καλῶν*
*τίς χάρις, εἰ κακόβουλος*
*φροντὶς ἐκτρέφει τὸν εὐαίωνα πλοῦτον;*

719

**Plutarchus Moral. p. 21 f.**

*Ὡς τρισόλβιοι*
*κεῖνοι βροτῶν, οἳ ταῦτα δερχθέντες τέλη*
*μόλωσ' ἐς Ἅιδου· τοῖσδε γὰρ μόνοις ἐκεῖ*
*ζῆν ἐστι, τοῖς δ' ἄλλοισι πάντ' ἐκεῖ κακά.*

**„In fabulae loco, unde haec derivata, mentio erat forte** *τοῦ λειμῶνος τοῦ τοῖς μύσταις ἀνακειμένου,* **cuius Sophoclem auctorem laudat scholiastes comici ad Ranas 347."** **Brunck.**

720

**Plutarchus Moral. p. 23 c.**

*Τυφλὸς γὰρ, ὦ γυναῖκες, οὐδ' ὁρῶν Ἄρης*
*συὸς προσώπῳ πάντα τυρβάζει κακά.*

721

**Plutarchus Moral. p. 77 b. et 619 a.**

*Ὅτῳ δ' ἔρωτος δῆγμα παιδικοῦ προσῇ.*

722

**Plutarchus Moral. p. 84 b.** *Ἡ δὲ προκοπὴ τὰς ὑπερβολὰς πρότερον καὶ τὰς ὀξύτητας τῶν παθῶν ἀνίησι,*

*Πρὸς ἅσπερ οἱ μαργῶντες ἐντονώτατοι,*

*κατὰ τὸν Σοφοκλέα.*

723

**Plutarchus Moral. p. 98 a.**

*Τὰ μὲν διδακτὰ μανθάνω, τὰ δ' εὑρετὰ*
*ζητῶ, τὰ δ' εὐκτὰ παρὰ θεῶν ᾐτησάμην.*

724

**Plutarchus Moral. p. 99 a. Clemens Protrept. p. 78.**

*Βᾶτ' εἰς ὁδὸν δὴ πᾶς ὁ χειρῶναξ λεώς,*
*οἳ τὴν Διὸς γοργῶπιν Ἐργάνην στατοῖς*
*λίκνοισι προστρέπεσθε.*

**V. 1. Hinc Hesychius** *χειρῶναξ λεώς* **et Pollux II 151.** *χειρώνακτες παρὰ Σοφοκλεῖ.* **V. 3. Hesychius in** *Λείκνοισι.*

725

**Plutarchus Moral. p. 107 b.**

*Σὺ δ' ἄνδρα θνητὸν, εἰ κατέφθιτο, στένεις,*
*εἰδὼς τὸ μέλλον οὐδὲν εἰ κέρδος φέρει;*

726

**Plutarchus Moral. p. 141.** *Ταῖς Λυσάνδρου θυγατράσιν ὁ τύραννος ὁ Σικελικὸς ἱμάτια καὶ πλόκια τῶν πολυτελῶν ἔπεμψεν. ὁ δὲ Λύσανδρος οὐκ ἔλαβεν, εἰπών· Ταῦτα τὰ κόσμια καταισχυνεῖ μου*

ίλον ἢ κοσμήσει τὰς θυγατέρας. πρότερος δὲ Αν-
νδρου Σοφοκλῆς τοῦτο εἶπεν·
Οὐ κόσμος, οὐκ, ὦ τλῆμον, ἀλλ' ἀκοσμία
φαίνοιτ' ἂν εἶναι, σῶν τε μαργότης φρενῶν.

727

Plutarchus Moral. p. 280 f. Διὰ κόρον καὶ πλη-
ιονὴν ἐξυβρίζουσι καὶ βόες καὶ ἵπποι καὶ ὄνοι καὶ
θρωποι, ὥς που καὶ Σοφοκλῆς πεποίηκε
Σὺ δὲ σφαδάζεις πῶλος ὡς εὐφορβίᾳ.
γαστήρ τε γάρ σου καὶ γνάθος πλήρης.

728

Plutarchus Moral. p. 394 b.
Οὐ νάβλα κωκυτοῖσιν, οὐ λύρα, φίλα.

729

Plutarchus Moral. p. 414 e. Πολλὰ καλὰ τοῦ
ὺ διδόντος ἀνθρώποις, ἀθάνατον δὲ μηδέν· ὥστε
ήσκειν καὶ τὰ θεῶν, θεοὺς δὲ οὔ, κατὰ τὸν Σο-
κλέα.

730

Plutarchus Moral. p. 417 f. Ὁ Σοφοκλέους Ἄδμη-
: (εἶπε περὶ Ἀπόλλωνος)
Οὑμὸς δ' ἀλέκτωρ αὐτὸν ἦγε πρὸς μύλην.

731

Plutarchus Moral. p. 458. Καὶ τὸν Νεοπτόλεμον
φοκλῆς καὶ τὸν Εὐρύπυλον ὁπλίσας, Ἐκόμπασ'
κιδόρητα, φησίν,
Ἐρρηξάτην ἐς κύκλα χαλκέων ὅπλων.

732

Plutarchus Moral. p. 463 d. Ὁ δὲ Σοφοκλῆς λέ-
ν ὅτι
Τὰ πλεῖστα φωρῶν αἰσχρὰ φωράσεις βροτῶν,
ιν ἔοικεν ἡμῖν ἐπεμβαίνειν καὶ χολοῦειν. Iterum
rt p. 481 f.

733

Plutarchus Moral. p. 468 b. Ὥσπερ οἱ Σοφο-
ιους ἰατροὶ
Πικρὰν χολὴν κλύζουσι φαρμάκῳ πικρῷ.
463 f. scriptum πικρῷ πικρὰν κλύζουσι φαρμάκῳ
ήν. p. 923 a. πικρὰν πικροῖς κλύζουσι φαρμά-
; χολήν.

734

Plutarchus Moral. p. 504 c. (et p. 810 c.) Ὁ μὲν
ι Σοφοκλέους Νέστωρ τὸν Αἴαντα τραχυνόμενον
λόγῳ πραΰνων ἠθικῶς τοῦτο εἴρηκεν
Οὐ μέμφομαί σε· δρῶν γὰρ εὖ κακῶς λέγεις.
Ἀχαιῶν σύνδειπνον refert Brunckius.

735

Plutarchus Moral. p. 511 f. Πρῶτον μὲν οὖν ἐν
ς τῶν πέλας ἐρωτήσεσι σαυτὸν ἔθιζε σιωπᾶν,
ρι οὐ πάντες ἀπείπωνται τὴν ἀπόκρισιν.
Οὐ γάρ τι βουλῆς ταὐτὸ καὶ δρόμου τέλος.
φησιν ὁ Σοφοκλῆς.

736

Plutarchus Moral. p. 530 a. Κακὴ δὲ (ἡ δυσω-
) θαλάμου καὶ γυναικωνίτιδος ἐπίτροπος, ὥς
ιιν ἡ παρὰ τῷ Σοφοκλεῖ μετανοοῦσα πρὸς τὸν
χὸν „Ἔπεισας, ἐξέθωψας."

737

Plutarchus Moral. p. 625 d. Σοφοκλῆς περὶ τῶν
όντων

Βραδεῖα μὲν γὰρ ἐν λόγοισι προσβολὴ
μόλις δι' ὠτὸς ἔρχεται τρυπωμένου,
πόρρω δὲ λεύσσων, ἐγγύθεν δὲ πᾶς τυφλός.

738

Plutarchus Moral. p. 640 a. Καὶ Σοφοκλῆς εἴρηκέ
που περὶ τῶν Τρώων ὡς „Φίλιπποι καὶ κερουλκοί,
σὺν σάκει δὲ κωδωνοκρότῳ παλαισταί."

739

Plutarchus Moral. p. 732 d. Τοῦ Σοφοκλέους ἐπὶ
τῶν, ὅτι μὴ πρότερον ἦν, ἀπιστουμένων εἰ γέγονε
νῦν, οὐ φαύλως εἰπόντος
Ἅπαντα τἀγέννητα πρῶτον ἦλθ' ἅπαξ.
Ita Valckenarius Diatrib. p. 222. Vulgo ἅπαντα τὰ
γένη τὸ πρῶτον ἦλθεν. Artemidorus IV, 59. Τοῦτο
τὸ ἰαμβεῖον
Ἅπαντα τἀδόκητα πρῶτον ἦλθ' ἅπαξ.

740

Plutarchus Moral. p. 758 f. Ἐνθουσιασμοῦ δὲ τὸ
μαντικὸν ἐξ Ἀπόλλωνος ἐπιπνοίας καὶ κατοχῆς· τὸ
δὲ βακχεῖον ἐκ Διονύσου,
Κἀπὶ Κορυβάντεσσι χορεύσατε,
φησὶ Σοφοκλῆς.

741

Plutarchus Moral. p. 768 f.
Φίλων τοιούτων οἱ μὲν ἐστερημένοι
χαίρουσιν, οἱ δ' ἔχοντες εὔχονται φυγεῖν.

742

Plutarchus Moral. p. 788 b. 792 a. 1129 d.
Λάμπει γὰρ ἐν χρείαισιν ὥσπερ εὐπρεπὴς
χαλκός, χρόνῳ δ' ἀργῆσαν ἤμυσε στέγος.
V. l. εὐγενὴς p. 1129.

743

Plutarchus Moral. p. 802 b. Τὴν γὰρ Ἐργάνην
οὗτοι μόνον θεραπεύουσιν, ὥς φησι Σοφοκλῆς, οἱ
παρ' ἄκμονι τυπάδι βαρείᾳ καὶ πληγαῖς ὑπακούου-
σαν ὕλην ἄψυχον δημιουργοῦντες.

744

Plutarchus Moral. p. 854 f. Ἀλλὰ
Δεινὸν τὸ τᾶς Πειθοῦς πρόσωπον,
ὥς φησιν ὁ Σοφοκλῆς.

745

Plutarchus Moral. p. 959 e.
Τιθασὸν δὲ χῆνα καὶ περιστερὰν
ἐφέστιον οἰκέτιν τε.

746

Plutarchus Moral. p. 985 c. Ἀλλὰ ἡμῖν γε πά-
λαι τὸ τοῦ Σοφοκλέους δεδογμένον ἐστὶν
Εὖ γὰρ καὶ διχοστατῶν λόγος
σύγκολλα τἀμφοῖν ἐς μέσον τεκταίνεται.

747

Plutarchus Moral. p. 1093 d. Τὰ Σοφοκλέους πε-
ρίεισιν ᾄδων „Μουσομανεῖ δ' ἐλάφθην δ' ἂν καὶ
τῷ ποτὶ δειρὰν ἔρχομαι δ' ἔκ τε λύρας ἔκ τε νό-
μων." Brunckius M. δ' ἐθάλφθην δακέτῳ· ποτὶ
δειράδα ἔρχομαι ἐκ.

748

Plutarchus Moral. p. 1100 c. Ὑπὸ χαρᾶς ἤρθη
κατὰ τὸν Σοφοκλέα
Γραίας ἀκάνθης πάππος ὣς φυσώμενος.
Huc spectat Hesychii glossa Πάππος ἀκάνθης.

749

Scriptor vitae Homeri in Opuscul. Mythol. Thom. Gale p. 367. *Πάλιν δὲ τὸ Ὁμήρου* (Il. γ, 65.)

*Οὔ τοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα,*

*Σοφοκλῆς παρέφρασεν εἰπὼν*

*Θεοῦ τὸ δῶρον τοῦτο· χρὴ δ' ὅσ' ἂν θεοὶ*
*διδῶσι, φεύγειν μηδὲν, ὦ τέκνον, ποτέ.*

750

Schol. Homeri Iliad. ι, 453. *Σοφοκλῆς*

*Ὃς μὴ πέπονθε τἀμὰ μὴ βουλευέτω.*

751

Eustathius p. 1237. *Διαγνωμονοῦντος Ἀχιλλέως ὅτι τε εὐψύχως ἔτι διάκειται, καὶ διερῷ ποδὶ, καθ' Ὅμηρον, ἢ χλωρὸν γόνυ κατὰ Θεόκριτον ἔχων, βαίνει, καὶ οὔπω δέος εἰς ἀλίβαντα καταπεσεῖν αὐτὸν, ζῶντι ποδὶ χρώμενον, ὥς φησι Σοφοκλῆς.* Conf. fragm. 831.

752

Eustathius p. 1538. *Λέγει δέ που καὶ Σοφοκλῆς τὸ, Τηροῦντα τοὺς λέγοντας καὶ συνάγοντα τὰς ὀφρῦς καὶ τὰς ἀκάνθας ἐπεγείροντα· εἰπὼν τοῦτο ἐκεῖνος ὡς ἀπὸ ἰχθύων, οἳ τὰς ἀκάνθας ὀρθοῦσι καιρῷ θυμοῦ.* „Fefellit procul dubio memoria Eustathium: quae tanquam Sophoclis profert, tragicum minime redolent; Aristophanis potius esse crediderim.“ Brunck.

753

Cicero ad Atticum II. 16. Caeus quidem noster iam plane quid cogitet nescio:

*Φυσᾷ γὰρ οὐ σμικροῖσιν αὐλίσκοις ἔτι,*
*ἀλλ' ἀγρίαις φύσαισι φορβειᾶς ἄτερ.*

Longinus *περὶ ὕψους* c. III, 2. *Γελᾶται ἔτι μᾶλλον τὰ Κλειτάρχου. φλοιώδης γὰρ ὁ ἀνὴρ καὶ φυσῶν, κατὰ τὸν Σοφοκλέα, οὐ σμικροῖς μὲν αὐλίσκοις, φορβειᾶς δ' ἄτερ.*

754

Dionysius Halic. de Structura Orationis p. 66. edit. Upton.

*Μύω τε καὶ δέδορκα κἀξανίσταμαι,*
*πλεῖον φυλάσσων αὐτὸς ἢ φυλάσσομαι.*

755

Scholiasta Pindari Olymp. I, 97. *Ἔνιοι δὲ, ὅτι τρία λέγεται κοινῶς καὶ τὰ πρὸς τὸν θάνατον συνεργοῦντα, ξίφος, ἀγχόνη, κρημνός. Σοφοκλῆς*

*Λύσω γὰρ, εἰ καὶ τῶν τριῶν ἓν οἴσομαι.*

756

Scholiasta Pindari Pyth. II, 125. *Οἱ γὰρ Φοίνικες παλιγκάπηλοι. καὶ Σοφοκλῆς*

*Ὠνὴν ἔθου καὶ πρᾶσιν, ὡς Φοίνιξ ἀνὴρ*
*Σιδώνιος κάπηλος.*

757

Scholiasta Pindari Pyth. IV, 213.

*Χῶρος γὰρ οὗτός ἐστιν ἀνθρώπου φρενῶν,*
*ὅπου τὸ τερπνὸν καὶ τὸ πημαῖνον φύει·*
*δακρυρροεῖ γοῦν καὶ τὰ καὶ τὰ τυγχάνων.*

758

Scholiasta Pindari Pyth. IV, 221.

*Ὦ γῆ Φεραία, χαῖρε, σύγγονόν θ' ὕδωρ,*
*Ὑπέρεια κρήνη, νᾶμα θεοφιλέστατον.*

759

Scholiasta Pindari Nem. X, 59. *Καὶ γὰρ τὸ πρῶτον ἔσχατον ποτὲ δύναται γενέσθαι, καὶ τὸ ἔσχατον, πρῶτον. κέχρηται καὶ Σοφοκλῆς τῷ ἐσχάτῳ ἀντὶ τοῦ πρώτου*

*Ἤδη γὰρ ἕδρα Ζεὺς ἐν ἐσχάτῳ θεῶν.*

Brunckius *ἔχει γὰρ ἕδραν.*

760

Scholiasta Pindari Nem. XI, 7.

*Ὦ πρῷρα λοιβῆς Ἑστία.*

761

Scholiasta Aeschyli Persar. v. 181. *Ἐδοξάτην μοι δύο γυναῖκ' εὐείμονε· ἐντεῦθεν ἔλαβεν ὁ Σοφοκλῆς τὸ*

*Ἐδοξάτην μοι τὰ δύ' ἠπείρω μολεῖν.*

Quae corrupta apud Herodianum Pierson. p. 434.

762

Scholiasta Euripidis Orest. v. 480.

*Ὀργὴ γέροντος ὥστε μαλθακὴ κοπὶς*
*ἐν χειρὶ θήγει, σὺν τάχει δ' ἀμβλύνεται.*

763

Scholiasta Euripidis Orest. v. 592.

*Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι.*

„Proverbialis est senarius sine auctoris nomine saepe citatus. Vide Erasmi Adagia chil. I. cent. III. 1.“ Brunck.

764

Scholiasta Euripidis Med. v. 33. *Ἀτιμάσας ἔχει: Ἀττικῶς ἀντὶ τοῦ ἠτίμησε. καὶ Σοφοκλῆς*

*Παῖδας γὰρ οὓς ἔφυσ' ἀναλώσας ἔχει.*

*καὶ πάλιν*

*Εὐφημίαν μὲν πρῶτα κηρύξας ἔχω.*

„Horum senariorum prior de Thyeste dictus videtur.“ Brunck.

765

Scholiasta Aristophanis Nub. v. 1162. exscriptus ab Suida in *Λυσανίας, Λυσανίας πατρῴων μεγάλων κακῶν: λύων τὰς τοῦ πατρὸς ἀνίας — τὸν Σοφοκλέα μυκτηρίζει λέγοντα*

*Ζεὺς νόστον ἄγοι τὸν νικομάχαν*
*καὶ πανσανίαν κατ' Ἀτρειδᾶν.*

766

Schol. Aristoph. Avium v. 515. *Σοφοκλῆς*

*Ὁ σκηπτοβάμων αἰετὸς, κύων Διός.*

767

Schol. Aristoph. Avium v. 1240. *Διὸς μακέλλῃ: τοῦτό φησι παρὰ τὸ Σοφόκλειον*

*Χρυσῇ μακέλλῃ Ζηνὸς ἐξαναστραφῇ.*

768

Schol. Aristoph. Lysistratae v. 8. *Τοξοποιεῖν τὰς ὀφρῦς: ἀντὶ τοῦ ἐσκυθρωπακέναι. ἀπὸ τῶν παρακολουθοῦντος. τοιοῦτο γὰρ τὸ πρόσωπον τῶν ἐν μερίμνῃ ὄντων. Ὅμηρος* (Il. o, 102.)

*Οὐδὲ μέτωπον ἐπ' ὀφρύσι κυανέῃσιν ἰάνθη.*

*καὶ Σοφοκλῆς* (*κατὰ τὸ ἐναντίον* add. Suidas *τοξοποιεῖν*)

*Ὡς ἂν Διὸς μέτωπον ἐκταθῇ χαρᾷ.*

Codex *ἐκτανθῇ*. Suidas *ἰάνθη*, quod ex versu Homerico irrepsit. Veram scripturam habet schol. Homeri Il. o, 101. *Μέτωπον: Σοφοκλῆς* „*Ὡς ἂν Διὸς μ. ἐκταθῇ χ.*“

769

Philo Iudaeus tom. II. p. 448. Τὸν ἀψευδῶς ἐλεύθερον ἀναζητῶμεν, ᾧ μόνῳ τὸ αὐτοκρατὲς πρόσεστι — ἀναφθέγξεται γὰρ ἐκεῖνο τὸ Σοφόκλειον, οὐδὲν τῶν Πυθοχρήστων διαφέρον, Θεὸς ἐμοὶ ἄρχων, θνητῶν δὲ οὐδὲ εἷς.

770 771

Achilles Tatius Isagoges ad Arati Phaenom. cap. I. ...ίτιο:

Μισῶ μὲν ὅστις τάφανῆ περισκοπεῖ.

...t paullo post ubi de astronomiae inventoribus, Σοφοκλῆς δὲ εἰς Ἀτρέα τὴν εὕρεσιν ἀναφέρει λέγων Πῶς προσκυνεῖ δὲ τὸν στρέφοντα κύκλον ἡλίου."

772

Scriptor vitae Arati apud Petavium p. 151. (vol. I. p. 437. Buhl.)

Ἥλιος οἰκτείρειέ με,
ὃν οἱ σοφοὶ λέγουσι γεννητὴν θεῶν,
καὶ πατέρα πάντων.

773

Scholiasta Aristidis vol. III. p. 681, 33. Καὶ τὸ Φίλου κακῶς πράξαντος ἐκποδὼν φίλοι, ...οφοκλέους ὄν, παροιμιῶδες γέγονε. Ex Sophoclis ...edipo affertur ibidem p. 85, 23. sine poetae nomine ... schol. Sophoclis Electr. v. 188. ubi ἀνδρὸς pro ...ίλου, ut apud Diogenian. I, 79. Spectat ad h. v. ...ristides vol. I. p. 112, 5. 268, 11. Iebb.

774

Stephanus, Αἶα: πόλις Κόλχων — ἔστι δὲ καὶ ...ετταλίας ἄλλη, ὧν μέμνηται Σοφοκλῆς· τῆς μὲν ...ροτέρας λέγων „Εἰς Αἶαν πλέων", τῆς δὲ δευτέ...ς οὕτως

Ἔστιν τις Αἶα Θεσσαλῶν παγκληρία.

775

Stephanus, Ἀνακτόριον: Ἀκαρνανίας πόλις — ...ἐθνικὸν Ἀνακτόριος, καὶ θηλυκὸν Ἀνακτορία, ἢ ...ι· καὶ Ἀνακτοριεύς. Σοφοκλῆς δέ φησι διὰ δι...φθόγγου

Ἀνακτόρειον τῆσδ' ἐπώνυμον χθονός.

776

Stephanus, Ἀρτάκη: πόλις Φρυγίας — τὸ ἐθνικὸν, ...ρτακηνός· Σοφοκλῆς δὲ Ἀρτακεὺς εἶπε

Τί μέλλετ' Ἀρτακῆς τε καὶ Περκώσιοι;

777

Scholiasta Hesiodi Theogon. v. 30. Καί μοι σκῆπτρον ἔδον, δάφνης ἐριθηλέος ὄζον: παρόσον ἡ ...φνη ἐνεργεῖ πρὸς τοὺς ἐνθουσιασμούς. Σοφοκλῆς

Δάφνην φαγὼν ὀδόντι πρῖε τὸ στόμα.

778

Dicaearchus de statu Graeciae p. 16. edit. Hudson.: ...δὲ γυναῖκες τῶν Θηβαίων τοῖς μεγέθεσι, πο...ίαις, ῥυθμοῖς εὐσχημονέσταταί τε καὶ εὐπρεπέσταται τῶν ἐν τῇ Ἑλλάδι γυναικῶν. μαρτυρεῖ Σο...φοκλῆς

Θήβας λέγεις μοι τὰς πύλας ἑπταστόμους,
οὗ δὴ μόνον τίκτουσιν αἱ θνηταὶ θεούς.

779

Ioannes Damasc. in Gaisfordi append. ad Stobaeum I. IV. p. 34. Σοφοκλέους

Ἐπεὶ πέπρακται πᾶν τὸ τοῦ θεοῦ καλῶς,
χωρῶμεν ἤδη, παῖδες, εἰς τὰ τῶν σοφῶν
διδασκαλεῖα, μουσικῆς παιδεύματα.
προσλαμβάνειν δὲ δεῖ καθ' ἡμέραν ἀεὶ,
ἕως ἂν ἐξῇ μανθάνειν βελτίονα.
παῖς δ' ὢν κακὸν μὲν δρᾶν τι προῖκ' ἐπίσταται,
αὐτὸς παρ' αὐτῶν μανθάνων ἄνευ πόνου·
τὰ χρηστὰ δ', οὐδ' ἢν τὸν διδάσκαλον λάβῃ,
ἐμνημόνευσεν, ἀλλὰ κέκτηται μόλις.
ταῦτ' οὖν φυλαξώμεσθα, καὶ μοχθητέον,
ὦ παῖδες, ὡς ἂν μήτ' ἀπαιδεύτων βροτῶν
δοκῶμεν εἶναι κἀποδημοῦντος πατρός.

780

Ioannes Damasc. I. l. p. 31. Σοφοκλέους

Ἀμνήμονος γὰρ ἀνδρὸς ἀπόλλυται χάρις.

Aut ὄλλυται scribendum aut Brunckii probanda opinio, qui non hunc, sed praecedentem versum, in codice Anaxandridi tributum, tragici esse putat, Οὐχὶ παρὰ πολλοῖς ἡ χάρις τίκτει χάριν.

781

Strabo IX. p. 399. Τὸ Ἀμφιάρειον — ὅπου φυγόντα τὸν Ἀμφιάρεων, ὥς φησι Σοφοκλῆς

Ἐδέξατο ῥαγεῖσα Θηβαία κόνις
αὐτοῖσιν ὅπλοις καὶ τετρωρίστῳ δίφρῳ.

782

Strabo XV. p. 687. Παρὰ Σοφοκλεῖ δέ τίς ἐστι τὴν Νῦσαν καθυμνῶν ὡς τὸ Διονύσῳ καθιερωμένον ὄρος

Ὅθεν κατεῖδον τὴν βεβακχιωμένην
βροτοῖσι κλεινὴν Νῦσαν, ἣν ὁ βούκερως
Ἴακχος αὐτῷ μαῖαν ἡδίστην νέμει,
ὅπου τις ὄρνις οὐχὶ κλαγγάνει
καὶ τὰ ἑξῆς.

783

Plutarchus Moral. p. 75 b. Εἰ μηδεμίαν αἱ προκοπαὶ ποιοῦσι τῆς ἀφροσύνης ἄνεσιν, ἀλλ' ἴσῳ σταθμῷ πᾶσιν ἡ κακία περιθεμένη

Μολιβδὶς ὥστε δίκτυον κατέσπασεν.

Etymolog. M. p. 590, 8. Μόλιβος καὶ μόλυβδος. εἰ μὲν ι ἔστιν, τὸ δ οὐκ ἔστιν, οἷον „Καὶ μόλιβος ὥστε δίκτυον κατῆγε" Σοφοκλῆς. Conf. Pierson. ad Moer. p. 257.

784

Schol. Theocriti XV, 48. Σοφοκλῆς

Τὸ πάνσοφον κρότημα Λαέρτου γόνος.

785

Priscianus vol. II. p. 415. Krehl. *Sophocles*, *teste Seleuco*, *profert quaedam contra legem metrorum*, *sicut in hoc*

Ἀλφεσίβοιαν, ἣν ὁ γεννήσας πατήρ.

786

Schol. Homeri Odyss. τ, 471. Χάρμα καὶ ἄλγος: Σοφοκλῆς „Χάρμ' ὑφέρπει δάκρυον ἐκκαλουμένη." Eustathius φησὶ Σοφοκλῆς ὡς χάρμα — ἐκκαλούμενον. Poeta scripserat

Χαρά μ' ὑφέρπει δάκρυον ἐκκαλουμένη,

quemadmodum alicubi scriptum legere memini.

787

Herodianus περὶ μονήρους λέξεως p. 34, 3. Παρὰ Σοφοκλεῖ „Ὁ (οὐ Blochius) σκέπαρνος οὐδὲ πριό-

νος πληγαί“ ὅτι γὰρ καὶ ὁ τραγικὸς λέγει σκέπαρνος ἐπ' εὐθείας ἀρσενικῆς ἐν ἑτέροις ἐδήλωσα.

788

Herodianus περὶ μονήρους λέξεως p. 42, 23. Μάτη, ἔνθεν καὶ γενικὴ παρὰ Σοφοκλεῖ „Οὔ τί τοι μέτρον μάτας“.

789

Grammaticus Bekkeri p. 128, 27. Ἄν — τρὶς ἐν μιᾷ συντάξει — παρὰ Σοφοκλεῖ

Πῶς ἂν οὐκ ἂν ἐν δίκῃ
θάνοιμ' ἄν;

790

Hesychius, Ἀδόξαστον: ἀσάλπιστον. Σοφοκλῆς εὑρησά. Ita codex. Incaute Musurus Εὐρυσάκει.

791

Plutarchus Vit. p. 77 a. ubi de φαινομηρίσι Lacaenis agit, Τῷ γὰρ ὄντι τοῦ παρθενικοῦ χιτῶνος αἱ πτέρυγες οὐκ ἦσαν ἀνερραμμέναι κάτωθεν, ἀλλ' ἀνεπτύσσοντο καὶ συνανεγύμνουν ὅλον ἐν τῷ βαδίζειν τὸν μηρόν. καὶ σαφέστατα τὸ γιγνόμενον εἴρηκε Σοφοκλῆς ἐν τούτοις

Καὶ τὰν νέορτον, ἃς ἔτ' ἄστολος χιτὼν
θυραῖον ἀμφὶ μηρὸν
πτύσσεται, Ἑρμιόναν.

Ad Hermionam retulit Valckenar. Diatr. p. 221., ad Ἑλένης ἀπαίτησιν Brunckius.

792

Grammaticus Darmstadiensis in Actis Monac. II. p. 515. Ἔστι δὲ τὸ φενακίζειν εἰπεῖν καὶ περὶ τοὺς φήληκας· Σοφοκλῆς ἐν ἰάμβῃ· καὶ φήληκας δὲ φαμὲν τοὺς πλανῶντας τὴν ὄψιν ὡς πεπείρους. Hermannus Opusc. vol. III. p. 41. suspicatur ἐν Νιόβῃ.

793

Scholiasta Soph. Oedip. Col. 793. Δοκεῖ γὰρ ὁ Ἀπόλλων παρὰ Διὸς λαμβάνειν τοὺς χρησμοὺς, ὡς καὶ ἐν Ἰφικλείᾳ (Ἰφιγενείᾳ?) φησί.

794

Pollux X, 39. Καὶ τύλη δὲ παρ' Εὐπόλιδί ἐστιν ἰάζοντι ἐν τοῖς Κόλαξι, καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ ἰοκλεῖ (?) λέγοντι

Ἀλλὰ καὶ λινορραφῆ
τυλεῖα.

795

Etymolog. M. p. 207, 17. Βουθοίη: πόλις τῆς Ἰλλυρίδος. Σοφοκλῆς Ὀνομακλεῖ (?)

Βουθοίη Δρίλωνος ἐπὶ προχοῇσιν ἐνάσθη.

796

Pollux VI, 39. Ἄβρωτος: ὁ νῆστις, παρὰ Σοφοκλεῖ.

797

Bekkeri Anecd. p. 336, 6. Ἀγάζεις: ἀντὶ τοῦ θρασύνεις. Σοφοκλῆς.

798

Bekkeri Anecd. p. 336, 7. Ἀγάμετος: ἀντὶ τοῦ ἄγαμος. Σοφοκλῆς.

799

Suidas et Bekkeri Anecd. p. 325, 22. Ἀγάσματα: σεβάσματα, ἃ ἄν τις ἀγάσαιτο. Σοφοκλῆς κέχρηται.

800

Bekkeri Anecd. p. 340, 22, Ἄγχαζε: ἀντὶ τοῦ ἀναχώρει. οὕτως Σοφοκλῆς.

801

Photius p. 6, 8. et Bekkeri Anecd. p. 340, 3[illegible] Ἀγωγεύς: ὁ ἱμὰς τῶν κυνηγετικῶν κυνῶν. οὕτως Σοφοκλῆς.

802

Pollux III, 141. Ἀγωνοθέτιν μοχθηρῶς ἐκάλεσε Σοφοκλῆς τὴν ἀγωνοθεσίαν. Corrige ἀγωνο[illegible]κην ex codice.

803

Bekkeri Anecd. p. 343, 11. Ἀδικόχειρες: [illegible] Σοφοκλῆς.

804

Hesychius, Ἀδρέπανον: ἄδρεπτον, [illegible] ἀνακείμενον. Σοφοκλῆς.

805

Bekkeri Anecd. p. 345, 13. Ἀδρῦναι: [illegible] καὶ μέγα ποιῆσαι. Σοφοκλῆς.

806

Bekkeri Anecd. p. 347, 25. Ἀείζων — Σοφοκλῆς δὲ τὴν εὐθεῖαν εἶπεν „Ἀείζως γενεά.“

807

Bekkeri Anecd. p. 347, 30. Ἀείζων κίνδ[illegible] ἐρεῖς, ὡς Σοφοκλῆς ἀείζων ἕλκος.

808

Bekkeri Anecd. p. 348, 17. Ἄζειν: τὸ στέναζ[illegible] Σοφοκλῆς.

809

Bekkeri Anecd. p. 348, 26. Ἀζησία: οὕτως [illegible] Δημήτηρ παρὰ Σοφοκλεῖ καλεῖται· οἱ δὲ, τὴν [illegible]γραφῆ.

810

Bekkeri Anecd. p. 353, 4. Ἀθαυμάστως: Σοφοκλῆς εἶπεν.

811

Bekkeri Anecd. p. 353, 5. Ἀθέμιστα καὶ ἀνόσια δρᾶν Δείναρχος εἶπε καὶ Σοφοκλῆς.

812

Bekkeri Anecd. p. 352, 16. Ἄθρακτος: ἀτάρ[illegible]χος. καὶ τὸ συνεχύθη ἐθράχθη Σοφοκλῆς λέγει.

813

Bekkeri Anecd. p. 362, 21. Αἱματορρόφοι[illegible] Σοφοκλῆς

Τίσις δ' ἄνωθεν εἰσὶν αἱματορρόφος;

814

Bekkeri Anecd. p. 360, 18. Αἱματῶσαι: ἀντὶ τοῦ φονεῦσαι. Σοφοκλῆς.

815

Bekkeri Anecd. p. 361, 2. Αἰολίζειν: τὸ ποικίλλειν. οὕτως Σοφοκλῆς.

816

Bekkeri Anecd. p. 367, 15. Ἀκληρία: ἀντὶ τοῦ ἀτυχία. οὕτως Σοφοκλῆς.

817

Bekkeri Anecd. p. 367, 20. Ἀκόλαστον [illegible]μα Σοφοκλῆς.

818

Bekkeri Anecd. p. 367, 32. Ἀκολουθία: [illegible] ἀκολούθησις. Σοφοκλῆς.

819

Bekkeri Anecd. p. 372, 13. Ἄκουε σῖγα: — καὶ Σοφοκλῆς

Ἄκουε σῖγα· τίς ποτ' ἐν δόμοις βοή;

820

Bekkeri Anecd. p. 369, 13. Ἀκουσείων: ἀντὶ τοῦ ἀκουσόμενος.

821

Bekkeri Anecd. p. 372, 14. Ἀκουσέτην Σοφοκλῆς ἔφη, ἀκούσεσθαι δὲ Ἀριστοφάνης.

822

Bekkeri Anecd. p. 373, 13. Ἀκουσία: τὸ πρᾶγμα. Σοφοκλῆς

Ἐξαίρετον τίθημι τὴν ἀκουσίαν.

823

Bekkeri Anecd. p. 373, 1. Ἀκουσίμη: ἀντὶ τοῦ ἀκουστή. Σοφοκλῆς

Σπονδὴ γὰρ ἡ κατ' οἶκον ἐγκεχρυμμένη,
οὐ πρὸς θυραίων οὐδαμῶς ἀκουσίμη.

δύναται καὶ φωνὴ ἀκουσίμη λέγεσθαι.

824

Bekkeri Anecd. p. 373, 15. Ἀκροφύσιον: τὸ τῇ χώνῃ προστιθέμενον. Σοφοκλῆς.

825

Bekkeri Anecd. p. 383, 4. Ἀλεύσω: ἀντὶ τοῦ φυλάξω. Σοφοκλῆς.

826

Bekkeri Anecd. p. 383, 11. Ἀλίνουσι: ἀντὶ τοῦ λεπτύνουσι. Σοφοκλῆς.

827

Bekkeri Anecd. p. 383, 31. Ἀλκάθω καὶ ἀλκάθειν: Σοφοκλῆς καὶ Αἰσχύλος. σημαίνει δὲ τὸ βοηθεῖν.

828

Bekkeri Anecd. p. 376, 32. Ἀλλά: ἀντὶ τοῦ ἀλλ' ἄν (?) Σοφοκλῆς.

829

Suidas et Bekkeri Anecd. p. 376, 31. Ἀλλάχθητε: ἀντὶ τοῦ διαλλάχθητε. Σοφοκλῆς.

830

Etymol. M. p. 69, 41. Ἀλοιμός: τὰς χρίσεις καὶ τὰς ἐπαλείψεις ἀλοιμοὺς ἔλεγον. Σοφοκλῆς „Ἱαριεὺς ἀλοιμός." ἡ ἐπάνω τῆς τοῦ θαλάμου κονιώσεως ἐνιεῖσα ἐπάλειψις, καθαπερανεὶ πετάλωσις οὖσα ἐν αὐτῷ.

831

Hesychius, Ἀλύβας (Ἀλίβας): ὄρος παρὰ Σοφοκλεῖ. ἢ πόλις. οἱ δὲ, λίμνη ἐν Ἰταλίᾳ, καὶ ἐν Σικελίᾳ. „Videtur hoc nomine appellasse Sophocles inferorum paludem aut fluvium. Vide fragm. 751." Brunck.

832

Phrynichus Bekkeri p. 14, 20. Ἄμισθος: χωρὶς μισθοῦ. Σοφοκλῆς „Ἄμισθος ὁ ξένος πορεύεται." Conf. Hesych. in ἄμισθος.

833

Suidas et grammaticus Coislin. p. 231. Ἀμύνασθαι: — Σοφοκλῆς δὲ ἀντὶ τοῦ ἀπαλεξῆσαι.

834

Suidas, Ἀμυχνόν: τὸ μὴ μυσαρὸν, ἀλλ' ἁγνὸν καὶ καθαρόν. οὕτω Σοφοκλῆς. γράφεται δὲ καὶ ἀμυχρόν.

835

Eustathius p. 1405. Ἀμφώβολα: παρὰ Σοφοκλεῖ αἱ διὰ σπλάγχνων μαντεῖαι.

836

Hesychius, Ἀναστρέφων: ἀρνούμενος. Σοφοκλῆς.

837

Hesychius, Ἀναψύχουσα: ξηραίνουσα. Σοφοκλῆς.

838

Pollux III, 107. Τὸν δὲ ἄνοσον καὶ ἀνόσητον Σοφοκλῆς.

839

Suidas et Bekkeri Anecd. p. 407, 12. Ἀντάρης νυκτερὶς ὄψεσί φησι Σοφοκλῆς.

840

Bekkeri Anecd. p. 414, 2. Ἄορνος λίμνη — εἶναι δὲ καὶ νεκυομαντεῖον ἐν τῇ Τυρσηνίᾳ λίμνῃ Σοφοκλῆς ἱστορεῖ.

841

Hesychius (coll. Bekkeri Anecd. p. 419, 13.) Ἀπαιόλημα: ἀποκάθαρμα, ἢ ἀποπάτημα, ἢ ἀποπλάνημα. Σοφοκλῆς.

842

Hesychius, Ἀπάνθρωπος: σκληρὸς, ἀνόητος, ἄφρων, ἀνελεήμων. Σοφοκλῆς.

843

Etymolog. M. p. 123, 13. Ἀπληγίς: τὸ ἁπλοῦν ἱμάτιον, ὅπερ Ὅμηρος ἁπλοΐδα καλεῖ. Σοφοκλῆς

Τρύχει καλυφθεὶς Θεσσαλικῆς ἀπληγίδος.

Quidni Θεσσαλῆς?

844

Pollux VII, 43. Ἀπολωπίσαι. Σοφοκλῆς.

845

Bekkeri Anecd. p. 432, 6. Ἀπόμορφα: ξένα, οὐκ ἐοικότα τοῖς ἤθεσιν. οὕτως Σοφοκλῆς.

846

Bekkeri Anecd. p. 439, 10. Ἀποφανῶσαι: εἰς τὸ φανερὸν καταστῆσαι. οὕτως Σοφοκλῆς.

847

Hesychius, Ἀρραγὲς ὄμμα: οὐ δακρῦον. ᾧ τρόπῳ φαμὲν, κατερράγη μου δάκρυον. Σοφοκλῆς ** σατυρικῷ.

848

Bekkeri Anecd. p. 447, 5. Ἄρταμος: κρεουργὸς, μάγειρος. τάττει αὐτὸ Σοφοκλῆς ἐπὶ τοῦ φονέως.

849

Pollux VII, 36. Σπάθη: ὅθεν καὶ τὸ σπαθᾶν καὶ τὸ Ἀσπάθητος χλαῖνα παρὰ Σοφοκλεῖ. Ad hunc locum spectat Hesychii glossa Ἀσπάθητον χλαῖναν.

850

Bekkeri Anecd. p. 459, 31. Ἀτιμαγέλης: ὁ ἀποστάτης τῆς ἀγέλης ταῦρος. οὕτως Σοφοκλῆς.

851

Hesychius, Αὐλῶπιν: αὐλοὺς ἔχουσαν. Σοφοκλῆς δὲ τὴν λόγχην τὴν μακρὰν αὐλῶπιν εἶπεν.

852

Phrynichus Bekkeri Anecd. p. 28, 28. *Ἀχανές:* τὸ μὴ ἔχον στέγην, ἢ ὄροφον. ἐπὶ τοῦ λαβυρίνθου Σοφοκλῆς.

853

Pollux VII, 70. *Ἡ δὲ βαίτη ἐστὶ μὲν προμήκης χιτών. οὕτω δὲ Σοφοκλῆς καὶ τὰς σκηνὰς τὰς βαρβαρικὰς καλεῖ.*

854

Athenaeus XV. p. 690. *Παρὰ πολλοῖς δὲ τῶν κωμῳδιοποιῶν ὀνομάζεταί τι μύρον βάκκαρις — μνημονεύει τῆς βακκάριδος καὶ Σοφοκλῆς.*

855

Hesychius, *Βάσκανος: φθονερὸς, ἀχάριστος, συκοφάντης. Σοφοκλῆς δὲ ἰδίως τὸ βάσκανον ἐπὶ τοῦ ἀχάριστος, καὶ ὁ συκοφάντης παρὰ τοῖς ῥήτορσιν.*

856

Etymol. MS. Leydense, *Βλίζειν: καὶ Ἀττικῶς βλίττειν, τὸ ἀφαιρεῖν τὸ μέλι ἀπὸ τῶν κηρίων, τουτέστιν ἐκπιέζειν καὶ θλίβειν. Σοφοκλῆς*
*Ἡ σφηκιὰν βλίττουσιν εὑρόντες τινά.*

857

Athenaeus p. 409 c. *Βοΐκλεψ* (epitome *βοόκλεψ*) *παρὰ Σοφοκλεῖ ὁ Ἑρμῆς.*

858

Zenobius Proverb. II, 65. *Βοιώτιος νόμος: ἐπὶ τῶν τὰς μὲν ἀρχὰς ἠρεμούντων, ὕστερον δὲ τοῖς κακοῖς ἐπιτεινόντων, ὥς φησι Σοφοκλῆς*
*Ὅταν τις ᾄδῃ τὸν Βοιώτιον νόμον.*

859

Eustathius p. 1625. *Ἀριστοφάνης ὁ γραμματικὸς ἐν τῷ περὶ ὀνομασίας ἡλικιῶν λέγει ὅτι κατὰ τὴν δάμαλιν Σοφοκλῆς ἔφη, Γηγενῆ βούβαλιν.*

860

Etymol. M. p. 213, 26. *Βρίακχος: θηλυκῶς ἡ βάκχη ἢ βριαρῶς ἰακχάζουσα. Σοφοκλῆς „Ἔχω δὲ χερσὶν ἀγρίαν βρίακχον.“*

861

Hesychius, *Βωλόναι: οἱ μὲν κολώνας, οἱ δὲ τὸ Κίλλαιον ἀκούουσι, διὰ τὸ ἀνακεχῶσθαι, παρὰ Σοφοκλεῖ.*

862

Eustathius p. 1923. *Γέρων, παλαιός. λέγει δὲ, φασὶ, καὶ Σοφοκλῆς πληθυντικῶς „Σὺ γὰρ γέροντα βουλεύεις.“ ἤγουν παλαιὰ, ἀρχαῖα.*

863

Hesychius, *Γλοιάς: ἡ κακοήθης ἵππος καὶ πολυδὶξ, παρὰ Σοφοκλεῖ. καὶ γλοίης τὸ αὐτό.*

864

Hesychius, *Γνώμων: συνετός. Σοφοκλῆς.*

865

Trypho *περὶ τρόπων* p. 50. *Ὀνοματοποιία κατ' ἐναλλαγήν. ὡς τὸ παρὰ Σοφοκλεῖ*
*Οἱ γὰρ γύνανδροι καὶ λέγειν ἠσκηκότες.*
*ἀντὶ τοῦ ἀνδρόγυνοι.*

866

Etymol. M. p. 254, 53. *Δελήτιον: τὸ δέλεαρ. Σοφοκλῆς „Ἔχε τὸ δελήτιον.“ ἢ Σώφρων.*

867

Schol. Apollonii Rh. III, 281. *Δενδίλλειν: — Σοφοκλῆς ἐπὶ τοῦ περιβλέπειν τέθεικε.*

868

Pollux III, 73. *Δεσπότειρα — Σοφοκλῆς.*

869

Etymol. M. p. 265, 23. *Δημόκοινος: δημόσιος βασανιστής· ἢ ὁ δήμιος, ἤγουν ὁ ἐκ τοῦ δήμου τὸ φονεύειν κληρωθείς. Σοφοκλῆς*
*Οἷος γὰρ ἡμῶν δημόκοινος οἴχεται.*

870

Pollux IX, 158. *Διωκτὸς παρὰ Σοφοκλεῖ, ὁ φυγὰς, τραγικῶς.*

871

Hesychius, *Ἐγκότημα: ὀργὴ, μανία. εἰ μὴ ἄρα ἰσοδυναμεῖ τῷ κότῳ. καὶ ἐνεκότουν παρὰ Σοφοκλεῖ.*

872 873

Etymol. M. p. 313, 1. *Ἔγχος: τὸ δόρυ. ἰστέον ὅτι ἔγχος καὶ ξίφος καὶ δόρυ τὸ αὐτὸ οἶδεν Ὅμηρος. ὁ δὲ Σοφοκλῆς τὴν σφαῖραν ἔγχος κέκληκεν. οἷον „Τὸ δ' ἔγχος ἐν ποσὶν κυλίνδεται.“ καὶ τὸ πῦρ, οἷον „Ἔγχος ἱέμενον.“ τὸ τὴν ὁρμὴν ἔχον.*

874

Etymol. M. p. 333, 40. *Ἔλυτρον: κάλυμμα, ἐκπέτασμα, ἐνείλημα. ὁμοίως καὶ ἡ θήκη τοῦ τόξου. καὶ πληθυντικῶς Σοφοκλῆς ἔλυτρα.*

875

Etymol. M. p. 344, 40. *Ἐνολμίς: ἦν τι γένος μάντεων οὕτω καλούμενον, διὰ τὸ τοὺς ἐν ὅλμῳ κοιμηθέντας μαντικοὺς γίνεσθαι. ὅλμοι δὲ λέγονται οἱ τρίποδες τοῦ Ἀπόλλωνος. — Σοφοκλῆς, ἐνόλμιος, ἀντὶ τοῦ μαντικός.* Zenobius Proverb. III, 63. *Ἀπόλλων ὑπὸ Σοφοκλέους ἔνολμος.*

876

Etymol. M. p. 346, 15. *Ἀττικῶς μὲν ἕξπουν καὶ ἔξκλινον λέγεται, ὥσπερ καὶ παρὰ Σοφοκλεῖ ἐξπηχυστί.*

877

Eustathius p. 1562. *Ἔπηλις: ἡ ἐπὶ τοῦ προσώπου μελανία, καὶ τὸ πῶμα τῆς λάρνακος, ὥς φασιν οἱ παλαιοὶ κατὰ τὸν Σοφοκλῆν. ἡ δ' αὐτὴ καὶ ἐπήλις κοινῶς, ὡς ἀπὸ τοῦ ἥλου.*

878

Pollux III, 145. *Τὸ βραβεύειν, ἐπιστατεῖν Σοφοκλῆς.*

879

Plutarchus Moral. p. 144 b. (et 756 e.) *Εὔκαρπον Κυθέρειαν καλῶς ὁ Σοφοκλῆς τὴν Ἀφροδίτην προσηγόρευσε.*

880

Grammaticus Bekkeri p. 1376. *Εὐνούχους δὲ Σοφοκλῆς καὶ τοὺς ὀφθαλμοὺς τοὺς εὔνεις καὶ μὴ μετασχόντας ὕπνου, τουτέστι τηροῦντας „Οὐχ ὅτε λαμπάδες εὐνούχοις ὄμμασιν.“*

881

Photius p. 37, 9. *Εὐορνιθίαν: Σοφοκλῆς ἐπὶ οἰωνῶν.* Eustathius p. 1439. *Εὐορνιθία κατὰ τοὺς παλαιοὺς παρὰ Σοφοκλεῖ τὸ ἀγαθὸν οἰώνισμα.*

882

Etymol. M. p. 462, 25. *Εὐτιχία: εὕρημα καὶ εὐτύχεια παρὰ Σοφοκλεῖ.*

883

Pollux VII, 185. *Σοφοκλῆς ἔφη „Ποππύζεται ζευγηλατρίς.“*

884

Photius p. 53, 25. et sine poetae nomine Antiatticista p. 98, 7. *Ζημίαν λαβεῖν: ἀντὶ τοῦ ζημιωθῆναι. οὕτως Σοφοκλῆς.*

885

Pollux VI, 161. *Ἡμίκακον Εὐκλείδης λέγει καὶ Σοφοκλῆς. Ἀριστοφάνης δὲ καὶ ἡμικάκως* (Thesmoph. 449.).

886

Hesychius, *Ἡρακλεία λίθος — κέκληται δὲ οὕτως ἀπὸ Ἡρακλείας τῆς ἐν Λυδίᾳ πόλεως. διὸ καὶ Σοφοκλῆς Λυδίαν λίθον αὐτὴν καλεῖ.*

887

Etymol. M. p. 450, 48. *Θήλεια: ἐκ τοῦ θῆλυς. ἢ παρὰ τὸ θάλλειν καὶ γεννᾶν. ὅθεν καὶ ἡ ὑπόμβρος νὺξ παρὰ Σοφοκλεῖ θήλεια καλεῖται.*

888

Choeroboscus apud Bekkerum p. 1381. *Τὸ θήλυδος παρὰ τῷ Σοφοκλεῖ κλιθὲν διὰ τοῦ δος ἡμάρτηται.*

889

Etymol. M. p. 42, 40. *Ἴδρις — ἄϊδρις. ἡ γενικὴ ἄϊδρεως, ὡς ὄφις ὄφεως· καὶ ἀΐδρεϊ καὶ ἀΐδρει. οὐ γὰρ δεῖ διὰ τοῦ δ. — ὥστε ἁμάρτημα τὸ παρὰ Σοφοκλεῖ ἴδριδα.* Confer Eustathium p. 407, 88.

890

Choeroboscus apud Bekkerum ad Etymolog. p. 902. *Ἴκτινος ἡ εὐθεῖα, ὡς παρὰ Σοφοκλεῖ*

*Ἴκτινος ὡς ἔκλαγξε παρασύρας κρέας.*

Codex *παρὰ συρὰν.* Zonaras p. 1100. *ἴκτινος ἔκραξε παρασύρας κρέας.*

891

Pollux VII, 185. *Ἱπποβουκόλοι, Σοφοκλῆς.*

892

Athenaeus II. p. 52 b. *Κάρυα — τὸ δὲ δένδρον καρύα παρὰ Σοφοκλεῖ „Καρύαι μελίαι τε.“*

893

Suidas, *Καταινέσαντος: συγκαταθεμένου. Σοφοκλῆς. καταίνεσον* est in Oedip. Col. v. 1633.

894

Photius p. 148, 7. *Κατεύχεσθαι τῶν Ἀχαιῶν: ἀντὶ τοῦ κατὰ τῶν Ἀχαιῶν εὔχεσθαι. οὕτως Σοφοκλῆς.*

895

Photius p. 151, 14. *Καυρός: κακός. οὕτως Σοφοκλῆς.*

896

Etymol. M. p. 500, 54. *Κέκονα: παρὰ Σοφοκλεῖ. ἀπὸ τοῦ κτείνω, ἔκτονα, κέκονα.*

897

Etymol. M. p. 511, 52. *Κηρύκειον: ἔστι προσηγορικὸν, καὶ σημαίνει πᾶσαν ῥάβδον κήρυκος. ἔστι καὶ κτητικὸν, σημαῖνον τὸ τοῦ κήρυκος, ὡς παρὰ Σοφοκλεῖ, Γράμμα κηρύκειον.*

898

Etymol. M. p. 513, 43. *Κιμμερίους φησὶν Ἡρακλείδης ὁ Ποντικὸς ὑποκάτω τοῦ Πόντου εἶναι. γράφεται καὶ Κερβερίων. καὶ ἔοικε καὶ Σοφοκλῆς περιπεπτωκέναι τῇ τοιαύτῃ γραφῇ· ὁμοίως καὶ Ἀριστοφάνης ἐν Βατράχοις* (v. 187.).

899

Etymol. M. p. 514, 27. *Κινάκη: ὁ ἀκινάκης παρὰ Σοφοκλεῖ.*

900

Eustathius p. 1479, 44. *Κοκκοβόας ὄρνις, ὁ ἀλεκτρυὼν, παρὰ Σοφοκλεῖ.*

901

Schol. Aristoph. Acharn. v. 75. *Κραναὰ πόλις: τοῦτο τέτριπται ὑπὸ τῶν παλαιῶν. καὶ Αἰσχύλος γὰρ καὶ Σοφοκλῆς ἐχρήσαντο τῇ λέξει.*

902

Eustathius p. 1493, 32. *Λαίθαργος: δηλοῖ μὲν κύνα. τροπικῶς δὲ σημαίνει καὶ ἐπίβουλον ἄνθρωπον κρύφα βλάπτοντα. καὶ ἔστιν ἐκεῖνος ὡσπερεί φασι λαθροδήκτης, ἀπὸ κυνῶν. Σοφοκλῆς*

*Σαίνουσα δάκνεις καὶ κύων λαίθαργος εἶ.*

Apud schol. Aristoph. Equit. v. 1065. et Suidam in *λαίθαργος* legitur *σαίνεις δάκνουσα.*

903

Eustathius p. 1761, 27. *Λαπίζειν: παρὰ Σοφοκλεῖ, τὸ συρίζειν. καὶ βαυβᾶν, τὸ κοιμᾶσθαι, οἷον*

*Ἡ δὲ προὐκαλεῖτό με*
*βαυβᾶν μετ' αὐτῆς.*

904

Photius p. 216, 16. *Λευγαλέα, διάβροχος. οὕτω Σοφοκλῆς.* Etymol. M. p. 516, 28. *Λευγαλέον: τὸ ὑγρόν. Σοφοκλῆς „Μύρῳ λευγαλέῳ.“*

905

Photius p. 219, 25. et Suidas, *Ληκυθιστής: ὁ μικρόφωνος. οὕτως Σοφοκλῆς.*

906

Phrynichus p. 187. ed. Lobeck. *Λίβανον λέγε τὸ δένδρον· τὸ δὲ θυμιώμενον, λιβανωτόν· εἰ καὶ διὰ τὴν ποιητικὴν λίβανον καὶ τοῦτο Σοφοκλῆς λέγει.*

907

Photius p. 227, 18. *Σοφοκλῆς δὲ λιτροσκόπον φησὶ τὸν ἀργυραμοιβὸν, ἀπὸ τοῦ νομίσματος.*

908

Photius p. 247, 17. *Μαρείνη (μαρίλη): ἡ μεμαρασμένη ὕλη, καὶ τοὺς ἀνθρακευτάς. Σοφοκλῆς.*

909

Photius p. 255, 24. *Μελίνη: — ὄσπριόν ἐστιν, ὅπερ καὶ ἀρσενικῶς λέγεται. Σοφοκλῆς — θηλυκῶς μελίνη.*

910

Pollux III, 45. *Μελλόποσιν τὸν ἄνδρα ὠνόμασε Σοφοκλῆς.*

911

Eustathius p. 877, 51. *Μῆλα. Σοφοκλῆς, φησὶν ὁ γραμματικὸς Ἀριστοφάνης, δόξειεν ἄν που καὶ τὰ θηρία πάντα μῆλα καλεῖν.* Idem p. 1648, 60. *Σοφοκλῆς γοῦν, φασὶ, τὸν Ἀχιλλέα τραφῆναι εἰπὼν ἐν τῷ Πηλίῳ πᾶν μῆλον θηρῶντα, δόξοι ἂν τὰ θηρία πάντα μῆλα καλεῖν.*

912

Pollux III, 10. *Μήτηρ, ἡ τεκοῦσα — ἡ μαστὸν ἐπισχοῦσα, ὡς Σοφοκλῆς.*

913

Photius p. 269, 9. *Μιαίνεσθαι* καὶ *ἐκμιαίνεσθαι*, τὸ ὀνειρώττειν. Σοφοκλῆς.

914

Etymol. M. p. 595, 1. *Μύνδος*: μύνδος ἰχθὺς, Σοφοκλῆς· ὁ μὴ αὐδῶν. ὅθεν καὶ ἔλλοψ, ἀπὸ τοῦ ἐλλειπῆ τὴν ὄπα ἔχειν.

915

Pollux VII, 30. *Ξάσμα* Σοφοκλῆς.

916

Photius p. 312, 23. *Ξυνῶνα*: τὸν κοινωνόν. Σοφοκλῆς.

917

Grammaticus Coislinianus p. 237. *Ὄγμος*: ἡ κατὰ στίχον ἔφοδος τῶν θεριστῶν. καὶ ὄγμοι σταχύων. καὶ Σοφοκλῆς ὀστιβογμεὺς (?) φησιν. καὶ ἐπόγμιος Δημήτηρ, ἔφορος τοῦ θέρους.

918

Photius p. 326, 13. *Ὀκριάζων*: τραχυνόμενος. Σοφοκλῆς.

919

Photius p. 329, 15. *Ὁλοσπάδες*: ὅλαι καταπινόμεναι καὶ κατασπώμεναι. Σοφοκλῆς.

920

Pollux VII, 32. Τὰς δὲ ταινίας *ὁλοστημόνους τολύπας* Σοφοκλῆς ὠνόμασεν.

921

Appendix Vatic. Proverb. III, 36. *Ὀπισάμβων*: ταύτην Χρύσιππος τάττει κατὰ τῶν χεῖρον ἐν τοῖς πράγμασι προβαινόντων, παρὰ τὸ ἀεὶ ὀπίσω βαίνειν. μέμνηται δὲ τοῦ ὀνόματος Σοφοκλῆς. Eustathius p. 862, 5. Ἐν δὲ τῷ κατὰ στοιχεῖον λεξικῷ καὶ *ὀπισαμβὼ* εὕρηται ἡ εἰς τοὐπίσω ἀναχώρησις.

922

Photius p. 346, 5. *Ὀρθόκερως*: ὀρθόθριξ. Σοφοκλῆς. Pollux II, 31. Καὶ παρὰ Σοφοκλεῖ „Ὀρθόκερως φρίκη," οἷον ὀρθόθριξ.

923

Photius p. 346, 23. *Ὀρθόφρων*: ἀνατεταμένος καὶ μετέωρος ταῖς φρεσίν. οὕτως Σοφοκλῆς.

924

Photius p. 359, 8. *Οὐκ ἐκφρῶσιν*: οὐκ ἐξαφῶσιν. Σοφοκλῆς.

925

Photius p. 361, 16. *Οὐράν*: αἰδοῖον. Σοφοκλῆς.

926

Photius p. 363, 19. *Ὄφελμα*: αὔξημα. Σοφοκλῆς.

927

Harpocratio, *Παρακρούεται*: ἀντὶ τοῦ ἐξαπατᾷ — μετῆκται δὲ τοὔνομα ἀπὸ τοῦ τοὺς ἱστάντας τι, ἢ μετροῦντας κρούειν τὰ μέτρα, καὶ διασείειν ἕνεκα τοῦ πλεονεκτεῖν. καὶ Σοφοκλῆς που

*Ὡς μήτε κρούσῃς μήθ' ὑπὸ χεῖρα βάλῃς.*

Hoc metro utitur in Aiace v. 178. et alibi.

928

Etymol. M. p. 490, 3. (coll. Suida in *κάπηλος*) *Κάπηλος*, ὁ μεταβολεὺς, καὶ οἰνοπώλης. παρὰ τὸ χέειν τὸν πηλὸν, ἤγουν τὸν οἶνον. τινὲς οἴονται ἓν ἀνθ' ἑνὸς εἶναι, πηλὸν καὶ οἶνον, ἐκ τοῦ παρὰ Σοφοκλεῖ

*Πολὺς δὲ πηλὸς ἐκ πίθων τυρβάζεται.*

ὁ μὲν οὖν Σοφοκλῆς εὐεπίφορος εἰς τὸν πηλόν.

929

Phrynichus Bekkeri p. 21, 27. *Προσσαίνειν*: Σοφοκλῆς.

930

Photius p. 470, 2. *Πτέρυγες*: τὰ πηδάλια. Σοφοκλῆς.

931

Eustathius p. 948, 19. Τὸ *πτύον* καὶ πτέον ἔλεγον οἱ Ἀττικοὶ ὕστερον, ὡς Αἴλιος Διονύσιός φησι· πτύον δὲ Σοφοκλῆς, ἀκολουθῶν δηλαδὴ τῷ ποιητῇ.

932 a

Etymol. M. p. 695, 50. *Πύγαργος*: εἶδος ἀετοῦ. Σοφοκλῆς ἐπὶ τοῦ δειλοῦ, ἀπὸ τῆς λευκῆς πυγῆς, ὥσπερ ἐναντίως μελαμπύγης ἀπὸ τῆς ἰσχύος.

932 b

Strabo VIII. p. 364. Σοφοκλῆς δὲ καὶ Ἴων τὸ ῥᾴδιον (λέγουσι) ῥᾴ.

933

Photius p. 480, 15. *Ῥαικούς*: οἱ βάρβαροι τοὺς Ἕλληνας. Σοφοκλῆς τῇ λέξει κέχρηται. Eustathius p. 890. *Γραικοὺς*, ἡ μὲν συνήθεια καὶ Σοφοκλῆς δέ που κατὰ τοὺς παλαιοὺς, καὶ ὁ Λυκόφρων δὲ διὰ τοῦ ἐν ἀρχῇ γ προφέρουσιν ἐπὶ Ἑλλήνων. οἱ βάρβαροι δὲ Ῥαικούς φασι δίχα τοῦ γ, ὡς ἐν παλαιῷ εὕρηται ῥητορικῷ λεξικῷ. Conf. fragm. 455.

934

Etymol. M. p. 702, 54. Πᾶς ὁ πετρώδης αἰγιαλὸς ῥαχίας καλεῖται. καὶ γῆ δέ τις ἐν τοῖς μεταλλοις οὕτω καλουμένη. παρὰ τῷ Σοφοκλεῖ ῥαχία λέγεται ἡ τοῦ ὄρους.

935

Photius p. 484, 12. *Ῥάχοι*: αἱ μυρίκινοι ῥάβδοι· „Ῥάχοισιν ὀρχάδος στέγης." Σοφοκλῆς δὲ τοὺς φραγμοὺς ποίμνης.

936

Photius p. 485, 10. *Ῥειτά*: ἐν Ἐλευσῖνι δύο ναμάτια φερόμενα ἐκ μιᾶς πηγῆς, καλούμενα Ῥειτά. οὕτως Σοφοκλῆς.

937

Photius p. 488, 12. et Suidas, *Ῥήτωρ*: στρατηγὸς, δικολόγος. καὶ ὁ τὴν ἰδίαν ἀποφαίνων γνώμην κριτὴς παρὰ Σοφοκλεῖ.

938

Hesychius, *Ῥυτῆρι κρούων*: ὁ κύκνος λέγει

*Καὶ μὴ ὑβρίζων αὐτίκ' ἐκ βάθρων ἐλῶ*
*ῥυτῆρι κρούων γλουτὸν ὑπτίου ποδός.*

ἔνιοι δὲ οὐκ ἐπὶ τοῦ κύκνου, ἀλλ' ἐπὶ τῶν πολεμίων, ὥστε εἶναι τὸν λόγον, φεύγοντας αὐτοὺς τῷ ὑπτίῳ ποδὶ τοὺς ἰδίους γλουτοὺς ποιήσω πίπτειν. V. 1. Brunckius καὶ μὴν — σ' ἐλῶ. Versum 2. ex Sophocle affert Photius p. 493, 13.

939

Suidas, *Σάγμα*: ἡ θήκη τοῦ ὅπλου· σάγη δὲ τὸ ὅπλον. Σοφοκλῆς

*Κάλλιστα τεύχη δ' ἐν καλοῖσι σάγμασι.*

Apollonius lex. Homer. *Σάκος*: ἀσπίς. ἀφ' οὗ οἱ νεώτεροι *σάγην*, τὴν ὅλην πανοπλίαν λέγουσιν, ὡς Σοφοκλῆς.

940

Photius p. 497, 12. 22. *Σαλάβην*: Σοφοκλῆς τὴν ὀπήν. *Σαλάμβη*: ὀπὴ, καπνοδόκη. οὕτως Σοφοκλῆς.

941

Hesychius, *Σειρίου κυνὸς δίκην: Σοφο-ῆς, τὸν ἀστρῷον κύνα.*

942

Eustathius p. 1908. *Σέλας οὐ μόνον πυρὸς, ἀλ- καὶ ἡλίου. ὅθεν παρὰ Σοφοκλεῖ ἡ ὀπὴ, ὡς ἐν τορικῷ εὕρηται λεξικῷ.*

943

Hesychius, *Σεμνὰ τῆς σῆς παρθένου υστήρια: Σοφοκλῆς τὰ ἄρρητα καὶ ἀνεξήγητα στήρια.*

944

Photius p. 511, 15. *Σίκλος* (*σίγλος* grammati-s Bachmanni I. p. 364, 9.)*: καὶ τὸ ἐνωτίον, καὶ αθμὸς βαρβαρικὸς δυνάμενος ὀκτὼ ὀβολοὺς Ἀττι-ώς. οὕτως Σοφοκλῆς.*

945

Hesychius, *Σιλφίου λειμών: Σοφοκλῆς πε-γῆς ἐν Λιβύῃ τὸ σίλφιον φερούσης.*

946

Schol. Pindari Isthm. V, 36. *Σοφιστὰς μὲν καὶ φοὺς ἔλεγον τοὺς ποιητάς. Σοφοκλῆς*

*Μέν' εἰς σοφιστὴν τὸν ἐμόν.*

stathius p. 1023. *Οἱ παλαιοὶ σοφοὺς ἐκάλουν ἅπαν-ς τοὺς τεχνίτας. καὶ Σοφοκλῆς δὲ, φασὶ, τὸν θαρῳδὸν σοφιστὴν λέγει.* Confer Athenaeum p. 632.

947

Pollux II, 101. *Στομώδη: τὰ εὔστομα καὶ φῆμα. Σοφοκλῆς.*

948

Hesychius, *Στραβαλοχομᾶν: οὐλοχομᾶν.* llux II, 23. *οὐλοκόμος, οὐλοκέφαλος. τὸν δὲ τοιοῦ-ν στραμβολοχομᾶν Σοφοκλῆς ὠνόμασεν.*

949

Photius p. 593, 3. Suidas et Zenobius VI, 19. *Τὸ ερμὸν τοῦ ὀβελοῦ: ἐπὶ τῶν ἀναιρουμένων* (*ἀρουμένων* Suidas) *τὰ χείρονα ἀντὶ τῶν κρειττό-ν ἡ παροιμία, ἀπὸ τῶν ἀπείρως δρασσομένων τὰ τὸ πεπυρωμένον τῶν ὀβελίσκων. μέμνηται αὐ-ς Σοφοκλῆς.*

950

Photius p. 602, 6. et Etymol. M. p. 766, 40. *Τρί-αια: ἡ ἐναντία πνοή. οὕτως Σοφοκλῆς.* Apud Ety-l. M. *τριπαῖα.* Brunckius *τροπαῖα.*

951

Hesychius, *Τυφῶ: ἀντὶ τοῦ Τυφῶνος. Σοφοκλῆς.*

952

Eustathius p. 1496. *Ὕπουλον εἶπε Σοφοκλῆς τὸν δούρειον ἵππον, παρενεγκὼν αὐτὸ ἐκ τοῦ σκω-πτικῶς λεγομένου ὑπούλου ἤθους, τοῦ κατ' ἄνθρω-πον μὴ ὑγιῶς ἔχοντα τοῦ τρόπου, ὡς ἀπὸ ἑλκῶν, ἃ δοκοῦντα ὑγιᾶσθαι, οὐκ εἰς παντελὲς, φασὶ, κα-θαρεύει· ἀλλὰ δηλαδὴ ὑπὸ τὴν προφαινομένην οὐλὴν κακόν τι κρύπτει.*

953

Hesychius et Phrynichus Bekkeri p. 68, 4. (coll. Photio p. 635, 12.) *Ὑψαυχεῖν: μεγαλαυχεῖν. Σο-φοκλῆς.*

954

Photius p. 637, 1. *Φαικῷ: ἀκμάζοντι καὶ λαμ-πρῷ. οὕτως Σοφοκλῆς.*

955

Photius p. 640, 18. *Φαρκίδα: τὴν ἐκ τοῦ γή-ρως ῥυτίδα. οὕτως Σοφοκλῆς.* Vitiosum *φαρμακίδα* correxit Brunckius.

956

Hesychius in *ἀφάρμακον*, *Τὰ βαφεῖα φαρμακῶ-νας Σοφοκλῆς ἔφη.*

957

Etymol. M. p. 803, 3. *Φυτάλμιος: Σοφοκλῆς*

*Προσῆλθε μητρὶ καὶ φυταλμίῳ πατρί.*

958

Grammaticus Bachmanni I. p. 415, 5. (et sine Sophoclis nomine Hesychius) *Χειμάμυνα παρὰ Σο-φοκλεῖ ἡ παρ' Ὁμήρῳ ἀλεξάνεμος.*

959

Suidas, *Χλωρανθείς: ἀντὶ τοῦ χλωρὸς γενη-θείς. οὕτως Σοφοκλῆς.*

960

Schol. Aristoph. Ran. 1065. *Μουσαῖος — ὁ δὲ Σο-φοκλῆς χρησμολόγον αὐτόν φησι.*

961

Herodianus *περὶ μονήρους λέξεως* p. 14, 25. *Χνοῦς παρὰ Σοφοκλεῖ.*

962

Eustathius p. 777. *Ψάκαλα, τὰ ἔμβρυα, καὶ τὰ ἄρτι δὴ γεγονότα, ὅθεν καὶ ψακαλοῦχοι μητέρες παρὰ Σοφοκλεῖ.* Idem p. 1625. ex Aristophanis grammatici libro *περὶ ὀνομασίας ἡλικιῶν, Ἔμβρυα δέ τινα καὶ ἀρτιγενῆ δὴ, ψάκαλα λέγει καλεῖσθαι καὶ ὀρτα-λίχους. ὅθεν φησὶ παρὰ Σοφοκλεῖ*

*ψακαλοῦχοι*

*μητέρες αἰγός τ' ἐπιμαστίδιον*

*γόνον ὀρταλίχων ἀναφαίνοιεν.*

963

Suidas, *Ὡς: λίαν. Σοφοκλῆς*

*Θαυμαστὰ γὰρ τὸ τόξον ὡς ὀλισθάνει.*

# ΕΥΡΙΠΙΔΟΥ.

(Ex recensione A. Matthiae.)

## ΑΙΓΕΥΣ.

I

**Schol. Aristoph. Av. 494.** *ἐς δεκάτην γάρ ποτε:* ὅτι τὴν δεκάτην εἱστίων ἐπὶ τοῖς γεννηθεῖσι καὶ ἐν αὐτῇ τὰ ὀνόματα ἐτίθεντο τοῖς παισὶ, καθάπερ Εὐριπίδης ἐν Αἰγεῖ „Τί σε μᾶτερ ἐν δεκάτᾳ τόκον ὠνόμαζεν." **Suidas v.** δεκατεύειν, τίς σε μάτερ ἐν δεκάτα τοῦ τόκου ὠνόμαζεν. **Elmsleius ad Medeam p. 66.** τίς σε μάτηρ ἐν δεκάτᾳ τόκον ὠνόμασε.

II

**Clem. Alex. Strom. VI. p. 742, 18.**

*Ποίαν σε φῶμεν γαῖαν ἐκλελοιπότα*
*πόλει ξενοῦσθαι; γῆ δὲ τίς πάτρας θ' ὅρος;*
*τίς ἐσθ' ὁ φύσας; τοῦ κεκήρυξαι πατρός;*

III

**Stobaeus 38. p. 226. Gesn.**

*Τί γὰρ πατρῴας ἀνδρὶ φίλτερον χθονός;*

IV

**Stobaeus 45. p. 322.**

*Ἀνδρὸς δ' ὑπ' ἐσθλοῦ καὶ τυραννεῖσθαι καλόν.*

V

**Stobaeus 7. p. 86.**

*Ἔστι καὶ πταίσαντ' ἀρετὰν*
*ἀποδείξασθαι θανάτῳ.*

VI

**Stobaeus 117. p. 599.**

*Κατθανεῖν δ' ὀφείλεται*
*καὶ τῷ κατ' οἴκους ἐκτὸς ἡμένῳ πόνων.*

VII

**Stobaeus 84. p. 493.**

*Ἦ που κρεῖσσον τῆς εὐγενίας*
*τὸ καλῶς πράσσειν.*

VIII

**Stobaeus 34. p. 215.**

*Εἰ μὴ καθέξεις γλῶσσαν, ἔσται σοι κακά.*

IX

**Stobaeus 71. p. 432.**

*Δειλῶν γυναῖκες δεσποτῶν θρασύστομοι.*

X

**Stobaeus ibidem.**

*Πέφυκε γάρ πως παισὶ πολέμιον γυνὴ*
*τοῖς πρόσθεν ἡ ζυγεῖσα δευτέρῳ πόσει.*

*δευτέρα* **Elmsleius.**

XI

**Stobaeus 110. p. 581.**

*Πτηνὰς διώκεις, ὦ τέκνον, τὰς ἐλπίδας,*
*οὐχ ἡ τύχη σε. τῆς τύχης δ' οὐχ εἷς τρόπος.*

---

## ΑΙΟΛΟΣ.

I

**Dicaearchus** *βίῳ Ἑλλάδος* **p. 22. Hudson. in nomine fabulae**

*Ἕλλην γὰρ, ὡς ἔοικε, γίγνεται Διός,*
*τοῦ δ' Αἴολος παῖς, Αἰόλου δὲ Σίσυφος*
*Ἀθάμας τε Κρηθεύς θ', ὅς τ' ἐπ' Ἀλφειοῦ ῥοαῖς*
*θεοῦ μανεὶς ἔρριψε Σαλμωνεὺς φλόγα.*

**Strabo VIII. p. 546 b. Almel.** Ἡ δὲ Σαλμώνη πλησίον ἐστὶ τῆς ὁμωνύμου κρήνης, ἐξ ἧς ῥεῖ ὁ Ἐνιπεύς· ἐμβάλλει δ' εἰς τὸν Ἀλφειόν, καλεῖται δὲ νῦν Βαρνίχιος. τούτου ἐρασθῆναι τὴν Τυρώ φασιν· ἐνταῦθα γὰρ βασιλεῦσαι τὸν πατέρα αὐτῆς Σαλμωνέα, καθάπερ καὶ Εὐριπίδης ἐν Αἰόλῳ φησίν.

II

**Stobaeus 41. p. 240.**

*Δοκεῖτ' ἂν οἰκεῖν γαῖαν, εἰ πένης ἅπας*
*λαὸς πολιτεύοιτο πλουσίων ἄτερ;*
*οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά,*
*ἀλλ' ἔστι τις σύγκρασις ὥστ' ἔχειν καλῶς.*
*ἃ μὴ γάρ ἐστι τῷ πένηθ', ὁ πλούσιος*
*δίδωσ', ἃ δ' οἱ πλουτοῦντες οὐ κεκτήμεθα,*
*τοῖσιν πένησι χρώμενοι θηρώμεθα.*

**V. 3. 4. Plutarchus Moral. p. 25 c. 369 b. 474 a Theophrast. Metaphys. p. 269.**

III

**Stobaeus 63. p. 406.**

*Ἴδοιμι δ' αὐτῶν ἔκγον' ἄρσεν' ἀρσένων,*
*πρῶτον μὲν εἶδος ἀξίους τυραννίδος.*
*πλείστη γὰρ ἀρετὴ τοῦθ' ὑπάρχον ἐν βίῳ,*
*τὴν ἀξίωσιν τῶν καλῶν τὸ σῶμ' ἔχειν.*

**V. 2. Athen. XIII. p. 566 b. Porphyrius in** ἐπιτομῇ s. libello *περὶ τῶν ἑπτὰ φωνῶν* **et ex eo Etymol. M. p. 295, 43. (Gud. p. 163, 28.) Eustath. p. 399, 10.** *ἀξίους* **Stobaeus. Gregorius Nazianz. Sch. p. 117.** τὸ εἶδος ἀληθῶς ἄξιον τυραννίδος. **Georg. Acrop. Hist. 65.** τὸ φρόνημα, — ὅ φησί τις τῶν παλαιῶν, τυραννίδος ἄξιον ἔκριναν.

IV

**Stobaeus 89. p. 502.**

*Τὴν δ' εὐγένειαν, πρὸς θεῶν, μή μοι λέγε·*
*ἐν χρήμασιν τόδ' ἐστί· μὴ γαυροῦ, πάτερ·*
*κύκλῳ γὰρ ἕρπει, τῷ μὲν ἔσθ', ὁ δ' οὐκ ἔχει·*
*κοινοῖσι δ' αὐτοῖς χρώμεθ'· ᾧ δ' ἂν ἐν δόμοις*
*χρόνον συνοικῇ πλεῖστον, οὗτος εὐγενής.*

V

**Sextus Empir. adv. Math. I, 13. s. 271. et s. 278. Plutarchus Moral. p. 34 d. Athenaeus IV. p. 159 d. Stobaeus 5. p. 63. 91. p. 507.**

*Μὴ πλοῦτον εἴπῃς· οὐχὶ θαυμάζω θεὸν*
*ὃν χὠ κάκιστος ῥᾳδίως ἐκτήσατο.*

VI

Stobaeus 43. p. 302.

*Λαμπροὶ δ' ἐν αἰχμαῖς Ἄρεος ἔν τε συλλόγοις*
*μή μοι τὰ κομψὰ ποικίλοι γενοίατο,*
*ἀλλ' ὧν πόλει δεῖ, μεγάλα βουλεύοντες εὖ.*

ristot. Polit. III. 2, 5. *Καὶ Εὐριπίδης φησὶ „Μή οι τὰ κόμψ', ἀλλ' ὧν πόλει δεῖ·" ὡς οὖσάν τινα ρχοντος παιδείαν.*

VII

Stobaeus 61. p. 386.

*Τῇ δ' Ἀφροδίτῃ πόλλ' ἔνεστι ποικίλα·*
*τέρπει τε γὰρ μάλιστα καὶ λυπεῖ βροτούς·*
*τύχοιμι δ' αὐτῆς, ἡνίκ' ἐστὶν εὐμενής.*

VIII

Stobaeus 69. p. 429.

*Κακὸν γυναῖκα πρὸς νέαν ζεῦξαι νέον·*
*μακρὰ γὰρ ἰσχὺς μᾶλλον ἀρσένων μένει,*
*θήλεια δ' ἥβη θᾶσσον ἐκλείπει δέμας.*

pud Clement. Alex. Strom. VI. p. 740, 9. primo veri (in quo ille *γραῖαν* pro *νέαν*) duo alii subiungunr ab illis diversi

*ὁ μὲν γὰρ ἄλλης λέκτρον ἱμείρει λαβεῖν,*
*ἡ δ' ἐνδεὴς τοῦδ' οὖσα βουλεύει κακά.*

IX

Plutarchus Moral. p. 285 b. Stobaeus 115. p. 592.

*Ἀλλ' ἥ τὸ γῆρας τὴν Κύπριν χαίρειν ἐᾷ,*
*ἥ τ' Ἀφροδίτη τοῖς γέρουσιν ἄχθεται.*

utarchus Moral. p. 786 a. 1094 f.

X

Schol. Aristoph. Pac. 113. *Τὸ δὲ ἦ ῥ' ἔτυμός γε ηται παρὰ τὸ ἐξ Αἰόλου Εὐριπίδου ἆρ' ἔτυμος ιτειν ἔγνων Αἴολος εὐνάζειν τε τέκνα φίλτατα.* idlerus dubitanter

*Ἆρ' ἔτυμον φάτιν ἔγνων,*
*Αἴολε, σ' εὐνάζειν τε τέκνα φίλτατα.*

XI

Schol. Aristoph. Ran. 1523. *Τί δ' αἰσχρὸν, μὴ τοῖς θεωμένοις δοκῇ: παρὰ τὰ ἐξ λου Εὐριπίδου*

*Τί δ' αἰσχρὸν, ἢν μὴ τοῖσι χρωμένοις δοκῇ;*

erunt Plutarchus Moral. p. 33 c. et Serenus apud baeum V. p. 70. Eodem versu ad irridendum Euriem usam esse Laidem auctor est Macho apud en. XIII. p. 582 c. Apud Athen. est *εἰ — δοκεῖ.*

XII

Stobaeus 4. p. 52.

*Κακῆς ἀπ' ἀρχῆς γίγνεται τέλος κακόν.*

XIII

Stobaeus 20. p. 171.

*Ὀργῇ γὰρ ὅστις εὐθέως χαρίζεται,*
*κακῶς τελευτᾷ· πλεῖστα γὰρ σφάλλει βροτούς.*

XIV

Stobaeus 22. p. 187.

*Σιγᾶν φρονοῦντα κρεῖσσον ἢ εἰς ὁμιλίαν*
*πεσόντα, τούτῳ δ' ἀνδρὶ μήτ' εἴην φίλος*
*μήτε ξυνείην, ὅστις αὐτάρκη φρονεῖν*
*πέποιθε, δούλους τοὺς φίλους ἡγούμενος.*

XV

Stobaeus 71. p. 432.

*Γυναῖκα δ' ὅστις παύσεται λέγων κακῶς,*
*δύστηνος ἆρα κοὐ σοφὸς κεκλήσεται.*

XVI

Stobaeus 113. p. 584.

*Οἴμοι, τίς ἀλγεῖν οὐκ ἐπίσταται κακοῖς;*
*τίς ἂν κλύων τῶνδ', οὐκ ἂν ἐκβάλοι δάκρυ;*

XVII

Stobaeus 35. p. 216.

*Παῖδες, σοφοῦ πρὸς ἀνδρὸς, ὅστις ἐν βραχεῖ*
*πολλοὺς λόγους οἷός τε συντέμνειν καλῶς.*

Suidas vv. *οἷος* et *σοῦ*, *σοφοῦ πρὸς ἀνδρὸς ὅστις ἐν βραχεῖ πολλοὺς καλῶς οἷός τε συντέμνειν* (*συντεμεῖν* voc. *σοῦ*) *λόγους*, ex Aristophane, qui diserte nominatur v. *σοῦ*, Thesmoph. 184.

XVIII

Stobaeus 115. p. 590.

*Φεῦ φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει.*
*γέροντές ἐσμεν οὐδὲν ἄλλο πλὴν ὄχλος*
*καὶ σχῆμ', ὀνείρων δ' ἕρπομεν μιμήματα.*
*νοῦς δ' οὐκέτ' ἐστὶν, οἰόμεσθα δ' εὖ φρονεῖν.*

XIX

Galenus vol. V. p. 152. Charter. V. p. 418. Kühn. sine nomine fabulae

*Εἰ μὲν τόδ' ἦμαρ πρῶτον ἦν κακουμένῳ,*
*καὶ μὴ μακρὰν δὴ διὰ πόνων ἐναυστόλουν,*
*εἰκὸς σφαδάζειν ἦν ἂν, ὡς νεόζυγα*
*πῶλον χαλινὸν ἀρτίως δεδεγμένον·*
*νῦν δ' ἀμβλύς εἰμι καὶ κατηρτυκὼς πόνων.*

Grammaticus Bekkeri p. 105, 25. *Κατηρτυκέναι ἐλέγοντο οἱ μηκέτι βόλον ἔχοντες ἵπποι. Εὐριπίδης Αἰόλῳ.* Latine vertit Cicero Tusc. III, 28.

XX

Stobaeus 106. p. 568.

*Μοχθεῖν ἀνάγκη· τὰς δὲ δαιμόνων τύχας*
*ὅστις φέρει κάλλιστ', ἀνὴρ οὗτος σοφός.*

XXI

Stobaeus 102. p. 558.

*Ἀεὶ τὸ μὲν ζῇ, τὸ δὲ μεθίσταται κακὸν,*
*τὸ δ' ἐκπέφηνεν αὖτις ἐξ ἀρχῆς νέον.*

XXII

Stobaeus 96. p. 531.

*Γλυκεῖα γάρ μοι φροντὶς οὐδαμῆ βίου.*

XXIII

Stobaeus 37. p. 226.

*Ἀλλ' ὅμως*
*οἰκτρός τις αἰὼν πατρίδος ἐκλιπεῖν ὅρους.*

XXIV

Stobaeus 49. p. 352.

*Τὰ πόλλ' ἀνάγκη διαφέρει τολμήματα.*

XXV

Plutarchus Moral. p. 98 e. 959 d.

*Ἦ βραχὺ σθένος ἀνέρος·*
*ἀλλὰ ποικιλίᾳ πραπίδων*
*δεινὰ μὲν φῦλα πόντου*
*χθονίων τ' ἀερίων τε*
*δάμναται παιδεύματα.*

Ex Aeolo haec esse docuit Stobaeus 52. p. 360.

XXVI

Stobaeus ecl. phys. I, 9. p. 232. ed. Heeren.

*Ὁ χρόνος ἅπαντα τοῖσιν ὕστερον φράσει.*
*λάλος ἐστὶν οὗτος, οὐκ ἐρωτῶσιν λέγει.*

[„Alter versus si est Euripidis, mirer si poeta hoc scribere maluerit quam λάλος γάρ ἐστι κοὐκ ἐρωτῶσιν λέγει.“ G. DINDORFIUS.]

XXVII

Schol. Arist. Pac. 118. *Καὶ τοῦτο παρὰ τὸ ἐξ Αἰόλου Εὐριπίδου ἔπος*

*Δοξάσαι ἔστι, κόραι, τὸ δ' ἐτήτυμον οὐκ ἔχω εἰπεῖν.*

XXVIII

Photius et Suidas, *Κλῆρος Ἑρμοῦ: συνήθεια ἀρχαία· ἔβαλλον οἱ κληροῦντες εἰς ὑδρίαν ἐλαίας φύλλον, ὃ προσηγόρευον Ἑρμῆν· καὶ πρῶτον ἐξῄρουν τοῦτο, τιμὴν τῷ θεῷ ταύτην ἀπονέμοντες· ἐλάγχανεν δὲ ὁ μετὰ τὸν θεόν. Εὐριπίδης ἐν Αἰόλῳ μνημονεύει τοῦ ἔθους τούτου.*

XXIX

Hesychius, *Ἀκρατές: ἀσθενές. Εὐριπίδης Αἰόλῳ.*

## ΑΛΕΞΑΝΔΡΟΣ.

I

Stobaeus 123. p. 616.

*Παλαιὰ καινοῖς δακρύοις οὐ χρὴ στένειν.*

II

Stobaeus 113. p. 584.

*α. Οἶδ'· ἀλλὰ κάμπτειν τῷ χρόνῳ λύπας χρεών.*
*β. χρῆν· τοῦτο δ' εἰπεῖν ῥᾷον ἢ φέρειν κακά.*

III

Stobaeus 103. p. 562.

*Ὥστ' οὔ τις ἀνδρῶν εἰς ἅπαντ' εὐδαιμονεῖ.*

IV

Stobaeus 106. p. 568.

*Πάντων τὸ θανεῖν· τὸ δὲ κοινὸν ἄχος*
*μετρίως ἀλγεῖν σοφία μελετᾷ.*

V

Stobaeus 38. p. 222.

*Οἴμοι· θανοῦμαι διὰ τὸ χρήσιμον φρενῶν,*
*ὃ τοῖσιν ἄλλοις γίγνεται σωτηρία.*

VI

Stobaeus 60. p. 383.

*Σοφὸς μὲν οὖν εἶ, Πρίαμ', ὅμως δέ σοι λέγω·*
*δούλου φρονοῦντος μᾶλλον ἢ φρονεῖν χρεὼν*
*οὐκ ἔστιν ἄχθος μεῖζον οὐδὲ δώμασιν*
*κτῆσις κακίων οὐδ' ἀνωφελεστέρα.*

VII

Stobaeus 4. p. 53.

*Ὅθεν δὲ νικᾶν χρῆν σε, δυστυχεῖς, ἄναξ,*
*ὅθεν δέ σ' οὐ χρῆν, εὐτυχεῖς· δούλοισι γὰρ*
*τοῖς σοῖσιν ἥκεις, τοῖς δ' ἐλευθέροισιν οὔ.*

VIII

Stobaeus 60. p. 384.

*Δούλους γὰρ οὐ*
*καλὸν πεπᾶσθαι κρείσσονας τῶν δεσποτῶν.*

IX

Stobaeus ibidem

*Ὦ παγκάκιστοι καὶ τὸ δοῦλον οὐ λόγῳ*
*ἔχοντες, ἀλλὰ τῇ τύχῃ κεκτημένοι.*

X

Stobaeus ibidem

*Ἤλεγχον· οὕτω γὰρ κακὸν δοῦλον γένος·*
*γαστὴρ ἅπαντα, τοὐπίσω δ' οὐδὲν σκοπεῖ.*

XI

Stobaeus ibidem

*Δούλων ὅσοι φιλοῦσι δεσποτῶν γένος,*
*πρὸς τῶν ὁμοίων πόλεμον αἴρονται μέγαν.*

XII

Stobaeus 67. p. 424.

*Ἐκ τῶν ὁμοίων οἱ κακοὶ γαμοῦσ' ἀεί.*

XIII

Stobaeus 40. p. 238.

*Ἄναξ, διαβολαὶ δεινὸν ἀνθρώποις κακόν·*
*ἀγλωσσίᾳ δὲ πολλάκις ληφθεὶς ἀνὴρ*
*δίκαια λέξας ἧσσον εὐγλώσσου φέρει.*

V. 2. 3. Clemens Alex. Strom. I. p. 290. V. 2. Stobaeus *εὐγλωσσίᾳ.*

XIV

Stobaeus 91. p. 507.

*Ἄδικον δ' ὁ πλοῦτος, πολλὰ δ' οὐκ ὀρθῶς ποιεῖ.*

XV

Stobaeus 95. p. 518. et v. 1. 2. Clem. Alex. Strom. IV. p. 483.

*Κακόν τι βούλευμ' ἦν ἄρ' εἰς εὐανδρίαν*
*ὁ πλοῦτος ἀνθρώποισιν αἵ τ' ἄγαν τρυφαί.*
*πενία δὲ δύστηνον μέν, ἀλλ' ὅμως τρέφει*
*μοχθοῦντ' ἀμείνω τέκνα καὶ δραστήρια.*

XVI

Stobaeus 84. p. 492.

*Περισσόμυθος ὁ λόγος, εὐγένειαν εἰ*
*βρότειον εὐλογήσομεν.*
*τὸ γὰρ πάλαι καὶ πρῶτον ὅτ' ἐγενόμεθα,*
*διὰ δ' ἔκρινεν ἁ τεκοῦσα γᾶ βροτούς,*
*ὁμοίαν χθὼν ἅπασιν ἐξεπαίδευσεν ὄψιν.*
*ἴδιον οὐδὲν ἔχομεν· μία δὲ γονὰ*
*τό τ' εὐγενὲς καὶ τὸ δυσγενές·*
*νόμῳ δὲ γαῦρον αὐτὸ κραίνει χρόνος.*
*τὸ φρόνιμον εὐγένεια καὶ τὸ συνετὸν ὁ*
*θεὸς δίδωσιν, οὐχ ὁ πλοῦτος.*

XVII

Stobaeus ibidem p. 493.

*Οὐκ ἔστιν ἐν κακοῖσιν εὐγένεια,*
*παρ' ἀγαθοῖσι δ' ἀνδρῶν.*

XVIII

Clem. Alex. Strom. VI. p. 621.

*Χρόνος δὲ δείξει σ', ᾧ τεκμηρίῳ μαθὼν*
*ἢ χρηστὸν ὄντα γνώσομαι σέ γ' ἢ κακόν.*

XIX

Longin. c. 15. *Ὅμοια καὶ τὰ ἐπὶ τῆς Κασάνδρας αὐτῷ (Εὐριπίδῃ)*

*Ἀλλ' ὦ φίλιπποι Τρῶες —.*

XX

Stobaeus 110. p. 581.

*Ἑκάβη, τὸ θεῖον ὡς ἄελπτον ἔρχεται*
*θνητοῖσιν, ἕλκει δ' οὔποτ' ἐκ ταὐτοῦ τύχας.*

XXI

Schol. Aristoph. Ran. 100. (*αἰθέρα Διὸς δωμάτιον, ἢ χρόνου πόδα.*) *ἐξ Ἀλεξάνδρας Εὐριπίδου*

*Καὶ χρόνου προὔβαινε πούς.*

XXII

Hesychius, *Ἄρρητος κόρη: ἡ Περσεφόνη. Εὐριπίδης Ἀλεξάνδρῳ.*

Ad hanc fabulam Musgravius retulit Plutarchi Moral. p. 821 b. Ὥσπερ οὖν τῆς Κασάνδρας ἀδοξούσης ἀνόνητος ἦν ἡ μαντικὴ τοῖς πολίταις,

Ἄκραντα γάρ με (φησὶν) ἔθηκε θεσπίζειν θεός,
καὶ πρὸς παθόντων κἀν κακοῖσι κειμένων
σοφὴ κέκλημαι, πρὶν παθεῖν δὲ μαίνομαι.

---

## ΑΛΚΜΑΙΩΝ Ο ΔΙΑ ΨΩΦΙΔΟΣ.

I

Aristot. Eth. III. 1, 8. Ἔνια δ' ἴσως οὐκ ἔστιν ἀναγκασθῆναι, ἀλλὰ μᾶλλον ἀποθνητέον παθόντα τὰ δεινότατα· καὶ γὰρ τὸν Εὐριπίδου Ἀλκμαίωνα γελοῖα φαίνεται τὰ ἀναγκάσαντα μητροκτονῆσαι. ibi schol. τὸν Ἀμφιαράου παῖδα τοῦτον, ᾧ ὁ πατὴρ ἀνελεῖν τὴν μητέρα ἐπέσκηψεν· εἰ δὲ μή, ἔσται τὸν πατέρα λυπῶν, ὃς οὐ δι' ἀξίας αἰτίας ποιῶν τοῦτο ἱστορεῖται. Ἄλλως. παρατίθεται τὸν παρ' Εὐριπίδη Ἀλκμαίωνα, ὡς δι' εὐτελῆ τινὰ ὑπομείναντα μητροκτονῆσαι· λέγει γὰρ παρ' αὐτῷ ὁ Ἀλκμαίων

μάλιστα μέν μ' ἐπῆρ' ἐπισκήψας πατὴρ,
ὅθ' ἅρματ' εἰσέβαινεν εἰς Θήβας ἰών.

Διὰ γὰρ τούτων ἐντολὰς πατρὸς διηγεῖται, ὡς ἐντειλαμένου αὐτοῦ κτεῖναι τὴν μητέρα καὶ καταρασομένου αὐτοῦ, εἰ μὴ ἀποκτείνῃ, ἀκαρπίαν τε γῆς καὶ ἀτεκνίαν, ὧν οὐδὲν ἦν ἄξιον τοιοῦτον κακὸν ἀναγκάσαι ποιῆσαι τινά.

II

Schol. Pind. Nem. 4, 32. Ἀμφιτρύωνος ἀντὶ παρωνυμικοῦ τοῦ Ἀμφιτρυωνίδου· — ὡς καὶ Ὅμηρος λέγει Ὑπερίονος Ἠελίοιο ἀντὶ τοῦ Ὑπεριονίδου, καὶ Εὐριπίδης

Ὅ σοι χρυσοῦν ἀπώλεσ', Οἰδίπους δ' ἐμὲ,
χρυσοῦν ἐνεγκὼν ὅρμον εἰς Ἄργους πόλιν.

v. 1. corruptus.

III

Photius et Suidas, Πενθερὰ τῷ νυμφίῳ ἡ τῆς κόρης μήτηρ, καὶ πενθερὸς ὁ πατήρ. Εὐριπίδης δὲ γαμβρὸν αὐτὸν παρὰ τάξιν λέγει· ὁ γοῦν Ἀλκμαίων τῷ Φηγεῖ φησι

Καί σ', ὦ γεραιὲ, τήν τε παῖδα μὴ δῷς ἐμοὶ,
γαμβρὸς νομίζῃ καὶ πατὴρ σωτήρ τ' ἐμός.

Suidas τήν τε παῖδα μὴ δοὺς ἐμοὶ γαμβρὸν νόμιζε.

IV

Hesychius, Ἀργαίνειν: λευκαίνειν. Εὐριπίδης Ἀλκμαίωνι διὰ Ψωφῖδος. Eustathius p. 1430, 62. ἐκεῖθεν καὶ ἀργᾶντες ταῦροι παρὰ Πινδάρῳ, καὶ ἀργαίνειν τὸ λευκαίνειν παρ' Εὐριπίδῃ ἐν Ἀλκμαίωνι.

V

Hesychius, Ἀτενής:

Ἥκω δ' ἀτενὴς ἀπ' οἴκων

Εὐριπίδης Ἀλκμαίωνι τῷ διὰ Ψωφῖδος.

## ΑΛΚΜΑΙΩΝ Ο ΔΙΑ ΚΟΡΙΝΘΟΥ.

VI

Schol. Hesiod. Sc. Herc. in cod. Schellersheim. ad Creuzer. meletem. I. p. 65. Ὥσπερ ἐν Ὀρέστῃ „Σίγα σίγα, λευκὸν ἴχνος ἀρβύλης“ καὶ ἐν Ἀλκμαίωνι τῷ διὰ Κορίνθου „Φίλε φίλε πρόβατε μόλε ·· ὁ δὲ σποδαπὸς ὁ ξένος Κορίνθιος ἔμολε ἀγχίαλος;“ Hermannus

Φίλαι φίλαι,
πρόβατε, μόλετε· τίς ὅδε, ποδαπὸς ὁ ξένος
Κορινθίοις ἔμολεν ἀγχίαλος;

VII

Stobaeus 88. p. 500.

Ὦ παῖ Κρέοντος, ὡς ἀληθὲς ἦν ἄρα
ἐσθλῶν ἀπ' ἀνδρῶν ἐσθλὰ γίγνεσθαι τέκνα,
κακῶν δ' ὅμοια τῇ φύσει τῇ τοῦ πατρός.

VIII

Hesychius, Ἀπαιώνιστον: δύσφημον. Εὐριπίδης Ἀλκμαίωνι διὰ Κορίνθου.

## ΑΛΚΜΑΙΩΝ.

IX

Aristoph. Eq. 1299.

Οὐδὲ πυνθάνεσθε ταῦτ', ὦ παρθένοι, τὰν τῇ πόλει;

ubi schol. ὁ στίχος δὲ παρὰ τὰ ἐξ Ἀλκμαίωνος Εὐριπίδου.

X

Stobaeus 22. p. 188.

Ταπεινὰ γὰρ χρὴ τοὺς κακῶς πεπραγότας
λέγειν, ἐς ὄγκον δ' οὐκ ἄνω βλέπειν τύχης.

XI

Stobaeus ibidem p. 187.

Ὁρᾶτε τὸν τύραννον, ὡς ἄπαις γέρων
φεύγει· φρονεῖν δὲ θνητὸν ὄντ' οὐ χρὴ μέγα.

XII

Stobaeus 47. p. 343.

Φεῦ φεῦ, τὰ μεγάλα μεγάλα καὶ πάσχει κακά.

XIII

Stobaeus 22. p. 187.

Βροτοῖς τὰ μείζω τῶν μέσων τίκτει νόσους·
θεῶν δὲ θνητοὺς κόσμον οὐ πρέπει φέρειν.

XIV

Stobaeus 60. p. 384.

Μέτεστι τοῖς δούλοισι δεσποτῶν νόσου.

XV

Stobaeus ibidem

Ὅστις δὲ δούλῳ φωτὶ πιστεύει βροτῶν,
πολλὴν παρ' ἡμῖν μωρίαν ὀφλισκάνει.

XVI

Stobaeus 67. p. 423. Γυναῖκα καὶ ὠφέλειαν (ὠφελίαν G. Dindorfius) καὶ νόσον ἀνδρὶ φέρει (φέρειν Valckenarius) μεγίσταν ἐδίδαξα τῷμῷ λόγῳ.

XVII

Stobaeus 77. p. 454.

Τὰ τῶν τεκόντων ὡς μετέρχεται θεὸς
μιάσματα.

Plutarchus Moral. p. 556 e. et 562 f.

XVIII

Erotianus p. 342.

Γυναῖκες, ὁρμήθητε, μηδ' ἀθυμίαν
σχέθῃ τις ὑμῶν· ταῦτα γὰρ σκεθρῶς ὁρᾶν
ἡμᾶς ἀνάγκη τοὺς νομίζοντας τέχνην.

XIX

Stobaeus 77. p. 455.

Ἢ τί πλέον εἶναι παῖδας ἀνθρώποις, πάτερ,
εἰ μὴ 'πὶ τοῖς δεινοῖσιν ὠφελήσομεν;

XX

Priscian. XVIII. vol. II. p. 205. ed. Krehl.

Εἰ τοῦ τεκόντος οὐδὲν ἐντρέπει πατρός.

## ΑΛΚΜΗΝΗ.

I

Schol. Arist. Ran. 540. (Suidas v. ταῦτα πρὸς ἄλλον.)

*Οὐ γάρ ποτ' εἴων Σθένελον ἐς τὸν εὐτυχῆ*
*χωροῦντα τοῖχον τῆς δίκης ἀποστερεῖν.*

II

Schol. Arist. Ran. 93. (Suidas v. χελιδόνων μουσεῖα.) Χελιδόνων μουσεῖα: παρὰ τὰ ἐν Ἀλκμήνῃ Εὐριπίδου

*Πολὺς δ' ἀνεῖρπε κισσός, εὐφυὴς κλάδος,*
*χελιδόνων μουσεῖον.*

III

Stobaeus 39. p. 241.

*Ἀτρέκεια δ' ἄριστον ἀνδρὸς ἐν πόλει δικαίου πέλει.*

IV

Stobaeus 43. p. 302.

*Ἴστω δ' ἄφρων ὤν, ὅστις ἄνθρωπος γεγὼς*
*δῆμον κολούει, χρήμασιν γαυρούμενος.*

V

Stobaeus ibidem

*Τὸν εὐτυχοῦντα χρὴ σοφὸν πεφυκέναι.*

VI

Stobaeus 60. p. 384.

*Ἀεὶ δ' ἀρέσκειν τοῖς κρατοῦσι· ταῦτα γὰρ*
*δούλοις ἄριστα· χᾤφ' ὅτῳ τεταγμένος*
*εἴη τις, ἀνδάνοντα δεσπόταις ποιεῖν.*

VII

Stobaeus 81. p. 474.

*Δεινόν τι τέκνων φίλτρον ἔθηκεν*
*θεὸς ἀνθρώποις.*

VIII

Stobaeus 90. p. 505.

*Ἀλλ' οὐδὲν ηὐγένεια πρὸς τὰ χρήματα·*
*τὸν γὰρ κάκιστον πλοῦτος εἰς πρώτους ἄγει.*

IX

Stobaeus 91. p. 507.

*Σκαιόν τι χρῆμ' ὁ πλοῦτος ἥ τ' ἀπειρία.*

X

Stobaeus 97. p. 538.

*Ἀλλ' οὐ γὰρ ὀρθῶς ταῦτα, γενναίως ἴσως*
*ἔπραξας, αἰνεῖσθαι δὲ δυστυχῶν ἐγὼ*
*μισῶ· λογισμὸς γὰρ τοὔργον οὐ νικᾷ ποτέ.*

V. 1. γενναίως δ' Matthiae. V. 3. λόγος Porsonus: alii delent γάρ.

XI

Stobaeus 106. p. 568.

*Ἀλλ' εὖ φέρειν χρὴ συμφορὰς τὸν εὐγενῆ.*

XII

Stobaeus 110. p. 581.

*Θάρσει· τάχ' ἂν γένοιτο· πολλά τοι θεοῖς*
*κἀκ τῶν ἀέλπτων εὔπορ' ἀνθρώποις πέλει.*

XIII

Stobaeus 113. p. 584.

*Σοφώτεροι γὰρ συμφορὰς τὰς τῶν πέλας*
*πάντες διαιρεῖν ἢ τύχας τὰς οἴκοθεν.*

XIV

Stobaeus 8. p. 97.

*Ὁ φόβος, ὅταν τις σώματος μέλλῃ πέρι*
*λέγειν καταστὰς εἰς ἀγῶν' ἐναντίον,*
*τό τε στόμ' εἰς ἔκπληξιν ἀνθρώπων ἄγει*
*τὸν νοῦν τ' ἀπείργει μὴ λέγειν ἃ βούλεται·*
*τῷ μὲν γὰρ ἔνι κίνδυνος, ὁ δ' ἀθῷος μένει·*
*ὅμως δ' ἀγῶνα τόνδε δεῖ μ' ὑπεκδραμεῖν·*
*ψυχὴν γὰρ ἆθλα τιθεμένην ἐμὴν ὁρῶ.*

V. 6. Cod. Paris. a pr. m. ὑποδραμεῖν, a sec. ὑπεκδραμεῖν.

XV

Stobaeus 96. p. 530.

*Ἀλλ' ἡμέρα τοι πολλὰ καὶ μέλαινα νὺξ*
*τίκτει βροτοῖς.*

XVI

Pollux X, 117. Πανὸς καὶ φανὸς ἡ λαμπάς, ὡς ὅταν φῇ ἐν Ἀλκμήνῃ Εὐριπίδης

*Πόθεν δὲ πεύκης πανὸν ἐξεῦρες λαβεῖν;*

XVII

Hesychius, Ἀμολγὸν νύκτα Εὐριπίδης Ἀλκμήνῃ ζοφερὰν καὶ σκοτεινήν.

---

## ΑΛΟΠΗ.

Harpocratio, Ἀλόπη. Λυκοῦργος ἐν τῷ περὶ ἱερείας. Κερκύονος θυγάτηρ, ἐξ ἧς καὶ Ποσειδῶνος Ἱπποθόων ὁ τῆς Ἱπποθοωντίδος φυλῆς ἐπώνυμος, ὡς Ἑλλάνικός τε ἐν δευτέρᾳ Ἀτθίδος καὶ Εὐριπίδης ἐν τῷ ὁμωνύμῳ.

I

Eustathius p. 656, 58. 1640, 60. 1681, 41. Εἴρηταί που κῦμα καὶ τὸ κύημα, ὡς δηλοῖ καὶ Εὐριπίδης ἐν Κερκύονι, οὗ τὴν θυγατέρα γέμειν ἔφη τοῦ κύματος θεοσπόρου. τοῦ ἐκ Ποσειδῶνος δηλαδή; μουσαν est loco primo et tertio.

II

Eustathius p. 1902. in. Σημείωσαι δὲ ὅτι Ὁμήρου εἰπόντος τὸ Μεμνήσεσθαι ὀΐομαι ἐν περ ὀνείρῳ, λαβὼν ἐκεῖθεν Εὐριπίδης ἀνάπαλιν ἔφη ἐν Κερκυόνι ἐπὶ φίλου ἀμελοῦς (Ποσειδῶν δὲ ἦν ἐκεῖνος) τὸ

*Πλήσας δὲ νηδὺν οὐδ' ὄναρ κατ' εὐφρόνην*
*φίλοις ἔδειξεν αὐτόν.*

Conf. p. 1607. in. ubi πλήσας δὲ νηδὺν explicat ἀντὶ τοῦ ἐγκύμονα ποιήσας.

III

Etymol. M. p. 420, 16. Εὐριπίδης Ἀλόπῃ

*Οὐ μὴν σύ γ' ἡμᾶς τοὺς τεκόντας ᾐδέσω.*

IV

Stobaeus 71. p. 432.

*Γυνὴ γυναικὶ σύμμαχος πέφυκέ πως.*

V

Stobaeus 77. p. 455.

*Ἐγὼ δ', ὃ μὲν μέγιστον, ἄρξομαι λέγειν*
*ἐκ τοῦδε πρῶτον· πατρὶ πείθεσθαι χρεὼν*
*παῖδας νομίζειν τ' αὐτὸ τοῦτ' εἶναι δίκην.*

VI

Ammonius p. 137. Τρόχους βαρυτόνως μὲν τοὺς δρόμους. ἀναγινώσκομεν γὰρ ἐν Ἀλόπῃ Εὐριπίδου

*Ὁρῶ μὲν ἀνδρῶν τόνδε γυμνάδα στόλον*
*στείχοντα θεωρὸν ἐκ τρόχων πεπαυμένον.*

[V. 2. στείχονθ' ἑῷον G. Dindorfius.]

VII

Stobaeus 72. p. 439.

*Τί δῆτα μοχθεῖν δεῖ γυναικεῖον γάμον*

φρουροῦντας; αἱ γὰρ εὖ τεθραμμέναι πλέον σφάλλουσιν οἴκους τῶν παρημελημένων.

VIII

Photius, Ὀδῆσαι: τὸ ὠνήσασθαι. Εὐριπίδης Ἀλόπη καὶ Κύκλωπι.

---

ΑΝΔΡΟΜΕΔΑ.

Eratosth. Cataster. 17. Αὕτη κεῖται ἐν τοῖς ἄστροις, διὰ τὴν Ἀθηνᾶν, τῶν Περσέως ἄθλων ὑπόμνημα, διατεταμένη τὰς χεῖρας, ὡς καὶ προετέθη τῷ κήτει· ἀνθ' ὧν σωθεῖσα ὑπὸ τοῦ Περσέως οὐχ εἵλετο τῷ πατρὶ συμμένειν οὐδὲ τῇ μητρὶ, ἀλλ' αὐθαίρετος ἐς τὸ Ἄργος ἀπῆλθε μετ' ἐκείνου εὐγενές τι φρονήσασα. λέγει δὲ καὶ Εὐριπίδης σαφῶς ἐν τῷ περὶ αὐτῆς γεγραμμένῳ δράματι.

I

Aristoph. Thesm. 1074 sqq. (1065. Br.)

Ὦ νὺξ ἱερὰ,
ὡς μακρὸν ἵππευμα διώκεις
ἀστεροειδέα νῶτα διφρεύουσ'
αἰθέρος ἱερᾶς
τοῦ σεμνοτάτου δι' Ὀλύμπου.

Schol. Ὁ Μνησίλοχος ὡς Ἀνδρομέδα. τοῦ προλόγου Ἀνδρομέδας εἰσβολή. Schol. Theocr. 2, 166. Ὅτι δὲ ἐπὶ ἅρματος ὀχεῖται ἡ νὺξ Εὐριπίδης „Ὦ νὺξ ἱερὰ διφρεύουσα."

II

Aristoph. ib. 1079. (1070.)

Τί ποτ' Ἀνδρομέδα περίαλλα κακῶν
μέρος ἐξέλαχον;

Schol. Καὶ τοῦτο ἐκ τοῦ προλόγου. „Ad primam fabulae partem referenda etiam sunt Plutarch. Moral. 22 e. Τῷ θοάζειν τὸ κινεῖσθαι σημαίνουσιν, ὡς Εὐριπίδης,

Κῆτος θοάζον ἐξ Ἀτλαντικῆς ἁλός.

p. 747 d. „Ὁ πετόμενος ἱερὸν ἀνὰ Διὸς αἰθέρα γυγοφόνος" denique versus a Zenobio V, 45. citatus

Οἴῳ μ' ὁ δαίμων θηρίῳ συνῴκισεν.

cum cum versu Theogneti comici apud Athen. III. 104 c. confert Casaubonus, Οἴῳ μ' ὁ δαίμων φιλόσοφῳ συνῴκισεν." MATTHIAE.

III

Schol. Thesm. 1018. Πάλιν ἐξ Ἀνδρομέδας. πρὸς Ἠχὼ Ἀνδρομέδα λέγει „προσαιδοῦσσαι τὰς ἐν ἄντροις ἀπόπαυσον ἔασον ἀχοῖ με σὺν φίλαις γόου πόθον λαβεῖν." Seidlerus

Πρὸς Αἰδοῦς σε τὰν ἐν ἄντροις,
ἀπόπαυσον, ἔασον
ἀχοῖ με σὺν φίλαις γόου πόθον λαβεῖν.

Idem spectat scholion v. 1059. Ἐπεὶ εἰσήγαγε κατένακτον τὴν Ἠχὼ ὁ Εὐριπίδης ἐν τῇ Ἀνδρομέδᾳ εἰς τοῦτο παίζει.

IV

Schol. v. 1022. Παρὰ τὰ τοῦ χοροῦ ἐν Ἀνδρομέδᾳ

ἄνοικτος ὅς τεκών σε τὴν
πολυπονωτάτην βροτῶν
μεθῆκεν Ἅιδᾳ πατρὸς ὑπερθανεῖν.

V

Schol. v. 1015. Παρὰ τὰ ἐξ Ἀνδρομέδας Εὐριπίδου „Φίλαι παρθένοι, φίλαι μοι." τὰ δὲ ἐπιφερόμενα πρὸς τὸ αὐτὸ χρήσιμον.

VI

Schol. Arist. Av. 347. Καὶ δοῦναι ῥύγχει φορβάν: Ἀσκληπιάδης φησὶν ἀπὸ Ἀνδρομέδας εἶναι, ὡς καὶ τὸ „Σὰ γὰρ ταῦτα πάντα" καὶ „Ἐκεῖσε δεῦρο." Ἄλλως. Παρὰ τὸ Εὐριπίδου ἐξ Ἀνδρομέδας „Ἐκθεῖναι κήτει φορβὰν," ὡς Ἀριστοφάνης, τὰ μηδὲ διδαχθείσης τῆς τραγῳδίας παρατιθέμενος. καὶ τὸ „Σὰ γὰρ ταῦτα πάντα" καὶ „Τὸ τῇδε καὶ τὸ κεῖσε" παρὰ τὰ ἐκ τῶν μηδέπω διδαχθεισῶν Φοινισσῶν (v. 315.) φησίν. „Ad versum ἐκθεῖναι κήτει φορβὰν respicit Aristoph. Thesm. 1042. ubi schol. καὶ τοῦτο ἐξ Ἀνδρομέδας. ut omnino in toto illo cantico a v. 1015. Mnesilochus modo ex sua, modo ex Andromedae persona loquitur: nam v. 1010. Mnesilochus, Ἀνὴρ, inquit, ἔοικεν οὐ προδώσειν, ἀλλά μοι Σημεῖον ὑπεδήλωσε Περσεὺς ἐκδραμὼν, Ὅτι δεῖ με γίγνεσθ' Ἀνδρομέδαν, ubi schol. ἀντὶ τοῦ ὡς Περσεύς. πιθανῶς, συνδεδίδακται γὰρ τῇ Ἑλένῃ. Sed in iis Aristophanea cum Euripideis ita commixta sunt, ut inter se vix dignosci queant. — Schol. ad Av. 424. Τὸ τῇδε καὶ τὸ κεῖσ' ἔτι: ἤγουν τὸν οὐρανὸν καὶ τὴν γῆν. τοῦτο ἐκ τῶν μηδέπω διδαχθεισῶν Φοινισσῶν φησι καὶ τὸ κεῖσε καὶ τὸ δεῦρο. ἐκεῖσε καὶ τὸ δεῦρο est in Phoen. 315. nec videtur ex Andromeda citari." MATTHIAE.

VII

Schol. v. 1040. Ἀπὸ κοινοῦ λάβωμεν πέπονθα ἄνομα πάθεα. καὶ ταῦτα ἐξ Ἀνδρομέδας δεομένης τοῦ βαρβάρου. προεῖπε δὲ, γοᾶσθέ μ' ὦ γυναῖκες κ. τ. λ. (v. 1036.)

„Proxime sequi videntur quae apud Aristoph. Thesmoph. 1109 sq. Euripides loquitur,

Περσ. Ὦ θεοὶ, τίν' ἐς γῆν βαρβάρων ἀφίγμεθα
ταχεῖ πεδίλῳ; διὰ μέσου γὰρ αἰθέρος
τέμνων κέλευθον πόδα τίθημ' ὑπόπτερον
Περσεὺς πρὸς Ἄργος ναυστολῶν, τὸ Γοργόνος
κάρα κομίζων.

Ad haec schol. εἰς Περσέα ἐξ Ἀνδρομέδας τρία τὰ πρῶτα, καὶ λοιπὸν ἐπέζευξε τὰ ἑξῆς.

(1116.) Ἔα, τίν' ὄχθον τόνδ' ὁρῶ καὶ παρθένον
θεοῖς ὁμοίαν, ναῦν ὅπως ὡρμισμένην;

Pergit Aristoph. v. 1118.

Ἀνδρ. Ὦ ξένε, κατοίκτειρόν με τὴν παναθλίαν·
λῦσόν με δεσμῶν.

Schol. 1116.

Ἔα, τίν' ὄχθον τόνδ' ὁρῶ περίρρυτον
ἀφρῷ θαλάσσης, παρθένου τ' εἰκώ τινα
ἐξ αὐτομόρφων λαΐνων τυκισμάτων
σοφῆς ἄγαλμα χειρός.

V. 1. 2. affert scholiasta, v. 2. 3. 4. inde ab παρθένου Maximus in Dionys. Areop. T. II. p. 28. ed. Corder. et Pachymeres ibid. p. 30." MATTHIAE.

VIII

Athenaeus III. p. 561 b. Ἕτερος δέ τις προσέθηκε τῶν Εὐριπίδου τάδε

Σὺ δ', ὦ τύραννε θεῶν τε κἀνθρώπων, Ἔρως,
ἢ μὴ δίδασκε τὰ καλὰ φαίνεσθαι καλὰ,

*ἢ τοῖς ἐρῶσιν, ὧν σὺ δημιουργὸς εἶ,*
*μοχθοῦσι μόχθους εὐτυχῶς συνεκπόνει.*
*καὶ ταῦτα μὲν δρῶν τίμιος θεοῖς ἔσει,*
*μὴ δρῶν δ' ὑπ' αὐτοῦ τοῦ διδάσκεσθαι φιλεῖν*
*ἀφαιρεθήσει χάριτας, αἷς τιμῶσί σε.*

**Lucianus de conscr. histor. 1.** *Ἅπαντες ἐς τραγῳδίαν παρεκινοῦντο καὶ ἰαμβεῖα ἐφθέγγοντο καὶ μέγα ἐβόων, μάλιστα δὲ τὴν Εὐριπίδου Ἀνδρομέδαν ἐμονῴδουν καὶ τὴν τοῦ Περσέως ῥῆσιν ἐν μέλει διεξῄεσαν, καὶ μεστὴ ἦν ἡ πόλις ὠχρῶν ἁπάντων καὶ λεπτῶν τῶν ἑβδομαίων ἐκείνων τραγῳδῶν,*

*Σὺ δ', ὦ θεῶν τύραννε κἀνθρώπων Ἔρως*

*καὶ τἄλλα.* **Stobaeus 62. p. 399.**

*Σὺ δ', ὦ κάκιστε πάντων θεῶν τε κἀνθρώπων,*
*ἢ μὴ δίδασκε τὰ κακὰ φαίνεσθαι καλά,*
*ἢ τοῖς ἐρῶσιν εὐμενὴς παρίστασο.*

**IX**

**Diogenes L. IV, 29.** *Ἀρκεσιλάου Κράντωρ ἐρωτικῶς διατεθεὶς ἐπύθετο τὰ ἐξ Ἀνδρομέδας Εὐριπίδου προσενεγκάμενος*

*Ὦ παρθέν', εἰ σώσαιμί σ', εἴσει μοι χάριν;*

*καὶ ὃς τὰ ἐχόμενα „Ἄγου με, ὦ ξένε, εἴτε δμωίδ' ἐθέλεις εἴτ' ἄλοχον.“* **Suidas,** *Εἴσῃ: γνώσῃ, λογίσῃ. Εὐριπίδης, εἰ σώσαιμί σε ἐξ Ἀνδρομέδας ὦ παρθένε, εἴσῃ μοι χάριν.* **corruptius etiam schol. Med. 473.** *παρθενεύσης ἕξει μοι χάριν* **ex Eubulo comico. V. 2. Suidas v.** *ἄλοχος.* **Herodianus** *περὶ σχημάτων* **p. 58, 9.** *παρὰ τῷ Εὐριπίδῃ παρεισάγεται ἡ Ἀνδρομέδα λέγουσα τῷ Περσεῖ*

*Ἄγου δέ μ', ὦ ξέν', εἴτε πρόσπολον θέλεις*
*εἴτ' ἄλοχον εἴτε δμωίδα.*

**X**

**Stobaeus 110. p. 581.**

*Μή μοι προτείνων ἐλπίδ' ἐξάγου δάκρυ·*
*γένοιτο δ' ἂν πόλλ' ὧν δόκησις οὐκ ἔνι.*

**XI**

**Stobaeus 61. p. 388.**

*Ὅσοι γὰρ εἰς ἔρωτα πίπτουσιν βροτῶν,*
*ἐσθλῶν ὅταν τύχωσι τῶν ἐρωμένων,*
*οὐκ ἔστι ποίας λείπεται τόθ' ἡδονῆς.*

**XII**

**Stobaeus 69. p. 399.**

*Ἔρωτα δεινὸν ἔχομεν, ἐκ δὲ τῶν λόγων*
*ἑλοῦ τὰ βέλτισθ'· ὥστ' ἄπιστόν ἐστ' ἔρως,*
*κἂν τῷ κακίστῳ τῶν φρενῶν οἰκεῖν θέλει.*

**XIII**

**Stobaeus ecl. phys. vol. II. p. 166. Heer.** *Τὸ δαιμόνιον οὐχ ὁρᾷς ὅπῃ μοίρας διεξέρχεται, στρέφει δ' ἄλλους ἄλλως εἰς ἁμέραν.*

**XIV**

**Stobaeus 29. p. 199.**

*Εὔκλειαν ἔλαβον οὐκ ἄνευ πολλῶν πόνων.*

**XV**

**Stobaeus 29. p. 200.**

*Ἀλλ' ἡδύ τοι σωθέντα μεμνῆσθαι πόνων.*

**Citatur ab Aristot. Rhet. I. 11, 8. sine nomine auctoris. Plutarchus Moral. p. 630 e.** *Ὁ δ' Εὐριπίδης τοὐναντίον ὡς ἡδύ τι τὸν σωθέντα μεμνῆσθαι πόνων.* **Latine vertit Cicero de fin. 2, 32.**

***Suavis laborum est praeteritorum memoria.***

**XVI**

**Stobaeus 50. p. 357. Lucian. Necyomant. §. 2.**

*Νεότης μ' ἐπῆρε καὶ σθένος τοῦ νοῦ πλέον.*

**Lucian. pro** *σθένος* **citat** *θράσος.*

**XVII**

**Stobaeus 65. p. 411.**

*Τῶν γὰρ πλούτων οὐδ' ἄριστος,*
*γενναῖον λέχος εὑρεῖν.*

**XVIII**

**Stobaeus 79. p. 469.**

*Ὦ τλῆμον, ὥς σοι τὰς τύχας μὲν ἀσθενεῖς*
*ἔδωχ' ὁ δαίμων, μέγα φρονοῦσι δ' οἱ λόγοι.*

**XIX**

**Stobaeus 111. p. 582.**

*Τὰς συμφορὰς γὰρ τῶν κακῶς πεπραγότων*
*οὐ πώποθ' ὕβρισ', αὐτὸς ὀρρωδῶν παθεῖν.*

**Persei verba fuisse ex Ammonio p. 25. intelligitur.**

**XX**

**Stobaeus 89. p. 502.**

*Χρυσὸν μάλιστα βούλομαι δόμοις ἔχειν.*
*καὶ δοῦλος ὢν γὰρ τίμιος πλουτῶν ἀνήρ·*
*ἐλεύθερος δὲ χρεῖος ὢν οὐδὲν σθένει.*
*χρυσοῦ νόμιζε σαυτὸν οὕνεκ' εὐτυχεῖν.*

**XXI**

**Stobaeus 96. p. 531.**

*Χρήμασιν γὰρ εὐτυχῶ,*
*ταῖς συμφοραῖσι δ', ὡς ὁρᾷς, οὐκ εὐτυχῶ.*

**XXII**

**Stobaeus 97. p. 538.**

*Ἦ που τὸ μέλλον ἐκφοβεῖ καθ' ἡμέραν·*
*ὡς τοῦ γε πάσχειν τοὔπιον μεῖζον κακόν.*

**XXIII**

**Stobaeus 93. p. 561.**

*Ὁ μὲν ὄλβιος ἦν, τὸν δ' ἀπέκρυψεν*
*θεός· ἐκ κείνων τῶν ποτὲ λαμπρῶν*
*νεύει βίοτος, νεύει δὲ τύχα*
*κατὰ πνεῦμ' ἀνέμων.*

**XXIV**

**Stobaeus 103. p. 562.**

*Οὐκ ἔστιν ὅστις εὐτυχὴς ἔφυ βροτῶν*
*ὃν μὴ τὸ θεῖον ὡς τὰ πολλὰ συνθέλει.*

**XXV**

**Stobaeus 112. p. 183.**

*Συνάλγησον· ὡς ὁ κάμνων*
*δακρύων μεταδοὺς*
*ἔχει κουφότητα μόχθων.*

**XXVI**

**Stobaeus 122. p. 613.**

*α. Τὸ ζῆν ἀφέντες τὸ κατὰ γῆν τιμῶσί σε.*
*β. κενόν γ'· ὅταν γὰρ ζῇ τις, εὐτυχεῖ, Κλέων.*

**XXVII**

**Stobaeus 75. p. 453.**

*Ἐγὼ δὲ παῖδας οὐκ ἐῶ νόθους λαβεῖν·*
*τῶν γνησίων γὰρ οὐδὲν ὄντες ἐνδεεῖς*
*νόμῳ νοσοῦσιν· ὅ σε φυλάξασθαι χρεών.*

**XXVIII**

**Stobaeus 34. p. 215.**

*Σιγᾷς; σιωπὴ δ' ἄπορος ἑρμηνεὺς λόγων.*

**XXIX**

**Stobaeus ecl. phys. vol. I. p. 118. Heer.**

*Τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι Διός.*

ἐγγύς τε ναίειν τῆς βροτῶν τιμωρίας.
a libris ex Eurip. Andromacha petitum esse dicitur.

XXX

Athenaeus XI. p. 477 a. Eustathius p. 1632, 9. Macrob. Saturn. V, 21.

Πᾶς δὲ ποιμένων ἔρρει λεώς,
ὁ μὲν γάλακτος κίσσινον φέρων σκύφος
πόνων ἀναψυκτῆρ', ὁ δ' ἀμπέλων γάνος.

XXXI

Tiberius §. 47. ed. Boissonade
Ὁρῶ δὲ πρὸς τῆς παρθένου θοινάματα.

XXXII

Schol. Aristoph. Ranar. 105. Μὴ τὸν ἐμὸν ἔχει νοῦν· ἔχεις γὰρ οἰκίαν: καὶ τοῦτο αρὰ τὸ ἐν Ἀνδρομάχῃ (Εὐριπίδου addit Suid. v. ἢ τὸν ἐμόν)
Μὴ τὸν ἐμὸν οἴκει νοῦν· ἐγὼ γὰρ ἀρκέσω.

XXXIII

Schol. Arist. Lysistr. 962. Ποία ψυχή: παρὰ ἐξ Ἀνδρομέδας
Ποῖαι λιβάδες, ποία σειρήν.

XXXIV

Schol. Platon. p. 383. Bekk. Ἐκιρνῶντο ἐν αὐταῖς αῖς συνουσίαις) κρατῆρες τρεῖς, καὶ τὸν μὲν πρῶν Διὸς Ὀλυμπίου καὶ θεῶν Ὀλυμπίων ἔλεγον, τὸν δεύτερον ἡρώων, τὸν δὲ τρίτον σωτῆρος, ὡς ἐνθά τε καὶ δὴ καὶ ἐν πολιτείᾳ. ἔλεγον δὲ αὐτὸν τέλειον, ὡς Εὐριπίδης Ἀνδρομέδᾳ καὶ Ἀριστοάνης Ταγηνισταῖς.

XXXV

Bekk. Anecd. I. p. 339, 5. Ἄγορος καὶ ἄγοροι. ριπίδης Ἀνδρομέδᾳ οἱ κατ' οἶκον ἀμφὶ δαῖτα καὶ ὑπεζαν. Αἰθίοπας σημαίνει.

XXXVI

Ibidem p. 78, 21. Αἰσχροκερδής: Εὐριπίδης δρομέδᾳ.

XXXVII

Hesychius, Ἀμείβεται: παραιτεῖται. Εὐριπί; Ἀνδρομέδᾳ. Corrigunt περαιοῦται.

## ΑΝΤΙΓΟΝΗ.

Schol. Soph. Antig. extr. (ἰστέον) ὅτι διαφέρει Εὐριπίδου Ἀντιγόνης αὕτη, ὅτι φωραθεῖσα ἐκεί, διὰ τὸν Αἵμονος ἔρωτα ἐξεδόθη πρὸς γάμον· αὖθα δὲ τοὐναντίον. Aristoph. gramm. argum. tig. Soph. Κεῖται δὲ ἡ μυθοποιία καὶ παρ' Εὐριη ἐν Ἀντιγόνῃ· πλὴν ἐκεῖ φωραθεῖσα μετὰ τοῦ μονος δίδοται πρὸς γάμου κοινωνίαν καὶ τίκτει Μαίμονα.

I

Aristoph. Ran. v. 1212.
Ἦν Οἰδίπους τὸ πρῶτον εὐδαίμων ἀνήρ.
schol. ἐξ Ἀντιγόνης Εὐριπίδου. ἔστι δὲ ἀρχὴ δράματος. Versum citant Dio Chrysost. p. 593 c. schol. Aeschyli S. c. Th. 781. Cohaeret cum eo 1218.
εἶτ' ἐγένετ αὖθις ἀθλιώτατος βροτῶν.

II

Aristoph. Ran. v. 1438. Οὐκ ἔστι πειθοῦς κ. τ. λ. ubi schol. ἐξ Ἀντιγόνης Εὐριπίδου. Cum secundo versu laudat Tzetz. ad Hesiodi Ἔργ. v. 135.
Οὐκ ἔστι Πειθοῦς ἱερὸν ἄλλο πλὴν λόγος,
καὶ βωμὸς αὐτῆς ἔστ' ἐν ἀνθρώπου φύσει.
V. 1. affert Heracl. alleg. Hom. p. 483. ed. Gale in Opusc. mythol.

III

Stobaeus 46. p. 325.
Δεῖ τοῖσι πολλοῖς τὸν τύραννον ἁνδάνειν.

IV

Stobaeus 41. p. 241.
Οἰκεῖος ἀνθρώποισι γίγνεσθαι φιλεῖ
πόλεμος ἐν ἀστοῖς, ἂν διχοστατῇ πόλις.

V

Stobaeus 47. p. 343.
Οὔτ' εἰκὸς ἄρχειν οὔτ' ἐχρῆν εἶναι νόμον·
τύραννον εἶναι μωρία τὸ καὶ θέλειν,
ὃς τῶν ὁμοίων βούλεται κρατεῖν μόνος.

VI

Stobaeus 61. p. 386.
Ἀνδρὸς δ' ὁρῶντος εἰς Κύπριν νεανίου
ἀφύλακτος ἡ τήρησις· ἢν γὰρ φαῦλος ᾖ
τἄλλ', εἰς ἔρωτα πᾶς ἀνὴρ σοφώτερος·
ἢν δ' αὖ προσῆται Κύπρις, ἥδιστον λαβεῖν.

VII

Stobaeus 62. p. 398. Plutarchus apud Stobaeum ib. p. 503.
Ἤρων· τὸ μαίνεσθαι δ' ἄρ' ἦν ἔρως βροτοῖς.

VIII

Stobaeus 65. p. 411.
Ζευχθεὶς γάμοισιν οὐκέτ' ἔστ' ἐλεύθερος,
ἀλλ' ἕν γ' ἔχει τι χρηστόν· ἐν κήδει γὰρ ὢν
ἐσθλῷ δέδοικε μηδὲν ἐξαμαρτάνειν.
Primus versus tribuitur Hippothoo apud Stobaeum 66. p. 421.

IX

Clem. Alex. Strom. VI. p. 741. Stobaeus 75. p. 452.
Ὀνόματι μεμπτὸν τὸ νόθον, ἡ φύσις δ' ἴση.

X

Stobaeus 85. p. 496.
Ἡ γὰρ δόκησις πατράσι παῖδας εἰκέναι
τὰ πολλὰ ταύτῃ γίγνεται τέκνων πέρι.

XI

Stobaeus 88. p. 500.
Τὸ μῶρον αὐτῷ τοῦ πατρὸς νόσημ' ἔνι·
φιλεῖ γὰρ οὕτως ἐκ κακῶν εἶναι κακούς.

XII

Stobaeus 91. p. 507.
Ἀνδρὸς φίλου δὲ χρυσὸς ἀμαθίας μέτα
ἄχρηστος, εἰ μὴ κἀρετὴν ἔχων τύχοι.

XIII

Stobaeus 102. p. 558.
Ἐπ' ἄκραν ἥκομεν γραμμὴν κακῶν.

XIV

Stobaeus 106. p. 567.
Μὴ νυν θέλε
λυπεῖν σεαυτόν, εἰδὼς ὅτι
πολλάκις τὸ λυποῦν ὕστερον χαρὰν ἄγει,
καὶ τὸ κακὸν ἀγαθοῦ γίγνεται παραίτιον.

XV

Stobaeus 106. p. 568.
Ὅστις δὲ πρὸς τὸ πῖπτον εὐλόγως φέρει
τὸν δαίμον', οὗτος ἧσσόν ἐστ' ἀνόλβιος.

XVI

**Stobaei Append. e cod. Flor. apud Gaisf. vol. IV. p. 28.**

*Ἄκουσον· οὐ γὰρ οἱ κακῶς πεπραγότες*
*σὺν ταῖς τύχαισι τοὺς λόγους ἀπώλεσαν.*

XVII

**Stobaeus 124. p. 619.**

*Θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος*
*ἔχει· τί γὰρ τοῦδ' ἐστὶ μεῖζον ἐν βροτοῖς;*
*τίς γὰρ πετραῖον σκόπελον οὐτάζων δορὶ*
*ὀδύναισι δώσει; τίς δ' ἀτιμάζων νέκυς,*
*εἰ μηδὲν αἰσθάνοιντο τῶν παθημάτων;*

XVIII

**Schol. Pindari Pyth. 3, 176.** *Θυώνη τῇ Σεμέλῃ φησί· διωνυμίᾳ γὰρ ἐκέχρητο. εἰσὶ δὲ οἳ καὶ τὴν αὐτὴν Διώνην λέγουσιν, ὥσπερ Εὐριπίδης ἐν Ἀντιγόνῃ*

*Ὦ παῖ Διώνης, ὡς ἔφυς μέγας θεός,*
*Διόνυσε, θνητοῖς τ' οὐδαμῶς ὑπόστατος.*

XIX

**Schol. Eurip. Phoen. 1130.** *Ἐν τῇ Ἀντιγόνῃ „Ἐπὶ χρυσεόνωτον ἀσπίδα τὰν Καπανέως.“* **Cf. Eustathius p. 707, 60. coll. 678, 23.**

XX

**Stobaei Append. ed. Gaisford. vol. IV. p. 20.**

*Νέοι νέοισι συννοσοῦσι τάφανῇ.*

---

## *ΑΝΤΙΟΠΗ.*

I

**Etymol. M. p. 411, 11. (coll. Gudiano p. 230, 57.)** *Ζῆθος — εἴρηται — ὅτι ἡ μήτηρ αὐτοῦ ἐζήτει εὐμαρῶς τεκεῖν αὐτόν, ὥς φησιν Εὐριπίδης*

*Τὸν μὲν κικλήσκει Ζῆθον· ἐζήτησε γὰρ*
*τόκοισιν εὐμάρειαν ἡ τεκοῦσά νιν.*

II

**Etymol. M. p. 92, 4.** *Λέγει Εὐριπίδης ὁ τραγικὸς ἐτυμολόγος (ἐτυμολογῶν* **Valcken.**) *τὸ Ἀμφίων, ὅτι Ἀμφίων ἐκλήθη παρὰ τὴν ἄμφοδον, ἤγουν παρὰ τὸ παρὰ τὴν ὁδὸν γεννηθῆναι.*

III

**Stephan. Byz. v.** *Ὑρία. χώρα πλησίον Αὐλίδος, — Ἡσίοδος δὲ ἐν Ὑρίᾳ τὴν Ἀντιόπην φησὶ γενέσθαι, Εὐριπίδης δ' ἐν Ὑσίᾳ.* **Harpocration,** *Ὑσίαι, — τῆς Βοιωτίας πόλις, ἧς μνημονεύει Εὐριπίδης ἐν Ἀντιόπῃ.*

IV

**Eustathius p. 1799, 54.** *Δῆλον δ' ὅτι κύειν καὶ τὸ ἔγκυον εἶναι δηλοῖ, ὃ διαφέρει τοῦ τίκτειν καθότι αὐτὸ ἀπαλλάττει τοῦ κύειν. καὶ φέρεται εἰς τοῦτο χρῆσις ἐξ Ἀντιόπης τὸ „Κύουσα τίκτον“ ἤγουν κατὰ γαστρὸς φέρουσα εἶτα ἔτεκον.* **Ammonius p. 86.** *Κύειν μὲν τὸ ἔγκυον εἶναι, τίκτειν δὲ τὸ ἀπαλλάττεσθαι τοῦ κύειν. Εὐριπίδης ἐν Ἀντιόπῃ „Κύουσα τίκτω“ εἶπεν „ἡνίκ' ἡγόμην πάλιν.“* **unde Valcken. effinxit**

*Κύουσα, τίκτω θ' ἡνίκ' ἡγόμην πάλιν.*

V

**Cedrenus p. 22 e.** *Ὁ μὲν Εὐριπίδης τὸν Δία φησὶν εἰς σάτυρον μεταβληθέντα τὴν Ἀντιόπην φθεῖραι.*

VI

**Clemens Alex. Strom. V. p. 716, 1.** *Οὔκουν ἐν κατὰ τὴν τῶν πολλῶν δόξαν περὶ τοῦ θεοῦ ὑπ-ληπτέον*

*Οὐδὲ γὰρ λάθρα δοκῶ*
*φωτὸς κακούργου σχήματ' ἐκμιμούμενον*
*σοὶ τήνδ' ἐς εὐνήν, ὥσπερ ἄνθρωπον, μολεῖν.*

*Ἀμφίων λέγει τῇ Ἀντιόπῃ.* **Hinc sumpsit Euseb. P. E. p. 679 d. ed. Viger. in quibus pro** *τήνδ'* **scribendum esse** *Ζῆν'* **monuit Valck. Diatr. p. 63.**

VII

**Stobaeus 97. p. 538.**

*Φρονῶ δ' ἃ πάσχω· καὶ τόδ' οὐ σμικρὸν κακόν·*
*τὸ μὴ εἰδέναι γὰρ ἡδονὴν ἔχει τινὰ*
*νοσοῦντα· κέρδος δ' ἐν κακοῖς ἀγνωσία.*

**V. 1. est apud Erotianum p. 210. ed. Franz. ubi legitur** *μικρόν.*

VIII

**Stobaeus 72. p. 439.**

*Οὐ σωφρονίζειν ἔμαθον, αἰδεῖσθαι δὲ χρή,*
*γύναι, τὸ λίαν καὶ φυλάσσεσθαι φθόνον.*

IX

**Schol. Il. λ, 774.** *Χόρτοι δὲ οἱ τριγχοὶ (ἐν τῷ αἰ-χαλοί) ὡς καὶ Εὐριπίδης ἐν Ἀντιόπῃ*

*Οἰνόῃ*
*σύγχορτα ναίω πεδία ταῖς τ' Ἐλευθεραῖς.*

*καὶ ἐν Ἀνδρομάχῃ* (v. 17.) *ὁμοίως.* **Citat Strab. VIII. p. 577 a.**

X

**Stobaeus 60. p. 383.**

*Οὐ χρή ποτ' ἄνδρα δοῦλον ὄντ' ἐλευθέρας*
*γνώμας διώκειν, οὐδ' ἐς ἀργίαν βλέπειν.*

**In cod. Paris. A. ex Antigona citatur.**

XI

**Stobaeus ibidem.**

*Τὸ δοῦλον οὐχ ὁρᾷς ὅσον κακόν;*

XII

**Stobaeus ibidem p. 384. extr.**

*Φεῦ φεῦ, τὸ δοῦλον ὡς ἁπανταχῇ γένος*
*πρὸς τὴν ἐλάσσω μοῖραν ὥρισεν θεός.*

XIII

**Clemens Alex. Strom. I. p. 418.** *Εὐριπίδης ἐν Ἀντιόπῃ φησὶν*

*Ἔνδον δὲ θαλάμοις βουκόλου*
*κομῶντα κισσῷ στῦλον Εὐίου θεοῦ.*

XIV

**Longin. s. XL.** *Ἐπὶ δὲ τῆς συρομένης ὑπὸ τοῦ ταύρου Δίρκης (Εὐριπίδης)*

*Εἰ δέ που τύχοι*
*πέριξ ἑλίξας, εἷλχ' ὁμοῦ λαβὼν*
*γυναῖκα, πέτραν, δρῦν, μεταλλάσσων ἀεί.*

XV

**Stobaeus ecl. phys. vol. I. p. 118. Heer.**

*Δίκα τοι δίκα χρόνιος· ἀλλ' ὅμως*
*ὑποπεσοῦσ' ἔλαθεν, ὅταν ἔχῃ*
*τιν' ἀσεβῆ βροτῶν.*

XVI

**Stobaeus ecl. phys. vol. I. p. 122. Heer.**

*Τήν τοι Δίκην λέγουσι παῖδ' εἶναι Χρόνου,*
*δείκνυσι δ' ἡμῶν ὅστις ἔστ' ἢ μὴ κακός.*

XVII

Stobaeus 68. p. 426.

*Πᾶσι δ' ἀγγέλλω βροτοῖς,*
*ἐσθλῶν ἀπ' ἀνδρῶν εὐγενῆ σπείρειν τέκνα.*

XVIII

Stobaeus ibidem p. 425.

*Κῆδος καθ' αὐτὸν τὸν σοφὸν κτᾶσθαι χρεών.*

XIX

Stobaeus 70. p. 430.

*Εἰ νοῦς ἔνεστιν· εἰ δὲ μὴ, τί δεῖ καλῆς*
*γυναικὸς, εἰ μὴ τὰς φρένας χρηστὰς ἔχοι;*

XX

Plato Gorg. p. 484 e. *Συμβαίνει γὰρ τὸ τοῦ Εὐ-πίδου, λαμπρός τ' ἐστὶν ἕκαστος ἐν τούτῳ*

*Κἀπὶ τοῦτ' ἐπείγεται,*
*νέμων τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος,*
*ἵν' αὐτὸς αὑτοῦ τυγχάνῃ βέλτιστος ὤν.*

i schol. *τὰ ἰαμβεῖα ταῦτ' ἐστὶν ἐξ Ἀντιόπης τοῦ ράματος Εὐριπίδου ἐκ τῆς Ζήθου ῥήσεως πρὸς τὸν δελφὸν Ἀμφίονα.* V. 3. *κράτιστος* Plato Alcib. II. 146 a. Plutarch. Moral. p. 514 a. 630 b.

XXI XXII

Plato ibidem p. 485 e. *Κινδυνεύω οὖν πεπονθέναι ὅπερ ὁ Ζῆθος πρὸς τὸν Ἀμφίονα ὁ Εὐριπίδου, οὗπερ ἐμνήσθην. καὶ γάρ ἐμοὶ τοιαῦτ' ἄττα ἐπέρχεται πρὸς σὲ λέγειν, οἷάπερ ἐκεῖνος πρὸς τὸν ἀδελφὸν, ὅτι ἀμελεῖς, ὦ Σώκρατες, ὧν δεῖ σε ἐπιμελεῖσθαι, καὶ φύσιν ψυχῆς ὧδε γενναίαν μειρακιώδει τινὶ διαπρέπεις μορφώματι, καὶ οὔτ' ἂν δίκης βουλαῖσι προθεῖο ἂν ὀρθῶς λόγον, οὔτ' εἰκὸς καὶ πιθανὸν ἂν λάβοις, οὔθ' ὑπὲρ ἄλλων νεανικὸν βούλευμα βουλεύσαιο.* ubi Olympiodorus, *ὁρᾷς πῶς, Εὐριπίδου γυναικώδει εἰρηκότος, αὐτὸς μειρακιώδει εἶπε.* Philostr. vit. Apollon. IV, 21. p. 160. *οἳ (ἔφησι) — νῦν ἴσως ὀμοῦνται — κόρυν μὲν οὐδεμίαν ἀείρειν, γυναικομίμῳ δὲ μορφώματι κατὰ τὸν Εὐριπίδην.* Ad seqq. Olympiod. *Εὐριπίδης εἶπεν· καὶ οὐκ ἂν ἀσπίδος κύτει προσομιλήσῃς. οὗτος δέ φησι, ...καις σχολάζει, ὦ Σώκρατες.*

XXIII

Stobaeus 30. p. 209.

*Ἀνὴρ γὰρ ὅστις, εὖ βίον κεκτημένος,*
*τὰ μὲν κατ' οἴκους ἀμελίᾳ παρεὶς ἐᾷ,*
*μολπαῖσι δ' ἡσθεὶς τοῦτ' ἀεὶ θηρεύεται,*
*ἀργὸς μὲν οἴκοις καὶ πόλει γενήσεται,*
*φίλοισι δ' οὐδείς· ἡ φύσις γὰρ οἴχεται,*
*ὅταν γλυκείας ἡδονῆς ἥσσων τις ᾖ.*

. 3—6. affert Sextus Empir. p. 363.

XXIV

Pergit Plato p. 486 b. *Καίτοι πῶς σοφὸν τοῦτ' ἐστὶν, ὦ Σώκρατες, εἴ τις εὐφυᾶ λαβοῦσα τέχνη φῶτα ἔθηκε χείρονα, μήτε αὐτὸν αὑτῷ δυνάμενον βοηθεῖν μήτ' ἐκσῶσαι* κ. τ. λ.

XXV

Plato ibidem c. *ἀλλ', ὠγαθὲ, ἐμοὶ πείθου, παῦσαι δ' ἐλέγχων, πραγμάτων δ' εὐμουσίαν ἄσκει, καὶ ἄσκει ὁπόθεν δόξεις φρονεῖν, ἄλλοις τὰ κομψὰ ταῦτ' ἀφεὶς εἴτε ληρήματα χρὴ φάναι εἶναι εἴτε φλυαρίας,*

*ἐξ ὧν κενοῖσιν ἐγκατοικήσεις δόμοις.*

His interserit Stobaeus 54. p. 369.

*τοιαῦτ' ἄειδε, καὶ δόξεις φρονεῖν*
*σκάπτων, ἀρῶν γῆν, ποιμνίων ἐπιστατῶν,*
*ἄλλοις τὰ κομψὰ ταῦτ' ἀφεὶς σοφίσματα.*

Olympiodorus, *ἐκεῖνος εἶπε τῷ Ἀμφίονι, ὅτι πολέμων δὲ εὐμουσίαν ἄσκει, οὗτος δέ φησι πραγμάτων.*

XXVI

Olympiodorus et scholiasta Platonis p. 115. *Ζῆθός φησι τῷ Ἀμφίονι, μουσικῷ ὄντι, Ῥῖψον τὴν λύραν, κέχρησο δὲ ὅπλοις* (Olymp. *καὶ κέχρησο ὅ.*).

XXVII

Dio Chrysost. or. 73. p. 635 c. *Ὡς ἐκεῖνος* (Zethus) *ἐνουθέτει τὸν ἀδελφὸν, οὐκ ἀξιῶν φιλοσοφεῖν αὐτὸν οὐδὲ περὶ μουσικὴν διατρίβειν, ἐάσαντα τὴν τῶν ἰδίων ἐπιμέλειαν· ἔφη δὲ αὐτὸν ἄτοπόν τινα καὶ ἀσύμφορον μοῦσαν εἰσάγειν, ὥσπερ ἂν τυχὸν εἴποι τις καὶ σὲ τοιαύτην προειρῆσθαι πρᾶξιν, οὐκ ἀργὸν οὐδὲ φίλοινον οὐδαμῶς, χρημάτων μέντοι τῶν αὑτοῦ ἀτημελῆ ἴσως. καὶ νὴ Δία λέγοι ἂν καὶ τόδε τὸ ἔπος*

*Ἐξ ὧν κενοῖσιν ἐγκατοικήσεις δόμοις.*

Sextus Empir. adv. Math. VI, 27. p. 362. *λέγομεν τοὐναντίον αὐτὴν ἀσύμφορον εἶναι καὶ ἀργὴν, φίλοινον, χρημάτων ἀτημελῆ.* „Inde Porson. ad Eurip. Med. 139. VII.

*Μοῦσάν τιν' ἄτοπον εἰσάγεις, ἀσύμφορον,*
*ἀργὸν, φίλοινον, χρημάτων ἀτημελῆ.*

Prioris locum fortasse tenebat versus citatus a Porsono ex Athenaeo XIV. p. 616 c. Plutarch. Moral. p. 634 f.

*Κακῶν κατάρχεις τήνδε Μοῦσαν εἰσάγων,*

apud illos irrisionis causa ita deflexus *τήνδ' ἐμοῦσαν εἰσάγων.*“ MATTHIAE.

XXVIII

Stobaei Append. apud Gaisford. vol. IV. p. 11.

*Ὅς δ' εὐγλωσσίᾳ*
*νικᾷ, σοφὸς μὲν, ἀλλὰ γὰρ τὰ πράγματα*
*κρεῖσσον νομίζω τῶν λόγων ἀεί ποτε.*

XXIX

Stobaeus 80. p. 472.

*Ἐκ παντὸς ἄν τις πράγματος δισσῶν λόγων*
*ἀγῶνα θεῖτ' ἂν, εἰ λέγειν εἴη σοφός.*

XXX

Stobaeus 3. p. 36.

*Τὸ δ' ἀσθενές μου καὶ τὸ θῆλυ σώματος*
*κακῶς ἐμέμφθης· καὶ γὰρ εἰ φρονεῖν ἔχω,*
*κρεῖσσον τόδ' ἐστὶ καρτεροῦ βραχίονος.*

XXXI

Stobaeus 52. p. 359.

*Γνώμῃ γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις,*
*εὖ δ' οἶκος, εἴς τ' αὖ πόλεμον ἰσχύει μέγα,*
*σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας*
*νικᾷ· σὺν ὄχλῳ δ' ἀμαθία μεῖζον κακόν.*

V. 3. 4. Sext. Empir. adv. Math. I, 279. p. 277. Galen. Protrept. I. p. 35. ed. Kühn. Plutarch. Moral. p. 790 a. Eustath. p. 182, 42. schol. Il. *β*, 372. et vetus inscriptio commemorata Villoison. Anecd. Gr. II. p. 144. V. 4. Pro *πλέον* Sext. Empir. l. c. et schol. Ven. habent *πλεῖστον*, Galenus *σὺν ὅπλοις δ' ἀμαθία χεῖρον ἢ κακόν*.

XXXII

Stobaeus 16. p. 153.

*Εἰ δ' εὐτυχῶν τις καὶ βίον κεκτημένος*
*μηδὲν δόμοισι τῶν καλῶν πειράσεται,*
*ἐγὼ μὲν οὔποτ' αὐτὸν ὄλβιον καλῶ,*
*φύλακα δὲ μᾶλλον χρημάτων εὐδαίμονα.*

XXXIII

Stobaeus 6. p. 79.

*Καὶ μὴν ὅσοι μὲν σαρκὸς εἰς εὐεξίαν*
*ἀσκοῦσι βίοτον, ἢν σφαλῶσι χρημάτων,*
*κακοὶ πολῖται· δεῖ γὰρ ἄνδρ' εἰθισμένον*
*ἀκόλαστον ἦθος γαστρὸς ἐν ταὐτῷ μένειν*

XXXIV

Stobaeus 3. p. 38.

*Ἐγὼ μὲν οὖν ᾄδοιμι καὶ λέγοιμί τι*
*σοφὸν, ταράσσων μηδὲν ὧν πόλις νοσεῖ.*

XXXV

Stobaeus 56. p. 374.

*Ὅστις δὲ πράσσει πολλὰ, μὴ πράσσειν παρὸν,*
*μῶρος, παρὸν ζῆν ἡδέως ἀπράγμονα.*

XXXVI

Stobaeus 46. p. 325.

*Ὁ δ' ἥσυχος φίλοισί τ' ἀσφαλὴς φίλος*
*πόλει τ' ἄριστος. μὴ τὰ κινδυνεύματα*
*αἰνεῖτ'· ἐγὼ γὰρ οὔτε ναυτίλον φιλῶ*
*τολμῶντα λίαν οὔτε προστάτην χθονός.*

XXXVII

Philostr. Vit. Soph. II. 27, 4. p. 618. *Μελέτης δὲ ὁ Ἱππόδρομος οὔτε ἐν ἀγρῷ διαιτώμενος ἠμέλει οὔτε ὁδοιπορῶν, οὔτε ἐν Θετταλίᾳ, ἀλλὰ καὶ κρεῖττον ὄλβου κτῆμα ἐκάλει αὐτὴν ἐκ τῶν Εὐριπίδου τε ὕμνων καὶ Ἀμφίονος.*

XXXVIII

Stobaeus 1. p. 1.

*Τρεῖς εἰσιν ἀρεταὶ, τὰς χρεών σ' ἀσκεῖν, τέκνον,*
*θεούς τε τιμᾶν, τούς τε φύσαντας γονεῖς,*
*νόμους τε κοινοὺς Ἑλλάδος. καὶ ταῦτα δρῶν*
*κάλλιστον ἕξεις στέφανον εὐκλείας ἀεί.*

XXXIX

Stobaeus 30. p. 210.

*Πολλοὶ δὲ θνητῶν τοῦτο πάσχουσιν κακόν·*
*γνώμῃ φρονοῦντες οὐ θέλουσ' ὑπηρετεῖν*
*ψυχῇ, τὰ πολλὰ πρὸς φίλων νικώμενοι.*

XL

Stobaeus 36. p. 217.

*Κόσμος δὲ σιγῆς στέφανος ἀνδρὸς οὐ κακοῦ·*
*τὸ δ' ἐκλαλοῦν τοῦθ' ἡδονῆς μὲν ἅπτεται,*
*κακὸν δ' ὁμίλημ', ἀσθενὲς δὲ καὶ πόλει.*

XLI

Stobaeus 96. p. 531.

*Φεῦ φεῦ, βρότειαι πημάτων ὅσαι τύχαι*
*ὅσαι τε μορφαί· τέρμα δ' οὐκ εἴποι τις ἄν.*

Clem. Alex. Strom. III. p. 435 c. *βροτείων.*

XLII

Stobaeus ibidem

*Πόλλ' ἐστὶν ἀνθρώποισιν, ὦ ξένοι, κακά.*

XLIII

Stobaeus ibidem p. 409. Grot.

*Ἔχει λόγον καὶ τοῦτο τῶν πολλῶν βροτῶν·*
*δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ' εὐτυχεῖς.*

XLIV

Stobaeus 103. p. 560.

*Τοιόσδε θνητῶν τῶν ταλαιπώρων βίος·*
*οὔτ' εὐτυχεῖ τὸ πάμπαν οὔτε δυστυχεῖ,*
*εὐδαιμονεῖ τε καὖθις οὐκ εὐδαιμονεῖ.*
*τί δῆτ' ἐν ὄλβῳ μὴ σαφεῖ βεβηκότες*
*οὐ ζῶμεν ὡς ἥδιστα, μὴ λυπούμενοι;*

V. 4. Clem. Alex. Strom. VI. p. 623. Sylb. citat *τί δή ποτ' ὄλβῳ.*

XLV

Stobaeus 61. p. 386.

*Κόρος δὲ πάντων· καὶ γὰρ ἐκ καλλιόνων*
*λέκτροις ἐν αἰσχροῖς εἶδον ἐκπεπληγμένους·*
*δαιτὸς δὲ πληρωθείς τις ἄσμενος πάλιν*
*φαύλῃ διαίτῃ προσβαλὼν ἥσθη στόμα.*

V. 4. Athen. X. p. 421 f. ubi est *ἥσθην.*

XLVI

Photius, *Εὔκρας: εὔκρατος. Εὐριπίδης*
*Βροτοῖσιν εὔκρας οὐ γένοιτ' ἂν ἡδέως.*
*ἐν Ἀντιόπῃ.* Schol. Plat. p. 211. Ruhnk. *Εὔκρας: εὔκρατος, ἢ εὐκέφαλος, ὡς Εὐριπίδης Ἀντιόπῃ.*

XLVII

Hesychius, *Εὐθυδήμονας: ἁπλοῦν δημότην. Εὐριπίδης Ἀντιόπῃ.*

XLVIII

Bekk. Anecd. p. 109, 17. et Photius, *Νόσον ἔχειν: ἀντὶ τοῦ φαῦλον ἦθος ἔχειν. Εὐριπίδης Ἀντιόπῃ.*

---

## *ΑΡΧΕΛΑΟΣ.*

I

Aristophanes Ran. 1237.

*Αἴγυπτος, ὡς ὁ πλεῖστος ἔσπαρται λόγος,*
*σὺν παισὶ πεντήκοντα ναυτίλῳ πλάτῃ*
*Ἄργος κατασχών.*

ubi schol. *Ἀρχελάου αὕτη ἐστὶν ἡ ἀρχή.*

II

Anonym. de Nili increm. post Athenaei librum II. p. 164. ed. Dindorf. post Herodot. Wessel. p. 788. Strabo V. p. 339 a. VIII. p. 570 c.

*Δαναὸς, ὁ πεντήκοντα θυγατέρων πατὴρ,*
*Νείλου λιπὼν κάλλιστον ἐκ γαίας ὕδωρ,*
*ὃς ἐκ μελαμβρότοιο πληροῦται ῥοὰς*
*Αἰθιοπίδος γῆς, ἡνίκ' ἂν τακῇ χιὼν,*
*τεθριππεύοντος ἡλίου κατὰ χθόνα,*
*ἐλθὼν ἐς Ἄργος ᾤκισ' Ἰνάχου πόλιν,*
*Πελασγιώτας δ' ὠνομασμένους τὸ πρὶν*
*Δαναοὺς καλεῖσθαι νόμον ἔθηκ' ἀν' Ἑλλάδα.*

Ex Anonymo sunt v. 1—5. e Strabone 1. 6. 7. 8. Primus versus est apud Plutarch. Moral. p. 837 e. V. 2. 3. 4. citat Diod. Sic. I, 38. V. 2. Tiberius de figur. p. 70. habet *εὐχαίης ὕδωρ.* V. 3. Pro *ῥοὰς* Anon. habet *θέρει.* V. 4. Stephan. Byz. v. *Αἰθίοψ.*

III

Dionys. Hal. de compos. verb. 25. p. 394. Schaef. *Τὸ δὲ ἐπὶ τούτῳ λαμβανόμενον κῶλον ἐξ ἀνπαίστων σύγκειται ῥυθμῶν, καὶ προάγει μέχρι ποδῶν ὀκτὼ, τὸ αὐτὸ σχῆμα διασῶζον — ὅμοιον τῷ παρ' Εὐριπίδῃ*

*Βασιλεῦ χώρας τῆς πολυβώλου,*
*κισσεῦ, πεδίον πυρὶ μαρμαίρει.*

IV

Stobaeus 94. p. 517.

*Οὐ γὰρ ὑπερθεῖν κύματος ἄκραν*

δυνάμεσθ᾽· ἔτι γὰρ θάλλει πενία,
κακὸν ἔχθιστον, φεύγει δ᾽ ὄλβος.

V

Stobaeus 86. p. 497. (Plutarch. vol. V. p. 965. ed. Wyttenb.)

Ἡμῶν τί δῆτα τυγχάνεις χρείαν ἔχων;
πατέρων γὰρ ἐσθλῶν ἐλπίδας δίδως γεγώς.
Πένης γὰρ οὐκ ἐκεῖν᾽ ἀπώλεσεν,
τὸ τοῦ πατρὸς γενναῖον.

VI

Stobaeus ibidem p. 498.

Ἐν τοῖς τέκνοις γὰρ ἀρετὴ τῶν εὐγενῶν
ἐν ἔλαβε κρείσσων τ᾽ ἐστὶ πλουσίου γάμου.

VII

Stobaeus 8. p. 97.

Ὁ δ᾽ ἡδὺς αἰὼν ἡ κακή τ᾽ ἀνανδρία
οὔτ᾽ οἶκον οὔτε πόλιν ἀνορθώσειεν ἄν.

VIII

Stobaeus 49. p. 354.

Νεανίαν γὰρ ἄνδρα χρὴ τολμᾶν ἀεί·
οὐδεὶς γὰρ ὢν ῥᾴθυμος εὐκλεὴς ἀνήρ,
ἀλλ᾽ οἱ πόνοι τίκτουσι τὴν εὐδοξίαν.

IX

Stobaeus 49. p. 355.

Ἐμὲ δ᾽ ἄρ᾽ οὐ
μοχθεῖν δίκαιον; τίς δ᾽ ἄμοχθος εὐκλεής;
τίς τῶν μεγίστων δειλὸς ὢν ὠρέξατο;

X

Stobaeus 29. p. 199.

Οὐκ ἔστιν ὅστις ἡδέως ζητῶν βιοῦν
εὔκλειαν εἰσεκτήσατ᾽, ἀλλὰ χρὴ πονεῖν.

XI

Stobaeus ibidem p. 198.

Σοὶ δ᾽ εἶπον, ὦ παῖ, τὰς τύχας ἐκ τῶν πόνων
θηρᾶν· ὁρᾷ γὰρ σὸν πατέρα τιμώμενον.

XII

Stobaeus 29. p. 200.

Σὺν μυρίοισι τὰ καλὰ γίγνεται πόνοις.

XIII

Stobaeus 52. p. 360.

Ὀλίγον ἄλκιμον δόρυ
κρεῖσσον στρατηγοῦ μυρίου στρατεύματος.

XIV

Stobaeus 49. p. 355.

Ὀλίγοι γὰρ ἐσθλοὶ κρείσσονες πολλῶν κακῶν.

XV

Stobaeus 52. p. 360. 86. p. 497.

Ἔχει δὲ καὶ τοῦτ᾽ οὐχὶ μικρόν, εὐγενὴς
ἀνὴρ στρατηγῶν εὐκλεᾶ τ᾽ ἔχων φάτιν.

eo altero pro ἔχει est φέρει.

XVI

Schol. Eurip. Phoen. 1159.

Ἐγὼ δὲ τὸν σὸν κρᾶτ᾽ ἀναστέψαι θέλω.

XVII

Stobaeus 89. p. 502.

Τί δ᾽ οὐκ ἂν εἴη χρηστὸς ὄλβιος γεγώς;

XVIII

Stobaeus ibidem.

Μὴ πλούσιον θῇς· ἐνδεέστερος γὰρ ὢν
ταπεινὸς ἔσται. κεῖνο δ᾽ ἰσχύει μέγα,
πλοῦτος, λαβών τε τοῦτον εὐγενὴς ἀνήρ.

XIX

Stobaeus ibidem.

Οὐκ ἔστι πενίας ἱερὸν, αἰσχίστης θεοῦ.
Μισῶ γὰρ ὄντως οἵτινες φρονοῦσι μὲν,
φρονοῦσι δ᾽ οὐδενός γε χρημάτων ὕπερ.

XX

Stobaeus 50. p. 357.

Νεανίας τε καὶ πένης σοφός θ᾽ ἅμα·
ταῦτ᾽ εἰς ἓν ἐλθόντ᾽ ἄξι᾽ ἐνθυμήσεως.

XXI

Stobaeus 60. p. 387.

Κρεῖσσον γὰρ οὔτε δοῦλον οὔτ᾽ ἐλεύθερον
τρέφειν ἐν οἴκοις ἀσφαλὲς τοῖς σώφροσι.

XXII

Stobaeus 20. p. 171.

Ὀργῇ δὲ φαύλῃ πόλλ᾽ ἔνεστ᾽ ἀσχήμονα.
Πόλλ᾽ ἐστὶν ὀργῆς ἐξ ἀπαιδεύτου κακά.

XXIII

Stobaeus 20. p. 172.

Τῷ γὰρ βιαίῳ κἀγρίῳ το μαλθακὸν
εἰς ταυτὸν ἐλθὸν τοῦ λίαν παρείλετο.

XXIV

Plutarchus Moral. p. 20 d.

α. Πόλλ᾽, ὦ τέκνον, σφάλλουσιν ἀνθρώπους θεοί.
β. τὸ ῥᾷστον εἶπας, αἰτιάσασθαι θεούς.

„Priorem versum citat ex Euripidis Archelao Iustin. Mart. de monarch. p. 108 c. alterum Euripidis nomine memorat Plutarch. p. 1049 e.“ WYTTENB.

XXV

Stobaeus ecl. phys. vol. I. p. 124.

Τὰ γὰρ οὐκ ὀρθῶς πρασσόμεν᾽ ὀρθῶς
τοῖς πράσσουσιν κακὸν ἦλθεν.

XXVI

Stobaeus 103. p. 562.

Πάλαι σκοποῦμαι τὰς τύχας τὰς τῶν βροτῶν,
ὡς εὖ μεταλλάσσουσιν· ὃς γὰρ ἂν σφαλῇ,
εἰς ὀρθὸν ἔστη χὠ πρὶν εὐτυχῶν πίτνει.

XXVII

Stobaeus 121. p. 613.

Ἔστιν καὶ παρὰ δάκρυσι κείμενον
ἡδὺ βροτοῖς, ὅταν
ἄνδρα φίλον στενάχῃ τις ἐν οἴκῳ.

XXVIII

Stobaeus 7. p. 86.

Ἐν δέ σοι μόνον προφωνῶ, μὴ ᾽πὶ δουλείαν ποτὲ
ζῶν ἑκὼν ἔλθῃς, παρόν σοι κατθανεῖν ἐλευθέρως.

XXIX

Stobaeus 34. p. 215.

Ἁπλοῦς ὁ μῦθος, μὴ λέγ᾽ εὖ· τὸ γὰρ λέγειν
εὖ δεινόν ἐστιν, εἰ φέροι τινα βλάβην.

XXX

Stobaeus 45. p. 322.

Τυραννίδ᾽, ἣ θεῶν δευτέρα νομίζεται·
τὸ μὴ θανεῖν γὰρ οὐκ ἔχει, τὰ δ᾽ ἄλλ᾽ ἔχει.

XXXI

Stobaeus 60. p. 383.

Ἔσωσα δούλην οὖσαν· οἱ γὰρ ἥσσονες
τοῖς κρείσσοσιν φιλοῦσι δουλεύειν βροτῶν.

XXXII

Stobaeus 77. p. 455.
*Πατρὸς δ' ἀνάγκη παισὶ πείθεσθαι λόγῳ.*

XXXIII

Stobaeus 91. p. 507.
*Πλουτεῖς; ὁ πλοῦτος δ' ἀμαθία δειλόν θ' ἅμα.*

XXXIV

Schol. Pind. Pyth. II, 54. *Πειρατὰς τοὺς κατὰ πέλαγος λῃστὰς λέγομεν, κυρίως δὲ τοὺς ἐν ὁδῷ κακουργοῦντας, παρ' ὃ δὴ καὶ ὁδουροὺς αὐτοὺς λέγουσιν. Εὐριπίδης ἐν Ἀρχελάῳ*
*Ἔπαυσ' ὁδουροὺς λυμεῶνας.*

XXXV

Stobaeus 29. p. 198.
*Τὸ συνεχὲς ἔργου παντὸς εὑρίσκει τέλος.*

XXXVI

Stobaeus 20. p. 171.
*Πολλοὺς δ' ὁ θυμὸς ὁ μέγας ὤλεσεν βροτῶν*
*ἥ τ' ἀξυνεσία, δύο κακὼ τῷ χρωμένῳ.*

---

## *ΑΥΓΗ.*

Schol. Aristoph. Ran. 1112. quum Aeschylus de Euripide dixisset, *οὐ προαγωγοὺς κατέδειξ' οὗτος καὶ τικτούσας ἐν τοῖς ἱεροῖς*, annotat, *ἔγραψε γὰρ τὴν Αὔγην ὠδίνουσαν ἐν τῷ ἱερῷ.* Strabo XIII. p. 915 b. *Εὐριπίδης δ' ὑπὸ Ἀλέου φησὶ τοῦ τῆς Αὔγης πατρὸς εἰς λάρνακα τὴν Αὔγην κατατεθεῖσαν ἅμα τῷ παιδὶ Τηλέφῳ καταποντωθῆναι, Ἀθηνᾶς δὲ προνοίᾳ τὴν λάρνακα περαιωθεῖσαν ἐκπεσεῖν εἰς τὸ στόμα τοῦ Καΐκου· τὸν δὲ Τεύθραντα ἀναλαβόντα τὰ σώματα, τῇ μὲν ὡς γαμετῇ χρήσασθαι, τῷ δὲ ὡς ἑαυτοῦ παιδί.*

I

Stobaeus 18. p. 164.
*Νῦν δ' οἶνος ἐξέστησέ μ'· ὁμολογῶ δέ σε*
*ἀδικεῖν· τὸ δ' ἀδίκημ' ἐγένετ' οὐχ ἑκούσιον.*

II

Clem. Alex. Strom. VII. p. 712. ed. Sylb. *Εὖ δὲ καὶ ἡ Αὔγη δικαιολογουμένη πρὸς τὴν Ἀθηνᾶν ἐπὶ τῷ χαλεπαίνειν αὐτῇ τετοκυίᾳ ἐν τῷ ἱερῷ λέγει*
*Σκῦλα μὲν βροτοφθόρα*
*χαίρεις ὁρῶσα καὶ νεκρῶν ἐρείπια,*
*κοὐ μιαρά σοι ταῦτ' ἔστιν, εἰ δ' ἐγὼ 'τεκον,*
*δεινὸν τόδ' ἡγεῖ.*

Huc Valcken. refert glossam Hesychii, *Ἀπενήσω; ἀπέβαλες. Εὐριπίδης Αὔγῃ.*

III

Stobaeus 61. p. 887.
*Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν*
*καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον,*
*ἢ σκαιός ἐστιν, ἢ καλῶν ἄπειρος ὢν*
*οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν.*

V. 1. 3. 4. Athenaeus XIII. p. 600 d. ubi *Ὅστις Ἔρωτα μὴ μόνον κρίνει θεόν.*

IV

Stobaeus 71. p. 433.
*Γυναῖκές ἐσμεν· τὰ μὲν ὄκνῳ νικώμεθα,*
*τὰ δ' οὐκ ἂν ἡμῶν θράσος ὑπερβάλλοιτό τις.*

V

Stobaeus 22. p. 187.
*Ποῖ; πῶς δὲ λήσει; τίς δὲ νῷν πιστὸς φίλος;*
*ζητῶμεν· ἡ δόκησις ἀνθρώποις κακὸν,*
*καὶ τοὐπιχειρεῖν ἐξαμαρτάνειν φιλεῖ.*

VI

Stobaeus 76. p. 453.
*Τίς δ' οὐχὶ χαίρει νηπίοις ἀθύρμασιν;*

VII

Stobaeus 37. p. 220.
*Τὸ γὰρ ἐπιεικὲς ὠφελεῖ τὰς συμφοράς.*

VIII

Stobaeus 44. p. 307.
*Οὐ τῶν κακούργων οἶκτος, ἀλλὰ τῆς δίκης.*

IX

Stobaeus 93. p. 561.
*Πᾶσιν γὰρ ἀνθρώποισιν, οὐχ ἡμῖν μόνον,*
*ἢ καὶ παραυτίκ', ἢ χρόνῳ δαίμων βίον*
*ἔσφηλε, κοὐδεὶς διὰ τέλους εὐδαιμονεῖ.*

X

Stobaeus 47. v. 343. Philo Iud. p. 607.
*Κακῶς δ' ὄλοιντο πάντες, οἳ τυραννίδι*
*χαίρουσιν ὀλίγῃ τ' ἐν πόλει μοναρχίᾳ·*
*τοὐλεύθερον γὰρ ὄνομα παντὸς ἄξιον,*
*κἂν σμίκρ' ἔχῃ τις, μεγάλ' ἔχειν νομίζεται.*

V. 3. 4. citantur a Philone Iud. p. 886 c. ed. Hoeschel.

XI

Apollonius Dysc. in Bekk. Anecd. p. 514, 10. *Καὶ ἐν Αὔγῃ*
*Καὶ βουθυτεῖν γὰρ ἠξίους ἐμὴν χάριν.*

XII

Hesychius, *Διέφθειρει· διῆγεν. Εὐριπίδης Αὔγῃ.* διέφερε Kusterus.

XIII

Hesychius, *Κέρας ὄρθιον: ἡ νευρά. Εὐριπίδης ἐν Αὔγῃ.*

XIV

Bekk. Anecd. p. 116, 2. *Φιλοτροφής: ἡ συνήθεια φιλότροφον λέγει. Εὐριπίδης Αὔγῃ.*

---

## *ΑΥΤΟΛΥΚΟΣ.*

I

Athenaeus X. p. 413 c. (Galen. II. p. 10. Chart. *Εὐριπίδης ἐν τῷ πρώτῳ Αὐτολύκῳ λέγει*
*Κακῶν γὰρ ὄντων μυρίων καθ' Ἑλλάδα,*
*οὐδὲν κάκιόν ἐστιν ἀθλητῶν γένους·*
*οἳ πρῶτα μὲν ζῆν οὔτε μανθάνουσιν εὖ*
*οὔτ' ἂν δύναιντο· πῶς γὰρ, ὅστις ἔστ' ἀνὴρ*
*γνάθου τε δοῦλος νηδύος θ' ἡσσημένος,*
*κτήσαιτ' ἂν ὄλβον εἰς ὑπερβολὴν πατρός;*
*οὐδ' αὖ πένεσθαι κἀξυπηρετεῖν τύχαις*
*οἷοί τ'· ἔθη γὰρ οὐκ ἐθισθέντες καλὰ,*
*σκληρῶς μεταλλάσσουσιν εἰς τἀμήχανα.*
*λαμπροὶ δ' ἐν ἥβῃ καὶ πόλεως ἀγάλματα*
*φοιτῶσ'· ὅταν δὲ προσπέσῃ γῆρας πικρὸν,*
*τρίβωνες ἐκβαλόντες οἴχονται κρόκας.*
*ἐμεμψάμην δὲ καὶ τὸν Ἑλλήνων νόμον,*

*οἳ τῶνδ' ἕκατι σύλλογον ποιούμενοι*
*τιμῶσ' ἀχρείους ἡδονὰς δαιτὸς χάριν.*
*τίς γὰρ παλαίσας εὖ, τίς ὠκύπους ἀνὴρ,*
*ἢ δίσκον ἄρας, ἢ γνάθον παίσας καλῶς,*
*πόλει πατρῴᾳ στέφανον ἤρκεσεν λαβών;*
*πότερα μαχοῦνται πολεμίοισιν ἐν χεροῖν*
*δίσκους ἔχοντες, ἢ δι' ἀσπίδων ποσὶ*
*θείνοντες ἐκβαλοῦσι πολεμίους πάτρας;*
*οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας*
*στάς. ἄνδρας οὖν ἐχρῆν σοφούς τε κἀγαθοὺς*
*φύλλοις στέφεσθαι, χὤστις ἡγεῖται πόλει*
*κάλλιστα, σώφρων καὶ δίκαιος ὢν ἀνὴρ,*
*ὅστις γε μύθοις ἔργ' ἀπαλλάσσει κακὰ,*
*μάχας τ' ἀφαιρῶν καὶ στάσεις· τοιαῦτα γὰρ*
*πόλει τε πάσῃ πᾶσί θ' Ἕλλησιν καλά.*

/. 1. 2. **Eustathius p. 1299, 20. V. 7. Athenaeus** *αὶ ξυνηρετμεῖν.* **V. 12.** *τρίβωνας ἐκλείποντες* **Dio-enes Laert. I, 56. V. 22. Plutarchus Moral. p. 581 f. 03 b.**

**II**

**Pollux X, 111.** *Εὐριπίδης μὲν εἴρηκεν ἐν Αὐτο-ύκῳ σατυρικῷ τοὺς ὄνους τοὺς λαρκαγωγοὺς οἴσειν ξ ὄρους ξύλα.*

**III**

**Pollux X, 178.** *Καὶ Εὐριπίδου ἐν Αὐτολύκῳ εἰ-όντος „Σχοινίνας γὰρ ἵπποισι φλοΐνας ἡνίας πλέ-ει.“*

---

## *ΒΕΛΛΕΡΟΦΩΝ.*

**e argumento fabulae schol. Aristoph. Acharn. 425. Pac. 135. 146. Ran. 870.**

**I**

**Plutarchus Moral. p. 529 e.** *Οὐδὲ δεῖ τοῖς ἐπαι-ις κηλούμενον ἥδεσθαι — μηδ' ὥσπερ ὁ Εὐριπί-ου Πήγασος*

*Ἔπτησσ' ὑπείκων μᾶλλον ἢ θέλοι*

*ι Βελλεροφόντῃ, τοῖς δεομένοις ἑαυτὸν ἐκδιδόναι ὰ συνεκταπεινοῦν.* **Idem p. 807 e.** *Ἀγησίλαος περὶ ς τῶν φίλων σπουδὰς αὐτὸς αὑτοῦ γινόμενος θενέστατος καὶ ταπεινότατος, ὥσπερ ὁ Εὐριπίδου ήγασος*

*Ἔπτηξ' ὑπείκων μᾶλλον ἢ μᾶλλον θέλοι.*

*ὶ ταῖς ἀτυχίαις προθυμότερον βοηθῶν τοῦ δέον-ς ἐδόκει συνεξομοιοῦσθαι ταῖς ἀδικίαις.*

**II**

**Schol. Eurip. Orest. (872.) 859-861.** *Χῶμα, οὗ μβαίνει τοὺς Ἀργείους δικάζειν. τάχα δ' ἂν τού-υ καὶ ἐν Βελλεροφόντῃ μνημονεύοι εἰπὼν*

*καὶ ξεστὸν ὄχθον Δαναϊδῶν ἑδρασμάτων.*

*ράσματα* **Hermannus.**

**III**

**Stobaeus 10. p. 127.**

*Ὡς ἔμφυτος μὲν πᾶσιν ἀνθρώποις κάκη·*
*ὅστις δὲ πλεῖστον μισθὸν εἰς χεῖρας λαβὼν*
*κακὸς γένηται, τῷδε συγγνώμη μὲν οὔ,*
*πλείω δὲ μισθὸν μείζονος τόλμης ἔχων*
*τὸν τῶν λεγόντων ῥᾷον ἂν φέροι ψόγον.*

**IV**

**Stobaeus 8. p. 96.**

*Δόλοι δὲ καὶ σκοτεινὰ μηχανήματα*
*χρείας ἀνάνδρου φάρμαχ' εὕρηται βροτοῖς.*

**V**

**Stobaeus 38. p. 222.**

*Φθονοῦσιν αὐτοὶ χείρονες πεφυκότες·*
*εἰς τἀπίσημα δ' ὁ φθόνος πηδᾶν φιλεῖ.*

**VI**

**Stobaeus 38. p. 222.**

*Ἤδη γὰρ εἶδον καὶ δίκης παραστάτας*
*ἐσθλοὺς πονηρῷ τῷ φθόνῳ νικωμένους.*

**VII**

**Stobaeus 104. p. 565.**

*α. Τιμή σ' ἐπαίρει τῶν πέλας μᾶλλον φρονεῖν.*
*β. Θνήσκοιμ' ἄν· οὐ γὰρ ἄξιον λεύσσειν φάος*
*κακοὺς ὁρῶντας ἐκδίκως τιμωμένους.*

**VIII**

**Stobaei Append. apud Gaisford. vol. IV. p. 20.**

*Ἀνὴρ δὲ χρηστὸς χρηστὸν οὐ μισεῖ ποτε,*
*κακῷ κακός τε συντέτηκεν ἡδοναῖς·*
*φιλεῖ δὲ θοὐμόφυλον ἀνθρώπους ἄγειν.*

**Versu 2. ad orationem suam accommodato utitur Aristoteles Magn. Moral. II, 11. Ethic. Eudem. VII, 2.**

**IX**

**Stobaeus 52 p. 360.**

*Νείκη γὰρ ἀνδρῶν φόνια καὶ μάχας χερῶν*
*δόλοισι κλέπτειν· τῆς δ' ἀληθείας ὁδὸς*
*φαύλη τίς ἐστι, ψεύδεσιν δ' Ἄρης φίλος.*

**X**

**Stobaeus ibidem.**

*Ἀεὶ γὰρ ἄνδρα σκαιὸν ἰσχυρὸν φύσει*
*ἧσσον δέδοικα τἀσθενοῦς τε καὶ σοφοῦ.*

**XI**

**Stobaeus 88. p. 501.**

*Οὐκ ἂν γένοιτο τραύματ', ἤν τις ἐγχύσῃ*
*θάμνοις ἐλείοις, οὐδ' ἂν ἐκ μητρὸς κακῆς*
*ἐσθλοὶ γένοιντο παῖδες εἰς ἀλκὴν δορός.*

**XII**

**Stobaeus 71. p. 432.**

*Ὦ παγκακίστη καὶ γυνή· τί γὰρ λέγων*
*μεῖζόν σε τοῦδ' ὄνειδος ἐξείποι τις ἄν;*

**XIII**

**Stobaeus 114. p. 585.**

*Ὦ παῖ, νέων τι δρᾶν μὲν ἔντονοι χέρες,*
*γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων·*
*ὁ γὰρ χρόνος δίδαγμα ποικιλώτατον.*

**Phurnutus de N. D. p. 222. ed. Gale.** *Ὡς γὰρ νέων τι δρᾶν εὐτονώτεραι αἱ χεῖρες, οὕτω ψυχαὶ ἀμείνους τῶν γεραιτέρων πολύ.*

**XIV**

**Stobaeus 7. p. 86.**

*Θάρσος δὲ πρὸς τὰς συμφορὰς μέγα σθένει.*

**XV**

**Stobaeus ecl. phys. vol. I. p. 154.**

*Πρὸς τὴν ἀνάγκην πάντα τἄλλ' ἔστ' ἀσθενῆ.*

**XVI**

**Schol. Arist. Vesp. 754.** *Πάρες, ὦ σκιεράς παρὰ τὰ ἐκ Βελλεροφόντου παίζει ταῦτα*

*Πάρες, ὦ σκιερὰ φυλλὰς, ὑπερβῶ*
*κρηναῖα νάπη· τὸν ὑπὲρ κεφαλῆς*

αἰθέρ' ἰδέσθαι σπεύδω τίν' ἔχει
στάσιν Εἰνοδίας.

XVII

Aristoph. Pac. 75. Ὦ Πηγάσιόν μοι, φησί, γενναῖον πτερόν: ubi schol. παρὰ τὸ ἐκ Βελλεροφόντου. ἐκεῖνος γὰρ διὰ τοῦ Πηγάσου τοῦ πτερωτοῦ ἐπεθύμει καὶ εἰς τὸν οὐρανὸν ἀνελθεῖν

Ἄγ' ὦ φίλον μοι Πηγάσου πτερόν·

Eadem Suidas v. ἐώρημα, ubi pro πτερόν habet ταχύπτερον. Porsono versus quoque 139. τί δ' ἢν ἐς ὑγρὸν πόντιον πέσῃ βάθος; ex Euripidis Bellerophonte desumptus esse videbatur.

XVIII

Schol. Arist. Pac. 115. Καὶ τάδε ἐκ Βελλεροφόντου

Ἴθι χρυσοχάλιν' αἴρων πτέρυγας,
τὸν κάνθαρον τῷ Πηγάσῳ ἐπεικάζων.

XIX

Arist. Equ. 1246.

Κυλίνδετ' εἴσω τόνδε τὸν δυσδαίμονα.

ubi schol. ταῦτα δὲ ἐκ Βελλεροφόντου Εὐριπίδου. τὸ δὲ κυλίνδετ' ἀντὶ τοῦ κομίζετε.

XX

Stobaeus 95. p. 519.

Ἐγὼ τὸ μὲν δὴ πανταχοῦ θρυλούμενον
κράτιστον εἶναί φημι, μὴ φῦναι βροτῷ·
τρισσῶν δὲ μοιρῶν ἐγκρινῶ νικᾶν μίαν,
πλούτου τε, χὤτῳ σπέρμα γενναῖον προσῇ,
πενίας τ'· ἀριθμὸν γὰρ τοσόνδε προὐθέμην.
ὁ μὲν ζάπλουτος, εἰς γένος δ' οὐκ εὐτυχής,
ἀλγεῖ μὲν ἀλγεῖ, παγκάλως δ' ἀλγύνεται,
ὄλβου διοίγων θάλαμον ἥδιστον χερί.
ἔξω δὲ βαίνων τοῦδε, τὸν πάρος χρόνον
πλουτῶν, ὑπ' ἄτης ζεῦγμ' ἂν ἀσχάλλοι πεσών.
ὅστις δὲ γαῦρον σπέρμα γενναῖόν τ' ἔχων
βίου σπανίζει, τῷ γένει μὲν εὐτυχεῖ,
πενίᾳ δ' ἐλάσσων ἐστὶν, ἐν δ' ἀλγύνεται,
φρενῶν δ' ὑπ' αἰδοῦς ἔργ' ἀπωθεῖται χεροῖν.
ὁ δ' οὐδὲν οὐδεὶς, διὰ τέλους δὲ δυστυχῶν,
τοσῷδε νικᾷ· τοῦ γὰρ εὖ τητώμενος
οὐκ οἶδεν, ἀεὶ δυστυχῶν κακῶς τ' ἔχων.
οὕτως ἄμεινον μὴ πεπειρᾶσθαι καλῶν.
ἐκεῖνο γὰρ μεμνήμεθ'· οἷος ἦν ποτὲ
κἀγὼ, μετ' ἀνδρῶν ἡνίκ' εὐτύχουν ποτέ.

V. 1. 2. Stobaeus 96. p. 531. V. 8. ὄλβου] πλούτου Plutarchus Moral. p. 1069 a. V. 11—14. Stobaeus 94. p. 517.

XXI

Iustin. Martyr. de monarch. p. 108 c. ed. Colon.

Φησίν τις εἶναι δῆτ' ἐν οὐρανῷ θεούς;
οὐκ εἰσὶν οὐκ εἴσ'. εἴ τις ἀνθρώπων λέγει,
μὴ τῷ παλαιῷ μῶρος ὢν χρήσθω λόγῳ.
σκέψασθε δ' αὐτὰ, μὴ 'πὶ τοῖς ἐμοῖς λόγοις
γνώμην ἔχοντες. φήμ' ἐγὼ τυραννίδα
κτείνειν τε πλείστους κτημάτων τ' ἀποστερεῖν,
ὅρκους τε παραβαίνοντας ἐκπορθεῖν πόλεις.
καὶ ταῦτα δρῶντες μᾶλλόν εἰσ' εὐδαίμονες
τῶν εὐσεβούντων ἡσυχῇ καθ' ἡμέραν·
πόλεις τε μικρὰς οἶδα τιμώσας θεούς,
αἳ μειζόνων κλύουσι δυσσεβεστέρων,
λόγχης ἀριθμῷ πλείονος κρατούμεναι.
οἶμαι δ' ἂν ὑμᾶς, εἴ τις ἀργὸς ὢν θεοῖς
εὔχοιτο, καὶ μὴ χειρὶ συλλέγοι βίον,
τὰ θεῖα πυργοῦσ', αἱ κακαί τε συμφοραί.

XXII

Stobaeus 98. p. 539.

Πρὸς τὴν νόσον τοι καὶ τὸν ἰατρὸν χρεὼν
ἰδόντ' ἰᾶσθαι, μὴ 'πιτακτὰ φάρμακα
διδόντ', ἐὰν μὴ ταῦτα τῇ νόσῳ πρέπῃ.

XXIII

Stobaeus ibidem.

Νόσοι δὲ θνητῶν αἱ μὲν εἰσ' αὐθαίρετοι,
αἱ δ' ἐκ θεῶν πάρεισιν, ἀλλὰ τῷ νόμῳ
ἰώμεθ' αὐτάς. ἀλλά σοι λέξαι θέλω,
εἰ θεοί τι δρῶσιν αἰσχρὸν, οὐκ εἰσὶν θεοί.

V. 3 Plutarch. Moral. p. 21 a. 1049 e. qui priore loco pro αἰσχρὸν habet φαῦλον, ut Iustin. M. p. 106.

XXIV

Plutarch. Moral. p. 475 c. Diogenes Laert. IV, 26. Suidas in οἴμοι, Hesychius Miles. p. 23.

Οἴμοι, τί δ' οἴμοι; θνητά τοι πεπόνθαμεν.

XXV

Stobaeus 110. p. 581.

Ὁρᾷς δ' ἀέλπτων μυρίων ἀναστροφάς.
πολλοὶ μὲν οἶδμα διέφυγον θαλάσσιον,
πολλοὶ δὲ λόγχαις πολεμίων ἀμείνονες
ἥσσους γεγῶτες κρείσσον' ἦλθον εἰς τύχην.

XXVI

Stobaeus 2. p. 30. Theoph. ad Autolyc. p. 115. ed. Paris..

Οὐδέποτ' εὐτυχίαν κακοῦ ἀνδρὸς ὑπέρφευγ' τ' ὄλβον
βέβαιον εἰκάσαι χρεὼν,
οὐδ' ἀδίκων γενεάν· ὁ γὰρ οὐδενὸς ἐκφὺς
χρόνος δικαίους ἐπάγων κανόνας
δείκνυσιν ἀνθρώπων κακότητας ἐμοί.

XXVII

Stobaeus 103. p. 560.

Ποῦ δὴ τὸ σαφὲς θνατοῖσι βιοτᾶς;
θοαῖσι μὲν ναυσὶ πόρον πνοαὶ κατὰ
βένθος ἅλιον ἰθύνουσι· τύχας δὲ θνητῶν
τὸ μὲν μέγ' εἰς οὐδὲν ὁ πολὺς χρόνος
μεθίστησι, τὸ δὲ μεῖον αὔξων.

XXVIII

Stobaeus 52. p. 360. 106. p. 568. Plutarch. Moral. p. 467 a. de vita Hom. p. 1194. ed. Wyttenb. Arrian. dissert. Epictet. II, 5.

Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών·
μέλει γὰρ αὐτοῖς οὐδέν· ἀλλ' οὑντυγχάνων,
τὰ πράγματ' ὀρθῶς ἢν τιθῇ, πράσσει καλῶς.

XXIX

Aelian. N. A. V, 34. Τοιοῦτόν τινα καὶ τὸν Βελλεροφόντην ἡρωικῶς καὶ μεγαλοψύχως εἰς θάνατον παρεσκευασμένον ὑμνεῖ ὁ Εὐριπίδης· πεποίηκε γοῦν πρὸς τὴν ἑαυτοῦ ψυχὴν λέγοντα αὐτὸν

Ἦσθ' εἰς θεοὺς μὲν εὐσεβὴς, ὅτ' ἦσθ', ἀεὶ
ξένοις τ' ἐπήρκεις, οὐδ' ἔκαμνες εἰς φίλους.

XXX

Aristoph. Pac. 721.

Ὑφ' ἅρματ' ἐλθὼν Ζηνὸς ἀστραπηφορεῖ.
ibi schol. ὁ στίχος ἐκ Βελλεροφόντου Εὐριπίδου.

„Huc referendus esse videtur locus apud schol. Aristophan. Pac. 96. Καὶ Εὐριπίδης ἔρχεσθαι ὀλολύζετ' ὦ γυναῖκες ὡς ἐλέχθη θεὰ ἡ χρυσὸν ἔχουσα γοργόνα ἐπίκουρος πόλει. quae Seidlerus sic emendavit, Ὀλολύζειν ἀντὶ τοῦ εὔχεσθαι. καὶ Εὐριπίδης
Ὀλολύζετ', ὦ γυναῖκες, ὡς ἔλθῃ θεὰ
χρυσῆν ἔχουσα Γοργόν' ἐπίκουρος πόλει.
Iam quae paulo ante ex Euripide commemorata sunt, a e Bellerophonte sumpta esse annotatur.“ MATTHIAE.

## ΒΟΥΣΙΡΙΣ.

I

Stobaeus 60. p. 384.
Δούλῳ γὰρ οὐχ οἷόν τε τἀληθῆ λέγειν,
εἰ δεσπόταισι μὴ πρέποντα τυγχάνοι.

II

Hesychius, Ἀγνίσαι: ἀποθῦσαι, Βουσίριδι. ii Εὐριπίδης excidisse censent.

III

Hesychius, Ἀτρεκήσασα: ἀκριβωσαμένη. Εὐριπίδης Βουσίριδι.

## ΔΑΝΑΗ.

Pollux IV, 111. Τῶν δὲ χορικῶν ᾀσμάτων τῶν ἐμικῶν ἕν τι καὶ ἡ παράβασις, ὅταν ἃ ὁ ποιητὴς πρὸς τὸ θέατρον βούλεται λέγειν, ὁ χορὸς παρελθὼν γῃ ταῦτα. ἐπιεικῶς δὲ αὐτὸ ποιοῦσιν οἱ κωμῳδοποιηταί. τραγικὸν δὲ οὐκ ἔστιν, ἀλλ' Εὐριπίδης τὸ πεποίηκεν ἐν πολλοῖς δράμασιν. ἐν μέν γε ανάῃ (codices Δαναΐδι) τὸν χορὸν τὰς γυναῖκας ὑπὲρ αὐτοῦ τι ποιήσας παρειπεῖν, ἐκλαθόμενος ὡς ἄνδρας λέγειν ἐποίησε τῷ σχήματι τῆς λέξεως τὰς γυναῖκας.

I

Stobaeus 76. p. 453.
Τάχ' ἂν πρὸς ἀγκάλαισι καὶ στέρνοις ἐμοῖς
πηδῶν ἀθύροι καὶ φιλημάτων ὄχλῳ
ψυχὴν ἐμὴν κτήσαιτο· ταῦτα γὰρ βροτοῖς
φίλτρον μέγιστον, αἱ ξυνουσίαι, πάτερ.

II

Stobaeus 69. p. 429.
Καὶ νῦν παραινῶ πᾶσι τοῖς νεωτέροις
μὴ πρὸς τὸ γῆρας τοὺς γάμους ποιουμένους
σχολῇ τεκνοῦσθαι παῖδας· — οὐ γὰρ ἡδονή,
γυναικί τ' ἐχθρὸν χρῆμα πρεσβύτης ἀνήρ —
ἀλλ' ὡς τάχιστα· καὶ γὰρ ἐκτροφαὶ καλαὶ
καὶ συννεάζων ἡδὺ παῖς νέῳ πατρί.

III

Stobaeus 73. p. 448.
Γύναι, φίλον μὲν φέγγος ἡλίου τόδε,
καλὸν δὲ πόντου χεῦμ' ἰδεῖν εὐήνεμον,
γῆ τ' ἠρινὸν θάλλουσα πλούσιόν θ' ὕδωρ,
πολλῶν τ' ἔπαινον ἐστί μοι λέξαι καλῶν·
ἀλλ' οὐδὲν οὕτω λαμπρὸν οὐδ' ἰδεῖν καλόν,
ὡς τοῖς ἄπαισι καὶ πόθῳ δεδηγμένοις
παίδων νεογνῶν ἐν δόμοις ἰδεῖν φάος.

IV

Stobaeus eclog. phys. vol. I. p. 216.
Ἐς ταυτὸν ἥκειν φημὶ τὰς βροτῶν τύχας
τόνδ' ὃν καλοῦσιν αἰθέρ', ᾧ τάδ' ἐστὶ δή.
οὗτος θέρους τε λαμπρὸν ἐκλάμπει σέλας,
χειμῶνά τ' αὔξει συντιθεὶς πυκνὸν νέφος,
θάλλειν τε καὶ μή, ζῆν τε καὶ φθίνειν ποιεῖ.
οὕτω δὲ θνητῶν σπέρμα τῶν μὲν εὐτυχεῖ
λαμπρᾷ γαλήνῃ, τῶν δὲ συννεφεῖ πάλιν,
ζῶσίν τε σὺν κακοῖσιν, οἱ δ' ὄλβου μέτα
φθίνουσ' ἐτείοις προσφερεῖς μεταλλαγαῖς.

V

Stobaeus 7. p. 86.
Φεῦ, τοῖσι γενναίοισιν ὡς ἁπανταχοῦ
πρέπει χαρακτὴρ χρηστὸς εἰς εὐψυχίαν.

VI

Stobaeus 10. p. 127.
Κρείσσων γὰρ οὔτις χρημάτων πέφυκ' ἀνήρ,
πλὴν εἴ τις· ὅστις δ' οὗτός ἐστιν, οὐχ ὁρῶ.

VII

Stobaeus 16. p. 153.
Ὅστις δόμους μὲν ἥδεται πληρουμένους,
γαστρὸς δ' ἀφαιρῶν σῶμα δύστηνον κακοῖ,
τοῦτον νομίζω καὶ θεῶν συλᾶν βρέτη,
τοῖς φιλτάτοις τε πολέμιον πεφυκέναι.

VIII

Stobaeus 62. p. 398.
Ἔρως γὰρ ἀργὸν κἀπὶ τοῖς ἀργοῖς ἔφυ·
φιλεῖ κάτοπτρα καὶ κόμης ξανθίσματα,
φεύγει δὲ μόχθους. ἓν δέ μοι τεκμήριον·
οὐδεὶς προσαιτῶν βίοτον ἠράσθη βροτῶν,
ἐν τοῖς δ' ἔχουσιν ἡβητὴς πέφυχ' ὅδε.
V. 1. ἀργοῖς Piersonus. Stobaeus ἔργοις. κἀπὶ τοιούτοις Plutarchus Moral. p. 757 a. (coll. 760 d.)

IX

Stobaeus 75. p. 452.
Γυνὴ γὰρ ἐξελθοῦσα πατρῴων δόμων
οὐ τῶν τεκόντων ἐστίν, ἀλλὰ τοῦ λέχους·
τὸ δ' ἄρσεν ἕστηκ' ἐν δόμοις ἀεὶ γένος
θεῶν πατρῴων καὶ τάφων τιμάορον.
V. 1. 2. Stobaeus 71. p. 432. ubi γυνὴ μέν.

X

Stobaeus 71. p. 432.
Ἦν γάρ τις αἶνος ὡς γυναιξὶ μὲν τέχναι
μέλουσι, λόγχῃ δ' ἄνδρες εὐστοχώτεροι.
εἰ γὰρ δόλοισιν ἦν τὸ νικητήριον,
ἡμεῖς ἂν ἀνδρῶν εἴχομεν τυραννίδα.

XI

Stobaeus ibidem.
Συμμαρτυρῶ σοι· πανταχοῦ λελείμμεθα
πᾶσαι γυναῖκες ἀρσένων ἀεὶ δίχα.

XII

Stobaeus 95. p. 519.
Φιλοῦσι γάρ τοι τῶν μὲν ὀλβίων βροτοὶ
σοφοὺς τίθεσθαι τοὺς λόγους, ὅταν δέ τις
λεπτῶν ἀπ' οἴκων εὖ λέγῃ πένης ἀνήρ,
γελᾶν. ἐγὼ δὲ πολλάκις σοφωτέρους
πένητας ἄνδρας εἰσορῶ τῶν πλουσίων,
καὶ θεοῖσι μικρὰ χειρὶ θύοντας τέλη
τῶν βουθυτούντων ὄντας εὐσεβεστέρους.

V. 6. 7. Athenaeus II. p. 40 c. exscriptus ab Eustathio p. 892, 39.

XIII

Stobaeus LXXIV, 13. Gaisf.

*Οὐκ ἔστιν οὔτε τεῖχος οὔτε χρήματα,*
*οὔτ' ἄλλο δυσφύλακτον οὐδὲν ὡς γυνή.*

Qui versus LXXIII, 42. Alexidi tribuuntur.

XIV

Athen. IV. p. 159 b. Stobaeus 89. p. 501. Maximus in Gesn. ed. Stob. p. 759.

*Ὦ χρυσὲ, δεξίωμα κάλλιστον βροτοῖς,*
*ὡς οὔτε μήτηρ ἡδονὰς τοιάσδ' ἔχει,*
*οὐ παῖδες ἀνθρώποισιν, οὐ φίλος πατὴρ,*
*οἵας σὺ χοἱ σὲ δώμασιν κεκτημένοι.*
*εἰ δ' ἡ Κύπρις τοιοῦτον ὀφθαλμοῖς ὁρᾷ,*
*οὐ θαῦμ' ἔρωτας μυρίους αὐτὴν τρέφειν.*

V. 1. Sextus Empir. adv. Gramm. XI, 122. p. 713. Lucianus Gall. vol. I. p. 153. V. 1—4. Sextus Emp. ib. I, 279. p. 277. Athenag. apol. p. 117. E Bellerophonte petitos esse Seneca indicavit ep. 115. memoriae errore, ut videtur. V. 3. *ἐν δόμοισιν* Athenaeus.

XV

Stobaeus XCI, 23. XCII, 6. Gaisf.

*Ἆρ' οἶσθ' ὁθούνεχ' οἱ μὲν εὐγενεῖς βροτῶν*
*πένητες ὄντες οὐδὲν ἐμφαίνουσ' ἔτι,*
*οἳ δ' οὐδὲν ἦσαν πρόσθεν, ὄλβιοι δὲ νῦν,*
*δόξαν φέρονται τοῦ νομίσματος χάριν,*
*καὶ συμπλέκοντες σπέρμα καὶ γάμους τέκνων;*
*δοῦναι δὲ μᾶλλον πλουσίῳ πᾶς τις κακῷ*
*πρόθυμός ἐστιν ἢ πένητι κἀγαθῷ,*
*κακὸς δ' ὁ μὴ 'χων, οἱ δ' ἔχοντες ὄλβιοι.*

V. 2. Codex Paris. A. priore loco *ἐμφαίνουσ'*, altero *ἀναφαίνουσ'*.

---

## *ΔΙΚΤΥΣ.*

I

Plutarchus Moral. p. 106. *Ὁ δὲ παραμυθούμενος τὴν Δανάην δυσπενθοῦσαν Δίκτυς φησὶ*

*Δοκεῖς τὸν Ἅιδην σῶν τι φροντίζειν γόων*
*καὶ παῖδ' ἀνήσειν τὸν σὸν, εἰ θέλοις στένειν;*
*παῦσαι· βλέπουσα δ' εἰς τὰ τῶν πέλας κακὰ*
*ῥᾴων γένοι' ἂν, εἰ λογίζεσθαι θέλοις,*
*ὅσοι τε δεσμοῖς ἐκμεμόχθηνται βροτῶν,*
*ὅσοι τε γηράσκουσιν ὀρφανοὶ τέκνων,*
*τούς τ' ἐκ μεγίστης ὀλβίας τυραννίδος*
*τὸ μηδὲν ὄντας· ταῦτά σε σκοπεῖν χρεών.*

V. 7. *μέγιστον* Elmsleius.

II

Stobaeus 13. p. 145.

*Θάρσει· τό τοι δίκαιον ἰσχύει μέγα.*

III

Schol. Soph. Ai. 787. *Τί μ' αὖ τάλαιναν:* πρὸς τὸ Εὐριπίδου ἐν Δίκτυϊ „*Τί μ' ἄρτι πημάτων λελησμένην ὀρθοῖς;*"

IV

Stobaeus 81. p. 474.

*Εἷς γάρ τις ἐστὶ κοινὸς ἀνθρώποις νόμος,*
*καὶ θεοῖσι τοῦτο δόξαν, ὡς σαφῶς λέγω,*
*θηρσίν τε πᾶσι, τέκνα τίκτουσιν φιλεῖν·*
*τὰ δ' ἄλλα χωρὶς χρώμεθ' ἀλλήλων νόμοις.*

V

Stobaeus 50. p. 357.

*Νέος, πόνοις δέ γ' οὐκ ἀγύμναστος φρένας.*

*πόνοισι δ' οὐκ* Musgravius.

VI

Stobaeus 62. p. 399.

*Κύπρις γὰρ οὐδὲ νουθετουμένη χαλᾷ,*
*ἤν τ' αὖ βιάζῃ, μᾶλλον ἐντείνειν φιλεῖ,*
*κἄπειτα τίκτει πόλεμον· εἰς δ' ἀνάστασιν*
*δόμων περαίνει πολλάκις τὰ τοιάδε.*

V. 1. 2. Galenus V. p. 149. Charter. (V. p. 411. Kühn.) ubi v. 2. *ἂν γὰρ.*

VII

Stobaeus 81. p. 474.

*Πατέρα τε παισὶν ἡδέως συνεκφέρειν*
*φίλους ἔρωτας ἐκβαλόντ' αὐθαδίαν,*
*παῖδάς τε πατρί· καὶ γὰρ οὐκ αὐθαίρετοι*
*βροτοῖς ἔρωτες, οὐδ' ἑκουσία νόσος.*
*σκαιόν τι δὴ τὸ χρῆμα γίγνεσθαι φιλεῖ,*
*θεῶν ἀνάγκας ὅστις ἰᾶσθαι θέλει.*

VIII

Stobaeus eclog. phys. vol. I. p. 272.

*Φίλος γὰρ ἦν μοι· καί μ' ἔρως ἕλοι ποτὲ*
*οὐκ εἰς τὸ μῶρον, οὐδέ μ' εἰς Κύπριν τρέπων.*
*ἀλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως,*
*ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς.*
*καὶ χρῆν δὲ τοῖς βροτοῖσι τόνδ' εἶναι νόμον,*
*τῶν εὐσεβούντων οἵτινές γε σώφρονες*
*ἐρᾶν, Κύπριν δὲ τὴν Διὸς χαίρειν ἐᾶν.*

V. 3. 4. Plutarchus Moral. p. 11 e. et ex Euripidis Theseo Stobaeus 5. p. 63. ubi locus deest in Paris. A.

IX

Stobaeus ibidem.

*Ὄντων δὲ παίδων καὶ πεφυκότος γένους,*
*καινοὺς φυτεῦσαι παῖδας ἐν δόμοις θέλεις,*
*ἔχθραν μεγίστην σοῖσι συμβάλλων τέκνοις.*

X

Stobaeus ibidem.

*Ἐγὼ νομίζω πατρὶ φίλτατον τέκνον,*
*παισίν τε τοὺς τεκόντας, οὐδὲ συμμάχους*
*ἄλλους γενέσθαι φήμ' ἂν ἐνδικωτέρους.*

XI

Stobaeus 84. p. 492.

*Εἰς δ' εὐγένειαν ὀλίγ' ἔχω φράσαι καλά·*
*ὁ μὲν γὰρ ἐσθλὸς εὐγενὴς ἔμοιγ' ἀνὴρ,*
*ὁ δ' οὐ δίκαιος, κἂν ἀμείνονος πατρὸς*
*Ζηνὸς πεφύκῃ, δυσγενὴς εἶναι δοκεῖ.*

XII

Stobaeus 91. p. 507. 92. p. 511.

*Μή μοί ποτ' εἴη χρημάτων νικωμένῳ*
*κακῷ γενέσθαι, μηδ' ὁμιλοίην κακοῖς.*

XIII

Stobaeus 37. p. 226.

*Εἰ δ' ἦσθα μὴ κάκιστος, οὔποτ' ἂν πόλιν*
*τὴν σὴν ἀτίζων τήνδ' ἂν εὐλόγεις πάτραν.*

XIV

Stobaeus ibidem.

*Ὡς ἕν γ' ἐμοὶ κρίνοιτ' ἂν οὐ καλῶς φρονεῖν*
*ὅστις πατρῴας γῆς ἀτιμάζων ὅρους*
*ἄλλην ἐπαινεῖ καὶ τρόποισιν ἥδεται.*

XV

Stobaeus 88. p. 500.

*Φεῦ φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει·*
*οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός.*

XVI

Stobaeus 104. p. 565.

*Πολλοῖς παρέστην κἀφθόνησα δὴ βροτῶν*
*ὅστις κακοῖσιν ἐσθλὸς ὢν ὅμοιος ᾖ,*
*λόγων ματαίων εἰς ἅμιλλαν ἐξιών.*
*τὸ δ' ἦν ἄρ' οὐκ ἀκουστὸν οὐδ' ἀνασχετὸν,*
*σιγᾶν κλύοντα δεινὰ πρὸς κακιόνων.*

XVII

Stobaeus 36. p. 217.

*Τυραννικόν τι πόλλ' ἐπίστασθαι λέγειν.*

XVIII

Stobaeus 42. p. 276.

*Μὴ νεῖκος, ὦ γεραιὲ, κοιράνοις τίθου,*
*σέβειν δὲ τοὺς κρατοῦντας ἀρχαῖος νόμος.*

---

## ΕΡΕΧΘΕΥΣ.

Plutarchus Moral. p. 310 d. *Ἐρεχθεὺς πρὸς Εὔμολπον πολεμῶν ἔμαθε νικῆσαι, ἐὰν τὴν θυγατέρα προθύσῃ· καὶ συγκοινωνήσας τῇ γυναικὶ Πραξιθέᾳ προέθυσε τὴν παῖδα. μέμνηται Εὐριπίδης ἐν Ἐρεχθεῖ.*

I

Clem. Alex. Strom. VI. p. 619 d. Eustathius p. 1058, 4.

*Ἐν ἀστρώτῳ πέδῳ*
*εὕδουσι, πηγαῖς δ' οὐχ ὑγραίνουσιν πόδας.*

de Sellis, oraculi Dodonaei sacerdotibus, qui *ἀνιπτόποδες, χαμαιεῦναι* vocantur Il. *π*, 224. haec dicta.

[Ex hac fabulae parte versus est ab Eustathio p. 720, 23. servatus

*Τοὐνθένδ' ἀπίχθυς βαρβάρους οἰκεῖν δοκῶ.*

quem Aristophani non recte tribui ostendi ad comici fragmenta p. 8. G. DINDORF.]

II

Append. Vatic. II, 67. p. 292. *Μίασμα δρυός:* παρ' *Εὐριπίδῃ ἐν Ἐρεχθεῖ αἰνιττόμενον τὸ Θηβαίων παρανόμημα εἰς τὸ ἐν Δωδώνῃ μαντεῖον. — ἐνέβησαν γὰρ εἰς τὴν ἱέρειαν εἰσβαλόντες αὐτὴν εἰς τὸν ἐν Δωδώνῃ λέβητα ζέοντα ἐρωτικῶς διατεθεῖσαν εἰς ἕνα τῶν θεωρῶν.*

III

Hesychius, *Ζεῦγος τριπάρθενον: Εὐριπίδης Ἐρεχθεῖ.* Theon schol. in Arat. 169. *Εὐριπίδης μὲν ἐν Ἐρεχθεῖ τὰς Ἐρεχθέως θυγατέρας Ὑάδας φησὶ γενέσθαι τρεῖς οὔσας.*

IV

Stobaeus 52. p. 360.

*Οὐδεὶς στρατεύσας ἄδικα σῶς ἦλθεν πάλιν.*

V

Stobaeus 49. p. 355.

*Ὀλίγους ἐπαινῶ μᾶλλον ἢ πολλοὺς κακούς.*

VI

Stobaeus 52. p. 360.

*Ὡς σὺν θεοῖσι τοὺς σοφοὺς κινεῖν δόρυ*
*στρατηλάτας χρὴ, τῶν θεῶν δὲ μὴ βίᾳ.*

VII

Stobaeus 57. p. 378.

*Ναῦς ἡ μεγίστη κρεῖσσον ἢ μικρὸν σκάφος.*

VIII

Stobaeus 52. p. 360.

*Μισῶ δ' ὅταν τις καὶ χθονὸς στρατηλάτης*
*μὴ πᾶσι πάντων προσφέρῃ μειλίγματα.*

IX

Stobaeus 29. p. 199.

*Ἐκ τῶν πόνων τοι τἀγάθ' αὔξεται βροτοῖς·*
*ὁ δ' ἡδὺς αἰὼν ἡ κακή τ' ἀτολμία*
*οὔτ' οἶκον οὔτε βίοτον οὐδὲν ὠφελεῖ.*

Apud eumdem 8. p. 97. ad Archelaum referuntur.

X

Stobaeus 92. p. 512.

*Τὰς οὐσίας γὰρ μᾶλλον ἢ τὰς ἁρπαγὰς*
*τιμᾶν δίκαιον· οὔτε γὰρ πλοῦτός ποτε*
*βέβαιος ἄδικος —.*

XI

Stobaeus 120. p. 609.

*Ἐγὼ δὲ τοὺς καλῶς τεθνηκότας*
*ζῆν φημι μᾶλλον τοῦ βλέπειν τοὺς μὴ καλῶς.*

XII

Clem. Alex. Strom. VI. p. 621 b.

*Αἰδοῦς δὲ καὐτὸς δυσκρίτως ἔχω πέρι:*
*καὶ δεῖ γὰρ αὐτῆς κἄστιν οὖ κακὸν μέγα.*

XIII

Stobaeus 53. p. 367.

*Κείσθω δόρυ μοι μίτον ἀμφιπλέκειν*
*ἀράχναις, μετὰ δ' ἡσυχίας πολιῷ*
*γήρᾳ συνοικοίην·*
*ἀείδοιμι δὲ στεφάνοις κάρα*
*πολιὸν στεφανώσας,*
*Θρηίκιον πέλταν πρὸς Ἀθάνας*
*περικίοσιν ἀγκρεμάσας θαλάμοις,*
*δέλτων τ' ἀναπτύσσοιμι γῆρυν,*
*ἂν σοφοὶ κλέονται.*

V. 1. Plutarchus Vit. p. 529 a.

XIV

Etymol. M. p. 153, 31. *Ἀσιᾶτις: Ἀσιάδος κρούματα τῆς κιθάρας. οὕτως Ἀριστοφάνης* (Thesm. 126.) *εἶπε, παρῳδῶν τὸ ἐξ Ἐρεχθέως Εὐριπίδου. ἡ τρίχορδος κιθάρα οὕτω καλεῖται.*

XV

Suidas, *Ἀνάστατοι: πλακούντων εἶδος. — αἱ δὲ σελῆναι πέμματά εἰσι πλατέα κυκλοτερῆ· πέλανοι δὲ τὰ εἰς θεοὺς πέμματα. — καὶ ἐν Ἐρεχθεῖ τὰς σελήνας πελάνους εἴρηκεν Εὐριπίδης*

*Καί μοι, πολὺν γὰρ πέλανον ἐκπέμπεις δόμων,*
*φράσον σελήνας τάσδε πυρίμου χλόης.*

Eadem leguntur s. v. *σελῆναι.* V. 2. *πυρίνου* Toupius.

XVI

Suidas, *Βοῦς ἕβδομος: πέμματα κέρατα ἔχοντα κατὰ μίμησιν τῆς πρωτοφαοῦς σελήνης. ἐκάλουν δὲ αὐτὸν βοῦν προστιθέντες καὶ τὸ ἕβδομον, ἐπεὶ ἐπὶ ἓξ ταῖς σελήναις ἐπεθύετο οὗτος ἕβδομος. ὁμοίως δὲ αἱ σελῆναι πέμματα πλατέα κυκλοτερῆ, ἃ καὶ οὕτως ἐκάλουν. ἔστι δὲ παρὰ Εὐριπίδῃ ἐν Ἐρεχθεῖ καὶ παρ' Ἀχαιῷ ἐν Ἴριδι.*

XVII

Lycurgus adv. Leocrat. p. 160, 9. ed. H. Steph. vol. III. p. 261. — 264. ed. Bekker. *Φασὶν Εὔμολπον τὸν Ποσειδῶνος καὶ Χιόνης μετὰ Θρᾳκῶν ἐλθεῖν τῆς χώρας ταύτης ἀμφισβητοῦντα, τυχεῖν δὲ*

κατ᾽ ἐκείνους τοὺς χρόνους βασιλεύοντα Ἐρεχθέα, γυναῖκα ἔχοντα Πραξιθέαν τὴν Κηφισοῦ θυγατέρα, μεγάλου δὲ στρατοπέδου μέλλοντος αὐτοῖς εἰσβάλλειν εἰς τὴν χώραν, εἰς Δελφοὺς ἰὼν ἠρώτα τὸν θεὸν, τί ποιῶν ἂν νίκην λάβοι παρὰ τῶν πολεμίων. χρήσαντος δ᾽ αὐτῷ τοῦ θεοῦ, τὴν θυγατέρα εἰ θύσειε πρὸ τοῦ συμβαλεῖν τῷ στρατοπέδῳ, κρατήσειν τῶν πολεμίων, ὁ δὲ τῷ θεῷ πειθόμενος τοῦτ᾽ ἔπραξε καὶ τοὺς ἐπιστρατευομένους ἐκ τῆς χώρας ἐξέβαλε. διὸ καὶ δικαίως ἄν τις Εὐριπίδην ἐπαινέσειεν, ὅτι τά τε ἄλλ᾽ ὢν ἀγαθὸς ποιητὴς καὶ τοῦτον τὸν μῦθον προείλετο ποιῆσαι, ἡγούμενος κάλλιστον ἂν γενέσθαι τοῖς πολίταις παράδειγμα τὰς ἐκείνων πράξεις, πρὸς ἃς ἀποβλέποντας καὶ θεωροῦντας συνεθίζεσθαι ταῖς ψυχαῖς τὸ τὴν πατρίδα φιλεῖν. ἄξιον δὲ καὶ τῶν ἰαμβείων ἀκοῦσαι, ἃ πεποίηκε λέγουσαν τὴν μητέρα τῆς παιδός· ὄψεσθε γὰρ ἐν αὐτοῖς μεγαλοψυχίαν καὶ γενναιότητα ἀξίαν καὶ τῆς πόλεως καὶ τοῦ γενέσθαι Κηφισοῦ θυγατέρα

Τὰς χάριτας ὅστις εὐγενῶς χαρίζεται,
ἥδιον ἐν βροτοῖσιν· οἳ δὲ δρῶσι μὲν,
χρόνῳ δὲ δρῶσι, δυσγενέστερον.
ἐγὼ δὲ δώσω τὴν ἐμὴν παῖδα κτανεῖν·
λογίζομαι δὲ πολλὰ, πρῶτα μὲν πόλιν
οὐκ ἄν τιν᾽ ἄλλην τῆσδε βελτίω λαβεῖν,
ᾗ πρῶτα μὲν λεὼς οὐκ ἐπακτὸς ἄλλοθεν,
αὐτόχθονες δ᾽ ἔφυμεν· αἱ δ᾽ ἄλλαι πόλεις,
πεσσῶν ὁμοίως διαφοραῖς ἐκτισμέναι,
ἄλλαι παρ᾽ ἄλλων εἰσὶν εἰσαγώγιμοι.
ὅστις δ᾽ ἀπ᾽ ἄλλης πόλεος οἰκίζει πόλιν,
ἁρμὸς πονηρὸς ὥσπερ ἐν ξύλῳ παγεὶς,
λόγῳ πολίτης ἐστὶ, τοῖς δ᾽ ἔργοισιν οὔ.
ἔπειτα τέκνα τοῦδ᾽ ἕκατι τίκτομεν,
ὡς θεῶν τε βωμοὺς πατρίδα τε ῥυώμεθα.
πόλεως δ᾽ ἁπάσης τοὔνομ᾽ ἕν, πολλοὶ δέ νιν
ναίουσι· τούτους πῶς διαφθεῖραί με χρὴ,
ἐξὸν πρὸ πάντων μίαν ὑπερδοῦναι θανεῖν;
εἴπερ γὰρ ἀριθμὸν οἶδα καὶ τοὐλάσσονος
τὸ μεῖζον, οὑμὸς οἶκος οὐ πλεῖον σθένει
πταίσας ἁπάσης πόλεος οὐδ᾽ ἴσον φέρει.
εἰ δ᾽ ἦν ἐν οἴκοις ἀντὶ θηλέων στάχυς
ἄρσην, πόλιν δὲ πολεμία κατεῖχε φλὸξ,
οὐκ ἄν νιν ἐξέπεμπον εἰς μάχην δορὸς
θάνατον προταρβοῦσ᾽; ἀλλ᾽ ἐμοί γ᾽ εἴη τέκνα,
ἃ καὶ μάχοιτο καὶ μετ᾽ ἀνδράσιν πρέποι,
μὴ σχήματ᾽ ἄλλως ἐν πόλει πεφυκότα.
τὰ μητέρων δὲ δάκρυ᾽ ὅταν πέμπῃ τέκνα,
πολλοὺς ἐθήλυν᾽ εἰς μάχην ὁρμωμένους.
μισῶ γυναῖκας, αἵτινες πρὸ τοῦ καλοῦ
εἵλοντο παῖδας καὶ παρῄνεσαν κακά.
καὶ μὴν θανόντες γ᾽ ἐν μάχῃ πολλῶν μέτα
τύμβον τε κοινὸν ἔλαχον εὔκλειάν τ᾽ ἴσην.
τἠμῇ δὲ παιδὶ στέφανος εἷς μιᾷ μόνῃ
πόλεως θανούσῃ τῆσδ᾽ ὕπερ δοθήσεται,
καὶ τὴν τεκοῦσαν καὶ σὲ δύο θ᾽ ὁμοσπόρω
σώσει· τί τούτων οὐχὶ δέξασθαι καλόν;
τὴν οὐκ ἐμὴν* πλὴν φύσει δώσω κόρην
θῦσαι πρὸ γαίας. εἰ γὰρ αἱρεθήσεται
πόλις, τί παίδων τῶν ἐμῶν μέτεστί μοι;
οὐκοῦν ἅπαντα γοῦν ἐμοὶ σωθήσεται·
ἄρξουσιν ἄλλοι, τήνδ᾽ ἐγὼ σώσω πόλιν.
ἐκεῖνο δ᾽, οὗ τὸ πλεῖστον ἐν κοινῷ μέρος,
οὐκ ἔσθ᾽ ἑκούσης τῆς ἐμῆς ψυχῆς ἄτερ (ἄνευ Valck.)
προγόνων παλαιὰ θέσμι᾽ ὅστις ἐκβαλεῖ.
οὐδ᾽ ἀντ᾽ ἐλάας χρυσέας τε Γοργόνος
τρίαιναν ὀρθὴν στᾶσαν ἐν πόλεως βάθροις
Εὔμολπος οὐδὲ Θρᾷξ ἀναστέψει λεὼς
στεφάνοισι, Παλλὰς δ᾽ οὐδαμοῦ τιμήσεται.
χρῆσθ᾽, ὦ πολῖται, τοῖς ἐμοῖς λοχεύμασιν,
σώζεσθε, νικᾶτ᾽· ἀντὶ γὰρ ψυχῆς μιᾶς
οὐκ ἔσθ᾽ ὅπως οὐ τήνδ᾽ ἐγὼ σώσω πόλιν.
ὦ πατρὶς, εἴθε πάντες οἳ ναίουσί σε
οὕτω φιλοῖεν ὡς ἐγώ· καὶ ῥᾳδίως
οἰκοῖμεν ἄν σε, κοὐδὲν ἂν πάσχοις κακόν.

**Plutarchus Moral. p. 604 d.** Τίς γὰρ εἴρηκε τῆς ἑαυτοῦ πατρίδος ἐγκώμιον τοιοῦτον οἷον Εὐριπίδης;

Ἧι πρῶτα μὲν λεὼς οὐκ ἐπακτὸς ἄλλοθεν,
αὐτόχθονες δ᾽ ἔφυμεν· αἱ δ᾽ ἄλλαι πόλεις
πεσσῶν ὁμοίως διαφορηθεῖσαι βολαῖς
ἄλλαι παρ᾽ ἄλλων εἰσὶν ἐξαγώγιμοι.
Εἰ δὲ πάρεργον χρή τι κομπάσαι, γύναι,
οὐρανὸν ὑπὲρ γῆς ἔχομεν εὖ κεκραμένον,
ἵν᾽ οὔτ᾽ ἄγαν πῦρ οὔτε χεῖμα συμπίτνει.
ἃ δ᾽ Ἑλλὰς Ἀσία τε τρέφει κάλλιστα
τῆς γε δέλεαρ ἔχοντες συνθηρεύομεν.

XVIII

**Stobaeus 74. p. 451.**

Θετῶν δὲ παίδων ποῦ κράτος; τὰ φύντα γὰρ
κρείσσω νομίζειν τῶν δοκημάτων χρεών.

XIX

**Stobaeus 77. p. 454.**

Οὐκ ἔστιν οὐδὲν μητρὸς ἥδιον τέκνοις.
ἐρᾶτε μητρὸς παῖδες· ὡς οὐκ ἔστ᾽ ἔρως
τοιοῦτος ἄλλος, οἷος ἡδίων ἐρᾶν.

XX.

**Stobaeus 3. p. 36.**

Ὀρθῶς μ᾽ ἐπήρου, βούλομαι δέ σοι, τέκνον, —
φρονεῖς γὰρ ἤδη κἀποσώσαι᾽ ἂν πατρὸς
γνώμας φράσαντος, ἢν θάνω, — παραινέσαι
κειμήλι᾽ ἐσθλὰ καὶ νέοισι χρήσιμα,
βραχεῖ δὲ μύθῳ πολλὰ συλλαβὼν ἐρῶ.
πρῶτον φρένας μὲν ἠπίους ἔχειν χρεών·
τῷ πλουσίῳ τε μὴ διδοὺς μεῖζον μέρος
ἴσον σεαυτὸν εὐσεβεῖν πᾶσιν δίδου.
δυοῖν παρόντοιν πραγμάτοιν πρὸς θάτερον
γνώμην προσάπτων τὴν ἐναντίαν μίσει.
ἀδίκως δὲ μὴ κτῶ κτήματ᾽, ἢν βούλῃ πολὺν
χρόνον μελάθροις ἐμμένειν· τὰ γὰρ κακῶς
οἴκους ἐσελθόντ᾽ οὐκ ἔχει σωτηρίαν.
ἔχειν δὲ πειρῶ· τοῦτο γὰρ τό τ᾽ εὐγενὲς
καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν.
ἐν τῷ πένεσθαι δ᾽ ἐστὶν ἥ τ᾽ ἀδοξία,
κἂν ᾖ σοφός τις, ἥ τ᾽ ἀτιμία βίου.
φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις
κέκτησο, τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ
τῇ σῇ πονηροὺς κλῇθρον εἰργέτω στέγης.
ὁμιλίας τε τὰς γεραιτέρας φίλει,
ἀκόλαστα δ᾽ ἤθη, λαμπρὰ συγγελᾶν μόνον.

*μίσει· βραχεῖα τέρψις ἡδονῆς κακῆς.*
*ἐξουσίᾳ δὲ μήποτ' ἐντυχὼν, τέκνον,*
*αἰσχροὺς ἔρωτας δημοτῶν διωκαθεῖν,*
*ὃ καὶ σίδηρον ἀγχόνας τ' ἐφέλκεται,*
*χρηστῶν πενήτων ἤν τις αἰσχύνῃ τέκνα.*
*καὶ τοὺς πονηροὺς μή ποτ' αὔξειν ἐν πόλει·*
*κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος,*
*ἢ πόλεος ἐμπεσόντες εἰς ἀρχήν τινα,*
*σκιρτῶσιν, ἀδόκητ' εὐτυχησάντων δόμων.*
*ἀλλ' ὦ τέκνον μοι δὸς χέρ', ὡς θίγῃ πατὴρ,*
*καὶ χαῖρ'· ὑπ' αἰδοῦς δ' οὐ λίαν ἀσπάζομαι·*
*γυναικόφρων γὰρ θυμὸς ἀνδρὸς οὐ σοφοῦ.*

V, 11. 12. 13. Stobaeus 92. p, 511. V. 14 — 17. Stobaeus 89. p. 503. V. 18. 19. 20. Stobaeus 14. p. 148. Plutarchus Moral. p. 63 a. V. 21. 22. 23. Stobaeus 114. p. 585. V. 24. 25. 26. 27. Stobaeus 17. p. 156. V. 28. 29. 30. 31. Stobaeus 42. p. 276.

V. 10. *μίσει* ] *στύγει* Boissonadius. V. 18 — 20. Plutarchus memoriae errore, ut videtur, Meropae tribuit, *"Οθεν ἡ τραγικὴ Μερόπη παραινεῖ, Φίλους* — unde haec inter fragmenta Cresphontae relata sunt.

XXI

Steph. Byz. v. *Αἰθίοψ.*

*Αἰθιοπίαν νιν ἐξέσωσ' ἐπὶ χθόνα.*

---

## *ΕΥΡΥΣΘΕΥΣ.*

I

Pollux X, 108. *Σκεῦος δὲ μαγειρικὸν καὶ ἠθμὸς Εὐριπίδου ἐν Εὐρυσθεῖ σατυρικῷ εἰπόντος*

*"Η κυάθον, ἢ χαλκήλατον*
*ἠθμὸν προσίσχων τοῖσδε τοῖς ὑπωπίοις.*

II

Pollux X, 145. *"Οτι δὲ καὶ τὴν σπάθην ἐπὶ τοῦ ξίφους εἰρήκασιν εὕροις ἂν ἐν Εὐριπίδου Εὐρυσθεῖ σατυρικῷ*

*Πᾶς δ' ἐξεθέρισεν, ὥστε πύρινον στάχυν*
*σπάθῃ κολούων φασγάνου μελανδέτου.*

III

Erotianus p. 366. *Τέρθρον ἔλεγον οἱ παλαιοὶ τὸ ἔσχατον καὶ ἐπὶ τέλει, ὡς καὶ Εὐριπίδης ἐν Εὐρυσθεῖ ποιεῖ τὸν Ἡρακλέα λέγοντα οὕτως*

*Πέμψεις δ' ἐς Ἅιδου ζῶντα κοὐ τεθνηκότα,*
*καί μοι τὸ τέρθρον δῆλον εἰσπορεύομαι.*

IV

Stobaeus 60. p. 384.

*Πιστὸν μὲν οὖν εἶναι χρὴ τὸν διάκονον*
*τοιοῦτον εἶναι, καὶ στέγειν τὰ δεσποτῶν.*

Mihi *εἶναι* e secundo vs. huc retractum et in fine aliquid excidisse videtur: *πιστὸν μὲν οὖν χρὴ τὸν διάκονον* * ". MATTHIAE.

V

Stobaeus 75. p. 452.

*Μάτην δὲ θνητοὶ τοὺς νόθους φεύγουσ' ἄρα*
*παῖδας φυτεύειν· ὃς γὰρ ἂν χρηστὸς φυῇ,*
*οὐ τοὔνομ' αὐτοῦ τὴν φύσιν διαφθερεῖ.*

VI

Stobaeus 90. p. 505.

*Νῦν δ' ἤν τις οἴκων πλουσίαν ἔχῃ φάτνην,*
*πρῶτος γέγραπται τῶν κακιόνων κρατεῖ,*
*τὰ δ' ἔργ' ἐλάσσω χρημάτων νομίζομεν.*

VII

Stobaeus 96. p. 531.

*Οὐκ οἶδ' ὅτῳ χρὴ κανόνι τὰς βροτῶν τύχας*
*ὀρθῶς ἀθρήσαντ' εἰδέναι τὸ δραστέον.*

VIII

Schol. Eurip. Hecub. 821. *Τὸν Δαίδαλον φασὶ ποιεῖν εἴδωλα, καὶ μετὰ τὸ πληροῦν (ἀποπληροῦν) αὐτὰ ποιεῖν ταῦτα κινεῖσθαι καὶ φθέγγεσθαι. ὅτι δὲ ἐκινεῖτο καὶ προΐει φωνὴν αὐτός τε Εὐριπίδης ἐν Εὐρυσθεῖ λέγει*

*Οὐκ ἔστιν, ὦ γεραιὲ, μὴ δείσῃς τάδε·*
*τὰ Δαιδάλεια πάντα κινεῖσθαι δοκεῖ*
*βλέπει τ' ἀγάλμαθ'· ὧδ' ἀνὴρ κεῖνος σοφός.*

Tzetz. Chiliad. I, 518. secundum et tertium versum affert, Platoni comico eos tribuens.

IX

Athenaeus XI. p. 498 e. *Εὐριπίδης δ' Εὐρυσθεῖ ἀρσενικῶς ἔφη „Σκύφος τε μακρός".* Hinc Eustath. p. 1775, 19.

X

Steph. Byz. v. *Τάρταρος.* — *Ὁ οἰκήτωρ Ταρτάριος, καὶ διὰ τῆς ει διφθόγγου Εὐριπίδης ἐν Εὐρυσθεῖ σατυρικῷ.*

---

## *ΘΗΣΕΥΣ.*

I

Schol. Arist. Ran. 476. *Ὁ τόπος οὗτος παρὰ τὰ ἐν Θησεῖ Εὐριπίδου*

*Κάρα τε γάρ σου συγχεῶ κόμαις ὁμοῦ·*
*ῥανῶ τε πεδόσ' ἐγκέφαλον, ὀμμάτων δ' ἄπο*
*αἱμοσταγεῖ πρηστῆρε ῥεύσονται κάτω.*

II

Schol. Arist. Ran. 478. *Ταρτησία μύραινα: μύραινα δαίμων φοβερὰ, παρὰ τὸ μύρεσθαι. παρὰ τὰ ἐν Θησεῖ Εὐριπίδου.* et paulo post, *ἔστι δὲ τὰ ἐν Θησεῖ πεποιημένα Εὐριπίδῃ. ἐκεῖ γὰρ τοιοῦτός ἐστιν Εὐριπίδης, οἷος ἐνταῦθα παίζων.* Versus sunt Aristophanis 470. sqq. ex Euripide sumpti.

III

Schol. Arist. Vesp. 312. *Πράγματα νόσκειν: ὁ λόγος ἐκ Θησέως Εὐριπίδου. ἐκεῖ γὰρ ταῦτα λέγουσιν οἱ ταττόμενοι παῖδες εἰς βορὰν τῷ Μινωκενταύρῳ. τὸ δὲ ἑξῆς τὸ, Ἀνόητον ἄρα, Ἱππόλυτος ὁ λέγων ἐκεῖ*

*Ἀνόνητον ἄγαλμα, πάτερ,*
*οἴκοισι τεκών.*

Quod primo loco cum Theseo comparatur, videtur pertinere ad versum 311.

*Τί με δῆτ', ὦ μελέα μῆτερ, ἔτικτες.*

V

Plutarchus Moral. p. 112 d. Galenus vol. V. p. 418. ed. Kühn. *Ὁ παρὰ τῷ Εὐριπίδῃ Θησεὺς — φησιν*

*Ἐγὼ δὲ τοῦτο παρὰ σοφοῦ τινὸς μαθὼν*
*εἰς φροντίδας νοῦν συμφοράς τ' ἐβαλλόμην,*
*φυγάς τ' ἐμαυτῷ προστιθεὶς πάτρας ἐμῆς,*
*θανάτους τ' ἀώρους καὶ κακῶν ἄλλας ὁδοὺς,*
*ἵν', εἴ τι πάσχοιμ' ὧν ἐδόξαζον φρενὶ,*
*μή μοι νεωρὲς προσπεσὸν μᾶλλον δάκοι.*

Locum vertit Cicero Tuscul. Disp. III, 14.

VI

Plutarchus Vit. Thes. p. 6 d. (c. 15.) *Τοὺς δὲ*

*παῖδας εἰς Κρήτην κομιζομένους ὁ μὲν τραγικώτατος μῦθος ἀποφαίνει τὸν Μινώταυρον ἐν τῷ Λαβυρίνθῳ διαφθείρειν, ἢ πλανωμένους αὐτοὺς καὶ τυχεῖν ἐξόδου μὴ δυναμένους ἐκεῖ καταθνήσκειν, τὸν δὲ Μινώταυρον, ὥσπερ Εὐριπίδης φησὶ,*

*Σύμμικτον εἶδος κἀποφώλιον βρέφος*

*γεγονέναι, καὶ*

*Ταύρου μεμίχθαι καὶ βροτοῦ διπλῇ φύσει.*

**Priorem versum sic citat Plutarchus Moral. p. 520 c.** *Σύμμικτον εἶδος καὶ ἀποφώλιον τέρας.*

**VII**

**Athenaeus X. p. 454 b.** *Εὐριπίδης δὲ τὴν ἐν τῷ Θησεῖ τὴν ἐγγράμματον ἔοικε ποιῆσαι ῥῆσιν. βοτὴρ δ' ἐστὶν ἀγράμματος αὐτόθι δηλῶν τοὔνομα τὸ Θησέως ἐπιγεγραμμένον οὕτως*

*Ἐγὼ πέφυκα γραμμάτων μὲν οὐκ ἴδρις,*
*μορφὰς δὲ λέξω καὶ σαφῆ τεκμήρια.*
*κύκλος τις ὡς τόρνοισιν ἐκμετρούμενος·*
*οὗτος δ' ἔχει σημεῖον ἐν μέσῳ σαφές.*
*τὸ δεύτερον δὲ πρῶτα μὲν γραμμαὶ δύο·*
*ταύτας διείργει δ' ἐν μέσαις ἄλλη μία.*
*τρίτον δὲ βόστρυχός τις ὣς εἱλιγμένος.*
*τὸ δ' αὖ τέταρτον ἦν μὲν εἰς ὀρθὴν μία,*
*λοξαὶ δ' ἐπ' αὐτῆς τρεῖς κατεστηριγμέναι*
*εἰσίν. τὸ πέμπτον δ' οὐκ ἐν εὐμαρεῖ φράσαι·*
*γραμμαὶ γάρ εἰσιν ἐκ διεστώτων δύο,*
*αὗται δὲ συντρέχουσιν εἰς μίαν βάσιν.*
*τὸ λοίσθιον δὲ τῷ τρίτῳ προσεμφερές.*

**VIII**

**Steph. Byz. v.** *Εὐρώπη. λέγεται δὲ καὶ — διὰ τοῦ ι Εὐρωπία. — Εὐριπίδης ἐν Θησεῖ*

*σχεδὸν παρ' αὐτοῖς κρασπέδοις Εὐρωπίας.*

**Aristides vol. II. p. 336. de Alexandria:** *καίτοι κράσπεδον Εὐριπίδου φωνῇ μάλιστ' ἄν τις αὐτὴν Αἰγύπτου προσείποι.*

**IX**

**Stobaeus 9. p. 100.**

*Κρεῖσσον δὲ πλούτου καὶ πολυχρύσου χλιδῆς*
*ἀνδρῶν δικαίων κἀγαθῶν παρουσίαι.*

**X**

**Stobaeus 43. p. 302.**

*Ἀνὴρ γὰρ ὅστις χρημάτων μὲν ἐνδεής,*
*δρᾶσαι δὲ χειρὶ δυνατὸς, οὐκ ἀνέξεται,*
*τὰ τῶν δ' ἐχόντων χρήμαθ' ἁρπάζειν φιλεῖ.*

**Praeterea a Stobaeo 5. p. 63. e Theseo citantur duo versus, qui ab eodem in eclog. phys. cum quinque aliis ad Dictyn referuntur. Vid. Dict. fr. VIII, 3. 4.**

---

## *Ι Ν Ω.*

**De argumento fabulae schol. Aristoph. Vesp. 1404.**

**I**

**Schol. Pind. Isthm. 41, 39.** *Ἀλλ' ἀνεγειρομένα χρῶτα λάμπει: τῷ αὐτῷ τρόπῳ καὶ Εὐριπίδης κέχρηται*

*Ἰδοῦσα δ' Ἰνοῦς συμφορὰν πολὺν χρόνον*
*νῦν ὄμμ' ἐγείρει.*

**II**

**Stobaeus 39. p. 237. Plutarchus Moral. p. 507 b. schol. Pindar. Pyth. 3, 66.**

*Ἴστω δὲ μηδεὶς ταῦθ', ἃ σιγᾶσθαι χρεών·*
*μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας*
*πρήσειεν ἄν τις, καὶ πρὸς ἄνδρ' εἰπὼν ἕνα*
*πύθοιντ' ἂν ἀστοὶ πάντες ἃ κρύπτειν χρεών.*

**III**

**Stobaeus 87. p. 500.**

*Ἐπίσταμαι δὲ πάνθ', ὅσ' εὐγενῆ χρεὼν,*
*σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν ἵν' ἀσφαλὲς,*
*ὁρᾶν θ' ἃ δεῖ με, κοὐχ ὁρᾶν ἃ μὴ χρεὼν,*
*γαστρὸς κρατεῖν δέ· καὶ γὰρ ἐν κακοῖσιν ὢν*
*ἐλευθέροισιν ἐμπεπαίδευμαι τρόποις.*

**V. 2. Plutarchus Moral. p. 506 c. 606 a. Gellius XIII, 18.**

**IV**

**Stobaeus 83. p. 483.**

*Τοιάνδε χρὴ γυναικὶ πρόσπολον ἐᾶν,*
*ἥτις τὸ μὲν δίκαιον οὐ σιγήσεται,*
*τὰ δ' αἰσχρὰ μισεῖ καὶ κατ' ὀφθαλμοὺς ἔχει.*

**V. 1.** *πρόσπολόν σ' ἑλεῖν* **Lobeckius.**

**V.**

**Stobaeus 86. p. 498.**

*Τό τ' εὐγενὲς*
*πολλὴν δίδωσιν ἐλπίδ', ὡς ἄρξουσι γῆς.*

**VI**

**Stobaeus ibidem.**

*Τὴν εὐγένειαν, κἂν ἄμορφος ᾖ γάμος,*
*τιμῶσι πολλοὶ πρὸς τέκνων χάριν λαβεῖν,*
*τό τ' ἀξίωμα μᾶλλον ἢ τὰ χρήματα.*

**VII**

**Stobaeus 9. p. 99. 92. p. 511.**

*Κέκτησο δ' ὀρθῶς ἂν ἔχῃς ἄνευ ψόγου*
*καὶ μικρὰ σώζου τῇ δίκῃ ξυνοῦσ' ἀεί.*
*μηδ' ὡς κακὸς ναύκληρος εὖ πράξας ποτὲ*
*ζητῶν τὰ πλεῖον' εἶτα πάντ' ἀπώλεσεν.*

**VIII**

**Stobaeus 13. p. 145. Plutarchus Moral. p. 63 a.**

*Ἐμοὶ γὰρ εἴη πτωχὸς, εἰ δὲ βούλεται*
*πτωχοῦ κακίων, ὅστις ὢν εὔνους ἐμοὶ*
*φόβον παρελθὼν τἀπὸ καρδίας ἐρεῖ.*

**IX**

**Stobaeus 71. p. 432.**

*Φεῦ,*
*ὅσῳ τὸ θῆλυ δυστυχέστερον γένος*
*πέφυκεν ἀνδρῶν· ἔν τε τοῖσι γὰρ καλοῖς*
*πολλῷ λέλειπται κἀπὶ τοῖς αἰσχροῖς πλέον.*

**X**

**Stobaeus ibidem.**

*Ὦ θνητὰ πράγματ', ὦ γυναικεῖαι φρένες,*
*ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα.*

**XI**

**Stobaeus 38. p. 222.**

*Τίς ἆρα μήτηρ ἢ πατὴρ κακὸν μέγα*
*βροτοῖς ἔφυσε τὸν δυσώνυμον φθόνον;*
*ποῦ καί ποτ' οἰκεῖ σώματος λαχὼν μέρος;*
*ἐν χερσὶν, ἢ σπλάγχνοισιν, ἢ παρ' ὄμματα*
*ἔσθ' ἡμίν; ὡς ἦν μόχθος ἰατροῖς μέγας*
*τομαῖς ἀφαιρεῖν ἢ ποτοῖς ἢ φαρμάκοις*
*πασῶν μεγίστην τῶν ἐν ἀνθρώποις νόσων.*

**XII**

**Stobaeus 4. p. 52.**

*Πολλοί γε θνητῶν τῷ θράσει τὰς συμφορὰς*
*ζητοῦσ' ἀμαυροῦν κἀποκρύπτεσθαι κακά.*

**XIII**

**Stobaeus 10. p. 127. 91. p. 507.**

*Βίᾳ νυν ἕλκετ', ὦ κακοὶ, τιμὰς, βροτοὶ,*
*καὶ κτᾶσθε πλοῦτον, πάντοθεν θηρώμενοι*
*σύμμικτα, μὴ δίκαια καὶ δίκαι' ὁμοῦ·*
*ἔπειτ' ἀμᾶσθε τῶνδε δύστηνον θέρος.*

V. 1. altero loco *καὶ νῦν ἐφέλκετ'*. V. 4. Porsonus *ἔπει τόδ' ἐξαμᾶσθε δύστηνον θέρος.*

XIV

Stobaeus 66. p. 420.

*Νόμοι γυναικῶν οὐ καλῶς κεῖνται πέρι·*
*χρῆν γὰρ τὸν εὐτυχοῦνθ' ὅτι πλείστας ἔχειν*
*γυναῖκας, εἴπερ δὴ τροφὴ δόμοις παρῆν,*
*ὡς τὴν κακὴν μὲν ἐξέβαλλε δωμάτων,*
*τὴν δ' οὖσαν ἐσθλὴν ἡδέως ἐσώζετο.*
*νῦν δ' εἰς μίαν βλέπουσι, κίνδυνον μέγαν*
*ῥίπτοντες· οὐ γὰρ τῶν τρόπων πειρώμενοι*
*νύμφας ἐς οἴκους ἑρματίζονται βροτοί.*

XV

Stobaeus 111. p. 582.

*Μὴ σκυθρωπὸς ἴσθ' ἄγαν*
*πρὸς τοὺς κακῶς πράσσοντας ἄνθρωπος γεγώς.*

XVI

Stobaeus 16. p. 153.

*Ἀμουσία τοι μηδ' ἐπ' οἰκτροῖσιν δάκρυ*
*στάζειν· κακὸν δὲ, χρημάτων ὄντων ἅλις,*
*φειδοῖ πονηρᾷ μηδέν' εὖ ποιεῖν βροτῶν.*

Verba *ἀμουσία — στάζειν* 112. p. 583.

XVII

Pollux VII, 178. *Εὐριπίδης ἐν Ἰνοῖ*

*Κοίλοις ἐν ἄντροις ἄλυχνος, ὥστε θὴρ μόνος.*

XVIII

Plutarchus Moral. p. 556 a. *Τῆς Ἰνοῦς ἐν τοῖς θεάτροις λεγούσης ἀκούομεν ἐφ' οἷς ἔδρασε μεταμελομένης,*

*Φίλαι γυναῖκες, πῶς ἂν ἐξ ἀρχῆς δόμους*
*Ἀθάμαντος οἰκήσαιμι, τῶν πεπραγμένων*
*δράσασα μηδέν.*

XIX

Stobaeus 103. p. 561.

*Ἄνασσα, πολλοῖς ἐστιν ἀνθρώπων κακὰ,*
*τοῖς δ' ἄρτι λήγει, τοῖς δὲ κίνδυνος μολεῖν.*
*κύκλος γὰρ αὐτὸς καρπίμοις τε γῆς φυτοῖς*
*θνητῶν τε γενεᾷ· τοῖς μὲν αὔξεται βίος,*
*τῶν δὲ φθίνει τε καὶ θερίζεται πάλιν.*

V. 3 — 5. Plutarchus Moral. p. 104 b. V. 3. Stobaeus *κύκλῳ γὰρ ἕρπει.*

XX

Stobaeus 109. p. 580.

*Ἐν ἐλπίσιν χρὴ τοὺς σοφοὺς ἔχειν βίον.*

XXI

Stobaeus ibidem.

*Μήτ' εὐτυχοῦσα πᾶσαν ἡνίαν χάλα,*
*κακῶς τε πράσσουσ' ἐλπίδος κεδνῆς ἔχου.*

XXII

Stobaeus 123. p. 615.

*Γίγνωσκε τἀνθρώπεια, μηδ' ὑπερμέτρως*
*ἄλγει· κακοῖς γὰρ οὐ σὺ πρόσκεισαι μόνη.*

XXIII

Stobaeus 103. p. 559.

*Ὁρᾷς, τυράννους διὰ μακρῶν ηὐξημένους*
*ὡς μικρὰ τὰ σφάλλοντα, καὶ μί' ἡμέρα*
*τὸν μὲν καθεῖλεν ὑψόθεν, τὸν δ' ἦρ' ἄνω.*
*ὑπόπτερος δ' ὁ πλοῦτος· οἷς γὰρ ἦν ποτε,*
*ἐξ ἐλπίδων πίπτοντας ὑπτίους ὁρῶ.*

V. 1. Philostr. vit. Apoll. VII, 4. *Ὁ ὑποκριτὴς ἤδη ἐπέραινε τὰ ἰαμβεῖα (ἐπὶ τῇ Ἰνοῖ τῷ δράματι), ἐν οἷς ὁ Εὐριπίδης διὰ μακρῶν αὐξηθέντας τοὺς τυράννους ἁλίσκεσθαί φησιν ὑπὸ μικρῶν.* Stobaeus *ἠσκημένους.* V. 2. 3. Plutarchus Moral. p. 104 a. V. 3. Philo p. 588 c. *Ἡ μία γὰρ, ὥς ἔφη τις, ἡμέρα τὸν μὲν καθεῖλεν ὑψόθεν, τὸν δ' ἦρ' ἄνω.* Io. Lydus de mensibus p. 61. ed. Schow.

XXIV

Stobaeus 84. p. 493.

*Φειδώμεθ' ἀνδρῶν εὐγενῶν, φειδώμεθα,*
*κακοὺς δ' ἀποπτύωμεν, ὥσπερ ἄξιοι.*

XXV

Athenagoras leg. pro Christ. c. 26. p. 33. ed. Colon. *Καὶ Ἰνὼ μετὰ τὴν μανίαν — θεὸν δοξάζουσι γεγονέναι*

*Πόντου πλάνητες Λευκοθέαν ἐπώνυμον,*
*καὶ τὸν παῖδα αὐτῆς*
*Σεμνὸς Παλαίμων ναυτίλοις κεκλήσεται.*

## *Ι Ξ Ι Ω Ν.*

Plutarchus Moral. p. 19 e. *Ὁ Εὐριπίδης εἰπεῖν λέγεται πρὸς τοὺς τὸν Ἰξίονα λοιδοροῦντας ὡς ἀσεβῆ καὶ μιαρὸν, Οὐ μέντοι πρότερον αὐτὸν ἐκ τῆς σκηνῆς ἐξήγαγον ἢ τῷ τροχῷ προσηλῶσαι.*

I

Plutarchus Moral. p. 18 e. Stobaeus 2. p. 30.

*Τοῦ μὲν δικαίου τὴν δόκησιν ἄρνυσο,*
*τὰ δ' ἔργα τοῦ πᾶν δρῶντος ἔνθα κερδανεῖς.*

II

Stobaeus 49. p. 355.

*Τά τοι μέγιστα πάντ' ἀπεργάζεται βροτοῖς*
*τόλμ' ὥστε νικᾶν· οὔτε γὰρ τυραννίδες*
*χωρὶς πόνου γένοιντ' ἂν οὔτ' οἶκος μέγας.*

V. 1. *ἀπείργασται* Heathius.

III

Schol. Apoll. III, 62. *Φλεγύου δὲ παῖς καὶ Ἰξίων, ὡς καὶ Εὐριπίδης*

*Φλεγύαντος υἱὲ, δέσποτ' Ἰξῖον* * *.

IV

Stobaeus 10. p. 126.

*Ὅστις γὰρ ἐπὶ τὸ πλέον ἔχειν πέφυκ' ἀνὴρ,*
*οὐδὲν φρονεῖ δίκαιον, οὐδὲ βούλεται,*
*φίλοις τ' ἄμικτός ἐστι καὶ πάσῃ πόλει.*

V. 1. 3. Stobaeus 22. p. 187. ubi *ὅστις γὰρ ἀστῶν πλέον.*

V

Diogen. L. IX, 55. *Φησὶ δὲ Φιλόχορος πλέοντος αὐτοῦ (Πρωταγόρου) ἐς Σικελίαν τὴν ναῦν καταποντισθῆναι, καὶ τοῦτο αἰνίττεσθαι Εὐριπίδην ἐν Ἰξίονι.*

## *ΙΠΠΟΛΥΤΟΣ ΚΑΛΥΠΤΟΜΕΝΟΣ*

De argumento fabulae schol. Theocr. II, 10. *Ταῖς ἔρωτι κατεχομέναις τὴν σελήνην μετακαλεῖσθαι σύνηθες, ὡς καὶ Εὐριπίδης ποιεῖ Φαίδραν πράττουσαν ἐν τῷ κατακαλυπτομένῳ Ἱππολύτῳ.* Plutarchus Moral. p. 28 a. *Καὶ ὁ σίσχηνος αὐτοῦ (Σοφοκλέους) πάλιν ὁρᾷς ὅτι τήν γε Φαίδραν προσεγκαλοῦσαν τῷ*

Θησεῖ πεποίηκεν, ὡς διὰ τὰς ἐκείνου παρανομίας ἐρασθεῖσαν τοῦ Ἱππολύτου.

I

Stobaeus 12. p. 140.

Ἔγωγέ φημι καὶ νόμον γε μὴ σέβειν
ἐν τοῖσι δεινοῖς τῶν ἀναγκαίων πλέον.

II

Stobaeus 49. p. 355.

Οὐ γὰρ κατ' εὐσέβειαν αἱ θνητῶν τύχαι,
τολμήμασιν δὲ καὶ χερῶν ὑπερβολαῖς
ἁλίσκεταί τε πάντα καὶ θηρεύεται.

III

Stobaeus 61. p. 388.

Ἔχω δὲ τόλμης καὶ θράσους διδάσκαλον
ἐν τοῖς ἀμηχάνοισιν εὐπορώτατον,
Ἔρωτα, πάντων δυσμαχώτατον θεῶν.

IV

Stobaeus 31. p. 211.

Ὦ πότνι' Αἰδώς, εἴθε τοῖς πᾶσιν βροτοῖς
ξυνοῦσα τἀναίσχυντον ἐξῄρου φρενῶν.

V

Aristoph. Vesp. 748.

Μή μοι τούτων μηδὲν ὑπισχνοῦ,

ubi schol. ἐξ Ἱππολύτου Εὐριπίδου.

VI

Plutarchus Moral. p. 778 b. Stobaeus 61. p. 386.

Οἱ γὰρ Κύπριν φεύγοντες ἀνθρώπων ἄγαν
νοσοῦσ' ὁμοίως τοῖς ἄγαν θηρωμένοις.

VII

Clem. Alex. Strom. VI. p. 622 b. Stobaeus 71. p. 432.

Ἀντὶ γὰρ πυρὸς
πῦρ ἄλλο μεῖζον ἠδὲ δυσμαχώτερον
ἔβλαστον αἱ γυναῖκες.

VIII

Stobaeus 118. p. 601.

Ὦ λαμπρὸς αἰθὴρ ἡμέρας θ' ἁγνὸν φάος,
ὡς ἡδὺ λεύσσειν τοῖς τε πράσσουσιν καλῶς
καὶ τοῖσι δυστυχοῦσιν, ὧν πέφυκ' ἐγώ.

IX

Stobaeus 91. p. 507. Apostolius XIX, 82.

Ὕβριν τε τίκτει πλοῦτος, ἢ φειδὼ βίου.

X

Stobaeus 103. p. 562.

Ὁρῶ δὲ τοῖς πολλοῖσιν ἀνθρώποις ἐγὼ
τίκτουσαν ὕβριν τὴν πάροιθ' εὐπραξίαν.

XI

Stobaeus 71. p. 434.

Θησεῦ, παραινῶ σοι τὸ λῷστον, εἰ φρονεῖς,
γυναικὶ πείθου μηδὲ τἀληθῆ κλύων.

XII

Stobaeus 80. p. 472.

Φεῦ φεῦ, τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν
φωνήν, ἵν' ἦσαν μηδὲν οἱ δεινοὶ λέγειν.
νῦν δ' εὐρόοισι στόμασι τἀληθέστατα
κλέπτουσιν, ὥστε μὴ δοκεῖν ἃ χρὴ δοκεῖν.

V. 1. 2. Plutarchus Moral. p. 802 a. V. 3. 4. Clemens Alex. Strom. I. p. 290. Sylb. V. 3. Stobaeus εὐρύθμοισι.

XIII

Erotianus p. 120. *Διεβλήθησαν:* παρελογίσθησαν, ὡς καὶ Εὐριπίδης ἐν Ἱππολύτῳ φησὶ

Τί δ' ἢν λυθείς με διαβάλῃς, παθεῖν σε δεῖ;

XIV

Iustin. Mart. de monarch. p. 107.

Ἀλλ' οὐ γὰρ ὀρθῶς ταῦτα κραίνουσιν θεοί.

XV

Stobaeus ecl. phys. p. 143. vol. I. p. 235.

Χρόνος διέρπων πάντ' ἀληθεύειν φιλεῖ.

XVI

Pollux IX, 50. Καὶ στάσις ἵππων, ὡς Εὐριπίδης ἐν Ἱππολύτῳ καλυπτομένῳ

Πρὸς ἵππων εὐθὺς ὁρμήσας στάσιν.

XVII

Stobaeus 5. p. 63.

Ὦ μάκαρ, οἵας ἔλαχες τιμάς,
Ἱππόλυθ' ἥρως, διὰ σωφροσύνην·
οὔποτε θνητοῖς ἀρετῆς ἄλλη
δύναμις μείζων· ἦλθε γὰρ ἢ πρόσθ'
ἢ μετόπισθεν
τῆς εὐσεβίας χάρις ἐσθλή.

XVIII

Erotianus p. 118. *Διόπῳ:* τῷ τῆς νηὸς ἐπιμελητῇ παρὰ τὸ διοπτεύειν. Ἀττικὴ δὲ ἡ λέξις κειμένη καὶ παρ' Ἀριστοφάνει ἐν Ἀττικαῖς λέξεσι καὶ παρ' Αἰσχύλῳ ἐν Σισύφῳ καὶ Εὐριπίδῃ ἐν Ἱππολύτῳ.

---

Ex Hippolyto priore sumptos esse suspicatur Monk. ad Hippol. 1249. versus a Stobaeo 86. p. 498. servatos.

Τὸν σὸν δὲ παῖδα σωφρονοῦντ' ἐπίσταμαι
χρηστοῖς θ' ὁμιλοῦντ' εὐσεβεῖν τ' ἠσκηκότα.
πῶς οὖν ἂν ἐκ τοιοῦδε σώματος κακὸς
γένοιτ' ἄν; οὐδεὶς τοῦτό μ' ἂν πίθοι ποτέ.

---

## ΚΑΔΜΟΣ.

„Cadmus tragoedia non nisi Probi ad Virg. Ecl. VI, 31. auctoritate nititur qui, *Accipere debemus aera*, inquit, *quem Euripides in Cadmo χάος appellavit*, sic:

Οὐρανὸς ὑπὲρ ἡμᾶς καινῶς φοιτῶν ἕδος δαιμόνιον. τὸ δ' ἐν μέσῳ τοῦ οὐρανοῦ τε καὶ χθονὸς οἱ μὲν ὀνομάζουσι χάος. Ad hanc tragoediam Valcken. refert quae velut Euripidea servavit Hermogenes p. 226. 227.

Οἴμοι, δράκων μου γίγνεται τό γ' ἥμισυ,
τέκνον, περιπλάκηθι τῷ λοιπῷ πατρί."

MATTHIAE.

---

## ΚΡΕΣΦΟΝΤΗΣ.

Eustratius s. Aspasius ad Aristot. Ethic. III. 1. Καὶ ἔστι παρ' Εὐριπίδῃ ἐν τῷ Κρεσφόντῃ ἐπιβουλεύουσα Κρεσφόντῃ τῷ υἱῷ, ὡς πολεμίῳ, δι' ἄγνοιαν.

I — VII

Strabo VIII. p. 563. Περὶ δὲ τῆς φύσεως τῶν τόπων καὶ τούτων καὶ τῶν Μεσσηνιακῶν ταῦτ μὲν ἀποδεκτέον λέγοντος Εὐριπίδου· τὴν γὰρ Λακωνικὴν φησιν ἔχειν

Πολλὴν μὲν ἄροτον, ἐκπονεῖν δ' οὐ ῥᾴδιον·
κοίλη γάρ, ὄρεσι περίδρομος τραχεῖά τε
δυσείσβολός τε πολεμίοις·
τὴν δὲ Μεσσηνιακὴν καλλίκαρπον
κατάρρυτόν τε μυρίοισι νάμασι
καὶ βουσὶ καὶ ποίμναισιν εὐβοτωτάτην.

οὔτ' ἐν πνοαῖσι χείματος δυσχείμερον
οὔτ' αὖ τεθρίπποις ἡλίου θερμὴν ἄγαν.

αὶ ὑποβὰς τῶν πάλων φησὶν ὧν οἱ Ἡρακλεῖδαι ερὶ τῆς χώρας ἐποιήσαντο τὸν μὲν πρότερον γεέσθαι

γαίης Λακαίνης κύριον, φαύλου χθονός,
ὸν δὲ δεύτερον Μεσσήνης
ἀρετὴν ἐχούσης μείζον' ἢ λόγῳ φράσαι.

ὴν δὲ Λακωνικὴν καὶ τὴν Μεσσηνίαν ὁρίζειν αὐτοῦ ήσαντος

Πάμισον εἰς θάλασσαν ἐξορμώμενον

ὐ συγχωρητέον —. οὐκ εὖ δὲ οὐδ' ὅτι τῆς Μεσσηίας ὁμοίως ἐπιθαλαττίας οὔσης τῇ Λακωνικῇ φησιν ὐτὴν

πρόσω ναυτίλοισιν

ναι. ἀλλ' οὐδὲ τὴν Ἦλιν εὖ διορίζει,

Πρόσω δὲ βαντὶ ποταμὸν Ἦλις ἡ Διὸς
γείτων κάθηται.

VIII

**Stobaeus 92. p. 511.**

*Κέρδη τοιαῦτα χρή τινα κτᾶσθαι βροτῶν,*
*ἐφ' οἷσι μέλλει μή ποθ' ὕστερον στένειν.*

IX

**Schol. Eurip. Med. 85.** *Τῇ δὲ διανοίᾳ ταύτῃ καὶ ' Κρεσφόντῃ κέχρηται οὕτως*

*'Εκεῖνο γὰρ πέπονθ' ὅπερ ἅπαντες βροτοὶ,*
*φιλῶν μάλιστ' ἐμαυτὸν οὐκ αἰσχύνομαι.*

X

**Plutarch. Moral. p. 110 d.** *Ἡ δὲ Μερόπη λόυς ἀνδρώδεις προφερομένη κινεῖ τὰ θέατρα λέυσα τοιαῦτα*

*Τεθνᾶσι παῖδες οὐκ ἐμοὶ μόνῃ βροτῶν,*
*οὐδ' ἀνδρὸς ἐστερήμεθ', ἀλλὰ μυρίαι*
*τὸν αὐτὸν ἐξήντλησαν ὡς ἐγὼ βίον.*

XI

**Schol. Eurip. Phoen. 159.** *Περὶ δὲ τοῦ πλήθους ν Νιοβιδῶν αὐτὸς Εὐριπίδης ἐν Κρεσφόντῃ λέγει*

*Καὶ δὶς ἑπτ' αὐτῆς τέκνα*
*Νιόβης θανόντα Λοξίου τοξεύμασιν.*

XII

**Plutarchus Moral. p. 90 a.** *Ἡ Μερόπη φησὶν*

*Αἱ τύχαι δέ με*
*μισθὸν λαβοῦσαι τῶν ἐμῶν τὰ φίλτατα*
*σοφὴν ἔθηκαν.*

XIII

**Sextus Empir. Pyrrh, hypot. III. 24, 230. p. 186. m. Alex. Strom. III. p. 432. Sylb. Stob. 119. 603.**

*'Εχρῆν γὰρ ἡμᾶς σύλλογον ποιουμένους*
*τὸν φύντα θρηνεῖν, εἰς ὅσ' ἔρχεται κακά,*
*τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον*
*χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων.*

'. 2 — 4. afferunt Strabo XI. p. 790 a, Plutarchus oral. p. 36 e. Dio Chrysost. 23. p. 276. ex parte tem, primum et secundum Aristid. T. II. p. 199. cundum Aeschin, Axiocho §. 10. Ex Euripidis Cresonte petitos esse versus docet Cicero Tusc. disp. I, . qui etiam vertit. V. 1. Clem. Arist. ἔδει γάρ. obaeus ἐχρῆν μέν. γάρ expressit Cicero. V. 2. obaeus τὸν ζῶντα. V. 3. Sext. καὶ κακῶν πεπ." ATTHIAE.

XIV

**Gellius VII, 3.** ***Recte hoc vitio dat Lucilius poetae Euripidae, quod, quum Polyphontes rex propterea se interfecisse fratrem diceret, quod ipse ante consilium de nece eius cepisset, Merope fratris uxor hisce eum verbis eluserit:***

*Εἰ γάρ σ' ἔμελλεν, ὡς σὺ φῇς, κτείνειν πόσις,*
*χρὴ καὶ σὲ μέλλειν, ὡς χρόνος δῆθεν παρῆν.*

XV

**Stobaeus 53. p. 367. Polyb. XII. vol. III. p. 434. ed. Schweigh.**

*Εἰρήνα βαθύπλουτε καὶ*
*καλλίστα μακάρων θεῶν,*
*ζῆλός μοι σέθεν, ὡς χρονίζεις,*
*δέδοικα δὲ μὴ πρὶν πόνοις*
*ὑπερβάλῃ με γῆρας,*
*πρὶν σὰν χαρίεσσαν προσιδεῖν ὥραν*
*καὶ καλλιχόρους ἀοιδὰς*
*φιλοστεφάνους τε κώμους.*
*ἴθι μοι, πότνια, πόλιν*
*τάνδ' ἐχθρὰν στάσιν εἶργ' ἀπ' οἴκων*
*τὰν μαινομέναν τ' ἔριν,*
*θηκτῷ τερπομέναν σιδάρῳ.*

XVI

**Plutarchus Moral. p. 110 b.** *Ὁ Κρεσφόντης δέ που ὁ παρὰ τῷ Εὐριπίδῃ περὶ τοῦ Ἡρακλέους λέγων*

*Εἰ μὲν γὰρ οἰκεῖ (φησὶ) νερτέρας ὑπὸ χθονὸς,*
*ἐν τοῖσιν οὐκέτ' οὖσιν, οὐδὲν ἂν σθένοι.*

XVII

**Plutarchus Moral. p. 998 e.** *Σκόπει δὲ καὶ τὴν ἐν τῇ τραγῳδίᾳ Μερόπην ἐπὶ τὸν υἱὸν αὐτὸν (αὐτῆς) ὡς φονέα τοῦ υἱοῦ πέλεκυν ἀραμένην καὶ λέγουσαν*

*'Οσιωτέραν δὴ τήνδ' ἐγὼ δίδωμί σοι*
*πληγήν,*

*ὅσον ἐν τῷ θεάτρῳ κίνημα ποιεῖ, συνεξορθιάζουσα φόβῳ, καὶ δέος μὴ φθάσῃ τὸν ἐπιλαμβανόμενον γέροντα, καὶ τρώσῃ τὸ μειράκιον.*

XVIII

**Stobaeus 31. p. 212.**

*Αἰδὼς ἐν ὀφθαλμοῖσι γίγνεται τέκνον.*

---

## *ΚΡΗΣΣΑΙ.*

**De argumento fabulae schol. Sophocl. Aiac. 1297. Aristoph. Ran. 873. Acharn. 432.**

I

**Aristoph. Vesp. 759.**

*Τοῦτο δὲ*
*Ἅιδης διακρινεῖ πρότερον ἢ 'γὼ πείσομαι.*

**ubi schol.** *'Εν Κρήσσαις Εὐριπίδου ὁ Ἀτρεὺς πρὸς τὴν Ἀερόπην κρινεῖ ταῦτα.* **ubi Toupius corrigit,** *πρὸς τὴν Ἀερόπην φησὶν, Ἅιδης διακρινεῖ ταῦτα.*

II

**Stobaeus 72. p. 437.**

*Οὐ γάρ ποτ' ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ*
*δοῦναι χαλινοὺς, οὐδ' ἀφέντ' ἐᾶν κρατεῖν·*
*πιστὸν γὰρ οὐδέν ἐστιν· εἰ δέ τις κυρεῖ*
*γυναικὸς ἐσθλῆς, εὐτυχεῖ κακὸν λαβών.*

III

**Stobaeus 70. p. 430.**

*Θησεῖ πεποίηκεν, ὡς διὰ τὰς ἐκείνου παρανομίας ἐρασθεῖσαν τοῦ Ἱππολύτου.*

I

Stobaeus 12. p. 140.

*Ἔγωγέ φημι καὶ νόμον γε μὴ σέβειν*
*ἐν τοῖσι δεινοῖς τῶν ἀναγκαίων πλέον.*

II

Stobaeus 49. p. 355.

*Οὐ γὰρ κατ' εὐσέβειαν αἱ θνητῶν τύχαι,*
*τολμήμασιν δὲ καὶ χερῶν ὑπερβολαῖς*
*ἁλίσκεταί τε πάντα καὶ θηρεύεται.*

III

Stobaeus 61. p. 388.

*Ἔχω δὲ τόλμης καὶ θράσους διδάσκαλον*
*ἐν τοῖς ἀμηχάνοισιν εὐπορώτατον,*
*Ἔρωτα, πάντων δυσμαχώτατον θεῶν.*

IV

Stobaeus 31. p. 211.

*Ὦ πότνι' Αἰδώς, εἴθε τοῖς πᾶσιν βροτοῖς*
*ξυνοῦσα τἀναίσχυντον ἐξῄρου φρενῶν.*

V

Aristoph. Vesp. 748.

*Μή μοι τούτων μηδὲν ὑπισχνοῦ,*

ubi schol. *ἐξ Ἱππολύτου Εὐριπίδου.*

VI

Plutarchus Moral. p. 778 b. Stobaeus 61. p. 386.

*Οἱ γὰρ Κύπριν φεύγοντες ἀνθρώπων ἄγαν*
*νοσοῦσ' ὁμοίως τοῖς ἄγαν θηρωμένοις.*

VII

Clem. Alex. Strom. VI. p. 622 b. Stobaeus 71. p. 432.

*Ἀντὶ γὰρ πυρὸς*
*πῦρ ἄλλο μεῖζον ἠδὲ δυσμαχώτερον*
*ἐβλαστον αἱ γυναῖκες.*

VIII

Stobaeus 118. p. 601.

*Ὦ λαμπρὸς αἰθὴρ ἡμέρας θ' ἁγνὸν φάος,*
*ὡς ἡδὺ λεύσσειν τοῖς τε πράσσουσιν καλῶς*
*καὶ τοῖσι δυστυχοῦσιν, ὧν πέφυκ' ἐγώ.*

IX

Stobaeus 91. p. 507. Apostolius XIX, 82.

*Ὕβριν τε τίκτει πλοῦτος, ἢ φειδὼ βίου.*

X

Stobaeus 103. p. 562.

*Ὁρῶ δὲ τοῖς πολλοῖσιν ἀνθρώποις ἐγὼ*
*τίκτουσαν ὕβριν τὴν πάροιθ' εὐπραξίαν.*

XI

Stobaeus 71. p. 434.

*Θησεῦ, παραινῶ σοι τὸ λῷστον, εἰ φρονεῖς,*
*γυναικὶ πείθου μηδὲ τἀληθῆ κλύων.*

XII

Stobaeus 80. p. 472.

*Φεῦ φεῦ, τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν*
*φωνήν, ἵν' ἦσαν μηδὲν οἱ δεινοὶ λέγειν.*
*νῦν δ' εὐρόοισι στόμασι τἀληθέστατα*
*κλέπτουσιν, ὥστε μὴ δοκεῖν ἃ χρὴ δοκεῖν.*

V. 1. 2. Plutarchus Moral. p. 802 a. V. 3. 4. Clemens Alex. Strom. I. p. 290. Sylb. V. 3. Stobaeus *εὐρύθμοισι.*

XIII

Erotianus p. 120. *Διεβλήθησαν: παρελογίσθησαν, ὡς καὶ Εὐριπίδης ἐν Ἱππολύτῳ φησὶ*

*Τί δ' ἦν λυθεὶς με διαβάλῃς, παθεῖν σε δεῖ;*

XIV

Iustin. Mart. de monarch. p. 107.

*Ἀλλ' οὐ γὰρ ὀρθῶς ταῦτα κραίνουσιν θεοί.*

XV

Stobaeus ecl. phys. p. 143. vol. I. p. 235.

*Χρόνος διέρπων πάντ' ἀληθεύειν φιλεῖ.*

XVI

Pollux IX, 50. *Καὶ στάσις ἵππων, ὡς Εὐριπίδης ἐν Ἱππολύτῳ καλυπτομένῳ*

*Πρὸς ἵππων εὐθὺς ὁρμήσας στάσιν.*

XVII

Stobaeus 5. p. 63.

*Ὦ μάκαρ, οἵας ἔλαχες τιμάς,*
*Ἱππόλυθ' ἥρως, διὰ σωφροσύνην·*
*οὔποτε θνητοῖς ἀρετῆς ἄλλη*
*δύναμις μείζων· ἦλθε γὰρ ἢ πρόσθ'*
*ἢ μετόπισθεν*
*τῆς εὐσεβίας χάρις ἐσθλή.*

XVIII

Erotianus p. 118. *Διόπῳ: τῷ τῆς νηὸς ἐπιμελητῇ παρὰ τὸ διοπτεύειν. Ἀττικὴ δὲ ἡ λέξις κειμένη καὶ παρ' Ἀριστοφάνει ἐν Ἀττικαῖς λέξεσι καὶ παρ' Αἰσχύλῳ ἐν Σισύφῳ καὶ Εὐριπίδῃ ἐν Ἱππολύτῳ.*

---

Ex Hippolyto priore sumptos esse suspicatur Monk. ad Hippol. 1249. versus a Stobaeo 86. p. 498. servatos.

*Τὸν σὸν δὲ παῖδα σωφρονοῦντ' ἐπίσταμαι*
*χρηστοῖς θ' ὁμιλοῦντ' εὐσεβεῖν τ' ἠσκηκότα.*
*πῶς οὖν ἂν ἐκ τοιοῦδε σώματος κακὸς*
*γένοιτ' ἄν; οὐδεὶς τοῦτό μ' ἂν πίθοι ποτέ.*

---

## ΚΑΔΜΟΣ.

„Cadmus tragoedia non nisi Probi ad Virg. Ecl. VI, 31. auctoritate nititur qui, *Accipere debemus aera*, inquit, *quem Euripides in Cadmo χάος appellavit*. sic: *Οὐρανὸς ὑπὲρ ἡμᾶς καινῶς φοιτῶν ἕδος δαιμόνων. τὸ δ' ἐν μέσῳ τοῦ οὐρανοῦ τε καὶ χθονὸς οἱ μὲν ὀνομάζουσι χάος.* Ad hanc tragoediam Valcken. refert quae velut Euripidea servavit Hermogenes p. 226. 227.

*Οἴμοι, δράκων μου γίγνεται τό γ' ἥμισυ,*
*τέκνον, περιπλάκηθι τῷ λοιπῷ πατρί.*"

MATTHIAE.

---

## ΚΡΕΣΦΟΝΤΗΣ.

Eustratius s. Aspasius ad Aristot. Ethic. III. 1. *Καὶ ἔστι παρ' Εὐριπίδῃ ἐν τῷ Κρεσφόντῃ ἐπιβουλεύουσα Κρεσφόντῃ τῷ υἱῷ, ὡς πολεμίῳ, δι' ἄγνοιαν.*

I — VII

Strabo VIII. p. 563. *Περὶ δὲ τῆς φύσεως τῶν τόπων καὶ τούτων καὶ τῶν Μεσσηνιακῶν ταῦτα μὲν ἀποδεκτέον λέγοντος Εὐριπίδου· τὴν γὰρ Λακωνικὴν φησιν ἔχειν*

*Πολλὴν μὲν ἄροτον, ἐκπονεῖν δ' οὐ ῥᾴδιον·*
*κοίλη γάρ, ὄρεσι περίδρομος τραχεῖά τε*
*δυσείσβολός τε πολεμίοις·*
*τὴν δὲ Μεσσηνιακὴν καλλίκαρπον*
*κατάρρυτόν τε μυρίοισι νάμασι*
*καὶ βουσὶ καὶ ποίμναισιν εὐβοτωτάτην.*

*οὔτ' ἐν πνοαῖσι χείματος δυσχείμερον*
*οὔτ' αὖ τεθρίπποις ἡλίου θερμὴν ἄγαν.*

αὶ ὑποβὰς τῶν πάλων φησὶν ὧν οἱ Ἡρακλεῖδαι ερὶ τῆς χώρας ἐποιήσαντο τὸν μὲν πρότερον γεέσθαι

*γαίης Λακαίνης κύριον, φαύλου χθονός,*
ὸν δὲ δεύτερον Μεσσήνης
*ἀρετὴν ἐχούσης μείζον' ἢ λόγῳ φράσαι.*

ἡν δὲ Λακωνικὴν καὶ τὴν Μεσσηνίαν ὁρίζειν αὐτοῦ ήσαντος

*Πάμισον εἰς θάλασσαν ἐξορμώμενον*

ὐ συγχωρητέον —. οὐκ εὖ δὲ οὐδ' ὅτι τῆς Μεσσηίας ὁμοίως ἐπιθαλαττίας οὔσης τῇ Λακωνικῇ φησιν ὐτὴν

*πρόσω ναυτίλοισιν*

ναι. ἀλλ' οὐδὲ τὴν Ἦλιν εὖ διορίζει,

*Πρόσω δὲ βαντὶ ποταμὸν Ἦλις ἡ Διὸς*
*γείτων κάθηται.*

VIII

**Stobaeus 92. p. 511.**

*Κέρδη τοιαῦτα χρή τινα κτᾶσθαι βροτῶν,*
*ἐφ' οἷσι μέλλει μή ποθ' ὕστερον στένειν.*

IX

**Schol. Eurip. Med. 85.** Τῇ δὲ διανοίᾳ ταύτῃ καὶ ' Κρεσφόντῃ κέχρηται οὕτως

*Ἐκεῖνο γὰρ πέπονθ' ὅπερ ἅπαντες βροτοί,*
*φιλῶν μάλιστ' ἐμαυτὸν οὐκ αἰσχύνομαι.*

X

**Plutarch. Moral. p. 110 d.** Ἡ δὲ Μερόπη λόους ἀνδρώδεις προφερομένη κινεῖ τὰ θέατρα λέουσα τοιαῦτα

*Τεθνᾶσι παῖδες οὐκ ἐμοὶ μόνῃ βροτῶν,*
*οὐδ' ἀνδρὸς ἐστερήμεθ', ἀλλὰ μυρίαι*
*τὸν αὐτὸν ἐξήντλησαν ὡς ἐγὼ βίον.*

XI

**Schol. Eurip. Phoen. 159.** Περὶ δὲ τοῦ πλήθους ῶν Νιοβιδῶν αὐτὸς Εὐριπίδης ἐν Κρεσφόντῃ λέγει

*Καὶ δὶς ἑπτ' αὐτῆς τέκνα*
*Νιόβης θανόντα Λοξίου τοξεύμασιν.*

XII

**Plutarchus Moral. p. 90 a.** Ἡ Μερόπη φησὶν

*Αἱ τύχαι δέ με*
*μισθὸν λαβοῦσαι τῶν ἐμῶν τὰ φίλτατα*
*σοφὴν ἔθηκαν.*

XIII

**Sextus Empir. Pyrrh. hypot. III. 24, 230. p. 186. em. Alex. Strom. III. p. 432. Sylb. Stob. 119. 603.**

*Ἐχρῆν γὰρ ἡμᾶς σύλλογον ποιουμένους*
*τὸν φύντα θρηνεῖν, εἰς ὅσ' ἔρχεται κακά,*
*τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον*
*χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων.*

V. 2 — 4. afferunt Strabo XI. p. 790 a, Plutarchus oral. p. 36 e. Dio Chrysost. 23. p. 276. ex parte ltem, primum et secundum Aristid. T. II. p. 199. cundum Aeschin. Axiocho §. 10. Ex Euripidis Cresonte potitos esse versus docet Cicero Tusc. disp. I, . qui etiam vertit. V. 1. Clem. Arist. ἔδει γάρ. obaeus ἐχρῆν μέν. γάρ expressit Cicero. V. 2. obaeus τὸν ζῶντα. V. 3. Sext. καὶ κακῶν πεπ.“ ΑΥΤΚΙΑΣ.

XIV

**Gellius VII, 3.** *Recte hoc vitio dat Lucilius poetae Euripidae, quod, quum Polyphontes rex propterea se interfecisse fratrem diceret, quod ipse ante consilium de nece eius cepisset, Merope fratris uxor hisce cum verbis eluserit:*

*Εἰ γάρ σ' ἔμελλεν, ὡς σὺ φῄς, κτείνειν πόσις,*
*χρὴ καὶ σὲ μέλλειν, ὡς χρόνος δῆθεν παρῆν.*

XV

**Stobaeus 53. p. 367. Polyb. XII. vol. III. p. 434. ed. Schweigh.**

*Εἰρήνα βαθύπλουτε καὶ*
*καλλίστα μακάρων θεῶν,*
*ζῆλός μοι σέθεν, ὡς χρονίζεις,*
*δέδοικα δὲ μὴ πρὶν πόνοις*
*ὑπερβάλῃ με γῆρας,*
*πρὶν σὰν χαρίεσσαν προσιδεῖν ὥραν*
*καὶ καλλιχόρους ἀοιδὰς*
*φιλοστεφάνους τε κώμους.*
*ἴθι μοι, πότνια, πόλιν*
*τάνδ' ἐχθρὰν στάσιν εἶργ' ἀπ' οἴκων*
*τὰν μαινομέναν τ' ἔριν,*
*θηκτῷ τερπομέναν σιδάρῳ.*

XVI

**Plutarchus Moral. p. 110 b.** Ὁ Κρεσφόντης δέ που ὁ παρὰ τῷ Εὐριπίδῃ περὶ τοῦ Ἡρακλέους λέγων

*Εἰ μὲν γὰρ οἰκεῖ (φησὶ) νερτέρας ὑπὸ χθονός,*
*ἐν τοῖσιν οὐκέτ' οὖσιν, οὐδὲν ἂν σθένοι.*

XVII

**Plutarchus Moral. p. 998 e,** Σκόπει δὲ καὶ τὴν ἐν τῇ τραγῳδίᾳ Μερόπην ἐπὶ τὸν υἱὸν αὐτὸν (αὐτῆς) ὡς φονέα τοῦ υἱοῦ πέλεκυν ἀραμένην καὶ λέγουσαν

*Ὁσιωτέραν δὴ τήνδ' ἐγὼ δίδωμί σοι*
*πληγήν,*

ὅσον ἐν τῷ θεάτρῳ κίνημα ποιεῖ, συνεξορθιάζουσα φόβῳ, καὶ δέος μὴ φθάσῃ τὸν ἐπιλαμβανόμενον γέροντα, καὶ τρώσῃ τὸ μειράκιον.

XVIII

**Stobaeus 31. p. 212.**

*Αἰδὼς ἐν ὀφθαλμοῖσι γίγνεται τέκνον.*

---

## ΚΡΗΣΣΑΙ.

**De argumento fabulae schol. Sophocl. Aiac. 1297. Aristoph. Ran. 873. Acharn. 432.**

I

**Aristoph. Vesp. 759.**

*Τοῦτο δὲ*
*Ἅιδης διακρινεῖ πρότερον ἢ 'γὼ πείσομαι.*

ubi schol. Ἐν Κρήσσαις Εὐριπίδου ὁ Ἀτρεὺς πρὸς τὴν Ἀερόπην κρινεῖ ταῦτα. ubi Toupius corrigit, πρὸς τὴν Ἀερόπην φησίν, Ἅιδης διακρινεῖ ταῦτα.

II

**Stobaeus 72. p. 437.**

*Οὐ γάρ ποτ' ἄνδρα τὸν σοφὸν γυναικὶ χρὴ*
*δοῦναι χαλινούς, οὐδ' ἀφέντ' ἐᾶν κρατεῖν·*
*πιστὸν γὰρ οὐδέν ἐστιν· εἰ δέ τις κυρεῖ*
*γυναικὸς ἐσθλῆς, εὐτυχεῖ κακὸν λαβών.*

III

**Stobaeus 70. p. 430.**

*Γαμεῖτε νῦν γαμεῖτε, κᾆτα θνήσκετε*
*ἢ φαρμάκοισιν ἐκ γυναικὸς ἢ δόλοις.*

IV

**Stobaeus 107. p. 579.**
*Λύπη μὲν ἄτη περιπεσεῖν αἰσχρᾷ τινί.*
*εἰ δ' οὖν γένοιτο, χρὴ περιστεῖλαι καλῶς*
*κρύπτοντα καὶ μὴ πᾶσι κηρύσσειν τάδε·*
*γέλως γὰρ ἐχθροῖς γίγνεται τὰ τοιάδε.*

V

**Etymol. M. p. 796, 10.** *Εὐριπίδης παράγωγον ῥῆμα ἀπὸ τούτου ποιήσας φησὶν ἐν Κρήσσαις*
*Πρὶν ἂν ἐκφλῆναί με καὶ μαθεῖν λόγον.*
*πρὶν γὰρ* Sylburg.

VI

**Stobaeus 29. p. 199.**
*Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν,*
*αἰσχρόν τε μοχθεῖν μὴ θέλειν νεανίαν.*

VII

**Stobaeus 96. p. 530.**
*Εἰ δ' ἄτερ πόνων*
*δοκεῖς ἔσεσθαι, μῶρος εἶ, θνητὸς γεγώς.*

VIII

**Stobaeus 89. p. 502. et v. 2. 90. p. 505.**
*Ἐπίσταμαι δὲ καὶ πεπείραμαι λίαν*
*ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.*

IX

**Stobaeus 90. p. 505.**
*Πλούτου δ' ἀπορρυέντος ἀσθενεῖς γάμοι·*
*τὴν μὲν γὰρ εὐγένειαν αἰνοῦσιν βροτοί,*
*μᾶλλον δὲ κηδεύουσι τοῖς εὐδαίμοσιν.*

X

**Athenaeus III. p. 97 a.**
*Νόμος δὲ λείψαν' ἐκβάλλειν κυσίν*
*ἐν Κρήσσαις ὁ Εὐριπίδης ἔφη.*

XI

**Apollon. Dysc. in Anecd. Bekk. p. 514, 5.** *Ἔτι μέντοι φησὶν ὁ Τρύφων, ὡς παρὰ [Εὐριπίδῃ] καὶ ἔτι ἄλλοις ποιηταῖς ὀνοματικῆς συντάξεως ἔτυχεν. ἐν μὲν γὰρ Κρήσσαις*
*Ἐγὼ χάριν σὴν παῖδας οἱ κατακτενῶ.*

XII

**Athenaeus XI. p. 504 b.** *Εὐριπίδης ἐν Κρήσσαις*
*Τὰ δ' ἄλλα χαῖρε, κύλικος ἑρπούσης κύκλῳ.*

XIII

**Athenaeus XIV. p. 640 a.** *Πολλάκις οὖν, ὡς ἔφην, τῶν τοιούτων ἡμῖν παρατιθεμένων ἐπιδορπισμάτων, ἔφη τις τῶν παρόντων*
*Αἱ δεύτεραί πως φροντίδες σοφώτεραι.*
*τί γὰρ ποθεῖ τράπεζα; τῷ δ' οὐ βρίθεται;*
*πλήρης μὲν ὄψων ποντίων, πάρεισι δὲ*
*μόσχων τε σὰρξ τέρεινα χηνεία τε δαὶς*
*καὶ πεπτὰ καὶ κροτητά, τῆς ξουθοπτέρου*
*πελάνῳ μελίσσης ἀφθόνως δεδευμένα.*
**V. 5. 6. Plutarchus Moral. p. 1097 d.**

XIV

**Achilles Tatius** *περὶ σφαίρας* **in Petavii Uranolog. p. 122. 140.**
*Δείξας γὰρ ἄστρων τὴν ἐναντίαν ὁδὸν*
*δήμους τ' ἔσωσα καὶ τύραννος ἱζόμην.*
**Cf. Strabo I. p. 43 a.**

XV

**Aristot. Rhet. II, 23.**
*Ἀλλ' εἴπερ ἐστὶν ἐν βροτοῖς ψευδηγορεῖν*
*πιθανόν, νομίζειν χρή γε καὶ τοὐναντίον,*
*ἄπιστ' ἀληθῆ πολλὰ συμβαίνειν βροτοῖς.*
**ubi scholiasta ed. Paris. 1539. fol. 43. vers. 27.** *Εὐριπίδου ταῦτα φησὶ πρὸς τὸν Θυέστην· ὁ; ταῦτά φησι πρὸς τὸν Ἀτρέα, τὸν ἀδελφὸν αὐτοῦ.*

---

## *ΚΡΗΤΕΣ.*

**De argumento fabulae schol. Aristoph. Ran. 873.**

I

**Schol. Aristoph. Ran. 1398. ad verba** *Ἀλλ' ὦ Κρῆτες, Ἴδης τέκνα, τὰ τόξα λαβόντες ἐπαμύνετε,* **annotat,** *Ταῦτα δὲ παρὰ τὰ ἐκ Κρητῶν Εὐριπίδου.*

II

**Porphyrius de abstinentia IV, 19. p. 172.** *Μαρτυρεῖ με παρῆλθε καὶ τὸ Εὐριπίδειον παραθέσθαι, ὅς τοὺς ἐν Κρήτῃ τοῦ Διὸς προφήτας ἀπέχεσθαί φησι διὰ τούτων. λέγουσι δὲ οἱ κατὰ τὸν χορὸν πρὸς Μίνω*
*Φοινικογενοῦς παῖ τῆς Τυρίας*
*τέκνον Εὐρώπας καὶ τοῦ μεγάλου*
*Ζανός, ἀνάσσων*
*Κρήτης ἑκατομπτολιέθρου,*
*ἥκω ζαθέους ναοὺς προλιπών,*
*οὓς αὐθιγενὴς τμηθεῖσα δοκοὺς*
*στεγανοὺς παρέχει Χαλύβῳ πελέκει*
*καὶ ταυροδέτῳ κόλλῃ κραθεῖσ'*
*ἀτρεκεῖς ἁρμοὺς κυπάρισσος.*
*ἁγνὸν δὲ βίον τείνομεν, ἐξ οὗ*
*Διὸς Ἰδαίου μύστης γενόμην,*
*καὶ νυκτιπόλου Ζαγρέως βιοτὰς*
*τάς τ' ὠμοφάγους δαῖτας τελέσας,*
*μητρί τ' ὀρείᾳ δᾷδας ἀνασχών,*
*καὶ Κουρήτων*
*Βάκχος ἐκλήθην ὁσιωθείς.*
*πάλλευκα δ' ἔχων εἵματα φεύγω*
*γένεσίν τε βροτῶν καὶ νεκροθήκης*
*οὐ χριμπτόμενος, τήν τ' ἐμψύχων*
*βρῶσιν ἐδεστῶν πεφύλαγμαι.*
**V. 5 — 9. Erotianus p. 36. V. 12. Codex Mon.** *βροντάς.*

---

## *ΛΑΜΙΑ.*

**Scholiasta Platonis p. 61. Ruhnk.** *Δευτέρα δὲ Σίβυλλα) Λίβυσσα, ἧς μνήμην ἐποιήσατο ἐν τῷ τῆς Λαμίας προλόγῳ Εὐριπίδης.* **Lactantius Instit. div. I. 6. qui ex eodem fonte hausit:** ***Secundam** (Sibyllam) **Libyssam, cuius meminit Euripides in Lamiae prologo.*** **Ad hanc fabulam referunt quod Diodor. Sic. ex Euripide citat XX, 41.** *Ὅτι δὲ κατὰ τὴν Λιβύην γέγονεν αὕτη (ἡ Λάμια) καὶ τὸν Εὐριπίδην δείξαι τις ἂν μαρτυροῦντα. λέγει γὰρ*
*Τίς τοὔνομα τὸ ἐπονείδιστον βροτοῖς*
*οὐκ οἶδε Λαμίας τῆς Λιβυστικῆς γένος;*

---

## *ΛΙΚΥΜΝΙΟΣ.*

**Schol. Aristoph. Av. 1242.** *Λικυμνίαις βολαῖς: ὁ μὲν Καλλίμαχος γράφων οὕτως· Ἀν-*

ινίοις βολαῖς, φησὶ, ταύτης τῆς διδασκαλίας οὐ ιέμνηται. ἐν δὲ ἐνίοις τῶν σχολικῶν ὑπομνημάτων αυτὶ γέγραπται· ἴσως ὁ Λικύμνιος ἐνεπύρισε τινῶν λκίας. ἐν τοῖς ἐπιγεγραμμένοις Ἀπολλωνίου ταῦτα ·έγραπται, ὅτι ἡμίφλεκτόν τινα εἰσάγει εἰς τοιοῦτό ι κεκεραυνωμένον ἀπὸ τῆς περιστάσεως ἐκείνης. ἴη δ' ἂν τοῦ Εὐριπίδου μεμνημένος ἀγγέλου τοῦ ν τῷ Λικυμνίῳ. λέγει γὰρ ἐπὶ τελευτῆς ἐκεῖνος. ν Λικυμνίῳ δὲ δράματι Εὐριπίδου εἰσήχθη τις εραυνοβολούμενος. **Hesychius**, *Λικυμνίοις βοαῖς*: τῶν ἐν τῷ Εὐριπίδου Λικυμνίῳ μνημονεύοι ν ἴσως. κεραυνοῦται γὰρ ἡ ναῦς κατὰ τὸν ἐκεῖ όγον, οὐχ ὡς αὐτοῦ τοῦ Λικυμνίου τῆς Φωκίδος ατεσκεμμένου.

I

**Diogen. L. III, 63.** *Ὁ γοῦν φαῦλος λέγεται παρ' ὐτῷ (Πλάτωνι) καὶ ἐπὶ τοῦ ἁπλοῦ, ὡς καὶ παρὰ Ὠριπίδῃ ἐν Λικυμνίῳ φέρεται ἐπὶ τοῦ Ἡρακλέους ὑτωσὶ*

*Φαῦλον, ἄκομψον, τὰ μέγιστ' ἀγαθὸν,*
*πᾶσαν ἐν ἔργῳ παρατεμνόμενον*
*σοφίαν, λέσχης ἀτρίβωνα.*

**. 1. Eustathius p. 1492, 28. Etymol. M. p. 789, 34. hotius et Suidas v.** *φαῦλον*. **schol. Platonis p. 84. lutarchus Vit. p. 310 c.**

II

**Stobaeus 29. p. 198.**

*Πόνος γὰρ, ὡς λέγουσιν, εὐκλείας πατήρ.*

**f. Apostol. XVI, 29. Sophocli versum tribuit schol. lermogen. p. 377. apud Ruhnk. ad Xenoph. Mem. II, , 20.**

III

**Stephan. Byz. v.** *Τευθρανία. λέγεται καὶ Τευράντιος. Εὐριπίδης Λικυμνίῳ*

*Τευθράντιον δὲ σχῆμα Μυσίας χθονός.*

IV

**Macrobius Saturn. I, 18.** ***Et ne quis opinetur diversis diis Parnassum montem dicatum, idem Euripides Licymnio Apollinem Liberumque unum eumdemque um esse significans scribit*** *„Δέσποτα φιλόδαφνε άκχε, Παιὰν Ἄπολλον εὔλυρε."*

V

**Stobaeus ecl. phys. vol. I. p. 156.**

*Τὸ τῆς ἀνάγκης οὐ λέγειν ὅσον ζυγόν.*

VI

**Hesychius**, *Θριάζειν: φυλλολογεῖν, ἐνθουσιᾶν, ·θουσιάζειν. Εὐριπίδης Λικυμνίῳ καὶ Σοφοκλῆς δυσσεῖ μαινομένῳ.*

---

## *ΜΕΛΑΝΙΠΠΗ Η ΣΟΦΗ.*

**Partem argumenti habet Dionysius Halicarn.** *τέχν. ητορ.* **c. 9. vol. V. p. 354. Reisk.** *Ἡ Μελανίππη σοφὴ, τὸ δρᾶμα Εὐριπίδου, ἐπιγέγραπται μὲν κρὴ, ὅτι φιλοσοφεῖ καὶ διὰ τοῦτο τοιαύτης μητρός τιν, ἵνα μὴ ἀπίθανος ᾖ ἡ φιλοσοφία. — ἡ δὲ Ιελανίππη ἐπαιδεύθη (ἐπλήσθη* **Valckenarius***) μὲν τὸ τοῦ Ποσειδῶνος, γέγονε δὲ ταύτῃ παιδία, ἐξέηκε δ' αὐτὰ εἰς τὰ τοῦ πατρὸς βουφόρβια. ὁ δὲ πατὴρ ἡγεῖται ἐκ βοὸς εἶναι καὶ ὡς τέρας βούλεται κατακαῦσαι, βοηθοῦσα αὕτη ἡ Μελανίππη ἀποφαίνεσθαι πειρᾶται, ὅτι τέρας οὐδέν ἐστιν κ. τ. λ.* **Cf. ibidem p. 300.**

I

**Plutarchus Moral. p. 756 b.** *Ἀκούεις δὲ δήπου τὸν Εὐριπίδην ὡς ἐθορυβήθη ποιησάμενος ἀρχὴν τῆς Μελανίππης „Ζεὺς, οὐ γὰρ οἶδα πλὴν λόγῳ" ἤλλαξε τὸν στίχον, ὡς νῦν γέγραπται,*

*Ζεὺς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο.*

**Priorem versum citat Lucian. Iov. trag. 41.**

*Ζεὺς, ὅστις ὁ Ζεύς· οὐ γὰρ οἶδα πλὴν λόγῳ*
*κλύων.*

**et Athenag. p. 23. Iustin. M. p. 41 e. Versu correcto utitur Aristoph. Ran. 1275. ubi schol.** *Μελανίππης τῆς σοφῆς ἡ ἀρχή.* **Pleniorem locum habet Gregor. Cor. comm. in Hermog. in Reisk. Orat. gr. XIII. p. 949.** *ἐν δὲ τῇ Μελανίππῃ παρεισάγει ταύτην προοιμιαζομένην·*

*Ζεὺς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο,*
*Ἕλλην' ἔτικτε.*

**Idem versus est in Pirithoo quod monuit Gregorius p. 948.**

II

**Stephanus Byz. v.** *Βοιωτία* **de Boeoto,** *Νικοκράτης δέ φησιν ὅτι Ποσειδῶνος καὶ Ἄρνης ἦν παῖς. Εὐφορίων· — καὶ Εὐριπίδης*

*Τὸν δ' ἀμφὶ βοῦν ῥιφέντα Βοιωτὸν καλεῖν.*

**Ad Melanippam retulit Musgrav.**

III

**Clemens Alex. Strom. I. p. 306 b. (Cyrill. c. Iulian. IV. p. 134 b.)** *Ἱππὼ δὲ, ἡ θυγάτηρ τοῦ Κενταύρου* **(Chironis)**, *συνοικήσασα Αἰόλῳ ἐδιδάξατο αὐτὸν τὴν φυσικὴν θεωρίαν, τὴν πάτριον ἐπιστήμην. μαρτυρεῖ δὲ Εὐριπίδης περὶ τῆς Ἱππους ὧδέ πως*

*ἣ πρῶτα μὲν τὰ θεῖα προὐμαντεύσατο*
*χρησμοῖσι σαφέσιν ἀστέρων ἐπ' ἀντολαῖς.*

IV

**Eratosthenes Cataster. c. 18.** *Εὐριπίδης δέ φησι Μελανίππην εἶναι (φησὶν ἐν Μελανίππῃ, Ἵππην εἶναι* **Valckenarius***) τὴν τοῦ Χείρωνος θυγατέρα, ὑπ' Αἰόλου δὲ ἀπατηθεῖσαν φθαρῆναι καὶ διὰ τὸν ὄγκον τῆς γαστρὸς φυγεῖν εἰς τὰ ὄρη· κἀκεῖ ὠδινούσης αὐτῆς τὸν πατέρα ἐλθεῖν κατὰ ζήτησιν, τὴν δ' εὔξασθαι καταλαμβανομένην πρὸς τὸ μὴ γνωσθῆναι μεταμορφωθῆναι καὶ γενέσθαι ἵππον. διὰ γοῦν τὴν εὐσέβειαν αὐτῆς τε καὶ τοῦ πατρὸς ὑπ' Ἀρτέμιδος εἰς τὰ ἄστρα τεθῆναι, ὅθεν τῷ Κενταύρῳ οὐχ ὁρατή ἐστιν.* **Eadem Hygin. Poet. Astron. II, 18.**

V

**Dionysius Halic.** *τέχν. ῥητ.* **p. 301. ed. Reisk.** *Ὁ δὲ τῆς Μελανίππης (σχηματισμός) „Τίς τὰ παιδία ἐξέθηκεν εἰς τὰ τοῦ πατρὸς βουφόρβια;"* **et p. 356. Melanippae** *γέγονε παιδία· ἐξέθηκε δ' αὐτὰ εἰς τὰ τοῦ πατρὸς βουφόρβια. ὁ δὲ πατὴρ ἡγεῖται ἐκ βοὸς εἶναι καὶ ὡς τέρας βούλεται κατακαῦσαι. βοηθοῦσα αὕτη ἡ Μελανίππη ἀποφαίνεσθαι πειρᾶται, ὅτι τέρας οὐδέν ἐστιν —. περιερχομένη γὰρ πάσας αἰτίας

τοῦ σῶσαι τὰ παιδία, λέγει „Εἰ δὲ παρθένος φθαρεῖσα ἐξέθηκε τὰ παιδία, καὶ φοβουμένη τὸν πατέρα, σὺ φόνον δράσεις;"

VI

Dionysius Halic. vol. V. p. 355. (Diod. Sic. I. c. 7. Euseb. P. E. I. p. 20 d.) Ἀναξαγόρᾳ προσεφοίτησεν Εὐριπίδης. Ἀναξαγόρου δὲ λόγος ἐστὶν, ὅτι πάντα ἐν πᾶσιν, εἶτα ὕστερον διεκρίθη. μετὰ ταῦτα ὡμίλησε καὶ Σωκράτει, καὶ ἐπὶ τὸ ἀπορώτερον ἤγαγε τὸν λόγον. ὁμολογεῖ οὖν τὴν διδασκαλίαν τὴν ἀρχαίαν διὰ τῆς Μελανίππης

Κοὐκ ἐμὸς ὁ μῦθος, ἀλλ' ἐμῆς μητρὸς πάρα,
ὡς οὐρανός τε γαῖά τ' ἦν μορφὴ μία·
ἐπεὶ δ' ἐχωρίσθησαν ἀλλήλων δίχα,
τίκτουσι πάντα κἀνέδωκαν εἰς φάος
δένδρη, πετεινὰ, θῆρας, οὕς θ' ἅλμη τρέφει,
γένος τε θνητῶν.

Primum versum solus habet Dionysius sed adiuncto secundo. Hanc Melanippes ῥῆσιν tanquam παράδειγμα τοῦ ἀπρεποῦς καὶ μὴ ἁρμόττοντος vituperat Aristot. poet. c. 15, 8.

VII

Schol. Aristophanis Ran. 100. (coll. Suida in παρακεκινδυνευμένον) Αἰθέρα Διὸς δωμάτιον: ἐκ Μελανίππης σοφῆς

Ὄμνυμι δ' ἱρὸν αἰθέρ', οἴκησιν Διός.

qui versus legitur apud Aristoph. Thesm. 279.

---

### ΜΕΛΑΝΙΠΠΗ ΔΕΣΜΩΤΙΣ.

VIII

Stobaeus 123. p. 616.

Τί τοὺς θανόντας οὐκ ἐᾷς τεθνηκέναι
καὶ τἀχυθέντα συλλέγεις ἀλγήματα;

IX

Stobaeus 74. p. 451.

Ἴστω δ' ἄφρων ὤν, ὅστις ἄτεκνος ὢν τὸ πρὶν
παῖδας θυραίους εἰς δόμους ἐκτήσατο,
τὴν μοῖραν εἰς τὸ μὴ χρεὼν παραστρέφων.
ᾧ γὰρ θεὸς δίδωσι μὴ φῦναι τέκνα,
οὐ χρὴ 'γκαλεῖσθαι πρὸς τὸ θεῖον, ἀλλ' ἐᾶν.

X

Stobaeus 60. p. 384.

Δοῦλον γὰρ ἐσθλὸν τοὔνομ' οὐ διαφθερεῖ,
πολλοὶ δ' ἀμείνους εἰσὶ τῶν ἐλευθέρων.

XI

Stobaeus 84. p. 493.

Ἐγὼ μὲν οὖν οὐκ οἶδ' ὅπως σκοπεῖν χρεὼν
τὴν εὐγένειαν· τοὺς γὰρ ἀνδρείους φύσιν
καὶ τοὺς δικαίους τῶν κενῶν δοξασμάτων,
κἂν ὦσι δούλων, εὐγενεστέρους λέγω.

XII

Stobaeus eclog. phys. vol. I. p. 108.

α. Δοκεῖτε πηδᾶν τἀδικήματ' εἰς θεοὺς
πτεροῖσι, κἄπειτ' ἐν Διὸς δέλτου πτυχαῖς
γράφειν τιν' αὐτὰ, Ζῆνα δ' εἰσορῶντά νιν
θνητοῖς δικάζειν; οὐδ' ὁ πᾶς ἂν οὐρανὸς
Διὸς γράφοντος τὰς βροτῶν ἁμαρτίας
ἐξαρκέσειεν, οὐδ' ἐκεῖνος ἂν σκοπῶν
πέμπειν ἑκάστῳ ζημίαν· ἀλλ' ἡ Δίκη
ἐνταῦθά πού 'στιν ἐγγὺς, εἰ βούλεσθ' ὁρᾶν.

β. ταύτας μὲν ἀνθρώποισιν, ὦ γύναι, θεοὶ
τίσεις διδοῦσιν, οὓς ἂν ἐχθαίρωσ', ἐπεὶ
οὔ σφιν πονηρόν ἐστιν.

XIII

Stobaeus ecl. phys. vol. I. p. 232.

Οὐκ ἔστι πράττοντάς τι μοχθηρὸν λαθεῖν·
ὀξὺ βλέπει γὰρ ὁ χρόνος, ὃς τὰ πάνθ' ὁρᾷ.

XIV

Stobaeus 67. p. 423. Eusebius P. E. X. p. 466.

Τῆς μὲν κακῆς κάκιον οὐδὲν γίγνεται
γυναικὸς, ἐσθλῆς δ' οὐδὲν εἰς ὑπερβολὴν
πέφυκ' ἄμεινον, διαφέρουσι δ' αἱ φύσεις.

XV

Stobaeus 68. p. 425.

Γάμους δ' ὅσοι σπεύδουσι μὴ πεπρωμένους,
μάτην πονοῦσιν· ἡ δὲ τῷ χρεὼν πόσει
μένουσα κἀσπούδαστος ἦλθεν εἰς δόμους.

XVI

Stobaeus ibidem.

Ὅσοι γαμοῦσι δ' ἢ γένει κρείσσους γάμους,
ἢ πολλὰ χρήματ', οὐκ ἐπίστανται γαμεῖν.
τὰ τῆς γυναικὸς γὰρ κρατοῦντ' ἐν δώμασιν
δουλοῖ τὸν ἄνδρα, κοὐκέτ' ἔστ' ἐλεύθερος.
πλοῦτος δ' ἐπακτὸς ἐκ γυναικείων γάμων
ἀνόνητος· αἱ γὰρ διαλύσεις οὐ ῥᾴδιαι.

XVII

Stobaeus 72. p. 431.

Μετρίων λέκτρων, μετρίων δὲ γάμων
μετὰ σωφροσύνης
κύρσαι θνητοῖσιν ἄριστον.

XVIII

Stobaeus 67. p. 424.

Ἄλγιστόν ἐστι θῆλυ μισηθὲν γένος·
αἱ γὰρ σφαλεῖσαι ταῖσιν οὐκ ἐσφαλμέναις
αἶσχος γυναιξὶ, καὶ κεκοίνωνται ψόγον
ταῖς οὐ κακαῖσιν αἱ κακαί· τὰ δ' εἰς γάμους
οὐδὲν δοκοῦσιν ὑγιὲς ἀνδράσιν φρονεῖν.

XIX

Stobaeus 71. p. 432.

Πλὴν τῆς τεκούσης θῆλυ πᾶν μισῶ γένος.

XX

Stobaeus 72. p. 437.

Τίσασθε τήνδε. καὶ γὰρ ἐντεῦθεν νοσεῖ
τὰ τῶν γυναικῶν· οἱ μὲν ἢ παίδων πέρι
ἢ συγγενείας οὕνεκ' οὐκ ἀπώλεσαν
κακὴν λαβόντες· εἶτα δ' οὕτω τἄδικον
πολλαῖς ὑπερρύηκε καὶ χωρεῖ πρόσω,
ὥστ' ἐξίτηλος ἀρετὴ καθίσταται.

XXI

Stobaeus 30. p. 210.

Ἀργὸς πολίτης κεῖνος ὡς κακός γ' ἀνήρ.

XXII

Stobaeus 50. p. 357.

Παπαῖ, νέος καὶ σκαιὸς οἷός ἐστ' ἀνήρ.

XXIII

Stobaeus 114. p. 585.

Παλαιὸς αἶνος· ἔργα μὲν νεωτέρων,
βουλαὶ δ' ἔχουσι τῶν γεραιτέρων κράτος.

XXIV

Stobaeus 81. p. 473.

Ὅστις δ' ἄμικτον πατέρ' ἔχει νεανίας
στυγνόν τ', ἐν οἴκοις μεγάλα κέκτηται κακά.

XXV

Stobaeus 92. p. 511.

*Ὦ τέκνον, ἀνθρώποισιν ἔστιν οἷς βίος*
*ὁ μικρὸς εὐκρὰς ἐγένεθ', οἷς δ' ὄγκος κακόν.*

XXVI

Plutarchus Moral. p. 116 f. Stobaeus 106. p. 568.

*Τὰ προσπεσόντα δ' ὅστις εὖ φέρει βροτῶν,*
*σοφὸν νομίζω, σωφρονεῖν τέ μοι δοκεῖ.*

V. 1. *τὰ τυγχάνοντα* Stobaeus.

XXVII

Stobaeus 115. p. 590.

*Τί δ' ἄλλο, φωνὴ καὶ σκιὰ γέρων ἀνήρ.*

XXVIII

Erotianus p. 62. *Βακχεῖος μὲν ἐν πρώτῳ φονεῖς φησὶν (ἀλάστορας) ἐκ τῆς Εὐριπίδου Μελανίππης*

*Ἴσως ἀλάστορ' οὐκ ἐτόλμησε κτανεῖν.*

XXIX

Athenaeus XIV. p. 614 d. *Καὶ Εὐριπίδης δὲ ἐν τῇ δεσμώτιδι Μελανίππῃ ἔφη*

*Ἀνδρῶν δὲ πολλοὶ τοῦ γέλωτος οὕνεκα*
*ἀσκοῦσι χάριτας κερτόμους· ἐγὼ δέ πως*
*μισῶ γελοίους, οἵτινες μὲν ἐπὶ σοφῶν*
*ἀχάλιν' ἔχουσι στόματα, κεἰς ἀνδρῶν μὲν οὐ*
*τελοῦσ' ἀριθμὸν, ἐν γέλωτι δ' εὐπρεπεῖς.*
*οἰκοῦσι δ' οἴκους καὶ τὰ ναυστολούμενα*
*ἔσω δόμων σώζουσι.*

V. 1. 2. Eustathius p. 1837.

XXX

Athenaeus XII. p. 523 e. *Ὠνομάσθη δ' ἡ Σίρις, ὡς μὲν Τίμαιός φησι καὶ Εὐριπίδης ἐν Δεσμώτιδι ἢ Μελανίππῃ ἀπὸ γυναικός τινος Σίριδος.*

XXXI

Schol. Platonis p. 68. Ruhnk. *Ἀδώνιδος κήπους: Ἀδώνιδος κῆποι ἐπὶ τῶν ἀώρων καὶ ὀλιγοχρονίων καὶ μὴ ἐρριζωμένων. ἐμνήσθη δὲ αὐτῆς καὶ Εὐριπίδης Μελανίππῃ καὶ ἐνταῦθα Πλάτων.*

---

## *ΜΕΛΕΑΓΡΟΣ.*

I

Pseudo-Plutarchus Moral. p. 312 a. *Ἄρης Ἀλθαίᾳ συνῆλθε καὶ Μελέαγρον ποιήσας, ὡς Εὐριπίδης ἐν Μελεάγρῳ.*

II

*Καλυδὼν μὲν ἥδε γαῖα, Πελοπίας χθονὸς*
*ἐν ἀντιπόρθμοις πεδί' ἔχουσ' εὐδαίμονα.*
*Οἰνεὺς δ' ἀνάσσει τῆσδε γῆς Αἰτωλίας,*
*Πορθάονος παῖς, ὅς ποτ' Ἀλθαίαν γαμεῖ,*
*Λήδας ὅμαιμον, Θεστίου δὲ παρθένον.*

V. 1. 2. Demetr. Phaler. de eloc. 58. Lucian. conviv. 25. V. 1. Aristot. Rhetor. III, 9, 4. schol. Arist. Ran. 1269. V. 3. scholiasta Aristotelis.

III

Aristoph. Ran. 1269.

*Οἰνεύς ποτ' ἐκ γῆς πολύμετρον λαβὼν στάχυν,*
*θύων ἀπαρχάς.*

ubi schol. *Ἔστι μὲν ἐκ Μελεάγρου μετὰ ἱκανὰ τῆς ἀρχῆς· ἡ δὲ ἀρχὴ τοῦ δράματος „Καλυδὼν μὲν ἥδε γαῖα Πελοπίας χθονός.“ τὸ δὲ λοιπὸν τοῦ στίχου „οὐκ ἔθυσεν Ἀρτέμιδι.“* Verba *θύων ἀπαρχάς* citat Eustathius p. 770, 21.

IV

Macrobius Saturn. V, 18. *In Euripidis tragoedia, quae Meleager inscribitur, nuntius inducitur describens, quo quisque habitu fuerit ex ducibus, qui ad aprum capiendum convenerant; in eo hi versus sunt:*

*Τελαμὼν δὲ χρυσοῦν αἰετὸν πέλτης ἔπι*
*πρόβλημα θηρὸς, βότρυσι δ' ἔστεψεν κάρα,*
*Σαλαμῖνα κοσμῶν πατρίδα τὴν εὐδαίμονα.*
*Κύπριδος δὲ μίσημ' Ἀρκὰς Ἀταλάντη κύνας*
*καὶ τόξ' ἔχουσα· πελέκεως δὲ δίστομον*
*γένυν ἔπαλλ' Ἀγκαῖος, οἱ δὲ Θεστίου*
*κόροι τὸ λαιὸν ἴχνος ἀνάρβυλοι ποδὸς,*
*τὸν δ' ἐν πεδίλοις, ὡς ἐλαφρίζον γόνυ*
*ἔχοιεν, ὃς δὴ πᾶσιν Αἰτωλοῖς νόμος.*

V

Aristoph. Ran. 1449.

*Σιδηροβριθές τ' ἔλαβε δεξιᾷ ξύλον.*

ubi schol. *τὸ δὲ σιδηροβριθὲς ἐκ Μελεάγρου.*

VI

Etymol. M. p. 576, 30. *Μελέαγρος. ἐτυμολογεῖ Εὐριπίδης*

*Μελέαγρε, μελέαν γάρ ποτ' ἀγρεύεις ἄγραν.*

Eodem respicit grammat. in Bekkeri Anecd. p. 1163.

VII

Stobaeus 8. p. 96.

*Δειλοὶ γὰρ ἄνδρες οὐκ ἔχουσιν ἐν μάχῃ*
*ἀριθμὸν, ἀλλ' ἄπεισι κἂν παρῶσ' ὅμως.*

VIII

Stobaeus 68. p. 425.

*Εἰ δ' εἰς γάμους ἔλθοιμ', ὃ μὴ τύχοι ποτὲ,*
*τῶν ἐν πόνοισιν ἡμερευουσῶν ἀεὶ*
*βελτίον' ἂν τέκοιμι δώμασιν τέκνα.*
*ἐκ γὰρ πατρὸς καὶ μητρὸς ὅστις ἐκπονεῖ*
*σκληρὰς διαίτας οἱ γόνοι βελτίονες.*

V. 4. 5. Clemens Alex. Strom. VI. p. 620. et Ioannes Damasc. in Gaisfordi append. ad Stobaeum vol. IV. p. 35.

IX

Stobaeus 70. p. 431.

*Ἡγησάμην οὖν, εἰ παραζεύξειέ τις*
*χρηστῷ πονηρὸν λέκτρον, οὐκ ἂν εὐτεκνεῖν,*
*ἐσθλοῖν δ' ἀπ' ἀμφοῖν ἐσθλὸν ἂν φῦναι γόνον.*

X

Stobaeus 72. p. 439.

*Ἔνδον μένουσαν τὴν γυναῖκ' εἶναι χρεὼν*
*ἐσθλὴν, θύρασι δ' ἀξίαν τοῦ μηδενός.*

XI

Stobaeus 7. p. 432.

*Εἰ κερκίδων μὲν ἀνδράσιν μέλοι πόνος,*
*γυναιξὶ δ' ὅπλων ἐμπέσοιεν ἡδοναί.*
*ἐκ τῆς ἐπιστήμης γὰρ ἐκπεπτωκότες*
*κεῖνοί τ' ἂν οὐδὲν εἶεν οὔθ' ἡμεῖς ἔτι.*

XII

Stobaeus 73. p. 448.

*Καὶ κτῆμα δ', ὦ τεκοῦσα, κάλλιστον τόδε,*
*πλούτου δὲ κρεῖσσον· τοῦ μὲν ὠκεῖα πτέρυξ,*
*παῖδες δὲ χρηστοὶ, κἂν θάνωσι, δώμασι*
*καλὸν τὸ θησαύρισμα, τοῖς τεκοῦσί τε*
*ἀνάθημα βιότου, κοὔποτ' ἐκλείπει δόμους.*

XIII

Stobaeus 85. p. 497.

*Μόνον δ' ἂν αὐτὰ χρημάτων οὐκ ἂν λάβοις,*

*γενναιότητα κἀρετήν· καλὸς δέ τις*
*κἂν ἐκ πονηρῶν σωμάτων γένοιτο παῖς.*

XIV

Stobaeus CXIX, 9. Gaisf.

*Τερπνὸν τὸ φῶς μοι, τὸ δ' ὑπὸ γῆν Ἅιδου σκότος*
*οὐδ' εἰς ὄνειρον οὐδεὶς ἀνθρώπους μολεῖν.*
*ἐγὼ μὲν οὖν γεγῶσα τηλικήδ' ὅμως*
*ἀπέπτυσ' αὐτὸ, κοὔποτ' εὔχομαι θανεῖν.*

XV

Etymol. M. p. 803, 46. *Φῷ ἀντὶ τοῦ φωτὶ σὺν τῷ ι. Εὐριπίδης Μελεάγρῳ*

*Τὸ μὲν ἐν φῷ, τὸ δὲ κάτω σκότος κακόν.*

XVI

Schol. Pind. Nem. 10, 12. *Τυδεὺς — ἀπεγεύσατο τῶν Μελανιππείων χρεῶν, ὡς καὶ Εὐριπίδης ἐν τῷ Μελεάγρῳ φησὶ*

*Εἰς ἀνδροβρῶτας ἡδονὰς ἀφίξεται*
*κάρηνα Τυδεὺς γέννσι Μελανίππου σπάσας.*

XVII

Suidas v. *νῦν δή* et Photius.

*Ὁρᾷς σὺ νῦν δή μ' ὡς ἐπράϋνας, τύχη.*

XVIII

Aristoph. Ran. 1349. *Εἱλίσσετε δακτύλοις φάλαγγες ἱστότονα πηνίσματα καὶ*
*κερκίδος ἀοιδοῦ μελέτας.*
ubi schol. *τὸ δὲ κερκίδος ἐκ Μελεάγρου Εὐριπίδου.*

XIX

Stobaeus 60. p. 383.

*Ὡς ἡδὺ δούλοις δεσπότας χρηστοὺς λαβεῖν,*
*καὶ δεσπόταισι δοῦλον εὐμενῆ δόμοις.*

XX

Stobaeus 96. p. 527. et 120. p. 609.

*Τοὺς ζῶντας εὖ δρᾶν· κατθανὼν δὲ πᾶς ἀνὴρ*
*γῆ καὶ σκιά· τὸ μηδὲν εἰς οὐδὲν ῥέπει.*

XXI

Stobaeus 103. p. 563.

*Φεῦ, τὰ τῶν εὐδαιμονούντων ὡς τάχα στρέφει θεός.*

XXII

Stobaeus 62. p. 399.

*Ἡ γὰρ Κύπρις πέφυκε τῷ σκότῳ φίλη,*
*τὸ φῶς δ' ἀνάγκην προστίθησι σωφρονεῖν.*

XXIII

Stobaeus 71. p. 434.

*Μισῶ γυναῖκας, ἐκ πασῶν δὲ σὲ*
*ἥτις πονηρὰ τἄργ' ἔχουσ' εἶτ' εὖ λέγεις.*

XXIV

Hesychius, *Ἀντήλιοι θεοί: οἱ πρὸ τῶν πυλῶν ἱδρυμένοι. Εὐριπίδης Μελεάγρῳ.*

XXV

Hesychius, *Καθωσίωσε: κατέθυσε.*

## *ΟΙΔΙΠΟΥΣ.*

I

Aelian. N. A. XII, 7. Erotian. p. 378. de Sphinge

*Οὐρὰν δ' ὑπίλασ' ὑπὸ λεοντόπουν βάσιν*
*καθέζετ'.*

II

Schol. Eurip. Phoen. 61. *Ἐν δὲ τῷ Οἰδίποδι οἱ Λαΐου θεράποντες ἐτύφλωσαν αὐτόν.*

*Ἡμεῖς δὲ Πολύβου παῖδ' ἐρείσαντες πέδῳ*
*ἐξομματοῦμεν καὶ διόλλυμεν κόρας.*

III

Stobaeus ecl. phys. vol. I. p. 270.

*Ἑνὸς δ' ἔρωτος ὄντος οὐ μί' ἡδονή·*
*οἱ μὲν κακῶν ἐρῶσιν, οἱ δὲ τῶν καλῶν.*
*ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως*
*ζηλωτὸς ἀνθρώποισιν· ὧν εἴην ἐγώ.*

V. 3. 4. Aeschines contra Timarch. p. 21. H. Steph.

IV

Stobaeus 67. p. 424.

*Πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων γυνή,*
*ἡ δὲ μὴ σώφρων ἀνοίᾳ τὸν ξυνόνθ' ὑπερφρονεῖ.*

Sententiam horum versuum habet Clemens Alex. Strom. IV. p. 499. ed. Sylb. V. 1. est apud Stobaeum 65. p. 411.

V

Clemens Alex. Strom. IV. p. 499. Stobaeus 71. p. 432.

*Πᾶσα γὰρ ἀνδρὸς κακίων ἄλοχος,*
*κἂν ὁ κάκιστος*
*γήμῃ τὴν εὐδοκιμοῦσαν.*

VI

Stobaeus 64. p. 409.

*Νοῦν χρὴ θεάσασθαι· τί τῆς εὐμορφίας*
*ὄφελος, ὅταν τις μὴ φρένας καλὰς ἔχῃ.*

VII

Stobaeus 65. p. 411.

*Μεγάλη τυραννὶς ἀνδρὶ τέκνα καὶ γυνή·*
*ἴσην γὰρ ἀνδρὶ συμφορὰν εἶναι λέγω*
*τέκνων θ' ἁμαρτεῖν καὶ πάτρας καὶ χρημάτων*
*ἀλόχου τε κεδνῆς· ὡς μόνων τῶν χρημάτων*
*ἧ κρεῖσσόν ἐστι τἀνδρὶ, σώφρον' ἂν λάβῃ.*

VIII

Stobaeus 71. p. 431.

*Ἄλλως δὲ πάντων δυσμαχώτατον γυνή.*

IX

Stobaeus tit. 1.

*Οὔτοι νόμισμα λευκὸς ἄργυρος μόνον*
*καὶ χρυσός ἐστιν, ἀλλὰ κἀρετὴ βροτοῖς*
*νόμισμα κεῖται πᾶσιν, ᾗ χρῆσθαι χρεών.*

V. 3. Heath, *χἠρετὴ*, quod recepit Gaisford. Clemens Alex. Strom. IV. p. 484 a. ed. Sylb. *Οὐκοῦν μόνον τοῦτο νόμισμα λευκὸς ἄργυρος ἢ χρυσός ἐστιν, ἀλλὰ καὶ ἡ ἀρετὴ βροτοῖς, ὥς φησιν ὁ Σοφοκλῆς.*

X

Stobaeus 38. p. 222.

*Φθόνος δ' ὁ πολλῶν φρένα διαφθείρων βροτῶν*
*ἀπώλεσ' αὐτὸν κἀμὲ συνδιώλεσεν.*

XI

Stobaeus 7. p. 86.

*Πότερα γενέσθαι δῆτα χρησιμώτερον*
*συνετὸν ἄτολμον, ἢ θρασύν τε κἀμαθῆ.*
*τὸ μὲν γὰρ αὐτῶν σκαιὸν, ἀλλ' ἀμύνεται.*
*τὸ δ' ἡσυχαῖον ἀργόν· ἐν δ' ἀμφοῖν νόσος.*

XII

Stobaeus 103. p. 562.

*Πολλάς γ' ὁ δαίμων τοῦ βίου μεταστάσεις*
*ἔδωκεν ἡμῖν μεταβολάς τε τῆς τύχης.*

XIII

Stobaeus ibidem

Ἀλλ' ἡμέρα τοι μεταβολὰς πολλὰς ἔχει.

XIV

Stobaeus 108. p. 579.

Ἐκμαρτυρεῖν γὰρ ἄνδρα τὰς αὐτοῦ τύχας
εἰς πάντας ἀμαθὲς, τὸ δ' ἐπικρύπτεσθαι σοφόν.

XV

Stobaeus 110. p. 581.

Ἐκ τῶν ἀέλπτων ἡ χάρις μείζων βροτοῖς
φανεῖσα, μᾶλλον ἢ τὸ προσδοκώμενον.

XVI

Stobaeus eclog. phys. vol. I. p. 104.

Ὁρῶ γὰρ ἐν χρόνῳ
δίκην ἄπαντ' ἄγουσαν εἰς φάος βροτοῖς.

XVII

Hesychius, Ἄναρθρος: ἄτονος, ἀσθενής. Εὐριπίδης Οἰδίποδι.

## ΟΙΝΕΥΣ.

Scholiasta Aristoph. Acharn. 417. Γέγραπται τῷ Εὐριπίδῃ δρᾶμα Οἰνεύς. μετὰ δὲ τὸν θάνατον Τυδέως καὶ ἐπιστράτευσιν Διομήδους κατὰ Θηβαίων ἀφῃρέθη τὴν βασιλείαν Οἰνεὺς ὑπὸ τῶν Ἀγρίου παίδων, καὶ περιήει ταπεινὸς, ἄχρις οὗ ἐπανελθὼν Διομήδης Ἄγριον μὲν ἀνεῖλε, τὴν βασιλείαν δὲ Οἰνεῖ παρέδωκε.

I

Scholiasta Aristot. Rhet. III, 16.

Ὦ γῆς πατρῴας χαῖρε φίλτατον πέδον
Καλυδῶνος, ἔνθεν αἷμα συγγενὲς φυγὼν
Τυδεὺς, τόκος μὲν Οἰνέως, πατὴρ δ' ἐμὸς
ᾤκησεν Ἄργος, παῖδα δ' Ἀδράστου λαβὼν
συνῆψε γένναν.

II

Stobaeus 104. p. 565.

Ὅταν κακοὶ πράξωσιν, ὦ ξένοι, καλῶς
ἄγαν κρατοῦντες κοὐ νομίζοντες δίκην
δώσειν, ἔδρασαν πάντ' ἐφέντες ἡδονῇ.

III

Schol. Aristoph. Ran. 72. Οἱ μὲν γὰρ οὐκέτ': Εὐριπίδου ἐξ Οἰνέως

α. Σὺ δ' ὧδ' ἔρημος ξυμμάχων ἀπόλλυσαι;
β. οἱ μὲν γὰρ οὐκέτ' εἰσὶν, οἱ δ' ὄντες κακοί.

IV.

Erotianus p. 362. Τιμωρέουσα, βοηθοῦσα, ὡς καὶ Εὐριπίδης ἐν Οἰνεῖ φησιν

Ἐγὼ δὲ πατρὸς αἷμ' ἐτιμωρησάμην
σὺν τοῖς ἐφηβήσασι τῶν ὀλωλότων.

V

Suidas, Ἡρακλείαν λίθον τινὲς τὴν Μαγνησίαν πέδοσαν διὰ τὸ τὴν Ἡρακλείαν τῆς Μαγνησίας εἶναι. οἱ δὲ ὅτι ἡ μὲν ἐπισπωμένη τὸν σίδηρον Ἡρακλειῶτις, ἡ δὲ Μαγνῆτις ἀργύρῳ ὁμοία ἐστὶν, ὡς Εὐριπίδης ἐν Οἰνεῖ „Τὰς βροτῶν γνώμας σκοπῶν, ὥστε μαγνῆτις λίθος τὴν δόξαν ἕλκει καὶ μεθίστησιν πάλιν.“ οὐ λέγει νῦν ὑπὸ τῆς Μαγνήτιος λίθου τὸν σίδηρον, ἀλλὰ τὴν τῶν θεωμένων ὄκησιν ἕλκεσθαι πλανωμένων ὡς ἐπὶ ἀργύρῳ.

Plato Ione p. 533 d. ἔστι γὰρ τοῦτο τέχνη μὲν οὐκ ὂν παρὰ σοὶ περὶ Ὁμήρου εὖ λέγειν, ὃ νῦν δὴ ἔλεγον, θεία δὲ δύναμις ἥ σε κινεῖ, ὥσπερ ἐν τῇ λίθῳ, ἣν Εὐριπίδης μὲν Μαγνῆτιν ὠνόμασεν, οἱ δὲ πολλοὶ Ἡράκλειαν. καὶ γὰρ αὕτη ἡ λίθος οὐ μόνον αὐτοὺς τοὺς δακτυλίους ἄγει τοὺς σιδηροῦς, ἀλλὰ καὶ κ. τ. λ.

VI

Stobaeus 112. p. 583.

Σχολὴ μὲν οὐχί· τῷ δὲ δυστυχοῦντί πως
τερπνὸν τὸ λέξαι κἀποκλαύσασθαι πάλιν.

Apud Galenum vol. V. p. 153. Chart. vol. V. p. 423. Kühn. τοῖς δὲ δυστυχοῦσί πως τερπνὸν τὸ κλαῦσαι κἀποδύρασθαι τύχας, ad Aeschyli Prometh. v. 632. aberrans.

VII

Stobaeus 73. p. 448.

Ὡς οὐδὲν ἀνδρὶ πιστὸν ἄλλο, πλὴν τέκνων·
κέρδους δ' ἕκατι καὶ τὸ συγγενὲς νοσεῖ.

VIII

Clemens Alex. Strom. VI. p. 619 sq. ed. Sylb.

Εὐριπίδης δ' ἐν Οἰνεῖ φησιν

Ἀλλ' ἄλλος ἄλλοις μᾶλλον ἥδεται τρόποις.

IX

Athenaeus XV. p. 666 c. Κότταβος δ' ἐκαλεῖτο (καὶ) τὸ τιθέμενον ἆθλον τοῖς νικῶσιν ἐν τῷ πότῳ, ὡς Εὐριπίδης παρίστησιν ἐν Οἰνεῖ λέγων οὕτως

Πυκνοῖς δ' ἔβαλλον Βακχίου τοξεύμασιν
κάρα γέροντος, τὸν βαλόντα δὲ στέφειν
ἐγὼ 'τετάγμην ἆθλα κόσσαβον διδούς.

X

Philostratus Heroic. p. 663. Olear. p. 12. Boisson. Νυνὶ δέ μοι ἐκεῖνο εἰπὲ, οἰκεῖα γεωργεῖς ταῦτα, ἢ δεσπότης μὲν αὐτῶν ἕτερος, σὺ δὲ τρέφοντα τοῦτον τρέφεις, ὥσπερ τὸν τοῦ Εὐριπίδου Οἰνέα.

XI

Hesychius, Ἀκρίζων: ἄκροις ποσὶν ἐπιπορευόμενος. Εὐριπίδης Οἰνεῖ.

XII

Aristoph. Ach. 471. Καὶ γάρ εἰμ' ἄγαν Ὀχληρὸς οὖν δοκῶν γε κοιράνους στυγεῖν. ubi schol. Τοῦτο πεπαρῴδηται ἀσήμως ἐξ Οἰνέως Εὐριπίδου. ὁ δὲ Σύμμαχος καὶ ἐκ Τηλέφου φησὶν αὐτό.

## ΟΙΝΟΜΑΟΣ.

I

Stobaeus 56. p. 374.

Ὁ πλεῖστα πράσσων πλεῖσθ' ἁμαρτάνει βροτῶν.

II

Stobaeus 74. p. 451.

Ἀμηχανῶ δ' ἔγωγε κοὐκ ἔχω μαθεῖν
εἴτ' οὖν ἄμεινόν ἐστι γίγνεσθαι τέκνα
θνητοῖσιν εἴτ' ἄπαιδα καρποῦσθαι βίον.
ὁρῶ γὰρ οἷς μὲν οὐκ ἔφυσαν ἀθλίους,
ὅσοισι δ' εἰσὶν οὐδὲν εὐτυχεστέρους.
καὶ γὰρ κακοὶ γεγῶτες ἐχθίστη νόσος,
κἂν αὖ γένωνται σώφρονες, κακὸν μέγα·
λυποῦσι τὸν φύσαντα, μὴ πάθωσί τι.

III

Stobaeus 97. p. 538.

*Ἓν ἐστι πάντων πρῶτον εἰδέναι τάδε,*
*φέρειν τὰ συμπίπτοντα μὴ παλιγκότως.*
*χοὗτός γ' ἀνὴρ ἄριστος, αἵ τε συμφοραὶ*
*ἧσσον δάκνουσιν. ἀλλὰ ταῦτα γὰρ λέγειν*
*ἐπιστάμεσθα, δρᾶν δ' ἀμηχάνως ἔχει.*

IV

**Stobaeus 115. p. 590.**
*Ὅστις δὲ θνητῶν βούλεται δυσώνυμον*
*εἰς γῆρας ἐλθεῖν, οὐ λογίζεται καλῶς·*
*μακρὸς γὰρ αἰὼν μυρίους τίκτει πόνους.*

V

**Stobaeus 121. p. 613.**
*Ἀλλ' ἔστι γὰρ δὴ κἀν κακοῖσιν ἡδονὴ*
*θνητοῖς, ὀδυρμοὶ δακρύων τ' ἐπιρροαί.*
*ἀλγηδόνας δὲ ταῦτα κουφίζει φρενῶν*
*καὶ καρδίας ἔλυσε τοὺς ἄγαν πόνους.*

VI

**Clemens Alex. Strom. VI. p. 625 a. ed. Sylburg.**
*Τεκμαιρόμεσθα τοῖς παροῦσι τἀφανῆ.*

## ΠΑΛΑΜΗΔΗΣ.

I

**Stobaeus 89. p. 503.**
*Ἀγάμεμνον, ἀνθρώποισι πᾶσιν αἱ τύχαι*
*μορφὴν ἔχουσι· συντρέχει δ' εἰς χρήματα.*
*τούτων δὲ πάντες, οἵ τε μουσικῆς φίλοι,*
*ὅσοι τε χωρὶς ζῶσι, χρημάτων ὕπερ*
*μοχθοῦσιν, ὃς δ' ἂν πλεῖστ' ἔχῃ, σοφώτατος.*

II

**Stobaeus 79. p. 469.**
*Τὰ τῆς γε λήθης φάρμακ' ὀρθώσας μόνος*
*ἄφωνα καὶ φωνοῦντα, συλλαβὰς τε θεὶς*
*ἐξεῦρον ἀνθρώποισι γράμματ' εἰδέναι,*
*ὥστ' οὐ παρόντα ποντίας ὑπὲρ πλακὸς*
*τἀκεῖ κατ' οἴκους πάντ' ἐπίστασθαι καλῶς,*
*παισίν τ' ἀποθνήσκοντα χρημάτων μέτρον*
*γράψαντας εἰπεῖν, τὸν λαβόντα δ' εἰδέναι.*
*ἃ δ' εἰς ἔριν πίπτουσιν ἀνθρώποις κακά,*
*δέλτος διαιρεῖ κοὐκ ἐᾷ ψευδῆ λέγειν.*

**Aristoph. Thesm. 768. Br.** *φέρε, τίν' ἄν, τίν' ἄγγελον Πέμψαιμ' ἐπ' αὐτόν; οἶδ' ἐγὼ καὶ δὴ πόρον ἐκ τοῦ Παλαμήδους. ὡς ἐκεῖνος, τὰς πλάτας ῥίψω γράφων.* **ubi schol.** *Ὁ γὰρ Εὐριπίδης ἐν τῷ Παλαμήδει ἐποίησε τὸν Οἴακα τὸν ἀδελφὸν Παλαμήδους ἐπιγράψαι εἰς τὰς ναῦς τὸν θάνατον αὐτοῦ, ἵνα φερόμεναι ἑαυταῖς ἔλθωσιν εἰς Ναύπλιον τὸν πατέρα αὐτοῦ καὶ ἀπαγγείλωσι τὸν θάνατον αὐτοῦ. ἄλλως. ὥσπερ Οἴαξ τῷ Ναυπλίῳ γράφει ἐν τῷ Παλαμήδει Εὐριπίδου. ὁ γὰρ Οἴαξ ἐγχαράττει πολλαῖς πλάταις τὰ περὶ τὸν Παλαμήδη, καὶ ἀφίησιν εἰς θάλασσαν, ὥστε μιᾷ γέ τινι τὸν Ναύπλιον περιπεσεῖν,* **et ad v. 773.** *πίνακες γὰρ ἦσαν ἐν τῷ ἱερῷ καὶ ἀπὸ τούτων λαβὼν γράφει καὶ ῥίπτει αὐτὰς λέγων, ἀπέλθετε, σημάνατε Εὐριπ.* **Cf. Suidas v.** *Παλαμήδης.* [**Ibid. v. 487.** *Τί δῆτ' ἂν εἴη τοὐμποδών; οὐκ ἔσθ' ὅπως οὐ τὸν Παλαμήδην ψυχρὸν ὄντ' αἰσχύνεται.* **ubi schol.** *α . . (ἀστείως?) ἐχρῆτο τῇ ἐκ Παλαμήδους ἐπινοίᾳ.* **G. DINDORF.**]

**Euripidis e Palamede petitos censet Hermannus versus apud Stobaeum Ecl. phys. I. c. 2. p. 4. ed. Heer. qui Aeschyli versibus e Prometheo 464. subiecti leguntur:**
*Ἔπειτα πάσης Ἑλλάδος καὶ ξυμμάχων*
*βίον διῴκησ' ὄντα πρὶν πεφυρμένον*
*θηρσίν θ' ὅμοιον. πρῶτα μὲν τὸν πάνσοφον*
*ἀριθμὸν εὕρηκ' ἔξοχον σοφισμάτων.*

III

**Stobaeus 52. p. 360.**
*Στρατηλάται τἂν μυρίοι γενοίμεθα,*
*σοφὸς δ' ἂν εἷς τις ἢ δύ' ἐν μακρῷ χρόνῳ.*

IV

**Eustathius p. 179.** *Σολοικοφανῆ, οἷον τοῦ Εὐριπίδου τὸ*
*Πάλαι δέ σ' ἐξερωτῆσαι θέλων,*
*σχολή μ' ἀπεῖργε.*
**E Palamede haec petita esse indicat scholion Il. ζ, 353.** *ἀστράπτων: ὅτι ἀκαταλλήλως εἴρηται (ἔδει γὰρ ἀστράπτοντα καὶ φαίνοντα) ὡς καὶ Εὐριπίδης ἐν Παλαμήδει*
*Λάϊε, πάλαι δή σ' ἐξερωτῆσαι θέλων,*
*σχολή μ' ἀπεῖργε.*
**Pro** *Λάϊε* **Valcken.** *Αἶαν* **vel** *Αἴας.*

V

**Stobaeus 9. p. 101.**
*Εἷς τοι δίκαιος μυρίων οὐκ ἐνδίκων*
*κρατεῖ, τὸ θεῖον τὴν δίκην τε συλλαβών.*

VI

**Ioannes Damasc. in Gaisfordi append. ad Stobaeum vol. IV. p. 11.**
*Ὅστις λέγει μὲν εὖ, τὰ δ' ἔργ' ἐφ' οἷς λέγει*
*αἴσχρ' ἐστὶν αὐτοῦ, τοῦτον οὐκ αἰνῶ ποτε.*

VII

**Strabo X. p. 720 c. Almelov.** *Τὴν κοινωνίαν τῶν περὶ τὸν Διόνυσον ἀποδειχθέντων ἱερῶν νομίμων παρὰ τοῖς Ἕλλησι καὶ τῶν παρὰ τοῖς Φρυξὶ περὶ τὴν μητέρα τῶν θεῶν συνοικειῶν ἀλλήλοις Εὐριπίδης τε ἐν ταῖς Βάκχαις τὰ παραπλήσια ποιεῖ „Οἳ σὺν Διονύσῳ κωμῶν ὃς ἀν' Ἴδαν τέρπεται σὺν ματρὶ φίλᾳ τυμπάνων ἰάκχοις."*

VIII

**Philostratus Heroic. p. 718. Olear. p. 168. Boisson.** *Ὅθεν καὶ τὸν θρῆνον τὸν παρ' Εὐριπίδῃ ἐπαινεῖ, ὁπότε Εὐριπίδης ἐν Παλαμήδους μέλεσιν,*
*Ἐκάνετε (φησὶν) ἐκάνετε τὰν πάνσοφον, ὦ Δαναοί,*
*τὰν οὐδὲν ἀλγύνουσαν ἀηδόνα Μουσᾶν.*
*καὶ τὰ ἐφεξῆς μᾶλλον, ἐν οἷς φησι καὶ ὅτι πεισθέντες ἀνθρώπῳ δεινῷ καὶ ἀναιδεῖ λόγῳ ταῦτα ἔπραξειαν.* „**Iidem versus citantur a Tzetze ad Lycophr. 384. exeg. in Iliad. p. 44. Diog. L. II. 44. Auctor argum. Isocr. Busir. haec habet,** *ἐκάνετε, ἐκάνετε τῶν Ἑλλήνων τὸν ἄριστον.* **Quod addunt Diogenes et auctor argum. Busir.** *ὅτι τὸ θέατρον ἅπαν ἐδάκρυσε, διότι περὶ Σωκράτους ᾐνίττετο,* **refutat Valck. Diatr. p. 190 e."** MATTHIAE.

IX

**Pollux X, 146.** *Καὶ Εὐριπίδης μὲν ἐν Παλαμήδει λέγει κώπην χρυσόκολλον.*

X

**Harpocratio,** *Διεκωδώνισε* — *ἡ δὲ μετα-*

φορὰ ἤτοι ἀπὸ τῶν περιπολούντων σὺν κώδωσι νυκτὸς τὰς φυλακὰς, Εὐριπίδης Παλαμήδει, ἢ ἀπὸ τῶν δοκιμαζόντων τὰς μαχίμους ὄρτυγας τῷ ἤχῳ τοῦ κώδωνος, ὡς Ἀρίσταρχος.

XI

Hesychius, *Ἔμβολα*: Εὐριπίδης Παλαμήδῃ καὶ Σκίρωνι.

Valckenarius ad Phoen. 1331. ad Palamedem refert hos versus apud Plutarchum Moral. p. 20 d.

*Τί δῆτα δεῖ σε κάμνειν; κατθανεῖν*
*ἄμεινον· οὐδεὶς κάματος εὐσεβεῖν θεούς.*

---

## *ΠΕΙΡΙΘΟΥΣ.*

Dubitatum esse utrum Euripidis an Critiae fabula esset ostendit Athenaeus XI. p. 496 b. et grammaticus ab Elmsleio ad calcem ed. Baccharum editus, qui Pirithoum inter *τὰ νοθευόμενα* refert.

I

Athenaeus XI. p. 496 b. *Μνημονεύει δὲ αὐτῶν (τῶν πλημοχοῶν) καὶ ὁ τὸν Πειρίθουν γράψας, εἴτε Κριτίας ἐστὶν ὁ τύραννος ἢ Εὐριπίδης, λέγων οὕτως*

*Ἵνα πλημοχοὰς τάσδ᾽ εἰς χθόνιον*
*χάσμ᾽ εὐφήμως προχέωμεν.*

II

Clemens Alex. Strom. V. p. 603 c. *Ἐν δὲ τῷ Πειρίθῳ δράματι ὁ αὐτὸς καὶ τάδε τραγῳδεῖ*

*Σὲ τὸν αὐτοφυῆ, τὸν ἐν αἰθερίῳ*
*ῥύμβῳ πάντων φύσιν ἐμπλέξανθ᾽,*
*ὃν περὶ μὲν φῶς, περὶ δ᾽ ὀρφναία*
*νὺξ αἰολόχρως ἄκριτός τ᾽ ἄστρων*
*ὄχλος ἐνδελεχῶς ἀμφιχορεύει.*

Eosdem versus e Clemente sumsit Eusebius P. E. XIII. p. 681 b. Duos priores versus citant schol. Eurip. Or. 970 — 976. schol. Apollon. Rh. IV, 144. verba *αἰθερίῳ ῥύμβῳ* Eustath. in Dionys. Perieg. 1134. et Hesych. v. *Αἰθέρος ῥύμβος*.

III

Clemens Alex. Strom. V. p. 563 d. *Περὶ τούτων, οἶμαι, καὶ ἡ τραγῳδία φυσιολογοῦσά φησιν*

*Ἀκάμας τε χρόνος περί γ᾽ ἀενάῳ*
*ῥεύματι πλήρει φοιτᾷ, τίκτων*
*αὐτὸς ἑαυτὸν, δίδυμοί τ᾽ ἄρκτοι*
*τοῖς ὠκυπλάνοις πτερύγων ῥιπαῖς*
*τὸν Ἀτλάντειον τηροῦσι πόλον.*

E Pirithoo haec petita esse intelligitur e schol. Aristoph. Av. 179. et Suida v. *πόλος*, qui versum 5. laudant *καὶ τὸν Ἀτλάντιον φρουρῶν πόλον.*

IV

Plutarchus Moral. p. 96 c. *Ὡς τὸν Κρέοντα τῆς θυγατρὸς οὐδὲν ὁ χρυσὸς οὐδὲ ὁ πλοῦτος ὠφελεῖ, τὸ δὲ πῦρ ἀναφθὲν αἰφνιδίως προσδραμόντα καὶ περιπτύξαντα κατέκαυσε καὶ συναπώλεσεν, οὕτως ἔνιοι τῶν φίλων οὐδὲν ἀπολαύσαντες εὐτυχούντων συναπόλλυνται δυστυχοῦσιν. καὶ τοῦτο μάλιστα πάσχουσιν οἱ φιλόσοφοι καὶ χαρίεντες, ὡς Θησεὺς τῷ Πειρίθῳ κολαζομένῳ καὶ δεδεμένῳ*

*Πέδαις ἀχαλκεύτοισιν ἔζευκται πόδας.*

Ad hunc versum respexit Plutarch. Moral. p. 482 a. 533 a. 763 f.

V

Gregor. Cor. in Hermogen. in Reisk. orat. gr. VIII. p. 948. *Ἐν μὲν τῷ Πειρίθῳ παρεισάγεται Ἡρακλῆς ἐν Ἅιδου κατελθὼν κατὰ κέλευσιν Εὐρυσθέως, καὶ ὑπὸ τοῦ Αἰακοῦ ἐρωτώμενος ὅστις ἐστὶ καὶ ἀποκρινόμενος*

*Ἐμοὶ πατρὶς μὲν Ἄργος, ὄνομα δ᾽ Ἡρακλῆς·*
*θεῶν δὲ πάντων πατρὸς ἐξέφυν Διός.*
*ἐμῇ γὰρ ἦλθε μητρὶ κεδνῇ πρὸς λέχος*
*Ζεὺς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο.*
*ἥκω δὲ δεῦρο πρὸς βίαν Εὐρυσθέως.*

VI

Stobaeus ecl. eth. vol. II. p. 336.

*Ὁ πρῶτος εἰπὼν οὐκ ἀγυμνάστῳ φρενὶ*
*ἔρριψεν ὅστις τόνδ᾽ ἐκαίνισεν λόγον,*
*ὡς τοῖσιν εὖ φρονοῦσι συμμαχεῖ τύχη.*

VII

Stobaeus 37. p. 220.

*Τρόπος ἐστὶ χρηστὸς ἀσφαλέστερος νόμου.*
*τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι ποτὲ*
*ῥήτωρ δύναιτο, τὸν δ᾽ ἄνω τε καὶ κάτω*
*λόγοις ταράσσων πολλάκις λυμαίνεται.*

VIII

Stobaeus 120. p. 608.

*Οὐκοῦν τὶ μὴ ζῆν κρεῖττόν ἐστ᾽ ἢ ζῆν κακῶς.*

---

## *ΠΕΛΙΑΔΕΣ.*

[De argumento huius fabulae locum insignem ex Mosis Chorenensis Progymnasmatis edidit A. Maius ad Eusebium p. 43. G. DINDORF.]

I II

Eurip. Med. 688.

*Τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.*

ubi schol. *σεσημείωται ὁ στίχος, ὅτι καὶ ἐν Πελιάσιν ἐστὶν, ὧν ἡ ἀρχὴ*

*Μήδεια, πρὸς μὲν δώμασιν τυραννικοῖς.*

III

Stobaeus ecl. eth. vol. II. p. 336.

*Οὐκ ἔστι τὰ θεῶν ἄδικ᾽, ἐν ἀνθρώποισι δὲ*
*κακοῖς νοσοῦντα σύγχυσιν πολλὴν ἔχει.*

IV

Stobaeus 3. p. 37. scholiasta Pindari Pyth. 2, 173.

*Πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσί σου.*

V

Stobaeus 47. p. 343.

*Τὸ δ᾽ ἔσχατον δὴ τοῦτο θαυμαστὸν βροτοῖς,*
*τυραννίς· οὐχ εὕροις ἂν ἀθλιώτερον.*
*φίλους τε πορθεῖν καὶ κατακτανεῖν χρεών·*
*πλεῖστος φόβος πρόσεστι μὴ δράσωσί τι.*

VI

Stobaeus 72. p. 440.

*Αἰνῶ· διδάξαι δ᾽, ὦ τέκνον, σὲ βούλομαι,*
*ὅταν μὲν ᾖς παῖς, μὴ πλέον παιδὸς φρονεῖν,*
*ἐν παρθένοις δὲ παρθένου τρόπους ἔχειν,*
*ὅταν δ᾽ ὑπ᾽ ἀνδρὸς χλαῖναν εὐγενοῦς πέσῃς,*
* * * * * *
*τὰ δ᾽ ἄλλ᾽ ἀφεῖναι μηχανήματ᾽ ἀνδράσιν.*

VII

Stobaeus 90. p. 505.

*Ὁρῶσι δ᾽ οἱ διδόντες εἰς τὰ χρήματα.*

VIII

Aelianus N. A. VII, 47. *Τῶν ὑστρίχων — τὰ ἔκγονα ὕβρια καλεῖται· καὶ μέμνηται Εὐριπίδης ἐν Πελιάσι τοῦ ὀνόματος, καὶ Αἰσχύλος ἐν Ἀγαμέμνονι καὶ Δικτυουλκοῖς.* „Ad indicium Aeschyli scribi facile potuerat *ὀβρίκαλα καλεῖται. Αἰσχύλος ὀβρίκαλα καλεῖ τοὺς λεοντιδεῖς* Eustath. in Il. *γ*. p. 288.“ Valcken. Diatr. p. 200.

IX

Ioannes Damasc. in Gaisf. append. ad Stobaeum vol. IV. p. 12. *Εὐριπίδου Πελιάσι*

*Φθείρου· τὸ γὰρ δρᾶν οὐκ ἔχων λόγους ἔχεις.*

X

Ibidem p. 20. et p. 83.

*Ὁ γὰρ ξυνὼν, κακὸς μὲν ἦν τύχῃ γεγὼς,*
*τοιούσδε τοὺς ξυνόντας ἐκπαιδεύεται,*
*χρηστοὺς δ' ὁ χρηστός· ἀλλὰ τὰς ὁμιλίας*
*ἐσθλὰς διώκειν, ὦ νέοι, σπουδάζετε.*

XI

Ibidem p. 31.

*Ἐν τοῖσι μὲν δεινοῖσιν ὡς φίλοι φίλων,*
*ὅταν δὲ πράξωσ' εὖ, διωθοῦνται χάριν,*
*αὐτοὶ δι' αὑτοὺς εὐτυχεῖν ἡγούμενοι.*

XII

Hesychius, *Ἀρταμεῖν: κατακόπτειν. Εὐριπίδης Πελιάσιν.* Idem, *Ἀντεμμάσσασθαι: ἀνταποδοῦναι, ἐπιπλῆξαι. Εὐριπίδης Πελιάσιν.*

XIII

Bekkeri Anecd. p. 95, 23. *Εὐστόχως: Εὐριπίδης Πελιάσιν.*

XIV

Ibidem p. 106, 27. *Λύσιμον θηλυκῶς λέγει Εὐριπίδης Πελιάσιν.*

XV

Schol. Platonis p. 137. Ruhnk. *Κατηβολὴ, τὸ ἐπιβάλλον. Εὐριπίδης Τημένῳ καὶ Πελιάσι.* Eadem Hesychius.

---

## ΠΗΛΕΥΣ.

I

Aristoph. Nub. 1153. *Βοάσομ' ἄρα τὰν ὑπέρτονον βοάν: παρὰ τὰ ἐκ Πηλέως Εὐριπίδου. ἐπιφέρει γὰρ*

*Ἰὼ πύλαισιν ἥτις ἐν δόμοις.*

II

Stobaeus ecl. phys. vol. I. p. 170.

*Κλύετ' ὦ Μοῖραι, Διὸς αἵτε παρὰ*
*θρόνον ἀγχόταται θεῶν ἑζόμεναι.*

III

Stobaeus 88. p. 500.

*Οὐκ ἔστιν ἀνθρώποισι τοιοῦτο σκότος,*
*οὐ δῶμα γαίας κλειστὸν, ἔνθα τὴν φύσιν*
*ὁ δυσγενὴς κρύψας ἂν * εἴη σοφός.*

IV

Stobaeus 91. p. 507.

*Τὸν ὄλβον οὐδὲν οὐδαμοῦ κρίνω βροτοῖς,*
*ὅν γ' ἐξαλείφει ῥᾷον ἢ γράφει θεός.*

V

Stobaeus 114. p. 585.

*Τὸ γῆρας, ὦ παῖ, τῶν νεωτέρων φρενῶν*
*σοφώτερον πέφυκε κἀσφαλέστερον,*
*ἐμπειρία τε τῆς ἀπειρίας κρατεῖ.*

VI

Ioh. Lydus de magistrat. III, 25. p. 192.

*Τὰ δ' ἔνθεν οὐκέτ' ἂν φράσαι λόγῳ*
*δακρύων δυναίμην χωρίς,*
*κατὰ τὸν Εὐριπίδου Πηλέα.*

---

## ΠΛΕΙΣΘΕΝΗΣ.

I

Schol. Homeri Il. *δ*, 319.

*Οὐ τὸν σὸν ἔκταν πατέρα πολέμιόν γε μήν.*

II

Stobaeus 46. p. 325.

*Δήμῳ δὲ μήτε πᾶν ἀναρτήσῃς κράτος*
*μήτ' αὖ κακώσῃς, πλοῦτον ἔντιμον τιθείς·*
*μηδ' ἄνδρα δήμῳ πιστὸν ἐκβάλῃς ποτὲ,*
*μηδ' αὖξε καιροῦ μεῖζον· οὐ γὰρ ἀσφαλὲς,*
*μή σοι τύραννος λαμπρὸς ἐξ αὐτοῦ φανῇ.*
*κώλυε δ' ἄνδρα παρὰ δίκην τιμώμενον·*
*πόλει γὰρ εὐτυχοῦντες οἱ κακοὶ νόσος.*

III

Stobaeus 91. p. 507.

*Ὦ πλοῦθ', ὅσῳ μὲν ῥᾷστον εἶ βάρος φέρειν.*
*πόνοι δὲ κἀν σοὶ καὶ φθοραὶ πολλαὶ βίου*
*ἔνεισ'· ὁ γὰρ πᾶς ἀσθενὴς αἰὼν βροτοῖς.*

V. 1. 89. p. 502. ex Euripidis Phoenice citatur.

IV

Ammon. v. *βωμός. Παρὰ Εὐριπίδῃ ἐσχάρα ἐπὶ τοῦ βωμοῦ κεῖται ἐν Πλεισθένει*

*Μηλοσφαγεῖτε δαιμόνων ἐπ' ἐσχάραις.*

Eustathius p. 1564, 30. *Λέγει δὲ καὶ Εὐριπίδης μηλοσφαγεῖ τε δαιμόνων ἐπ' ἐσχάραις.*

V

Steph. Byz. v. *Ἄργος. λέγεται καὶ Ἀργόλας. — Εὐριπίδης ἐν Πλεισθένει*

*Ἐγὼ δὲ Σαρδιανὸς, οὐ γὰρ οὐκέτ' Ἀργόλας.*

VI

Athenaeus XV. p. 668 b. *Τῶν ἐρωμένων ἐμέμνηντο, ἀφιέντες ἐπ' αὐτοῖς τοὺς λεγομένους κοσσάβους, διὸ καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ Ἀφροδισίαν εἴρηκε τὴν λάταγα — καὶ Εὐριπίδης ἐν Πλεισθένει*

*Πολὺς δὲ κοσσάβων ἀραγμὸς*
*Κύπριδος προσῳδὸν*
*ἀχεῖ μέλος ἐν δόμοισιν.*

Hesychius, *Κότταβος: λάταξ. Εὐριπίδης Πλεισθένει.* Eustathius p. 1170, 53. *Κότταβον, ὃν ὁ τοῦ σιγματος Εὐριπίδης ἐν δυσὶ σσ γράφει.* et ad Il. *υ*, 57. *χρῆσις δὲ κοσσάβου ἐν τῷ „Πολὺς κοσσάβων ἀραγμός.“*

VII

Bekkeri Anecd. p. 107, 10. *Μόμφον: τὴν μέμψιν. Εὐριπίδης Πλεισθένει.*

---

## ΠΟΛΥΙΔΟΣ Η ΓΛΑΥΚΟΣ.

Aelianus N. A. V, 2. *Ἔοικεν ὁ Εὐριπίδης ἐκσανίστως πεποιηκέναι τὸν Πολύϊδον ὁρῶντα … κα) καὶ ἐξ αὐτῆς τεκμηράμενον ὅτι εὑρήσει καὶ … Γλαῦκον τὸν τεθνεῶτα τοῦ Μίνω τὸν υἱόν.* Schol.

Aristid. vol. II. p. 307. ed. Iebb. *Τραγικῆς βοός: Πολύειδος πεποίηται δρᾶμα Εὐριπίδῃ, ἐν ᾧ βοῦν τρίχρωμον ποιεῖ εὑρῆσθαί τισι, περὶ οὗ γέγονεν αὐτοῖς φιλονεικία βασιλείας.*

I

Schol. in Hermog. p. 416. ed. Laurent. II. p. 254. ed. Sturm. *Τὸ Εὐριπίδου ἐν Πολυΐδῳ: οὕτως ἔχουσι τὰ τοῦ Πολυΐδου ῥήματα*

*Ἔα ἔα.*
*ὁρῶ γ' ἐπ' ἀκταῖς νομάδα κυματοφθόρον*
*ἁλιαίετον· τὸν παῖδα χερσεύει μόρος.*
*εἰ μὲν γὰρ ἐκ γῆς εἰς θάλασσαν ἔπτατο*
*ὁ κύματ' οἰκῶν ὄρνις, ἡρμήνευσεν ἂν*
*τὸν παῖδ' ἐν ὑγροῖς κύμασιν τεθνηκέναι·*
*νῦν δ' ἐκλιπὼν ἤθη τε καὶ νόμον βίου*
*δεῦρ' ἔπτατ'· οὔκουν ἔσθ' ὁ παῖς ἐν οἴδμασιν.*

II

Eratosth. ep. de cubi duplicatione apud Eutocium comm. in Archim. de sphaera et cyl. p. 20. *Τῶν ἀρχαίων τινὰ τραγῳδοποιῶν φασὶν εἰσαγαγεῖν τὸν Μίνω τῷ Γλαύκῳ κατασκευάζοντα τάφον· πυθόμενον δὲ ὅτι πανταχοῦ ἑκατόμπεδος εἴη εἰπεῖν*

*Μικρόν γ' ἔλεξας βασιλικοῦ σηκὸν τάφου.*
*διπλάσιος ἔστω· τοῦ κύβου δὲ μὴ σφαλῇς.*

III

Stobaeus 3. p. 36.

*Ὅστις νέμει κάλλιστα τὴν αὑτοῦ φύσιν,*
*οὗτος σοφὸς πέφυκε πρὸς τὸ συμφέρον.*

IV

Schol. Il. *κ*, 56. de voc. *τέλος. ποτὲ δὲ τὸ δαπάνημα, ὡς Εὐριπίδης ἐν Πολυείδῳ*

*Μάτην γὰρ οἴκῳ σὸν τόδ' ἐκβαλεῖ τέλος.*

Omisso dramatis nomine versum citat Eustathius p. 789, 14.

V

Stobaeus 122. p. 613.

*Ἀνθρώπων δὲ μαίνονται φρένες,*
*δαπάνας ὅταν θανοῦσι πέμπωσιν κενάς.*

VI

Plutarchus Moral. p. 1104 d. *Ἐκ δὲ τούτου παραρροπῆς γενομένης καὶ ὅπλα καὶ σκεύη καὶ ἱμάτια συνήφθη τοῖς τεθνηκόσι, καὶ ὡς ὁ Μίνως τῷ Γλαύκῳ*

*Κρητικοὺς*
*αὐλοὺς θανούσης κῶλα ποικίλης νεβροῦ*
*συνθάπτοντες ἥδιον ἔχουσιν.*

VII

Sext. Empir. Pyrrhon. hypotyp. III, 229. p. 185. Diog. Laert. IX, 73. schol. Plat. p. 119. Ruhnk.

*Τίς δ' οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,*
*τὸ κατθανεῖν δὲ ζῆν κάτω νομίζεται.*

„*κάτω νομίζεται* etiam schol. Plat. Pro eo Diog. L. habet *νομίζεται βροτοῖς*. Reliqui, ut Plato Gorg. p. 492 e. Clem. Alex. Strom. p. 432 d. Origenes in Celsum VII. p. 366. schol. Eur. Hipp. 191. schol. Arist. Ran. 1114. (vid. fr. Phrix. XIV.) priorem et alterum usque ad *ζῆν* tantummodo citant. Schol. Ran. 1526. post *ζῆν* addit *ὑπνοῦν δὲ τὸ κατθανεῖν*, quae comici alicuius esse vel metrum ostendit.“ MATTHIAE.

VIII

Stobaeus 59. p. 382.

*Οἱ τὰς τέχνας δ' ἔχοντες ἀθλιώτεροι*
*τῆς φαυλότητος. τοιγὰρ ἐν κοινῷ ψέγειν*
*ἅπασι κεῖσθαι δυστυχὲς κοὐκ εὐτυχές.*

IX

Stobaeus 89. p. 502.

*Οὐ γὰρ παρὰ κρατῆρα καὶ θοίνην μόνον*
*τὰ χρήματ' ἀνθρώποισιν ἡδονὰς ἔχει,*
*ἀλλ' ἐν κακοῖσι δύναμιν οὐ μικρὰν φέρει.*

X

Stobaeus 93. p. 514.

*Πλουτεῖς· τὰ δ' ἄλλα μὴ δοκεῖς ξυνιέναι·*
*ἐν τῷ γὰρ ὄλβῳ φαυλότης ἔνεστί τις,*
*πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ δυστυχές.*

Versus tertius in proverbium abiit: vid. Clem. Alex. Strom. IV. p. 483 sq. Zenob. V, 72. In eo Clem. *διὰ τὸ συγγενές* pro *διὰ τὸ δυστυχές.*

XI

Stobaeus 22. p. 187. *Ε. Γλαύκῳ*

*Βαρὺ τὸ φόρημ' οἴησις ἀνθρώπου κακοῦ·*
*ὅστις γὰρ ἀστῶν πλέον ἔχειν πέφυκ' ἀνήρ,*
*φίλοις τ' ἄμικτός ἐστι καὶ πάσῃ πόλει.*

XII

Stobaeus 43. p. 302. *Ε. Γλαύκῳ*

*Ὅταν κακός τις ἐν πόλει πράσσῃ καλῶς,*
*νοσεῖν τίθησι τῶν ἀμεινόνων φρένας,*
*παράδειγμ' ἔχοντας τῶν κακῶν ἐξουσίαν.*

XIII

Stobaeus 115. p. 590. *Ε. Γλαύκῳ*

*Φεῦ φεῦ, τὸ γῆρας ὡς ἔχει πολλὰς νόσους.*
*γέροντι δ' οὐχ οἷόν τε μηκύνειν χρόνον·*
*μακρὸς γὰρ αἰὼν συμφορὰς πολλὰς ἔχει.*

XIV

Erotianus p. 120. *Διεβλήθησαν: — Εὐριπίδης — μέμνηται τῆς λέξεως καὶ ἐν Πολυείδῳ καὶ ἐν Ὀρέστῃ.*

XV

Gregor. Cor. p. 17 sq. *Εὐριπίδης ἐν Πολυΐδῳ τῷ δράματι*

„*Οἶσθ' οὖν ὃ δρᾶσον*“

*ἀντὶ τοῦ δράσεις ἐξήνεγκε.* Schol. Arist. Thesmoph. 870. *Σύνηθες τὸ σχῆμα. Μένανδρος „Οἶσθ' ὃ ποίησον.“ — „Οἶσθ' οὖν ὃ δρᾶσον.“ Εὐριπίδης Πολυΐδῳ.*

## *ΠΡΩΤΕΣΙΛΑΟΣ.*

Schol. Aristid. vol. II. p. 228. ed. Iebb. *Ὁ Πρωτεσίλαος δρᾶμα γέγραπται τῷ Εὐριπίδῃ. λέγεται δὲ ὅτι γαμήσας καὶ μίαν ἡμέραν μόνον συγγενόμενος τῇ γυναικὶ ἠναγκάσθη μετὰ τῶν Ἑλλήνων κατὰ Τροίας ἀπελθεῖν, καὶ πρῶτος ἐπιβὰς τῆς Τροίας ἐτελεύτησε. καὶ φασὶν ὅτι τοὺς κάτω δαίμονας ᾐτήσατο καὶ ἀφείθη μίαν ἡμέραν καὶ συνεγένετο τῇ ἑαυτοῦ γυναικί.* Cf. Tzetz. Chil. II, 760 sqq.

I

Schol. Soph. Oed. C. 10. *Βέβηλος τόπος ἐστὶν ὁ ἀκάθαρτος καὶ βατὸς πᾶσι. καὶ βέβηλος ἀνήρ, ὁ μιαρός. Εὐριπίδης Πρωτεσιλάῳ*

*Οὐ γὰρ θέμις βέβηλον ἅπτεσθαι δόμων.*

Hinc Suidas v. *βέβηλος.*

II

Plutarchus Moral. p. 10 a. Stobaeus 5. p. 63. 19. p. 168.

*Δυοῖν λεγόντοιν, θατέρου θυμουμένου,*
*ὁ μὴ 'ντιτείνων τοῖς λόγοις σοφώτερος.*

III

Stobaeus 67. p. 423.

*Ὅστις δὲ πάσας συντιθεὶς ψέγει λόγῳ*
*γυναῖκας ἑξῆς, σκαιός ἐστι κοὐ σοφός.*
*πολλῶν γὰρ οὐσῶν τὴν μὲν εὑρήσεις κακήν,*
*τὴν δ', ὥσπερ αὕτη, λῆμ' ἔχουσαν εὐγενές.*

IV

Stobaeus 96. p. 532.

*Οὐ θαῦμ' ἔλεξας, θνητὸν ὄντα δυστυχεῖν.*

V

Stobaeus 123. p. 615.

*Πέπονθεν, οἷα καὶ σὲ καὶ πάντας μένει.*

VI

Stobaeus 110. p. 581.

*Πόλλ' ἐλπίδες ψεύδουσι καὶ λόγοι βροτούς.*

VII

Dio Chrys. or. 37. p. 467 b. *Ἐγὼ δὲ τὴν Εὐριπίδου Λαοδάμειαν*

*οὐκ ἂν προδοίην καίπερ ἄψυχον φίλον.*

VIII

Photius et Suidas v. *πενθερά, Πενθερά, τῷ νυμφίῳ ἡ τῆς κόρης μήτηρ, καὶ πενθερὸς ὁ πατήρ. Εὐριπίδης δὲ γαμβρὸν αὐτὸν παρὰ τάξιν λέγει.* — *καὶ ὁ Πρωτεσίλαος τῷ Ἀκάστῳ φησὶν*

*Ἄξιος δ' ἐμὸς*
*γαμβρὸς κέκλησαι, παῖδά μοι ξυνοικίσας.*

IX

Clemens Alex. Strom. VI. p. 628 a. *Πλάτωνος ἐν Πολιτείᾳ εἰπόντος κοινὰς εἶναι τὰς γυναῖκας, Εὐριπίδης ἐν Πρωτεσιλάῳ γράφει*

*Κοινὸν γὰρ εἶναι καὶ γυναικεῖον λέχος.*

X

Stobaeus 73. p. 448.

*Ὦ παῖδες, οἷον φίλτρον ἀνθρώποις φρενός.*

---

## ΡΑΔΑΜΑΝΘΥΣ.

Hanc fabulam *νοθεύεσθαι* dicit grammaticus apud Elmsl. ad calcem ed. Baccharum.

I

Stobaeus ecl. eth. vol. II. p. 342. Floril. 62. p. 401.

*Ἔρωτες ἡμῖν εἰσι παντοῖοι βίου.*
*ὁ μὲν γὰρ εὐγένειαν ἱμείρει λαβεῖν·*
*τῷ δ' οὐχὶ τούτου φροντίς, ἀλλὰ χρημάτων*
*πολλῶν κεκλῆσθαι βούλεται πατὴρ δόμοις·*
*ἄλλῳ δ' ἀρέσκει μηδὲν ὑγιὲς ἐκ φρενῶν*
*λέγοντι πείθειν τοὺς πέλας τόλμῃ κακῇ·*
*οἱ δ' αἰσχρὰ κέρδη πρόσθε τοῦ καλοῦ βροτῶν*
*ζητοῦσιν. οὕτω βίοτος ἀνθρώπων πλάνη.*
*ἐγὼ δὲ τούτων οὐδενὸς χρῄζω τυχεῖν,*
*δόξαν δὲ βουλοίμην ἂν εὐκλείας ἔχειν.*

II

Strabo VIII. p. 546 a. *Εὐριπίδης ἐν Ῥαδαμάνθυι* [*καλεῖ πόλιν τὴν χώραν*]

*Οἳ γῆν ἔχουσ' Εὐβοΐδα πρόσχωρον πόλιν.*

III

Bekkeri Anecd. p. 93 sq. *Ἐξαίρειν· ἀντὶ τοῦ ἀπαίρειν. Εὐριπίδης δὲ Ῥαδαμάνθυι*

*Οὐδεὶς γὰρ ἡμᾶς . . . . ἐξαιρήσεται*
*αὐτὸν* supplevit Pierson.

---

## ΣΘΕΝΕΒΟΙΑ.

I

Aristoph. Ran. 1250. (1217. Br.)

*Οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ·*
*ἢ γὰρ πεφυκὼς ἐσθλὸς οὐκ ἔχει βίον,*
*ἢ δυσγενὴς ὢν*

ubi schol. *τὸ λοιπὸν τοῦ ἰάμβου*

*πλουσίαν ἀροῖ πλάκα.*

*ἐκ Σθενεβοίας δὲ ἡ ἀρχή.* Primo versu usus est Nicostratus comicus apud Stobaeum 103. p. 563. Philippides ib. 106. p. 568. Plutarchus Moral. p 103 b.

II

Schol. Arist. Vesp. 111. *Τοιαῦτ' ἀλύει, νουθετούμενος δ' ἀεὶ μᾶλλον δικάζει: παρὰ τὰ Εὐριπίδου ἐκ Σθενεβοίας*

*Τοιαῦτ' ἀλύει νουθετούμενος ἔρως.*

Sentiam expleat Plutarchus Moral. p. 71 a. *οὐ ... ἁπλῶς νουθετούμενος ἔρως μᾶλλον πιέζει κατ' Εὐριπίδην κ. τ. λ.* et Galenus vol. V. p. 411. ed. Kühn *νουθετούμενος δ' ἔρως μᾶλλον πιέζει.*

III

Plutarchus Moral. p. 622 c. *Πῶς εἴρηται τὸ*

*Μουσικὸν δ' ἄρα*
*Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν.*

Euripidis locum esse idem monstrat p. 405 f. 762 b. Cf. Aristid. vol. I. p. 30. et p. 198. E Stheneboea petitos esse versus docet schol. Aristoph. Vesp. 1069. Eumdem locum respicit Plato Sympos. p. 196 e. *Πᾶς γοῦν ποιητὴς γίγνεται, κἂν ἄμουσος ᾖ τὸ πρίν, οὗ ἂν Ἔρως ἅψηται.*

IV

Athenaeus X. p. 421 sq. *Ἐν Σθενεβοίᾳ δ' ὁ Εὐριπίδης περὶ εὐτελείας λέγων*

*Βίος δὲ πορφυροῦς θαλάσσιος*
*οὐκ εὐτράπεζος, ἀλλ' ἐπάκτιοι φάτναι·*
*ὑγρὰ δὲ μήτηρ, οὐ πεδοστιβὴς τροφός,*
*θάλασσα. τήνδ' ἀροῦμεν, ἐκ ταύτης βίος*
*βρόχοισι καὶ πέδαισιν οἴκαδ' ἔρχεται.*

V

Athenaeus X. p. 427 e. *Τοῖς δὲ τετελευτηκόσι τῶν φίλων ἀπένεμον τὰ πίπτοντα τῆς τροφῆς ἀπὸ τῶν τραπεζῶν. διὸ καὶ Εὐριπίδης περὶ τῆς Σθενεβοίας φησὶν, ἐπειδὴ νομίζει τὸν Βελλεροφόντην τεθνάναι*

*Πεσὸν δέ νιν λέληθεν οὐδὲν ἐκ χερός,*
*ἀλλ' εὐθὺς αὐδᾷ, τῷ Κορινθίῳ ξένῳ.*

Locum ridet Aristoph. Thesm. 403. *ἀνὴρ ἐραστῇ. Τί κατέαγεν ἡ χύτρα; οὐκ ἔσθ' ὅπως οὐ τῷ Κορινθίῳ ξένῳ.* ubi schol. *ἐκ Σθενεβοίας Εὐριπίδου. διαβάλλει δὲ ὡς μοιχοὺς τοὺς Κορινθίους.* Cf. Hesych. *Κορίνθιος ξένος.*

VI

Stobaeus 83. p. 483.

*Κομίζετ' εἴσω τήνδε· πιστεύειν δὲ χρὴ*
*γυναικὶ μηδὲν, ὅστις εὖ φρονεῖ βροτῶν.*

VII

Photius, *Ξεναπάτας: ἰδίως ἐπὶ τῶν ὅταν μὴ τοιοῦτοι πνέωσιν ἄνεμοι ἐν τοῖς πελάγεσιν, ὁποῖοι ἐν τοῖς λιμέσιν. Εὐριπίδης Σθενεβοίᾳ*

*Τίς ἄνδρα τιμᾷ ξεναπάτην.*

Pollux III, 58. *εἴρηται δὲ ξεναπάτης παρ' Εὐριπίδῃ.*

VIII

Stobaeus 66. p. 420.

*Πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους*
*γυνὴ κατῄσχυν' ἐν δόμοισι νηπία.*

IX

Stobaeus 29. p. 199.

*Ἄνευ τύχης γάρ, ὥσπερ ἡ παροιμία,*
*πόνος μονωθεὶς οὐκέτ' ἀλγύνει βροτούς.*

X

Schol. Venet. Arist. Pac. 123. *ὁ λόγος ἔκαθεν ἐκ Σθενεβοίας Εὐριπίδου, τινὲς δὲ οἴονται ἐκ Βελλεροφόντου παρῳδῆσθαι. ἔστι δὲ ἐν τῇ Σθενεβοίᾳ παρὰ τραγικῷ οὕτως. πέλας δὲ ταύτης δεινὸς ἵδρυται κρά ἔνθηρος ἢ λῃστὴς φρουρεῖται κλύδωνι δεινῷ βροτοστόνῳ βρέμει πτηνὸς πυρεύγει* (cod. Venet. 475. *πορεύει*). „Primus versus videtur esse iambicus trimeter

*πέλας δὲ ταύτης δεινὸς ἵδρυται κράτος*

tum iambicorum reliquiae lacerae

*ἔνθηρος ἢ λῃστὴς ∪ φρουρεῖται ∪ –*
*κλύδωνι δεινῷ — βροτοστόνῳ βρέμει*
*πτηνὸς πορεύει.*“

MATTHIAE.

---

## *ΣΙΣΥΦΟΣ.*

Sisyphum, fabulam satyricam, ab Euripide in scenam productam esse Ol. 91, 1. testatur Aelianus V. H. II, 8. Qui ab Pseudo-Plutarcho in libro de placitis philosophorum afferuntur ex Sisypho Euripidis versus, non huius sunt, sed Critiae apud Sextum Empir. p. 562. De quo dictum ab Bachio ad Critiae fragmenta p. 56 seqq.

I

Suidas, *Χαίρω: δοτικῇ τὸ εὐφραίνομαι, καὶ χαίρω σε ἐληλυθότα. Ὠρωπικοὶ οὕτω λέγουσιν. Εὐριπίδης Σισύφῳ*

*Χαίρω τε σ', ὦ βέλτιστον Ἀλκμήνης τέκος,*
* * *τόν τε μιαρὸν ἐξολωλότα.*

Priora *Χαίρω σὲ ἐλ. — Σισύφῳ* habet etiam Etymol. M. p. 808, 4. V. 2. *ἐλθόντα* supplet Valckenarius.

II

Hesychius, *Ἐλίσσων: πλέκων, ψευδόμενος, οὐκ ἐπὶ εὐθείας λέγων ἢ κινῶν. Εὐριπίδης Σισύφῳ.*

---

## *ΣΚΙΡΩΝ.*

I

Pollux X, 35. *Τῶν ἀδοξοτέρων ἡ χαμεύνη καὶ τὸ χαμεύνιον. ἐν γοῦν τῷ σατυρικῷ Σκίρωνι Εὐριπίδης φησὶ*

*Σχεδὸν χαμεύνη σύμμετρος Κορινθίας*
*παιδὸς, κναφάλλου δ' οὐχ ὑπερτείνεις πόδα.*

II

Pollux IX, 75. *Τάχα δ' ἂν εἴη κόρη, ὡς Εὐριπίδης ὠνόμασε παρθένον ἐν Σκίρωνι, λέγων περὶ τῶν ἐν Κορίνθῳ ἑταιρουσῶν*

*Καὶ τὰς μὲν ἄξει πῶλον ἂν διδῷς ἕνα,*
*τὰς δὲ ξυνωρίδ', αἱ δὲ κἀπὶ τεσσάρων*
*φοιτῶσιν ἵππων ἀργυρῶν· φιλοῦσι δὲ*
*τὰς ἐξ Ἀθηνῶν παρθένους, ὅταν φέρῃς*
*πολλάς.*

*τὰς μὲν οὖν παρθένους λέγοι ἂν τὰς κόρας, αἷς ἐνεκεχάρακτο Ἀθηνᾶς πρόσωπον* (§. 74. *κόρη νόμισμα παρ' Ἀθηναίοις ἦν*)· *ὅθεν τὸ νόμισμα τοῦτ' Εὔβουλος ἐν Ἀγχίσῃ καλεῖ Παλλάδας· πῶλον δὲ τὸ νόμισμα τὸ Κορίνθιον, ὅτι Πήγασον εἶχεν ἐντετυπωμένον.*

III

Athenaeus III. p. 76 c. *Μνημονεύει δὲ τῶν ἐρινῶν σύκων Εὐριπίδης ἐν Σκίρωνι*

*Ἢ προσπηγνύναι*
*κράδαις ἐριναῖς.*

IV

Athenaeus IX. p. 368 d. *Καὶ Εὐριπίδης ἐν Σκείρωνι „Οὐδὲ κωλῆνες νεβρῶν.“*

V

Stobaeus 44. p. 307.

*Ἔστι τοι καλὸν*
*τοὺς κακοὺς κολάζειν.*

VI

Vid. fragm. Palam. XI.

---

## *ΣΚΥΡΙΑΙ.*

I

Sextus Empir. adv. Mathem. I, 308. *Ἢ τὸ παρὰ τῷ Εὐριπίδῃ ἐπὶ τῇ Λυκομήδους θυγατρὶ Δηιδαμείᾳ λεγόμενον*

*α. Ἡ παῖς νοσεῖ σοῦ κἀπικινδύνως ἔχει.*
*β. πρὸς τοῦ; τίς αὐτὴν πημονὴ δαμάζεται;*
*μῶν κρυμὸς αὐτῆς πλευρὰ γυμνάζει χολῆς;*

*πυνθάνεται γὰρ μή τι πλευριτικὴ γέγονε διὰ τὸ τοὺς πλευριτικοὺς βήσσοντας ὑπόχολον ἀνάγειν.*

II

Stobaeus 103. p. 561.

*Φεῦ, τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι.*
*οἱ μὲν γὰρ εὖ πράσσουσι, τοῖς δὲ συμφοραὶ*
*σκληραὶ πάρεισιν εὐσεβοῦσιν εἰς θεούς,*
*καὶ πάντ' ἀκριβῶς κἀπὶ φροντίδων βίον*
*σὺν τῷ δικαίῳ ζῶσιν αἰσχύνης ἄτερ.*

V. 1 — 3. leguntur in Anthol. Palat. II. p. 311. eosdem affert Ioh. Lydus de mens. p. 60. et 108. qui priore loco praeponit, *Θεοῦ γὰρ ἐκτὸς οὐδεὶς εὐτυχεῖ βροτῶν* (al. *βροτός*). V. 3. Ioh. Lyd. et Anthol. *εὐσ. πρὸς θεούς.*

III

Stobaeus 108. p. 579.

*Σοφοὶ δὲ συγκρύπτουσιν οἰκείας βλάβας.*

IV

Hesychius, *Ζεύγλας: ζυγοὶ, ἢ μέρη τοῦ ζυγοῦ. καὶ ζευκτῆρες ἱμαντόδεσμοι. καὶ τροπωτῆρες μεταφορικῶς. Εὐριπίδης Σκυρίαις.*

---

## *ΣΥΛΕΥΣ.*

I

Philo Iud. p. 98. ed. Hoesch. p. 537 d. 869 a. 880 b. Eusebius P. E. VI. p. 242. Artemid. IV, 59.

*Πρὸς ταῦτ' ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανα·*
*πίμπρη, κάταιθε σάρκας, ἐμπλήσθητί μου*
*πίνων κελαινὸν αἷμα· πρόσθε γὰρ κάτω*
*γῆς εἶσιν ἄστρα, γῆ δ' ἄνεισ' εἰς αἰθέρα,*
*πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον.*

**Philo p. 537. primum tantum versum habet; p. 880. haec praefatur** *οἷα παρ' Εὐριπίδῃ φησὶν ὁ Ἡρακλῆς.* **Idem legitur Phoen. 521. V. 2.** *πίμπρη*] *ὄπτα* **Artemidorus.** *τέμνε* **Eusebius.**

II

**Philo Iud. p. 880 c. ed. Hoesch.** *Πάλιν τὸν αὐτὸν σπουδαῖον οὐχ ὁρᾷς, ὅτι οὐδὲ πωλούμενος θεράπων εἶναι δοκεῖ, καταπλήττων τοὺς ὁρῶντας, ὡς οὐ μόνον ἐλεύθερος ὤν, ἀλλὰ καὶ δεσπότης ἐπόμενος τοῦ πριαμένου; ὁ γοῦν Ἑρμῆς πυνθανομένοις ἡμῖν ὡς φαῦλός ἐστιν, ἀποκρίνεται·*

*Ἥκιστα φαῦλος, ἀλλὰ πᾶν τοὐναντίον,*
*πρόσχημα σεμνὸς κοὐ ταπεινὸς, οὐδ' ἄγαν*
*εὔογκος, ὡς ἂν δοῦλος, ἀλλὰ καὶ στολὴν*
*ἰδόντι λαμπρὸς καὶ ξύλῳ δραστήριος.*

III

**Pergit Philo Iud.**

*Οὐδεὶς δ' ἐς οἴκους δεσπότας ἀμείνονας*
*αὑτοῦ πρίασθαι βούλεται· σὲ δ' εἰσορῶν*
*πᾶς τις δέδοικεν· ὄμμα γὰρ πυρὸς γέμεις,*
*ταῦρος λέοντος ὣς βλέπων πρὸς ἐμβολήν.*

*εἶτ' ἐπιλέγει*

*τὸ ἦθος αὐτοῦ * * οὐ κατηγορεῖ*
*σιγῶντος, ὡς εἴης ἂν οὐχ ὑπήκοος,*
*τάσσειν δὲ μᾶλλον ἢ 'πιτάσσεσθαι θέλοις.*

IV

**Philo Iud. ibid. e. ita pergit:** *ἐπεὶ δὲ καὶ πριαμένου Συλέως εἰς ἀγρὸν ἐπέμφθη, διέδειξεν ἔργοις τὸ τῆς φύσεως ἀδούλωτον· τὸν μὲν γὰρ ἄριστον τῶν ἐκεῖ ταύρων καταθύσας Διὶ πρόφασιν εὐωχεῖτο, πολὺν δ' οἶνον ἐμφορήσας ἄθρουν εὖ μάλα κατακλιθεὶς ἠκρατίζετο. Συλεῖ δὲ ἀφικομένῳ καὶ δυσανασχετοῦντι ἐπί τε τῇ βλάβῃ καὶ τῇ τοῦ θεράποντος ῥᾳθυμίᾳ καὶ ἐπὶ τῇ περιττῇ καταφρονήσει, μηδὲν μήτε τῆς χρόας μήτε ὧν ἔπραττε καταβαλὼν εὐτολμότατά φησι*

*Κλίθητι καὶ πίωμεν· ἐν τούτῳ δέ μου*
*τὴν πεῖραν εὐθὺς λάμβαν', εἰ κρείττων ἔσει.*

V

**Stobaeus 44. p. 306.**

*Τοῖς μὲν δικαίοις ἔνδικος, τοῖς δ' αὖ κακοῖς*
*πάντων μέγιστος πολέμιος κατὰ χθόνα.*

VI

**Bekkeri Anecd. p. 85, 10.** *Β α υ β ᾶ ν: ἀντὶ τοῦ καθεύδειν. Εὐριπίδης Συλεῖ*

*Βαυβῶμεν εἰσελθόντες· ἀπόμορξαι σέθεν*
*τὰ δάκρυα.*

VII

**Eustathius p. 107, 45. Etymol. M. p. 294, 45. Apollon.** *π. ἀντων.* **p. 353. C.**

*Εἶα δὴ, φίλον ξύλον*
*ἔγειρέ μοι σεαυτὸ, καὶ γίγνου θρασύ.*

**„E Syleo esse locum ex Eustathio discimus. Is ante** *ξύλον* **addit** *φίλον*, **quod apud reliquos deest.** *ἔγειρε* **est apud Apollon. pro** *ἄγειρε*, **quod habet Etymol. Apud Eustath. est** *ἔκτεινέ μοι σεαυτό.* **[Apud Ioannem Alex.** *τονικ. παραγγ.* **p. 25, 5.** *Ἅπαξ που πε[illegible] Εὐριπίδῃ εἴρηται τὸ σεαυτὸ „Εἶα δὴ ξύλον ἔγει[illegible] μοι σεαυτό."* G. DINDORF.]

VIII

**„Alium locum tanquam e Syleó afferunt Grotius et Barnesius, e Philone, puto, depromptum:**

*Ἐγὼ δ' ἐμαυτοῦ καὶ κλύειν ἐπίσταμαι,*
*ἄρχειν θ' ὁμοίως, τἀρετῇ σταθμώμενος*
*τὰ πάντα."*

MATTHIAE.

---

## *Τ Ε Ν Ν Η Σ.*

**Scriptor vitae Euripidis, quam e codice Mediolanensi edidit Elmslei. ad calcem Baccharum, de numero fabularum Euripidis loquens,** *σώζεται δὲ ση',* **inquit** *τούτων νοθεύεται τρία, Τέννης, Ῥαδάμανθυς, Πειρίθους.*

**Stobaeus 2. p. 30.** *Τενῦ* **Paris. A. sed abscissa in fine nominis fabulae litterula.** *ἐν Τημένῳ* **Schow. codd. B. C.**

*Φεῦ,*
*οὐδὲν δίκαιόν ἐστιν ἐν τῷ νῦν γένει.*

---

## *Τ Η Λ Ε Φ Ο Σ.*

I

**Aristophanes Acharn. 439.**

*Δεῖ γάρ με δόξαι πτωχὸν εἶναι τήμερον,*
*εἶναι μὲν, ὅσπερ εἰμὶ, φαίνεσθαι δὲ μή.*

**Schol.** *οἱ δύο στίχοι οὗτοι ἐκ Τηλέφου Εὐρι[illegible]* **Locum affert Suidas v.** *εἶναι* **et** *φαινόμενα.*

II

**Locum e Diogen. Epist. 5. in Notit. MSS. T. 10. 2. p. 241. inter fr. Telephi retulit Boisson.**

*Πτώχ' ἀμφίβληστα σώματος λαβὼν ῥάκη*
*ἀρκτήρια τύχης.*

III

**Eustathius p. 1084, 2.**

*Βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα.*

*ἤγουν δύω μονάδας καὶ τέτταρα. ὃν στίχον Εὐριπίδης ἐν Τηλέφῳ θεὶς, ὅπου κυβεύοντας [illegible] εἰσήγαγε, καὶ μαθὼν ἐπ' αὐτῷ χλευασθῆναι [illegible] τελεῖ, καθὰ σκώπτει καὶ ὁ κωμικὸς, αἰδεσθεὶς [illegible] ριεῖλεν ὅλον τὸ ἐπεισόδιον.* **Eadem fere habet [illegible] 1397, 20. Cf. Zenob. II, 85. App. Vat. I, 29. Suidas et Photius v.** *τρὶς ἓξ ἢ τρεῖς κύβοι.* **Versus [illegible] Aristoph. Ran. 1447. Kust. 1400. Br. ubi schol. [illegible]** *σταρχός φησιν ἀδεσπότως τοῦτο προφέρεσθαι [illegible] Εὐριπίδου πεποιηκότος κυβεύοντας ἐν τῷ Τ[illegible] οὓς καὶ περιεῖλε. μή ποτε οὖν ἐκεῖθεν ἦν, [illegible] δὲ ἐσχεδιακὼς ἂν εἴη Ἀριστοφάνης. οὐδὲ [illegible] Εὐριπίδην τοῦτο προφερόμενον, ἀλλὰ τὸν [illegible] χλευάζοντα. τινὲς δὲ ὅτι ἐν τῷ Φιλοκτήτῃ [illegible] πος, οἱ δὲ ἐν τῇ Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι.* **Simil[illegible] Zenob. et App. Vatic.** *Τοῦτο Εὐριπίδου ἐστι. [illegible] Ἀριστόξενος δέ φησιν ὅτι Εὐριπίδης διορθῶν [illegible] Τήλεφον ἐξεῖλε τὴν πεττείαν.*

IV

**Aristophanes Lys. 707.**

*Ἄνασσα πράγους τοῦδε καὶ βουλεύματος,*
*τί μοι σκυθρωπὸς ἐξελήλυθας δόμων;*

Schol. *ἐκ Τηλέφου Εὐριπίδου.* **Fortasse ex eadem scena est versus Aristoph. ib. 714.** *Ἀλλ' αἰσχρὸν εἰπεῖν, τὸ δὲ σιωπῆσαι βαρύ,* **ubi schol.** *ἐξ Εὐριπίδου* **et v. 717.** *Ἰὼ Ζεῦ. τί Ζῆν' ἀϋτεῖς;*

**V**

**Stobaeus 13. p. 145.**

*Ἀγάμεμνον, οὐδ' εἰ πέλεκυν ἐν χεροῖν ἔχων*
*μέλλοι τις εἰς τράχηλον ἐμβαλεῖν ἐμὸν,*
*σιγήσομαι, δίκαιά γ' ἀντειπεῖν ἔχων.*

**VI**

**Aristophanes Acharn. 470.** *Καὶ γάρ εἰμ' ἄγαν ὀχληρὸς οὖν δοκῶν γε κοιράνους στυγεῖν.* **Schol.** *τοῦτο πεπαρῴδηται ἀσήμως ἐξ Οἰνέως Εὐριπίδου. ὁ δὲ Σύμμαχος καὶ ἐκ Τηλέφου φησὶν αὐτό.*

**VII**

**Schol. Aristoph. Acharn. 496.** *Ἐκ Τηλέφου Εὐριπίδου*

*Μή μοι φθονήσητ' ἄνδρες Ἑλλήνων ἄκροι,*
*εἰ πτωχὸς ὢν τέτληκ' ἐν ἐσθλοῖσιν λέγειν.*

**VIII**

**Aristophanes Acharn. 539.**

*Ἐρεῖ τις, οὐ χρῆν· ἀλλὰ τί χρῆν; εἴπατε.*

**Schol.** *καὶ τοῦτο ἀπὸ Τηλέφου Εὐριπίδου.*

**IX**

**Aristophanes Acharn. 542.**

*Καθῆσθ' ἂν ἐν δόμοισιν; ἦ πολλοῦ γε δεῖ.*

**Schol.** *ἀντὶ τοῦ οὐδὲ ὅλως. καὶ τοῦτο ἐκ Τηλέφου.*

**X**

**Stobaeus 29. p. 200.**

*Οὔ τἄρ' Ὀδυσσεύς ἐστιν αἱμύλος μόνος·*
*χρεία διδάσκει, κἂν βραδύς τις ᾖ, σοφόν.*

**XI**

**Aristophanes Thesm. 517. Br. 524. Kust.** *Ταῦτ' ἂν ποιοῦμεν τὰ κακά; νὴ τὴν Ἄρτεμιν, ἡμεῖς γε. εἶτ' Εὐριπίδῃ θυμούμεθα, οὐδὲν παθοῦσαι μεῖζον δεδράκαμεν;* **Schol.** *παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου*

*εἰ δὴ θυμούμεθα*
*παθόντες οὐδὲν μᾶλλον ἢ δεδρακότες.*

**F.** *εἶτα δὴ θυμούμεθα.*" MATTHIAE.

**XII**

**Aristophanes Acharn. 554.**

*Ταῦτ' οἶδ' ὅτι ἂν ἐδρᾶτε. τὸν δὲ Τήλεφον*
*οὐκ οἰόμεσθα; νοῦς ἄρ' ὑμῖν οὐκ ἔνι.*

**Schol.** *τὸν δὲ Τήλεφον: καὶ ταῦτα ἐκ Τηλέφου Εὐριπίδου.* **Aristides vol. II. p. 16.** *Ἡμῖν δὲ ἀποδεικτέον αὖ τοὐναντίον, φησὶν, ὡς ἐπ' εὐτυχίᾳ τῇ μεγίστῃ παρὰ θεῶν ἡ τοιαύτη μανία δίδοται. τὸν δὲ Τήλεφον οὐκ οἴει τὰ αὐτὰ ταῦτα;* **ubi schol.** *τὶς τῶν ποιητῶν εἰσάγει τὸν Τήλεφον ἐλέγχοντα τὸν Ὀδυσσέα ἐκ τῶν αὐτοῦ λόγων, οὓς πρὸς τὸν Τήλεφον εἶπε.*

**XIII**

**Schol. Aristoph. Acharn. 8.** *Ἄξιον γὰρ Ἑλλάδι: τοῦτο παρῳδία καλεῖται, ὅταν ἐκ τραγῳδίας μετενεχθῇ. ἔστι δὲ τὸ ἡμιστίχιον ἐκ Τηλέφου Εὐριπίδου, ἔχον οὕτω*

*Κακῶς ὄλοιτ' ἄν· ἄξιον γὰρ Ἑλλάδι.*

**Elmsleius** *ὀλοίτην.*

**XIV**

**Schol. Aristoph. Equ. 810.** *Ὦ πόλις Ἄργους, κλύεθ' οἷα λέγει:*

*Ὦ πόλις Ἄργους*

*ἀπὸ Τηλέφου Εὐριπίδου· τὸ δὲ Κλύεθ' οἷα λέγει ἀπὸ Μηδείας* **(v. 170.). „Hoc non recte dictum videtur Elmsleio ad Med. 165. sed omnia illa verba** *Ὦ πόλις Ἄργους, κλύεθ' οἷα λέγει,* **ex Euripidis Telepho sumta esse; Menelai autem verba esse. Suspicio Elmsleii confirmatur scholio ad Plut. 601. ubi totum versum repetit Aristoph.** *Ταῦτα, φασὶν, ἐκ Τηλέφου Εὐριπίδου τραγικεύεται. μετείληπται δὲ ὁ στίχος ἐκ Φοινισσῶν Εὐριπίδου, Πολυνείκους λέγοντος.*"

MATTHIAE.

**XV**

**Aristoph. Acharn. 453.** *Τί δ' ὦ τάλας γε τοῦδ' ἔχεις πλέκους χρέος;* **Schol.** *καὶ τοῦτο δὲ παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου*

*Τί δ', ὦ τάλας, σὺ τῷδε πείθεσθαι θέλεις;*

*θέλεις* **scribi iussit Valcken. pro** *μέλλεις.*

**XVI**

**Aristoph. Acharn. 445.** *Εὐδαιμονοίης, Τηλέφῳ δ' ἀγὼ φρονῶ.* **Schol.** *παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου*

*Καλῶς ἔχοιμι, Τηλέφῳ δ' ἀγὼ φρονῶ.*

**Athen. V. p. 186 c.** *Εὖ σοι γένοιτο, Τηλέφῳ δ' ἀγὼ νοῶ.*

**XVII**

**Clemens Alex. Strom. VI. p. 624 c. Sylb.** *Καὶ μὴν ἐν Τηλέφῳ Εὐριπίδου εἰπόντος*

*Ἕλληνες ὄντες βαρβάροις δουλεύσομεν;*

*Θρασύμαχος ἐν τῷ ὑπὲρ Λαρισσαίων λέγει· Ἀρχελάῳ δουλεύσομεν, Ἕλληνες ὄντες βαρβάρῳ;*

**XVIII**

**Ammonius,** *Πρόξενος πόλεως καὶ ἔθνους, ὡς παρὰ Θουκυδίδῃ, ξένος δὲ ὁ εἷς ἑνός· ὁ δὲ αὐτὸς καὶ ἰδιόξενος. οὐκ ὀρθῶς οὖν Εὐριπίδης ἐν Τηλέφῳ πρόξενον εἴρηκε τὸν ἰδιόξενον·*

*Κακός τίς ἐστι προξένῳ σοι χρώμενος.*

**XIX**

**Schol. Aristoph. Pac. 527.** *Ἐσχημάτισται δὲ (τὸ πλέκος) ὡς ἀπὸ τοῦ βλέπω βλεπτὸς καὶ Ἀττικῶς βλέπος, καὶ ὡς ἀπὸ τοῦ ῥέω ῥέος. ἔστι δὲ Εὐριπίδου ἐκ Τηλέφου ἢ Τληπολέμου τὸ*

*Ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον τέκος.*

**XX**

**Aristot. Rhetor. III, 2, 10.** *Τὸ δὲ, ὡς ὁ Τήλεφος Εὐριπίδου φησὶ, κώπας ἀνάσσειν καὶ ἀποβὰς εἰς Μυσίαν, ἀπρεπὲς, ὅτι μεῖζον τὸ ἀνάσσειν, ἢ κατ' ἀξίαν.* **Reliqua supplet scholiasta**

*Κώπης ἀνάσσει κἀποβὰς εἰς Μυσίαν*
*ἐτραυματίσθη πολεμίῳ βραχίονι.*

**XXI**

**Aristoph. Equ. 1237.**

*Ὦ Φοῖβ' Ἄπολλον Λύκιε, τί ποτέ μ' ἐργάσει;*

**Schol.** *ὁ στίχος ἐκ Τηλέφου Εὐριπίδου.*

**XXII**

**Schol. Aristoph. Nub. 888.** *Ἴθ' ὅποι χρῄζεις: τοῦτο ἐκ Τηλέφου Εὐριπίδου*

*Ἴθ' ὅποι χρῄζεις· οὐκ ἀπολοῦμαι*
*τῆς σῆς Ἑλένης οὕνεκα.*

XXIII

Stobaeus 37. p. 226.

*Σπάρτην ἔλαχες· κείνην κόσμει,*
*τὰς δὲ Μυκήνας ἡμεῖς ἰδίᾳ.*

Priorem versum sine nomine auctoris citat Plutarchus Moral. p. 602 b. qui scribit *Σπάρταν*, et *ταύτην κόσμει*, Diogenianus VIII, 18. *Σπάρταν* et *κείναν*, ibid. 46. *ἣν ἔλαχες Σπάρταν κόσμει.*

XXIV

Stobaeus 20. p. 173.

*Ὥρα σε θυμοῦ κρείσσονα γνώμην ἔχειν.*

XXV

Stobaeus 22. p. 189.

*Σὺ δ' εἴκ' ἀνάγκῃ, καὶ θεοῖσι μὴ μάχου.*
*τόλμα δὲ προσβλέπειν με, καὶ φρονήματος*
*χάλα. τά τοι μέγιστα πολλάκις θεὸς*
*ταπείν' ἔθηκε καὶ συνέστειλεν πάλιν.*

XXVI

Plutarchus Moral. p. 46 f. *Οὐ γὰρ μόνον, ὡς Εὐριπίδης φησὶ, τὸ Τηλέφου τραῦμα*
*Πριστοῖσι λόγχης θέλγεται ῥινήμασιν.*

XXVII

Stobaeus 29. p. 198.

*Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.*

XXVIII

Sext. Empir. adv. Eth. p. 702. Stobaeus 91. p. 507. et 95. p. 519.

*Τί γάρ με πλοῦτος ὠφελεῖ νοσοῦντά γε;*
*σμίκρ' ἂν θέλοιμι καὶ καθ' ἡμέραν ἔχων*
*ἄλυπον οἰκεῖν βίοτον ἢ πλουτῶν νοσεῖν.*

XXIX

Stobaeus 49. p. 355.

*Τόλμα ἀεὶ, κἂν τι τρηχὺ νέμωσι θεοί.*

XXX

Schol. Platonis p. 50. *Ψυκτήρ: σκεῦος, ἔνθα διανίζουσι τὰ ποτήρια, ἢ ποτηρίου εἶδος, ὡς Εὐριπίδης Τηλέφῳ.*

---

## *ΤΗΜΕΝΟΣ. ΤΗΜΕΝΙΔΑΙ.*

I

Stobaeus 1. *Εὐριπίδου Τημενίδων*

*Ἀρετὴ δὲ κἂν θάνῃ τις, οὐκ ἀπόλλυται,*
*ζῇ δ' οὐκέτ' ὄντος σώματος· κακοῖσι δὲ*
*ἅπαντα φροῦδα συνθανόνθ' ὑπὸ χθονός.*

Primum versum citat Sext. Empir. adv. Gramm. 271. sine nomine auctoris.

II

Stobaeus 13. p. 145. *Ε. Τημενίσιν*

*Καλόν γ' ἀληθὴς κἀτενὴς παρρησία.*

III

Clemens Alex. Strom. VI. p. 621 c. *Πάλιν Εὐριπίδου μὲν ἐν Κτιμένῳ* (leg. *Τημένῳ*) „*Τῷ γὰρ πονοῦντι καὶ θεὸς συλλαμβάνει.*" quod fragm. uno versu auctum exhibet schol. Il. *δ*, 249.

*αὐτός τι νῦν δρᾶ, χοὔτω δαίμονας κάλει·*
*τῷ γὰρ πονοῦντι χὠ θεὸς συλλαμβάνει.*

Prior versus citatur a Suida v. *Αὐτός τι* et *Σὺν Ἀθήνῃ* emendate scriptus, *Αὐτός τι νῦν δρῶν εἶτα δαίμονας κάλει.* Alter versus affertur a Stobaeo 29. p. 199. sed ex Euripidis Hippolyto. Ex Euripide Apostolius XIX, 75. ubi *καὶ θεός.*

IV

Stobaeus 31. p. 211.

*Αἰδὼς γὰρ ὀργῆς πλεῖον ὠφελεῖ βροτούς.*

V

Stobaeus 37. p. 226.

*Εἰκὸς δὲ παντὶ καὶ λόγῳ καὶ μηχανῇ*
*πατρίδος ἐρῶντας ἐκπονεῖν σωτηρίαν.*

VI

Stobaeus 48. p. 351.

*Φιλεῖ τοι πόλεμος οὐ πάντ' εὐτυχεῖν·*
*ἐσθλῶν δὲ χαίρει πτώμασιν νεανιῶν,*
*κακοὺς δὲ μισεῖ. τῇ πόλει μὲν οὖν νόσος*
*τόδ' ἐστὶ, τοῖς δὲ κατθανοῦσιν εὐκλεές.*

VII

Stobaeus 49. p. 354. *Τημενίδων*

*Οὐκ ἔστι κρεῖττον ἄλλο πλὴν κρατεῖν δορί.*

VIII

Stobaeus ibidem.

*Τολμᾶν δὲ χρεών· ὁ γὰρ ἐν καιρῷ*
*μόχθος πολλὴν εὐδαιμονίαν*
*τίκτει θνητοῖσι τελευτῶν.*

IX

Stobaeus 52. p. 360. *Τημένῳ*

*Τὸ δὲ στρατηγεῖν τοῦτ' ἐγὼ κρίνω, καλῶς*
*γνῶναι τὸν ἐχθρὸν, ᾗ μάλισθ' ἁλώσιμος.*

X

Ibidem, *ἐν τῷ αὐτῷ*

*Ἄρξεις ἄρ' οὕτω· χρὴ δὲ τὸν στρατηλάτην*
*ὁμῶς δίκαιον ὄντα ποιμαίνειν στρατόν.*

XI

Ibidem, *Τημενίσι.*

*Ῥώμη δέ γ' ἀμαθὴς πολλάκις τίκτει βλάβην.*

XII

Stobaeus 54. p. 369. *Βουτημένῳ*

*Ἄλλη πρὸς ἄλλο γαῖα χρησιμωτέρα.*

XIII

Stobaeus 86. p. 497. *Τημενίσι*

*Φεῦ φεῦ, τὸ φῦναι πατρὸς εὐγενοῦς ἄπο*
*ὅσην ἔχει φρόνησιν ἀξίωμά τε.*
*κἂν γὰρ πένης ὢν τυγχάνῃ χρηστὸς γεγὼς,*
*τιμὴν ἔχει τιν', ἀναμετρούμενος δέ πως*
*τὸ τοῦ πατρὸς γενναῖον ὠφελεῖ τρόπῳ.*

Hinc sumsit compilator libelli *περὶ εὐγενείας*, qui inter Plutarcheos est vol. V. ed. Wytt. p. 965.

XIV

Stobaeus 104. p. 565. *Τημενίσι*

*Πολλοὶ γεγῶτες ἄνδρες οὐκ ἔχουσ' ὅπως*
*δείξωσιν αὑτοὺς, τῶν κακῶν ἐξουσίᾳ.*

XV

Stobaeus 123. p. 617. *Τημενίσι*

*Τοῖς πᾶσιν ἀνθρώποισι κατθανεῖν μένει.*
*κοινὸν δ' ἔχοντες αὐτὸ κοινὰ πάσχομεν*
*πάντες· τὸ γὰρ χρεὼν μεῖζον ἢ τὸ μὴ χρεών.*

XVI

Stobaeus 4. p. 52. *Τημενίσιν*

*Ἀσύνετος, ὅστις ἐν φόβῳ μὲν ἀσθενὴς,*
*λαβὼν δὲ μικρὸν τῆς τύχης φρονεῖ μέγα.*

XVII

Pollux IX, 27. *Τοῖς γὰρ ποιηταῖς καὶ τὰς κώμας λέγουσι πόλεις οὐ προσεκτέον, ὡς παρ' Εὐριπίδῃ — ἐν Τημενίδαις*

*Ἅπασα Πελοπόννησος εὐτυχεῖ πόλις.*

XVIII

Aelianus N. A. VII, 39. Ἐν δὲ τοῖς Τημενίδαις τὸ Ἡράκλειον ἆθλον ἔλαφον κέρατα ἔχειν ὁ αὐτὸς Εὐριπίδης φησὶ τὸν τρόπον τόνδε ᾄδων ,Ἦλθε δ' ἐπὶ χρυσόκερων ἔλαφον μεγάλων ἄθλων ἕνα (marg. Gesn. χρῆμα) δεινὸν ὑποστὰς κατ' ἐναύλους ὀρέων ἀβάτους ἐπί τε λειμῶνας ποιμένιά τε ἄλση."

XIX

Hesychius, Αἰσίως: καλῶς, δεξιῶς. Εὐριπίδης Τημένῳ.

XX

Hesychius, Ἀνανομήν: ἀναδασμόν. ἀνανέμειν γὰρ τὸ μερίζειν. Εὐριπίδης Τημένῳ.

XXI

Hesychius, Ἄπυργος: ἀτείχιστος. Εὐριπίδης Τημένῳ.

XXII

Hesychius, Κατηβολή: τὸ ἐπιβάλλον. Εὐριπίδης Τημένῳ καὶ Πελιάσιν. Eadem leguntur in scholiis Platon. p. 137.

---

ΥΨΙΠΥΛΗ.

I

Aristoph. Ran. 1242. Macrobius Saturn. I, 18.

Διόνυσος, ὃς θύρσοισι καὶ νεβρῶν δοραῖς
καθαπτὸς ἐν πεύκαισι Παρνασὸν κάτα
πηδᾷ χορεύων παρθένοις σὺν Δελφίσιν.

Ubi schol. Ὑψιπύλης ἡ ἀρχή. et ad v. 1244. τὸ δὲ ἑξῆς τὸ ἰάμβου παρθένοις σὺν Δελφίσιν. Haec enim omisit Aristoph. sicut Macrobius etiam. Eosdem versus citat schol. Aristoph. Nub. 604. et v. 2. Etymol. M. p. 1, 38. Hesychius in καθαπτός.

II III

Schol. Arist. Ran. 1355. Οἰνάνθας γάνος ἀμπέλου: παρὰ τὰ ἐξ Ὑψιπύλης Εὐριπίδου „Οἰνάνθα φέρει τὸν ἱερὸν βότρυν." καὶ τὸ „Περίβαλ', ὦ τέκνον" ἐξ Ὑψιπύλης. Apud Aristoph. ad verba Περίβαλ' ὦ τέκνον additur ὠλένας.

IV

Macrob. Saturn. V, 18. *Licet abunde ista sufficiant ad probationem moris antiqui, quo ita loquendi usus fuit, ut Achelous commune omnis aquae nomen haberetur, tamen his quoque Euripidis nobilissimi tragoediarum scriptoris additur auctoritas, quam idem Didymus Grammaticus in his libris, quos* τραγῳδουμένης λέξεως *scripsit, posuit his verbis:* Ἀχελῷον τὸν ὕδωρ Εὐριπίδης φησὶν ἐν Ὑψιπύλῃ. λέγων γὰρ περὶ ὕδατος ὄντος σφόδρα πόρρω τῆς Ἀκαρνανίας, ἐν ᾗ ἐστὶ ποταμὸς Ἀχελῷος, φησί
Δείξω μὲν ἀργεννοῖσιν Ἀχελῴου ῥόον.

V

Plutarchus Moral. p. 93 d. 664 f. Ὥσπερ ὁ τῆς Ὑψιπύλης τρόφιμος

εἰς τὸν λειμῶνα καθίσας
ἔδρεπεν ἕτερον ἐφ' ἑτέρῳ αἰρόμενος
ἄγρευμ' ἀνθέων ἡδομένᾳ ψυχᾷ,
τὸ νήπιον ἄπληστον ἔχων.

4. ἄπληστον] ἄχρηστον 93.

VI

Plutarchus Moral. p. 110. Clem. Alex. Strom. IV. p. 495. Stobaeus 106. p. 568. Plutarchi haec sunt verba: Οὐ φαύλως γὰρ ἂν δόξειεν ὁ παρὰ τῷ ποιητῇ Ἀμφιάρεως παραμυθεῖσθαι τὴν Ἀρχεμόρου μητέρα δυσχεραίνουσαν ὅτι νήπιος ὢν ὁ παῖς καὶ ἄγαν ἄωρος ἐτελεύτησε· φησὶ γὰρ οὕτως

Ἔφυ μὲν οὐδεὶς ὅστις οὐ πονεῖ βροτῶν·
θάπτει τε τέκνα χἄτερ' αὖ κτᾶται νέα,
αὐτός τε θνήσκει. καὶ τάδ' ἄχθονται βροτοὶ
εἰς γῆν φέροντες γῆν· ἀναγκαίως δ' ἔχει
βίον θερίζειν ὥστε κάρπιμον στάχυν,
καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή. τί ταῦτα δεῖ
στένειν ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν;
δεινὸν γὰρ οὐδὲν τῶν ἀναγκαίων βροτοῖς.

His solus Clemens illum praeponit

Ἅ γ' οὖν παραινῶ, ταῦτά μου δέξαι, γύναι.

V. 1. Stobaeus ὅστις οὐκ ἀεὶ πονεῖ. Cicero vertit Tusc. III, 25. *Mortalis nemo est, quem non attingat dolor Morbusque.* V. 2. Clemens σπείρει pro κτᾶται. Cicero: *multi sunt humandi liberi, Rursum creandi.* V. 8. Plutarch. Moral. p. 117 d. Οὐδὲν γὰρ δεινὸν τῶν ἀναγκαίων βροτοῖς. Clemens οὗ δεινὸν οὐδὲν τῶν ἀν. βρ.

VII

Stobaeus 10. p. 127.

Κακοῖς τὸ κέρδος τῆς δίκης ὑπέρτερον.

VIII

Stobaeus 20. p. 171. 172.

Ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτερος.

IX

Stobaeus 109. p. 580.

Ἄελπτον οὐδέν, πάντα δ' ἐλπίζειν χρεών.

X

Schol. Arist. Ran. 1363. Ἀνὰ τὸ δωδεκαμήχανον Κυρήνης μελοποιῶν: Κυρήνη ἑταίρα τις ἐπίσημος, δωδεκαμήχανος ἐπικαλουμένη διὰ τὸ τοσαῦτα σχήματα ἐν τῇ συνουσίᾳ ποιεῖν. ἔστι δὲ παρὰ τὸ ἐξ Ὑψιπύλης Εὐριπίδου

Ἀνὰ τὸ δωδεκαμήχανον ἄντρον.

Eadem Suidas v. δωδεκαμήχανος, qui pro ἄντρον habet ἄστρον.

XI

Galenus V. p. 615. ed. Basil. XII. p. 376. Chart. de voc. αἴετωμα οἴκου s. ἀετός· καὶ Εὐριπίδης ἐν Ὑψιπύλῃ φησὶν

Ἰδοὺ πρὸς αἰθέρ' ἐξαμιλλῆσαι κόραι
γραπτοὺς * * * οἷσι προσβλέπειν τύπους.

Valckenarius, ἐξαμιλλῶνται κόραι γραπτοὺς ἐν αἰετοῖσι.

XII

Eustathius p. 959, 42.

Εὔσημα καὶ σᾶ καὶ κατεσφραγισμένα.

XIII

Harpocratio, Ἀρκτεῦσαι: — ὅτι δὲ ἀρκτευόμεναι παρθένοι ἄρκτοι καλοῦνται Εὐριπίδης Ὑψιπύλῃ. Conf. Bekkeri Anecd. p. 444, 32.

XIV

Hesychius, Ἀναδρομαί: αὐξήσεις, βλαστήσεις. Εὐριπίδης Ἱκέτισιν, Ὑψιπύλῃ.

XV

Bekkeri Anecd. p. 93, 26. Ἐκδημία: οὐ μόνον ἀποδημία. Εὐριπίδης Ὑψιπύλῃ.

XVI

Bekkeri Anecd. p. 109, 15. *Νεαρός: ἀντὶ τοῦ νέος. Εὐριπίδης Ὑψιπύλῃ.*

---

## ΦΑΕΘΩΝ.

I

Strabo I. p. 33. ed. Casaub. p. 58. sq. Almel. *Ὁ Εὐριπίδης ἐπὶ τῷ Φαέθοντι τὴν Κλυμένην φησὶ*

*δοθῆναι Μέροπι τῆσδ' ἄνακτι γῆς,*
*ἣν ἐκ τεθρίππων ἁρμάτων πρώτην χθόνα*
*Ἥλιος ἀνίσχων χρυσέᾳ βάλλει φλογί.*
*καλοῦσι δ' αὐτὴν γείτονες μελάμβροτοι*
*Ἕω φαεννὰν Ἡλίου θ' ἱπποστάσεις.*

*νῦν μὲν δὴ κοινὰς ποιεῖται τὰς ἱπποστάσεις τῇ τε Ἠοῖ καὶ τῷ Ἡλίῳ, ἐν δὲ τοῖς ἑξῆς πλησίον αὐτάς φησιν εἶναι τῇ οἰκήσει τοῦ Μέροπος. καὶ ὅλῃ γε τῇ δραματουργίᾳ τοῦτο παραπέπλεκται, οὐ δήπου τῆς κατ' Αἴγυπτον Αἰθιοπίας ἴδιον ὄν, μᾶλλον δὲ τῆς παρ' ὅλον τὸ μεσημβρινὸν κλίμα διηκούσης παραλίας.* Diogen. L. II, 10. de Anaxagora, *φασὶ δ' αὐτὸν προειπεῖν τὴν περὶ Αἰγὸς ποταμὸν γενομένην τοῦ λίθου πτῶσιν, ὃν εἶπεν ἐκ τοῦ ἡλίου πεσεῖσθαι· ὅθεν καὶ Εὐριπίδην μαθητὴν ὄντα αὐτοῦ χρυσέαν βῶλον εἰπεῖν τὸν ἥλιον ἐν τῷ Φαέθοντι.* „unde Valcken. Diatr. p. 31. suspicabatur Diogenem v. 3. legisse *χρυσέᾳ βώλῳ φλέγει.* Mirum vero Diogenem e Phaethonte citare, quod etiam in Oreste v. 974. legitur nec quam commode Sol dicatur *χρυσέᾳ βώλῳ φλέγειν*, intelligo. Itaque memoriter citans Diogenes Phaethontem pro Oreste nominasse mihi videtur."

MATTHIAE.

---

## Fragmenta ex codice Parisino ab Bekkero descripta, emendata ab Hermanno (Opusc. vol. III.).

II

*Μνησθεὶς ὅ μοί ποτ' εἶφ', ὅτ' εὐνάσθη, θεός,*
*αἰτοῦ τί χρῄζεις ἕν· πέρα γὰρ οὐ θέμις*
*λαβεῖν σε· κἂν μὲν τυγχάνῃς, σάφ' ἴσθ' ὅτι*
*θεοῦ πέφυκας· εἰ δὲ μή, ψευδὴς ἐγώ.*
Φ. *πῶς οὖν πρόσειμι δῶμα θερμὸν Ἡλίου;*
Κ. *κείνῳ μελήσει σῶμα μὴ βλάπτειν τὸ σόν.*
Φ. *εἴπερ πατὴρ πέφυκε, κοὐκ ἄλλως λέγεις.*
Κ. *σάφ' ἴσθι· πεύσῃ δ' αὐτὸ τῷ χρόνῳ σαφῶς.*
Φ. *ἀρκεῖ· πέποιθα γάρ σε μὴ ψευδῆ λέγειν.*
*ἀλλ' ἕρπ' ἐς οἴκους· καὶ γὰρ αἵδ' ἔξω δόμων*
*δμωαὶ περῶσιν, αἳ πατρὸς κοιμωμένου*
*σαίρουσι δῶμα, καὶ δόμων κειμήλια*
*καθ' ἡμέραν φοιβῶσι, κἀπιχωρίοις*
*ὀσμαῖσι θυμιῶσιν εἰσόδους δόμων.*
*ὅταν δ' ὕπνον γεραιὸς ἐκλιπὼν πατὴρ*
*πύλας ἀμείψῃ, καὶ λόγους γάμων πέρι*
*λέξῃ πρὸς ἡμᾶς, Ἡλίου μολὼν δόμους,*
*τοὺς σοὺς ἐλέγξω, μῆτερ, εἰ σαφεῖς λόγοι.*
ΧΟΡ. . . . . . . .   *στρ. ά.*
. . . . . . *κατὰ γᾶν*
. . *α* , . . . . ,
. . . . . . . .
*μέλπει δὲ δένδρεσι λεπτὰν*
*ἀηδὼν ἁρμονίαν,*
*γόοις ὀρθρευομένα,*
*Ἴτυν Ἴτυν πολύθρηνον.*
*σύριγγας δ' οὐριβάται*   *ἀντ. ά.*
*κινοῦσιν ποίμνας ἐλαταί·*
*ἔγρονται δ' εἰς βοτάναν*
*ξανθᾶν πώλων συζυγίαι.*
*ἤδη δ' εἰς ἔργα κυναγοὶ*
*στείχουσιν θηροφόνοι,*
*πηγαῖς τ' ἐπ' ὠκεανοῦ*
*μελιβόας κύκνος ἀχεῖ.*
*ἄκατοι δ' ἀνάγονται ὑπ' εἰρεσίας*   *στρ. β́.*
*ἀνέμων τ' εὐαέσιν ῥοθίοις*
*ἀνὰ δ' ἱστί* . . . . . . . . .
. . . . . . . .
. . . . . . . .
. . . . . .
. . . . . . . . . . . .
*σινδὼν δὲ πρότονον ἐπὶ μέσον πελάσει.*
*τὰ μὲν οὖν ἑτέροισι μέριμνα πέλει.*   *ἀντ. β́.*
*κῶμον δ' ὑμεναίων δεσποσύνων*
*ἐμὲ καὶ τὸ δίκαιον ἄγει καὶ ἔρως*
*ὑμνεῖν· δμωσὶν γὰρ ἀνάκτων*
*εὐάμεροι προσιοῦσαι*
*μολπαὶ θράσος αὔξουσ'*
*ἐπὶ χάρματ'· εἰ δὲ τύχα τι τέκοι,*
*βαρὺν βαρεῖα φόβον ἔπεμψεν οἴκοις.*
*ὁρίζεται δὲ τόδε φάος γάμων τέλος,*   *ἐπῳδ.*
*τὸ δή ποτ' εὐχαῖς ἐγὼ*
*λισσομένα προσέβαν ὑμέναιον ἀεῖσαι*
*φίλον φίλων δεσποτᾶν.*
*θεοὺς ἔδωκε, χρόνος ἔκρανε*
*λέχος ἐμοῖσιν ἀρχέταις.*
*ἴτω τελεία γάμων ἀοιδά.*
*ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς πρὸ δόμων*
*κῆρυξ θ' ἱερὸς καὶ παῖς Φαέθων*
*στείχουσι, τριπλοῦν ζεῦγος, ἔχειν χρὴ*
*στόμ' ἐν ἡσυχίᾳ·*
*περὶ γὰρ μεγάλων γνώμας δείξει,*
*παῖδ' ὑμεναίοις, ὥς φησι, θέλων*
*ζεῦξαι νύμφης τε λεπάδνοις.*
ΚΗΡ. *Ὠκεανοῦ πεδίων οἰκήτορες,*
*εὐφαμεῖτ', ὦ,*
*ἐκτόπιοί τε δόμων ἀπαείρετε,*
*ὦ ἴτε, λαοί.*
*κηρύσσω δ' ὁσίαν βασιλήιον,*
*αἰτῶ δ' αἶσαν*
*εὐτεκνίαν τε γάμοις, ὧν ἔξοδος*
*ἅδ' ἕνεχ' ἥκει,*
*παιδὸς πατρός τε τῇδ' ἐν ἡμέρᾳ λέχη*
*κρᾶναι θελόντων· ἀλλὰ σῖγ' ἔστω λεώς.*
ΜΕΡ. . . . . . . . . . .
. . . . . . *εἰ γὰρ εὖ λέγων.*

---

*Πυροῦσσ' Ἐρινὺς ἐν νεκροῖς θερμὴ*
*ζῶσ' ἥδ' ἀνίησ' ἀτμὸν ἐμφανῆ . .*
*ἀπωλόμην· οὐκ οἴσετ' εἰς δόμους πέπλ.*

ἴθ', ὡς πόσις μοι πλησίον γαμηλίους
μολπὰς ἀϋτεῖ, παρθένοις ἡγούμενος.
οὐ θᾶσσον; οὐκ ἀμολγὸν ἐξομόρξετε,
εἴ πού τις ἐστιν αἵματος χαμαὶ πεσών;
ἐπείγετ', εἶα, δμωΐδες· κρύψω δέ νιν
ξεστοῖσι θαλάμοις, ἔνθ' ἐμῷ κεῖται πόσει
χρυσός· μόνη δὲ κλῆθρ' ἐγὼ σφραγίζομαι.
ὦ καλλιφεγγὲς Ἥλι', ὥς μ' ἀπώλεσας,
καὶ τόνδ'. Ἀπόλλω δ' ἐν βροτοῖς σ' ὀρ-
θῶς καλεῖ,
ὅστις τὰ σιγῶντ' ὀνόματ' οἶδε δαιμόνων.
ΧΟΡ. Ὑμὴν Ὑμήν, στρ.
τὰν Διὸς οὐρανίαν ἀείδομεν,
τὰν ἐρώτων πότνιαν, τὰν παρθένοις
γαμήλιον Ἀφροδίταν
πότνια, σοὶ τάδ' ἐγὼ νυμφεῖ' ὀφείλω,
Κύπρι, θεῶν καλλίστα,
τῷ τε μονόζυγι σῷ
πώλῳ, τὸν ἐν αἰθέρι κρύπτεις
σῶν γάμων γένναν·
ἃ τὸν μέγαν ἀντ.
τᾶσδε πόλεως βασιλῆ νυμφεύετε,
ἀστερωποῖσιν δόμοισι χρυσέοις
ἀρχὸν, φίλον Ἀφροδίτᾳ.
ὦ μάκαρ, ὦ βασιλέως μείζων ἔτ' ὄλβον,
ὃς θεὰν κηδεύσεις,
καὶ μόνος ἀθανάτοις
γαμβρὸς δι' ἀπείρονα γαῖαν
θνατὸς ὑμνήσῃ.
ΜΕΡ. χώρει σύ, καὶ τάσδ' εἰς δόμους ἄγων
κόρας,
γυναῖκ' ἄνωχθι πᾶσι τοῖς κατὰ στόμα
θεοῖς χορεῦσαι, καὶ κυκλώσασθαι δόμους
σεμνοῖσιν ὑμεναίοισιν, Ἑστίας θ' ἕδος,
ἀφ' ἧς τὸ σώφρον πᾶς ἂν ἄρχεσθαι θέλοι
εὐχὰς π[οιεῖσθαι] . . . .
. . . . . . . . . .
. . . . . . . . . .
. . . . . . . . . .
. . . . . . . . . .
θεᾶς προσέλθῃ τέμενος ἐξ ἐμῶν δόμων.
ΘΕΡ. ὦ δέσποτ', ἔστρεψ' ἐκ δόμων ταχὺν πόδα.
οὐ γάρ σὺ σώζῃ σεμνὰ θησαυρίσματα
χρυσοῦ, δι' ἁρμῶν ἐξαμείβεται πύλης
καπνοῦ μέλαινα λιγνὺς ἔνδοθεν στέγης.
προσθεὶς πρόσωπον, φλόγα μὲν οὐχ ὁρῶ
πυρός,
γέμοντα δ' οἶκον μέλανος ἔνδον αἰθάλου.
ἀλλ' ἴσιθ' ἐς οἶκον, μή τιν' Ἥφαιστος
χόλον
δόμοις ἐπεισφρεὶς, μέλαθρα συμφλέξῃ πυρὶ
ἐν τοῖσιν ἡδίστοισι Φαέθοντος γάμοις.
ΜΕΡ. πῶς φῄς; ὅρα μὴ θυμάτων πυρουμένων
κατ' οἶκον ἀτμὸν κεῖσ' ἀποσταλέντ' ἴδῃς.
ΘΕΡ. ἅπαντα ταῦτ' αἴθρη τ' ἀκάπνωτοί θ' ὁδοί.
ΜΕΡ. οἶδεν δ' ἐμὴ τάδ' ἢ οὐκ ἐπίσταται δά-
μαρ;
ΘΕΡ. θυηπολοῦσα θεοῖς, ἐκεῖσ' ἔχει φρένας.
ΜΕΡ. ἀλλ' εἶμ', ἐπεί τοι καὶ φιλεῖ τὰ τοιάδε
ληφθέντα φαύλως ἐς μέγαν χειμῶν' ἄγειν.
σὺ δ', ὦ πυρὸς δέσποινα, Δήμητρος κόρη,
Ἥφαιστέ τ', εἴητ' εὐμενεῖς δόμοις ἐμοῖς.
ΧΟΡ. τάλαιν' ἐγώ, τάλαινα, ποῖ πόδα
πτερόεντα καταστάσω;
τίν' αἰθέρ', ἢ γᾶς ὑπὸ κεῦθος ἀφαν-
τον ἐξαμαυρωθῶ;
ἰώ μοί μοι, καταφανήσεται
βασίλεια τάλαινα, παῖς τ' ἔσω
κρυφαῖος νέκυς.
ὀτοτοτοῖ, κεραύνιοί τ' ἐκ Διὸς
πυρίβολοι πλαγαὶ, λέχεά θ' Ἁλίου,
ὦ δυστάλαινα τῶν ἀμετρήτων κακῶν
Ὠκεανοῦ κόρα,
πατρὸς ἴθι πρόσπεσε
γόνυ λιταῖς σφαγάς,
σφαγὰς, οἰκτρά τ' ἀρκέσαι σᾶς δειρᾶς.
ΜΕΡ. ἰώ μοί μοι.
ΧΟΡ. ἠκούσατ' ἀρχὰς δεσπότου στεναγμάτων;
ΜΕΡ. ἰὼ τέκνον.
ΧΟΡ. καλεῖ τὸν οὐ κλύοντα δυστυχῆ γόνον
. . . . ὀμμάτων ὁρᾶν σαφῆ.

III

Plutarchus Moral. p. 665 c. Πολλοὶ γὰρ οὔτε κατορύττουσιν, ἀλλ' ἐῶσι περιφράξαντες, ὥστε ὁρᾶσθαι τοὺς νεκροὺς ἀσήπτους ἀεὶ, τὴν Εὐριπίδου Κλυμένην ἐλέγχοντας ἐπὶ τοῦ Φαέθοντος εἰποῦσαν

Φίλος δέ μοι
ἄλουτος ἐν φάραγξι σήπεται νέκυς.

„Fortasse huc etiam referendum p. 666 c. Καὶ μυρίους ἤδη τεθνηκότας ἰδεῖν ἔστιν ὑπὸ βροντῆς, οὐδὲν οὔτε πληγῆς ἴχνος οὔτε καύσεως ἔχοντας, ἀλλ' ὑπὸ φόβου τῆς ψυχῆς, ὡς ἔοικεν, ὄρνιθος δίκην ἀποπταμένης τοῦ σώματος. πολλοὺς γάρ, ὡς ὁ Εὐριπίδης φησίν, βροντῆς πνεῦμ' ἄναιμον ὤλεσεν. In eo Theo Smyrnaeus de musica c. 2. p. 75. legit τραῦμ' ἄναιμον." MATTHIAE.

IV

Plutarchus Moral. p. 608 d. Ἀλλὰ δέδια πάλιν μὴ συνεκβάλωμεν τῷ λυποῦντι τὴν μνήμην, ὥσπερ ἡ Κλυμένη λέγουσα „Μισῶ δ' εὐάγκαλον τόξον κρανείας, γυμνάσια δ' οἴχοιτο."

V

Longinus de sublim. 15. Τῷ γοῦν Φαέθοντι παραδιδοὺς τὰς ἡνίας ὁ Ἥλιος

Ἔλα δὲ μήτε Λιβυκὸν αἰθέρ' ἐμβαλών·
κρᾶσιν γὰρ ὑγρὰν οὐκ ἔχων ἀψῖδα σὴν
κάτω διήσει,

φησίν· εἶθ' ἑξῆς,

Ἵει δ' ἐφ' ἑπτὰ Πλειάδων ἔχων δρόμον.
τοσαῦτ' ἀκούσας εἶτ' ἔμαρψεν ἡνίας,
κρούσας δὲ πλευρὰ πτεροφόρων ὀχημάτων
μεθῆκεν· αἱ δ' ἔπταντ' ἐπ' αἰθέρος πτύχας.
πατὴρ δ' ὄπισθε νῶτα σειραίου βεβὼς
ἵππευε, παῖδα νουθετῶν· ἐκεῖσ' ἔλα,
τῇ ῥα (!) στρέφ' ἅρμα τῇδε,

ἆρ' οὐκ ἂν εἴποις ὅτι ἡ ψυχὴ τοῦ γράφοντος συνεπιβαίνει τοῦ ἅρματος καὶ συγκινδυνεύουσα τοῖς ἵπποις συνεπτέρωται; οὐ γὰρ ἄν, εἰ μὴ τοῖς οὐρανίοις ἐκείνοις ἔργοις ἰσοδρομοῦσα ἐφέρετο, τοιαῦτ' ἄν ποτε ἐφαντάσθη.

VI

Stobaeus ecl. phys. vol. I. p. 540. Heer. Vitruvius IX, 4. (IX, 1, 13. ed. Schneid.)

*Θερμὴ δ' ἄνακτος φλὸξ ὑπερτέλλουσα γῆς*
*καίει τὰ πόρρω, τἀγγύθεν δ' εὔκρατ' ἔχει.*

Binos versus coniungendos esse, quorum alter apud unum Vitruv. legitur, vidit Barnes.

VII

Theon. schol. in Arati Phaenom. 169. *Οὐκ ἀνωνύμως, φησὶ, φέρονται αἱ Ὑάδες ἐν τῷ μετώπῳ τοῦ ταύρου. Θαλῆς μὲν οὖν δύο αὐτὰς εἶπεν εἶναι, τὴν μὲν βόρειον, τὴν δὲ νότιον· Εὐριπίδης δ' ἐν τῷ Φαέθοντι τρεῖς.*

VIII

Athenaeus XI. p. 503 d. *Εὐριπίδης Φαέθοντι*

*Ψυκτήρια*
*δένδρη φίλαισιν ὠλέναισι δέξεται.*

IX

Stobaeus 38. p. 230.

*Ὡς πανταχοῦ γε πατρὶς ἡ βόσκουσα γῆ.*

X

Stobaeus 41. p. 239.

*Ἐν τοῖσι μώροις τοῦτ' ἐγὼ κρίνω, βροτῶν*
*ὅστις πατὴρ ὢν παισὶ μὴ φρονοῦσιν εὖ*
*ἢ καὶ πολίταις παραδίδωσ' ἐξουσίαν.*

XI

Stobaeus ibidem. Apostolius XIII, 56.

*Ναῦν τοι μί' ἄγκυρ' οὐδαμῶς σώζειν φιλεῖ,*
*ὡς τρεῖς ἀφέντι, προστάτης θ' ἁπλοῦς πόλει*
*σφαλερὸς, ὑπὼν δὲ κἄλλος οὐ κακὸν πόλει.*

XII

Stobaeus 91. p. 507.

*Δεινόν γε· τοῖς πλουτοῦσι τοῦτο δ' ἔμφυτον,*
*σκαιοῖσιν εἶναι. τί ποτε τούτου ταἴτιον;*
*ἆρ' ὄλβος αὐτοῖς ὅτι τυφλὸς συνηρεφεῖ,*
*τυφλὰς ἔχουσι τὰς φρένας καὶ τῆς τύχης;*

XIII

Eustathius p. 1731, 54. *Ἡ δὲ τοιαύτη προὶξ ὅτι καὶ φερνὴ λέγεται δηλοῖ, φασὶν, ἐν Φαέθοντι Εὐριπίδης εἰπὼν*

*Ἐλεύθερος δ' ὢν δοῦλός ἐστι τοῦ λέχους,*
*πεπραμένον τὸ σῶμα τῆς φερνῆς ἔχων.*

Eodem respicit Plutarchus Moral. p. 498 b. Ad hanc fabulam referendum esse, quod de Phaethonte ex Euripide commemorat Plinius hist. natur. 37, 2. suspicabatur Ruhnken. apud Luzac. Exerc. acad. p. 52.

---

## ΦΙΛΟΚΤΗΤΗΣ.

Huius fabulae descriptionem magna ex parte exposuit Dio Chrysost. oratione LII. servatis partim ipsius poetae verbis, quae numeris suis restituere conatus est Valckenarius Diatrib. cap. XI.

I

Aristot. Ethic. Nicom. VI, 8. Eudem. V, 8. Plutarchus Moral. p. 544 c. V. 4. Plutarchus Moral. p. 779 d. schol. Aristoph. Ran. 284. V. 5. 6. Stobaeus 29. p. 199.

*Πῶς δ' ἂν φρονοίην, ᾧ παρῆν ἀπραγμόνως*
*ἐν τοῖσι πολλοῖς ἠριθμημένῳ στρατοῦ*
*ἴσον μετασχεῖν τῷ σοφωτάτῳ τύχης;*
*οὐδὲν γὰρ οὕτω γαῦρον ὡς ἀνὴρ ἔφυ·*
*τοὺς γὰρ περισσοὺς καί τι πράσσοντας πλέον*
*τιμῶμεν, ἄνδρας τ' ἐν πόλει νομίζομεν.*

II

Plutarchus Moral. p. 544 c.

*Ὀκνῶ δὲ μόχθων τῶν πρὶν ἐκχέαι χάριν,*
*καὶ τοὺς παρόντας οὐκ ἀπωθοῦμαι πόνους.*

III

Plutarchus Moral. p. 521 a.

*Δύσμορφα μέντοι τἄνδον εἰσιδεῖν, ξένε.*

IV

Stobaeus 119. p. 602.

*Ἅλις, ὦ βιοτά· πέραινε, πρίν τινα συντυχίαν*
*ἢ κτεάτεσσιν ἐμοῖς, ἢ σώματι τῷδε γενέσθαι.*

V

Iustin. M. π. μοναρχ. p. 109 b. ed. Colon.

*Ὁρᾶτε δ' ὡς κἀν θεοῖσι κερδαίνειν καλὸν,*
*θαυμάζεται δ' ὁ πλεῖστον ἐν ναοῖς ἔχων*
*χρυσόν· τί δῆτα καὶ σὲ κωλύει λαβεῖν*
*κέρδος παρόν γε, κἀξομοιοῦσθαι θεοῖς.*

VI

Stobaeus ecl. eth. vol. II. p. 4.

*Τί δῆτα θάκοις ἀρχικοῖς ἐνήμενοι*
*σαφῶς διόμνυσθ' εἰδέναι τὰ δαιμόνων*
*οἱ τῶνδε χειρώνακτες ἄνθρωποι λόγων;*
*ὅστις γὰρ αὐχεῖ θεῶν ἐπίστασθαι πέρι,*
*οὐδέν τι μᾶλλον οἶδεν ἢ πείθει λέγων.*

VII

Aristotel. poet. 22, 13. *Οἷον, τὸ αὐτὸ ποιήσαντος ἰαμβεῖον Αἰσχύλου καὶ Εὐριπίδου, ἓν δὲ μόνον ὄνομα μετατιθέντος, ἀντὶ κυρίου εἰωθότος γλῶτταν, τὸ μὲν φαίνεται καλὸν, τὸ δ' εὐτελές. Αἰσχύλος μὲν γὰρ ἐν τῷ Φιλοκτήτῃ ἐποίησε*

*φαγέδαινα, ἥ μου σάρκας ἐσθίει ποδός,*

*ὁ δὲ ἀντὶ τοῦ ἐσθίει τὸ θοινᾶται μετέθηκε.*

VIII

Plutarchus Moral. p. 1108 b. Diog. Laert. V, 3. Cicero de orat. III, 35. Quintil. Instit. III. I. 14.

*Ὑπέρ γε μέντοι παντὸς Ἑλλήνων στρατοῦ*
*αἰσχρὸν σιωπᾶν, βαρβάρους δ' ἐᾶν λέγειν.*

„Alterum versum habent Diogen. Cic. Quint. sed pro *βαρβάρους δ'* ille *Ξενοκράτη δ'*, Quintil. *καὶ Ἰσοκράτην* vel *Ἰσοκράτη δ'*, sed in Euripidis versu fuisse *βαρβάρους δ'* apparet e Ciceronis verbis: *Aristoteles quum florere Isocratem nobilitate discipulorum videret, — — versum quendam de Philocteta paulo secus dixit. Ille enim turpe sibi ait tacere, quum barbaros, hic autem quum Isocratem pateretur dicere.* Ex *Euripidis* Philoctete esse non patet quidem e Cicerone, sed verisimile tamen est, potius quam ex Aeschyli Philoctete. Priorem versum solus praeponit Plutarchus, *Ἀλλ' ἴσως ἂν ἐπὶ τούτοις καὶ γελάσειέ τις ἐννοήσας τὴν Σωκράτους πραότητα καὶ χάριν.*

*Ὑπέρ γε μέντοι παντὸς Ἑλλήνων στρατοῦ*
*τῶν ἄλλων φιλοσόφων — — οὐ μόνον*
*αἰσχρὸν σιωπᾶν*
*ἀλλ' οὐδὲ ὅσιον ἐνδοῦναί τι.*" MATTHIAE.

IX

Stobaeus 20. p. 172.

*Ὥσπερ δὲ θνητὸν καὶ τὸ σῶμ' ἡμῶν ἔφυ,*

οὕτω προσήκει μηδὲ τὴν ὀργὴν ἔχειν
ἀθάνατον, ὅστις σωφρονεῖν ἐπίσταται.

Locum respexit auctor epp. Phalarid. 24. θνητοὺς γὰρ ὄντας ἀθάνατον ὀργὴν ἔχειν, ὥς φασί τινες, οὐ προσήκει, quae ipsa poetae verba esse credebat Porson. ad Eurip. Med. 139. 140.

X

Aristot. rhetor. ad Alex. c. 18. (al. 19.) ubi de προκαταλήψεσιν loquitur: Κέχρηται δὲ καὶ Εὐριπίδης ἐν Φιλοκτήτῃ τεχνικῶς τούτῳ τῷ εἴδει διὰ τοῦδε

Λέξω δ' ἐγώ, κἄν μου διαφθείρας δοκῇ
λόγους ὑποστὰς αὐτὸς ἠδικηκέναι·
ἀλλ' ἐξ ἐμοῦ γὰρ τἀμὰ μαθήσῃ κλύων·
ὁ δ' αὐτὸς αὑτὸν ἐμφανίζει σοι λέγων.

XI

Stobaeus 57. p. 377.

Μακάριος, ὅστις εὐτυχῶν οἴκοι μένει.
ἐν γῇ δ' ὁ φόρτος καὶ πάλιν ναυτίλλεται.

V. 1. est apud Clement. Alex. Strom. VI. p. 620. ed. Sylb. et apud Stobaeum 37. p. 226.

XII

Stobaeus 38. p. 230.

Πατρὶς καλῶς πράσσουσα τὸν εὐτυχοῦντ' ἀεὶ
μείζω τίθησι, δυστυχοῦντα δ' ἀσθενῆ.

XIII

Hesychius, Αἴρειν νοεῖς: δοξάζειν ἡγῇ. Εὐριπίδης Φιλοκτήτῃ. Bekkeri Anecd. p. 359, 22. Αἰρεῖς: δοξάζεις, ἡγῇ.

XIV

Hesychius, Αἰάν: — Εὐριπίδης δὲ Φιλοκτήτῃ αἰῶνα τὴν ψυχὴν λέγει „Ἀπέπνευσεν αἰῶνα."

XV

Hesychius, Ἀκριβέςι ἄκρον, Εὐριπίδης Φιλοκτήτῃ.

## ΦΟΙΝΙΞ.

I

Stobaeus 69. p. 429.

Μοχθηρὸν ἐστιν ἀνδρὶ πρεσβύτῃ τέκνα
δίδωσιν, ὅστις οὐκέθ' ὡραῖος γαμεῖ·
δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή.

II

Stobaeus ibidem.

Πικρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ.

III

Stobaeus 115. p. 592.

Ὦ γῆρας, οἷον τοῖς ἔχουσιν εἶ κακόν.

IV

Aeschin. in Timarch. p. 154. Reisk. et in Stob. Append. vol. IV. p. 12. ed. Gaisf.

Ἤδη δὲ πολλῶν ᾑρέθην λόγων κριτής,
καὶ πόλλ' ἁμιλληθέντα μαρτύρων ὕπο
τἀναντί' ἔγνων συμφορᾶς μιᾶς πέρι.
κἀγὼ μὲν οὕτω χὤστις ἔστ' ἀνὴρ σοφὸς
λογίζομαι τἀληθὲς εἰς ἀνδρὸς φύσιν
σκοπῶν δίαιταν ἥντιν' ἐμπορεύεται.
ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ,
οὐ πώποτ' ἠρώτησα, γιγνώσκων ὅτι
τοιοῦτός ἐστιν, οἷσπερ ἥδεται ξυνών.

„V. 6. Stob. App. Flor. βλέπων pro σκοπῶν et ἱμερεύεται pro ἐμπορεύεται. „F. ἡμερεύεται." Gaisf. Boisson. δίαιτάν θ'. in eadem desunt vv. 7. 8. 9. quos citat Diod. Sic. XII, 14. Eosdem in Aeschinem retorquet Demosthen. π. παραπρ. p. 417, 17. ed. Reisk. His illa annexa habet Stob. App. Florent.

καὶ τῷδε δηλώσαιμ' ἄν, εἰ βούλοιο σύ,
τἀληθές, ὡς ἔγωγε χαὐτὸς ἄχθομαι,
ὅστις λέγειν μὲν εὐπρεπῶς ἐπίσταται,
τὰ δ' ἔργα χείρω τῶν λόγων παρέσχετο.

Sed hi versus seiungendi videntur Boissonadio."

MATTHIAE.

V

Clemens Alex. Strom. VI. p. 625 a. Εὐριπίδου δὲ γράφοντος ἐν τῷ Φοίνικι,

Τἀφανῆ τεκμηρίοισιν εἰκότως ἁλίσκεται.

Ὑπερίδης λέγει· ἃ δ' ἐστὶν ἀφανῆ ἀνάγκη τοὺς διδάσκοντας τεκμηρίοις καὶ τοῖς εἰκόσι ζητεῖν. A Clemente sumsit Theodoret. Therap. VI. p. 102, 12.

VI

Stobaeus 38. p. 222.

Φθόνον οὐ σέβω, φθονεῖσθαι δ' ἐθέλοιμ' ἂν ἐπ' ἐσθλοῖς.

VII

Stobaeus append. Flor. p. 11.

Οἱ πεῖραν οὐ δεδωκότες
μᾶλλον δοκοῦντες ἢ πεφυκότες σοφοί.

VIII

Erotianus p. 132. Διιπέτης, ἀντὶ τοῦ διαυγὴς καὶ καθαρός. ὡς καὶ Εὐριπίδης ἐν Φοίνικι λέγων „Δμωσὶ δ' ἐμοῖσιν εἶπον, ὡς ταυτηρίαις πυρίδες καὶ διιπέτη κτεῖναι." Quae sic emendavit Valck. Diatr. p. 274.

Δμωσὶν δ' ἐμοῖσιν εἶπον, ὡς κανστήρια
ἐς πῦρ ἔδει καὶ [ταῦτα] δὴ διιπετῆ
θεῖναι.

IX

Stobaeus 120. p. 608.

Καίτοι ποτ' εἴ τιν' εἰσίδοιμ' ἀνὰ πτόλιν
τυφλὸν προηγητῆρος ἐξηρτημένον,
εὐδαιμονῶν ταῖς συμφοραῖς ἐλοιδόρουν,
ὡς δειλὸς εἴη θάνατον ἐκποδὼν ἔχων.
καὶ νῦν λόγοισι τοῖς ἐμοῖς ἐναντίως
πέπτωχ' ὁ τλήμων. ὦ φιλόζωοι βροτοί,
οἳ τὴν ἐπιστείχουσαν ἡμέραν ἰδεῖν
ποθεῖτ' ἔχοντες μυρίων ἄχθος κακῶν.
οὕτως ἔρως βροτοῖσιν ἔγκειται βίου.
τὸ ζῆν γὰρ ἴσμεν· τοῦ θανεῖν δ' ἀπειρίᾳ
πᾶς τις φοβεῖται φῶς λιπεῖν τόδ' ἡλίου.

X

Stobaeus 39. p. 226.

Σὺ δ', ὦ πατρῴα χθὼν ἐμῶν γεννητόρων,
χαῖρ'· ἀνδρὶ γάρ τοι, κἂν ὑπερβάλλῃ κακοῖς,
οὐκ ἔστι τοῦ θρέψαντος ἥδιον πέδον.

XI

Stobaeus 71. p. 434.

Γυνὴ τε πάντων ἀγριώτατον κακόν.

XII

Stobaeus 88. p. 500.

Μέγιστον ἆρ' ἦν ἡ φύσις· τὸ γὰρ κακὸν
οὐδεὶς τρέφων εὖ χρηστὸν ἂν θείη ποτέ.

XIII

Hesychius, *Ἀμνήστευτος γυνή: ἡ παλλακή. Εὐριπίδης Φοίνικι.*

## ΦΡΙΞΟΣ.

Scholiastes Apollonii Rhod. II, 382. *Ὅτι δὲ ἡ νῆσος αὕτη ὄρνιθας ἔχει τοξευούσας τοῖς πτεροῖς ὡς βέλεσιν, ἱστορεῖ καὶ Εὐριπίδης ἐν Φρίξῳ.*

I

Aristoph. Ran. 1256.

*Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπὼν*
*Ἀγήνορος παῖς.*

ubi schol. *ἔστι δὲ τοῦ β' Φρίξου Εὐριπίδου ἡ ἀρχή· τὸ λοιπὸν δὲ τοῦ στίχου*

*ἔχει' ἐς Θήβης πέδον.*

Priorem versum memorant Lucian. Macrob. 23. Plutarchus Moral. p. 837 e. Hesychius, *Γλυκερῷ Σιδωνίῳ: δρᾶμα δέ ἐστιν, ἐν ᾧ τῆς θυμέλης ἄρχεται οὕτως*

*Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπὼν*
*Ἀγήνορος παῖς.*

*διεβεβόητο δὲ τὸ μέρος τοῦτο.*

II

Schol. Eurip. Phoen. 6. *Ἐν γοῦν τῷ Φρίξῳ φησὶν, ἦσαν γὰρ Ἀγήνορος παῖδες,*

*Κίλιξ, ἀφ' οὗ καὶ Κιλικία κικλήσκεται,*
*Φοίνιξ, ὅθενπερ τοὔνομ' ἡ χώρα φέρει*
*καὶ Θάσος.*

Ad hunc prologum Valckenarius refert versum, qui sine nomine auctoris legitur apud Plutarch. Moral. p. 607 b. *Καὶ ὁ τοῦ Διονύσου πάππος, ὃς ἐξεπέμφθη τὴν Εὐρώπην ἀνευρεῖν, οὐδὲ αὐτὸς ἐπανῆλθε,*

*Φοίνιξ πεφυκὼς, ἐκ δ' ὁρίζεται γένος*
*εἰς τὰς Θήβας παραγενόμενος.*

In eo pro *γένος* Valckenarius coniicit *χθονός.*

III

Eratosth. Cataster. 14. *Ταῦρος. οὗτος λέγεται ἐν τοῖς ἄστροις τεθῆναι, διὰ τὸ Εὐρώπην ἀγαγεῖν ἐκ Φοινίκης εἰς Κρήτην διὰ τοῦ πελάγους, ὡς Εὐριπίδης φησὶν ἐν τῷ Φρίξῳ.* Idem narrant schol. Germanic. Eudocia p. 392. et Hygin. poet. astron. 21. Cf. Malalae chron. 35.

IV

Etymol. M. p. 714, 17. *Σιροί: τὸ ἐπιτήδειον ἀγγεῖον εἰς ἀπόθεσιν πυρῶν καὶ τῶν ἄλλων ὀσπρίων. Ἀμμώνιος δὲ ἱστορεῖ ὡς οἱ Ἀττικοὶ ὀξύνοντες τὸ ὄνομα τὸ ι βραχύνουσι, καὶ ἡ τριβὴ τῆς ἀναγνώσεως ἐκτείνεται. εὑρίσκεται δὲ καὶ βραχὺ, ὡς παρ' Εὐριπίδῃ Φρίξῳ*

*Ἀνοῖξαι μὲν σιροὺς οὐκ ἠξίου.*

Cf. Draco de metr. p. 82. Versum explet MS. Leidensis apud Valck. Diatrib. p. 217. *καὶ μῶν ἄν,* unde Valckenarius

*Καὶ νῷν ἀνοῖξαι μὲν σιροὺς οὐκ ἠξίου.*

V

Stobaeus 71. p. 433.

*Ὡς οὐδὲν ὑγιὲς φασι μητρυιὰς φρονεῖν*
*νόθοισι παισίν· ὧν φυλάξομαι ψόγον.*

VI

Stobaeus 65. p. 411.

*Γυνὴ γὰρ ἐν κακοῖσι καὶ νόσοις πόσει*
*ἥδιστόν ἐστι, δώματ' ἢν οἰκῇ καλῶς,*
*ὀργήν τε πραΰνουσα καὶ δυσθυμίας*
*ψυχὴν μεθίστασ' · ἡδὺ κἀπάται φίλων.*

Eosdem versus affert Antipater apud Stob. ibid. p. 417. ubi *ἐν νόσοισι καὶ κακοῖς.*

VII

Stobaeus 72. p. 441.

*Δίκαι' ἔλεξε· χρὴ γὰρ εὐναίῳ πόσει*
*γυναῖκα κοινῇ τὰς τύχας φέρειν ἀεί.*

VIII

Sextus Empir. adv. Math. I, 13. 274. et 287. *Οὐν ἔστι καὶ τὸ παρὰ Εὐριπίδῃ λεχθὲν ἐν Φρίξῳ*

*ὅστις δὲ θνητῶν οἴεται καθ' ἡμέραν*
*κακόν τι πράσσων τοὺς θεοὺς λεληθέναι,*
*δοκεῖ πονηρὰ καὶ δοκῶν ἁλίσκεται,*
*ὅταν σχολὴν ἄγουσα τυγχάνῃ Δίκη.*

Iidem versus leguntur apud Clement. Alex. Strom. V. p. 606. C. D. Euseb. XIII, 13. p. 684. sed tanquam Diphili, Iustin. Mart. de monarch. p. 38 sq. Stob. ecl. phys. I. p. 110.

IX

Iustin. de monarch. p. 41 d.

*Εἰ δ' εὐσεβὴς ὢν τοῖσι δυσσεβεστάτοις*
*εἰς ταὔτ' ἔπρασσον, πῶς τάδ' ἂν καλῶς ἔχοι,*
*εἰ Ζεὺς ὁ λῷστος μηδὲν ἔνδικον φρονεῖ;*

X

Stobaeus 121. p. 613.

*Καὶ γὰρ πέφυκε τοῦτ' ἐν ἀνθρώπου φύσει·*
*ἢν καὶ δίκῃ θνήσκῃ τις, οὐχ ἧσσον ποθεῖ*
*πᾶς τις δακρύειν τοὺς προσήκοντας φίλοις.*

XI

Stobaeus 92. p. 511.

*Κρείσσων δὲ βαιὸς ὄλβος ἀβλαβὴς βροτοῖς,*
*ἢ δῶμα πλούτῳ δυσσεβῶς ὠγκωμένον.*

XII

Stobaeus 41. p. 239.

*Αἱ γὰρ πόλεις εἴσ' ἄνδρες, οὐκ ἐρημία.*

XIII

Stobaeus 8. p. 97.

*Ἀνὴρ δ' ὃς εἶναι φῄς, ἀνδρὸς οὐκ ἄξιον*
*δειλὸν κεκλῆσθαι καὶ νοσεῖν αἰσχρὰν νόσον.*

XIV

Stobaeus 119. p. 602.

*Τίς δ' οἶδεν εἰ ζῆν τοῦθ', ὃ κέκληται θανεῖν,*
*τὸ ζῆν δὲ θνήσκειν ἐστί· πλὴν ὅμως βροτῶν*
*νοσοῦσιν οἱ βλέποντες, οἱ δ' ὀλωλότες*
*οὐδὲν νοσοῦσιν οὐδὲ κέκτηνται κακά.*

„Cum alio fragmento e Polyido hoc confuderunt schol. Aristoph. Ran. 1114. 1525. schol. Plat. p. 119. et Polyidi fragm. cum loco Hippolyti v. 190 sqq. schol. Aristoph. ib. 1525. Vel in Polyido vel in Phrixo haec a muliere pronuntiata esse videntur, quia Aristoph. 1114. ex Euripide memorat *τὰς φασκούσας οὐ ζῆν τὸ ζῆν.* Ad eum locum schol. *Ὅτι παρὰ τὰ ἐκ Φρίξου Εὐριπίδου „Τίς δ' οἶδεν εἰ τὸ ζῆν —. ἀλλ' ὁ λέγων ἐστὶ Φρίξος. οὗτος δὲ ὡς παρὰ γυναικὸς εἶτα τὸ λέγει εἰρημένον. ἰδεῖν οὖν χρὴ μήποτε τὸν αὐτὸν νοῦν παρ' Εὐριπίδῃ γυνὴ λέγῃ, καὶ μήποτε τὸ ὑπὸ τῆς τροφοῦ ἐν Ἱππολύτῳ εἰρημένον· Ἀλλ' ὅ τι τοῦ ζῆν* [illegible] *τοῦ κ. τ. λ.* Quum is Phrixum pro Polyido commemoraverit, videndum ne *ὁ λέγων ἐστὶ Φρίξος* dixerit pro *ὁ λέγων ἐστὶ Πολύϊδος.*" MATTHIAE.

XV

Etym. M. p. 410, 43. *Τὸ προστακτικὸν ζῆ, ὡς παρ' Εὐριπίδῃ — ἐν Φρίξῳ*

*Δι' ἐλπίδος ζῆ καὶ δι' ἐλπίδος τρέφου.*

XVI

Athenaeus VI. p. 264 c. *Καὶ Εὐριπίδης δὲ ἐν Φρίξῳ λάτριας αὐτοὺς ὀνομάζει διὰ τούτων*

*Λάτρις πενέστης ἁμὸς ἀρχαίων δόμων.*

Hinc Eustath. p. 1090, 50.

XVII

Stobaeus 60. p. 384.

*Πολλοῖσι δούλοις τοὔνομ' αἰσχρὸν, ἡ δὲ φρὴν*
*τῶν οὐχὶ δούλων ἔστ' ἐλευθερωτέρα.*

XVIII

Photius, *Πώγωνα πυρός: τὴν ἀναφορὰν τοῦ πυρός. Εὐριπίδης Φρίξῳ.* Huc respexit Pollux II, 88.

---

## ΧΡΥΣΙΠΠΟΣ.

In Agathonis gratiam tragoediam scriptam esse narrat Aelian. V. H. II, 21.

I

Clem. Alex. Strom. II. p. 388 b. ed. Sylb. *Ὁ μὲν Λάϊος ἐκεῖνος κατὰ τὴν τραγῳδίαν φησὶν*

*Λέληθεν οὐδὲν τῶνδέ μ' ὧν σὺ νουθετεῖς,*
*γνώμην δ' ἔχοντά μ' ἡ φύσις βιάζεται.*

II

Plutarch. Moral. p. 446 a. *Αἱ δὲ τῆς ἀκρασίας (φωναὶ) γνώμην ἔχοντά μ' ἡ φύσις βιάζεται, καὶ*

*Αἰαῖ, τόδ' ἤδη θεῖον ἀνθρώποις κακὸν,*
*ὅταν τις εἰδῇ τἀγαθὸν, χρῆται δὲ μή.*

„Idem est apud Stobaeum 5. p. 63. ubi *τόδ' ἤδη θεῖον* legitur pro *τὸ δὴ θεῖον*, ut est etiam apud Plutarchum Moral. p. 33 e. Utrumque locum ex Euripidis Chrysippo esse probabile fit loco Alcinoi Isag. in Plat. c. 24. p. 52. ed. Oxon. citato a Valcken. p. 22." MATTHIAE.

III

Stobaeus 64. p. 409.

*Γνώμη σοφός μοι καὶ χέρ' ἀνδρείαν ἔχειν·*
*δύσμορφος εἴην μᾶλλον ἢ καλὸς κακός.*

IV

Stobaeus 103. p. 560.

*Ὦ δέσποτ', οὐδεὶς οἶδεν ἄνθρωπος γεγὼς*
*οὔτ' εὐτυχοῦς ἀριθμὸν οὔτε δυστυχοῦς.*

V

Plutarch. Moral. p. 750 a. *Τί οὐκ ἂν τις προσδοκήσειεν, εἰ καὶ Πρωτογένης ἔρωτι πολεμήσων πάρεστιν, ᾧ καὶ παιδιὰ πᾶσα καὶ σπουδὴ περὶ ἔρωτα καὶ δι' ἔρωτος λήθη μὲν λόγων, λήθη δὲ πάτρας οὐχ ὡς τῷ Λαΐῳ πέντε μόνον ἡμερῶν ἀπέχοντι τῆς πάτρας.* Hunc locum Musgravius ad Chrysippum retulit.

VI

Sextus Empir. adv. Mathem. VI, 17. p. 360. *Ὡσαύτως δὲ καὶ τὰ παρὰ τοῖς τραγικοῖς μέλη τὰ στάσιμα φυσικόν τινα ἐπέχοντα λόγον, ὁποῖά ἐστι τὰ οὕτω λεγόμενα*

*Γαῖα μεγίστη καὶ Διὸς αἰθὴρ,*
*ὁ μὲν ἀνθρώπων καὶ θεῶν γενέτωρ,*
*ἡ δ' ὑγροβόλους σταγόνας νοτίους*
*παραδεξαμένη τίκτει θνατοὺς,*
*τίκτει δὲ βορὰν, φῦλά τε θηρῶν,*
*ὅθεν οὐκ ἀδίκως*
*μήτηρ πάντων νενόμισται.*

His Grotius adiunxit quae sunt apud Philon. Iud. *π. ἀφθαρσίας κόσμου* p. 948 c. ed. Hoesch.

*Χωρεῖ δ' ὀπίσω τὰ μὲν ἐκ γαίας*
*φύντ' εἰς γαῖαν, τὰ δ' ἀπ' αἰθερίου*
*βλαστόντα γονῆς εἰς οὐράνιον*
*πόλον ἦλθε πάλιν· θνήσκει δ' οὐδὲν*
*τῶν γιγνομένων, διακρινόμενον δ'*
*ἄλλο πρὸς ἄλλου*
*μορφὴν ἰδίαν ἀπέδειξε.*

„Verba *τὰ μὲν ἐκ γαίας — πάλιν* perturbato ordine affert M. Antonin. VII, 50. *χωρεῖ δ'* usque ad *βλαστόντα γονῆς* Heraclid. alleg. Hom. p. 440 ed. Gale. V. 10. *βλαστάνοντα γῆς* Philo, et v. 13. *ἄλλο πρὸς ἄλλο* tribus locis. V. 11. a verbis *θνήσκει δ' οὐδέν* usque ad finem citat idem Philo p. 939 d. 963 e. Plutarch. Moral. p. 908 d. Clem. Alex. Strom. VI. p. 626. qui e Chrysippo petitos esse dicit." MATTHIAE. V. 14. *ἑτέραν* pro *ἰδίαν* Philo p. 963. et Clemens.

VII

Hesychius, *Ἐλάζων: εἶα ἐπικελεύων. Εὐριπίδης Χρυσίππῳ.*

---

## ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ.

I

Stobaeus eclog. phys. vol. I. p. 26. Lucian. Iup. trag. 41. Clemens Alex. Strom. p. 603 c. (unde Euseb. P. E. p. 681.) Athenag. leg. p. 5.

*Ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα*
*καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐς ἀγκάλαις.*
*τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ θεόν.*

Duos priores versus citat Plutarch. Moral. p. 601 a. p. 780 d. p. 919 b. Clem. Alex. admon. p. 15 d. Tertio utitur Lucian. Philop. T. IX. p. 248.

II

Plutarchus Moral. p. 549 a. Stobaeus ecl. phys. vol. I. p. 114, 21.

*Οὔτοι προσελθοῦσ' ἡ Δίκη σε — μὴ τρέσῃς —*
*παίσει προς ἧπαρ, οὐδὲ τῶν ἄλλων βροτῶν*
*τὸν ἄδικον, ἀλλὰ σῖγα καὶ βραδεῖ ποδὶ*
*στείχουσα μάρψει τοὺς κακοὺς, ὅταν τύχῃ.*

III

Stobaeus ecl. phys. vol. I. p. 126, 40.

*Συγγνώμονάς τοι τοὺς θεοὺς εἶναι δοκεῖς,*
*ὅταν τις ὅρκῳ θάνατον ἐκφυγεῖν θέλῃ,*
*ἢ δεσμὸν ἢ βίαια πολεμίων κακὰ,*
*ἢ παισὶν αὐθένταισι κοινωνῇ δόμων.*
*ἦ τἄρα θνητῶν εἰσιν ἀσυνετώτεροι,*
*εἰ τἀπιεικῆ πρόσθεν ἡγοῦνται δίκης.*

Tres priores versus sunt apud Stobaeum Floril. 28. p. 196.

IV.

Stobaeus ecl. phys. vol. I. p. 268. Athenaeus XIII. p. 599 f.

*Τὴν Ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός;*
*ἣν οὐδ' ἂν εἴποις οὐδὲ μετρήσειας ἂν*

*ὅση πέφυκε κἀφ' ὅσον διέρχεται.*
*αὕτη τρέφει σὲ κἀμὲ καὶ πάντας βροτούς.*
*τεκμήριον δὲ μὴ λόγῳ μόνον μάθῃς,*
*ἔργῳ δὲ δείξω τὸ σθένος τὸ τοῦ θεοῦ·*
*ἐρᾷ μὲν ὄμβρου γαῖ', ὅταν ξηρὸν πέδον*
*ἄκαρπον αὐχμῷ νοτίδος ἐνδεῶς ἔχῃ,*
*ἐρᾷ δ' ὁ σεμνὸς οὐρανὸς πληρούμενος*
*ὄμβρου πεσεῖν εἰς γαῖαν Ἀφροδίτης ὕπο.*
*ὅταν δὲ συμμιχθῆτον εἰς ταυτὸν δύο,*
*τίκτουσιν ἡμῖν πάντα κἀκτρέφουσ' ἅμα,*
*ὅθεν βρότειον ζῇ τε καὶ θάλλει γένος.*

**Euripidis locum esse testantur Athen. Aristot. Eth. Nicom. VIII, 1, 6. Magn. Moral. II, 11. Plutarch. Moral. p. 756 e. primo versui statim subiicit Hippolyti versus 449 sq. V. 3. est apud Plut. Moral. p. 442 c. V. 7. sqq. afferuntur ab Aristot. Eth. Nic. l. c. Eudem. VII, 1. Septem deinceps versus ex Athenaeo Eustathius p. 978, 23. Plutarchus Moral. p. 770 a.** *Οὕτω γὰρ ἐρᾶν ὄμβρου γαῖαν οἱ ποιηταὶ λέγουσι καὶ γῆς οὐρανόν.* **M. Antonin. X, 21.** *ἐρᾷ μὲν ὄμβρου γαῖα, ἐρᾷ δὲ σεμνὸς αἰθήρ.* **E Menandro citat schol. Hes. Theog. 138.**

**V**

**Stobaeus 1. p. 1.**

*Οὐκ ἔστιν ἀρετῆς κτῆμα τιμιώτερον·*
*οὐ γὰρ πέφυκε δοῦλον οὔτε χρημάτων*
*οὔτ' ἀσφαλείας οὔτε θωπείας ὄχλου. —*
*Ἀρετὴ δ', ὅσῳπερ μᾶλλον ἂν χρῆσθαι θέλῃς,*
*τοσῷδε μᾶλλον αὔξεται λειουμένη.*

**VI**

**Stobaeus ibidem.**

*Ἀρετὴ μέγιστον τῶν ἐν ἀνθρώποις καλόν.*

**VII**

**Stobaeus 4. p. 52.**

*Τὸ μὴ εἰδέναι σε μηδὲν ὧν ἁμαρτάνεις*
*ἔκκαυμα τόλμης ἱκανόν ἐστι καὶ θράσους.*

**VIII**

**Stobaeus ibidem p. 53.**

*Τὸ δ' ὠκὺ τοῦτο καὶ τὸ λαιψηρὸν φρενῶν*
*εἰς συμφορὰν ἵστησι πολλὰ δὴ βροτούς.*

**IX**

**Athenaeus XV. p. 665 a. Plutarch. Moral. p. 502 c. Stobaeus 4. p. 53.**

*Εἴ μοι τὸ Νεστόρειον εὔγλωσσον μέλος*
*Ἀντήνορός τε τοῦ Φρυγὸς δοίη θεός,*
*οὐκ ἂν δυναίμην μὴ στέγοντα πιμπλάναι*
*σοφοὺς ἐπαντλῶν ἀνδρὶ μὴ σοφῷ λόγους.*

**Duo priores versus servati sunt ab Athenaeo, unde sumsit Eustath. p. 1301, 37. duo sequentes a Plutarcho et Stobaeo. Utrumque locum coniunxit Musgr. auctore Athenaeo, qui post allatos illos versus addit,** — *δοίη θεός, κατὰ τὸν πάνσοφον Εὐριπίδην οὐκ ἂν δυναίμην ἀπομνημονεύειν* —.

**X**

**Stobaeus ibidem p. 53.**

*Εὖ γὰρ τόδ' ἴσθι, κεἴ σ' ἐλάνθανεν πάρος,*
*τὸ σκαιὸν εἶναι πρῶτ' ἀμουσίαν ἔχει.*

**XI**

**Plutarchus Moral. p. 36 c. Stobaeus 5. p. 63.**

*Ἐγὼ δ' οὐδὲν πρεσβύτερον*
*νομίζω τᾶς σωφροσύνας,*
*ἐπεὶ τοῖς ἀγαθοῖς ἀεὶ ξύνεστι.*

**XII**

**Athenaeus IV. p. 158 e. Gellius VII, 16.** *Ἔπει τί δεῖ βροτοῖσι κατὰ τὸν σὸν Εὐριπίδην, γραμματικώτατε, πλὴν δυοῖν μόνον,*

*Δήμητρος ἀκτῆς πώματός θ' ὑδρηχόου,*
*ἅπερ πάρεστι καὶ πέφυχ' ἡμᾶς τρέφειν;*
*ὧν οὐκ ἀπαρκεῖ πλησμονή· τρυφῇ γέ τοι*
*ἄλλων ἐδεστῶν μηχανὰς θηρεύομεν.*

**Duos priores versus affert Plutarch. Moral. p. 36 f. p. 1043 e. p. 1044 b. f. Stobaeus 5. p. 63. tres priores Sextus Emp. adv. Gramm. I. 271. p. 274. Musonius apud Stobaeum 38. p. 235. Eustath. p. 868, 33. Verba** *τρυφῇ γέ τοι* **cum v. quinto habet Teles apud Stobaeum 106. p. 575.**

**XIII**

**Stobaeus 9. p. 101.**

*Φεῦ φεῦ, τὸ νικᾶν τἄνδιχ' ὡς καλὸν γέρας,*
*τὰ μὴ δίκαια δ' ὡς ἁπανταχοῦ κακόν.*
*καὶ γλῶσσα φλαύρα καὶ φθόνος τοῦ μὴ φθονεῖν*
*ὅσῳ κάκιον μὴ καλῶς ὠγκωμένοις.*

**XIV**

**Stobaeus 12. p. 140.**

*Δύστηνος, ὅστις καὶ τὰ καλὰ ψευδῆ λέγων*
*οὐ τοῖσδε χρῆται τοῖς καλοῖς ἀληθέσιν.*

**XV**

**Stobaeus 13. p. 145.**

*Πότερα θέλεις σοι μαλθακὰ ψευδῆ λέγω,*
*ἢ σκλήρ' ἀληθῆ; φράζε· σὴ γὰρ ἡ κρίσις.*

**XVI**

**Stobaeus ibidem.**

*Ἀτὰρ σιωπᾶν τά γε δίκαι' οὐ χρή ποτε.*

**XVII**

**Stobaeus 22. p. 187.**

*Κρίνει τίς αὐτὸν πώποτ' ἄνθρωπον μέγαν*
*ὃν ἐξαλείφει πρόφασις ἡ τυχοῦσ' ὅλον;*

**XVIII**

**Stobaeus 29. p. 200.**

*Οὐκ αἰσχρὸν οὐδὲν τῶν ἀναγκαίων βροτοῖς.*

**XIX**

**Stobaeus 38. p. 234. Apostolius IV, 8.**

*Ἅπας μὲν ἀὴρ αἰετῷ περάσιμος,*
*ἅπασα δὲ χθὼν ἀνδρὶ γενναίῳ πατρίς.*

**XX**

**Stobaeus 41. p. 240.**

*Δεινὴ πόλις νοσοῦσ' ἀνευρίσκειν κακά.*

**XXI**

**Stobaeus ibidem.**

*Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον·*
*χρῆν γὰρ τύχας μὲν τὰς μάτην πλανωμένας*
*μηδὲν δύνασθαι, τἀμφανῆ δ' ὑψήλ' ἄγειν.*
*ὅστις κατ' ἰσχὺν πρῶτος ὠνομάζετο*
*ἢ τόξα πάλλων ἢ μάχῃ δορὸς σθένων,*
*τοῦτον τυραννεῖν τῶν κακιόνων ἐχρῆν.*

**XXII**

**Stobaeus ibidem.**

*Ἀλλ' οὔποτ' αὐτὸς ἀμπλακὼν ἄλλον βροτὸν*
*παραινέσαιμ' ἂν παισὶ προσθεῖναι κράτη,*
*πρὶν ἂν κατ' ὄσσων τυγχάνῃ μέλας σκότος,*
*εἰ χρὴ διελθεῖν πρὸς τέκνων νικώμενον.*

XXIII

Stobaeus 42. p. 276.

Ἄρχεσθαι χρεὼν
κακοὺς ὑπ' ἐσθλῶν καὶ κλύειν τῶν κρεισσόνων.

XXIV

Stobaeus 44. p. 307. Apostolius X, 94.

Ἐγὼ γὰρ ὅστις μὴ δίκαιος ὢν ἀνὴρ
βωμὸν προσίζει, τὸν νόμον χαίρειν ἐῶν
πρὸς τὴν δίκην ἄγοιμ' ἄν, οὐ τρέσας θεούς·
κακὸν γὰρ ἄνδρα χρὴ κακῶς πράσσειν ἀεί.

XXV

Stobaeus 46. p. 325.

Ἀλλ' οὐ πρέπει τύραννον, ὡς ἐγὼ φρονῶ,
οὐδ' ἄνδρα χρηστὸν νεῖκος αἱρεσθαι κακοῖς·
τιμὴ γὰρ αὕτη τοῖσιν ἀσθενεστέροις.

XXVI

Stobaeus 49. p. 355.

Σὺν τοῖσι δεινοῖς αὔξεται κλέος βροτοῖς.

XXVII

Stobaeus 65. p. 411.

Οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνὴ
ἐσθλὴ παραζευχθεῖσα καὶ σώζει δόμους.

XXVIII

Stobaeus 67. p. 422.

Οὐ πάντες οὔτε δυστυχοῦσιν ἐν γάμοις
οὔτ' εὐτυχοῦσι· συμφορὰ δ' ὃς ἂν τύχῃ
κακῆς γυναικὸς, εὐτυχεῖ δ' ἐσθλῆς τυχών.

XXIX

Stobaeus 67. p. 423.

Μακάριος, ὅστις εὐτυχεῖ γάμον λαβὼν
ἐσθλῆς γυναικὸς, εὐτυχεῖ δ' ὁ μὴ λαβών.

XXX

Stobaeus 49. p. 355.

Νεανίας γὰρ ὅστις ὢν Ἄρη στυγεῖ,
κόμη μόνον καὶ σάρκες, ἔργα δ' οὐδαμοῦ.
Ὁρᾷς τὸν εὐτράπεζον, ὡς ἡδὺς βίος,
ὅ τ' ὄλβος ἔξωθέν τίς ἐστι πραγμάτων.
ἀλλ' οὐκ ἔνεστι στέφανος οὐδ' εὐανδρία,
εἰ μή τι καὶ τολμῶσι κινδύνου μέτα.
οἱ γὰρ πόνοι τίκτουσι τὴν εὐανδρίαν,
ἡ δ' εὐλάβεια σκότον ἔχει καθ' Ἑλλάδα,
τὸ διαβιῶναι μόνον ἀεὶ θηρωμένη.

V. 3. citat Athen. XIV. p. 641 c. Ab eo vero novum fragm. incipere videtur.

XXXI

Stobaeus 69. p. 429.

α. Ἐγὼ παρέξω λέκτρα σοι καλῶς ἔχειν.
β. δίκαιόν ἐστιν, οἷσι συγγηράσομαι.

XXXII

Stobaeus 71. p. 431.

Δεινὴ μὲν ἀλκὴ κυμάτων θαλασσίων,
δειναὶ δὲ ποταμοῦ καὶ πυρὸς θερμοῦ πνοαὶ,
δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία,
ἀλλ' οὐδὲν οὕτω δεινὸν ὡς γυνὴ κακόν,
οὐδ' ἂν γένοιτο γράμμα τοιοῦτ' ἐν γραφῇ,
οὐδ' ἂν λόγος δείξειεν. εἰ δέ του θεῶν
τόδ' ἐστὶ πλάσμα, δημιουργὸς ὢν κακῶν
μέγιστος ἴστω καὶ βροτοῖσι δυσμενής.

V. 1. 2. Planudes vit. Aesopi p. 12. (28.) citat Πολλαὶ μὲν ὀργαὶ κυμάτων θαλαττίων, πολλαὶ δὲ ποταμῶν καὶ πυρὸς θερμοῦ πνοαί.

XXXIII

Stobaeus 71. p. 439.

Μοχθοῦμεν ἄλλως θῆλυ φρουροῦντες γένος·
ἥτις γὰρ αὐτὴ μὴ πέφυκεν ἔνδικος,
τί δεῖ φυλάσσειν κἀξαμαρτάνειν πλέον;

XXXIV

Stobaeus ibidem.

Γυναικὶ δ' ὄλβος, ἢν πόσιν στέργοντ' ἔχῃ.

XXXV

Stobaeus 77. p. 455.

Ἀλλ' ἔστ', ἐμοὶ μὲν οὗτος οὐκ ἔσται νόμος,
τὸ μὴ οὐ σὲ, μῆτερ, προσφιλῆ νέμειν ἀεὶ
καὶ τοῦ δικαίου καὶ τόκων τῶν σῶν χάριν.
στέργω δὲ τὸν φύσαντα τῶν πάντων βροτῶν
μάλισθ'· ὁρίζω τοῦτο, καὶ σὺ μὴ φθόνει·
κείνου γὰρ ἐξέβλαστον, οὐδ' ἂν εἷς ἀνὴρ
γυναικὸς αὐχήσειεν, ἀλλὰ τοῦ πατρός.

XXXVI

Stobaeus 79. p. 468.

Καὶ τῶν παλαιῶν πόλλ' ἔπη καλῶς ἔχει·
λόγος γὰρ ἐσθλὸς φάρμακον φόβου βροτοῖς.

XXXVII

Stobaeus 86. p. 497.

Εἰ τοῖς ἐν οἴκῳ χρήμασιν λελείμμεθα,
ἡ δ' εὐγένεια καὶ τὸ γενναῖον μένει.

Hinc sumsit auctor libelli inter Plutarcheos ὑπὲρ εὐγενείας vol. V. p. 964. Wyttenb.

XXXVIII

Stobaeus 88. p. 500.

Οὐ γάρ τις οὕτω παῖδας εὖ παιδεύσεται
ὥστ' ἐκ πονηρῶν μὴ οὐ κακοὺς πεφυκέναι.

XXXIX

Plutarchus Moral. p. 20 d. Stobaeus 91. p. 507.

α. Χρυσοῦ σὲ πλῆθει, τούσδε δ' οὐ χαίρειν χρεών;
β. σκαιὸν τὸ πλουτεῖν κἄλλ μηδὲν εἰδέναι.

XL

Stobaeus 97. p. 598.

Ὅστις δὲ λύπας φησὶ πημαίνειν βροτοὺς,
δεῖν δ' ἀγχονῶν τε καὶ πετρῶν ῥίπτειν ἄπο,
οὐκ ἐν σοφοῖσίν ἐστιν, εὐχέσθω δ' ὅμως
ἄπειρος εἶναι τῆς νόσου ταύτης ἀεί.

XLI

Stobaeus ibidem.

Λῦπαι γὰρ ἀνθρώποισι τίκτουσιν νόσους.

XLII

Stobaeus 100. p. 551.

Μέλλων τ' ἰατρὸς τῇ νόσῳ διδοὺς χρόνον
ἰάσατ' ἤδη μᾶλλον ἢ τεμὼν χρόα.

XLIII

Stobaeus 103. p. 560.

Οὐ χρή ποτ' ὀρθαῖς ἐν τύχαις βεβηκότα
ἕξειν τὸν αὐτὸν δαίμον' εἰσαεὶ δοκεῖν.
ὁ γάρ θεός πως, εἰ θεόν σφε χρὴ καλεῖν,
κάμνει ξυνὼν τὰ πολλὰ τοῖς αὐτοῖς ἀεί.
θνητῶν δὲ θνητὸς ὄλβος· οἱ δ' ὑπέρφρονες
καὶ τῷ παρόντι τοὐπιὸν πιστούμενοι
ἔλεγχον ἔλαβον τὴν τύχην ἐν τῷ παθεῖν.

XLIV

Stobaeus ibidem p. 562.

Βέβαια δ' οὐδεὶς θνητὸς εὐτυχεῖ γεγώς.

XLV

Stobaeus 106. p. 568.

*Θνητὸς γὰρ ὢν καὶ θνητὰ πείσεσθαι δοκεῖ.*
*θεοῦ βίον ζῆν ἀξιοῖς ἄνθρωπος ὤν;*

XLVI

**Stobaeus ibidem.**

*Πέπονθας οἷα χἄτεροι πολλοὶ βροτῶν·*
*τὰς γὰρ παρούσας οὐχὶ σώζοντες τύχας*
*ὤλοντ' ἐρῶντες μειζόνων ἀβουλίᾳ.*

XLVII

**Stobaeus 112. p. 583.**

*Οὐκ ἔστι λύπης ἄλλο φάρμακον βροτοῖς,*
*ὡς ἀνδρὸς ἐσθλοῦ καὶ φίλου παραίνεσις.*
*ὅστις δὲ ταύτῃ τῇ νόσῳ ξυνὼν ἀνὴρ*
*μέθῃ ταράσσει καὶ γαληνίζει φρένα,*
*πάραυτα δ' ἡσθεὶς ὕστερον στένει διπλᾶ.*

XLVIII

**Stobaeus 115. p. 590.**

*Ὦ γῆρας, οἵαν ἐλπίδ' ἡδονῆς ἔχεις;*
*καὶ πᾶς τις εἰς σὲ βούλετ' ἀνθρώπων μολεῖν·*
*λαβὼν δὲ πεῖραν μεταμέλειαν λαμβάνει·*
*ὡς οὐδέν ἐστι χεῖρον ἐν θνητῷ γένει.*

XLIX

**Stobaeus 125. p. 620.**

*Τύμβῳ γὰρ οὐδεὶς πιστὸς ἀνθρώπων φίλος.*

L

**Stobaeus ibidem p. 621.**

*Ὡς σκαιὸς ἀνὴρ καὶ ξένοισιν ἄξενος*
*καὶ μνημονεύων οὐδὲν ὢν ἐχρῆν φίλον.*

LI

**Stobaeus ibidem.**

*Σπάνιον δ' ἄρ' ἦν θανοῦσιν ἀσφαλεῖς φίλοι,*
*κἂν ὁμόθεν ὦσι· τὸ γὰρ ἔχειν πλέον κρατεῖ*
*τῆς εὐσεβείας· ἡ δ' ἐν ὀφθαλμοῖς χάρις*
*ἀπόλωλ', ὅταν τις ἐκ δόμων ἔλθῃ.*

LII

**A. Melissa I, 72. Maxim. T. II. p. 615. Combef.**

*Οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον οὐδενί.*

LIII

**Anton. Mel. II, 71. Maxim. T. II. p. 634.**

*Θράσει μὲν οὐδεὶς οὐδέπω, πόνῳ δὲ καὶ*
*γενναιότητι κἀπιεικείᾳ*
*ἀρετὴν ἐπεκτήσατο.*

LIV

**Plat. epist. I. p. 309 d.** *Καί μοι τὸ τοῦ Εὐριπίδου κατὰ καιρόν ἐστιν εἰπεῖν, ὅτι σοι πραγμάτων ἄλλων ποτὲ ξυμπεσόντων*
*Εὔξει τοιοῦτον ἄνδρα σοι παρεστάναι.*

LV

**Aristot. Ethic. Nicom. V. 9.** *Ἀπορήσειε δ' ἄν τις, εἰ ἱκανῶς διώρισται περὶ τοῦ ἀδικεῖσθαι καὶ τοῦ ἀδικεῖν· πρῶτον μὲν εἰ ἔστιν ὥσπερ Εὐριπίδης εἴρηκε, λέγων ἀτόπως·*
*Μητέρα κατέκτα τὴν ἐμήν· βραχὺς λόγος·*
*ἑκὼν ἑκοῦσαν, ἢ θέλουσαν οὐχ ἑκών.*

„**Michael. Ephesium et Scholiastam Paris. hos versus e Bellerophonte esse dicere didici e Zellii comment. p. 191. Equidem non video quomodo in Belleroph. locum habere potuerint. Iidem afferuntur ab Aristot. Ethic. Eudem. IV, 7. Boisson.** *κατέκταν.*" MATTHIAE.

LVI

**Aristot. Polit. V. 7, 22.** *Ζῇ ἐν ταῖς τοιαύταις δημοκρατίαις ἕκαστος ὡς βούλεται, καὶ εἰς ὃ χρῄζων, ὥς φησιν Εὐριπίδης.*

LVII

**Plutarchus Moral. p. 480 d.**

*Χαλεποὶ πόλεμοι γὰρ ἀδελφῶν.*

LVIII

**Aristot. Ethic. Eudem. VIII, 11.**

*Λόγον δίκαιον μισθὸν ἂν λόγου φέροις,*
*ἔργων δ' ἐκεῖνος ἔργ' ἃ καὶ παρέσχετο.*

LIX a

**Strabo VIII. p. 379.** *Τοῦ δ' οὖν Εὐριπίδου φήσαντος οὕτως „Ἥκω περίκλυστον προλιποῦσ' ἀκρ[illegible] Κόρινθον ἱερὸν ὄχθον πόλιν Ἀφροδίτας" τὸ περίκλυστον ἤτοι κατὰ βάθους λεκτέον, ἐπεὶ καὶ φρέατα καὶ ὑπόνομοι λιβάδες διήκουσι δι' αὐτῆς, ἢ τ[illegible] παλαιὸν ὑποληπτέον τὴν Πειρήνην ἐπιπολάζειν καὶ κατάρρυτον ποιεῖν τὸ ὄρος.* **Eumdem locum respexit Plutarch. Moral. p. 767 f.** *ἐπεὶ δ' Ἔρως ἔθιγεν αὐτῆς Ἱππολόχου τοῦ Θεσσαλοῦ, ὕδατι χλωρῷ κατακλυζόμενον προλιποῦσ' Ἀκροκόρινθον, καὶ ἀποδρᾶσασα ᾤχετο κοσμίως —.*

LIX b

**Cicero Ep. ad Fam. XVI, 8.**

*Ψῦχος δὲ λεπτῷ χρωτὶ πολεμιώτατον.*

LX

**Cicero ad Att. VIII, 8. Clem. Alex. Strom. VI. p. 670 b. Suidas v.** *παλαμᾶσθαι,*

*Πρὸς ταῦθ' ὅ τι χρὴ καὶ παλαμάσθω,*
*καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθω·*
*τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον*
*σύμμαχον ἔσται,*
*κοὐ μή ποθ' ἁλῶ κακὰ πράσσων.*

„**Totum locum citat Suid. v.** *παλαμᾶσθαι* **et Clem. Alex. sed sine nomine auctoris. Nec Cicero, qui haec usque ad vv.** *τὸ γὰρ εὖ μετ' ἐμοῦ* **affert, nominat auctorem, quem Euripidem esse ex uno Suida v.** *εὐκατον* **colligitur,** *καὶ Εὐριπίδης· οὐ μή ποθ' ἁλῶ κακὰ πράσσων.* **Eum paulum mutatum in Acharnensibus transsumsit Aristoph. 659. V. 3.** *τὸ γὰρ εὖ μετ' ἐμοῦ.* **Cicero affert etiam ad Att. VI, 1.**" MATTHIAE.

LXI

**Dionys. Halic. de compos. v. p. 54. ed. Schaef.** *Καλῶς ἂν ἔχοι τὰ Εὐριπίδεια ταῦτα ἐπενεγκεῖν:*

*Μή μοι*
*λεπτῶν θίγγανε μύθων, ψυχή.*
*τί περισσὰ φρονεῖς; εἰ μὴ μέλλεις*
*σεμνύνεσθαι παρ' ὁμοίοις.*

LXII

**Dionys. Hal. ib. p. 426.** *Ἐκ δὲ τῆς ποιήσεως τῆς ἰαμβικῆς τὰ Εὐριπίδου ταυτὶ*

*Ὦ γαῖα πατρὶς, ἣν Πέλοψ ὁρίζεται,*
*χαῖρ'*

*τὸ πρῶτον ἄχρι τούτου κῶλον.*

*ὅς τε πέτρον Ἀρκάδων δυσχείμερον*
*Πὰν ἐμβατεύεις*

*τὸ δεύτερον μέχρι τοῦδε.*

*ἔνθεν εὔχομαι γένος.*

*τοῦτο τρίτον. τὰ μὲν πρότερα μείζονα στίχου, τοῦτο δὲ ἔλαττον.*

*Αὔγη γὰρ Ἀλέου παῖς με τῷ Τιρυνθίῳ*
*τίκτει λαθραίως Ἡρακλεῖ·*

μετὰ τοῦτο „ξύνοιδ' ὄρος Παρθένιον" οὐδέτερον αὐτῶν στίχῳ συμμετρούμενον. εἶτ' αὖθις ἕτερον στίχου τε ἔλαττον καὶ στίχου μεῖζον
ἔνθα μητέρ' ὠδίνων ἐμὴν
ἔλυσεν Εἰλείθυια
καὶ τὰ ἑξῆς τούτων παραπλήσια.

LXIII

Polybius V, 106. Οὐ γὰρ οἶδ' ὅπως ἀεί ποτε Πελοποννήσιοι — κατὰ τὸν Εὐριπίδην ἦσαν ἀεὶ τλημόχθοί τινες κοὔποθ' ἥσυχοι δορί.

LXIV

Strabo IV. p. 183. — Τοσοῦτον ἀπειργάσατο φθόνον Ἑλλήνων τε καὶ βαρβάρων, ὅπερ Εὐριπίδης ἐνήνεγκεν εἰς τὸν Δία
Ζεὺς γὰρ κακὸν μὲν Τρωσί, πῆμα δ' Ἑλλάδι
θέλων γενέσθαι ταῦτ' ἐβούλευσεν πατήρ.

LXV

Strabo XIII. p. 616. — Ὁ δὲ Κάϊκος οὐκ ἀπὸ τῆς Ἴδης ῥεῖ, καθάπερ εἴρηκε Βακχυλίδης, οὐδ' ὡς Εὐριπίδης τὸν Μαρσύαν φησὶ
τὰς διωνομασμένας
ναίειν Κελαινὰς ἐσχάτοις Ἴδης τόποις.
πολὺ γὰρ τῆς Ἴδης ἄπωθέν εἰσιν αἱ Κελαιναί.

LXVI

Theophilus ad Autolyc. II. p. 252. ed. Wolf. Ὡσαύτως καὶ Εὐριπίδης
Ἀνέχου πάσχων· δρῶν γὰρ ἔχαιρες.
Νόμος τὸν ἐχθρὸν δρᾶν, ὅπου λάβῃς, κακῶς.
καὶ πάλιν ὁ αὐτὸς
Ἐχθρὸν κακῶς δρᾶν ἀνδρὸς ἡγοῦμαι μέρος.

LXVII

Theophil. p. 87. Ὁμοίως καὶ Εὐριπίδης
Οὐκ ἔστιν οὐδὲν χωρὶς ἀνθρώποις θεοῦ.
καὶ πάλιν Εὐριπίδης
Σῶσαι γὰρ ὁπόταν τῷ θεῷ δοκῇ * *
πολλὰς προφάσεις δίδωσιν εἰς σωτηρίαν.
v. 2. Grotius πολλὴν δίδωσι πρόφασιν.

LXVIII

Ibidem, Ὅθεν Εὐριπίδης ὁμολογεῖ λέγων
Σπουδάζομεν δὲ πόλλ' ὑπ' ἐλπίδων μάτην
πόνους ἔχοντες, οὐδὲν εἰδότες.

LXIX

Aristoteles Phys. II, 2.
Ἔχει τελευτὴν ἧσπερ οὕνεκ' ἐγένετο.

LXX

Plutarchus Vit. p. 90 d. Τῷ μὲν γὰρ Λυκούργῳ καὶ πόλιν οἰκοῦντι καθαρὰν ὄχλου ξενικοῦ καὶ χώραν κεκτημένῳ πολλοῖς πολλήν, δὶς τοσοῖσδε πλείονα, κατ' Εὐριπίδην, — καλῶς εἶχεν - συνέχειν. Musgravius πολλοῖσι πολλήν, δὶς τοσ. πλ.

LXXI

Plutarchus Moral. p. 24 d.
Εἰ δὲ θανεῖν θέμις, ὧδε θανεῖν καλὸν
εἰς ἀρετὴν καταλυσαμένους βίον.
Euripidis versus esse intelligitur ex eiusd. Vit. p. 317 e. Ἄριστον μὲν γὰρ νικῶντα σώζεσθαι τὸν στρατηγὸν καὶ ἀποθανεῖν εἰς ἀρετὴν καταλύσαντα βίον, ὡς Εὐριπίδης φησίν.

LXXII

Plutarchus Vit. p. 695 c. Moral. p. 1128 a. Cicero epist. famil. XIII, 15.
Μισῶ σοφιστὴν ὅστις οὐχ αὑτῷ σοφός.
Cic. ep. fam. VII, 6. *Quoniam Medeam agere coepi, illud semper memento: Qui ipse sibi sapiens prodesse non quit, nequidquam sapit.* quem versum idem Ennio tribuit Offic. III. 15, 62.

LXXIII

Plutarchus Vit. p. 956 e. Οὐδὲ γεγανωμένος καὶ ἀνθηρὸς ἐπὶ τὰς μάχας ἐκ τῆς γυναικωνίτιδος προῄει, κοιμίζων δὲ τοὺς θιάσους καὶ τὰ βακχεῖα καταπαύων, „ἀμφίπολος Ἄρεος ἀνιέρου" κατὰ τὸν Εὐριπίδην ἐγίνετο.

LXXIV

Plutarchus Vit. p. 184 b. Οὐ μόνον δ' ἦν ἄρα τὸ φίλων πεῖραν λαβεῖν, ὡς Εὐριπίδης φησίν, οὐ σμικρὸν κακόν, ἀλλὰ καὶ τὸ φρονίμων στρατηγῶν.

LXXV

Plutarchus Moral. p. 20 f. 431 a. Stobaeus 3. p. 35.
Πολλαῖσι μορφαῖς οἱ θεοὶ σοφισμάτων
σφάλλουσιν ἡμᾶς κρείσσονες πεφυκότες.

LXXVI

Plutarchus Moral. p. 34 b. 106 d. Clemens Alex. Strom. IV. p. 494 b. Philo Iud. p. 808. Cicero ad Att. IX, 2.
Τίς δ' ἐστὶ δοῦλος τοῦ θανεῖν ἄφροντις ὤν;

LXXVII

Plutarchus Moral. p. 36 c. Τιμᾶν τ' ἀντέτασθε, πλούτῳ δ' ἀρετὰν κατεργάσασθαι δοκεῖτ', ἐν ἐσθλοῖς δὲ καθήσεσθ' ἄνολβοι.

LXXVIII

Plutarchus Moral. p. 102 b. (et v. 2. 3. p. 69 d.)
Κατὰ γὰρ τὸν σοφὸν Εὐριπίδην
Ἀλλ' ἄλλ' ἐπ' ἄλλῃ φάρμακον κεῖται νόσῳ·
λυπουμένῳ μὲν μῦθος εὐμενὴς φίλων,
ἄγαν δὲ μωραίνοντι νουθετήματα.

LXXIX

Plutarchus Moral. p. 84 f. Vit. p. 658 d.
Φεῦ, τοῖσι γενναίοισιν ὡς ἅπαν καλόν.

LXXX

Plutarchus Moral. p. 116 f. Epictet. enchir. extr.
Ὅστις δ' ἀνάγκῃ συγκεχώρηκεν βροτῶν,
σοφὸς παρ' ἡμῖν καὶ τὰ θεῖ' ἐπίσταται.

LXXXI

Plutarchus Moral. p. 120 a. Ὁ βίος γάρ, φησὶν Εὐριπίδης, ὄνομ' ἔχει, πόνος ἐγώ σ'.

LXXXII

Plutarchus Moral. p. 132 b. Πρὸς δὲ τὸν οἶνον, ὅπερ Εὐριπίδης πρὸς τὴν Ἀφροδίτην διαλεκτέον
Εἴης μοι μέτριον δέ πως
εἴης, μηδ' ἀπολείποις.
Valckenario Plutarchus accommodate ad propositum suum scripsisse videtur εἴης μοι μέτριον δέπας, quum Euripides scripsisset εἴης μοι μετρία θεός vel simile quid.

LXXXIII

Plutarchus Moral. p. 379 d. Ἕλληνες μὲν ἔν γε τούτοις λέγουσιν ὀρθῶς καὶ νομίζουσιν ἱερὸν Ἀφροδίτης ζῷον εἶναι τὴν περιστεράν, καὶ τὸν δράκοντα τῆς Ἀθηνᾶς καὶ τὸν κόρακα τοῦ Ἀπόλλωνος, καὶ τὸν κύνα τῆς Ἀρτέμιδος, ὡς Εὐριπίδης,

*Ἑκάτης ἄγαλμα φωσφόρου κύων ἔσει.* Euripidem ridet Aristophanes ap. Eustath. p. 1467, 36. *Καὶ κύων ἀκράχολος Ἑκάτης ἄγαλμα φωσφόρου γενήσομαι.*

LXXXIV

Plutarchus Moral. p. 416 d. *Ἡ δὲ φύσις αἰσθητὰς εἰκόνας ἐξέθηκε καὶ ὁμοιότητας ὁρωμένας, θεῶν μὲν ἥλιον καὶ ἄστρα, θνητῶν δὲ σέλα καὶ κομήτας καὶ διάττοντας, ὡς Εὐριπίδης εἴκασεν ἐν οἷς εἶπεν,*

*Ὁ δ' ἄρτι θάλλων σῶμα, διοπετὴς ὅπως*
*ἀστὴρ ἀπέσβη, πνεῦμ' ἀφεὶς ἐς αἰθέρα.*

LXXXV

Plutarchus Moral. p. 432 c. *Οὐ γάρ, ὡς Εὐριπίδης φησί,*

*μάντις ἄριστος ὅστις εἰκάζει καλῶς.*

LXXXVI

Plutarchus Moral. p. 464 a. 811 d. *Ὁ τοῦ κόσμου βασιλεύς,*

*τῶν ἄγαν γὰρ ἅπτεται*
*θεός, τὰ μικρὰ δ' εἰς τύχην ἀφεὶς ἐᾷ.*

LXXXVII

Plutarchus Moral. p. 526 c. *Οὐ γὰρ μόνον κατὰ τὸν Εὐριπίδην*

*ἀκόλαστα πάντη γίγνεται δούλων τέκνα,*
*ἀλλὰ καὶ μικρολόγων.*

LXXXVIII

Plutarchus Moral. p. 532 f. *Τὴν γὰρ σιωπὴν ὁ μὲν Εὐριπίδης φησὶ τοῖς σοφοῖς ἀπόκρισιν εἶναι.*

LXXXIX

Plutarchus Moral. p. 539 b. *Εὐριπίδης εἰπών,*

*Εἰ δ' ἦσαν ἀνθρώποισιν ὠνητοὶ λόγοι,*
*οὐδεὶς ἂν αὐτὸν εὖ λέγειν ἐβούλετο·*
*νῦν δ', ἐκ βαθείας γὰρ πάρεστιν αἰθέρος*
*λαβεῖν ἀμισθί, πᾶς τις ἥδεται λέγων*
*τά τ' ὄντα καὶ μή· ζημίαν γὰρ οὐκ ἔχει.*

XC

Plutarchus Moral. p. 699 a. *Εὐριπίδης δὲ σαφῶς δήπου λέγων,*

*Οἶνος περάσας πλευμόνων διαρροὰς*

*δῆλός ἐστιν Ἐρασιστράτου βλέπων τι ὀξύτερον.* Versum citat Macrob. Saturn. VII, 15.

XCI

Plutarchus Moral. p. 713 d. *Οὐ γὰρ μόνον ὅσοι τὴν σωτηρίαν οἴκοι καὶ παρ' αὑτῶν ἔχοντες*

*ἄλλην θέλουσιν εἰσαγώγιμον λαβεῖν,*

*ὡς Εὐριπίδης εἶπεν, ἀβέλτεροί εἰσιν.*

XCII

Plutarchus Moral. p. 755 b. *Τὸν Ζεύξιππον ὁ πατὴρ ἔφη γελάσαι καὶ εἰπεῖν, ἅτε δὴ καὶ φιλευριπίδην ὄντα*

*Πλούτῳ χλιδῶσα θνητὰ δή, γύναι, φρονεῖς.*

XCIII

Plutarchus Moral. p. 802 a.

*Εἶθ' ἦν ἄφωνον σπέρμα δυστήνων βροτῶν.*

XCIV

Plutarchus Moral. p. 812 e.

*Τέκτων γὰρ ὢν ἔπρασσες οὐ ξυλουργικά.*

XCV

Plutarchus Moral. p. 965 e. *Γέγονεν (ὁμολογία περὶ τάξεως) πολλὴν παρασχοῦσα φιλονεικίαν· ὡς κατ' Εὐριπίδην*

*Ὁ τῆς Τύχης παῖς κλῆρος ἐπὶ τούτῳ ταγεὶς*
*τὰ χερσαῖα προεισάγει δίκαια τῶν ἐνάλων.* Eadem respicit Plutarch. p. 644 d.

XCVI

Plutarchus Moral. p. 1028 f. *Εἰ δὲ ὀρθῶς ὁ Εὐριπίδης διορίζεται, θέρους τέσσαρας μῆνας καὶ χειμῶνος ἴσους,*

*Φίλης τ' ὀπώρας διπτύχους ἦρός τ' ἴσους*
*ἐν τῷ διὰ πασῶν αἱ ὧραι μεταβάλλουσιν.*

XCVII

Plutarchus Moral. p. 1040 b. *Οὕτω δὲ διασύρας τὰ τοῦ Πλάτωνος ἐπαινεῖ πάλιν ἐν ἄλλοις καὶ περιφέρεται τὰ Εὐριπίδου ταυτὶ πολλάκις*

*ἀλλ' ἔστιν, εἴ τις ἐγγελᾷ λόγῳ,*
*Ζεὺς καὶ θεοὶ βρότεια λεύσσοντες πάθη.*

XCVIII

Clemens Alex. protrept. p. 50. ed. Sylb. *Τότε δ' ἐμμανῆ εἰσάγων Ἡρακλέα (Εὐριπίδης) καὶ μεθύοντα ἀλλαχόθι καὶ ἄπληστον· πῶς γὰρ οὐχί; ὃς ἑστιώμενος τοῖς κρέασι*

*Χλωρὰ σῦκ' ἐπήσθιεν,*
*ἄμουσ' ὑλακτῶν, ὥστε βαρβάρῳ μαθεῖν.*

Athen. VII. p. 276 f. *οἷος ἦν Ἡρακλῆς, ὃς τοῖς βοείοις κρέασιν ἐπήσθιε σῦκα χλωρά.* supplevit Musgrav.

*Κρέασι βοείοις χλωρὰ σῦκ' ἐπήσθιεν.*

Verba *ἄμουσ' ὑλακτῶν* sunt etiam Alcest. 777.

XCIX

Clemens Alex. Strom. III. p. 455. *Λέγει γοῦν ἡ τραγῳδία*

*Τὸ μὴ γενέσθαι κρεῖσσον ἢ φῦναι βροτοῖς.*
*ἔπειτα παῖδας σὺν πικραῖς ἀλγηδόσι*
*τίκτω· τεκοῦσα δ', ἢν μὲν ἄφρονας τέκω,*
*στένω ματαίως, εἰσορῶσα μὲν κακούς,*
*χρηστοὺς δ' ἀπολέσασ'· ἢν δὲ καὶ σεσωσμένους,*
*τήκω τάλαιναν καρδίαν ὀρρωδίᾳ.*
*τί τοῦτο δὴ τὸ χρηστόν; οὐκ ἀρκεῖ μίαν*
*ψυχὴν ἀπολύειν, κἀπὶ τοῦδ' ἔχειν πόνους;*

*καὶ ἔθ' ὁμοίως,*

*Ἔμοιγε νῦν τε καὶ πάλαι δοκεῖ*
*παῖδας φυτεύειν οὔποτ' ἀνθρώπους ἐχρῆν,*
*πόνους ὁρῶντας εἰς ὅσους φυτεύομεν.*

*ἐν δὲ τοῖς αὖθις λεγομένοις καὶ τὴν αἰτίαν τῶν κακῶν ἐναργῶς ἐπὶ τὰς ἀρχὰς ἐπανάγει λέγων ὧδε·*

*Ὦ δυστυχεῖν φὺς καὶ κακῶς πεπραγέναι,*
*ἄνθρωπος ἐγένου, καὶ τὸ δυστυχὲς βίου*
*ἐκεῖθεν ἔλαβες, ὅθεν ἅπασιν ἤρξατο*
*τρέφειν ὅδ' αἰθήρ, ἐνδιδοὺς θνητοῖς πνοάς·*
*μή νυν τὰ θνητὰ θνητὸς ὢν ἀγνωμόνει.*

C

Clemens Alex. Strom. IV. p. 524. *Φιλάνδρου τε σεμνότητος ὑπογράφει γυναῖκα Εὐριπίδης πως*

*Εὐλογεῖν δ', ὅταν τι λέξῃ, χρὴ δοκεῖν, κἂν μὴ λέγῃ,*
*κἀκπονεῖν ἂν τῷ ξυνόντι πρὸς χάριν μέλῃ λέγειν.*

*καὶ αὖθις που τούτοις τὰ ὅμοια*

Ἡδὺ δ', ἤν κακόν τι πράξῃ, συσκυθρωπάζειν πόσει
ἄλοχον, ἐν κοινῷ τε λύπης ἡδονῆς τ' ἔχειν μέρος.

τό τε πρᾶον καὶ φιλόστοργον ὡδέ πως ὑποδεικνύων, κἂν ταῖς συμφοραῖς ἐπιφέρει·

Σοὶ δ' ἔγωγε καὶ νοσοῦντι συννοσοῦσ' ἀνέξομαι,
καὶ κακῶν τῶν σῶν συνοίσω, κοὐδέν ἐστί μοι πικρόν.

μετὰ γὰρ τῶν φίλων εὐτυχεῖν τι χρή — τί γὰρ δὴ τὸ φίλον ἄλλο, πλὴν τόδε; — χρὴ δὲ τὸν εὐδαίμονα γάμον οὔτε πλούτῳ ποτὲ οὔτε κάλλει κρίνεσθαι, ἀλλ' ἀρετῇ.

Οὐδεμίαν, φησὶν ἡ τραγῳδία, ὤνησε κάλλος εἰς πόσιν ξυνάορον,
ἀρετὴ δ' ὤνησε πολλάς· πᾶσα γὰρ ἀγαθὴ γυνή,
ἥτις ἀνδρὶ συντέτηκε, σωφρονεῖν ἐπίσταται.

εἶτα οἷον παραινέσεις διδοῦσά φησι

Πρῶτα μέν γε τοῦθ' ὑπάρχει· κἂν ἄμορφος ᾖ πόσις,
χρὴ δοκεῖν εὔμορφον εἶναι τῇ γε νοῦν κεκτημένῃ·
οὐ γὰρ ὀφθαλμὸς τὸ κρῖνόν ἐστιν, ἀλλὰ νοῦς.

CI

Clemens Alex. Strom. IV. p. 536 d.

Ὄλβιος ὅστις τῆς ἱστορίας
ἔσχε μάθησιν, μήτε πολιτῶν
ἐπὶ πημοσύνῃ μήτ' εἰς ἀδίκους
πράξεις ὁρμῶν,
ἀλλ' ἀθανάτου καθορῶν φύσεως
κόσμον ἀγήρω, πῇ τε συνέστη
καὶ ὅπῃ καὶ ὅπως.
τοῖς δὲ τοιούτοις οὐδέποτ' αἰσχρῶν
ἔργων μελέτημα προσίζει.

V. 2—6. Themistius p. 307 ed. Hard. V. 6. κόσμον ἀγήρω Pollux II, 14.

CII

Clemens Alex. Strom. IV. p. 543 b. Ὁ μὲν οὖν Εὐριπίδης

Χρύσεαι δή μοι πτέρυγες περὶ νώτῳ, φησί,
καὶ τὰ Σειρήνων ἐρόεντα πέδιλα
ἁρμόζεται·
βάσομαί τ' ἐς αἰθέρα πολὺν
ἀερθεὶς, Ζηνὶ προσμίξων.

Τὰς Εὐριπίδου χρυσᾶς πτέρυγας hinc commemorat Plutarch. Moral. p. 786 d.

CIII

Clemens Alex. Strom. V. p. 581 e. Πάνυ θαυμαστῶς ὁ ἐπὶ τῆς σκηνῆς φιλόσοφος Εὐριπίδης τοῖς προειρημένοις ἡμῖν συνῳδὸς διὰ τούτων εὑρίσκεται, πατέρα καὶ υἱὸν ἅμα οὐκ οἶδ' ὅπως αἰνισσόμενος

Σοί, τῷ πάντων μεδέοντι, χοὴν
πέλανόν τε φέρω, Ζεὺς εἴτ' Ἀΐδης
ὀνομαζόμενος στέργεις· σὺ δέ μοι
θυσίαν ἄπυρον παγκαρπείας
δέξαι πλήρη προχυθεῖσαν.

ὁλοκάρπωμα γὰρ ὑπὲρ ἡμῶν ἄπυρον θῦμα ὁ Χριστός. καὶ ὅτι τὸν σωτῆρα αὐτὸς οὐκ εἰδὼς λέγει, σαφὲς ποιήσει ἐπάγων

Σὺ γὰρ ἔν τε θεοῖς τοῖς οὐρανίδαις
σκῆπτρον τὸ Διὸς μεταχειρίζων
χθονίων θ' Ἅιδῃ μετέχεις ἀρχῆς.

ἔπειτα ἄντικρυς λέγει

Πέμψον μὲν φῶς ψυχαῖς ἀνέρων
τοῖς βουλομένοις ἄθλους προμαθεῖν,
πόθεν ἔβλαστον, τίς ῥίζα κακῶν,
τίνα δεῖ μακάρων ἐκθυσαμένους
εὑρεῖν μόχθων ἀνάπαυλαν.

CIV

Clemens Alex. Strom. V. p. 584 b. Παγκάλως τοίνυν καὶ ὁ Εὐριπίδης συνᾴδει τούτοις γράφων

Ποῖος δ' ἂν οἶκος, τεκτόνων πλασθεὶς ὕπο,
δέμας τὸ θεῖον περιβάλοι τοίχων πτυχαῖς;

CV

Clemens Alex. Strom. VI. p. 620 b. Ἐπιχάρμου τε εἰπόντος, — ὁ μὲν γὰρ ἄλλην δῆτα λαμβάνει Νεάνιδ', ἄλλον δ' ἄλλη μαστεύει τινά, Εὐριπίδης γράφει

Κακὸν γυναῖκα πρὸς νέον ζεῦξαι γραῖαν·
ὁ μὲν γὰρ ἄλλης λέκτρον ἱμείρει λαβεῖν,
ἡ δ' ἐνδεὴς τοῦδ' οὖσα βουλεύει κακά.

CVI

Clemens Alex. Strom. V. p. 613 d. Ὁ τοίνυν μὴ πειθόμενος τῇ ἀληθείᾳ, διδασκαλίᾳ δ' ἀνθρωπίνῃ τετυφωμένος δυσδαίμων ἄθλιός τε καὶ κατὰ τὸν Εὐριπίδην

Ὃς τάδε λεύσσων θεὸν οὐχὶ νοεῖ,
μετεωρολόγων δ' ἑκὰς ἔρριψεν
σκολιὰς ἀπάτας, ὧν ἀτηρὰ
γλῶσσ' εἰκοβολεῖ περὶ τῶν ἀφανῶν,
οὐδὲν γνώμης μετέχουσα.

CVII

Clemens Alex. Strom. VI. p. 622 b. (coll. Athenaeo X. p. 422 b.) Ὁμήρου λέγοντος, Γαστέρα δ' οὔπως ἔστιν ἀποπλῆσαι μεμαυῖαν, Οὐλομένην, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσιν, Εὐριπίδης ποιεῖ

Νικᾷ δὲ χρεία μ' ἡ κακῶς τ' ὀλουμένη
γαστήρ, ἀφ' ἧς δὴ πάντα γίγνεται κακά.

CVIII

Clemens Alex. Strom. VI. p. 623 a. Αὖθις Εὐριπίδου εἰπόντος

Ὦ πολύμοχθος βιοτὰ θνητοῖς,
ὡς ἐπὶ παντὶ σφαλερὰ κεῖσαι,
καὶ τὰ μὲν αὔξεις, τὰ δ' ἀποφθινύθεις,
κοὐκ ἔστιν ὅρος κείμενος οὐδεὶς,
εἰς ὅντινα χρὴ τελέσαι θνητοῖς,
πλὴν ὅταν ἔλθῃ κρυερὰ Διόθεν
θανάτου πεμφθεῖσα τελευτή.

CIX

Clemens Alex. Strom. VI. p. 627 a. Τοῦ ἰατροῦ Ἱπποκράτους, Ἐπιβλέπειν οὖν καὶ ὥρην καὶ χώρην καὶ ἡλικίην καὶ νούσους, γράφοντος, Εὐριπίδης ἐν ἐξαμέτρῳ χρῆσει

Ὅσοι δ' ἰατρεύειν καλῶς,
πρὸς τὰς διαίτας τῶν ἐνοικούντων πόλιν
τὴν γῆν τ' ἰδόντας, τὰς νόσους σκοπεῖν χρεών.

CX

Phurnutus de nat. d. 20. p. 184. ed. Gale.

Κορυφὴ δὲ θεῶν, κατ' Εὐριπίδην, ὁ περὶ χθόν' ἔχων
φαεινὸς αἰθήρ.

CXI

**Athenaeus IV. p. 158 f.** *Κἂν ἄλλοις δέ φησιν ὁ σκηνικὸς οὗτος φιλόσοφος*

*Ἀρκεῖ μετρία βιοτά μοι σώφρονος τραπέζης,*
*τὸ δ' ἄκαιρον ἅπαν τόδ' ὑπερβάλλον τε μὴ*
*προσείμαν.*

CXII

**Athenaeus VI. p. 270 c.** *Ἐν κενῇ γὰρ γαστρὶ τῶν καλῶν ἔρως Οὐκ ἔστι· πεινῶσιν γὰρ ἡ Κύπρις πικρὰ, Ἀχαιός φησιν ἐν Αἴθωνι σατυρικῷ. παρ' οὗ ὁ σοφὸς Εὐριπίδης λαβὼν ἔφη*

*Ἐν πλησμονῇ τοι Κύπρις, ἐν πεινῶντι δ' οὔ.*

*πεινῶσι* schol. Soph. Antig. 781. Ex Athenaeo Eustathius p. 1596, 45. Versum laudat Libanius vol. III. p. 389, 25. Reisk. Themist. p. 164, 6. Huc respexit etiam Antiphanes ap. Athen. I. p. 28 f. *Ἐν πλησμονῇ γάρ Κύπρις, ἐν δὲ τοῖς κακῶς Πράσσουσιν οὐκ ἔνεστιν Ἀφροδίτη βροτοῖς.* Plutarchus Moral. p. 126 c. *Οὐ γὰρ ἐν πλησμοναῖς Κύπρις, ἀλλὰ μᾶλλον ἐν εὐδίᾳ σαρκὸς καὶ γαλήνῃ.*

CXIII

**Athenaeus XIII. p. 561 a.** *Ἐν οἷς τινὲς καὶ ἐμνημόνευσαν τοῦ σκηνικοῦ φιλοσόφου Εὐριπίδου ᾀσμάτων, ὧν ἦν καὶ τάδε*

*Παίδευμα δ' Ἔρως σοφίας ἀρετῆς*
*πλεῖστον ὑπάρχει, καὶ προσομιλεῖν*
*οὗτος ὁ δαίμων*
*πάντων ἥδιστος ἔφυ θνητοῖς.*
*καὶ γὰρ ἄλυπον τέρψιν τιν' ἔχων*
*εἰς ἐλπίδ' ἄγει.*
*τοῖς δ' ἀτελέστοις τῶν τοῦδε πόνων*
*μήτε συνείην, χωρίς τ' ἀγρίων*
*ναίοιμι τρόπων.*
*τὸ δ' ἐρᾶν προλέγω τοῖσι νέοισιν*
*μή ποτε φεύγειν,*
*χρῆσθαι δ' ὀρθῶς, ὅταν ἔλθῃ.*

CXIV

**Galenus vol. I. p. 16. ed. Kühn.** *Εἶτα καὶ τῷ γήρᾳ λοιδοροῦνται, δέον ἑαυτοῖς, καὶ τὸν Εὐριπίδην ἐπαινοῦσι λέγοντα*

*Οὐ γάρ ἐστιν ἀσφαλὲς*
*περαιτέρω τὸ κάλλος ἢ μέσως λαβεῖν.*

CXV

**Athenaeus XI. p. 465 b.** *Διόπερ καὶ Εὐριπίδης ἕνα τῶν τοῦ Ἡλίου ἵππων φησὶν εἶναι*

*Βακχίου φιλανθέος*
*Αἴθοπα, πεπαίνοντ' ὀρχάτους ὀπωρινούς·*
*ἐξ οὗ βροτοὶ καλοῦσιν οἶνον αἴθοπα.*

CXVI

**Aelianus XII, 15.** *Ἔπαιζε δὲ ἄρα ὁ Διὸς καὶ Ἀλκμήνης μετὰ παιδίων πάνυ σφόδρα. τοῦτό τοι καὶ ὁ Εὐριπίδης ἡμῖν ὑπαινίττεται, ποιήσας τὸν αὐτὸν τοῦτον θεὸν λέγοντα*

*Παίζω· μεταβολὰς γὰρ πόνων ἀεὶ φιλῶ.*

CXVII

**Aelianus IV, 54.** *Ὅμηρος μὲν οὖν ἔδωκεν ἵππῳ φωνήν, ἀσπίδι δὲ ἡ φύσις, ἧ νόμων οὐδὲν μέλει, φησὶν Εὐριπίδης.* Alio verba deflexit Anaxandrides apud Aristot. Eth. Nicom. VII, 10. *ἡ πόλις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει.*

CXIII

**Aelianus N. A. XIV, 6.** de lynce: *Ἔοικε δὲ ἄρα τῷ θηρίῳ τούτῳ μαρτυρεῖν καὶ Εὐριπίδης τὸ ἀγρίωπον οὖν, ὅταν που λέγῃ*

*Ἥκει δ' ἐπ' ὤμοις ἢ συὸς φέρων βάρος,*
*ἢ τὴν ἄμορφον λύγγα, δύστοκον δάκος.*

*ὑπὲρ ὅτου δὲ λέγει δύστοκον τοὺς κριτικοὺς ἐρέσθαι λῷον.*

CXIX

**Dio Chrysost. or. 64. p. 594 c.** *Εὐριπίδης τὸν ναύτην μέμφεται, ἀωρὶ πόντου κύματ' εὐρέος περῶντα, καὶ διὰ τῶν ἑξῆς ἐπιτίμα λέγων*

*Σμικραῖς ἐπιτρέπουσιν αὐτοὺς ἐλπίσιν.*

CXX

**Macrobius Saturn. I, 17.** *Est et alia ratio draconis peremti: nam solis meatus, licet ab ecliptica linea nunquam recedat, sursum tamen ac deorsum ventorum vices certa deflexione variando, iter suum velut flexum draconis involvit; unde Euripides*

*Πυριγενὴς δὲ δράκων ὁδὸν ἡγεῖται τετραμόρφοις*
*ὥραις, ζευγνὺς ἁρμονίᾳ πολύκαρπον ὄχημα.*

*Sub hac ergo appellatione coelestis itineris sol quum confecisset suum cursum, draconem confecisse dicebatur.*

CXXI

**Macrobius Saturn. I, 23.**

*Καὶ Γαῖα μῆτερ· Ἑστίαν δέ σ' οἱ σοφοὶ*
*βροτῶν καλοῦσιν, ἡμένην ἐν αἰθέρι.*

CXXII

**Lucianus Necyom. vol. I. p. 456.** *Φιλ. Ἡράκλεις· ἐλελήθει Μένιππος ἡμᾶς ἀποθανών· κᾆτ' ἐξ ὑπαρχῆς ἀναβεβίωκεν;*

*Μεν. Οὔκ, ἀλλ' ἔτ' ἔμπνουν Ἀΐδης μ' ἐδέξατο.*

„Euripidis autem versum esse probabile tantum est ex eo, quod, quum Menippus primum initium Hecubae recitasset, deinde hunc versum, tum Andromedae locum, denique versus duos Homericos Od. λ, 163. ut pergit: *νεωστὶ γὰρ Εὐριπίδῃ καὶ Ὁμήρῳ συγγενόμενος, οὐκ οἶδ' ὅπως ἀνεπλήσθην τῶν ἐπῶν, καὶ αὐτόματά μοι τὰ μέτρα ἐπὶ τὸ στόμα ἔρχεται.*" MATTHIAE.

CXXIII

**Lucianus T. I. p. 573.** *Λουκ. Οἴμοι τῶν κακῶν. ὁ μὲν Ὅμηρος ἡμῖν ἄπρακτος, ἡ μεγίστη ἐλπίς. ἐπὶ τὸν Εὐριπίδην δή μοι καταφευκτέον· τάχα γὰρ ἂν ἐκεῖνος σώσειέ με.*

*Μὴ κτεῖνε· τὸν ἱκέτην γὰρ οὐ θέμις κτανεῖν.*

*Πλάτ. Τί δέ; οὐχὶ κἀκεῖνα Εὐριπίδου ἐστίν;*

*Οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους.*

*Λουκ.*

*Νῦν οὖν ἕκατι ῥημάτων κτενεῖτέ με;*

CXXIV

**Aristides I. p. 247 sq. Iebb.** *Πέλαγος δὲ οὐδέπω διὰ τέλους ᾖσεν οὔτε ποιητὴς οὔτε λογοποιός· ἀλλ' Ὅμηρος λέγει ἰοειδέα πόντον καὶ οἴνοπα πόντον, καὶ Εὐριπίδης „Ἅλα πορφυρέην."*

CXXV

**Porphyrius de abstin. III, 25. p. 135.** *Συγγενὲς ἡμῖν τὸ τῶν λοιπῶν ζώων γένος· καὶ γὰρ …*

πᾶσαι αἱ αὐταὶ πᾶσιν αὐταῖς καὶ πνεύματα, ὡς Εὐριπίδης καὶ

φοινίους ἔχει ῥοὰς
τὰ ζῶα πάντα·

καὶ κοινοὺς ἁπάντων δείκνυσι γονεῖς, Οὐρανὸν καὶ Γῆν.

CXXVI

Alexander rh. p. 23. ed. Norrmann.

Ἀλλ' ἥδε μ' ἐξέσωσεν, ἥδε μοι τροφὸς,
μήτηρ, ἀδελφὴ, δμωὶς, ἄγκυρα, στέγη.

CXXVII

Athenag. p. 28. ed. Colon.

Πολλάκι μοι πραπίδων διῆλθε φροντὶς
εἴτε τύχα * εἴτε δαίμων
τὰ βρότεια κραίνει.
* παρά τ' ἐλπίδα καὶ παρὰ δίκαν
τοὺς μὲν ἀπ' οἴκων ἀναπίπτοντας
ἄτερ βίου, τοὺς δ' εὐτυχοῦντας ἄγει.

·ὸ παρ' ἐλπίδα καὶ δίκην εὖ πράττειν ἢ κακῶς ἐν ·ὑφασίᾳ τὸν Εὐριπίδην ἐποίησε, τίνος ἡ τοιαύτη ·ῶν περιγείων διοίκησις, ἐν ᾗ εἴποι τις ἄν,

Πῶς οὖν τάδ' εἰσορῶντες ἢ θεῶν γένος
εἶναι λέγωμεν, ἢ νόμοισι χρώμεθα;

CXXVIII

Schol. Pindari Nem. VI, 7. θεὸς γάρ τις ἐν ἡμῖν ·ατὰ τὸν Εὐριπίδην. Cic. Tusc. I, 26. *Ergo animus, ·t ego dico, divinus est, ut Euripides audet dicere, ·eus.*

CXXIX

Priscianus XVII. p. 63. ed. Krehl. *In una autem ·idemque persona possessor simul et possessio intransi·ve intelligi non potest, nisi figurate dicat aliquis,* ·eus ego sum et servus et dominus, *et similia. Per·us:* Vindicta postquam meus a praetore recessi; *et ·uripides:*

Ἐγὼ δ' ἐμὸς εἰμί.

CXXX

Priscianus XVIII. p. 179. *Latini* despero illam ·m. — Εὐριπίδης

Οὐχ ἑσπέρας φάσ', ἀλλὰ καὶ μεσημβρίας —
τούτους ἀφεστήκασιν ἡμέραν τρίτην.

CXXXI

Achilles Tat. in Arat. Phaen. 19. p. 91. ed. Vict. · anno

Ὀθούνεκ' αὐτὸς πάντα συλλαβὼν ἔχει.

CXXXII

Schol. Arist. Plut. 521. Suid. v. ἀνδραποδίζω. ·hol. Eurip. Phoen. 1408.

Πολλοὶ παρῆσαν, ἀλλ' ἄπιστοι Θεσσαλοί.

·c schol. Arist. et Suid. sed schol. Eurip. Πολλοὶ ·ὰρ εἰσὶν, ἀλλ' ἄπιστα Θεσσαλοῖς, ubi cod. Aug. ·λ' ἄπιστοι Θεσσαλεῖς. ἄπιστα Θεσσαλῶν Hem·erhusius.

CXXXIII

Schol. Arist. Nub. 30. Εὐριπίδης

Τί χρέος ἔβα δῶμα;

CXXXIV

Schol. Arist. Nub. 138. Τηλοῦ γὰρ οἰκῶ τῶν ·γρῶν: λέγεται γὰρ αὐτὸ παρὰ τὸ Εὐριπίδειον

Τηλοῦ γὰρ οἴκων βίοτον ἐξιδρυσάμην.

CXXXV

Schol. Arist. Ran. 64. ἢ 'τέρᾳ φράσω: ἔστι δὲ ἡμιστίχιον ἐξ Εὐριπίδου.

CXXXVI

Schol. Arist. Equ. 753. Hephaest. p. 94. ed. Gaisf. de vers. asynartetis: Ἄλλο τὸ καλούμενον Εὐριπίδειον τεσσαρεσκαιδεκασύλλαβον, οἷον παρὰ μὲν αὐτῷ Εὐριπίδῃ

Ἑῷος ἡνίχ' ἱππότας ἐξέλαμψεν ἀστήρ.

CXXXVII

Schol. Arist. Ran. 864. Ἄληθες, ὦ παῖ τῆς ἀρουραίας θεοῦ: εἴρηται δὲ ὁ στίχος παρὰ τῷ Εὐριπίδῃ

Ἄληθες, ὦ παῖ τῆς θαλασσίας θεοῦ;

Sermo spectat ad Achillem.

CXXXVIII

Schol. Aristoph. Thesm. 600. Br. κρυπτός: ἀντὶ τοῦ κεκρυμμένος. καλοῦνται μὲν γὰρ καὶ κρυπτοὶ παρὰ Πλάτωνι τῷ φιλοσόφῳ καὶ παρ' Εὐριπίδῃ.

CXXXIX

Aristoph. Lysistr. 714.

Ἀλλ' αἰσχρὸν εἰπεῖν καὶ σιωπῆσαι βαρύ.

ubi schol. ἐξ Εὐριπίδου.

CXL

Schol. Aeschyli Eumen. 272. Οἱ ἐναγεῖς οὔτε ἐν τῷ ἱερῷ προσήεσαν οὔτε προσέβλεπον, οὐδὲ διελέγοντό τινι. καὶ παρ' Εὐριπίδῃ

Τί σιγᾷς; μῶν φόνον τιν' εἰργάσω;

CXLI

Schol. Soph. Aiac. 833. Καὶ παρ' Εὐριπίδῃ

Ὁ δ' ἐσφάδαζεν, οὐκ ἔχων ἀπαλλαγάς.

CXLII

Schol. Pindari Pyth. IV, 71. Ἐπειδὴ οἱ οἰκέται τῶν δεσποτῶν τοὺς πόνους διαλύουσι τῇ θεραπείᾳ, λυσιπόνους αὐτοὺς ἐκάλεσεν, ὡς Εὐριπίδης·

Δοῦλοισι γάρ τοι ζῶμεν οἵ γ' ἐλεύθεροι.

CXLIII

Schol. Pindari Nem. I, 13. Καὶ Εὐριπίδης

Τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν.

CXLIV

Pollux VII, 31. Κλωστήρ. οὕτω δὲ καὶ τὴν περιστροφὴν τοῦ λίνου Εὐριπίδης ὠνόμασεν

Λίνου κλωστῆρα περιφέρει λαβών.

CXLV

Pollux X, 27. Τῷ δὲ κλεῖσαι ἴσον καὶ τὸ πακτοῦν καὶ τὸ ἐπιπακτοῦν τὰς θύρας ἐστὶν, ὥσπερ τῷ ἀνοίγειν ταυτὸν τὸ λύειν, ὡς ἔφη Εὐριπίδης

Λῦε πακτὰ δωμάτων.

Fortasse hinc expressum hemistichium Aristophanis Acharn. 479. κλεῖε πακτὰ δωμάτων.

CXLVI

Phrynich. Bekkeri p. 6, 1. Ἀκύμων θάλασσα: Εὐριπίδης ἐπὶ τοῦ μὴ γεννᾶν τέθεικεν, ὡσανεὶ ἀγόνου. ὡσαύτως καὶ Ἀριστοφάνης. λέγεται δὲ καὶ ἀκύματος.

ἀκύματος δὲ πορθμὸς ἐν φρίκῃ γελᾷ.

CXLVII

Schol. Apoll. Rh. I, 1280. Εὐριπίδης δὲ ἐπὶ τῆς σελήνης ἐχρήσατο (τῷ γλαυκῶπις) εἰπὼν „Γλαυκῶπίς τε στρέφεται μήνη.“

CXLVIII

Schol. Apoll. Rh. IV, 71. *Ἤπειρος λέγεται πᾶσα γῆ καταχρηστικῶς· κυρίως δὲ ἡ εἰς ἄπειρον ἐκβάλλουσα, ὡς φανερὸν Εὐριπίδης πεποίηκεν·*

*Ἤπειρον εἰς ἄπειρον ἐκβάλλων χθόνα.*

Similiter Suidas v. ἤπειρος, Photius, Bachmann. anecd. gr. I. p. 251, 23. Idem fortasse versus est Etymol. Gud. p. 247, 5. *Καὶ Εὐριπίδης φησὶν*

*Ἤπειρον εἰς ἄπειρον ἐξεπλεύσαμεν.*

CXLIX

Suidas, *Εὐριπίδειον ἔπος, τοῦ Εὐριπίδου· καὶ Εὐριπίδειος λόγος ὁμοίως. ἔφη Εὐριπίδης*

*Ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσιν βρύων.*

Versum aliquoties, sed sine auctoris nomine, citat Plutarchus Moral. p. 71 f. 88 d. 481 a. 1110 e. Cf. Eustath. p. 887, 5.

CL

Etymol. M. p. 112, 26. 487, 35.

*Κρήμνη σεαυτὴν ἐκ μέσης ἀντηρίδος.*

Sic versus scribitur altero loco; in priore *κρημνίσαι αὐτὴν ἐκ μ. ἀ.* Cf. Eustath. p. 903, 51. 1003, 24.

CLI

Etymol. M. p. 271 sq. *Διαψαίρουσι — Εὐριπίδης ἐπὶ τοῦ καθαίρειν, οἷον*

*Γλώσσῃ διαψαίρουσα μυκτήρων τόπους.*

CLII

Etymol. M. p. 693, 52. *Τρέφοιν, ὡς Εὐριπίδης,*

*Ἄφρων ἂν εἴην, εἰ τρέφοιν τὰ τῶν πέλας.*

*γίνεται οὕτως· ἔστι τρέφοιμι, τρέφοι, πλεονασμῷ τοῦ η Ἀττικῶς, τρεφοίης, τρεφοίην, καὶ συγκοπῇ τοῦ η.*

CLIII

Zenobius V, 93. *Σὺν Ἀθηνᾷ καὶ χεῖρα κίνει: παροιμία ἐπὶ τοῦ μὴ χρῆναι ἐπὶ ταῖς τῶν θεῶν ἐλπίσι καθημένους ἀργεῖν. τίθεται δὲ ἡ παροιμία ἐπὶ γυναικῶν καὶ μάλιστα ὀφειλουσῶν ἐργάζεσθαι. ἡ γὰρ Ἀθηνᾶ ἐργάνη. — μέμνηται ταύτης τῆς παροιμίας Εὐριπίδης.*

CLIV

Proverb. Append. Vatic. II, 57. et Photius. *Λίθων χοαί; ἄργυρος καὶ χρυσός. καὶ γὰρ Εὐριπίδης*

*Λευκοὺς λίθους ἔχοντες αὐχοῦσιν μέγα.*

CLV

Apostolius X, 6.

*Ἢ φρονεῖν ἐλάσσονα*

*ἢ δύνασθαι δεῖ σε μείζον'.*

CLVI

Apostolius XIX, 98.

*Φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός.*

[Vide ad Aeschyli fragm. 277. G. DINDORF.]

CLVII

Eustathius p. 429, 50. *Φέρεται δ' ἐν τοῖς τοῦ γραμματικοῦ Ἀριστοφάνους καὶ περὶ οἰκετῶν λόγος, ὅτι οὐ μόνον οἱ κατ' ἀγροὺς ὑπουργοὶ οὕτως ἐλέγοντο, ἀλλὰ καὶ οἱ ἐν οἰκίαις ἐλεύθεροι, ὡς ἂν εἴποι τις, οἰκῆται, μεταλήψει τοῦ η. παράγει δὲ αὐτὸς καὶ παροιμίαν ἐξ Εὐριπίδου λέγουσαν*

*Ἔνδον γυναικῶν καὶ παρ' οἰκέτας λόγος.*

*ἤγουν ἐν τοῖς κατ' οἰκίαν λαλητέον ἂν εἴη τὰς γυναῖκας, ἔξω δὲ οὐκ ἐξιτέον, οὐδὲ ἀλλοτρίων παρόντων λυτέον τὴν λαλιάν.*

CLVIII

Schol. Il. ζ, 239. *Παρὰ γοῦν Αἰσχύλῳ οὕτως εὕρομεν „οὔτε δῆμος οὔτ' ἔτης ἀνήρ" καὶ παρ' Εὐριπίδῃ τὸ*

*Πόλει μὲν ἄρχων, φωτὶ δ' οὐκ ἔτῃ πρέπων.*

Vid. Eustath. p. 641, 59.

CLIX

Schol. Eur. Or. 883. *Ἐπὶ τὸν εὐτυχῆ: καὶ ἐν ἄλλοις κατὰ τῶν κηρύκων λέγει ὅτι*

*ἀεί ποτε * σπέρμα κηρύκων λάλον.*

Musgr. *ἀεί ποτ' ἐστί.*

CLX

Theopompus apud Athen. IV. p. 165 b. *Καὶ Θεόπομπος δ' ἐν Ὀδυσσεῖ ἔφη, Εὐριπίδου κάλλιστον οὐ κακῶς ἔχον,*

*τἀλλότρια δειπνεῖν τὸν καλῶς εὐδαίμονα.*

CLXI

Antiphanes apud Athen. X. p. 446 a. *Παραδίδου δ' ἑξῆς ἐμοὶ οἶνον ἀρκεσίγυιον, ὡς ἔφασκ' Εὐριπίδης.* Hinc Eustath. p. 761, 30.

CLXII

Aeschin. in Timarch. p. 18, 15. H. Steph. p. 141. Reisk. *Εὑρήσετε τὸν Εὐριπίδην ἀποφαινόμενον τὴν θεὸν ταύτην οὐ μόνον τοὺς ζῶντας ἐμφανίζειν δυναμένην, ὁποῖοί τινες ἂν τυγχάνωσιν ὄντες, ἀλλὰ καὶ τοὺς τετελευτηκότας, ὅταν λέγῃ*

*Φήμη τὸν ἐσθλὸν κἂν μυχῷ δείκνυσι γῆς.*

Eumdem versum afferens Suid. v. *φήμη* habet *ἐν μυχοῖς.*

CLXIII

Antonius Meliss. ed. Wechel. p. 807. et S. Maxim. T. II. p. 684. ed. Combefis.

*Βέβαιον οὐδέν ἐστιν ἐν θνητῶν γένει·*

*βιοῖ γὰρ οὐδεὶς ὃν προαιρεῖται τρόπον.*

CLXIV

Stobaeus 20. p. 172.

*Ὀργαὶ γὰρ ἀνθρώποισι συμφορᾶς ὕπο*

*δειναί, πλάνος τε καρδίᾳ προσίσταται.*

CLXV

Stobaeus 20. p. 171.

*Πόλλ' ἔστιν ὀργῆς τῆς ἀπαιδεύτου κακά.*

CLXVI

Stobaeus 20. p. 173.

*Ἐν τοῖς κακοῖσι συγγένει' ὅταν παρῇ*

*τραχεῖα κὠξύθυμος, ἀμαθίαν ἔχει.*

CLXVII

Stobaeus 37. p. 226.

*Μὴ κάμνε πατρίδα σὴν λαβεῖν πειρώμενος.*

CLXVIII

Stobaeus 77. p. 454. inter duos locos Euripideos alterum ex Heraclidis, alterum ex Erechtheo desumtum

*Καὶ τοῖς τεκοῦσιν ἀξίαν τιμὴν νέμειν.*

CLXIX

Liban. epist. 487. nr. 10. *Ἐπαινῶν Εὐριπίδην λέγοντα νοῦν ἔχοντος εἶναι*

*φίλον πρίασθαι χρημάτων πολλῶν σαφῆ.*

CLXX

Plutarchus Moral. p. 102 f. *Τῶν μὲν γὰρ καλῶς λεγομένων ἐστὶν ἐν ὑποθήκης μέρει καὶ τοῦτο*

*Μηδ' εὐτύχημα μηδὲν ὧδ' ἔστω μέγα,*
*ὅ σ' ἐξεπαίρῃ μεῖζον ἢ χρεὼν φρονεῖν,*
*μηδ', ἄν τι συμβῇ δυσχερὲς, δουλοῦ πάλιν,*
*ἀλλ' αὐτὸς ἀεὶ μίμνε, τὴν σαυτοῦ φύσιν*
*σώζων βεβαίως, ὥστε χρυσὸς ἐν πυρί.*

Libanius epist. 471. *Τοῦτον οὔτε εὐτυχία πώποτε ἐπῆρεν, ἐν δυστυχίᾳ τε οὐκ ἔπτηξεν, Εὐριπίδου μεμνημένος.*

CLXXI

Excerpta e Diodori Sic. l. VII — X. c. XX. p. 18. ed. Rom. p. 20. ed. Dindorf. *Τὸ δὲ ἐγγύα παρὰ δ' ἄτα τινὲς ὑπέλαβον γάμον ἀπαγορεύειν· τὴν γὰρ τοῦ γάμου σύνθεσιν παρὰ τοῖς πλείστοις τῶν Ἑλλήνων ἐγγύην ὀνομάζεσθαι. καὶ βεβαιωτὴς ὁ κοινὸς βίος, ἐν ᾧ πλεῖσται καὶ μέγισται γίνονται συμφοραὶ διὰ τὰς γυναῖκας. ἔνιοι δέ φασιν ἀνάξιον εἶναι Χίλωνα διὰ τὸ μὴ δύνασθαι ἀναιρουμένου τοῦ γάμου διαμένειν τὸν βίον. τὴν δὲ ἄτην ἀποφαίνονται ἐγγύαις ταῖς ἐπὶ τῶν συμβολαίων καὶ τοῖς ὑπὲρ τῶν ἄλλων διομολογήσεσι περὶ χρημάτων. καὶ Εὐριπίδης*

*Οὐκ ἐγγυῶμαι, ζημία φιλέγγυον,*
*σκοπεῖν τὰ Πυθοῖ δ' οὐκ ἐᾷ τὰ γράμματα.*

CLXXII

Stobaeus VII, 9. apud Gaisford. Plutarch. Moral. p. 447 e.

*Τὸ μὲν σφαγῆναι δεινὸν, εὔκλειαν δ' ἔχει,*
*τὸ μὴ θανεῖν δὲ δειλὸν, ἡδονὴ δ' ἔνι.*

CLXXIII

Stobaeus 47. p. 343. *Εὐριπίδου Ἠλέκτρα*

*Ἡ γὰρ τυραννὶς πάντοθεν τοξεύεται*
*δεινοῖς ἔρωσιν, ἧς φυλακτέον πέρι.*

CLXXIV

Schol. Aristid. ad vol. II. p. 39, 18. Iebb. *Διὰ τοῦτο Ζεὺς ἐν θεοῖσι μάντις ἀψευδέστατος: Εὐριπίδης ἐν ἀπράκτοις* (al. cod. *ἀπταίστοις*) *πράγμασι φησὶ τὸ*

*Ζεὺς μάντις ἐν θεοῖσιν ἀψευδέστατος.*
*τὰ μετ' ὀλίγον*
*καὶ τέλος αὐτὸς ἔχει.*

*καὶ διὰ τοῦτο οὖν ἀψευδὴς μάντις, ὅτι καὶ τῆς ἐκβάσεώς ἐστι κύριος, ὥστε ὁ τὸ τέλος ἐν αὐτῷ μὴ ἔχων οὐκ ἀψευδὴς μάντις, ἀλλ' εἰκαστὴς ἂν ἦν.* In priore v. alius cod. ap. Dindorf. habet *ἐν θεοῖσι μάντις ἀψ.*

CLXXV

Stobaeus 77. p. 454. *Εὐριπίδου Ἡρακλειδῶν.*

*Ὅστις δὲ τοὺς τεκόντας ἐν βίῳ σέβει,*
*ὅδ' ἐστὶ καὶ ζῶν καὶ θανὼν θεοῖς φίλος.*

CLXXVI

Libanius Progymn. vol. IV. p. 861. Reisk. *Δεῖ δὲ ἡ Εὐριπίδην παραλιπεῖν· πάντως δὲ οὐκ ἀμφισβητήσιμος ἡ σοφία τοῦ ποιητοῦ. τί οὖν ἐκεῖνός φησι; μηδὲν εἶναι προτιμότερον φίλου σαφοῦς, ὃ δὴ ἂν ἐφεξῆς ἄριστον. εἶτ' ἐπειδὴ τοὺς ἀνθρώπους ὁρᾷ πλοῦτον καὶ τυραννίδα θαυμάζοντας, διαρρήδην φησὶν „οὐ πλοῦτος, οὐ τυραννὶς τοῦδε βέλτιον."*

CLXXVII

Schol. Arist. Ach. 119. *ὦ θερμόβουλον πρωκτὸν ἐξυρημένε: παρῳδίᾳ χρῆται. ἔστι γὰρ ἐν τῇ Μηδείᾳ Εὐριπίδου*

*Ὦ θερμόβουλον σπλάγχνον.*

„Memoria lapsus videtur grammaticus." *Elmslei.* ad Eurip. Med. p. 74.

CLXXVIII

Stobaeus 82. p. 476.

*Τὸν τῇ φύσει*
*οἰκεῖον οὐδεὶς καιρὸς ἀλλότριον ποιεῖ.*

CLXXIX

Stobaeus 4. p. 53.

*Ἡ δὲ μωρία*
*μάλιστ' ἀδελφὴ τῆς πονηρίας ἔφυ.*

CLXXX

Stobaeus 20. p. 173. Apostolius XIV, 7.

*Ὁ θυμὸς ἀλγῶν ἀσφάλειαν οὐκ ἔχει.*

Sine lemmate est in Trincav. *Τοῦ αὐτοῦ* i. e. *Εὐριπίδου* Schow. Deest locus in Paris. A.

CLXXXI

Stobaeus 22. p. 187.

*Ὅταν ἴδῃς πρὸς ὕψος ἠρμένον τινὰ,*
*λαμπρῷ τε πλούτῳ καὶ γένει γαυρούμενον,*
*ὀφρῦν τε μείζω τῆς τύχης ἐπηρκότα,*
*τούτου ταχεῖαν νέμεσιν εὐθὺς προσδόκα·*
*ἐπαίρεται γὰρ μεῖζον, ἵνα μεῖζον πέσῃ.*

Euripidi tribuitur in Paris. A. Trincav. et apud Schow. Philistioni tribuit Antonius Melissa p. 141. et auctor compar. Menandri et Philem. V. 1. *Ὅταν δ'* Meinekius.

CLXXXII

Stobaeus 23. p. 190.

*Ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί,*
*αὐτοὶ δ' ὅταν σφαλῶμεν, οὐ γιγνώσκομεν.*

CLXXXIII

Stobaeus 34. p. 215.

*Ἢ λέγε τι σιγῆς κρεῖσσον ἢ σιγὴν ἔχε.*

CLXXXIV

Stobaeus 74. p. 451. Eustathius p. 1412, 14. schol. ad Od. α, 215.

*Ἐστὶν δὲ μήτηρ φιλότεκνος μᾶλλον πατρός·*
*ἡ μὲν γὰρ αὐτῆς οἶδεν ὄνθ', ὁ δ' οἴεται.*

CLXXXV

Stobaeus 76. p. 453.

*Τὸ θρέψαι δ' ἐν βροτοῖσι πολλάκις*
*πλείω πορίζει φίλτρα τοῦ φῦσαι τέκνα.*

Sine nomine auctoris Clem. Alex. Paedag. I. p. 106 b. In Stob. editt. dicitur esse ex Euripidis Medea; sed Paris. A. *βιότου ἐκ Μηδείας*, quod Elmsl. ad Med. p. 74 e. *δυο. τυ.* i. e. *Διονυσίου τυράννου* ortum suspicatur.

CLXXXVI

Stobaeus 85. p. 497.

*Ἡ φύσις ἑκάστῳ τοῦ γένους ἐστὶν πατρίς.*

CLXXXVII

Sext. Empir. adv. Math. I. §. 279. p. 277.

*Κάλλιστα Μουσῶν φθέγγεται πλουτῶν ἀνήρ.*

Euripidis esse versum ex eo intelligitur, quod eiusdem poetae sunt tres loci, qui paulo ante afferuntur.

CLXXXVIII

Bekkeri Anecd. p. 340, 24. *Ἄγχιμος: ἀντὶ τοῦ πλησία. Εὐριπίδης*

*Ἀλλ' ἄγχιμος γὰρ ἥδε Φοιβεία γυνή.*

CLXXXIX

Bekkeri Anecd. p. 343 sq. *Ἀδίαυλος τόπος:* ὅθεν μὴ ἔστιν ἐπανελθεῖν. οὕτως Εὐριπίδης

Θεοὶ χθόνιοι,
ζοφερὰν ἀδίαυλον ἔχοντες ἕδραν
τὴν φθειρομένων, Ἀχερόντειαν
λίμνην.

CXC

Ibid. p. 362, 7. *Αἱματωπόν:* Εὐριπίδης

Δράκοντος αἱματωπὸν ὄμμα.

CXCI

Ibid. p. 362, 9. *Αἱματοσταγῆ:* Εὐριπίδης καὶ Ἀριστοφάνης

Αἱματοσταγῆ
κηλῖδα τέγγῃ.

CXCII

Ibid. p. 383 sq. Suidas, *Ἀλάστορα προσβαλεῖν:* οἷον μύσος καὶ ἀνοσιουργίαν. Εὐριπίδης

Οὔ σοι παραινῶ μηχανωμένῃ κακὰ
ἐχθροῖσι σαυτῇ προσβαλεῖν ἀλάστορα.

CXCIII

Ibid. p. 1187. Ἔστι γὰρ ὁ ζελᾶς τοῦ ζελά τῷ ζελά (οὕτω δὲ λέγεται κατὰ Θρᾷκας ὁ οἶνος) καὶ τούτου ἡ δοτικὴ εὑρίσκεται παρ' Εὐριπίδῃ χωρὶς τοῦ ι. συστεῖλαι γὰρ βουλόμενος τὸ α οὐ προσέγραψε τὸ ι, οἷον

ταυτὸν ποιεῖ τό τ' ἀττικὸν τῷ ζελὰ σὺν γὰρ κεραννοῖς.

[Corrige συγκεραννύς. ζελὰ autem poeta non dixit abiecto iota, sed nomen esse voluit indeclinabile. G. DINDORF.]

CXCIV

Eratosth. Cataster. 13. de Erichthonio: Λέγει δὲ καὶ Εὐριπίδης περὶ τῆς γενέσεως αὐτοῦ τὸν τρόπον τοῦτον· Ἥφαιστον ἐρασθέντα Ἀθηνᾶς βούλεσθαι αὐτῇ μιγῆναι· τῆς δὲ ἀποστρεφομένης καὶ τὴν παρθενίαν μᾶλλον αἱρουμένης ἔν τινι τόπῳ τῆς Ἀττικῆς κρύπτεσθαι, ὃν λέγουσι καὶ ἀπ' ἐκείνου προσαγορευθῆναι Ἡφαιστεῖον· ὃς δόξας αὐτῆς κρατήσειν καὶ ἐπιθέμενος, πληγεὶς ὑπ' αὐτῆς τῷ δόρατι ἀφῆκε τὴν ἐπιθυμίαν, φερομένης εἰς τὴν γῆν τῆς σπορᾶς κ. τ. λ.

CXCV

Cod. c. Greg. Cor. apud Schaef. ad Greg. p. 226. Προφέρουσιν οἱ Δωριεῖς, μουσᾶν λέγοντες ἀντὶ τοῦ μουσῶν, ὡς καὶ Σοφοκλῆς ἐν Αἴαντι Ἀλιαδᾶν, καὶ Εὐριπίδης κακᾶν βίων διαγωγὴν ἀντὶ τοῦ ἁλιαδῶν καὶ κακῶν βίων.

CXCVI

Bekkeri Anecd. p. 339, 10. *Ἀγοραῖος νοῦς:* ὁ πάνυ εὐτελὴς καὶ συρφετώδης οὐδὲ πεφροντισμένος· οἱ γὰρ ἀγοραῖοι ἄνθρωποι ἀμαθεῖς καὶ ἀπαίδευτοι. οὕτως Εὐριπίδης. [Conf. Aristophanis fragmentum 397. G. DINDORF.]

CXCVII

Ibid. p. 346, 9. *Ἄδωρος χάρις:* ἡ ἐπὶ τέλος ἐλθοῦσα δωρεά. οὕτως Εὐριπίδης. Leg. ἡ μὴ ἐπὶ ut p. 26, 11.

CXCVIII

Ibid. p. 363, 2. Εὐριπίδης δὲ καὶ αἱμύλη εἶπε θηλυκῶς.

CXCIX

Ibid. p. 369, 18. Ἀκόμπαστος λόγος Εὐριπίδης φησὶ καὶ ἀκόμπαστος φάτις.

CC

Ibid. p. 378, 13. *Ἀλλήλων* ἀντὶ τοῦ ἑαυτῶν. οὕτως Εὐριπίδης.

CCI

Ibid. p. 383, 8. *Ἀλίαστον:* τὸ μάταιον. Εὐριπίδης. ἔστι δὲ τὸ ἀνέγκλητον, ὃ οὐκ ἔστι φυλάξασθαι, κατὰ ἀπόφασιν.

CCII

Ibid. p. 414, 15. *Ἀπάγου:* ἀντὶ τοῦ σὺ σαυτὸν ἄπαγε. Εὐριπίδης.

CCIII

Ibid. p. 440, 32. *Ἀπρόσειλος:* ᾧ μηδεὶς προσειλεῖται. Εὐριπίδης.

CCIV

Bachmanni Anecd. I. p. 418, 24. Χνοῦν τὸ λεπτὸν τοῦ ἀχύρου. Ἀριστοφάνης. Εὐριπίδης δὲ θηλυκῶς τὴν χνοῦν.

CCV

Eustathius p. 1761, 39. Ἐπὶ δὲ πᾶσι λέγει ὁ αὐτὸς γραμματικὸς (Ἀριστοφάνης) καὶ μομφὴν παρ' Εὐριπίδῃ τὴν μέμψιν λεχθῆναι.

CCVI

Ioh. Lydus de mensib. p. 88. Εὐριπίδης δὲ Ἀφροδίτην αὐτὴν ἀξιοῖ ὀνομασθῆναι ἐκ τοῦ ἄφρονας τοὺς ἐρῶντας ἀποτελεῖν.

CCVII

Etymol. M. p. 52, 46. Καὶ Εὐριπίδης „Μόσχοι ὑπερήκριζον."

CCVIII

Photius, *Ζύγαστρον:* κιβωτός. κυρίως δὲ ἡ ξυλίνη σορὸς παρὰ τὸ ἐζυγῶσθαι. οὕτως Εὐριπίδης.

CCIX

Photius, *Περισο:* περιφέρειν. Εὐριπίδης. „An περισοβεῖν?" MATTHIAE.

CCX

Photius, *Ῥαχχίζειν:* τὸ διαιρεῖν τὰ μέρη τῆς ῥάχεως, ἤτοι διακόπτειν, ὥς φησι παρ' Εὐριπίδῃ. Eadem apud Bachmann. I. p. 357, 25.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ.

## ΔΑΙΤΑΛΗΣ.

1

Galenus in praefatione lexici Hippocratici ubi de vocabulo *γλῶσσα* agit p. 404.

*Νομίζω δέ σοι τὰ ὑπὸ Ἀριστοφάνους ἀρκέσειν τὰ ἐκ τῶν Δαιταλέων ὧδέ πως ἔχοντα*

*Πρὸς ταῦτα σὺ λέξον Ὁμηρείους γλώττας, τί καλοῦσι κόρυμβα;*

*τροβάλλει γὰρ ἐν ἐκείνῳ τῷ δράματι ὁ ἐκ τοῦ δήιου τῶν Δαιταλέων πρεσβύτης τῷ ἀκολάστῳ υἱεῖ τρῶτον μὲν τὰ κόρυμβα τί ποτ' ἐστὶν ἐξηγήσασθαι, ιετὰ δὲ τοῦτο „τί καλοῦσ' ἀμενηνὰ κάρηνα." κἀ:εῖνος μέντοι ἀντιπροβάλλει τῶν ἐν τοῖς Σόλωνος ἄξοσι γλωττῶν εἰς δίκας διαφερούσας ὧδί πως*

*Ὁ μὲν οὖν σὸς, ἐμὸς δ' οὗτος ἀδελφὸς φρασάτω τί καλοῦσιν ἰδυίους.*

*ἶτ' ἐφεξῆς προβάλλει τί ποτ' ἐστὶ τὸ ὀπυίειν. ἐξ ἰν δῆλον ὡς ἡ γλῶττα παλαιόν ἐστιν ὄνομα τῆς υνηθείας ἐκπεπτωκός. ὅτι δὲ καὶ αὐτὸς ἕκαστος ῶν περὶ λόγους ἐχόντων ἠξίου ποιεῖν ὀνόματα αινὰ δηλοῖ μὲν καὶ ὁ Ἀντιφῶν ἱκανῶς, ὅς γε πως αὐτὰ ποιητέον ἐκδιδάσκει, δηλοῖ δὲ καὶ αὐτὸς ὗτος ὁ Ἀριστοφάνης ἐν ταὐτῷ δράματι διὰ τῶνδε*

*ἀλλ' εἶ σορέλλη καὶ μύρον καὶ ταινίαι.*

*ἴτα ὁ πρεσβύτης ἐπισκώπτων*

*ἰδοὺ σορέλλη· τοῦτο παρὰ Λυσιστράτου.*

*άλιν δὲ αὐτοῦ τοῦ ἀκολάστου υἱέος εἰπόντος*

*ἦ μὴν ἴσως σὺ καταπλαγήσει τῷ χρόνῳ*

*κὶ τοῦθ' υἱοῦ ὁ πρεσβύτης ἐπισκώπτων ἐρεῖ*

*τὸ καταπλαγήσει τοῦτο παρὰ τῶν ῥητόρων.*

*ἴτ' αὖθις ἐκείνου φάντος*

*ἀποβήσεταί σοι ταῦτα ποὶ τὰ ῥήματα*

*άλιν ὁ πρεσβύτης καὶ τοῦτο σκώπτει*

*παρ' Ἀλκιβιάδου τοῦτο τἀποβήσεται.*

*κὶ μέν γε καὶ ὁ υἱὸς οὐδέπω παυόμενος οὐδὲ αἰσύμενος τὸν γέροντά φησι*

*τί ὑποτεκμαίρει καὶ κακῶς ἄνδρας λέγεις*

*καλοκἀγαθίαν ἀσκοῦντας;*

*ἴτα ὁ πρεσβύτης*

*οἴμ', ὦ Θρασύμαχε,*

*τίς τοῦτο τῶν ξυνηγόρων γηρύεται;*

2

Athenaeus XV. p. 694 a.

*Ἆισον δή μοι σκόλιόν τι λαβὼν Ἀλκαίου κἀνακρέοντος.*

3

Athenaeus XII. p. 527 c.

*Ἀλλ' οὐ γὰρ ἔμαθε ταῦτ' ἐμοῦ πέμποντος, ἀλλὰ μᾶλλον*

*πίνειν, ἔπειτ' ᾄδειν κακῶς, Συρακοσίαν τράπεζαν,*

*Συβαρίτιδάς τ' εὐωχίας καὶ Χῖον ἐκ Λακαινᾶν.*

4

Athenaeus IV. p. 184 e.

*Ὅστις αὐλοῖς καὶ λύραισι κατατέτριμμαι χρώμενος,*

*εἶτά με σκάπτειν κελεύεις;*

5

Athenaeus IX. p. 368 e.

*Καὶ δελφακίων ἁπαλῶν κωλαῖ καὶ χναυμάτια πτερόεντα.*

6

Athenaeus XIV. p. 646 b.

*Ἐγὼ δ' ἰὼν*

*πέμψω πλακοῦντ' εἰς ἑσπέραν χαρίσιον.*

7

Athenaeus XV. p. 690 e.

*Φέρ' ἴδω τί σοι δῶ τῶν μύρων; ψάγδαν φιλεῖς;*

8

Pollux X, 119. 120. (coll. VII, 177. et Photio p. 529, 6.)

*Τῆς μυρηρᾶς ληκύθου*

*πρὶν κατελάσας τὴν σπαθίδα γεύσασθαι μύρου.*

9

Athenaeus XV. p. 667 f. *Ἀνῃρεῖτο δὲ τὰ κοτταβεῖα ὁ πλείω καταδύσας. — τὸ δ' ἆθλον Ἀριστοφάνης Δαιταλεῦσιν „Ἔγνωκ' ἐγὼ δὲ χαλκίον (τοῦτ' ἔστι κοτταβεῖον) | ἱστάναι καὶ μυρρίνας."*

10

Athenaeus III. p. 127 c.

*Ἢ χόνδρον ἕψων, εἶτα μυῖαν ἐμβαλὼν*

*ἐδίδου ῥοφεῖν ἄν.*

11

Athenaeus IX. p. 400 a. ex Tryphone

*Ἀπόλωλα· τίλλων τὸν λαγὼν ὀφθήσομαι.*

12

Pollux X, 109. (coll. X, 92.)

*Οὐκ, ἀλλὰ ταυτά γ' ἐπίχυσις τοῦ χαλκίου.*

13

Photius p. 606, 20. et Suidas in *τροπίας οἶνος*

*Ταχύ νυν πέτου καὶ μὴ τροπίαν οἶνον φέρε.*

14

Scholiasta Aristoph. Equit. v. 577. schol. Platonis p. 334. Bekker. schol. Diogenis in Notices et Extraits vol. X. p. 226. Photius et Suidas in *στλεγγίς*

*Οὐδ' ἔστιν αὐτῇ στλεγγὶς οὐδὲ λήκυθος.*

15

Suidas in *ἀναλίσκειν*

*Εἰς τὰς τριήρεις δεῖ μ' ἀναλοῦν ταῦτα καὶ τὰ τείχη.*

16

Harpocratio in *ναυτοδίκαι*, *Ἀριστοφάνης Δαιταλεῦσιν „Ἐθέλω βάψας* (*βλάψας* codex Vratisl.) *πρὸς ναυτοδίκας ξένην ἐξαίφνης."* Suidas *βάψας τὴν κώπην ἔπλευσας ἐλθὼν πρὸς τοὺς ναυτοδίκας, οἳ τὰ τῆς*

ξενίας ἐδίκαζον. ἢ ἀπὸ τῶν φαρμακοποιούντων· λέγουσι γὰρ τὸ βάψας ποιήσω μέλαν. Hesychius, βάψας: δεύσας, πλεύσας. ἢ τὴν κώπην βάψας. Fortasse

Ἐθέλω βάψας πρὸς ναυτοδίκας πλεῖν ἐξαίφνης...

17

Harpocratio in ἐπίπεμπτον,

Ἢν μὴ μεταλάβῃ τοὐπίπεμπτον, κλαέτω.

Photius p. 597, 1. et Etymol. M. p. 763, 22.

18

Harpocratio in κιγκλὶς

Ὁ δ' ἡλιαστὴς εἶρπε πρὸς τὴν κιγκλίδα.

19

Pollux X, 158.

Εἰ μὴ δικῶν τε γύργαθος ψηφισμάτων τε θωμός.

20

Photius et Suidas in σεῖσαι

Ἔσειον, ἤτουν χρήματ', ἠπείλουν, ἐσυκοφάντουν.

21

Athenaeus III. p. 119 c.

Οὐκ αἰσχυνοῦμαι τὸν τάριχον τουτονὶ
πλύνων ἅπασιν ὅσα σύνοιδ' αὐτῷ κακά.

22

Suidas in Αἰγέα

Τὸν Ἐρεχθέα μοι καὶ τὸν Αἰγέα κάλει.

23

Scholiasta Theocriti II, 12.

Τί δαί; κυνίδιον λευκὸν ἐπρίω τῇ θεῷ
εἰς τὰς τριόδους;

24

Pollux IX, 88. (VII, 170.)

Οὐδ' ἀργύριόν ἐστιν κεκερματισμένον.

25

Athenaeus VII. p. 299.

Καὶ λεῖος ὥσπερ ἔγχελυς.

26

Athenaeus IV. p. 169 c.

Κᾆγειν ἐκεῖθεν κακκάβην.

Huc spectare videtur Phrynichus p. 427.

27

Photius p. 313, 14. Ὀαὶ τῶν ἱματίων: Ἀριστοφάνης Δαιταλεῦσιν „Ὅτε τὰς ὀὰς ἴσας ἐποιήσατο." Conf. Eustathius p. 1828, 54.

28

Phrynichus p. 91. — ἠπήσασθαι ἅπαξ παρ' Ἀριστοφάνει ἐν Δαιταλεῦσι, παίζοντι τὰς Ἡσιόδου ὑποθήκας

Καὶ κόσκινον ἠπήσασθαι.

Aristophanis verba attulit Thomas Mag. p. 27. Versus heroici exitus, cuius in vicinia fortasse lectum fuit oraculum Atheniensibus aliquando editum Αἰετὸς ἐν νεφέλῃσι γενήσεαι ἤματα πάντα, de quo scholiasta Equit. v. 1010. τούτου δὲ τοῦ χρησμοῦ οὐ μόνον ἐνταῦθα, ἀλλὰ καὶ ἐν Ὄρνισι καὶ Δαιταλεῦσι μέμνηται.

29

Eustathius p. 1579, 30. de prosodia nominum in οια et εια agens, καὶ ἡ ἀναιδεία δέ φησι (Αἴλιος Διονύσιος) καὶ ἡ παρανοία, ὧν πάντων ἐκτείνεται μὲν ἡ τελευταία, ἡ δὲ πρὸ αὐτῆς ὀξύνεται. Ἀριστοφάνης Δαιταλεῦσιν „ὦ παρανοία καὶ ἀναιδεία."

30

Harpocratio in ἀλίπεδον, Ἀριστοφάνης Δαιταλεῦσι διὰ ψιλοῦ „Ἐν ἀλιπέδῳ."

31

Grammaticus Bekkeri p. 427, 3. Ἀποβροχθίσαι: τὸ καταπιεῖν. ὡς ἡμεῖς, Ἀ. Δ. ἐχρήσατο.

32

Pollux X, 172. Θυλακίσκον, ὡς ἐν Δαιταλεῦσιν Ἀ.

33

Antiatticista Bekkeri p. 104, 28. Κλινάρια: οὐ μόνον κλινίδια. Ἀ. Δ. κλινάριον ex hac fabula Pollux X, 32.

34

Pollux VII, 153. Ἀ. δ' ἐν Δ. καὶ λυρωνίαν τι λέγει.

35

Photius p. 291, 16. Νεβλάρετοι: περαίνειν. ἄσημος φωνὴ ἐπὶ τοῦ περαίνειν. Ἀ. Δ. νεβλάρεται scripsit Alberti in annotatione ad Hesychii glossam νεβλάραι: περαίνειν.

36

Photius p. 350, 10. Ὄρτυγας: συστέλλοντες οἱ Ἀττικοὶ λέγουσι τὸ υ. καὶ τὸν ὀρτυγοκόμον βραχέως. δηλοῖ Ἀ. Δ.

37

Suidas, Ῥαγδαίους: — ἔστι τὸ ὄνομα — καὶ ἐν Δ. Ἀ.

38

Athenaeus IV. p. 183 e. Μνημονεύει δὲ τοῦ τριγώνου (instrumenti musici) τούτου — Ἀ. ἐν Δ.

39

Pollux VII, 168. Τῷ δὲ λοῦσθαι καὶ τὸ ἐγχυτρολουτρεῖν ἂν προσήκοι, εἰρημένου τοῦ ἐγχυτριστρήσαμεν ἐν Δ. Ἀ. Falckenburgius ἐγχυτριστεῖν.

40

Scholiasta ad Acharn. v. 271. ὡρικὴν ὑλήφορον: ἀντὶ τοῦ ὡραίαν καὶ ἀκμαίαν — ὡρικὸν δὲ μειράκιον καὶ κόρη, ὡς ἐν Δαιταλεῦσιν αὐτός.

41

Harpocratio, Θῆτες: — ὅτι δὲ οὐκ ἐστρατεύοντο εἴρηκε καὶ Ἀ. ἐν Δ.

42

Scholiasta ad Vespar. v. 819. εἶχον δὲ καὶ οἱ ἥρωες πανοπλίαν. καὶ δῆλον ἐκ τῶν Δαιταλέων.

---

## ΒΑΒΥΛΩΝΙΟΙ.

De lite propter Babylonios fabulam ab Cleone sibi intenta conqueritur poeta in Acharn. v. 377 — 382. 502 — 507. ubi vide scholiastarum annotationes. Eo spectant etiam versus in parabasi inde ab 630, monente Berglero, in quibus διαβαλλόμενον se dicit ὑπὸ τῶν ἐχθρῶν ἐν Ἀθηναίοις ταχυβούλοις.

43

Plutarchus in vita Periclis cap. 26. p. 166 d. οἱ δὲ Σάμιοι τοὺς αἰχμαλώτους τῶν Ἀθηναίων ὑβρίζοντες ἔστιζον εἰς τὸ μέτωπον γλαῦκας· καὶ ἐκείνους οἱ Ἀθηναῖοι σάμαιναν. — πρὸς ταῦτα τὰ στίγματα λέγουσι καὶ τὸ Ἀριστοφάνειον ᾐνίχθαι

Σαμίων ὁ δῆμός ἐστιν· ὡς πολυγράμματος.

Conf. Hesychius, Photius et Suidas in Σαμίων.

44

Hesychius, Ἰστριανά: Ἀριστοφάνης ἐν Βαβυλωνίοις τὰ μέτωπα τῶν οἰκετῶν Ἰστριανά φησιν, ἐπεὶ ἐστιγμένοι εἰσίν. οἱ γὰρ παρὰ τῷ Ἴστρῳ οἰκοῦντες στίζονται καὶ ποικίλαις ἐσθήσεσι χρῶνται. Διονύσιος δέ φησιν, ἐπεὶ πρότερός τις Ἰστριανὸς λέγεται, ὁ λευκός, κατὰ ἀντίφρασιν εἰρῆσθαι ὡς καθαρὰ καὶ λευκὰ τα μέτωπα, τοὐναντίον δὲ νοεῖσθαι ἐστιγμένα.

45

Photius p. 546, 5. Στοῖχος: στίχος. — Ἀριστοφάνης Βαβυλωνίοις

Ἡ που κατὰ στοίχους κεκράξονταί τι βαρβαριστί.

Hesychius, κατὰ στίχους: κατὰ τάξεις. Scribe κατὰ στοίχους.

46

Photius p. 538, 20. Στιγών: ὁ στιγματίας. Βαβυλωνίοις. Hesychius Στιγών: μαστιγίας. Vera scriptura στίγων est. Photii codex accentum ab correctore habet. Conf. Eustathius p. 725, 32. 1542, 48.

47

Scholiasta ad Lysistr. v. 282. et Suidas in ἀσπιδηφόροι

Ἵστασθ' ἐφεξῆς πάντες ἐπὶ τρεῖς ἀσπίδας.

48

Athenaeus XI. p. 494 d. Κἀν τοῖς Βαβυλωνίοις οὖν τοῖς Ἀριστοφάνους ἀκουσόμεθα ποτήριον τὸ ὀξύβαφον, ὅταν ὁ Διόνυσος λέγῃ περὶ τῶν Ἀθήνησι δημαγωγῶν ὡς αὐτὸν ᾔτουν ἐπὶ τὴν δίκην ἀπελθόντα ὀξυβάφω δύο. οὐ γὰρ ἄλλο τι ἡγητέον εἶναι ἢ ὅτι ἐκπώματα ᾔτουν.

49

Athenaeus III. p. 86 f.

Ἀνέχασκον εἰς ἕκαστος ἐμφερέστατα
ὀπτωμέναις κόγχαισιν ἐπὶ τῶν ἀνθράκων.

50

Scholiasta Avium v. 1555. Πείσανδρος: — καὶ δωροδοχῆσαί φησιν αὐτὸν Ἀριστοφάνης Βαβυλωνίοις διὰ τούτων „Ἡ δῶρ' αἰτοῦντες ἀρχὴν πολέμου πορίσειεν μετὰ Πεισάνδρου.“ πορίσειαν Berglerus. Huc spectat schol. Lysistr. v. 491.

51

Harpocratio in ἐπιβάτης

Εὖ γ' ἐξεκολύμβησ' οὑπιβάτης, ὡς ἐξοίσων ἐπίγειον.

52

Ammonius p. 149.

Ἡ βοιδαρίων τις ἀπέκτεινε ζεῦγος χολίκων ἐπιθυμῶν.

53

Pollux X, 85. (Athenaeus XI. p. 478 c.)

α. Δεῖ διακοσίων δραχμῶν.
β. πόθεν οὖν γένοιντ' ἄν; α. τὸν κότυλον τοῦτον φέρε.

54

Pollux X, 173.

Πόσους ἔχει στρωτῆρας ἀνδρῶν οὑτοσί;
καὶ αὖ πάλιν
Ὡς οὐ καλυμματίοις τὸν οἶκον ἤρεφε.

Conf. Harpocratio et Suidas in v. στρωτήρ.

55

Scholiasta ad Lysistrat. v. 288. et Suidas in v. σιμὸς

Μέσην ἔρειδε πρὸς τὸ σιμόν.

56

Etymolog. M. p. 311, 1.

Ἀνήρ τις ἡμῖν ἐστιν ἐγχινούμενος.

57

Photius p. 295, 8.

Ὦ Ζεῦ, τὸ χρῆμα τῆς νεολαίας ὡς καλόν.

58

Priscianus XVIII. p. 1181. Putsch. (vol. II. p. 202. ed. Krehl.) „Aristophanes in Babyloniis

Ἐννεύει με φεύγειν οἴκαδε.

Nos quoque similiter, *annuit me fugere domum*.“

59

Pollux X, 38. „Εἰς ἄχυρα καὶ χνοῦν.“ Grammaticus in Bachmanni Anecdotis I. p. 418, 24. Χνοῦν: τὸ λεπτὸν τοῦ ἀχύρου. Ἀριστοφάνης.

60

Photius p. 490, 19. Ῥόθιον: — Ἀ. Β. „Καπάγου ῥοθιάζων“ φησὶ, καὶ πάλιν

Ναῦς ὅτ' ἂν ἐκ πιτύλων ῥοθιάζῃ σώφρονι κόσμῳ.

Conf. Suidas in v. ῥοθιάζουσιν.

61

Hesychius, Ἐς τὸν λιμένα: εἰς τὸν λιμένα. Ἀριστοφάνης ἐν Βαβυλωνίοις. παρὰ τὴν παροιμίαν, Ἀττικὸς ἐς λιμένα. οἱ γὰρ Ἀθηναῖοι συντόνως ἤλαυνον καταπλέοντες, διὰ τὸ θεωρεῖσθαι ὑπὸ τῶν ἐκ τῆς γῆς. Conf. Photius p. 22, 7. Zenobius II, 10. et Diogenianus I, 66.

62

Scholiasta Platonis p. 381. ed. Bekker. Τὴν αὐτοῦ σκιὰν δέδοικεν: ἐπὶ τῶν σφόδρα δειλοτάτων. μέμνηται ταύτης Ἀριστοφάνης Βαβυλωνίοις. Memorat Apostolius XVIII, 53.

63

Zenobius Proverb. II, 22. Ἀνθ' Ἑρμίωνος: εἴρηται ἡ παροιμία ἐπὶ τῶν σωζόντων τοὺς ἱκέτας, ἐπειδὴ ἐν Ἑρμιόνῃ τῆς Πελοποννήσου ἱερὸν ἦν Κόρης καὶ Δήμητρος ἀσφάλειαν παρέχον τοῖς καταφεύγουσι. μέμνηται ταύτης Ἀριστοφάνης ἐν Βαβυλωνίοις.

64

Aristoteles Rhetoric. III. 2, 15. Ἔστι δὲ ὁ ὑποκορισμός, ὃς ἔλαττον ποιεῖ καὶ τὸ κακὸν καὶ τὸ ἀγαθόν, ὥσπερ καὶ Ἀριστοφάνης σκώπτει ἐν τοῖς Βαβυλωνίοις ἀντὶ μὲν χρυσίου χρυσιδάριον, ἀντὶ δ' ἱματίου ἱματιδάριον, ἀντὶ δὲ λοιδορίας λοιδορημάτιον, καὶ νοσημάτιον. εὐλαβεῖσθαι δὲ δεῖ καὶ παρατηρεῖν ἐν ἀμφοῖν τὸ μέτριον.

65

Antiatticista Bekkeri p. 80, 14. Ἀλικόν: ἀντὶ τοῦ ἁλμυρόν. Ἀ. Β.

66 a

Pollux IV, 186. Τοὺς δὲ ἀεὶ ῥιγοῦντας οἱ παλαιοὶ ῥιγεσιβίους ἔλεγον, οὓς οἱ νῦν δυσρίγους. Ἀ. δὲ ἐν Β. δύσριγος εἴρηκε. δύσριγος in Menandro reprehendit Phrynichus p. 418.

66 b

Etymolog. M. p. 414, 14. Ζώντειον: προ-

παροξυτόνως ὁ μύλων. — Ἀ. Βαβυλωνίοις ζώστειον, ὡς Ὧρος ὁ Μιλήσιος εἴρηκεν. Aliorum grammaticorum locos de hoc vocabulo et cognato ζήτρειον collectos vide in Thesauro Stephani p. CCCXL. ed. Lond.

67

Moeris p. 190. Θωμὸν Ἀττικῶς, ὡς Ἀ. Β.

68

Stephanus Byzant. in Λακεδαίμων, — καὶ λακωνίζω καὶ λακωνιστής. λέγεται καὶ λακεδαιμονιάζω, ὡς Ἀ. Β.

69

Photius p. 288, 24. „Ναυλόχιον ἐν τῷ μέσῳ". Pollux IX, 28.

70

Photius p. 347, 27. Ὀρχωμοτεῖν: τὸ ὀμνύναι. Ἀ. Β.

71

Pollux X, 152. Καὶ πόδα δὲ βαλαντίου ὁ αὐτὸς εἴρηκεν ἐν Βαβυλωνίοις.

72

Antiatticista Bekkeri p. 116, 32. Ὠτοκάταξιν: τὸν συντετριμμένον τὸ οὖς. Ἀ. Β. Vide Hesychii interpretes.

73

Ex Babyloniis aliquid attulit Crates apud scriptorem argumenti Pacis. Quod quale fuerit nescimus. Phormionem, Asopii filium, ex hac fabula memorat scholiasta Pacis v. 347.

## ΠΡΟΑΓΩΝ.

74

Photius p. 534, 1. et Suidas, Σταθερόν: — Ἀριστοφάνης ἐν Προαγῶνι

Σταθερὰ δὲ κάλυξ νεαρᾶς ἥβης.

75

Athenaeus III. p. 95 d.

Ἐγευσάμην χορδῆς ὁ δύστηνος τέκνων·
πῶς εἰσίδω ῥύγχος πέριξ κεκαυμένον;

76

Athenaeus III. p. 80 a.

Κάμνοντα δ' αὐτὸν τοῦ θέρους ἰδὼν ποτε
ἔτρωγ', ἵνα κάμνοι, σῦκα τῆς μεσημβρίας.

77

Athenaeus IX. p. 380 d.

Τί οὐκ ἐκέλευσας παραφέρειν τὰ ποτήρια·

78

Athenaeus X. p. 422 e.

Ὥρα βαδίζειν μοὐστὶ πρὸς τὸν δεσπότην·
ἤδη γὰρ αὐτοὺς οἴομαι δεδειπνάναι.

79

Athenaeus XI. p. 478 f.

Ὁ δ' ἀλφίτων γε πριάμενος τρεῖς χοίνικας
κοτύλης δεούσας εἴκοσ' ἀπολογίζεται.

80

Pollux X, 44.

Οἴμοι τάλας, τί μου στρέφει τὴν γαστέρα;
βάλλ' ἐς κόρακας. πόθεν ἂν λάσανα γένοιτό μοι;

81

Scholiasta Platonis p. 322. ed. Bekker. Παροιμία, ἐν πίθῳ τὴν κεραμείαν ἐπὶ τῶν τὰς πρώτας μαθήσεις ὑπερβαινόντων, ἁπτομένων δὲ τῶν μειζόνων καὶ ἤδη τῶν τελειοτέρων. κέχρηται δὲ αὐτῇ Ἀ. ἐν Π.

82

Grammaticus Bekkeri p. 411, 17. Ἀντλιαντλητῆρα: — Ἀριστοφάνης δὲ Προαγῶνι καὶ Ἐπίλυκος Κωραλίσκῳ τὸ αὐτὸ ἀντλίον κεκλήκασιν.

## ΑΜΦΙΑΡΕΩΣ.

83

Scholiasta ad Pluti v. 701.

Ἀλλ' ὦ θύγατερ ἔλεξ' Ἰασοῖ πρευμενής.

Hesychius, Ἰασώ: παρὰ τὸ ἰᾶσθαι. φησὶ δὲ Ἀριστοφάνης καὶ Ἀμφιάρεω θυγατέρα εἶναι Ἰασώ.

84

Herodianus περὶ μονήρους λέξεως p. 39, 15.

Καὶ νὴ Δί' ἐκ τοῦ δωματίου γε νῷν φέρε
κνέφαλλον ἅμα καὶ προσκεφάλαιον τῶν λινῶν.

Conf. Pollux X, 40.

85

Scholiasta Ranar. v. 246.

Πόθεν ἂν λάβοιμι βύσμα τῷ πρωκτῷ φλέων;

Apud Suidam in v. φλέων est τῷ πρωκτῷ βύσμα.

86

Scholiasta Nubium v. 663.

α. Γύναι τί τὸ ψοφῆσάν ἐσθ'; β. ἀλεκτρυὼν
τὴν κύλικα καταβέβληκεν. α. οἰμώζουσά γε.

87

Athenaeus IV. p. 158 c.

Ὅστις φακῆν ἥδιστον ὄψων λοιδορεῖς.

88

Pollux VII, 181. (coll. VI, 60.)

Ἔπειτ' ἔρειξεν ἐπιβαλοῦσ' ὁμοῦ πίσους.

89

Pollux X, 92. Καὶ σπυρίδα δὲ ὀψωνιδόχον πλεκτὴν σχοῖνον ἐν Ἀμφιάρεῳ Ἀριστοφάνης ἔφη.

90

Photius (p. 596, 14.) et Suidas in τοῦ

Ταυτὶ τὰ κρέ' αὐτῷ παρὰ γυναικός του φέρω.

91

Suidas in ἀχηνία

Νόσῳ βιασθεὶς ἢ φίλων ἀχηνίᾳ.

Grammaticus Bekkeri I. p. 474, 7.

92

Suidas in Φρυνώνδας

Ὦ μιαρὲ καὶ Φρυνώνδα καὶ πονηρὲ σύ.

Conf. scholiasta ad Aeschin. c. Ctesiphont. p. 766. ed. Reisk. (260. Bekker.)

93

Harpocratio in Λαμπτρεῖς

Λαμπτρεὺς ἔγωγε τῶν κάτω.

94

Aelianus de N. A. XII, 9.

Ὀσφὺν δ' ἐξ ἄκρων διακίγκλισον ἠΰτε κίγκλου
ἀνδρὸς πρεσβύτου· τελέει δ' ἀγαθὴν ἐπαοιδήν.

Hesychius, Διακίγκλισον: διάσεισον. κίγκλος δὲ ὄρνεον ἢ σεισοπυγίς.

95

Pollux X, 180.

Καὶ τοὺς μὲν ὄφεις οὓς ἐπικέμπεις
ἐν κίστῃ που κατασήμηναι
καὶ παῦσαι φαρμακοπωλῶν.

96

Hephaestio de metro choriambico p. 53. ed. Gaisford.

*Οἶδα μὲν ἀρχαῖόν τι δρῶν κοὐχὶ λέληθ' ἐμαυτόν.*

97

Scholiasta Pacis v. 473.

*Ἀφ' οὗ κωμῳδικὸν μορμολυκεῖον ἔγνων.*

98

Antiatticista Bekkeri p. 81, 24. *Ἀκραιφνὲς ὕδωρ: Ἀριστοφάνης Ἀμφιαράῳ.* Phrynichus ibidem p. 23, 4. *Ἀκραιφνὲς ὕδωρ: τὸ ἀμιγὲς καὶ καθαρὸν ἑτέρας ἐπιρροῆς.*

99

Pollux II, 176. *Τὸ δὲ ἐπεγείρειν τὸ αἰδοῖον ταῖν χεροῖν καὶ ἀνακνᾶν ἀναφλᾶν Ἀριστοφάνης ἐν Ἀμφιαράῳ λέγει.*

100

Antiatticista Bekkeri p. 82, 5. *Ἀνθρωπίζεται: Ἀ. Ἀ.* Pollux II, 5.

101

Etymolog. M. p. 112, 52. *Τὸ δὲ παρὰ Ἀριστοφάνει ἐν Ἀμφιαράῳ διὰ τοῦ ε ἠντεβόλησε δύο κλίσεις ὑπέστη.*

102

Erotianus in lexico Hippocratico p. 244. ed. Franz. *Λεβηρίδος: ὑμενώδους ἀποσύρματος, ὅπερ ἐστὶ τὸ τῶν ὄφεων λεγόμενον γῆρας, ὡς καὶ Ἀριστοφάνης ἐν Ἀμφιαράῳ καὶ Στράττις ἐν Φοινίσσαις.* Hesychius, *Γυμνότερος λεβηρίδος: Ἀριστοφάνης φησὶ, τυφλότερος λεβηρίδος. κ. τ. ἑ.* Conf. Zenobius II, 95. p. 52. et Suidas in v. *γυμνότερος.*

103

Harpocratio, *Ῥόπτρον: — τὸν τῆς θύρας κρίκον — ὡς καὶ ἄλλοι, Ἀριστοφάνης Ἀμφιάρεῳ.*

104

Scholiasta Platonis ad Theagem p. 383. ed. Bekker. *Παροιμία ἱερὸν συμβουλὴ ἐπὶ τῶν καθαρῶς καὶ ἀδόλως συμβουλευόντων. — ἄλλοι δέ φασιν ἔπαινον φέρειν τῆς συμβουλῆς τὴν παροιμίαν· εἶναι γὰρ αὐτὴν θείαν καὶ ὑπὲρ ἄνθρωπον. μέμνηται δ' αὐτῆς καὶ Ἀριστοφάνης ἐν Ἀμφιαράῳ.* De hoc proverbio vide Alberti annotationem ad Hesychium vol. I. p. 27.

---

## *ΠΛΟΥΤΟΣ Α.*

105

Scholiasta Ranarum v. 1125.

*Τῶν λαμπαδηφόρων τε πλείστων αἰτίαν πλατειῶν τοῖς ὑστάτοις.*

106

„Suidas, *Ἀναπηρίαν: οὕτως Ἀριστοφάνης Πλούτῳ.* — Sed Pollux II, 61. *Κρατῖνος δ' ἐν Πλούτῳ καὶ ἀναπηρίαν.*" Dobraeus ad Pluti v. 115. 12. „Sed ecce Antiatt. Bekkeri p. 78. *Ἀναπειρίαν: Ἀριστοφάνης Πλούτῳ.* Phrynichus ibid. p. 9. *Ἀναπηρία. διὰ τοῦ η τὴν τρίτην, οὐ διὰ τῆς ει διφθόγγου, ὡς οἱ ἀμαθεῖς. τὸ μὲν οὖν ἀνάπηρος ἀθωμίληται, τὸ δὲ ἀναπηρία σπάνιον.* Quare non intercedam, quo minus cum Brunckio et Porsono Adv. p. 281. ad Aristophanem referamus, sive uterque poeta voce usus est, sive erravit in auctoris nomine Pollux, ut facit non raro. Etiam vocem *ζυγοποιεῖν* alibi idem ex Pluto Aristophanis citat; quod ad 513. referunt; neque ego repugno. Sed videndum ne revera habuerit Pollux e Pherecrate Athen. VI. p. 269 c. qui locus omnino comparandus." Idem in Addendis p. (99).

107

„Suidas, *Ἦν δ' ἐγώ: παρὰ Πλουτάρχῳ καὶ Ἀριστοφάνει.* sed ms. C. C. C. pro *παρὰ Π. καὶ Ἀ.* habet *ἀριστ. πλούτῳ.* Nusquam occurrit haec locutio in Pluto." Dobraeus in Addendis p. (97).

108

Antiatticista Bekkeri p. 113, 11. *Ῥυφῆσαι: διὰ τοῦ υ. Ἀριστοφάνης Πλούτῳ.*

---

## *ΑΙΟΛΟΣΙΚΩΝ.*

109

Athenaeus III. p. 95 e.

*Καὶ μὴν τὸ δεῖν' ἀκροκώλιά γέ σοι τέτταρα ἥψησα τακερά.*

110

Suidas in ἀγοράσαι et Bekkeri Anecd. p. 331, 26.

*Ἀλλ' ἄνυσον· οὐ μέλλειν ἐχρῆν· ὡς ἀγοράσω ἁπαξάπανθ' ὅσ' ἂν κελεύῃς, ὦ γύναι.*

111

Pollux IX, 63. *Ἔστι δὲ καὶ τὸ διώβολον ἐν Αἰολοσίκωνι Ἀριστοφάνους „Ὅπερ λοιπὸν μόνον ἦν ἐν τῇ γνάθῳ διώβολον γένηταί μοι."*

112

Pollux X, 104.

*Λοίδυξ, θυεία, τυροκνῆστις, ἐσχάρα.*

113

Pollux I, 79.

*Κοιτὼν ἁπάσαις εἷς, πύελος δὲ μί' ἀρκέσει.*

114

Pollux X, 116. et Athenaeus XV. p. 1561. ed. Dindorf.

*Καὶ διαστίλβονθ' ὁρῶμεν*
*ὥσπερ ἐν καινῷ λυχνούχῳ*
*πάντα τῆς ἐξωμίδος.*

115

Pollux X, 118. *Ἐν τῷ Αἰολοσίκωνι Ἀριστοφάνης „δυοῖν λυχνιδίοιν."*

116

Hephaestio de metris cap. 9. p. 51. ed. Gaisf.

*Οὐκ ἐτὸς, ὦ γυναῖκες,*
*πᾶσι κακοῖσιν ἡμᾶς*
*φλῶσιν ἑκάστοθ' ἄνδρες·*
*δεινὰ γὰρ ἔργα δρῶσαι*
*λαμβανόμεσθ' ὑπ' αὐτῶν.*

Ad hanc fabulam fortasse referendi quos ex Aristophane versus attulit Athenaeus I. p. 48 c. exscriptos ab Eustathio p. 1570, 5.

*Ὅστις ἐν ἡδυόσμοις*
*στρώμασι παννυχίζων*
*τὴν δέσποιναν ἐρείδεις.*

117

Pollux X, 25.

*Καὶ δι' ὀπῆς κἀπὶ τέγους.*

118

Athenaeus VII. p. 276 c. *Τῶν δὲ παρόντων γραμ-*

ματικῶν τις ἀποβλέψας εἰς τὴν τοῦ δείπνου παρασκευὴν ἔφη, Εἶτα πῶς δειπνήσομεν τοσαῦτα δεῖπνα; ἴσως διὰ νυκτός; ὡς ὁ χαρίεις Ἀριστοφάνης ἐν Αἰολοσίκωνι εἶπεν, οὕτως λέγων οἱονεὶ δι' ὅλης νυκτός.

119

Pollux IX, 89. Ἐν — τῷ Αἰολοσίκωνι τὸ μὴ ἔχειν κέρματα ἀκερματίαν ὠνόμασεν.

120

Pollux X, 24. Παρὰ δὲ Ἀριστοφάνει ἐν Αἰολοσίκωνι καὶ κλειδίον.

121

Scholiasta Pacis v. 740. Ἀριστοφάνης ʿς γαστρίμαργον τὸν Ἡρακλέα κωμῳδεῖ — ἐν Αἰολοσίκωνι.

---

122

Aeolosiconis editionem alteram memorat Athenaeus VIII. p. 372 a. Ἀριστοφάνης Αἰολοσίκωνι δευτέρῳ

Τῶν δὲ γηθύων
ῥίζας ἐχούσας σκοροδομίμητον φύσιν.

---

123

Ad hanc fabulam fortasse referendus Herodiani locus corruptus περὶ μονήρους λέξεως p. 7, 11. ἀλλὰ καὶ ἡ νέα νῆ εἰρημένον — παρὰ Ἀριστοφάνει ἐν Δινσίλλωνι καὶ ἐπιθυμήσειε νέος νῆς ἀμφιπόλοιο. Quae ita videntur esse corrigenda, — ἐν Αἰολοσίκωνι

Καί κ' ἐπιθυμήσειε νέος νῆς ἀμφιπόλοιο.

---

## ΚΩΚΑΛΟΣ.

124

Erotianus p. 388. ed. Franz.

α. Παρέσο κατέτριβεν ἱμάτια. β. κἄπειτα πῶς φῷδας τοσαύτας εἶχε τὸν χειμῶν' ὅλον;

125

Athenaeus IV. p. 156 b.

Ἀλλ' ἔστιν, ὦ πάτερ, κομιδῇ μεσημβρία,
ἡνίκα γε τοὺς νεωτέρους δειπνεῖν χρεών.

126

Harpocratio et Suidas in πώμαλα

α. Λοιδορία τις ἐγένεθ' ὑμῖν; β. πώμαλα·
οὐδ' εἶπον οὐδέν.

127

Photius p. 658, 14. et Suidas in ωδε

Ἐκδότω δέ τις
καὶ ψηφολογεῖον ὧδε καὶ δίφρω δύο.

128

Athenaeus XI. p. 478 d.

Ἄλλαι
ὑποπρεσβύτεραι γρᾶες Θασίου μέλανος μεστὸν * *
κεραμευομέναις κοτύλαις μεγάλαις σφέτερον δέμας
οὐδένα κόσμον.

129

Pollux VII, 162.

Κοφίνους δὲ λίθων ἐκέλευες
ἡμᾶς ἐπὶ τὸν κέραμον.

130

Macrobius Saturnal. V, 18.

Ἧμουν ἄγριον βάρος·
κἄτειρε γὰρ οἶνος οὐ
μιγεὶς Ἀχελῴῳ.

131

Zenobius VI, 47. Χρυσὸς ὁ Κολοφώνιος: μέμνηται ταύτης Ἀριστοφάνης ἐν Κωκάλῳ. εἴρηται δὲ παρόσον οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν ἐργάζεσθαι νομίζονται.

132

Hesychius, Ἰπνός: — Ἀριστοφάνης δὲ ἐν Κωκάλῳ καὶ τὸν κοπρῶνα οὕτως εἶπεν. Conf. Pollux V, 91.

133

Stephanus Byzant. in v. Κόρινθος, — καὶ κορινθιάζομαι τὸ ἑταιρεῖν ἀπὸ τῶν ἐν Κορίνθῳ ἑταιρῶν. ἢ τὸ μαστροπεύειν. Ἀριστοφάνης ἐν Κωκάλῳ.

134

Ad Cocalum Brunckius probabiliter retulit locum Gellii XIX, 13. „νάνους *enim Graeci vocaverunt brevi atque humili corpore homines, paulum supra terram exstantes, idque ita dixerunt adhibita quadam ratione etymologiae cum sententia vocabuli competente, et, si memoria, inquit* (Apollinaris), *mihi non labat, scriptum hoc est in comoedia Aristophanis, cui nomen est* ἀκαλές." Fluctuant libri inter ἀκαλὲς, ἀκαλῆς, ἀκλαιὴς, ἀκλανές.

---

## ΑΝΑΓΥΡΟΣ.

135

Etymolog. M. p. 207, 53. in v. βουκέφαλος (Gudian. p. 113, 47.)

Μὴ κλᾶ'· ἐγώ σοι βουκέφαλον ὠνήσομαι.

καὶ πάλιν

Ψήχει ἠρέμα τὸν βουκέφαλον καὶ κοππατίαν.

136

Photius p. 346, 16. et Suidas in v. ὀρθοπλήξ

Ὡς δ' ὀρθοπλήξ· πέφυκε γὰρ δυσγάργαλις.

137

Pollux X, 74. Καὶ τὸν πνιγέα ἐπὶ ἴπνου Ἀριστοφάνης ἐν Ἀναγύρῳ λέγει. Aristophanis verba sine nomine auctoris apposita sunt in Etymolog. M. p. 677, 40.

Περίθες σεαυτῷ τὸν πνιγέα.

138

Pollux X, 55. Τὴν δὲ ψήκτραν — Ἀριστοφάνης ἐν Ἀναγύρῳ εἴρηκεν.

139

Pollux X, 56. Στόμια δὲ πριονωτὰ ἔφη ἐν Ἀναγύρῳ Ἀριστοφάνης.

140

Athenaeus VIII. p. 385 f.

Εἰ μὴ παραμυθεῖ μ' ὀψαρίοις ἑκάστοτε.

141

Athenaeus XIV. p. 650 e. Τῶν γὰρ ἀπυρήνων (ῥοῶν) Ἀριστοφάνης μνημονεύει ἐν Ἀναγύρῳ „Πλὴν ἀλεύρου καὶ ῥόας."

142

Photius p. 311, 15. et Suidas in ξυννένοφε

Καὶ ξυννένοφε καὶ χειμέρια βροντᾷ μάλ' εὖ.

143

Photius p. 315, 22. et Suidas in ὁδοῦ παρούσης

Ὅρμου παρόντος τὴν ἀτραπὸν κατερρύηκ.

144

Pollux IX, 64.

Ἐν τῷ στόματι τριημιωβόλιον ἔχων.

145

Pollux IX, 72.
α. Τοῦτ' αὐτὸ πράττω, δύ' ὀβολὼ καὶ σύμβολον ὑπὸ τὠπικλίντρῳ. β. πῶν τις αὔτ' ἀνείλετο;

146

Athenaeus IV. p. 133 b.
Πρὸς θεῶν, ἔραμαι τέττιγα φαγεῖν
καὶ κερκώπην θηρευσαμένη
καλάμῳ λεπτῷ.

147

Athenaeus VII. p. 301 a.
Οὐχ ἑψητῶν λοπάς ἐστιν.

148

Scholiasta Avium v. 1292.
Καὶ μὴν χθές γ' ἦν Πέρδιξ χωλός.

149

Suidas in v. ἀπλήγιος et grammaticus Bekkeri p. 425, 20.
Ἐκ δὲ τῆς ἐμῆς χλανίδος τρεῖς ἀπληγίδας ποιῶν.

150

Photius p. 387, 7. et Suidas in παραλοῦμαι
Ἀλλὰ πάντας χρὴ παραλοῦσθαι καὶ τοὺς σπόγγους
ἐᾶν.

151

Suidas, Ἀμφιανακτίζειν: ᾄδειν τὸν Τερπάνδρου νόμον τὸν καλούμενον ὄρθιον —. ἔστι δὲ — καὶ ἐν Ἀναγύρῳ.

152

Pollux VII, 64. Ἀναχύρωτον δὲ τὸν πηλὸν Ἀριστοφάνης ἐν Ἀναγύρῳ λέγει.

153

Suidas, Ἀργεῖοι φῶρες: ἐπὶ τῶν προδήλως πονηρῶν. οἱ γὰρ Ἀργεῖοι ἐπὶ κλοπῇ κωμῳδοῦνται. Ἀριστοφάνης Ἀναγύρῳ.

154

Pollux X, 76. Ἔξεστι δὲ αὐτὸ (vasculum vomitoris porrigendum) καὶ λεβήτιον καλέσαι, καὶ σκάφην εἶπεν ἐν τῷ Ἀναγύρῳ Ἀριστοφάνης. Addit codex Falckenburgianus καὶ ἡμισκάφης δ' ὥς ἔν τι ἐνποδιλονίων ἐμοῦμεν.

155

Pollux X, 114. Τὸ ὑπόθημα τοῦ ὅλμου ὑφόλμιον, ὡς Ἀριστοφάνης ἐν Ἀναγύρῳ λέγει.

## ΓΕΩΡΓΟΙ.

156

Plutarchus in vita Niciae c. 8. p. 528 a.
α. Ἐθέλω γεωργεῖν. β. εἶτα τίς σε κωλύει;
α. ὑμεῖς· ἐπεὶ δίδωμι χιλίας δραχμάς,
ἐάν με τῶν ἀρχῶν ἀφῆτε. β. δεχόμεθα·
δισχίλιαι γάρ εἰσι σὺν ταῖς Νικίου.

157

Scholiasta Equitum v. 959.
Ὅτῳ δοκεῖ σοι δεῖν μάλιστα τῇ πόλει;
ἐμοὶ μὲν ἐπὶ τὸν μολγὸν εἶναι οὐκ ἀκήκοας;

V. 1. ὅτου — πόλει; Brunckius, quo recepto σοι fortasse in μοι mutandum. V. 2. ἐμοὶ μὲν ἐπὶ τὸν μολγόν· οὐκ ἀκήκοας; Porsonus. Ad hanc fabulam Brunckius retulit versum ab Polluce allatum X, 187. — οὐδὲν κωλύει καὶ μολγὸν εἰπεῖν, ὅς ἐστι κατὰ τὴν τῶν Ταραντίνων γλῶτταν βόειος ἀσκός· — καὶ Ἀριστοφάνης δὲ χρησμόν τινα παίζει,
Μή μοι Ἀθηναίους αἴνει, τοὶ μολγοὶ ἔσονται·
τὸ ἄπληστον αὐτῶν ὑπαινιττόμενος.

158

Athenaeus III. p. 111 b.
Εἶτ' ἄρτον ὀπτῶν τυγχάνει τις ὀβελίαν.
Ex Pelargis ὀβολίας ἄρτους, τοὺς ὀβολοῦ πωλουμένους memorat Antiatticista Bekkeri p. 111, 7. Conf. Photius p. 313, 20. p. 314, 1.

159

Athenaeus XI. p. 460 d.
Ὥσπερ κυλικείου τοὐθόνιον προπέπταται.

160

Etymolog. M. p. 234, 35.
Τί δῆτα τούτων τῶν κακῶν, ὦ παῖ, γλίχει;

161

Priscianus XVIII. vol. II. p. 269. ed. Krehl. (1212. Putsch.) Φασὶ λέγων. Ἀριστοφάνης Γεωργοῖς „Εἶγε κιλικίας αἷμα ἐξολοίμην φασὶ λέγων.“ Inveniuntur et nostri abundantia utentes ut, loquere dicens et stude properans et similia. Codex Monacensis ΦΑΟΙ ΛΕΓωΝ ΑΡΕΤΟΦΑΝΝΣ ΓΕωρ Iseirekia ΜΑΕΞΟΛΟΙΜΕΝ ΦΑΕΙΑΤΟΝ.

162

Hephaestio p. 73.
Ὦ πόλι φίλη Κέκροπος, αὐτοφυὲς Ἀττική,
χαῖρε λιπαρὸν δάπεδον, οὖθαρ ἀγαθῆς χθονός.
et paullo post
Ἐν ἀγορᾷ δ' αὖ πλάτανον εὖ διαφυτεύσομεν.
Marcus Antoninus IV, 23. Ἐκεῖνος μέν φησι, Πόλι φίλη Κέκροπος, σὺ δὲ οὐκ ἐρεῖς, Ὦ πόλι φίλη Διός;

163

Stobaeus περὶ εἰρήνης LV, 2.
Εἰρήνη βαθύπλουτε καὶ ζευγάριον βοεικὸν, εἰ
γάρ ποτ' ἐμοὶ παυσαμένῳ τοῦ πολέμου γένοιτο
σκάψαι κἀποκλάσαι τε καὶ λουσαμένῳ διελκύσαι
τῆς τρυγὸς ἄρτον λιπαρὸν καὶ ῥάφανον φέροντι.

164

Athenaeus III. p. 75 a.
Συκᾶς φυτεύω πάντα πλὴν Λακωνικῆς·
τοῦτο γὰρ τὸ σῦκον ἐχθρόν ἐστι καὶ τυραννικόν·
οὐ γὰρ ἦν ἂν μικρὸν, εἰ μὴ μισόδημον ἦν σφόδρα.

165

Athenaeus XIV. p. 650 e. Τῶν γὰρ ἀπυρήνων (ῥοῶν) Ἀριστοφάνης ἐν Γεωργοῖς μνημονεύει.

166

Harpocratio, Κωδία: τὴν τῆς μήκωνος κεφαλὴν οὕτω καλοῦσιν. Ἀ. Γ.
Ἀγαθήν γε κωδίαν.

167

Etymolog. M. p. 326, 20. Ἐλαΐζειν: τὰς ἐλαίας ἐργάζεσθαι. Γεωργοῖς Ἀριστοφάνης.

168

Etymolog. M. p. 635, 38. Ὄρχατος: — καὶ Ἀριστοφάνης τὸ μεταξὺ τῶν φυτῶν μετόρχιον (μετόρχμιον scholiasta Theocriti I, 48,) ἐκάλεσεν ἐν τοῖς Γεωργοῖς. Vocabulo μετόρχιον utitur in Pace v. 572.

169

Pollux IX, 69.

*Ἐξ ἄστεως νῦν εἰς ἀγρὸν χωρῶμεν· ὡς πάλαι δεῖ ἡμᾶς ἐκεῖ τῷ χαλκίῳ λελουμένους σχολάζειν.*

170

Zenobius Proverb. II, 27. p. 34. *Αὐτῷ μελητέον, ἀλλ' ἐπὶ τὸν οἶκον:* μέμνηται αὐτῆς Ἀριστοφάνης ἐν Γεωργοῖς καὶ Πλάτων ὁ κωμικός. ἦν δὲ οὗτος ὁ οἶκος μέγας εἰς ὑποδοχὴν μισθουμένων.

171

Plato in Euthydemo p. 294 d. *Εἶεν, ἦν δ' ἐγω, Εὐθύδημε· τὸ γὰρ λεγόμενον, καλὰ δὴ πάντα λέγεις.* ad hunc locum scholiasta p. 97. ed. Ruhnk. (369. Bekker.) *Καλὰ δὴ πάντ' ἄγεις:* ἀντὶ τοῦ ἀγγέλλεις. ἐπὶ τῶν αἴσια ἀναγγελλόντων. πολλάκις δὲ λέγεται καὶ κατ' εἰρωνείαν. Ἀριστοφάνης Γεωργοῖς καὶ Πλάτων Εὐθυδήμῳ. In lemmate Bekkerus posuit *καλὰ δὴ πάντα λέγεις*. Sed vera scriptura est *καλὰ δὴ παταγεῖς*. Ita enim hoc proverbium recte scriptum apud Hesychium, Photium, Suidam. Vide Hesychii interpretes vol. II. p. 117.

172

Pollux VII, 201. *Πορνεύτριαν ἐν τοῖς Γεωργοῖς Ἀριστοφάνης ἔφη.*

173

Harpocratio, *Σηράγγιον:* — χωρίον τι τοῦ Πειραιῶς οὕτως ἐκαλεῖτο. μνημονεύει δ' αὐτοῦ καὶ Ἀριστοφάνης ἐν Γεωργοῖς. *Σηράγγειον* scribitur apud Photium p. 509. 510. Vide Hesychii interpretes vol. II. p. 1175.

174

Photius p. 543, 7. *Στρέψαι* πόλις τῆς Θρᾴκης. καὶ οἱ πολῖται Στρεψαῖοι. *Στρεψαίους:* Ἀριστοφάνης Γεωργοῖς. Vide annotationes ad Hesychium vol. II. p. 1278.

175

Pollux X, 69. *Τραπεζοφόρον* — εὗρον — ἐν τοῖς Ἀριστοφάνους Γεωργοῖς — ἐπὶ τοῦ τὴν τράπεζαν φέροντος ᾗ ἐπῆσαν τοῖς ἄρχουσιν αἱ μυρρίναι.

176

Scholiasta Platonis p. 330. Bekker. *Μέλητος φαῦλος τραγῳδίας ποιητής.* — ἐν δὲ Γεωργοῖς (Ἀριστοφάνης) ὡς Καλλίαν περαίνοντος αὐτοῦ μέμνηται.

177

Scholiasta Avium v. 1698. in codicibus Ravennate et Leidensi, *Γοργίαι τε καὶ Φίλιπποι:* ὁ Φίλιππος καὶ ὁ Γοργίας οὗτοι ῥήτορες λάλοι εἰσίν. — τοῦ δὲ Φιλίππου καὶ ἐν Γεωργοῖς μνημονεύει Ἀριστοφάνης.

---

## ΓΗΡΑΣ.

178

Athenaeus III. p. 109 f.

*α. Τουτὶ τί ἦν τὸ πρᾶγμα; β. θερμοὺς ὦ τέκνον.*
*α. ἀλλ' ἦ παραφρονεῖς; β. κριβανίτας ὦ τέκνον.*

179

Athenaeus VII. p. 287 d.

*Ταῖς πολιόχρωσι βεμβράσιν τεθραμμένη.*

180

Pollux VI, 69.

*Ὀξωτὰ, σιλφιωτὰ, βολβὸς, τεύτλιον,*
*περίκομμα, θρῖον, ἐγκέφαλος, ὀρίγανον.*

Diogenes Laertius IV, 18. de Polemone, ἦν μὲν ἀστεῖός τις καὶ γενναῖος, παρῃτημένος ἅ φησιν Ἀριστοφάνης περὶ Εὐριπίδου (?), ὀξωτὰ καὶ σιλφιωτὰ, ἅπερ, ὡς αὐτός φησι,

*Καταπυγοσύνη ταῦτ' ἐστὶ πρὸς κρέας μέγα.*

181

Pollux IV, 180.

*Ὀφθαλμιάσας πέρυσιν εἶτ' ἔσχον κακῶς,*
*ἔπειθ' ὑπαλειφόμενος παρ' ἰατρῷ.*

182

Pollux IX, 39.

*Ἐπὶ τοῦ περιδρόμου στᾶσα τῆς συνοικίας.*

Idem VII, 125.

183

Pollux X, 74.

*Ὑδρίαν δανείζειν πεντέχουν ἢ μείζονα.*

184

Pollux X, 104.

*Κοπίδι τῶν μαγειρικῶν.*

185

Grammaticus Bekkeri I. p. 430, 15.

*Ἐγὼ δ' ἀπολογίζειν τε κᾆτ' ἐπ' ἀνθρώπων.*

186

Grammaticus Bekkeri I. p. 449, 14.

*Ὁ δὲ μεθύων ἤμει παρὰ τοὺς ἀρχηγέτας.*

187

Phrynichus p. 367. ed. Lobeck.

*α. Τίς ἂν φράσειε ποῦ 'στι τὸ Διονύσιον;*
*β. ὅπου τὰ μορμολυκεῖα προσκρεμάννυται.*

V. 2. Etymolog. M. p. 590, 52.

188

Priscianus XVIII. vol. II. p. 226. ed. Krehl. (1191. Putsch.) *Attici ὀλίγας ἡμέρας pro ἐν ὀλίγαις ἡμέραις. Similiter nos. Aristophanes Γήρᾳ* „Σὺ δ' οὐκ ἡγῇ μ' οὖν δὴ ὀλίγας ἡμέρας.“ Codex Tegern. ΓΕΡΑΥCΥΔΟΥC ΗΜΕΡΑC (E). Codex Monac. ΓΗΡΑΥCΥ ΔΟΥΧ ΗΓΗΙ ΜΟΥ ΗΔΗ ΟΛΙΓΑΣ ΕΜΕΡΑC. Postrema trimetri verba ἥξειν ἢ δι' ὀλίγας ἡμέρας Meinekius et Suevernius viderunt.

189

Scholiasta Equitum v. 577.

*Εἰ παιδαρίοις ἀκολουθεῖν δεῖ σφαῖραν καὶ στλεγγίδ' ἔχοντα.*

Eadem scholiasta Platonis p. 334. ed. Bekker. Photius p. 537, 14. et Suidas in v. *στλεγγίς*.

190

Athenaeus IV. p. 133 a.

*Ὦ πρεσβῦτα πότερα φιλεῖς τὰς δρυπετεῖς ἑταίρας*
*ἢ καὶ τὰς ὑποπαρθένους ἁλμάδας ὡς ἐλάας*
*στιφράς;*

191

Aelianus de N. A. XII, 9.

*Δόρδου κιγκλοβάταν ῥυθμόν.*

192

Scholiasta Nicandri Theriacor. v. 295.

*Ἀποπλευστέον ἐπὶ τὸν νυμφίον, ᾧ γαμεῖν τήμερον.*

193

Photius p. 256, 7. *Μελιτέα κάπρος:* Ἀριστοφάνης ἐν Γήρᾳ λέγει ἀντὶ τοῦ Εὐκράτης, ἐπεὶ δασύς ἐστι. καὶ γὰρ ἄρκτον αὐτὸν ἔλεγον· ἦν δὲ

*μυλῶνας εἶχεν, ἐν οἷς ἐτρέφοντο σῦς.* **Hesychius,** *Μελιτεὺς κάπρος: τῶν γὰρ δήμων Μελιτεύς ἐστι. καὶ σῦν αὐτὸν ἄντικρυς ἐκάλουν, ἴσως μὲν διὰ δασύτητα, ἐπεὶ καὶ ἄρκτον αὐτόν φασι πολλαχοῦ, ἴσως δὲ καὶ ὅτι μύλωνας ἐκέκτητο, ἐν οἷς σῦς ἔτρεφεν.*

194

**Pollux X, 61.** *Κληρωτήριον: — ἐπὶ τοῦ τόπου ἔοικεν εἰρῆσθαι ἐν τῷ Γήρᾳ Ἀριστοφάνους.*

195

**Harpocratio,** *Σκαφίον: — ὅτι δὲ τὸ σκαφίον εἶδος κουρᾶς καὶ Ἀριστοφάνης ἐν Γήρᾳ.*

196

**Harpocratio,** *Τῆτες: ἀντὶ τοῦ τούτῳ τῷ ἔτει. — Ἀριστοφάνης Γήρᾳ.*

197

**Antiatticista Bekkeri p. 102, 15.** *Καταλαλεῖν: Ἀριστοφάνης Γήρᾳ.*

---

## *ΓΗΡΥΤΑΔΗΣ.*

198

**Athenaeus XII. p. 551 a.**

*α. Καὶ τίς νεκρῶν κευθμῶνα καὶ σκότου πύλας*
*ἔτλη κατελθεῖν; β. ἕν' ἀφ' ἑκάστης τῆς τέχνης*
*εἱλόμεθα κοινῇ, γενομένης ἐκκλησίας,*
*οὓς ᾖσμεν ὄντας ᾀδοφοίτας καὶ θαμὰ*
*ἐκεῖσε φιλοχωροῦντας. α. εἰσὶ γάρ τινες*
*ἄνδρες παρ' ὑμῖν ᾀδοφοῖται; β. νὴ Δία*
*μάλιστά γ', ὥσπερ Θρᾳκοφοῖται. πάντ' ἔχεις.*
*α. καὶ τίνες ἂν εἶεν; β. πρῶτα μὲν Σαννυρίων*
*ἀπὸ τῶν τρυγῳδῶν, ἀπὸ δὲ τῶν τραγικῶν χορῶν*
*Μέλητος, ἀπὸ δὲ τῶν κυκλίων Κινησίας.*

*εἶθ' ἑξῆς φησιν*

*Ὡς σφόδρ' ἐπὶ λεπτῶν ἐλπίδων ὠχεῖσθ' ἄρα·*
*τούτους γὰρ, ἢν πολλῷ ξυνέλθῃ, ξυλλαβὼν*
*ὁ τῆς διαρροίας ποταμὸς οἰχήσεται.*

199

**Athenaeus III. p. 112 e.** *Θεαρίων ὁ ἀρτοποιός, οὗ μνημονεύει — καὶ Ἀριστοφάνης ἐν Γηρυτάδῃ καὶ Αἰολοσίκωνι διὰ τούτων*

*Ἥκω Θεαρίωνος ἀρτοπώλιον*
*λιπὼν, ἵν' ἐστὶ κριβάνων ἑδώλια.*

200

**Athenaeus III. p. 95 f.**

*Ἀκροκώλι', ἄρτοι, κάραβοι.*

201

**Athenaeus IV. p. 158 c.**

*Πτισάνην διδάσκεις αὐτὸν ἕψειν ἢ φακῆν.*

202

**Athenaeus III. p. 99 f.**

*Θεράπευε καὶ χόρταζε τῶν μονῳδιῶν.*

203

**Athenaeus VII. p. 307 e.**

*Ἄρ' ἔνδον ἀνδρῶν κεστρέων ἀποικία;*
*ὡς μὲν γὰρ εἰσὶ νήστιδες γιγνώσκετε.*

204

**Athenaeus VIII. p. 365 b.**

*Ἐν τοῖσι συνδείπνοις ἐπαινῶν Αἰσχύλον.*

205

**Scholiasta Vesparum v. 1303.**

*α. Καὶ πῶς ἐγὼ Σθενέλου φάγοιμ' ἂν ῥήματα;*
*β. εἰς ὄξος ἐμβαπτόμενος ἢ λεπτοὺς ἅλας.*

*λεπτοὺς*] **Legebatur** *ξηρούς.* **Recte Pollux VI, 65. In** *λευκοὺς* **corruptum apud Athenaeum IX. p. 367 b.**

206

**Pollux X, 59.**

*Τὴν μάλθαν ἐκ τῶν γραμματείων ἤσθιον.*

207

**Pollux VI, 111.**

*Τότε μέν γε σοῦ κατεκοττάβιζον * **
*νυνὶ δὲ καὶ κατεμοῦσι, τάχα δ' εὖ οἶδ' ὅτι*
*καὶ καταχέσονται.*

208

**Pollux X, 91.** *Κανίσκια — Ἀριστοφάνης — ἐν Γηρυτάδῃ „Ἄλλος δ' εἰσέφερε πλεκτῷ κανισκίῳ ἄρτων περίλοιπα θρύμματα."* **Idem VII, 176.** *Πλεκτῷ κανισκίῳ.*

209

**Athenaeus XI. p. 485 a.**

*Ἦν δὲ*
*τὸ πρᾶγμ' ἑορτή. περιέφερε δ' ἡμῖν κύκλῳ λεπαστὴν*
*ταχὺ προσφέρων παῖς ἐνέχεέν τε σφόδρα κυανοβενθῆ.*

**Partem huius loci attulit Pollux X, 75.**

210

**Pollux IX, 46.**

*Πόλος τόδ' ἐστίν· εἶτα πόστην ἥλιος τέτραπται;*

211

**Erotianus p. 148. ed. Franz.**

*Φήμαις οὖν ἐγὼ βροτῶν ἅπαντας ἐκλαπῆναι.*

212

**Harpocratio in** *βωμολοχεύεσθαι*

*Χαριεντίζει καὶ καταπαίζεις ἡμῶν καὶ βωμολοχεύει.*

**Propter verbum** *χαριεντίζει* **hunc versum omisso fabulae nomine attulerunt Etymol. M., Suidas, Zonaras in v.** *χαριεντιζόμενοι,* **scholiasta Platonis p. 403. ed. Bekker., grammaticus Nanianus p. 497.**

213

**Athenaeus VI. p. 261 f.**

*Ψίθυρός τε κόλαξ καὶ ψωμοκόλαξ.*

214

**Hesychius,** *Αὐτοὶ θύομεν: ἀντὶ τοῦ αὐτοὶ πίνομεν, ἐνηλλαγμένως, παρόσον οἱ καλούμενοι εἰς ἑστίασιν λέγουσι, καὶ αὐτοὶ θύομεν. ἐπὶ γὰρ τῶν καλουμένων ὑπό τινων λέγεται. Ἀριστοφάνης Γηρυτάδῃ.*

215

**Sophocles Electra v. 28.** *Ὦ δύσθεον μίσημα, σοὶ μόνῃ πατὴρ | τέθνηκεν;* **Ad hunc locum scholiasta,** *Καὶ ταῦτα Ἀριστοφάνης παρῴδηκεν ἐν Γηρυτάδῃ.*

216

**Etymolog. M. p. 420, 1.**

*Ἤισαν εὐθὺ τοῦ Διονυσίου.*

217

**Pollux X, 160.** *Ἀσκοθύλακος, ὡς ἐν τῷ Ἀριστοφάνους Γηρυτάδῃ.*

218

**Erotianus p. 114. 116.** *Γαργαλισμοῦ: γάρ-*

γαλος καὶ γαργάλη λέγεται ἐρεθισμὸς, ἀπὸ τῶν πασχητιουσῶν γυναικῶν εἰλημμένης τῆς λέξεως, ὡς καὶ Ἀριστοφάνης Γηρυτάδῃ.

219

Harpocratio, Ἑρμᾶν: ὕφαλος πέτρα. Ἀντιφῶν ἐν τῇ πρὸς Καλλίου ἔνδειξιν ἀπολογίᾳ. ἔστι τοὔνομα καὶ παρὰ Ἀνακρέοντι καὶ ἐν Γηρυτάδῃ Ἀριστοφάνους. Photius p. 15, 1. Ἑρμᾶν: ὕφαλος πέτρα. Ἀντιφῶν καὶ Ἀνακρέων καὶ Ἀριστοφάνης.

220

Pollux VII, 149. Τὰ δὲ καρπεῖα ἐν τῷ Γηρυτάδῃ Ἀριστοφάνης εἶπε.

221

Pollux IV, 181. Εἴποις δ' ἂν καὶ δεσμὰ καὶ κατάπλασμα ἐν Γηρυτάδῃ.

222

Antiatticista Bekkeri p. 107, 32. Μέτοχος: Ἀριστοφάνης Γηρυτάδῃ.

223

Pollux VII, 117. Ἀριστοφάνης ἐν Γηρυτάδῃ εἴρηκε τοὺς οἰκοδόμους.

224

Pollux X, 170. Ἀριστοφάνης ἐν Γηρυτάδῃ περίθετον.

225

Athenaeus VII. p. 321 a. Σκόμβρος. Ἀριστοφάνης Γηρυτάδῃ.

226

Pollux VII, 7. Καὶ ὁμότεχνοι δὲ καὶ σύντεχνοι. Ἀριστοφάνης γὰρ ἐν Γηρυτάδῃ τούτῳ κέχρηται.

227

Pollux X, 169. Ἐν δὲ τῷ Γηρυτάδῃ ὁ Ἀριστοφάνης λέγει φορμῷ σχοινίνῳ. Eadem verba sine fabulae nomine VII, 175.

228

Athenaeus XIV. p. 650 e. Τῶν γὰρ ἀπυρήνων (ῥοῶν) Ἀριστοφάνης — μνημονεύει — καὶ ἐν Γηρυτάδῃ.

229

Scholiasta Platonis Clarkianus apud Gaisfordum in Lection. Platon. p. 173. (373. ed. Bekker.) ubi de gathone agitur

. . . . . . . . .
τραγωιδ
ἐπὶ μαλακιαι
ταδηι ἣν δ' οὗτος
παῖς ἀθηναῖος . . .

Recte Gaisfordum Γηρυτάδῃ restituere opinor. Grammatici verba haec fere fuisse credibile est, ποιητὴς τραγῳδίας, ὃς διεβάλλετο ἐπὶ μαλακίᾳ, ὡς Ἀριστοφάνης Γηρυτάδῃ.

230

Athenaeus XIII. p. 592 c. Μνημονεύει αὐτῆς (τῆς Ναΐδος) καὶ Ἀριστοφάνης ἐν τῷ Γηρυτάδῃ. μήποτε δὲ κἀν τῷ Πλούτῳ (v. 179), ἐν ᾧ λέγει „Ἐρᾷ δὲ Λαῒς οὐ διὰ σὲ Φιλωνίδου;" γραπτέον Ναῒς καὶ οὐ Λαΐς.

231

Ad hanc fabulam fortasse pertinent versus duo ab Dione Prusaeo LII. p. 553. ed. Morel. (vol. II. p. 273. Reisk.) servati, qui de Sophoclis Philocteta disputans ita scribit, Τά τε μέλη οὐκ ἔχει πολὺ τὸ γνωμικὸν οὐδὲ τὴν πρὸς ἀρετὴν παράκλησιν, ὥσπερ τὰ τοῦ Εὐριπίδου, ἡδονὴν δὲ θαυμαστὴν καὶ μεγαλοπρέπειαν, ὥστε μὴ εἰκῇ τοιαῦτα περὶ αὐτοῦ τὸν Ἀριστοφάνην εἰρηκέναι

Ὁ δ' αὖ Σοφοκλέους τοῦ μέλιτι κεχρισμένου
ὥσπερ καδίσκου περιέλειχε τὸ στόμα.

Hinc explicari possunt quae in Vita Sophoclis obscurius traduntur p. XII. ed. Brunck. Ἔστι δὲ τοῦτο μέγιστον ἐν τῇ ποιητικῇ, δηλοῦν ἦθος ἢ πάθος. φησὶν οὖν Ἀριστοφάνης ὅτι κηρὸς ἐπεκαθέζετο τοῖς χείλεσιν αὐτοῦ. ἄλλοι δὲ Σοφοκλέους τοῦ μέλιτι τὸ στόμα κεχρισμένου. Priora verba non sunt Aristophanis, sed parodia nescio ab quo facta notissimi versus Eupolidis πειθώ τις ἐπεκάθιζεν ἐπὶ τοῖς χείλεσι, quo Pericleae vis eloquentiae descripta fuit.

———

## ΔΑΙΔΑΛΟΣ.

Clemens Alexandr. Stromat. VI. p. 752. ed. Potter. Πλάτων δὲ ὁ κωμικὸς καὶ Ἀριστοφάνης ἐν τῷ Δαιδάλῳ τὰ ἀλλήλων ὑφαιροῦνται.

232

Hesychius, Δαιδάλεια: Ἀριστοφάνης τὸν ἀπὸ Δαιδάλου κατασκευασθέντα ἀνδριάντα, ὡς διὰ τὸ ἀποδιδράσκειν δεδεμένον.

233

Suidas, Εὐρύβατος: —
Εἰ δή τις ὑμῶν εἶδεν Εὐρύβατον Δία.

234

Erotianus p. 50.
Ὁ μηχανοποιὸς, ὁπότε βούλει τὸν τροχὸν
ἐᾶν ἀνεκὰς, λέγε, χαῖρε φέγγος ἡλίου.

235

Athenaeus VII. p. 316 b.
Καὶ ταῦτ' ἔχοντα πουλύπους καὶ σηπίας.
καὶ πάλιν „Τὸν πουλύπουν μοι ἔθηκε" καὶ πάλιν
Πληγαὶ λέγονται πουλύπου πιλουμένου.

P. 323 c. haec ex Danaidibus afferuntur, Σηπία. Ἀριστοφάνης Δαναΐσι
Καὶ ταῦτ' ἔχοντα σηπίας καὶ πουλύπους.

236

Athenaeus IX. p. 367 d. et p. 368 c.
Πάσαις γυναιξὶν ἐξ ἑνός γέ του τρόπου
ὥσπερ παροψὶς μοιχὸς ἐσκευασμένος.

τρόπου utrubique omittunt libri scripti, ut Musurus de coniectura addidisse videatur.

237

Athenaeus IX. p. 374 e. Καὶ Θεόπομπος δ' — ἐπὶ τῆς θηλείας ἔταξε τὸν ἀλεκτρυόνα — καὶ Ἀριστοφάνης Δαιδάλῳ
Ὠιὸν μέγιστον τέτοκεν, ὡς ἀλεκτρυών.
καὶ πάλιν
Πολλαὶ τῶν ἀλεκτρυόνων βίᾳ
ὑπηνέμια τίκτουσιν ᾠὰ πολλάκις.
ἐν δὲ Νεφέλαις (v. 665.) — φησὶ „Νῦν — ἀλέκτορα."

V. 2. Πολλαὶ] Hoc fragmentum ex Platonis Daedalo attulit scholiasta Aristophanis Nub. v. 663. ubi ἐνίοτε πολλαὶ scriptum. Unde iisdem utrumque per-

tam verbis usum esse coniecit Ernesti in annotatione ad scholia, Clementis Alexandrini loco confisus, quem supra apposui. Sed scholiastae fidem elevant Photius et Suidas in ὑπηνέμια, qui Aristophanis nomen posuerunt et Platonis philosophi locum quendam adiunxerunt. Et apud Suidam quidem ἐνίοτε πολλοὶ scriptum, apud Photium ἐνιότε (sic) πολλαί, ubi Porsonus correxit Ἔν ἴστε· πολλαὶ —. Sine auctoris nomine Eustathius p. 1479, 28. attulit πολλαὶ τῶν ἀλεκτρυόνων ὑπηνέμια τίκτουσι.

238

Photius p. 338, 15. et Suidas in ὄνου σκιά

α. Περὶ τοῦ γὰρ ὑμῖν ὁ πόλεμος
νῦν ἐστι; β. περὶ ὄνου σκιᾶς.

239

Hesychius, Δορυφόνον: τὸν δολοφονοῦντα. Ἀριστοφάνης Δαιδάλῳ.

240

Pollux VII, 100. Κογχυλίας λίθος ἐν Ἀριστοφάνους Δαιδάλῳ.

241

Pollux VII, 117. Ἀρχιτέκτων εἴρηται παρὰ Πλάτωνι. βιαία γὰρ ἡ ἐν τῷ Σοφοκλέους Δαιδάλῳ εκτόναρχος Μοῦσα. τὸ δὲ ἀρχιτεκτονεῖν Ἀριστοφάνης εἴρηκεν ἐν Δαιδάλῳ. Verbo ἀρχιτεκτοεῖν utitur in Pace v. 305. Quamobrem videndum e Pollux Δαιδάλῳ pro Εἰρήνῃ scripserit, quum Sophoclis locus ante oculos versaretur.

## ΔΑΝΑΙΔΕΣ.

242

Pollux II, 76.

Τραπόμενον εἰς τοὔψον λαβεῖν
ὀσμύλια καὶ μαινίδια καὶ σηπίδια.

ersum alterum propter σηπίδια ex Danaidibus attut Athenaeus VII. p. 324 b. unde ὀσμύλια pro ὀσυλίδια correctum. Photius p. 352, 25. Ὀσμύλια: θύδια εὐτελῆ. Ὀσμύλια καὶ μαινίδια καὶ σηπίδια, ησὶν Ἀριστοφάνης. De verbis Καὶ ταῦτ' ἔχοντα ηπίας καὶ πουλύπους, quae Athenaeus alio in loco c Daedalo, in alio ex Danaidibus attulit, dictum ad agm. 235.

243

Athenaeus X. p. 422 e.

Ἤδη παροινεῖς εἴς με πρὶν δεδειπνάναι.

244

Pollux X, 130.

Κακῶν τοσούτων ξυνελέγη μοι σώρακος.

245

Scholiasta Pacis v. 922. Pluti v. 1198, et Suidas v. χύτραις

Μαρτύρομαι δὲ Ζηνὸς ἑρκείου χύτρας
μεθ' ὧν ὁ βωμὸς οὗτος ἱδρύθη ποτέ.

246

Photius p. 596, 14. et Suidas in τοῦ

Ἀλλ' εἶσιθ', ὡς τὸ πρᾶγμα λέξαι βούλομαι
τουτί· προσόζειν γάρ κακοῦ τοὔ μοι δοκεῖ.

247

Scholiasta Venetus Homeri Iliad. ξ, 200. p. 392 20. Ἀριστοφάνης Δαναΐσι „δακτύλιον χαλκοῦν φέρων ἄπειρονα" ἔφη. Eadem schol. Ambrosianus Odyss. α, 98. qui in Aristophanis verbis φέρειν praebet. Conf. grammaticus Bekkeri p. 420, 18.

248

Athenaeus IX. p. 400 a.

Λύσας ἴσως ἂν τὸν λαγὼν ξυναρπάσειεν ἡμῶν.

249

Athenaeus II. p. 57 a.

Ὁ χορὸς δ' ὠρχεῖτ' ἂν ἐναψάμενος δάπιδας καὶ
στρωματόδεσμα,
διαμασχαλίσας αὑτὸν σχελίσιν καὶ φύσκαις καὶ
ῥαφανῖσιν.

250

Suidas in ἀταλαίπωρον et grammaticus Bekkeri p. 457, 29.

Οὕτως αὐτοῖς ἀταλαιπώρως ἡ ποίησις διέκειτο.

Affertur etiam ab Etymol. M. p. 162, 40. (Gudian. p. 88, 31.) ubi διάκειται scriptum.

251

Suidas in αὔλειος

Πρὸς τὸν στροφέα τῆς αὐλείας ἐχίνου κεφαλὴν
κατορύττειν.

ἐχίνου] σχίνου Meinekius. κεφαλὴν Kusterus. Vulgo κεφαλῆς.

252

Athenaeus XIV. p. 645 e. Ἐγκρίδες. πεμμάτιον ἑψόμενον ἐν ἐλαίῳ καὶ μετὰ τοῦτο μελιτούμενον. — Ἀριστοφάνης δ' ἐν Δαναΐσι καὶ ποιητὴν (πωλητὴν Schweighaeuserus) φησιν αὐτῶν (ita codex Venetus: alii αὐτὸν vel αὑτὸν) εἶναι ἐν τούτοις „Μήτ' ἄρα μ' εἶναι | ἐγκριδοπώλην." Codex Venetus μήτ' ἅρμα εἶναι. Recepi Iacobsii correctionem p. 342. propositam. Porsonus in Miscellan. p. 247. μήθ' ἁρμονιῶν. Pollux VII, 199. de verbis cum πωλεῖν compositis exempla afferens, ἐν δ' Ἀριστοφάνους Δαναΐσι συρμαιοπῶλαι καὶ ἐγκριδοπῶλαι.

253

Athenaeus III. p. 114 c.

Καὶ τὸν κυλλάστιν φθέγγου καὶ τὸν Πετόσιριν.

254

Pollux X, 39. Εἴποις δ' ἂν οἶμαι καὶ χνοῦν καὶ μνοῦν ἐπὶ τῶν μαλακῶν, Ἀριστοφάνους εἰπόντος — ἐν Δαναΐσι „Τῶν χειρῶν ἔργα μνοῦς ἐστιν."

255

Suidas in ἀργύρειος et grammaticus Bekkeri p. 442, 11. Ἀργύριον καὶ τὸ λεπτὸν νόμισμα καλοῦσιν, ὡς Ἀριστοφάνης Δαναΐσιν.

256

Pollux X, 127. Προσωπὶς καί, ὡς ἐν Δαναΐσιν Ἀριστοφάνης, προσωπίδιον.

257

Scholiasta Lysistratae v. 1239. Κλειταγόρα ποιήτρια ἦν Λακωνική, ἧς μέμνηται καὶ ἐν Δαναΐσιν Ἀριστοφάνης. Eadem Suidas in Κλειταγόρα.

258

Scholiasta Pluti v. 210. Ὀξύτερον τοῦ Λυγκέως: Λυγκεύς, ὡς αὐτὸς ἐν Δαναΐσι φησίν, υἱὸς Αἰγύπτου. ἐροῦμεν δ' ἐκεῖ τὰ περὶ αὐτοῦ, ἐπεὶ δοκεῖ παρ' ἱστορίαν λέγειν. τοσοῦτον δὲ ὀξυωπέστατος ἦν cet. Suidas, Λυγκέως ὀξυωπέστε-

ρον βλέπεις: οὗτος ἐγένετο ἀδελφὸς Ἴδα, ὡς δὲ Ἀριστοφάνης ἐν Δαναΐσιν, υἱὸς Αἰγύπτου.

259

Pollux X, 26. *Καὶ μὴν καὶ βαλανῶσαι τὴν θύραν ἐκεῖνοι (οἱ κωμῳδοὶ) λέγουσι, καὶ „Οὐδεὶς βεβαλάνωκε τὴν θύραν“ ἐν ταῖς Δαναΐσιν ἔφη Ἀριστοφάνης.* Tantam haec habent cum Ecclesiazusarum v. 382. similitudinem, *νῦν μὲν γὰρ οὗτος βεβαλάνωκε τὴν θύραν*, ut dubitare liceat an Pollux alteram pro altera fabulam nominaverit.

---

## ΔΡΑΜΑΤΑ.

Duplex huius fabulae editio extitit, altera *Δράματα ἢ Κένταυρος*, altera *Δράματα ἢ Νίοβος* inscripta.

## ΔΡΑΜΑΤΑ Η ΚΕΝΤΑΥΡΟΣ.

260

Photius p. 451, 13.

*Ἐγὼ γάρ, εἴ τι σ' ἠδίκηκ', ἐθέλω δίκην*
*δοῦναι πρόδικον ἐν τῶν φίλων τῶν σῶν ἑνί.*

Conf. Suidas in *πρόδικον*.

261

Pollux III, 74.

*Ἀνοιγέτω τις δώματ'· αὐτὸς ἔρχεται.*

262

Pollux X, 185.

*Ἀλλ' εἰς κάδον λαβὼν τιν' οὔρει πίττινον.*

263

Pollux X, 79. *Ἀριστοφάνης γοῦν ἐν Δράμασιν ἢ Κενταύρῳ „Ἐκκρουσαμένους τοὺς πύνδακας“ εἴρηκε. ἐκκρουσάμενος* Casaubonus.

264

Pollux IX, 53. *Ἀριστοφάνης ἐν Δράμασιν ἢ Κενταύρῳ „Λίθος δεκατάλαντος.“*

265

Pollux IX, 36. *Κωμήτας τοὺς γείτονας καὶ κωμήτιδας ὠνόμαζον. Ἀριστοφάνης γοῦν ἐν μὲν Δράμασιν ἢ Κενταύρῳ ἔφη „Ἐν κωμήτισι (κωμήτισιν?) καπήλοις* (τ' addit Salmasius) *ἐπίχαρτον.“*

266

Hesychius, *Οὐ γὰρ ἄκανθαι: παροιμία. Ἀριστοφάνης Σκηνὰς καταλαμβανούσαις „Οὐδ' ἴσως ἀντέλεγες τούτῳ τῷ δειπνίῳ· οὐ γὰρ ἄκανθαι.“ καὶ ἐν Δράμασιν ἢ Κενταύρῳ*

*Χωρεῖ δ' ἄκλητος ἀεὶ δειπνήσων· οὐ γὰρ ἄκανθαι.*

Post *χωρεῖ δ'* aliquid omissum. In fine versus *οὐ γὰρ ἄκανθαι*, quibus verbis caret codex, addiderunt critici.

267

Pollux VII, 24.

*Πτίττω, βράττω, μάττω, δεύω, πέττω, κατακλῶ.*

268

Hesychius, *Κύλλου πήρα: ζητοῦσι διὰ τί τὸ πορνεῖον Κύλλου πήραν Ἀριστοφάνης εἴρηκεν ἐν Δράμασιν ἢ Κενταύρῳ*

*Τὸ δὲ πορνεῖον Κύλλου πήρα.*

*ἔστι γὰρ χωρίον Ἀθήνησιν ἐπηρεφὲς καὶ κρήνη. ἀντὶ δὲ τοῦ πέραν πήραν ἔφη.* Conf. Suidas, Photius p. 185, 21. Herodianus *περὶ μονήρους λέξεως* p. 11, 16.

269

Athenaeus XIV. p. 629 e. *Τὴν ἀπόκινον καλουμένην ὄρχησιν, ἧς μνημονεύει — Ἀριστοφάνης ἐν Κενταύρῳ.*

270

Pollux X, 171. *Κλιμακτῆρες, ὡς ἐν Ἀριστοφάνους Δράμασιν ἢ Κενταύρῳ.*

---

## ΔΡΑΜΑΤΑ Η ΝΙΟΒΟΣ.

Hanc fabulam spuriam indicasse veteres criticos ex grammatici testimonio cognoscitur in Prolegomenis de comoedia p. XVIII, 8.

271

*Νιόβου* nomen ab *Νιόβη* finxit poeta, quemadmodum ab *Ἀφροδίτη* deducto *Ἀφρόδιτος* usus est. De quo ita scribit Macrobius Saturnal. III, 8. „*Apud Calvum Acterianus affirmat legendum*

*Pollentemque deum Venerem,*

*non deam. Signum etiam eius est Cypri barbatum, corpore et* (vulgo *sed*) *veste muliebri cum sceptro ac statura virili, et putant eandem marem ac feminam esse. Aristophanes eam Ἀφρόδιτον appellat.*“ Servius ad Virgil. Aeneid. II, 632. „*Est etiam in Cypro simulacrum barbatae Veneris, corpore et veste muliebri, cum sceptro et natura virili, quod Ἀφρόδιτον vocant.*“ Hesychius, *Ἀφρόδιτος: Θεόφραστος μὲν τὸν Ἑρμαφρόδιτόν φησιν, ὁ δὲ τὰ περὶ Ἀμαθοῦντα γεγραφὼς Παίων εἰς ἄνδρα τὴν θεὸν ἐσχηματίσθαι ἐν Κύπρῳ λέγει.* Grammaticus Bekkeri p. 472, 24. *Ἀφρόδιτος: ὁ Ἑρμαφρόδιτος. παραπλήσιοι δὲ τούτῳ ἄλλοι δαίμονες, Ὀρθάνης, Πρίαπος.*

272

Niobae liberorum mentionem in hac fabula iniectam esse intelligitur ex scholiastae annotatione ad Euripidis Phoeniss. v. 159. p. 46. ed. Matth. *Περὶ δὲ τοῦ πλήθους τῶν Νιοβιδῶν αὐτὸς Εὐριπίδης ἐν Κρεσφόντῃ φησὶ*

*Καὶ δὶς ἕπτ' αὐτῆς τέκνα*
*Νιόβης θανόντα Λοξίου τοξεύμασιν.*

*ὁμοίως καὶ Αἰσχύλος ἐν Νιόβῃ καὶ Ἀριστοφάνης ἐν Δράμασιν ἢ Νιόβῳ ὁμοίως ζ' αὐτὰς λέγουσιν. εἶναι δὲ ἑπτὰ καὶ τοὺς ἄρρενας.*

273

Athenaeus VII. p. 301 b.

*Οὐδὲν μὰ Δί' ἐρῶ λοπάδος ἑψητῶν.*

274

Athenaeus XV. p. 1561. ed. nostrae, ex codice Veneto, *Ὅτι δὲ λυχνοῦχοι οἱ νῦν καλούμενοι φανοὶ ὠνομάζοντο Ἀριστοφάνης ἐν Αἰολοσίκωνι παρίστησιν. ἐν δὲ τῷ δευτέρῳ νιουω* (*ἐν δὲ τῷ Νιόβῳ* corrected in Prolegom. ad Aristoph. Fragm. p. 14.) *προειπὼν λυχνοῦχον οιμοι κακοδαίμων φησὶν λυχνοῦχος ἐμὸς οἴχεται. εἶτ' ἐπιφέρει καὶ πως επιρρασας τὸν λυχνοῦχον οἴχεται εἶτ' ἐπιφέρει καὶ ἔλαθες. ἐν δὲ τοῖς . ρ . ησ* (corrige *ἐν δὲ τοῖς ἐφεξῆς*) *καὶ λυχνίδιον αὐτὸν καλεῖ διὰ τούτων ἀλλ' ὥσπερ ὁ λύχνος αὐτὸν ὄσατα καθεύδετ' ἐπὶ τοῦ λυχνιδίου.* Priora mihi intacta relinquenda sunt: cum postremis autem Pollucis locus componendus X, 119. *ὅταν δ' ἐν τῷ Αἰολοσίκωνι Ἀριστοφάνης „Δυοῖν λυχνιδίοιν“ δῆλον ὅτι λυχνία εἴρηκεν, ἀλλ' οὐ μικροὺς λύχνους,*

— σαφέστερον δὲ ἐν τοῖς Ἀριστοφάνους Δράμασιν ἢ Νιόβῳ

Ἀλλ' ὥσπερ λύχνος
ὁμοιότατα καθεύδετ' ἐπὶ τοῦ λυχνιδίου.

Vulgatum κάθευδ' correxi ex Athenaeo.

275

Pollux X, 185.

Ὁ δ' ἐς τὸ πλινθεῖον γενόμενος ἐξ[illegible]εψε.

276

Pollux X, 166. Καττὺς δερμάτιον ἐντιθέμενον τῇ σμινύῃ, ὅταν ὁ στέλεχος ἀραιὸς ᾖ. καὶ ἔστι τοὔνομα ἐν τοῖς Ἀριστοφάνους Δράμασιν ἢ Νιόβῳ. Vide Hesychium vol. II. p. 208.

## ΔΡΑΜΑΤΑ.

277

Scholiasta Ranarum v. 810. Μειαγωγήσουσι τὴν τραγῳδίαν: μεῖον λέγουσι τοὺς ὑπὲρ τῶν [π]αίδων εἰς τὰ Ἀπατούρια ὄϊς ὑπὸ τῶν πατέρων εἰσ[φ]ερομένους διὰ τὸ ἐπιφωνεῖν τοὺς φράτορας ἐπὶ [τ]οῦ σταθμοῦ τοῦ ἱερείου μεῖον μεῖον. ὅτι δὲ ἵσταντο [Ἀ]ριστοφάνης ἐν Δράμασι (vulgo δράματι, cuius cor[r]ectionem Kusterus monstravit) δεδήλωκε. τοῦτο δὲ [κ]έκληται κουρεῖον ἀπὸ τῶν κούρων ὑπὲρ ὧν ἐθύετο, [μ]εῖον δὲ διὰ τὴν προειρημένην αἰτίαν. καὶ ἐπιζή[μι]όν τι τοῖς ἧττον εἰσάγουσιν ἀπεδέδοτο (vulgo πεδέδοκτο), καθάπερ αὐτός φησιν Ἀριστοφάνης

Ἀλλ' εὔχομαι ἔγωγ' ἑλκύσαι σε τὸν σταθμὸν,
ἵνα μή με προσπράττωσι γραῦν οἱ φράτορες.

[Τὸ]ν σταθμὸν Brunckius. Vulgo τὸν σφυγμόν.

278

Photius p. 534, 11.

Αὐτοῖς σταθμοῖς ἐξέβαλε τὰς σιαγόνας.

279

Athenaeus XI. p. 496 a.

Πάντες δ' ἔνδον πεταχνοῦνται.

[V]ulgo πεταχνεῦται. Epitome πεταχνευταί. Recte [C]asaubonus πεταχνοῦνται. Photius p. 426, 10. Πεταχνοῦνται: ἐξυπτιοῦνται, τρυφῶσιν. Confer [H]esychii glossas vol. II. p. 897. 904.

280

Hesychius, Βύρσαν: τὴν πόλιν Ἀθηνῶν Ἀρι[στ]οφάνης ἐν Δράμασι παίζων ἔφη.

281

Antiatticista Bekkeri p. 105, 21. Κιχορίαι τὸ [ἄγ]ριον λάχανον. Ἀριστοφάνης Δράμασιν. Eadem, [om]isso Δράμασιν, Photius p. 166, 22. ubi codex a [pr]ima manu κιχορία, ab correctore κιχόρεια, quae vera [scr]iptura. Vide Schneider. ad Theophrast. vol. V. 414.

282

Scholiasta Platonis p. 331. Bekker. Χαιρεφῶντα Ἀριστοφάνης ἐν Δράμασι κλέπτην (λέγει).

## ΗΡΩΕΣ.

283

Heroibus fabulae ab choro nomen factum ad eum[d]e[m] referendum videtur versus trochaici initium ab [Ch]oerobosco servatum in Bekkeri Anecdotis p. 1197. [Φ]ησὶν Ἡρωδιανὸς ἐν τῇ καθόλου ἐν τῇ περὶ τῆς [εὐ]θείας τῶν πληθυντικῶν διδασκαλίᾳ ὡς ἡ οἱ ἥρωες εὐθεῖα τῶν πληθυντικῶν εὕρηται κατὰ κρᾶσιν παρὰ Ἀριστοφάνει ἐν Ὄρνισιν, οἷον

Οἱ γὰρ ἥρως ἐγγύς εἰσιν,

ἀντὶ τοῦ οἱ ἥρωες. Ita in Equitibus v. 244. Demosthenes, ubi equites appropinquare videt, ἄνδρες ἐγγύς, inquit. Quod autem ex Ὄρνισιν illa afferuntur, aut memoriae lapsui debetur ex Avium versuum 1472. et 1477. recordatione orto, ἔνθα τοῖς ἥρωσιν ἄνθρωποι ξυναριστῶσι et εἰ γὰρ ἐντύχοι τις ἥρῳ τῶν βροτῶν νύκτωρ Ὀρέστῃ, aut vetus est librarii error, repetitus etiam ab Lascari Gramm. III, 2. Brevius Phrynichus p. 158. ed. Lobeck. Ἅπαξ βιασθεὶς Ἀριστοφάνης ὑπὸ τοῦ μέτρου οἱ ἥρως εἶπε. Accusativi ἥρων exemplum, fortasse ipsum quoque ex hac fabula, attulit scholiasta Homeri Iliad. ν, 428. ἥρων τινὲς Ἀττικῶς· „ἀλλ' εἰς ἥρων τι παρήμαρτον" Ἀριστοφάνης.

284

Stephanus Byz. v. Ἄργος

Οὐκ ἠγόρευον; οὗτός ἐστ' οὐκ Ἀργόλας
μὰ Δί' οὐδέ γ' Ἕλλην, ὅσον ἔμοιγε φαίνεται.

285

Suidas, Ἀμφορεαφόρους: —

Τρέχ' εἰς τὸν οἶνον ἀμφορέα κενὸν λαβὼν
τῶν ἔνδοθεν καὶ βύσμα καὶ γευστήριον,
κἄπειτα μίσθου σαυτὸν ἀμφορεαφορεῖν.

V. 2. Legebatur τὸν ἔνδοθεν καὶ γεῦμα. Correctum ex Polluce X, 75. Καὶ τὸ παρ' Ἀριστοφάνει γευστήριον „τρέχ' ἐς τὸν οἶνον ἀμφορέα κοινὸν (καινὸν coniicit Hemsterhusius) λαβὼν τῶν ἔνδοθεν καὶ βύσμα καὶ γευστήριον." Idem X, 172. Καὶ βύσμα δ' ἂν εἴη τῶν χρησίμων, τοῦ Ἀριστοφάνους εἰπόντος „Βύσμα καὶ γευστήριον." et VI, 99. Καὶ γευστηρίου μὲν Ἀριστοφάνης μέμνηται.

286

Pollux X, 112. Καὶ παυσικάπη, ἣν καὶ καρδοπεῖον ὠνόμαζον, ὡς ἐν Ἥρωσιν Ἀριστοφάνης

Ἡ καρδοπείῳ περιπαγῆ τὸν αὐχένα.

287

Scholiasta Pacis v. 14. in codicibus Venetis 474. et 475. Εἰώθασι γὰρ ἅμα τῷ μάττειν ἐσθίειν, ἀφ' οὗ καὶ τὴν παυσικάπην (codd. πασικάην) ἐπενόησαν, τροχοειδές (τριχοειδές codex 474.) τι, δι' οὗ τὸν τράχηλον εἶρον (ἧρον 475.) πρὸς τὸ μὴ δύνασθαι τὴν χεῖρα προσάγειν. μέμνηται δὲ ἐν Ἥρωσιν Ἀριστοφάνης

Παύσειν ἔοιχ' ἡ παυσικάπη κάπτοντά σε.

Παύσειν dedi pro παίσειν. παυσικάη 474. πασικάη 475.

288

Pollux X, 173.

Ἴθι δὴ λαβὼν τὸν ῥόμβον ἀνακωδώνισον.

289

Scholiasta Thesmophoriaz. v. 21. in codice Ravennate, Οἷόν τέ πού 'στιν αἱ σοφαὶ ξυνουσίαι: διὰ τούτου φαίνεται ὑπονοῶν Εὐριπίδου εἶναι τὸ „Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ." ἔστι δὲ Σοφοκλέους ἐξ Αἴαντος Λοκροῦ. ἐνταῦθα μέντοι ὑπονοεῖ μόνον, ἐν δὲ τοῖς Ἥρωσιν ἄντικρυς ἀποφαίνεται. καὶ Ἀντισθένης καὶ Πλάτων (in Theage p. 125 d. de republ. VIII. p. 568 a.) Εὐριπί-

δου αὐτὸ εἶναι ἡγοῦνται, οὐκ ἔχω εἰπεῖν ὅ τι παθόντες. ἔοικε δὲ ἤτοι πεπλανημένος ἢ συνεξαπατῆσαι τοὺς ἄλλους, ὥσπερ ὑπονοοῦσί τινες συμπτώσεις τῷ τε Σοφοκλεῖ καὶ τῷ Εὐριπίδῃ, ὥσπερ καὶ ἐπὶ ἄλλων τινῶν. τὸ μέντοι δρᾶμα ἐν ᾧ Εὐριπίδης ταῦτα εἶπεν οὐ σώζεται. **Aristides II. p. 288, 2.** *Οὐδέ γε Εὐριπίδου φήσομεν οἶμαι τὸ ἰαμβεῖον εἶναι τὸ „Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ,“ οὐδ' εἴ τις οὕτω τῶν σοφῶν εἴρηκεν· ἔστι γὰρ ἐξ Αἴαντος Σοφοκλέους, Αἴαντος τοῦ Λοκροῦ.* **Vide Brunckium ad Aiacis Locr. fr. II.**

**290**

**Pollux VII, 167.** *Καὶ τὸ ὕδωρ τοῦ λουτροῦ λούτριον, ὡς Ἀριστοφάνης ἐν Ἥρωσι*

*Μήτε ποδάνιπτρον θύραζ' ἐκχεῖτε μήτε λούτριον.*

**Pollux X, 78.** *ποδάνιπτρον* **ex Heroibus.**

**291**

**Diogenes Laert. VIII, 34. de praeceptis Pythagoricis agens,** *Τὰ δὲ πεσόντα μὴ ἀναιρεῖσθαι, ὑπὲρ τοῦ ἐθίζεσθαι μὴ ἀκολάστως ἐσθίειν, ἢ ὅτι ἐπὶ τελευτῇ τινός. Ἀριστοφάνης δὲ τῶν ἡρώων φησὶν εἶναι τὰ πίπτοντα, λέγων ἐν τοῖς Ἥρωσι „Μὴ γεύεσθ' ἅττ' ἂν καταπέσῃ τῆς τραπέζης ἐντός.“ ἀλεκτρυόνος μὴ ἅπτεσθαι λευκοῦ.* **Suidas in** *Πυθαγόρα τὰ σύμβολα* **vol. III. p. 245.** *Τὰ πίπτοντα ἀπὸ τῆς τραπέζης μὴ ἀναιρεῖσθαι παρεκελεύετο Πυθαγόρας, ἢ διὰ τὸ μὴ ἐθίζεσθαι ἀκολάστως ἐσθίειν, ἢ ὅτι ἐπὶ τελετῇ τινός. Ἀριστοφάνης γὰρ τῶν ἡρώων εἶναί φησι τὰ πίπτοντα, μήτε δὲ τὰ ἐντὸς τῆς τραπέζης πίπτοντα ἀναιρεῖσθαι μήτε λευκὸν ἀλεκτρυόνα ἐσθίειν.* **Ex his Seidlerus p. 11. tetrametrum eruit**

*Μηδὲ γεύεσθ' ἅττ' ἂν ἐντὸς τῆς τραπέζης καταπέσῃ.*

**292**

**Scholiasta Avium v. 799.**

*Κἀπὸ τῆς Διιτρέφους τραπέζης.*

**293**

**Pollux VII, 133.** *Ἀριστοφάνης δ' ἐν τοῖς Ἥρωσι δοκεῖ τὸ κόμιστρον κατὰ τὸ νῦν ἔθος εἰρηκέναι φορὰν, ὅταν εἴπῃ „Ὀβολῶν δ' ἴσως τεττάρων καὶ τῆς φορᾶς.“*

**294**

**Draco Straton. p. 73, 14. et Etymol. M. p. 673, 1.** *Τὸ δὲ πίω ἐκτείνει — Ἀριστοφάνης ἐν Ἥρωσι „Πῶς πίομαι;“*

**295**

**Pollux VII, 15.** *Ἐμπόλῳ Διοσκόρῳ ἐν Ἥρωσιν Ἀριστοφάνης.*

**Pollux VII, 16.** *Εἶπε δὲ καὶ ἀνδραποδώνης ἐν τοῖς Ἥρωσιν Ἀριστοφάνης.*

**Pollux VII, 21.** *Ἐν δὲ Ἀριστοφάνους Ἥρωσιν ἀρτοποιία.*

**296**

**Pollux X, 61.** *Τὸν γὰρ ἧλον καὶ ηλίσκον ἐν Ἥρωσιν Ἀριστοφάνης κέκληκε.* **Conf. Photius p. 67, 4.**

**297**

**Harpocratio,** *Πυελίδα: τὸ ὑφ' ἡμῶν λεγόμενον σφραγιδοφυλάκιον. Λυσίας ἐν τῷ κατ' Εὐφήμου καὶ Ἀριστοφάνης Ἥρωσιν.* **Eadem Photius p. 472, 18. qui simpliciter** *Λυσίας καὶ Ἀριστοφάνης.*

**298**

**Athenaeus IX. p. 409 c.** *Ἀριστοφάνης δ' ἐν Ἥρωσι χερνίβιον εἴρηκεν.*

**299**

**Scholiasta Sophoclis Oedip. Col. v. 793.** *Δοκεῖ γὰρ ὁ Ἀπόλλων παρὰ Διὸς λαμβάνειν τοὺς χρησμοὺς, ὡς — καὶ Ἀριστοφάνης Ἥρωσιν.*

---

## ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ ΔΕΥΤΕΡΑΙ.

**Scholiasta Ravennas Thesmophor. v. 299.** *Καλλιγενείᾳ: δαίμων περὶ τὴν Δήμητραν, ἣν προλογίζουσαν ἐν ταῖς ἑτέραις Θεσμοφοριαζούσαις ἐποίησεν.* **Photius p. 127, 9.** *Καλλιγένειαν: Ἀπολλόδωρος μὲν τὴν γῆν, οἱ δὲ Διὸς καὶ Δήμητρος θυγατέρα· Ἀριστοφάνης δὲ ὁ κωμικὸς τροφόν.* **Compara Hesychium vol. II. p. 124.**

**300**

**Grammaticus Bekkeri I. p. 410, 16.**

*Καὶ κατ' Ἀγάθων' ἀντίθετον ἐξευρημένον.*

**301**

**Athenaei epitome I. p. 29 a.** *Ὅτι Ἀριστοφάνους τὰς δευτέρας Θεσμοφοριαζούσας Δημήτριος ὁ Τροιζήνιος Θεσμοφοριασάσας ἐπιγράφει. ἐν ταύτῃ ὁ κωμικὸς μέμνηται Πεπαρηθίου οἴνου*

*Οἶνον δὲ πίνειν οὐκ ἐάσω Πράμνιον,*
*οὐ Χῖον, οὐχὶ Θάσιον, οὐ Πεπαρήθιον,*
*οὐδ' ἄλλον ὅστις ἐπεγερεῖ τὸν ἔμβολον.*

**V. 3. Hesychius,** *Ἔμβολον: Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις τὸ αἰδοῖον.* **Etiam** *ἀνθοσμίου* **mentio facta fuit in hac fabula. Erotianus p. 284. ed. Franz.** *Οἶνος ἀνθοσμίας: ὁ εὐώδης καὶ ἡδύς· ὡς Ἀριστοφάνης ἐν Βατράχοις* **(v. 1161.)** *καὶ ἐν Θεσμοφοριαζούσαις.*

**302**

**Athenaeus III. p. 104 e.**

*α. Ἰχθῦς ἐώνηταί τις ἢ σηπίδιον*
*ἢ τῶν πλατειῶν καρίδων ἢ πουλύπους,*
*ἢ νῆστις ὀπτᾶτ', ἢ γαλεὸς, ἢ τευθίδες;*
*β. μὰ τὸν Δί' οὐ δῆτ'. α. οὐδὲ βατίς; β. οὔ φημ' ἐγώ.*
*α. οὐ χόριον οὐδὲ πυὸς, οὐδ' ἧπαρ κάπρου,*
*οὐδὲ σχαδόνες, οὐδ' ἤτριαῖον δέλφακος,*
*οὐδ' ἐγχέλειον, οὐδὲ κάραβον μέγαν*
*γυναιξὶ κοπιώσαισιν ἐπεκουρήσατε;*

**303**

**Athenaeus XV. p. 690 d.**

*Ὦ Ζεῦ πολυτίμηθ', οἷον ἐνέπνευσ' ὁ μιαρὸς*
*φάσκωλος εὐθὺς λυόμενός μοι τοῦ μύρου*
*καὶ βακκάριδος.*

**304**

**Pollux IX, 36.**

*Ἄμφοδον ἐχρῆν αὐτῷ τεθεῖσθαι τοὔνομα.*

**Conf. Etymolog. M. p. 92, 27.**

**305**

**Pollux X, 152.**

*Σακίον, ἐν οἷσπερ τἀργύριον ταμιεύεται.*

**306**

**Scholiasta Nubium v. 623.**

*Ἀγαθὰ μεγάλα τῇ πόλει*
*ἥκειν φέροντάς φασι τοὺς Πυλαγόρας*

*καὶ τὸν ἱερομνήμονα.*
Harpocratio in *Πύλαι.*

307

Scholiasta Ranarum v. 3. *Καὶ ἐν Θεσμοφοριαζούσαις θεράπων φησίν*

*Ὡς διά γε τοῦτο τοὔπος οὐ δύναμαι φέρειν*
*σκεύη τοσαῦτα καὶ τὸν ὦμον θλίβομαι.*

308

Suidas et grammaticus Bekkeri p. 382, 8. *Ἀλφάνει:* —

*Οἴμοι κακοδαίμων τῆς τόθ' ἡμέρας, ὅτε*
*εἶπέν μ' ὁ κῆρυξ, οὗτος ἀλφάνει.*

309

Pollux VII, 95. *Οὐδ' ἂν εἴη φαῦλον τούτοις ὑποθεῖναι λέξιν ἐκ Θεσμοφοριαζουσῶν Ἀριστοφάνους, ἐπεὶ πολλὰ εἴδη ἐν αὐτῇ περιέχει γυναικείων φορημάτων, ἃ καὶ τοῖς περικόσμοις ἂν ἁρμόσειε, ταῦτα.*

*α. Ξυρὸν, κάτοπτρον, ψαλίδα, κηρωτὴν, λίτρον,*
*προκόμιον, ὀχθοίβους, μίτρας, ἀναδήματα,*
*ἔγχουσαν, ὄλεθρον τὸν βαθὺν, ψιμύθιον,*
*μύρον, κίσηριν, στρόφον, ὀπισθοσφενδόνην,*
*κάλυμμα, φῦκος, περιδέραι', ὑπογράμματα,*
*τρυφοκαλάσιριν, ἐλλέβορον, κεκρύφαλον,*
*ζῶμ', ἀμπέχονον, τρύφημα, παρυφὲς, ξυστίδα,*
*χιτῶνα, βάραθρον, ἔγκυκλον, κομμώτριον·*
*τὰ μέγιστα δ' οὐκ εἴρηκα τούτων. β. εἶτα τί;*
*α. διόπας, διάλιθον, πλάστρα, μαλάχιον, βότρυν,*
*χλίδωνα, περόνας, ἀμφιδέας, ὅρμους, πέδας,*
*σφραγῖδας, ἁλύσεις, δακτυλίους, καταπλάσματα,*
*πομφόλυγας, ἀποδέσμους, ὀλίσβους, σάρδια,*
*ὑποδερίδας, ἕλικτῆρας.*

Attulit hunc locum etiam Clemens Alexandr. Paedag. . 245. ed. Potter.

310

Scholiasta Pluti v. 159.

*Ὅσ' ἦν περίεργ' αὐταῖσι τῶν φορημάτων*
*ὅσαις τε περιπέττουσιν αὐτὰς προσθέτοις.*

311

Aspasius ad Aristotelis Ethic. p. 58 a. ed. Aldin. - *βαυκίδων, ὅ ἐστιν εἶδος ὑποδημάτων Ἰωνικῶν, ἐς αἱ Ἰάδες χρῶνται, οὗ καὶ Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις μέμνηται.*

312

Pollux VII, 66.

*Τὴν πτέρυγα παραλύσασα τοῦ χιτωνίου*
*καὶ τῶν ἀποδέσμων, οἷς ἐνῆν τὰ τιτθία.*

313

Athenaeus III. p. 117 c.

*Ἡ μέγα τι βρῶμ' ἐστὶν ἡ τρυγῳδοποιομουσική,*
*ἡνίκα Κράτητί τε τάριχος ἐλεφάντινον*
*λαμπρὸν ἐκόμιζεν ἀπόνως παραβεβλημένον,*
*ἄλλα τε τοιαῦθ' ἕτερα μυρί' ἐκιχλίζετο.*

314

Hephaestio cap. 13. p. 73.

*Μήτε Μούσας ἀνακαλεῖν ἑλικοβοστρύχους*
*μήτε Χάριτας βοᾶν εἰς χορὸν Ὀλυμπίας·*
*ἐνθάδε γάρ εἰσιν, ὥς φησιν ὁ διδάσκαλος.*

315

Scholiasta Vesparum v. 1038.

*Ἅμα δ' ἠπίαλος πυρετοῦ πρόδρομος.*

316

Pollux IX, 69. *Ἐγὼ δὲ ἐν ταῖς Θεσμοφοριαζούσαις Ἀριστοφάνους εἰρημένον „Τὸ χαλκίον θερμαίνεται" οὕτω πως ἤκουον, ὡς εἰς πότον εὐτρεπιζομένων τῶν γυναικῶν. ταυτὸν δὲ τοῦτο καὶ ἐν τοῖς Εὐπόλιδος Δήμοις ἐστὶν εἰρημένον.* Eupolidis verba servavit Athenaeus III. p. 123 a.

317

Zonaras vol. I. p. 196. *Τὸ δ' ἀναβὰς τὸν ἵππον οὐ* (*οὐ* delet Piersonus) *πάνυ δόκιμον. Ἀριστοφάνης Θεσμοφοριαζούσαις „Ἀναβῆναι τὴν γυναῖκα βούλομαι."*

318

Scholiasta Platonis p. 370. ed. Bekker. *Ἀγὼν πρόφασιν οὐ δέχεται, ἐπὶ τῶν φύσει ῥᾳθύμων καὶ ἀμελῶν, ἤτοι ἐπὶ τῶν μὴ προσιεμένων τοὺς λόγους τῶν προφασιζομένων. μέμνηται δὲ αὐτῆς —— καὶ Ἀριστοφάνης Θεσμοφοριαζούσαις β.*

319

Photius p. 235, 6. et Suidas, *Λύκος ἔχανεν: παροιμία.* — *Ἀριστοφάνης Θεσμοφοριαζούσαις β'.*

320

Hesychius, *Βαρβός: μύστρον. ἐν Θεσμοφοριαζούσαις.*

321

Antiatticista Bekkeri p. 78, 24. *Ἀμεινόνως: Ἀριστοφάνης Θεσμοφοριαζούσαις.* Idem p. 88, 28. *Διαλέξασθαι: Ἀριστοφάνης Θεσμοφοριαζούσαις.* Idem p. 96, 25. *Ἐπανορθώσασθαι: Ἀριστοφάνης Θεσμοφοριαζούσαις:* quod fortasse ex Lysistratae v. 528. sumptum.

322

Photius p. 204, 10. et Suidas, *Λακωνίζειν: παιδικοῖς χρῆσθαι. Ἀριστοφάνης Θεσμοφοριαζούσαις β'.*

323

Athenaeus XIV. p. 619 a. *Καὶ τῶν πτισσουσῶν ἄλλη τις (ᾠδή), ὡς Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις.*

## ΛΗΜΝΙΑΙ.

324

Ammonius p. 138. Valcken.

*Ἐνταῦθ' ἐτυράννευεν, ποθ' Ὑψιπύλης πατὴρ*
*Θόας, βράδιστος τῶν ἐν ἀνθρώποις δραμεῖν.*

325

Athenaeus VIII. p. 366 c.

*Λήμνος κυάμους τρέφουσα (φέρουσα?) ταχεροὺς*
*καὶ καλούς.*

326

Pollux VII, 166.

*Ἀλλ' ἀρτίως κατέλιπον αὐτὴν σμωμένην*
*ἐν τῇ πυέλῳ.*

327

Scholiasta Aristophanis Acharn. v. 3. et Suidas in *ψαμμοκοσιογάργαρα,*

*Ἀνδρῶν ἐπακτῶν πᾶσ' ἐγάργαιρ' ἑστία.*

328

Suidas et grammaticus Bekkeri p. 423, 32. *Ἀπεχρήσαντο:*

*Τοὺς ἄνδρας ἀπεχρήσαντο τοὺς παιδοσπόρους.*
Omisso nomine fabulae versum attulit Etymolog. M.

p. 124, 27. et verba τοὺς ἄνδρας ἀπεχρήσαντο Pollux IX, 153.

329

Suidas in v. χρὴ, Λέγουσι δέ ποτε καὶ χρῆ 'σται ἀντὶ τοῦ δεῖ. — Ἀ. Λ.

Ἡ καρδία τε τίς; ἀλλὰ πῶς χρῆ 'σται ποιεῖν;

330

Photius p. 290, 16. Νεαλής: ἐκτείνεται τὸ α. Ἀριστοφάνης Λημνίαις

Ἕως νεαλής ἐστιν αὐτὴν τὴν ἀκμήν.

Μένανδρος. unde suppleri potest Phrynichus Bekkeri p. 52, 19.

331

Pollux X, 25. Ἀπὸ τῶν μοχλῶν τὸ „Μόχλωσον τὴν θύραν" ἐν Λημνίαις Ἀριστοφάνους.

332

Suidas, Ὦ (ῷ Iunius Adag. IV, 13.) νῦν θερμοὶ βωμοί: ἐπὶ τῶν διὰ χρόνου σπουδῆς τυγχανόντων. Ἀριστοφάνης δὲ ἐν Λημνίαις

Τὴν κρατίστην δαίμον', ἧς νῦν θερμός ἐσθ'
ὁ βωμός.

δηλοῖ δὲ ὅτι ἀεί τινες παρὰ τοῖς Ἀθηναίοις ξένοι θεοὶ ἐτιμῶντο. Δαίμονα autem dicit Bendin, hoc est Dianam: de qua Photius p. 251, 7. emendandus ex Hesychio in Μεγάλη θεός.

333

Athenaeus VII. p. 302 d.

Ουκ ἔγχελυν Βοιωτίαν, οὐ γλαῦκον, οὐχὶ θύννου ὑπογάστριον.

Verba ἔγχελυν Βοιωτίαν attulit p. 299 b.

334

Athenaeus VII. p. 311 d.

Οὐ κρανίον λάβρακος, οὐχὶ κάραβον πρίασθαι.

335

Pollux IX, 126.

Πεντελίθοισί θ' ὁμοῦ λεκάνης παραθραύμασι.

336

Etymolog. M. p. 283, 45. (Gudian. p. 159, 49.)

Αἱ (Αἱ δὲ Bentleius) γυναῖκες τὸν δορίαλλον φράγνυνται.

Conf. Hesychius in Δορυαλλός, Suidas in Δόριλλος et scholiasta Ranar. v. 519.

337

Harpocratio, Ἀρκτεῦσαι: — ὅτι δὲ αἱ ἀρκτευόμεναι παρθένοι ἄρκτοι καλοῦνται Εὐριπίδης ἐν Ὑψιπύλῃ, Ἀριστοφάνης Λημνίαις.

338

Harpocratio, Μέταυλος: ἔστιν ἡ ῥυπαρὰ λεγομένη αὐλὴ, οὗ ὄρνιθες ἦσαν. Ἀριστοφάνης Λημνίαις.

339

Pollux VII, 139. Ἀριστοφάνης δὲ ἐν Λημνίαις εἴρηκε καὶ ναυφύλαξ.

340

Pollux VII, 152. Καὶ ὁ μὲν πρὸ ὥρας πεπαινόμενος καρπὸς πρῷμος ἐν Λημνίαις Ἀριστοφάνους. — τὰ δὲ φυτευτήρια τῶν σίκων συκίδας Ἀριστοφάνης ἐν ταῖς Λημνίαις.

341

Scholiasta Lysistratae v. 308. Τὸν φανόν: φανὸν μὲν πᾶν τὸ φαινόμενον ἐκάλουν, ἐκ δὲ τῶν ἀμπελίνων τὰς λαμπάδας κατεσκεύαζον εἰς ἔξαψιν, ὡς καὶ ἐν Λημνίαις φησί.

## ΝΑΥΑΓΟΣ.

342

Spuria haec fabula iudicata fuit ab criticis veteribus: vide locum grammatici in Excerptis de comoedia p. XVIII. Δὶς ναυαγὸς dici videtur apud Pollucem X, 33. Καλεῖται δὲ τὸ κλινίδιον καὶ κλιντήριον, ὡς ἐν Διοναυάγῳ Ἀριστοφάνης ἔφη „Τί με ὦ πονηρὲ ἐξορίζεις ὥσπερ κλιντήριον." Codex Vossianus δὶς ναυάγῳ.

---

## ΝΗΣΟΙ.

De huius quoque fabulae auctore ab veteribus criticis dubitatum fuit: vide locum grammatici modo memoratum et Pollucem, cuius verba ad fragm. 350 attulimus.

343

Scholiasta Avium v. 297. Εἴσοδος δὲ λέγεται ᾗ ὁ χορὸς εἰσεισιν ἐν τῇ σκηνῇ. καὶ ἐν ταῖς Νήσοις

Εἶσιν δέ που
αἰδὶ κατ' αὐτὴν ἣν βλέπεις τὴν εἴσοδον.

344

Stobaeus LV, 7. Ἀριστοφάνους Νήσων

Ὦ μῶρε μῶρε, ταῦτα πάντ' ἐν τῇδ' ἔνι,
οἰκεῖν μὲν ἐν ἀγρῷ τοῦτον ἐν τῷ γηδίῳ
ἀπαλλαγέντα τῶν κατ' ἀγορὰν πραγμάτων,
κεκτημένον ζευγάριον οἰκεῖον βοοῖν,
ἔπειτ' ἀκούειν προβατίων βληχωμένων,
τρυγός τε φωνὴν εἰς λεκάνην ὠθουμένης,
ὄψῳ δὲ χρῆσθαι σπινιδίοις τε καὶ κίχλαις,
καὶ μὴ περιμένειν ἐξ ἀγορᾶς ἰχθύδια
τριταῖα πολυτίμητα βεβασανισμένα
ἐπ' ἰχθυοπώλου χειρὶ παρανομωτάτῃ.

345

Pollux VI, 45. Καὶ θλαστὰς δὲ ἐλαίας ἐν Νήσοις ἂν εὕροις Ἀριστοφάνους. Athenaei epitome II. p. 56 b. Μνημονεύει τῶν θλαστῶν ἐλαῶν Ἀριστοφάνης „Θλαστὰς ποιεῖν ἐλάας." πάλιν

Οὐ ταυτόν ἐστιν ἁλμάδες καὶ στέμφυλα.

καὶ μετ' ὀλίγα

Θλαστὰς γὰρ εἶναι κρεῖττόν ἐστιν ἁλμάδος.

346

Suidas, Ἔξεχ' ὦ φίλ' ἥλιε: Ἀριστοφάνης Νήσοις

Λέξεις ἄρα
ὥσπερ τὰ παιδί' ἔξεχ' ὦ φίλ' ἥλιε.

Conf. Eustathius p. 881, 42.

347

Scholiasta Avium v. 439. Ἔοικε δὲ Παναίτιον κωμῳδεῖν, ὃν καὶ ἐν Νήσοις

Καταλιπὼν Παναίτιον
πίθηκον.

Suidas in διαθήκην διαθώμεθα.

348

Etymolog. M. p. 338, 52. Ἔνδημος: ὁ μὴ ἀποδημῶν, ἐπίδημος δὲ ὁ ἐπιδημῶν ξένος. — παρὰ Ἀριστοφάνει ἐν Νήσοις

Ἀλλ' οὐ τυγχάνει
ἐπίδημος ὤν.

λέγεται δὲ περὶ τοῦ Ποσειδῶνος ὅτι οὐκ ἐπιδημεῖ

Ἰσθμοί, κυρίως εἰρημένον. οὐχ οὕτω γὰρ Ἴσθμιος ὁ θεὸς ὡς διὰ παντὸς ἐκεῖ διατρίβειν.

349

Photius p. 311, 16. et Suidas in ξυννένοφε

Ὡς ἐς τὴν γῆν κύψασα κάτω καὶ ξυννενοφυῖα βαδίζει.

350

Pollux IX, 89. Τάργύρια ἐπὶ τοῦ ἀργυρίου — εὗρον ἐν ταῖς Νήσοις Ἀριστοφάνους, εἰ μὴ ὑποπτεύεται τὸ δρᾶμα ὡς Ἀριστοφάνους οὐ γνήσιον. Idem VII, 104. Εἴρηται δὲ καὶ ἀργύρια ἐν Ἀριστοφάνους Νήσοις.

351

Etymolog. M. p. 333, 33. Ἔλυμος: σπέρμα τι ὃ ἕψοντες οἱ Λάκωνες ἤσθιον. Ἀριστοφάνης Νήσοις.

352

Pollux X, 47. Θρᾶνοι, θρανία, θρανίδια ἐν Νήσοις Ἀριστοφάνους.

353

Hesychius, Θύρσος: αὐλητὴς ἦν, γυναῖκα ἔχων ἑταίραν. Θύρσου κυνῆ: Ἀριστοφάνης ἐν Νήσοις, οὐ τοῦ αὐλητοῦ μνημονεύων, ἀλλ' ἀντὶ τοῦ φύλλα εἰπεῖν καὶ κλάδους. Θύρσοι: κλάδοι, λαμπάδες, λύχνα.

## ΟΛΚΑΔΕΣ.

Holcades ex antiquioribus poetae fabulis fuit. Scriptor argumenti Pacis in codice Veneto, Τὸ δὲ κεφάλαιον τῆς κωμῳδίας ἐστὶ τοῦτο· συμβουλεύει Ἀθηναίοις σπείσασθαι πρὸς Λακεδαιμονίους καὶ τοὺς ἄλλους Ἕλληνας. οὐ τοῦτο δὲ μόνον ὑπὲρ εἰρήνης Ἀριστοφάνης τὸ δρᾶμα τέθεικεν (καθεῖκεν?), ἀλλὰ καὶ τοὺς Ἀχαρνεῖς καὶ τοὺς Ἱππέας καὶ Ὁλκάδας, καὶ πανταχοῦ τοῦτο ἐσπούδακε, τὸν δὲ Κλέωνα κωμῳδῶν τὸν ἀντιλέγοντα καὶ Λάμαχον τὸν φιλοπόλεμον ἀεὶ διαβάλλων.

354

Scholiasta Nubium v. 699. Τήμερα ὡς ἐν Ὁλκάσιν

Ἰὼ Λακεδαῖμον, τί ἄρα πείσει τήμερα;

Suidas, Τήμερος: ὁ σημερινός, καὶ ἔστι τεταγμένον ἐπὶ σώματος. τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται καὶ ἐν Εἰρήνῃ „ἰὼ Λακεδαῖμον, τί ἄρα ποιήσει τήμερα." ἀντὶ τοῦ σημερινή. Quod Εἰρήνην nominat, fortasse in mente habuit illius fabulae v. 243. ὡς ἀπολεῖσθε τήμερον. Recte Ὁλκάδας nominat etiam scholiasta Homeri Iliad. γ, 132. quicum comparetur Ioannes Alexandrinus p. 14, 14. et Choeroboscus apud Bekkerum p. 1245. qui ὦ Λακεδαῖμον sine auctoris nomine attulerunt. Unde corrigendus Photius p. 202, 18.

355

Photius p. 11, 22.

Πρῴην ἐρανιστὰς ἑστιῶν ἥψησ' ἔτνος.

356

Photius p. 57, 8.

Ἐπεὶ δ' ἐγενόμην οἶπερ ἦ' ἐπὶ ξύλα.

Eadem Suidas in ᾖα et grammaticus Coislinianus apud Montefalc. p. 234.

357

Pollux X, 144.

Λόγχαι δ' ἐκαυλίζοντο καὶ ξυστὴ χάμαξ.

358

Eustathius p. 1423, 4.

Τί δαὶ τὸν ὀρνίθειον οἰκίσκον φέρεις;

Ex Holcadibus haec esse sumpta ab Polluce edocemur X, 159. Οἰκίσκος ex Pelargis attulerunt Harpocratio et Photius.

359

Athenaeus III. p. 91 c.

Δάπτοντα, μιστύλλοντα, διαλείχοντά μου τὸν κάτω σπατάγγην.

V. 2. Photius p. 529, 23. Σπατάγγαι; ἰχθύες τινές· οἱ δὲ τοὺς μεγάλους ἐχίνους. οὕτως Ἀριστοφάνης.

360

Grammaticus Bekkeri p. 474, 31. Ἀχῶρας τὰ ἐν τῇ κεφαλῇ καὶ τῷ γενείῳ πίτυρα. Ἀριστοφάνης Ὁλκάσιν „Ἀδαχεῖ γὰρ αὐτοῦ τὸν ἀχῶρα ἐκλέγεται ἐκ τοῦ γενείου τὰς πολιὰς τοῦ Διός." ἀρσενικῶς δὲ λέγεται ὁ ἀχώρ. „Lego τουδὶ, sc. τοῦ Δήμου. Vide Eq. 904. αὐτοῦ, nempe ἐν τῇ Πυκνί." Dobraeus ad Plutі v. 361. p. 44. ἐκλέγεται in ἐκλέγει τ' ἀεὶ mutandum ex aliis grammaticorum locis. Photius p. 8, 1. Ἀδαξῆσαι: τὸ κνῆσαι, οὐκ ἐν τῷ ο ὀδαξῆσαι, καὶ ἀδαχεῖν τὸ κνῆθειν „Ἀδαχεῖ γὰρ αὐτοῦ τὸν ἀχῶρα ἐκλέγει τ' ἀεί" Ἀριστοφάνης ἐν Ὁλκάσιν. Eadem grammaticus Bekkeri tradit p. 340, 28. et Suidas, nisi quod hic ἐν ταῖς Ὁλκάσιν omittit et apud utrumque ἀχῶρα scriptum est. Etymolog. M. p. 182, 17. Ἀχῶρα: ἀρσενικῶς, τὰ ἐν τῇ κεφαλῇ καὶ τῷ γενείῳ πίτυρα. Ἀριστοφάνης „Ἀδεχῇ γὰρ αὐτοῦ τὸν ἀχῶρ' ἐκλέγετ' ἀεὶ ἐκ τοῦ γενείου."

Ex simili aliquo loco sumptus versus est qui sine fabulae nomine ab Suida affertur et grammatico Bekkeri p. 468, 19. Ἀφαιρεῖν κροκύδας: ἐπὶ τῶν πάντα ποιούντων ἕνεκεν κολακείας. ἄλλοι τε χρῶνται καὶ Ἀριστοφάνης

Εἴ τίς σε κολακεύει παρὼν καὶ τὰς κροκύδας ἀφαιρῶν.

Phrynichus Bekkeri p. 4, 27. Ἀφαιρεῖν κροκύδας: — ὁ δὲ Ἀριστοφάνης ἀφαίρει (ἀφαιρεῖν?) τρίχας φησὶν ἐπί τινος κολακεύειν ἐπιχειροῦντος.

361

Scholiasta Acharnens. v. 122. Στράτων: καὶ οὗτος κωμῳδεῖται ὡς λωβώμενος τὸ γένειον καὶ λειαίνων τὸ σῶμα, ὡς Κλεισθένης, ὥς φησιν αὐτὸς Ἀριστοφάνης ἐν Ὁλκάσι „Παῖδες ἀγένειοι, Στράτων." Exagitatur etiam in Equitibus v. 1370.

362

Scholiasta Acharnens. v. 710. exscriptus ab Suida, Εὐάθλους δέκα: οὗτος ὁ Εὔαθλος ῥήτωρ πονηρός. Ἀριστοφάνης ἐν Ὁλκάσιν

Ἔστι τις πονηρὸς ἡμῖν τοξότης συνήγορος

* * ὥσπερ Εὔαθλος παρ' ὑμῖν τοῖς νέοις.

ἦν δὲ καὶ εὐρύπρωκτος καὶ λάλος. εἴη δ' ἂν καὶ ἀγεννής. διὸ καὶ τοξότην αὐτὸν καλεῖ, οἷον ὑπηρέ-

την. *Εὔαθλος* vulgo omissum servavit Suidas et scholiasta Vesparum v. 590.

363

Athenaeus III. p. 111 a.

*Καὶ κολλύραν τοῖσι 'περῶσιν διὰ τοὺν Μαραθῶνι τροπαῖον.*

364

Galenus *περὶ τροφῶν δυνάμεως* vol. IV. p. 816. ed. Basil. VI. p. 329. ed. Charter.

*Ἀράκους, πυροὺς, πτισάνην, χόνδρον, ζειὰς, αἴρας, σεμίδαλιν.*

365

Athenaeus III. p. 118 d.

*Σκόμβροι, κολίαι, λεβίαι, μύλλοι, σαπέρδαι, θυννίδες.*

366

Athenaeus VII. p. 329 b.

*Ὦ κακοδαίμων ὅστις ἐν ἅλμῃ πρῶτον τριχίδων ἀπεβάφθη.*

Antiatticista Bekkeri p. 82, 23. *Ἁλμαία: Ἀριστοφάνης Ὁλκάσιν „ἁλμαίαν πιών."* Phrynichus ibidem p. 22, 28. *Ἁλμαίαν: τὴν ἅλμην, ὡς Ἀθηνᾶ Ἀθηναία, πύλη πυλαία, ὥρα ὡραία.*

367

Photius p. 517, 13.

*Σκαφίδας, μάκτρας, Μοσσυνικὰ μαζονομεῖα.*

Nomen fabulae cognoscitur ex Polluce X, 84. 102. Ex eodem versu fortasse sunt verba *ὕρχας οἴνου* apud Pollucem X, 76. *Ἐν δὲ τοῖς ἀγγείοις τάττοιτο ἂν καὶ ἃς εἴρηκεν Ἀριστοφάνης ἐν Ὁλκάσιν „ὕρχας οἴνου."* Idem VI, 14. *Εἰ δὲ καὶ Ἀριστοφάνης ὠνόμασεν ὕρχας οἴνου, δηλοῖ τὸ προσεοικὸς τῷ βίκῳ κεράμιον. ἔστι δὲ Αἰολικὸν τοὔνομα.* In Vespis v. 676. nunc legitur *ὕρχας, οἶνον.*

368

Eustathius p. 1534, 47.

*Σπυρὶς οὐ μικρὰ καὶ κωρυκὶς, ἣ καὶ τοὺς μάττοντας ἐγείρει.*

Ex Holcadibus haec esse petita ex Pollucis verbis colligitur X, 172.

369

Hesychius, *Ἀπεσφακέλισεν: ἐσάπη. Ἀριστοφάνης Ὁλκάσιν. οἱ δὲ ἰατροὶ τὴν ἐκ σήψεως* (codex *ὄψεως*) *μελανίαν. ἢ ἀντὶ τοῦ προσεσπάσθη. ἢ αἰφνιδίως ἀπέθανεν.* Conf. Suidas, grammaticus Bekkeri p. 422, 24. Zonaras vol. I. p. 270. Etymolog. M. p. 120, 13.

370

Pollux IX, 60. *Καὶ τὸ δραχμῆς ἄξιον δραχμιαῖον, ὡς ἐν Ἀριστοφάνους Ὁλκάσιν.*

371

Harpocratio, *Ἐπίγειον: — τὰ πρυμνήσια ἐπίγεια ἔλεγον. — Ἀριστοφάνης Ὁλκάσι.*

372

Pollux X, 173. *Φαίης δ' ἂν κατ' Ἀριστοφάνην λέγοντα ἐν Ὁλκάσι καὶ παττάλους ἐκκρούειν καὶ σκύταλον ὑποσίδηρον καὶ σμινύδας καὶ ἀγκαλίδας.* *σκύταλον* fortasse in *σκυτάλιον* mutandum. Scholiasta Avium v. 1283. *Τοῦ δὲ σκυτάλιον τὸ α ἐκτείνεται, ὡς ἐν Ὁλκάσιν.*

373

Scholiasta Lysistratae v. 723. *Τροχιλία δέ ἐστιν ὁ τροχὸς τοῦ ξύλου τοῦ φρέατος, δι' οὗ ἱμῶσι. διδήλωται δὲ περὶ τούτου καὶ ἐν Ὁλκάσι.*

374

Stephanus Byzant. *Φᾶσις: πόλις τῆς Αἴας — τὸ ἐθνικὸν — καὶ Φασιανὸς, ὡς Ἀριστοφάνης ἐν Ὁλκάσι.*

375

Pollux I, 83. *Λέγοιτο δ' ἂν ταχεῖα ναῦς καὶ ταχυναυτοῦσα καὶ δρομάδες ὁλκάδες, ὡς Ἀριστοφάνης.*

---

## *ΠΕΛΑΡΓΟΙ.*

376

Scholiasta Platonis Clarkianus apud Bekkerum p. 330. *Μέλητος δὲ τραγῳδίας φαῦλος ποιητής, Θρᾷξ γένος, ὡς Ἀριστοφάνης Βατράχοις* (v. 1309.), *Πελαργοῖς Λαΐου υἱὸν αὐτὸν λέγων, ἐπεὶ ᾧ ἔτει οἱ Πελαργοὶ ἐδιδάσκοντο, καὶ ὁ Μέλητος Οἰδιπόδειαν ἔθηκεν* (*καθῆκεν* Meinekius), *ὡς Ἀριστοτέλης Διδασκαλίαις. ἐν δὲ Γεωργοῖς ὡς Καλλίαν περαίνοντος αὐτοῦ μέμνηται.*

377

Scholiasta Vesparum v. 1231. *Ἀδμήτου λόγον: καὶ τοῦτο ἀρχὴ σκολίου. — καὶ ἐν Πελαργοῖς*

*Ὁ μὲν ᾖδεν Ἀδμήτου λόγον πρὸς μυρρίνην,*
*ὁ δ' αὐτὸν ἠνάγκαζεν Ἁρμοδίου μέλος.*

378

Herodianus Piersoni p. 462. exscriptus ab Thoma Mag. p. 791.

*Ἀπεσημηνάμην*
*τὰς τῶν κακούργων οἰκίας.*

379

Athenaeus IX. p. 387 f.

*Ἀτταγᾶς ἥδιστον ἕψειν ἐν ἐπινικίοις κρέας.*

380

Athenaeus IX. p. 368 e.

*Κεφαλάς τ' ἀρνῶν, κωλᾶς ἐρίφων.*

381

Pollux X, 174. *Ἀριστοφάνους ἐν Πελαργοῖς „Χαλκώματα, προσκεφάλαια."* Idem VII, 105. *Χαλκώματα δὲ Ἀριστοφάνης ἐν Πελαργοῖς.*

382

Athenaeus VI. p. 247 a.

*Ἣν γὰρ ἕν' ἄνδρ' ἄδικον σὺ διώκῃς,*
*ἀντιμαρτυροῦσι*
*δώδεκα τοῖς ἑτέροις ἐπισίτιοι.*

383

Moeris p. 92. *Βαλανεὺς παρὰ Πλάτωνι καὶ Ἀριστοφάνει ἐν Πελαργοῖς.* Huius vocabuli cum in superstitibus fabulis plura sunt exempla tum in perditae fragmento apud Pollucem X, 63. *Ἀρύταινα — Ἀριστοφάνους εἰπόντος*

*Βαλανεὺς δ' ὠθεῖ ταῖς ἀρυταίναις.*

384

Antiatticista Bekkeri p. 111, 7. *Ὀβολίας ἄρτους: τοὺς ὀβολοῦ πωλουμένους. Ἀριστοφάνης Πελαργοῖς.* Conf. fragm. 158.

385

Harpocratio, *Οἰκίσκῳ: — ἐκάλουν δὲ οἱ Ἀττικοὶ τὸ ὑφ' ἡμῶν λεγόμενον ὀρνιθοτροφεῖον οἰκίσκον. Ἀριστοφάνης Πελαργοῖς.* Photius p. 319, 4. *Οἰκίσκος: περδικοτροφεῖον Πελαργοῖς.*

386

Scholiasta Pluti v. 84. *Πατροκλέους: εἷς ἦν τῶν τὸν Λακωνικὸν βίον ζηλούντων Ἀθηναίων, πλούσιος μὲν σφόδρα, ἄλλως δὲ κακόβιός τις καὶ φιλοχρήματος καὶ σκνιφὸς κωμῳδεῖται, ὡς ἐν Πελαργοῖς εἴρηται περὶ τούτου, ὅστις ἕνεκεν τῆς φειδωλίας οὐδένα προσίεσθαι εἶα φυλακῆς ἕνεκα τῶν χρημάτων καὶ γλίσχρου βίου.* Similiter Suidas in *Πατροκλῆς.*

387

Scholiasta Pluti v. 665. *Νεοκλείδης: — εἴρηται δὲ καὶ ἐν Πελαργοῖς περὶ αὐτοῦ ὅτι ῥήτωρ καὶ συκοφάντης.*

---

## ΠΟΙΗΣΙΣ.

388

*Ποίησις* in fabulis spuriis ab quibusdam Archippo ribatis numeratur ab grammatico supra memorato. Ex Antiphanis *Ποιήσει* longum fragmentum attulit Atheaeus VI. p. 222 a., ubi Casaubonus Aristophanis noen restituebat. Aristophanis *Ποίησιν* citat Priscianus XVIII. p. 1198. Putsch. (vol. II. p. 202. ed. Krehl.) „*Attici παρὰ σὲ pro παρὰ σοὶ, quomodo et os apud te. Aristophanes Ποιηχει* (*Ποιήσει* Brunckius) *Γυναῖκα δὲ ζητοῦντες ἕνα δ' οἶκον νυνὶ ἐᾶς να εἶ παρά σε.*" Quae in codice Monacensi ita cripta sunt *ΓΥΝΑΙΚΑ ΔΕ Ζ ΗΤΟΙΝΤΕC ΕΝΑ ΙΕΘΙΚΟΜΝΝΗΝ ΕΑCΙΝ ΕΙΝΑΙ ΠΑΡΑ CΕ.*

---

## ΠΟΛΥΙΔΟΣ.

389

Stobaeus LXVIII, 17. vol. III. p. 25.

*Ἰδοὺ δίδωμι τήνδ' ἐγὼ γυναῖκά σοι*
*Φαίδραν· ἐπὶ πῦρ δὲ πῦρ ἔοιχ' ἥξειν ἄγων.*

390

Stobaeus CXVIII, 16. vol. III. p. 451.

*Τὸ γὰρ φοβεῖσθαι τὸν θάνατον λῆρος πολύς·*
*πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν.*

Iterum versum, nisi quid apud Stobaeum turbatum it, sumpsit ab Sophocle, cuius ea sunt verba in lectra v. 1173.

391

Suidas in *ἀνάριστος*

*Τρέχω διὰ τῆς ἀγορᾶς ἀναρίστητος ὤν.*

392

Pollux IX, 31.

*Ἐλλιμενίζεις ἢ δεκατεύεις.*

393

Photius p. 13, 19. Suidas, Etymolog. M. p. 373, ). et Michael Apostolius IX, 9. p. 105. *Ἔρημον βλέπειν: ἀκίνητον καὶ νωθρόν. οἷον ὅταν εἰς ημίαν ἢ πέλαγος μέγα καὶ ἀχανὲς βλέπωμεν. ιστοφάνης Πολυΐδῳ.*

394

Etymolog. M. p. 451, 51. *Θησειότριψ: ὁ ἐν τῷ Θησείῳ διατρίψας. Ἀριστοφάνης Πολυΐδῳ. καὶ θησομύζειν δὲ ἐν τῷ αὐτῷ λέγεται.*

395

Moeris p. 286. *Οὐκ ἀπήρκει: ἀντὶ τοῦ οὐκ ἀπέχρη. Ἀριστοφάνης Πολυείδῳ.*

396

Pollux IX, 130. *Ἀριστοφάνης δὲ ἐν Πολυείδῳ καὶ προσεμφερὴς εἶπε.*

---

## ΣΚΗΝΑΣ ΚΑΤΑΛΑΜΒΑΝΟΥΣΑΙ.

397

Scholiasta Platonis Clarkianus p. 330. ed. Bekker. *Ἀριστοφάνης — ἐκωμῳδεῖτο ἐπὶ τῷ σκώπτειν μὲν Εὐριπίδην, μιμεῖσθαι δ' αὐτόν. — καὶ αὐτὸς δ' ἐξομολογεῖται Σκηνὰς καταλαμβανούσαις*

*Χρῶμαι γὰρ αὐτοῦ (φησὶ) τοῦ στόματος τῷ στρογγύλῳ,*
*τοὺς νοῦς δ' ἀγοραίους ἧττον ἢ 'κεῖνος ποιῶ.*

V. 2. *νοῦς ἀγοραίους*] Bekkeri Anecd. I. p. 339, 10. Priora Aristophanis verba attulit Plutarchus Moral. p. 30 d.

398

Photius p. 340, 22.

*Καὶ μὴν ἄκουσον, ὦ γύναι, θυμοῦ δίχα*
*καὶ κρῖνον αὐτὴ μὴ μετ' ὀξυρεγμίας.*

399

Pollux X, 67.

*Λήκυθον*
*τὴν ἑπτακότυλον, τὴν χυτραίαν, τὴν καλήν,*
*ἣν ἐφερόμην, ἵν' ἔχοιμι συνθεάτριαν.*

V. 3. *συνθεάτριαν* ex Aristophane affert Pollux IV, 121. Idem VI, 158. *Συνθεάτριαν δὲ καὶ συλλήστριαν καὶ σύγκοιτον Ἀριστοφάνης εἶπεν.* et II, 56. *Καὶ θεάτρια καὶ συνθεάτρια ἡ παλαιὰ κωμῳδία.* Quibus addimus cognata ex IV, 106. *Πρόσχορον δὲ Ἀριστοφάνης τὴν χορεύουσαν κέκληκε, τὴν δ' αὐτὴν καὶ συγχορεύτριαν.*

400

Athenaeus VII. p. 287 a.

*Ἀλλ' ἔχουσα γαστέρα*
*μεστὴν βοάκων ἀπεβάδιζον οἴκαδε.*

Sine nomine fabulae Etymolog. M. p. 218, 30. et partim Zonaras vol. I. p. 413.

401

Pollux VII, 157.

*Καὶ τῶν πλατυλόγχων διβολίαν ἀκοντίων.*

Idem X, 144. propter vocabulum *πλατυλόγχων* hunc versum afferens diversam praebet scripturam

*Καὶ τῶν πλατυλόγχων, ὡς ὁρᾷς, ἀκοντίων.*

402

Pollux VII, 202.

*Τὴν πόρδαλιν καλοῦσι τὴν κασαλβάδα.*

403

Athenaeus IV. p. 169 c. et Pollux X, 106.

*Τὴν κακκάβην γὰρ κάε τοῦ διδασκάλου.*

404

Pollux X, 114. „*Ὥσπερ κόσκινον αἰρόπινον τέτρηται.*"

405

Pollux X, 147. „*Τοῖχον μοχλίσκῳ καταβαλεῖν.*"

406

Scholiasta Equitum v. 422. „Ἀλλὰ συσπᾶσθαι δεῖ τὰς κοχώνας."

407

Hesychius, Οὐ γὰρ ἄχανθαι: παροιμία. Ἀριστοφάνης Σκηνὰς καταλαμβανούσαις

Οὐδ' ἴσως ἀντέλεγες τούτῳ τῷ δειπνίῳ· οὐ γὰρ ἄχανθαι.

408

Pollux X, 28. Τὸ κόρημα καλεῖται — τὸ κορούμενον ἐν Σκηνὰς καταλαμβανούσαις Ἀριστοφάνους.

409

Photius p. 404, 20. Πεζίδα: τὴν ὤαν τοῦ ἱματίου. Ἀριστοφάνης Σκηνὰς καταλαμβανούσαις.

410

Pollux X, 172. Τὴν δὲ πήραν πηρίδιον εἴποις ἄν, ὡς ἐν Σκηνὰς καταλαμβανούσαις Ἀριστοφάνης.

411

Hesychius, Τριτοστάτης: Ἀριστοφάνης ἐν Σκηναῖς. Corrige Τριτοστάτις. Pollux IV, 106. Καὶ τὴν γυναῖκα δὲ τριτοστάτιν Ἀριστοφάνης καλεῖ.

412

Harpocratio, Δήμαρχος: — ὅτι δὲ ἠνεχυρίαζον οἱ δήμαρχοι δηλοῖ Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις.

## ΤΑΓΗΝΙΣΤΑΙ.

413

Athenaeus X. p. 418 d.

Τί πρὸς τὰ Λυδῶν δεῖπνα καὶ τὰ Θετταλῶν;
τὰ Θετταλικὰ μὲν πολὺ καπανικώτερα.

414

Athenaeus XV. p. 677 b.

Τί οὖν ποιῶμεν; χλανίδ' ἐχρῆν λευκὴν λαβεῖν·
εἶτ' ἰσθμιακὰ λαβόντες ὥσπερ οἱ χοροὶ
ᾄδωμεν εἰς τὸν δεσπότην ἐγκώμιον.

415

Photius p. 13, 2.

Ἐρείδετον, κἀγὼ κατόπιν σφῷν ἕψομαι.

416

Suidas, Ἀπασκαρίζειν: —

Ἀπασκαρίζειν ὡσπερεὶ πέρκην χαμαί.

417

Suidas et grammaticus Bekkeri p. 439, 22. Ἀποχρώντως: —

Ἀλλὰ στεφάνωσαι· καὶ γὰρ ἡλικίαν ἔχεις
ἀποχρῶσαν ἤδη.

418

Scholiasta Nubium v. 360. et Suidas in Πρόδικος,

Τὸν ἄνδρα τόνδ' ἢ βιβλίον διέφθορεν,
ἢ Πρόδικος ἢ τῶν ἀδολεσχῶν εἷς γέ τις.

V. 2. Proclus vol. IV. p. 50. ed. Cousin.

419

Harpocratio, Ἀπολαχεῖν: ἀντὶ ἁπλοῦ τοῦ λαχεῖν. — Ἀριστοφάνης Ταγηνισταῖς

Οὐ μὴν ὅ γε σὸς ἀδελφὸς οὐκ ἀπελάγχανεν.

Conf. grammaticus Bekkeri p. 430, 9.

420

Athenaeus III. p. 110 f.

Λαμβάνετε κόλλαβον ἕκαστος.

421

Athenaeus III. p. 96 c.

Ἅλις ἀφύης μοι. παρατέταμαι γὰρ τὰ λιπαρὰ
κάπτων.
ἀλλὰ φέρεθ' ἡπάτιον, ἢ καπριδίου νέου
κόλλοπά τιν'· εἰ δὲ μή, πλευρόν, ἢ γλῶτταν, ἢ
σπληνός, ἢ νῆστιν, ἢ δέλφακος ὀπωρινῆς
ἠτριαίαν φέρετε δεῦρο μετὰ κολλάβων
χλιαρῶν.

Partes huius loci afferuntur ab Athenaeo III. p. 107 f. 110 f. IX. p. 374 f. scholiasta Equitum v. 642. Achar. v. 640. Suida in ἅλις, ἀφύα, θωπεύει et παρατέταμαι, Etymolog. M. p. 439, 44. Photio in νῆστις, Eustathio p. 1752, 16.

422

Athenaeus VII. p. 285 e.

Μηδὲ τὰ Φαληρικὰ τὰ μικρὰ τάδ' ἀφύδια.

423

Pollux X, 88.

Τὸ δ' ἔτνος ἐν ταῖς κυλίχναις τουτὶ θερμὸν καὶ
τοῦτο παφλάζον.

424

Athenaeus IV. p. 171 b.

Ὡς οὐψώνης διατρίβει
ἡμῶν τὸ ἄριστον ἔοικε.

τὸ delendum videtur.

425

Pollux X, 151.

Ὁ δὲ λύων κύστιν νέαν
κᾆτ' ἐξαιρῶν τοὺς Δαρεικούς.

426

Scholiasta Ranarum v. 295. Ἔνιοι δὲ (τὴν ἔμπουσαν) τὴν αὐτὴν τῇ Ἑκάτῃ, ὡς Ἀριστοφάνης ἐν Ταγηνισταῖς

Χθονία θ' Ἑκάτη
σπείρας ὄφεων ἐλελιζομένη.

εἶτα ἐπιφέρει „τί καλεῖς τὴν ἔμπουσαν;"

427

Athenaeus IX. p. 410 b.

Φέρε παῖ ταχέως κατὰ χειρὸς ὕδωρ
παράπεμπε τὸ χειρόμακτρον.

428

Athenaeus X. p. 422 f.

Ὑποπεπώκαμεν *, ὦνδρες, καὶ καλῶς ἠρίσταμεν.

429

Pollux X, 173. „Νεβρίδα καὶ λίθους παρίνας καὶ κηρύκιον."

430

Herodianus περὶ μονήρους λέξεως p. 8, 33. Τεταμενός, Δεξαμενός, Ἀκεσαμενός, Κλαυσαμενός· καλεῖται δὲ ἐν Μαλακοῖς· Ἀγχόμενος „γυναῖκα ἀντίτιος ἐν Ἀγχομενοῦ" Ἀριστοφάνης Ταγηνισταῖς.

431

Herodianus Piersoni p. 465. Ἀπέδραν ἐπὶ τοῦ πρῶτον πρόσωπον, οὐχὶ ἀπέδρων. καὶ ἀπέδραμεν ἡμεῖς τὸ πληθυντικόν. καὶ Ἀριστοφάνης ἐν τοῖς Ταγηνισταῖς „Δεῦρο δ' ἂν οὐκ ἀπέδραμεν." Ex codice Vaticano 1410. haec edidit Bekkerus in Anecdotis p. 1066. De ἀπέδραμεν dixit etiam Phrynichus Bekkeri p. 11, 1.

432

Galenus in commentario ad Hippocratis aphorismos vol. IX. parte II. p. 315. ed. Charter. *Ἀμφαρίστερον Ἀριστοφάνης εἶπεν ἐν Ταγηνισταῖς ἄνθρωπον ἀμφοτέρωθεν ἀριστερόν.*

433

Pollux X, 47. *Βάθρα, βαθράδια, ὡς ἐν Ταγηνισταῖς.*

434

Proverbio *Διὸς Κόρινθος* in Tagenistis usum esse Aristophanem tradit scholiasta Platonis p. 368.

435

Pollux X, 101. *Καὶ μὴν ἐσχάραν εἴποις ἂν τὸ ἀνθράκιον τοῦτο καὶ ἐσχάριον, Ἀριστοφάνους ἐν Ταγηνισταῖς εἰπόντος ἐσχάρια, καί που καὶ ἐσχαρίδα.*

436

Pollux VII, 149. *Τὸ δὲ εὐκαρπεῖν ἐν Ταγηνισταῖς καρπεύειν.*

Idem VII, 168. *Καὶ παραλοῦται δ' Ἀριστοφάνης ἐν Ταγηνισταῖς.*

437

Scholiasta Platonis p. 383. *Ἐκιρνῶντο ἐν ταῖς συνουσίαις κρατῆρες τρεῖς, καὶ τὸν μὲν πρῶτον Διὸς Ὀλυμπίου καὶ θεῶν Ὀλυμπίων ἔλεγον, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον σωτῆρος, — ἔλεγον δὲ αὐτὸν καὶ τέλειον, ὡς — Ἀριστοφάνης Ταγηνισταῖς.*

438

Harpocratio, *Κύπασσις: — οἱ γλωσσογράφοι χιτῶνος εἶδός φασιν αὐτὸν εἶναι τὸν κύπασσιν, οἱ μὲν γυναικείου, οἱ δὲ ἀνδρείου. μέμνηται δ' αὐτοῦ — καὶ Ἀριστοφάνης ἐν τοῖς Ταγηνισταῖς.*

439

Etymolog. M. p. 551, 23. (Gudian. 358, 22. ubi *κωνίσαι*) *Κωνῆσαι: — Ἀριστοφάνης δὲ ἐν Ταγηνισταῖς τὸ περιενεγκεῖν κωνῆσαι λέγει.*

440

Pollux X, 93. *Ἐν δὲ Ταγηνισταῖς ὠνόμασταί τι καὶ μελιτήριον ἄγγος.*

441

Pollux X, 119. *Ὅτι μὲν καὶ μυρίδιον εἴρηκε τὸ μύρον Ἀριστοφάνης ἐν Ταγηνισταῖς ἰστέον.*

442

Photius p. 383, 21. et Suidas, *Παραιξορουον* (sic sine accentu Photii codex, Suidas *παραιξοροῦσιν*): *Ἀριστοφάνης Ταγηνισταῖς. ἀπέδωκαν δὲ οἱ μὲν παιδιᾶς εἶδός τι, Εὐφρόνιος δὲ παροιμιωδῶς λέγεσθαι ἐπὶ τῶν παρακελευομένων ταχέως ἥκειν ἢ ἀπαλλάττεσθαι.* Corruptiora haec praebet Apostolius Proverb. XV, 60. p. 198. Illi autem *παραιξορουσον* nescio an ex Iliad. *γ*, 325. lux sit petenda, *Πάριος δὲ θοῶς ἐκ κλῆρος ὄρουσεν.* Forsse igitur dici solitum est *Πάρι ἐξόρουσον*, favetque huic coniecturae quod Euphronius dicit *ταχέως*, respondens Homerico *θοῶς*.

443

Photius, *Σπινός: διὰ τοῦ ἑνὸς ν λέγουσιν. Ἀριστοφάνης Ταγηνισταῖς.* Vera scriptura *σπίνος* est: vide Herodianum *περὶ μονήρους λέξεως* p. 39, 34.

444

Athenaeus VI. p. 269 e. ubi priscae vitae descriptiones ex aliis comicis attulit, ita pergit, *Τί δεῖ πρὸς τούτοις ἔτι παρατίθεσθαι τὰ ἐκ Ταγηνιστῶν τοῦ χαρίεντος Ἀριστοφάνους;*

445 a

Stobaeus CXXI, 18.

*Καὶ μὴν πόθεν Πλούτων γ' ἂν ὠνομάζετο,*
*εἰ μὴ τὰ βέλτιστ' ἔλαχεν; ἕν δέ σοι φράσω,*
*ὅσῳ τὰ κάτω κρείττω 'στὶν ὧν ὁ Ζεὺς ἔχει.*
*ὅταν γὰρ ἱστῇς, τοῦ ταλάντου τὸ ῥέπον*
*κάτω βαδίζει, τὸ δὲ κενὸν πρὸς τὸν Δία.*

445 b

Scholiasta Pacis v. 1174. *Σαρδιανικόν: διαφέρουσι γὰρ αἱ Λυδικαὶ βαφαί. — καὶ ἐν Ταγηνισταῖς δὲ τῇ λέξει κέχρηται.*

---

## *ΤΕΛΜΗΣΣΗΣ.*

446

Aristides vol. I. p. 277, 6. Iebb. *Ἡ κωμῳδία γε τὸ λοιπόν ἐστιν, ἔλεγον δὲ ἀναφέρων εἰς τοὺς Τελμισέας τοῦ Ἀριστοφάνους ὡς ἐκεῖ λόγῳ τις ἠγωνίζετο, ἔργῳ δὲ οὔ.* Quae nihilo clariora redduntur versibus ab scholiasta Platonis servatis p. 335. *Ἐν δὲ τοῖς Ἀριστοφάνους Τελμισσεῦσι τὸ τέως ἀντὶ..τοῦ πρότερον κεῖται*

*Οὐ γὰρ τίθεμεν τὸν ἀγῶνα τόνδε τὸν τρόπον*
*ὥσπερ τέως ἦν, ἀλλὰ καινῶν πραγμάτων.*

447

Athenaei epitome II. p. 49 c.

*α. Τράπεζαν ἡμῖν φέρε*
*τρεῖς πόδας ἔχουσαν, τέτταρας δὲ μὴ 'χέτω.*
*β. καὶ πόθεν ἐγὼ τρίπουν τράπεζαν λήψομαι;*

Ex Athenaeo attulit Eustathius p. 1398, 17. Idem p. 867, 25. *πέπαικται τὸ Οἴμοι πῶς ἂν εὕροιμι τρίπουν τράπεζαν;* Versum tertium ex *Τελμησεῦσιν* affert Pollux X, 80. Idem VI, 83. *Καὶ τρίποδες —. καὶ ἔστι τοὔνομα — καὶ ἐν Τελμισεῦσιν Ἀριστοφάνους.*

448

Pollux X, 72.

*Οἴνου τε Χίου στάμνον ἥκειν καὶ μύρον.*

449

Pollux X, 82.

*Πινακίσκον ἄπυρον ἰχθυηρόν.*

450

Stephanus Byzant. *Τελμισσός: — ὁ πολίτης Τελμισσεύς. καὶ δρᾶμα Ἀριστοφάνους Τελμισσεῖς. λέγεται καὶ τετρασυλλάβως Τελεμισσεῖς, ὡς αὐτὸς ἐν αὐτῷ*

*Ὡς ἄν τις ἂν οὖν ᾖ τι ποιήσας ὡς Τελεμισσεῖς.*

*καὶ πάλιν*

*Φέρε δὴ τοίνυν ταῦθ' ὅταν ἔλθῃ, τί ποιεῖν χρή*
*μ', ὦ Τελεμισσεῖς;*

*ἔστι δὲ τὸ μέτρον ἀναπαιστικὸν τετράμετρον καταληκτικόν, οὗ πρὸ τῆς τελευταίας συλλαβῆς ἀνάπαιστος τάττεται, σπανιαίτατα δὲ σπονδεῖος.* Prior versus aperte corruptus. *ἦτι* codex Vratislaviensis, *ἦτι* Vossianus. Vulgo *ὅτι*. Ceterum Aristophanes scripserat *Τελεμησῆς*.

451

Hesychius, *Μετάλλειον μύρον: Ἀριστοφάνης*

*Μεταπέμπου νῦν ταῦτα σπουδῇ καὶ μύρον, εὕρημα Μετάλλου.*

*Μέταλλος γάρ τις Σικελιώτης τὴν τοῦ Μεταλλείου μύρου κατασκευὴν εὗρε. μνημονεύει δὲ καὶ Φερεκράτης ἐν τῇ Πετάλῃ.* Ab aliis *Μέγαλλος* vocatur, de quo dicetur ad locum Athenaei XV. p. 690 f. *Τὸ Μεγάλλιον· ὠνομάσθη γὰρ καὶ τοῦτο ἀπὸ Μεγάλλου τοῦ Σικελιώτου. οἱ δ' Ἀθηναῖόν φασιν εἶναι τὸν Μέγαλλον. μνημονεύει δ' αὐτοῦ Ἀριστοφάνης ἐν Τελμισσεῦσι καὶ Φερεκράτης ἐν Πετάλῃ.* In Aristophanis versu eam scripturam diserte testatur Etymolog. M. p. 587, 7.

452

Athenaeus VII. p. 308 f. ubi de *κορακίνοις* agit, ex *Τελμισσεῦσιν* affert verba *Μελανοπτερύγων κορακίνων.*

453

Grammaticus Bekkeri p. 386, 6. *Ἀλφιτόχρωτος κεφαλῆς: τῆς πολιᾶς. Τελμισσεῦσιν Ἀριστοφάνης.* Conf. Hesychium et Eustathium p. 868, 37. 976, 53.

454

Hesychius, *Πύλαι: Ἀριστοφάνης Τελμισσεῦσιν ἀπὸ* (*ἐπὶ* Heinsius) *τῶν θυτῶν λέγει. ἐκεῖνοι γὰρ ἐπισκέπτονται τὰς ἐκτροπὰς τοῦ ἥπατος καὶ τὰς φλέβας.*

455

Harpocratio, *Σιπύαι — Ἀριστοφάνης Τελμισσεῦσιν.*

456

Etymolog. M. p. 142. 143. *Ἀρίστυλλος: ὄνομα παρ' Ἀριστοφάνει. εἴρηται δὲ ὑποκοριστικῶς ὁ Ἀριστοκλῆς. — οὕτως Ἡρωδιανὸς εἰς τὴν Ἀπολλωνίου εἰσαγωγὴν ἢ περὶ παθῶν. Διογένης* (*διογενιανὸς* codex Augustanus) *ἀντὶ τοῦ ἄριστος. καὶ Ἀριστοφάνης ἐν Τελμισοῖς.* Codex Augustanus apud Tittmannum ad Zonaram I. p. CXXVI. post *παρ' Ἀριστοφάνει* addere dicitur *ἐν τελμησοῖς.* Quod si ita est, suspicor eum postrema *καὶ Ἀριστοφάνης ἐν Τελμισοῖς* omittere. Aristylli nomen legitur in Ecclesiaz. v. 674. in Pluto v. 314.

457

Scholiasta Platonis Clarkianus p. 331. *Ἀριστοφάνης δ' ἐν Τελμισσεῦσιν εἰς συκοφάντην ἀποσκώπτει τὸν Χαιρεφῶντα.*

---

## *ΤΡΙΦΑΛΗΣ.*

458

Scholiasta Platonis p. 380. *Ὁμοῦ σημαίνει τὸ ἐγγύς. — Ἀριστοφάνης Τριφάλητι· ἡ γὰρ τὸν Τριφάλητα τίκτουσά φησι*

*Λάβεσθε· καὶ γάρ ἐσθ' ὁμοῦ.*

Ad hanc Triphaletis matrem Suevernius in commentatione de *Γήρᾳ* p. 44. refert versum ab Polluce sine fabulae indicio allatum II, 6.

*Ἥτις κύουσ' ἐφάνη κύος τοσουτονί.*

459

Hesychius, *Ἰλάων: ἥρως, Ποσειδῶνος υἱός, ἀφ' οὗ Ἀριστοφάνης ἐν Τριφάλητι Ἰλάονας ἔφη τοὺς Φάλητας, μεταφέρων ὡς ὑπερβάλλοντας τῷ μεγέθει, ὡς εἰ ἔλεγε Τιτυούς, ἤ τινας τοιούτους. ἄλλοι δὲ θεὸν πριαπώδη φασίν.*

460

Athenaeus XII. p. 525 a. — *καὶ Ἀριστοφάνης Τριφάλητι παρακωμῳδῶν πολλοὺς τῶν Ἰώνων*

*Ἔπειθ' ὅσοι παρῆσαν ἐπίσημοι ξένοι*
*ἐπηκολούθουν κἠντιβόλουν προσκείμενοι*
*ὅπως ἔχων τὸν παῖδα πωλήσει 'ς Χίον,*
*ἕτερος δ' ὅπως ἐς Κλαζομενάς, ἕτερος δ' ὅπως*
*ἐς Ἔφεσον, οἱ δ' ἐς Ἄβυδον. ἦν δὲ πάνθ' ὁδοῦ ἐκεῖνα.*

461

Scholiasta Vesparum v. 1339. in codice Veneto. *Φιαλεῖς: τῷ ἔργῳ ἐπιβαλεῖς. Ὅμηρος „Αἰτὸς γὰρ ἐπίηλε τάδε ἔργα.“ — ἐν δὲ Τριφάλησιν Ἀριστοφάνης „Κοὐδὲν ἄνδρα εἰς ἄτοπον οὐδ' ἀνεπιφλαι μέν (ἂν ἐπιήλαμεν;).“*

462

Pollux IX, 90.

*Ἤιτουν τι τὰς γυναῖκας ἀργυρίδιον.*

463

Pollux X, 121. *Ἀλαβαστοθήκας τῶν ἄλλων λεγόντων Ἀριστοφάνης ἐν Τριφάλητι ἀλαβαστροθήκας ἔφη*

*Ἀλαβαστροθήκας τρεῖς ἔχουσαν ἐκ μιᾶς.*

464

Pollux X, 151.

*Ἔπειτ' ἐπὶ τοὔψον ἧκε τὴν σπυρίδα λαβὼν*
*καὶ θυλακίσκον καὶ τὸ μέγα βαλάντιον.*

465

Pollux X, 162.

*Καὶ τὴν κυνῆν ἔχειν με κυρβασίαν ἐρεῖς.*

466

Photius p. 613, 4. et Suidas in *τῶν τριῶν κακῶν ἕν*

*Ἐγὼ γὰρ ἀπὸ Θηραμένους δέδοικα τὰ τρία ταυτί.*

467

Stephanus Byzant. in v. *Ἰβηρία δύο* in particula operis integri, quam servavit Constantinus Porphyrog. de administrando imperio cap. XXIII. p. 77. ed. Bandur. *Τὸ ἔθνος Ἴβηρες, ὡς Πίερες, Βύζηρες — καὶ Ἀριστοφάνης Τριφάλητι*

*Μανθάνοντες τοὺς Ἴβηρας τοὺς Ἀριστάρχου πάλαι·*

*καὶ*

*Τοὺς Ἴβηρας οὓς χορηγεῖς μοι βοηθῆσαι δρόμῳ.*

468

Hesychius, *Ἑρμῆς τρικέφαλος: Ἀριστοφάνης ἐν Τριφάλητι τοῦτο ἔφη, παίζων κωμικῶς παρόσον τετρακέφαλος Ἑρμῆς ἐν τῇ τριόδῳ* (*πρὸς* addit Alberti: *τοῦ Κεραμεικοῦ* corrigit Kusterus) *τῷ Κεραμεικῷ ἵδρυτο.*

469

Harpocratio, *Διὰ μέσου τεῖχος: — τριῶν ὄντων τειχῶν ἐν τῇ Ἀττικῇ, ὡς καὶ Ἀριστοφάνης φησὶν ἐν Τριφάλητι, τοῦ τε βορείου καὶ τοῦ νοτίου καὶ τοῦ Φαληρικοῦ, διὰ μέσου τούτων ἐλέγετο τὸ νότιον, οὗ μνημονεύει καὶ Πλάτων ἐν Γοργίᾳ* (p. 456 a.).

---

## *ΦΟΙΝΙΣΣΑΙ.*

470

Pollux X, 119.

*Στίλβη θ', ἣ κατὰ νύκτα μοι*

φλόγ' ἀνασειράζεις ἐπὶ τῷ
λυχνείῳ.

471

Athenaeus IV. p. 154 e.

Ἐς Οἰδίπου δὲ παῖδε, διπτύχω κόρω,
Ἄρης κατέσκηψ' ἔς τε μονομάχου πάλης
ἀγῶνα νῦν ἑστᾶσιν.

472

Pollux X, 17.

Καὶ τὸν ἱμάντα μου
ἔχουσι καὶ τἀνάφορον.

473

Suidas et grammaticus Bekkeri p. 370, 2. (apud Bachmannum I. p. 60.) Ἀκαλήφη: ἡ κνίδη καὶ ἡ χερσαία καὶ ἡ θαλαττία, ἥτις ἐστὶ κογχυλίδιόν τι. Ἀριστοφάνης Φοινίσσαις

Εἰκὸς δήπου πρῶτον ἁπάντων
ἴφυα φῦναι
καὶ τὰς κρανάας ἀκαλήφας.

Conf. Athenaeum II. p. 62 d. III. p. 90 a. Ἀκαλῆφαι ex hoc loco schol. Vesp. v. 879.

474

Pollux X, 155. Γαλεάγρα —. Ἀριστοφάνης δὲ ἐν Φοινίσσαις κέχρηται τῷ ὀνόματι.

475

Pollux VII, 199. Ἐν ταῖς Ἀριστοφάνους Φοινίσσαις θεατροπώλης ὁ θέαν ἀπομισθῶν.

## ΩΡΑΙ.

476

Athenaeus IX. p. 372 b.

α. Ὄψει δὲ χειμῶνος μέσου σικυοὺς, βότρυς, ὀπώραν,
στεφάνους ἴων * * * κονιορτὸν ἐκτυφλοῦντα.
αὐτὸς δ' ἀνὴρ πωλεῖ κίχλας, ἀπίους, σχαδόνας, ἐλάας,
πυὸν, χόρια, χελιδόνια, τέττιγας, ἐμβρύεια.
ὑρισσοὺς δ' ἴδοις ἂν νιφομένους σύκων ὁμοῦ τε μύρτων·
ἔπειτα κολοκύντας ὁμοῦ ταῖς γογγυλίσιν ἀροῦσιν.
ὥστ' οὐκ ἔτ' οὐδεὶς οἶδ' ὁπηνίκ' ἐστὶ τοὐνιαυτοῦ.
β. μέγιστον ἀγαθὸν εἶπες, εἴπερ ἔστι δι' ἐνιαυτοῦ
ὅτου τις ἐπιθυμεῖ λαβεῖν. α. κακὸν μὲν οὖν μέγιστον.
εἰ μὴ γὰρ ἦν, οὐκ ἂν ἐπεθύμουν οὐδ' ἂν ἐδαπανῶντο.
ἐγὼ δὲ τοῦτ' ὀλίγον χρόνον φήσας ἀφειλόμην ἄν.
β. κἄγωγε ταῖς ἄλλαις πόλεσι δρῶ ταῦτα πλὴν Ἀθηνῶν·
τούτοις δ' ὑπάρχει ταῦτ', ἐπειδὴ τοὺς θεοὺς σέβουσιν.
α. ἀπέλαυσαν ἄρα σέβοντες ὑμᾶς, ὡς σὺ φῄς.
β. τιὴ τί;
α. Αἴγυπτον αὐτῶν τὴν πόλιν πεποίηκας ἀντ' Ἀθηνῶν.

477

Pollux VII, 13.

Ἐμοὶ
κράτιστόν ἐστιν εἰς τὸ Θησεῖον δραμεῖν,
ἐκεῖ δ' ἕως ἂν πρᾶσιν εὕρωμεν μένειν.

478

Scholiasta Avium v. 874.

Τὸν Φρύγα, τὸν αὐλητῆρα, τὸν Σαβάζιον.

Cicero de legibus II, 15. „*Novos vero deos et in his colendis nocturnas pervigilationes sic Aristophanes, facetissimus poeta veteris comoediae, vexat ut apud eum Sabazius et quidam alii dii peregrini iudicati e civitate eiiciantur.*"

479

Ammonius p. 41.

Διέφθορας τὸν ὅρκον ἡμῶν.

Idem Ammonius in v. ὑπάγειν p. 140. — καὶ Ἀριστοφάνης

Ἐγὼ δ' ὑπερῶ τὸν ὅρκον.

ἀντὶ τοῦ προερῶ. Haec quoque ad Horas refert Burmannus.

480

Grammaticus Bekkeri p. 425, 3. Ἀπιχθύς: τοὺς οὐκ ἐσθιομένους ἰχθῦς. Ἀριστοφάνης Ὥραις.

481

Hesychius, Ἀρᾶς ἱερόν: ἱερὸν Ἀρᾶς Ἀθήνησιν. Ἀριστοφάνης Ὥραις. ἔνιοι δὲ τὴν βλάβην λέγειν αὐτὸν ἐνόμισαν.

482

Pollux X, 160. Ἀσκοπήρα, ὡς ἐν ταῖς Ὥραις Ἀριστοφάνους.

483

Hesychius, Διχαστικόν: Ἀριστοφάνης ἐν Ὥραις τριώβολόν φησιν εἶναι. οὐ μέντοι ἕστηκεν, ἀλλ' ἄλλοτε ἄλλως ἐδίδετο.

484

Hesychius, Ζεῦγος τριπάρθενον: — Ἀριστοφάνης Ὥραις καταχρηστικῶς ἐπὶ τῶν τριῶν τὸ ζεῦγος ἔθηκε „Ζεῦγος τριδούλων (τρίδουλον Salmasius)."

485

Pollux VII, 187. Χοιροπῶλαι, ὡς Ἀριστοφάνης ἐν Ὥραις.

486 a

Scholiasta Platonis Clarkianus p. 331. Χαιρεφῶντα Ἀριστοφάνης ἐν Ὥραις νυκτὸς παῖδα καλεῖ.

486 b

Scholiasta Vespar. v. 1178. Θεογένης Ἀχαρνεὺς, ὃν καὶ ἐπὶ τῷ μεγάλα ἀποπαρδεῖν κωμῳδοῦσιν. δῆλον δὲ ἐν ταῖς Ὥραις.

## ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ.

487

Scriptor vitae Aristophanis p. XVII. — (Ἀριστοφάνης) μετήλλαξε τὸν βίον παῖδας καταλιπὼν τρεῖς, Φίλιππον ὁμώνυμον τῷ πάππῳ καὶ Νικόστρατον καὶ Ἀραρότα. — τινὲς δὲ δύο φασὶ, Φίλιππον καὶ Ἀραρότα, ὧν καὶ αὐτὸς ἐμνήσθη

Τὴν γυναῖκα δὲ
αἰσχύνομαι τώ τ' οὐ φρονοῦντε παιδίω,

ἴσως αὐτοὺς λέγων.

488

Athenaei epitome II. p. 53 a.

Ἄγε νυν τὰς ἀμυγδαλᾶς λαβὼν
τασδὶ κάταξον τῇ κεφαλῇ σαυτοῦ λίθῳ.

**489**

**Athenaeus VII. p. 310 f.**

*Λάβραξ ὁ πάντων ἰχθύων σοφώτατος.*

**490**

**Athenaeus X. p. 444 d.**

*Ἡδύς γε πίνειν οἶνος Ἀφροδίτης γάλα.*

**491**

**Athenaeus X. p. 446 d.**

*Πικρότατον οἶνον τήμερον πίει τάχα.*

**492**

**Athenaeus XI. p. 485 a.**

*Τὸ δ' αἷμα λέλαφας τοὐμὸν, ὦναξ δέσποτα.*

**493**

**Athenaeus XIV. p. 652 f.**

*Οὐδὲν γὰρ ὄντως γλυκύτερον τῶν ἰσχάδων.*

**494**

**Athenaeus XV. p. 701 b.**

*Ἐκφέρετε πεύκας κατ' Ἀγάθωνα φωσφόρους.*

**Fortasse ex Thesmophoriazusis secundis.**

**495**

**Choeroboscus apud Bekkerum p. 1247.** *Παρὰ Ἀριστοφάνει περισπωμένως „Ἧκετον πρεσβῆ δύο."* **Ioannes Alexandrinus p. 14, 24.** *Τὰ δύο εε εἰς η συναιροῦσιν Ἀθηναῖοι —*

*Καὶ πρός γε τούτοις ἥκετον πρέσβη δύο.*

**496**

**Choeroboscus apud Bekkerum p. 1399.** *Μύκης: — σημαίνει δὲ καὶ τοὺς ἀμανίτας τοὺς περὶ τὰ δένδρα γινομένους, ὡς παρὰ Ἀριστοφάνει*

*Ὀπτοὺς μύκητας πρινίνους.*

**497**

**Clemens Alexandrinus Stromat. VI. p. 745.**

*Αἰσχρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ.*

**498**

**Clemens Alexandrinus Stromat. VI. p. 751.**

*Βέβαιον ἕξεις τὸν βίον δίκαιος ὢν*
*χωρίς τε θορύβου καὶ φόβου ζήσεις καλῶς.*

**499**

**Scholiasta Platonis p. 371.** *Ἄττα: τοῦτο ψιλούμενον μὲν τινά σημαίνει, δασυνόμενον δὲ ἅτινα. — ἐνίοτε δὲ ἐκ τοῦ περιττοῦ προστίθεται. — Ἀριστοφάνης Νεφέλαις* (v. 630.) *„Ὅστις σκαλαθυρμάτι' ἄττα μικρὰ μανθάνων." Ἐρατοσθένης δὲ χρονικῶς αὐτό φησι παραλαμβάνεσθαι*

*Πυθοῦ χελιδὼν πηνίκ' ἄττα φαίνεται·*

*καὶ πάλιν*

*Ὁπηνίκ' ἄτθ' ὑμεῖς κοπιᾶτ' ὀρχούμενοι.*

**Conf. Harpocratio et Suidas in** *ἄττα*, **Etymolog. M. p. 167, 46. Eustathius p. 148 extr. Philemo Burneii p. 16. Hesychius, Photius et Suidas in** *Πύθου.*

**500**

**Pollux II, 18.**

*Ἄλλαι δὲ κυαμίζουσιν αὐτῶν * **
*πρὸς ἄνδρας εἰσὶν ἐκπετήσιμοι σχεδόν.*

**501**

**Pollux II, 34.**

*Λούσησθε καὶ κτενίσησθε πρὸς τὸν ἥλιον.*

**502**

**Pollux II, 39.**

*Ἵνα μὴ καταγῇς τὸ σκάφιον πληγεὶς ξύλῳ.*

**503**

**Pollux II, 189.**

*Ἵνα ξυνῶσιν ᾧπερ ἥδεσθον βίῳ,*
*σκώληκας ἐσθίοντε καὶ μυλακρίδας.*

**504**

**Pollux II, 233.**

*Ὡς οὐχ ἕτερον ἄνδρα σάρκινον.*

**505**

**Pollux VI, 24.**

*Τί τὸ κακόν; ἀλλ' ἢ κοκκύμηλ' ἠκρατίσω;*

**Phrynichus Bekkeri p. 23, 15.** *Ἀκρατίσασθαι: τὸ μικρὸν ἐμφαγεῖν πρὸ τοῦ ἀρίστου. Ἀριστοφάνης „Ἀκρατιοῦμαι μικρόν."*

**506**

**Pollux VI, 80.**

*Ὀξυγλύκειάν τἄρα κοκκιεῖς ῥόαν,*

*τουτὶ δὲ τὸ ἰαμβεῖον Ἀριστοφάνης οὐκ ἴδιον ὂν εἴρηκεν, ἀλλ' ὡς Αἰσχύλου.*

**507**

**Pollux VII, 26.**

*Τὴν χύτραν,*
*ἐν ᾗ τὰ κρεάδι' ἧψες ἐζωμευμένα.*

**508**

**Pollux VII, 64.**

*Ἀνήσεις κροκύδα μαστιγουμένην.*

**509**

**Pollux VII, 67.**

*Ἀλλὰ τὸ στρόφιον λυθὲν*
*τὰ κάρυά μοὐξέπιπτεν.*

**510**

**Pollux VII, 108.**

*Πλὴν εἴ τις πρίαιτο δεόμενος*
*βασκάνιον ἐπὶ κάμινον ἀνδρὸς χαλκέως.*

**511**

**Pollux VII, 162.** *Λεπρᾶν | κεράμιον ὀξηρὸν ἀντὶ τοῦ μυδᾶν Ἀριστοφάνης λέγει.* **Idem VII, 161.** *κεράμιον ὀξηρὸν* **ex Aristophane memorat.**

**512**

**Pollux VIII, 17.** *Ἔνιοι δὲ οἴονται καὶ ἀνάγκην σκεῦος εἶναι δικαστικὸν εἰπόντος Ἀριστοφάνους*

*Οὐκ εἶ λαβὼν θύραζε τὰ ψηφίσματα*
*καὶ τὴν ἀνάγκην ἐς κόρακας ἐντευθενί;*

**513**

**Pollux X, 32.**

*Τὸ παραπέτασμα τὸ Κύπριον τὸ ποικίλον.*

**514**

**Suidas,** *Αὐαίνεται: ξηραίνεται. — ἡ πρώτη δασύνεται καὶ Ἀριστοφάνης*

*Ἐνταῦθα δὴ παιδάριον ἐξαυαίνεται.*

*καὶ ἑτέρωθι*

*Ὥστ' ἔγωγ' ηὐαινόμην*
*θεώμενος.*

**515**

**Photius p. 266, 16. et Suidas,** *Μηλῶσαι:*

*Τὴν φάρυγα μηλῶν δύο δραχμὰς ἕξει μόνας.*

**516**

**Photius p. 460, 8. et Suidas,** *Πρόσισχε:*

*Τὸ πρᾶγμα τοῦτο συλλαβεῖν ὑπίσχομαι.*

**517**

**Suidas,** *Σχέδιον: ἐκ τοῦ ἑτοίμου. καὶ Ἀριστοφάνης „Ταῦτα δὲ | σχεδίοις ἔοικε." τουτέστιν ἐκ τοῦ παρατυχόντος εἴρηται.*

518

Phrynichus Bekkeri p. 57, 14.

*Οὔκουν μ' ἐάσεις ἀναμετρήσασθαι τάδε;*

519

Grammaticus Bekkeri p. 400, 9. et Favorinus in Aldi Hortis Adonidis p. 16 a.

*Σὺ δ' οὐκ ἀνεῖχες αὐτὸν ὥσπερ εἰκὸς ἦν.*

520

Grammaticus Bekkeri p. 434, 5. *Ἀπόρρητα πάντα τὰ ἀπειρημένα καὶ ἀπηγορευμένα ἐν τοῖς νόμοις λέγουσιν. Ἀριστοφάνης*

*Οὕτως τι τἀπόρρητα δρᾶν ἔστι μέλει.*

Fortasse *ἔστιν μέλον.* Aliam coniecturam, *ἐτημέλει,* in diario nescio quo propositam vidi. Apud Suidam in *ἀπόρρητα* scriptum in editione Mediolanensi *οὐτό, τ' εἰπόρρητα δρᾶν ἔτι μέλλει.*

521

Etymolog. M. p. 61, 17.

*Γίγνωσκε τὸν ἄλεισόν τε καὶ τὰ γράμματα.*

522

Etymolog. M. p. 270, 45.

*Ὁρῶ γὰρ ὡς ὄμφακα διασαυλούμενον.*

523

Etymolog. M. p. 280, 28.

*Καταντιβολεῖτον αὐτὸν ὑποπεπτωκότες,*
*ἐκβαίνετον τὸν πατέρα τοῖς ὀρχήμασι.*

524

Etymolog. M. p. 298, 53.

*Καὶ τῶν πρὸς εἵλην ἰχθύων ὠπτημένων.*

525

Etymolog. M. p. 470, 34.

*Ἴκτινα παντόφθαλμον ἅρπαγα τρέφων.*

*ἅρπαγας τρέφων* Choeroboscus apud Bekkerum in annotatione ad locum Etymologi p. 901.

526

Etymolog. M. p. 526, 20. *Ἀριστοφάνης τὴν σκληρότητα Αἰσχύλου ἐνδεικνύμενος ἔφη*

*Οἶμαι γὰρ αὐτὸν κόλλοπι*
*ἐοικέναι.*

527

Etymolog. M. p. 682, 51.

*α. Ποῖ κῆχος; β. εὐθὺ Σικελίας.*

528

Eustathius p. 73. extr.

*Ἐπὶ τῷ ταρίχει τὸν γέλωτα κατέδομαι.*

529

Eustathius p. 959, 41. *Τὸ δὲ σῶς εὕρηται, φασί, καὶ θηλυκῶς. Ἀριστοφάνης*

*Οὕτω παρ' ἡμῖν ἡ πόλις μάλιστα σῶς ἂν εἴη.*

*λέγουσι δὲ καὶ σᾶ τὰ σῶα οἱ παλαιοί, παρ' οἷς καὶ σᾶ ἡ σώα. — Ἀριστοφάνης*

*Ἡ μᾶζα γὰρ σᾶ καὶ τὰ κρέα χὠ κάραβος.*

Excerpsit haec etiam Philemo in v. *σῷος.*

530

Eustathius p. 1166, 51.

*Ἐνδὺς τὸ γυναικεῖον τοδὶ χιτώνιον.*

531

Eustathius p. 1387, 4.

*Ἑστῶτας ὥσπερ τοὺς ὀρεωκόμους ἄθρους.*

532

Eustathius p. 1415, 62.

*Πόθεν δ' ἐγώ σοι συγγενής, ὦ φαρμακέ;*

533

Eustathius p. 1419, 52. *Καὶ δικαστήριον ἱστοροῦσιν Ἀθήνησιν ἐπώνυμον τῆς Παλλάδος. Ἀριστοφάνης*

*Ἄκων κτενῶ σε τέκνον·*
*ὁ δ' ὑπεκρίνετο*
*ἐπὶ Παλλαδίῳ τἄρ', ὦ πάτερ, δώσεις δίκην.*

*ἐδίκαζον δὲ κατὰ Παυσανίαν ἐκεῖ ἀκουσίους φόνους οἱ ἐφέται.*

534

Eustathius p. 1442, 2.

*Ἔφευγε, κἀγὼ τῆς ὑπαντὰξ εἰχόμην.*

535

Eustathius p. 1467, 35.

*Καὶ κύων ἀκράχολος*
*Ἑκάτης ἄγαλμα φωσφόρου γενήσομαι.*

Conf. grammaticus Bekkeri p. 327, 13.

536

Eustathius p. 1535, 20. postquam de formis vocabulorum *ἄρκος* et *ἀπαρκίας*, pro *ἄρκτος* et *ἀπαρκτίας* ab quibusdam usurpatis exposuit, ita pergit, *εἰ δὲ τοῦ ἄρκτου ὑπεξαιρεθέντος τοῦ τ, ὡς εἴρηται, οὐ γέγονε σημασίας ἐναλλαγή, οὐ μὴν οὐδὲ γελοιασμός, ἀλλ' ὁ κωμικὸς τὸ κάππα ἐξελὼν γέλωτα ἐκίνησεν εἰπὼν οὕτω*

*Ψελλόν ἐστι καὶ καλεῖ*
*τὴν ἄρκτον ἄρτον, τὴν δὲ Τυρὼ τροφαλίδα,*
*τὸ δ' ἄστυ σῦκα.*

537

Eustathius p. 1788, 20. *Ἐκ τοῦ Ὁμηρικοῦ ὦνου παρὰ τοῖς ὕστερον ἡ ὠνή. — εἰ δὲ ἀπ' αὐτῆς παρῆκται καὶ ἡ παρὰ τῷ κωμικῷ ὄνωνις, ἧς χρῆσις φέρεται παρὰ τοῖς τεχνικοῖς τὸ*

*Εἶτα δὴ*
*εἰς* (add. *τὴν*) *πόλιν ἄξεις τήνδε τὴν ὀνώνιδα;*

*οὐκ ἔστι βεβαίως ἀπισχυρίσασθαι. ὄνομα δὲ βοτάνης ἡ ὄνωνις, δι' ἧς ἐπ' ἀλογίᾳ ἴσως ὁ κωμικός τινα σκώπτει καὶ ῥᾳθυμίᾳ, ὡς τοῦ ὄνου καὶ νωθροῦ ὄντος.*

538

Theognostus in Bekkeri Anecdotis p. 1403.

*Λίθος τις ὤζησεν τεθυμιαμένος.*

539

Scholiasta Equitum v. 137.

*Ὤιμην δ' ἔγωγε τὸν Κυκλοβόρον κατιέναι.*

540

Scholiasta Equitum v. 254. *Εὐκράτης ἔφευγεν εὐθὺ τῶν κυρηβίων: ἔνθα αἱ κάγχρυς φρύγονται. κάγχρυς δέ εἰσιν αἱ λελεπισμέναι κριθαὶ ἀφ' ὧν ἡ πτισάνη. σκώπτει δὲ καὶ τὸν Εὐκράτην ὡς τοιαύτην τέχνην ἔχοντα. ἐν ἄλλοις γοῦν φανερωτέρως φησὶ „Καὶ σὺ κυρηβιοπῶλα Εὔκρατες στύπαξ."* Idem ad v. 129. *στυππειοπώλης: ὁ τὰ στυππεῖα πωλῶν, τουτέστι καννάβινα, λινᾶ. δηλοῖ δὲ τὸν Εὐκράτη καὶ τὴν ἐπ' αὐτοῦ πολιτείαν, ὃς στύππαξ ἐκαλεῖτο διὰ τὸ στυππιοπώλης εἶναι, ὡς καὶ ἐν ἑτέροις.*

541

Scholiasta Euripidis Medeae v. 46.

*Ἐβάδιζέ μοι τὸ μειράκιον ἐξ ἀποτρόχων.*

542

Scholiasta Ranarum v. 787. *Τῶν ἀντιλογιῶν: παρίστησιν αὐτοῦ τὸ περὶ τοὺς λόγους σαπρόν. καὶ ἐν ἄλλοις*

*Στρεψίμελος τὴν τέχνην Εὐριπίδης.*

Corrigendum videtur *στρεψίμαλλος.*

543

Scholiasta Pacis v. 1081. *Διακαυνιάσαι: — καῦνον τὸν κλῆρόν φασι. καὶ ἐν ἄλλοις „Πόσος ἐσθ' ὁ καῦνος;“*

544

Grammaticus Bekkeri p. 384, 3. *Ἀλοῶν: ἀντὶ τοῦ περιάγων, ὡς οἱ ἀλοῶντες βόες. οὕτως Ἀριστοφάνης*

*Ἀλοᾶν χρὴ τὰς γνάθους.*

545

Grammaticus Bekkeri p. 398, 26.

*Φράζε τοίνυν, ὡς ἐγώ σοι πᾶς ἀνέρριμμαι κύβος.*

Omisso poetae nomine Suidas in *ἀνέρριπτον.*

546

Pollux VI, 49. *Ἀριστοφάνης*

*Τὸν σαπέρδην ἀποτίλαι χρὴ*
*καὶ καταπλῦναι κἆτ' ἐκπλῦναι*
*καὶ διαπλῦναι.*

547

Pollux VI, 56.

*Χορδαὶ, φῦσκαι, πάσται, ζωμοὶ,*
*χόλικες.*

548

Pollux VI, 62.

*Πολφοὺς δ' οὐχ ἧψον ὁμοῦ βολβοῖς.*

549

Pollux IX, 154.

*Εἰχοβολοῦντες καὶ πλάττοντες.*

550

Athenaei epitome II. p. 67 d.

*Ἐν δὲ Κλεωναῖς ὀξίδες εἰσί.*

551

Athenaeus IV. p. 173 d.

*Ἀλλ' ὦ Δελφῶν πλείστας ἀκονῶν*
*Φοῖβε μαχαίρας*
*καὶ προδιδάσκων τοὺς σοὺς προπόλους.*

552

Sextus Empiricus adversus grammaticos I, 10. p. 264.

*Διάλεκτον ἔχοντα μέσην πόλεως*
*οὔτ' ἀστείαν ὑποθηλυτέραν*
*οὔτ' ἀνελεύθερον ὑπαγροικοτέραν.*

553

Clemens Alexandr. Stromat. VI. p. 749.

*Δύναται γὰρ ἴσον τῷ δρᾶν τὸ νοεῖν.*

554

Pollux VII, 143.

*Ὥστ' ἀνακύπτων καὶ κατακύπτων τοῦ σχήματος*
*οὕνεκα τοῦδε*
*κηλωνείου τοῖς κηπουροῖς.*

555

Pollux VII, 195.

*Κιρνάντες γὰρ τὴν πόλιν ἡμῶν κοτυλίζετε τοῖσι*
*πένησιν.*

556

Athenaei epitome II. p. 50 e.

*Ἐν τοῖς ὄρεσιν αὐτομάτοισιν τὰ μιμαίκυλα φύεται*
*πολλά.*

557

Scholiasta Acharnensium v. 519. et Suidas in *σίκιον*

*Σικύους ἐνθάδε πη φυομένους οὐδενὶ κόσμῳ περιόντες*
*κατήσθιον.*

558

Suidas, *Χιάζειν:* —

*Αὐτὸς δείξας ἐν θ' ἁρμονίαις χιάζων ἢ σιφνιάζων.*

559

Erotianus p. 204. *Κενέβρεια: τὰ νεκριμαῖα κρέα οὕτω καλοῦνται, ὡς καὶ Ἀριστοφάνης· „Οὐκ ἐσθ' ὃ κενέβρειον ὅταν θύῃς τι, καλεῖ με.“* Scholiasta Avium v. 538. *Κενεβρείων: τὰ θνησιμαῖα κρέα οὕτως ἐκάλουν. „Οὐκ ἔσται κενέβρειον ὅταν θύσῃ.“* Fortasse igitur scribendum

*Οὐκ ἔσται, κενέβρειον ὅταν θύσῃ τι, καλεῖν με.*

560

Grammaticus Bekkeri p. 343, 21.

*Τί γὰρ ἐπὶ κακότροπον ἐμόλετον βίον*
*ἀδικομηχάνῳ τέχνῃ;*

561

Suidas et grammaticus Bekkeri p. 415, 29. *Ἀριστοφάνης*

*Ῥήματά τε κομψὰ καὶ παίγνι' ἐπιδεικνύναι*
*πάντ' ἀπ' ἀκροφυσίων κἀπὸ κιναβευμάτων.*

562

Antiatticista p. 86, 3. *Βῆ: προβάτων φωνή. Ἀριστοφάνης*

*Θύτην μέλλει καὶ κελεύει βῆ λέγειν.*

563

Athenaei epitome I. p. 30 b. *Γίνεται δὲ ἐν Ἰκάρῳ, φησὶν Ἐπαρχίδης, ὁ Πράμνιος. ἔστι δὲ οὗτος γένος τι οἴνου. καὶ ἔστιν οὗτος οὔτε γλυκὺς οὔτε παχὺς, ἀλλ' αὐστηρὸς καὶ σκληρὸς καὶ δύναμιν ἔχων διαφέρουσαν, οἵῳ Ἀριστοφάνης οὐχ ἥδεσθαι Ἀθηναίους φησὶ λέγων τὸν Ἀθηναίων δῆμον οὔτε ποιηταῖς ἥδεσθαι σκληροῖς καὶ ἀστεμφέσιν οὔτε Πραμνίοις σκληροῖσιν οἴνοις συνάγουσι τὰς ὀφρῦς τε καὶ τὴν κοιλίαν, ἀλλ' ἀνθοσμίᾳ καὶ πέπονι νεκταροσταγεῖ.*

564

Athenaei epitome XI. p. 1127. ed. nostrae. *Ἐκαλεῖτο δὲ καὶ τὸ ἑταιρικὸν συνευωχούμενον φιλοτήσιον. Ἀριστοφάνης „Ἑπτάπους γοῦν ἡ σκιά 'στιν ἠ 'πὶ τὸ δεῖπνον· ὡς ἤδη καλεῖ μ' ὁ χορὸς ὁ φιλοτήσιος.“*

565

Aristides vol. I. p. 87, 19. *Ὃ δέ φησιν Ἀριστοφάνης περὶ Αἰσχύλου σκότον εἶναι τεθνηκότος, τοῦτ' ἄξιον καὶ περὶ τούτου (Ἀλεξάνδρου τοῦ Κοτυαέως) νῦν εἰπεῖν εἰς παιδείας λόγον.*

566

Plutarchus qui dicitur in vita decem oratorum p. 836 e. *Ἰσοκράτης Θεοδώρου μὲν ἦν παῖς τοῦ ἀρχιερέως — θεράποντας αὐλοποιοὺς κεκτημένου καὶ εὐπορήσαντος ἀπὸ τούτων — ὅθεν εἰς τοὺς αὐλοὺς κεκωμῴδηται ὑπὸ Ἀριστοφάνους καὶ Στράττιδος.*

567

Hesychius, *Ἄανθα: εἶδος ἐνωτίου παρὰ Ἀλκμᾶνι ἢ* (*καὶ* Alberti) *Ἀριστοφάνει.*

568

Zenobius Proverb. I, 1. *Ἀβυδηνὸν ἐπιφόρημα: — εἴρηται δὲ ἡ παροιμία καὶ ἀπὸ τοῦ ὑπ' αὐτῶν* (Abydenos dicit) *συκοφαντεῖσθαι τοὺς ξένους. ἔνθεν Ἀριστοφάνης τὸν συκοφάντην Ἀβυδηνοκώμην εἶπεν.* Corrige *Ἀβυδοκόμην* collatis Hesychio I. p. 26. et Bekkeri Anecdotis p. 215, 6. 322, 31.

569

Suidas in *ἀγκύρισμα*, *Ἔστι δὲ ἀγκύρισμα καὶ σκεῦος ἀγρευτικὸν σύκων. Ἀριστοφάνης.* Error grammatici, qui *ἀγκύρισμα* cum *ἄγκυρα* commiscuit, ab Kustero notatus est comparato Hesychio, *Ἄγκυρα: ἐν ᾗ τὰ σῦκα λαμβάνουσιν.*

570

Pollux II, 108. *Ἀριστοφάνης δὲ ἄγλωττον τὸν εἰπεῖν ἀδύνατον ἔφη.*

571

Pollux III, 48. *Ἀριστοφάνης δὲ ἄγυνον τὸν ἀγύνην.*

572

Photius p. 7, 20. *Ἀγῶνα: τὴν συναγωγήν. οὕτως Ἀριστοφάνης.*

573

Eustathius p. 1854, 12. *Ἦν δὲ καὶ ἄδδιξ μέτρον τι, φασί, τετραχοίνικον. Ἀριστοφάνης „Ἀλφίτων πελάνων ἄδδιχα.“* Photius p. 8, 6. et grammaticus Bekkeri p. 3[illegible] 26. *Ἄδδιξ: μέτρον τετραχοίνικον.* (Etymolog. M. p. 16, 53. 17, 46.) *οὕτως Ἀριστοφάνης.* Corrupte Hesychius, *Ἄδδιξις: μέτρον τετραχοίνης.*

574

Photius p. 9, 21. *Ἀδηφάγοι: ἀγωνισταὶ ἵπποι οὕτως ἐκαλοῦντο, ὡς Ἀριστοφάνης καὶ Φερεκράτης.*

575

Grammaticus Bekkeri p. 346, 1. *Ἀδώνιος Φερεκράτης εἶπεν ἀντὶ τοῦ Ἀδώνιδος. λέγει δὲ τὴν αἰτιατικὴν τὸν Ἀδώνιον. οὕτω δὲ καὶ Πλάτων καὶ Κρατῖνος, ἀλλὰ καὶ Ἀριστοφάνης καὶ ἕτεροι. λέγουσι δὲ καὶ Ἄδωνιν αὐτὸν πολλάκις.*

576

Grammaticus Bekkeri p. 348, 2. *Ἀείταν: τὸν ἑταῖρον. Ἀριστοφάνης δὲ τὸν ἐρώμενον.* Scribe *ἀΐταν.*

577

Phrynichus Bekkeri p. 6, 2. *Ἀκύμων θάλασσα: Εὐριπίδης ἐπὶ τοῦ μὴ γεννᾶν τέθεικεν, ὡσανεὶ ἀγόνου. ὡσαύτως καὶ Ἀριστοφάνης.*

578

Grammaticus Bekkeri p. 382, 17. *Ἀλειφόβιον* (codex *ἀλειφοίβιον*)*: τὸν περὶ παλαίστραν ἀναστρεφόμενον καὶ ὑπηρετοῦντα. οὕτως Ἀριστοφάνης.* Hesychius, *Ἀλειφοβίους: πένητας.* ubi vide Alberti annotationem.

579

Pollux II, 150. *Ἀριστοφάνης δὲ „ἀμεταχειρίστων τῶν κοινῶν“ εἶπεν.*

580

Photius p. 72, 21. *Ἤ ποθεν: ἀμόθεν. οὕτως Ἀριστοφάνης.* Recte Ruhnkenius ad Timaeum corrigit errorem grammatici reposito *Ἀμόθεν: πόθεν*, ut apud Suidam est, quanquam omissa Aristophanis mentione.

581

Etymolog. M. p. 96, 22. *Ἀναζυγῶσαι: — τὸ θύρας ἀναπετάσαι Ἀριστοφάνης.* Favorinus in Aldi Hortis Adonidis p. 15 b. *Ἀναζυγῶσαι: τὸ τὰς θύρας ἀναπετάσαι. Ἀριστοφάνης „Τὴν θύραν ἀναζυγώσας.“*

582

Scholiasta Euripidis Orest. v. 14. p. 283. ed. Matth. *„Ἀνεμέτρει τὸ χωρίον“ παρὰ Ἀριστοφάνει ἀντὶ τοῦ διεμέτρει.*

583

Suidas, *Ἀνασηκῶσαι: ἀνταποδοῦναι, ἢ ἀναλαβεῖν, ὥσπερ οἱ ἱστάντες. οἷον ἐξισῶσαι τῷ λείποντι ἢ πλεονάζοντι. οὕτως Ἀριστοφάνης.*

584

Grammaticus Bekkeri p. 401, 18. *Ἀνεψιαδαῖ Ἀριστοφάνης.*

585

Pollux II, 228. *Ἀνοητία, ἄνοια, ἐπίνοια, πρόνοια, — καὶ ἀνοησία, ὡς Ἀριστοφάνης.* Aristophanem *ἀνοησία* contra Atticorum consuetudinem, quae *ἀνοητία* postulat, dixisse nec mihi videtur credibile nec Lobeckio visum est ad Phrynich. p. 506. Quamobrem *ἀνοητία* priore loco delendum, altero *ἀνοησία* in *ἀνοητία* cum codice Iungermanni mutandum est. Pollux IV, 9. *Ἄνοια· τὸ γὰρ ἀνοησία* (recte codices *ἀνοητία*) *σκληρόν.* Phrynichus Bekkeri p. 21, 20. *Ἀνοητία: ὡς νουθετία, μοιχοληπτία, φιλοποτία, λυχνοκαυτία, ἀθλοθετία, ἀκρατία.* De *ἀθλοθετία* Pollux III, 140. *Ἀθλοθεσία, ἢ ὡς Ἀριστοφάνης, ἀθλοθετία.* De quo dixit Lobeckius ibid. p. 510.

586

Suidas, *Ἀπόμακτρα σκυτάλων ἀπεσκοτημένα δ' ἐσκιογραφημένα.* Eadem grammaticus Bekkeri p. 431, 26. praemisso lemmate *Ἀπόμακτρα*, et *ἐσκιοτροφημένα* praebens. Vera loci scriptura haec est, *Ἀπόμακτρα: σκύταλα. ἀπεσκοτωμένα δέ, ἐσκιαγραφημένα.* Poetae enim verba fuerunt *ἀπόμακτρ᾽ ἀπεσκοτωμένα*, quorum interpretationes ex scholiasta de more exscripsit Suidas, cuius alia est de eodem loco annotatio perinepta, *Ἐσκιοτροφημένα: Ἀριστοφάνης. ἀπόμακτρα σκυτάλων ἐσκιοτροφημένα.* Prudentius idem alio loco, *Ἀπεσκοτωμένα: ἐσκιαγραφημένα, κεχρωσμένα. τὰς γὰρ χρίσεις σκότη* (*σκότους* Hesychius) *καλοῦσι ζωγράφοι. οὕτως Ἀριστοφάνης:* quae iisdem fere verbis, omissa tamen Aristophanis memoria, ab Hesychio traduntur et ab Pausania apud Eustathium p. 953, 53. Denique Hesychius, *Ἀπομάκτρας: ξύλα. τὰς σκυτάλας, ἐν αἷς ἀποψῶσι τὰ μέτρα.* Forma *ἀπόμακτρον* idem utitur ad explicandum *ἀπόψηστον.*

587

Pollux VII, 22. *Καὶ ἀρτοστροφεῖν δὲ Ἀριστοφάνης λέγει.*

588

Phrynichus Bekkeri p. 10, 9. *Ἀσπάλαθος: ἀκανθῶδες φυτόν. Κλέανδρος θηλυκῶς, Ἀριστοφάνης ἀρσενικῶς.*

589

Phrynichus Bekkeri p. 13, 19. *Αὔεσθαι πῦρ καὶ ἐναύεσθαι: Ἀριστοφάνης αὐόμενος, Κρατῖνος ἐναύεσθαι.*

590

Hesychius, *Ἀφορμή: ἡ νῦν ἐνθήκη λεγομένη. Ἀριστοφάνης „Μέλλει δὲ πέμπειν τοὺς εἰς ἀφορμήν." ἢ πρόφασις, ἢ αἰτία.*

591

Phrynichus Bekkeri p. 13, 28. *„Ἀψευδοῦντες: Ἀριστοφάνης.*

592

Grammaticus Bekkeri p. 476, 10. *Ἀωρὶ, ἀωρία: τὸ παρὰ τὸν προσήκοντα καιρὸν καὶ τὴν ὥραν. — Ἀριστοφάνης δὲ ἔφη καὶ „ἀωρὶ θανάτῳ ἀπέθανεν."* Vereor ne quid erroris admiserit grammaticus: nam vix ita locutum esse credam Aristophanem, qui fortasse *ἀωροθάνατος ἀπέθανεν* dixerat. Phrynichus ibidem p. 24, 22. *Ἀωροθάνατος: ὁ πρὸ τῆς καθηκούσης ὥρας ἀποθανὼν ἀνὴρ καὶ γυνή.*

593

Scholiasta Theocriti I, 132. *Ἡ βάτος θηλυκῶς λέγεται· ὁμοίως ἐνταῦθα καὶ ἡ νάρκισσος. παρὰ δὲ τῷ Ἀριστοφάνει ἀρσενικῶς λέγεται.*

594

Pollux IV, 63. *Καὶ τὰ ῥήματα λυρίζειν κιθαρίζειν ψάλλειν καὶ, ὡς Ἀριστοφάνης, βαρβιτίζειν.*

595

Etymolog. M. p. 194, 31. *Βέλεκοι: ὄσπρια. „Καὶ τῶν βελέκκων* (scr. *βελέκων*)*" Ἀριστοφάνης.*

596

Pollux VII, 210. *Παρὰ Ἀριστοφάνει βιβλιδάριον.*

597

Pollux II, 56. *Ἀριστοφάνης δὲ καὶ βλέπος ἐκάλεσε καὶ βλέπησιν.* . *βλέπος* est in Nubibus v. 1176.

598

Pollux VII, 187. *Ἀριστοφάνης καὶ βοηλατεῖν καὶ ὀνηλατεῖν εἶπε.*

599

Etymolog. M. p. 214, 44. *Βρόταχος: τὸν βάτραχον Ἴωνες, καὶ Ἀριστοφάνης, καὶ παρὰ Ξενοφάνει. βάτραχος, καὶ καθ' ὑπερβιβασμὸν βράταχος καὶ βρόταχος.* Vide interpretes Hesychii vol. I. p. 770. Idem p. 760. *Βρατάχους: βατράχους.*

600

Pollux VII, 141. *Καὶ βωλοκοπεῖν δὲ Ἀριστοφάνης εἴρηκε.*

601

Phrynichus Bekkeri p. 31, 27. *Γαλῆν καταπέπωκεν* (codex *καταπέπτωκεν*)*: Ἀριστοφάνης. ἐπί τινος νέου μὴ δυναμένου φθέγξασθαι. χρήσαιο δ' ἂν καὶ αὐτὸς ἐπὶ παντὸς* (*τοῦ μὴ* addit Bekkerus) *φθεγγομένου.*

602

Etymolog. M. p. 229, 40. *Γεισίποδες: παρὰ τὸ εἶναι βάσεις τῶν θεμελίων. καὶ γεισῶσαι καὶ γείσωσις τὸ τῆς γῆς ἔκθεμα. Ἀριστοφάνης δὲ καὶ τὰς ὤας τοῦ ἱματίου γεῖσα εἶπε.* Postrema, *Ἀριστοφάνης — εἶπε* habet grammaticus Bekkeri p. 231, 2. ubi *γείσας* scriptum. Vide Hesychium vol. I. p. 808.

603

Pollux II, 13. *Γερόντειαι παλαῖστραι παρὰ Ἀριστοφάνει.* Incertum poetae nomen fit Falckenburgiani codicis scriptura *Ἀντιφάνει.*

604

Hesychius, *Δαφνοπώλην τὸν Ἀπόλλω λέγουσιν, ὡς Ἀριστοφάνης.*

605

Phrynichus Bekkeri p. 35, 30. *Διετησίως: ἀντὶ τοῦ διέτως, οἷον καθ' ἕκαστον ἔτος. Θουκυδίδης καὶ Ἀριστοφάνης.* Apud Thucydidem II, 23 legitur *θυσίαις διετησίοις.*

606

Hesychius, *Δράκαιναν: τὴν μάστιγα, τὴν ὑστριχίδα ὁ Ἀριστοφάνης.*

607

Scholiasta Dionysii Thracis in Bekkeri Anecdotis p. 942, 22. *Τὸ δυάκις καὶ τριάκις παρὰ Ἀριστοφάνει.*

608

Pollux X, 27. *Ἀριστοφάνης* (Lysistr. v. 265.) *„Προπύλαια πακτοῦν." καὶ πάλιν, ἐπιπακτοῦν τὰς θύρας.*

609

Pollux II, 199. *Τὰ δὲ ὑπὲρ τοὺς δακτύλους κρούματα πταίσματα· Ἀριστοφάνης δὲ καὶ ἐπιπταίσματα αὐτὰ καλεῖ.*

610

Pollux VI, 79. *Τὰ δὲ ἐ[illegible]ορπίσματα Ἀριστοφάνης ἐπιφορήματα καλεῖ.*

611

Pollux II, 42. *Ἑτερεγκεφαλᾶν, ὡς Ἀριστοφάνης, τὸ παραφρονεῖν.*

612

Hesychius, *Ἐτνήρυσις: ἔπαιξεν Ἀριστοφάνης ἀντὶ τοῦ φάναι τὴν σανίδα τὴν ἐτνήρυσιν ὀπῶν, παρὰ τὸ ἔτνος.*

613

Photius p. 30, 6. *Εὔειλος* (codex *εὔηλος*)*: εὐήλιος. Ἀριστοφάνης.*

614

Suidas, *Εὐθετῆσαι: κοσμῆσαι, συνθεῖναι, οὕτως Ἀριστοφάνης.* Pollux II, 31. *Εὐθετῆσαι* [illegible] *ἔλεγον τὰς τρίχας.*

615

Pollux IX, 162. *Τὸ παρ' Ἀριστοφάνει εὐκτικός.*

616

Pollux VI, 161. *Ἡμιφωσώνιον Ἀριστοφάνης.* Vide Hesychii interpretes vol. I. p. 1636.

617

Pollux I, 12. *Τοὺς ἐπὶ τοῖς ἀγάλμασι [illegible] τέχνας οὐκ ἀγαλματοποιοὺς μόνον οὐδὲ ἀγαλματουργοὺς, ἀλλὰ καὶ θεοποιοὺς καὶ θεοπλάστας [illegible] Ἀριστοφάνης.*

618

Pollux VII, 150. *Ἀριστοφάνης δὲ γυναῖκα θερίστριαν καὶ φρυγανίστριαν εἶπε.*

619

Pollux VII, 100. *Τοὺς δὲ μεταλλέας θυλακοφορεῖν Ἀριστοφάνης ἔφη.* Duo codices *θυλακοφόρους.* Et glossam *θυλακοφόροι* habet Hesychius. Sed Pollux X, 149. *θυλακοφορεῖν μὲν τοὺς μεταλλέας οἱ κωμῳδοὶ λέγουσι.*

620

Phrynichus Bekkeri p. 43. 44. *Ἰξοί: ἐπὶ τῶν γλίσχρων καὶ φειδωλῶν. — λέγει δ' Ἀριστοφάνης οὕτως „Ἰξοὶ ῥυποκόνδυλοι.“ ὅπερ σημαίνει καὶ αὐτὸ τοὺς γλίσχρους καὶ διὰ τὴν φειδωλίαν μήτε λουομένους μήτε νιζομένους.* Illata haec sunt in Moeridis librum p. 201. ubi vide Piersoni annotationem.

621

Hesychius, *Ἱπποκλείδης: οὕτω κακοσχόλως τὸ τῆς γυναικὸς μόριον Ἀριστοφάνης εἶπεν.*

622

Pollux IV, 67. *Καλαμίνην σύριγγα εἴρηκεν Ἀριστοφάνης.* Idem X, 153. *Καλαμίνους αὐλοὺς Ἀριστοφάνης ἔφη.*

623

Pollux VII, 166. *Ἀριστοφάνης καὶ κάμινον βαλανείου φησί.*

624

Photius p. 129, 15. *Κάνδυτος: σκευασία ὀψοποιικὴ μετὰ γάλακτος καὶ στέατος καὶ μέλιτος. ἔνιοι δὲ διὰ κρέως καὶ ἄρτου καὶ τυροῦ. οὕτως Ἀριστοφάνης.* Scribe *κάνδυλος*, de quo dictum ad Hesychii locum vol. II. p. 135. *Κάνδυλος: διὰ ἐλαίου καὶ γάλακτος καὶ τυροῦ καὶ μέλιτος πέμμα ἐδώδιμον*, quae emendavit Porsonus ad Photium p. 688.

625

Pollux II, 41. *Τὸ δὲ ὑπὸ μέθης καρηβαρεῖν καρηβαριᾶν Ἀριστοφάνης.*

626

Scholiasta Vesparum v. 288. *Ἔλεγον δὲ καὶ τὸ βλάψαι* (*θάψαι* Lobeckius in Orphicis p. 632.) *καταχυτρίσαι, ὡς ἑτέρωθι Ἀριστοφάνης.* Similiter Etymolog. M. p. 313, 42. Suidas in *ἐγχυτρίστριαι*, scholiasta Platonis p. 336.

627

Pollux II, 57. *Καχύποπτος, ὡς Ἀριστοφάνης.*

628

Harpocratio, *Κελέοντες: — κυρίως εἰσὶν οἱ ἱστόποδες, ὡς καὶ παρ' Ἀριστοφάνει δῆλον τῷ κωμικῷ.*

629

Photius p. 168, 12. *Κλέος: τὴν φαύλην δόξαν Ἀριστοφάνης.*

630

Photius p. 173, 7. *Κνημία: τὰ ἐν τοῖς θρόνοις καὶ τροχοῖς διερείσματα. καὶ πληγαὶ ἐν κνήμαις. καὶ τὸ κνημιοπαχὲς ξύλον, ὡς Ἀριστοφάνης.*

631

Phrynichus Bekkeri p. 47, 7. *Κοινοθυλακεῖν: τὸ ἐν ὁδῷ κοινωνεῖν σιτίων καὶ τραπέζης καὶ καταγωγῆς καὶ τῶν τοιῶνδε. Ἀριστοφάνης.*

632

Harpocratio *Κρᾶστις: Δείναρχος ἐν τῷ πρὸς Λυσικράτην. κρᾶστίς ἐστιν ἡ πόα, ὡς καὶ Ἀριστοφάνης.* Apud alios grammaticos *κράστις* scribitur.

633

Pollux VI, 91. *Μέμνηται δὲ Ἀριστοφάνης καὶ κρεοστάθμης.*

634

Pollux VI, 47. *Κυδώνια μῆλα, ὡς Ἀριστοφάνης.*

635

Photius p. 198, 11. *Κωπαῖοι: σφῆκες. οὕτως Ἀριστοφάνης.*

636

Photius p. 211, 21. *Λεγωνῆσαι: ἀντὶ τοῦ παῖσαι. οὕτως Ἀριστοφάνης.*

637

Pollux VI, 86. *Ἀριστοφάνης λεκανίσκην.*

638

Pollux VII, 196. *Λιβανωτοπωλεῖν Ἀριστοφάνης ἔφη.*

639

Phrynichus p. 321. ed. Lobeck. *Κοχλιάριον: τοῦτο λίστρον Ἀριστοφάνης ὁ κωμῳδοποιὸς λέγει. καὶ σὺ δὲ οὕτω λέγε.* Phrynichus Bekkeri p. 51, 9. *Λίστριον: τὸ ὑπὸ τῶν πολλῶν καλούμενον κοχλιάριον.* — Videtur igitur Aristophanes *λίστριον* dixisse: de quo vocabulo aliorum grammaticorum locos indicavit Lobeckius.

640

Suidas, *Λογάρια: οἱ λόγοι. Ἀριστοφάνης.* Quibus subiungit Synesii non nominati verba quaedam.

641

Phrynichus Bekkeri p. 50. 51. *Λογγάζειν: τὸ διαδιδράσκειν τὸ ἔργον, προφασιζόμενόν τινα πρόφασιν. καὶ τοῦτο Ἀριστοφάνης τίθησιν ἐπὶ ἵππων προσποιούμενος* (*προσποιουμένων*?) *χωλεύειν.*

642

Photius p. 231, 11. *Λουτρίδες: δύο κόραι περὶ τὸ ἕδος τῆς Ἀθηνᾶς. ἐκαλοῦντο δὲ αὗται καὶ πλυντρίδες. οὕτως Ἀριστοφάνης.*

643

Pollux VII, 157. *Καὶ λοφοπωλεῖν Ἀριστοφάνης εἴρηκε.*

644

Photius p. 240, 5. *Μαγίδες: μᾶζαι. καὶ τὰ τῇ Ἑκάτῃ συντελούμενα δεῖπνα. οὕτως Ἀριστοφάνης.* Conf. Hesychium h. v.

645

Photius p. 241, 8. *Μάθος: λέγουσι τὴν μάθησιν. οὕτως Ἀριστοφάνης.*

646

Photius p. 244, 13. *Μαλθακόν: ἀντὶ τοῦ ἀγαθόν. οὕτως Ἀριστοφάνης.*

647

Photius p. 246, 4. *Μάνην: τὴν μανίαν. λέγουσι δὲ καὶ μάναν. Ἀριστοφάνης.*

648

Photius p. 255, 5. *Μελανναίων: τοῦ πλοίου τὸ πεπιττωμένον, τὸ ἔναλον. Ἀριστοφάνης.*

649

Pollux IX, 25. *Ὁ μὲν μεγάλης πόλεως πολίτης*

μεγαλοπολίτης ἂν λέγοιτο, ὁ δὲ μικρᾶς μικροπολίτης. ὅθεν καὶ Ἀριστοφάνει εἴρηται τὸ μικροπολιτικόν.

650

Photius p. 280, 3. *Μύξαν*: αὐτὸν τὸν μυκτῆρα καλοῦσιν, οὐχὶ τὸ ὑγρόν. οὕτως Ἀριστοφάνης.

651

Pollux VII, 177. Μυροπωλεῖν Ἀριστοφάνης ἔφη.

652

Pollux VII, 139. *Ναῦται*: οἷς προσήκει καὶ αἱ παρ' Ἀριστοφάνει ναύτριαι.

653

Pollux II, 20. Ἀριστοφάνης δὲ νεανιεύεσθαι τὸ τολμᾶν ἔφη, — ἀνδρίζεσθαι δὲ εἶπεν ἀνδροῦσθαι, καὶ ἀνδριζόμενοι Ὑπερείδης.

654

Pollux VII, 138. Νεῖν δ' ἐξ ὑπτίας μάθημα κολυμβητῶν Ἀριστοφάνης εἶπε καὶ Πλάτων.

655

Stephanus Byzant. *Νώνακρις*: πόλις Ἀρκαδίας. — τὸ ἐθνικὸν — καὶ Νωνακριεὺς λέγεται παρὰ Ἀριστοφάνει. Fortasse Νωνακρεὺς scribendum ex Hesychii et Photii glossis.

656

Pollux II, 180. Καὶ νωτοπλῆγα τὸν μαστιγίαν Ἀριστοφάνης ἐκάλεσε. Nisi Aristophanem pro Pherecrate nominavit, cuius ex Crapatalis Suidas in νωτοπλῆγα versum attulit, Καὶ νωτοπλῆγα μὴ ταχέως διακονεῖν.

657

Pollux VII, 30. Ἔξαινε δὲ τῶν ἐρίων Ἀριστοφάνης ἔφη.

658

Photius p. 308, 23. *Ξειρης* (sic): φυτὸν ἀρωματικόν. Ἀριστοφάνης. Hesychius, *Ξειρίς*: ἀρωματικόν τι φυτόν. ubi vide annotationes.

659

Photius p. 330, 12. — τὸ ἱερὸν Ὀλυμπίειον πεντασυλλάβως ὡς Ἀσκληπίειον Ἀριστοφάνης.

660

Photius p. 291, 15. et Suidas, *Ὀνυχίζεται*: ἀκριβολογεῖται. οὕτως Ἀριστοφάνης.

661

Photius p. 349, 3. *Ὀρογυίας* λέγουσιν, οὐχὶ ὀργυιάς. Ἀριστοφάνης.

662

Photius p. 356, 8. *Οὐδαμᾶ*: οὐδέποτε. Ἀριστοφάνης. Corrige οὐδαμά. μηδαμὰ restitutum Thesmophor. v. 1162.

663

Phrynichus Bekkeri p. 18, 23. *Αἱ τῶν γυναικῶν παγίδες*: τοὺς κόσμους καὶ τὰς ἐσθῆτας, αἷς χρῶνται αἱ γυναῖκες καλλωπιζόμεναι, παγίδας εἶπεν Ἀριστοφάνης.

664

Pollux VI, 163. Καὶ Ἀριστοφάνης, Πάγκυφος ἐλαία. Scribe ἐλάα. Hesychius, *Ἀστὴ ἐλαία*: ἡ ἐν ἀκροπόλει ἡ καλουμένη πάγκυφος διὰ χθαμαλότητα. Pollux IX, 17. Ἡ δὲ κωμῳδία καὶ ἀστῆς ἐλαίας εἴρηκε τῆς ἐν πόλει.

665

Stephanus Byzant. *Παμβωτάδης* (Παμβωτάδ… Meursius): δῆμος Ἀττικῆς, Ἐρεχθηΐδος φυλῆς. ὁ δημότης Παμβωτάδης. τὰ τοπικὰ ἐκ Παμβωτάδων, … Παμβωτάδων. Ἀριστοφάνης. Scribe Παμβωτάδ…

666

Photius p. 377, 25. *Πανός*: δέσμη κλημάτων. οἱ δὲ νεώτεροι Ἀττικοὶ φανόν. Ἀριστοφάνης.

667

Pollux X, 156. Πέτευρον δὲ, οὗ τὰς ἐνοικιδίους ὄρνιθας ἐγκαθεύδειν συμβέβηκεν, Ἀριστοφάνης ἔφη. Photius p. 426, 12. *Πέτευρον*: πᾶν τὸ μακρὸν καὶ ὑπόπλατυ καὶ μετέωρον ξύλον. Ἀριστοφάνης … τῷ ε. Nam etiam πέταυρον dictum est.

668

Pollux IV, 163. Ἀριστοφάνης δὲ ἔφη καὶ … σταχόθεν.

669

Pollux VII, 12. Ὁ δὲ τοῖς πιπράσκουσι πω… νῶν προπράτωρ, ὡς Δείναρχος καὶ Ἰσαῖος· προπ… λην δὲ Ἀριστοφάνης αὐτὸν εἶπε καὶ προπωλοῦντα Πλάτων.

670

Photius p. 463, 21. *Προσχίσματα*: εἶδος ὑποδήματος. Ἀριστοφάνης. Conf. Hesychium vol. I p. 1054.

671

Pollux IV, 18. Καὶ πυξίον καὶ πυξίδιον παρ' Ἀριστοφάνει. Idem X, 59. 60. Τῷ δὲ παιδὶ … ἂν προσεῖναι — πυξίον· εἴρηται μὲν γὰρ καὶ … ζωγράφου τοὔνομα ἐν Ἀναξανδρίδου Ζωγράφοις — „Πυξίον λαβὼν κάθου.“ οὐδὲν δὲ κωλύει καὶ … ταύτην αὐτὸ τὴν χρῆσιν τὴν ἐπὶ τῷ γράφειν … ἡμῶν ἄγεσθαι, ἐπεὶ καὶ Ἀριστοφάνης οὕτω κέχρηται.

672

Photius p. 478, 1. *Πυτίνη*: πλεκτὴ λάγηνος. Ἀριστοφάνης.

673

Photius p. 486, 24. *Ῥήτορα*: καὶ τὴν γυναῖκα. Ἀριστοφάνης.

674

Grammaticus Bachmanni I. p. 360, 26. *Σαικωνίσαι*: κινηθῆναι. Ἀριστοφάνης. Eadem habet Photius p. 496, 7. ubi σαικονῆσαι scriptum. Conf. Hesychium vol. II. p. 1138.

675

Photius p. 503, 19. et grammaticus Bachmanni I. p. 362, 31. *Σεῖν*: τὸ λεγόμενον τοῖς παιδίοις ὑπὸ τῶν τροφῶν, ὅταν αὐτὰ βούλωνται οὐρῆσαι. οὕτως Ἀριστοφάνης.

676

Hesychius, *Σέριφος*: Ἀριστοφάνης τὴν Λακεδαίμονα Σέριφον. Photius p. 506, 24. Σέριφον: τὴν Λακεδαίμονα, διὰ τὸ σκληρῶς ζῆν. καὶ … σμὸς αὐτοῖς ἐξέπεσεν.

677

Photius p. 518, 2. *Σκελετεύεσθαι*: ξηραίνεσθαι. Ἀριστοφάνης.

678

Photius p. 520, 12. et grammaticus Bachmanni I p. 366, 10. *Σκιμβάζειν*: χωλεύειν καὶ ἀσκωλιάζειν. τὸ αὐτὸ τοῦτο. οὕτως Ἀριστοφάνης.

679

Photius p. 524, 5. Σκοπὴν καὶ σκοπιὰν λέγουσι. καὶ σκοπὰν Ἀριστοφάνης.

680

Pollux VII, 148. Τὴν δὲ σμινύην σμινύδιον Ἀριστοφάνης καλεῖ.

681

Photius p. 532, 16. Σπυρθίζειν: τὸ ἀνασκιρτᾶν, ἀπὸ τῶν ὄνων. οὕτως Ἀριστοφάνης. Conf. Hesychium vol. II. p. 1252.

682

Pollux III, 146. Ἀριστοφάνης δὲ καὶ σταδιοδρόμης εἴρηκε. Deteriores libri σταδιοδρόμος.

683

Photius p. 535, 5. Στάσις: οὐχ ἡ φιλονεικία, ἀλλ' αὐτοὶ οἱ στασιάζοντες. καλοῦσι δὲ καὶ τὰ πεφυκότα σπέρματα. οὕτως Ἀριστοφάνης.

684

Pollux VII, 32. Στήμονα δὲ ἐξεσμένον τὸν ἰσχνὸν καὶ λεῖον Ἀριστοφάνης λέγει.

685

Pollux VII, 190. Στρογγυλοναύτας Ἀριστοφάνης λέγει.

686

Etymolog. M. p. 747, 3. Photius p. 570, 3. et grammaticus Bachmanni vol. I. p. 382, 8. Τάρρωμα: τὴν κωπηλασίαν. οὕτως Ἀριστοφάνης.

687

Photius p. 572, 4. et grammaticus Bachmanni p. 382, 20. Τάχας: τοὺς καταστοχασμοὺς, παρὰ τὸ τάχα. οὕτως Ἀριστοφάνης.

688

Etymolog. M. p. 754, 34. et Photius p. 580, 21. Τετραχίζειν: οἷον ἐπὶ τετάρτῳ μέρει τι ποιεῖν. οὕτως Ἀριστοφάνης. Eadem omisso Aristophane habet Hesychius vol. II. p. 1373.

689

Photius p. 588, 13. Τίζειν: τί λέγειν. οὕτως Ἀριστοφάνης. Fortasse ad Avium versum 23. pertinet, ἡ δ' (nam ita corrigendum) ἡ κορώνη τῆς ὁδοῦ τι λέγει πέρι; Satis aliunde notum est cognatum verbum τιτίζειν.

690

Photius p. 589, 1. Τικτικόν: τὸ ταῖς τικτούσαις διδόμενον φάρμακον. Ἀριστοφάνης.

691

Photius p. 598, 4. Τραγῳδεῖν: χορεύειν. Ἀριστοφάνης.

692

Etymolog. M. p. 726, 52. Στειλειά: τὸ τρῆμα τοῦ πελέκεως, δι' οὗ τὸ στελεὸν ἐνείρεται, ἣν τρήμην Ἀττικοὶ λέγουσιν. Ἀριστοφάνης „Τρήμας ἔχει."

693

Pollux VI, 165. Τρίκλυστος δὲ Ἀριστοφάνης λέγει.

694

Photius p. 607, 23. Τροχίμαλλον: σωρὸς λίθου. οὕτως Ἀριστοφάνης.

695

Etymolog. M. p. 782, 10. Ὑπόγραμμα: τὸ Ἁρματίου ὑπόμνημα, ᾧ τοὺς ὀφθαλμοὺς ὑπογράφουσι. καὶ ὑπογεγραμμένη, ἐστιβισμένη. Ἀριστοφάνης. Conf. Hesychium vol. II. p. 1468.

696

Etymolog. M. p. 782, 22. Photius p. 627, 19. et Suidas, Ὑποζυγιώδης ἄνθρωπος: ὁ μὴ ἐκ τῆς ἑαυτοῦ προαιρέσεως καὶ προθυμίας τι πράττων, ἀλλ' ἐκ τῆς ἑτέρων κελεύσεως, ὥσπερ καὶ τὰ ὑποζύγια. (haec etiam Phrynichus Bekkeri p. 67, 12.) εἴποις δ' ἂν καὶ ὑποζυγιῶδες πρᾶγμα. Ἀριστοφάνης.

697

Photius p. 670, 20. Ὕλην: τὸ καθίζον τοῦ οἴνου ἢ τοῦ ὕδατος. οὕτως Ἀριστοφάνης. Recte Lobeckius ad Phrynich. p. 73. corrigit ἰλύν.

698

Pollux VII, 7. Τοὺς μέντοι μὴ ἀκριβεῖς τεχνίτας φαυλουργοὺς κατὰ Ἀριστοφάνην λέγε.

699

Etymolog. M. p. 789, 52. et Photius p. 643, 22. Φαύστιγγες: οἱ ἐκ τοῦ πυρὸς ἐν ταῖς κνήμαις σπίλοι (σπίλοι Photius). οὕτως Ἀριστοφάνης. Recte Piersonus ad Moer. p. 397. φαύσιγγες corrigit ex aliorum grammaticorum locis.

700

Pollux VI, 167. Ἀριστοφάνης δὲ, φιλοχηδῆ λόγον.

701

Photius p. 654, 4. Φλεήσιον: τὸ Φλιάσιον πεδίον. Ἀριστοφάνης. Consentit Etymolog. M. p. 796, 4. sed omittit nomen Aristophanis. Sequitur apud Photium, Φληναφᾷ: φλυαρεῖ. „Quum Ἀριστοφάνης omittat Etymolog. M., fortasse transponendum et legendum ex Nub. 1477. Φληνάφα: φλυάρει. Ἀριστοφάνης." DOBRAEUS in indice Photii p. 735.

702

Etymolog. M. p. 796, 46. Φνεί: — τὸ δὲ φνεί ἐπιτετηδευμένον ἐστὶ παρὰ Ἀριστοφάνει μίμημα ὀρνέων φωνῆς. λέγουσι δέ τινες ὅτι τὸ φνεί οὐκ ἄρχεται ἀπὸ τοῦ φ ν· οὐκ ἔστι γὰρ φνεί ἡ λέξις, ἀλλὰ τοφνεί, τοῦ το μὴ ὄντος ἄρθρου, ἀλλὰ μέρους τῆς λέξεως· καὶ δῆλον ἐκ τοῦ μὴ εὑρίσκεσθαι αὐτὸ χωρὶς τοῦ το παρά τισι. Χοιροβοσκός. Corrupte Photius p. 651, 8. Φλιει (sic): μιμητικὸς ἦχος τῶν γαμψωνύχων. Ἀριστοφάνης. Suidas, Φλίει: μιμητικῶς φωνεῖ.

703

Phrynichus Bekkeri p. 71, 13. Φορτηγεῖν, φόρτον ἄγειν. καὶ φορτηγοὺς Ἀριστοφάνης.

704

Pollux VII, 60. Τὸν δὲ χορταῖον (χιτῶνα) τοῦ προπώλας φορεῖν ὡς ἀγοραῖον Ἀριστοφάνης ἔφη.

705

Moeris p. 419. Ψίλαξ: Ἀριστοφάνης. ψιλὸς καὶ λεῖος. Ἕλληνες. Hesychius, Ψίλακα: ψιλὸν λεῖον.

706

Photius p. 655, 12. Ψό: ἐπὶ τοῦ σαπροῦ καὶ μὴ συναρέσκοντος· ἔστι δὲ ἀποκομματικοῦ λεξειδίου· ψόθον γὰρ καλοῦσιν. Ἀριστοφάνης. Πλάγράσου καὶ ψοθοίου καὶ ῥύπου γε καὶ ψόθου

*Αἰσχύλος Θεωροῖς.* „Lege *Πλέω γράσου τε καὶ ψόθου· οἷον, καὶ ῥύπου· Αἰσχύλος Θεωροῖς.* et intellige quasi statim post ψο sequeretur *Αἰσχύλος.*" DOBRAEUS in indice p. 735. Ex Theognosto Bekkerus in Anecdotis p. 1432. haec protulit „*ψοθοιός ὁ ἀκάθαρτος.*"

707

Pollux VI, 125. *Σκληρότερον γὰρ ὁ ἀστεμφὴς — καὶ κωμικώτερον ὁ Ἀριστοφάνους θυμάγροικος.*

708

Pollux X, 123. *Τὸ παρ' Ἀριστοφάνει χείμαστρον.* Idem VII, 61.

709

Scholiasta Pindari Pyth. II, 125. *Ὁ κωμικὸς*

*Εὐθὺς δὲ Φοίνιξ γίγνομαι·*
*τῇ μὲν δίδωμι χειρὶ, τῇ δὲ λαμβάνω.*

710

Photius p. 351, 16. *Ὀρχήστρα: πρῶτον ἐκλήθη ἐν τῇ ἀγορᾷ, εἶτα καὶ τοῦ θεάτρου τὸ κάτω ἡμίκυκλον, οὗ καὶ οἱ χοροὶ ᾖδον καὶ ὠρχοῦντο· εἰς τὴν ὀρχήστραν· ἔτι γὰρ τὴν θέαν ᾦκειτ' ἐκεῖ, φησὶν ὁ κωμικός.* Dobraeus in Addendis p. 704. „Lege *ᾠκεῖτ'.*" Quo nihil proficitur ceteris non explicatis.

711

Photius p. 570, 13. exscriptus ab Apostolio Proverb. XVIII, 14. p. 223. *Παρὰ τῷ κωμικῷ εἴρηται*

*Τὰ Ταντάλου τάλαντα ταντολίζεται.*

712

Photius p. 609, 2. et Suidas, *Τρύχνον: — ὁ κωμικός φησιν*

*Ἤδη γάρ εἰμι μουσικώτερος τρύχνου.*

713

Photius p. 404, 24.

*Παῦσαι μελῳδοῦσ', ἀλλὰ πεζῇ μοι φράσον,*
*ὁ κωμικός.*

714

Suidas, *Ἀσπάζεσθαι: —*

*Ἀσπαζόμεσθ' ἐρετμία καὶ σκαλμίδια,*
*φησὶν ὁ κωμικός. καὶ πάντα τὰ ὅμοια διττῶς ...γουσιν.* Grammaticus Bekkeri p. 453, 10. „*ἀσπα...μεθα καὶ σὺν τῷ σ, ἀσπαζόμεθ' ἐρετμά.*" E... apud Suidam legebatur *ἐρετμὰ*, quod correxit Mei...kius.

715

Scholiasta Euripidis Orest. v. 163. p. 312. ... Matth. *παρὰ τῷ κωμικῷ οἰκέτου στενάξαντος ἐ... φησιν „Ἀκούεις ὡς στένει;"*

716

Etymolog. M. p. 192, 17. *Βαυκίδες: — „... τεβαυκάλισέ με" φησὶν ὁ κωμικός.*

717

Eustathius p. 228. extr. *Ὅτι δὲ ἀπὸ τῆς στρ...θοῦ καὶ στρουθίζειν τὸ εὐτελῶς* (vulgo *ἐντελῶς*, c... rectum ab Brunckio p. 288.) *πως ᾄδειν δηλοῖ κα... κωμικός.* Idem p. 1411, 15. *Τὸ μέντοι στρουθίζ... ὅ φησιν ὁ κωμικὸς, ἐκ τῆς Ὁμηρικῆς παρῆκ... στρουθοῦ.* Photius p. 544, 5. *Στρουθίζων: τρίζ...*

718

Eustathius p. 725, 32. ubi de vocabulis cum τῷ... compositis agit, *Φέρει δὲ καὶ (τῶν τις παλαιῶ... ἀπὸ χρήσεως τοῦ κωμικοῦ τὸ παλίμβολος τρίπρατ... καὶ πολλάκις ἀπημπολημένος.* Conf. Hesychii interpretes vol. II. p. 843.

719

Stephanus Byzant. *Βρέττος: πόλις Τυρρην..., ἀπὸ Βρέττου τοῦ Ἡρακλέους καὶ Βαλητίας τῆς Β...λήτου. οἱ οἰκοῦντες Βρέττιοι. καὶ ἡ χώρα Βρεττί... καὶ ἡ γλῶσσα. Ἀριστοφάνης*

*Μέλαινα δεινὴ γλῶσσα Βρεττία παρῆν.*

720

Galenus vol. XII. p. 161. ed. Charter.

*Χωρεῖ 'πὶ γραμμὴν λορδὸς ὡς εἰς ἐμβολήν.*

ASHMOLEAN MUSEUM OXFORD